

1038

PATROLOGIÆ
CURSUS COMPLETUS,

SEU BIBLIOTHECA UNIVERSALIS, INTEGRA, UNIFORMIS, COMMODA, ŒCONOMICA,

OMNIUM SS. PATRUM, DOCTORUM SCRIPTORUMQUE ECCLESIASTICORUM,

SIVE LATINORUM, SIVE GRÆCORUM,

QUI AB ÆVO APOSTOLICO AD ÆTATEM INNOCENTII III (*ANN.* 1216) *PRO LATINIS, ET AD CONCILII FLORENTINI TEMPORA* (*ANN.* 1439) *PRO GRÆCIS FLORUERUNT :*

RECUSIO CHRONOLOGICA

OMNIUM QUÆ EXSTITERE MONUMENTORUM CATHOLICÆ TRADITIONIS PER QUINDECIM PRIORA ECCLESIÆ SÆCULA

JUXTA EDITIONES ACCURATISSIMAS, INTER SE CUMQUE NONNULLIS CODICIBUS MANUSCRIPTIS COLLATAS, PERQUAM DILIGENTER CASTIGATA; DISSERTATIONIBUS, COMMENTARIIS, VARIISQUE LECTIONIBUS CONTINENTER ILLUSTRATA; OMNIBUS OPERIBUS POST AMPLISSIMAS EDITIONES QUÆ TRIBUS NOVISSIMIS SÆCULIS DEBENTUR ABSOLUTAS, DETECTIS, AUCTA; INDICIBUS ORDINARIIS VEL ETIAM ANALYTICIS, SINGULOS SIVE TOMOS, SIVE AUCTORES ALICUJUS MOMENTI SUBSEQUENTIBUS, DONATA; CAPITULIS INTRA IPSUM TEXTUM RITE DISPOSITIS, NECNON ET TITULIS SINGULARUM PAGINARUM MARGINEM SUPERIOREM DISTINGUENTIBUS SUBJECTAMQUE MATERIAM SIGNIFICANTIBUS, ADORNATA; OPERIBUS CUM DUBIIS, TUM APOCRYPHIS, ALIQUA VERO AUCTORITATE IN ORDINE AD TRADITIONEM ECCLESIASTICAM POLLENTIBUS, AMPLIFICATA;

DUCENTIS ET QUADRAGINTA INDICIBUS SUB OMNI RESPECTU, SCILICET, ALPHABETICO, CHRONOLOGICO, ANALYTICO, ANALOGICO, STATISTICO, SYNTHETICO, ETC., RES ET AUCTORES EXHIBENTIBUS, ITA UT NON SOLUM STUDIOSO, SED NEGOTIIS IMPLICATO, ET SI FORTE SINT, PIGRIS ETIAM ET IMPERITIS PATEANT OMNES SS. PATRES, LOCUPLETATA; SED PRÆSERTIM DUOBUS IMMENSIS ET GENERALIBUS INDICIBUS, ALTERO SCILICET RERUM, QUO CONSULTO, QUIDQUID NON SOLUM TALIS TALISVE PATER, VERUM ETIAM UNUSQUISQUE PATRUM, ABSQUE ULLA EXCEPTIONE, IN QUODLIBET THEMA SCRIPSERIT, UNO INTUITU CONSPICIATUR; ALTERO SCRIPTURÆ SACRÆ, EX QUO LECTORI COMPERIRE SIT OBVIUM QUINAM PATRES ET IN QUIBUS OPERUM SUORUM LOCIS SINGULOS SINGULORUM LIBRORUM SCRIPTURÆ VERSUS, A PRIMO GENESEOS USQUE AD NOVISSIMUM APOCALYPSIS, COMMENTATI SINT :

EDITIO ACCURATISSIMA, CÆTERISQUE OMNIBUS FACILE ANTEPONENDA, SI PERPENDANTUR CHARACTERUM NITIDITAS, CHARTÆ QUALITAS, INTEGRITAS TEXTUS, CORRECTIONIS PERFECTIO, OPERUM RECUSORUM TUM VARIETAS, TUM NUMERUS, FORMA VOLUMINUM PERQUAM COMMODA SIBIQUE IN TOTO PATROLOGIÆ DECURSU CONSTANTER SIMILIS, PRETII EXIGUITAS, PRÆSERTIMQUE ISTA COLLECTIO UNA, METHODICA ET CHRONOLOGICA, SEXCENTORUM FRAGMENTORUM OPUSCULORUMQUE HACTENUS HIC ILLIC SPARSORUM, VEL ETIAM INEDITORUM, PRIMUM AUTEM IN NOSTRA BIBLIOTHECA, EX OPERIBUS ET MSS. AD OMNES ÆTATES, LOCOS, LINGUAS FORMASQUE PERTINENTIBUS, COADUNATORUM, ET EX INNUMERIS OPERIBUS TRADITIONEM CATHOLICAM CONFLANTIBUS, OPUS UNICUM MIRABILITER EFFICIENTIUM.

SERIES GRÆCA POSTERIOR,

IN QUA PRODEUNT PATRES, DOCTORES SCRIPTORESQUE ECCLESIÆ GRÆCÆ AB ÆVO PHOTIANO USQUE AD CONCILII FLORENTINI TEMPORA, ET AMPLIUS;

ACCURANTE J.-P. MIGNE,

Bibliothecæ Cleri universæ,

SIVE CURSUUM COMPLETORUM IN SINGULOS SCIENTIÆ ECCLESIASTICÆ RAMOS EDITORE.

PATROLOGIA, AD INSTAR IPSIUS ECCLESIÆ, IN DUAS PARTES DIVIDITUR, ALIAM NEMPE LATINAM, ALIAM GRÆCO-LATINAM, AMBÆ PARTES PENE JAM INTEGRE EXARATÆ SUNT. LATINA, DUCENTIS ET VIGINTI DUOBUS VOLUMINIBUS MOLE SUA STANS, DECEM ET CENTUM SUPRA MILLE FRANCIS VENIT: GRÆCA DUPLICI EDITIONE TYPIS MANDATA EST. PRIOR GRÆCUM TEXTUM UNA CUM VERSIONE LATINA LATERALI COMPLECTITUR, NOVEMQUE ET CENTUM VOLUMINA, PRO PRIMA SERIE GRÆCA, NON EXCEDIT. POSTERIOR AUTEM VERSIONEM LATINAM TANTUM EXHIBET, IDEOQUE INTRA QUINQUE ET QUINQUAGINTA VOLUMINA RETINETUR. SECUNDA SERIES GRÆCO-LATINA SEXAGINTA VOLUMINA PROBABILITER NON SUPERABIT; DUM HUJUS VERSIO MERE LATINA TRIGINTA VOLUMINIBUS ABSOLVETUR. UNUMQUODQUE VOLUMEN GRÆCO-LATINUM OCTO, UNUMQUODQUE MERE LATINUM QUINQUE FRANCIS SOLUMMODO EMITUR : UTROBIQUE VERO, UT PRETII HUJUS BENEFICIO FRUATUR EMPTOR, COLLECTIONEM INTEGRAM, SIVE LATINAM, SIVE GRÆCAM COMPARET NECESSE ERIT; SECUS ENIM CUJUSQUE VOLUMINIS AMPLITUDINEM NECNON ET DIFFICULTATES VARIA PRETIA ÆQUABUNT. ATTAMEN, SI QUIS EMAT INTEGRE ET SEORSIM COLLECTIONEM GRÆCO-LATINAM, VEL EAMDEM EX GRÆCO LATINE VERSAM, TUM QUODQUE VOLUMEN PRO NOVEM VEL PRO SEX FRANCIS SOLUM OBTINEBIT. ISTÆ CONDITIONES FUTURIS PATROLOGIÆ SERIEBUS APPLICANTUR, SI TEMPUS EAS TYPIS MANDANDI NON NOBIS DEEST.

PATROLOGIÆ GRÆCÆ TOMUS CXXX.

EUTHYMIUS ZIGABENUS.

EXCUDEBATUR ET VENIT APUD J.-P. MIGNE, EDITOREM,
IN VIA DICTA *THIBAUD*, OLIM *D'AMBOISE*, PROPE PORTAM LUTETIÆ PARISIORUM VULGO *D'ENFER* NOMINATAM, SEU *PETIT-MONTROUGE*, NUNC VERO INTRA MŒNIA PARISINA.

1865

PATROLOGIÆ
CURSUS COMPLETUS,

SEU BIBLIOTHECA UNIVERSALIS, INTEGRA, UNIFORMIS, COMMODA, ŒCONOMICA,

OMNIUM SS. PATRUM, DOCTORUM SCRIPTORUMQUE ECCLESIASTICORUM,

SIVE LATINORUM, SIVE GRÆCORUM,

QUI AB ÆVO APOSTOLICO AD ÆTATEM INNOCENTII III (ANN. 1216) PRO LATINIS, ET AD CONCILII FLORENTINI TEMPORA (ANN. 1439) PRO GRÆCIS FLORUERUNT :

RECUSIO CHRONOLOGICA

OMNIUM QUÆ EXSTITERE MONUMENTORUM CATHOLICÆ TRADITIONIS PER QUINDECIM PRIORA ECCLESIÆ SÆCULA,

JUXTA EDITIONES ACCURATISSIMAS, INTER SE CUMQUE NONNULLIS CODICIBUS MANUSCRIPTIS COLLATAS, PERQUAM DILIGENTER CASTIGATA; DISSERTATIONIBUS, COMMENTARIIS VARIISQUE LECTIONIBUS CONTINENTER ILLUSTRATA; OMNIBUS OPERIBUS POST AMPLISSIMAS EDITIONES QUÆ TRIBUS NOVISSIMIS SÆCULIS DEBENTUR ABSOLUTAS, DETECTIS AUCTA; INDICIBUS ORDINARIIS VEL ETIAM ANALYTICIS, SINGULOS SIVE TOMOS, SIVE AUCTORES ALICUJUS MOMENTI SUBSEQUENTIBUS, DONATA; CAPITULIS INTRA IPSUM TEXTUM RITE DISPOSITIS, NECNON ET TITULIS SINGULARUM PAGINARUM MARGINEM SUPERIOREM DISTINGUENTIBUS SUBJECTAMQUE MATERIAM SIGNIFICANTIBUS, ADORNATA; OPERIBUS CUM DUBIIS, TUM APOCRYPHIS, ALIQUA VERO AUCTORITATE IN ORDINE AD TRADITIONEM ECCLESIASTICAM POLLENTIBUS, AMPLIFICATA;

DUCENTIS ET QUADRAGINTA INDICIBUS SUB OMNI RESPECTU, SCILICET, ALPHABETICO, CHRONOLOGICO, ANALYTICO, ANALOGICO, STATISTICO, SYNTHETICO, ETC., RES ET AUCTORES EXHIBENTIBUS, ITA UT NON SOLUM STUDIOSO, SED NEGOTIIS IMPLICATO, ET SI FORTE SINT, PIGRIS ETIAM ET IMPERITIS PATEANT OMNES SS. PATRES, LOCUPLETATA; SED PRÆSERTIM DUOBUS IMMENSIS ET GENERALIBUS INDICIBUS, ALTERO SCILICET RERUM, QUO CONSULTO, QUIDQUID NON SOLUM TALIS TALISVE PATER, VERUM ETIAM UNUSQUISQUE PATRUM, ABSQUE ULLA EXCEPTIONE, IN QUODLIBET THEMA SCRIPSERIT, UNO INTUITU CONSPICIATUR; ALTERO SCRIPTURÆ SACRÆ, EX QUO LECTORI COMPERIRE SIT OBVIUM QUINAM PATRES ET IN QUIBUS OPERUM SUORUM LOCIS SINGULOS SINGULORUM LIBRORUM SCRIPTURÆ VERSUS, A PRIMO GENESEOS USQUE AD NOVISSIMUM APOCALYPSIS, COMMENTATI SINT;

EDITIO ACCURATISSIMA, CÆTERISQUE OMNIBUS FACILE ANTEPONENDA, SI PERPENDANTUR CHARACTERUM NITIDITAS, CHARTÆ QUALITAS, INTEGRITAS TEXTUS, CORRECTIONIS PERFECTIO, OPERUM RECUSORUM TUM VARIETAS TUM NUMERUS, FORMA VOLUMINUM PERQUAM COMMODA SIBIQUE IN TOTO PATROLOGIÆ DECURSU CONSTANTER SIMILIS, PRETII EXIGUITAS, PRÆSERTIMQUE ISTA COLLECTIO UNA, METHODICA ET CHRONOLOGICA, SEXCENTORUM FRAGMENTORUM OPUSCULORUMQUE HACTENUS HIC ILLIC SPARSORUM, VEL ETIAM INEDITORUM, PRIMUM AUTEM IN NOSTRA BIBLIOTHECA, EX OPERIBUS ET MSS. AD OMNES ÆTATES, LOCOS, LINGUAS FORMASQUE PERTINENTIBUS, COADUNATORUM, ET EX INNUMERIS OPERIBUS TRADITIONEM CATHOLICAM CONFLANTIBUS, OPUS UNICUM MIRABILITER EFFICIENTIUM.

SERIES GRÆCA POSTERIOR,

IN QUA PRODEUNT PATRES, DOCTORES SCRIPTORESQUE ECCLESIÆ GRÆCÆ AB ÆVO PHOTIANO USQUE AD CONCILII FLORENTINI TEMPORA, ET AMPLIUS;

ACCURANTE J.-P. MIGNE,

Bibliothecæ cleri universæ,

SIVE CURSUUM COMPLETORUM IN SINGULOS SCIENTIÆ ECCLESIASTICÆ RAMOS EDITORE.

PATROLOGIA, AD INSTAR IPSIUS ECCLESIÆ, IN DUAS PARTES DIVIDITUR, ALIAM NEMPE LATINAM, ALIAM GRÆCO-LATINAM. AMBÆ PARTES PENE JAM INTEGRE EXARATÆ SUNT. LATINA, DUCENTIS ET VIGINTI DUOBUS VOLUMINIBUS MOLE SUA STANS, DECEM ET CENTUM SUPRA MILLE FRANCIS VENIT : GRÆCA DUPLICI EDITIONE TYPIS MANDATA EST. PRIOR GRÆCUM TEXTUM UNA CUM VERSIONE LATINA LATERALI COMPLECTITUR, NOVEMQUE ET CENTUM VOLUMINA, PRO PRIMA SERIE GRÆCA, NON EXCEDIT. POSTERIOR AUTEM VERSIONEM LATINAM TANTUM EXHIBET, IDEOQUE INTRA QUINQUE ET QUINQUAGINTA VOLUMINA RETINETUR. SECUNDA SERIES GRÆCO-LATINA SEXAGINTA VOLUMINA PROBABILITER NON SUPERABIT; DUM HUJUS VERSIO MERE LATINA TRIGINTA VOLUMINIBUS ABSOLVETUR. UNUMQUODQUE VOLUMEN GRÆCO-LATINUM OCTO, UNUMQUODQUE MERE LATINUM QUINQUE FRANCIS SOLUMMODO EMITUR : UTROBIQUE VERO, UT PRETII HUJUS BENEFICIO FRUATUR EMPTOR, COLLECTIONEM INTEGRAM, SIVE LATINAM, SIVE GRÆCAM COMPARET NECESSE ERIT; SECUS ENIM CUJUSQUE VOLUMINIS AMPLITUDINEM NECNON ET DIFFICULTATES VARIA PRETIA ÆQUABUNT. ATTAMEN, SI QUIS EMAT INTEGRE ET SEORSIM COLLECTIONEM GRÆCO-LATINAM, VEL EAMDEM EX GRÆCO LATINE VERSAM, TUM QUODQUE VOLUMEN PRO NOVEM VEL PRO SEX FRANCIS SOLUM OBTINEBIT. ISTÆ CONDITIONES FUTURIS PATROLOGIÆ SERIEBUS APPLICANTUR, SI TEMPUS EAS TYPIS MANDANDI NON NOBIS DEEST.

PATROLOGIÆ GRÆCÆ TOMUS CXXX.

EUTHYMIUS ZIGABENUS.

EXCUDEBATUR ET VENIT APUD J.-P. MIGNE EDITOREM,
IN VIA DICTA *THIBAUD*, OLIM *D'AMBOISE*, PROPE PORTAM LUTETIÆ PARISIORUM VULGO *D'ENFER* NOMINATAM, SEU *PETIT-MONTROUGE*, NUNC VERO INTRA MŒNIA PARISINA.

1865

TRADITIO CATHOLICA.

SÆCULUM XII. ANNUS 1122.

ΕΥΘΥΜΙΟΥ

ΤΟΥ ΖΙΓΑΒΗΝΟΥ

ΤΑ ΕΥΡΙΣΚΟΜΕΝΑ ΠΑΝΤΑ.

EUTHYMII

ZIGABENI

OPERA QUÆ REPERIRI POTUERUNT OMNIA

JUXTA VARIAS EDITIONES

LIPSIENSEM NEMPE CHRIST. FRID. MATTHÆI, ANTHIMI TERGOBYSTEN SEM, ANT. BONGIOVANNI VENETAM, NICOLAI FOGGINII ROMANAM,

TYPIS REPETITA,

ACCURANTE ET DENUO RECOGNOSCENTE J.-P. MIGNE,

BIBLIOTHECÆ CLERI UNIVERSÆ,

SIVE

CURSUUM COMPLETORUM IN SINGULOS SCIENTIÆ ECCLESIASTICÆ RAMOS EDITORE.

TOMUS TERTIUS.

VENEUNT QUATUOR VOLUMINA 42 FRANCIS GALLICIS.

EXCUDEBATUR ET VENIT APUD J.-P. MIGNE EDITOREM,
IN VIA DICTA *THIBAUD*, OLIM *D'AMBOISE*, PROPE PORTAM LUTETIÆ PARISIORUM VULGO *D'ENFER* NOMINATAM, SEU *PETIT-MONTROUGE*, NUNC VERO INTRA MŒNIA PARISINA.

1865

TRADITIO CATHOLICA.

SÆCULUM XII, ANNUS 1122.

ELENCHUS

AUCTORUM ET OPERUM QUI IN HOC TOMO CXXX CONTINENTUR

EUTHYMIUS ZIGABENUS.

Panoplia dogmatica ad Alexium Comnenum, Græce ex editione Tergobystensi anni 1610, cum supplementis Chr. Frid. Matthæi et Frid. Sylburgii; Latine ex interpretatione Francisci Zini, a nobis, ubi opus fuit, suppleta. col. 9

Parisiis. — Ex Typis J.-P. MIGNE

ΠΑΝΟΠΛΙΑ ΔΟΓΜΑΤΙΚΗ

ΑΛΕΞΙΟΥ ΒΑΣΙΛΕΩΣ ΤΟΥ ΚΟΜΝΗΝΟΥ, *

ΠΕΡΙΕΧΟΥΣΑ ΕΝ ΣΥΝΟΨΕΙ

ΤΑ ΤΟΙΣ ΜΑΚΑΡΙΟΙΣ ΚΑΙ ΘΕΟΦΟΡΟΙΣ ΠΑΤΡΑΣΙ ΣΥΓΓΡΑΦΕΝΤΑ, ΕΙΣ ΤΑΞΙΝ ΔΕ ΚΑΙ ΔΙΕΣΚΕΜΜΕΝΗΝ ΑΡΜΟΝΙΑΝ ΠΑΡΑ ΕΥΘΥΜΙΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΖΙΓΑΔΗΝΟΥ ΤΕΘΕΝΤΑ

Ἐπὶ ἀνατροπῇ καὶ καταφθορᾷ τῶν δυσσεβεστάτων δογμάτων τε καὶ διδαγμάτων τῶν ἀθέων αἱρεσιαρχῶν, τῶν κακῶς κατὰ τῆς ἱερᾶς αὐτῶν θεολογίας λυττησάντων,

Ἀφιερωθεῖσα

Ἐπὶ τοῦ εὐσεβεστάτου, ὑψηλοτάτου, καὶ θεοστέπτου αὐθέντου καὶ ἡγεμόνος πάσης Οὐγγροβλαχίας κυρίου κυρίου Ἰωάννου Κωνσταντίνου Μπασσαράμπα Βοεβόδα τοῦ Μπραγκοβάνου,

Τῷ ἐκλαμπροτάτῳ καὶ σοφωτάτῳ υἱῷ αὐτοῦ κυρίῳ κυρίῳ Στεφάνῳ Βοεβόδᾳ τῷ Μπραγκοβάνῳ,

Παρὰ τοῦ πανιερωτάτου καὶ λογιωτάτου μητροπολίτου Δρύστρας κυρίου κυρίου Ἀθανασίου, Οὗ καὶ τοῖς ἀναλώμασι νῦν πρῶτον τετύπωται

Παρὰ τῷ πανιερωτάτῳ, λογιωτάτῳ καὶ θεοπροβλήτῳ μητροπολίτῃ Οὐγγροβλαχίας κυρίῳ κυρίῳ Ἀνθίμῳ, τῷ ἐξ Ἰβηρίας,

Ἐπιμελείᾳ καὶ διορθώσει Μητροφάνους ἱερομονάχου Γρηγορᾶ τοῦ ἐκ Δωδώνης.

Ἐν τῇ ἁγιωτάτῃ Μητροπόλει τῇ ἐν τῷ τῆς Οὐγγροβλαχίας Τεογοβύστῳ,

Ἐν ἔτει ἀπὸ θεογονίας χιλιοστῷ ἑπτακοσιοστῷ δεκάτῳ, κατὰ μῆνα Μάϊον *.

Πρὸς τὸν ἐκλαμπρότατον, εὐσεβέστατον καὶ γαληνότατον αὐθέντην, καὶ ἡγεμόνα πάσης Οὐγγροβλαχίας Κύριον, Κύριον, Ἰωάννην Κωνσταντῖνον Βασσαράβαν Βοεβόδαν τὸν Μπραγκοβᾶνον.

Ἡγεμόνων κλέος, εὐσεβέων αὔχημά γε θεῖον,
Κωνσταντῖνε Μυσῶν κοίρανε, φρουρὲ νόμων
Ἀντωπῆσαί νυ τίς ποτε αἷς ἀρεταῖς περ ἱκάνοι;
Οὐ ἔπι πὰν ἀτρεκῶς εἰς φάος ἦλθε καλόν.
Εἰς ἐτέων ἀμέλει σε Θεὸς φρουροίη ἑλίξεις
Θώκῳ εἰν σφετέρῳ ἱδρυμένον πολέας.

ἈΝΤΩΝΙΟΣ ὁ διδάσκαλος τῆς ἐν Κωνσταντινουπόλει σχολῆς, καὶ λογοθέτης γενικοῦ τῆς Μεγάλης Ἐκκλησίας.

Ex Chr. Frid. Matthæi Proleg. ad Euthymium in Evang.

* Codices Mosquenses *Panopliæ dogmaticæ* recensuit Christianus Fridericus Matthæi in Præfatione ad Euthymii Commentarios in Evangelia et supplementa quædam addidit. Hanc recensionem subjicimus; supplementa autem, indicato fonte, suo loco reponemus.

De codice I, seu typographei synodalis X, membranaceo, sæc. XII, in-fol.

Incipit codex a versibus, Ἡ βίβλος αὕτη τοῦ κρατίστου δεσπότου usque ad ἀπτοήτως ἐξίτω. Hi versus leguntur in edit. Tergobyst. p. 7, 8 (col. 18), ibique Euthymio tribuuntur. Hic vero in codice in margine a manu prima legitur τοῦ Παμφίλου, de quo infra monetur.

Post ista legitur, Πρόγραμμα βίβλου — ἠμφιεσμένους. Vide edit. p. 8. Hi versus in codice tribuuntur Euthymio monacho.

Deinceps, ut in edito, legitur, Ὡς ηὐδόκησεν

A πιπτέτω φθόνος, quæ eidem Euthymio tribuuntur.

Post ista in cod. fol. 3 et 4 legitur Index libri, quem hic reddidi.

Τῶν δύο βιβλίων τῆς δογματικῆς πανοπλίας τὸ πρῶτον.

Τίτλοι τοῦ πρώτου βιβλίου ἕνδεκα.

Προοίμιον· κατὰ Ἐπικουρείων· ἔτι κατὰ τῶν αὐτῶν· ἔτι κατὰ τῶν αὐτῶν· κατὰ τῶν ἄλλων Ἑλλήνων· ἔτι κατὰ τῶν αὐτῶν· ἔτι κατὰ τῶν αὐτῶν· ἔτι κατὰ τῶν αὐτῶν.

Τίτλος πρῶτος· συλλογιστικὴ ἀπόδειξις, ὅτι εἷς ἐστι Θεὸς, καὶ ὅτι καὶ Λόγον ἔχει ὁμοούσιον

ΤΩ ΕΚΛΑΜΠΡΟΤΑΤΩ ΚΑΙ ΕΝΔΟΞΟΤΑΤΩ ΚΥΡΙΩ

Στεφάνῳ Βοεβόδᾳ τῷ Μπραγκοβάνῳ.

Πολλῶν μοι καὶ δυσπαραιτήτων χρεῶν λύσιν τὴν περὶ ταυτηνὶ τὴν βίβλον σπουδὴν οἴσειν σκεψάμενος, ἐπιβαλόμην μετὰ προθυμίας τῷ ἐγχειρήματι. Τὰ μὲν γάρ μοι τῆς πρὸς τοὺς ἀδελφοὺς ὀφειλομένης ἀγάπης, ἀποδείξεις διὰ τούτου δὴ παρασχόμενος ἔσομαι τοὔργου, οἷς ἔχω τούτους εὖ δρῶν, οὐκ ἐφικνουμένης μοι τῆς

Ex Chr. Frid. Matthæi Proleg. ad Euthymium in Evang.

αὐτῷ, καὶ Πνεῦμα ὁμοίως, ἅπερ εἰσὶν ὁ Υἱὸς A *καὶ τὸ Πνεῦμα τὸ ἅγιον.*

Τιτ. β'. Περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, διακεκριμένη ἅμα καὶ ἡνωμένη θεολογία.

Τιτ. γ'. Περὶ Θεοῦ κοινῶς, ἤτοι περὶ θεότητος. Δῆλον δὲ, ὅτι ὁ Θεὸν εἰπὼν, ἢ θεότητα, ἢ τὸ θεῖον, ἁπλῶς καὶ ἀπροσδιορίστως, τὰς τρεῖς ὑποστάσεις τῆς μιᾶς θεότητος ἐνέφηνε, τῇ μιᾷ τούτων προσηγορίᾳ.

Τιτ. δ'. Περὶ τοῦ ἀκατάληπτον εἶναι τὴν θείαν φύσιν.

Τιτ. ε'. Περὶ θεωνυμίας.

Τιτ. ς'. Περὶ τῆς θείας δημιουργίας.

Τιτ. ζ'. Περὶ τῆς θείας ἐνανθρωπήσεως.

Τιτ. η'. Κατὰ Ἑβραίων.

Τιτ. θ'. Κατὰ Σίμωνος τοῦ Σαμαρέως, κατὰ Μαρκίωνος τοῦ Ποντικοῦ, καὶ τοῦ Πέρσου Μάνεντος, καὶ τῶν Μανιχαίων.

Τιτ. ι'. Κατὰ Σαβελλιανῶν. B

Τιτ. ια'. Κατὰ Ἀρειανῶν τε καὶ Εὐνομιανῶν.

Post hunc Indicem leguntur versus Anonymi, quos, quia in edito non leguntur, hic ascripsi.

Πάλαι βασιλεὺς τῶν σοφῶν συνθεὶς λόγους,
Τῶν τῆς παλαιᾶς καὶ νέας μυστηπόλων,
Ἤδρασεν, ἐστήριξε τοὺς κλονουμένους,
Ἐπεστόμισε τὰ στίφη τῶν φληνάφων,
Τῶν ὡς ἀληθῶς ὑποφητῶν βελίαρ,
Λόγους προτείνων ἐκ θεογράφων βίβλων,
Καὶ συμπεραίνων ἀσφάλειαν δογμάτων.
Καὶ νῦν βασιλεὺς εὐσεβὴς, οὐ συγγράφων.
Μᾶλλον δὲ συγγράφουσιν οὐ κεχρημένος,
Ἀλλ' αὐτὸς αὐχῶν καρδίας ἐν πυξίδι,
Λόγους ἀκριβεῖς τῶν σοφῶν θεηγόρων,
Ὡς καὶ πᾶν ἄλλο τῶν ἀγαθῶν, πλουσίως
Ψυχῆς τε πλαξὶ καὶ φρενῶν κεύθει βάθει,
Καὶ τοῖς συνοῦσι καθεκάστην ἐκφέρων,
Καὶ διὰ τούτων τοὺς μακρὰν, τοὺς ἐγγύθεν, C
Ὀρθὰ φρονεῖν τε μυσταγωγῶν καὶ λέγειν,
Ἓν χεῖλος ἀνέδειξε τοὺς ἑνὸς φύλου,
Θεὶς δόγμα πᾶν ἔκφυλον ὡς πορρωτάτω,
Καὶ δόξαν εἰσφρήσασαν ἐξ ἀλλοθρόων.
Ἐκεῖνον, ὅστις, ἡ γραφὴ δείκνυσί σοι,
Καὶ τοῦτον, ὅστις, ἐξ ἐμῶν λόγων μάθε,
Παλαιολόγος Ἀνδρόνικος (*a*) αὐτάναξ,
Οὗ γνῶσις ἀσύγκριτος εἰς τὰ πρακτέα,
Οὗ γλῶττα θαυμάσιος εἰς τὰ λεκτέα,
Ὃν ἀγλαΐζει τῶν τρόπων ἡ χρηστότης,
Ὃν ἀρεταὶ κοσμοῦσιν ὑπὲρ τὸ στέφος,
Ὃς, συνελὼν εἴποιμι, καλῶν ἑστία,
Καὶ τῶν χαρίτων εὐπρεπὴς συνοικία.
Ἀλλὰ φυλάττοι τοῦτον εἰς μακροὺς χρόνους
Ὁ τῶν ἀγαθῶν παροχεύς τε καὶ φύλαξ,
Καὶ συμφυλάττοι τὸν πεφιλημένον γόνον,
Τὸν Μιχαὴλ, ἔρεισμα τῆς σκηπτουχίας,
Τὴν τῆς ἁπάσης καλλονὴν κραταρχίας.
Τὴν λαμπρὰν ὄντως ἐλπίδα ῥωμαΐδος,
Ὡς δόξα πατρὸς, Σολομῶν ὥς που γράφει, D
Οὗ δόξα Πατὴρ ἀγαθῶν πλουτῶν ἅπαν.
Ἐπὰν μεταστήσῃ σε τοῦδε τοῦ βίου,

Τὴν βασιλείαν οὐρανῶν δώη λάχος,
Καὶ συγκριθμήσε ι ἁγίων στίφει.

Post ista fol. 5, p. 2, in codice exhibentur pictæ imagines variorum Patrum in fundo aureo cum inscriptione Pamphili, cujus nomen in margine legitur. Ista autem et reliquæ inscriptiones, de quibus mox dico, scriptæ sunt minio et litteris quadratis.

Sanctorum imagines ita deinceps sequuntur: extremus ad manum sinistram stat Damascenus, post quem continuo stant Maximus, Chrysostomus, Cyrillus, Gregorius Theologus, Gregorius Nyssenus, Basilius, Athanasius, et extremus in margine ad manum dextram Dionysius, qui quasi dux est, proximusque Alexio imperatori, qui in pagina sequenti pictus est.

Epigramma ita se habet (sermo spectat ad imperatorem):

Εὖ σοι γένοιτο τῆς σοφῆς εὐβουλίας.
Πολλὴ χάρις σοι πρὸς Θεοῦ στεφηφόρε,
Ἀνθ' ὧν συνῆξας ὧδε τοὺς ἡμῶν λόγους,
Ἐκεῖ συναχθῇς παγγενεὶ σεσωσμένος.

Post ista fol. 6, p. 1, est imago Christi et Alexii Comneni cum hoc titulo.

Ὑμεῖς μὲν ἐσπείρατε, σεπτοὶ Πατέρες,
Ἐγὼ δὲ συνέλεξα τοὺς ὑμῶν κόπους,
Ἅμ' ἐκδυσωπῶν καὶ τὸ φῶς ὑμῶν ἔχειν,
Ὡς συγκομισθῶ πρὸς μονὰς οὐρανίους.

Fol. 6, p. 2, exhibetur Alexius stans ante Christum sedentem in solio. Inscriptio hæc est:

Πολλοὶ βασιλεῖς εἰργάσαντο δυνάμει
Σὺ δὲ ὑπερῆρας πάντας ἔργῳ καὶ λόγῳ.
Ἡ παγκρατής μου δεξιά σε κρατύνει,
Ἔκτεινε (*b*), βασιλεὺς, ζῶν αἰωνίως.

C Post ista fol. 7 legitur προοίμιον. Καὶ πάντα μὲν τὰ κατορθώματα usque ad καταρτίσωμεν τὸ ἡμέτερον, ubi primus titulus incipit. Vide edit. pag. 9.

Jam, quæ deinceps leguntur in codice, quæque cum edito conveniunt, silentio prætermisi, notatis tantum iis in quibus est dissimilitudo codicis et editionis Græcæ.

Fol. γ, pag. 1, col. b editionis, inter, ἀλλὰ καὶ Κύριος τὸ πνεῦμά ἐστιν et ἐπὶ τῆς ἁγίας Τριάδος, addit codex duo loca, quæ desunt etiam in codice ejusdem bibliothecæ num. 15 b, de quo mox exposui.

Primus locus est Athanasii, quem hic subjeci. Indicem habet: *Ἔτι περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, διακεκριμένη ἅμα καὶ ἡνωμένη θεολογία τοῦ μεγάλου Ἀθανασίου, καὶ ὅτι ἃ λέγουσιν αἱ θεῖαι Γραφαὶ περὶ τοῦ Πατρὸς, ταῦτά φασι πάλιν καὶ περὶ τοῦ Υἱοῦ καὶ περὶ τοῦ ἁγίου Πνεύματος, δεικνύουσαι μίαν τὴν ἐν τοῖς* D *τρισὶ θεότητα.*

Ἅπερ εἶπεν ὁ Πατὴρ πληροῖ τὰ πάντα, ἐδήλωσεν. *Locus exstat infra* (col. 49) *e regione interpretatio-*

(*a*) Andronicum I intelligit. Memoratur etiam Andronici II filius Michael. Fuerunt, qui opinarentur Euthymium æqualem fuisse Andronico juniori. Vide Fabric. *Bibl. Græc.* vol. VII. p. 475, 476 (*supra, Opp. Euthymii tom. I initio*).

(*b*) Intell. τὸν βίον.

δυνάμεως συμβάλλεσθαι τούτοις, οἷς γε τυγχάνω βουλόμενος. Οὐδὲ γὰρ λέληθά γ' ἀπαραιτήτως ἀεὶ τὴν πρὸς τὸ ὁμόφυλον ἀγάπην εἰσπραττόμενος, ἥτις δὴ μόνη ἡ ὀφειλὴ τέλος οὐκ ἐπίσταται, ὅσωπερ ἀποδίδοται μᾶλλον ὀφειλομένη, καὶ μακαριστοὺς ἀποφαίνουσα τοὺς περὶ ταύτην πονοῦντας. Τὰ δὲ καὶ παλαιὰν εὐχὴν ηὐγμένην μοι πρὸς Θεὸν ἐν καιρῷ λύσει τὸ πόνημα, ἐφ' οἷς δὴ καὶ τὴν ὑμετέραν ἐκλαμπρότητα, ἐκλαμπρότατε, καὶ θεοσεβέστατε κύριε Στέφανε Μπραγκοβᾶνε, υἱὲ ἐν πνεύματι περιπόθητε τῆς ἡμῶν ταπεινότητος, δωρησάμενος ἔσομαι, δώρῳ, ὥς γ' ἐμαυτὸν πείθω, ἄγαν κεχαρισμένῳ. Τί δ' ἂν ἄλλο σου τῇ οἰκείᾳ διαθέσει προσενέγκοιμι θυμηρέστερον, ἢ τῇ θεοφιλεῖ, καὶ εὐσεβεῖ προαιρέσει προσφιλέστερόν τε ἅμα καὶ καταλληλότερον; Τίνι δ' ἂν ἑτέρῳ μοι τὴν πρὸς Θεὸν εὐχὴν ἀφοσιωσαίμην κρείττονι, ναὶ δὴ καὶ τὴν πρὸς τοὺς ἀδελφοὺς ἀγάπην καταφανῆ ποιησαίμην ἢ ταύτην εἰς φῶς ἀγαγὼν, καὶ κοινὴν ἅπασι ποιησάμενος τὴν ὀνησιμωτάτην βίβλον, *Δογματικὴν Πανοπλίαν* οὖσάν τε καὶ προσφυέστατα κεκλημένην, κατὰ δὲ τῆς αἱρετικῆς καὶ ἀντιθέου παρατάξεως ἀγωνιζομένην; Τοῦτο γὰρ αὐτῇ ἡ ὑπόθεσις, ὡς αὐτὴ προαναφωνεῖ ἐκ προοιμίων ἡ ὑπόσχεσις, παριστῶσα τῆς βίβλου τὴν τιμιότητα. Ἥτις ἐκπεπόνητο μὲν πάλαι ἐπὶ τῶν Ἀλεξίου Κομνηνοῦ τοῦ αὐτοκράτορος χρόνων, μοναχῷ τινι, ᾧπερ Εὐθύμιος Ζυγαδηνὸς ἡ κλῆσις, ἐπιτάγματι τοῦ τηνικαῦτα τοῖς οἴαξι τῆς Ῥωμαϊκῆς ἀρχῆς ἐφεδρεύοντος, τοῦ προῤῥηθέντος φημὶ κυροῦ Ἀλεξίου, ἀνδρὶ τοῖς κατ' ἐκεῖνο χρόνου δι' ἀρετὴν, καὶ τὴν ἄλλην τοῦ τρόπου λαμπρότητα γνωρίμῳ, ἀλλὰ καὶ τῇ θύραθεν οὐχ ἧττον σεμνυνομένῳ παιδείᾳ, ῥητορικῆς τε οὐκ ἀμελετήτως ἔχοντι· θεολογίαν δὲ, ὅση περὶ τὰ τῆς εὐσεβείας ἐνασχολεῖται δόγματα, καλῶς ἐξηκριβωκότι, καὶ τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσιν ἐναμβρυνομένῳ, ὧν δὴ πλείους παράγειν ἀπειπάμενοι μάρτυρας, ἀξιόχρεων εἰς πίστιν τοῦ λόγου ἀποχρῆν ἡγησάμεθα αὐτὴν τὴν φιλτάτην τοῦ αὐτοκράτορος Ἀλεξίου θυγατέρα, Ἄνναν φημὶ τὴν Κομνηνὴν, ἥτις ἐν τῷ κατ' αὐτὴν ἱστορικῷ ὑπομνήματι ταῦτα προσμαρτύρεται τἀνδρὶ, ἐπαίνους οὐκ ὀλίγους αὐτῷ ἐπιμετροῦσα, καὶ αὐτὴν δὴ τὸν αὐτοκράτορα, ἀποδεξάμενον δηλονότι τὸ πόνημα, ἀποφαινομένη ἐπιθεῖναι τῇ βίβλῳ, ἤδη κατ' ἐπιταγὴν αὐτοῦ ἐξειργασμένῃ τὴν κλῆσιν, *Δογματικὴν πανοπλίαν*, προσειρημένην εἰκότως. Ἐνίστησι γάρ τοι ἐν ταύτῃ, καὶ σὺν Θεῷ συναιχμαζομένῳ καρτερὰν συῤῥήγνυσι πρὸς τὴν τῶν αἱρετικῶν φάλαγγα μάχην, καὶ τούτους γενναίως μάλα τροποῦται τῇ παντευχίᾳ τῶν λόγων, ἣν ἐκ πάντων τῶν τῆς Ἀνατολικῆς Ἐκκλησίας θεοφόρων Πατέρων ἄριστα συνερανισάμενος ὁ τῆς ὁσίας μνήμης Πατὴρ ἐκεῖνος ἐχαλκεύσατο, καὶ πολλῷ πόνῳ μετὰ τοῦ πνεύματος ἐξυφηνάμενος, τοῖς τῆς εὐσεβείας προὔθετο στρατιώταις, ἐπαλείφων αὐτοὺς καὶ ἐξοπλίζων διὰ ταύτης κατὰ τῶν ἀντιπάλων τῆς πίστεως, τοῖς ὑπὲρ τοῦ Θεοῦ πολεμοῦσιν αὐτὴν τὴν θείαν χεῖρα συνεργὸν καὶ συναγωνιζομένην ἐπαγγελλόμενος, καὶ θαῤῥεῖν πρὸς τὸν ἀγῶνα διακελευόμενος μετὰ τοσούτων ὑποδυομένοις τὸν ὑπὲρ εὐσεβείας πόλεμον. Ἐλελήθει μέντοι γε τέως, καὶ ἐν ἀφανεῖ που κειμένη ἠγνοεῖτο παρ' ἀξίαν ἡ οὕτω χρησίμη τε καὶ παγκάλη πραγματεία, οὐκ οἶδ' ὅπως ὁ θησαυρὸς τῆς Ἐκκλησίας ἀμεληθεῖσά τε καὶ παροραθεῖσα, καὶ τὴν ἐσχάτην ἀπειλοῦσα καταφθορὰν, ἣν μή τις φθὰς τῆς τοῦ Πανδαμάτορος ἐξαρπάσειε ῥύμης, καὶ ἀνασώσηται τὴν ὀλίγου δεῖν ἐξίτηλον γεγονυῖαν ἀρίστην Χριστιανῶν παισὶ Πανοπλίαν. Ἀνθ' ὧν οἷς περ φθὰς εἰρήκειν κινούμενος, τὴν δυνατὴν τέως κατεθέμην σπουδὴν ὅπως τύποις ἐκδοθὲν τουτὶ τὸ πολυωφελέστατον πόνημα, προῖκα τοῖς ὀρθοδοξίας τροφίμοις διαδοθῇ εἰς ἀσφάλειαν μὲν καὶ ἀποτροπὴν τῆς ἀπὸ τῶν αἱρέσεων λύμης, εἰς μνημόσυνον δὲ τῆς ἐμῆς ταπεινότητος, καὶ τῷ κοινῷ τῆς Ἐκκλησίας πληρώματι ἡ πανευχία τῆς τῶν εὐαγῶν τῆς καθ' ἡμᾶς Ἐκκλησίας Πατέρων διδασκαλίας χορηγηθῇ, ἵνα τοῖς αἱρουμένοις ἀντικαθίστασθαι πρὸς τοὺς ἑτεροδοξοῦντας ῥαστώνη εἴη πρὸς τὴν ἐκπλήρωσιν τοῦ βουλήματος, οἷον ἐξ ἱεροῦ τινος ταμιείου τὰ κατὰ πάσης αἱρετικῆς κακομυθίας ἀντίδοτα προφέρουσι, καὶ ἐξ ἑτοίμου ἀποχρωμένοις πρὸς ἄμυναν. Οὐ γὰρ κατὰ τὴν μυθικὴν Ἡφαίστου Ἀχιλλεῖ πονηθεῖσαν ἀσπίδα, ἀλλ' οὐρανοχάλκευτον πανοπλίαν κατὰ πάσης αἱρετικῆς κακονοίας ἡ προκειμένη βίβλος προτίθησι, καὶ ἀήττητον ἀποφαίνει τὸν μετ' αὐτῆς κατὰ τῶν ἀντιθέων λήρων στρατευόμενον.

Ex Chr. Frid. Matthæi Proleg. ad Euthymium in Evang.

nis Francisci Zini, apud quem jam Latine legebatur. A

Ἔτι περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, διακεκριμένη ἅμα καὶ ἡνωμένη θεολογία τοῦ μεγάλου Βασιλείου, ἐκ τοῦ λόγου τοῦ περὶ πίστεως.

Διαρθρωμῶν τὰ σύμπαντα *ad* καὶ μηδένα καιρὸν ἡμᾶς ἀπολιμπάνειν. *Vide infra col. 83.*

Sequuntur scholia nonnulla ad Græcum textum quæ suo loco addidimus.

De codice 2 seu bibliothecæ ejusdem XV b, fol., in charta bombycina.

In hoc codice multa omissa sunt, quæ leguntur in editione, multa item addita, quæ curiosius tractanda sunt a futuro editore. Est autem hic codex ideo notabilis, quod tres titulos habet, qui in plerisque codicibus Græcis desunt, nimirum titulum XIX, titulum XX et titulum XXVIII. Horum ultimus est κατὰ Σαρακηνῶν, qui separatim (a) jam B est editus. Titulum autem XIX et XX hic ascripsimus.

(a) Vide Fabr. *Bibl. Græc.*, ubi supra.

ΤΙΤΛΟΣ ΙΘ'.

Κατὰ Ἀγνοητῶν, λεγόντων ἀγνοεῖν τὸν Υἱὸν καὶ Θεὸν τὴν ἡμέραν καὶ ὥραν τῆς παγκοσμίου συντελείας, ὡς ἐλάττω τοῦ Πατρός. Τοῦ μεγάλου Βασιλείου.

Εἰς τὴν γνῶσιν πάντων, *et cætera quæ vide in textu ad titulum XIX.*

Τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου, ἐκ τοῦ περὶ Υἱοῦ δευτέρου λόγου.

Δέκατόν ἐστιν αὐτοῖς ἡ ἄγνοια *ad* πλὴν τῆς πρώτης φύσεως. *Vide ad eumdem titulum.*

Τοῦ ἁγίου Κυρίλλου.

Εἰ γὰρ τὰ ἐσόμενα πάντα *ad* τὴν γνῶσιν τῶν ἐσομένων. *Vide ibid.*

ΤΙΤΛΟΣ Κ'.

Κατὰ Ὠριγένους.

Ἀσώματον πρὸ τῆς παραβάσεως *ad* διὸ καὶ ἐνταῦθα τὰ περὶ αὐτοῦ τέθειται. *Vide in textu ad titulum XX.*

Τὸ τοιοῦτο τοιγαροῦν καὶ τηλικοῦτο τῆς εὐσεβείας κειμήλιον τίνι δ' ἂν ἑτέρῳ προσφωνήσαιμι δικαιότερον, ἐκλαμπρότατε, καὶ μεγαλεπιφανέστατε κύριε Στέφανε Μπραγκοβάνε, πατρὸς ἀγαθοῦ χρηστὸν γέννημα, καὶ τῆς ἐκείνου ἀρετῆς καὶ χρηστότητος ἐκμαγεῖον, καὶ γνήσιον ἀποσφράγισμα, ἢ τῇ σῇ ἐκλαμπρότητι, ἥτις πᾶσαν μὲν τὴν ἔξω λαμπρότητα, τὴν ἀπὸ τοῦ θεοστέπτου κράτους τοῦ ἐκλαμπροτάτου καὶ γαληνοτάτου πατρός σου κυρίου κυρίου Ἰωάννου Κωνσταντίνου Βασσαράβα βοεβόδα καὶ ἡγεμόνος πάσης Οὐγγροβλαχίας ἐπιῤῥέουσαν, καὶ ἀφθόνως μετοχετευομένην, μικρὸν καὶ ἀσθενὲς πρός γε τὴν ἀκροτάτην εὐδοξίαν σὺν τῷ ἀληθεῖ λόγῳ ἡγησαμένη, καὶ τοῖς ἀγεννέσι μᾶλλον οἰηθεῖσα προσήκειν ἀλλοτρίοις καλοῖς σεμνύνεσθαι, καὶ ἀπορίᾳ οἰκείων πρὸς τὴν τῶν Πατέρων, ὡς πρὸς τὸ νόθον, καὶ τεχνητὸν ἔρευθος αἱ τοῦ ἐμφύτου χηρεύουσαι, καταφεύγειν ἀρετὴν, καὶ λαμπρότητα, οὕτως ἑαυτὴν ἐξεπόνησε καὶ διεκόσμησε πάσῃ μὲν ἀρετῆς ἰδέᾳ, πάσῃ δὲ παιδείᾳ καὶ ὡς συνελόντι πᾶσιν, οἷς κοσμεῖσθαι καὶ οἷς ὁ ἀληθὴς χαρακτηρίζεσθαι πέφυκεν ἄνθρωπος, ὥστε ἄγαλμα δή τι τῆς ἀρετῆς ἔμπνουν, καὶ ἀγαθοῦ παντὸς ἔμβιον ἄγαλμα πρόκειται. Ἀνθ' ὅτου καὶ τὸ μὲν αὐτῆς σῶμα οἱ Μυσίας ὅροι περιειλήφασι, τὸ δὲ τῆς ἀρετῆς καὶ καλοκαγαθίας κλέος περιθεῖ τὴν ὑφ' ἥλιον, καὶ περιηχεῖ τοῖς ἐπαίνοις τῆς σοφωτάτης σου ἐκλαμπρότητος. Ἥτις ἐν τηλικαύτῃ ἀφθονίᾳ τῶν ἔξω, καὶ εὐῤῥοίᾳ πραγμάτων οὐ παρεῖδεν ἑαυτὴν ὑποσυρομένην εἰς ἃ πέφυκεν ἐλεεινῶς ὑφέλκειν ἐξυβρίζων ὁ πλοῦτος, ἀλλὰ γενναίῳ καὶ ἐῤῥωμένῳ φρονήματι ὅλη γ' ὑπεράνω τῆς κατ' αὐτὸν βίας γενομένη, εἰς σκέψιν ἑαυτὴν καθῆκε, καὶ διηκριβώσατο νουνεχῶς ἅττα κοσμεῖν οἶδε τὸν ἄνθρωπον. Διὸ δὴ παιδείᾳ σαυτὸν ἐκ νέου τῇ ἐλευθερίῳ ὑποβαλὼν, διττὴν ἐκεῖθεν τῇ σαυτοῦ ψυχῇ πηγὴν ἐφειλκύσω, τοῖς τε κατὰ θεωρίαν καὶ τοῖς ἐν πράξει καλῶς ἐνησχολημένος. Διὸ καὶ εὐδοκιμεῖς μὲν ἐν συνεδρίῳ σοφῶν, οἷς συνδιημερεύειν καὶ συμπαννυχίζειν τὰ πλεῖστα φιλεῖς, ὅσου τῆς πρὸς φιλοσοφίαν οἰκειώσεως δεῖγμα λαμπρότατον, ὁπότε τοῖς ὁμοίοις χαίρειν ἕκαστον τοῖς σοφοῖς γνωματεύεται, αὔξεις δὲ διὰ σαυτοῦ τὸν κατάλογον τῶν κατὰ τὴν ἐν πράξει ἀρετὴν εὐδοκίμων, εὐαρίθμων ἄγαν φέρων τὰ δεύτερα, καὶ τοῖς πρωτεύουσι κατ' ἐκείνην διαμιλλώμενος, ὥστε με οὐκ εἰς μακρὰν σε πάντας ἐᾶσαι κατόπιν τῇ δόξῃ τῶν κατορθουμένων θαῤῥοῦντα διατείνεσθαι, εἴγε τὰ φθάσαντα τῶν ἐσομένων ἀσφαλέστατα τεκμήρια πέφυκεν. Ἀλλὰ τούτων μὲν ἄλλοι, καὶ οἷς ἔργον ἐγκώμια πλέκειν τοὺς ἐπαίνους φιλοτεχνούντων. Ἐγὼ δ' ὃ τῆς ὑμετέρας ἐνδοξότητος διαφερόντως ἀποδέχομαί τε καὶ ἄγαμαι σιγῇ παραδραμεῖν οὐκ ἀνέχομαι, ἀλλὰ καὶ ὡς ἔχω δυνάμεως ἕως ὑπὲρ γῆς εἴην διαθρυλλῶν καὶ κηρύττων μετά γε θαύματος οὐ παύσομαι. Πῶς γὰρ οὐκ ἂν λήθην ἢ φθόνον ὤφλω δικαίως, ὃ γε διὰ πλείστων πέπεισμαι μὴ προτιθεὶς, μηδὲ δημοσιεύων, ἀποστερῶν δὲ τῇ ἀκαίρῳ σιγῇ τῆς ἐκ τούτου ὠφελείας τούς γε εὐγνώμονας, οἷς ὑπέκκαυμα γίγνεσθαι φιλοῦσι πρὸς τὰ βελτίω τῶν ἀγαθῶν ἔργων οἱ ἔπαινοι; Εἰ δὲ τὰ τῶν ἄλλων σπινθῆρος χρείαν συμβάλλοιτο, πῶς οὐχὶ πυρσὸν ἐν αὐτοῖς ἀρετῆς ἀνακαύσει τοῦ ἐν σοὶ κατ' ἐξοχὴν ἐνυπάρχοντος τὸ διήγημα; Οὗπερ οὐδένας οἶμαί γ' ἐς τόδε διατελεῖν ἀνηκόους, πλὴν εἰ μή τις εἴη ἀνέραστος τῶν καλῶν καὶ ὀλίγωρος. Τίνα γὰρ ἂν καὶ λήσειεν ὁ παρ' αὐτῇ θερμὸς καὶ διάπυρος ὑπὲρ εὐσεβείας ζῆλος, καὶ ὡς μετὰ πολλῆς καὶ διακαοῦς προθυμίας ὑπεραγωνίζῃ καὶ προασπίζεις τῶν ὀρθῶν, καὶ πατρίων δογμάτων, στρατείαν ταύτην ἀρίστην τῷ Χριστῷ στρατευόμενος, καὶ προπολεμῶν τῆς ὀρθοδοξίας μετὰ πολλῆς καὶ καρτερικῆς τῆς ἐνστάσεως ἣ πύλαις ᾅδου κατὰ τὴν ἀψευδῆ τοῦ Σωτῆρος ἐπαγγελίαν οὐδέποτε κατισχυθήσεται, ὅσῳ πλέον πολεμεῖται μᾶλλον ἀκμάζουσα, καὶ ἐν τῇ ταπεινώσει αὐτῆς λαμπρυνομένη καὶ ἀναθάλλουσα; Διὰ ταῦτ' ἄρα κἀγὼ σοὶ τῷ θερμῷ ζηλωτῇ καὶ προμάχῳ τῶν τῆς ἀληθείας δογμάτων ταυτηνὶ φέρων προσφωνῶ τὴν δογματικὴν Πανοπλίαν, ὅπως τεθωρακισμένος τῇ τοῦ Πνεύματος χάριτι, ῥωμαλεώτερον ἀντιπαρατάττῃ τὸ ἀπὸ τοῦδε τοῖς ἀντιλέγουσι τῇ ἀληθείᾳ, τὸ θεῖον ῥῆμα φέρων κατὰ τὴν σάλπιγγα τῶν Ἐκκλησιῶν, Παῦλόν φημι τὸν μακάριον, ὑπὲρ πᾶσαν μάχαιραν, καὶ ῥομφαίαν ἀμφήκη, καὶ δι' αὐτοῦ τοὺς τοῦ εὐσεβοῦς λόγου διαχρώμενος πολεμίους, καὶ λαμπρὰ κατ' αὐτῶν ἱστῶν τρόπαια, ὧνπερ οὐ ῥέοντα καὶ χαμαίζηλα κομίσῃ τὰ ἆθλα, οὐδὲ δόξαν ῥᾷστ' ἀπανθοῦσαν καὶ ἐκλείπουσαν, ἀλλ' ἅπερ οὔτ' ὀφθαλμοῖς εἰς θέαν ἐφικτὰ, οὔτ' ἀκοῇ χωρητὰ, καὶ λόγου παντὸς ὑπερπαίει δύναμιν, βασιλείαν οὐρανῶν, καὶ μακαριότητα διαιωνίζουσαν, τὴν ἀποκειμένην τοῖς ἐκλελεγμένοις πρὸ πάντων αἰώνων. Οὐ μόνον δὲ διὰ ταῦτα προσήκειν ἔγνων σου τῇ ἐνδοξότητι τὸ δώρημα, ἀλλὰ καὶ ὅτι δὴ παρὰ πάντας αὐτῇ ᾠκείωται, βασίλειον οὖσα κειμήλιον, σοὶ δ' οὐ μόνον τὰ τοῦ γένους ἐκ βασιλικῶν πηγῶν ἐπιῤῥέοντα ὁμολογεῖται, τὰ πρὸς μάμμης εἰς τοὺς ἐπιφανεῖς Καντακουζηνοὺς ἀναγόμενα, ἀλλὰ δὴ καὶ τὰ πραττόμενα βασιλικῆς εὐγενείας λαμπρότατα ἀποσώζει μαρτύρια, καὶ κηρύττει τὴν πρὸς ἐκείνους συγγένειαν ἡ τῶν πράξεων ὁμοιότης. Ὧν οἴκοθεν ἔχεις, καὶ ἀφ' ἑστίας φασὶ τὸ παράδειγμα, ὡς ὑπὸ ζῶντι ἀρχετύπῳ τῷ κλεινῷ καὶ ἐκλαμπροτάτῳ γενέτῃ παιδαγωγούμενος, καὶ σύνει νύκτωρ καὶ μεθ' ἡμέραν τῇ πηγῇ, ἐξ ἧς ἀφθόνως ὑπάρχει ἀρύεσθαί σοι, καὶ κατὰ τὰς φιλεργοὺς μελίττας οἷον ἐξ ἀθανάτου λειμῶνος ἀπανθίζεσθαι τῶν ἀρετῶν τὰ εὐώδη καὶ ἀειθαλῆ ἄνθη. Ἀνθ' ὅτου καὶ διπλασίους εἰκότως τυγχάνεις ὀφείλων τῇ αὐτοῦ ἐκλάμπρῳ γαληνότητι χάριτας, πρός γε τῷ εἶναι καὶ αὐτοῦ τοῦ εὖ εἶναι παρὰ τῆς αὐτοῦ ὑψηλότητος προσυπάρχοντος. Ἧς δῆτα καθ' ἡμᾶς αἱ ἀρεταὶ τοῖς πέρασι διατεθρύλληνται, τῆς ἀρίστης εὐνομίας μετὰ τῆς δικαιοσύνης καταγλαϊζούσης τὸν ὑψηλότατον καὶ λαμπρότατον θρόνον, ἐφ' οὗ δὴ πρὸς Θεοῦ πάλαι προωρισμένη ἐν τῷ καταλλήλῳ χρόνῳ παρὰ τῆς αὐτοῦ προνοίας ἐφίδρυται, ὁπότε ἡ τοῦ χρόνου ἀνωμαλία τῶν δεινῶν εἰς διοίκησιν ἀπῄτει, διὰ πολυσχιδῶν ὁδῶν παραστήσοντα τὴν ἔμφυτον καλοκαγαθίαν, καὶ ἑκάστῳ προσφόρως ἐπαρκέσοντα πρὸς τὴν χρείαν, καὶ τῷ οἰκείῳ ὑποδείγματι τὸν ὑπὸ χεῖρα λεὼν τὰ θεοφιλῆ ἐκπαιδεύσοντα. Ἀλλὰ τίς ἄν μοι λόγος ἀρκέσειε, ποῖος κάλαμος ὑπηρετήσει ἵν' ἀπαριθμήσει γοῦν μόνῃ χρήσωμαι τῶν προτερημάτων, οἷς ὁ σὸς γενέτης καθωραΐζεται, τῶν ἀγαθῶν, ὧν οὐ τῇ Μυσίᾳ μόνῃ, ἣν καὶ λόγου μικροῦ δεῖν ἄμοιρον πρώην οὖσαν, Μουσῶν ἀπέφηνε καταγώγιον, καὶ σοφῶν ἀνδρῶν περιώνυμον ἐνδιαίτημα, ἀρετῆς τε πάσης τῷ ὄντι γυμνάσιον, ἀλλ' ἤδη καὶ τῇ ὑφηλίῳ ξυμπάσῃ ὑπῆρξε πατὴρ, πολυτρόπως

εὖ δρῶν τὸ Χριστώνυμον πλήρωμα, τῶν εὐποιιῶν ἀφθόνως καὶ ῥύδην προχεομένων τοῖς πᾶσιν, ἀλλὰ καὶ διὰ τῆς τυπογραφίας, ἥτις ἐπὶ τῆς αὐτοῦ θεοδοξάστου ἡγεμονίας συνέστη, οὐκ εὐαρίθμων ἱερῶν βιβλίων οἷον εἰς τὸ ζῆν ἀνακληθέντων καὶ ἀναβεβιωκότων, καὶ τοῖς Χριστωνύμοις κεχορηγημένων παρὰ τῆς αὐτοῦ θεοφρουρήτου ἐκλαμπρότητος, ἐφ' ἧς οἷον ὑπὸ χοροστάτῃ τῇ εὐσεβείᾳ τὸ λοιπὸν σμῆνος συγχορεύει τῶν ἀρετῶν, κἀντεῦθεν ἀρετὴ, παρ' αὐτῇ τιμωμένη ὅλοις, πήχεσι τὸ τοῦ λόγου, βασιλικοῖς ἐπιδίδωσι, καὶ εἰς αὔξην χωρεῖ, οἷον ἐν ἀθανάτοις στήλαις τῇ ἀλήκτῳ διαδοχῇ ἐγκεκολαμμένα εἰς γενεὰς γενεῶν παραδιδοῦσα αὐτῆς τὰ ἐγκώμια. Ἐκείνης οὖν ἀπόῤῥοια πέφυκας τῆς πηγῆς, ἐκλαμπρότατε Στέφανε· τοῦ τηλικούτου δένδρου μεγαλοφυὴς ὑπάρχων καρπὸς παριστᾷς τῇ μιμήσει, καὶ τὴν συγγένειαν οὐ ψεύδῃ, διαζωγραφῶν ἀκριβῶς ἐν σαυτῷ ὅλην τὴν τοῦ γεννήτορος ἀρετὴν, σὺν ᾧ σε εὔχομαι ὑπὸ τῆς ζωαρχικῆς καὶ μακαρίας Τριάδος περιφρουρεῖσθαι εἰς μακραίωνας μετὰ τῆς ἐγχωρούσης εὐδαιμονίας, ἐπιδιδόντα ἐν τοῖς κατὰ Θεὸν ἐπιτηδεύμασι, εὐθυμοῦντά τε διὰ παντὸς, καὶ οὑτινοσοῦν ἀβουλήτου ἄγευστον. Ἀμήν.

ΔΡΥΣΤΡΑΣ ΑΘΑΝΑΣΙΟΣ.
Τῆς ὑμετέρας Ἐκλαμπρότητος θερμότατος εὐχέτης.

—

A *Πρὸς τὸν ἐκλαμπρότατον, καὶ ἐνδοξότατον κύριον κύριον Στέφανον βοεβόδα, τὸν Μπραγκοβᾶνον.*

Ἀρετῆς ἴδ' εὐσεβίης
Συνάρασθέ μοι παροῦσαι
Ἑλικωνίηθεν Μοῦσαι
Ὀρθοδοξίης τὸ κλέος,
Βαθὺ, κλεινὸν οὖν τε γῆρας
Στεφάνου πλέκειν ἐπαίνους
Ἐπέων καλοῖς ἀώτοις
Σοφίης ἄριστον υἷα
Θεὸς ᾧ βίον παράσχοι
Βασιλείαν τ' ἐπὶ τούτοις γε ἀγήρω.

Ἀντώνιος ὁ προῤῥηθείς.

Τοῦ αὐτοῦ. Πρὸς τὸν πανιερώτατον καὶ σεβασμιώτατον μητροπολίτην Δρύστρας κύριον Ἀθανάσιον. B

Τεύχεσιν εὐσεβίης ἰδὲ πνεύματος ὥπλισε θεῖος
Ἀρχιερεὺς Δρύστρας πανοπλίῃ ζαθέους.
Λύκους δὲ φθορέας κατερύκει σηκόθεν οὗτος
Χριστοΐο, κλεινὴν εἰς φάος τήνδε βίβλον,
Ζιγαδινοῦ πόνον αἷς ἀγαγὼν δαπάναις ἀφειδέσσι,
Δέρκετε ποιμένες σὺν θαύματι εὐσεβίην.

Πρὸς τὸν αὐτόν.

Ἥλιος λάμπων ἁπάσης δρόμοις πείρατα χθονὸς,
Ἀντὶ ψυχῆς τελέθει τοῖς ἐπὶ γῆς ἅπασιν.
Ἀκτῖνες σῶν δ' ἀρετῶν ἀστράψασαι ὄμματα πιστῶν,
Ὤνησαν πλείω ἢ τὸ πάροιθ' ἕτεροι.

Ὁ ἐν σπουδαίοις ἐλάχιστος Χουρμούζιος.

Ἕτερον τοῦ αὐτοῦ ὡς ἀπὸ τῆς βίβλου.

Πανοπλίη κέκλημμαι εἰκότως μάλα,
Χορηγὸς ὅπλων φασγάνου τομωτέρων,
Αἵρειν πασῶν οἷς θυμὸς καθ' αἱρέσεων
Λαμπρὰ τρόπαια, καὶ νίκας πρὸς ἀξίαν.
Πατὴρ πέλει μοι Ζυγαδηνὸς μοναχὸς,
Γραφῶν ἀτεχνῶς ἠκριβωκὼς βένθεα.
Τέως δ' ἐνὶ σκότῳ ἐοῦσαν ἄγνωστον,
Μυχοῖς ὀρωρυγμένος αἴης ὡς χρυσὸς,
Ἀρχιθύτης Δρύστρας τυποῖ Ἀθανάσιος
Ἑαῖς δαπάναις, ὠφελείας εἵνεκα.
Εὔχεσθε οὖν ἅπαντές οἱ γῆρας βαθὺ
Λαχεῖν τ' ἔπειτα χῶρον οὐρανιόνων.

Ἕτερον πρὸς τὸν ἐκλαμπρότατον Στέφανον βοεβόδα τὸν Μπραγκοβᾶνον· καὶ πρὸς τὸν πανιερώτατον Ἀθανάσιον Δρύστρας.

Ἴδμονι τῶν ὅπλων ὁπλίζεσθαι θέμις ὅπλοις,
Ὄφρ' ἀρετὴν κόσμῳ παμφανόεσσαν ἔχῃ.
Σοὶ δ' ὦ Βασσαράβων λαμπρὸν στέφος, ἠδέ τε εὖχος,
Ταῦτα τὰ ὅπλα πρέπει αἱρετικῶν ἐφόδῳ.
Τῶν ῥα Ζυγαδινὸς χαλκευτὴς πάμπαν ἐτύχθη,
Ποιμὴν δὲ Δρύστρας θῆξε τυπογραφίᾳ,
Οὔνομα δ' ἔπλετο τῷδε φερώνυμον ἀθανασίης,
Ἣν ἀρετῇσιν ἑῇς πλέξατ' ἀπειρεσίως.

Ὁ ἐλάχιστος ἐν ἱεροδιακόνοις Ἰωαννίκιος ὁ Χατζῆς.

Ἕτερον εἰς τὴν βίβλον.

Τόξον σὸν ἤδη καρτερῶς τεῖνον λίαν,
Βέλη τε ῥίπτε ἀντιπάλων καρδίῃ,
Λέλογχας ἢ γὰρ τηλικούτου δαίμονος,
Δοῦν' ὥστε φέγγει μιν σὲ δὴ καὶ γουνέα.
Ἐόντα τοῦτον Ζυγαδηνὸν τοὐπίκλην,
Εὐθυμίης φερώνυμον φῶτ' ἀγλαόν.

Ἕτερον πρός τε τὸν ἐκλαμπρότατον κύριον Στέφανον βοεβόδα τὸν Μπραγκοβᾶνον, καὶ πρὸς τὸν πανιερώτατον μητροπολίτην Δρύστρας κύριον Ἀθανάσιον.

Μπραγκοβάνων Στέφανε στέλεχος ῥίζης περιδόξου,
Ἠδ' ἀγαθοῦ τοκέως εὐφροσύνῃ τε τέκος,
Δέξεο σῇ κορυφῇ στέφος ἀΐδιον τόδε δῶρον,
Λαμπροῦ σου ἤθους σῆμ' ἀγλαὸν τελέθον,
Τιθέμενον παρὰ ἀρχιθύτου σοῦ εὐχέτιδός τε
Ἐξάρχου Δρύστρας τοὔνομ' Ἀθανασίου,
C Ὃς δὴ θῆκε τύπος δαπάνῃσιν ἀειρομένῃσι
Τὴν βίβλον ταύτην εἰς χάριν εὐσεβέων.

Ὁ ἐν σπουδαίοις ἐλάχιστος Γεώργιος Χαζηδάνου Λαρισσαῖος.

Στίχοι Ἰαμβικοὶ πρὸς βασιλέα Ἀλέξιον τὸν Κομνηνὸν, καὶ πρὸς τὴν βίβλον Εὐθυμίου μοναχοῦ τοῦ Ζιγαδηνοῦ.

Ἡ Βίβλος αὕτη τοῦ κρατίστου δεσπότου
Θείων πέφυκεν ὁπλοθήκη δογμάτων,
Παντευχίαν φέρουσα καὶ πανοπλίαν
Ἄῤῥηκτον, ἀκράδαντον, ἀδαμαντίνην.
Τοῦ γὰρ δυνατοῦ τὰ τεθηγμένα βέλη,
Ἃ πηγνύουσιν οἱ στρατηγοὶ τοῦ Λόγου
Τῶν τοῦ κρατοῦντος δυσμενῶν ἐν καρδίᾳ,

Ἐνταῦθα κεῖνται πάντα συνειλεγμένα,
Τῷ συγκροτισμῷ τοῦ σοφοῦ προμηθέως,
Ἀλεξίου γῆς Αὐσόνων βασιλέως,
Θεόφρονος Μέδοντος Εὐσεβεστάτου,
Ὃν ἡ πρόνοια τοῦ φιλανθρώπου Λόγου
Ἐν ἐσχατιᾷ τῶν χρόνων τῶν δυσκόλων,
Καὶ τῶν ἀναγκῶν τῶνδε τῶν πολυπλόκων
Ἤνεγκεν εὐτύχημα Ῥωμαίοις μέγα,
Στρατηγὸν εὐμήχανον ἠκριβωμένον,
Ἀρχηγὸν εὐδόκιμον ἐξῃρημένον,
Καὶ πρὸ κράτους τείχισμα, καὶ μετὰ κράτος
Πύργωμα, κραταίωμα τῆς σκηπτουχίας,
Οὗ τὰ κατορθώματα πολλὰ καὶ ξένα,
Καὶ τὰ τρόπαια τὰ κατ' ἐχθρῶν μυρία.
Σφραγὶς δὲ πάντων, καὶ κορωνὶς αἰσία,
Ἡ Δογματικὴ τυγχάνει Πανοπλία,
Τῆς ὀρθοδόξου πίστεως ἡ στεῤῥότης.
Ἡ συλλογὴ γὰρ τῶν θεοπνεύστων λόγων
Γνώρισμα λαμπρὸν εὐσεβοῦς βασιλέως.
Ὃς συῤῥαγῆναι τοῖς ἐναντίοις θέλων,
Καὶ πρὸς λογικὴν συμβαλεῖν αὐτοῖς μάχην
Τούτοις κατ' αὐτῶν εὖ τεθωρακισμένος
Τοῖς μηχανικοῖς ἀπτοήτως ἐξίτω.

Τοῦ αὐτοῦ.

Πρόγραμμα βίβλου τῆσδε τῆς τῶν δογμάτων
Ἀλεξίου φρόντισμα, καὶ γλυκὺς πόνος,
Ῥώμης βασιλεύοντος εὐσεβῶς Νέας,
Καὶ φαιδρὸν ἐκλάμποντος ἀρετῶν σέλας.
Κοινωφελὲς σύνταγμα, πίστεως κρίτος,
Στήλη θριαμβεύουσα τοὺς νόθους λόγους.
Ἄθροισις εὐσύνοπτος ὀρθοδοξίας,
Ἔλεγχος ἐντρέπων τε καὶ καταισχύνων
Τοὺς τῆς ἀληθοῦς πίστεως ἀποστάτας.
Θεῖον ταμεῖον ὀργάνων τῶν ἐν μάχαις,
Ἅπερ καταστρέφουσι τείχη δογμάτων

A Θεῷ μισουμένων τε καὶ λαοπλάνων,
Πηγὴ δι' αὐτῆς ἐνθέων διδαγμάτων,
Ποταμὸς αὐτόχρημα σεπτῶν δογμάτων.
Ἄρδην κατακλύζων τε καὶ σύρων κάτω
Τῶν κακοδόξων τὰς βεβήλους αἱρέσεις.
Φρικτὴ βελῶν φαρέτρα δογματοκτόνων,
Τῶν συλλογισμῶν πλεκτάνη, καὶ σφενδόνη,
Τοῖς τοῦ Θεοῦ φῶς, πῦρ δὲ τοῖς ἀλλοτρίοις.
Σάλπιγξ καταπλήττουσα τοὺς ἐναντίους,
Πανοπλία φράττουσα τοὺς κεχρημένους,
Παντευχία σφάττουσα τοὺς θεηλάτους.
Ἀλλ' ὦ Μονὰς Τρίφωτε, καὶ Τριὰς πάλιν
Ἓν φῶς ἀπαστράπτουσα τῆς Θεαρχίας,
Τὸν Ἥλιον φύλαττε τῶν Ἀνακτόρων,
B Τὸν μηχανουργὸν τῆς τοσαύτης ἰσχύος.
Ἔπειτα τήνδε τὴν σελήνην τοῦ κράτους
Καλὴν βοηθὸν ἐκ Θεοῦ συνημμένην,
Καὶ τὸν ποθεινὸν Πορφύρας Ἑωσφόρον
Κάλλιστον ἄνθος Δεσπότην ἡμῶν νέον,
Εἰρηνικὴν σύμπνοιαν ἐν βίῳ νέμων,
Ζωήν τε μακρὰν, καὶ κακῶν ἐλευθέραν,
Καὶ τὴν τελευτὴν εὐφόρως τελουμένην,
Πανοικὶ σώζων, παγγενῆ στέφων ἄνω
Μαρμαρυγὴν ἄφθαρτον ἠμφιεσμένους.

Τοῦ αὐτοῦ.

Ὡς ηὐδόκησεν ὁ κρατῶν στεφηφόρος,
Ὡς ἐγγράφως ὥρισεν, ὡς ἔδειξέ μοι
Σπεύσας κατεσκεύασα τὴν Πανοπλίαν.
C Ταῦτ' οὖν μαθόντες οἱ κριταὶ τοῦ βιβλίου
Στέργοιτε, καὶ βάλοιτε ταῖς εὐφημίαις
Τὸν ἀγχίνουν τε καὶ μέγαν βασιλέα.
Τούτῳ γὰρ ἡ σύμπασα καὶ μόνῳ χάρις.
Εἰ γὰρ προσήκει τὴν ἀλήθειαν λέγειν,
Εὐμήχανον τὸ χρῆμα, πιπτέτω φθόνος.

ΠΡΟΛΟΓΟΣ ΜΕΤ' ΕΓΚΩΜΙΟΥ ΤΩΝ ΠΡΟΣ ΒΑΣΙΛΕΑ ΑΛΕΞΙΟΝ ΤΟΝ ΚΟΜΝΗΝΟΝ ΕΙΣ ΤΗΝ ΔΟΓΜΑΤΙΚΗΝ ΠΑΝΟΠΛΙΑΝ.

PROLOGUS AD PANOPLIAM DOGMATICAM, CUM ENCOMIO IMPERATORIS ALEXII COMNENI.

Euthymii opus et solitarii
Zigadeni Panoplia dogmatum,
Alexio e Comnenorum gente parata :
Regi fideli in infidelium confusionem.

Omnia quidem maximi, divinique gubernatoris, ac regis nostri Alexii præclara, et illustria, atque admiranda sunt instituta, quæ vel ad reipublicæ recte administrandæ tuendæque peritiam pertinent; vel stratagemata, militariaque consilia, et sententias, ac præcepta complectuntur; vel acuta machinarum inventa nihilo pleruinque Palamedis Archimedisque machinis inferiora comprehendunt; vel dicta prudenter acuteque magnarum gentium legatis responsa continent; vel denique, ne lon-

D Εὐθυμίου πόνημα καὶ μονοτρόπου,
Τοῦ Ζιγαδηνοῦ δογμάτων Πανοπλία,
Ἀλεξίῳ τευχθεῖσα Κομνηνῶν γένους,
Ἄνακτι πιστῷ τῶν ἀπίστων εἰς πάλην.

Καὶ πάντα μὲν τὰ κατορθώματα τοῦ μεγίστου καὶ θεοκυβερνήτου βασιλέως ἡμῶν Ἀλεξίου περιφανῆ καὶ λαμπρὰ καὶ ἀξιοθαύμαστα· πολιτικῶν πραγμάτων ἐπιστημονικαὶ διαταγαὶ, καὶ δεξιαὶ μεταχειρίσεις καὶ ἀντιλήψεις· πολεμικῶν στρατηγημάτων εὐβουλίαι, γνωμῶν ὑποθῆκαι, καὶ μηχανημάτων ἐπίνοιαι, μηδὲν ἐλαττούμεναι πολλάκις τῶν Ἀρχιμήδους καὶ Παλαμήδους· ἀποκρίσεις περιεσκεμμέναι, καὶ ἀγχίνοιαι μεσταὶ πρὸς τοὺς πρέσβεις τῶν μεγάλων ἐθνῶν· τἄλλα πάντα, συντόμως εἰπεῖν, ἐξ ὧν

A ὁ πανταχόθεν συγκεκροτημένος αὐτοκράτωρ, καὶ δεινὸς ὁμιλῆσαι πράγμασι, καὶ πόρον ἀμηχάνοις εὑρεῖν, καὶ πρὸς τοὺς καιροὺς καὶ τὰς καταστάσεις συμφερόντως μεθαρμοζόμενος γνωρίζεται καὶ διαγινώσκεται· τῶν ἄλλων δὲ τούτου προτερημάτων οὐκ ἔλαττον εἰς λόγον εὐφημίας τὸ προκείμενον σπούδασμα, τὴν συλλογὴν λέγω τῶν δογμάτων τῆς ὀρθοδόξου πίστεως. Πῶς τοσαύταις κοσμικαῖς φροντίσι περιῤῥεόμενος, καὶ μυρίων πραγμάτων ἀνθολκαῖς ἑκάστοτε περισπώμενος, οὐδὲ τούτου τοῦ μέρους ἀφροντίστως ἔσχε, καθάπερ πολλοὶ τῶν προλαβόντων αὐτοκρατόρων, οἷς ἤρκεσε μόνον ὥσπερ καὶ τοῖς πλείοσι τῶν τότε καὶ νῦν ὑπηκόων ἡ στοιχειώδης καὶ σύντομος ὁμολογία τῆς πίστεως, ὃ καὶ Σύμβολον ἱερὸν καλεῖται. Διασκεψάμενος δὲ καὶ τῇ πείρᾳ B γνοὺς ὅτι πολλῶν μέρεσι τῆς Ῥωμαϊκῆς ἐπικρατείας παρεισεφθάρη πάλιν ἰοβόλα καὶ θεοστυγῆ δόγματα, καὶ τῶν πνευματικῶν γεωργῶν ἀπονυσταξάντων διὰ τὴν τῶν πολεμίων ἴσως μακρὰν καὶ πολυχρόνιον προσεδρίαν, ἐπεσπάρη τῷ καλῷ σίτῳ ζιζάνιον ἀκαρπίας, καὶ πρὸς μόνην καῦσιν ἐπιτήδειον τῶν αἱρετιζόντων εἰδωλομανίας, ἃ καὶ θολεροῖς νάμασι λόγων ἀρδεύοντες οἱ τούτων διδάσκαλοι, βλαστάνειν παρασκευάζουσι, τί ποιεῖ; περιοιδησάσης αὐτῷ τῆς καρδίας τῇ τοσαύτῃ καταφρονήσει, διανίσταται πρὸς ζῆλον, καὶ τῆς θεραπείας αὐτουργὸς γίνεται, καὶ περινοεῖ τι μέγα καὶ ὑψηλόν. Καιροὺς γὰρ ἀποταξάμενος τῇ μελέτῃ τῶν θεοπνεύστων Γραφῶν, ὅτε καὶ μικρὰν ἐκεχειρίαν ἦγεν ἀπὸ τῶν δημοσίων καὶ κοινωφελῶν φροντίδων, ἀναγνώσει C φιλοπόνῳ συντόνως ἑαυτὸν ἐπεδίδου, συναιρουμένους ἔχων τοὺς παρατυχόντας τῶν ἐλλογίμων, ὧν πολλῶν καὶ καλῶν εὐπορεῖν εἴωθεν ἀεὶ τὰ βασίλεια, μάλιστα δὲ τοὺς δογματικοὺς ἠσκεῖτο λόγους, καὶ θερμόν τινα καὶ διάπυρον ἔρωτα τούτων ἐν τῇ ψυχῇ περιέφερεν. Ἔνθεν τοι καὶ καθάπερ σίδηρος θερμὸς ὕδατι ψυχρῷ στομωθεὶς, καὶ τὴν γλῶτταν ταῖς παρατρίψεσι τῶν τοιούτων λόγων ἀκονηθεὶς, ἀμφίστομος ἀπετελέσθη μάχαιρα κατὰ τῶν βλασφήμων δογμάτων, καὶ διδαγμάτων, καὶ *πέλεκυς κόπτων πέτραν*, τὸ τῆς Γραφῆς εἰπεῖν, τὴν σκληρὰν καὶ πεπωρωμένην ἀναισθησίαν τῶν θεομάχων, ὡς αὐτὸς ἐγὼ δὶς παρατυχὼν διαλεγομένῳ κατενόησα, καὶ παρεσημειωσάμην· οὕτω τοιγαροῦν τοὺς μὲν τῶν εἰς χεῖρας ἰόντων ἀγχεμάχοις ὅπλοις ἔβαλε καὶ κατέβαλε· τινὰς δὲ τῶν D ἐνδιαστρόφων καὶ πρὸς τὴν ἁρμονικὴν ἡδυφωνίαν ὑπαλλαττόμενος νουθετεῖν ἐπειρᾶτο, καὶ μετακλίνειν, πολλὴν μακροθυμίαν καὶ ἐπιείκειαν τοῖς λόγοις παρακιρνῶν. Ἵνα δὲ καὶ μετ' αὐτὸν οἱ βασιλεύοντες ἀνάγωνται πρὸς τὴν μίμησιν, ἐσκέψατο μάλα συνετῶς ἔγγραφον αὐτοῖς τε καὶ πᾶσι τοῖς ὑπηκόοις καταλιπεῖν τὴν τῶν δογματικῶν ὅπλων παρασκευὴν, καὶ τὰς πνευματικὰς ἑλεπόλεις, καὶ τὰ λογικὰ μηχανήματα, καθάπερ οἱ τὰ προσαγορευόμενα τακτικὰ συντάξαντες, οὐ τὸ τῶν ἀρχιερέων ἔργον σφετεριζόμενος, ἀλλὰ κἀκείνους διεγείρων τῷ καθ' ἑαυτὸν ὑποδείγματι, καὶ συμμαχίαν μάλιστα παρεχόμενος.

[1] Jerem. XXIII, 29.

gior sim, cuncta illa, quibus imperator undique fultus et munitus, tum rempublicam regere, tum ex difficultatibus sese expedire, et rebus atque temporibus accommodare utiliter scienterque potest: sed hoc ejus in primis laudandum ac celebrandum est studium atque consilium, quod orthodoxæ fidei decreta colligenda curavit, nec quamvis tam multis mundi molestiis innumerabilibusque negotiis et gravissimis occupationibus assidue distringatur, partem hanc sibi negligendam duxit, ut ex superioribus imperatoribus multi, quibus id satis fuit, quod plerisque vel illius, vel hujusce temporis privatis hominibus satis est, nempe brevis fidei confessio, religionis continens elementa, quod sacrum Symbolum appellatur. At ipse cum experimento cognitum ac perspectum haberet, pestiferas rursum et impias opiniones multis Romani imperii partibus irrepsisse, ac propter longum fortasse diuturnumque hostium dominatum inter bonum triticum mala luxuriantis hæreticorum doctrinæ, quæ non nisi ad comburendum utilis est, zizania fuisse sparsa ac disseminata, eaque ut vigerent et crescerent, turbidis sermonum rivulis ab ipsorum doctoribus irrigari, animo commotus, atque ob insignem eorum audaciam atque dementiam inflammatus, tanto malo sibi occurrendum ac remedium adhibendum existimavit. Itaque cum a publicis negotiis, gravissimis reipublicæ muneribus, et curis superesset aliquid temporis, id omne in divinarum Scripturarum voluminibus accurate perlegendis consumebat, deque iis cum viris eximiis, quorum egregia multitudine regia semper referta esse solet, colloquebatur, approbatos in primis sermones colens, quorum ingenti quodam amore animus ejus incensus ardebat. Ex quo factum est ut talium sermonum consuetudine linguam exacuens tanquam ferrum ignitum aqua frigida confirmatum, atque adeo gladius utrinque acutus ad detestabiles opiniones, atque doctrinas exscindendas, vel, ut Scripturæ verbis utar, *Securis petram concidens*[1], asperam nimirum ac duram, atque omni sensu carentem pertinaciam impiorum evaserit. Id, quod ego testari possum, qui rem animadverti, et adnotavi, cum ei disputanti forte fortuna bis mihi contigerit interesse. Quosdam enim secum congredientes hisce armis cominus percussit et profligavit. Alios autem fugitantes orationis suavitate capiens et alliciens, multamque verbis suis patientiam ac lenitatem immiscens ad sanitatem et optimam frugem reducere nitebatur. Quod quidem exemplum ut post se regnaturi possint imitari, optimum iniit consilium, ut, quemadmodum illi qui res ad militiam pertinentes comparant, eis ac subditis eorum populis approbatorum armorum apparatum omni machinarum genere atque instrumento bellico instructum, litterarum monumentis consignatum relinqueret. Qua sane re non

sibi pontificum munus arrogavit, sed exemplo suo pontifices excitavit, seque illis socium et adjutorem adjunxit. Neque vero crimini aut vitio vertendum est, si non solum imperator ipse pietatis studiosissimus, sed quivis omnino e fidelium numero, modo peritus sit dicendique potestate præditus, veritatem in discrimen adductam laborantemque tueatur atque defendat : nisi forte qui immanem et mortiferam aliquam feram occiderit, eo nomine in crimen vocari debet, quod cum non sit indigena, communi peste de medio sublata incolas et indigenas ab ejus pernicie periculoque liberaverit. Beatorum igitur Patrum rectæque fidei defensorum decretis per sapientes et peritos hujus ætatis viros electis, in unumque redactis, hanc mihi provinciam demandavit, ut eorum sententias diligenter in ordines distribuerem, et suis quasque locis apte concinneque disponerem ac collocarem. Quamobrem cum ejus mandatis ac jussis nefas sit adversari, restat ut ratione Deoque hujus muneris duce, per quem et manus instruuntur ad pugnam, et digiti scribentes ad hæreses profligandas diriguntur, congrediamur, et manus conseramus, vel potius religionem tueri, et cum hostibus ejus decertare volentibus arma comparemus adamantina ac lethalia vereque cœlestia, quibus qui erunt instructi, cum lædi nequeant omnino, tum adversarios ipsi vulnerent, prosternant ac superent.

[A] Ἀνάγκη γὰρ, σιωπῶντος ἀκαίρως τοῦ τὴν ἐξουσίαν ἔχοντος τοῦ διαλέγεσθαι περὶ πίστεως, ἀντιλαμβάνεσθαι κινδυνεύοντος τοῦ λόγου, μὴ ὅτι γε τὸν εὐσεβέστατον βασιλέα, τὸν καὶ τοῖς δόγμασι τῶν ἀρχιερέων τὸ κῦρος διὰ τῆς ἑαυτοῦ ῥοπῆς καὶ συνέσεως χαριζόμενον, ἀλλὰ καὶ τὸν ἁπλῶς πιστὸν ἄνδρα, καὶ λέγειν ἐπιστάμενον καὶ δυνάμενον, εἰ μὴ καὶ τὸν ἀνελόντα θηρίον ἀνθρωποφθόρον αἰτιάσαιτό τις, ὅτι μὴ ἐγχώριος ὢν τὸν κοινὸν ὄλεθρον ἐκ μέσου πεποίηκε, καὶ τῆς ἐντεῦθεν λύμης ἀπήλλαξε τοὺς αὐτόχθονας. Καὶ δὴ τὰ δόγματα τῶν μακαρίων Πατέρων, καὶ προμάχων τῆς ὀρθῆς πίστεως διὰ τῶν τοῦ παρόντος καιροῦ σοφῶν καὶ πολυπείρων ἀνδρῶν ἐκλεξάμενος, καὶ συναγαγὼν ἐμοὶ τὴν συνθήκην τούτων ἐπέτρεψε, καὶ τάξιν ἐπιθεῖναι τούτοις, καὶ διεσκεμμένην ἁρμο- [B] νίαν, καὶ λελογισμένην οἰκονομίαν ἐκέλευσεν. Ἐπεὶ δὲ οὐκ ἦν ἀναδύεσθαι, λοιπὸν τοῦ Λόγου καὶ Θεοῦ στρατηγοῦντος τοῦ συντάγματος τῶν λόγων, δι' οὗ καὶ χεῖρες διδάσκονται πρὸς παράταξιν, καὶ δάκτυλοι γράφοντες κατορθοῦσι τὸν κατὰ τῶν αἱρέσεων πόλεμον· ἰτέον ἡμῖν ἤδη πρὸς τὴν ἐγχείρησιν, καὶ κατασκευαστέον, μᾶλλον δὲ συντακτέον Πανοπλίαν τοῖς βουλομένοις ὑπερμαχεῖν τῆς εὐσεβείας, καὶ συῤῥήγνυσθαι τοῖς ἐχθροῖς αὐτῆς, παθεῖν μὲν ἀδαμαντίνην, δρᾷν δὲ καιριωτάτην, καὶ ὅλως ἀκαταγώνιστον, καὶ ὄντως οὐρανοχάλκευτον.

Appellabitur autem hic liber *Orthodoxæ fidei Dogmatica Panoplia*, vel Decretorum Armamentarium, ut cum pugnandi tempus advenerit, [C] oportueritque spiritales propugnatores armari, eo patefacto, armis bello pro tempore congruentibus instruantur. Hoc enim varia telorum armorumque genera ad omnia bella gerenda conficiendaque abunde subministrabit. Cæterum, cum duplex sit, quemadmodum tradit Gregorius Theologus, orationis genus, unum quo nostra defendimus, alterum, quo res adversariorum oppugnamus, sic item nos agemus, ut nostris prius expositis ac constitutis, tum demum aliena atque hostilia profligemus. Utrumque autem præstabimus, ut dictum est, auxilio muniti Patrum sapientissimorum, qui ante nos pro veritate fidei dimicarunt, scriptaque sua, ut firma adversus varios hostium impetus præsidia, et fortitudinis [D] exempla nobis hæreditaria reliquerunt. Exponentur autem servato temporum ordine aliorum sententiæ, tanquam in malorum explicatione pravas hæreses ita recensentes, ut statim sequantur earum confutationes, et qui in singulis evertendis optime se gesserunt, scriptisque suis eas oppugnarunt et transfixerunt. Antiquiores quidem vetustateque jam aboletas atque consumptas prætermisimus, insigniores vero, et quarum licet exstincta sit flamma, carbones tamen Ecclesiam lædunt, nobis, ut signum, petendas sagittisque configendas proposuimus. Ac si quæ præterea ex iis excissis, ut stolones quidam relicti, interim pullularunt, eas quoque dejiciendas opprimendasque curavimus.

Ἔσται δὲ τῇ βίβλῳ ταύτῃ κλῆσις *Δογματικὴ Πανοπλία*, ἡ ὁπλοθήκη δογμάτων, ὥστε καιροῦ ποτε καλοῦντος εἰς μάχην, καὶ τοὺς πνευματικοὺς ὁπλίτας ἐγείροντος, ἀναπτύσσειν ταύτην, καὶ πρὸς τὰς ἰδέας τῶν πολέμων φράττεσθαι τοῖς ἐναποκειμένοις ὅπλοις· πολυειδῆ γὰρ ταῦτα, καὶ δαψιλῆ, καὶ πρὸς παντοῖον πόλεμον ἐξαρκοῦντα. Διττοῦ δὲ ὄντος λόγου παντὸς, κατὰ τὸν Θεολόγον φάναι Γρηγόριον, τοῦ μὲν τὸ οἰκεῖον κατασκευάζοντος, τοῦ δὲ τὸ ἀντίπαλον ἀνατρέποντος, καὶ ἡμεῖς τὸν οἰκεῖον ἐκθέμενοι πρότερον, οὕτω τὰ τῶν ἐναντίων ἀνατρέψαι πειρασόμεθα, καὶ ἀμφότερα δὲ διὰ τῶν πανσόφων, ὡς εἴρηται, Πατέρων τῶν προκεκμηκότων ὑπὲρ τοῦ Λόγου, καὶ καθάπερ τινὰ κλῆρον καταλελοιπότων ἡμῖν τοὺς οἰκείους λόγους, καὶ τὰς ἐκ τούτων πρὸς τὰς ὑπεναντίους ποικίλας συμπλοκὰς, καὶ τοὺς τρόπους τῶν ἀνδραγαθημάτων. Ἐκτεθήσονται δὲ τάξει τινὶ κατὰ τοὺς χρόνους αἱ τῶν ἄλλων ὡς ἐν ἐκλογῇ κακῶν ἐπιλογεῖσαι κακοήθεις αἱρέσεις τὰς ἀνατροπὰς ἑπομένας ἔχουσαι, καὶ τοὺς ἐφ' ἑκάστης ἀριστεύσαντας κατατρέχοντας αὐτῶν διὰ τῶν οἰκείων ἀντιῤῥήσεων καὶ κατακοντίζοντας. Τὰς μὲν οὖν παλαιοτέρας ὡς πρὸ πολλοῦ σεσηπυίας, καὶ πάντη διαφθαρείσας παρεδράμομεν, τὰς ἐπισημοτέρας δὲ, καὶ ὧν, εἰ καὶ ἡ φλὸξ ἀπεμαράνθη, παραλυποῦντες ἔτι τὴν Ἐκκλησίαν οἱ ἄνθρακες, ταύτας ἐστήσαμεν σκοποὺς εἰς τὸ βάλλεσθαι καὶ κατατοξεύεσθαι. Καὶ εἴ τινες δὲ τῶν μεταξὺ καὶ προσεχῶν παρειάθησαν, ὡς ἀποσπάδες τούτων, ἢ παραφυάδες ἀφείθησαν, τῆς καταπτώσεως τῶν προβεβλημένων ἱκανῆς καὶ ταύτας συγκαταβάλλειν.

Πόθεν οὖν ἡμῖν ἀρκτέον τοῦ προκειμένου συντάγματος καὶ σπουδάσματος; πόθεν ἄλλοθεν, ἢ ὅθεν ὁ μέγας ἐν θεολογίᾳ φησὶ Γρηγόριος, Τρεῖς αἱ ἀνωτάτω δόξαι, λέγων περὶ Θεοῦ· ἀναρχία, πολυαρχία, καὶ μοναρχία. Αἱ μὲν οὖν δύο παισὶν Ἑλλήνων ἐπαίχθησαν, καὶ παιζέσθωσαν· τό τε γὰρ ἄναρχον ἄτακτον, τό τε πολύαρχον στασιῶδες, καὶ οὕτως ἄναρχον, καὶ οὕτως ἄτακτον. Εἰς ταυτὸν γὰρ ἀμφότερα φέρει τὴν ἀταξίαν, ἡ δὲ εἰς λύσιν· ἀταξία γὰρ μελέτη λύσεως. Ἡμῖν δὲ μοναρχία τὸ τιμώμενον· μοναρχία δὲ οὐχ ἣν ἓν περιγράφει πρόσωπον, καὶ τὰ ἑξῆς. Λοιπὸν οὖν ὀλίγα καὶ συντετμημένα κατά τε τῶν ἀνάρχων καὶ ἀθέων Ἐπικουρείων, καὶ τῶν ἄλλων πολυάρχων, καὶ ἀθέων Ἑλλήνων διεξελθόντες, καὶ τὴν ἐναντίαν πλάνην τούτων τε κἀκείνων κατὰ παραδρομὴν ἐλέγξαντες, καὶ ἀνατρέψαντες, οὕτως ἐπὶ τὰ οἰκεῖα χωρήσομεν. Τῶν γὰρ Ἑλλήνων οἱ μὲν ἥλιον, οἱ δὲ σελήνην, οἱ δὲ ἀστέρων πλῆθος, οἱ δὲ οὐρανὸν αὐτὸν, ἅμα τούτοις, οἷς καὶ τὸ πᾶν ἄγειν δεδώκασι κατὰ τὸ ποιὸν ἢ τὸ ποσὸν τῆς κινήσεως· οἱ δὲ τὰ στοιχεῖα, γῆν, ὕδωρ, ἀέρα, πῦρ διὰ τὸ χρειῶδες, ὧν ἄνευ οὐδὲ συστῆναι δυνατὸν τὸν ἀνθρώπινον βίον· οἱ δὲ ὅ τι τύχοιεν ἕκαστος τῶν ὁρα τῶν ἐσεβάσθησαν, ὧν ἑώρων τὰ κάλλιστα θεοὺς προστησάμενοι.

A Verum undenam hujusce operis exordium nobis ducendum est, nisi ex illis verbis unde magnus ille in theologia Gregorius exorditur, Tres, inquiens, de Deo sententiæ sunt, una eorum, qui nullius; altera, qui multorum; tertia, qui unius asserunt imperio mundum gubernari. Priores duæ pueriles sunt, et a Græcis inventæ. Quare ut pueriles contemnantur. Nam et quod imperio caret, confusum est: et quod multorum regitur imperio, seditiosum, et idcirco etiam imperio vacans, atque ideo confusum. Itaque ambæ sententiæ in confusionem incurrunt. Confusionem porro sequitur eversio ac dissolutio. Quid enim aliud est confusum esse atque ordine vacare, nisi ad exitium perniciemque contendere? Proinde nobis tertia illa B sententia comprobatur, qua unius asseritur imperio ac principatu cuncta regi atque administrari. Unius autem principatum intelligo, non quem una persona circumscribit; et quæ deinceps sequuntur. Reliquum est igitur, ut pauca conjuncteque dicamus tum contra impios Epicureos, qui a nullo, tum adversus alios Græcos, qui a multis affirmant mundum gubernari, duplicique et contrario istorum errore breviter confutato atque convicto, ad nostra veniamus. Reliqui Græci partim solem, partim lunam, partim multitudinem stellarum, nonnulli una cum his cœlum ipsum, quorum qualitate motus et quantitate agere tradunt orbem universum; quidam elementa, terram, aquam, aera, ignem propter utilitatem, cum sine his vita humana degi non possit; alii vero aliquid eorum quæ cernuntur venerati sunt, et quæ pulcherrima fuerant conspicati ut numina coluerunt.

Περὶ τοῦ Ἐπικούρου ποσαχῶς τὸ ἄτομον.

Ἐπίκουρος δὲ ἐκβάλλων καὶ Θεὸν καὶ πρόνοιαν τὸ αὐτόματον εἰσῆγε, καὶ τὰς ἀτόμους. Πολυσήμαντον δὲ τὸ ἄτομον. Λέγεται γὰρ τὸ δύστμητον, ὡς ὁ ἀδάμας, καὶ τὸ παντελῶς ἄτμητον, ὡς τὸ ἀσώματον, καὶ τὸ παρὰ τοῖς φιλοσόφοις μερικὸν καὶ καθ' ἕκαστον, ὃ τμηθῆναι μὲν δύναται, τετμημένον δὲ φθείρεται, ὥσπερ ὁ Σωκράτης τυχόν· τεμνόμενος γὰρ εἰς κεφαλὴν, καὶ χεῖρας, καὶ κοιλίαν, οὐκέτι ἐστὶ Σωκράτης· τέταρτον ἄτομον τὸ διὰ βραχύτητα μὴ δυνάμενον τμηθῆναι, ὡς τὸ σημεῖον μὲν παρὰ γεωμέτραις, ἡ μονὰς δὲ παρὰ ἀριθμητικοῖς, ὁ νῦν δὲ χρόνος παρὰ φυσικοῖς. Τοιοῦτόν τι ἄτομον, καὶ τὸ ἐξ ἡλιακῆς ἀκτῖνος ἐν ἀέρι διαφαινόμενον, καὶ οἷον ἐκ τοῦ ἐδάφους ἀνιμώμενον, ξεσμάτιά τινα δοκεῖ ταῦτα κονιορτώδη καὶ αὐτοῦ τοῦ χοὸς λεπτότερα. Ἐκ τούτων οὖν Ἐπίκουρος συνίστασθαι πάντα ἔλεγεν, οἷα κατὰ ἀνάλυσιν ἀπὸ τῶν μεγεθῶν χωρῶν, καὶ μηδὲν εὑρίσκων ἁπλούστερον ἢ λεπτότερον. Λέγονται δὲ καὶ οὐδετέρως ἄτομα, καὶ θηλυκῶς ἄτομοι.

C *De Epicuro, quotupliciter atomus intelligatur.*

At Epicurus, Deo providentiaque rejecta, casum et atomos introduxit. Multis autem modis atomus intelligitur. Nam et id significat quod cum difficultate secari potest, ut adamas; et quod nullam sectionem admittit, ut id quod vacat corpore, et quod a philosophis individuum singulareque dicitur, quod secari quidem potest, sectum tamen corrumpitur, ut, exempli gratia, Socrates. Etenim si secetur in caput, et manus, et ventrem, et pedes, non erit amplius Socrates. Atomum denique dicunt quod propter exiguitatem dividi nequit, ut punctum apud geometras, unitas apud arithmeticos, et momentum apud philosophos naturales. Tales atomi tum D in aere solis radiis illustrato apparent, tum e solo pavimentoque tolluntur. Quæ ramenta quædam terrestria videntur, ipso etiam pulvere tenuiora. Ex his omnia componi et consistere affirmat Epicurus, cum per resolutionem a magnis corporibus discedens, nihil simplicius subtiliusque reperiat

Κατὰ Ἐπικουρείων τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ περὶ Θεολογίας λόγου.

Τοῦ μὲν γὰρ εἶναι Θεὸν, καὶ τὴν πάντων ποιητικήν τε καὶ συνεκτικὴν αἰτίαν, καὶ ὄψις διδάσκαλος, καὶ ὁ φυσικὸς νόμος, ἡ μὲν τῶν ὁρωμένων προβάλλουσα, καὶ πεπηγόσι καλῶς, καὶ ὁδεύουσι, καὶ ἀκινήτως, ἵν' οὕτως εἴπω, κινουμένως καὶ φερομένως, ὁ δὲ διὰ τῶν ὁρωμένων καὶ τεταγμένων τὸν ἀρχηγὸν τούτων συλλογιζόμενος. Πῶς γὰρ ἂν

Contra Epicureos, magni Gregorii Theologi ex oratione II de theologia.

Quod Deus sit, quodque idem rerum sit omnium causa effectrix, et conservatrix, cum oculi nos docent ipsi, tum lex naturalis. Oculi, dum illos ad res quæ præclare compactæ sunt et ordine incedunt, immobilique, ut ita dicam, ratione motæ feruntur, contemplandas convertimus; naturæ lex, dum ex ipso rerum, quas cernimus et contemplamur,

ordine, earum auctorem moderatoremque colligimus. Quomodo enim orbis constitisset aut permaneret, nisi cuncta Deus et effecisset et conservaret? Ac, quemadmodum si quis citharæ pulcherrime elaboratæ concinnitatem et compositionem intueatur, aut ejusdem concentum exaudiat, ipsius citharæ opificem et moderatorem considerabit, ad eumque statim cogitatione rapietur, licet ipsum fortasse nunquam aspexerit: ita nobis eorum quæ facta sunt, auctor, et conservator, et motor est manifestus, quamvis animo non comprehendatur. Quod si quis non ad hæc usque ultro progrediatur, ut naturalibus demonstrationibus acquiescat, is sane quam improbus ac stultus est.

A καὶ ὑπέστη τόδε τὸ πᾶν, ἢ συνέστη, μὴ Θεοῦ πάντα καὶ οὐσιώσαντος καὶ συνέχοντος; Οὐδὲ γάρ κιθάραν τις ὁρῶν κάλλιστα ἠσκημένην, καὶ τὴν ταύτης εὐαρμοστίαν καὶ εὐταξίαν, ἢ τῆς κιθαρῳδίας αὐτῆς ἀκούων, ἄλλο τι ἢ τὸν τῆς κιθάρας δημιουργὸν, καὶ τὸν κιθαρῳδὸν ἐννοήσει, καὶ πρὸς αὐτὸν ἀναδραμεῖται τῇ διανοίᾳ, κἂν ἀγνοῶν τύχῃ ταῖς ὄψεσιν. Οὕτω καὶ ἡμῖν τὸ ποιητικὸν δῆλον, καὶ τὸ τηροῦν καὶ δηλοῦν τὰ πεποιημένα, κἂν μὴ διανοίᾳ περιλαμβάνηται· καὶ λίαν ἀγνώμων, ὁ μηδὲ μέχρι τούτων προϊὼν ἑκουσίως, καὶ ταῖς φυσικαῖς ἑπόμενος ἀποδείξεσι.

In eosdem ex eadem oratione.

Nos autem, qui Dei studio tenemur, nec adduci possumus, ut mundum sine principe et gubernatore credamus esse, ratione ipsa huc impellimur, ut ea quæ sensibus sunt exposita contemplemur, in iisque ab initio repetendis et explorandis immoremur. Verum quia non est consentaneum, ut illi eorum quæ, quantum ad sensum pertinet, eumdem obtinent honoris gradum, detur principatus, eadem ratione duce supra conscendimus, atque ita tandem ad eum pervenimus, per quem hæc ipsa, ut sint, habent; sic enim ipsi nobiscum: Quis cœlestibus terrestribusque rebus, et iis quæ in aere et aqua versantur, præscripsit hunc ordinem? Imo vero quis ea quæ antiquiora sunt, nempe cœlum et terram, et aerem, et aquæ naturam constituit? Quis ea disjunxit? Per quem mutua inter hæc societas, consensus et conspiratio? Ego enim virum illum, tametsi alienus est, laudo. Quis hæc movet, perpetuoque ac nunquam cessante progressu circumagit? Nonne eorum auctor atque opifex qui rationem illis inseruit, qua unumquodque fertur atque dirigitur? Quis porro eorum auctor atque opifex, nonne is qui ea fabricatus est, et, ut essent, perfecit? Neque enim in casu tantam esse facultatem concedendum est, ut causam eorum fateamur exstitisse. Quod si id concesserimus, num etiam pulcherrimi hujusce rerum ordinis erit causa? Sed demus id quoque, si videtur. Ut eadem autem ratione, qua principio rerum universitas constitit, conservetur, nonne ad aliud, quam ad casum referendum est? Ad aliud profecto. Ecquid autem erit istuc aliud? Nihil sane, nisi Deus.

Κατὰ τῶν αὐτῶν ἐκ τοῦ αὐτοῦ λόγου.

B Ἡμᾶς δὲ ὁ λόγος δεξάμενος ἐφιεμένους Θεοῦ, καὶ μὴ ἀνεχομένους τὸ ἀνηγεμόνευτόν τε καὶ ἀκυβέρνητον, εἶτα τοῖς ὁρωμένοις προσβάλλων, καὶ τῆς ἀπαρχῆς ἐντυγχάνων οὔπω μέχρι τούτων ἔστησεν. Οὐ γὰρ ἦν λόγου δοῦναι τὴν ἡγεμονίαν τοῖς ὁμοτίμοις κατὰ τὴν αἴσθησιν, καὶ διὰ τούτων ἄγει πρὸς τὸ ὑπὲρ ταῦτα καὶ δι' οὗ τούτοις τὸ εἶναι περίεστι. Τί γὰρ τὸ τάξαν τὰ οὐράνιά τε καὶ ἐπίγεια, ὅσα τε δι' ἀέρος, καὶ ὅσα καθ' ὕδατος, μᾶλλον δὲ τὰ πρὸ τούτων, οὐρανόν τε, καὶ γῆν, καὶ ἀέρα, καὶ φύσιν ὕδατος; Τίς ταῦτα ἔμιξε, καὶ ἐμέρισε; Τίς ἡ κοινωνία τούτων πρὸς ἄλληλα, καὶ συμφυΐα τούτων καὶ σύμπνοια; Ἐπαινῶ γὰρ τὸν εἰρηκότα, κἂν ἀλλότριος ᾖ. Τί τὸ ταῦτα κεκινηκὸς, καὶ ἄγον τὴν ἄληκτον φορὰν, καὶ ἀκώλυτον; C Ἆρ' οὐχ ὁ τεχνίτης τούτων, καὶ πᾶσι λόγον ἐνθεὶς, καθ' ὃν τὸ πᾶν φέρεταί τε καὶ διεξάγεται; Τίς δ' ὁ τεχνίτης τούτων; Ἆρ' οὐχ ὁ πεποιηκὼς ταῦτα, καὶ εἰς τὸ εἶναι παραγαγών; οὐ γὰρ δὴ τῷ αὐτομάτῳ δοτέον τοσαύτην δύναμιν. Ἔστω γὰρ τὸ γενέσθαι τοῦ αὐτομάτου· τίνος τὸ τάξαι; Καὶ τοῦτο, εἰ δοκεῖ, δῶμεν. Τίνος τὸ τηρῆσαι καὶ φυλάξαι καθ' οὓς πρῶτον ὑπέστη λόγους; ἑτέρου τινὸς ἢ τοῦ αὐτομάτου; ἑτέρου δηλαδὴ παρὰ τὸ αὐτόματον. Τοῦτο δὲ τί ποτε ἄλλο πλὴν Θεός;

In eosdem Gregorii Nyssæ pontificis ex libro qui inscribitur De cognitione Dei.

Quod ex simplicium elementorum terræ, aquæ, aeris, ignis permistione, aut ex corpusculis individuis omnia, quæ in mundo sunt, constent, ut asserit Epicurus, quod genitum est non genito, quodque factum effectore sine ulla dubitatione tanto præstantius atque præclarius deprehendetur, quanto simplicibus elementis et corpusculis illis, quæ atomos dicunt, homo præcellit. Præterea quomodo quæ natura inter se contraria sunt, aut sine detrimento ad unius orbis perfectionem concurrerunt? aut sine consilio rationeque convenire inter se et congruere potuerunt: aut homini rationem inserere, qua ipsa carent omnino, quippe quæ animi ac

D *Τοῦ Νύσσης ἐκ τῆς βίβλου τῆς λεγομένης Θεογνωσίας κατὰ τῶν αὐτῶν.*

Εἴπερ ἐκ τῆς τῶν ἁπλῶν στοιχείων συνουσίας, γῆς λέγω, καὶ ὕδατος, καὶ ἀέρος, καὶ πυρὸς, ἢ τῶν λεγομένων ἀτόμων κατ' Ἐπίκουρον τὰ ἐγκόσμια γεγένηται, εὑρεθήσεται τὸ γεννητὸν τοῦ ἀγεννήτου, καὶ τὸ ποιηθὲν τοῦ ποιήσαντος ἀσυγκρίτως κρεῖττον, καὶ τιμιώτερον, καὶ τοσοῦτον ὅσον ὁ ἄνθρωπος τῶν ἁπλῶν στοιχείων καὶ τῶν εἰρημένων ἀτόμων διαφορώτερος. Πῶς δ' ἂν καὶ κατὰ φύσιν ἐναντία συνέδραμον ἀβλαβῶς εἰς ἑνὸς κόσμου συμπλήρωσιν; Πῶς δ' ἂν καὶ συνεφώνησαν οὐκ ἔχοντα βούλησιν, ἢ λόγον; Ἢ πῶς τῷ ἀνθρώπῳ λόγον ἀνέθηκαν τὰ παντελῶς ἄψυχα, καὶ ἄλογα, καὶ ἀναίσθητα; Ἔδει δὲ καὶ ᾧ τὸ πλέον τῆς σφετέρας οὐσίας ἀπεκληρω-

σαν, ἐλέφαντά φημι, ἢ εἴ τι τούτου μεῖζον, ἐκείνῳ μᾶλλον συναποκληρῶσαι καὶ τὸ κατὰ πάντων τῶν ὑποδεεστέρων ἡγεμονικὸν καὶ βασιλικόν. Ἀλλὰ μὴν τῷ πολλῷ τούτων λειπόμενον κατὰ σωματικὸν μέγεθος καὶ ῥώμην ὁ ἄνθρωπος ἐκείνου κατάρχει διὰ τὸν λόγον, ὃν ἐκ τοῦ λόγον ἔχοντος Δημιουργοῦ πάντως κατεπλούτησε. Πῶς δ' ἂν καὶ ἐκ τῶν εἰκῆ καὶ ὡς ἔτυχε φερομένων τὰ τεταγμένα γεγονέναι λέγοιντο;

Κατὰ τῶν ἄλλων Ἑλλήνων τοῦ ἁγίου Γρηγορίου ἐκ τοῦ εἰς τὰ ἅγια Φῶτα λόγου.

Οὐ γὰρ τοῦτο μόνον δεινὸν τὸ πεποιημένον ἐπ' ἔργοις ἀγαθοῖς εἰς δόξαν καὶ ἔπαινον τοῦ πεποιηκότος, καὶ Θεοῦ μίμησιν ὅσον ἐφικτὸν ὁρμητήριον γενέσθαι παντοίων παθῶν, βοσκομένων κακῶς, καὶ δαπανώντων τὸν ἐντὸς ἄνθρωπον, ἀλλὰ καὶ τὸ θεοὺς στήσασθαι συνηγόρους τοῖς πάθεσιν, ἵνα μὴ μόνον ἀνεύθυνον τὸ ἁμαρτάνειν, ἀλλὰ καὶ θεῖον νομίζηται, εἰς τοιαύτην καταφεῦγον ἀπολογίαν τὰ προσκυνούμενα.

Κατὰ τῶν αὐτῶν ἐκ τοῦ αὐτοῦ λόγου.

Ὡς εἴπερ ἀσεβεῖν αὐτοὺς ἔδει πάντως, καὶ τῆς τοῦ Θεοῦ δόξης ἀποπεσεῖν εἰς εἴδωλα κατενεχθέντας, καὶ τέχνης ἔργα, καὶ χειρῶν ποιήματα, μὴ ἂν ἄλλο τι κατ' αὐτῶν εὔξασθαι τοὺς νοῦν ἔχοντας ἢ τοιαῦτα σεβασθῆναι, καὶ οὕτω τιμῆσαι, ἵνα *τὴν ἀντιμισθίαν, ἣν ἔδει τῆς πλάνης*, ὥς φησι Παῦλος, *ἀπολαμβάνωσιν*, ἐν οἷς σέβονται, οὐ μᾶλλον τιμῶντες δι' ἑαυτῶν τὰ σεβάσματα, ἢ δι' ἐκείνων ἀτιμαζόμενοι· βδελυκτοὶ τῆς πλάνης, βδελυκτότεροι τῆς εὐτελείας τῶν προσκυνουμένων καὶ σεβομένων, ἵνα καὶ αὐτῶν τῶν τιμωμένων ὦσιν ἀναισθητότεροι, τοσοῦτον ὑπερβάλλοντες ἀνοίᾳ, ὅσον εὐτελείᾳ τὰ προσκυνούμενα.

Κατὰ τῶν αὐτῶν ἐκ τοῦ λόγου τοῦ περὶ Θεολογίας.

Αἵμασί τε καὶ κνίσσαις, ἔστι δὲ οἷς γε καὶ πράξεσι λίαν αἰσχραῖς μανίαις τε καὶ ἀνθρωποκτονίαις. Τοιαύτας γὰρ ἔπρεπεν εἶναι θεῶν τοιούτων καὶ τὰς τιμάς.

Κατὰ τῶν αὐτῶν ἐκ τοῦ λόγου τοῦ εἰς τὰ ἅγια Φῶτα.

Δαιμόνων εὑρήματα σκοτεινῶν, καὶ διανοίας ἀνάπλασμα κακοδαίμονος χρόνῳ βεβηθούμενον, καὶ μύθῳ κλεπτόμενον· ἃ γὰρ ὡς ἀληθῆ προσκυνοῦσιν, ὡς μυθικὰ συγκαλύπτουσι. Δέον εἰ μὲν ἀληθῆ, μὴ μύθους ὀνομάζεσθαι, εἰ δὲ ψευδῆ, μὴ θαυμάζεσθαι, μηδ' οὕτως ἰταμῶς ἐναντιωτάτας ἔχειν δόξας περὶ τοῦ αὐτοῦ πράγματος, ὥσπερ ἐν ἀγορᾷ μειρακίων παίζοντας, ἀλλ' οὐκ ἀνδράσι διαλεγομένους νοῦν ἔχουσι, καὶ Λόγου προσκυνηταῖς, καὶ τὴν ἔντεχνον ταύτην καὶ ῥυπαρὰν πιθανότητα διαπτύουσιν. Ἐπεὶ δὲ ἀπεσκευασάμεθα τὸ ἀλλότριον, φέρε καταρτίσωμεν τὸ ἡμέτερον.

[1] Rom. III, 27.

A sensus expertia sint? Quid? nonne oportebat, cui naturæ suæ plurimum tribuissent, qualis est elephas, aut si quod animal elephante majus est, id minoribus animalibus ut ducem regemque præstare? Nunc autem homo, elephante corporis magnitudine ac robore multis partibus inferior, imperat illi propter rationem, qua ab opifice suo plane ditatus est. Jam qui fieri potest, ut ex iis quæ casu temereque feruntur, consistant ea quæ ordine constituta sunt?

Contra reliquos Græcos magni Gregorii Theologi ex oratione in Sacra Lumina.

Non solum enim id grave fuit, quod qui facti sunt ut recte viverent, effectorisque sui laudem et gloriam quærerent, et Deum, quoad fieri posset,
B imitarentur, vitiorum omnium interiorem hominem male depascentium et corrumpentium facti sunt receptaculum, sed etiam quod Deos, sibi vitiis suis faventes opitulantesque confinxerunt, ut peccare non solum liceret impune, verum etiam laudabile divinumque videretur, quod deorum suorum exemplo fieret.

In eosdem ex eadem oratione

Ut si a pietate declinarent omnino, et a vero Dei cultu recederent, ad simulacra et artis opera manuum figmenta ducerentur. Quid enim illis inimici eorum, si saperent, gravius possent imprecari, quam ut deos ejusmodi colerent et adorarent, quo religione sua *dignam*, ut Paulus ait, *mercedem*
C *perciperent, non magis honore eos afficientes, quam ex eorum cultu ignominiam reportantes* [1], contemnendi propter errorem, sed magis etiam aspernandi propter sordes et dedecus illorum, quos venerantur et colunt. Ut simulacris ipsis stupidiores esse videantur, tantoque dementiores, quanto viliora abjectioraque sunt eorum numina.

In eosdem ex oratione De theologia.

Cruore, et nidore, et turpibus etiam factis nonnunquam, furoreque, et mactandis hominibus deos colendos existimarunt. Talem enim esse ejusmodi deorum cultum oportebat.

In eosdem ex oratione in Sancta Lumina.

D Tenebricosa dæmonum inventa, figmentaque mentis insanæ atque infelicis, tempore confirmata, fabulisque contecta. Quæ enim ut vera colunt, ea cælant tanquam fictitia. Æquius autem erat, si vera essent, fabulas non appellare. Sin fictitia, non admirari. Neque ita temere contrarias de eadem re opiniones suscipere, non aliter, ac si in foro cum pueris colluderent, non autem cum viris sapientibus et ratione Deum colentibus disputarent, qui artificiosa ista ac sordida ipsorum figmenta contemnunt atque despiciunt. Verum quoniam aliena confutavimus, age nostra constituamus et confirmemus.

ΠΙΝΑΞ

ΤΗΣ ΒΙΒΛΟΥ ΤΗΣ ΕΠΟΝΟΜΑΖΟΜΕΝΗΣ *ΔΟΓΜΑΤΙΚΗΣ ΠΑΝΟΠΛΙΑΣ*.

—

INDEX

LIBRI *PANOPLIA DOGMATICA* INSCRIPTI.

—

Titulus I. — *Ratiocinatio syllogistica, qua Deus unus esse ejusdem naturæ: Verbum, ac Spiritum item, nempe Filium et Spiritum sanctum habere demonstratur. Ex oratione catechetica Gregorii Nyssæ pontificis.*	A Τίτλος Α'. — *Συλλογιστικὴ ἀπόδειξις, ὅτι εἷς ἐστι Θεὸς, καὶ ὅτι καὶ Λόγον ἔχει ὁμοούσιον ἑαυτῷ, καὶ Πνεῦμα ὁμοίως, ἅπερ εἰσὶν ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ κατηχητικοῦ λόγου τοῦ Νύσσης.*
Titulus II. — *De Patre et Filio et Spiritu sancto distincta simul atque conjuncta divinitatis ratio.*	Τίτλος Β'. — *Περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος διακεκριμένη ἅμα καὶ ἡνωμένη θεολογία.*
Titulus III. — *De Deo seu Divinitate communiter. Qui Deum, aut Divinitatem aut divinum Numen dicit, communi horum appellatione tres unius divinitatis hypostases, sive personas declarare.*	Τίτλος Γ'. — *Περὶ Θεοῦ κοινῶς. Δῆλον δὲ ὅτι ὁ Θεὸν εἰπὼν, ἢ Θεότητα, ἢ τὸ θεῖον ἁπλῶς καὶ ἀπροσδιορίστως, τὰς τρεῖς ὑποστάσεις τῆς μιᾶς θεότητος ἐνέφηνε τῇ καθολικῇ τούτων προσηγορίᾳ.*
Titulus IV. — *Divinam naturam comprehendi non posse.*	B Τίτλος Δ'. — *Περὶ τοῦ ἀκατάληπτον εἶναι τὴν θείαν φύσιν.*
Titulus V. — *De divina appellatione.*	Τίτλος Ε'. — *Περὶ θεωνυμίας.*
Titulus VI. — *De opificio Dei.*	Τίτλος Ϛ'. — *Περὶ τῆς θείας δημιουργίας.*
Titulus VII. — *De divina humanatione.*	Τίτλος Ζ'. — *Περὶ τῆς θείας ἐνανθρωπήσεως.*
Titulus VIII. — *Contra Hebræos, ex libro, ut fertur, Nysseni, De cognitione Dei.*	Τίτλος Η'. — *Κατὰ Ἑβραίων ἐκ τῆς λεγομένης εἶναι τοῦ Νύσσης βίβλου, τῆς προσαγορευομένης Θεογνωσίας.*
Titulus IX. — *Contra Simonem Samarensem, et Marcionem Ponticum, et Manetem Persam, et Manichæos.*	Τίτλος Θ'. — *Κατὰ Σίμωνος τοῦ Σαμαρέως, καὶ Μαρκίωνος τοῦ Ποντικοῦ, καὶ τοῦ Πέρσου Μάνεντος, καὶ τῶν Μανιχαίων.*
Titulus X. — *Adversus Sabellium ex S. Cyrillo.*	Τίτλος Ι'. — *Κατὰ Σαβελλιανῶν τοῦ ἁγίου Κυρίλλου.*
Titulus XI. — *In Arianos, magni Athanasii.*	C Τίτλος ΙΑ'. — *Κατὰ Ἀρειανῶν τοῦ μεγάλου Ἀθανασίου.*
Titulus XII. — *Contra Sviritus sancti impugnatores.*	Τίτλος ΙΒ'. — *Κατὰ Πνευματομάχων.*
Titulus XIII. — *Photii patriarchæ, contra Latinos, quod ex Patre tantum procedit Spiritus sanctus, non et ex Filio.*	Τίτλος ΙΓ'. — *Φωτίου Πατριάρχου κατὰ τῶν τῆς παλαιᾶς Ῥώμης, ὅτι ἐκ Πατρὸς μόνου ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' οὐχὶ καὶ ἐκ τοῦ Υἱοῦ.*
Titulus XIV. — *Contra Apollinarium.*	Τίτλος ΙΔ'. — *Κατὰ Ἀπολλιναρίου.*
Titulus XV. — *Contra Nestorianos.*	Τίτλος ΙΕ'. — *Κατὰ Νεστοριανῶν.*
Titulus XVI. — *Contra Monophysitas, quorum auctor Eutyches archimandrita.*	Τίτλος ΙϚ'. — *Κατὰ Μονοφυσιτῶν, ὧν αἱρεσιάρχης ὁ Εὐτυχὴς, ὁ ἀρχιμανδρίτης.*
Titulus XVII. — *Contra Aphthartodocetas.*	Τίτλος ΙΖ'. — *Κατὰ Ἀφθαρτοδοκητῶν.*
Titulus XVIII. — *Contra eos qui dicunt Deum Verbum impatibiliter esse passum.*	Τίτλος ΙΗ'. — *Κατὰ τῶν λεγόντων, Ἔπαθεν ὁ Θεὸς Λόγος ἀπαθῶς.*

[Τίτλος ΙΘ'.— Κατὰ Ἀγνοητῶν λεγόντων ἀγνοεῖν τὸν Υἱὸν καὶ Θεὸν τὴν ἡμέραν καὶ ὥραν τῆς παγκοσμίου συντελείας, ὡς ἐλάττω τοῦ Πατρός. *] A
[Τίτλος Κ'. — Κατὰ Ὠριγένους.]
Τίτλος ΚΑ'. — Κατὰ Σεργίου, καὶ Πύῤῥου, καὶ Παύλου πατριαρχῶν Κωνσταντινουπόλεως δογματιζόντων ἐπὶ Χριστοῦ μίαν θέλησιν, καὶ ἐνέργειαν, οἳ καὶ Μονοθελῆται λέγονται.
Τίτλος ΚΒ'.— Κατὰ Εἰκονομάχων.
Τίτλος ΚΓ'.— Κατὰ Ἀρμενίων.
Τίτλος ΚΔ'.— Κατὰ τῶν λεγομένων Παυλικιανῶν.
Τίτλος ΚΕ'.— Περὶ τοῦ σταυροῦ, περὶ τοῦ ἁγίου βαπτίσματος, καὶ περὶ τῆς μεταλήψεως τοῦ Δεσποτικοῦ σώματος καὶ αἵματος. B
Τίτλος ΚϚ'.— Κατὰ Μασσαλιανῶν.
Τίτλος ΚΖ'.— Κατὰ Βογομίλων.
[Τίτλος ΚΗ'.— Κατὰ Σαρακηνῶν **.]
Παράρτιτλος.— Φωτίου πατριάρχου Κωνσταντινουπόλεως ἐκ τῆς πρὸς Μιχαὴλ τὸν ἄρχοντα Βουλγαρίας ἐπιστολῆς περὶ τῶν ἑπτὰ οἰκουμενικῶν συνόδων.

Titulus XIX. — *Contra Agnoetas qui aiunt Filium, ut Patre minorem, ignorare diem et horam consummationis mundi.*
Titulus XX. — *Contra Origenem.*
Titulus XXI. — *Contra Sergium, Pyrrhum et Paulum, patriarchas Constantinopolis, qui docebant unam in Christo esse voluntatem et energiam ; qui et Monothelitæ dicuntur.*
Titulus XXII — *Contra Iconomachos.*
Titulus XXIII. — *Contra Armenios.*
Titulus XXIV. — *Contra eos qui dicuntur Pauliciani.*
Titulus XXV. — *De cruce, de sancto baptismate et de transmutatione Dominici corporis et sanguinis.*
Titulus XXVI. — *Contra Massalianos.*
Titulus XXVII. — *Contra Bogomilos.*
Titulus XXVIII. — *Contra Saracenos.*
Appendix. — *Photii patriarchæ Constantinopolitani ex epistola ad Michaelem Bulgariæ principem de septem synodis œcumenicis.*

* Inclusa hic et in textu supplemus ex Chr. Frid. Matthæi Prolegomenis ad Euthymii Commentaria in Evangelia. Edit. Patr.
** Ab editore Tergobystensi præ metu Turcarum omissus.

EUTHYMII MONACHI
ZIGABENI
ORTHODOXÆ FIDEI DOGMATICA PANOPLIA.

—

ΤΙΤΛΟΣ Α'. C

Συλλογιστικὴ ἀπόδειξις, ὅτι εἷς ἐστι Θεὸς, καὶ ὅτι καὶ Λόγον ἔχει ὁμοούσιον αὐτῷ, καὶ Πνεῦμα ὁμοίως, ἅπερ εἰσὶν ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Τοῦ Νύσσης ἐκ τοῦ κατηχητικοῦ λόγου.

Ὅταν πρός τινα τῶν ἑλληνιζόντων διάλεξις ᾖ, καλῶς ἂν ἔχοι τοιαύτην ἀρχὴν ποιεῖσθαι τοῦ λόγου. πότερον εἶναι τὸ θεῖον ὑπείληφεν, ἢ τῷ τῶν ἀθέων συμφέρεται δόγματι; Εἰ μὲν οὖν μὴ εἶναι λέγοι ἐκ τῶν τεχνικῶς καὶ σοφῶς κατὰ τὸν κόσμον οἰκονομουμένων, προαχθήσεται πρὸς τὸ διὰ τούτων εἶναί τινα δύναμιν τὴν ἐν τούτοις δεικνυμένην, καὶ τοῦ παντὸς ὑπερκειμένην ὁμολογῆσαι· εἰ δὲ τὸ μὲν εἶναι μὴ ἀμφιβάλλοι, εἰς πλῆθος δὲ θεῶν ταῖς ὑπονοίαις ἐκφέροιτο, τοιαύτῃ χρησόμεθα πρὸς αὐτὸν

TITULUS I.

Ratiocinatio syllogistica, qua Deus unus esse, ejusdemque naturæ Verbum, ac Spiritum item, nempe Filium, et Spiritum sanctum habere demonstratur. Ex oratione catechetica Gregorii Nysseni.

Quando cum aliquo eorum qui Græcorum opinionibus favent, instituitur disputatio, commodum est, ut initio disputationis interrogetur, utrum Deum esse fateatur, an neget. Si negabit, ex ratione sapientiaque, quæ in mundi moderatione viget, cogetur confiteri, vim quamdam indicari quæ rebus omnibus præsit. Quod si esse quidem non dubitabit, sed multos tamen esse putabit deos, ita deinceps cum illo agemus; existimetne perfectum esse numen, an imperfectum, eoque perfectionem, ut par est, tri-

A buente divinæ naturæ, rursum rogabimus, num omnibus illis rationibus, quæ in divinitate cernuntur, perfectum dicat, ne ex contrariis, perfectoque et imperfecto constet. Quo item concesso, non erit difficile adversarii animum deorum multitudine distractum adducere, ut divinitatem unam esse fateatur. Nam si perfectum omnibus partibus dabit, multaque eodem pacto perfecta dicet, necesse erit, ut in iis quæ nulla ratione discrepabunt, sed eadem prorsus videbuntur, aut proprium aliquid ostendatur, aut si proprii nihil apparuerit, nullam animus differentiam poterit cogitare. Etenim si nec ea re discrimen comprehendetur, quod majora minorave sint, quoniam perfectionis ratio non admittit, ut minor sit: nec quod deteriora sint, aut præstantiora, quia divinitas non cadit in id quod deterius appellari potest: nec quod antiquiora recentiorave sint, quandoquidem id quod semper non est, ab eo quod numen ac Deum esse mens concipit, abest: cum una eademque sit divinitatis ratio, nullaque in ea vere proprietas reperiatur, necessarium est, ut qui opinionis errore multos sibi deos fingebat, unam divinitatem esse fateatur. Nam si bonum, et justum, et sapiens, et potens, et incorruptum, et æternum, et reliquæ omnes piæ notiones ita congregentur, ut omnis omnino tollatur differentia, his omnibus in uno eodemque conclusis, necessario aufertur deorum multitudo.

A ἀπολογίᾳ, πότερον τέλειον, ἢ ἐλλειπὲς ἡγεῖται τὸ θεῖον; Τοῦ δὲ, κατὰ τὸ εἰκὸς, τὴν τελειότητα μαρτυροῦντος τῇ θείᾳ φύσει τὸ διὰ πάντων αὐτῶν τῶν ἐνθεωρουμένων τῇ θεότητι τέλειον ἀπαιτήσομεν, ὡς ἂν μὴ σύμμικτον ἐκ τῶν ἐναντίων θεωροῖτο τὸ θεῖον ἐξ ἐλλειποῦς καὶ τελείου. Τοιούτου δὲ δοθέντος, οὐκ ἔτ' ἂν εἴη χαλεπὸν τὸ ἐσκεδασμένον τῆς διανοίας εἰς πλῆθος θεῶν πρὸς μιᾶς θεότητος περιαγαγεῖν ὁμολογίαν. Εἰ γὰρ τὸ τέλειον ἐν παντὶ θείη περὶ τὸ ὑποκείμενον ὁμολογεῖσθαι, πολλὰ δὲ εἶναι τὰ τέλεια διὰ τῶν αὐτῶν χαρακτηριζόμενα λέγοι· ἀνάγκη πᾶσα ἐπὶ τῶν μηδεμιᾷ παραλλαγῇ διακρινομένων, ἀλλ' ἐν τοῖς αὐτοῖς θεωρουμένων, ἢ ἐπιδεῖξαι τὸ ἴδιον, ἢ εἰ μηδὲν ἰδιαζόντως καταλαμβάνοι ἡ ἔννοια, ἐφ' ὧν τὸ διακρῖνον οὐκ ἔστι, μὴ ὑπονοεῖν τὴν διά- B κρισιν. Εἰ γὰρ μήτε παρὰ τὸ πλέον καὶ ἔλαττον τὴν διαφορὰν ἐξευρίσκοι, διότι τὴν ἐλάττωσιν ὁ τῆς τελειότητος οὐ παραδέχεται λόγος μήτε τὴν παρὰ τὸ χεῖρον, καὶ προτιμότερον· οὐ γὰρ ἂν ἔτι θεότητος ὑπόληψιν σχοίη οὗ ἡ τοῦ χείρονος οὐκ ἄπεστι προσηγορία, μήτε κατὰ τὸ ἀρχαῖον καὶ πρόσφατον· τὸ γὰρ μὴ ἀεὶ ὂν ἔξω τῆς περὶ τὸ θεῖόν ἐστιν ὑπολήψεως· ἀλλ' εἷς καὶ ὁ αὐτὸς τῆς θεότητος λόγος οὐδεμιᾶς ἰδιότητος ἐν οὐδενὶ κατὰ τὸ εὔλογον εὑρισκομένης· ἀνάγκη πᾶσα πρὸς μίαν θεότητος ὁμολογίαν συνθλιβῆναι τὴν πεπλανημένην περὶ τοῦ πλήθους τῶν θεῶν φαντασίαν. Εἰ γὰρ τὸ ἀγαθὸν, καὶ τὸ δίκαιον, τό τε σοφὸν, καὶ τὸ δυνατὸν ὡσαύτως λέγοιτο, ἥ τε ἀφθαρσία, καὶ ἡ ἀϊδιότης, καὶ πᾶσα εὐσεβὴς διάνοια κατὰ τὸν αὐτὸν ὁμολογοῖτο τρόπον, πάσης κατὰ πάντα λόγον διαφορᾶς ὑφαιρουμένης, συνυφαιρεῖται κατὰ ἀνάγκην τὸ τῶν θεῶν πλῆθος ἀπὸ τοῦ δόγματος, τῆς διὰ πάντων ταυτότητος εἰς τὸ ἓν τὴν πίστιν περιαγούσης.

C Verum quia religionis veritas quamdam personarum differentiam perspicit in unitate naturæ, ne dum Græcos impugnamus, in Judæorum labamur errorem, non alienum est, ut eum quoque artificiosa quadam distinctione confutemus et refellamus. Nec illi quidem, qui a nostra religione abhorrent, numen rationis expers constituunt, hoc autem nobis concessum satis est ad id quod volumus comprobandum. Qui enim Deum non esse rationis expertem confitetur, is eum habere rationem concedit. Atqui eodem nomine dicitur etiam humana ratio. Quare si quis ad rationis nostræ similitudinem Dei rationem cogitabit, mox ad notionem subliniorum perducetur. Necesse enim est, ut eodem modo ratio seu oratio congruat D naturæ, quo reliqua item omnia conveniunt. Nam licet in homine vita, et potentia, et sapientia cernatur, non tamen ob nominum similitudinem eamdem in Deo vitam, aut potentiam, aut sapientiam dices, sed pro humili naturæ nostræ conditione demittentur et extenuabuntur harum vocum significationes. Etenim quoniam mortalis et imbecilla est natura nostra, idcirco et vita brevis est, et potentia infirma, et ratio sive oratio incerta. At quidquid de supremæ illius naturæ magnitudine dicitur, id magnum eique congruum est. Proinde cum Dei ratio, sive oratio verbumve dicimus, id non intelligimus tale, ut, quemadmodum in nobis

C Ἀλλ' ἐπειδήπερ ὁ τῆς εὐσεβείας λόγος οἶδέ τινα διάκρισιν ὑποστάσεων ἐν τῇ ἑνότητι τῆς πίστεως βλέπειν, ὡς ἂν μὴ τῇ πρὸς τοὺς Ἕλληνας μάχῃ πρὸς τὸν Ἰουδαϊσμὸν ἡμῖν ὁ λόγος ὑπενεχθείη, πάλιν προσήκει διαστολῇ τινι τεχνικῇ καὶ τὴν περὶ τοῦτο πλάνην ἐπανορθώσασθαι· οὐδὲ γὰρ τοῖς ἔξω τοῦ καθ' ἡμᾶς δόγματος ἄλογον εἶναι τὸ θεῖον ὑπείληπται. Τοῦτο δὲ παρ' ἐκείνων ὁμολογούμενον ἱκανῶς διαρθρώσει τὸν ἡμέτερον λόγον. Ὁ γὰρ ὁμολογῶν μὴ ἄλογον εἶναι τὸν Θεὸν πάντως λόγον ἔχειν τὸν μὴ ἄλογον συγκαταθήσεται. Ὅτι ὡς αἱ οὐσίαι διάφοροι τοῦ τε Θεοῦ καὶ τοῦ ἀνθρώπου, διάφορός ἐστι καὶ ὁ λόγος. Ἀλλὰ μὴν καὶ ὁ ἀνθρώπινος ὁμωνύμως λέγεται λόγος· οὐκοῦν εἰ λέγοι καθ' ὁμοιότητα τοῦ παρ' ἡμῖν, καὶ τὸν τοῦ Θεοῦ λόγον ὑπονοεῖν, οὕτω με- D ταχθήσεται πρὸς τὴν ὑψηλοτέραν ὑπόληψιν. Ἀνάγκη γὰρ πᾶσα κατάλληλον εἶναι πιστεύειν τῇ φύσει τὸν λόγον, ὡς καὶ τὰ ἄλλα πάντα. Καὶ γὰρ δύναμίς τις, καὶ ζωὴ, καὶ σοφία περὶ τὸ ἀνθρώπινον βλέπεται, ἀλλ' οὐκ ἄν τις ἐκ τῆς ὁμωνυμίου τοιαύτην καὶ ἐπὶ τοῦ Θεοῦ τὴν ζωὴν, ἢ τὴν δύναμιν ἢ τὴν σοφίαν ὑπονοήσειεν, ἀλλὰ πρὸς τὸ τῆς φύσεως τῆς ἡμετέρας μέτρον συνταπεινοῦνται καὶ αἱ τῶν τοιούτων ὀνομάτων ἐμφάσεις. Ἐπειδὴ γὰρ φθαρτὴ καὶ ἀσθενὴς ἡμῶν ἡ φύσις, διὰ τοῦτο ὠκύμορος ἡμῶν ἡ ζωὴ, ἀνυπόστατος ἡ δύναμις, ἀπαγὴς ὁ λόγος. Ἐπὶ δὲ τῆς ὑπερκειμένης φύσεως τῷ μεγαλείῳ τοῦ θεωρουμένου πᾶν τὸ περὶ αὐτῆς λεγόμενον συνεπαίρεται. Οὐκοῦν

κἂν ὁ Λόγος Θεοῦ λέγηται, οὐχ ἐν τῇ ὁρμῇ τοῦ A φθεγγομένου τὴν ὑπόστασιν ἔχειν νομισθήσεται, καθ' ὁμοιότητα τοῦ ἡμετέρου μεταχωρῶν εἰς ἀνύπαρκτον, ἀλλ' ὥσπερ ἡ ἡμετέρα φύσις ἐπίκηρος οὖσα, καὶ ἐπίκηρον τὸν λόγον ἔχει, οὕτως ἡ ἄφθαρτος, καὶ ἀεὶ ἑστῶσα φύσις ἀΐδιον ἔχει καὶ ὑφεστῶτα τὸν Λόγον. Εἰ δὲ τοῦτο κατὰ τὸ ἀκόλουθον ὁμολογηθείη, τὸ ὑφεστάναι τὸν τοῦ Θεοῦ Λόγον ἀϊδίως, ἀνάγκη πᾶσα ἐν ζωῇ τοῦ Λόγου τὴν ὑπόστασιν εἶναι ὁμολογεῖν. Οὐ γὰρ καθ' ὁμοιότητα τῶν λίθων ἀψύχως ὑφεστάναι τὸν Λόγον εὐαγές ἐστιν οἴεσθαι· ἀλλ' εἰ ὑφέστηκε, νοερόν τι χρῆμα καὶ ἀσώματον ὄν, ζῇ πάντως. Εἰ δὲ τοῦ ζῆν κεχώρισται, οὐδὲ ἐν ὑποστάσει πάντως ἐστίν. Ἀλλὰ μὴν ἀσεβὲς ἀπεδείχθη τὸν τοῦ Θεοῦ Λόγον ἀνυπόστατον εἶναι· οὐκοῦν συναπεδείχθη κατὰ τὸ ἀκόλουθον τὸ ἐν ζωῇ τοῦτον θεωρεῖσθαι B τὸν Λόγον. Ἁπλῆς δὲ τῆς τοῦ Λόγου φύσεως κατὰ τὸ εἰκὸς εἶναι πεπιστευμένης, καὶ οὐδὲ μίαν διπλόην, καὶ σύνθεσιν ἐν ἑαυτῇ δεικνυούσης, οὐκ ἔτ' ἄν τις κατὰ μετουσίαν ζωῆς τὸν Λόγον ἐν ζωῇ θεωροίη. Οὐ γὰρ ἐκτὸς εἴη συνθέσεως ἡ τοιαύτη ὑπόληψις, τὸ ἕτερον ἐν ἑτέρῳ λέγειν εἶναι, ἀλλ' ἀνάγκη πᾶσα τῆς ἁπλότητος ὁμολογουμένης, αὐτοζωὴν εἶναι τὸν Λόγον οἴεσθαι, οὐ ζωῆς μετουσίαν. Εἰ οὖν ζῇ ὁ Λόγος, ὡς ζωὴ ὤν, καὶ προαιρετικὴν ἤτοι θεληματικὴν πάντως δύναμιν ἔχει. Οὐδὲν γὰρ ἀπροαίρετον τῶν ζώντων ἐστί. Τὴν γὰρ προαίρεσιν ταύτην καὶ δυνατὴν εἶναι κατὰ τὸ ἀκόλουθον εὐσεβές ἐστι λογίζεσθαι. Εἰ γὰρ μή τις τὸ δυνατὸν ὁμολογοίη, τὸ ἀδύνατον πάντως κατασκευάσει. Ἀλλὰ μὴν πόῤῥω πάντως τῆς περὶ τὸ θεῖον ὑπολήψεώς ἐστι τὸ ἀδύνατον. C Οὐδὲν γὰρ τῶν ἀπεμφαινόντων περὶ τὴν θείαν θεωρεῖται φύσιν. Ἀνάγκη δὲ πᾶσα τοσαύτην εἶναι ὁμολογεῖν τοῦ Λόγου τὴν δύναμιν, ὅση ἐστὶ καὶ ἡ πρόθεσις, ἵνα μή τις μίξις τῶν ἐναντίων καὶ συνδρομὴ περὶ τὸ ἁπλοῦν θεωροῖτο. Ἀδυναμίας δὲ καὶ δυνάμεως ἐν τῇ αὐτῇ προθέσει θεωρουμένων, εἴπερ τὸ μὲν δύναται, πρὸς δέ τι ἀδυνάτως ἔχει, πάντα δὲ δυναμένην τὴν τοῦ Λόγου προαίρεσιν, πρὸς οὐδὲν τῶν κακῶν τὴν ῥοπὴν ἔχειν· ἀλλοτρία γὰρ τῆς θείας φύσεως ἡ πρὸς κακίαν ὁρμή· ἀλλὰ πᾶν ὅ τι περ ἐστὶν ἀγαθὸν, τοῦτο καὶ βούλεσθαι· βουλομένην δὲ, καὶ δύνασθαι· δυναμένην δὲ, μὴ ἀνενέργητον εἶναι, ἀλλὰ πᾶσαν ἀγαθοῦ πρόθεσιν εἰς ἐνέργειαν ἄγειν. Ἀγαθὸν δὲ ὁ κόσμος, καὶ τὰ ἐν αὐτῷ πάντα D σοφῶς τε καὶ τεχνικῶς θεωρούμενα. Ἄρα τοῦ Λόγου ἔργα τὰ πάντα, τοῦ ζῶντος μὲν, καὶ ὑφεστῶτος, ὅτι Θεοῦ Λόγος ἐστὶ, προαιρουμένου δὲ, ὅτι ζῇ, δυναμένου δὲ πᾶν ὅ τι περ ἂν ἕληται· αἱρουμένου δὲ τὸ ἀγαθόν τε, καὶ σοφὸν πάντως, καὶ εἴ τι τῆς κρείττονος σημασίας ἐστίν. Ἐπεὶ οὖν ἀγαθόν τι ὁ κόσμος ὡμολόγηται, ἀπεδείχθη δὲ διὰ τῶν εἰρημένων τοῦ Λόγου ἔργον τὸν κόσμον εἶναι, τοῦ τὸ ἀγαθὸν καὶ αἱρουμένου, καὶ δυναμένου, ἄρα ὁ Λόγος οὗτος ἕτερός ἐστι παρὰ τὸν οὗ ἐστι Λόγος. Τρόπον γάρ τινα τῶν πρός τι λεγομένων καὶ οὗτός ἐστιν, ἐπειδὴ χρὴ πάντως τῷ Λόγῳ καὶ τὸν Πατέρα τοῦ Λόγου συνυπακούεσθαι. Οὐ γὰρ ἂν εἴη Λόγος, μή τινος ὢν Λόγος. Εἰ οὖν διακρίνειε τῷ σχετικῷ τῆς σημασίας ἡ τῶν

A fit, ad loquentis impetum consistat, et ad nihilum tendat, sed ut natura nostra, cum sit mortalis, mortale quoque verbum habet, sic immortalis semperque consistens natura Verbum habet immortale ac sempiternum. Jam si ex his conficitur Dei Verbum semper constare, necesse est, illud in vita consistere confiteri. Neque enim consentaneum est, ipsum lapidum instar inanimum arbitrari. Sed si est, cum intelligens sit et incorporeum, vivit omnino. Nam si absit a vita, neutiquam consistit. At dicere Dei Verbum non consistere, impium est, ut declaravimus, ex quo sequitur, ut hoc Verbum in vita spectetur. Ejus autem natura cum simplex sit, nec duplicitatem aut compositionem ullam admittat, nemo illud sic in vita B esse cogitabit, quasi naturæ sit particeps. Nam ejusmodi cogitatio a compositione non abesset, quippe quæ rem unam in alia constitueret. Itaque Verbi simplicitate concessa necesse est, illud non vitæ particeps, sed ipsam esse vitam confiteri. Quod si vivit Verbum, atque adeo est ipsa vita, nimirum et propositi, ac voluntatis habet facultatem. Nihil enim in eorum quæ vivunt est numero, quod hac careat facultate. Existimandum est autem propositum ac voluntatem ejus fieri posse. Si quis enim id quod fieri potest, non concesserit, id quod fieri nequit, nunquam inveniet. At cum de Deo cogitamus, quod fieri non potest procul ab illo removemus; nihil enim dissentaneum in naturam divinam cadit. Porro tantam necesse est Verbi C potestatem confiteri, quantum ejus est propositum voluntatis, ne qua contrariorum permistio in eo quod simplex est reperiatur, idque quod fieri nequit, et quod fieri potest in eodem proposito appareant, siquidem aliud efficere valet, aliud non valet. Cæterum cum omnia Verbi proposito perfici possint, ad nihil tamen quod malum sit, efficiendum movetur. Nam divinæ naturæ motus a malo alienus est. Quidquid autem bonum est, id etiam vult; quod autem vult, et plane potest. Quod vero potest, infectum non sinit, sed quæcunque bona sibi proponit, ea perficit. Mundus autem mundique partes omnes, quæ sapienter artificioseque factæ cernuntur, sunt bonæ. Itaque viventis qui- D dem ac subsistentis Verbi sunt opera, quoniam Dei Verbum est; consilio autem proponentis atque deliberantis quoniam vivit, valentisque ad exitum perducere quidquid proposuerit atque decreverit, sed nihil tamen decernentis nisi quod bonum ac sapiens sit, aut si quid aliud meliore aliqua significatione declaratur. Quamobrem quia bonum esse mundum ostendimus, Verbique, quod bonum ante decernit decretumque potest efficere, mundum esse opus indicavimus, perspicuum est, Verbum hoc aliud ab eo esse cujus est Verbum. Est enim et hoc quodammodo unum ex iis quæ cum aliquo conferuntur. Siquidem audito Verbo, Verbi quoque parens intelligatur, necesse est. Neque enim Verbum esset, nisi alicujus esset Verbum. Cum igitur

auditores cogitatione distinguant Verbum ab eo cujus est Verbum, non amplius mysterium nobis in periculo versatur, ne dum Græcorum opiniones refellimus, videamur Judæorum sententiam approbantibus assentiri. Nam quemadmodum in nobis dicimus verbum a mente proficisci, neque idem omnino esse quod est mens, nec ab illa prorsus diversum (etenim quatenus ab illa provenit, aliud quiddam quam ipsa est : quatenus autem mentem perspicuam facit et explicat, non aliud jam ab ea diversum cogitatur, sed natura unum, subjecto tantum differens) : sic etiam Dei Verbum, quatenus per se subsistit, ab eo distinguitur unde ut subsistat habet : quatenus autem ea declarat in seipso, quæ cernuntur in Deo, idem est natura cum ipso, in quo eadem indicia et notæ reperiuntur. Nam sive bonitatem, sive potentiam, sive sapientiam, sive æternitatem, sive malitiæ, mortis et corruptionis vacuitatem, sive aliquod aliud ejusmodi signum constituas, quo Patre ipse comprehendatur, eodem signo et Verbum, quod ex illo subsistit, inveneris.

De Spiritu sancto.

Ac quemadmodum hisce gradibus ascendentes ex nostra supremam illam naturam cognovimus, sic umbris, ac simulacris quibusdam potestatis illius, quæ verbis explicari non potest, in natura nostra conspectis ad Spiritus cognitionem accedimus. Quanquam spiritus qui in nobis est, ex alieno reducitur, nempe, ex aere, qui ad corporis constitutionem necessario hauritur et effunditur, et cum verbum pronuntiatur, fit vox quæ verbi potestatem in seipsa declarat; in divina vero natura, etsi pium est, Dei Spiritum cogitare, quemadmodum et Dei Verbum inferius sit, si nostrum cum spiritu, illud sine spiritu esse credatur, non tamen consentaneum est Deoque dignum arbitrari alienum quiddam, ut in spiritu nostro contingit, in Deum extrinsecus influere, in ipsoque spiritum effici. Sed sicut Dei Verbum audientes, non cogitamus illud ejusmodi, quod per se non subsistat, aut quod doctrina ingeneretur, voceve proferatur, aut dissolvatur posteaquam pronuntiatum est; aut cui denique aliquid eorum eveniat quæ verbo nostro videmus accidere, sed natura subsistens, et liberum, et efficax, et omnipotens : eodem modo cum Dei Spiritum, qui Verbo testimonium affert, ejusque vim perspicuam reddit, intelligimus, non anhelitus spiritum cogitamus (nimis enim abjiceretur divinæ potestatis magnitudo, si spiritus ejus nostro similis putaretur) : sed cum in se subsistentem quæ in propria natura perspicitur, quæque nec a Deo in quo est, nec a Dei Verbo, cui testimonium tribuit, separari potest, aut in nihilum redigi, sed ad Verbi Dei similitudinem, per se subsistit, et libera est, et per se movetur, et efficax est, et semper bonum vult, et ejus voluntati statim perficiendi potestas adest.

A ἀκουόντων διάνοια αὐτόν τε τὸν Λόγον, καὶ τὸν ὅθεν ἐστὶν, οὐκ ἔτ' ἂν ἡμῖν κινδυνεύσῃ τὸ μυστήριον ταῖς ἑλληνικαῖς μαχόμενον ὑπολήψεσι τοῖς τὰ Ἰουδαίων πρεσβεύουσι συνενεχθῆναι. Ὥσπερ γὰρ ἐφ' ἡμῶν ἐκ τοῦ νοῦ φαμεν εἶναι τὸν λόγον, οὔτε διόλου τὸν αὐτὸν ὄντα τῷ νῷ, οὔτε παντάπασιν ἕτερον· τὸ μὲν γὰρ ἐξ ἐκείνου εἶναι ἄλλο τι, καὶ οὐκ ἐκεῖνό ἐστι· τὸ δὲ αὐτὸν τὸν νοῦν τὸν εἰς τὸ ἐμφανὲς ἄγειν οὐκ ἔτ' ἂν ἕτερόν τι παρ' ἐκεῖνον ὑπονοοῖτο, ἀλλὰ κατὰ τὴν φύσιν ἓν ὢν ἕτερον τῷ ὑποκειμένῳ ἐστίν· οὕτω καὶ ὁ τοῦ Θεοῦ Λόγος τῷ μὲν ὑφεστάναι καθ' ἑαυτὸν διῄρηται πρὸς ἐκεῖνον παρ' οὗ τὴν ὑπόστασιν ἔχει· τῷ δὲ ταῦτα δεικνύειν ἐν ἑαυτῷ, ἃ περὶ τὸν Θεὸν καθορᾶται, ὁ αὐτός ἐστι κατὰ τὴν φύσιν ἐκείνῳ τῷ δι' αὐτῶν τῶν γνωρισμάτων εὑρισκομένῳ. Εἴτε γὰρ B ἀγαθότητα, εἴτε δύναμιν, εἴτε σοφίαν, εἴτε τὸ ἀϊδίως εἶναι, εἴτε τὸ κακίας, καὶ θανάτου, καὶ φθορᾶς ἀνεπίδεκτον, εἴτε τὸν ἐν παντὶ τέλειον, εἴτε τι τοιοῦτον ὅλως σημεῖόν τις ποιεῖτο τῆς τοῦ Πατρὸς καταλήψεως, διὰ τῶν αὐτῶν εὑρήσει σημείων καὶ τὸν ἐξ ἐκείνου ὑφεστῶτα Λόγον.

Περὶ τοῦ ἁγίου Πνεύματος.

Ὥσπερ δὲ τὸν Λόγον ἐκ τῶν καθ' ἡμᾶς ἀναγωγικῶς ἐπὶ τῆς ὑπερκειμένης ἔγνωμεν φύσεως, κατὰ τὸν αὐτὸν τρόπον καὶ τῇ περὶ τοῦ Πνεύματος ἐννοίᾳ ὑπαχθησόμεθα, σκιάς τινας, καὶ μιμήματα τῆς ἀφράστου δυνάμεως ἐν τῇ καθ' ἡμᾶς θεωροῦντες C φύσει. Ἀλλ' ἐφ' ἡμῶν μὲν τὸ πνεῦμα ἡ τοῦ ἀέρος ἐστὶν ὁλκὴ, ἀλλοτρίου πράγματος πρὸς τὴν τοῦ σώματος σύστασιν ἀναγκαίως εἰσελκομένου τε καὶ προχεομένου, ὅπερ ἐν τῷ καιρῷ τῆς ἐκφωνήσεως τοῦ λόγου φωνὴ γίνεται τὴν τοῦ Λόγου δύναμιν ἐν ἑαυτῇ φανεροῦσα· ἐπὶ δὲ τῆς θείας φύσεως τὸ μὲν εἶναι Πνεῦμα Θεοῦ εὐσεβὲς ἐνομίσθη, καθὰ ἐδόθη καὶ Λόγον εἶναι Θεοῦ διὰ τὸ μηδὲν ἐλλειπέστερον τοῦ ἡμετέρου λόγου τὸν τοῦ Θεοῦ εἶναι Λόγον, εἴπερ τούτου μετὰ τοῦ πνεύματος θεωρουμένου, ἐκεῖνος δίχα Πνεύματος εἶναι πιστεύοιτο· οὐ μὴν ἀλλότριόν τι καθ' ὁμοιότητα τοῦ ἡμετέρου πνεύματος ἔξωθεν ἐπιῤῥεῖν τῷ Θεῷ, καὶ ἐν αὐτῷ γίνεσθαι πνεῦμα θεοπρεπές ἐστιν οἴεσθαι. Ἀλλ' ὡς Θεοῦ Λόγον ἀκούσαντες οὐκ ἀνυπόστατόν τι πρᾶγμα τὸν Λόγον D ᾠήθημεν, οὐδὲ ἐκ μαθήσεως ἐγγινόμενον, οὔτε διὰ φωνῆς προσφερόμενον, οὔτε μετὰ τὸ προσενεχθῆναι διαλυόμενον, οὐδὲ ἄλλο τι πάσχοντα τοιοῦτον, οἷα περὶ τὸν ἡμέτερον λόγον θεωρεῖται πάθη, ἀλλ' οὐσιωδῶς ὑφεστῶτα, προαιρετικόν τε καὶ ἐνεργὸν, καὶ παντοδύναμον οὕτω· καὶ Πνεῦμα μεμαθηκότες Θεοῦ, τὸ συμπαρομαρτοῦν τῷ Λόγῳ, καὶ φανεροῦν αὐτοῦ τὴν ἐνέργειαν, οὐ πνοὴν ἄσθματος ἐννοοῦμεν. Ἦ γὰρ ἂν καθαιροῖτο πρὸς ταπεινότητα τὸ μεγαλεῖον τῆς θείας δυνάμεως, εἰ καθ' ὁμοιότητα τοῦ ἡμετέρου καὶ τὸ ἐν αὐτῷ Πνεῦμα ὑπονοοῖτο, ἀλλὰ δύναμιν οὐσιώδη αὐτὴν ἐφ' ἑαυτῆς ἐν ἰδιαζούσῃ ὑποστάσει θεωρουμένην, οὔτε χωρισθῆναι τοῦ Θεοῦ ἐν ᾧ ἐστιν, ἢ τοῦ Λόγου τοῦ Θεοῦ, ᾧ παρομαρτεῖ, δυναμένην, οὔτε πρὸς τὸ ἀνύπαρκτον ἀναχεομένην,

ἀλλὰ καθ' ὁμοιότητα τοῦ Θεοῦ Λόγου καθ' ὑπόστασιν οὖσαν, προαιρετικὴν, αὐτοκίνητον, ἐνεργὴν, πάντοτε τὸ ἀγαθὸν αἱρουμένην, καὶ πρὸς πᾶσαν πρόθεσιν σύνδρομον ἔχουσα τῇ βουλήσει τὴν δύναμιν.

Ὥστε τὸν ἀκριβῶς τὰ βάθη τοῦ μυστηρίου διασκοπούμενον, ἐν μὲν τῇ ψυχῇ κατὰ τὸ ἀπόῤῥητον μετρίαν τινὰ κατανόησιν τῆς κατὰ τὴν θεογνωσίαν διδασκαλίας λαμβάνειν, μὴ μέντοι δύνασθαι λόγῳ διασαφεῖν τὴν ἀνέκφραστον ταύτην τοῦ μυστηρίου βαθύτητα, πῶς τὸ αὐτὸ καὶ ἀριθμητόν ἐστι, καὶ διαφεύγει τὴν ἐξαρίθμησιν, καὶ διῃρημένως ὁρᾶται, καὶ ἐν ὁμάδι καταλαμβάνεται, καὶ διακέκριται τῇ ὑποστάσει, καὶ οὐ διώρισται τῇ οὐσίᾳ. Ἄλλο γάρ τι τῇ ὑποστάσει τὸ Πνεῦμα, καὶ ἕτερον ὁ Λόγος, καὶ ἄλλο πάλιν ἐκεῖνο, οὗ καὶ ὁ Λόγος ἐστὶ, καὶ τὸ Πνεῦμα. Ἀλλ' ἐπειδὰν τὸ διακεκριμένον ἐν τούτοις κατανοήσῃς, πάλιν ἡ τῆς φύσεως ἑνότης τὸν διαμερισμὸν οὐ προσίεται, ὡς μήτε τὸ τῆς μοναρχίας σχίζεσθαι κράτος εἰς θεότητας διαφόρους κατατεμνόμενον, μήτε τῷ Ἰουδαϊκῷ δόγματι συμβαίνειν τὸν λόγον, ἀλλὰ διὰ μέσων τῶν δύο ὑπολήψεων χωρεῖν τὴν ἀλήθειαν, ἑκατέραν τε τῶν αἱρέσεων καθαιροῦσαν, καὶ ἀφ' ἑκατέρας παραδεχομένην τὸ χρήσιμον. Τοῦ μὲν γὰρ Ἰουδαίου καθαιρεῖται τὸ δόγμα τῇ τε τοῦ Λόγου παραδοχῇ, καὶ τῇ πίστει τοῦ Πνεύματος, τῶν δὲ ἑλληνιζόντων ἡ πολύθεος ἐξαφανίζεται πλάνη, τῆς κατὰ φύσιν ἑνότητος παραγραφομένης τὴν πληθυντικὴν φαντασίαν. Πάλιν δὲ αὖ ἐκ μὲν τῆς Ἰουδαϊκῆς ὑπολήψεως ἡ τῆς φύσεως ἑνότης παραμενέτω, ἐκ δὲ τοῦ ἑλληνισμοῦ ἡ κατὰ τὰς ὑποστάσεις διάκρισις μόνη, θεραπευθείσης ἑκατέρωθεν καταλλήλως τῆς ἀσεβοῦς ὑπονοίας. Ἔστι γὰρ ὥσπερ θεραπεία τῶν μὲν περὶ τὸ ἓν πλανωμένων ὁ ἀριθμὸς τῆς Τριάδος, τῶν δὲ εἰς πλῆθος ἐσκεδασμένων ὁ τῆς ἑνότητος λόγος.

Quamobrem qui diligenter profundum mysterium contemplatur, in animi arcano mediocrem quamdam divinæ cognitionis doctrinam comprehendit, sed eam tamen mysterii altitudinem oratione declarare non potest ; quomodo eadem res numerabilis sit, nec tamen enumerationem admittat ; cernatur divisa, et simul intelligatur ; personis distincta sit, et natura non separetur. Alia namque persona Spiritus est, alia Verbum, alia is cujus et Verbum est et Spiritus. Sed cum horum distinctionem cogitaveris, naturæ unitas nullam admittet divisionem, ne vel principatus et imperii robur confringatur in diversas dissectum divinitates, vel Judaica opinio comprobetur, sed media inter utramque opinionem veritas incedens sic ambas hæreses tollat, ut ab utraque tamen sumat quod utile est. Nam et Judæorum profligat opinionem, dum et Verbum suscipit, et Spiritum credit ; et Græcorum errores delet, dum naturæ statuit unitatem, qua plurium confictio perimitur et aboletur. Rursum autem ex Judaica sententia naturæ unitatem admittit, ex Græcorum vero opinione solam personarum distinctionem. Atque ita utrumque impietatis morbum curat. Etenim sicut eorum qui circa unum peccant, medicina est numerus Trinitatis, et unitatis ratio medicamentum illorum, qui distrahunt in plura.

Τοῦ Δαμασκηνοῦ περὶ τῶν αὐτῶν συλλογιστικὴ ἀπόδειξις, ὅτι ἔστι Θεός.

Πᾶν ὂν ἢ κτιστόν ἐστιν, ἢ ἄκτιστον. Καὶ εἰ μὲν κτιστὸν, ὑφ' ἑτέρου πάντως ἐκτίσθη· εἰ δ' ἄκτιστον, τοῦτ' ἂν εἴη τὸ τὰ κτιστὰ κτίσαν· δεῖ γὰρ ἄκτιστον εἶναι τὸν ἀνωτάτω δημιουργόν. Τοῦτο δὲ τί ἂν ἄλλο εἴη ἢ Θεός; Τίς οὖν οὐχ ὁμολογήσει πάντα τὰ ὄντα κτιστὰ πλὴν Θεοῦ, νοητά τε καὶ αἰσθητά; Εἰ δὲ κτιστὰ, καὶ τρεπτά. Ὧν γὰρ τὸ εἶναι ἀπὸ τροπῆς ἤρξατο, ταῦτα πάντως τῇ τροπῇ ὑποκείσεται, ἢ φθειρόμενα ὡς τὰ ἐγκόσμια, ἢ κατὰ προαίρεσιν ἀλλοιούμενα, ὡς ἄγγελοι καὶ ψυχαὶ, κατά τε τὴν ἐπὶ τὸ καλὸν προκοπὴν, καὶ τὴν ἐπὶ τὸ κακὸν κίνησιν. Ἐπεὶ δὲ ὁ Θεὸς ἄκτιστος πάντως, καὶ ἄτρεπτος. Ὧν γὰρ τὸ εἶναι ἐναντίον, τούτων καὶ ὁ τοῦ πῶς εἶναι λόγος ἐναντίος. Ἄλλως τε οὐ μόνον τὰ δημιουργήματα θεωρούμενα κηρύττει τὸν δημιουργὸν, ἀλλὰ καὶ ἡ τούτων τάξις, καὶ εὐαρμοστία, καὶ συντήρησις. Πῶς γὰρ αἱ ἐναντίαι τῶν στοιχείων φύσεις συνῆλθον εἰς ἑνὸς κόσμου συμπλήρωσιν, μὴ τινος συμβιβάσαντος αὐτὰ καὶ συνέχοντος; Πῶς δὲ καὶ πάντα τὴν ἀπ' ἀρχῆς ἐφύλαττον τάξιν, μὴ ὄντος τοῦ κυβερνῶντος καὶ διεξάγοντος;

Eisdem de rebus Damasceni ratiocinatio syllogistica qua Deum esse demonstrat.

Quidquid est, aut creatum est, aut non creatum. Quod autem creatum est, ab alio creatum est omnino. Quod vero non est creatum, id creavit ea quæ creata sunt. Hoc autem quid aliud erit, nisi Deus? Quis ergo res omnes, præter Deum, quæ vel ratione, vel sensu comprehenduntur, creatas esse non confitebitur? Quod si creatæ sunt, sunt etiam mutabiles. Quæ enim mutatione, ut essent, assecuta sunt, ea profecto aut mutationi sunt obnoxia, et corrumpi queunt, qualia sunt, quæ mundo continentur : aut voluntate possunt ita commutari, ut vel honesta et bona, vel quæ his contraria sunt, complectantur, quales sunt angeli et animi. At Deus, qui creatus non est, prorsus est immutabilis. Quorum enim essentia diversa est, eorum et essentiæ ratio contraria. Jam non solum res ipsæ quas procreatas conspicimus, procreatorem opificem prædicant suum, verum etiam earum ordo, concentus et conservatio. Quomodo enim contrariæ elementorum naturæ ad unius orbis perfectionem convenissent, nisi quis eas conciliasset, et conjunxisset, et contineret ? Aut quomodo præscriptum sibi ab initio ordinem, nisi aliquis esset eorum rector ac moderator, tuerentur et conservarent ?

Ejusdem ratiocinatio syllogistica quâ Deum unum esse demonstrat,

A Deus in omnibus perfectus est. Quod si plures dixerimus deos esse, necesse erit discrimen aliquod in illis perspici. Nam si nulla in eis differentia, non sunt plures, sed unus potius. Sin differentia inter illos intercedit, qui in omnibus perfectus est, is solus est Deus. Qui vero vel bonitate, vel potentia, vel sapientia, vel aliqua alia perfectione caret, is Deus esse non potest. Præterea, si plures sunt, qui fieri poterit, ut non circumscribantur, cum ubi unus est, alter esse non queat, qui autem Deus est, is nec circumscribatur, et omnia tum impleat, tum complectatur, et comprehendat? Ad hæc quonam pacto constituatur mundus et gubernetur, cum ea sit differentiæ natura, ut pariat dissensionem? B

Ejusdem ratiocinatio syllogistica qua Verbum et Filium esse declarat.

Deus, cum perfectus sit, ratione seu verbo non caret. Verbum autem ejus non est ejusmodi, ut per se non consistat, aut esse cœperit, aut finem unquam sit habiturum. Nunquam enim fuit sine verbo, sed cum semper sit, semper etiam Verbum suum habet, ex se genitum, et in se manens, et vivens, et perfectum, non autem tale, quale nostrum est verbum. Quorum enim natura diversa est, eorum et verbum est diversum. Quemadmodum autem verbum nostrum a mente gignitur, nec idem est omnino, quod ipsa mens, nec plane diversum: nam cum a mente proficiscatur, aliud est quam mens, et cum mentem ipsam indicat, non est prorsus ab illa diversum, sed cum sit unum natura, C aliud tamen subjecto est: sic et Dei Verbum, qui Filius est, quatenus propria subsistit persona, ab eo distinguitur, a quo genitum est. Quatenus autem illa in se exprimit, quæ cernuntur in Deo, unum natura cum illo est.

Ejusdem ratiocinatio syllogistica qua Spiritum sanctum esse probat.

Oportet ut Verbum habeat Spiritum, cujus testimonio declaretur, et actio ipsius ostendatur. Quando nec verbum nostrum spiritu vacat, qui in ipsa pronuntiatione verbi nostri vox efficitur, qua vis illius declaratur. Verum in nobis spiritus hic D ab essentia nostra alienus est, cum sit influens et effluens quidam aer. In Deo autem quemadmodum Verbum non ad verbi nostri similitudinem, sed per essentiam subsistit, et eamdem, quam Pater naturam habet, sic et Spiritus sanctus per essentiam subsistit, et ex Patre procedens, et in ipso existens, et Verbo ac Filio testimonium reddens, eumque significans, unam et eamdem cum ipsis naturam habet.

Ejusdem admirabilis per exempla ratiocinatio, qua Patrem, et Filium, et Spiritum sanctum esse demonstrat.

Quemadmodum solis radius, et lux sic ad nos usque perveniunt, ut nec a sole discedant, nec a

Τοῦ αὐτοῦ συλλογιστικὴ ἀπόδειξις, ὅτι εἷς Θεός ἐστιν.

Ὁ Θεὸς τέλειός ἐστι κατὰ πάντα. Εἰ οὖν πολλοὺς ἐροῦμεν θεοὺς, ἀνάγκη διαφορὰ ἐν τοῖς πολλοῖς θεωρεῖσθαι. Εἰ γὰρ οὐδεμία διαφορὰ εἴη ἐν αὐτοῖς, ὁ μὲν κατὰ πάντα τέλειος, οὗτος ἂν εἴη μόνος Θεός. Πᾶς δὲ ὁ τοῦ τελείου λειπόμενος ἢ κατὰ ἀγαθότητα, ἢ δύναμιν, ἢ σοφίαν, ἢ ὅλως κατά τι, οὐκ ἂν εἴη Θεός. Πῶς δὲ καὶ πολλοῖς οὖσι τὸ ἀπερίγραπτον φυλαχθήσεται; ἔνθα γὰρ ἂν εἴη ὁ εἷς, οὐκ ἂν εἴη ὁ ἕτερος. Δεῖ δὲ τὸν Θεὸν ἀπερίγραπτον εἶναι, καὶ πάντα πληροῦντα, καὶ ἐν ἑαυτῷ περιγράφοντα. Ἄλλως τε καὶ πῶς ὑπὸ πολλῶν ὁ κόσμος σύγκειται καὶ κυβερνηθήσεται, τῆς διαφορᾶς ἐναντίωσιν εἰσαγούσης;

Τοῦ αὐτοῦ συλλογιστικὴ ἀπόδειξις περὶ τοῦ Λόγου καὶ Υἱοῦ.

Ὁ Θεὸς, τέλειος ὤν, οὐκ ἄλογός ἐστι. Λόγον δὲ ἔχων, οὐκ ἀνυπόστατον ἔχει τοῦτον, οὐδ᾽ ἀρξάμενον τοῦ εἶναι, οὐδὲ παυσόμενον. Οὐ γὰρ ἦν ποτε ἄλογος, ἀλλὰ ἀεὶ ὤν, ἀεὶ τὸν ἑαυτοῦ Λόγον ἔχει, ἐξ αὐτοῦ τε γεννώμενον, καὶ ἐν αὐτῷ μένοντα, καὶ ζῶντα, καὶ τέλειον, καὶ οὐ κατὰ τὸν ἡμέτερον λόγον. Ὧν γὰρ τὸ εἶναι διάφορον, τούτων καὶ ὁ λόγος διάφορος. Ὥσπερ δὲ ὁ ἡμέτερος λόγος ἐκ τοῦ νοῦ γεννώμενος οὔτε διόλου ὁ αὐτός ἐστι τῷ νῷ, οὔτε παντάπασιν ἕτερος· ἐκ τοῦ νοῦ μὲν γὰρ ὢν ἄλλος ἐστὶ παρ᾽ αὐτὸν, αὐτὸν δὲ τὸν νοῦν ἐμφαίνων οὐκ ἔστι παντελῶς ἕτερος παρ᾽ αὐτὸν, ἀλλ᾽ ἓν ὢν κατὰ τὴν φύσιν, ἕτερός ἐστι τῷ ὑποκειμένῳ· οὕτω καὶ ὁ τοῦ Θεοῦ Λόγος, ὅς ἐστιν ὁ Υἱὸς, τῷ μὲν ὑφεστάναι καθ᾽ ἑαυτὸν διῄρηται πρὸς ἐκεῖνον παρ᾽ οὗ τὴν γέννησιν ἔχει, τῷ δὲ ταῦτα δεικνύειν ἐν ἑαυτῷ, ἃ περὶ τὸν Θεὸν θεωρεῖται ἕν ἐστι πρὸς αὐτὸν κατὰ φύσιν.

Τοῦ αὐτοῦ συλλογιστικὴ ἀπόδειξις περὶ τοῦ ἁγίου Πνεύματος.

Δεῖ τὸν Λόγον ἔχειν καὶ Πνεῦμα συμπαρομαρτοῦν αὐτῷ, καὶ φανεροῦν αὐτοῦ τὴν ἐνέργειαν. Καὶ γὰρ ὁ ἡμέτερος λόγος οὐκ ἄμοιρός ἐστι πνεύματος, ὅπερ ἐν τῷ καιρῷ τῆς ἐκφωνήσεως φωνὴ γίνεται τῷ λόγῳ ἡμῶν φανεροῦσα τὴν τούτου δύναμιν. Ἀλλ᾽ ἐφ᾽ ἡμῶν μὲν ἀλλότριον τῆς ἡμετέρας οὐσίας τὸ πνεῦμα τὸ ἀέρος ὂν εἰσροὴ καὶ ἐκροή· ἐπὶ δὲ τοῦ Θεοῦ, ὥσπερ ὁ Λόγος οὐ κατὰ τὸν ἡμέτερον, ἀλλ᾽ οὐσιωδῶς ὑφεστὼς, καὶ τῆς αὐτῆς οὐσίας καὶ φύσεως τῷ γεννήτορι, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον οὐσιωδῶς ὑφεστὼς, καὶ τῆς αὐτῆς τῷ Θεῷ οὐσίας καὶ φύσεως καὶ τελειότητος ἐκ τοῦ Πατρὸς προϊὸν, καὶ ἐν αὐτῷ ὂν, καὶ τῷ Λόγῳ καὶ Υἱῷ συμπαρομαρτοῦν, καὶ ἐκφαντικὸν ὑπάρχον αὐτοῦ.

Τοῦ αὐτοῦ παραδειγματικὴ ἀπόδειξις θαυμασιωτάτη περὶ Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος.

Ὥσπερ ἡ τοῦ ἡλίου ἀκτὶς καὶ φῶς οὔτε τοῦ ἡλίου χωριζόμενα, οὔτε ἀλλήλων ἀποδιαιρούμενα κατὰ σ:

καὶ μέχρις ἡμῶν· οὕτω καὶ ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα ἀδιαστάτως καὶ τοῦ Πατρὸς, καὶ ἀλλήλων ἄχρις ἡμῶν συγκαταβαίνουσιν, ἐνεργοῦντες τὴν σωτηρίαν ἡμῶν. Καὶ καθάπερ ἐπ' ἐκείνων τῇ ἀκτῖνι συμπαρομαρτοῦσα ἡ ἔλλαμψις δι' ἐκείνης ἡμῖν μεταδίδοται, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον τῷ Υἱῷ συμπαρομαρτοῦν δι' ἐκείνου μεταδίδοται τοῖς ἀξίοις κατὰ τὴν μετάδοσιν τῶν χαρισμάτων. «Ἐνεφύσησε γὰρ, φησὶ, καὶ εἶπε· Λάβετε Πνεῦμα ἅγιον.» Καὶ ὥσπερ ἐπ' ἐκείνων φῶς λέγεται καὶ ἡλίου, καὶ ἀκτῖνος, οὕτω καὶ ἐπὶ τούτου Πνεῦμα λέγεται καὶ Πατρὸς, καὶ Υἱοῦ ἤτοι Χριστοῦ.

mutua inter se conjunctione separentur: sic et Filius et Spiritus sanctus ad nos usque descendunt, et nostram salutem curant, ut nec a Patre, nec a se vicissim disjungantur. Et quemadmodum in illis lux radium comitatur, et nobis per radium tribuitur, sic et Spiritus sanctus Filium comitans per Filium dignis communicatur. «Insufflavit» enim, ut scriptum est, «et dixit: Accipite Spiritum sanctum [1].» Atque ut in illis lux et solis et radii dicitur: sic et in his tum Patris, tum Filii seu Christi Spiritus dicitur.

ΤΙΤΛΟΣ Β'.

Περὶ Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος διακεκριμένη ἅμα καὶ ἡνωμένη θεολογία τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου ἐκ τοῦ β' κεφαλαίου τοῦ περὶ ἡνωμένης καὶ διακεκριμένης θεολογίας.

Ὅτι μὲν ἐστι πηγαία θεότης ὁ Πατὴρ, ὁ δὲ Υἱὸς καὶ τὸ Πνεῦμα τῆς θεογόνου θεότητος, εἰ οὕτω χρὴ φάναι, βλαστοὶ θεόφυτοι, καὶ οἷον ἄνθη, καὶ ὑπερούσια φῶτα πρὸς τῶν ἱερῶν λογίων παρειλήφαμεν· ὅπως δὲ ταῦτά ἐστιν, οὔτε εἰπεῖν, οὔτε ἐννοῆσαι δυνατόν.

TITULUS II.

De Patre, et Filio, et Spiritu sancto, distincta simul atque conjuncta Divinitatis ratio. — Dionysii Areopagitæ ex capite 2 de unita distinctaque theologia.

Patrem quidem esse fontem, ut ita dixerim, Divinitatis, Filium autem et Spiritum fecundæ Divinitatis, si ita dicendum est, germina divinitus pullulantia, et flores quodammodo, et essentia præstantiora lumina ex sacris Libris accepimus, sed quonam pacto hæc sint nec eloqui possumus, nec intelligere.

Ἐκ τοῦ περὶ θείων ὀνομάτων κεφαλαίου α'.

Ὅθεν ἐν πάσῃ σχεδὸν τῇ θεολογικῇ πραγματείᾳ τὴν θεαρχίαν ὁρῶμεν ἱερῶς ὑμνουμένην ὡς μονάδα μὲν καὶ ἑνάδα, διὰ τὴν ἁπλότητα καὶ ἑνότητα τῆς ὑπερφυοῦς ἀμερείας, ἐξ ἧς ὡς ἑνοποιοῦ δυνάμεως ἑνιζόμεθα, καὶ τῶν μεριστῶν ἡμῶν ἑτεροτήτων ὑπερκοσμίως συμπτυσσομένων, εἰς θεοειδῆ μονάδα συναγόμεθα, καὶ θεομίμητον ἕνωσιν· ὡς Τριάδα δὲ διὰ τὴν τρισυπόστατον τῆς ὑπερουσίου γονιμότητος ἔκφανσιν, «ἐξ ἧς πᾶσα πατριὰ ἐν οὐρανῷ ἐστι τε καὶ ὀνομάζεται.»

Ex capite 1 libri de divinis nominibus.

Quamobrem in omni fere theologica disputatione summam divinitatem sancte celebratam cernimus, tum ut monadem et unitatem, propter simplicitatem unitatemque impartibilitatis ipsius naturam exsuperantis, ex qua tanquam vivifica potestate unum efficimur, dividuisque nostri diversitatibus supra mundanum modum copulantis in monadem deiformem, unionemque Deum imitantem colligimur: tum aut Trinitatem propter fecunditatis essentiam superantis in tribus personis expressionem, «ex qua in cœlo et in terra paternitas omnis exsistit et nominatur [2].»

Ἐκ τοῦ περὶ τελείου καὶ ἑνὸς κεφαλαίου ιγ'.

Καὶ μονὰς ὑμνουμένη, καὶ Τριὰς ἡ ὑπὲρ πάντα θεότης, οὐκ ἔστιν οὐδὲ μονὰς, οὐδὲ τριὰς ἡ πρὸς ἡμῶν, ἢ ἄλλου τινὸς τῶν ὄντων διεγνωσμένη. Ἀλλ' ἵνα καὶ τὸ ὑπερηνωμένον αὐτῆς, καὶ τὸ θεογόνον ἀληθῶς ὑμνήσωμεν τῇ τριαδικῇ καὶ ἑνιαίᾳ μονὰς, ἢ τριὰς, οὐδὲ ἀριθμὸς, οὐδὲ ἑνότης, ἢ γονιμότης, οὐδὲ ἄλλο τι τῶν ὄντων συνεγνωσμένον ἐξάγει τὴν ὑπὲρ πάντα λόγον καὶ νοῦν κρυφιότητα τῆς ὑπὲρ πάντα ὑπερουσίως ὑπερούσης ὑπερθεότητος, οὐδὲ ὄνομα αὐτῆς ἐστιν, οὐδὲ λόγος, ἀλλ' ἐν ἀβάτοις ἐξῄρηται.

Ex capite 13 de perfecto et uno.

Ipsa, quæ et super omnia divinitas, quæque ut unitas et trinitas celebratur, nec unitas, nec trinitas est aut a nobis, aut ab ullo cognita. Sed, ut unitatem ipsius unitate superiorem, fecunditatemque deificam vere laudemus, Divinitatem, quæ est super omne nomen et in ipsis rebus essentia præstantior, divina trinitatis et unitatis appellatione nominamus. Cæterum nulla monas, aut trinitas, nullus numerus, aut unitas, aut fecunditas, aut aliud quidquam exsistentium, ullive cognitum aperit arcanum illud divinitatis divinitate superioris, et modo essentia præstantiore excedentis, quod omnem et orationem et intelligentiam superat. Neque vero ipsius ullum est nomen, nec sermo, sed in ipso eminet inaccesso.

Ἐκ τοῦ περὶ μυστικῆς θεογνωσίας κεφαλαίου γ'.

Ἐν μὲν οὖν ταῖς θεολογικαῖς ὑποτυπώσεσι τὰ κυριώτατα τῆς καταφατικῆς θεολογίας ὑμνήσαμεν· πῶς ἡ θεία καὶ ἀγαθὴ φύσις ἑνικὴ λέγεται; πῶς τριαδική; τίς ἡ κατ' αὐτὴν λεγομένη πατρότης τε καὶ υἱότης; τί βούλεται δηλοῦν ἡ τοῦ Πνεύματος

Ex capite 3 de mystica theologia.

In eo libro, quem de theologicis institutionibus inscripsimus, quæ sint affirmantis theologiæ præcipua declaravimus: quomodo divina bonaque natura una dicatur et trina, quæ in ipsa Patris, quæ Filii notio, quid significet Spiritus sancti

[1] Joan. xx, 22. [2] Ephes. iii, 15.

theologia. Qua ratione ex incorporeo individuoque bono intima bonitatis lumina pullulent, et a coæterna cum ipsa pullulatione in ipso, et in seipsis, et inter se mansione sic exeant, ut ab ea nunquam discedant.

Ex capite 2 de unita distinctaque theologia.

In unione divina sive natura illa essentiam superante conjuncta quidem sunt et communia unicæ principalique trinitati exsistentia essentiam superans, divinitas divinitate superior, bonitas bonitate præstantior, eadem ratio totius proprietatis omnia superantis omnia superans, unitas principio excellentior, ineffabile, quod multis vocibus enuntiatur, ignoratio quæ passim intelligitur omnium positio omnium ablatio, excellentia omnem positionem ablationemque superans, personarum ratione principii dominantium, si dicere ita licet, mutua inter se mansio, atque sedes supra modum unita, nullaque ex parte confusa, quemadmodum lumina lampadum, ut sensui expositis et propriis utamur exemplis, in domo una cum sint, et tota in totis mutuo sunt, et puram absolutamque inter se proprie subsistentem habent distinctionem, discretione quidem conjuncta, et unione rursum inter se discreta. In ipsa quidem domo cum lampades accensæ sunt multæ, videmus omnium lumina ad unum quoddam conjuncta lumen, unumque splendorem individuum præferentia. Neque posset, ut arbitror, aliquis lampadis hujus lumen ab aliis ex aere cuncta lumina continente secernere, et unum ab altero sejunctum intueri, cum tota in totis sine mistione sint inserta. Quod si quis lampadem unam e medio tollat, proprium ejus lumen totum abeuntem lampadem comitabitur, nec aliorum luminum quidquam secum trahens, neque ex suo cæteris aliquid linquens. Erat enim, ut diximus, illic perfecta totorum cum totis conjunctio nec ullo modo mista, neque ulla ex parte confusa. Et hæc quidem ita se habent, quamvis lumen sit in corpore, aere, et ex materia, nempe igne dependeat. Unionem vero illam essentia superiorem transcendere dicimus, non uniones tantum, quæ fiunt in corpore, sed illas etiam, quæ in animis conficiuntur, imo eas quoque, quæ efficiuntur in mentibus, quas quidem tota illa divina et supercœlestia lumina, per tota, ratione plus quam mundana sincere admodum possident, communione quadam unitatis illius omnibus antecellentis et unicuique pro cujusque modo seipsam impartientis. Est autem discretio in suprema theologia, non solum, quam modo dicebam, quia in ipsa unitate divina singulæ dominantes personæ puram et impermistam sibi servant proprietatem, sed etiam quoniam quæ in illa divina et essentiam superante generatione sunt, vicissim non convertuntur. Solus enim fons essentiam superantis divinitatis est Pater, neque Pater est Filius, neque Filius est Pater. Itaque sacri hymni sua unicuique divinarum personarum pie sancteque conservant.

A θεολογία; Πῶς ἐκ τοῦ ἀΰλου καὶ ἀμεροῦς ἀγαθοῦ τὰ ἐγκάρδια τῆς ἀγαθότητος ἐξέφυ φῶτα, καὶ τῆς ἐν αὐτῷ, καὶ ἐν αὐτοῖς, καὶ ἐν ἀλλήλοις συναϊδίου τῇ ἀναβλαστήσει μονῆς ἀπομεμένηκεν ἀνεκφοίτητα;

Ἐκ τοῦ περὶ ἡνωμένης καὶ διακεκριμένης θεολογίας κεφ. β'.

Ἐπὶ τῆς ἑνώσεως τῆς θείας, ἤτοι τῆς ὑπερουσιότητος, ἡνωμένον ἐστὶ τῇ ἐναρχικῇ Τριάδι, καὶ κοινὸν ἡ ὑπερούσιος ὕπαρξις, ἡ ὑπέρθεος θεότης, ἡ ὑπεράγαθος ἀγαθότης, ἡ ὑπὲρ ἐναρχίαν ἑνότης, τὸ ἄφθεγκτον, τὸ πολύφωνον, ἡ ἀγνωσία, τὸ παννόητον, ἡ πάντων θέσις, ἡ πάντων ἀφαίρεσις, ἡ ἐν ἀλλήλαις, εἰ οὕτω χρὴ φάναι, τῶν ἐναρχικῶν ὑποστάσεων μονὴ καὶ ἵδρυσις, ὀλικῶς ὑπερηνωμένη, B καθάπερ φῶτα λαμπτήρων, ἵν' αἰσθητοῖς καὶ οἰκείοις παραδείγμασιν, ὄντων ἐν οἴκῳ ἑνί. Καὶ ὅλα γὰρ ἐν ἀλλήλοις ὅλοις ἐστὶ, καὶ ἀκριβῆ τὴν ἀπ' ἀλλήλων ἰδικῶς ὑφισταμένην ἔχει διάκρισιν, ἡνωμένα τῇ διακρίσει, καὶ τῇ ἑνώσει διακεκριμένα. Καὶ γοῦν ὁρῶμεν, ἐν οἴκῳ πολλῶν ἐνόντων λαμπτήρων, πρὸς ἕν τι φῶς ἑνούμενα τὰ πάντων φῶτα, καὶ μίαν αἴγλην ἀδιάκριτον ἀναλάμποντα, καὶ οὐκ ἄν τις, ὡς οἶμαι, δύναιτο τὸ τοῦδε τοῦ λαμπτῆρος φῶς ἀπὸ τῶν ἄλλων ἐκ τοῦ πάντα τὰ φῶτα περιέχοντος ἀέρος διακρῖναι, καὶ ἰδεῖν ἄνευ θατέρου θάτερον, ὅλων ἐν ὅλοις ἀμιγῶς συγκεκραμένων. Ἀλλὰ καὶ εἰ τὸν ἕνα τις πυρσὸν ὑπεξάγοι τοῦ δωματίου, συνεξελεύσεται καὶ τὸ οἰκεῖον ἅπαν φῶς, οὐδέν C τι τῶν ἑτέρων φώτων ἑαυτῷ συνεπισπασάμενον, ἢ τὸ ἑαυτοῦ τοῖς ἑτέροις καταλιπόν. Ἦν γὰρ αὐτῶν, ὅπερ ἔφην, ἡ ὅλων πρὸς ὅλα παντελὴς ἕνωσις ἀμιγὴς καθόλου, καὶ οὐδενὶ μέρει συμπεφυρμένη. Καὶ ταῦτα ὄντος ἐν σώματι τῷ ἀέρι, καὶ ἐξ ἐνύλου τοῦ πυρὸς ἠρτημένου τοῦ φωτὸς, ὅπου γε τὴν ὑπερούσιον ἕνωσιν ὑπεριδρύσθαι φαμὲν οὐ τῶν ἐν σώματι μόνον ἑνώσεων, ἀλλὰ καὶ τῶν ἐν ψυχαῖς αὐταῖς, καὶ ἐν αὐτοῖς νοῖς, ἃς ἔχουσιν ἀμιγῶς καὶ ὑπερκοσμίως δι' ὅλων ὅλα τὰ θεοειδῆ καὶ ὑπερουράνια φῶτα κατὰ μέθεξιν ἀνάλογον τοῖς μετέχουσι τῆς πάντων ὑπερῃρημένης ἑνώσεως. Ἔστι δὲ καὶ διάκρισις ἐν ταῖς ὑπερουσίοις θεολογίαις, οὐχ ἣν ἔφην μόνον, ὅτι κατὰ τὴν ἕνωσιν ἀμιγῶς ἵδρυται καὶ ἀσυγχύτως ἑκάστη τῶν ἐναρχικῶν ὑπο- D στάσεων· ἀλλ' ὅτι καὶ τὰ τῆς ὑπερουσίου θεογονίας οὐκ ἀντιστρέφει πρὸς ἄλληλα. Μόνη δὲ πηγὴ τῆς ὑπερουσίου θεότητος ὁ Πατὴρ, οὐκ ὄντος Υἱοῦ τοῦ Πατρὸς, οὐδὲ Πατρὸς τοῦ Υἱοῦ· φυλαττόντων δὲ τὰ οἰκεῖα τῶν ὕμνων εὐαγῶς ἑκάστῃ τῶν θεαρχικῶν ὑποστάσεων.

Ex eodem capite.

« Nullus bonus, nisi unus Deus[1]. » Illud et alibi

Ἐκ τοῦ αὐτοῦ κεφαλαίου.

Οὐδεὶς ἀγαθὸς εἰ μὴ ὁ Θεός. Τοῦτο μὲν οὖν καὶ

[1] Matth. xix, 17.

A ἐν ἄλλοις ἐξετασθὲν ἡμῖν ἀποδέδεικται· τὸ πάσας ἂν τὰς θεοπρεπεῖς θεωνυμίας οὐ μερικῶς, ἀλλ' ἐπὶ τῆς ὅλης καὶ παντελοῦς καὶ ὁλοκλήρου καὶ πλήρους θεότητος ὑπὸ τῶν λογίων ὑμνεῖσθαι· καὶ πάσας αὐτὰς ἀμερῶς, ἀπολύτως, ἀπαρατηρήτως, ὁλικῶς ἁπάσῃ τῇ ὁλότητι τῆς ὁλοτελοῦς καὶ πάσης θεότητος ἀνατίθεσθαι. Καὶ γοῦν ὡς ἐν ταῖς θεολογικαῖς ὑποτυπώσεσιν ὑπεμνήσαμεν, εἰ μὴ περὶ τῆς ὅλης θεότητος φαίη τις τοῦτο εἰρῆσθαι, καὶ ἀποσχίζειν ἀθέσμως τολμᾷ τὴν ὑπερηνωμένην ἑνάδα, ῥητέον ὡς αὐτός τε ὁ ἀγαθοφυὴς ἔφη Λόγος, ὅτι «Ἐγὼ ἀγαθός εἰμι·» καί τις τῶν θεολήπτων προφητῶν ὑμνεῖ, «Τὸ πνεῦμά σου τὸ ἀγαθόν·» καὶ αὖθις τὸ, «Ἐγώ εἰμι ὁ ὤν·» εἰ μὴ καθ' ὅλης φήσουσι τῆς θεότητος εἰρῆσθαι, καθ' ἓν δὲ μέρος αὐτὸ περιγράψαι βιάσαιντο, B πῶς ἀκούσονται τοῦ, «Τάδε λέγει ὁ ὤν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος ὁ παντοκράτωρ,» καὶ, «Σὺ δὲ ὁ αὐτὸς εἶ,» καὶ, «Τὸ Πνεῦμα τῆς ἀληθείας τὸ ὂν, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται;» Καὶ εἰ μὲν ὅλην εἶναί φασι τὴν θεαρχίαν ζωὴν, πῶς ἀληθὴς ὁ φήσας ἱερὸς Λόγος, «Ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς, καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ;» καὶ ὅτι τὸ Πνεῦμά ἐστι τὸ ζωοποιοῦν; Ὅτι δὲ καὶ τὴν κυρίαν ἔχει τῶν ὅλων ἡ ὅλη θεότης, περὶ μὲν τῆς θεογόνου θεότητος, ἢ τῆς υἱικῆς, οὐδὲ εἰπεῖν ἔστιν, οἶμαι, ποσαχῆ τῆς θεολογίας ἐπὶ Πατρὸς καὶ Υἱοῦ διεθρυλλεῖται τὸ, *Κύριος*. Ἀλλὰ καὶ Κύριος τὸ Πνεῦμά ἐστι.

a nobis expensum ac demonstratum est, omnes semper denominationes Deo dignas non per partes, sed in tota, perfecta, integra et plena divinitate in sanctis Libris celebrari, et omnes ipsas individue, absolute, præter omnem discriminis observantiam, integra ratione universæ integritati perfectæ et totius divinitatis attribui. Jam vero, quemadmodum in theologicis institutionibus admonuimus, nisi quis hoc de tota divinitate dictum confiteatur, scindere audet temeritate nefanda unitatem ipsam superunitam. Dicendum igitur, de tota divinitate accipi oportere verbum hoc ipsum, natura bonum. Atque aliquis ex prophetis divinitus afflatis canit: «Spiritus bonus [4].» Huc tendit et illud: «Ego sum, qui sum [5].» Quod nisi de tota dictum divinitate consentiant, sed uni tantum parti conentur ascribere, quonam modo illud accipient: «Hæc ait qui est, qui erat, et qui venturus est, qui est omnipotens [6];» item illud: «Tu autem idem ipse es [7];» nec non et illud: «Spiritus veritatis, qui est, qui a Patre procedit [8]?» Atqui nisi totam divinitatem esse vitam dicant atque vivificam, quonam modo verum est id, quod Verbum sacrum ait: «Quemadmodum, inquiens, Pater suscitat mortuos, et vivificat, sic et Filius, quos vult vivificat [9]?» Jam vero quod tota divinitas habeat omnium dominatum, perspicue patet. Ac de secunda quidem Patris divinitate, vel de divinitate Filii, non facile narratu est, ut arbitror, quam multis theologiæ locis de Patre et Filio dicatur, Dominus. Verum et Spiritus Dominus est.

C *Ἔτι περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, διακεκριμένη ἅμα καὶ ἡνωμένη θεολογία τοῦ μεγάλου Ἀθανασίου. Καὶ ὅτι ἃ λέγουσιν αἱ θεῖαι Γραφαὶ περὶ τοῦ Πατρὸς, ταῦτά φασι πάλιν καὶ περὶ τοῦ Υἱοῦ καὶ περὶ τοῦ ἁγίου Πνεύματος, δεικνύουσαι μίαν τὴν ἐν τοῖς τρισὶ θεότητα.*

De Patre item, et Filio, et Spiritu sancto distinctam simul atque conjunctam esse Divinitatis rationem, et quæ dicunt divinæ Scripturæ de Patre, eadem similiter illas et de Filio, et de Spiritu sancto dicere, unicam in tribus Divinitatem ostendentes: Magni Athanasii (1).

Ἅπερ εἶπεν ὁ Πατὴρ ἐν τῷ Ἡσαΐᾳ, ταῦτα ὁ Ἰωάννης λέγει, ὅτι ὁ Υἱὸς εἶπεν. Ἐν δὲ ταῖς Πράξεσιν ὁ Παῦλός φησιν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον εἶπε. Τί δὲ γέγραπται ἐν τῷ Ἡσαΐᾳ; «Εἶδον τὸν Κύριον Σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ, καὶ σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνί. Καὶ ταῖς μὲν δυσὶ πτέρυξιν ἐκάλυπτον τὰ πρόσωπα αὐτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶν ἐπέταντο. D Καὶ ἐκέκραγον ἕτερος πρὸς τὸν ἕτερον· Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαὼθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ.» Καὶ μετ' ὀλίγα ὁ αὐτός· «Ἤκουσα τῆς φωνῆς Κυρίου λέγοντος· Τίνα ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; καὶ εἶπα· Ἰδοὺ ἐγὼ, ἀπόστειλόν με. Καὶ εἶπέ μοι· Πορεύθητι πρὸς τὸν λαὸν, καὶ εἶπον αὐτῷ· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ

Quæ Pater ait apud Isaiam, ea Joannes Filium dixisse asserit. Paulus autem eadem ipsa Spiritui sancto in apostolorum Actis ascribit. Sic enim apud Isaiam scriptum legimus [10]: «Vidi Dominum sedentem in solio excelso et elevato, et plena domus gloria ejus, et seraphim stabant in circuitu ejus. Sex alæ uni, et sex alæ alteri. Duabus quidem velabant faciem suam, duabus vero tegebant pedes, et duabus volabant et clamabant alter ad alterum, et dicebant: Sanctus, sanctus, sanctus Dominus Sabaoth, plena est omnis terra gloria ejus.» Et idem paulo post [11]: «Et audivi vocem Domini dicentis: Quem mittam, et quis ibit ad populum istum? Et dixi: Ecce ego, mitte me. Et dixit: Vade et dic populo huic: Auditu audietis et non intelligetis, et videntes videbitis, et non perspicietis. Crassum enim est effectum cor populi hujus. Auribus gra-

[4] Psal. CXLII, 6-10. [5] Exod. III, 13-14. [6] Apoc. I, 4. [7] Psal. CI, 28. [8] Joan. XV, 26. [9] Joan. V, 21. [10] Isa. VI, 1 sqq. [11] ibid. 8 sqq.

(1) Capitulum hoc cum sequenti deest in editione Tergobystensi anni 1710; exstant in versione Fr. Zini. Primum Græce edidit Ch. Frid. de Matthæi in Proleg. ad Euthymii Comment in Evang. p. 13 seqq.; alterum exstat inter Opera S. Basilii.

viter audierunt, et oculos suos clauserunt, nequando oculis videant et auribus audiant, et corde intelligant, et convertant se, et sanem eos. » Joannes autem evangelista dicit [12]: « Idcirco non poterant Judæi credere in Jesum, quoniam de illis dixit Isaias: Excæcati sunt oculi ipsorum, et obduratum est cor eorum, ne videant oculis, et corde intelligant, et sanem eos. » Hæc dixit Isaias, quando vidit gloriam ejus. Paulus vero refert oraculum ad Spiritum sanctum [13], « Bene, » inquiens, « locutus est Spiritus sanctus ad patres nostros per Isaiam prophetam: Aure, inquiens, audietis, et non intelligetis, et videntes videbitis, et non perspicietis, incrassatum est enim cor populi hujus, » et reliqua. Præterea cum Filius de Patre Petrum alloquitur, « Beatus es, » inquit, « quia caro et sanguis non revelavit tibi, sed Pater meus, qui in cœlis est [14]. » Hæc eadem de se ipso idem Filius loquitur: « Nullus, » inquiens, « novit Patrem nisi Filius, et cui voluerit Filius revelare [15]. » Similiter et de Spiritu Paulus ait: « Nobis autem revelavit Deus per Spiritum suum [16]. » Rursum cum dixisset Paulus: « Multifariam multisque modis olim locutus Deus patribus nostris in prophetis [17], » alibi dicit Filium loqui, « Experimentum, » inquiens, « quæritis ejus, qui in me loquitur Christus [18]. » Filius autem Spiritum ait in apostolis loqui: « Quando, » inquiens, « tradent vos, nolite solliciti esse, quomodo, aut quid loquamini. Dabitur enim vobis in illa hora, quod loquamini. Non enim vos estis, qui loquimini, sed Spiritus Patris, qui loquitur in vobis [19]. » Ac de Patre quidem, et de se ipso Servator dixit: « Ego et Pater veniemus, et mansionem apud eum faciemus [20], » apud illum utique, qui templum ipsorum erit, et dignus, qui eos suscipiat. Ait Paulus de sancto Spiritu, « An ignoratis, » inquit, « vos esse templum Spiritus sancti, qui habitat in vobis [21]? » Præterea Servator ait in Evangelio: « Sicut Pater suscitat mortuos et vivificat, sic et Filius, quos vult vivificat [22]. » Paulus autem ad Corinthios, « Spiritus, » inquit, « est qui vivificat [23]. » Docet idem Paulus, « Divisiones, » inquiens, « gratiarum sunt, idem autem Spiritus, et divisiones ministrationum sunt, idem autem Dominus, et divisiones operationum sunt, idem autem Deus [24]. » Ad hæc David Dominum esse piorum hæreditatem dicit, « Dominus, » inquiens, « pars hæreditatis meæ [25]. » Jeremias autem Filium, « Qui formavit, » inquiens, « omnia, ipse est hæreditas Jacob [26]. » Paulus vero Spiritum sanctum, « Qui est pignus, » inquiens, « hæreditatis nostræ [27]. » Jeremias Dominum direxisse populum ait, « Non dixi, » inquiens, « ubi est Dominus, qui eduxit nos ex Ægypto, qui rexit nos in deserto [28]? » Paulus autem ad Corinthios scribens Christum ostendit fuisse veteris populi

A βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς αὐτῶν, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. » Ὁ δὲ εὐαγγελιστὴς Ἰωάννης λέγει· « Διὰ τοῦτο οὐκ ἠδύναντο οἱ Ἰουδαῖοι πιστεύειν εἰς τὸν Ἰησοῦν, διότι εἶπεν Ἡσαΐας περὶ αὐτῶν· Τετύφλωνται αὐτῶν οἱ ὀφθαλμοὶ, καὶ πεπώρωται αὐτῶν ἡ καρδία, ὅπως μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ συνῶσι τῇ καρδίᾳ, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. » Ταῦτα δὲ εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ. Ὁ δὲ Παῦλος τῷ ἁγίῳ Πνεύματι τὴν χρησμῳδίαν ἀνέθηκε λέγων· « Καλῶς ἔφη τὸ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ προφήτου Ἡσαΐου πρὸς τοὺς

B πατέρας ὑμῶν· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, » καὶ τὰ ἑξῆς. Πάλιν δὲ, ὅτε λέγει ὁ Υἱὸς περὶ τοῦ Πατρὸς τῷ Πέτρῳ· « Μακάριος εἶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. » Τὰ αὐτὰ καὶ περὶ ἑαυτοῦ λέγει· « Οὐδεὶς ἐπιγινώσκει τὸν Πατέρα, » φησὶν, « εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἂν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. » Ὁμοίως δὲ καὶ περὶ τοῦ Πνεύματος ὁ Παῦλος λέγει· « Ἡμῖν δὲ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος αὐτοῦ. » Πάλιν οὖν εἰπὼν ὁ Παῦλος· « Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, » καὶ τὰ ἑξῆς, ἀλλαχοῦ λέγει, ὅτι ὁ Υἱὸς λαλεῖ, τῷ εἰπεῖν·

C « Ἢ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ; » Ὁ δὲ Υἱὸς τὸ Πνεῦμα εἶπε λαλεῖν ἐν τοῖς ἀποστόλοις. « Ὅτε δὲ, φησὶ, παραδώσουσιν ὑμᾶς, μὴ μεριμνήσητε, πῶς ἢ τί λαλήσητε. Δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τί λαλήσετε. Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν. » Καὶ περὶ μὲν τοῦ Πατρὸς καὶ ἑαυτοῦ ὁ Σωτὴρ εἴρηκεν ὅτι « Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν, » τῷ γεγονότι δηλαδὴ ναῷ τούτων καὶ ἀξίῳ τῆς ὑποδοχῆς αὐτῶν. Περὶ δὲ τοῦ ἁγίου Πνεύματος ἔφη Παῦλος· « Ἢ οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ἐστι; » Καὶ πάλιν· « Καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ἅγιον οἰκεῖ ἐν ὑμῖν. » Καὶ ἐν μὲν τῷ Εὐαγγελίῳ φησὶν ὁ Σωτήρ·

D « Ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς, οὓς θέλει, ζωοποιεῖ. » Πρὸς δὲ Κορινθίους γράφει Παῦλος· « Τὸ Πνεῦμά ζωοποιεῖ. » Καὶ αὖθις διδάσκει Παῦλος· « Διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσι, καὶ ὁ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶ, καὶ ὁ αὐτὸς Θεός. » Καὶ ὁ μὲν Δαυῒδ τὸν Κύριον εἶναι τὴν κληρονομίαν τῶν εὐσεβῶν λέγει· « Κύριος γὰρ, » φησὶ, « μερὶς τῆς κληρονομίας μου· » ὁ δ' Ἱερεμίας τὸν Υἱόν· « Ὁ πλάσας » γὰρ, φησὶ, « τὰ πάντα, αὐτὸς κληρονομία τῷ

[12] Joan. XII, 39, 40. [13] Act. XXVIII, 26. [14] Matth. XVI, 17. [15] Matth. XI, 27. [16] I Cor. II, 10. [17] Hebr. I, 1. [18] II Cor. XIII, 3. [19] Luc. XII, 11, 12. [20] Joan. XIV, 23. [21] I Cor. VI, 19. [22] Joan. V, 21. [23] II Cor. III, 8. [24] II Cor. XII, 4 sqq. [25] Psal. XV, 5. [26] Jer. X. [27] Ephes. I, 14. [28] Jer. II, 6.

Ἰακώβ· » ὁ δὲ Παῦλος τὸ Πνεῦμα τὸ ἅγιον, «ὅτι ἀῤῥαβὼν τῆς κληρονομίας ἡμῶν ἐστι. » Καὶ ὁ μὲν Ἱερεμίας φησὶν, ὅτι Κύριος ὡδήγησε τὸν λαὸν, εἰρηκὼς ὅτι «Οὐκ εἶπον, Ποῦ ἐστι Κύριος, ὁ ἀναγαγὼν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, ὁ καθοδηγήσας ἡμᾶς ἐν τῇ ἐρήμῳ· » ὁ δὲ Παῦλος, Κορινθίοις γράφων, τὸν Χριστὸν δείκνυσιν ὁδηγὸν τοῦ πάλαι λαοῦ, φάμενος· «Ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός. » Ὁ δὲ Ἡσαΐας τῷ Πνεύματι τῷ ἁγίῳ τὴν ὁδηγίαν αὐτῶν ἀνέθηκεν, εἰρηκώς· « Ἤγαγεν αὐτοὺς διὰ τῆς ἀβύσσου, ὡς ἵππον δι' ἐρήμου, καὶ οὐκ ἐκοπίασαν; καὶ ὡς κτήνη διὰ τοῦ πεδίου. Καὶ κατέβη Πνεῦμα παρὰ Κυρίου, καὶ ὡδήγησεν αὐτούς. » Καὶ ὁ μὲν Παῦλος τὸ καλεῖν τῷ Θεῷ ἀνέθεις· « Ὁ Θεὸς γὰρ, » φησὶν, « ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ· » Ῥωμαίοις γράφων, καὶ τῷ Χριστῷ τοῦτο δίδωσιν· «ἐν οἷς γὰρ, » φησὶν, «ἐστὲ καὶ ὑμεῖς, κλητοὶ Ἰησοῦ Χριστοῦ. » Ἡ δὲ βίβλος τῶν Πράξεων καὶ τῷ Πνεύματι τῷ ἁγίῳ τοῦτο νέμει· « Ἀφορίσατέ μοι γὰρ, » φησὶ, «τὸν Παῦλον καὶ τὸν Βαρνάβαν εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς. » Καὶ ποτὲ μὲν οἱ προφῆται προσώπῳ τοῦ Πατρὸς λαλοῦσιν, ὡς τό· « Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαυῒδ ψεύσομαι, τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μένει, » καὶ τὰ ἑξῆς· ποτὲ δὲ προσώπῳ τοῦ Υἱοῦ, ὡς ὅταν Ἡσαΐας λέγῃ· « Γνώσεται ὁ λαὸς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὸ ὄνομά μου, ὅτι ἐγώ εἰμι, αὐτὸς ὁ λαλῶν πάρειμι· » ποτὲ δὲ ἐκ προσώπου τοῦ ἁγίου Πνεύματος, ὡς ὅταν Παῦλος πρὸς Τιμόθεον γράφῃ· « Τὸ Πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως· » καὶ ὅταν Ἄγαβος ὁ προφήτης λέγῃ· « Τάδε λέγει τὸ Πνεῦμα τὸ ἅγιον, » καὶ τὰ ἑξῆς. Καὶ ὁ μὲν Θεὸς πληροῖ τὰ πάντα· « Οὐχὶ τὸν οὐρανὸν » γὰρ, φησὶ, « καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει Κύριος. » Περὶ δὲ τοῦ Υἱοῦ γράφει Παῦλος· « Ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα. » Τὸ αὐτὸ δὲ καὶ περὶ τοῦ ἁγίου Πνεύματός φησιν ὁ Δαυῒδ· « Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου; » τῷ δὲ εἰπεῖν, «ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου, » ὅτι καὶ τὸ ἅγιον Πνεῦμα πληροῖ τὰ πάντα ἐδήλωσεν.

A ducem. Sic enim inquit : « Bibebant e spirituali petra, petra autem erat Christus [29]. » Isaias vero tribuit hoc Spiritui sancto, « Duxit, » inquiens, « eos per abyssum, ut equum per desertum, et non sunt defatigati : ut oves per campum, et descendit Spiritus a Domino, et duxit eos [30]. » Paulus cum Deo, vocare ipsum, attribuisset, « Qui me, » inquiens, « segregavit ex utero matris meæ, et vocavit per gratiam suam [31], » idem ad Romanos scribens Christo id ascribit, « In quibus estis, » inquiens, « et vos, vocati Jesu Christi [32]. » In libro autem, quo res ab apostolis gestæ continentur, hoc ipsum ad Spiritum sanctum refertur. « Segregate, » inquit, « mihi Paulum, et Barna- B bam ad opus ad quod vocavi eos [33]. » Ex persona Patris aliquando loquuntur prophetæ, in eo loco : « Semel locutus sum in Sancto meo, si Davidi mentiar, semen tuum in æternum manebit [34], » et quæ sequuntur. Aliquando ex persona Filii, ut cum dicit Isaias : « Cognoscet populus in illa die, quia ego ipse, qui loquebar adsum [35]. » Aliquando ex persona sancti Spiritus, ut cum Paulus ad Timotheum scribit : « Spiritus manifeste dicit, quosdam in extremis temporibus discessuros a fide [36]. » Et cum Agabus propheta dit : « Hæc dicit Spiritus sanctus, » et cætera. Omnia replet Deus, « Nonne cœlum, inquit, et terram ego impleo? dicit Dominus [37]. » Sic autem de Filio Paulus scribit : « Qui descendit, idem est, qui etiam ascendit super om- C nes cœlos, ut impleat omnia [38]. » Quod item de Spiritu sancto loquitur David, « Quo, » inquiens, « ibo a spiritu tuo [39] ? » Dicens autem, « Quo ibo a spiritu tuo, » significavit, omnia Spiritum sanctum implere.

Ἔτι περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, διακεκριμένη ἅμα καὶ ἡνωμένη θεολογία τοῦ μεγάλου Βασιλείου, ἐκ τοῦ λόγου τοῦ περὶ πίστεως.

Διαδραμὼν τὰ σύμπαντα, καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν ἀνανεύσας τοῖς λογισμοῖς, καὶ ἐπέκεινα τούτων τὸν νοῦν ἀνυψώσας, ἐννόησον τὴν θείαν φύσιν ἑστῶσαν, ἄτρεπτον, ἀναλλοίωτον, ἀπαθῆ, ἁπλῆν, ἀσύνθετον, ἀδιαίρετον, φῶς ἀπρόσιτον, δύναμιν ἄφατον, μέγεθος ἀπεριόριστον, δόξαν ὑπεραστράπτουσαν, ἀγαθότητα ἐπιθυμητὴν, κάλλος ἀμήχανον, σφοδρῶς μὲν τῆς τετρωμένης ψυχῆς καθαπτόμενον, λόγῳ δὲ δηλωθῆναι πρὸς ἀξίαν ἀδύνατον. Ἐκεῖ Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα, ἡ ἄκτιστος φύσις, τὸ δεσποτικὸν ἀξίωμα, ἡ φυσικὴ ἀγαθότης, Πατὴρ ἡ πάντων ἀρχὴ, ἡ αἰτία τοῦ εἶναι

De Patre item, et Filio, et Spiritu sancto distincta pariter atque unita Divinitatis ratio, magni Basilii ex oratione de fide.

D Ubi cuncta percurreris, et omnia, quæ procreata sunt, ratione lustraveris, mentemque super his sublimem constitueris, cogita naturam divinam constantem, immobilem, incommutabilem, perturbationum expertem, simplicem, incompositam, indivisibilem, lucem inaccessam, potentiam inexplicabilem, gloriam immensam, bonitatem optabilem, pulchritudinem infinitam, quæ verbis declarari non potest pro dignitate. Illic Pater, et Filius, et Spiritus sanctus increata natura, princeps dignitas, naturalis bonitas, Pater rerum omnium principium, eorum quæ sunt auctor, ut sint, viventium

[29] I Cor. x, 4. [30] Isa. LXIII, 13. [31] Gal. I, 15. [32] Rom. I, 6. [33] Act. XIII, 43. [34] Psal. LXXXVIII, 36. [35] Isa. LII, 10. [36] I Tim. IV, 1. [37] Jer. XXIII, 24. [38] Ephes. IV, 6. [39] Psal. CXXXVIII, 7.

radix, ex quo fons vitæ profluit. Sapientia, potestas, imago Dei invisibilis absolutissima, Filius ex Patre genitus, qui vivens est Verbum, qui Deus est, et est apud Patrem. Sic autem est, ut nunquam non fuerit, cum sit ante sæcula, non autem post acquisitus. Filius, inquam, non possessio; effector, non factus: creator, non creatus, qui habet omnia quæ in Patre sunt, Filium et Patrem dico. Has mihi proprietates observa. In eo namque manens, ut Filius sit, quidquid est Pater, idem ipse est, quemadmodum ipsemet Dominus voce sua declarat, « Omnia, » inquiens, « quæcunque habet Pater, mea sunt [40]. » Vere enim omnia, quæ in exemplaris forma sunt, imago continet. « Vidimus, » inquit evangelista, « gloriam ejus, gloriam ut Unigeniti a Patre [41], » hoc est, non res admirabiles ei munere et gratia tributas, sed quam ex societate naturali Filius obtinet paternæ divinitatis dignitatem. Accepisse enim cum rebus creatis commune est, natura autem obtinere proprium est geniti. Quamobrem ut Filius possidet quæcunque sunt Patris, ut Unigenitus autem universa in se ipso continet et comprehendit, nulla re cum alio divisa. Ex ipsa igitur appellatione eum naturæ socium intelligimus, non jussu creatum, sed ex essentia effulgentem, sine intervallo, sine tempore conjunctum Patri, parem in bonitate, in potentia æqualem, gloriæ socium. Quid enim est aliud, nisi sigillum, et imago totum in se Patrem exprimens? Quæ autem postea, in corpore constitutus ad te loquitur, disponens hominum salutem quam in carne nobis apparens attulit, se missum esse dicens, et nihil ex se posse facere, et se mandatum accepisse, et his similia, cave, ne præbeant tibi occasionem, ut Unigeniti divinitatem imminuas. Potentis enim ad imbecillitatem tuam summissio non debet esse divinitatis ejus imminutio. Naturam igitur cogita Deo congruentem, ex verbis autem abjectioribus dispositionem intellige. Verum si de his vellemus accuratius in præsentia disserere, longam atque adeo infinitam sermoni nostro disputationem imprudenter insereremus. Quare ad propositum revertamur. Animus, qui a materiæ affectionibus sese potuerit expurgare, et iis quæ creata sunt posthabitis, ex profundo ad supera piscis instar emergere, in ea puritate, qua conditus est, situs, videbit illic esse Spiritum sanctum, ubi Filius, et Pater est, habentem et ipsum omnia conjunctim, et ex natura, bonitatem, rectitudinem, sanctitatem, vitam: Spiritus enim, inquit, tuus ille bonus, et Spiritus rectus, et Spiritus tuus, illum sanctum. Et lex Spiritus vitæ, Paulus ait. Quorum nihil ipsi comparatum est, aut posterius adjunctum, sed quemadmodum nec calefaciendi vis ab igne, nec splendor a luce separari potest, sic a Spiritu nec sanctitas sejungi, nec bonitas, nec rectitudo. Illic ergo consistit Spiritus, illic in beata natura, nec

[40] Joan. XVI, 15. [41] Joan. I, 14.

A τοῖς οὖσιν, ἡ ῥίζα τῶν ζώντων. Ὅθεν προῆλθε ἡ πηγὴ τῆς ζωῆς, ἡ σοφία, ἡ δύναμις, ἡ εἰκὼν ἡ ἀπαράλλακτος τοῦ ἀοράτου Θεοῦ, ὁ ἐκ τοῦ Πατρὸς γεννηθεὶς Υἱός, ὁ ζῶν Λόγος, ὁ Θεὸς ὤν, καὶ πρὸς τὸν Θεὸν ὤν· ὤν, οὐχὶ προσγενόμενος· ὑπάρχων πρὸ τῶν αἰώνων, οὐχὶ προσκτηθεὶς ὕστερον· Υἱός, οὐχὶ κτῆμα· ποιητής, οὐχὶ ποίημα· κτίστης, οὐχὶ κτίσμα· πάντα ὢν ὅσα ἐστὶν ὁ Πατήρ· Υἱός, εἶπον, καὶ Πατήρ. Φύλασσέ μοι ταύτας τὰς ἰδιότητας. Μένων οὖν ἐν τῷ εἶναι Υἱός, πάντα ἐστὶν ὅσα ἐστὶν ὁ Πατήρ, κατὰ τὴν φωνὴν αὐτοῦ τοῦ Κυρίου εἰπόντος· *Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι.* Τῷ ὄντι γὰρ τῆς εἰκόνος ἐστὶ πάντα, ὅσα πρόσεστι τῇ πρωτοτύπῳ μορφῇ. *Ἐθεασάμεθα γάρ,* φησὶν ὁ εὐαγγελιστής, *τὴν δόξαν αὐτοῦ, δόξαν ὡς*
B *Μονογενοῦς παρὰ Πατρός*· τουτέστιν, οὐκ ἐκ δωρεᾶς καὶ χάριτος δοθέντων αὐτῷ τῶν θαυμάτων, ἀλλ' ἐκ τῆς κατὰ φύσιν κοινωνίας ἔχοντος τοῦ Υἱοῦ τῆς πατρικῆς θεότητος τὸ ἀξίωμα. Τὸ μὲν γὰρ λαβεῖν κοινὸν καὶ πρὸς τὴν κτίσιν· τὸ δὲ ἔχειν ἐκ φύσεως ἴδιον τοῦ γεννηθέντος. Ὡς μὲν οὖν Υἱός, φυσικῶς κέκτηται τὰ τοῦ Πατρός· ὡς δὲ Μονογενής, ὅλα ἔχει ἐν ἑαυτῷ συλλαβών, οὐδενὸς καταμεριζομένου πρὸς ἕτερον. Ἐξ αὐτῆς τοίνυν τῆς Υἱοῦ προσηγορίας διδασκόμεθα, ὅτι τῆς φύσεώς ἐστι κοινωνός· οὐ προστάγματι κτισθείς, ἀλλ' ἐκ τῆς οὐσίας ἐκλάμψας ἀδιαστάτως, ἀχρόνως τῷ Πατρὶ συνημμένος, ἴσος ἐν ἀγαθότητι, ἴσος ἐν δυνάμει, κοινωνὸς τῆς δόξης. Καὶ τί γάρ, ἀλλ' ἢ σφραγὶς καὶ εἰκών, ὅλον ἐν ἑαυ-
C τῷ δεικνὺς τὸν Πατέρα; Ὅσα δέ σοι μετὰ ταῦτα ἀπὸ τῆς σωματικῆς κατασκευῆς διαλέγεται, τὴν τῶν ἀνθρώπων σωτηρίαν οἰκονομῶν, ἣν διὰ σαρκὸς ἐπιφανεὶς ἡμῖν ἐπεδείξατο, ἀποστελλόμενον λέγων ἑαυτόν, καὶ μηδὲν δυνάμενον ἀφ' ἑαυτοῦ ποιεῖν, καὶ ἐντολὴν λαβόντα, καὶ ὅσα τοιοῦτα, μή σοι παρεχέτω ἀφορμὰς πρὸς τὸ κατασμικρύνειν τοῦ Μονογενοῦς τὴν θεότητα. Οὐ γὰρ ἡ πρὸς τὸ σὸν ἀσθενὲς συγκατάβασις ἐλάττωσις ὀφείλει γίνεσθαι τῆς ἀξίας τοῦ δυνατοῦ· ἀλλὰ τὴν μὲν φύσιν νόει θεοπρεπῶς, τὰ δὲ ταπεινότερα τῶν ῥημάτων δέχου οἰκονομικῶς. Περὶ ὧν εἰ βουληθείημεν ἐν τῷ παρόντι πρὸς ἀκρίβειαν διηγεῖσθαι, λάθοιμεν ἂν ἑαυτοὺς πολύ τι καὶ ἀπέραντον πλῆθος λόγων ἐπεισάγοντες τῇ ὑποθέσει. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανίωμεν. Ὅτι διά-
D νοια ἡ δυνηθεῖσα τῶν τε ὑλικῶν καθαρεῦσαι παθῶν καὶ τὴν νοητὴν κτίσιν πᾶσαν καταλιπεῖν, καὶ οἷόν τις ἰχθὺς ἀπὸ τοῦ βυθοῦ πρὸς τὴν ἄνω ἐπιφάνειαν ἀνανήξασθαι, ἐν τῷ καθαρῷ τῆς κτίσεως γενομένη, ἐκεῖ ὄψεται τὸ Πνεῦμα τὸ ἅγιον, ὅπου Υἱός, καὶ ὅπου Πατήρ, πάντα ἔχον καὶ αὐτὸ συνουσιωμένως κατὰ τὴν φύσιν, τὴν ἀγαθότητα, τὴν εὐθύτητα, τὸν ἁγιασμόν, τὴν ζωήν. *Τὸ Πνεῦμα γάρ σου,* φησίν, *τὸ ἀγαθόν*· καὶ πάλιν, *Πνεῦμα εὐθές*· καὶ πάλιν, *Τὸ Πνεῦμα τὸ ἅγιον*. Καὶ ὁ Ἀπόστολος· *Ὁ νόμος τοῦ Πνεύματος τῆς ζωῆς.* Τούτων οὐδὲν ἐπίκτητον αὐτῷ, οὐδὲ ὕστερον ἐπιγενόμενον πρόσεστιν· ἀλλ' ὥσπερ ἀχώριστον τῷ πυρὶ τὸ θερμαίνειν, καὶ τῷ φωτὶ τὸ λάμπειν· οὕτω καὶ τῷ

Πνεύματι τὸ ἁγιάζειν, τὸ ζωοποιεῖν, ἡ ἀγαθότης, ἡ εὐθύτης. Ἐκεῖ τοίνυν ἕστηκε τὸ Πνεῦμα, ἐκεῖ, ἐν τῇ μακαρίᾳ φύσει, οὐ μετὰ πλήθους ἀριθμούμενον, ἀλλ' ἐν τῇ Τριάδι θεωρούμενον· μοναδικῶς ἐξαγγελλόμενον, οὐκ ἐμπεριειλημμένον τοῖς συστήμασιν. Ὡς γὰρ Πατὴρ εἷς, καὶ Υἱὸς εἷς· οὕτως ἓν καὶ τὸ ἅγιον Πνεῦμα. Τὰ δὲ λειτουργικὰ πνεύματα καθ' ἕκαστον τάγμα πλῆθος ἡμῖν ὑποφαίνει δυσεξαρίθμητον. Μὴ τοίνυν ζήτει ἐν τῇ κτίσει τὸ ὑπὲρ τὴν κτίσιν· μὴ καταγάγῃς τὸ ἁγιάζον μετὰ τῶν ἁγιαζομένων. Τοῦτο πληροῖ ἀγγέλους, πληροῖ ἀρχαγγέλους, ἁγιάζει δυνάμεις, ζωοποιεῖ τὰ σύμπαντα. Τοῦτο εἰς πᾶσαν κτίσιν μεριζόμενον, καὶ ἄλλως ὑπ' ἄλλου μετεχόμενον, οὐδὲν ἐλαττοῦται παρὰ τῶν μετεχόντων. Πᾶσι μὲν τὴν παρ' ἑαυτοῦ χάριν δίδωσιν· οὐκ ἀναλίσκεται δὲ εἰς τοὺς μετέχοντας· ἀλλὰ καὶ οἱ λαβόντες πληροῦνται, καὶ αὐτό ἐστιν ἀνενδεές. Καὶ ὥσπερ ὁ ἥλιος ἐπιλάμπων τοῖς σώμασι, καὶ ποικίλως ὑπ' αὐτῶν μετεχόμενος, οὐδὲν ἐλαττοῦται παρὰ τῶν μετεχόντων· οὕτω καὶ τὸ Πνεῦμα πᾶσι τὴν παρ' ἑαυτοῦ χάριν παρέχον, ἀμείωτον μένει καὶ ἀδιαίρετον. Πάντας φωτίζει πρὸς τὴν τοῦ Θεοῦ κατανόησιν, ἐμπνεῖ τοῖς προφήταις, νομοθέτας σοφίζει, ἱερέας τελειοῖ, ἐνισχύει βασιλεῖς, καταρτίζει δικαίους, σεμνύνει σώφρονας, ἐνεργεῖ χαρίσματα ἰαμάτων, ζωοποιεῖ τοὺς νεκρούς, λύει τοὺς πεπεδημένους, υἱοθετεῖ τοὺς ἠλλοτριωμένους. Ταῦτα διὰ τῆς ἄνωθεν γεννήσεως ἐνεργεῖ. Ἐὰν τελώνην λάβῃ πιστεύοντα, εὐαγγελιστὴν ἀποδείκνυσιν· ἐὰν ἐν ἁλιεῖ γένηται, θεολόγον ἀποτελεῖ· ἐὰν διώκτην εὕρῃ μετανοοῦντα, ἀπόστολον ἐθνῶν ἀπεργάζεται, κήρυκα πίστεως, σκεῦος ἐκλογῆς. Δι' αὐτοῦ οἱ ἀσθενεῖς ἰσχυροί· οἱ πτωχοὶ πλουτίζουσιν· οἱ ἰδιῶται τῷ λόγῳ σοφώτεροί εἰσι τῶν σοφῶν. Παῦλος ἀσθενής, ἀλλὰ διὰ τὴν παρουσίαν τοῦ Πνεύματος τὰ σουδάρια τοῦ χρωτὸς αὐτοῦ ἴασιν παρεῖχε τοῖς ὑποδεχομένοις. Πέτρος καὶ αὐτὸς σῶμα περικείμενος ἀσθενείας, ἀλλὰ διὰ τὴν ἐνοικοῦσαν χάριν τοῦ Πνεύματος ἡ ἐκπίπτουσα τοῦ σώματος σκιὰ ἀπεδίωκε τὰς νόσους τῶν καταπονουμένων. Πτωχὸς Πέτρος καὶ Ἰωάννης· οὐ γὰρ εἶχον ἀργύριον, οὐδὲ χρυσίον· ἀλλ' ἐχαρίζοντο ὑγίειαν πολλῶν χρυσίων τιμιωτέραν. Παρὰ πολλῶν γὰρ λαβὼν χρυσίον ὁ χωλός, ἔτι προσαίτης ἦν· παρὰ δὲ Πέτρου δεξάμενος τὴν χάριν, ἐπαύσατο προσαιτῶν, ἀλλόμενος ὥσπερ ἔλαφος, καὶ αἰνῶν τὸν Θεόν. Οὐκ ᾔδει Ἰωάννης τὴν τοῦ κόσμου σοφίαν, ἀλλ' ἐφθέγξατο ῥήματα τῇ δυνάμει τοῦ Πνεύματος, οἷς οὐδεμία σοφία προσβλέψαι δύναται. Τοῦτο καὶ ἐν οὐρανῷ ἕστηκε, καὶ τὴν γῆν πεπλήρωκε, καὶ πανταχοῦ πάρεστι, καὶ οὐδαμοῦ περιέχεται. Ὅλον ἑκάστῳ ἐνοικεῖ, καὶ ὅλον ἐστὶ μετὰ τοῦ Θεοῦ. Οὐ λειτουργικῶς διακονεῖ τὰς δωρεάς, ἀλλ' αὐθεντικῶς διαιρεῖ τὰ χαρίσματα. *Διαιρεῖ* γάρ, φησίν, *ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται.* Ἀποστέλλεται μὲν οἰκονομικῶς, ἐνεργεῖ δὲ αὐτεξουσίως. Τοῦτο παρεῖναι ταῖς ψυχαῖς ἡμῶν εὐξώμεθα, καὶ μηδένα καιρὸν ἡμᾶς ἀπολιμπάνειν.

A cum multitudine numeratur, sed in Trinitate conspicitur. Solus nuntiatur, non cum pluribus comprehenditur. Sicut enim Pater est unus, et Filius unus, sic et Spiritus unus est. At ministrantium spirituum multitudinem enumerare vix queas. Proinde in rebus creatis ne quæras eum, qui super illas est. Ne deduxeris illum, qui sanctos facit, ad eos qui fiunt sancti. Hic angelos replet, sanctas efficit potestates, omnibus vitam præbet. Hic se rebus procreatis sic impartitur, ut cum ab aliis aliter perceptus sit, a nulla tamen ejus participe minuatur; omnibus dat gratiam suam, nec tamen in accipientes insumitur, sed cum illi, qui accipiunt, impleantur, ipse tamen integer manet. Quemadmodum sol a corporibus, quæ ipse illustrat, variis B modis excipitur, nec tamen ab illis imminuitur, sic et Spiritus gratiam suam omnibus communicans integer indivisusque permanet. Omnes illustrat ad cognitionem Dei. Nomine suo prophetas afflat, legislatores efficit sapientes, sacerdotes erudit, reges corroborat, justos dirigit, temperatos exornat; præstat munera curationum, mortuos in vitam revocat, vinctos solvit, alienos adoptat in filios. Hæc per cœlestem agit generationem. Si publicanum credentem susceperit, eum declarat evangelistam: si fuerit in piscatore, theologum reddit: si persecutorem resipiscentem invenerit, gentium apostolum facit, præconem fidei, vas electionis. Per hunc imbecilli fortes fiunt, pauperes C ditescunt, rudes infantesque sapientibus evadunt sapientiores. Hic et in cœlo consistit, et terram implevit, et ubique est, et nusquam includitur. Totus in singulis inhabitat, et est totus cum Deo, non ministrantis more dona distribuit, sed auctoritate sua munera dilargitur. Dividit enim singulis, inquit, peculiariter uti vult. Mittitur ille quidem ut minister, sed sua agit potestate. Hunc animis nostris ut præsto sit nulloque nos tempore deserat obsecremus.

Ἔτι περὶ Πατρός, Υἱοῦ καὶ ἁγίου Πνεύματος διακεκριμένη ἅμα καὶ ἡνωμένη θεολογία τοῦ μεγάλου Βασιλείου ἐκ τῆς πρὸς Γρηγόριον τὸν ἀδελφὸν ἐπιστολῆς τῆς περὶ διαφορᾶς οὐσίας καὶ ὑποστάσεως.

Ἐπὶ τῆς ἁγίας Τριάδος ὁ τὸν Πατέρα νοήσας αὐτόν τε ἐφ' ἑαυτοῦ κατενόησε, καὶ τὸν Υἱὸν τῇ διανοίᾳ συμπαρεδέξατο. Ὁ δὲ τὸν Υἱὸν λαβὼν καὶ τὸ Πνεῦμα συμπαρέλαβε, καὶ ἀκολούθως μὲν κατὰ τὴν τάξιν, συνημμένως δὲ κατὰ τὴν φύσιν τῶν τριῶν ἐν ἑαυτῷ συγκεκραμένην τὴν πίστιν ἀνετυπώσατο.

D *De Patre item, et Filio, et Spiritu sancto distincta pariter atque unita divinitatis ratio, magni Basilii epistola ad Gregorium fratrem de essentiæ et personæ differentia.*

In sancta Trinitate qui Patrem novit, et Patrem ipsum intelligit, et eadem cogitatione Filium comprehendit. Qui vero Filium accipit, et Spiritum simul assumit, et consequenter quidem secundum ordinem, conjuncte autem secundum naturam, trium in idem commistam in se ipso fidem expressit, et qui Spi-

ritum tantum dixit, comprehendit simul hac confessione illum etiam, cujus est spiritus: est enim Christi: et eum, ex quo; nam est ex Deo, ut inquit Apostolus. Et quemadmodum in catena qui extremitatem unam attingit, simul etiam alteram trahit extremitatem, sic qui Spiritum traxit, ut inquit Propheta, per ipsum et Filium et Patrem simul attraxit. Et qui Filium apprehenderit, habebit ipsum ab altera quidem parte Patrem suum, ab altera autem parte Spiritum proprium adducentem. Neque enim a Patre poterit separari, qui semper est in Patre, neque a Spiritu sejungi, qui omnia per ipsum agit. Quamobrem nulla sectio, aut divisio ullo modo potest excogitari, qua vel Pater sine Filio, vel Filius sine Spiritu intelligatur. Sed ea in his est tum unio, tum distinctio, quæ nec oratione potest explicari, nec animo comprehendi, cum nec personarum distinctio essentiæ distrahat conjunctionem nec essentiæ conjunctio personarum confundat proprietatem. Mirabili namque ratione in his est tum conjuncta distinctio, tum distincta conjunctio. Verum ut aliquo modo rei obscuritas illustretur, vel quædam potius adhibeatur adumbratio veritatis, cœlestis arcus, quem irim appellant, exemplum consideremus. Omnium enim colorum ipsius splendores et distincti videntur esse, quoniam lucidi sunt, et conjuncti, quoniam latent oculos nostros mistionum termini, quibus distinguuntur colorum diversitates, ut discernere nequeamus, quousque pertineat aut initium sumat vel rutilus, vel smaragdinus, vel glaucus luminis nitor. Quo quidem naturæ exemplo nos ratio docet, ne frustra laborem insumamus in dogmatis rationibus exquirendis, cum in difficilem aliquam disputationem incidimus, et utrum iis, quæ dicuntur, assentiendum sit, hæsitamus. Quemadmodum enim in iis quæ oculis cernuntur, rationibus præstant experimenta, sic in sublimibus dogmatibus, cognitioni, quæ rationibus comparatur, fides antecellit.

Ejusdem ex decimo octavo capitum ad Amphilochium.

Unus Deus et Pater, et unus unigenitus Filius, et unus Spiritus sanctus. Unamquamque personam sigillatim enuntiamus. Cumque oporteat connumerare, non id agimus, ut inerudita numeratione ad multiplicis divinitatis intelligentiam adducamur. Neque enim componendo enumeramus, incrementum ab uno ad multitudinem facientes, dicentesque unum, et duo, et tria: aut primum, aut secundum, aut tertium. « Ego » enim, inquit, « Deus primus, et ego deinceps. » Deum secundum ad hunc usque diem nunquam audivimus. Sic enim Deum ex Deo adoramus, ut personarum proprietatem confitentes, unicum principatum asseramus, nec divinitatis rationem in multitudinem subdivisam discindimus, quoniam una in Deo, et Patre, et Filio unigenito quasi forma spectatur incommutabili conjuncta vinculo divinitatis.

A Καὶ ὁ τὸ Πνεῦμα μόνον εἰπὼν συμπεριέλαβε τῇ ὁμολογίᾳ ταύτῃ καὶ τὸ οὗ ἐστι τὸ Πνεῦμα· τοῦ Χριστοῦ γάρ· καὶ τὸ ἐξ οὗ· ἐκ τοῦ Θεοῦ γάρ, καθά φησιν ὁ Παῦλος. Καὶ ὥσπερ ἐπὶ τῆς ἁλύσεως ὁ ἑνὸς ἄκρου ἐφάψαμενος καὶ τὸ ἕτερον ἄκρον συνεπεσπάσατο, οὕτως ὁ τὸ Πνεῦμα ἑλκύσας, καθά φησιν ὁ προφήτης, δι' αὐτοῦ καὶ τὸν Υἱὸν, καὶ τὸν Πατέρα συνεἵλκυσε. Καὶ εἰ τὸν Υἱόν τις λάβοι, ἕξει αὐτὸν ἑκατέρωθεν, τῇ μὲν τὸν ἑαυτοῦ Πατέρα, τῇ δὲ τὸ ἴδιον Πνεῦμα συνεπαγόμενον. Οὔτε γὰρ τοῦ Πατρὸς ὁ ἀεὶ ἐν τῷ Πατρὶ ὢν ἀποτμηθῆναι δυνήσεται, οὔτε τοῦ Πνεύματός ποτε τοῦ Υἱοῦ διαζευχθήσεται ὁ πάντα ἐν αὐτῷ ἐνεργῶν. Οὐκ ἔστιν οὖν ἐπινοῆσαι τομὴν ἢ διαίρεσιν κατ' οὐδένα τρόπον, ὡς ἢ τὸν Πατέρα χωρὶς τοῦ Υἱοῦ νοηθῆναι, ἢ τὸν Υἱὸν χωρὶς B τοῦ Πνεύματος, ἀλλά τις ἄῤῥητος καὶ ἀκατανόητος ἐν τούτοις καὶ ἕνωσις καὶ διαίρεσις, οὔτε τῆς τῶν ὑποστάσεων διαφορᾶς τὸ συνεχὲς τῆς φύσεως διασπώσης, οὔτε τῆς κατὰ τὴν οὐσίαν συναφείας τὸ ἰδιάζον τῶν γνωρισμάτων ἀναχεούσης. Καὶ ἔστι παραδόξως ἐπὶ τούτων καὶ διάκρισις συνημμένη, καὶ διακεκριμένη συνάφεια. Προσκείσεται δὲ καί τι πρὸς ἐπίγνωσιν ἀμυδρὰν ὑπόδειγμα, μᾶλλον δὲ σκιά τις ἀληθείας ἡ πολύχροος ἶρις. Πάντων γὰρ τῶν ἐν αὐτῇ χρωμάτων αἱ αὐγαὶ καὶ διακεκριμέναι φαίνονται τῷ τηλαυγεῖς εἶναι, καὶ συνηνῶσθαι δοκοῦσι τῷ λανθάνειν ἡμῶν τὰς ὄψεις τοὺς ὅρους τῶν μίξεων, τοὺς διακρίνοντας τὰς τῶν χρόνων ἑτερότητας, ὡς ἀμήχανον ἐξευρεῖν μέχρι τίνος ἕστηκε τὸ πυραυ- C γὲς, ἢ σμαραγδίζον τῆς αἴγλης, ἢ χλοάζον τῆς λαμπηδόνος, καὶ ἀπὸ τίνος ἄρχεται, παιδεύοντος, οἶμαι, τοῦ λόγου καὶ διὰ τῆς κτίσεως ἡμῶν μὴ καινοπαθεῖν τοῖς περὶ τοῦ δόγματος λόγοις, ὅταν, εἰς τὸ δυσθεώρητον ἐμπεσόντες, πρὸς τὴν συγκατάβασιν τῶν λεγομένων ἰλιγγιάσωμεν. Ὡς γὰρ ἐπὶ τῶν τοῖς ὀφθαλμοῖς φαινομένων κρείττων ἐφάνη τῆς ἀντιλογίας ἡ πεῖρα, οὕτω καὶ ἐπὶ τῶν ὑπεραναβεβηκότων δογμάτων κρείττων ἡ πίστις ἔστω τῆς διὰ τῶν λογισμῶν καταλήψεως.

Ἐκ τοῦ αὐτοῦ ἀποκεφαλαίωσις δεκάτη τῶν πρὸς Ἀμφιλόχιον.

Εἷς Θεὸς καὶ Πατὴρ, καὶ εἷς μονογενὴς Υἱὸς, καὶ ἓν ἅγιον Πνεῦμα. Ἑκάστην τῶν ὑποστάσεων μοναD χῶς ἐξαγγέλλομεν. Ἐπειδὰν δὲ συναριθμεῖσθαι δέῃ, οὐχὶ ἀπαιδεύτῳ ἀριθμήσει πρὸς πολυθείας ἔννοιαν ἐκφερόμεθα. Οὐ γὰρ κατὰ σύνθεσιν ἀριθμοῦμεν ἀφ' ἑνὸς εἰς πλῆθος ποιούμενοι τὴν παραύξησιν, ἓν καὶ δύο, καὶ τρία λέγοντες· οὐδὲ πρῶτον, καὶ δεύτερον, καὶ τρίτον. « Ἐγὼ γὰρ, » φησὶ, « Θεὸς πρῶτος, ἐγὼ καὶ μετὰ ταῦτα. » Δεύτερον Θεὸν οὐδέπω καὶ τήμερον ἀκηκόαμεν. Θεὸν γὰρ ἐκ Θεοῦ προσκυνοῦντες, καὶ τὸ ἰδιάζον τῆς ὑποστάσεως ὁμολογοῦμεν, καὶ μένομεν ἐπὶ τῆς μοναρχίας, εἰς πλῆθος ἀπεσχισμένον τὴν θεολογίαν μὴ σκεδαννύντες, διὰ τὸ μίαν ἐν Θεῷ καὶ Πατρὶ καὶ Υἱῷ μονογενεῖ τὴν οἱονεὶ μορφὴν θεωρεῖσθαι τῷ ἀπαραλλάκτῳ τῆς θεότητος ἐνιζομένην. Υἱὸς γὰρ ἐν Πατρὶ, καὶ Πατὴρ ἐν Υἱῷ, ἐπειδὴ καὶ οὗτος τοιοῦτος, οἷος ἐκεῖνος,

ὥσπερ οὗτος, ὥσπερ κατὰ τὴν ἰδιότητα τῶν προσώπων εἷς, καὶ εἷς, κατὰ δὲ τὸ κοινὸν τῆς φύσεως ἓν οἱ ἀμφότεροι. Πῶς οὖν εἴπερ εἷς, καὶ εἷς, οὐχὶ δύο θεοί; Ὅτι βασιλεὺς λέγεται καὶ ἡ τοῦ βασιλέως εἰκὼν, καὶ οὐ δύο βασιλεῖς. Οὔτε γὰρ τὸ κράτος σχίζεται, οὔτε ἡ βασιλεία μερίζεται. Ὡς γὰρ ἡ κρατοῦσα ἡμῶν ἀρχὴ καὶ ἐξουσία μία, οὕτω καὶ ἡ παρ' ἡμῶν δοξολογία μία, καὶ οὐ πολλαί. Διότι ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει. Ὃ οὖν ἐστιν ἐνταῦθα μιμητικῶς ἡ εἰκὼν, τοῦτο ἐκεῖ φυσικῶς ὁ Υἱός. Καὶ ὥσπερ ἐπὶ τῶν τεχνητῶν κατὰ τὴν μορφὴν ἡ ὁμοίωσις, οὕτω καὶ ἐπὶ τῆς θείας φύσεως τῆς ἀσυνθέτου ἐν τῇ κοινωνίᾳ τῆς θεότητός ἐστιν ἡ ἕνωσις. Ἓν δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ αὐτὸ μοναδικῶς ἐξαγγελλόμενον δι' ἑνὸς Υἱοῦ, τῷ Πατρὶ συναπτόμενον, καὶ δι' ἑαυτοῦ συμπληροῦν τὴν πολύυμνητον καὶ μακαρίαν Τριάδα, οὗ τὴν πρὸς τὸν Πατέρα καὶ Υἱὸν οἰκείωσιν ἱκανῶς ἐμφαίνει τῷ μὴ ἐν τῷ πλήθει τῆς κτίσεως, ἀλλὰ μοναχῶς ἐκφωνεῖσθαι. Οὐ γὰρ ἓν τῶν πολλῶν ἐστιν, ἀλλ' ἕν ἐστιν· ὡς εἷς Πατὴρ καὶ Υἱὸς, οὕτω καὶ ἓν Πνεῦμα ἅγιον. Τῆς μὲν οὖν κτιστῆς φύσεως τοσοῦτον ἀποκεχώρηκεν, ὅσον εἰκὸς τὸ μοναδικὸν τῶν συστηματικῶν, καὶ πληθυσμὸν ἐχόντων. Πατρὶ δὲ καὶ Υἱῷ κατὰ τοσοῦτον ἥνωται, καθ' ὅσον ἔχει μονὰς πρὸς μονάδα τὴν οἰκειότητα. Καὶ οὐκ ἐντεῦθεν μόνον ἡ τῆς κατὰ φύσιν κοινωνίας ἀπόδειξις, ἀλλ' ὅτι καὶ ἐκ τοῦ Θεοῦ εἶναι, καὶ λέγεται, οὐχ ὡς τὰ πάντα ἐκ τοῦ Θεοῦ, ἀλλ' ὡς ἐκ Θεοῦ προσελθὸν, οὐ γεννητὸν ὡς Υἱὸς, ἀλλ' ὡς τὸ Πνεῦμα στόματος αὐτοῦ. Πάντως δὲ οὔτε τὸ στόμα μέλος, οὔτε πνοὴ λυομένη τὸ πνεῦμα, ἀλλὰ καὶ τὸ σῶμα θεοπρεπῶς, καὶ τὸ Πνεῦμα οὐσία ζῶσα, ἁγιασμοῦ κυρία, τῆς μὲν οἰκειότητος δηλουμένης ἐντεῦθεν, τοῦ δὲ τρόπου τῆς ὑπάρξεως ἀῤῥήτου φυλασσομένου.

Filius enim in Patre, et Pater in Filio. Siquidem et hic est talis, qualis imago, et ille, qualis est hic, ut ex proprietate personarum sint unus, et unus, ex naturæ autem communione utrique unum. Quomodo igitur si unus, et unus, non duo dii? Quia cum dicatur rex et imago ejus, non tamen duo sunt reges. Neque enim potestas scinditur, aut dividitur regnum. Nam sicut est unius in nos imperium et principatus, sic etiam qui a nobis habetur honor, est unus, non multi. Honor enim, qui præstatur imagini, pervenit ad exemplar. Quare quod hic fit artis imitatione, illic natura Filius obtinet. Et quemadmodum in iis, quæ fiunt ab artificibus, ex forma ducitur similitudo, sic in illa divina incompositaque natura ex communione divinitatis est ipsa unitas. Unus autem est et Spiritus sanctus, qui et ipse singulariter effertur, et per unum Filium conjunctus Patri, et per se complet omnibus laudibus celebrandam ac beatissimam Trinitatem. Cujus cum Patre Filioque conjunctio ex eo satis perspicue patet, quod non in rerum creatarum multitudine, sed singulariter pronuntiatur. Non enim est unus e multis, sed unus est singulari quadam ratione. Nam sicut unus est Pater, et unus Filius, sic unus est etiam Spiritus sanctus. Tantum igitur abest a natura creata, quantum abesse par est singularem a congregatis et habentibus multitudinem, Patri vero et Filio sic unitus est, ut unitas cum unitate conjungitur. Nec solum ex hoc naturæ societas declaratur, verum etiam ex eo quod ex Deo esse dicitur, non quemadmodum omnia sunt ex Deo, sed quod ex Deo procedit; non ut Filius generatione, sed ut Spiritus oris ejus. Hic autem mihi os non ut membrum intelligas, nec spiritum uti flatum, qui dissolvitur ac dissipatur, sed os Deo dignum, et Spiritum essentiam vivam, sanctificationis dominam, cujus quidem societas ex his declaratur, essentiæ autem modus arcanus servatur.

Ἔτι περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος διακεκριμένη ἅμα καὶ ἡνωμένη θεολογία τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ περὶ Υἱοῦ λόγου α'.

Ἡμῖν δὲ μοναρχία τὸ τιμώμενον. Μοναρχία δὲ οὐχ ἣν ἓν περιγράφει πρόσωπον· ἔστι γὰρ καὶ τὸ ἓν στασιάζον πρὸς ἑαυτὸ πολλὰ καθίστασθαι· ἀλλ' ἣν φύσεως ὁμοτιμία συνίστησι, καὶ γνώμης σύμπνοια, καὶ ταυτότης κινήσεως, καὶ πρὸς τὸ ἓν τῶν ἐξ αὐτοῦ σύννευσις, ὅπερ ἀμήχανον ἐπὶ τῆς γεννητῆς φύσεως· ὥστε κἂν ἀριθμῷ διαφέρει, τῇ ἐξουσίᾳ μὴ τέμνεσθαι. Διὰ τοῦτο μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι Τριάδος ἔστη. Καὶ τοῦτό ἐστιν ἡμῖν ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα. Ὁ μὲν γεννήτωρ καὶ προβολεὺς, λέγω δὲ ἀπαθῶς, καὶ ἀχρόνως, καὶ ἀσωμάτως· τῶν δὲ τὸ μὲν γέννημα (1), τὸ δὲ πρόβλημα, ἢ οὐκ οἶδ' ὅπως ἄν τις

De Patre item, et Filio et Spiritu sancto distincta simul et unita divinitatis ratio, Magni Gregorii Theologi ex oratione prima de Filio.

A nobis autem unius Dei colitur principatus, non quem una circumscribat persona: cum fieri possit, ut et unum a seipso dissideat, atque ita multa sit; sed quem æqualis naturæ dignitas, idem consensus, eadem motio, et omnium, quæ inde fluunt, in unum concursus constituat. Quod in natura procreata fieri nequit, ut et numero differat, et divisam non habeat potestatem. Idcirco unitas ab initio ad binarium progressa numerum intra ternarium consistit. Id nobis est Pater, Filius, et Spiritus sanctus. Pater quidem genitor, et emissor (hic mihi nec perturbationem, nec tempus, nec corpus intelligas), Filius vero genitus; et Spiritus emissus:

(1) In codice 1 Mosquensi apud Matthæi præf. ad Euthym. in Evang. legitur hoc scholion a prima manu: Ὁ μὲν μέγας Βασίλειος ἀπεδοκίμαζεν ἐπὶ τοῦ Υἱοῦ τὴν τοῦ γεννήματος προσηγορίαν, κατατρέχων Εὐνομίου, χρησαμένου ταύτῃ ἀντὶ τῆς τοῦ Υἱοῦ, λέγων ὅτι Υἱὸς μὲν διαῤῥήδην παρ' αὐτοῦ τοῦ Πατρὸς ὠνομάσθη· γέννημα δὲ οὐδαμοῦ τῆς Γραφῆς ἐκλήθη. Προστίθησι δὲ καὶ ἄλλα πρὸς διαβολὴν τῆς τοιαύτης προσηγορίας, ὅτι καὶ ὡς δοκοῦν ὑποκορίζειν, τοῦτο ἐκεῖνος προσίετο, εἰς ἐλάττωσιν τοῦ Υἱοῦ. Ὁ δὲ μέγας Γρηγόριος ἐνέκρινε τοῦτο καὶ ἀπεδέξατο καθ' ἕτερον λόγον, ἔτι τε πᾶν

Hæc quomodo possint enuntiari, ut quæ sensibus sunt obnoxia, non occurrant, equidem nescio. *Et paulo post :* Quapropter ut intra nostros terminos consistamus, Patrem ingenitum, Filium genitum, Spiritum, quemadmodum ipsemet Deus, et Dei Verbum alicubi dicit, a Patre procedentem inducimus. Quando igitur, inquies, hi? Antequam ulla esset temporis ratio : et, si licet juveniliter loqui, quando et Pater. Sin pergas quærere, ecquando Pater? cum nunquam non fuisse respondebo, ut idem de Filio etiam intelligas, et Spiritu sancto. Quod si rursum interroges, quando Filius genitus fuerit, audies a me, tum, cum non est genitus Pater. Quando processerit Spiritus, cum ipse Filius non processit, sed sine tempore genitus est ratione inexplicabili. Quanquam dum temporis significationem effugimus, licet verbis vim afferamus, non possumus tamen aliquid, quod supra tempus sit, constituere. Siquidem illæ voces : « quando, ante, post, et ab initio, » temporis non sunt expertes. Spatium igitur illud, quod duratione sua respondet sempiternis, quodque nec ullus motus, nec solis cursus dividit aut dimetitur (id quod accidit tempori) sæculum appellemus. Quomodo igitur, inquies, Filius, et Spiritus, cum sint, quemadmodum Pater, sempiterni, non sunt etiam, sicut ille, sine principio? Quoniam ex illo sunt, licet post illum non sint. Quod enim principio caret, æternum est : quod autem æternum, non continuo est expers principii. Ad principium enim, quod est Pater, referuntur, quocirca principii non sunt expertes. Jam illud constat, non omnem causam, iis quorum causa sit, antiquiorem esse, neque enim luce sol est antiquior. At si tempus respicias, Filius et Spiritus sanctus perinde atque Pater principio vacant, quamvis tu simpliciores perterrefacias. Nam temporis auctores ipsi tempori non sunt subjecti.

A ταῦτα καλέσειεν, ἀφελὼν πάντη τῶν ὁρωμένων. *Καὶ μετ' ὀλίγα·* Διὰ τοῦτο ἐπὶ τῶν ἡμετέρων ὅρων ἱστάμενοι τὸ ἀγέννητον εἰσάγομεν, καὶ τὸ γεννητὸν καὶ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ὥς πού φησιν ὁ αὐτὸς Θεὸς καὶ Λόγος. Πότε οὖν ταῦτα; Ὑπὲρ τὸ πότε ταῦτα. Εἰ δὲ δεῖ τι καὶ νεανικῶς εἰπεῖν, ὅτε ὁ Πατήρ. Πότε δὲ ὁ Πατὴρ οὐκ ἦν; Ὅτε οὐκ ἦν. Τοῦτο οὖν καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Πάλιν ἐρώτα με, καὶ πάλιν ἀποκρινοῦμαί σοι· πότε ὁ Υἱὸς γεγέννηται; Ὅτε ὁ Πατὴρ οὐ γεγέννηται. Πότε δὲ τὸ Πνεῦμα ἐκπορεύεται; Ὅτε ὁ Υἱὸς οὐκ ἐκπεπόρευται, ἀλλὰ γεγέννηται ἀχρόνως καὶ ὑπὲρ λόγον, εἰ καὶ μὴ δυνάμεθα τὸ ὑπὲρ χρόνον παραστῆσαι θέλοντες ἐκφυγεῖν χρονικὴν ἔμφασιν. Τὸ γὰρ ὅτε, καὶ μετὰ ταῦτα, καὶ ἀπ' ἀρχῆς, οὐκ ἄχρονα, B κἂν ὅτι μάλιστα βιαζώμεθα· πλὴν εἰ τὸ παρεκτεινόμενον τοῖς ἀϊδίοις διάστημα τὸν αἰῶνα λαμβάνοιμεν, τὸ μὴ κινήσει τινὶ, μηδὲ ἡλίου φορᾷ μεριζόμενον καὶ μετρούμενον, ὅπερ ὁ χρόνος. Πῶς οὖν οὐ συνάναρχα, εἰ συναΐδια; Ὅτι ἐκεῖθεν, εἰ καὶ μὴ μετ' ἐκεῖνον. Τὸ μὲν γὰρ ἄναρχον καὶ ἀΐδιον· τὸ δὲ ἀΐδιον οὐ πάντως ἄναρχον, ἕως ἂν εἰς ἀρχὴν ἀναφέρηται τὸν Πατέρα· οὐκ ἄναρχα οὖν τῷ αἰτίῳ. Δῆλον δὲ τὸ αἴτιον, ὡς οὐ πάντως πρεσβύτερον τῶν ὧν ἐστιν αἴτιον· οὐδὲ γὰρ τοῦ φωτὸς ἥλιος· καὶ ἄναρχά πως τῷ χρόνῳ, κἂν σὺ μορμολύττῃ τοὺς ἁπλουστέρους. Οὐ γὰρ ὑπὸ χρόνον τὰ ἐξ ὧν ὁ χρόνος.

Ejusdem ex oratione de dogmate et statu episcoporum.

Adoramus igitur Patrem, et Filium, et Spiritum sanctum, et proprietates ita dividimus, ut divinitatem unam esse dicamus. Neque tria in unum contrahimus, ne Sabellii morbo laboremus : nec unum in tria diversa alienaque scindimus, ne in Arii furorem incidamus. Quid enim attinet, tanquam plantam in alteram partem inclinatam et prorsus incurvam vi in partem contrariam distorquere, et perversitate corrigere perversitatem, ac non potius ad medium sic adducere, ut in divinæ pietatis terminis consistamus? Cum medium dico, veritatem intelligo, quam quidem solam spectandam recte sentiamus, ut et improbam contractionem, et divisionem hac ipsa absurdiorem evitemus, ne si ad unam personam sermo contrahatur, omissa multiplici divinitate, nuda nobis nomina relinquamus, eumdemque Patrem, et Filium, et sanctum Spiritum arbitremur, nec magis unum omnes, quam unumquemque nihil esse definiamus. Desinant enim esse, quod sunt, si inter se confundantur et perturbentur, neve tres diversas dissimilesque atque inter se

C *Ἐκ τοῦ Λόγου τοῦ περὶ δόγματος, καὶ καταστάσεως ἐπισκόπων.*

Προσκυνοῦμεν οὖν Πατέρα, καὶ Υἱὸν, καὶ Πνεῦμα ἅγιον, τὰς μὲν ἰδιότητας χωρίζοντες, ἑνοῦντες δὲ τὴν θεότητα, καὶ οὔτε εἰς ἓν τὰ τρία συναλείφομεν, ἵνα μὴ τὴν Σαβελλίου νόσον νοσήσωμεν, οὔτε διαιροῦμεν εἰς τρία ἔκφυλα καὶ ἀλλότρια, ἵνα μὴ τὰ Ἀρείου μανῶμεν. Τί γὰρ δεῖ καθάπερ φυτὸν ἑτεροκλινὲς πάντη καμπτόμενον βίᾳ μετάγειν ἐπὶ τὸ ἕτερον μέρος, διαστροφῇ τὴν διαστροφὴν διορθουμένους, ἀλλὰ μὴ πρὸς τὸ μέσον εὐθύνοντας ἐν ὅροις ἵστασθαι τῆς θεοσεβείας; Μεσότητα δὲ ὅταν εἴπω, τὴν ἀλήθειαν λέγω, πρὸς ἣν βλέπειν καλῶς ἔχομεν μόνην, καὶ τὴν φαύλην συναίρεσιν παραιτούμενοι, καὶ τὴν ἀτοπωτέραν διαίρεσιν, ὡς μήτε D εἰς μίαν ὑπόστασιν συναιρεθέντα τὸν Λόγον δέει πολυθεΐας ψιλὰ καταλιπεῖν ἡμῖν τὰ ὀνόματα τὸν αὐτὸν Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ὑπολαμβάνουσι, καὶ μὴ μᾶλλον ἓν τὰ πάντα, ἢ μηδενὶ ἕκαστον εἶναι ὁριζομένοις. Φεύγοι γὰρ ἂν εἶναι ἅπερ ἐστὶν εἰς ἄλληλα μεταχωροῦντα, καὶ μεταβαίνοντα μήτε εἰς τρεῖς, ἢ ξένας, καὶ ἀνομοίους οὐσίας, καὶ ἀπεῤῥηγμένας διαιρεθέντα κατὰ τὴν

τὸ γεννηθὲν ἐκ πατρὸς εἰκότως ἂν λέγοιτο γέννημα τοῦ γεννήσαντος, καὶ μᾶλλον, ὅτι αὐτὴ φύσις γεννήματος, ταυτὸν εἶναι τῷ γεγεννηκότι κατὰ τὴν φύσιν, ὡς αὐτὸς οὗτος ὁ θεολόγος φησίν. Ἐν δὲ τοῖς συλλογισμοῖς καὶ ἐν ἄλλοις λόγοις ἐδέξατο καὶ τὴν τοῦ γεννήματος προσηγορίαν ὁ ἱερὸς καὶ μέγας Βασίλειος.

Ἀρείου καλῶς ὀνομασθεῖσαν μανίαν, ἢ ἀνάρχους A καὶ ἀτάκτους, καὶ οἷον εἰπεῖν ἀντιθέους, τῷ μὲν εἰς Ἰουδαϊκὴν σμικρολογίαν κατακλεισθῆναι μόνῳ τῷ ἀγεννήτῳ τὴν θεότητα περιγράφοντας, τῷ δὲ εἰς ἐναντίον μὲν, κακὸν δὲ ἴσον πεσεῖν τρεῖς ἀρχὰς ὑποτιθεμένους, καὶ τρεῖς θεοὺς, ὃ τῶν προειρημένων ἀτοπώτερον, δέον μήτε οὕτως εἶναί τινας φιλοπάτορας, ὡς καὶ τὸ εἶναι Πατέρα περιαιρεῖν· τίνος γὰρ ἂν καὶ εἴη Πατὴρ τοῦ Υἱοῦ τὴν φύσιν ἀπεξενωμένου καὶ ἠλλοτριωμένου μετὰ τῆς κτίσεως; μήτε οὕτω φιλοχρίστους, ὡς μήτε τούτῳ φυλάττειν τὸ εἶναι Υἱῷ· τίνος γὰρ ἂν καὶ εἴη Υἱὸς μὴ πρὸς αἴτιον ἀναφερόμενος τὸν Πατέρα; μήτε τῷ Πατρὶ τὸ τῆς ἀρχῆς κατασμικρύνων ἀξίωμα, τῆς ὡς Πατρὶ καὶ γεννήτορι. Μικρῶν γὰρ ἂν εἴη καὶ ἀναξίων ἀρχὴ, μὴ θεότητος ὢν αἴτιος τῆς ἐν Υἱῷ καὶ Πνεύματι B θεωρουμένης. Ἐπειδὴ χρὴ καὶ τὸν ἕνα Θεὸν τηρεῖν, καὶ τὰς τρεῖς ὑποστάσεις ὁμολογεῖν, εἴτουν τρία πρόσωπα, καὶ ἑκάστην μετὰ τῆς ἰδιότητος.

dissectas naturas distrahamus, ut Arii vult furor et insania aut sine principatu, aut sine ordine, et quasi adversarios, ut ita dicam, deos constituentes, vel ad Judaicam demissionem declinemus, ut ingenito tantum divinitatem ascribamus, vel in contrariam, sed æque malam opinionem adducamur, ut tria statuamus principia, et tres deos, quod omnium quæ dicta sunt, est absurdissimum. Cavendum enim est, ne dum Patris nimium studiosi esse volumus, ipsum auferamus. Cujus enim erit Pater, si naturæ diversæ Filius, utpote cum rebus creatis numeratus assignetur? Aut dum Christi nimium amantes videri cupimus, ei ne illud quidem servemus, ut Filius sit. Nam cujus erit Filius, nisi ad causam (1), qui Pater est, referatur? Neve Patri minuamus principii dignitatem, quæ ad illum ut Patrem genitoremque pertinet. Minutarum enim rerum, et quæ se haud satis forent dignæ principium esset, nisi causa esset divinitatis, quæ in Filio et Spiritu sancto conspicitur. Sic igitur oportet Deum unum asserere, ut tres hypostases, seu tres personas cum sua quamque proprietate fateamur.

Ἐκ τοῦ λόγου τοῦ εἰς Ἥρωνα τὸν φιλόσοφον.

Ὁρίζου δὲ καὶ τὴν ἡμετέραν εὐσέβειαν διδάσκων ἕνα μὲν εἰδέναι Θεὸν ἀγέννητον τὸν Πατέρα· ἕνα δὲ γεννητὸν Κύριον τὸν Υἱὸν Θεὸν μὲν, ὅτε καθ' ἑαυτὸν λέγηται προσαγορευόμενον, Κύριον δὲ, ὅταν μετὰ τοῦ Πατρὸς ὀνομάζηται, τὸ μὲν διὰ τὴν φύσιν, τὸ δὲ διὰ τὴν μοναρχίαν· ἓν δὲ Πνεῦμα ἅγιον προελθὸν ἐκ τοῦ Πατρὸς, ἢ καὶ προϊὸν Θεὸν τοῖς νοητῶς νοοῦσι C τὰ παρακείμενα· τοῖς μὲν ἀσεβέσι καὶ πολεμούμενον, τοῖς δὲ ὑπὲρ τούτους νοούμενον, τοῖς πνευματικωτέροις δὲ καὶ λεγόμενον· μήτε ὑπὸ ἀρχὴν ποιεῖν τὸν Πατέρα, ἵνα μὴ τοῦ πρώτου τι πρῶτον εἰσάγωμεν, ἐξ οὗ καὶ τὸ εἶναι πρώτῳ περιτραπήσεται· μήτε ἄναρχον τὸν Υἱὸν, ἢ τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα μὴ τὸ τοῦ Πατρὸς ἴδιον περιέλωμεν· οὐκ ἄναρχα γὰρ ἄναρχά πως, ὃ καὶ παράδοξον· οὐκ ἄναρχα μὲν γὰρ τῷ αἰτίῳ, ἐκ Θεοῦ γὰρ, εἰ καὶ μὴ μετ' αὐτὸν, ὡς ἐξ ἡλίου φῶς· ἄναρχα δὲ τῷ χρόνῳ· οὐ γὰρ ὑπὸ χρόνον, ἵνα μὴ τὸ ῥέον ᾖ τῶν ἑστώτων πρεσβύτερον, καὶ τῶν οὐσιῶν τὸ ἀνούσιον· μήτε ἀρχὰς τρεῖς, ἵνα μὴ Ἑλληνικὸν ᾖ τὸ πολύθεον· μήτε μίαν μὲν, Ἰουδαϊκὴν δὲ στενήν τινα καὶ φθονερὰν, καὶ ἀδύνατον, ἢ τὸ ἀναλίσκειν εἰς ἑαυτὴν Θεό- D τητα, ὃ τοῖς προάγουσι μὲν ἐκ τοῦ Πατρὸς τὸν Υἱὸν, εἰς αὐτὸν δὲ πάλιν ἀναλύουσιν ἤρεσεν, ἢ τὸ καταβάλλειν τὰς φύσεις, καὶ ἀλλοτριοῦν Θεότητος, ὃ τοῖς νῦν ἀρέσκει σοφοῖς, ὥσπερ δεδοικυῖαν μὴ ἀντεξάγωνται, ἢ μηδὲν δυναμένην ὑπὲρ τὰ κτίσματα· μήτε ἀγέννητον τὸν Υἱὸν, εἷς γὰρ ὁ Πατήρ· μήτε Υἱὸν τὸ Πνεῦμα, εἷς γὰρ ὁ Μονογενής, ἵνα καὶ τοῦτο θεϊκὸν ἔχωσι τὸ Μοναδικὸν, ὃ μὲν τῆς υἱότητος, τὸ δὲ τῆς προόδου, καὶ οὐχ υἱότητος. Ἀληθῶς Πατέρα τὸν Πατέρα, καὶ πολύ γε τῶν παρ' ἡμῖν ἀληθέστερον, ὅτι μόνως. Ἰδιοτρόπως γὰρ, καὶ οὐχ ὡς τὰ σώματα. Καὶ μόνος, οὐ γὰρ μετὰ συζυ-

Ejusdem ex oratione in Heronem philosophum.

Religionem nostram ita definito, ut unum esse Deum doceas, ingenitum, ipsum Patrem: unum genitum Dominum, nempe Filium, qui et ipse quidem vocatur Deus, cum per se dicitur, Dominus autem, cum una cum Patre nominatur Deus quidem natura, Dominus autem principatu. Unum Spiritum sanctum qui ex Patre provenit, sive procedit. Et Deus quidem cognoscitur ab iis qui eorum, quæ proposita sunt, notitiam habent. Ab impiis autem impugnatur; et ab aliis quidem tantum intelligitur; ab aliis vero, qui magis spiritales sunt, etiam prædicatur. Ac Patrem quidem sub principio non esse statuendum, ne primo aliquid, unde et ipsum exsistat, adjungamus. Filium vero et Spiritum sanctum non esse sine principio, ne quod proprium est Patris adimamus. Qui cum sine principio non sint, aliquo tamen modo, quod mirabile est, sunt sine principio. Non sine principio sunt, id est, non sine causa; sunt enim ex Deo, quamvis post ipsum non sint, ut lux ex sole. Sine principio autem, quod ad tempus pertinet, ne res fluxa stantibus antiquior sit, et essentiis id quod essentia caret. Nec tria principia, ne a Græcis conficta deorum multitudo consequatur. Nec unum eo duntaxat modo, quo Judæi putant angustum quoddam, et invidum, invalidumque principium, ut vel in seipsa Divinitas consumatur, id quod placuit iis qui Filium ita deducunt a Patre, ut eum rursus cum Patre confundant: vel, quod probatur ab illis qui se nunc sapientes putant, ut Filii Spiritusque naturæ demittantur et dejiciantur a Divinitate, verente ne sibi adversentur, aut certe nullam habente majorem vim, quam ipsæ habeant res procreatæ. Nec Filium ingenitum; unius enim est Pater. Nec Filium

(1) Vocat Patrem causam, ut solent doctores Græci causam sumere pro principio vel origine, quod et in sequentibus frequenter invenies.

Spiritum. Nam unus est Unigenitus, ut illud divinitatis habeant, quod sunt singulares. Filius quidem, quod generatur, Spiritus autem, quod procedit, non autem generatur. Patrem vere Patrem, atque adeo multo magis quam illos, qui sunt apud nos patres, quoniam unice Pater est propria ac singulari quadam ratione, quæ in corpora non cadit. Et solum; nam sine conjugio. Et solius Patrem, nempe Unigeniti. Et tantum Patrem, ut qui Filius ante non fuerit, et totum atque totius Patrem: nostra enim incerta sunt. Et ab initio, neque enim postea cœpit esse. Filium, vere Filium. Nam et eximio modo, et solius, et solus, et solum Filius: neque enim et Pater, et totum Filius, et totius, et ab initio, quippe qui nunquam esse cœperit. Neque vero divinitas ita communicatur, ut communicantem unquam pœniteat; aut ejusmodi, quæ præcidatur, atque deficiat, ut modo adsit Patri, modo adsit Filio. Spiritum sanctum, vere sanctum. Non enim alius talis, aut modo tali. Neque sanctitatem habet ex adjunctione, sed ipsamet sanctitas est. Neque nunc magis, nunc minus est: nec ullo tempore vel cœpit esse, vel desinet. Illud enim Patri, et Filio, et Spiritui sancto commune est, quod facti non sunt. Divinitas item est communis. Filio autem, et Spiritui sancto id est commune, quod ex Patre sunt. Patris porro proprium est, quod sit ingenitus, Filii autem, quod genitus, Spiritus vero sancti, quod procedat. Hæc autem qua ratione fiant nihil est, quamobrem quæras. Nam, ut ipsi testantur, soli se mutuo et cognoscunt et cognoscuntur. Intelligent etiam ex nobis illi, qui postea splendore ipsorum illustrabuntur. Da igitur operam, ut prius eorum aliquis aut similis fias. Nunc autem hoc doce tantummodo: Unitatem in Trinitate, et Trinitatem in unitate colendam et adorandam, admirabilem in se tum distinctionem, tum unionem continentem. Affectiones ne metuas, si generationem fatearis. Deus enim, etsi generat, affectionibus tamen vacat. In hoc tibi fidem meam obstringo. Id enim divina, non humana ratione fit. Nam alio etiam modo est ipse Deus, quam humano. Illud potius reformida, ne tempus in ipso cogites, creatumve putes. Deus enim non est, si factus est. Cave, ne dum inani studio Deo conaris opitulari, Deum tollas, et illum qui Deo æqualis est, conservum facias, qui te liberum reddet, si principatum ejus vere et ex animo confitearis. Ne timeas Spiritus emissionem admittere, nulla enim Deus, qui dives in omnibus est, aut emittendi, aut non emittendi afficitur necessitate. Abalienationem potius et minas extimesce, illis, qui de Spiritu sancto, non tam theologice quam contumeliose disputant, impendentes. Nec principatum ignominia affice, divinitatem vel in una concludens tantum persona, vel ita dissecans, ut plures constituas deos. Nec time, ne tibi vertatur crimini, quod divinitatem asseras in tribus esse personis, cum alius eam ne duabus quidem velit attribuere. Hæc autem contingant, si quis divinitatis unitatem in Trinitate personarum aut dissolvens, aut dubitans argumentis conetur evertere. Tu vero illam tuere, quamvis mentis acies ad eam comprehendendam sit imbecillior. Satius enim est te sub auspicio ductuque Spiritus argumentis rationibusque destitui, quam impietati prompte desidiam sequentem inservire.

A γίας. Καὶ μόνου, μονογενῶς γάρ. Καὶ μόνον. οὐ γὰρ Υἱὸς τὸ πρότερον. Καὶ ὅλον Πατὴρ, καὶ ὅλου. Τὸ γὰρ ἡμέτερον ἄδηλον. Καὶ ἀπ' ἀρχῆς, οὐ γὰρ ὕστερον. Ἀληθῶς Υἱὸν τὸν Υἱὸν, ὅτι μόνως, καὶ μόνος, καὶ μόνου, καὶ μόνον, οὐ γὰρ καὶ Πατήρ. Καὶ ὅλον Υἱὸς, καὶ ὅλου, καὶ ἀπ' ἀρχῆς. Οὐ ποτὲ τοῦ εἶναι Υἱὸς ἠργμένος, οὐ γὰρ ἐκ μεταμελείας ἡ Θεότης, οὐδὲ ἐκ προκοπῆς ἡ θέωσις, ἵνα λείπῃ ποτὲ τῷ μὲν τὸ εἶναι Πατρὶ, τῷ δὲ τὸ εἶναι Υἱῷ. Ἀληθῶς ἅγιον τὸ Πνεῦμα τὸ ἅγιον. Οὐ γὰρ καὶ ἄλλο τοιοῦτον, οὐδὲ οὕτως, οὐδὲ ἐκ προσθήκης ὁ ἁγιασμὸς, ἀλλ' αὐτοαγιότης, οὐδὲ μᾶλλον καὶ ἧττον, οὐδὲ ἀρξάμενον χρονικῶς, ἢ παυσόμενον. Κοινὸν μὲν γὰρ Πατρί τε, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι τὸ μὴ γεγονέναι, καὶ ἡ Θεότης, Υἱῷ δὲ καὶ ἁγίῳ B Πνεύματι τὸ ἐκ τοῦ Πατρός. Ἴδιον δὲ Πατρὸς μὲν ἡ ἀγεννησία, Υἱοῦ δὲ ἡ γέννησις, Πνεύματος δὲ ἡ ἐκπόρευσις. Εἰ δὲ τὸν τρόπον ἐπιζητεῖς, τί καταλείψεις τοῖς μόνοις γινώσκειν ἄλληλα, καὶ γινώσκεσθαι ὑπ' ἀλλήλων μαρτυρουμένοις, ἢ καὶ ἡμῶν τοῖς ἐκεῖθεν ἐλλαμφθησομένοις ὕστερον; Γενοῦ τι τῶν εἰρημένων πρότερον, ἢ τοιοῦτος, καὶ τότε γνώσῃ τοσοῦτον, ὅσον ὑπ' ἀλλήλων γινώσκεται. Νῦν δὲ δίδασκε τοσοῦτον εἰδέναι μόνον Μονάδα ἐν Τριάδι, καὶ Τριάδα ἐν Μονάδι προσκυνουμένην, παράδοξον ἔχουσαν καὶ τὴν διαίρεσιν, καὶ τὴν ἕνωσιν. Μὴ φοβηθῇς τὰ πάθη, γέννησιν ὁμολογῶν. Ἀπαθὲς γὰρ τὸ Θεῖον καὶ εἰ γεγέννηκεν. Ἐγώ σοι τούτου ἐγγυητής, ὅτι θεϊκῶς, ἀλλ' οὐκ ἀνθρωπικῶς, οὐδὲ γὰρ τὸ εἶναι αὐτῷ ἀνθρώπινον. C Φοβήθητι δὲ τὸν χρόνον καὶ κτίσιν. Οὐ γὰρ Θεὸς, εἰ γέγονε. Μὴ Θεῷ συνηγορῶν διακενῆς Θεὸν ἀνέλῃς, ὁμόδουλον ποιῶν τὸ ὁμόθεον, ὃ καί σε τῆς δουλείας ἐλευθεροῖ, ἂν γνησίως ὁμολογῇς δεσποτείαν. Μὴ φοβηθῇς τὴν πρόοδον, οὐ γὰρ ἀνάγκην ἔχει Θεὸς ἢ μὴ προβάλλειν, ἢ προβάλλειν ὁμοίως ὁ πάντα πλούσιος. Φοβήθητι δὲ τὴν ἀλλοτρίωσιν, καὶ τὴν κειμένην ἀπειλὴν οὐ τοῖς θεολογοῦσιν, ἀλλὰ τοῖς βλασφημοῦσι τὸ Πνεῦμα τὸ ἅγιον. Μήτε τὴν μοναρχίαν κακῶς τιμήσῃς συναιρῶν ἢ περικόπτων Θεότητα· μήτε τὸ τῆς Τριάδος ἔγκλημα αἰσχυνθῇς, ἕως ἂν καὶ ἄλλος κινδυνεύῃ τὴν εὐθεῖαν. Ἢ γὰρ συνέλυσας, ἢ συνηπόρησας, ἢ ὁ μὲν ἐναυάγησε μετὰ τῶν λογισμῶν καὶ Θεότητα, σοὶ δὲ παρέμεινε Θεότης. Καὶ εἰ ὁ Λόγος ἠσθένησε, κρεῖσσον D καμεῖν ἐν τοῖς λογισμοῖς μετὰ τῆς ὁδηγίας τοῦ Πνεύματος, ἢ προχείρως ἀσεβῆσαι τὴν ῥᾳστώνην διώκοντα.

Ejusdem ex oratione de pace.

Illa vere Trinitas est, fratres, non quæ constat ex

Ἐκ τοῦ εἰρηνικοῦ λόγου β'.

Τριὰς ὡς ἀληθῶς ἡ Τριὰς, ἀδελφοί. Τριὰς δὲ οὐ

πραγμάτων ἀνίσων ἀπαρίθμησις· ἢ τί κωλύει δεκάδα, καὶ ἑκατοντάδα, καὶ μυριάδα ὀνομάζειν μετὰ τοσούτων συντιθεμένην; πολλὰ γὰρ τὰ ἀριθμούμενα, καὶ πλείω τούτων· ἀλλ' ἴσων καὶ ὁμοτίμων σύλληψις, ἑνούσης τῆς προσηγορίας τὰ ἡνωμένα ἐκ φύσεως, καὶ οὐκ ἐώσης σκεδασθῆναι ἀριθμῷ λυομένῳ τὰ μὴ λυόμενα. Οὕτω φρονοῦμεν, καὶ οὕτως ἔχομεν. Ὥστε ὅπως μὲν ἔχει ταῦτα πρὸς ἄλληλα σχέσεώς τε καὶ τάξεως, αὐτῇ μόνῃ τῇ Τριάδι συγχωρεῖν εἰδέναι, καὶ οἷς ἂν ἡ Τριὰς ἀποκαλύψῃ κεκαθαρμένοις ἢ νῦν ἢ ὕστερον· αὐτοὶ δὲ μίαν καὶ τὴν αὐτὴν εἰδέναι φύσιν Θεότητος ἀνάρχῳ, καὶ γεννήσει, καὶ προόδῳ γνωριζομένην, ὡς νῷ τῷ ἐν ἡμῖν, καὶ λόγῳ, καὶ πνεύματι, ὅσον εἰκάσαι τοῖς αἰσθητοῖς τὰ νοητὰ, καὶ τοῖς μικροῖς τὰ μέγιστα. Ἐπειδὴ μηδεμία εἰκὼν φθάνει πρὸς τὴν ἀλήθειαν αὐτὴν ἑαυτῇ συμβαίνουσαν· ἀεὶ τὴν αὐτὴν, ἀεὶ τελείαν, ἄποιον, ἄποσον, ἄχρονον, ἄκτιστον, ἀπερίληπτον, οὔποτε λείπουσαν ἑαυτῆς, ἢ λείψουσαν· ζωὰς, καὶ ζωὴν, φῶτα, καὶ φῶς· ἀγαθὰ, καὶ ἀγαθόν. Δόξας, καὶ δόξαν· ἀληθινὸν, καὶ ἀλήθειαν, καὶ Πνεῦμα τῆς ἀληθείας. Ἅγια, καὶ αὐτοαγιότητα. Θεὸν ἕκαστον ἂν θεωρῆται μόνον τοῦ νοῦ χωρίζοντος τὰ ἀχώριστα. Θεὸν τὰ τρία μετ' ἀλλήλων νοούμενα τῷ ταυτῷ τῆς κινήσεως καὶ τῆς φύσεως. Οὔτε ὑπὲρ ἑαυτήν τι καταλιποῦσαν, ἢ ὑπερβᾶσάν ἄλλο τι. Οὐ γὰρ ἦν οὔτε μεθ' ἑαυτήν τι καταλείψουσαν, ἢ ὑπερβησομένην. Οὐκ ἔσται γὰρ οὔτε μεθ' ἑαυτῆς τι παραδεχομένην ὁμότιμον. Οὐ γὰρ ἐφικνεῖσθαί τι τῶν κτιστῶν, καὶ δούλων, καὶ μετεχόντων, καὶ περιγραπτῶν τῆς ἀκτίστου, καὶ δεσποτικῆς καὶ μεταληπτῆς, καὶ ἀπείρου φύσεως. Τὰ μὲν γὰρ πάντη πόρρω, τὰ δὲ πόσως πλησιάζοντα καὶ τοῦτο οὐ φύσει, ἀλλὰ μεταλήψει. Καὶ πηνίκα; ὅταν τὸ δουλεῦσαι καλῶς τῇ Τριάδι ὑπὲρ τὴν δουλείαν γένηται, εἴπερ μὴ καὶ τοῦτο αὐτὸ ἡ ἐλευθερία, καὶ βασιλεία τὸ γνῶναι καλῶς δεσποτείαν, ἀλλὰ μὴ φύρειν τὰ ἀσύστατα νοῦ ταπεινότητι. Οἷς δὲ τὸ δουλεῦσαι τοσοῦτον, πηλίκη τούτων ἡ δεσποτεία; Καὶ εἰ τὸ γνῶναι μακαριότης, πηλίκον τὸ γινωσκόμενον; Τοῦτο ἡμῖν τὸ μέγα μυστήριον βούλεται· τοῦτο ἡ εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα καὶ τὸ κοινὸν ὄνομα πίστις, καὶ ἀναγέννησις, ἄρνησις ἀθεΐας, καὶ ὁμολογία θεότητος. Τοῦτο γὰρ τὸ κοινὸν ὄνομα.

A rerum inæqualium numero, alioquin quid prohibeat decem, aut centum, aut decem millia, aut his etiam plura, quando multa sunt, quæ numerantur, nominare, ex quibus ipsa componatur? Sed quæ res æquales et pari honore præstantes ita comprehendit, ut quæ natura unita sunt, uniat, nec sinat ea quæ dissolvi non possunt, solubili numero dissipari, Ita sentimus, et hanc tuemur sententiam. Quomodo autem hæc tum habitu tum ordine sese habeant, solam ipsam Trinitatem nosse confitemur, et mentes illas mundas ac puras, quibus arcanum hoc Trinitas ipsa vel nunc aperit, vel in posterum patefaciet. Nos autem scimus, unam et eamdem esse divinitatis naturam, eo qui sine principio est, et eo qui generatur, et eo qui procedit ita con- B stantem, ut, si ex humanis divina, et maxima ex parvis licet conjicere, animus noster ex mente, ratione, et spiritu constat. Quanquam nullum exemplum adduci potest, quod veritatem illius adumbret atque exprimat. Hæc sibi ipsa convenit, semper est eadem, semper perfecta, qualitate, quantitate, et tempore caret, creata non est, comprehendi non potest, nunquam a se deseritur, se nunquam deserit. In hac vitas et vitam; lumina et lumen; bona et bonum; glorias et gloriam; verum et veritatem, et Spiritum veritatis; sancta et sanctitatem ipsam agnoscimus. Unamquamque in ea personam, si per se spectetur, Deum esse dicimus, animo et cogitatione distinguentes, quæ separari non possunt. Tres item personas eadem C motione naturaque inter se conjunctas colimus ut unum Deum. Harum nullam hæc supra se deteriorem habuit, aut præstantiorem, neque enim id fieri potuit: nec post se deteriorem, aut præstantiorem est habitura, neque enim id fieri poterit. Nec aliud quidquam eodem honoris gradu secum est acceptura. Nihil enim eorum quæ creata et serva sunt, et tantum habent, quantum illis est impertitum, quæque suis circumscripta sunt terminis ad increatam, et principem, et immensam, atque infinitam naturam potest aspirare, sed partim omnino sunt remotissima, partim propius absunt, aut aberunt. Idque non natura, sed munere. Ecquando hæc, cum ita de Trinitate sentimus, ut D et libenter serviamus? Si tamen recta dominantis divinitatis cognitio, qua mentis imbecillitate non commisceas ea quæ inter se distant, servitus appellanda est, ac non potius libertas, et regnum. Quorum autem tam præclara servitus est, qua is erit eorum principatus? Si tanti refert cognovisse, quanti erit cognito perfrui? Hoc vobis vult magnum ipsum mysterium. Hoc in Patrem, et Filium, et Spiritum sanctum communi nomine fides, et regeneratio, abnegatio impietatis, et divinitatis confessio. Nam id per illa verba communi nomine intelligitur.

Ἐκ τοῦ Λόγου τοῦ εἰς τὰ γενέθλια τοῦ Χριστοῦ.

Θεὸν δὲ ὅταν εἴπω, λέγω Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, οὔτε ὑπὲρ ταῦτα τῆς Θεότητος χεομένης, μὴ δῆμον θεῶν εἰσαγάγωμεν, οὔτε ἐντὸς τούτων ὁριζομένης, ἵνα μὴ πενίαν Θεότητος κατακριθῶμεν, ἢ διὰ τὴν μοναρχίαν ἰουδαΐζοντες, ἢ διὰ τὴν ἀφθονίαν ἑλληνίζοντες. Τὸ γὰρ κακὸν ἐν ἀμφοτέροις ὅμοιον, κἂν ἐν τοῖς ἐναντίοις εὑρίσκηται.

Ejusdem ex oratione in diem natalem Christi.

Cum Deum dicimus, Patrem, et Filium, et Spiritum sanctum intelligimus, ne si supra ternarium hunc numerum divinitatis diffundatur, deorum multitudinem introducamus; aut, si infra circumscribatur, illam inopia damnemus, in alteroque Judæos imitemur, uni totum ascribentes imperium, in altero autem Græcos sequamur, deorum turbam confingentes. In utraque enim opinione similis error deprehenditur.

Ejusdem in sancta Lumina.

Cum auditis Deum, uno simul, et tribus luminibus illustramini. Tribus quantum pertinet ad proprietates, seu mavis hypostases, aut personas. Neque enim in vocibus expendendis digladiabimur, dum ad eamdem nos sententiam ducant. Uno autem quantum ad essentiæ rationem divinitatemve spectat. Indiviso enim, ut ita dicam, dividitur modo, divisoque conjungitur. Nam divinitas in tribus est. Et hæc tria, in quibus est divinitas, vel ut verius dicam, quæ ipsa sunt divinitas, unum sunt. Nec plura hic admittimus nec pauciora. Hæc vero ita s atuimus., ut neque in unitate confusio sit, neque in divisione dissidium. Æque enim et contractionem Sabellii, et Arii dissectionem detestamur, quorum sententiæ licet ex diametro pugnent, B in eamdem tamen impietatem incurrunt. Quorsum enim attinet, Deum vel prave conjungere, vel inæquales in partes dissecare? Nobis autem unus est Deus Pater, ex quo omnia; et unus Dominus Jesus Christus, per quem omnia; et unus Spiritus sanctus, in quo omnia. Quæ quidem verba, « ex quo, et « per quem, » et, « in quo » naturas non secant, ne sic propositionum quidem et nominum ordo commutetur: sed distinctas unius minime confusæ naturæ proprietates notant. Id ex eo perspicue patet, quod ad unum rursus omnia referuntur, ut facile animadvertes, si attente legeris quæ ab eodem Apostolo alibi scripta sunt, cum dicit: « Ex ipso, et per ipsum, et in ipso sunt omnia [18]. » Addit enim: « Ipsi gloria in sæcula. » Amen.

A

Ἐκ τοῦ Λόγου τοῦ εἰς τὰ ἅγια Φῶτα.

Θεοῦ δὲ ὅταν εἴπω, ἑνὶ φωτὶ περιαστράφθητε. καὶ τρισί· τρισὶ μὲν, κατὰ τὰς ἰδιότητας εἴτουν ὑποστάσεις, εἴ τινι φίλον καλεῖν, εἴτε πρόσωπα· οὐδὲν γὰρ περὶ τῶν ὀνομάτων ζυγομαχήσομεν, ἕως ἂν πρὸς τὴν αὐτὴν ἔννοιαν αἱ συλλαβαὶ φέρωσιν· ἑνὶ δὲ, κατὰ τὸν τῆς οὐσίας λόγον εἴτουν θεότητος. Διαιρεῖται γὰρ ἀδιαιρέτως, ἵν' οὕτως εἴπω, καὶ συνάπτεται διῃρημένως. Ἓν γὰρ ἐν τρισὶν ἡ θεότης, καὶ τὰ τρία ἕν, τὰ ἐν οἷς ἡ θεότης. Τὰς δὲ ὑπερβολὰς καὶ ἐλλείψεις ἐλλείψωμεν, οὔτε τὴν ἕνωσιν σύγχυσιν ἐργαζόμενοι, οὔτε τὴν διαίρεσιν ἀλλοτρίωσιν. Ἀπέστω γὰρ ἡμῶν ἐξ ἴσου καὶ ἡ Σαβελλίου συναίρεσις, καὶ ἡ Ἀρείου διαίρεσις, τὰ ἐκ διαμέτρου κακὰ, καὶ ὁμότιμα τὴν ἀσέβειαν. Τί γὰρ δεῖ Θεὸν ἢ συναλείφειν B κακῶς, ἢ κατατέμνειν εἰς ἀνισότητα; Ἡμῖν δὲ εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα· καὶ ἓν Πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα, τοῦ « ἐξ οὗ, » καὶ « δι' οὗ, » καὶ « ἐν ᾧ » μὴ φύσεις τεμνόντων· οὐδὲ γὰρ ἂν μετέπιπτον αἱ προθέσεις, ἢ αἱ τάξεις τῶν ὀνομάτων· ἀλλὰ χαρακτηριζόντων μιᾶς καὶ ἀσυγχύτου φύσεως ἰδιότητας. Καὶ τοῦτο δῆλον ἐξ ὧν εἰς ἓν συνάγονται πάλιν, εἴ τῳ μὴ παρέργως ἐκεῖνο ἀναγινώσκεται παρὰ τῷ αὐτῷ Ἀποστόλῳ· τὸ, « Ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. » Ἀμήν.

Ex eadem oratione.

Pater est Pater, et sine principio: Filius est Filius et non sine principio, a Patre enim est. Quod si temporis principium intelligas, ipse quoque erit sine principio, quippe qui temporum sit effector, non autem subditus tempori. Spiritus est vere Spiritus sanctus a Patre proveniens, non ea ratione qua Filius, neque enim generatur, sed procedit. Quod si novi aliquid in verbis, quo res dilucidior fiat, usurpandum est, nec Pater deperdit aliquid ex eo quod ingenitus est, generat enim. Nec Filius ob id quod generatur, nam ex ingenito. Nec Spiritus, quia vel ad Patrem, vel ad Filium referatur. Procedit enim, et Deus est, licet impiis aliter videatur. Nam si proprietas est, erit immobilis. Sin moveatur, et concidat, quomodo erit proprietas? Qui autem ingenito, genitoque deos ita statuunt, ut communi tantum nomine conveniant, natura autem diversi exsistant, ii fortasse et Adam et Seth natura diversos esse contendent, ille quod sine carnis opera et conjunctione factus sit, hic autem ab Adam Evaque progenitus. Unus igitur Deus in tribus, et tria unum, ut dictum est.

C

Ἐκ τοῦ αὐτοῦ λόγου.

Πατὴρ ὁ Πατὴρ, καὶ ἄναρχος, οὐ γὰρ ἔκ τινος· Υἱὸς ὁ Υἱὸς, καὶ οὐκ ἄναρχος, ἐκ τοῦ Πατρὸς γάρ. Εἰ δὲ καὶ τὴν ἀπὸ χρόνου λαμβάνεις ἀρχὴν, καὶ ἄναρχος. Ποιητὴς γὰρ χρόνων, οὐχ ὑπὸ χρόνον. Πνεῦμα ἅγιον ἀληθῶς τὸ Πνεῦμα, προϊὸν μὲν ἐκ τοῦ Πατρὸς, οὐχ υἱικῶς δὲ, οὐδὲ γὰρ γεννητῶς, ἀλλ' ἐκπορευτῶς, εἰ δεῖ τι καινοτομῆσαι περὶ τὰ ὀνόματα σαφηνείας ἕνεκεν, οὔτε τοῦ Πατρὸς ἐκστάντος τῆς ἀγεννησίας, διότι γεγέννηκεν, οὔτε τοῦ Υἱοῦ τῆς γεννήσεως, ὅτι ἐκ τοῦ ἀγεννήτου· πῶς γάρ; οὔτε τοῦ Πνεύματος ἢ εἰς Πατέρα μεταπίπτοντος, ἢ εἰς Υἱὸν, ὅτι ἐκπεπόρευται, καὶ ὅτι Θεὸς, κἂν μὴ δοκῇ τοῖς ἀθέοις. Ἡ γὰρ ἰδιότης ἀκίνητος. Ἢ πῶς ἂν ἰδιότης μένοι κινουμένη καὶ μεταπίπτουσα; Οἱ δὲ D τὴν ἀγεννησίαν καὶ τὴν γέννησιν φύσεις Θεῶν ὁμωνύμων τιθέμενοι, τάχα ἂν καὶ τὸν Ἀδὰμ, καὶ τὸν Σὴθ, ὅτι μὲν οὐκ ἀπὸ σαρκὸς, πλάσμα γὰρ, ὁ δὲ ἀπὸ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας, ἀλλήλων κατὰ τὴν φύσιν ἀλλοτριώσωσιν. Εἷς οὖν Θεὸς ἐν τρισὶ προσώποις, καὶ τὰ τρία ἕν, ὥσπερ ἔφαμεν.

Ejusdem ex oratione hortatoria ad baptismum suscipiendum.

Hanc tibi totius vitæ sociam præfectamque tribuo divinitatem unam, et potestatem, quæ et in tribus singulariter invenitur, et tria particula-

Ἐκ τοῦ λόγου τοῦ προτρεπτικοῦ εἰς τὸ βάπτισμα.

Ταύτην δίδωμι παντὸς τοῦ βίου κοινωνὸν καὶ προστάτην, τὴν μίαν θεότητά τε καὶ δύναμιν, ἐν τοῖς τρισὶν εὑρισκομένην ἑνικῶς, καὶ τρία συλλαμβάνου-

[18] Rom. xi, 36.

μεριστῶς· οὔτε ἀνώμαλον οὐσίαις ἢ φύσεσιν, οὔτε δὲ αὐξανομένην ἢ μειουμένην ὑπερβολαῖς καὶ ὑφέσεσι· πάντοθεν ἴσην, τὴν αὐτὴν πάντοθεν, ὡς ἓν οὐρανοῦ κάλλος καὶ μέγεθος· τριῶν ἀπείρων ἄπειρον συμφυΐαν· Θεὸν ἕκαστον καθ' ἑαυτὸ θεωρούμενον, ὡς Πατέρα καὶ Υἱὸν, ὡς Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, φυλασσομένης ἑκάστῳ τῆς ἰδιότητος· Θεὸν τὰ τρία σὺν ἀλλήλοις νοούμενα· ἐκεῖνο διὰ τὴν ὁμοουσιότητα, τοῦτο διὰ τὴν μοναρχίαν. Οὐ φθάνω τὸ ἓν νοῆσαι, καὶ τοῖς τρισὶ περιλάμπομαι. Οὐ φθάνω τὰ τρία διελεῖν, καὶ εἰς τὸ ἓν ἀναφέρομαι. Ὅταν ἓν τῶν τριῶν φαντασθῶ, τοῦτο νομίζω τὸ πᾶν, καὶ τὴν ὄψιν πεπλήρωμαι, καὶ τὸ πλεῖον διέφυγεν. Οὐκ ἔχω τὸ μέγεθος τούτου καταλαβεῖν, ἵνα δῶ τὸ πλεῖον τῷ λειπομένῳ. Ὅταν τὰ τρία συνέλω τῇ θεωρίᾳ, μίαν ὁρῶ λαμπάδα. Οὐκ ἔχω διελεῖν, ἢ μετρῆσαι τὸ φῶς ἑνιζόμενον. Φοβῇ σὺ γέννησιν, ἵνα μή τι πάθῃ Θεὸς ὁ μὴ πάσχων· ἐγὼ φοβοῦμαι τὴν κτίσιν, ἵνα μὴ Θεὸν ἀπολέσω διὰ τῆς ὕβρεως καὶ τῆς ἀδίκου κατατομῆς, ἢ τὸν Υἱὸν τέμνων ἀπὸ τοῦ Πατρὸς, ἢ ἀπὸ τοῦ Υἱοῦ τὴν οὐσίαν τοῦ Πνεύματος. Τὸ γὰρ παράδοξον, ὅτι μὴ κτίσις ἐπάγεται μόνον Θεῷ παρὰ τοῖς κακῶς θεότητα ταλαντεύουσιν, ἀλλὰ καὶ αὐτὴ πάλιν ἡ κτίσις εἰς ἑαυτὴν τέμνεται. Ὥσπερ τοῦ Πατρὸς ὑποστέλλεται ὁ Υἱὸς τοῖς ταπεινοῖς καὶ κάτω κειμένοις, οὕτως ὑποστελλομένης πάλιν καὶ ἀπὸ τοῦ Υἱοῦ τῆς ἀξίας τοῦ Πνεύματος, ὡς ἂν καὶ Θεὸς καὶ κτίσις ὑβρίζηται τῇ κενῇ ταύτῃ θεολογίᾳ.

A tim comprehendit. Neque essentia, aut natura est inæqualis, neque superlatione, demissioneve augetur, aut imminuitur, sed undique æqualis, undique eadem, quemadmodum una est pulchritudo cœli et magnitudo: trium infinita conjunctio, quorum unusquisque, si per se consideretur, est Deus: sicut Pater, sic etiam Filius; et sicut Filius, sic etiam Spiritus sanctus, proprietate uniuscujusque conservata. Sin tres simul considerentur, sunt unus Deus. Id propter eamdem naturæ essentiam, hoc propter imperium singulare. Unum cogitare non possum, quin a tribus luminibus illustrer. Hæc intueri distincta nequeo, quin ad unum perducar splendorem. Cum aliquod eorum unum contemplor, in eo totam lucem animadverto, oculosque meos B ita repletos sentio, ut si, quod majus est, illos effugiat, non valeam magnitudinem ejus comprehendere, et deficienti, id quod alii exsuperat, attribuere. Cum tria cogitatione conjungo, lampadem unam sic intueor, ut lucem ejus copulatam atque unitam dividere, aut dimetiri non possim. Tu generationem reformidas, ne Deo affectionum experti affectionem assignes; ego creationem timeo, ne Deum tollam, si vel Filium a Patre, vel Spiritus naturam a Filio contumeliosa et inæquali sectione sejungam. Id enim absurdum est, quod ab istis, qui perverse Divinitatem examinant, non solum Deo ascribitur, quod creatus sit, verum etiam quos creatos asserunt, rursum dissecant. Nam ut a Patre sejunctum Filium in rebus humilibus et infra positis, nempe creatis locant, sic rursum procul a Filio dignitatem Spiritus separatam ponunt, ut ista nova theologia et Deus simul, et res creatæ afficiantur ignominia.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Θέλω τὸν Πατέρα μείζω εἰπεῖν, ἐξ οὗ καὶ τὸ ἴσοις εἶναι τοῖς ἴσοις ἐστὶ, καὶ τὸ εἶναι· τοῦτο γὰρ παρὰ πάντων δοθήσεται· καὶ δέδοικα τὴν ἀρχὴν, μὴ ἐλαττόνων ἀρχὴν ποιήσω, καὶ καθυβρίσω διὰ τῆς προτιμήσεως. Οὐ γὰρ δόξα τῷ ἐξ οὗ ἡ τῶν ἐξ αὐτοῦ ταπείνωσις. Πρὸς δὲ καὶ ὑφορῶμαι τὴν σὴν ἀπληστίαν, μὴ, τὸ μεῖζον λαβὼν, διχοτομήσῃς τὴν φύσιν κατὰ πάντα τῷ μείζονι χρώμενος. Οὐ γὰρ κατὰ τὴν φύσιν τὸ μεῖζον, τὴν αἰτίαν δέ. Οὐδὲν γὰρ τῶν ὁμοουσίων τῇ οὐσίᾳ μεῖζον ἢ ἔλαττον. Θέλω τὸν Υἱὸν προτιμῆσαι τοῦ Πνεύματος ὡς Υἱὸν, καὶ οὐ συγχωρεῖ μοι τὸ βάπτισμα τελειοῦν με διὰ τοῦ Πνεύματος.

C

Ex eadem oratione.

Volo Patrem majorem dicere: ex quo enim æquales habent ut sint æquales, ex eodem habent (id quod ab omnibus concedetur) ut sint: sed vereor ne illum, qui principium est, minorum principium constituam, et cui honorem tribuere majorem conor, ignominiam afferam. Ei namque decori esse non potest humilitas eorum, qui ab ipso sunt. Adhæc te fore suspicor insatiabilem, ut cum majorem acceperis, ita naturam seces, ut in omnibus majorem dicas. Nam natura major non est, quamvis detur, ut causa sit. Eorum enim, quæ ejusdem sunt essentiæ, nullum essentia majus est. Volo in honore Spiritui Filium anteferre, sed baptismus non patitur, quo sum initiatus per ipsum Spiritum.

Ἐκ τοῦ λόγου τοῦ εἰς τὸν κατάπλουν τῶν Αἰγυπτίων ἐπισκόπων.

Δύο διαφορὰς ἐν τοῖς οὖσι γινώσκω τὰς ἀνωτάτω, δεσποτείαν τε καὶ δουλείαν, οὐχ ἃς παρ' ἡμῖν ἢ τυραννὶς ἔτεμεν, ἢ πενία διέστησεν, ἀλλ' ἃς φύσις διώρισεν, εἴ τῳ φίλον οὕτω καλεῖν. Τὸ γὰρ πρῶτον καὶ ὑπὲρ τὴν φύσιν. Τούτων δὲ ἡ μὲν ποιητική τέ ἐστι, καὶ ἀρχικὴ, καὶ ἀκίνητος, ἡ δὲ πεποιημένη, καὶ ὑπὸ χεῖρα, καὶ μεταπίπτουσα. Καὶ ἔτι συντομώτερον εἰπεῖν, ἡ μὲν ὑπὲρ χρόνον, ἡ δὲ ὑπὸ χρόνον. Καλεῖται δὲ ἡ μὲν Θεὸς, καὶ ἐν τρισὶ τοῖς μεγίστοις ἵσταται, αἰτίῳ, καὶ δημιουργῷ καὶ τελειο-

D

Ejusdem ex oratione ad episcopos, qui navi advenerant ex Ægypto.

Duas in rebus maximas cognosco differentias, dominationem et servitutem, non quas apud nos vel tyrannis secuit, vel paupertas divisit, sed quas ipsa natura præscripsit, si tamen fas est ita loqui, cum prior sit etiam ipsa natura superior. Harum una est effectrix, et princeps, et immobilis: altera facta, et subjecta, commutabilis. Atque, ut brevius dicam, una supra tempus est, altera sub tempore. Prior vocatur Deus, licet in tribus consistat, causa, opifice, et perficiente, hoc est,

Patre, Filio, et Spiritu sancto. Qui nec ita distracti sunt, ut dirimantur natura : nec ita compressi, ut una concludantur persona : id enim Arianam sapit insaniam ; hoc Sabellianam impietatem : sed et plane distractis conjunctior est, et penitus solitariis copiosior. Posterior nobiscum est, et quæ creata sunt, universa complectitur, quorum, ut unumquodque magis, aut minus accedit ad Deum, sic inter cætera magis, aut minus excellit.

Hæc cum ita se habeant, quibus Dominus cordi est, ii accedant ad nos, ut unam in tribus Divinitatem adoremus, nihil abjectum, aut humile sublimi illi inaccessæque gloriæ ascribentes, sed excelsam unius Dei majestatem in tribus personis perpetuis laudibus, et uno ore celebrantes. Quomodo enim ei naturæ, cujus amplitudinem, quoniam immensa infinitaque est, explicare non possumus, quidquam abjectum, aut humile tribuemus? Quisquis autem aliter sentit de Deo, et idcirco præstantissimam ejus essentiam in naturas scindit inæquales, is si divino gladio dissecabitur, et pars ipsius ponetur cum infidelibus, et nunc et in posterum acerbos pravæ opinionis fructus percipiat, minime erit admirandum.

Ac de Patre quidem nihil attinet dicere, cujus ab omnibus qui naturali cognitione et communi sensu præditi sunt, amplitudo conceditur, quanquam ignominiæ primas ipse tulit, cum a veteribus illis novarum rerum studiosis in bonum et malum opificem divisus est. De Filio autem et Spiritu sancto videte, quam simplici et brevi ratione disseramus, si quis poterit aliquid in his deprehendere, quod inverti commutarive queat; quod temporis, aut loci, aut potestatis, aut actionis aliquo fine, aut mensura comprehendatur, nisi ipsum natura bonum, nisi sponte sua mobiles, nisi ejusdem essentiæ, nisi adorandi, nisi collaudandi, nisi venerandi, nisi eodem numero habendi plane videbuntur, id comprobetur atque ostendatur, nec verbum faciam, quin sententiæ vestræ acquiescentes eos conservorum honore colendos esse fateamur, licet eo nomine in his facienda sit Divinitatis jactura, sin omnia, quæ Pater habet, Filii sunt, excepto, quod Filius non est ingenitus : et quæcunque sunt Filii, sunt etiam Spiritus, præter unum id, quod Spiritus non est genitus. Quidquid autem de Filio dicitur, quod ad corpus spectet, id ad assumptum pertinet hominem et salutem nostram, cum id, quod nostrum erat, assumpserit, ut nova conjunctione nobis, quod suum erat elargiretur. Desinite tandem aliquando delirare, inanium verborum et nos ab ipso depellentium inventores Ut quid deperitis, o domus Israelis, ut Scripturæ verbis vicem vestram deplorem?

ποιῷ, τῷ Πατρὶ, λέγω, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, ἃ μήτε οὕτως ἀλλήλων ἀπήρτηται, ὥστε φύσει τέμνεσθαι, μήτε οὕτως ἐστένωται, ὡς εἰς ἓν πρόσωπον περιγράφεσθαι. Τὸ μὲν γὰρ τῆς Ἀρειανῆς μανίας, τὸ δὲ τῆς Σαβελλιανῆς ἀθεΐας ἐστίν. Ἀλλ' ἔστι τῶν μὲν πάντως διαιρετῶν ἑνικώτερα, τῶν δὲ τελείως μοναδικῶν ἀφθονώτερα. Ἡ δὲ μεθ' ἡμῶν τε ἔστι καὶ καλεῖται κτίσις, κἂν ἄλλα ἄλλων ὑπεραίρῃ κατὰ τὴν ἀναλογίαν τῆς πρὸς Θεὸν ἐγγύτητος.

Τούτων δὲ οὕτως ἐχόντων, ὅτῳ μὲν ἡ καρδία πρὸς Κύριον, ἴτω μεθ' ἡμῶν, καὶ προσκυνῶμεν τὴν μίαν ἐν τοῖς τρισὶ Θεότητα, μηδὲν ταπεινότητος ὄνομα τῇ ἀπροσίτῳ δόξῃ προσάγοντες, ἀλλὰ τὰς ὑψώσεις τοῦ ἑνὸς Θεοῦ ἐν τοῖς τρισὶ διὰ παντὸς ἐν τῷ λάρυγγι φέροντες. Ἧς γὰρ οὐδὲ μέγεθος φύσεως κυρίως ἔστιν εἰπεῖν διὰ τὸ ἄπειρον καὶ ἀόριστον, πῶς ταύτῃ ταπεινότητα ἐπεισάξομεν; Ὅστις δὲ ἀλλοτρίως ἔχει Θεοῦ, καὶ διὰ τοῦτο τέμνει τὴν μίαν καὶ ὑπὲρ πάντα τὰ ὄντα οὐσίαν εἰς ἀνισότητα φύσεων, θαυμαστὸν εἰ μὴ τῇ ῥομφαίᾳ τμηθήσεται, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων τεθήσεται, πονηρὸν δρεπομένου πονηρᾶς δόξης καρπὸν καὶ νῦν, καὶ ὕστερον.

Περὶ μὲν γὰρ τοῦ Πατρὸς τί χρὴ καὶ λέγειν; οὗ καὶ τὸ παρὰ πάντων συγκεχωρηκὸς φείδεται, ταῖς φυσικαῖς ἐννοίαις προκατειλημμένων, εἰ καὶ τῆς ἀτιμίας τὰ πρῶτα ἠνέγκατο, πρῶτος τμηθεὶς εἰς ἀγαθὸν καὶ δημιουργὸν παρὰ τῆς ἀρχαίας καινοτομίας· περὶ δὲ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος σκοπεῖτε, ὡς ἁπλῶς καὶ συντόμως διαλεξόμεθα. Εἰ μέν τις ἔχοι τούτων τι λέγειν τρεπτὸν, ἢ ἀλλοιωτὸν, ἢ χρόνῳ, ἢ τόπῳ, ἢ δυνάμει, ἢ ἐνεργείᾳ μετρούμενον, ἢ οὐ φυσικῶς ἀγαθὸν, ἢ οὐκ αὐτοκίνητον, ἢ οὐκ αὐτεξούσιον, ἢ λειτουργὸν, ἢ ὑμνῳδὸν, ἢ φοβούμενον, ἢ ἐλευθερούμενον, ἢ οὐ συναριθμούμενον· δεικνύτω τοῦτο, καὶ ἡμεῖς στέρξομεν συνδούλων σεμνότητι δοξαζόμενοι, εἰ καὶ Θεὸν ζημιούμεθα· εἰ δὲ πάντα ὅσα ἔχει ὁ Πατὴρ, τοῦ Υἱοῦ ἐστι πλὴν τῆς ἀγεννησίας, πάντα δὲ ὅσα τοῦ Υἱοῦ, καὶ τοῦ Πνεύματος πλὴν τῆς υἱότητος, καὶ τῶν ὅσα σωματικῶς περὶ αὐτοῦ λέγεται διὰ τὸν ἐμὸν ἄνθρωπον, καὶ τὴν ἐμὴν σωτηρίαν, ἵνα τὸ ἐμὸν λαβὼν τὸ ἑαυτοῦ χαρίσηται διὰ τῆς καινῆς ἀνακράσεως· παύσασθε παραληροῦντες. Ὀψὲ γοῦν, ὦ σοφισταὶ κενῶν ῥημάτων αὐτοῦ πιπτόντων, καὶ ἵνα τί ἀποθνήσκητε, οἶκος Ἰσραὴλ, ἵν' ἐκ τῆς Γραφῆς ὑμᾶς ὀδύρωμαι;

Veneror equidem Filii appellationes tam multas tamque sublimes et magnas, quas dæmones quoque pertimescunt. Veneror item æqualem Spiritus sancti dignitatem, sed minas adversus illos, qui Spiritum ipsum exsecrantur, reformido. Exsecratio enim est, non theologia, quæ Spiritum

Ὡς ἔγωγε αἰδοῦμαι μὲν τὰς τοῦ Λόγου προσηγορίας τοσαύτας τε οὔσας, καὶ οὕτως ὑψηλὰς καὶ μεγάλας, ἃς καὶ δαίμονες ἐνετράπησαν· αἰδοῦμαι δὲ τὴν ὁμοτιμίαν τοῦ Πνεύματος· φοβοῦμαι δὲ τὴν ὡρισμένην ἀπειλὴν τοῖς εἰς αὐτὸ βλασφημοῦσι. Βλασφημία δὲ οὐχ ἡ θεολογία, τὸ δὲ ἀλλοτριοῦν τῆς

θεότητος, καὶ τηρητέον ἐνταῦθα, ὅτι τὸ μὲν βλασφημούμενον ὁ Κύριος ἦν, τὸ δὲ ἐκδικούμενον τὸ Πνεῦμα τὸ ἅγιον, ὡς Κύριος, οὐ φέρω ἀφώτιστος εἶναι μετὰ τὸ φώτισμα, παραχαράσσων τι τῶν τριῶν, εἰς ἃ βεβάπτισμαι, καὶ οὕτως ἐνταφῆναι τῷ ὕδατι οὐκ εἰς ἀναγέννησιν, ἀλλ' εἰς νέκρωσιν τελειούμενος.

A a divinitate remotum statuit. Illud autem hic est observandum, quod cum Dominus sit is, cui maledicitur Spiritus, tanquam Dominus ultor exsistit, ferre non possum, ut verser in tenebris, posteaquam sum illustratus, et ex tribus, in quorum nomine baptizatus sum, aliquem minorem dicam, ut vere in aqua sepultus sim, non ad regenerationem initiatus, sed ad mortem.

Τολμῶ τι φθέγξασθαι, ὦ Τριάς, καὶ συγγνώμη τῇ ἀπονοίᾳ· περὶ ψυχῆς γὰρ ὁ κίνδυνος. Εἰκών εἰμι καὶ αὐτὸς Θεοῦ τῆς ἄνω δόξης, εἰ καὶ κάτω τίθειμαι. Οὐ πείθομαι τῷ ὁμοτίμῳ σώζεσθαι. Εἰ μὴ Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον, θεωθήτω πρῶτον, καὶ οὕτω θεούτω με τὸν ὁμότιμον. Νῦν δὲ τίς ἡ ἀπάτη τῆς χάριτος, μᾶλλον δὲ τῶν διδόντων τὴν χάριν, ὡς εἰς Θεὸν
B
πιστεῦσαι, καὶ ἀνελθεῖν ἄθεον; Ἄλλο καθομολογῆσαι, καὶ ἄλλο διδάσκεσθαι; Οἷαι τῶν λόγων αἱ κλοπαί, καὶ ἀπάται δι' ἄλλης ἐρωτήσεως, καὶ ὁμολογίας εἰς ἄλλο φέρουσαι; Οἴμοι τῆς λαμπρότητος! εἰ μετὰ τὸ λουτρὸν μεμελάνωμαι· εἰ λαμπροτέρους ὁρῶ τοὺς οὔπω κεκαθαρμένους· εἰ τῇ τοῦ Βαπτιστοῦ κακοδοξίᾳ κυβεύομαι· εἰ ζητῶ Πνεῦμα κρεῖττον, καὶ οὐχ εὑρίσκω. Δός μοι λουτρὸν δεύτερον, καὶ περὶ τοῦ πρώτου κακῶς ἐννόησον. Τί μοι φθονεῖς τῆς τελείας ἀναγεννήσεως; Τί με ποιεῖς ναὸν ὄντα τοῦ Πνεύματος ὡς Θεοῦ κατοικητήριον κτίσματος; Τί τὸ μὲν τιμᾷς τῶν ἐμῶν, τὸ δὲ ἀτιμάζεις, κακῶς θεότητι διαιτῶν, ἵν' ἐμοὶ τέμῃς τὸ χάρισμα, μᾶλλον δὲ αὐτὸν ἐμὲ τῷ χαρίσματι; Ἢ τὸ πᾶν τίμησον, ὦ καινὲ θεολόγε, ἢ τὸ πᾶν ἀτίμασον, ἵνα, κἂν ἀσεβῇς, ἀλλὰ
C
σεαυτῷ γε ἀκόλουθος ᾖς, μὴ κρίνων ἀνίσως φύσιν ὁμότιμον.

Audacter dicam, o Trinitas sancta, tu arrogantiæ ignoscas meæ: nam de animæ periculo agitur. Ego quoque imago sum Dei cœlestisque gloriæ, licet in terris degam. Quamobrem adduci non possum, ut credam, me per illum qui ejusdem sit conditionis, qua ego sum, salutem assequi. Si Spiritus sanctus non est Deus, evadat prius, meque, qui eodem cum illo sum ordine, tunc divinum efficiat. Nunc autem quæ fraus, qui dolus est gratiæ, imo vero eorum, qui gratiam tribuunt? Egone credam in Deum, ut impius reddar? Aliud confitebor, ut aliud discam? Quænam istæ fallaciæ verborum et fraudes, quæ suis me interrogationibus ad hæc confitenda perducunt, ut ad illa deveniam? Miserum atque obscurum splendorem meum, sordidamque munditiem, si baptismo sic abluor, ut nigrior fiam; si nitidiores atque mundiores aspicio, qui non sunt abluti; si mala baptizantis opinione deludor; si spiritum meliorem quæro, et non invenio. Da mihi baptismum alterum, et de priore male sentito. Quid mihi perfectam invides regenerationem? Cur me ex templo Spiritus, qui Deus est, creati spiritus habitaculum reddis? Cur eorum, quæ mea sunt, aliud honoras, aliud afficis ignominia, inæquales in Divinitate partes constituis, ut mihi gratiam secces et imminuas, vel potius ut gratiæ me subducas et subtrahas? Aut totum honora, vane theologe, aut totum despice; ut quamvis impie sentias, tibi tamen ipse constes, nec naturam æque honoratam inique judices.

Κεφάλαιον δὲ τοῦ λόγου, μετὰ τῶν Σεραφὶμ δόξαζε συναγόντων τὰς τρεῖς ἁγιότητας εἰς μίαν κυριότητα, καὶ τοσοῦτον παραδεικνύντων τῆς πρώτης οὐσίας, ὅσον ὑπανοίγουσι τοῖς φιλοπόνοις αἱ πτέρυγες. Μετὰ Δαβὶδ φωτίσθητι πρὸς τὸ φῶς λέγοντος, « Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς, » οἷον ὥσπερ ἐν τῷ Πνεύματι τὸν Υἱόν, οὗ τί ἂν γένοιτο τηλαυγέστερον; Μετὰ Ἰωάννου βρόντησον τοῦ Υἱοῦ τῆς βροντῆς, μηδὲν περὶ Θεοῦ ταπεινὸν ἠχῶν, μηδὲ
D
ἀπὸ γῆς, ἀλλ' ὑψηλόν, καὶ μετέωρον, τὸν ἐν ἀρχῇ τε ὄντα, καὶ πρὸς τὸν Θεὸν ὄντα, καὶ Θεὸν Λόγον, Θεὸν γινώσκων, καὶ Θεὸν ἀληθινὸν ἐξ ἀληθινοῦ Πατρός, ἀλλ' οὐ σύνδουλον ἀγαθὸν Υἱοῦ προσηγορίᾳ μόνῃ τετιμημένον, καὶ τὸν ἄλλον παράκλητον, δηλεδὴ ἄλλον τοῦ λέγοντος. Θεοῦ δὲ ὁ Λόγος. Καὶ ὅταν μὲν, « Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, » ἀναγινώσκῃς, τὸ συναφὲς τῆς οὐσίας ἐνοπτριζόμενος· ὅταν δὲ, « Πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν, » τὸ διῃρημένον τῶν ὑποστάσεων λογιζόμενος· ὅταν δὲ τὸ Πατρός, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος ὄνομα, τὰς τρεῖς ἰδιότητας.

Ea vero nostræ sit orationis summa, Dei laudes cum seraphinis decanta, qui unum in principatum tres conferunt sanctitates, et essentiæ illius primæ tantum ostendunt, quantum ipsorum alæ studiosis patefaciunt. Illustrare simul cum Davide lumen ipsum sic alloquente: « In lumine tuo videbimus lumen[43], » Filium nimirum in Spiritu, quo quid fieri potest illustrius? Cum Joanne tonitrus filio tonitrum emitte, nihil de Deo humile, nihil terrenum, sed excelsum atque sublime aliquid sonans, utpote qui cognoscas, in principio esse Verbum, et Verbum esse apud Deum, et Deum esse Verbum, et Deum verum ex vero Patre, non autem conservum bonum, sola Filii appellatione decoratum, et alium Consolatorem, alium nimirum ab eo, qui loquitur, quod est Dei Verbum. Et cum legis: « Ego et Pater unum sumus[44], » naturæ conjunctionem contemplare. Quando illud audis: « Ad eum veniemus, et mansionem apud eum faciemus[45], » personarum distinctionem intellige.

[43] Psal. xxxv, 50. [44] Joan. x, 30. [45] Joan. xiv, 23.

At cum Patris, et Filii, et Spiritus sancti nomen, A tres utique proprietates, una cum Luca in rebus ab apostolis gestis versans invenis, cur cum Anania et Saphira novis furibus inis societatem? Vere enim novum furandi genus est, cum quis ea quæ propria sunt subripit, præsertim si non argentum, aut aliud quidpiam quod vile parvumque sit, ut linguam auream, aut tenuem, aut didrachma, ut miles ille quondam insatiabilis, sed Divinitatem ipsam furetur, mentiaturque quemadmodum audivisti, non homini, sed Deo. Venerandam Spiritus cole potestatem, quibus vult, et quando vult, et quantum vult, aspirantis. Descendit enim super Cornelium et domesticos ejus, ante baptismum; super alios autem per apostolos post baptismum, ut et ex iis, quæ, non ut servus, sed tanquam dominus gerit, et B ex illis, quæ in eo, qui initiandus est, requirit, divinitatem testetur suam.

Μετὰ Λουκᾶ ἐμπνεύσθητι ταῖς Πράξεσι τῶν ἀποστόλων προσομιλῶν. Τί μετὰ Ἀνανίου τάττῃ, καὶ Σαπφείρας, τῶν καινῶν νοσφιστῶν, εἴγε καινὸν ὄντως ἡ τῶν ἰδίων κλοπή; καὶ ταῦτα νοσφιζόμενος οὐκ ἀργύριον, οὐδ' ἄλλο τι τῶν εὐτελῶν καὶ μικρῶν, οἷον γλῶσσαν χρυσῆν, ἢ ψιλὴν, ἢ δίδραχμον, ὡς ποτὲ στρατιώτης ἄπληστος, ἀλλ' αὐτὴν κλέπτων θεότητα, καὶ ψευδόμενος οὐκ ἄνθρωπον, ἀλλὰ Θεὸν, ὅπερ ἤκουσα. Τί μοι δὲ τὴν ἐξουσίαν αἰδῇ τοῦ Πνεύματος, ἐφ' οὓς θέλει, καὶ ἡνίκα, καὶ ὅσον πνέοντος; Ἐπιδημεῖ τοῖς περὶ Κορνήλιον πρὸ τοῦ βαπτίσματος, ἄλλοις μετὰ τὸ βάπτισμα διὰ τῶν ἀποστόλων. Ὥστε ἀμφοτέρωθεν ἔκ τε ὧν ἐπιφοιτᾷ δεσποτικῶς, ἀλλ' οὐ δουλικῶς, καὶ ἐξ ὧν ἐπιζητεῖται πρὸς τὴν τελείωσιν τὴν θεότητα μαρτυρεῖσθαι τοῦ Πνεύματος.

Cum Paulo, qui in tertium sublatus est cœlum, tracta theologiam, qui nunc tres personas, ordine commutato ita connumerat, ut nunc primo, nunc secundo, nunc tertio loco eamdem personam nominans, naturæ declaret æqualitatem: nunc duas, aut unam earum aliquam tantum ponit, tanquam reliquæ consequantur omnino. Alias Spiritui assignat actionem Dei, quasi nihil referat, hunc an illum dicat. Alias autem pro Spiritu Christum affert. Et aliquando quidem personas distinguit: «Unus,» inquiens, «Deus, ex quo omnia, et nos in ipsum: et unus Dominus Jesus Christus, per quem omnia, C et nos per ipsum [46].» Aliquando autem unam exprimit divinitatem: «Quoniam,» inquiens, «ex ipso, et per ipsum, et in ipsum omnia [47],» nimirum per ipsum Spiritum, quemadmodum in multis Scripturæ locis declaratur.

Μετὰ Παύλου θεολόγησον τοῦ πρὸς τρίτον οὐρανὸν ἀναχθέντος, ποτὲ μὲν συναριθμοῦντος τὰς τρεῖς ὑποστάσεις, καὶ τοῦτο ἐνηλλαγμένως, οὐ τετηρημένως ταῖς τάξεσι, προαριθμοῦντος, ἐναριθμοῦντος, ὑπαριθμοῦντος τὸ αὐτό· ἵνα τί δηλώσῃ; τὴν ἰσοτιμίαν τῆς φύσεως· ποτὲ δὲ τῶν τριῶν μεμνημένου, ποτὲ δὲ τῶν ἢ τινὸς, ὡς ἑπομένου πάντως τοῦ λείποντος· καὶ ποτὲ μὲν τὴν ἐνέργειαν τοῦ Θεοῦ τῷ Πνεύματι διδόντος, ὡς οὐδὲν διαφέροντος, ποτὲ δὲ ἀντὶ τοῦ Πνεύματος τὸν Χριστὸν ἐπιφέροντος, καὶ ὅτε μὲν διαιρεῖ τὰς ὑποστάσεις, «Εἷς Θεὸς,» λέγοντος, «ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν. Καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ·» ὅτε δὲ συνάγει τὴν μίαν θεότητα, «Ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα,» δηλαδὴ διὰ τοῦ ἁγίου Πνεύματος, ὡς πολλαχοῦ δείκνυται τῆς Γραφῆς. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ejusdem ex oratione in Arianos, in qua et de se ipso loquitur.

Nos autem adoramus Patrem, et Filium, et Spiritum sanctum, Patrem Deum, Filium Deum, et Spiritum sanctum, nisi moleste fers, Deum. Naturam unam in tribus proprietatibus, quæ mente percipiuntur, perfectæque sunt, et per se constant. Quæ numero quidem distinguuntur, divinitate vero dividi nequeunt. Has mihi voces concede tu, qui hodie minitaris, reliqua qui volunt, curent. Non patitur in D Filio Pater jacturam fieri, nec Filius, in Spiritu sancto. Fieret autem jactura, si essent creati: quod enim creatum est, Deus non est. Non fero, inquis, perfectionem imminui: neque ego. Una fides, unus Dominus, unum baptisma. Si ab hoc excidero, ubi nanciscar alterum? Ecquid dicitis vos, qui baptizatis, aut rebaptizatis? Licetne esse spiritalem sine Spiritu? Aut particeps Spiritus est, qui Spiritum non colit? Aut Spiritum colit is, qui in nomine creati conservique spiritus baptizatur? Minime vero. Nunquam dices tam multa, ut a vera sententia discedam. Non fallam te, Pater expers

Ἐκ τοῦ λόγου τοῦ πρὸς Ἀρειανοὺς, καὶ εἰς ἑαυτόν.

Αὐτοὶ δὲ προσκυνοῦμεν τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱὸν, Θεὸν, εἰ μὴ τραχύνῃ, τὸ Πνεῦμα τὸ ἅγιον· μίαν φύσιν ἐν τρισὶν ἰδιότησι νοεραῖς, τελείαις, καθ' ἑαυτὰς ὑφεστώσαις, ἀριθμῷ διαιρεταῖς, καὶ οὐ διαιρεταῖς θεότητι. Τούτων παραχώρει μοι τῶν φωνῶν πᾶς ὁ ἀπειλῶν σήμερον, τῶν δὲ ἄλλων μεταποιείσθωσαν οἱ βουλόμενοι. Οὐκ ἀνέχεται Πατὴρ Υἱὸν ζημιούμενος, οὐδὲ Υἱὸς τὸ Πνεῦμα τὸ ἅγιον· ζημιοῦται δὲ εἰ ποτὲ, καὶ εἰ κτίσμα. Οὐ γὰρ Θεὸς τὸ κτιζόμενον. Οὐ φέρω ζημιούμενος οὐδὲ ἐγὼ τὴν τελείωσιν. Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα. Εἰ τοῦτο ἀκυρωθείη μοι, παρὰ τίνος τὸ δεύτερον; Τί φατε οἱ καταβαπτίζοντες, ἢ ἀναβαπτίζοντες; Ἔστιν εἶναι πνευματικὸν ἄνευ τοῦ Πνεύματος; Μετέχει δὲ Πνεύματος ὁ μὴ τιμῶν τὸ Πνεῦμα; Τιμᾷ δὲ ὁ εἰς κτίσμα, καὶ ὁμόδουλον βαπτιζόμενος; Οὐκ ἔστιν. Οὐχ οὕτω πολλὰ ἐρεῖς. Οὐ ψεύσομαί σε, Πάτερ ἄναρχε. Οὐ ψεύσομαί σε, μονογενὲς Λόγε. Οὐ ψεύσομαί σε, τὸ Πνεῦμα τὸ

[46] I Cor. VIII, 6. [47] Col. I, 16.

ἅγιον. Οἶδα τί ὡμολόγησα, καὶ τίνι ἀπεταξάμην. Οὐ δέχομαι τὰς πιστοῦ φωνὰς διδαχθῆναι, καὶ μαθεῖν ἄπιστος· ὁμολογῆσαι ἀλήθειαν, καὶ γενέσθαι μετὰ τοῦ ψεύδους· ὡς τελειούμενος κατελθεῖν, καὶ ἀνελθεῖν ἀτελέστερος· ὡς ζησόμενος βαπτισθῆναι, καὶ ἐννεκρωθῆναι τῷ ὕδατι, καθάπερ τὰ ταῖς ὠδῖσιν ἐναποθνήσκοντα κυήματα, καὶ σύνδρομον λαβόντα τῇ γεννήσει τὸν θάνατον. Τί με ποιεῖς μακάριον ἐν ταυτῷ, καὶ ἄθλιον; νεοφώτιστον, καὶ ἀφώτιστον; θεῖον, καὶ ἄθεον; ἵνα ναυαγήσω καὶ τὴν ἐλπίδα τῆς ἀναπλάσεως; Βραχὺς ὁ λόγος· μνήσθητι τῆς ὁμολογίας. Εἰς τί ἐβαπτίσθης; εἰς Πατέρα; Καλῶς, πλὴν ἰουδαϊκὸν ἔτι. Εἰς Υἱόν; Καλῶς, οὐκ ἔτι μὲν ἰουδαϊκὸν, οὔπω δὲ τέλειον. Εἰς τὸ ἅγιον Πνεῦμα; Ὑπέρευγε, τοῦτο τέλειον. Ἆρ' οὖν ἁπλῶς εἰς ταῦτα, ἢ καὶ κοινὸν τούτων ὄνομα; Καὶ κοινόν. Τί τοῦτο; Δηλαδὴ τὸ τοῦ Θεοῦ. Εἰς τοῦτο τὸ κοινὸν ὄνομα πίστευε, καὶ κατευοδοῦ, καὶ βασίλευε. Καὶ μετέβης ἐντεῦθεν εἰς τὴν ἐκεῖθεν μακαριότητα· ἥ δέ ἐστιν, ὡς ἐμοὶ δοκεῖ, ἡ τούτων αὐτῶν ἐκτυπωτέρα κατάληψις.

A principii. Non fallam te, Verbum unigenitum. Non fallam te, sancte Spiritus. Quid confessus sim, quem deseruerim, quem secutus sim, memini. Non committam, ut qui magistri fidelis voces doctus sum, discipulus sim infidelis; qui veritatem confessus sum, amplectar mendacium; qui ut perfectus evaderem, veni, revertar longe quam veneram imperfectior: qui ut vitam assequerer, sum baptizatus, in aqua mortem inveniam, instar eorum, qui in ipso partu moriuntur, et obitum cum ortu conjungunt. Quid me eodem tempore beatum facis et miserum? lucidum et obscurum? pium et impium? An ut spem regenerationis amittam? Verum, ut paucis rem concludam: esto confessionis memor. In quem baptizatus es? in Patrem? Bene, sed Judaicum id B est adhuc. In Filium? Recte, neque enim hoc amplius Judaicum, attamen nondum perfectum. Et in Spiritum sanctum? Optime, perfectum istud jam est. Cæterum age, num in eos simpliciter, an aliquod est etiam horum commune nomen? Quidni? Ecquod illud est? Deus. In hoc nomen commune crede, incede, et regna, et ascendes hinc ad cœlestem illam felicitatem, quæ, ut mihi quidem videtur, nihil aliud est, nisi expressa horum comprehensio.

Τοῦ αὐτοῦ ἐκ τοῦ λόγου τοῦ εἰς τὴν τῶν ρν' ἐπισκόπων παρουσίαν.

Τὰ δὲ καθ' ἕκαστον, ἵν' ἐπέλθω συντόμως, ἄναρχον, καὶ ἀρχὴ, καὶ τὸ μετὰ τῆς ἀρχῆς, εἷς Θεός. Οὔτε τοῦ ἀνάρχου τὸ ἄναρχον φύσις, ἢ τὸ ἀγέννητον. Οὐδὲ μία γὰρ φύσις, ὅτι μὴ τόδε ἐστὶν, ἀλλ' ὅτι τόδε. Ἡ τοῦ ὄντος θέσις, οὐχ ἡ τοῦ μὴ ὄντος ἀναίρεσις. Οὔτε ἡ ἀρχὴ τῷ ἀρχὴ εἶναι τοῦ ἀνάρχου διείργεται. Οὐ γὰρ φύσις αὐτῷ ἡ ἀρχὴ, ὥσπερ οὐδ' ἐκείνῳ τὸ ἄναρχον. Περὶ γὰρ τὴν φύσιν, οὐ ταῦτα φύσις. Καὶ τὸ μετὰ τοῦ ἀνάρχου, καὶ τῆς ἀρχῆς οὐκ ἄλλο τι, ἢ ὅπερ ἐκεῖνα. Ὄνομα δὲ τῷ μὲν ἀνάρχῳ Πατὴρ, τῇ δὲ ἀρχῇ Υἱὸς, τῷ δὲ μετὰ τῆς ἀρχῆς Πνεῦμα ἅγιον. Φύσις δὲ τοῖς τρισὶ μία, Θεός, ἕνωσις δὲ ὁ Πατὴρ, ἐξ οὗ, καὶ πρὸς ὃν ἀνάγεται τὰ ἑξῆς οὐχ ὡς συναλείφεσθαι, ἀλλ' ὡς ἔχεσθαι, μήτε χρόνου διείργοντος, μήτε θελήματος, μήτε δυνάμεως. Ταῦτα γὰρ ἡμᾶς πολλὰ εἶναι πεποίηκεν, αὐτοῦ τε ἑκάστου πρὸς ἑαυτὸ, καὶ πρὸς τὸ ἕτερον στασιάζοντος. Οἷς δὲ ἁπλῆ φύσις, καὶ τὸ εἶναι ταυτὸν, τούτοις καὶ τὸ ἓν κύριον.

Ex oratione, quam habuit in conspectu centum quinquaginta episcoporum.

Verum ut hæc singula breviter percurramus, is, qui sine principio est, et is qui principium est, et is, qui cum principio est, sunt unus Deus. Nec illius, qui est sine principio, natura in eo sita est, C quod sine principio, aut ingenitus sit. Nulla namque natura constituitur ex eo, quod hoc aut illud non sit, sed quod hoc sit. Est enim positio illius, quod est, non autem ablatio illius, quod non est. Neque principium ex eo, quod principium est, ab eo, qui sine principio est, dividitur. Neque enim natura principium est, quemadmodum nec ejus natura, qui principium non habet, est illud ipsum quod vacat principio. Hæc enim, nempe, sine principio esse, et esse principium, ad naturam spectant, non autem naturæ sunt. Illud etiam, nimirum esse cum illo, qui principio vacat, et cum eo qui principium itidem habet. Nomen vero illius, qui non habet principium, est Pater. Ejus autem qui est principium, Filius. At illius, qui cum principio est, Spiritus sanctus. Horum trium una natura. Unitas Pater, ex quo sunt, et ad quem referuntur reliqui, non ut in una confundantur persona, sed ut sic inter se vicissim habeant, cum id nec tempus, nec voluntas, nec potestas impediat, quæ solent esse causæ, cur nos in multa distrahamur, nec solum ab aliis, verum etiam a nobis ipsi distemus. At quorum natura simplex est, ii et idem esse, et unum esse proprie dicuntur.

Τὰς μὲν οὖν φιλονείκους ἐπὶ θάτερα μετακλίσεις τοῦ λόγου, καὶ ἀντισηκώσεις χαίρειν ἐάσωμεν, οὔτε τῷ ἑνὶ σαβελλίζοντες κατὰ τῶν τριῶν, καὶ συναιρέσει κακῇ τὴν διαίρεσιν λύοντες, οὔτε τοῖς τρισὶν ἀρειανίζοντες κατὰ τοῦ ἑνὸς, καὶ πονηρᾷ διαιρέσει τὸ ἓν ἀνατρέποντες. Οὐ γὰρ κακοῦ κακὸν ἀλλάξασθαι τὸ ζητούμενον, ἀλλὰ τοῦ καλοῦ τὸ μὴ διαμαρτεῖν. Ὡς ταῦτά γε τοῦ πονηροῦ παίγνια, κακῶς τὰ ἡμέτερα ταλαντεύοντος. Αὐτοὶ δὲ τὴν μέσην βαδίζοντες, καὶ βασιλικὴν, ἐν ᾗ καὶ τὸ τῶν

D Contentiosas vero in alterutram sermonis partem declinationes compensationesque valere jubeamus. Ne vel in uno contra tres Sabellium secuti improba contractione distinctionem evertamus: vel in tribus contra unum Ario faventes divisione prava unitatem dissolvamus. Non enim malum malo commutare quærimus, sed a bono non aberrare. Illud enim ludicrum improbi cujuspiam sit, male res nostras expendentis. Itaque nos, per mediam ac regiam incedentes viam, in qua virtutum etiam

graditur chorus, ut asserunt illi, qui in ejusmodi studio præstant, credimus in Patrem, et Filium, et Spiritum sanctum, eorumque unam et eamdem naturam esse dicimus et dignitatem. In his et baptisma perfectionem habet, et in nominibus, et in rebus. Abnegas enim ut nosti tu, qui initiaris, impietatem illorum, qui Filium, aut Spiritum volunt esse Deum, quique Patrem, et Filium, et Spiritum commiscent atque confundunt, et distinctam atque unam divinitatem confiteris. Quem igitur natura unum agnoscimus et adoramus, in tres hypostases, sive personas, si cui ea vox magis placet, ita distinguimus. Neque enim qui de ejusmodi vocibus digladiantur, se, cum idem sentiant, vicissim debent insectari, perinde quasi pietas in verbis, ac non in rebus ipsis consistat. Quid enim dicitis vos, qui tres affertis hypostases? Num tres esse naturas existimatis? respondete. Scio vos esse reclamaturos, si quis ita de vobis suspicetur. Quid autem vos, qui personas adducitis, unumne quidpiam compositum, et tribus præditum personis, et hominis omnino faciem præferens confingitis? Apage, vos item valde reclamaturos scio, Nullam enim ejusmodi esse personam Dei. Quid ergo vestræ vobis volunt hypostases? aut rursum vestræ vobis personæ? Vos enim iterum interrogabo. Nonne ita tres esse, ut non natura divisi, sed proprietatibus distincti sint? Optime. Quomodo possint aliqui magis inter se convenire, et idem dicere, quam qui ita sentiunt, licet verbis et vocabulis discrepent? cernitis, qualem me vobis conciliatorem præbeam? Quo pacto a verborum significatione ad ipsam rem, eumdemque sensum tum veterem, tum novam opinionem deducam?

A ἀρετῶν ἕστηκεν, ὡς δοκεῖ τοῖς ταῦτα δεινοῖς, πιστεύομεν εἰς Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον, ὁμοούσιά τε καὶ ὁμόδοξα, ἐν οἷς καὶ τὸ βάπτισμα τὴν τελείωσιν ἔχει ἔν τε ὀνόμασι καὶ πράγμασιν. Οἶδας ὁ μυηθεὶς, ἄρνησις ὂν ἀθείας, καὶ ὁμολογία θεότητος, καὶ οὕτω καταρτιζόμεθα· τὸ μὲν ἓν τῇ οὐσίᾳ γινώσκοντες, καὶ τὸ ἀμερίστῳ τῆς προσκυνήσεως, τὰ δὲ τρία ταῖς ὑποστάσεσιν εἴτ' οὖν προσώποις, ὅ τισι φίλον. Μηδὲ γὰρ οἱ περὶ ταῦτα ζυγομαχοῦντες ἀσχημονείτωσαν, ὥσπερ ἐν ὀνόμασι κειμένης ἡμῖν τῆς εὐσεβείας, ἀλλ' οὐκ ἐν πράγματι. Τί γάρ φατε οἱ τὰς τρεῖς ὑποστάσεις εἰσφέροντες; Μὴ τρεῖς οὐσίας ὑπολαμβάνοντες τοῦτο λέγετε; Μέγα οἶδ' ὅτι βοήσετε κατὰ τῶν οὕτως ὑπειληφότων. Μίαν γὰρ καὶ τὴν αὐτὴν τῶν τριῶν B δογματίζετε. Τί δὲ οἱ τὰ πρόσωπα, μὴ ἕν οἷόν τι σύνθετον ἀναπλάσσετε, καὶ τριπρόσωπον, ἢ ἀνθρωπόμορφον ὅλως; Ἄπαγε, καὶ ὑμεῖς ἀντιβοήσετε, Μηδὲ πρόσωπον ὅ τί ποτέ ἐστιν ἴδοι Θεοῦ, ὃς οὕτως ἔχει. Τί οὖν ὑμῖν αἱ ὑποστάσεις βούλονται, ἢ ὑμῖν τὰ πρόσωπα; Προσερήσομαι γάρ. Τὸ τρία εἶναι τὰ διαιρούμενα οὐ φύσεσιν, ἀλλ' ἰδιότησιν; Ὑπέρευγε. Πῶς ἂν τινες συμφρονοῖεν μᾶλλον καὶ τὸ αὐτὸ λέγοιεν, ἢ οὕτως ἔχοντες, κἂν ταῖς συλλαβαῖς διαφέρωσιν; Ὁρᾶτε οἷος ἐγὼ διαλλακτὴς ὑμῖν πρὸς τὸν νοῦν ἄγων ἀπὸ τοῦ γράμματος, ὥσπερ τὴν παλαιὰν, καὶ τὴν νέαν;

Sed redeundum ad propositum. Alius ergo et dicatur, et sentiatur ingenitus, alius genitus, alius procedens, si quis fingendis vocabulis delectetur. Non enim vereor, ne qui sunt expertes corporis, ratione corporea cogitentur, ut putant ii, qui Divinitatem calumniantur. Quæ autem creata sunt, dicantur illa quidem esse Dei. Nam illud etiam magnum a nobis existimatur: sed nihil, quod creatum sit omnino dicatur Deus. Aut tunc assentiar, quod creatum sit, esse Deum, cum ego quoque proprie et vere deus exstitero. Sic enim res habet. Si Deus est, non est creatus, hoc enim in nos, qui dii non sumus, cadit. Sin creatus est, non est Deus: nam tempore aliquo cœpit esse. Quod esse cœpit, aliquando non fuit. Quod autem vere non est, id quomodo Deus? Nihil igitur, quod creatum est, horum trium ullum esse potest; ac multo minus, quod ab homine factum est, cum non modo creatum sit, sed etiam vilius homine, qui illud fecit. Nam si homo ad gloriam Dei factus est, opus autem hominis ad ejus utilitatem (exempli gratia: Amussis ut currus fiat, et serra, ut ostium ad communem hominum usum), nimirum homo superior est. Quanto enim Deus rebus a se procreatis, tanto itidem homo rebus a se confectis est præstantior.

C Ἀλλ' ἐπανιτέον μοι πάλιν πρὸς τὸν αὐτὸν λόγον. Τὸ μὲν οὖν ἀγέννητον, καὶ τὸ γεννητὸν, καὶ τὸ ἐκπορευτὸν λεγέσθω τε καὶ νοείσθω, εἴ τῳ φίλον δημιουργεῖν ὀνόματα. Οὐ γὰρ δείσομεν μήποτε νοῆται σωματικῶς τὰ ἀσώματα, ὅπερ δοκεῖ τοῖς ἐπηρεασταῖς τῆς Θεότητος. Κτίσμα δὲ Θεοῦ μὲν λεγέσθω· μέγα γὰρ ἡμῖν καὶ τοῦτο· Θεὸς δὲ μηδαμῶς. Ἢ τότε δέξομαι κτίσμα εἶναι Θεὸν, ὅταν κἀγὼ γένωμαι κυρίως Θεός. Ἔχει γὰρ οὕτως. Εἰ μὲν Θεὸς, οὐ κτίσμα· μεθ' ἡμῶν γὰρ τὸ κτίσμα τῶν οὐ θεῶν· εἰ κτίσμα δὲ, οὐ Θεός. Ἤρξατο γὰρ χρονικῶς. Ὃ δὲ ἤρξατο, ἦν ὅτε οὐκ ἦν. Οὗ δὲ πρεσβύτερον τὸ οὐκ ἦν, τοῦτο οὐ κυρίως ὂν, τὸ δὲ μὴ κυρίως ὂν πῶς Θεός; Οὔτε οὖν κτίσμα τῶν τριῶν οὐδὲ ἕν, οὔτε ὃ τούτου χεῖρον δι' ἐμὲ γενόμενον, ἵνα μὴ D κτίσμα ᾖ μόνον, ἀλλὰ καὶ ἡμῶν ἀτιμότερον. Εἰ γὰρ ἐγὼ μὲν εἰς δόξαν Θεοῦ, τοῦτο δὲ δι' ἐμὲ, ἢ περίγρα διὰ τὴν ἅμαξαν, ἢ ὁ πρίων διὰ τὴν θύραν, νικῶ τῇ αἰτίᾳ. Ὅσῳ γὰρ κτισμάτων Θεὸς ὑψηλότερος, τοσούτῳ τοῦ διὰ Θεὸν ὑποστάντος ἐμοῦ τὸ δι' ἐμὲ γενόμενον ἀτιμότερον.

Ex oratione de Spiritu sancto.

Equidem eum attentiore animi studio mecum ipse multa considerarem, et undique rationem

Ἐκ τοῦ λόγου τοῦ περὶ τοῦ ἁγίου Πνεύματος.

Ὡς ἔγωγε πολλὰ διασκεψάμενος πρὸς ἑαυτὸν τῇ φιλοπραγμοσύνῃ τοῦ Υἱοῦ, καὶ πανταχόθεν τὴν

λόγον εὐθύνας, καὶ ζητῶν εἰκόνα τινὰ τοῦ τοσούτου πράγματος οὐκ ἔσχον ᾧτινι χρὴ τῶν κάτω τὴν θείαν φύσιν παραβαλεῖν. Κἂν γὰρ μικρά τις ὁμοίωσις εὑρεθῇ, φεύγει τὸ πλεῖον ἀφέν με κάτω μετὰ τοῦ ὑποδείγματος. Ὀφθαλμόν τινα, καὶ πηγὴν, καὶ ποταμὸν ἐννόησα, μὴ τῷ μὲν ὁ Πατὴρ, τῇ δὲ ὁ Υἱὸς, τῷ δὲ τὸ Πνεῦμα τὸ ἅγιον ἀναλόγως ἔχῃ. Ταῦτα γὰρ οὔτε χρόνος διέστηκεν, οὔτε ἀλλήλων ἀπέῤῥηκται τῇ συνεχείᾳ, καὶ δοκεῖ πως τρισὶν ἰδιότησι τέμνεσθαι. Ἀλλ' ἔδεισα πρῶτον μὲν ῥύσιν τινὰ θεότητος παραδέξασθαι στάσιν οὐκ ἔχουσαν· δεύτερον δὲ μὴ τὸ ἓν τῷ ἀριθμῷ διὰ τῆς εἰκασίας εἰσάγηται. Ὀφθαλμὸς γὰρ, καὶ πηγὴ, καὶ ποταμὸς ἕν ἐστιν ἀριθμῷ διαφόρως σχηματιζόμενα. Πάλιν ἥλιον ἐνεθυμήθην, καὶ ἀκτῖνα, καὶ φῶς. Ἀλλὰ κἀνταῦθα δέος, πρῶτον μὲν μὴ σύνθεσίς τις ἐπινοῆται τῆς ἀσυνθέτου φύσεως, ὥσπερ ἡλίου, καὶ τῶν ἐν ἡλίῳ· δεύτερον δὲ μὴ τὸν Πατέρα οὐσιώσωμεν, τἄλλα δὲ μὴ ὑποστήσωμεν, ἀλλὰ δυνάμεις Θεοῦ ποιήσωμεν ἐνυπαρχούσας, οὐχ ὑφεστώσας. Οὔτε γὰρ ἀκτὶς, οὔτε φῶς ἄλλος ἥλιος, ἀλλ' ἡλιακαί τινες ἀπόῤῥοιαι, καὶ ποιότητες οὐσιώδεις, καὶ ἅμα τὸ εἶναι, καὶ τὸ μὴ εἶναι, τῷ Θεῷ δῶμεν ἐν τούτοις ὅσον ἐκ τοῦ ὑποδείγματος, ὃ τῶν εἰρημένων ἀτοπώτερον.

A dirigens aliquam tantæ rei similitudinem indagarem, nihil eorum quæ infra sunt posita, inveni, cui merito posset divina natura comparari; licet enim aliquid ei in aliqua parte simile videatur, majori tamen ex parte dissimile est, meque simul cum ipso exemplo deorsum trahit. Considerabam oculum (sic enim appello fontis caput) et fontem, et fluvium, cogitabamque num primo Pater, alteri Filius, tertio Spiritus proportione responderet. Quandoquidem hæc nec tempore distant, nec continuum ac mutuum inter se nexum dirimunt, et tribus quodammodo videntur distingui proprietatibus. Sed ille me timor incessit, primum ne quemdam divinitatis fluxum admitterem nullam in se firmitatem continentem; deinde, ne unum nu- B mero introducerem. Oculus enim et fluvius unum numero cum sint, figuram diversam retinent. Rursum consideravi solem, radium et lucem. Verum et hic obortus est metus, primum, ne, ut solis et eorum, quæ sunt in sole, sic incompositæ illius naturæ compositio esse aliqua videretur. Deinde ne Patris essentia constituta, Filium et Spiritum non subsistentes arbitraremur, sed Dei suspicaremur esse facultates, quæ non subsisterent, sed inhærerent. Neque enim radius et lux est alius sol, sed a sole quidam veluti manantes rivi, et quædam illius essentiæ qualitates. Præterea verebar, ne, quod iis, quæ dicta sunt, absurdius est, Deo per hoc exemplum simul et esse, et non esse tribueremus.

Ἔτι περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος διακεκριμένη ἅμα καὶ ἡνωμένη θεολογία τοῦ Νύσσης ἐκ τοῦ πρὸς Ἀβλάβιον λόγου.

C Ὁμολογοῦντες Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱὸν, Θεὸν τὸ Πνεῦμα τὸ ἅγιον, πῶς οὐ λέγομεν τρεῖς θεοὺς, ἀλλ' ἕνα Θεόν; Κατὰ μὲν τὸν πρόχειρον λόγον, ἵνα μὴ πολυθεΐαν Ἑλληνικὴν εἰσαγάγωμεν· κατὰ δὲ τὸν χαριέστερον, ἐπεὶ τὸ Θεοῦ ὄνομα ἐνεργείας ἐστὶ δηλωτικόν. Παρὰ γὰρ τὸ θέειν πανταχοῦ ἢ θεᾶσθαι πάντα, ἢ αἴθειν τὴν μοχθηρίαν ἠτυμολόγηται. Καθὸ μὲν ἕκαστον πρόσωπον ἀπηρτισμένην ἔχει τὴν τοιαύτην ἐνέργειαν, ἀπηρτισμένον ἕξει πάντως καὶ τὸ δηλωτικὸν αὐτῆς ὄνομα, καὶ κυρίως ἔσται, καὶ κληθείη Θεός· καθὸ δὲ μία καὶ ἀπαράλλακτος ἐν τοῖς τρισὶν ἡ εἰρημένη ἐνέργεια, μία καὶ ἡ θεότης, καὶ εἷς Θεὸς ἐν τρισὶν ὑποστάσεσι. Καὶ πῶς Πέτρος, καὶ Παῦλος, καὶ Ἰωάννης τρεῖς ὑποστάσεις ὄντες λέγονται καὶ τρεῖς ἄνθρωποι; Πρῶτα μὲν καὶ οὗτοι καταχρηστικῶς τρεῖς ἄνθρωποι ὀνομάζονται· καὶ γὰρ ἄνθρωπος, καὶ ἀνθρωπότης τὸ καθόλου καὶ περιεκτικὸν τῶν κατὰ μέρος σημαίνουσιν· ἔπειτα τὸ τοιοῦτον ὄνομα φύσεώς ἐστι δηλωτικόν. Ἐπὶ δὲ τῆς ἀκτίστου Τριάδος οὐκ ἔστιν εὑρεῖν ὄνομα δηλοῦν τὴν φύσιν αὐτῆς. Καὶ διατί Θεὸν λέγοντες ἕκαστον τῶν τριῶν, μὴ καὶ θεότητα λέγωμεν ἕκαστον αὐτῶν; Διότι καθάπερ ἄνθρωπος, καὶ ἀνθρωπότης, εἰ καὶ τὸ καθόλου σημαίνουσιν ὁμοίως, ὅμως οὐχ ὁμοίως λέγονται κατὰ τῶν ὑποκειμένων· ὁ Σωκράτης γὰρ ἄνθρωπος μὲν ἂν ῥηθείη, ἀνθρωπότης δὲ οὐδαμῶς· οὕτω καὶ Θεὸς, καὶ θεότης. Θεὸς μὲν γὰρ ἐνεργοῦντα δηλοῖ, θεότης δὲ ἐνέργειαν. Οὐδὲν δὲ τῶν τριῶν ἐνέργεια, ἀλλὰ μᾶλ-

Item de Patris, et Filii, et Spiritus sancto distincta simul et unita divinitatis ratione Gregorii Nyssæ pontificis ex oratione contra Ablavium.

Cum et Patrem Deum, et Filium Deum, et Spiritum sanctum Deum esse fateamur, cur non dicimus tres deos, sed unum Deum? Primum, ut quod in promptu est, respondeamus, ne multiplicem deorum turbam a Græcis confictam introducamus. Deinde, si quid elegantius magisque reconditum dicendum est, quoniam nomen hoc, Deus, actionem significat; a verbo enim θέειν deductum est, quod passim currat; vel a verbo θεᾶσθαι, quod cernat omnia; vel a verbo αἴθειν, quod improbitatem exurat ac perdat. Quemadmodum igitur unaquæque persona talem actionem perfectam habet, sic nomen actionem illam significans obtinet, ut et sit et appelletur Deus. Rursus quemadmodum una D atque incommutabilis in tribus est actio, sic etiam est una divinitas, et unus Deus in tribus personis. At enim, inquies, Petrus, et Paulus, et Joannes, tres personæ cum sint, dicuntur etiam tres homines. Respondeo, primum nos et hic abuti hominis vocabulo, cum eos tres homines appellamus. Siquidem homo et humanitas universum quiddam significant, quod singularia complectatur. Deinde illud adjungo, nomen hoc rei naturam explicare. In Trinitate vero, quæ creata non est, nullum inveniri nomen, quod ejus naturam declaret. At cur, cum personas singulas appellemus Deum, non etiam earum singulas divinitatem appellamus? Quoniam quemadmodum licet homo et humanitas pariter de universis dicantur, non tamen æque dicuntur de

singulis : Socrates enim homo dici potest, humanitas autem nequaquam potest; sic etiam Deus et divinitas habent. Deus enim agentem significat, divinitas autem actionem. Trium vero personarum nulla est, quæ sit actio, sed agens potius est unaquæque illarum. Dicimus tamen divinitatem Patris, et divinitatem Filii, et divinitatem sancti Spiritus, sicut humanitatem Socratis, et essentiam, et naturam, et si quid aliud est personis commune.

A λὸν ἐνεργοῦν ἕκαστον αὐτῶν. Θεότητα δὲ Πατρὸς λέγομεν, καὶ θεότητα Υἱοῦ, καὶ θεότητα ἁγίου Πνεύματος, ὡς καὶ ἀνθρωπότητα Σωκράτους, καὶ οὐσίαν, καὶ φύσιν, καὶ εἴ τι κοινὸν τῶν ὑποστάσεων.

Ejusdem ex oratione ad Evagrium monachum de Divinitate.

Quemadmodum inter cogitationem et mentem, et animum nulla divisio, aut sectio potest inveniri, sic nulla inter sanctum Spiritum, et Filium et Patrem sectio aut divisio cogitari potest. Intelligibilium enim divinarumque rerum natura est indivisibilis.

Τοῦ αὐτοῦ ἐκ τοῦ λόγου τοῦ πρὸς Εὐάγριον μοναχὸν περὶ Θεότητος.

Ὥσπερ οὐκ ἔστι μεταξὺ ἐνθυμήσεως, καὶ νοῦ, καὶ ψυχῆς διαίρεσιν ἐπινοηθῆναί τινα καὶ τομὴν, οὕτως οὐδὲ τοῦ ἁγίου Πνεύματος, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Πατρὸς ἐν μέσῳ τομὴν ἢ διαίρεσιν ἐπινοηθῆναί ποτε. Τῶν γὰρ νοητῶν καὶ θείων ἀδιαίρετος ἡ
B φύσις.

Ex eadem oratione.

Sicut in solis splendore radii naturali quodam habitu ita conjuncti sunt ut dividi inter se nequeant, nec ab ipsa luce separari, sed luminis gratiam ad nos usque deferunt : sic Filius, et Spiritus sanctus, tanquam gemini Patris radii, et cum ipso conjuncti sunt Patre, et ad nos usque veritatis demittunt lumen. Et quemadmodum ab uno aliquo aquarum fonte bina flumina decurrunt, et cum situ quidem fluenta dividant sua, unam tamen, et eamdem humoris obtinent qualitatem, et neque disjunguntur a fonte, et inter se per ipsum conjuncti sunt, et propria tamen utrumque ratione defluit : eodem modo et prima illa causa, nempe Pater, et vitæ fons duplicem quamdam Filii, et sancti Spiritus in nos gratiam emittit, nec ipse quidquam essentiæ suæ damni facit : nulla enim propter eorum ad nos perfectionem illius sequitur imminutio : et hi cum ad nos usque perveniant, non tamen a Patre separantur.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ὥσπερ αἱ τοῦ ἡλιακοῦ φωτὸς ἀκτῖνες ἀμέριστον ἔχουσαι κατὰ φύσιν τὴν πρὸς ἄλληλα σχέσιν οὔτε τοῦ φωτὸς χωρίζονται, οὔτε ἀλλήλων ἀποτέμνονται, καὶ μέχρις ἡμῶν τὴν χάριν τοῦ φωτὸς ἀποστέλλουσι· τὸν αὐτὸν τρόπον καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἡ δίδυμος τοῦ Πατρὸς ἀκτὶς, καὶ μέχρις ἡμῶν διακονοῦσι τὸ φῶς τῆς ἀληθείας, καὶ τῷ Πατρὶ συνήνωνται. Καὶ ὃν τρόπον ἀπό τινος ὑδάτων πηγῆς δύο ποταμοὶ ῥέουσι, καὶ τῇ μὲν θέσει διῄρηνται τὰ ῥεῖθρα, τὴν δὲ τοῦ χυμοῦ ποιότητα μίαν καὶ τὴν αὐτὴν κέκτηνται, καὶ οὔτε τῆς πηγῆς ἀποτέμνονται, καὶ δι' αὐτῆς ἀλλήλοις ἥνωνται, κἂν ἰδιαζόντως ἕκα-
C στος ῥεῖ· τὸν αὐτὸν τρόπον καὶ τὸ πρῶτον αἴτιον ὁ Πατὴρ, ἡ πηγὴ τῆς ζωῆς, δίῤῥυτόν τινα τοῦ τε Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος εἰς ἡμᾶς ἀποστείλας χάριν, οὔτ' αὐτός τι πέπονθεν εἰς τὴν οὐσίαν βλαβείς· οὐ γὰρ μείωσιν ὑπέστη τινὰ διὰ τὴν εἰς ἡμᾶς ἐκείνων ἄφιξιν· καὶ οὗτοι μέχρις ἡμῶν προεχώρησαν, καὶ τοῦ Πατρὸς οὐδὲν ἧττον ἀχώριστοι καθεστήκασιν.

Item de Patre, et Filio, et Spiritu sancto distincta simul et unita divinitatis ratio. S. Cyrilli expositio fidei.

Credimus in unum Deum Patrem, qui nec principium habet, nec genitus est, et semper fuit Pater, nec postea id assecutus est. Neque enim fuit unquam, cum non esset, sed ex omni æternitate Pater est. Neque prius factus est Filius, deinde Pater qualis est in corporibus ordo, sed ex quo est, semper autem est, Pater et est et appellatur.

Credimus et in unum Filium Genitori coæternum, qui nunquam cœpit esse, sed semper est, et cum Patre est. Ex quo enim est Pater, semper autem est, ex eo et Filius est. Hæc enim tam nomina, quam ipsæ res ita copulantur inter se, ut separari non possint. Quod si Filius non semper fuit, sed fuit aliquando cum non esset, nec Pater fuit semper; ex quo enim generavit, hoc habet nomen. Sin autem semper est Pater Deus (nefas enim est, temporis auctorem ipsi tempori subjicere, et temporis spatio posteriorem pronuntiare generationem illam,

Ἔτι περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος διακεκριμένη ἅμα καὶ ἡνωμένη θεολογία τοῦ ἁγίου Κυρίλλου ἔκθεσις πίστεως.

Πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα, ἄναρχον, καὶ ἀγέννητον, ἀεὶ ὄντα Πατέρα, οὐχ ὕστερον τοῦτο κτησάμενον. Οὐ γὰρ ἦν ὅτε οὐκ ἦν, ἀλλ' ἄνωθεν ἦν
D Πατήρ. Οὐδὲ γέγονε πρῶτον Υἱὸς, εἶτα Πατὴρ κατὰ τὴν τῶν σωμάτων ἀκολουθίαν, ἀλλ' ἀφ' οὗπέρ ἐστιν. Ἀεὶ δὲ ἐστι Πατὴρ, καὶ ἔστι καὶ καλεῖται.

Πιστεύομεν καὶ εἰς ἕνα Υἱὸν συναΐδιον τῷ γεννήσαντι, οὐκ ἀρχὴν τοῦ εἶναι λαβόντα, ἀλλ' ἀεὶ ὄντα, καὶ σὺν Πατρὶ ὄντα. Ἀεὶ δὲ Πατὴρ, ἐξ ἐκείνου Υἱός. Ἀχωρίστως γὰρ ἔχει ταῦτα πρὸς ἄλληλα τά τε ὀνόματα καὶ τὰ πράγματα. Εἰ δὲ οὐκ ἀεὶ Υἱὸς, ἀλλ' ἦν ὅτε οὐκ ἦν, οὐδὲ ἀεὶ ὁ Πατήρ. Ἀφ' οὗ γὰρ ἐγέννησε, τοῦτο ἔχει τὸ ὄνομα. Εἰ δὲ ἀεὶ Πατὴρ ὁ Θεός· βλάσφημον γὰρ τῳόντι ὑπὸ χρόνους ποιῆσαι τὸν τῶν χρόνων ποιητὴν, καὶ χρονικοῦ διαστήματος ἀποφῆναι δευτέραν τὴν ἄχρονον καὶ ὑπέρχρονον γέννησιν· ἀεὶ ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς ἀῤῥήτως γεννηθεὶς,

μετὰ τοῦ Πατρὸς δὲ ἀεὶ ὤν, καὶ σὺν τῷ Πατρὶ γνω- A ριζόμενος.

« Ἐν ἀρχῇ, » φησίν, « ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. » Ὁ δὲ ἐν ἀρχῇ ὢν πότε οὐκ ἦν; Οὔτε γὰρ εἶπεν, Ἐν ἀρχῇ ἐγένετο, ἀλλ', Ἐν ἀρχῇ ἦν. Ἐὰν φιλονεικήσωμεν τοῖς λογισμοῖς ὑπερβῆναι τὸ ἦν, οὐ δυνησόμεθα ἐπέκεινα γενέσθαι τῆς ἀρχῆς. Πάντα δεύτερα τοῦ ἐν ἀρχῇ ὄντος, καὶ πρὸς τὸν Θεὸν ὄντος, καὶ χρόνος, καὶ αἰών, καὶ εἴ τι ἂν ἕτερον χρονικὸν ἐπινοηθείη διάστημα. Εἰ δὲ οὐκ ἀεὶ τῷ Θεῷ καὶ Πατρὶ συνῆν ὁ Υἱός, ὕστερον δέ ποτε προσεγένετο, ἀνάγκη χρόνον καὶ αἰῶνα Πατρὶ καὶ Υἱῷ μεσιτεύειν. Εἰ δὲ τοῦτο δοίη τις, εὑρε- B θήσεται τὸ ποίημα τοῦ ποιητοῦ προϋπάρχον. « Πάντα γάρ, » φησὶν ὁ Εὐαγγελιστής, « διὰ τοῦ Υἱοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ γέγονεν οὐδὲ ἕν. » Ἓν δὲ τῶν πάντων καὶ ὁ αἰών, ἢ ὁ χρόνος. Καὶ ὁ μακάριος δὲ Παῦλος, « Ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν, » φησίν, « ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. » Εἰ δὲ τοῦ Υἱοῦ οἱ αἰῶνες ποιήματα, οὐ προϋπάρχουσι τοῦ ποιήσαντος. Αἰώνων δὲ μὴ προϋπαρχόντων, εὔδηλον ὡς οὐδὲ ὁ χρόνος, ὃν ἡμέραι τε καὶ νύκτες ποιοῦσι καὶ μετροῦσιν. Ἡμέρας δὲ καὶ νύκτας ἡ τοῦ φωτὸς ἀνατολὴ καὶ δύσις ἐργάζεται. Τὸ δὲ φῶς μετὰ τὸν οὐρανόν, καὶ τὴν γῆν, καὶ τὸν ἀέρα ἐγένετο. Ταῦτα δὲ πάντα, καὶ τὰ ἐν τού- C τοις ὁ Θεὸς Λόγος εὐδοκίᾳ τοῦ Πατρὸς ἐδημιούργησε.

Τῶν χρόνων τοίνυν, καὶ τῶν αἰώνων μετὰ τῶν ἄλλων ἁπάντων ὑπὸ τοῦ Λόγου ποιηθέντων, οὐδὲν ἂν εἴη μεταξὺ Πατρὸς καὶ Υἱοῦ, ἀλλ' ἀεὶ μὲν Πατὴρ ὁ Θεός, ἀεὶ δὲ ὁ Υἱὸς σὺν Πατρί. Διὸ καὶ ὁ Εὐαγγελιστὴς βοᾷ, « Ἐν ἀρχῇ ἦν ὁ Λόγος. » Καὶ ὁ ἀπόστολος Παῦλός φησιν, « Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως· » καὶ ἑτέρωθι, « Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. » Καὶ οὔτε ἐκεῖνος τὸ ἦν, οὔτε οὗτος τὸ ὤν, ἢ ὑπάρχων ἐᾷ, ἐπειδὴ τὸν ἀεὶ ὄντα κηρύττουσιν, οὗ χάριν καὶ μετ' ὀλίγα ὁ Εὐαγγελιστής, « Ζωὴ ἦν, » φησί, « καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων· » καὶ αὖθις, « Ἦν τὸ φῶς τὸ D ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. » Καὶ πάλιν, « Ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός· » καὶ ἐν τῇ Ἐπιστολῇ, « Ὃς ἦν, » φησίν, « ἀπ' ἀρχῆς. » Οὕτω θεολογεῖν ὑπὸ τοῦ θείου Πνεύματος τὸν μονογενῆ τοῦ Θεοῦ Λόγον ἐδιδάχθησαν οἱ ἀπ' ἀρχῆς αὐτόπται, καὶ ὑπηρέται τοῦ Λόγου γενόμενοι. Διὸ οὐ συνηρίθμησαν τῇ κτίσει τὸν κτίσαντα· οὐ συνέταξαν τὸν ποιητὴν τοῖς ποιήμασιν· οὐδαμοῦ κτίσμα τὸ γνήσιον τοῦ Θεοῦ προσηγόρευσαν γέννημα· οὐδαμοῦ « τὸ ἐγένετο » συνέζευξαν τῇ θεότητι. Ἀλλ' οὗτος μέν, « Ἐν

A quæ sine tempore est, et superat omne tempus), semper est Filius. Ex Patre quidem ea ratione genitus, quæ verbis explicari non potest, cum Patre semper est, et una cum Patre cognoscitur.

« In principio, inquit, erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum. Hoc erat in principio apud Deum [48]. » Quod autem in principio est, quando non est? Neque enim dixit: In principio factus est; sed: In principio erat. Si ratione conemur superare illud, *erat*: tunc esse non poterimus in principio. Omnia posteriora sunt illo, qui est in principio, et apud Deum est, et tempus, et ævum, et si quod cogitari potest temporis spatium. Quod si non fuit semper cum Deo et Patre B Filius, sed postea factus est, necessarium erit, ut tempus et ævum aut aliquod spatium inter Patrem et Filium intercedat. At si id concesseris, ea quæ facta sunt, effectore priora esse reperientur: « Omnia enim, » inquit Evangelista, « per Filium facta sunt, et sine ipso ne unum quidem factum est [49]. » Unum autem ex omnibus est ævum et tempus. Et beatus Apostolus: « Novissimis, inquit, diebus locutus est nobis in Filio, quem constituit hæredem omnium, per quem fecit et sæcula [50]. » Quare si sæcula sunt opera Filii, non sunt ante effectorem suum. Quod si sæcula non sunt ante, ne tempus quidem illud, quod dies et noctes efficiunt atque metiuntur. Nam dies et noctes lucis exortu occasuque fiunt. Lux vero post cœlum et terram et aera fa- C cta est; quæ quidem omnia Deus Verbum voluntate Patris fabricatus est.

Quamobrem cum tempora et sæcula cum reliquis omnibus rebus a Deo Verbo facta sunt, nihil erit medium inter Patrem et Filium; sed semper Deus Pater, et semper cum Patre Filius. Itaque: « In principio, clamat Evangelista [51], erat Verbum. » Et Paulus apostolus: « Qui cum sit, inquit, splendor gloriæ, et figura substantiæ [52]. Et alibi: « Qui cum in forma, inquit, Dei esset, non rapinam arbitratus est, esse se æqualem Deo [53]. » Voces illæ: *Erat*, *sit*, *esset*, illum semper esse declarant. Quocirca paulo post ait Evangelista: « Vita erat, et vita erat lux hominum [54]. » Et rursum: D « Erat lux vera, quæ illuminat omnem hominem venientem in mundum. » Et rursum: « Unigenitus Filius qui est in sinu Patris [55]. » Et in Epistolis: « Qui erat, » inquit, « ab initio [56]. » Ita de unigenito Dei Verbo philosophari a divino Spiritu edocti sunt illi, qui ab initio Verbi fuerunt inspectores et ministri. Quapropter non in eorum, quæ creata sunt numero, creatorem ipsorum, nec in eorum numero, quæ facta sunt, ipsorum effectorem constituerunt, nec germanum Dei Filium ullo modo creatum appellaverunt. Nec voces illas: *Factum est* cum divinitate coniunxerunt. Sed has: « In

[48] Joan. i, 2. [49] Ibid. 3. [50] Hebr. i, 2. [51] Joan. i, 1 [52] Hebr. i, 3. [53] Philip. ii, 6. [54] Joan. iv, 4. [55] Ibid. 9. [56] Joan i, 8.

principio erat Verbum. » Et illas : « Qui cum esset splendor gloriæ, et figura substantiæ [57], » non autem has : « Qui cum in forma Dei esset [58], » et alibi : « Qui est imago Dei invisibilis [59]. » Non dixit : *Qui factus est imago Dei invisibilis*, sed, *qui est*.

Atque ita Divinitatis rationi passim conjunctum est illud : *erat*, et illud *cum sit*, et illud : *cum esset*, et illud, *est*. Quin etiam ipse Deus cum magno Mose loquens ita se appellavit : « Ego, » inquiens, « sum qui sum [60]. » Et rursum : « Hæc, » inquit, « dices filiis Israel : Qui est, misit me ad vos [61]. » Hæc autem esse Filii verba concedunt etiam impietatis exsecrandæ propugnatores, qui Patrem quidem inseparabilem statuunt, sed medium inter Patrem et res creatas Filium locant, eumque patriarchis et prophetis apparuisse et locutum esse dicunt. Sed ipse Deus Verbum per Jeremiam verbis id nos perspicue docet, cum ait : « In diebus illis et in tempore illo feriam domui Israel et domui Juda testamentum novum, non secundum testamentum, quod tuli patribus eorum in die, qua apprehendi manum eorum, ut educerem eos de terra Ægypti [62]. » Quæramus igitur, quis testamentum nobis hoc novum dederit. Nonne constat id nobis Dominum Christum attulisse ? Ipse enim in sanctis Evangeliis clamat : « Dictum est antiquis : Non occides. Ego autem dico vobis : Omnis qui temere irascitur fratri suo, reus erit judicii. Dictum est antiquis : Non pejerabis. Ego autem dico vobis : Ne juretis omnino [63]. » Et alia horum similia præscribit, his utens verbis : « Dictum est antiquis, » id ego autem hæc dico : sic autem impero, non ut istas jam leges evertam et abrogem, sed ut eas stabiliam atque confirmem, et qua ratione observandæ sint, doceam. Novum ergo testamentum tribuit nobis Dominus Christus ; qui autem hoc tribuit, is vetus etiam dedit Israeli post ejus liberationem ex Ægypto. Qui vero illud dedit, et populum ab Ægyptiaca servitute liberavit, ipse nimirum Mosem ad Pharaonem misit, ipse dixit : « Hæc dices filiis Israel : Qui est, misit me ad vos. » Hoc autem et alibi Jeremias planum facit : « Hic, » inquiens, « Deus noster, et non comparabitur alter cum eo. Invenit omnem viam scientiæ, et dedit illam Jacob puero suo, et Israeli dilecto suo. Post hæc in terra visus est, et cum hominibus conversatus [64]. »

Ab eo quod posterius est incipientes, propheticum sensum investigabimus. Ecquis ille, qui in terra visus est, et cum hominibus est versatus? Deus profecto Verbum, ut omnibus mente quidem præditis patet, qui naturam nostram assumpsit,

A ἀρχῇ ἦν ὁ Λόγος, » οὐχ, Ἐν ἀρχῇ ἐγένετο ὁ Λόγος· ἐκεῖνος δὲ, « Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως· » καὶ πάλιν, « Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐ μορφὴ Θεοῦ γενόμενος, ἀλλ' ὑπάρχων ἐν μορφῇ Θεοῦ. » Καὶ ἑτέρωθι, « Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου. » Οὐχ εἶπεν, Ὃς ἐγένετο εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, ἀλλ', Ὅς ἐστιν.

Οὕτω πανταχοῦ τῇ θεολογίᾳ συνέζευκται τὸ ἦν, καὶ τὸ ὤν, καὶ τὸ ὑπάρχων, καὶ τὸ ἔστιν. Οὕτως ἑαυτὸν καὶ τῷ μεγάλῳ Μωϋσῇ διαλεγόμενος προσηγόρευσεν, « Ἐγώ εἰμι ὁ ὤν. » Καὶ πάλιν, « Τάδε ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ· « Ὁ ὢν ἀπέσταλκέ με πρὸς ὑμᾶς. » Ὅτι δὲ τοῦ Υἱοῦ ταῦτα τὰ ῥήματα μαρτυροῦσι μὲν καὶ αὐτοὶ τῆς βλασφημίας οἱ πρόμαχοι, B ἀχώρητον μὲν τὸν Πατέρα λέγοντες, μεσίτην δὲ τοῦ Πατρὸς καὶ τῆς κτίσεως τὸν Υἱὸν ἀποκαλοῦντες, καὶ φάσκοντες αὐτὸν τοῖς πατριάρχαις τε καὶ τοῖς προφήταις ὀφθῆναί τε καὶ διαλεχθῆναι. Σαφῶς δὲ ἡμᾶς αὐτὸς ὁ Θεὸς Λόγος διδάσκει διὰ Ἱερεμίου τοῦ προφήτου λέγων, « Ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἐν τῷ καιρῷ ἐκείνῳ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα Διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. » Ζητήσωμεν τοίνυν τίς τὴν καινὴν ἡμῖν Διαθήκην· ἢ δῆλον ἅπασιν ὡς ὁ Δεσπότης Χριστὸς ταύτης ἐστὶ χορηγός; Αὐτὸς γὰρ ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις βοᾷ· « Ἐῤῥέθη C τοῖς ἀρχαίοις, Οὐ φονεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν, Πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ ἔνοχος ἔσται τῇ κρίσει. Ἐῤῥέθη τοῖς ἀρχαίοις, Οὐκ ἐπιορκήσεις, ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως. » Καὶ τἄλλα δὲ ὁμοίως τίθησιν, ὅτι ἐῤῥέθη μὲν τόδε, ἐγὼ δὲ τοῦτο τοιῶσδε νομοθετῶ, οὐκ ἀνατρέπων τὸν κείμενον νόμον, ἀλλ' ἀκριβεστέραν τὴν νουθεσίαν ποιῶν, καὶ τῆς φυλακῆς τὸν τρόπον διδάσκων. Τὴν νέαν τοίνυν ἡμῖν Διαθήκην ὁ Δεσπότης δέδωκε Χριστός. Ὁ δὲ ταύτην παρεσχηκὼς, καὶ τὴν παλαιὰν μετὰ τὴν τῆς Αἰγύπτου ἀπαλλαγὴν δέδωκε τῷ Ἰσραήλ. Ὁ δεδωκὼς δὲ ἐκείνην, καὶ τῆς Αἰγυπτιακῆς ἀπαλλάξας δουλείας, αὐτὸς ἀπέστειλε δηλονότι πρὸς Φαραὼ τὸν Μωϋσέα· αὐτὸς εἶπε, « Τάδε ἐρεῖς τοῖς υἱοῖς Ἰσραὴλ, Ὁ ὢν ἀπέσταλκέ με πρὸς ὑμᾶς. » D Τοῦτο δὲ καὶ ἑτέρωθι Ἱερεμίας ὁ προφήτης σαφὲς ποιεῖ. « Οὗτος γὰρ, » φησὶν, « ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. Μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. »

Κάτωθεν τοίνυν ἀρξάμενοι τὴν προφητικὴν ἔννοιαν ἐρευνήσωμεν. Τίς ὁ ἐπὶ τῆς γῆς ὀφθεὶς, καὶ τοῖς ἀνθρώποις συναναστραφείς; Εὔδηλον πᾶσιν, ὡς οἶμαι, τοῖς γε νοῦν ἔχουσιν ὁ Θεὸς Λόγος, τὴν ἡμετέραν φύσιν ἀναλαβὼν, ὁ μὴ ἁρπαγμὸν

[57] Hebr. I, 3. [58] Philip. II, 6. [59] Col. I, 15. [60] Exod. III, 14. [61] Ibid. 15. [62] Jer. XXXI, 31. [63] Matth. V, 12. [64] Bar. III, 36-38.

ἡγησάμενος τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν κενώσας· καὶ μορφὴν δούλου λαβών. Οὗτος τοίνυν τὴν ὁδὸν τῆς ἐπιστήμης ἔδωκεν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ, τὸν παλαιὸν διαγορεύσας ἐν τῇ ἐρήμῳ διὰ Μωϋσέως νόμον. Ὁ δὲ ἐκεῖνον δεδωκὼς τὸν νόμον τῷ Μωϋσῇ διαλεγόμενος ἔφη· « Τάδε ἐρεῖς τοῖς υἱοῖς Ἰσραὴλ, Ὁ ὢν ἀπέσταλκέ με πρὸς ὑμᾶς. » Διὸ καὶ ὁ προφήτης ἐβόα· « Οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτὸν, » μαρτυρῶν αὐτῷ οὐ τὸ ἔλαττον, ἀλλὰ τὸ ἀσύγκριτον. Ὁρᾶτε πῶς ἔοικε τοῖς εὐαγγελικοῖς διδάγμασι τὰ προφητικὰ κηρύγματα; Μωϋσῆς κηρύττει τὸ ὤν, μᾶλλον δὲ αὐτὸς ὁ Θεὸς Λόγος περὶ αὐτοῦ λέγει τὸ ὤν. Προστίθησι δὲ καὶ τὸ ὑπάρχων ταυτὸν δυνάμενον τῷ ὤν. Λέγει καὶ τὸ ἔστιν ἰσοδυναμοῦν ἐκείνοις κατὰ τὴν ἔννοιαν. Ὡσαύτως δὲ καὶ Ἰωάννης ὁ Θεολόγος πολλαχοῦ τὸ ὢν τῇ τῶν Εὐαγγελίων ἐνσπείρει πραγματείᾳ. Καὶ αὐτὸ δὲ τὸ προοίμιον ταύταις ταῖς φωναῖς ἀγλαΐζει οὐχ ἅπαξ, οὐδὲ δὶς, οὐδὲ τρὶς, ἀλλὰ πολλάκις ἀνακηρύττων τὸ ἦν. « Ἐν ἀρχῇ γὰρ, φησὶν, ἦν. Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος. » Πιστεύομεν καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ εὐθὲς, τὸ ἡγεμονικὸν, τὸ ἀγαθὸν, τὸ παράκλητον, τὸ ἐκ Θεοῦ προελθὸν, οὐ γεννηθέν· εἷς γὰρ μονογενής· οὔτε μὴν κτισθέν. Οὐδαμοῦ γὰρ εὑρίσκομεν ἐν τῇ θείᾳ Γραφῇ τῇ κτίσει συναριθμούμενον, ἀλλὰ Πατρὶ καὶ Υἱῷ συντασσόμενον. Ἐκπορευόμενον δὲ αὐτὸ ἐκ τοῦ Πατρὸς ἠκούσαμεν, καὶ οὐ πολυπραγμονοῦμεν πῶς ἐκπορεύεται, ἀλλὰ στέργομεν τοῖς τεθεῖσιν ἡμῖν ὅροις ὑπὸ τῶν θεολόγων καὶ μακαρίων ἀνδρῶν.

« nec rapinam arbitratus est esse se æqualem Deo, sed seipsum exinanivit, formam servi accipiens. » Hic utique viam scientiæ demonstravit Jacob puero suo, et Israeli dilecto suo, dum antiquam per Mosem in solitudine legem tulit. At illam qui tulit, idem Mosi loquens : « Hæc, » inquit, « dices filiis Israel : Qui est, misit me ad vos. » Proinde sic etiam clamabat propheta : « Hic Deus noster, et non comparabitur alter cum illo. » Quibus verbis eum esse talem testatur, non qui minor sit, sed cui nullus comparetur. Cernitis, quomodo evangelicæ doctrinæ congruant prophetica testimonia ? Moses prædicat : « Qui est. » Imo vero ipse Deus Verbum de se ipso dicit : Qui est. Paulus sæpe dicit illud : ὤν, nempe qui est. Addit etiam illud : ὑπάρχων, quod idem valet. Dicit etiam illud : ἔστι, quod superioribus vocibus æqualem vim habet. Easdem voces Joannes ille Theologus cum spargit atque disseminat in tota Evangeliorum historia, tum ipsum procemium illis potissimum illustrat. Neque enim semel, aut bis, aut ter, sed sæpius pronuntiat illud : *erat*, « In principio, » inquiens, « erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum, hoc erat in principio apud Deum. » Credimus et in Spiritum sanctum illum rectum, principem, bonum, consolatorem, ex Deo procedentem, non genitum : unus enim est Unigenitus. Non creatum, nusquam enim in divina Scriptura invenimus, eum in rerum creatarum numero positum, sed ordine cum Patre et Filio constitutum. Audivimus item illum a Patre procedere. Quomodo autem procedat, curiosius vestigando non laboramus. Sed intra terminos nobis theologis, et beatis viris præscriptos acquiescimus.

Ἐδιδάχθημεν γὰρ καὶ ὑπ' αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς Τριάδος συμπληρωτικὸν τὸ Πνεῦμα τὸ ἅγιον. « Πορευθέντες γὰρ, » φησὶ, « μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. » Τῷ Πατρὶ καὶ Υἱῷ συναριθμούμενον τῆς κτίσεως ἁπάσης ἐστὶν ὑπέρτερον· διὸ καὶ ὁ μακάριος Παῦλος μετὰ Πατρὸς αὐτὸ καὶ Υἱοῦ κηρύττων διατελεῖ. « Ἡ χάρις γὰρ, φησὶ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος μετὰ πάντων ὑμῶν· » καὶ πάλιν, « Διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ αὐτὸ δὲ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτός ἐστι Θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι. » Κηρύττων δὲ αὐτοῦ τὴν ἐξουσίαν ἐβόα· « Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἑκάστῳ ἰδίᾳ καθὼς βούλεται. » Οὐ γὰρ κακῶς κελεύεται, ἀλλὰ καθὼς βούλεται τοῖς πιστεύουσι διανέμει τὰ δῶρα. Δι' αὐτοῦ γὰρ τῶν ἁμαρτημάτων τὴν ἀπαλλαγὴν ἐλάβομεν· δι' αὐτοῦ τῆς ἐλευθερίας τυγχάνομεν· δι' αὐτοῦ τοῦ τῆς υἱοθεσίας χαρίσματος ἀπολαύομεν. « Οὐ γὰρ ἐλάβομεν Πνεῦμα δουλείας, » φησὶν ὁ Παῦ-

Quin etiam ab ipso Servatore nostro Jesu Christo didicimus, a sancto Spiritu Trinitatem expleri. « Euntes, inquit, docete omnes gentes, baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti **. » Qui cum Patre et Filio connumeratur, is utique rebus creatis omnibus anteeessit. Quamobrem Paulus etiam in eo constanter manet, ut Spiritum ipsum cum Patre et Filio simul pronuntiet. « Gratia, inquit, Domini nostri Jesu Christi, et communicatio sancti Spiritus cum omnibus vobis **. » Et rursum : « Divisiones, inquit, gratiarum sunt, idem autem Spiritus ; et divisiones ministrationum sunt, idem autem Dominus ; et divisiones operationum sunt, idem autem Deus, qui operatur omnia in omnibus. » Ejus vero essentiam declarans clamabat : « Hæc autem operatur unus et idem Spiritus, dividens singulis peculiariter, prout vult. » Non enim ut jussus est, sed ut vult, credentibus dona distribuit. Nam per ipsum veniam peccatorum accepimus ; per ipsum libertatem assecuti sumus ; per ipsum adepti sumus gratiam adoptionis : « Non enim accepimus, inquit Paulus, spiritum servitutis iterum in timorem ; sed accepimus Spiritum adoptionis filiorum, in quo clamamus : Abba,

** Matth. XXVIII, 19. ** II Cor. XIII, 13.

Pater [67]. » Et: « Spiritus, inquit, vitæ liberavit me a lege peccati et mortis [68]. » Et alibi : « Dominus autem est Spiritus, ubi autem Spiritus Domini, ibi libertas. Jam qui alios liberos reddit, ipse non servit [69]. » Quomodo enim conservis dedisset, quod ipse non habet, quod assequi nequit, quo frui cupit ille quidem, sed non potest? Qui libertatem credentibus elargitur, et servientes liberos efficit, is profecto non servit, sed dominatur, et jure dominatus, quos vult, libertate donat. Quamobrem et beatus Paulus: « Hæc, inquit, omnia operatur unus atque idem Spiritus, dividens unicuique peculiariter, uti vult [70]. » Idcirco et propheta in Veteri Testamento potestatem ipsius significans clamabat : « Dominus misit me, et Spiritus ejus [71]. » Et Deus Judæos accusans : « Fecistis, inquit, consilium, sed non secundum me, et fœdera, sed non per Spiritum meum : » in quo socium imperii Spiritum sanctum esse declarat. Et alio loco : « Cur ego, inquit, vobiscum sum? Et Spiritus meus constitit in medio vestri? » At Job effectorem ipsum et principem, non autem ministrum, aut factum credens : « Spiritus, inquit, divinus fecit me, et flatus Omnipotentis edocet me [72]. » Quod si humanam naturam fabricatus est, eamdem, quam Pater et Filius, essentiam habet. Nam cum hominem faceret Deus : « Faciamus, inquit, hominem ad imaginem et similitudinem nostram [73]. » Quorum autem una est imago, eorum profecto una est etiam essentia.

A λος πάλιν, « εἰς φόβον, ἀλλ' ἐλάβομεν Πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ ὁ Πατήρ. » Καὶ ἀλλαχοῦ· « Ὁ γὰρ νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας, καὶ τοῦ θανάτου· » καὶ ἑτέρωθεν· « Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν. Οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία. » Τὸ δὲ τοὺς ἄλλους ἐλευθεροῦν οὐ δουλεύει. Πῶς γὰρ ἂν τοῖς ὁμοδούλοις μεταδοίη οὗ μὴ μετέχει, οὗ τυχεῖν οὐκ ἰσχύει, οὗ ἀπολαῦσαι βούλεται μὲν ὡς εἰκὸς, οὐ δυνάται δέ; Εἰ δὲ μεταδίδωσι τοῖς πιστεύουσιν ἐλευθερίας, καὶ ἐλευθεροῖ τοὺς δουλεύοντας, οὐ δουλεύει δηλονότι, ἀλλὰ δεσπόζει, καὶ δεσποτικῶς τὴν ἐλευθερίαν οἷς ἐθέλει χαρίζεται. Διὸ καὶ ὁ μακάριος ἔφη Παῦλος ὅτι « Ταῦτα πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἑκάστῳ ἰδίᾳ, καθὼς βούλεται. »
B Διὸ καὶ ὁ προφήτης ἐν τῇ Παλαιᾷ τὴν ἐξουσίαν αὐτοῦ κηρύττων ἐβόα· « Κύριος ἀπέσταλκέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ. » Καὶ ὁ Θεὸς τοῖς Ἰουδαίοις ἐγκαλῶν, « Ἐποιήσατε, » φησὶ, « βουλὴν, καὶ οὐ δι' ἐμοῦ, καὶ συνθήκας, καὶ οὐ διὰ τοῦ Πνεύματός μου, » κοινωνὸν τῆς δεσποτείας δεικνὺς τὸ Πνεῦμα τὸ ἅγιον· καὶ ἑτέρωθεν· « Διότι ἐγὼ, » φησὶν, « εἰμὶ μεθ' ὑμῶν, καὶ τὸ Πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν. » Καὶ ὁ Ἰὼβ δὲ, δημιουργὸν αὐτὸ καὶ δεσποτικὸν πιστεύων, ἀλλ' οὐχ ὑπουργικὸν, « Οὐ γὰρ ποίημα Πνεῦμα θεῖον, » φησὶ, « τὸ ποιῆσάν με, πνοὴ δὲ Παντοκράτορος ἡ διδάσκουσά με. » Εἰ δὲ τὴν ἀνθρωπείαν ἐδημιούργησε φύσιν, τὴν αὐτὴν οὐσίαν ἔχει Πατρὶ καὶ Υἱῷ. Ἐν γὰρ τῇ τοῦ ἀνθρώπου ποιήσει εἶπεν ὁ Θεὸς, « Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. » Ὧν δὲ ἡ εἰκὼν μία, τούτων δηλονότι καὶ ἡ οὐσία μία.

Item de Patre, et Filio, et Spiritu sancto distincta simul et unita divinitatis ratio. Sancti Maximi.

Unus Deus, unius Filii Pater : et Spiritus unius sancti fons, unitas minime confusa, et minime divisa Trinitas. Mens sine principio, solius solus per essentiam Verbi principio carentis Genitor. Et solius æternæ vitæ Spiritus sancti fons.

C *Ἔτι περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος διακεκριμένη καὶ ἡνωμένη θεολογία τοῦ ἁγίου Μαξίμου.*

Εἷς Θεὸς, ἑνὸς Υἱοῦ Πατὴρ, καὶ Πνεύματος ἑνὸς ἁγίου πηγή. Μονὰς ἀσύγχυτος, καὶ Τριὰς ἀδιαίρετος. Νοῦς ἄναρχος, μόνου μόνος, οὐσιωδῶς, ἀνάρχου Λόγου γεννήτωρ, καὶ μόνης ἀϊδίου ζωῆς Πνεύματος ἁγίου πηγή.

Ejusdem.

Unus Deus, quoniam una divinitas simplex, et sine principio, et partitionis et divisionis expers. Et tota Trinitas eadem, unitas tota secundum essentiam eadem. Et Trinitas tota secundum personas eadem. Pater, et Filius, et Spiritus sanctus ipsa Divinitas est. Et in Patre, et Filio, et Spiritu sancto est ipsa Divinitas. Tota in toto Patre ipsa est; et totus in ipsa tota Pater est. Et tota in toto Filio est ipsa; et totus in ipsa tota Filius est. Et tota in toto Spiritu sancto est ipsa. Et totus in ipsa tota est Spiritus sanctus. Non enim ex parte Divinitas est in Patre, nec Pater ex parte Deus est. Neque ex parte in Filio Divinitas est; nec Filius ex parte Deus est. Neque ex parte in Spiritu sancto Divinitas est; nec Spiritus sanctus ex parte Deus est. Nam neque Divinitas secari potest; neque Pater aut Filius, aut Spiritus sanctus Deus est imper-

Τοῦ αὐτοῦ.

Εἷς Θεὸς, ὅτι μία θεότης ἄναρχος, καὶ ἁπλῆ, καὶ ὑπερούσιος, καὶ ἀμερὴς, καὶ ἀδιαίρετος. Ἡ αὐτὴ μονὰς καὶ Τριάς. Ὅλη μονὰς ἡ αὐτὴ, καὶ ὅλη Τριὰς ἡ αὐτή. Μονὰς ὅλη κατὰ τὴν οὐσίαν ἡ αὐτὴ, καὶ Τριὰς ὅλη κατὰ τὰς ὑποστάσεις ἡ αὐτή. Πατὴρ, καὶ Υἱὸς, καὶ ἅγιον Πνεῦμα ἡ θεότης.
D Καὶ ἐν Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι ἡ θεότης. Ὅλη ἐν ὅλῳ τῷ Πατρὶ ἡ αὐτὴ, καὶ ὅλος ἐν ὅλῃ τῇ αὐτῇ ὁ Πατήρ. Καὶ ὅλη ἐν ὅλῳ τῷ Υἱῷ ἡ αὐτή. Καὶ ὅλος ἐν ὅλῃ τῇ αὐτῇ ὁ Υἱός. Καὶ ὅλη ἐν ὅλῳ τῷ Πνεύματι τῷ ἁγίῳ ἡ αὐτὴ, καὶ ὅλον ἐν αὐτῇ ὅλῃ τὸ Πνεῦμα τὸ ἅγιον. Οὐ γὰρ ἐκ μέρους ἡ θεότης ἐν τῷ Πατρὶ, ἢ ἐκ μέρους Θεὸς ὁ Πατήρ· οὔτε ἐκ μέρους ἐν τῷ Υἱῷ ἡ θεότης, ἢ ἐκ μέρους Θεὸς ὁ Υἱός· οὔτε ἐκ μέρους ἐν τῷ ἁγίῳ Πνεύματι ἡ θεότης, ἢ ἐκ μέρους Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον. Οὔτε γὰρ μεριστὴ ἡ θεότης, οὔτε ἀτελὴς Θεὸς ὁ Πατὴρ

[67] Rom. VIII, 15. [68] Rom. VIII, 2. [69] II Cor. III, 17. [70] I Cor. XII, 11. [71] Isa. XLVIII, 16. [72] Job. XXXIII, 4. [73] Gen. I, 26.

ἢ ὁ Υἱὸς ἢ τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ὅλη ἐστὶν ἡ αὐτὴ τελεία τελείως ἐν τελείῳ τῷ Πατρὶ, καὶ ὅλη τελεία τελείως ἐν τελείῳ τῷ Υἱῷ ἡ αὐτὴ, καὶ ὅλη τελεία τελείως ἡ αὐτὴ ἐν τελείῳ τῷ ἁγίῳ Πνεύματι. Ὅλος γὰρ ἐν ὅλῳ τῷ Υἱῷ καὶ τῷ Πνεύματι τελείως ἐστὶν ὁ Πατήρ· καὶ ὅλος ἐν ὅλῳ τῷ Πατρὶ καὶ τῷ Πνεύματι τελείως ἐστὶν ὁ Υἱός. Καὶ ὅλον ἐν ὅλῳ τῷ Πατρὶ καὶ τῷ Υἱῷ τελείως ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον. Μία γὰρ καὶ ἡ αὐτὴ οὐσία καὶ δύναμις καὶ ἐνέργεια Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, οὐκ ὄντος οὐδενὸς τοῦ ἑτέρου χωρὶς, ἢ νοουμένου.

A fectus. Sed tota est ipsa, et perfecta, perfecte, in perfecto Patre. Et tota est ipsa, et perfecta, perfecte, perfecto in Filio; et tota perfectaque, et perfecte, est ipsa perfecto in Spiritu sancto. Nam totus in toto Filio, et Spiritu sancto perfecte est Pater. Et totus in toto Patre, et Spiritu sancto perfecte est Filius. Et totus in toto Patre, et Filio perfecte est Spiritus sanctus. Quandoquidem una eademque essentia, et potentia, et actio est Pater, et Filius, et Spiritus sanctus, cum nullus eorum ab altero separatus aut sit, aut cogitetur.

Τοῦ αὐτοῦ.

Ἕν ἐστι τὸ ὑπάρχον καὶ ὑπερούσιον ἀγαθὸν, ἡ ἁγία τρισυπόστατος μονὰς, Πατὴρ, καὶ Υἱὸς, καὶ ἅγιον Πνεῦμα· τριῶν ἀπείρων ἄπειρος συμφυΐα, τόν τε τοῦ εἶναι, καὶ πῶς, καὶ τί, καὶ ποῖ εἶναι λόγον πάμπαν τοῖς οὖσιν ἄβατον ἔχουσα. Πᾶσαν γὰρ διαφεύγει νόησιν τῶν νοούντων, τῆς κατὰ φύσιν οὐδαμῶς κρυφίας ἐνδότητος ἐξιοῦσα, καὶ πάσης πασῶν γνώσεων ἀπείρως ὑπερεκτείνεται γνώσεως.

Ejusdem.

Unum est, quod principium et essentiam exsuperat, bonum, sancta trium personarum unitas, B Pater, Filius, et Spiritus sanctus. Trium infinitorum infinita conjunctio, quæ quomodo sit, aut quid sit, aut qualis sit, nulla prorsus res creata potest percipere. Omnem enim intelligentium vincit intelligentiam, et a recondita atque intima natura sua non egrediens, omnem omnium cognitionum notitiam superat.

Τοῦ αὐτοῦ.

Μίαν εἰδέναι χρὴ θεότητος φύσιν καὶ δύναμιν· ἤγουν ἕνα Θεὸν, ἐν Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι θεωρούμενον· οἷα δὴ μόνον ἀναίτιον νοῦν οὐσιωδῶς ὑφεστῶτα· μόνου κατ' οὐσίαν ὑφεστῶτος ἀνάρχου Λόγου γεννήτορα· καὶ μόνης αἰδίου ζωῆς οὐσιωδῶς ὑφεστώσης Πνεύματος ἁγίου πηγήν· ἐν μονάδι Τριάδα, καὶ ἐν Τριάδι μονάδα· οὐκ ἄλλην ἐν ἄλλῃ. Οὐ γὰρ ὡς ἐν οὐσίᾳ τῇ μονάδι συμβεβηκός ἐστιν ἡ Τριὰς, ἢ τὸ ἔμπαλιν ἐν Τριάδι μονάς· ἄποιος γάρ· οὐδ' ὡς ἄλλην καὶ ἄλλην. Οὐ γὰρ ἑτερότητι φύσεως τῆς τριάδος ἡ μονὰς διενήνοχεν· ἁπλῆ τε καὶ μία φύσις τυγχάνουσιν· οὐδ' ὡς ἄλλην παρ' ἄλλην. Οὐ γὰρ ὑφέσει δυνάμεως διακέκριται τῆς μονάδος ἡ Τριὰς, ἢ τῆς Τριάδος ἡ μονὰς, ἢ ὡς κοινόν τι καὶ γενικὸν, καὶ ἐπινοίᾳ μόνῃ θεωρητὸν τῶν ὑπ' αὐτὸ μερικῶν παρήλλακται τῆς τριάδος ἡ μονὰς, οὐσία κυρίως αὐθύπαρκτος οὖσα, καὶ δύναμις ὄντως αὐτοσθενής· οὐδ' ὡς δι' ἄλλης ἄλλην· οὐ γὰρ μεσιτεύεται σχέσει τὸ ταυτὸν πάντη καὶ ἄσχετον, ὡς πρὸς αἴτιον αἰτιατόν· οὐδ' ὡς ἐξ ἄλλης ἄλλην. Οὐ γὰρ κατὰ παραγωγὴν, ἢ προαγωγὴν ἐκ μονάδος τριὰς, ἀγέννητος ὑπάρχουσα, καὶ αὐτέκφαντος, ἀλλὰ τὴν αὐτὴν ὡς ἀληθῶς μονάδα, καὶ τριάδα καὶ λεγομένην, καὶ νοουμένην, τὸ μὲν τῷ κατ' οὐσίαν λόγῳ, τὸ δὲ τῷ καθ' ὕπαρξιν τρόπῳ· ὅλην μονάδα τὴν αὐτὴν, μὴ μεμερισμένην ταῖς ὑποστάσεσι· καὶ ὅλην Τριάδα τὴν αὐτὴν, τῇ μονάδι μὴ συγκεχυμμένην, ἵνα μὴ τῷ μερισμῷ τὸ πολύθεον, ἢ τῇ συγχύσει τὸ ἄθεον εἰσκομίζωνται.

Ejusdem.

Unam nosse oportet Divinitatis naturam et vim, nempe Deum unum, qui in Patre, et Filio, et Spiritu sancto spectetur, utpote sola sine causa mens, quæ per essentiam subsistit. Et unius per essentiam subsistentis principioque carentis Verbi Genitor est: et solius est æternæ vitæ per essentiam subsistentis Spiritus sancti fons. In unitate Trinitas, et unitas in Trinitate. Non una tamen in altera C sic est, ut vel in unitate Trinitas, tanquam in essentia accidens sit: vel contra in Trinitate unitas. Est enim expers qualitatis. Neque ut alia atque alia, siquidem naturæ diversitate non differt a Trinitate unitas, cum simplex sit atque una natura. Neque ut una sub altera. Nam potentiæ submissione distincta non est ab unitate Trinitas, aut unitas a Trinitate, nec, ut commune aliquod, aut genus universum, et quod sola cogitatione comprehendatur, distat a partibus formisque suis, ita differt a Trinitate unitas, cum sit essentia proprie per se, et potentia per se vere pollens. Neque ut una per alteram. Nullo enim habitu medio copulatur, tanD quam causa cum eo cujus est causa, id, quod omnino idem est, atque habitu caret. Neque ut una ex altera; non enim per accessionem præcessionemque Trinitas est ab unitate, cum sit ingenita et per se exsistat. Sed ut quæ eadem revera unitas et Trinitas dicitur, et intelligitur. Unitas quidem ratione essentiæ, Trinitas autem modo, quo exsistit. Tota unitas eadem distincta personis. Et tota Trinitas eadem non unitate confusa. Ne vel divisione introducatur deorum multitudo, vel confusione Divinitas evertatur.

Τοῦ αὐτοῦ.

Μόνη ἁπλῆ καὶ μονοειδὴς, καὶ ἀνενδεὴς, καὶ ἄτρεπτος ἡ δημιουργικὴ τῶν ὅλων οὐσία τῆς ἁγίας Τριάδος. Πᾶσα δὲ κτίσις σύνθετός ἐστιν ἐξ οὐσίας καὶ συμβεβηκότος, καὶ ἐπιδεὴς ἀεὶ τῆς θείας προ-

Ejusdem.

Sola simplex, et uniformis, et nullius egens, et immutabilis est effectrix illa rerum omnium sanctæ Trinitatis essentia. Omnes autem res procreatæ essentia constant, et accidentibus, et divina sem-

per indigent providentia, quippe quæ non sunt a mutationibus liberæ. Nec accidens igitur de Deo nec qualitatem oportet dicere. Hæc enim in res compositas et mutabiles cadunt. At omnia quæ Deus habet, habet natura, nec illi inhærent ut adjuncta et acquisita. In simplici et infinita Trinitatis essentia nec habitus, nec aptitudines quæras, ne illam, uti res procreatas compositam esse comminiscaris.

Ejusdem.

Ex iis, quæ sunt, eorum causam auctoremque cognoscimus. Ex ipsorum autem differentia discimus exsistentem in eo, qui est, sapientiam Filium. Ex naturali vero eorumdem motu exsistentem in eo, qui est, vitam, potestatem illam, unde res vitam hauriunt, nempe Spiritum sanctum, intelligimus.

Ejusdem ex interpretatione precationis Dominicæ.

Nomen Dei et Patris per essentiam subsistens est unigenitus Filius. Et regnum Dei et Patris per essentiam subsistens est Spiritus sanctus. Quod enim hoc loco Matthæus regnum dicit, alius evangelista alibi Spiritum sanctum appellavit: «Adveniat, inquiens, Spiritus sanctus, et nos expurget.» Neque enim Pater habet adjectivum nomen. Nec regnum in ipso tanquam dignitatem aliquam attributam cogitamus. Nunquam enim esse cœpit, ut etiam Pater, aut Rex esse posset incipere. Sed cum semper sit, semper etiam est Pater et Rex. Nec initium habuit omnino, ut vel esset, vel Pater et Rex esset. Quod si semper ita est, ut semper et Pater sit et Rex, semper utique et Filius, et Spiritus sanctus per essentiam cum Patre simul exsistunt, cum et ex ipso sint, et in ipso naturaliter, et supra causam et rationem, non autem per causam post ipsum sint. Habitus enim, qui habet hanc vim, ut res simul ostendatur, non concedit, ut ea, quorum est habitus, mutuo considerentur.

Ejusdem.

Si Verbum procreationem rerum antecedit, nec fuit, nec est, nec erit Verbo quidquam antiquius. At Verbum nec sine mente est, nec expers vitæ, sed et mentem, et vitam habet, mentem quidem generantem, et per essentiam exsistentem Patrem, vitam autem per essentiam exsistentem Spiritum sanctum.

Item de Patre, et Filio, et Spiritu sancto distincta simul atque unita Divinitatis ratio. Damasceni. Cap. 8.

Credimus igitur in unum Deum, principium unum, principio carentem, increatum, ingenitum, interitus ac mortis nescium, æternum, immensum, incircumscriptum, nullis terminis definitum, infinitæ potentiæ, simplex, incompositum, incorporeum, a fluxu, passione, omnique mutatione et alteratione liberum, invisibilem, omnis bonitatis ac justitiæ fontem, lucem intellectualem et inaccessam, potentiam nulla mensura comprehensam, quamque sola voluntas sua metiatur (potest enim quidquid vult), rerum omnium conditricem, tam

A νοίας, ὡς οὐκ ἐλευθέρα τροπῆς. Χρὴ οὖν μήτε συμβεβηκὸς ἐπὶ Θεοῦ λέγειν, μήτε ποιότητα. Τῶν συνθέτων γὰρ ταῦτα καὶ τρεπτῶν. Πάντα δὲ ὅσα ἔχει ὁ Θεὸς, φύσει ἔχει, καὶ οὐκ ἐπίκτητα. Μὴ ἕξεις καὶ ἐπιτηδειότητας ζητήσῃς ἐπὶ τῆς ἁπλῆς καὶ ἀπείρου οὐσίας τῆς ἁγίας Τριάδος, ἵνα μὴ σύνθετον αὐτὴν δογματίσῃς, ὥσπερ τὰ κτίσματα.

Τοῦ αὐτοῦ.

Ἐκ τῶν ὄντων τῶν ὄντων γινώσκομεν αἴτιον, καὶ ἐκ τῆς διαφορᾶς τῶν ὄντων τὴν ἐνυπόστατον τοῦ ὄντος διδασκόμεθα σοφίαν, τὸν Υἱὸν, καὶ ἐκ τῆς τῶν ὄντων φυσικῆς κινήσεως τὴν ἐνυπόστατον τοῦ ὄντος μανθάνομεν ζωὴν, τὴν τῶν ὄντων ζωοποιὸν δύναμιν, τὸ Πνεῦμα τὸ ἅγιον.

B *Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τοῦ Πάτερ ἡμῶν.*

Ὄνομα τοῦ Θεοῦ καὶ Πατρὸς οὐσιωδῶς ὑφεστώς ἐστιν ὁ μονογενὴς Υἱός· καὶ βασιλεία τοῦ Θεοῦ καὶ Πατρὸς οὐσιωδῶς ἐστιν ὑφεστῶσα τὸ Πνεῦμα τὸ ἅγιον. Ὃ γὰρ ἐνταῦθα Ματθαῖός φησι βασιλεία, ἀλλαχοῦ τῶν εὐαγγελιστῶν ἕτερος Πνεῦμα ἅγιον κέκληκε φάσκων, «Ἐλθέτω σου τὸ Πνεῦμα τὸ ἅγιον καὶ καθαρισάτω ἡμᾶς.» Οὐ γὰρ ἐπίκτητον ὁ Πατὴρ ἔχει τὸ ὄνομα, οὔτε μὴν ὡς ἀξίαν ἐπιθεωρουμένην αὐτῷ νοοῦμεν τὴν βασιλείαν. Οὐκ ἤρκται γὰρ τοῦ εἶναι, ἵνα καὶ τοῦ εἶναι Πατὴρ ἢ βασιλεὺς ἄρξηται, ἀλλ' ἀεὶ ὢν, ἀεὶ καὶ Πατήρ ἐστι, καὶ βασιλεύς· μήτε τοῦ εἶναι, μήτε τοῦ Πατὴρ καὶ βασιλεὺς εἶναι τὸ παράπαν ἠργμένος. Εἰ δὲ ἀεὶ ὢν, ἀεὶ καὶ Πατήρ
C ἐστι, καὶ βασιλεὺς, ἀεὶ ἄρα καὶ ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα οὐσιωδῶς τῷ Πατρὶ συνυφεστήκασιν ἐξ αὐτοῦ τε ὄντα, καὶ ἐν αὐτῷ φυσικῶς ὑπὲρ αἰτίαν καὶ λόγον, ἀλλ' οὐ μετ' αὐτὸν γενόμενα δι' αἰτίαν ὕστερον. Ἡ γὰρ σχέσις συνενδείξεως κέκτηται δύναμιν, τὰ ὧν ἔστι τε καὶ λέγεται σχέσις μετ' ἄλληλα μὴ συγχωροῦσα θεωρεῖσθαι.

Τοῦ αὐτοῦ.

Εἰ Λόγος προκαθηγεῖται τῆς τῶν ὄντων γενέσεως, οὔτε ἦν, οὔτε ἐστίν· οὔτε ἔσται τοῦ Λόγου λόγος ἀνώτερος. Λόγος δέ ἐστιν οὐκ ἄνους, ἢ ζωῆς ἄμοιρος, ἀλλ' ἔννους, καὶ ζῶν, ὡς γεννῶντα νοῦν ἔχων οὐσιωδῶς ὑφεστῶτα τὸν Πατέρα, καὶ ζωὴν ὑφεστῶσαν οὐσιωδῶς τὸ Πνεῦμα τὸ ἅγιον.

D

Ἔτι περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος διακεκριμένη ἅμα καὶ ἡνωμένη θεολογία. Τοῦ Δαμασκηνοῦ. Κεφάλ. η'.

Πιστεύομεν τοιγαροῦν εἰς ἕνα Θεὸν, μίαν ἀρχὴν, ἄναρχον, ἄκτιστον, ἀγέννητον, ἀνώλεθρόν τε καὶ ἀθάνατον, αἰώνιον, ἄπειρον, ἀπερίγραπτον, ἀπεριόριστον, ἀπειροδύναμον, ἁπλοῦν, ἀσύνθετον, ἀσώματον, ἄῤῥευστον, ἀπαθῆ, ἄτρεπτον, ἀναλλοίωτον, ἀόρατον, πηγὴν ἀγαθότητος καὶ δικαιοσύνης, φῶς νοερὸν, ἀπρόσιτον δύναμιν· οὐδενὶ μέτρῳ γνωριζομένην, μόνῳ τῷ οἰκείῳ βουλήματι μετρουμένην· πάντα γὰρ ὅσα θέλει, δύναται· πάντων κτισμάτων ὁρατῶν τε καὶ ἀοράτων ποιητικὴν, πάντων συνεκτικὴν καὶ συντηρητικὴν, πάντων προνοητικὴν,

πάντων κρατοῦσαν, καὶ ἄρχουσαν, καὶ βασιλεύουσαν, ἀτελευτήτῳ καὶ ἀθανάτῳ βασιλείᾳ, μηδὲν ἐναντίον ἔχουσαν, πάντα πληροῦσαν, ὑπ' οὐδενὸς περιεχομένην· αὐτὴν δὲ μᾶλλον περιέχουσαν τὰ σύμπαντα, καὶ συνέχουσαν, καὶ προέχουσαν· ἀχράντως ταῖς ὅλαις οὐσίαις ἐπιβατεύουσαν, καὶ πάντων ἐπέκεινα, καὶ πάσης οὐσίας ἐξῃρημένην, ὡς ὑπερούσιον, καὶ ὑπὲρ τὰ πάντα οὖσαν, ὑπέρθεον, ὑπεράγαθον, ὑπερπλήρη· τὰς ὅλας ἀρχὰς καὶ τάξεις ἀφορίζουσαν, καὶ πάσης ἀρχῆς καὶ τάξεως ὑπεριδρυμένην, ὑπὲρ οὐσίαν, καὶ ζωὴν, καὶ λόγον, καὶ ἔννοιαν· αὐτοφῶς, αὐτοαγαθότητα, αὐτοζωὴν, αὐτοουσίαν, ὡς μὴ παρ' ἑτέρου τὸ εἶναι ἔχουσαν, ἤτοι τῶν ὅσα ἐστίν· αὐτὴν δὲ πηγὴν οὖσαν τοῦ εἶναι τοῖς οὖσι· τοῖς ζῶσι, τῆς ζωῆς· τοῖς λόγου μετέχουσι, τοῦ λόγου, τοῖς πᾶσι πάντων ἀγαθῶν αἰτίαν· πάντα εἰδυῖαν πρὶν γενέσεως αὐτῶν· μίαν οὐσίαν, μίαν θεότητα, μίαν δύναμιν, μίαν θέλησιν, μίαν ἐνέργειαν, μίαν ἀρχὴν, μίαν ἐξουσίαν, μίαν κυριότητα, μίαν βασιλείαν, ἐν τρισὶ τελείαις ὑποστάσεσι γνωριζομένην τε καὶ προσκυνουμένην μιᾷ προσκυνήσει, πιστευομένην τε καὶ λατρευομένην ὑπὸ πάσης λογικῆς κτίσεως, ἀσυγχύτως ἡνωμέναις καὶ ἀδιαστάτως διαιρουμέναις· ὃ καὶ παράδοξον. Εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, εἰς ὃ καὶ βεβαπτίσμεθα. Οὕτω γὰρ ὁ Κύριος τοῖς ἀποστόλοις βαπτίζειν ἐνετείλατο· *Βαπτίζοντες αὐτοὺς*, φάσκων, *εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.*

A visibilium, quam invisibilium effectricem; omnium conservatricem, omnibus providentem, omnia continentem ac regentem, perpetuumque ac immortale regnum in omnia obtinentem; nihil contrarium habentem, omnia implentem, a nulla re comprehensam, imo vero ipsam universa complectentem et continentem ac præhabentem, substantias omnes sine pollutione penetrantem, ultra res omnes et essentias longe provectiorem, ut quæ supersubstantialis est, omnibusque entibus sublimior; divinitate, bonitate, plenitudine superiorem; principatus omnes atque ordines statuentem, super omnem principatum atque ordinem positum; essentia, vita, sermone, et cogitatu altiorem; quæ lux ipsa est, bonitas ipsa, ipsamet vita, ipsamet essen-
B tia; utpote quæ nec esse suum, nec quidquam eorum quæ est, ab alio habeat; verum ipsa iis quæ sunt, essentiæ; illis quæ vivunt, vitæ; et illis quæ ratione utuntur, rationis fons exsistat: bonorum omnium cunctis parentem, intuentem omnia priusquam fiant; unam substantiam, unam divinitatem, unam virtutem, unam voluntatem, unam operationem, unum principatum, unam potestatem, unam dominationem, unum regnum; ut tamen in tribus perfectis personis noscatur, et adoratione una adoretur, credaturque, et colatur ab omni rationali creatura; quippe quod illæ citra permistionem et confusionem unitæ sint, et sine distantia (quod cogitationem omnem superat) discretæ: in Patrem et Filium et Spiritum sanctum, in quorum etiam nomine baptizati sumus. Sic enim Dominus apostolis baptizare jussit: *Baptizantes eos*, inquit, *in nomine Patris et Filii et Spiritus sancti* [1].

Εἰς ἕνα Πατέρα, τὴν πάντων ἀρχὴν καὶ αἰτίαν· οὐκ ἔκ τινος γεννηθέντα· ἀναίτιον δὲ καὶ ἀγέννητον μόνον ὑπάρχοντα· πάντων μὲν ποιητήν· ἑνὸς δὲ μόνου Πατέρα φύσει τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ Κυρίου δὲ, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ προβολέα τοῦ παναγίου Πνεύματος. Καὶ εἰς ἕνα Υἱὸν τοῦ Θεοῦ, τὸν μονογενῆ, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο· ὃν πρὸ πάντων αἰώνων λέγοντες, δεικνύμεν ὅτι ἄχρονος καὶ ἄναρχος αὐτοῦ ἡ γέννησις· οὐ γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη ὁ Υἱὸς τοῦ Θεοῦ, τὸ ἀπαύγασμα τῆς δόξης, ὁ χαρακτὴρ τῆς τοῦ Πατρὸς ὑποστάσεως, ἡ ζῶσα σοφία, καὶ δύναμις, ὁ Λόγος ὁ ἐνυπόστατος, ἡ οὐσιώδης καὶ τελεία, καὶ ζῶσα εἰκὼν τοῦ ἀοράτου Θεοῦ· ἀλλ' ἀεὶ ἦν σὺν τῷ Πατρὶ, καὶ ἐν αὐτῷ, ἀϊδίως καὶ ἀνάρχως ἐξ αὐτοῦ γεγεννημένος. Οὐ γὰρ ἦν ποτε ὁ Πατὴρ, ὅτε οὐκ ἦν ὁ Υἱός· ἀλλ' ἅμα Πατὴρ, ἅμα Υἱὸς, ὁ ἐξ αὐτοῦ γεγεννημένος· Πατὴρ γὰρ ἐκτὸς Υἱοῦ οὐκ ἂν κληθείη. Εἰ δὲ ἦν μὴ ἔχων Υἱὸν, οὐκ ἦν Πατήρ· καὶ εἰ μετὰ ταῦτα ἔσχεν Υἱὸν, μετὰ ταῦτα ἐγένετο Πατὴρ, μὴ ὢν πρὸ τούτου Πατὴρ, καὶ ἐτράπη ἐκ τοῦ μὴ εἶναι Πατὴρ εἰς τὸ γενέσθαι Πατήρ· ὅπερ πάσης βλασφημίας ἐστὶ χαλεπώτερον. Ἀδύνατον γὰρ τὸν Θεὸν εἰπεῖν, ἔρημον τῆς φυσικῆς γονι-

C *Quid de Patre credendum. Quid de Filio.* — In unum Patrem (credimus) principium omnium et causam, ex nullo genitum, qui solus causæ et generationis expers est: omnium quidem conditorem; cæterum unius duntaxat natura Patrem unigeniti Filii sui Domini nostri Jesu Christi, sanctissimique Spiritus productorem. Et in unum Filium Dei unigenitum Dominum nostrum, ex Patre natum ante omnia sæcula; lumen de lumine, Deum verum de Deo vero; genitum, non factum, consubstantialem Patri, per quem omnia facta sunt. Quem cum ante omnia sæcula dicimus, ipsius generationem, nec tempus, nec initium pati ostendimus. Non enim Dei Filius ex nihilo in ortum pro-
D ductus est; ille, inquam, gloriæ splendor, paternæ figura substantiæ [2], viva sapientia, et virtus [3], subsistens Verbum, substantialis ipsa, perfecta, atque vivens imago Dei [4] invisibilis, sed semper cum Patre, et in Patre erat, sempiterne et absque ullo initio ex ipso genitus. Neque enim Pater unquam fuit, quando Filius non esset: verum simul Pater, simul Filius, qui ex ipso genitus est. Neque enim Pater vocari possit, qui Filio careat. Nam si Filio aliquando caruit, Pater certe non erat. Et si postea Filium habuit; postea quoque factus est Pater, cum ante Pater non esset, atque ex eo quod Pater non erat, mutatus est, eoque progressus ut Pater esset: id quod omni blasphemia gravius foret. Nefas

[1] Matth. xxv, 19. [2] Hebr. i, 3. [3] I Cor. i, 24. [4] Coloss. i, 15.

enim est dicere, Deum fecunditate naturali caruisse. A Fecunditas porro in hoc posita est, ut quis ex seipso, id est ex propria substantia, prolem natura similem sui edat.

μότητος. Ἡ δὲ γονιμότης, τὸ ἐξ αὐτοῦ, ἤγουν ἐκ τῆς ἰδίας οὐσίας, ὅμοιον κατὰ φύσιν γεννᾷν.

Generationis divinæ a creatione discrimina. — Proinde cum de Filii generatione agitur, tempus intercessisse dicere impium est; aut Filii exsistentiam Patre posteriorem constituere. Ex ipso enim, hoc est ex Patris natura, esse profitemur Filii generationem. Ac nisi Filium a principio simul cum Patre a quo genitus est, fuisse concedamus, Paternæ substantiæ mutationem inducemus: quoniam, cum Pater non esset, posthac evasit Pater. Res enim creatæ, etsi postmodum conditæ sunt, non tamen ex Dei substantia exstiterunt; sed ipsius voluntate et potentia fuerunt productæ B ut essent. Nec propterea in Dei naturam cadit mutatio: etenim generatio quidem in hoc consistit, ut ex gignentis substantia proles ejusdem cum gignente substantiæ producatur: at creatio et effectio hoc tantum requirit, ut extra, et non ex creantis aut efficientis substantia fiat illud quod creatur aut efficitur, omninoque quantum ad essentiam dissimile sit.

Ἐπὶ μὲν οὖν τῆς τοῦ Υἱοῦ γεννήσεως ἀσεβὲς λέγειν χρόνον μεσιτεῦσαι, καὶ μετὰ τὸν Πατέρα τὴν τοῦ Υἱοῦ γενέσθαι ὕπαρξιν. Ἐξ αὐτοῦ γὰρ, ἤγουν τῆς τοῦ Πατρὸς φύσεως, φαμὲν τὴν τοῦ Υἱοῦ γέννησιν. Καὶ εἰ μὴ ἐξ ἀρχῆς δῶμεν τὸν Υἱὸν συνυπάρχειν τῷ Πατρὶ ἐξ αὐτοῦ γεγεννημένον, τροπὴν τῆς τοῦ Πατρὸς ὑποστάσεως παρεισάγομεν· ὅτι μὴ ὢν Πατὴρ ὕστερον ἐγένετο Πατήρ· ἡ γὰρ κτίσις, εἰ καὶ μετὰ ταῦτα γέγονεν, ἀλλ' οὐκ ἐκ τῆς τοῦ Θεοῦ οὐσίας· ἐκ δὲ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι βουλήσει καὶ δυνάμει αὐτοῦ παρήχθη, καὶ οὐχ ἅπτεται τροπὴ τῆς τοῦ Θεοῦ φύσεως. Γέννησις μὲν γάρ ἐστι τὸ ἐκ τῆς οὐσίας τοῦ γεννῶντος προάγεσθαι τὸ γεννώμενον ὅμοιον κατ' οὐσίαν. Κτίσις δὲ καὶ ποίησις τὸ ἔξωθεν, καὶ οὐκ ἐκ τῆς οὐσίας τοῦ κτίζοντος καὶ ποιοῦντος, γενέσθαι τὸ κτιζόμενον καὶ ποιούμενον ἀνόμοιον παντελῶς κατ' οὐσίαν.

Quamobrem in Deo, qui solus a perpessione omni, alteratione ac mutatione liber est, semperque eodem modo se habet, tum generatio, tum creatio, passionis expers est. Nam cum nec patibilis, nec fluxæ naturæ sit; quippe simplex est, nec compositus: certe nec passionem nec fluxum, vel in generando, vel in creando subire C potest, nec cujusquam opem atque adjumentum desiderat. At generatio quidem initium non habet sempiternaque est, ut quæ naturæ sit opus, exque ipsius substantia prodeat; ne alioqui ille qui gignit, mutationem subeat, ac præterea ne Deus prior sit, Deusque posterior, neve accessionem recipiat: creatio autem in Deo, cum sit voluntatis opus, Deo profecto coæterna non est. Haud enim natura comparatum est, ut quod ex nihilo producitur, eamdem cum eo quod initio caret, et sempiternum est, æternitatem aut perpetuitatem habeat. Quemadmodum igitur hominis et Dei non eadem est efficiendi ratio; quia homo nihil ex nihilo producit; sed quod efficit ex præexsistente et subjecta materia facit; nec D voluntatem duntaxat adhibet, sed prius etiam cogitat, illudque quod facturus est, animo effingit, ac posthac manuum quoque addita opera, laborem et molestiam sustinet: nec raro etiam spe sua labitur, ut cui propositum ex animi voluntate non succedat: Deus autem sola voluntate omnia ex nihilo ut essent produxit: ita nec eodem modo gignunt Deus et homo. Deus enim, ut qui tempori non subsit, et principio, passione ac fluxione omni vacet, sitque incorporeus, ac solus ab interitu liber; ita citra tempus quoque, et principium, et passionem, et fluxum, et sine ullo congressu gignit, ac nec initium, nec finem habet incomprehensibilis ipsius generatio.

Ἐπὶ μὲν οὖν τοῦ μόνου ἀπαθοῦς, καὶ ἀναλλοιώτου, καὶ ἀτρέπτου, καὶ ἀεὶ ὡσαύτως ἔχοντος Θεοῦ, καὶ τὸ γεννᾷν, καὶ τὸ κτίζειν, ἀπαθές· φύσει γὰρ ὢν ἀπαθὴς καὶ ἄῤῥευστος, ὡς ἁπλοῦς καὶ ἀσύνθετος, οὐ πέφυκεν, ὑπομένειν πάθος, ἢ ῥεῦσιν, οὔτε ἐν τῷ γεννᾷν, οὔτε ἐν τῷ κτίζειν, οὐδέ τινος συνεργίας δεῖται· ἀλλ' ἡ μὲν γέννησις ἄναρχος καὶ ἀΐδιος, φύσεως ἔργον οὖσα, καὶ ἐκ τῆς οὐσίας αὐτοῦ προάγουσα, ἵνα τροπὴν ὁ γεννῶν μὴ ὑπομείνῃ, καὶ ἵνα μὴ Θεὸς πρῶτος, καὶ Θεὸς ὕστερος εἴη, καὶ προσθήκην δέξηται. Ἡ δὲ κτίσις ἐπὶ Θεοῦ, θελήσεως ἔργον οὖσα, οὐ συναΐδιός ἐστι τῷ Θεῷ. Ἐπειδὴ οὐ πέφυκε τὸ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγόμενον συναΐδιον εἶναι τῷ ἀνάρχῳ καὶ ἀεὶ ὄντι. Ὥσπερ οὖν [b] οὐχ ὁμοίως ποιεῖ ἄνθρωπος καὶ Θεός· ὁ μὲν γὰρ ἄνθρωπος οὐδὲν ἐκ τοῦ μὴ ὄντος εἰς [τὸ] εἶναι παράγει, ἀλλ' ὅπερ ποιεῖ ἐκ προϋποκειμένης ὕλης ποιεῖ, οὐ θελήσας μόνον, ἀλλὰ καὶ προεπινοήσας, καὶ ἐν τῷ νῷ ἀνατυπώσας τὸ γενησόμενον, εἶτα καὶ χερσὶν ἐργασάμενος, καὶ κόπον ὑπομείνας καὶ κάματον, πολλάκις δὲ καὶ ἀστοχήσας, μὴ ἀποβάντος, καθὰ βούλεται, τοῦ ἐπιτηδεύματος· ὁ δὲ Θεὸς θελήσας μόνον, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πάντα παρήγαγεν. Οὕτως οὐδὲ ὁμοίως γεννᾷ Θεὸς καὶ ἄνθρωπος. Ὁ μὲν γὰρ Θεὸς, ἄχρονος ὢν, καὶ ἄναρχος, καὶ ἀπαθὴς, καὶ ἄῤῥευστος, καὶ ἀσώματος, καὶ μόνος, καὶ ἀτελεύτητος, ἀχρόνως, καὶ ἀνάρχως, καὶ ἀπαθῶς, καὶ ἀῤῥεύστως γεννᾷ, καὶ ἐκτὸς συνδυασμοῦ· καὶ οὔτε ἀρχὴν ἔχει ἡ ἀκατάληπτος αὐτοῦ γέννησις, οὐδὲ τέλος.

Ac proinde sempiternus Deus Verbum suum sine principio ac fine gignit; ne alioqui Deus, cujus natura ac exsistentia tempus omne superat, in

Γεννᾷ τοίνυν ὁ ἀεὶ ὢν Θεὸς τὸν ἑαυτοῦ Λόγον, τέλειον ὄντα, ἀνάρχως, καὶ ἀτελευτήτως, ἵνα μὴ ἐν χρόνῳ τίκτῃ Θεὸς, ὁ χρόνου ἀνωτέραν ἔχων τήν τε

φύσιν, καὶ τὴν ὕπαρξιν. Ὁ δὲ ἄνθρωπος, δῆλον ὡς ἐναντίως γεννᾷ ὑπὸ γένεσιν τελῶν, καὶ φθοράν, καὶ ῥεῦσιν, καὶ πληθυσμόν, καὶ σάρκα περικείμενος, καὶ τὸ ἄῤῥεν καὶ τὸ θῆλυ ἐν τῇ φύσει κεκτημένος. Ἐνδεὲς γὰρ τὸ ἄῤῥεν τῆς τοῦ θήλεος βοηθείας. c Ἀλλ' ἵλεως εἴη ὁ πάντων ἐπέκεινα καὶ πᾶσαν νόησιν καὶ κατάληψιν ὑπερκείμενος.

A tempore gignat. At vero perspicuum est hominem dispari modo gignere, ut qui generationi et corruptioni, fluxioni item et multiplicationi subjectus sit, ac carne vestitus, maremque et feminam in natura habeat: mas quippe feminæ opem desiderat. Verum propitius nobis sit ille qui omnia excedit, atque omnem mentis aciem et comprehensionem transcendit.

Διδάσκει οὖν ἡ ἁγία καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία, ἅμα Πατέρα, καὶ ἅμα τὸν μονογενῆ αὐτοῦ Υἱὸν ἐξ αὐτοῦ γεγεννημένον, ἀχρόνως, καὶ ἀῤῥεύστως, καὶ ἀπαθῶς, καὶ ἀκαταλήπτως, ὡς μόνος ὁ τῶν ὅλων οἶδε Θεός· ὥσπερ ἅμα τὸ πῦρ, καὶ ἅμα τὸ ἐξ αὐτοῦ φῶς· καὶ οὐ πρῶτον τὸ πῦρ, καὶ μετὰ ταῦτα τὸ φῶς· ἀλλ' ἅμα· καὶ ὥσπερ τὸ φῶς ἐκ τοῦ πυρὸς ἀεὶ γεννώμενον, ἀεὶ ἐν αὐτῷ ἐστι, μηδαμῶς αὐτοῦ χωριζόμενον· οὕτω καὶ ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς γεννᾶται μηδ' ὅλως [d] αὐτοῦ χωριζόμενος, ἀλλ' ἀεὶ ἐν αὐτῷ ὤν. Ἀλλὰ τὸ μὲν φῶς ἐκ τοῦ πυρὸς γεννώμενον ἀχωρίστως, καὶ ἐν αὐτῷ ἀεὶ μένον, οὐκ ἔχει ἰδίαν ὑπόστασιν παρὰ τὸ πῦρ· ποιότης γάρ ἐστι φυσικὴ τοῦ πυρός. Ὁ δὲ Υἱὸς τοῦ Θεοῦ ὁ μονογενής, ἐκ Πατρὸς γεννηθεὶς ἀχωρίστως, καὶ ἀδιαστάτως, καὶ ἐν αὐτῷ μένων ἀεί, ἔχει ἰδίαν ὑπόστασιν παρὰ τὴν τοῦ Πατρός.

De Patre et Filio. — Sancta igitur et catholica et apostolica Ecclesia simul et Patrem, simulque unigenitum ipsius Filium docet, ex eo citra tempus, fluxum, et passionem, incomprehensibili quadam ratione ac soli universorum Deo perspecta, genitum: non secus atque una cum igne lumen est quod ex eo oritur; nec prior est ignis, B posterius lumen, sed utrumque simul: et quemadmodum lumen quod ex igne semper gignitur, semper in eo est, nec ab eo quoquo modo disjungitur; ita et Filius gignitur ex Patre, ut nullo modo ab illo separetur, sed semper in eo sit **. Verum hoc interest, quod lumen quod ex igne sine separatione gignitur, semperque in eo manet, aliam ab igne propriamque subsistentiam non habet (est enim naturalis ignis qualitas); at vero unigenitus Dei Filius ex Patre inseparabiliter ac sine diremptione genitus, semperque in ipso manens, peculiarem atque a Patre distinctam subsistentiam habet.

Λόγος μὲν οὖν, καὶ ἀπαύγασμα λέγεται, διὰ τὸ ἄνευ συνδυασμοῦ, καὶ ἀπαθῶς, καὶ ἀχρόνως, καὶ ἀῤῥεύστως, καὶ ἀχωρίστως γεγεννῆσθαι ἐκ τοῦ Πατρός. Υἱὸς δέ, καὶ χαρακτὴρ τῆς πατρικῆς ὑποστάσεως, διὰ τὸ τέλειον, καὶ ἐνυπόστατον, καὶ κατὰ πάντα ὅμοιον τῷ Πατρὶ εἶναι, πλὴν τῆς ἀγεννησίας. Μονογενὴς δέ, ὅτι μόνος ἐκ μόνου τοῦ Πατρὸς μόνως ἐγεννήθη. Οὐδὲ γὰρ ὁμοιοῦται ἑτέρα γέννησις τῇ τοῦ Υἱοῦ τοῦ Θεοῦ γεννήσει. Οὐδὲ γάρ ἐστιν ἄλλος Υἱὸς τοῦ Θεοῦ. Εἰ γὰρ καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, ἀλλ' οὐ γεννητῶς, ἀλλ' ἐκπορευτῶς. Ἄλλος τρόπος ὑπάρξεως οὗτος, ἄληπτός τε καὶ ἄγνωστος, ὥσπερ καὶ ἡ τοῦ Υἱοῦ γέννησις. Διὸ καὶ πάντα ὅσα ἔχει ὁ Πατήρ, αὐτοῦ εἰσι, πλὴν τῆς ἀγεννησίας, ἥτις οὐ σημαίνει οὐσίας διαφοράν, οὐδὲ ἀξίωμα, ἀλλὰ τρόπον ὑπάρξεως· ὥσπερ καὶ ὁ Ἀδὰμ ἀγέννητος ὤν· πλάσμα γάρ ἐστι τοῦ Θεοῦ· καὶ ὁ Σὴθ γεννητός· υἱὸς γάρ ἐστιν Ἀδάμ· καὶ ἡ Εὔα ἐκ τῆς τοῦ Ἀδὰμ πλευρᾶς ἐκπορευθεῖσα· οὐ γὰρ ἐγεννήθη αὕτη· οὐ φύσει διαφέρουσιν ἀλλήλων· ἄνθρωποι γάρ εἰσιν· ἀλλὰ τῷ τῆς ὑπάρξεως τρόπῳ.

Quare Verbum, splendor, figura, Filius dicitur. Cur Unigenitus. — Ipse porro et Verbum, et splen- C dor idcirco dicitur, quia citra alterius congressum et passionem et tempus, et fluxum ullum, ac separationem a Patre genitus est. Filius autem, ac Paternæ substantiæ figura, quia perfectus est ac subsistens, exceptaque ingeniti proprietate per omnia patrem refert atque exprimit. Unigenitus item, quia solus ex solo Patre unice natus est. Neque enim alia generatio est, quæ cum Filii Dei generatione conferri possit: quandoquidem nec alius quoque Dei Filius est. Quamvis enim etiam Spiritus sanctus ex Patre procedat, non tamen generationis modo, sed processionis. Alius autem est hic existentiæ modus perinde incomprehensus et ignotus, quemadmodum et Filii generatio. Quo- D circa omnia quæ Pater habet, Filii sunt, hoc uno excepto, quod ingenitus non est: quæ quidem vox nec naturæ discrimen, nec dignitatem, sed subsistendi modum indicat. Haud secus atque Adam, qui genitus non est (figmentum enim Dei est) et Seth qui genitus (filius enim est Adami) et Eva quæ ex Adami costa prodiit (neque enim ipsa genita est), natura inter se minime differunt (homines enim sunt), sed exsistendi modo.

Χρὴ γὰρ εἰδέναι, ὅτι τὸ ἀγένητον διὰ ἑνὸς *ν* γραφόμενον, τὸ ἄκτιστον, ἤτοι τὸ μὴ γενόμενον σημαίνει· τὸ δὲ ἀγέννητον διὰ τῶν δύο *νν* γραφόμενον, δηλοῖ τὸ μὴ γεννηθέν. Κατὰ μὲν οὖν τὸ πρῶτον σημαινόμενον διαφέρει οὐσία οὐσίας· ἄλλη γὰρ οὐσία ἄκτιστος, ἤτοι ἀγένητος δι' ἑνὸς *ν*, καὶ ἄλλη γενητή, ἤτοι κτιστή. Κατὰ δὲ τὸ δεύτερον σημαινόμενον, οὐ

Aliud ἀγέννητον, *et aliud* ἀγένητον. — Sciendum enim vocem ἀγένητον, cum scribitur cum unico ν, increatum significare, seu quod minime factum est: ἀγέννητον autem, cum scribitur cum duplici νν, id indicare quod non est genitum. Priore ergo significato essentia ab essentia differt. Alia enim est essentia increata; quam vox ἀγένητος, cum

unico ν, sonat; alia creata, quam vox γενητὴ denotat. Secundo autem significandi genere nullum essentiæ ab essentia discrimen inducitur. Primum enim cujusque animantium speciei individuum ἀγέννητον, seu ingenitum est; non item ἀγένητον, hoc est minime conditum et factum. A Conditore quippe rerum, per ipsius Verbum in ortum producta sunt. At non genita; cum ante nullum aliud ejusdem speciei singulare exstaret, ex quo gignerentur.

Quantum igitur ad primam significationem attinet, singulis tribus sanctæ Deitatis divinissimis personis vox ἀγένητος convenit. Ejusdem enim substantiæ sunt et increatæ. Quantum autem ad secundam, non item: solus enim Pater ingenitus est. Nec enim ab alia persona habet ut sit. Solus etiam Filius genitus est: ex Patris enim substantia absque initio ullo ac tempore genitus est. Solus denique Spiritus sanctus ex Patris quidem substantia progreditur, non generatione, sed processione [1]. Ita enim a divina Scriptura edocemur: tametsi alioqui generationis ac processionis modus nulla ingenii vi comprehendi possit.

Quin illud quoque nosse interest, paternitatis, filietatis, et processionis vocabula non a nobis ad beatam Deitatem esse translata, verum contra illinc nobis communicata, quemadmodum Apostolus ait: *Propterea flecto genua mea ad Patrem, ex quo omnis paternitas in cœlo et in terra est* [2].

Quomodo Pater major Filio. Verbum non est instrumentum Patris. — Quod si Patrem Filii principium et majorem esse dicimus, haudquaquam his verbis cum Filio vel tempore priorem vel natura præstantiorem esse indicamus [3] (per ipsum enim fecit sæcula [4]), nec denique alia re quam sola causa; hoc est quia ex Patre genitus est, non autem Pater ex Filio; et quia pater naturaliter filii causa est: quemadmodum nec ignem ex luce prodire dicimus, verum lucem ex igne. Quocirca cum Patrem Filii principium ac Filii majorem audierimus, id causæ ratione intelligamus. Et ignem sicut non alterius substantiæ esse dicimus, ac rursus lucem alterius; eodem modo nec alterius substantiæ Pater, alterius Filius dici potest; sed unius ejusdemque. Præterea, sicut ignem per lucem ex eo progredientem lucere dicimus: nec proinde tamen lucem illam ex eo manantem organum quoddam esse ipsi inserviens, sed vim quamdam nativam statuimus: pari modo Patrem omnia quæ facit, per Unigenitum suum facere dicimus, non tanquam per servile quoddam organum, sed ut per vim naturalem et subsistentem. Insuper quemadmodum ignem illuminare dicimus, idemque rursus ipsius luci tribuimus; sic *omnia quæ Pater facit, Filius etiam similiter facit* [5]. At vero in hoc discrimen situm est, quod lux propriam et distinctam ab igne subsistentiam non habet. Filius autem perfecta hypostasis est, a paterna hypostasi inseparabilis, ut superius a nobis ostensum est. Neque enim fieri potest ut in rebus creatis imago ulla aut

A διαφέρει οὐσία οὐσίας· παντὸς γὰρ εἴδους ζώων ἡ πρώτη ὑπόστασις ἀγέννητός ἐστιν, ἀλλ' οὐκ ἀγένητος. Ἐκτίσθησαν μὲν γὰρ ὑπὸ τοῦ Δημιουργοῦ, τῷ λόγῳ αὐτοῦ παραχθέντα εἰς γένεσιν. Οὐ μὴν ἐγεννήθησαν, μὴ προϋπάρχοντος ἑτέρου ὁμοειδοῦς, ἐξ οὗ γεννηθῶσι.

Κατὰ μὲν οὖν τὸ πρῶτον σημαινόμενον κοινωνοῦσιν αἱ τρεῖς τῆς ἁγίας θεότητος ὑπέρθεοι ὑποστάσεις· ὁμοούσιοι γὰρ καὶ ἄκτιστοι ὑπάρχουσι. Κατὰ δὲ τὸ δεύτερον σημαινόμενον, οὐδαμῶς· μόνος γὰρ ὁ Πατὴρ ἀγέννητος· οὐ γὰρ ἐξ ἑτέρας ἐστὶν αὐτῷ ὑποστάσεως τὸ εἶναι. Καὶ μόνος ὁ Υἱὸς γεννητός·
B ἐκ τῆς τοῦ Πατρὸς γὰρ οὐσίας ἀνάρχως καὶ ἀχρόνως γεγέννηται. Καὶ μόνον τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορευτὸν, ἐκ τῆς τοῦ Πατρὸς οὐσίας, οὐ γεννώμενον, ἀλλ' ἐκπορευόμενον· οὕτω μὲν τῆς θείας διδασκούσης Γραφῆς, τοῦ δὲ τρόπου τῆς γεννήσεως καὶ τῆς ἐκπορεύσεως ἀκαταλήπτου ὑπάρχοντος.

Καὶ τοῦτο δὲ ἰστέον, ὡς οὐκ ἐξ ἡμῶν μετηνέχθη ἐπὶ τὴν μακαρίαν θεότητα τὸ τῆς πατρότητος, καὶ υἱότητος, καὶ ἐκπορεύσεως ὄνομα· τοὐναντίον δὲ ἐκεῖθεν ἡμῖν μεταδέδοται, ὥς φησιν ὁ θεῖος Ἀπόστολος· *Διὰ τοῦτο κάμπτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.*

Εἰ δὲ λέγομεν τὸν Πατέρα ἀρχὴν εἶναι τοῦ Υἱοῦ καὶ μείζονα, οὐ προτερεύειν αὐτὸν τοῦ Υἱοῦ
C χρόνῳ, ἢ φύσει ὑποφαίνομεν· δι' αὐτοῦ γὰρ τοὺς αἰῶνας ἐποίησεν· οὐδὲ καθ' ἕτερόν τι, εἰ μὴ κατὰ τὸ αἴτιον· τουτέστιν, ὅτι ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς ἐγεννήθη, καὶ οὐχ ὁ Πατὴρ ἐκ τοῦ Υἱοῦ· καὶ ὅτι ὁ Πατὴρ αἴτιός ἐστι τοῦ Υἱοῦ φυσικῶς· ὥσπερ οὐκ ἐκ τοῦ φωτὸς τὸ πῦρ φαμεν προέρχεσθαι, ἀλλὰ τὸ φῶς μᾶλλον ἐκ τοῦ πυρός. Ὅτε οὖν ἀκούσωμεν ἀρχὴν καὶ μείζονα τοῦ Υἱοῦ τὸν Πατέρα, τῷ αἰτίῳ νοήσωμεν. Καὶ ὥσπερ οὐ λέγομεν ἑτέρας οὐσίας τὸ πῦρ, καὶ ἑτέρας τὸ φῶς, οὕτως οὐχ οἷόν τε φάναι ἑτέρας οὐσίας τὸν Πατέρα, καὶ τὸν Υἱὸν ἑτέρας· ἀλλὰ μιᾶς καὶ τῆς αὐτῆς. Καὶ καθάπερ φαμὲν διὰ τοῦ ἐξ αὐτοῦ προερχομένου φωτὸς φαίνειν τὸ πῦρ, καὶ οὐ τιθέμεθα ὄργανον ὑπουργικὸν εἶναι τοῦ πυρὸς τὸ ἐξ αὐτοῦ
D φῶς, δύναμιν δὲ μᾶλλον φυσικήν· οὕτω λέγομεν τὸν Πατέρα πάντα ὅσα ποιεῖ, διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ ποιεῖν, οὐχ ὡς δι' ὀργάνου λειτουργικοῦ, ἀλλὰ φυσικῆς καὶ ἐνυποστάτου δυνάμεως. Καὶ ὥσπερ λέγομεν τὸ πῦρ φωτίζειν, καὶ πάλιν φαμὲν τὸ φῶς τοῦ πυρὸς φωτίζειν, οὕτω *πάντα ὅσα ποιεῖ ὁ Πατὴρ, ὁμοίως καὶ ὁ Υἱὸς ποιεῖ.* Ἀλλὰ τὸ μὲν φῶς οὐκ ἰδίαν ὑπόστασιν παρὰ τὸ πῦρ κέκτηται· ὁ δὲ Υἱὸς τελεία ὑπόστασίς ἐστι, τῆς πατρικῆς ἀχώριστος ὑποστάσεως, ὡς ἀνωτέρω παρεστήκαμεν. Ἀδύνατον γὰρ εὑρεθῆναι ἐν τῇ κτίσει εἰκόνα ἀπαραλλάκτως ἐν ἑαυτῇ τὸν τρόπον τῆς ἁγίας Τριάδος παραδεικνύουσαν. Τὸ γὰρ κτιστὸν καὶ σύνθετον, καὶ ῥευστὸν, καὶ τρεπτὸν, καὶ περίγραπτον, καὶ σχῆμα ἔχον, καὶ φθαρτὸν, πῶς σαφῶς δηλώσει τὴν πάντων

[1] Joan. xv, 26. [2] Ephes. v, 14. [3] Joan. xv, 28. [4] Hebr. i, 26. [5] Joan. v, 19.

τούτων ἀπηλλαγμένην ὑπερούσιον θείαν οὐσίαν; Πᾶσα δὲ ἡ κτίσις, δῆλον ὡς τοῖς πλείοσι τούτων ἐνέχεται, καὶ πᾶσα κατὰ τὴν ἑαυτῆς φύσιν τῇ φθορᾷ ὑπόκειται.

similitudo reperiatur, quæ sanctæ Trinitatis modum in seipsa citra ullum dissimilitudinis notam repræsentet. Quod enim creatum, et compositum, et caducum, et mutabile, et circumscriptum, et figura præditum, et corruptibile est, quo tandem modo superessentialem essentiam divinam, ab his omnibus liberam, aperte declarabit? Perspicuum autem est res omnes creatas plerisque ejusmodi affectionibus obnoxias esse, sicque a natura comparatas, ut corruptioni subjaceant.

Ὁμοίως πιστεύομεν καὶ εἰς ἓν Πνεῦμα ἅγιον, τὸ Κύριον, καὶ ζωοποιόν· τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, καὶ ἐν Υἱῷ ἀναπαυόμενον· τὸ τῷ Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, ὡς ὁμοούσιόν τε καὶ συναΐδιον· τὸ τοῦ Χριστοῦ Πνεῦμα, τὸ εὐθὲς, τὸ ἡγεμονικὸν, τὴν πηγὴν τῆς σοφίας, καὶ ζωῆς, καὶ τοῦ ἁγιασμοῦ· Θεὸν σὺν Πατρὶ καὶ Υἱῷ ὑπάρχον καὶ προσαγορευόμενον· ἄκτιστον, πλῆρες, δημιουργὸν, παντοκρατορικὸν, παντουργὸν, παντοδύναμον, ἀπειροδύναμον, δεσπόζον πάσης κτίσεως, οὐ δεσποζόμενον· θεοῦν, οὐ θεούμενον· πληροῦν, οὐ πληρούμενον· μετεχόμενον, οὐ μετέχον· ἁγιάζον, οὐχ ἁγιαζόμενον· παράκλητον, ὡς τὰς τῶν ὅλων παρακλήσεις δεχόμενον· κατὰ πάντα ὅμοιον τῷ Πατρὶ καὶ Υἱῷ· ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, καὶ δι' Υἱοῦ μεταδιδόμενον, καὶ μεταλαμβανόμενον ὑπὸ πάσης κτίσεως, καὶ δι' ἑαυτοῦ κτίζον, καὶ οὐσιοῦν τὰ σύμπαντα, καὶ ἁγιάζον, καὶ συνέχον· ἐνυπόστατον, ἐν ἰδίᾳ ὑποστάσει ὑπάρχον, ἀχώριστον καὶ ἀνεκφοίτητον Πατρὸς καὶ Υἱοῦ, καὶ πάντα ἔχον ὅσα ἔχει ὁ Πατὴρ καὶ ὁ Υἱὸς, πλὴν ἀγεννησίας καὶ τῆς γεννήσεως. Ὁ μὲν γὰρ Πατὴρ ἀναίτιος καὶ ἀγέννητος· οὐ γὰρ ἔκ τινος· ἐξ ἑαυτοῦ γὰρ τὸ εἶναι ἔχει, οὐδέ τι τῶν ὅσαπερ ἔχει ἐξ ἑτέρου ἔχει· αὐτὸς δὲ μᾶλλόν ἐστιν ἀρχὴ καὶ αἰτία τοῦ εἶναι καὶ τοῦ πῶς εἶναι φυσικῶς τοῖς πᾶσιν. Ὁ δὲ Υἱὸς ἐκ τοῦ Πατρὸς γεννητῶς· τὸ δὲ Πνεῦμα τὸ ἅγιον, καὶ αὐτὸ μὲν ἐκ τοῦ Πατρὸς, ἀλλ' οὐ γεννητῶς, ἀλλ' ἐκπορευτῶς. Καὶ ὅτι μὲν ἔστι διαφορὰ γεννήσεως καὶ ἐκπορεύσεως μεμαθήκαμεν· τίς δὲ ὁ τρόπος τῆς διαφορᾶ, οὐδαμῶς. Ἅμα δὲ καὶ ἡ τοῦ Υἱοῦ ἐκ τοῦ Πατρὸς γέννησις, καὶ ἡ τοῦ ἁγίου Πνεύματος ἐκπόρευσις.

De Spiritu sancto. Ignotum nobis ut distinguantur in Deo generatio et processio. — Eodem etiam modo credimus in Spiritum sanctum, Dominum, et vivificantem, qui ex Patre procedit, et in Filio conquiescit; qui cum Patre et Filio simul adoratur et conglorificatur, utpote consubstantialis et coæternus; Christi Spiritum, rectum, principalem; sapientiæ, vitæ et sanctitatis fontem; Dei cum Patre et Filio cum rem habentem, tum nuncupationem; increatum, plenum, conditorem, continentem omnia ac moderantem, omnium effectorem, omnipotentem, infinitæ potentiæ, creatis omnibus imperantem, nulliusque imperio subjacentem; qui deos facit, non deus fit; qui implet, nec impletur; qui participatur, nec participat; sanctificat, nec sanctificatur; Paracletum, hoc est, consolatorem, ut qui universorum admittat obsecrationes: Patri et Filio per omnia similem; ex Patre procedentem; qui per Filium conceditur, et ab omni creatura percipitur; qui per seipsum creat, et rebus omnibus subsistentiam tribuit et sanctitatem, qui in propria subsistit, sive exsistit, hypostasi; qui a Patre et Filio nec separatur nec digreditur; qui omnia habet quæ Pater et Filius, excepta ingeniti et geniti proprietate. Pater quippe causam non agnoscit, estque ingenitus. Non enim ex quoquam est (a seipso enim habet ut sit), nec quidquam eorum quæ habet, ab alio habet; quin potius ipse principium omnibus est et causa, tum quod sint, tum quod naturaliter certo modo sint. Filius autem ex Patre est generationis modo. Spiritus vero sanctus et ipse quoque ex Patre est, non gignendi tamen modo, sed procedendi. Et quidem generationem inter et processionem discrimen intercedere edocti sumus: cæterum quis sit hujus distinctionis modus, prorsus nescimus. Simul porro et Filii ex Patre generatio, et Spiritus sancti processio est.

Πάντα οὖν ὅσα ἔχει ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα, ἐκ τοῦ Πατρὸς ἔχει, καὶ αὐτὸ εἶναι· καὶ εἰ μὴ ὁ Πατήρ ἐστιν, οὐδὲ ὁ Υἱός ἐστιν, οὐδὲ τὸ Πνεῦμα· καὶ εἰ μὴ ὁ Πατὴρ ἔχει τι, οὐδὲ ὁ Υἱὸς ἔχει, οὐδὲ τὸ Πνεῦμα· καὶ διὰ τὸν Πατέρα, τουτέστι διὰ τὸ εἶναι τὸν Πατέρα ἐστὶν ὁ Υἱὸς καὶ τὸ Πνεῦμα· καὶ διὰ τὸν Πατέρα ἔχει ὁ Υἱὸς καὶ τὸ Πνεῦμα πάντα ἃ ἔχει, τουτέστι, διὰ τὸ τὸν Πατέρα ἔχειν αὐτὰ, πλὴν τῆς ἀγεννησίας, καὶ τῆς γεννήσεως, καὶ ἐκπορεύσεως. Ἐν ταύταις γὰρ μόναις ταῖς χαρακτηριστικαῖς ἰδιότησι διαφέρουσιν ἀλλήλων αἱ ἅγιαι τρεῖς ὑποστάσεις· οὐκ οὐσίᾳ, τῷ δὲ χαρακτηριστικῷ τῆς ἰδίας ὑποστάσεως ἀδιαιρέτως διαιρούμεναι.

Omnia igitur quæ Filius habet, Spiritus etiam a Patre habet; atque adeo hoc ipsum quod est. Quod si Pater non est, sane nec Filius est, nec Spiritus. Itidem nisi Pater aliquid habet, ne Filius quidem illud habeat, nec Spiritus: et propter Patrem, id est, quia Pater est, tum Filius, tum Spiritus sanctus est. Rursusque propter Patrem habet Filius quidquid habet, et Spiritus, hoc est, propterea quod Pater hæc habet; modo tamen, ingeniti, geniti, et processionis proprietates excipias. In his enim duntaxat personalibus proprietatibus tres sanctæ Trinitatis personæ inter se distinguuntur; non essentia, sed peculiari cujusque personæ nota indivisim discretæ.

Φαμὲν δὲ ἕκαστον τῶν τριῶν τελείαν ἔχειν ὑπόστασιν, ἵνα μὴ ἐκ τριῶν ἀτελῶν μίαν σύνθετον φύσιν τελείαν γνωρίσωμεν· ἀλλ' ἐν τρισὶ τελείαις ὑποστά-

Porro unumquemque ex his tribus perfectam atque integram subsistentiam habere dicimus, ne alioqui compositam unam ex tribus imperfectis

naturam perfectam intelligamus; sed unam simplicem substantiam et essentiam omni perfectione superiorem et anteriorem, in tribus perfectis personis noscamus. Quidquid enim ex imperfectis conflatur, necessario compositum est. At ex perfectis hypostasibus compositio fieri non potest. Quo fit ut nec speciem ex hypostasibus singulis, sed in hypostasibus singulis dicamus. Imperfecta vero diximus, quæ speciem non servant ejus rei quæ ex ipsis efficitur. Lapis enim, lignum, ferrum per se quidem, si peculiarem cujusque naturam spectes, perfecta sunt: at respectu domus quæ ex ipsis exstructa est, singula imperfecta sunt. Neque enim quidquam horum, si privatim consideretur, domus est.

A σεσι μίαν ἁπλῆν οὐσίαν, ὑπερτελῆ, καὶ προτέλειον. Πᾶν γὰρ ἐξ ἀτελῶν συγκείμενον, σύνθετον πάντως ἐστίν. Ἐκ δὲ τελείων ὑποστάσεων ἀδύνατον σύνθεσιν γενέσθαι. Ὅθεν οὐδὲ λέγομεν τὸ εἶδος ἐξ ὑποστάσεων, ἀλλ' ἐν ὑποστάσεσιν. Ἀτελῶν δὲ εἴπομεν, τῶν μὴ σωζόντων τὸ εἶδος τοῦ ἐξ αὐτῶν ἀποτελουμένου πράγματος. Λίθος μὲν γὰρ, καὶ ξύλον, καὶ σίδηρος, ἕκαστον καθ' ἑαυτὸ τέλειόν ἐστι κατὰ τὴν ἰδίαν φύσιν· πρὸς δὲ τὸ ἐξ αὐτῶν ἀποτελούμενον οἴκημα, ἀτελὲς ἕκαστον ὑπάρχει· οὐδὲ γάρ ἐστιν ἕκαστον αὐτῶν καθ' ἑαυτὸ οἶκος.

Quocirca perfectas quidem personas profitemur, ne in divina natura compositionem intelligamus. Compositio enim dissidii mater est. At rursus tres personas in se invicem esse dicimus, ne deorum copiam et turbam inducamus. Ita per tres personas hoc intelligimus, quod nullus hic compositioni et confusioni locus sit: per id autem quod tres personæ ejusdem substantiæ sunt, et aliæ in aliis; quod etiam eadem voluntas, eadem operatio, eadem vis ac potentia, ac denique idem, ut ita loquar, in illis motus est, hoc agnoscimus; quod nimirum in illis nulla divisio locum habeat, et quod unus sit Deus. Unus quippe vere Deus est, Deus, Verbum et Spiritus ejus.

B Τελείας μὲν οὖν τὰς ὑποστάσεις φαμὲν, ἵνα μὴ σύνθεσιν ἐπὶ τῆς θείας νοήσωμεν φύσεως. Σύνθεσις γὰρ ἀρχὴ διαστάσεως. Καὶ πάλιν, ἐν ἀλλήλαις τὰς τρεῖς ὑποστάσεις λέγομεν, ἵνα μὴ πλῆθος καὶ δῆμον θεῶν εἰσαγάγωμεν. Διὰ μὲν τῶν τριῶν ὑποστάσεων τὸ ἀσύνθετον καὶ ἀσύγχυτον· διὰ δὲ τοῦ ὁμοουσίου, καὶ τοῦ ἐν ἀλλήλαις εἶναι τὰς ὑποστάσεις, καὶ τῆς ταυτότητος τοῦ θελήματός τε, καὶ τῆς ἐνεργείας, καὶ τῆς δυνάμεως, καὶ τῆς ἐξουσίας, καὶ τῆς κινήσεως, ἵν' οὕτως εἴπω, τὸ ἀδιαίρετον, καὶ τὸ εἶναι ἕνα Θεὸν γνωρίζομεν. Εἷς γὰρ ὄντως Θεὸς, ὁ Θεὸς, καὶ ὁ Λόγος, καὶ τὸ Πνεῦμα αὐτοῦ.

Hoc autem nosse interest, quod aliud sit quoad rem, et aliud ratione ac cogitatione considerari. Enimvero in omnibus creaturis discretio quidem personarum quoad rem consideratur. Re quippe ipsa Petrum a Paulo separatum consideramus; communitas autem et conjunctio atque unitas, ratione atque cogitatione perspicitur. Per mentem enim concipimus Petrum et Paulum ejusdem esse naturæ, naturamque unam communem habere. Nam uterque eorum animal rationale et mortale est: et uterque caro est, anima rationali et intelligente prædita. Hæc itaque communis natura ratione consideratur. Neque enim hypostases aliæ in aliis sunt, verum quælibet privatim et sigillatim, hoc est sejunctim consistit; habetque permulta quibus ab alia persona dirimatur. Nam et loco disjunguntur, et tempore discrepant, sententia quoque dividuntur, et forma sive figura, et habitu, et temperamento, et dignitate, et instituto vitæ genere, ac denique omnibus aliis proprietatibus, quibus tanquam certis quibusdam notis dignoscuntur. In primis autem inter se dissident, quod non alia in alia, sed quæque separatim exsistunt. Ex quo etiam efficitur, ut duo, et tres, et multi homines dicantur.

Χρὴ δὲ εἰδέναι, ὅτι ἕτερόν τί ἐστι τὸ πράγματι C πράγματι θεωρεῖσθαι, καὶ ἄλλο τὸ λόγῳ καὶ ἐπινοίᾳ. Ἐπὶ μὲν οὖν πάντων τῶν κτισμάτων, ἡ μὲν τῶν ὑποστάσεων διαίρεσις, πράγματι θεωρεῖται. Πράγματι γὰρ ὁ Πέτρος τοῦ Παύλου κεχωρισμένος θεωρεῖται. Ἡ δὲ κοινότης, καὶ ἡ συνάφεια, καὶ τὸ ἕν, λόγῳ καὶ ἐπινοίᾳ θεωρεῖται. Νοοῦμεν γὰρ τῷ νῷ, ὅτι ὁ Πέτρος καὶ ὁ Παῦλος τῆς αὐτῆς εἰσι φύσεως, καὶ κοινὴν μίαν ἔχουσι φύσιν. Ἕκαστος γὰρ αὐτῶν ζῶόν ἐστι [k] λογικὸν θνητόν· καὶ ἕκαστος σάρξ ἐστιν ἐμψυχωμένη [l] ψυχῇ λογικῇ τε καὶ νοερᾷ. Αὕτη οὖν ἡ κοινὴ φύσις τῷ λόγῳ ἐστὶ θεωρητή. Οὐδὲ γὰρ αἱ ὑποστάσεις ἐν ἀλλήλαις εἰσίν. Ἰδίᾳ δὲ ἑκάστη καὶ ἀναμέρος, ἤγουν καθ' ἑαυτὴν κεχώρισται, πλεῖστα τὰ διαιροῦντα αὐτὴν ἐκ τῆς ἑτέρας ἔχουσα. Καὶ γὰρ καὶ τόπῳ διεστήκασι, καὶ χρόνῳ διαφέρουσι, καὶ γνώμῃ D μερίζονται, καὶ ἰσχύϊ, καὶ μορφῇ ἤγουν [m] σχήματι, καὶ ἕξει, καὶ κράσει, καὶ ἀξίᾳ, καὶ ἐπιτηδεύματι, καὶ πᾶσι τοῖς χαρακτηριστικοῖς ἰδιώμασι· πλέον δὲ πάντων, τῷ μὴ ἐν ἀλλήλαις, ἀλλὰ κεχωρισμένως εἶναι. Ὅθεν καὶ δύο, καὶ τρεῖς ἄνθρωποι λέγονται καὶ πολλοί.

Unde unitas naturæ divinæ. Personæ Trinitatis indivisæ. Filius et Spiritus sanctus ad unum principium referuntur. — Id quod in omnibus quoque conditis rebus animadvertere liceat. In sacrosancta vero, et substantiam omnem exsuperante, atque ultra res omnes evecta et incomprehensibili Trinitate, contrario modo se res habet. Illic enim communitas quidem et unitas reipsa consideratur,

Τοῦτο δὲ ἐπὶ πάσης ἐστὶν ἰδεῖν τῆς κτίσεως. Ἐπὶ δὲ τῆς ἁγίας καὶ ὑπερουσίου, καὶ πάντων ἐπέκεινα, καὶ ἀλήπτου Τριάδος, τὸ ἀνάπαλιν. Τὸ μὲν κοινὸν καὶ ἕν, πράγματι θεωρεῖται, διὰ τὸ συναΐδιον, καὶ τὸ ταυτὸν τῆς οὐσίας, καὶ τῆς ἐνεργείας, καὶ τοῦ θελήματος, καὶ τὴν τῆς γνώμης σύμπνοιαν, τήν τε τῆς ἐξουσίας, καὶ τῆς δυνάμεως, καὶ τῆς ἀγαθότητος ταυτότητα. Οὐχ εἶπον ὁμοιότητα, ἀλλὰ

ταυτότητα· καὶ τὸ ἓν ἔξαλμα τῆς κινήσεως. Μία γὰρ A οὐσία, μία ἀγαθότης, μία δύναμις, μία θέλησις, μία ἐνέργεια, μία ἐξουσία, μία καὶ ἡ αὐτὴ, οὐ τρεῖς ὅμοιαι ἀλλήλαις· ἀλλὰ μία καὶ ἡ αὐτὴ κίνησις τῶν τριῶν ὑποστάσεων. Ἓν γὰρ ἕκαστον αὐτῶν ἔχει πρὸς τὸ ἕτερον, οὐχ ἧττον ἢ πρὸς ἑαυτόν· τουτέστιν ὅτι κατὰ πάντα ἕν εἰσιν ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα, πλὴν τῆς ἀγεννησίας, καὶ τῆς γεννήσεως, καὶ τῆς ἐκπορεύσεως· ἐπινοίᾳ δὲ τὸ διῃρημένον. Ἕνα γὰρ Θεὸν γινώσκομεν· ἐν μόναις δὲ ταῖς ἰδιότησι τῆς τε πατρότητος, καὶ τῆς υἱότητος, καὶ τῆς ἐκπορεύσεως· κατά τε τὸ αἴτιον, καὶ τὸ αἰτιατὸν (1), καὶ τὸ τέλειον τῆς ὑποστάσεως, ἤτοι τὸν τῆς ὑπάρξεως τρόπον, τὴν διαφορὰν ἐννοοῦμεν. Οὔτε γὰρ τοπικὴν διάστασιν, ὡς ἐφ' ἡμῶν, δυνάμεθα ἐπὶ τῆς ἀπεριγράπτου λέγειν θεότητος· ἐν ἀλλή- B λαις γὰρ αἱ ὑποστάσεις εἰσίν· οὐχ ὥστε συγχεῖσθαι, ἀλλὰ ὥστε ἔχεσθαι, κατὰ τὸν τοῦ Κυρίου λόγον, *Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ*, φήσαντος· οὔτε θελήματος διαφορὰν, ἢ γνώμης, ἢ ἐνεργείας, ἢ δυνάμεως, ἢ τινος ἑτέρου, ἅτινα τὴν πραγματικὴν, καὶ δι' ὅλου ἐν ἡμῖν γεννῶσι διαίρεσιν. Διὸ οὐδὲ τρεῖς θεοὺς λέγομεν, τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα· ἕνα δὲ μᾶλλον Θεὸν, τὴν ἁγίαν Τριάδα, εἰς ἓν αἴτιον Υἱοῦ καὶ Πνεύματος ἀναφερομένων, οὐ συντιθεμένων, οὐδὲ συναλειφομένων, κατὰ τὴν Σαβελλίου συναίρεσιν· ἑνοῦνται γὰρ, ὡς ἔφημεν, οὐχ ὥστε συγχεῖσθαι, ἀλλ' ὥστε ἔχεσθαι ἀλλήλων· καὶ τὴν ἐν ἀλλήλαις περιχώρησιν ἔχουσι δίχα πάσης συναλοιφῆς καὶ συμφύρσεως· C οὐδὲ ἐξισταμένων, ἢ κατ' οὐσίαν τεμνομένων κατὰ τὴν Ἀρείου διαίρεσιν. Ἀμέριστος γὰρ ἐν μεμερισμένοις, εἰ δεῖ συντόμως εἰπεῖν, ἡ Θεότης, καὶ οἷον ἐν ἡλίοις τρισὶν ἐχομένοις ἀλλήλων, καὶ ἀδιαστάτοις οὖσι, μία τοῦ φωτὸς σύγκρασίς τε καὶ συνάφεια. Ὅταν μὲν οὖν πρὸς τὴν θεότητα βλέψωμεν, καὶ τὴν πρώτην αἰτίαν, καὶ τὴν μοναρχίαν, καὶ τὸ ἓν, καὶ ταυτὸν τῆς θεότητος, ἵν' οὕτως εἴπω, κίνημά τε καὶ βούλημα, καὶ τὴν τῆς οὐσίας, καὶ δυνάμεως, καὶ ἐνεργείας, καὶ κυριότητος ταυτότητα, ἓν ἡμῖν τὸ φανταζόμενον. Ὅταν δὲ πρὸς τὰ ἐν οἷς ἡ Θεότης, ἢ, τό γε ἀκριβέστερον εἰπεῖν, ἃ ἡ Θεότης, καὶ τὰ ἐκ τῆς πρώτης αἰτίας ἀχρόνως ἐκεῖθεν ὄντα, καὶ ὁμοδόξως, καὶ ἀδιαστάτως· τουτέστι τὰς ὑποστάσεις τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, τρία τὰ προσ- D κυνούμενα.

Χρὴ δὲ γινώσκειν, ὅτι τὸν Πατέρα οὐ λέγομεν ἔκ τινος· λέγομεν δὲ αὐτὸν τοῦ Υἱοῦ Πατέρα. Τὸν δὲ Υἱὸν, οὐ λέγομεν αἴτιον, οὐδὲ Πατέρα· λέγομεν δὲ αὐτὸν, καὶ ἐκ τοῦ Πατρὸς, καὶ Υἱὸν τοῦ Πατρός. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον, καὶ ἐκ τοῦ Πατρὸς λέγομεν,

tum quia personæ coæternæ sunt, tum quia illarum eadem est essentia, facultas, voluntas, sententiæ conspiratio, eadem quoque auctoritas, potentia, bonitas. Non dixi, similitudinem, sed identitatem, atque unam motionis præsultationem. Una enim est essentia, una bonitas, una potestas, una voluntas, una facultas, una auctoritas: una, inquam, et eadem, non tres inter se similes, sed una plane eademque trium personarum motio. Unaquæque enim ipsarum non minus unitatem habet cum alia, quam ipsa secum. Unum quippe idemque omnino sunt Pater et Filius et Spiritus sanctus; nisi quod Pater ingenitus est, Filius genitus, et Spiritus sanctus processit. Quod autem in ea discretum est, cogitatione percipitur. Unum quippe Deum cognoscimus: in solis proprietatibus, nimirum paternitatis, filiationis, et processionis; atque quantum ad causam et causatum, ac hypostasis perfectionem, hoc est exsistendi modum, distinctionem intelligimus. Neque enim distantiam secundum locum, ut apud nos, in Deitate quæ circumscriptionem omnem excludit, admittere licet (sunt enim personæ aliæ in aliis; non ut inter se confundantur, sed ut cohæreant, juxta eam Domini sententiam: *Ego in Patre et Pater in me est* [1]) nec voluntatis, aut sententiæ; aut efficacitatis, aut potentiæ; aut alterius cujusdam rei, quæ realem ac omnimodam in nobis distinctionem gignat, discrimen ullum. Quapropter nec tres deos Patrem et Filium et Spiritum sanctum dicimus; quin potius sanctam Trinitatem unum Deum asserimus: sic videlicet ut Filius et Spiritus sanctus ad unum auctorem referantur, non autem componantur, aut juxta Sabellii contractionem una coalescant ac permisceantur (uniuntur enim, ut diximus, non ita ut confundantur, sed ut cohæreant; atque sese invicem citra omnem contradictionem ac commistionem pervadant), nec extra se invicem sistantur, aut quantum ad essentiam juxta Arii divisionem scindantur. Indivisa enim in divisis, ut rem breviter enuntiem, Divinitas est; ac velut in tribus solibus sibi invicem cohærentibus, nulla loci intercapedine disjunctis, una eademque lucis temperatio atque conjunctio. Quare cum Deitatem, primamque illam causam, et monarchiam, atque unam eamdemque divinitatis (ut ita dicam) motionem et voluntatem, essentiam ac potentiam, efficacitatemque, et dominationem intuemur, unum duntaxat sensui nostro obversatur. At vero, cum ea, in quibus Deitas est, vel, si accuratius loquendum est, quæ Deitas est, atque ea quæ ex principe illa causa citra omne temporis spatium, gloriæque discrimen, ac separationem exsistunt; hoc est personas, consideramus, tria sunt quæ a nobis adorantur.

Verum id nobis advertendum est, quod cum non dicamus Patrem esse ex aliquo, dicimus tamen ipsum Filii Patrem. Filium autem nec sine causa, nec Patrem dicimus, sed ex Patre, et Filium Patris. At Spiritum sanctum, et ex Patre dicimus esse, et

(1) Ad verba καὶ τὸ αἰτιατὸν scholion sequens legitur in codice 1 Mosquensi: Ἰδιοτρόπως καὶ οὐκ ῥυσίως τὸ *αἰτιατὸν* ἐνταῦθα νοητέον. Matthæi.

[1] Joan. xv, 11.

Patris Spiritum nominamus. Ex Filio autem Spiritum non dicimus, sed Filii Spiritum appellamus. Si quis enim, inquit Apostolus, Spiritum Christi non habet. Et per Filium nobis esse patefactum, et impertitum confitemur (1). Nam insufflavit, inquit, et dixit discipulis suis: Accipite Spiritum sanctum. Quemadmodum enim a sole tum radius, tum splendor per radium, sic a Patre Filius, et per Filium Spiritus proficiscitur. Ipse enim Pater Filii et Spiritus, ut sol radii et splendoris est fons; per Filium autem Spiritus, ut per radium splendor, nobis impertitur, qui nos illustrat, et a nobis accipitur. Filium vero neque Spiritus, neque ex Spiritu dicimus.

Ejusdem ex cap. 12.

Et Pater est Deus, qui semper est ingenitus, cum a nullo genitus sit et Filium gignat coæternum. Et Filius est Deus, qui semper est cum Patre, sine tempore, et sempiterne, et sine fluxu, et sine perturbatione, et sine sejunctione ab ipso genitus. Et Spiritus sanctus est Deus, virtus sanctos efficiens, in sua subsistens persona, a Patre procedens, acquiescens in Filio, et ejusdem essentiæ cum Patre et Filio. Verbum est, quod per essentiam semper adest cum Patre. Verbum est etiam naturalis animi motus, quo animus ipse movetur, et intelligit, et cogitat, cum sit quasi lux et splendor ipsius. Præterea verbum est et illud intimum, quod in corde loquitur. Ad hæc verbum est animi nuntius. Verbum igitur, quod est Deus, per essentiam in propria consistit persona. Reliqua tria sunt animi facultates, quæ non per se proprie consistunt. Quorum primum est animi germen naturale, quod semper ab ipso naturaliter manat; alterum autem et intimum dicitur; tertium vero pronuntiatur. Spiritus multis modis intelligitur. Nam et Spiritus sanctus, et virtutes ipsius, et angelus bonus, et dæmon, et animus, et nonnunquam etiam mens, et aer dicitur spiritus.

Item de Patre, et Filio, et Spiritu sancto, distincta simul, et unita divinitatis ratio diversorum Patrum.

Fieri non potest ex duabus perfectis personis compositio. Quamobrem nec speciem dicimus ex personis, sed in personis. Itaque perfectas in sancta Trinitate personas dicimus, ne in illis ulla compositio cogitetur. Has autem in se vicissim singulas propter mutuam earum inter se habitum relationemque pronuntiamus.

In omnibus quidem rebus procreatis singula-

καὶ Πνεῦμα Πατρὸς ὀνομάζομεν. Ἐκ τοῦ Υἱοῦ δὲ τὸ Πνεῦμα οὐ λέγομεν. Πνεῦμα δὲ Υἱοῦ ὀνομάζομεν. Εἴ τις γάρ, φησὶν ὁ Ἀπόστολος, Πνεῦμα Χριστοῦ οὐκ ἔχει. Καὶ δι' Υἱοῦ πεφανερῶσθαι, καὶ μεταδίδοσθαι ἡμῖν, ὁμολογοῦμεν. Ἐνεφύσησε γάρ, φησί, καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ, Λάβετε Πνεῦμα ἅγιον. Πνεῦμα γὰρ ἅγιον καὶ τὸ ἐκ τοῦ ἁγίου Πνεύματος χάρισμα (2). Ὥσπερ ἐκ τοῦ ἡλίου μὲν ἥ τε ἀκτίς, καὶ ἡ ἔλλαμψις· αὐτὸς γάρ ἐστιν ἡ πηγὴ τῆς τε ἀκτῖνος καὶ τῆς ἐκλάμψεως· διὰ δὲ τῆς ἀκτῖνος ἡ ἔκλαμψις ἡμῖν μεταδίδοται. Καὶ αὕτη ἐστὶν ἡ φωτίζουσα ἡμᾶς, καὶ μετεχομένη ὑφ' ἡμῶν. Τὸν δὲ Υἱὸν οὔτε τοῦ Πνεύματος λέγομεν, οὔτε μὴν ἐκ τοῦ Πνεύματος.

Τοῦ αὐτοῦ ἐκ τοῦ ιβ' Λόγου.

Θεὸς καὶ Πατήρ, ὁ ὢν ἀεὶ ἀγέννητος, ὡς μὴ ἔκ τινος γεννηθείς, γεννήσας δὲ Υἱὸν συναΐδιον. Θεὸς καὶ Υἱός ἐστιν, ὁ ὢν ἀεὶ σὺν τῷ Πατρί, ἀχρόνως, καὶ ἀϊδίως, καὶ ἀῤῥεύστως, καὶ ἀπαθῶς, καὶ ἀδιαστάτως ἐξ αὐτοῦ γεγεννημένος. Θεὸς καὶ Πνεῦμα ἅγιόν ἐστι, δύναμις ἁγιαστική, ἐνυπόστατος, ἐκ Πατρὸς ἐκπορευομένη, καὶ ἐν Υἱῷ ἀναπαυομένη, ὁμοούσιος Πατρὶ καὶ Υἱῷ. Λόγος ἐστὶν ὁ οὐσιωδῶς τῷ Πατρὶ ἀεὶ συμπαρών. Λόγος πάλιν ἐστὶ καὶ ἡ φυσικὴ τοῦ νοῦ κίνησις, καθ' ἣν κινεῖται, καὶ νοεῖ, καὶ λογίζεται, οἱονεὶ φῶς αὐτοῦ ὢν καὶ ἀπαύγασμα. Λόγος πάλιν ἐστὶ καὶ ὁ ἐνδιάθετος, ὁ ἐν καρδίᾳ λαλούμενος. Καὶ πάλιν λόγος ἐστὶν ἄγγελος νοήματος. Ὁ μὲν οὖν Θεὸς Λόγος, οὐσιώδης τέ ἐστι, καὶ ἐνυπόστατος· οἱ δὲ λοιποὶ τρεῖς λόγοι δυνάμεις εἰσὶ τῆς ψυχῆς, οὐκ ἐν ἰδίᾳ ὑποστάσει θεωρούμενοι· ὧν ὁ μὲν πρῶτος τοῦ νοῦ φυσικόν ἐστι γέννημα, ἐξ αὐτοῦ ἀεὶ φυσικῶς πηγαζόμενος· ὁ δεύτερος δὲ λέγεται καὶ ἐνδιάθετος· ὁ δὲ τρίτος προφορικός. Τὸ Πνεῦμα νοεῖται πολλαχῶς. Τὸ Πνεῦμα τὸ ἅγιον. Λέγονται δὲ καὶ αἱ δυνάμεις τοῦ Πνεύματος πνεύματα. Πνεῦμα καὶ ὁ ἄγγελος ὁ ἀγαθός. Πνεῦμα καὶ ὁ δαίμων. Πνεῦμα καὶ ἡ ψυχή· ἔστι δ' ὅτε καὶ ὁ νοῦς πνεῦμα λέγεται. Πνεῦμα καὶ ὁ ἄνεμος, καὶ ὁ ἀήρ, καὶ ἕτερα.

Ἔτι περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος διακεκριμένη ἅμα καὶ ἡνωμένη θεολογία διαφόρων Πατέρων.

Ἐκ δύο τελείων ὑποστάσεων ἀδύνατον σύνθεσιν γενέσθαι. Ὅθεν οὐδὲ λέγομεν εἶδος ἐξ ὑποστάσεων, ἀλλ' ἐν ὑποστάσεσι. Λοιπὸν οὖν ἐπὶ τῆς ἁγίας Τριάδος τελείας μὲν τὰς ὑποστάσεις λέγομεν, ἵνα μὴ σύνθεσις αὐταῖς ἐπινοηθείη· ἐν ἀλλήλαις δὲ ταύταις φαμὲν διά τε τὴν ἀλληλουχίαν αὐτῶν, καὶ τὸ φεράλληλον, καὶ διὰ τὸ ἀπερίγραπτον, καὶ ἀχώρητον τόπῳ, ἔτι δὲ καὶ διὰ τὴν μίαν τούτων θεότητα.

Ἐπὶ πάντων τῶν κτισμάτων ἡ μὲν τῶν ὑποστά-

(1) Adverte quod in materia processionis Spiritus sancti more Græcorum loquitur, ante determinationem factam in concilio Ephesino sub Theod. Juniore, et Cœlestino papa, quod procederet etiam a Filio. Vel dici potest velle Damasc. non dici Spiritus ex Filio, id est, non haberi clare in Scripturis quod procedat ex Filio, non negat tamen esse ex Filio vel procedere ex Filio. Et ita adnotat dom. Theod. I par., q. 36, artic. 2, argum. 3, et in ejus responso, et hoc modo intelligere potes omnia alia similia dicta si in aliqua incideris in hoc opere. ZINUS. — Vide P. Michaelis Le Quien notam ad hunc Damasceni locum, *Patrologiæ* tom. XCIV, col. 831.

(2) *Πνεῦμα γὰρ ἅγιον καὶ τὸ ἐκ τοῦ ἁγίου Πνεύματος χάρισμα.* Hæc ut scholium in margine habet cod. Mosquensis 1 ap. Matthæium; et revera desunt in Damasceno impresso. EDIT.

σεων διαίρεσις πράγματι θεωρεῖται· πράγματι γὰρ ὁ Μιχαὴλ τοῦ Γαβριὴλ κεχώρισται, καὶ ὁ Πέτρος τοῦ Παύλου, καὶ τὰ λοιπὰ δὲ ὁμοίως. Τὸ δὲ κοινὸν αὐτῶν καὶ τὸ ἓν ἐπινοίᾳ διαγινώσκεται· ἐπινοίᾳ γὰρ μόνῃ νοοῦμεν τὴν ἀγγελότητα τυχὸν καὶ τὴν ἀνθρωπότητα. Ἐπὶ δὲ τῆς θείας Τριάδος ἀνάπαλιν τὸ μὲν κοινὸν αὐτῶν καὶ τὸ ἓν πράγματι θεωρεῖται· πραγματικῶς γὰρ οἴδαμεν ὅτι εἷς ἐστι Θεὸς, καὶ μία καὶ ἡ αὐτὴ φύσις, καὶ ἐξουσία, καὶ σοφία, καὶ δύναμις, καὶ ἐνέργεια, καὶ ἓν καὶ τὸ αὐτὸ θέλημα· ἡ δὲ τῶν ὑποστάσεων διαίρεσις ἐπινοίᾳ ψιλῇ νοεῖται. Οὔτε γὰρ προσωπικὴν περιγραφὴν ἐννοῆσαι τολμῶμεν, οὔτε τοπικὴν διάστασιν, οὔτε τι τῶν ἄλλων ἀφοριστικῶν ἰδιοτήτων, πλὴν πατρότητος καὶ υἱότητος, καὶ ἐκπορεύσεως. Καὶ ταῦτα δὲ ὑπερφυῶς καὶ ὑπερουσίως. Διὸ καὶ ἕνα Θεὸν λέγομεν αὐτοὺς, μὴ δυνάμενοι διελεῖν τελείως καὶ πραγματικῶς τὰς ὑποστάσεις αὐτῶν, ἀδιαιρέτως διαιρουμένας, καὶ ἀσυνάπτως συναπτομένας, διὰ τὸ ὑπερφυὲς ὁμοίως καὶ ὑπερούσιον τῆς τε διαιρέσεως αὐτῶν καὶ τῆς συναφείας.

rum divisio personarum reipsa perspicitur. Michael a Gabriele reipsa separatus est, et Petrus a Paulo, et reliquæ eodem modo. Quod autem in ipsis commune atque unum est, animo et cogitatione concipitur. Cogitatione enim tantummodo comprehendimus humanitatem, et si qua vox eodem modo communem angelorum notionem queat explicare, neque enim angelitatem ausim dicere. At in Trinitate divina contra fit. Quod enim commune atque unum est, reipsa cernitur. Etenim Deum esse unum, et unam eamdemque naturam, et potestatem, et sapientiam, et virtutem, et actionem, et voluntatem, reipsa cognoscimus. Personarum vero distinctionem tenui cogitatione complectimur. Neque enim audemus ullam ejusmodi circumscriptionem, qualem hic in personis cernimus, aut loci intervallum, et alias id genus proprietates, quibus res singulæ tanquam terminis suis conclusæ separantur a cæteris, cogitare, sed eas tantum notiones, quibus Pater genitor, Filius genitus, Spiritus procedens intelligitur. Has quidem Græcos fingendis vocibus feliciores imitati non inutiliter fortasse, barbare quidem certe paternitatem, filiationem et processionem appellant. Quæ ratione naturam atque essentiam superante fiunt. Itaque Deum unum eos esse dicimus, cum ipsorum personas sine divisione distinctas, et sine conjunctione copulatas, propter divisionis conjunctionisque rationem natura simul et essentia præstantiorem, perfecte et reipsa distinguere nequeamus.

Χωρίζονται ἀλλήλων αἱ ὑποστάσεις, οὐ τῇ οὐσίᾳ, ἀλλὰ ταῖς χαρακτηριστικαῖς ἰδιότησι τῶν προσώπων. Λοιπὸν οὖν διὰ τῶν κλήσεων τῆς ἁγίας Τριάδος, Πατρὸς, Υἱοῦ καὶ ἁγίου Πνεύματος, οὐ φύσεων διδασκόμεθα διαφορὰν, ἀλλ' ὑποστάσεων γνωριστικὰς ἰδιότητας.

Distinguuntur hypostases non essentia, sed propriis personarum notis. Quare per sanctæ Trinitatis nomina, Patris, et Filii, et Spiritus sancti, non naturarum discrimen, sed indices personarum proprietates edocemur.

Οὐσία καὶ φύσις, καὶ γένος, καὶ εἶδος, καὶ μορφὴ, ταυτόν ἐστιν ἐπὶ Θεοῦ κατὰ τοὺς θείους Πατέρας. Ὑπόστασις δὲ πάλιν, καὶ πρόσωπον, καὶ χαρακτὴρ, καὶ ἰδιότης, καὶ ἄτομον ταυτόν. Καὶ οὐσία μὲν καὶ φύσις κατὰ πάντων ἐπίσης λέγονται τῶν ὑποκειμένων, καθὸ καὶ πάντες ἄνθρωποι μιᾶς οὐσίας καὶ φύσεως· ὑπόστασις δέ ἐστι, καὶ πρόσωπον, καὶ ἄτομον, τὸ ἰδιαζόντως καὶ καθ' ἑαυτὸ ὑφεστὼς, καὶ διαίρεσιν χωρὶς φθορᾶς μὴ ἐπιδεχόμενον.

Essentia, et natura, et genus, et species, et forma, ex Patrum sententia, idem sunt in Deo. Item persona, et nota, et proprietas, et individuum idem sunt. Et essentia quidem atque natura de omnibus subjectis pariter dicuntur, quemadmodum et omnes homines unius essentiæ naturæque sunt, hypostasis vero, et persona, et individuum significant id quod proprie, et per se subsistit, et ab alio sine interitu suscipit distinctionem.

Εἶδος καὶ μορφὴ ταυτὸν ἐπὶ τῆς ἁγίας Τριάδος, καὶ τὴν οὐσίαν ἄμφω σημαίνουσιν. « Ὁ ἑωρακὼς γὰρ, » φησὶν, « ἐμὲ ἑώρακε τὸν Πατέρα μου, » ὁράσεως ἐνταῦθα νοουμένης τῆς γνώσεως.

Species, et forma idem sunt in sancta Trinitate, essentiamque significant : « Qui vidit me, » inquit, « Patrem vidit [1]. » Hic autem *videre* significat cognoscere.

Ἡ μὲν οὐσία ἑνωτικὴ τῶν ὑποστάσεων· αἱ δὲ ὑποστάσεις διαιρετικαὶ τῆς οὐσίας ἐν τοῖς χαρακτηριστικοῖς καὶ ἀφοριστικοῖς αὐτῶν ἰδιώμασιν.

Essentia personas conjungit. Personæ vero proprietatibus, quasi notis quibusdam separantibus, essentiam distinguunt.

Ἡ μὲν οὐσία οὐδέποτε λέγεται κατὰ ἀνυπάρκτων, ἡ δὲ φύσις πολλάκις. Φύσιν γὰρ, φησὶν, ἔχει τὸ ψεῦδος τοιαύτην. Καὶ ὕλην μὲν φύσις ὕδατος δείκνυσι τὴν οἰκείαν πηγὴν, λόγου δὲ φύσις τὴν προενέγκασαν καρδίαν.

Essentia nunquam dicitur de iis, quæ per se non constant ; natura vero sæpissime. Quapropter hæc est, inquit ille, natura mendacii. Et ille, ductus, inquit, aquæ fontem ostendit suum : sermonis autem natura cor loquentis indicat.

Εἰ τὰ κοινὰ καὶ καθολικὰ ὅλα καὶ τέλεια κατηγοροῦνται τῶν ὑποκειμένων αὐτοῖς μερικῶν· κατηγορεῖται ἄρα καὶ ἡ φύσις τῆς θεότητος ὅλη καὶ τελεία ἑκάστης τῶν ἑαυτῆς ὑποστάσεων. Κοινὸν μὲν γὰρ καὶ καθολικὸν ἡ φύσις καὶ ἡ οὐσία, μερικὸν δὲ

Si ea quæ communia, et universa, et tota, et perfecta de subjectis sibi singularibus dicuntur, dicitur et Divinitatis natura tota et perfecta de singulis ipsius personis. Commune enim et universum quiddam est natura et essentia. Singula-

[1] Joan. XIV, 9.

re autem hypostasis, et persona, non quod naturæ partem habeat, sed quod individuum sit; et essentia commune quiddam est, quoniam de pluribus dicitur; individuum vero singulare, quia dicitur de uno tantum.

Ecclesiæ definitione et lege non est idem natura et hypostasis. Sed quæ inter commune et proprium, inter universum et singulare, inter indefinitum et definitum, eadem est inter naturam atque hypostasim differentia. Beatum tamen Cyrillum et alios Patres his duobus nominibus promiscue et communiter uti, ubi de divina humanæ carnis assumptione disserunt, non ignoramus. Abutuntur enim, cum alias quidem hypostasim pro essentia, alias autem essentiam pro hypostasi pronuntiant, non quod eas idem esse sentiant, sed quoniam initio non solum divina Scriptura, verum etiam Ecclesiæ doctores multis in rebus sine ullo discrimine quibusdam vocibus utebantur, scientes, verba nihil afferre incommodi, cum res aliter habeant. Quæ quidem ipsius Cyrilli sententia est. Et ipse rerum sacrarum demonstrator Dionysius ait, dementis atque imperiti hominis esse, non rei propositæ, sed verbis animum adhibere. Et Gregorius Theologus: «Neque vero,» inquit, «qui de verbis digladiantur, id turpe existiment, quasi pietas nobis in verbis, non autem in rebus ipsis posita sit.» Et rursum: «Veritas, inquit, nobis non in verbis, sed in rebus est sita.» Quando igitur verbis abutuntur auctores, proprie neque sunt, neque accipiuntur illæ res, quas ea verba videntur significare, sed quas ipsi volunt intelligi. Itaque cum hypostaseon unionem, et differentiam, et proprietatem Cyrillus dicit, loco essentiæ utitur hypostasi, ut ea voce naturas unitas per se subsistere declaret, doceatque non similitudinum et formarum quarumdam, quæ non per se constent, sed rerum subsistentium unionem fieri. Quod autem ita sit, ex verbis ipsius, quibus in apologia primi anathematismi adversus Theodoreti reprehensiones utitur, intelligi potest. «Si extra hypostases, inquit, solæ per se formæ vicissim convenissent, illa unionis ratione similitudines quædam et formæ per se non subsistentes convenissent. Nunc autem non similitudinum, sed rerum conventus fuit, ergo et hypostaseon.» Verum quod inter naturam et hypostasim discrimen esse crediderit, ipsemet docet in secunda ad Nestorium epistola: «Servatoris,» inquiens, «nostri voces in Evangeliis neque ad duas hypostases, neque ad duas referimus personas.» Item in epistola, quam ad Orientales scribit: «Evangelicas,» inquit, «et apostolicas voces, quæ de Domino pronuntiantur, scimus a viris theologis partim ita communiter accipi, ut ad unam referantur personam; partim ita dividi, ut duabus naturis tribuantur.» Ac idem: «Alibi non est,» inquit, «duplex, sed unus, et solus Christus.» Hoc autem ait propter unam ejus personam. Quantum enim ad naturas spectat, dicitur

A ἡ ὑπόστασις, καὶ τὸ πρόσωπον· μερικὸν δὲ οὐχ ὡς μέρος τῆς φύσεως μὲν ἔχον, μέρος δὲ μὴ ἔχον, ἀλλ' ὡς ἄτομον. Καὶ ἡ μὲν οὐσία κοινὸν, ὡς κατὰ πλειόνων κατηγορούμενον, τὸ δὲ ἄτομον μερικὸν, ὡς καθ' ἑνὸς μόνου λεγόμενον.

Οὐ ταυτὸν οἶδεν ὁ τῆς Ἐκκλησίας ὅρος καὶ νόμος φύσιν καὶ ὑπόστασιν. Ἣν γὰρ ἔχει τὸ κοινὸν διαφορὰν πρὸς τὸ ἰδικὸν, καὶ τὸ καθολικὸν πρὸς τὸ μερικὸν, καὶ τὸ ἀόριστον πρὸς τὸ ὡρισμένον, ταύτην ἔχει καὶ ἡ φύσις πρὸς τὴν ὑπόστασιν. Κεχρῆσθαι δὲ πολλάκις τὸν μακάριον Κύριλλον, καὶ ἑτέρους Πατέρας ἀδιαφόρως τοῖς δυσὶ τούτοις ὀνόμασιν ἐπὶ τῆς θείας ἐνανθρωπήσεως, οὐκ ἀμφιβάλλομεν. Κατεχρήσαντο γὰρ πῇ μὲν τὴν ὑπόστασιν ἀντὶ οὐσίας, πῇ δὲ τὴν οὐσίαν ἀντὶ ὑποστάσεως ἐκφωνοῦντες, οὐχ ὡς
B ταυτὸν ταύτας γινώσκοντες, ἀλλὰ διότι εἴωθεν ἐξ ἀρχῆς οὐ μόνον ἡ θεία Γραφὴ, ἀλλὰ καὶ οἱ τῆς Ἐκκλησίας διδάσκαλοι περὶ τὰς λέξεις ἀδιαφορεῖν ἐν πολλοῖς, καταχρηστικῶς ἔσθ' ὅτε παρ' αὐτῶν ἐκφερομένας, εἰδότες ὅτι οὐδὲν ἀδικοῦσιν αἱ λέξεις, ὅταν ἄλλως ἔχῃ τὰ πράγματα. Κυρίλλου γὰρ καὶ οὗτος ὁ λόγος. Λέγει δὲ καὶ ὁ ἱεροφάντης Διονύσιος ὅτι ἄλογον καὶ σκαιὸν τὸ μὴ τῇ δυνάμει τοῦ σκοποῦ προσέχειν, ἀλλὰ ταῖς λέξεσι· καὶ ὁ Θεολόγος δὲ Γρηγόριος οὕτω· «Μηδὲν γὰρ οἱ περὶ ταῦτα ζυγομαχοῦντες ἀσχημονείτωσαν, ὥσπερ ἐν ὀνόμασι κειμένης ἡμῖν τῆς εὐσεβείας, ἀλλ' οὐκ ἐν πράγμασι.» Καὶ αὖθις· «Οὐκ ἐν ὀνόμασιν, ἀλλ' ἐν πράγμασιν ἡμῖν ἡ ἀλήθεια.» Τὰ τοίνυν καταχρηστικῶς λεγόμενα οὔτε εἰσὶ
C κυρίως ἃ λέγονται, ὅτι μηδὲ λέγονται κυρίως ἃ εἰσιν, οὔτε νοοῦνται ὡς λέγονται. Ὅτε δὲ ὑποστάσεων ἕνωσιν λέγει Κύριλλος, καὶ διαφορὰν, καὶ ἰδιότητα ἀντὶ οὐσιακῶν κέχρηται τῇ φωνῇ τῶν ὑποστάσεων, τὸ ὑφεστὼς τῶν ἑνωθεισῶν φύσεων διὰ τῆς τοιαύτης φωνῆς δεικνὺς, ὅτι οὐχ ὁμοιοτήτων τινῶν καὶ μορφῶν ἀνυποστάτων γέγονεν ἕνωσις, ἀλλὰ πραγμάτων ὑφεστώτων. Καὶ ὅτι τοῦθ' οὕτως ἔχει, φησὶν αὐτὸς οὗτος ἐν τῇ ἀπολογίᾳ τοῦ πρώτου ἀναθεματισμοῦ πρὸς τὰς Θεοδωρήτου μέμψεις, ὅτι Διδασκέτω παρελθὼν καὶ δίχα τῶν ὑποστάσεων. Μόναι καθ' ἑαυτὰς αἱ μορφαὶ συνῆλθον ἀλλήλαις, ἀλλ' οὐχ ὁμοιότητες ἁπλῶς ἀνυπόστατοι, καὶ μορφαὶ συνέβησαν ἀλλήλαις καθ' ἕνωσιν οἰκονομικήν, ἀλλὰ πραγμάτων αὐτῶν, ἤγουν ὑποστάσεων γέγονε σύνοδος. Ὅτι δὲ
D διάφορον ἠπίστατο τὴν σημασίαν τῆς φύσεως καὶ τῆς ὑποστάσεως, αὐτὸς οὗτος πάλιν ἐδίδαξεν ἐν τῇ πρὸς Νεστόριον δευτέρᾳ ἐπιστολῇ λέγων· «Τὰς δέ γε ἐν τοῖς Εὐαγγελίοις τοῦ Σωτῆρος ἡμῶν φωνὰς οὔτε ὑποστάσεσι δυσὶν, οὔτε μὴν προσώποις καταμερίζομεν.» Καὶ πάλιν ἐν τῇ πρὸς ἀνατολικοὺς ἐπιστολῇ φησιν, ὅτι «Τὰς εὐαγγελικὰς καὶ ἀποστολικὰς φωνὰς περὶ τοῦ Κυρίου ἴσμεν τοὺς θεολόγους ἄνδρας τὰς μὲν κοινοποιοῦντας, ὡς ἐφ' ἑνὸς προσώπου, τὰς δὲ διαιροῦντας, ὡς ἐπὶ δύο φύσεων.» Ὁ αὐτὸς δὲ πάλιν φησὶν, ὅτι «Οὐκ ἔστι διπλοῦς ὁ εἷς καὶ μοναχὸς Χριστὸς,» τοῦτο εἰρηκὼς διὰ τὴν μίαν ὑπόστασιν. Κατὰ γὰρ τὰς φύσεις λέγεται καὶ διπλοῦς. Ἡνίκα μὲν ἁπλῶς καὶ ἀδιαφόρως πρόεισιν ὁ λόγος, εὑρίσκομεν οὐ μόνον τοὺς Πατέρας, ἀλλὰ καὶ τὴν θείαν Γρα-

φὴν συγχρωμένην τοῖς ὀνόμασι κατ' ἐξουσίαν ἁπλῶς. Ὁ μὲν γὰρ θεῖος Ἀπόστολος καὶ τὸ ἔσω τοῦ ἀνθρώπου ἄνθρωπον καὶ τὸ ἔξω ἄνθρωπόν πάλιν ὠνόμασε, τὰ μέρη τῷ τοῦ ὅλου ὀνόματι καλέσας· οἱ δὲ προφῆται τοὐναντίον, ποτὲ μὲν σάρκα, ποτὲ δὲ ψυχὴν τὸν ἄνθρωπον καλοῦσι, τοῖς τῶν μερῶν ὀνόμασι τὸ ὅλον κατονομάζοντες. Ἡνίκα δὲ καιρὸς καλέσῃ, ταῖς κυρίως χρῶνται προσηγορίαις. Κατὰ τὸν εἰρημένον δὲ λόγον καὶ ὁ Θεολόγος Ἰωάννης εἶπεν ὅτι «Καὶ ὁ Λόγος σὰρξ ἐγένετο,» ἀντὶ τοῦ ἄνθρωπος ἐγένετο. Ἀλλ' οὐδὲν περὶ τούτου ζυγομαχοῦμεν. Φησὶ γὰρ ὁ μέγας Διονύσιος ὅτι τοῦτο οὐ τῶν τὰ θεῖα νοεῖν ἐθελόντων ἴδιον, ἀλλὰ τῶν ἤχους ψιλοὺς ὑποδεχομένων, καὶ προσπασχόντων στοιχείοις, καὶ συλλαβαῖς, καὶ λέξεσιν ἀδιαγνώστοις, μὴ διαβαινούσαις εἰς τὸ τῆς ψυχῆς αὐτῶν νοερὸν, ἀλλ' ἔξω περὶ τὰ χείλη, καὶ τὰς ἀκοὰς αὐτῶν βομβουμέναις.

A etiam duplex. Quando igitur oratio simpliciter, et sine controversia constituitur, animadvertimus, non solum Patres, sed divinam Scripturam libere simpliciterque vocabulis uti. Nam D. Apostolus et id quod in homine intrinsecus est, hominem, et id quod extrinsecus, hominem item appellat, atque ita nomen totius partibus tribuit. At e contrario prophetæ modo carnem, modo animam vocantes hominem, partium vocabulis totum indicant. Verum, quando tempus id postulat, propriis vocibus utuntur. Ea vero ratione, quam ante diximus, et Theologus Joannes: «Verbum,» inquit, «caro factum est,» cum vellet dicere, factum est homo. Cæterum hac de re ne digladiemur, aut contendamus. Ait enim magnus Dionysius, id eorum esse proprium, qui non res divinas cupiunt intelligere, sed inanes aucu-
B pantes sonos in litterarum elementis, et syllabis, et verbis ad intelligendum difficilibus, quæ ad animi ipsorum cognitionem non perveniunt, sed labiorum atque aurium tenus circumsonant, immorantur.

Διττὸν ἡ ὑπόστασις. Λέγεται γὰρ ὑπόστασις αὐτό τε τὸ ἁπλῶς ἐν ὑπάρξει ὄν· διότι ὑφέστηκέ τε καὶ ὑπάρχει, ὅπερ χωρὶς τῶν χαρακτηριστικῶν ἰδιωμάτων θεωρεῖται· καὶ τὸ πρόσωπον τὸ καθ' ἑαυτὸ ὑφεστὼς μετὰ καὶ τῶν εἰρημένων ἰδιωμάτων. Ἅπερ γὰρ ἄτομα προσαγορεύειν τοῖς ἐκ τοῦ περιπάτου φίλον, εἰς ἃ ἡ τῶν γενῶν καὶ εἰδῶν ἀποτελευτᾷ διαίρεσις, ὡς μὴ δυνάμενα ἔτι διαιρεθῆναι· ἡ γὰρ εἰς ψυχὴν καὶ σῶμα τοῦ ἀνθρώπου διαίρεσις φθορὰν αὐτοῦ ποιεῖν εἴωθε· ταῦτα οἱ τῆς Ἐκκλησίας διδάσκαλοι πρόσωπα καὶ ὑποστάσεις προσηγορεύκασιν. Ὑποστάσεις δὲ, διότι ἐν τούτοις τὰ γένη, καὶ εἴδη κοινὰ ὄντα καὶ ἀπερίγραπτα, λαμβάνει τὴν ὕπαρξιν καὶ περιγραφήν. Εἰ γὰρ καὶ ἴδιον ἔχει τὸν τοῦ εἶναι λόγον τὸ ζῶον, καὶ ὁ ἄνθρωπος, ὧν τὸ μέν ἐστι γένος, τὸ δὲ εἶδος, ἀλλ' ἐν τοῖς ἀτόμοις, Πέτρῳ τυχὸν καὶ Παύλῳ, τὴν ὑπόστασιν ἔχουσι, χωρὶς τούτων οὐχ ὑφιστάμενα. Ἀλλὰ ταῦτα μὲν περὶ τῆς ὑποστάσεως. Πάλιν δὲ διττὸν καὶ τὸ ἐνυπόστατον. Σημαίνει γὰρ τὸ ἁπλῶς τε ὄν, καθ' ὃ σημαινόμενον οὐ μόνον τὴν οὐσίαν, ἣν αὐθύπαρκτόν τε καὶ αὐθυπόστατον οἱ περὶ ταῦτα δεινοί φασιν, ἐνυπόστατον λέγομεν δι' αὐτὸ τοῦτο τὸ εἶναι ἁπλῶς καὶ ὑφεστάναι, ἀλλὰ καὶ τὰ συμβεβηκότα προσαγορεύομεν ἐνυπόστατα, διότι ἐν ἑτέρῳ, καὶ οὐχ ἐν ἑαυτοῖς ἔχουσι τὸ ὑφεστάναι καὶ εἶναι, τουτέστιν ἐν τῇ οὐσίᾳ, ἃ κυριώτερον ἑτεροϋπόστατα ὀνομάζονται. Σημαίνει δὲ καὶ τὸ καθ' ἑαυτὸ ὂν, καὶ ἰδιοσύστατον τυγχάνον, καθ' ὃ σημαινόμενον καὶ τὰ ἄτομα ἐνυπόστατα λέγονται, ἅπερ κυρίως ὑποστάσεις μᾶλλόν εἰσί τε καὶ γνωρίζεται. Ἀλλὰ περὶ μὲν τοῦ ἐνυποστάτου τοσαῦτα. Πάλιν δὲ καὶ τὸ ἀνυπόστατον ὁμοίως διττόν ἐστι. Λέγεται γὰρ ἀνυπόστατον οὐ μόνον τὸ μηδαμῇ μηδαμῶς ὂν, ἀλλὰ καὶ τὸ ἐν ἑτέρῳ ἔχον τὴν ὑπόστασιν, ὡς τὰ συμβεβηκότα, διότι καθ' ἑαυτὰ οὐ δύνανται ὑφεστάναι. Κατὰ δὲ τὸν λεπτομερέστερον λόγον καὶ ἄλλα πλείονα σημαινόμενα τῆς ὑποστάσεως εὕρομεν. Λέγεται γὰρ ὑπόστασις παρὰ τὰ εἰρημένα ἀνωτέρω καὶ τὸ φορτίον, ὡς ἐν τῷ Δευτερονομίῳ· «Πῶς ἐγὼ δυνήσομαι μόνος φέρειν τὴν ὑπόστασιν ὑμῶν;» Ἐν

Duplex est hypostasis. Nam modo significat id, quod simpliciter est in essentia, quoniam subsistit, et est, et sine propriis signis ac notis consideratur: modo personam indicat per se cum ipsis propriis notis subsistentem. Etenim quæ Peripateticis appellare placuit individua, ad quæ cum genera et species divisione pervenerint, consistunt, quod dividi amplius non possint; hominis enim in corpus animamque divisio interitum afferre solet, ea doctores Ecclesiæ personas et hypostases nominarunt. Hypostases autem dictæ sunt, quia genera et species, quæ communia sunt, et non circumscripta, in his exsistunt et circumscribuntur. Quamvis enim animal et homo, quorum unum est
C genus, alterum species, propriam etiam rationem habeant qua sint, tamen in ipsis individuis, exempli gratia in Petro et Paulo, habent hypostasim, sine quibus subsistere nequeunt. Et hæc quidem hactenus de hypostasi. Ambiguum item est hoc verbum: «Enypostaton:» significat enim, id quod simpliciter est, qua quidem significatione non solum essentiam, quam qui hæc profitentur aut hyparcton, aut hypostaton dicunt, enypostaton vocamus, quod simpliciter sit atque subsistat; verum etiam accidentia, quoniam in alio, nempe in essentia, non in se habent, uti subsistant et sint. Enypostata appellamus, quæ tamen magis proprie et heteroypostata dicuntur. Significat etiam id, quod per se est et per
D se proprie consistit, qua quidem significatione et individua vocantur enypostata, quæ quidem proprie hypostases magis et sunt, et cognoscuntur. Verum et de voce hac, Enypostaton, satis dictum sit. Anypostaton quoque est verbum anceps. Dicitur enim anypostaton non solum id quod nullo modo prorsus est, verum etiam id, quod in alio subsistit, qualia sunt accidentia, quia per se subsistere nequeunt. Quod si subtilius et accuratius pervestigemus, inveniemus hypostasim etiam alia multa significare. Nam præter illa quæ dicta sunt, *onus* etiam significat hypostasis sive substantia, ut

indicat ille Deuteronomii locus : « Quomodo potero ego solus onus vestrum sustinere [1] ? » Illic enim Græci habent hypostasim, in Hebraico autem volumine est, *maschen*, quæ vox onus significat. Ad hæc significat etiam cibum, sive annonam hypostasis, ut ex libro Judicum intelligi potest, ubi Judæi : « Quoniam Madianitæ, » inquiunt, « diripuerunt fructus terræ, et substantiam nostram [2]. » Quod enim hic est substantiam, Græce autem hypostasim, apud Hebræos est *micheia*, quod *victum* significat. Hypostasis item ponitur loco spei. Nam in libro qui inscribitur Ruth, Noemi sic ait : « Non est mihi filius, nec spes [3] ; » Hebraice autem sic habet, *thicuiam*, qua voce procreandorum liberorum spes declaratur. Pretium item, sive mercedem significat hypostasis, ut in primo libro Regum, pro mercede fabri : « Ad securim, » inquit, et quæ sequuntur, « merces hæc erat [4]. » Quod hic est merces et hypostasis Græce, Hebraice dictum est *ardaban*, quo quidem verbo pretium et merces indicatur. Significat etiam castra in eodem primo Regum libro : « Veni » inquit Jona has ad armigerum suum, « ascendamus ad castra adversariorum [5]. » Hic est hypostasim, apud Hebræos autem *mataam*, quod castra, sive tentorium significat. Valet etiam hypostasis quod in rebus liquidis subsistit, qua significatione dicimus urinæ hypostasim et facultatem, ut illud : « Et substantia mea, tanquam nihilum ante te. »

A γὰρ τῷ Ἑβραϊκῷ, μασαχὲμ εἴρηται, ὅ ἐστι φορτίον, καὶ ἡ τροφὴ, ὡς ἐν τοῖς Κριταῖς περὶ τῶν Ἰουδαίων, ὅτι οἱ Μαδιηναῖοι διήρπαζον τοὺς καρποὺς τῆς γῆς, καὶ τὴν ὑπόστασιν αὐτῶν. « Ἐν γὰρ τῷ Ἑβραϊκῷ *μοιχεία* κεῖται, ὅ ἐστι ζωὴ, καὶ ἡ ἐλπὶς, ὡς ἐν τῇ Ῥοὺθ, ἡ Νοεμμὶν φησι, « Μὴ ἔστι μοι υἱὸς ἡ ὑπόστασις. Ἐν γὰρ τῷ Ἑβραϊκῷ θικαΐα κεῖται, τουτέστιν ἐλπὶς τεκνογονίας. Καὶ ἡ ἀποτίμησις, ὡς ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν ὑπὲρ τοῦ μισθοῦ τοῦ χαλκέως· « Εἰς δὲ τὸ δρέπανον, « καὶ τὰ ἑξῆς φησιν, « ὑπόστασις ἦν ἡ αὐτή. » Ἐν γὰρ τῷ Ἑβραϊκῷ *ἀρδαβὰν* κεῖται, ὅ ἐστιν ἀποτίμησις. Καὶ ἡ παρεμβολὴ, ὡς ἐν τῇ αὐτῇ βίβλῳ Ἰωνάθαν φησὶ τῷ σκευοφοροῦντι αὐτῷ, « Δεῦρο διαβῶμεν εἰς τὴν ὑπόστασιν τῶν ἀλλοφύλων. » Ἐν γὰρ τῷ Ἑβραϊκῷ *ματαὰμ* κεῖται, ὃ σημαίνει παρεμβολήν.
B Καὶ ἡ ἐν τοῖς ὑγροῖς ὑφισταμένη ἰλὺς, ὡς λέγομεν ὑπόστασις οὔρου. Καὶ ἡ ὕπαρξις, ὡς τὸ, « Καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου· » καὶ ἡ ἑδραίωσις, ὡς τὸ, « Ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. » Καὶ ἡ πραγματεία, ὡς Ἱερεμίας, « Συνήγαγε, » φησὶν, « ἔξω τὴν ὑπόστασίν σου. » Καὶ τὸ ἀπόρρητον, ὡς ὁ αὐτὸς περὶ τῶν ψευδοπροφητῶν, « Καὶ ἔστησαν, » φησὶν, « ἐν ὑποστάσει μου, » ἤτοι ἐν ἀπορρήτῳ μου. Καὶ τὸ στερέωμα, Ἰεζεκιὴλ περὶ τῆς τοῦ ναοῦ οἰκοδομῆς, « Διαγράψεις τὸν οἶκον, » καὶ τὰ ἑξῆς, ἐν ᾧ ὑπόστασιν λέγει τὸ στερέωμα· καὶ ὁ ἔπαινος, ὡς ὁ Ἀπόστολος· « Ὃ λαλῶ, οὐ κατὰ Κύριον λαλῶ, ἀλλ' ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. »

Et firmamentum, ut illud : « Fixus sum in limo profundi, et non est substantia . » Et negotium, ut illud Jeremiæ : « Coegit, » inquit, « sine tuo negotio. » Et arcanum, ut idem Jeremias de falsis prophetis : « Et si steterunt, » inquit, « in substantia mea, » hoc est, in arcano meo. Et firmamentum, ut Ezechiel de cœli fabrica : « Describens, » inquit, « domum, » et quæ sequuntur, ubi hypostasim ponit pro firmamento. Et laudem, ut Apostolus : « Quod loquor, » inquit, « non loquor secundum Deum, sed in stultitia, in hac substantia gloriationis. »

TITULUS III.

De Deo, seu de Divinitate communiter. Perspicuum est, qui Deum, aut Divinitatem, aut divinum Numen dicit, communi horum appellatione tres unius Divinitatis hypostases, sive personas declarare. Areopagitæ. Hæc dilucidiora ut essent, paraphrasi quadam sunt paulo latius explicata.

Divinum Numen causa quidem est, ut res sint. Ipsum vero non est, quippe quod nulla rerum sit, sed omnibus antecellit. At licet Deus etiam dicatur esse, ut eo loco : « Ego sum, qui sum [6], » non tamen est, quo res ipsæ sunt aut quovis modo, (qui enim fieri queat, ut effector ita sit, ut sunt ea, quæ ab ipso facta sunt ?) sed est simplici, et propria, et excellenti ratione, quam ipse solus cognitam habet. Cujus enim natura ignota est omnibus, quæ post ipsum exstiterunt, hujus et essentia est prorsus ignota. Eodem pacto Deum et esse unum, et unum non esse dicimus ; unum quidem, quod nullus alius ejusmodi sit : non unum autem, quod omnem unitatis notionem cognitionemque superet. Unum præterea, quia dividi nequit et simplex est :

C
ΤΙΤΛΟΣ Γ'.

Περὶ Θεοῦ κοινῶς, ἤτοι περὶ Θεότητος. Δῆλον δὲ ὅτι ὁ Θεὸν εἰπὼν, ἢ Θεότητα, ἢ τὸ Θεῖον ἁπλῶς καὶ ἀπροσδιορίστως, τὰς τρεῖς ὑποστάσεις τῆς μιᾶς Θεότητος ἐνέφηνε τῇ καθολικῇ τούτων προσηγορίᾳ. Τοῦ Ἀρεοπαγίτου. Μετρίως δὲ [*εἰσι ταῦτα παραπεφρασμένα πρὸς τὸ σαφέστερον* (1).]

Τὸ Θεῖον αἴτιον μέν ἐστι τοῖς οὖσι τοῦ εἶναι, αὐτὸ δέ ἐστι μὴ ὂν, ὡς μηδὲν τῶν ὄντων, ἀλλ' ὑπὲρ τὰ ὄντα. Εἰ δὲ καὶ ὁ Θεὸς ὢν λέγεται κατὰ τὸ, « Ἐγώ εἰμι ὁ ὢν, » ἀλλ' οὐκ ἔστιν ὢν, ὡς τὰ ὄντα· πῶς γὰρ ὁ δημιουργὸς, ὡς τὰ δημιουργήματα; οὐδὲ πῶς ὢν, ἀλλ' ἁπλῶς ὢν καὶ ἰδιοτρόπως, ἤγουν ἐξαιρέτως, καὶ ὡς οἶδε μόνος αὐτός. Οὗ γὰρ ἡ φύσις ἄγνωστος τοῖς μετ' αὐτὸν, τούτου πάντως ἄγνωστον καὶ τὸ εἶναι.
D Κατὰ τοῦτον δὲ τὸν λόγον καὶ ἕν ἐστι, καὶ οὐχ ἕν· ἓν μὲν, ὡς μηδενὸς ἄλλου τοιούτου ὄντος· οὐχ ἓν δὲ, ὡς ὑπὲρ πᾶσαν ἔννοιαν καὶ γνῶσιν ἑνότητος. Καὶ αὖθις ὡς ἀμερὴς καὶ ἁπλοῦς. Οὐχ ἓν δὲ, ὡς οὐδὲν τῶν ἀμερῶν, καὶ ἁπλῶν, ἀλλ' ὑπὲρ πᾶν ἓν, καὶ ὑπὲρ πᾶσαν ἀμέρειαν καὶ ἁπλότητα, καὶ δημιουργὸς αὐτῶν ὁμοίως λέγεται, καὶ οὐσία, καὶ οὐκ οὐσία·

[1] Deut. I, 10. [2] Jud. VI, 5. [3] Ruth. I, 3. [4] I Reg. XIII. [5] I Reg. XIV, 1. [6] Exod. III, 13.

(1) Inclusa addunt codd. Mosquenses 1 et 15.

οὐσία μὲν, ὡς αὐτοοντότη· οὐκ οὐσία δὲ, ὡς ὑπερούσιός τε καὶ οὐσιοποιός. Ἔτι δὲ καὶ ἑνὰς, καὶ οὐχ ἑνάς· ἑνὰς μὲν, ὡς αὐτοενότης· οὐχ ἑνὰς δὲ, ὡς ὑπὲρ ἑνάδα πᾶσαν, καὶ πάσης ἑνάδος ὑποστάτης. Καὶ πολλὰ τοιαῦτα ἐπὶ Θεοῦ λεγόμενα μὴ κατ' ἔλλειψιν, ἀλλὰ καθ' ὑπεροχὴν, ὁποῖόν ἐστι καὶ τὸ ἀναίσθητον, ἔτι δὲ καὶ τὸ ἀόρατον φῶς.

A non unum autem, quoniam eorum, quæ non dividuntur, quæque simplicia sunt, nullum est, sed omnibus quæ unum sunt, præstat, omnemque divisionis expertem rationem et simplicitatem anteit, et eorum quoque auctor exsistit. Essentiam item et non essentiam dicimus Deum : essentiam, quoniam vere per se est; non essentiam, quia essentiæ præcellit, et ejus effector est. Ad hæc unitatem et non unitatem; unitatem quidem, quia est ipsa unitas : non unitatem vero, quoniam est omni præstantior unitate, et omnis unitatis constitutor. Hæc et alia multa de Deo, non deficienti, sed exsuperanti ratione dicuntur, ut illud etiam, quod sensus non habeat, et lumen sit non aspectabile.

Τοῦ αὐτοῦ.

Ὁ Θεὸς καὶ πάντα τὰ ὄντα ἐστὶν, ὡς πάντων ἀρχὴ καὶ αἰτία, καὶ ὡς πάντα ἐν ἑαυτῷ ἔχων· καὶ οὐδὲν τῶν ὄντων ἐστὶν, ὡς ὑπερούσιος. Διὸ καὶ πάντα αὐτοῦ, καὶ ἅμα κατηγορεῖται, καὶ οὐδὲν τῶν πάντων ἐστὶ, πάνσχημος, πανείδεος, ταῦτα ἀρχὰς, καὶ μέσα καὶ τέλη τῶν ὄντων προειληφὼς ἐν ἑαυτῷ ἀσχέτως, καὶ ἐξῃρημένως, καὶ πᾶσι τὸ εἶναι ἐπιλάμπων κατὰ ὑπερηνωμένην αἰτίαν.

Ejusdem.

Deus et est omnia quæ sunt, quatenus est omnium principium et causa, et omnia in se complectitur. Et nullum est eorum quæ sunt, quatenus essentiam B exsuperat. Quamobrem de ipso et omnia et simul omnia dicuntur, et est omnium nullum. Omnem formam figuramque continet, idemque omnis formæ atque figuræ est expers. Præterea de Deo dicuntur etiam ejusmodi : rerum principia, et media, et fines, antequam res ipsæ sint, immenso et eximio modo Deus in se complectitur. Et omnibus exsistendi lumen per causam unitatem conjunctiorem elargitur.

Τοῦ αὐτοῦ.

Ὅτι ἐπὶ τοῦ Θεοῦ καὶ πάντα καταφάσκομεν, ὡς πάντων αἰτίου, καὶ πάντα ἀποφάσκομεν, ὡς ὑπὲρ πάντα ὄντος. Ὁ γὰρ Θεὸς καὶ πάντα ἐστὶ θεοπρεπῶς, καὶ οὐδὲν τῶν πάντων ὑπερουσίως. Καὶ ἐπὶ τοῦ Θεοῦ οὐκ εἰσὶν αἱ καταφάσεις ἀντικείμεναι ταῖς ἀποφάσεσι, διὰ τὸ εἶναι αὐτὸν ὑπὲρ πᾶσαν θέσιν καὶ ἀφαίρεσιν, καὶ ὑπὲρ πᾶσαν ἕξιν καὶ στέρησιν.

Ejusdem.

De Deo et affirmamus omnia, ut de illo, qui est omnium causa : et negamus omnia, ut de illo, qui sit omnibus excellentior. Deus enim et est omnia ratione quadam ipso digna; et nullum ex omnibus est, quoniam essentiam superat. Porro affirmationes in Deo negationibus non sunt contrariæ, quoniam et omni positione et ablatione, omni habitu privationeque superior.

Τοῦ αὐτοῦ.

C Ὅτι πολλάκις ἀντιπεπονθότως ἐπὶ τοῦ Θεοῦ τὰ τῆς στερήσεως ἀποφάσκεται, ὡς τὸ, « Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, » ὅπερ ὁ ἀπόστολος Παῦλος φῶς εἶπεν ἀπρόσιτον. « Φῶς γὰρ, » φησὶν, « οἰκῶν ἀπρόσιτον· » τὸ γὰρ ἀπρόσιτον φῶς, καὶ διὰ τοῦτο ἀφανὲς, ἴσον ἐστὶ τῷ ἀφανεῖ σκότει, ὅσον εἰς τὸ μὴ φαίνεσθαι. Τοιουτοτρόπως λέγεται καὶ τὸ παμφαὲς φῶς ἀόρατον, ὡς ὑπεραῖρον τὴν ὅρασιν· καὶ ἀγνωσία Θεοῦ ἡ ὑπεραίρουσα γνῶσις, καὶ μωρὸν Θεοῦ τὸ ὑπέρσοφον.

Ejusdem.

Sæpe contrario modo privantia dicuntur de Deo. Ut illud : « Posuit tenebras latibulum suum [1], » quod apostolus Paulus lumen inaccessum appellat : « Lucem, » inquit, « habitans inaccessibilem [2]. » Nam lux, ad quam accedi non potest, atque ideo non cernitur, æqualis est tenebris, quæ non videntur, in eo duntaxat, quod illa perinde, atque hæ, videri non potest. Lumen enim omnibus partibus splendidissimum non possumus intueri, quoniam splendore suo præstringit aciem oculorum. Et ignorantia Dei est præstantissima cognitio, et stultitia Dei omnem superat sapientiam.

Τοῦ αὐτοῦ.

D Ὁ Θεὸς οὔτε φῶς ἐστιν, οὔτε σκότος, οὔτε γνῶσις, οὔτε ἀγνωσία, οὔτε ἀλήθεια, οὔτε ψεῦδος, καὶ συντόμως εἰπεῖν, οὔτε θέσις αὐτοῦ ἐστιν, οὔτε ἀφαίρεσις. Ὑπὲρ πάντα γάρ ἐστι τὰ ἡμῖν ἢ τοῖς ὑπὲρ ἡμᾶς νοούμενα. Ἐπεὶ καὶ Πατὴρ καὶ Υἱὸς καὶ Πνεῦμά ἐστιν, οὐχ ὡς ἡμεῖς νοοῦμεν, ἢ οἱ ὑπὲρ ἡμᾶς, ἀλλ' ὑπὲρ πάντα καὶ νοῦν καὶ λόγον. Αἱ γὰρ θέσεις, καὶ ἀφαιρέσεις, καὶ ἕξεις καὶ στερήσεις τῶν μετὰ Θεόν εἰσιν.

Ejusdem.

Deus neque lux est, neque tenebræ, neque cognitio, neque ignoratio, neque veritas, neque mendacium : et ut breviter omnia complectar, nec positio est, nec ablatio. Præcellit enim omnibus, quæ a nobis et supra nos cogitantur. Quando et Pater, et Filius, et Spiritus non sunt, ut nos intelligimus, aut ut illi intelligunt, qui nobis sunt sapientiores; sed omnem et mentem, et rationem superant. Positiones enim et ablationes, et habitus et privationes numerantur in iis quæ sunt post Deum.

Τοῦ αὐτοῦ.

Ὁ Θεὸς οὐσία ἐστὶ τῶν ὄντων, ὡς ἀρχὴ καὶ αἰτία τούτων· αἰὼν δὲ τῶν αἰώνων, ὡς ἀεὶ ὢν κυριωτέρως

Ejusdem.

Deus est rerum essentia, ut earum principium et causa. Sæculum sæculorum ut qui semper est

[1] Psal. XVII, 12. [2] I Tim. VI, 16.

magis proprie, quam ipsa sæcula. Tempus, ut rerum mensura, qua quidem ratione est etiam terminus rerum, ut qui ipsas terminat. Quandoquidem et sæcula, et infinita sæculorum series infinitate terminatur illius, qui infinitus infinities infinite ipsa complectitur. Generatio, ut qui ad ortum deducit ea, quæ quoquomodo fiunt. Locus, ut qui omnia continet. Omnia denique superior omnibus.

Ejusdem.

Deus et terminus rerum dicitur, et infinitas : terminus, ut ipsas terminans ; infinitas ut super ipsas extensus : nam ejus infinitas omnia transiliens infinite patet.

Ejusdem.

Qui Deum modo ipsam essentiam, ipsam vitam, B ipsam potentiam, ipsam pacem et alia ejusmodi esse dicunt, modo ipsius essentiæ, ipsius vitæ, ipsius potentiæ, ipsius pacis, et aliorum id genus auctorem effectoremque constituunt, non loquuntur inter se pugnantia. Nam tum nominatur ex rebus, et maxime ex iis, quæ primo sunt, ut earum causa : tum excellentiori quadam ratione, ut præstantior omnibus illis etiam, quæ primo sunt. Dicimus autem ipsam essentiam, seu ipsum esse, ut ipsam vitam, et ipsam potentiam, et ipsam pacem, et alia ejusdem generis, nunc quidem eo modo, qui dignus est Deo, nempe unum rerum omnium omni principio excellentius principium et causam : nunc ut tribuuntur et communicantur a Deo. Ac C primo quidem modo sic ea pronuntiant Græci : τὴν αὐτοουσίαν, ἤτοι αὐτοεῖναι, τὴν αὐτοζωὴν, τὴν αὐτοδύναμιν, τὴν αὐτοειρήνην, altero autem modo sic, τὴν αὐτοουσίωσιν, τὴν αὐτοζώωσιν, τὴν αὐτοδυνάμωσιν, τὴν αὐτοειρήνευσιν. Et hæc quidem absoluta, et præcipua, et prima ratione a Deo subsistere dicimus. Quidam vero sacrorum doctorum etiam ipsius bonitatis et divinitatis auctorem dicunt plusquam divinum Deum. Nam ipsam bonitatem et divinitatem asserunt esse communionem, et gratiam bonos divinosque facientem.

A τῶν αἰώνων. Χρόνος δὲ, ὡς μέτρον τῶν ὄντων· καὶ γὰρ ὅρος αὐτῶν, ὡς περατῶν αὐτά· ἐπεὶ καὶ τὰ αἰώνια, καὶ αὐτὴ τῶν αἰώνων ἡ ἀπειρία πεπεράτωται τῇ ἀπειρίᾳ τοῦ ἀπειράκις ἀπείρως ὑπερηπλωμένου αὐτῶν. Γένεσις δὲ, ὡς παραγωγεὺς τῶν ὁπωσοῦν γινομένων· τόπος δὲ, ὡς περιεκτικὸς πάντων. Πάντα δέ ἐστιν ὑπὲρ πάντα.

Τοῦ αὐτοῦ.

Ὁ Θεὸς καὶ πέρας λέγεται τῶν ὄντων, καὶ ἀπειρία· πέρας μὲν, ὡς περατῶν αὐτά· ἀπειρία δὲ, ὡς ὑπερεκτεταμένος αὐτῶν· περατοῦσα γὰρ πάντα ἡ ἀπειρία αὐτοῦ ὑπερήπλωται ἀπειροπλασίως.

Τοῦ αὐτοῦ.

Οὐκ ἐναντιολογοῦσιν οἱ ποτὲ μὲν λέγοντες τὸν Θεὸν αὐτοουσίαν, καὶ αὐτοζωὴν, καὶ αὐτοδύναμιν, καὶ αὐτοειρήνην, καὶ τὰ τοιαῦτα· ποτὲ δὲ λέγοντες αὐτὸν ὑποστάτην, καὶ δημιουργὸν αὐτοουσίας, καὶ αὐτοζωῆς, καὶ αὐτοδυνάμεως, καὶ αὐτοειρήνης, καὶ τῶν τοιούτων. Τὰ μὲν γὰρ ὀνομάζεται ἐκ τῶν ὄντων, καὶ μάλιστα ἐκ τῶν πρώτως ὄντων, ὡς αἴτιος αὐτῶν· τὰ δὲ ὑπεροχικῶς, ὡς ὑπὲρ πάντα, καὶ τὰ πρώτως ὄντα· αὐτοουσίαν δὲ, ἤτοι αὐτοεῖναι, καὶ αὐτοζωὴν, καὶ αὐτοδύναμιν, καὶ αὐτοειρήνην, καὶ τὰ τοιαῦτα λέγομεν, θεϊκῶς μὲν καὶ δημιουργικῶς τὴν μίαν πάντων ὑπεράρχιον ἀρχὴν καὶ αἰτίαν· μεθεκτῶς δὲ τὰς ἐκδιδομένας ἐκ Θεοῦ μεθέξεις, τὴν αὐτοουσίωσιν, τὴν αὐτοζώωσιν, τὴν αὐτοδυνάμωσιν, τὴν αὐτοειρήνευσιν, καὶ τὰ παραπλήσια, ἅπερ ἀπολύτως, καὶ ἀρχηγικῶς, καὶ πρώτως ἐκ Θεοῦ ὑποστῆναι λέγομεν· τινὲς δὲ τῶν ἱεροδιδασκάλων καὶ τῆς αὐτοαγαθότητος, καὶ τῆς θεότητος ὑποστάτην φασὶ τὸν ὑπέρθεον Θεὸν, αὐτοαγαθότητα, καὶ θεότητα λέγοντες τὴν ἐκ Θεοῦ προερχομένην ἀγαθοποιὸν καὶ θεοποιὸν μέθεξιν καὶ δωρεάν.

Ejusdem.

Et magnum et parvum Deo qui rerum est omnium causa, tribuuntur in multis Scripturæ locis. Parvus ostenditur, quoniam in aura tenui. Magnus dicitur ut magnitudinis elargitor, et infinita præditus magnitudine, et omnem magnitudinem D superans : cujus magnitudo quantitatem, et mensuram, et terminum non habet. Parvum seu tenue dicitur in Deo, quod nullam habet molem, nullum spatium occupat, et sine ullo impedimento per omnia transit, « penetrans usque ad divisionem animæ, et spiritus, et cogitationes, intentionesque cordis [1]. » Imo vero omnia discernens, nulla enim res est procreata, quæ obtutum ejus effugiat. Et parvum hoc item quantitatem non habet et infinitum est, et invisibile, et cum nequeat ipsum comprehendi, omnia comprehendit. Idem præterea, et diversum de Deo dicitur. Illud quidem in eo

Τοῦ αὐτοῦ.

Καὶ τὸ μέγα καὶ τὸ μικρὸν ἀνατίθεται τῷ πάντων αἰτίῳ Θεῷ· τὸ μέγα μὲν πολλαχοῦ τῆς Γραφῆς, τὸ μικρὸν δὲ δηλοῦται διὰ τὸ ἐν αὔρᾳ λεπτῇ. Μέγας μὲν οὖν λέγεται, ὡς μεγέθους μεταδοτικὸς, καὶ ὡς ἀπειρομεγέθης, καὶ ὑπερμεγέθης, οὗ τὸ μέγεθος ἄποσον, καὶ ἀμέτρητον καὶ ἀόριστον· μικρὸν δὲ ἤτοι λεπτὸν ἐπὶ Θεοῦ τὸ παντὸς ὄγκου καὶ διαστήματος ἐκβεβηκὸς, καὶ τὸ διὰ πάντων ἀκωλύτως χωροῦν, καὶ διικνούμενον ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, καὶ κριτικὸν ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας, μᾶλλον δὲ τῶν ὄντων ἁπάντων. Οὐ γάρ ἐστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ· καὶ τοῦτο δὲ τὸ μικρὸν ἀπηλικόν ἐστι, καὶ ἄπειρον, καὶ ἀόρατον· καὶ αὐτὸ μὲν ἀπερίληπτον, πάντων δὲ περιληπτικόν. Λέγεται δὲ ἐπὶ Θεοῦ καὶ τὸ ταυτὸν, καὶ τὸ ἕτερον· τὸ μὲν ἐν τῷ, « Σὺ δὲ ὁ αὐτὸς εἶ· » τὸ δὲ ἐν τῷ, « Κύριε, Κύριε, τίς ὅμοιός σοι ; »

[1] Hebr. IV, 12.

Ταυτὸν μὲν οὖν διὰ τὸ ἄτρεπτον, καὶ ἀεὶ κατὰ τὰ αὐτὰ, καὶ ὡσαύτως ἔχον, καὶ ἀμιγὲς, καὶ ἀπροσδεὲς, καὶ ἀναυξὲς, καὶ ἀμείωτον, καὶ διὰ τὸ μεταδοτικὸν τῆς ταυτότητος· ἕτερον δὲ, ὡς μηδενὸς ὄντος κατ' αὐτόν· πάντα γὰρ τὰ ὄντα κτίσματα τοῦ ὄντως ὄντος, καὶ αὐτὸς ὑπὲρ ἅπαντα, καὶ πρὸς πάντα ἕτερος καὶ ἀσύντακτος. Ἔτι δὲ καὶ ὡς δημιουργὸς τῶν ἑτεροίων καὶ διαφόρων. Λέγεται δὲ καὶ ὅμοιος. «Ἐγὼ γὰρ, » φησὶν, «ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην, » διὰ τὸ ὀφθῆναι αὐτοῖς ἐν σχήματι τοιῷδε ἢ τοιῷδε, καὶ παρεικασθῆναι τοῖς ἐν εἴδει. Ἔτι δὲ καὶ διὰ τὸ μεταδοτικὸν τῆς ὁμοιωτικῆς δυνάμεως· «Ποιήσωμεν γὰρ, » φησὶν, «ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν. » Ἰστέον δὲ ὅτι τὰ αὐτὰ καὶ ὅμοια Θεῷ, καὶ ἀνόμοια· ὅμοια μὲν κατὰ τὴν ἐνδεχομένην μίμησιν τοῦ ἀμιμήτου· ἀνόμοια δὲ κατὰ τὸ ἀπόδεον τῶν αἰτιατῶν τοῦ αἰτίου, καὶ μέτροις ἀπείροις ἀπολειπόμενον. Ἔτι ἐπὶ Θεοῦ λέγεται καὶ στάσις, καὶ κίνησις· στάσις μὲν διὰ τὸ μένειν ἐν ἑαυτῷ τὸν Θεὸν, καὶ μονίμως ἱδρῦσθαι, καὶ διὰ τὸ ἐξ ἑαυτοῦ ἀμετάστατον, καὶ διὰ τὸ ὑπερηπλῶσθαι πάντων· κίνησις δὲ, οὐ κατὰ νοητὴν κίνησιν, ἢ ψυχικὴν, ἢ φυσικὴν, ἢ τοπικὴν, ἢ ὅλως τινὰ τῶν λεγομένων κινήσεων, ἀλλὰ τῇ πάντων ἀσχέτῳ περιοχῇ, καὶ ταῖς ἐπὶ τὰ ὄντα προνοητικαῖς, καὶ ἀνεκφοιτήτοις προόδοις, καὶ ταῖς ὑπὲρ πᾶσαν ἐνέργειαν ἐνεργείαις.

loco: «Tu autem idem ipse es [1].» Hoc autem in illo: «Domine, Domine, quis similis tui [2]?» Idem ergo dicitur, quoniam immutabilis est, et in eisdem, atque eodem modo semper habet, et quia non commiscetur, non indiget, non augetur, non imminuitur, et rebus tribuit, ut eadem dicantur. Diversus vero dicitur, quod nulla res sit, qualis ipse est. Omnes enim res ab eo, qui vere est, creatæ sunt, et ipse summis omnibus superior est, et ab omnibus ita diversus, ut in nullo earum ordine possit constitui, et quia diversitatum et discriminum est effector. Dicitur etiam similis: «Ego,» inquit, «oculos implevi, et in manibus prophetarum similis fui,» quoniam hac aut illa forma se illis conspiciendum præbebat, et eis aspectu similis efficiebatur, ad hæc quia similitudinis est largitor. Nam: «Faciamus,» inquit, «hominem ad imaginem et similitudinem nostram [3].» Sciendum est autem, eadem esse Deo et similia et dissimilia: similia quidem quatenus imitantur eum, qui nulla potest exprimi imitatione; dissimilia vero, quatenus ea, quæ a causa proficiscuntur, absunt ab ipsa causa. Status etiam et motus dicuntur de Deo: status quidem, quia firmus et stabilis in eodem perstat ac permanet, et quia a se ipso dimoveri non potest, et quia supra omnia exstat; motus autem, non propter mentis, aut animi, aut naturæ, aut quæ in loco fit, aut ejusmodi aliam motionem, sed propter immensum rerum omnium complexum, et propter immobiles providentiæ ad res ipsas progressus, et actiones omni actione præstantiores.

Τοῦ αὐτοῦ.

Παντοκράτωρ ὁ Θεὸς λέγεται οὐ μόνον ὡς πάντων κρατῶν, καὶ πᾶσιν ἐπιβάλλων τοὺς ζυγοὺς τῆς δεσποτείας αὐτοῦ, καὶ τοὺς δεσμοὺς τοῦ ἔρωτος αὐτοῦ, ἀλλὰ καὶ ὡς παγκρατὴς ἕδρα ἱδρύουσα πάντα ἐν ἑαυτῇ, καὶ θεμελιοῦσα, καὶ συνέχουσα κατὰ μίαν ὑπερούσιον συνοχὴν, καὶ οὐκ ἐῶσα διεκπεσεῖν ἑαυτῆς.

Ejusdem.

Dominator omnium dicitur Deus, non solum ut qui omnibus imperat et omnibus juga suæ dominationis imponit, et amoris sui vinculis omnia devincit; verum etiam quia, ut sedes omnia firmat, et fundat, et essentia superantis essentiæ suæ complexu sic omnia continet, ut ea a se non sinat accidere.

Τοῦ αὐτοῦ.

Δύναμις ὁ Θεός ἐστι τε καὶ λέγεται, ὡς ἀπειροδύναμος, καὶ παντοδύναμος, καὶ πάντα δυνάμει παράγων, καὶ πᾶσι δύναμιν χαριζόμενος. Οὐδὲν γὰρ ἔστι τῶν ὄντων, ὃ μὴ παρ' αὐτοῦ μετέχει δυνάμεως ἢ νοερᾶς, ἢ λογικῆς, ἢ ζωτικῆς, ἢ αἰσθητικῆς, ἢ οὐσιώδους· καὶ αὐτὸ γὰρ, εἰ θέμις εἰπεῖν, τὸ εἶναι δύναμιν εἰς τὸ εἶναι ἔχει παρὰ τῆς ὑπερουσίου δυνάμεως, καὶ πάντα δυναμῶν εἰς τὰς οἰκείας αὐτῇ κινήσεις, καὶ δυνάμεις, καὶ ἐνεργείας. Τὸ γὰρ καθόλου μηδεμίαν δύναμιν ἔχον οὔτε ἔστιν, οὔτε τί ἐστιν. Ἡ γὰρ παντοκρατορικὴ δύναμις καὶ μέχρι τῶν ἐσχάτων ἀπηχημάτων αὐτῆς διήκει. Ταῦτα δέ εἰσι τὰ παντελῶς ἄψυχα καὶ ἀναίσθητα, ἃ καὶ αὐτὰ δυνάμεως μετέχει τῆς εἰς τὸ εἶναι. Αὕτη τοίνυν ἡ δυναμοδύναμις, καὶ δυναμοδότις, καὶ ὑπερδύναμος δύναμις δυναμοῖ καὶ τὰ ἀσθενῆ. Καὶ γὰρ καὶ ἐμπίδας, καὶ κώνωπας, καὶ μυίας, καὶ τὰ ἔτι τούτων ἀσθενέστερα. Εἴρηκε γὰρ περὶ τῆς κάμπης καὶ τῆς ἀκρίδος ὁ Θεὸς, ὅτι «Δύναμίς μου ἡ μεγάλη.»

Ejusdem.

Potentia Deus et est et dicitur. Ut infinitæ potentiæ, ut omnipotens, ut qui potentia ad ortum deducit omnia, et potentiam omnibus largitur. Nihil enim est eorum, quæ sunt, cui non ab eo sit communicata potentia vel mentis vel rationis, vel vitæ, vel sensus, vel essentiæ. Quin etiam ipsum esse, si fas est ita loqui, ab ipsa potentia essentiam essentia præstantiorem obtinente habet, ut sit, et qui cuncta corroborat, ut possint suas quæque motiones, et vires, et actiones exercere. Quod enim nullam plane potentiam habet, non est. Illa enim potentia omnium domina ad extremos usque rerum terminos permeat. Hæ sunt quæ cum vita et sensu penitus careant, potentiam tamen habent, ut sint. Hæc igitur potentiæ potentia, potentiæ largitrix, et ipsa potentia potentior, confirmat etiam et corroborat quæ sunt imbecilla et impotentia atque invalida, cujusmodi sunt culices et conopes, et muscæ, et si qua sunt his etiam imbecilliora. Dixit enim Deus de brucho et locusta, quoniam «Potentia mea magna.»

[1] Psal. CI, 28. [2] Psal. XXXIV, 10. [3] Gen. I, 26.

Ejusdem.

Communicare se dicitur Deus, propter munera sua, quæ rebus universis distribuit : non communicare autem, quia nulla res est particeps essentiæ, aut vitæ, aut sapientiæ, aut ullius eorum, quæ habet ipse ratione quadam præstantissima et singulari.

Ejusdem.

Ex quo fit, ut a singulis rebus totus habeatur, et nulla res ullam ejus partem habeat, ut centrum in medio circulo a rectis omnibus lineis totum, et nulla ejus pars ab ulla habeatur. Velut sigillum, quod omnibus ex se sumptis exemplis ita se totum atque idem communicat, ut a nullo tamen eorum ulla ipsius habeatur pars. Hoc tamen præstat illa Divinitatis, quæ est rerum omnium causa, non impartiendi se ratio, quod nulla attactus mistionisve societate cum illis conjungitur, quibus communicatur. Quod si quis objiciat, non in omnibus exemplis totum atque idem signum effingi, respondebo, non illius culpa, quod se totum atque idem singulis accommodat, sed excipientium diversitate contingere, ut unius, et totius, et ejusdem exemplaris imagines dissimiles sint. Exempli gratia, si simplicia, facilia, levia et tractabilia, non resistentia, non aspera, non fragilia, non instabilia sint, puram, et expressam, et firmam effigiem percipient. Sin aliquid eorum defecerit, quæ dicta sunt, ideoque minus ad formam suscipiendam apta atque idonea fuerint, id erit causa dissimilitudinis, et deformitatis, et aliorum incommodorum, quæ materiæ ad formam excipiendam minus accommodatæ contingunt.

Ejusdem.

Unus est rerum omnium essentia, et pulchritudo, et bonitas, et sapientia Deus, quem expetunt omnes, qui unius sunt formæ; participes autem illius fiunt, non uno omnes modo, quamvis ipse unus et idem exsistat, sed alius alia atque alia ratione, ut cuique divina libra distribuit pro cujusque habilitate.

Ejusdem.

Quoniam Deus et est, et rebus largiens ut sint, multas parat essentias, multiplicare dicitur unum illud quod est, ex ipso multarum rerum ortum deducens. Manet autem et sic unum in multiplicatione, et plenum in divisione, quia propter essentiam omni essentia superior est, eximio et iis, quæ sunt, antecellenti quodam modo. Quin etiam cum unum sit, et uni, et multitudini, et toti, et parti unum communicans, unum rursus essentia præcellenti est singulariter, id est, proprie, et eximie, cum nec unum sit ex iis quæ sunt, nec multitudo, nec totum ex partibus, nec pars ex toto. Atque ita neque unum est, neque unius particeps, sed procul ab his unum est, utpote unum, eo quod est in rebus uno longe præstantius. Præterea propter multorum deorum ab ipso proficiscentem effectionem ex divina cujusque pro viribus specie, et videtur et esse dicitur unius Dei progressus, et divisio, et multiplicatio; attamen unus est deorum princeps

A *Τοῦ αὐτοῦ.*

Μεθεκτὸς μὲν ὁ Θεὸς κατὰ τὰς μεταδόσεις αὐτοῦ, ἀμέθεκτος δὲ κατὰ τὸ μηδὲν μετέχον αὐτῆς τῆς οὐσίας αὐτοῦ, ἢ τῆς ζωῆς αὐτοῦ, ἢ τῆς σοφίας αὐτοῦ, ἢ τινος τῶν τοιούτων, ἅπερ ἔχει πάντα καθ' ὑπεροχὴν καὶ ἐξαιρέτως.

Τοῦ αὐτοῦ.

Ὅτι ὁ Θεὸς καὶ ὑφ' ἑκάστου τῶν μετεχόντων ὅλος μετέχεται, καὶ ὑπ' οὐδενὸς οὐδενὶ μέρει, καθάπερ κέντρον ἐν μέσῳ κύκλου πρὸ πασῶν τῶν ἐν τῷ κύκλῳ περικειμένων εὐθειῶν. Καὶ ὥσπερ σφραγῖδος ἐκτυπώματα πολλὰ μετέχει τῆς ἀρχετύπου σφραγῖδος, καὶ ἐν ἑκάστῳ τῶν ἐκτυπωμάτων ὅλης καὶ ταύτης οὔσης, καὶ ἐν οὐδενὶ κατ' οὐδὲν μέρος. Ὑπέρ- B κειται δὲ καὶ τούτων ἡ τῆς παναιτίου θεότητος ἀμεθεξία, τῷ μήτε ἐπαφὴν αὐτῆς εἶναι, μήτε ἄλλην τινὰ πρὸς τὰ μετέχοντα συμμιγῆ κοινωνίαν, καίτοι φαίη τις, Οὐκ ἔστιν ἡ σφραγὶς ἐν ὅλοις τοῖς ἐκμαγείοις ὅλη καὶ ἡ αὐτή. Τούτου δὲ οὐχ ἡ σφραγὶς αἰτία· πᾶσαν γὰρ ἑαυτὴν ἐκείνη, καὶ ταύτην ἐπιδίδωσιν ἑκάστῳ· ἀλλ' ἡ τῶν μετεχόντων διαφορότης ἀνόμοια ποιεῖ τὰ ἀπομόργματα τῆς μιᾶς καὶ ὅλης καὶ ταυτῆς ἀρχετυπίας. Οἷον εἰ μὲν ἁπαλὰ, καὶ ἀτύπωτα ᾖ, καὶ λεῖα, καὶ εὐχάρακτα, καὶ μήτε ἀντίτυπα, καὶ σκληρὰ, μήτε εὐδιάχυτα, καὶ ἀσύστατα, καθαρὸν ἕξει, καὶ σαφῆ καὶ ἐναπομένοντα τὸν τύπον· εἰ δέ τι τῆς εἰρημένης ἐπιτηδειότητος ἐλλείποι, τοῦτο αἴτιον ἔσται τοῦ ἀτυπώτου, καὶ τοῦ ἀσαφοῦς, καὶ τῶν ἄλλων ὅσα μετοχῆς ἀνεπιτηδειότητι γίνε- C ται.

Τοῦ αὐτοῦ.

Ἓν μέν ἐστι τὸ ὄντως ὂν, καὶ καλὸν, καὶ ἀγαθὸν, καὶ σοφὸν, οὗ πάντες οἱ ἑνοειδεῖς ἐφίενται· μετέχουσι δὲ αὐτοῦ οὐχ ἑνιαίως, καίτοι ἑνὸς καὶ ταυτοῦ ὄντος, ἀλλ' ὡς ἑκάστῳ τὰ θεῖα διανέμει ζυγὰ κατὰ τὴν ἑκάστου ἐπιτηδειότητα.

Τοῦ αὐτοῦ.

Ἐπειδὴ ὁ Θεὸς ὤν ἐστι, καὶ δωρούμενος τὸ εἶναι οὖσι παράγει τὰς πολλὰς οὐσίας, πολλαπλασιάζεσθαι λέγεται τὸ ἓν ὂν ἐκεῖνο τῇ ἐξ αὐτοῦ παραγωγῇ τῶν πολλῶν ὄντων. Μένει δὲ καὶ οὕτως ἓν τῷ πληθυσμῷ, D καὶ πλῆρες ἐν τῇ διακρίσει, τῷ πάντων εἶναι τῶν ὄντων ὑπερουσίως ἐξῃρημένον. Ἀλλὰ καὶ ἓν ὢν, καὶ παντὶ, καὶ ἑνὶ, καὶ πλήθει, καὶ ὅλῳ, καὶ μέρει τοῦ ἑνὸς μεταδιδοὺς, ἕν ὡσαύτως ὑπερουσίως ἐστὶ, καὶ ἓν ἑνικῶς, ἤγουν ἰδικῶς, ἐξαιρέτως, οὔτε ἓν ὢν τῶν ὄντων, οὔτε πλῆθος, οὔτε ὅλον ἐκ μερῶν, οὔτε μέρος ὅλου, καὶ οὕτως οὔτε ἐστὶν, οὔτε τοῦ ἑνὸς μετέχει, πόῤῥω δὲ τούτων ἕν ἐστιν, ὡς ὑπὲρ τὸ ἐν τοῖς οὖσιν ἕν. Πάλιν τῇ ἐξ αὐτοῦ θεώσει θεῶν πολλῶν γινομένων τῷ κατὰ δύναμιν ἑκάστου θεοειδεῖ δοκεῖ μὲν εἶναι, καὶ λέγεται τοῦ ἑνὸς Θεοῦ πρόοδος, καὶ διάκρισις καὶ πολλαπλασιασμὸς, ἔστι δὲ οὐδὲν ἧττον ὁ ἀρχίθεος καὶ θεοποιὸς, εἷς Θεὸς, ἀμέριστος ἐν τοῖς μεριστοῖς, ἓν ἐν τοῖς πολλοῖς ἀμιγὴς, καὶ ἀπλήθυντος, ὡς ὑπερουσίως ὑπερούσιος, καὶ ὑπερ-

θείως ὑπέρθεος. Καὶ τοῦτο ἄρα ἐννοήσας ὁ μέγας A εἴρηκε Παῦλος· « Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ τῆς γῆς, ὥσπερ οὖν θεοὶ πολλοὶ, καὶ κύριοι πολλοὶ, ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα. » Καὶ γὰρ ἐπὶ τῶν θείων αἱ ἑνότητες ἐπικρατοῦσι, καὶ προκατάρχουσι τῶν διακρίσεων.

effectorque Deus, in divisis non divisus, unum in multis, non commistus, nec multiplicatus, ut qui eximia essentia singulariter est, et plusquam divina ratione summus Deus. Quæ quidem cogitans magnus Paulus : « Quamvis enim, » inquit, « multi sint, qui dicuntur dii, sive in cœlo, sive in terra, siquidem multi sunt dii, et domini multi, tamen unus nobis est Deus Pater, ex quo omnia, et unus Dominus Jesus Christus, per quem omnia[1]. » Nam in divinis etiam unitates divisionibus antecellunt.

Τοῦ αὐτοῦ.

Ὥσπερ ἓν μὲν ἡ μονὰς, πρὸ πάντων δέ ἐστι τῶν ἀριθμῶν, καὶ ἔστιν αἰτία παντὸς ἀριθμοῦ, καὶ οὐκ ἔστιν ἀριθμὸς, ἀλλ' ἀρχὴ ἀριθμῶν, καὶ πᾶς ἀριθμὸς μονάδος μετέχει· λέγεται γὰρ δυὰς μία, καὶ μία τριὰς καὶ καθεξῆς· καὶ αὖθις ἥμισυ ἓν, καὶ δίμοιρον B ἓν, καὶ τρίτον ἓν, καὶ καθεξῆς· καὶ οὐ μόνον οἱ ἀριθμοὶ, ἀλλὰ καὶ τὰ μέρη, καὶ μόρια τῶν ἀριθμῶν τῆς μονάδος μετέχουσιν, ἤτοι τοῦ ἑνὸς, καὶ οὐκ ἔστιν οὐ πλῆθος, οὐχ ὅλον, οὐ μέρος, οὐ μόριον, ὃ μὴ τοῦ ἑνὸς μετέχει, ἀλλὰ τὸ μὲν πολλὰ τοῖς μέρεσιν ἓν τῷ ὅλῳ ἐστὶ, καὶ τὸ πολλὰ τοῖς συμβεβηκόσιν ἓν τῷ ὑποκειμένῳ ἐστὶ, καὶ τὸ πολλὰ τῷ ἀριθμῷ ἢ ταῖς δυνάμεσιν ἓν τῷ εἴδει, καὶ τὸ πολλὰ τοῖς εἴδεσιν ἓν τῷ γένει, καὶ τὸ πολλὰ ταῖς προόδοις ἓν τῇ ἀρχῇ· καὶ εἰ πᾶσι τὰ πάντα ἡνωμένως τις ὑπόθοιτο, ἔσται τὰ πάντα ἓν τῷ ὅλῳ· οὕτω καὶ ὁ Θεὸς ἓν λέγεται οὐ μόνον ὡς μόνος καὶ ἐξῃρημένος πάντων τῶν ὄντων κατὰ πάντα, καὶ ὡς ἁπλοῦς, καὶ ἀμερὴς, καὶ ἀδιαίρετος, καὶ ἀπαθὴς, ἀλλὰ καὶ ὡς πρὸ πάντων C τῶν ὄντων, καὶ πρὸ πάντων αἴτιος. Ἓν γὰρ τὸ πάντων τῶν ὄντων αἴτιον, καὶ ἑνικῶς ἓν, ἤτοι ἰδικῶς, ἐξαιρέτως, καὶ πρὸ πάντων δὲ ἐξ αὐτοῦ, καὶ μετ' αὐτὸ, καὶ ὡς ὑπὸ πάντων τῶν ὄντων μετεχόμενος κατὰ τὴν ἑκάστου ἐπιτηδειότητα. Τὸ γὰρ πάντη ἀμέτοχον αὐτοῦ πάντη μὴ ὄν ἐστι· καὶ τὸ εἶναι τὸ ἓν πάντα ἐστὶ τὰ ὄντα. Καὶ οὐκ ἔστι τὸ πάντων αἴτιον ἓν, τῶν πάντων ἓν, ἀλλ' ὑπὲρ πᾶν ἓν καὶ παντὸς ἑνὸς, καὶ πλήθους ὥσπερ ποιητικὸν, οὕτω καὶ ὁριστικόν. Καὶ ἄνευ μὲν τοῦ ἑνὸς οὐκ ἔσται πλῆθος, ἄνευ δὲ πλήθους ἔσται τὸ ἓν, ὡς καὶ μονὰς πρὸ παντὸς ἀριθμοῦ πεπληθυσμένου. Καὶ πάντα ἐν ἑαυτῷ τὸ ἓν, καὶ τὰ ἐναντία ἑνοειδῶς, καὶ ἀσυγχύτως, καὶ ὑπερουσίως προείληφε καὶ περιείληφεν. D

Ejusdem.

Quemadmodum unum quidem est unitas et omnibus numeris antecedit, et omnium numerorum est causa, nec tamen numerus, sed principium numerorum : et omnis numerus est particeps unitatis ; dicimus enim binarium unum, et ternarium unum, ac reliqua deinceps eodem modo, itemque dimidium unum, bipartitum unum, et tripartitum unum, atque ita deinceps ; nec solum numeri, sed numerorum partes, et particulæ unitatis, sive unius participes sunt, et nulla est multitudo, nullum totum, nulla pars, nulla particula, quæ sit unius expers ; sed quod partibus multiplex est, unum ex toto ; et quod est accidentibus multiplex, est unum subjecto ; et quod est multiplex numero, aut potentia, est unum specie ; et quod specie multiplex est, unum est genere ; et quod progressibus est multiplex, est unum principio ; et si quis omnibus omnia conjunctim accumulet, toto unum erunt omnia : sic etiam Deus dicitur unus, non modo, ut solus et rerum omnium in omnibus excellentissimus, neque ut simplex est, et qui nec in partes secari, nec dividi, nec affici ullo modo potest ; verum etiam, ut qui ante omnia exsistit, et est omnium causa : unum enim est causa rerum omnium, et singulariter seu proprie, et excellenter est unum, et ante omnia. Omnia autem ex ipso, et post ipsum, ut se rebus omnibus pro cujusque habilitate communicat. Quod enim prorsus est illius expers, omnino non est. Et eo, quod est unum, est omnia. Et quod est unum, omnium causa, non est eorum omnium unum, sed est supra omne quod est unum. Et omnis tum unius, tum multitudinis tam effector est, quam definitor. Et sine uno multitudo non est. Sine multitudine autem unum erit, sicut et unitas ante omnem numerum multiplicatum. Et omnia etiam quæ sunt inter se contraria in seipso unum illud una specie et sine confusione conjuncta ratione quadam essentiam superante præoccupavit atque complexus est.

Τοῦ αὐτοῦ.

Ἡ θεία εἰρήνη καὶ ἐν ἑαυτῇ ἐστι, καὶ εἴσω ἑαυτῆς, καὶ ἐπὶ πάντα τὰ ὄντα πρόεισι, καὶ μεταδίδωσιν ἑαυτῆς αὐτοῖς οἰκείως αὐτοῖς, καὶ πάντων ἐστὶν ἑνωτικὴ τὸ μεριστὸν πλῆθος αὐτῶν εἰς τὴν ὅλην ἑνότητα ἐπιστρέφουσα, καὶ πάντα ἀσυγχύτως συγκεραννύουσα πρὸς ἄλληλα, καὶ πάντα συνείρουσα ἀλλήλοις καὶ ἑαυτῇ. Καὶ πᾶσίν ἐστι τῆς ἰδιότητος ἑκάστου φυλακτικὴ, δι' ἣν ἡ μία καὶ ἀδιάλυτος πάντων συμπλοκὴ ὑφίσταται, καὶ ἐναρμόζεται συμ-

Ejusdem.

Divina pax et in seipsa est, et intra seipsam, et ad res omnes progreditur, seque illis familiariter communicat. Et omnium est conciliatrix, ac dividuam earum multitudinem ad totam unitatem convertit. Et omnia sine confusione mutuo commiscet, omniaque vicissim contrahit. Et sibi, et omnibus proprietatem cujusque conservat, per quam una et indissolubilis omnium conjunctio constat, et consensio ac concentus quidam efficitur, cum unum-

[1] I Cor. VIII, 5, 6.

quodque non mistum aut turbidum, sed purum et sincerum in propria specie ita maneat, et conjunctione quidem copuletur, naturæ autem proprietate dividatur. Ipsa igitur præcipua conciliatrix pax mediis extrema devincit. Quamobrem et antiquissimæ illæ conciliatrices potestates tum ipsæ inter se, et cum una omnium principali pace copulantur; tum ea, quæ sibi subjecta sunt mutuo inter ipsa, et secum et cum uno rerum omnium pacis principio et causa conjungunt. Nihil est igitur omnino, quod pacem non amet. Ac tametsi illi, qui inimicitiis, rixis et seditionibus gaudent, a pace et pacis commodis videntur abhorrere, et ipsi tamen obscuris quibusdam pacis simulacris capiuntur, et cum variis perturbationum motibus concutiantur, eos imperite cohibere sedareque concupiscunt, et sperant, se voluptatum, quarum inordinato victricium tumultu premuntur, expletione pacem adepturos.

A φύνως, καὶ συμφυῶς, ἀκραιφνοῦς, καὶ ἀμιγοῦς, καὶ ἀνεπιθολώτου μένοντος ἑκάστου κατὰ τὸ οἰκεῖον εἶδος· καὶ ἡνωμένου μὲν τῇ συγκράσει, διῃρημένου δὲ τῇ ἰδιότητι τῆς φύσεως. Αὕτη οὖν ἡ ἀρχισυναγωγὸς εἰρήνη συνδεῖ τὰ ἄκρα διὰ τῶν μέσων. Ὅθεν αἱ πρεσβύταται τῶν συναγωγῶν δυνάμεων αὐταί τε πρὸς ἀλλήλας καὶ πρὸς τὴν μίαν τῶν ὅλων εἰρηναρχίαν ἑνοῦνται, καὶ ἑνοῦσι τὰ ὑφ' ἑαυτὰς πρὸς ἄλληλα, καὶ πρὸς ἑαυτάς, καὶ πρὸς τὴν μίαν καὶ παντελῆ τῆς τῶν πάντων εἰρήνης ἀρχὴν καὶ αἰτίαν. Οὐδὲν οὖν τῶν πάντων ἐστὶν ἀνέραστον εἰρήνης. Εἰ δὲ οἱ θυμοῖς καὶ ἔρισι, καὶ ἀκαταστασίαις χαίροντες ἀπεχθάνονται τῇ εἰρήνῃ, καὶ τοῖς τῆς εἰρήνης ἀγαθοῖς, ἀλλ' οὖν καὶ αὐτοὶ ἀμαυροῖς εἰδώλοις εἰρηνικῆς ἐφέσεως διακρατοῦνται, ἐνοχλούμενοι μὲν ὑπὸ παθῶν
B πολυκινήτων, ἀνεπιστημόνως δὲ ἱστᾷν αὐτά, καὶ ἀποπαύειν ἐφιέμενοι, καὶ οἰόμενοι τῇ ἀποπληρώσει τῶν ἐνοχλούντων εἰρηνεύειν ἑαυτοὺς ἐκταραττομένους τῇ ἀταξίᾳ τῶν κρατησασῶν ἡδονῶν.

Ejusdem.

In ea causa, quæ cuncta in uno complectitur, pulchrum et pulchritudo distinguenda non sunt. Hæc enim omnibus in rebus in participes et communiones dividentes, *pulchrum* dicimus quod est pulchritudinis particeps; *pulchritudinem* vero communionem illius rerum causæ, quæ pulchras res omnes efficit. Deum autem et pulchrum dicimus, ut qui et totus, et semper, et excellenti ratione pulcher est, et pulchrorum omnium natura, et fons, et causa; pulchritudinem vero appellamus, quoniam ab eo rebus omnibus pro suo cujusque modo pulchritudo communicatur, et quia omnium concinnitatis et nitoris est auctor, omnibus instar lucis communicans radiorum omnia pulchra facientium quasi fontis rivulos, et ad seipsum omnia vocans: attrahendi enim vim habet pulchritudo [(1) ejusque nomen apud Græcos a verbo, quod *vocare* significat, videtur esse deductum].

Τοῦ αὐτοῦ.

Καλὸν καὶ κάλλος οὐ διαιρετέον ἐπὶ τῆς ἐν ἑνὶ τὰ ὅλα συνειληφυίας αἰτίας. Ταῦτα γὰρ ἐπὶ μὲν τῶν ὄντων ἁπάντων εἰς μετέχοντα, καὶ μετοχὰς διαιροῦντες, καλὸν μὲν λέγομεν τὸ κάλλους μετέχον, κάλλος δὲ τὴν μετοχὴν τῆς καλοποιοῦ τῶν ὄντων αἰτίας. Ὁ Θεὸς δὲ καλὸν μὲν λέγεται ὡς πάγκαλος, καὶ ἀείκαλος, καὶ ὑπέρκαλος, καὶ φύσις καλοῦ παντὸς, καὶ πηγαῖον καλὸν, καὶ αἴτιον καλοῦ· κάλλος δὲ διὰ τὴν ἀπ' αὐτοῦ πᾶσι τοῖς οὖσι μεταδιδομένην οἰκείως ἑκάστῳ
C καλλονήν, καὶ ὡς τῆς πάντων εὐαρμοστίας καὶ ἀγλαΐας αἴτιος, ἐναστράπτων πᾶσι δίκην φωτὸς τὰς καλοποιοὺς τῆς πηγαίας ἀκτῖνος αὐτοῦ μεταδόσεις, καὶ ὡς καλῶν ἐφ' ἑαυτὸν πάντα. Ἑλκτικὸν γὰρ τὸ κάλλος.

Ejusdem.

In Deo idem est pulchrum et bonum. Pulchri namque et boni cupiditate flagrant omnia, ad illudque valde currunt. Et nihil est omnino, quod non sit pulchri bonique particeps. Siquidem et omnia, quæ sunt, ab ipso pulchro bonoque habent, ut sint: et a pulchro et bono moventur, et reguntur, et continentur, et propter pulchrum et bonum exsistunt, et ab omnibus pulchrum et bonum expetendum, amandum, diligendum et admirandum videtur. Ausim dicere, et id, quod non est, esse pulchri bonique particeps. Tunc enim et ipsum est pulchrum et bonum, cum per negationem de Deo dicitur. Ut cum Deum increatum principiumque terminumque non habeat, et alia ejusmodi, quæ non-esse significant, asserimus. Appetit enim et ipsum, quod non est, quodam modo Deum, et quadam ratione in eo conatur esse.

Τοῦ αὐτοῦ.

Ἐπὶ Θεοῦ ταυτόν ἐστι τὸ καλὸν τῷ ἀγαθῷ. Τοῦ καλοῦ γὰρ καὶ ἀγαθοῦ πάντα ἐφίεται, καὶ ἄγαν θέει ἐπ' αὐτό, καὶ οὐκ ἔστι τι τῶν ὄντων, ὃ μὴ μετέχει τοῦ καλοῦ καὶ ἀγαθοῦ. Ἐπεὶ καὶ πάντα τὰ ὄντα ἐκ τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐστι, καὶ ὑπὸ τοῦ καλοῦ καὶ ἀγαθοῦ κινεῖται, καὶ προνοεῖται, καὶ συνέχεται,
D καὶ διὰ τὸ καλὸν καὶ ἀγαθόν ἐστι, καὶ πᾶσίν ἐστι τὸ καλὸν καὶ ἀγαθὸν ἐφετὸν, καὶ ἐραστὸν, καὶ ἀγαπητὸν, καὶ ἀγαστόν. Τολμήσει δὲ καὶ τοῦτο εἰπεῖν ὁ λόγος, ὅτι καὶ τὸ μὴ ὂν μετέχει τοῦ καλοῦ καὶ ἀγαθοῦ. Τότε γὰρ καλὸν καὶ αὐτὸ καὶ ἀγαθὸν, ὅταν ἐπὶ Θεοῦ κατὰ ἀφαίρεσιν λέγηται, οἷον ὅτι ὁ Θεὸς ἄκτιστος, ἄναρχος, ἀόριστος, καὶ τὰ τοιαῦτα, ὅσα τοῦ μὴ ὄντος δηλωτικά. Ἐφίεται γὰρ αὐτοῦ τρόπον τινὰ καὶ αὐτὸ τὸ μὴ ὂν, καὶ φιλονεικεῖ πως ἐν αὐτῷ εἶναι.

Ejusdem.

Omnes mentium, animorum et corporum status, et motus ex pulchro bonoque sunt. Omnibus enim status et motus est id, quod supra omnem mo-

Τοῦ αὐτοῦ.

Αἱ στάσεις πᾶσαι καὶ αἱ κινήσεις ἐκ τοῦ καλοῦ καὶ ἀγαθοῦ εἰσιν, αἱ τῶν νόων, αἱ τῶν ψυχῶν, αἱ τῶν σωμάτων. Στάσις γάρ ἐστι πᾶσι, καὶ κίνησις

(1) Inclusa addidit Zinus interpres

τῆς ὑπὲρ πᾶσαν στάσιν, καὶ κίνησιν, ἱδρύον ἕκαστον ἐν τῷ ἰδίῳ λόγῳ, καὶ κινοῦν ἐπὶ τὴν ἰδίαν κίνησιν.

Τοῦ αὐτοῦ.

Ἐκ Θεοῦ, καὶ ἐν Θεῷ καὶ αὐτὸ τὸ εἶναι, καὶ αἱ τῶν ὄντων πάντων ἀρχαὶ, καὶ τὰ ὄντα πάντα, καὶ τὰ ἀλλήλοις ἐναντία. Καὶ τοῦτο ἀσχέτως, καὶ ἐξαιρέτως, καὶ συνειλημμένως, καὶ ἑνιαίως. Καὶ γὰρ καὶ ἐν μονάδι πᾶς ἀριθμὸς ἑνοειδῶς προϋφέστηκε, καὶ ἔχει πάντα ἀριθμὸν ἡ μονὰς ἐν ἑαυτῇ μοναχῶς, ὡς αἰτία παντὸς ἀριθμοῦ. Καὶ πᾶς ἀριθμὸς ἥνωται μὲν ἐν τῇ μονάδι· καθ' ὅσον δὲ τῆς μονάδος πρόεισι, κατὰ τοσοῦτον διακρίνεται, καὶ πληθύνεται. Καὶ ἐν κέντρῳ δὲ πᾶσαι αἱ τοῦ κύκλου γραμμαὶ κατὰ μίαν ἕνωσιν συνυφεστήκασι, καὶ πάσας ἔχει τὸ κέντρον ἐν ἑαυτῷ τὰς εὐθείας ἑνοειδῶς ἡνωμένας πρός τε ἀλλήλας, καὶ πρὸς τὴν μίαν ἀρχὴν, ἀφ' ἧς προῆλθον. Καὶ ἐν αὐτῷ μὲν τῷ κέντρῳ παντελῶς ἡνώνται, βραχὺ δὲ διαστᾶσαι, βραχὺ καὶ ἀλλήλων διακρίνονται. Μᾶλλον δὲ αὐτοῦ ἀποστᾶσαι, μᾶλλον καὶ ἀλλήλων ἀφίστανται. Ἀλλὰ καὶ ἐν τῇ ὅλῃ τῶν ὅλων φύσει πάντες οἱ λόγοι τῆς καθ' ἕκαστον φύσεως συνειλημμένοι εἰσὶ κατὰ τὴν ἀσύγχυτον ἕνωσιν. Καὶ ἐν τῇ ψυχῇ δὲ μονοειδῶς αἱ τῶν κατὰ μέρος πάντων προνοητικαὶ τοῦ ὅλου σώματος δυνάμεις. Οὐδὲν οὖν ἄτοπον ἐξ ἀμυδρῶν εἰκόνων ἐπὶ τὸ πάντων αἴτιον ἀναβάντες ὑπερκοσμίοις ὀφθαλμοῖς θεωρῆσαι πάντα ἐν τῷ πάντων αἰτίῳ μονοειδῶς καὶ ἡνωμένως.

Τοῦ αὐτοῦ.

Εἴπερ ὁ καθ' ἡμᾶς ἥλιος τὰς τῶν αἰσθητῶν οὐσίας καὶ ποιότητας, καίτοι πολλὰς καὶ διαφόρους οὔσας, εἷς αὐτὸς ὤν, καὶ μονοειδὲς ἐπιλάμπων φῶς ζωοῖ, καὶ τρέφει, καὶ αὔξει, καὶ τελειοῖ, καὶ φρουρεῖ, καὶ διακρίνει, καὶ ἑνοῖ, καὶ ἀναθάλπει, καὶ γόνιμα εἶναι ποιεῖ, καὶ ἐξαλλάττει, καὶ ἐνιδρύει, καὶ ἐκφύει, καὶ ἀνακινεῖ, καὶ ἕκαστον τῶν ὅλων οἰκείως ἑαυτῷ τοῦ ἑνὸς καὶ ταυτοῦ ἡλίου μετέχει, καὶ τὰς τῶν πολλῶν μετοχῶν αἰτίας ὁ εἷς ἥλιος ἐν ἑαυτῷ μονοειδῶς προέχει, καὶ περιέχει· πολλῷ μᾶλλον ἐν τῇ καὶ αὐτοῦ τοῦ ἡλίου καὶ πάντων τῶν ὄντων αἰτίᾳ προϋφεστάναι τὰ πάντων τῶν ὄντων παραδείγματα κατὰ μίαν ὑπερούσιον ἕνωσιν συγχωρητέον. Παραδείγματα δὲ νῦν λέγομεν τοὺς ἐν Θεῷ ἑνιαίως προϋφεστῶτας, καὶ οὐσιοποιοὺς τῶν ὄντων λόγους, οὓς ὁ ἀπόστολος Παῦλος προορισμοὺς καλεῖ, καὶ θεῖα θελήματα τῶν ὄντων ἀφοριστικὰ, καὶ ποιητικὰ, καθ' οὓς ὁ ὑπερούσιος τὰ ὄντα πάντα προώρισε, καὶ παρήγαγε. Πάντα οὖν ἑνιαίως προέχει, καὶ πάντα περιέχει κατὰ τὴν ὑπερηπλωμένην ἀπειρίαν αὐτοῦ, καὶ πρὸς πάντων ἑνικῶς μετέχεται, καθάπερ καὶ φωνὴ μία καὶ ἡ αὐτὴ πρὸς πολλῶν ἀκοῶν ὡς μία μετέχεται.

Τοῦ αὐτοῦ.

Ὥσπερ οἱ ἅγιοι ἄνθρωποι οἶκος λέγονται τοῦ Θεοῦ· « Οἰκήσω γάρ, « φησίν, » ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω· » οὕτω καὶ ὁ Θεὸς οἶκός ἐστι τῶν

A tum unumquodque in ratione propria confirmat, et ad proprium excitat motum.

Ejusdem.

Ex Deo, et in Deo, est etiam ipsum esse, et rerum omnium principia, et quæ sunt, omnia, etiam quæ inter se sunt contraria. Sunt autem in Deo immense, et eximie, et conjunctim, et unice. Nam et in unitate omnis numerus ante singulariter exstitit. Et unitas, ut omnis numeri causa, unice in se numerum omnem habet. Et omnis numerus unitate unus efficitur. Quantum autem progreditur ab unitate, dividitur et multiplicatur. In centro item omnes circuli lineæ una copulatione conjunctæ sunt. Et centrum in seipso rectas omnes lineas tum ipsas B inter se, tum etiam cum uno illo principio, a quo progressæ sunt, una ratione conjunctas habet. Ac in ipso quidem centro penitus conjunguntur. Parum autem ab eo distantes, parum et inter se distant. Magis vero ab illo recedentes, magis etiam a se vicissim recedunt. Præterea in tota rerum universitatis natura omnes singularis naturæ rationes simul devinctæ sunt. Ad hæc moderatrices singulorum totius corporis vires in animo unice copulantur. Quamobrem absurdum non est, ut per obscuras ac tenues imagines ad ipsam rerum omnium causam ascendentes, oculis mundo sublimioribus omnia in ipsa rerum causa singulari vinculo conjuncta et copulata contemplemur.

C

Ejusdem.

Si noster hic sol, quamvis unus sit, et unicam lucem emittat, tam multas tamen, ac varias rerum essentias, et qualitates vita donat, et nutrit, et auget, et perficit et tuetur, et dividit, et copulat, et fovet, et fecundat, et immutat, et corroborat, et gignit, et agitat, et res omnes pro suo quæque modo unius et ejusdem solis participes sunt; et multas communicationum causas unus ipse sol in seipso singulariter ante possidet, atque complectitur: multo magis in ipsa tum solis, tum rerum omnium causa per unam essentiam præstantiorem conjunctionem prius inesse rerum universarum exemplaria concedendum est. Exemplaria nunc appellamus rationes illas ante in Deo singulariter D exsistentes, et rerum effectrices essentiarum. Quas quidem rationes Paulus vocat prædestinationes, divinasque voluntates, quibus res definiuntur, et fiunt. Per has omnia, quæ sunt, is, qui essentia præstantior est, præfinivit, ad ortumque produxit. Quapropter infinitate sua superextensa omnia prius singulariter habet, et comprehendit, et singulariter omnibus communicatur, quemadmodum una vox a multis auribus ut una percipitur.

Ejusdem.

Ut viri boni dicuntur domus Dei: « Habitabo enim, » inquit, « in ipsis, et inambulabo [1]: » ita bonorum virorum domus est Deus. « Esto mihi, »

[1] II Cor. vi, 17.

inquit David, « In Deum protectorem meum, et in domum refugii mei, ut salvum me facias [1]. » Et ipse Dominus ait : « Vos in me, et ego in vobis [2]. » Et quemadmodum Deus sic est in ipsis, ut non includatur nec circumscribatur, sic et ipsi in eo sunt sine ulla cum ipso mistione per essentiam, et sine confusione.

Ejusdem.

Divina Dei qualitatem quantitatemque non habentis latitudo putanda est ampla et provida illius ad omnia progressio. Longitudo autem ejus potentia, quæ supra ostenditur. Profunditas vero arcana illius occultatio propter quam percipi, cognoscique non potest.

Ejusdem.

Deus in sacris arcanorum visionum oraculis tum canus, tum juvenis fingitur. Canus, ut esse rerum principium intelligatur : juvenis autem, ut nunquam senescere, et finem habere significetur. Vel juvenis etiam ob rationem arithmeticam, ut divinum rerum initium ostendatur. Unitas enim, et qui sunt unitati proximi numeri priores sunt illis, qui ab unitate longius recesserunt.

Ejusdem.

Neque res cognoscunt Deum, ut Deus est : nec Deus cognoscit res, ut ipsæ sunt. Res autem non cognoscunt Deum, ut Deus est, quia nullæ res id assequi possunt, ut Deum cognoscant, ut est Deus, hoc est, quomodo natura sese habeat. Hoc enim modo solus ipse se novit. Deus vero non cognoscit res, ut ipsæ sunt, quoniam eas ratione essentiam superante cognitas habet.

Ejusdem.

Deus quidem rebus omnibus adest : neque enim in loco est, ut aliqua absit, sed omnia complectitur. Ipsæ autem res non omnes adsunt Deo, sed illæ duntaxat, quæ divina sunt propinquitate dignæ. Nos autem tunc ad illum appropinquamus, cum invocamus eum votis precibusque sanctissimis, et animis puris ac minime coinquinatis, præbemusque nos aptos, et idoneos, qui ad ipsum accedamus. Ac quemadmodum, si catena multis contexta luminibus, et e summo suspensa cœlo huc usque perveniat, nos autem alternis eam manibus apprehendentes ulterius semper tendamus, ipsam quidem detrahere nobis videamur, revera autem non eam supra infraque præsentem deducemus, sed nos potius ad sublimiores ipsius splendores tollemur ; aut si conscensa navi, funes ex aliquo saxo ad nos protensos, et quasi dedita opera sic nobis exhibitos ut eos ex altera parte prehenderemus, corripientes contra nitamur, non saxum ad nos, sed nos simul, et navim ad saxum promovemus : sic etiam precantes et obsecrantes, non Deum ad nos, qui ubique præsto est, trahimus, sed nos ad ipsum divina commemoratione obsecrationeque promovemus, eique nos commendamus.

Ejusdem.

Apud nos quidem ebrietas tendit ad deteriora, et est immodica vini repletio, qua mens loco dimovetur.

[1] Psal. xxx, 3. [2] Joan. xv, 4.

A ἁγίων ἀνθρώπων. « Γενοῦ μοι γάρ, » φησὶν ὁ Δαβίδ, « εἰς Θεὸν ὑπερασπιστήν, καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με. » Καὶ αὐτὸς δὲ ὁ Κύριος εἴρηκεν· « Ὑμεῖς ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. » Καὶ καθάπερ ὁ Θεὸς ἀσχέτως ἐστὶν ἐν αὐτοῖς, καὶ ἀπεριγράπτως, οὕτω καὶ αὐτοὶ ἐν αὐτῷ ἀμιγῶς αὐτοῦ κατ' οὐσίαν, καὶ ἀσυγχύτως.

Τοῦ αὐτοῦ.

Τοῦ ἀποίου καὶ ἀπόσου Θεοῦ πλάτος μὲν θεῖον νοητέον τὴν εὐρεῖαν ἐπὶ πάντα προνοητικὴν πρόοδον, μῆκος δὲ τὴν ὑπερεκτεινομένην ὑπὲρ ἅπαντα δύναμιν, βάθος δὲ τὴν πᾶσι τοῖς οὖσιν ἀθεώρητον κρυφιότητα καὶ ἀγνωσίαν.

Τοῦ αὐτοῦ.

B Ὁ Θεὸς ἐν ταῖς ἱεραῖς τῶν μυστικῶν ὁράσεων θεοφανείαις πλάττεται καὶ πολιός, καὶ νέος, τοῦ πολιοῦ μὲν τὸν ἀρχαῖον, τοῦ νέου δὲ τὸν ἀγήρω σημαίνοντος, ἢ καὶ τοῦ νέου κατὰ λόγον ἀριθμητικὸν τὴν ἀρχαιότητα τὴν θείαν ὑποδηλοῦντος. Ἡ γὰρ μονὰς καὶ τὰ περὶ μονάδα ἀρχηγικώτερά εἰσι τῶν ἐπὶ πολὺ προεληλυθότων ἀριθμῶν.

Τοῦ αὐτοῦ.

Ὅτι οὔτε τὰ ὄντα γινώσκουσι τὸν Θεὸν ᾗ Θεός ἐστιν, οὔτε ὁ Θεὸς γινώσκει τὰ ὄντα ᾗ ὄντα εἰσί. Τὰ μὲν οὖν ὄντα οὐ γινώσκει τὸν Θεὸν ᾗ Θεός ἐστι, διὰ τὸ εἶναι τοῖς οὖσι πᾶσιν ἀκατάληπτον τὸ εἰδέναι τὸν Θεὸν καθὸ Θεός ἐστι, τουτέστι καθὼς ἔχει φύσεως· μόνος γὰρ αὐτὸς οἶδεν οὕτως ἑαυτόν· ὁ δὲ
C Θεὸς οὐ γινώσκει τὰ ὄντα ᾗ ὄντα εἰσί, διὰ τὸ ὑπερουσίως αὐτὰ γινώσκειν.

Τοῦ αὐτοῦ.

Ὁ μὲν Θεὸς πᾶσι πάρεστιν· οὐ γὰρ ἐν τόπῳ ἐστίν, ἵνα καὶ ἀπῇ τινος, ἀλλὰ πάντων ἐστὶ περιεκτικός· οὐ πάντα δὲ αὐτῷ πάρεστιν, ἀλλ' ὅσα τῆς θείας ἐγγύτητός εἰσιν ἄξια. Ἡμεῖς δὲ τότε αὐτῷ πάρεσμεν, ὅτε τοῦτον ἐπικαλούμεθα πανάγνοις μὲν εὐχαῖς, ἀνεπιθολώτῳ δὲ νῷ, καὶ τῇ τῆς πρὸς αὐτὸν ἐγγύτητος ἐπιτηδειότητι. Ὥσπερ δὲ εἰ πολυφώτου σειρᾶς ἐκ τῆς οὐρανίου ἀκρότητος ἠρτημένης, καὶ εἰς δεῦρο καθηκούσης, ἡμεῖς ἀεὶ αὐτῆς ἐπὶ τὸ ἄνω χερσὶν ἀμοιβαίαις δραττόμενοι καθέλκειν μὲν αὐτὴν ἐδοκοῦμεν, τῷ ὄντι δὲ οὐ κατήγομεν ἐκείνην ἄνω τε καὶ κάτω παροῦσαν, ἀλλ' αὐτοὶ μᾶλλον ἀνηγόμεθα
D πρὸς τὰς ὑψηλοτέρας μαρμαρυγὰς αὐτῆς· ἢ ὥσπερ εἰς ναῦν ἐμβεβηκότες, καὶ ἀντεχόμενοι τῶν ἔκ τινος πέτρας εἰς ἡμᾶς ἐκτεινομένων πεισμάτων, καὶ οἷον ἡμῖν εἰς ἀντίληψιν ἐκδιδομένων, οὐκ ἐφ' ἡμᾶς τὴν πέτραν, ἀλλ' ἡμᾶς αὐτοὺς καὶ τὴν ναῦν ἐπὶ τὴν πέτραν προσήγομεν· οὕτως ἄρα καὶ εὐχόμενοι οὐ τὸν Θεὸν ἐφ' ἡμᾶς ἕλκομεν, τὸν ἁπανταχῇ παρόντα, ἀλλ' ἡμᾶς αὐτοὺς πρὸς αὐτὸν διὰ τῆς θείας μνήμης, καὶ ἐπικλήσεως ἀνάγομέν τε καὶ ἐγχειρίζομεν.

Τοῦ αὐτοῦ.

Ἐφ' ἡμῶν μὲν ἡ μέθη τὸ χεῖρον ὑπερπλήρωσίς ἐστιν οἴνου, καὶ ἀμετρία, καὶ ἔκστασις νοῦ· ἐπὶ

Θεοῦ δὲ κατὰ τὸ κρεῖττον ὑπερπλήρωσις παντὸς A ἀγαθοῦ καὶ ἀμετρία, καὶ ἔκστασις τοῦ νοεῖν. Ἐξῄρηται γὰρ τοῦ νοεῖν, ὡς ὑπὲρ τὸ νοεῖν ὤν.

Ἔτι περὶ Θεοῦ κοινῶς τοῦ ἁγίου Μαξίμου.

Ἡγείσθω δὲ Θεὸς τῶν νοουμένων τε καὶ λεγομένων ὁ μόνος νοῦς τῶν νοούντων καὶ νοουμένων, καὶ λόγος τῶν λεγόντων καὶ λεγομένων, καὶ ζωὴ τῶν ζώντων καὶ ζωουμένων· καὶ πᾶσι πάντα καὶ ὤν, καὶ γινόμενος διὰ ταῦτα τὰ ὄντα καὶ τὰ γινόμενα· δι' ἑαυτὸν δὲ οὐδὲν κατ' οὐδένα τρόπον οὐδαμῶς οὔτε ὤν, οὔτε γινόμενος τῶν ἅ τι τῶν ὄντων ἐστὶ, καὶ τῶν γινομένων, οἷα μηδενὶ τὸ παράπαν τῶν ὄντων φυσικῶς συντασσόμενος, καὶ διὰ τοῦτο τὸ μὴ εἶναι μᾶλλον διὰ τὸ ὑπερεῖναι, ὡς οἰκειότερον ἐπ' αὐτοῦ λεγόμενον προσιέμενος. Δεῖ γὰρ, εἴπερ ὡς B ἀληθῶς τὸ γνῶναι διαφορὰν Θεοῦ καὶ κτισμάτων ἐστὶν ἀναγκαίως ἡμῖν, θέσιν εἶναι τοῦ ὑπερόντος τὴν τῶν ὄντων ἀφαίρεσιν, καὶ τὴν τῶν ὄντων θέσιν εἶναι τοῦ ὑπερόντος ἀφαίρεσιν, καὶ ἄμφω περὶ τὸν αὐτὸν εὐσεβῶς θεωρεῖσθαι τὰς προσηγορίας, καὶ μηδεμίαν κυρίως δύνασθαι, τὸ εἶναί φημι, καὶ μὴ εἶναι· ἄμφω μὲν, ὡς τῆς μὲν τοῦ εἶναι τὸν Θεὸν κατ' αἰτίαν τῶν ὄντων θετικῆς, τῆς δὲ καθ' ὑπεροχὴν αἰτίας πάσης τῶν ὄντων ἀφαιρετικῆς, καὶ μηδεμίαν κυρίως πάλιν, ὡς οὐδεμιᾶς τὴν κατ' οὐσίαν αὐτὴν καὶ φύσιν τοῦ τι εἶναι τοῦ ζητουμένου θέσιν παριστώσης. Ὧ γὰρ μηδὲν τὸ σύνολον φυσικῶς κατ' αἰτίαν συνέζευκται, ἢ ὂν, ἢ μὴ ὂν, τούτῳ οὐδὲν τῶν ὄντων, καὶ λεγομένων, οὐδὲ τῶν μὴ ὄντων, μηδὲ C λεγομένων εἰκότως ἐστὶν ἐγγύς. Ἁπλῆν γὰρ, καὶ ἄγνωστον, καὶ πᾶσιν ἄβατον ἔχει τὴν ὕπαρξιν, καὶ παντελῶς ἀνερμήνευτον, καὶ πάσης καταφάσεώς τε καὶ ἀποφάσεως οὖσαν ἐπέκεινα.

Τοῦ αὐτοῦ.

Εἷς καὶ μόνος κατὰ φύσιν ἀεὶ κυρίως ἐστὶν ὁ Θεὸς, ὅλον τὸ κυρίως εἶναι κατὰ πάντα τρόπον ἑαυτῷ περικλείων, ὡς καὶ αὐτοῦ τοῦ εἶναι κυρίως ὑπέρτερος. Εἰ δὲ τοῦτο οὐδαμῶς οὐδὲν οὐδαμοῦ τῶν εἶναι λεγομένων τὸ σύνολον ἔχει τὸ κυρίως εἶναι, οὐκοῦν οὐδὲν αὐτῷ τὸ παράπαν ἐξ ἀϊδίου συνθεωρεῖται κατ' οὐσίαν διάφορον, οὐκ αἰὼν, οὐ χρόνος, οὐδέ τι τῶν τούτοις ἐνδιαιτωμένων. Οὐ γὰρ συμβαίνουσιν ἀλλήλοις D πώποτε τὸ κυρίως εἶναι, καὶ οὐ κυρίως.

Τοῦ αὐτοῦ.

Μόνος ὁ Θεὸς ἁπλοῦς ἐστι κυρίως, καὶ ἓν κυρίως, καὶ ἑνὰς, καὶ μονὰς, πάντα δὲ τὰ μετὰ Θεὸν δυάδες εἰσὶ, καὶ σύνθετα, εἰ καὶ μὴ ἐπίσης. Τὰ μὲν γὰρ νοητὰ ἔκ τε οὐσίας ὑπάρχουσι, καὶ συστατικῆς διαφορᾶς ἀφοριζούσης ἕκαστον, πᾶν γὰρ τὸ ἔχον συνεπιθεωρούμενόν τι πρὸς δήλωσιν τῆς οἰκείας ὑπάρξεως, οὐχ ἁπλοῦν κυρίως· τὰ δὲ αἰσθητὰ ἐξ εἴδους καὶ ὕλης.

Τοῦ αὐτοῦ.

Ἐπὶ τοῦ Θεοῦ τὸ ὢν, καὶ τὸ ἀγαθὸς, καὶ τὸ Θεὸς, καὶ τὸ δημιουργὸς, καὶ τὸ ὑπερούσιος, καὶ τὸ ἄπειρος, καὶ τὸ ἀθάνατος, καὶ τὰ τοιαῦτα οὐ λέγομεν

A Apud Deum autem spectat ad meliora, et est immodica omnis boni repletio, qua mens ab intelligentia dimovetur. Ab intelligentia enim eximitur, dum supra intelligentiam collocatur.

Item communiter de Deo, sancti Maximi.

Putetur igitur eorum quæ cogitantur, quæque dicuntur Deus, mens intelligentium et intellectorum, dicentium, dictorumque verbum, vita viventium, et præbentium vitam : omnibus denique omnia exsistens, et factus per ipsa, quæ sunt, atque fiunt. Nam per se nihil ulla prorsus ratione aut est, aut fit, eorum quæ sunt aliquid ex his, quæ sunt et fiunt, quippe qui dum illorum nulle naturaliter conjungatur. Itaque magis admittit, ut de se potius dicatur non esse, qui præstantiori quadam ratione est. Oportet enim, si co- B gnoscenda est inter Deum et ea, quæ creata sunt, differentia, ut Deum excellenti præditum essentia dicamus esse id, quod illa non sunt; et quod illa sunt, id Deum excellenti præditum essentia negemus esse; et utrumque de Deo pie sic affirmemus, ut neutrum tamen asseramus de illo proprie dici posse. Utrumque nimirum, et esse, quoniam sit eorum causa; et non esse, quod omni eorum causa sit excellentior. Neutrum rursus proprie. Neutro enim id constitui, quod quæsitum est, nempe, quid per essentiam, naturamque sit. Cui enim nihil omnino quod sit, aut quod non sit, naturaliter conjungitur, ad hunc eorum vel quæ sunt, aut dicuntur, vel quæ non sunt, aut non dicuntur, nihil aspirare consen- C taneum est. Simplicem enim habet essentiam, et omnibus incognitam, et inaccessam, et quæ nec verbis explicari potest, et est omni affirmatione, negationeque superior.

Ejusdem.

Unus et solus per naturam proprie semper est Deus, totum, quod proprie est, omni ratione in se ipse includens, ut qui et essentia proprie præstantior exsistit. Quod si ita est, nihil omnino eorum, quæ ulla ratione dicuntur esse, plane id habet, ut proprie sit. Quare nihil essentia diversum cum illo prorsus ab æterno potest considerari, non sæculum, D non tempus, non aliquid eorum, quæ sæculo et tempore continentur. Nam proprie, et non proprie esse nunquam inter se conveniunt.

Ejusdem.

Solus Deus simplex est proprie, et proprie unum, et unitas, et monas. Omnia vero, quæ post Deum sunt, duplicia sunt, et composita, licet non pari ratione. Nam quæ mente et intelligentia continentur, ex essentia constant, et differentia, qua unumquodque eorum constituitur, et ab aliis separatur. Quidquid autem habet aliquid, quo ipsius essentia declaretur, non est simplex : quæ vero sensibus percipiuntur, constant ex materia et forma.

Ejusdem.

In Deo, et qui est, et bonus, et Deus, et opifex, et essentia præstantior, et infinitus, et immortalis, et quæ his similia sunt, non dicimus esse differen-

A tias essentiam constituentes, ne ipsum ex his compositum asseramus, sed appellationes quasdam, quibus aliqua eorum, quæ circa ipsum spectantur, patefiunt, cum nulla tamen ex ipsis, ea, quæ ad essentiam et naturam ejus pertinent, ostendat. Quædam enim divinæ naturæ congruentia significant, non autem indicant ipsam naturam, quod quidem differentiarum essentiam constituentium proprium est.

Ejusdem.

In partes dividi non potest Deus, quia non habet quantitatem. Quantus non est, quoniam et qualitatis expers. Non est qualis, quia et simplex. Simplex est, quia et interminatus. Interminatus, quia et infinitus. Infinitus, quia et immobilis. Immobilis, B quia et sine principio. Nihil enim habet ante se, et majus. Nihil secum, et æquale. Nihil post se. Vacat autem principio, quoniam et ingenitus est. Ingenitus porro, quoniam est unus, et maxime singularis. Unus vero maximeque singularis, quoniam immensus omnino, ideoque nec explicari, nec cognosci potest, et sola hæc vera illius habetur cognitio, quod cognosci non potest.

Ejusdem.

Infinitus est Deus, non ea re solum, quod principio vacat et fine, verumetiam quantum ad essentiam, et potentiam, actionemque pertinet. Neque enim per essentiam percipi, nec per potentiam, actionemque cognosci potest. Atque ut verius loquar, omni ratione et modo est indefinitus. Hæc enim est infi- C niti proprium. Nam sicut unitas, neque numerus est, neque numerabilis, neque totum, neque pars, neque habitus numeri, sed omnis numeri principium et causa, sine principio autem, quia nullum habet numerum antiquiorem, et causam, ut ipsa sit: sic etiam Deus, ut parvum exemplum afferatur, omnem et quantitatem, et qualitatem, et habitum superans et simplex est, et sine principio, et rerum principium.

Ejusdem.

Simplicem Deus, cum simplex sit, unam, bonam, omnibus omnia conficientem actionem habet, instar radii solis, qui omnia fovens agit in singulis pro naturali cujusque, et ad suscipiendum apta potestate.

Ejusdem.

D Deus, qui est ipsa essentia, et ipsa bonitas, et ipsa sapientia, imo vero, qui his omnibus sublimior est, nihil habet omnino contrarium. Quæ autem creatæ sunt res, gratia et munere sunt omnes essentiæ participes. Et quæ ratione menteque constant, ac naturam ad bonitatem sapientiamque suscipiendam idoneam obtinent, contrarium habent essentiæ quidem ipsum non esse, naturæ vero ad bonitatem, et sapientiam accipiendam accommodatæ, malitiam et ignorantiam. Porro semper ut sint, aut non sint, in potestate est effectoris. Ut autem bonitatis et sapientiæ fiant participes, aut non fiant, in ipsarum, quæ ratione sunt præditæ, situm est voluntate.

οὐσιώδεις διαφορὰς, ἵνα μὴ σύνθετον αὐτὸν ἐκ τούτων δογματίσωμεν, ἀλλὰ προσηγορίας τινῶν μὲν ἐκφαντικὰς, τῶν θεωρουμένων περὶ αὐτὸν, οὐδενὸς δὲ τῶν κατὰ τὴν οὐσίαν αὐτοῦ καὶ φύσιν δηλωτικάς. Τινὰ μὲν γὰρ πρέποντα τῇ θείᾳ φύσει σημαίνουσιν, οὐκ αὐτὴν δὲ τὴν φύσιν μηνύουσιν, ὅπερ ἴδιον τῶν οὐσιωδῶν καὶ συστατικῶν διαφορῶν.

Τοῦ αὐτοῦ.

Ἀμερὲς μὲν τὸ Θεῖον, ὅτι καὶ ἄποσον· ἄποσον δὲ, ὅτι καὶ ἄποιον· ἄποιον δὲ, ὅτι καὶ ἁπλοῦν, ἁπλοῦν δὲ, ὅτι καὶ ἀδιάστατον, ἀδιάστατον δὲ, ὅτι καὶ ἄπειρον· ἄπειρον δὲ, ὅτι καὶ ἀκίνητον· ἀκίνητον δὲ, ὅτι καὶ ἄναρχον. Οὔτε γὰρ ἔχει τι πρὸ αὐτοῦ, καὶ μεῖζον, οὔτε τι σὺν αὐτῷ, καὶ ἴσον, οὔτε τι μετ' αὐτό. Ἄναρχον δὲ, ὅτι καὶ ἀγέννητον· ἀγέννητον δὲ, ὅτι ἓν καὶ μονώτατον· ἓν δὲ καὶ μονώτατον, ὅτι καὶ παντελῶς ἄσχετον, καὶ διὰ τοῦτο πάντα πᾶσιν ἄῤῥητόν τε καὶ ἄγνωστον, καὶ μόνην ἀληθῆ γνῶσιν ἔχον τὸ μὴ γινώσκεσθαι.

Τοῦ αὐτοῦ.

Ἄπειρον τὸ Θεῖον οὐ μόνον κατὰ τὸ ἄναρχόν τε καὶ ἀτελεύτητον, ἀλλὰ καὶ κατ' οὐσίαν, καὶ δύναμιν, καὶ ἐνέργειαν. Ἀχώρητον μὲν γὰρ κατ' οὐσίαν, ἀπερινόητον δὲ κατὰ δύναμιν, καὶ ἐνέργειαν. Καὶ ἀληθέστερον εἰπεῖν, ἀόριστον κατὰ πάντα καὶ λόγον, καὶ τρόπον· τοῦτο γὰρ τὸ κυρίως ἄπειρον. Ὥσπερ γὰρ ἡ μονὰς οὔτε ἀριθμός ἐστιν, οὔτε ἀριθμητὸν, οὔτε ὅλον, οὔτε μέρος, οὔτε σχέσις, ἀλλ' ἀρχὴ μὲν, ὡς αἰτία παντὸς ἀριθμοῦ, ἄναρχος δὲ, ὡς μηδένα ἀριθμὸν ἔχουσα πρεσβύτερον καὶ αἴτιον τοῦ εἶναι αὐτὴν μονάδα· οὕτω καὶ ὁ Θεὸς, ὡς ἐν εἰκόνι μικρᾷ φάναι, ὑπὲρ πᾶσαν ποσότητα, καὶ ποιότητα, καὶ σχέσιν, καὶ ἁπλοῦς, καὶ ἄναρχος, καὶ ἀρχὴ τῶν ὄντων.

Τοῦ αὐτοῦ.

Ἁπλοῦν ὂν τὸ Θεῖον ἁπλῆν ἔχει ἐνέργειαν, μίαν, ἀγαθὴν, πᾶσι πάντα ἐνεργοῦσαν, κατὰ τὴν ἡλιακὴν ἀκτῖνα, ἥτις πάντα θάλπουσα ἐν ἑκάστῳ κατὰ τὴν φυσικὴν ἐπιτηδειότητα, καὶ δεκτικὴν δύναμιν ἐνεργεῖ.

Τοῦ αὐτοῦ.

Ὁ μὲν Θεὸς, ὡς αὐτοΰπαρξις ὢν, καὶ αὐτοαγαθότης, καὶ αὐτοσοφία, μᾶλλον δὲ καὶ ὑπὲρ ταῦτα, οὐδὲν ἔχει τὸ σύνολον ἐναντίον· τὰ δὲ κτίσματα, ὡς πάντα μὲν μεθέξει, καὶ χάριτι τὴν ὕπαρξιν ἔχοντα, τὰ δὲ λογικὰ, καὶ νοερὰ, καὶ ὡς τὴν ἀγαθότητος, καὶ σοφίας ἐπιτηδειότητα κεκτημένα, ἔχουσιν ἐναντίον, τῇ μὲν ὑπάρξει τὸ μὴ ὑπάρχειν, τῇ δὲ τῆς ἀγαθότητος καὶ σοφίας ἐπιτηδειότητι κακίαν καὶ ἀγνωσίαν. Καὶ τὸ μὲν ὑπάρχειν ἀεὶ, ἢ μὴ ὑπάρχειν ταῦτα ἐν τῇ ἐξουσίᾳ τοῦ πεποιηκότος ἐστὶ, τὸ δὲ μετέχειν τῆς ἀγαθότητος αὐτοῦ καὶ τῆς σοφίας, ἢ μὴ μετέχειν, ἐν τῇ βουλήσει τῶν λογικῶν ὑπάρχει.

Τοῦ αὐτοῦ.

A Οἱ μὲν Ἕλληνες ἐξ αἰδίου λέγοντες συνυπάρχειν τῷ Θεῷ τὴν τῶν ὄντων οὐσίαν, τὰς περὶ αὐτὴν ποιότητας ὕστερον ἐξ αὐτοῦ λαβοῦσαν, τῇ μὲν οὐσίᾳ οὐδὲν λέγουσιν ἐναντίον εἶναι, ἐν ταῖς ποιότησι δὲ μόναις εἶναι τὴν ἐναντίωσιν· ἡμεῖς δὲ μόνον τὴν θείαν οὐσίαν μηδὲν ἔχειν ἐναντίον δογματίζοντες, ὡς μόνην κυρίως ἄπειρον τῇ τῶν ὄντων οὐσίᾳ ἐναντίον εἶναι τὸ μὴ ὂν λέγομεν, ἐπεὶ καὶ ἐκ τοῦ μὴ ὄντος αὐτὴν ὑπέστησε. Καὶ κεῖσθαι μὲν ἐν τῇ ἐξουσίᾳ τοῦ κτίσαντος τὸ εἶναι, ἢ μὴ εἶναι αὐτὴν, βούλεσθαι δὲ αὐτὸν, ὡς ἀγαθὸν, εἶναι αὐτὴν καὶ διαμένειν τῇ παντοκρατορικῇ δυνάμει αὐτοῦ διακρατουμένην

Τοῦ αὐτοῦ.

B Πᾶσα οὐσία τὸν ἴδιον ὅρον ἑαυτῇ συνεισάγουσα, τουτέστιν ὁριζομένη, ἀρχὴ πέφυκεν εἶναι τῆς ἐπιθεωρουμένης αὐτῇ κατὰ δύναμιν κινήσεως. Πᾶσα δὲ οὐσιώδης πρὸς ἐνέργειαν κίνησις μεσότης ἐστὶ μετεπινοουμένη μὲν τῆς οὐσίας, προεπινοουμένη δὲ τῆς ἐνεργείας. Καὶ πᾶσα ἐνέργεια τῷ κατ' αὐτὴν λόγῳ φυσικῷ περιγραφομένη τέλος ἐστὶ τῆς πρὸ αὐτῆς κατ' ἐπίνοιαν θεωρουμένης οὐσιώδους κινήσεως. Ὁ δὲ Θεὸς οὔτε ἀρχή ἐστιν, οὔτε μεσότης, οὔτε τέλος. Ταῦτα γὰρ τῶν χρόνῳ διαιρετῶν εἰσι γνωρίσματα, εἴποι δ' ἄν τις ὅτι καὶ τῶν αἰῶνι συνορωμένων. Ὁ γὰρ χρόνος, μετρουμένην ἔχων τὴν κίνησιν, ἀριθμῷ περιγράφεται. Ὁ δ' αἰὼν, συνεπινοουμένην ἔχων τῇ ὑπάρξει τὴν πότε κατηγορίαν, πάσχει διάστασιν, ὡς ἀρχὴν τοῦ εἶναι λαβών. Εἰ δὲ χρόνος C καὶ αἰὼν οὐκ ἄναρχα, πολλῷ μᾶλλον τὰ ἐν τούτοις περιεχόμενα. Ὁ Θεὸς τοίνυν οὔτε οὐσία ὢν, ἵνα μὴ ἀρχὴ νομισθείη, οὔτε δύναμις, ἵνα μὴ μεσότης, οὔτε ἐνέργεια, ἵνα μὴ τέλος, ἔστιν οὐσιοποιὸς, καὶ ὑπερούσιος ὀντότης, καὶ δυναμοποιὸς, καὶ ὑπερδύναμος πανσθένεια, καὶ πάσης ἐνεργείας δραστικὴ, καὶ ἀτελεύτητος ἕξις. Καὶ συντόμως εἰπεῖν πάσης οὐσίας, καὶ δυνάμεως, καὶ ἐνεργείας, ἀρχῆς τε, καὶ μεσότητος, καὶ τέλους ποιητική.

Τοῦ αὐτοῦ.

Ἀρχὴ πᾶσα, καὶ μεσότης, καὶ τέλος τὴν σχετικὴν δι' ὅλου κατηγορίαν οὐκ ἤρνηται. Ὁ δὲ Θεὸς καθόλου πάσης σχέσεως ὑπάρχων ἀπειράκις ἀπείρως ἀνώτερος, οὔτε ἀρχή ἐστιν, οὔτε μεσότης, οὔτε τέλος, D οὐδέ τι ἕτερον τῶν ἐν οἷς θεωρεῖσθαι κατὰ τὴν σχέσιν ἡ τοῦ πρός τι δύναται κατηγορία.

Τοῦ αὐτοῦ.

Ἀρχὴ τῶν ὄντων, καὶ μεσότης, καὶ τέλος λέγεται ὁ Θεὸς, ἀλλ' ὡς ἐνεργῶν, οὐχ ὡς πάσχων, ὥσπερ καὶ ἄλλα πάντα, οἷς παρ' ἡμῶν ὀνομάζεται. Ἀρχὴ μὲν γάρ ἐστιν, ὡς δημιουργὸς, μεσότης δὲ, ὡς προνοητὴς, τέλος δὲ, ὡς περιγραφή. « Ἐξ αὐτοῦ γὰρ, » φησὶ, « καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα. »

Τοῦ αὐτοῦ.

Οὐδὲν τῶν ὄντων αὐτενέργητον· τὸ δὲ μὴ αὐτενέργητον οὐδ' ἀναίτιον. Τὸ δὲ μὴ ἀναίτιον οὐδ' ἀκίνητον· τὸ δὲ μὴ ἀκίνητον δι' αἰτίαν κινεῖται πάν-

Ejusdem.

Græci, qui dicunt rerum essentiam ab omni æternitate simul fuisse cum Deo, qualitates autem ab eo post accepisse, essentiæ nihil esse contrarium asserunt, sed in qualitatibus solis contraria reperiri. Nos autem, qui solam divinam essentiam quia sola proprie sit infinita, nihil habere contrarium tradimus, rerum essentiæ contrarium esse ipsum non esse dicimus. Quippe quæ ex nihilo facta est. In ejus autem, qui illam creavit, esse potestate, ut ipsa vel sit vel non sit. Verum ipsi, nempe bono, placere, ut sit, maneatque omnipotenti ipsius virtute conservata.

Ejusdem.

Omnis essentia proprio termino circumscripta, et definita, principium est ejus motus, qui potentia in ipsa consideratur. Omnis autem essentiæ motus medium quiddam est. Nam et essentiam sequitur, et actionem antecedit. Et omnis actio propria ipsius ratione naturaliter circumscripta finis est illius motus, qui ab essentia proficiscitur. Verum Deus nec principium, nec medium, nec finis est. Ili namque sunt earum rerum termini, quæ tempore dividuntur, et quæ simul cum sæculo, ut aliquis dicat, cernuntur. Tempus enim, cum ejus mensura sit motus, numero circumscribitur. Sæculum autem, quoniam cum ejus essentia, categorica, sive (ut trita et vulgata jam voce utar) prædicamentum, quando simul intelligitur subit divisionem, et exsistendi principium sumit. Quod si tempus, et sæculum non carent principio, multo minus ea, quæ tempore et sæculo continentur. Deus igitur neque essentia est, ne principium dicatur; nec potentia, ne medium vocetur; nec actio, ne finis nominetur. Sed effector essentiæ, essentiaque præstantior; et effector potentiæ, potentiaque valentior; et omnis actionis habitus nunquam desinens. Atque, ut breviter dicam, omnis essentiæ, et potentiæ, et actionis, et principii, et medii, et finis auctor.

Ejusdem.

Omne principium et medium, et finis habitus omnino categoriam non effugiunt. Deus autem omni plane habitu cum sit superior, nec principium est, nec medium, nec finis, nec aliud quidquam eorum, in habitus categoria considerantur, vel cum aliquo conferuntur.

Ejusdem.

Rerum principium et finis dicitur Deus, sed non ut agens, aut patiens, id, quod intelligendum est in omnibus nominibus, quæ ipsi tribuuntur; sed principium est ut effector, medium ut moderator, finis ut circumscriptio: ex ipso enim, et per ipsum, et in ipsum omnia.

Ejusdem.

Nihil eorum, quæ sunt, seipsum facit. Quod autem a se non est factum, causa non caret. Quod causa non caret, non est immobile. Quod immobile non

est, propter causam movetur omnino. Moveri igitur naturaliter pendet a causa, per quam fit, et ad quam dirigitur ipse motus. Nihil enim eorum, quæ moventur, sine causa moveri natura patitur. Principium autem omnis motus naturalis, et eorum quæ moventur, generatio. Principium vero illorum quæ generata sunt, generationis, est Deus, ut auctor generationis. At finis motus naturalis est eorum quæ generata sunt, status, quem post transitum eorum, quæ transierunt, efficit infinitas illa in qua, quoniam nullum est spatium, cessat motus rerum, quæ moventur naturaliter. Omnis ergo generationis, et motus, et status rerum principium, et medium, et finis est Deus. Quoniam et ex ipso genitæ sunt, et per ipsum moventur, et in ipsum sunt desituræ, qui ipsam quoque motus omnes definientem ac terminantem complectitur infinitatem.

A τως ἐνεργούμενον τὸ κινεῖσθαι φυσικῶς ὑπὸ τῆς αἰτίας, δι' ἣν, καὶ πρὸς ἣν ποιεῖται τὴν κίνησιν. Οὐδὲν γὰρ τῶν κινουμένων κινεῖσθαι πέφυκεν ἀναιτίως. Ἀρχὴ δὲ πάσης κινήσεως φυσικῆς ἡ τῶν κινουμένων γένεσις. Ἀρχὴ δὲ τῆς τῶν γεγενημένων γενέσεως ὁ Θεὸς, ὡς γενεσιουργός· τῆς δὲ τῶν γεγενημένων φυσικῆς κινήσεως τέλος ἡ στάσις ἐστὶν ἣν ποιεῖ μετὰ τὴν διάβασιν τῶν πεπερασμένων ἡ ἀπειρία, ἐν ᾗ, διὰ τὸ μὴ εἶναι διάστημα, πᾶσα παύεται κίνησις τῶν φυσικῶς κινουμένων. Πάσης οὖν γενέσεώς τε καὶ κινήσεως, καὶ στάσεως τῶν ὄντων, ἀρχὴ, καὶ μεσότης, καὶ τέλος ὁ Θεὸς, ὡς ἐξ αὐτοῦ γεγενημένων, καὶ δι' αὐτοῦ κινουμένων, καὶ εἰς αὐτὸν τὴν στάσιν ποιησομένων τὸν ὁρίζοντα καὶ αὐτὴν τὴν πάσης κινήσεως ὁριστικὴν ἀπειρίαν.

Ejusdem.

Eorum, quæ fiunt, quæque moventur, motionis et principium, et finis est Deus, et eorum quæ in ipsum feruntur stabile, atque immobile firmamentum. Et omnium denique rerum terminus interminatus, et infinitus finis.

B

Τοῦ αὐτοῦ.

Ἔστιν ὁ Θεὸς ἀρχὴ τῆς τῶν γινομένων γενέσεως, καὶ τέλος τῆς τῶν κινουμένων κινήσεως, καὶ τῶν εἰς αὐτὸν φερομένων στάσις βάσιμος, καὶ ἀκίνητος, καὶ παντὸς ὅρου ὅρος ἀόριστος, καὶ πέρας ἄπειρον.

Ejusdem.

Homines certo quodam termino, boni, sapientes, et justi vocantur: Deus autem absolute dicitur bonus, et sapiens, et justus, et bonitas, et sapientia, et justitia, quippe qui est omnis virtutis essentia. Quamobrem qui virtutis est particeps, Dei particeps est, qui virtutis, ut diximus, essentia et fons est.

Τοῦ αὐτοῦ.

Οἱ μὲν ἄνθρωποι προσδιωρισμένως ἀγαθοὶ ἄνθρωποι λέγονται, καὶ σοφοὶ ἄνθρωποι, καὶ δίκαιοι ἄνθρωποι· ὁ δὲ Θεὸς ἀπολύτως ταῦτα, ἀγαθὸς, καὶ σοφὸς, καὶ δίκαιος, καὶ ἀγαθότης, καὶ σοφία, καὶ δικαιοσύνη, ὡς οὐσία πάσης ἀρετῆς. Ὁ τοίνυν ἀρετῆς μετέχων μετέχει Θεοῦ τῆς οὐσίας, ὡς εἴρηται, καὶ πηγῆς τῆς ἀρετῆς.

Ejusdem.

Deus, qui cognitio per essentiam est, solam boni cognitionem habet, ut qui solius boni natura est. Omnis autem secundum Deum natura ratione prædita simplici mentis motu non potest eodem tempore boni et mali notitiam habere, cum unius contrarii cognitio, alterius contrarii naturaliter ignorantiam afferat. Sic etiam oculi non possunt eodem tempore sursum deorsumque, aut dextrorsum simul ac sinistrorsum contueri.

C

Τοῦ αὐτοῦ.

Ὁ Θεὸς γνῶσις ὢν κατ' οὐσίαν τὴν γνῶσιν τοῦ καλοῦ μόνην ἔχει, ἅτε μόνου τοῦ καλοῦ φύσις ὤν. Πᾶσα δὲ λογικὴ μετὰ Θεὸν φύσις ἔχειν ὁμοῦ καὶ κατὰ ταυτὸν ἐν τῷ τῆς διανοίας ἁπλῷ κινήματι καλοῦ καὶ κακοῦ γνῶσιν οὐ δύναται. Διότι πέφυκεν ἡ θατέρου τῶν ἀντικειμένων ἀλλήλοις γνῶσις ποιεῖν τῆς τοῦ ἑτέρου γνώσεως ἄγνοιαν. Καὶ γὰρ οὐδ' ὀφθαλμὸς ἄνω καὶ κάτω δύναται κατὰ ταυτὸν ἰδεῖν, ἢ δεξιὰ ἢ ἀριστερά.

Ejusdem.

Et se ipsum Deus, et quæ sunt infra se cognoscit. Natura item ratione menteque prædita et Deum, et quæ infra Deum sunt, cognoscit; sed non eodem modo, quo Deus. Hic enim ex essentiæ suæ contemplatione seipsum per semetipsum intelligit. Et quæ sub ipso sunt, ex sapientia cognoscit sua, per quam, et in quâ condidit omnia. Illa vero et Deum cognoscit, dum illius, qui nullius rei particeps est, particeps fit, tum ex eo, quod est; tum ex eo, quod bene, per gratiam est. Quæ autem sub Deo sunt, percipit, dum artificiosam in illis sapientiam ejus, et naturales ipsorum rationes comprehendit. Angeli tamen, ut qui mentes sunt puræ, sublimius intelligunt, demissius homines, ut qui corporis pondere deprimuntur.

Τοῦ αὐτοῦ.

Γινώσκει μὲν ὁ Θεὸς ἑαυτὸν, γινώσκει δὲ καὶ τὰ ὑπ' αὐτοῦ γεγονότα. Καὶ ἡ λογικὴ καὶ νοερὰ φύσις γινώσκει μὲν τὸν Θεὸν, γινώσκει δὲ καὶ τὰ ὑπ' αὐτοῦ γεγονότα· ἀλλ' οὐχ ὡς ὁ Θεὸς γινώσκει, οὕτω D καὶ αὕτη. Ὁ μὲν γὰρ γινώσκει ἑαυτὸν ἐκ τῆς μακαρίας οὐσίας αὐτοῦ δι' ἑαυτοῦ ἑαυτὸν θεώμενος· τὰ δὲ ὑπ' αὐτοῦ γεγονότα ἐκ τῆς σοφίας αὐτοῦ, δι' ἧς καὶ ἐν ᾗ τὰ πάντα ἐποίησεν. Ἡ δὲ γινώσκει τὸν Θεὸν μὲν μετοχῇ ὑπὲρ μετοχὴν ὄντα. Μετέχει γὰρ αὐτοῦ αὐτῷ τε τῷ εἶναι, καὶ τῇ πρὸς τὸ εὖ εἶναι ἐπιτηδειότητι, καὶ τῇ πρὸς τὸ ἀεὶ εἶναι χάριτι. Τὰ δὲ ὑπ' αὐτοῦ γεγονότα γινώσκει ἀναλήψει τῆς ἐν αὐτοῖς θεωρουμένης τεχνικῆς σοφίας, καὶ γνώσει τῶν ἐν τούτοις φυσικῶν λόγων. Πλὴν οἱ ἄγγελοι μὲν οἷα νόες μόνον γινώσκουσιν ὑψηλότερον, οἱ δ' ἄνθρωποι οὐχ οὕτως, ἀλλ' ὑφειμένον, διὰ τὸ συνεζευγμένον πάχος τοῦ σώματος.

Τοῦ αὐτοῦ.

Ὁ Θεὸς οὔτε νοῶν λέγεται κυρίως, οὔτε νοούμενος, ἵνα μὴ σύνθετος λογισθείη. Τό τε γὰρ νοοῦν συνεπιθεωρουμένην ἔχει τὴν τοῦ νοεῖν δύναμιν, τό τε νοούμενον τὴν τοῦ νοεῖσθαι. Ἀλλ' οὐδὲ νόησις· ἡ γὰρ νόησις ἔχει φυσικῶς ὑποκειμένην δεκτικὴν αὐτῆς οὐσίαν. Λοιπὸν οὖν ὑπὲρ ταῦτα πάντα, εἰ μή που νόησιν αὐτὸν εἴποιμεν, αὐτὸ κατ' οὐσίαν νόησιν, καὶ ὅλον νόησιν, καὶ μόνον νόησιν, καὶ νόησιν ὑπὲρ νόησιν.

Ejusdem.

Deus proprie nec intelligere dicitur nec intelligi, ne compositus existimetur. Nam quod intelligit, conjunctam habet intelligendi potestatem. Et quod intelligitur, potestatem habet conjunctam, ut intelligatur. Nec intelligentia proprie dicitur, siquidem intelligentia naturaliter essentiam subjectam habet ipsius intelligentiæ susceptricem. Reliquum igitur est, ut, post hæc omnia, cum non possimus Deum hoc modo intelligentiam dicere, dicamus eum ipsam per essentiam intelligentiam, et totam intelligentiam, et intelligentiam solam, atque omni intelligentia præstantiorem.

Τοῦ αὐτοῦ.

Ὁ Θεὸς οὔτε νοερῶς τὰ νοερὰ γινώσκει, οὔτε αἰσθητῶς τὰ αἰσθητά. Ἀδύνατον γὰρ τὸν ὑπὲρ τὰ ὄντα κατὰ τὰ ὄντα τῶν ὄντων ἀντιλαμβάνεσθαι. Λοιπὸν οὖν ὡς ἴδια θελήματα γινώσκει αὐτά, ἐπεὶ καὶ θέλων πάντα πεποίηκε.

Ejusdem.

Deus nec intelligentia cognoscit intelligibilia, nec sensu sensibilia. Neque enim fieri potest, ut qui rebus est excellentior, res percipiat ea ratione, qua se vicissim ipsæ percipiunt: restat igitur, ut ea tanquam proprias voluntates intelligat, quandoquidem et volens fecit omnia.

Τοῦ αὐτοῦ.

Τοὺς λόγους πάντων τῶν γεγονότων ἔχων ὁ Θεὸς πρὸ τῶν αἰώνων ὑφεστῶτας ἐν ἑαυτῷ, κατ' αὐτοὺς τήν τε ἀόρατον καὶ τὴν ὁρατὴν ὑπεστήσατο κτίσιν, κατὰ τὸν δέοντα καιρὸν ποιῶν τά τε καθόλου καὶ τὰ καθέκαστον. Λόγος γὰρ ἑκάστου τῶν ὄντων προκαθηγήσατο, καθ' ὃν τοῦτο γέγονε. Τοιγαροῦν ἐν τῷ Θεῷ πάντων οἱ λόγοι πεπήγασι, καθ' οὓς ταῦτα ἐκ μὴ ὄντων ἐποίησε, καὶ κατὰ τούτους τοὺς λόγους γινώσκει τὰ πάντα πρὶν γενέσεως αὐτῶν. Τούτους δὲ τοὺς λόγους ὁ Ἀρεοπαγίτης (5) Διονύσιος προορισμοὺς καλεῖ, καὶ θεῖα θελήματα. Ἕκαστος οὖν κατὰ τὸν ἴδιον λόγον τὸν ὄντα ἐν τῷ Θεῷ κινηθείς, ἐν τῷ Θεῷ γίνεται· καθὸ καὶ λέγεται τὸ, « Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ· » ὥσπερ αὖθις παρὰ τοῦτον κινηθεὶς ἐκπίπτει τοῦ Θεοῦ· καθὸ καὶ λέγεται τὸ, « Οὐκ οἶδα ὑμᾶς. »

Ejusdem.

Rationes omnium rerum ante sæcula habens in se Deus, ex illis omnia, quæ vel mente, vel sensu percipiuntur, procreavit, opportuno tempore tum universa, tum singula constituens. Singulis enim rebus præcessit ratio, qua ita sunt factæ. Quamobrem rationes omnium, in Deo erant fixæ, quibus eas ex nihilo fecit. Atque his quidem rationibus cognoscit omnia prius, quam fiant. Hæ vero a Dionysio Areopagita præfinitiones et divinæ voluntates appellantur. Quapropter si ex propria quisque ratione in Deo exsistente moveatur, in Deo est. Ex quo illud dicitur: « Novit Dominus, qui sui sunt [1]. » Sin præter illam moveatur, a Deo excidit. Ex quo illud: « Non novi vos [2]. »

Τοῦ αὐτοῦ.

Ὁ Θεὸς οὐ ποιοτήτων, ἀλλ' οὐσιῶν πεποιωμένων ἐστὶ δημιουργός.

Ejusdem.

Deus non qualitatum, sed essentiarum quæ factæ sunt, effector est.

Τοῦ αὐτοῦ.

Οἱ μὲν ἄνθρωποι πρὸς τὰ φαινόμενα βλέποντες κρίνουσι, περὶ ἃ οὐ πάντως ἐστὶν ἡ ἀλήθεια· ὁ δὲ Θεὸς τὸ ἀφανὲς κίνημα τῆς ψυχῆς τοῦ πράξαντος ἰδὼν, καὶ τὸν λόγον, καθ' ὃν ὥρμησε πρὸς τὴν πρᾶξιν, ὀρθῶς καὶ δικαίως κρίνει τὰ παρὰ τῶν ἀνθρώπων πραττόμενα.

Ejusdem.

Homines ea, quæ cernuntur, in quibus veritas omnino non est, spectantes judicant. Deus autem occultum animi motum agentis intuens, et rationem, qua ad agendum adductus est, recte et juste judicat ea quæ ab hominibus fiunt.

Τοῦ αὐτοῦ.

Οὐ πάντα λέγειν εὐπρεπὲς, ὅσα ὑποπίπτει ταῖς ἐννοίαις ἡμῶν. Οὐδένα μὲν γὰρ ἔχει Θεὸν ὁ Θεὸς, οὐδὲ σέβεται ἄλλον, οὐδὲ εἰς τινὰ πιστεύει. Ἄθεον δὲ λέγειν τὸν Θεὸν καὶ ἀσεβῆ, καὶ ἄπιστον, ἄτοπον. Τὰ τοιαῦτα γὰρ ἡ μὲν ἔννοια ὑποβάλλει, ἡ δὲ εὐσέβεια λέγειν οὐκ ἐπιτρέπει.

Ejusdem.

Non omnia, quæ cogitationibus nostris imbecillis occurrunt, digne decoreque possunt explicari. Nullum habet Deum Deus, nec alium colit, nec in aliquem credit. Num igitur aut sine Deo Deus? aut impius? aut infidelis? Minime vero. Hæc igitur et horum similia suggerit cogitatio, sed pietas eloqui non permittit.

[1] II Tim. II, 19. [2] Matth. XXV, 12.

(5) Ad hæc verba, τούτους δὲ — ὁ Ἀρεοπ. Διονύσιος, Mosquensis I hoc scholium habet: Ὁ δὲ Πλάτων καὶ οἱ περὶ αὐτὸν ἰδέας τούτους ὠνόμαζον. MATTHÆI.

Item communiter de Deo, Joannis Damasceni ex capite 11.

Quoniam autem plurima de Deo, corporibus affini quadam ratione in sacris Litteris symbolice ac per figuram dicta reperimus; illud noscamus oportet, fieri non posse, ut nos qui homines sumus, crassaque carne involvimur, divinas illas, et excelsas; immaterialesque Divinitatis actiones intelligamus ac sermone complectamur, nisi figuris et imaginibus, signisque naturæ nostræ consentaneis utamur. Quocirca ea omnia quæ corporea vel paululum ratione de Deo enuntiata sunt, figurate dicta sunt, altioremque sensum includunt: quippe cum Deus simplex omnisque figuræ expers exsistat. Igitur per oculos, et palpebras, visumque Dei, vim ipsius rerum omnium inspectricem, atque ejusmodi cognitionem intelligamus, quam res nulla fugiat : ut nimirum sensus ministerio perfectior nobis atque certior cognitio accedat. Per aures et auditum ipsius ad ignoscendum propensionem atque in excipiendis precibus nostris benignitatem. Solemus enim per hunc sensum iis qui nobis supplices sunt, mites nos facilesque præbere ; benignius videlicet aurem ipsis admoventes. Per os ac locutionem, voluntatis ipsius declarationem accipimus. Quippe nos quoque abdita cordis sensa per os et sermonem promimus. Per cibum et potum, promptum nostrum ad voluntatem accessum. Etenim nos quoque necessarium naturæ appetitum explemus per gustus sensum. Per olfactum, vim eam, qua cogitationem ac benevolentiam gratam acceptamque habet. Siquidem et nos odorum fragrantiam per hunc sensum excipimus. Per faciem, ipsius per opera demonstrationem ac ostensionem. Quando quidem nos quoque ex vultu oreque palam dignoscimur. Per manus, actionem illam, qua opera sua absolvit. Nam nos etiam utilissima quæque et præstantissima opera nostris manibus efficimus. Per dexteram, ipsius in rebus secundis opem et auxilium ; ex eo nempe quod nos in rebus insignioribus, quæque plurimum roboris requirunt, dextra potius utimur manu. Per tactum, certissimam ipsius minutissimarum ac occultissimarum rerum explorationem et exactionem : ob id scilicet, quod illi quoque, quos contrectamus, nihil in se occultare queant. Per pedes et incessionem, adventum ipsius et præsentiam, vel ad opem egentibus ferendam, vel ad hostes ulciscendos, vel ad rem aliam gerendam : quod nimirum nobis quoque hoc pedes præstent, ut ad locum aliquem perveniamus. Per jusjurandum, consilii ejus immutabilitatem : quod apud nos interposito jurejurando mutua pacta firmentur. Per iram et furorem, infensam ejus erga malitiam voluntatem ac odium, Nam et nos ea quæ cum voluntate et sententia nostra pugnant odio habentes, in iram prorumpimus. Per obli-

A *Ἔτι περὶ Θεοῦ κοινῶς τοῦ Δαμασκηνοῦ κεφάλαιον ια'.*

Ἐπεὶ δὲ πλεῖστα περὶ Θεοῦ σωματικώτερον ἐν τῇ θείᾳ Γραφῇ συμβολικῶς εἰρημένα εὑρίσκομεν, εἰδέναι χρή, ὡς ἀνθρώπους ὄντας ἡμᾶς, καὶ τὸ παχὺ τοῦτο σαρκίον περικειμένους, τὰς θείας, καὶ ὑψηλὰς, καὶ ἀΰλους τῆς Θεότητος ἐνεργείας νοεῖν ἢ λέγειν ἀδύνατον, εἰ μὴ εἰκόσι καὶ τύποις καὶ συμβόλοις τοῖς καθ' ἡμᾶς χρησαίμεθα *. Ὅσα τοίνυν περὶ Θεοῦ σωματικώτερον εἴρηται, συμβολικῶς ἐστι λελεγμένα· ἔχει δὲ ὑψηλοτέραν διάνοιαν· ἁπλοῦν γὰρ τὸ Θεῖον καὶ ἀσχημάτιστον. Ὀφθαλμοὺς μὲν οὖν Θεοῦ, καὶ βλέφαρα, καὶ ὅρασιν, καὶ τὴν ἁπάντων ἐποπτικὴν αὐτοῦ δύναμιν, καὶ τὸ ἀλάθητον τῆς αὐτοῦ γνώσεως ἐννοήσωμεν, ἀπὸ τοῦ παρ' ἡμῖν διὰ ταύτης τῆς αἰ-
B σθήσεως ἐντελεστέραν γνῶσίν τε καὶ πληροφορίαν ἐγγίνεσθαι. Ὦτα δὲ καὶ ἀκοὴν, τὸ ἐξιλεωτικὸν αὐτοῦ, καὶ τῆς ἡμετέρας δεκτικὸν δεήσεως. Καὶ γὰρ ἡμεῖς τοῖς τὰς ἱκεσίας ποιουμένοις, διὰ ταύτης τῆς αἰσθήσεως εὐμενεῖς γινόμεθα, γνησιώτερον αὐτοῖς τὸ οὖς ἐπικλίνοντες. Στόμα δὲ καὶ λαλιὰν, τὸ ἐνδεικτικὸν τῆς βουλήσεως αὐτοῦ, ἐκ τοῦ παρ' ἡμῖν διὰ στόματος καὶ λαλιᾶς σημαίνεσθαι τὰ ἐγκάρδια νοήματα. Βρῶσιν δὲ καὶ πόσιν, τὴν ἡμετέραν πρὸς τὸ αὐτοῦ θέλημα συνδρομήν. Καὶ γὰρ ἡμεῖς, διὰ τῆς γευστικῆς αἰσθήσεως, τὴν τῆς φύσεως ἀναπληροῦμεν ἀναγκαίαν ὄρεξιν. Ὄσφρησιν δὲ, τὸ ἀποδεικτικὸν τῆς πρὸς αὐτὸν ἐννοίας τε καὶ εὐνοίας, ἐκ τοῦ παρ' ἡμῖν διὰ ταύτης τῆς αἰσθήσεως, τὴν τῆς εὐωδίας ἀποδοχὴν
C ἐγγίνεσθαι. Πρόσωπον δὲ, τὴν δι' ἔργων αὐτοῦ ἔνδειξίν τε καὶ ἐμφάνειαν, ἐκ τοῦ τὴν ἡμετέραν ἐμφάνειαν διὰ προσώπου γίνεσθαι. Χεῖρας δὲ, τὸ ἀνυστικὸν τῆς ἐνεργείας αὐτοῦ. Καὶ γὰρ ἡμεῖς τὰ χρειώδη καὶ μάλιστα τιμιώτερα διὰ τῶν οἰκείων κατορθοῦμεν χειρῶν. Δεξιὰν δὲ, τὴν ἐπὶ τοῖς αἰσίοις αὐτοῦ βοήθειαν, ἐκ τοῦ καὶ ἡμᾶς μᾶλλον ἐπὶ τῶν εὐσχημοτέρων, καὶ τιμιωτέρων, καὶ πλείστης ἰσχύος δεομένων τῇ δεξιᾷ κεχρῆσθαι. Ψηλάφησιν δὲ, τὴν ἀκριβεστέραν αὐτοῦ, καὶ τὴν λίαν λεπτῶν τε, καὶ κρυπτῶν διάγνωσίν τε, καὶ εἴσπραξιν, ἐκ τοῦ παρ' ἡμῖν μὴ δύνασθαι τοὺς ψηλαφωμένους ἐν ἑαυτοῖς τι κρύπτειν. Πόδας δὲ καὶ βάδισιν, τὴν πρὸς ἐπικουρίαν τῶν δεομένων, ἢ ἐχθρῶν ἄμυναν, ἢ ἄλλην τινὰ πρᾶξιν,
D ἔλευσίν τε, καὶ παρουσίαν, ἐκ τοῦ παρ' ἡμῖν διὰ τῆς τῶν ποδῶν χρήσεως ἀποτελεῖσθαι τὴν ἄφιξιν. Ὅρκον δὲ, τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐκ τοῦ παρ' ἡμῖν δι' ὅρκου τὰς πρὸς ἀλλήλους βεβαιοῦσθαι συνθήκας. Ὀργὴν δὲ καὶ θυμὸν, τὴν πρὸς τὴν κακίαν ἀπέχθειάν τε καὶ ἀποστροφήν. Καὶ γὰρ ἡμεῖς τὰ ἐναντία τῆς γνώμης μισοῦντες ὀργιζόμεθα. Λήθην δὲ, καὶ ὕπνον, καὶ νυσταγμὸν, τὴν ὑπέρθεσιν τῆς τῶν ἐχθρῶν ἀμύνης, καὶ τὴν τῆς συνήθους πρὸς τοὺς οἰκείους βοηθείας ἀναβολήν· καὶ ἁπλῶς εἰπεῖν πάντα τὰ σωματικῶς εἰρημένα ἐπὶ Θεοῦ, κεκρυμμένην ἔχει τινὰ ἔννοιαν, ἐκ τῶν καθ' ἡμᾶς τὰ ὑπὲρ ἡμᾶς ἐκδιδάσκουσαν, εἰ μή τι περὶ τῆς σωματικῆς τοῦ Θεοῦ Λόγου ἐπιδημίας εἴρηται. Αὐτὸς γὰρ πάντα τὸν ἄνθρωπον *· διὰ τὴν ἡμετέραν σωτηρίαν ἀνεδέ-

ξατο, ψυχὴν νοερὰν, καὶ σῶμα, καὶ τα τῆς ἀνθρωπίνης φύσεως ἰδιώματα, τά τε φυσικὰ καὶ ἀδιάβλητα πάθη.

vionem, somnum et dormitationem, animadversionis in hostes dilationem, temporisque moras in auxilio consueto ferendo iis quos charos ac necessarios habet. Denique, ut uno verbo dicam, in iis omnibus quæ de Deo corporeo modo enuntiantur, abstrusus quidam sensus inest, quo per illa quæ nobis congruunt, ea quæ supra nos sunt edocemur : nisi forte quidpiam de corporeo Dei adventu dictum est. Nam ipse totum hominem salutis nostræ causa suscepit ; hoc est animam intelligentem, et corpus, atque humanæ naturæ proprietates, necnon naturales, nullique reprehensioni obnoxias passiones.

Τοῦ αὐτοῦ περὶ τόπου. Κεφάλαιον ιγ'

Τόπος ἐστὶ σωματικὸς πέρας τοῦ περιέχοντος, καθ' ὃ περιέχεται τὸ περιεχόμενον. Οἷον ὁ ἀὴρ περιέχει, τὸ δὲ σῶμα περιέχεται. Οὐχ ὅλος δὲ ὁ περιέχων ἀὴρ τόπος ἐστὶ τοῦ περιεχομένου σώματος, ἀλλὰ τὸ τέλος τοῦ περιέχοντος ἀέρος τὸ ἐφαπτόμενον τοῦ περιεχομένου σώματος. Ἔστι δὲ καὶ νοητὸς τόπος, ἔνθα νοεῖται, καὶ ἔστιν ἡ νοητὴ καὶ ἀσώματος φύσις· ἔνθαπέρ ἐστι καὶ ἐνεργεῖ, καὶ οὐ σωματικῶς περιέχεται, ἀλλὰ νοητῶς. Οὐ γὰρ ἔχει σχῆμα, ἵνα σωματικῶς περιοχεθῇ. Ὁ μὲν οὖν Θεὸς ἄϋλος ὢν, καὶ ἀπερίγραπτος ἐν τόπῳ οὐκ ἔστιν. Αὐτὸς γὰρ ἑαυτοῦ τόπος ἐστὶν ὁ τὰ σύμπαντα πληρῶν, καὶ ὑπὲρ τὰ πάντα ὢν, καὶ αὐτὸς συνέχων τὰ πάντα. Λέγεται δὲ καὶ ἐν τόπῳ εἶναι, καὶ λέγεται τόπος Θεοῦ, ἔνθα ἔκδηλος ἡ ἐνέργεια αὐτοῦ γίνεται. Αὐτὸς γὰρ διὰ πάντων ἀμιγῶς διήκει, καὶ πᾶσι μεταδίδωσι τῆς ἑαυτοῦ ἐνεργείας κατὰ τὴν ἑκάστου ἐπιτηδειότητα καὶ δεκτικὴν δύναμιν, φημὶ δὴ τήν τε φυσικὴν καὶ προαιρετικὴν καθαρότητα. Καθαρώτερα δὲ τὰ ἄϋλα τῶν ὑλικῶν, καὶ τὰ ἐνάρετα τῶν κακίᾳ συνεζευγμένων. Λέγεται τοιγαροῦν Θεοῦ τόπος ὁ πλέον μετέχων τῆς ἐνεργείας καὶ τῆς χάριτος αὐτοῦ. Διὰ τοῦτο ὁ οὐρανὸς αὐτοῦ θρόνος. Ἐν αὐτῷ γάρ εἰσιν οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ ἄγγελοι, καὶ ἀεὶ δοξάζοντες αὐτόν. Αὕτη γὰρ αὐτῷ ἀνάπαυσις, καὶ ἡ γῆ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ. Ἐν αὐτῇ γὰρ διὰ σαρκὸς τοῖς ἀνθρώποις συνανεστράφη. Ποῦς δὲ Θεοῦ ἡ ἁγία σὰρξ αὐτοῦ διαφόρως ὠνόμασται. Λέγεται καὶ ἡ Ἐκκλησία τόπος Θεοῦ. Ταύτην γὰρ εἰς δοξολογίαν αὐτοῦ, ὥσπερ τι τέμενος ἀφωρίσαμεν, ἐν ᾧ καὶ τὰς πρὸς αὐτὸν ἐντεύξεις ποιούμεθα. Ὁμοίως καὶ οἱ τόποι, ἐν οἷς ἔκδηλος ἡμῖν ἡ ἐνέργεια αὐτοῦ, εἴτε διὰ σαρκὸς, εἴτε ἄνευ σώματος γέγονε, τόποι Θεοῦ λέγονται. Ἰστέον δὲ ὅτι τὸ Θεῖον ἀμερές ἐστιν, ὅλον ὅλικῶς πανταχοῦ ὂν, καὶ οὐ μέρος ἐν μέρει σωματικῶς διαιρούμενον, ἀλλ' ὅλον ἐν πᾶσι, καὶ ὅλον ὑπὲρ τὸ πᾶν. Ὁ δὲ ἄγγελος σωματικῶς μὲν ἐν τόπῳ οὐ περιέχεται, ὥστε τυποῦσθαι καὶ σχηματίζεσθαι, ὅμως λέγεται ἐν τόπῳ εἶναι, διὰ τὸ παρεῖναι νοητῶς, καὶ ἐνεργεῖν κατὰ τὴν ἑαυτοῦ φύσιν, καὶ μὴ εἶναι ἀλλαχοῦ, ἀλλ' ἐκεῖσε νοητῶς περιγράφεσθαι, ἔνθα ἐνεργεῖ. Οὐ γὰρ δύναται κατὰ ταυτὸν ἐν διαφόροις τόποις ἐνεργεῖν. Μόνου γὰρ Θεοῦ ἐστι τὸ πανταχοῦ κατὰ ταυτὸν ἐνεργεῖν. Ὁ μὲν γὰρ ἄγγελος τάχει φύσεως, καὶ τῷ ἑτοίμως, ἤγουν ταχέως, μεταβαίνειν, ἐνεργεῖ ἐν διαφόροις τόποις, τὸ δὲ θεῖον πανταχοῦ ὂν, καὶ ὑπὲρ τὸ πᾶν, πανταχοῦ κατὰ ταυτὸν διαφόρως ἐνεργεῖ μιᾷ καὶ ἁπλῇ ἐνεργείᾳ. Ἡ δὲ ψυχὴ συνδέδεται τῷ σώματι ὅλη ὅλῳ, καὶ οὐ μέρος μέρει· καὶ οὐ περιέχεται ὑπ' αὐτοῦ, ἀλλὰ

Ejusdem de loco, ex cap. 13.

Locus corporeus est terminus continentis, quatenus continet id, quod continetur. Exempli gratia, aer continet hocce corpus. Verum non totus, qui comprehendit aer, comprehensi corporis locus est, sed aeris ambientis extremitas, quæ corpus comprehensum attingit. Quod autem continet, omnino in eo non est, quod continetur. Est etiam locus intelligibilis, ubi intelligitur et est natura intelligibilis, et incorporea. Ubi adest, et agit, et ratione non corporea, sed intelligibili continetur. Neque enim figuram habet, ut ratione corporea comprehendatur. Quare Deus, cum materiæ sit expers, et circumscribi nequeat, in loco non est. Ipse enim sui ipsius est locus, qui omnia implet, et supra omnia est, et complectitur omnia. Dicitur tamen et in loco esse, et Dei locus dicitur, ubi actio ejus perspicua fit. Ipse enim per omnia transit sine mistione, et actionem suam omnibus communicat pro apta cujusque ad suscipiendum facultate. Puritatem dico, et naturalem, et voluntariam. Puriora autem sunt, quæ materia carent, quam quæ in materia depressa sunt : et quæ virtute sunt prædita, quam ea, quæ sunt cum vitiis conjuncta. Dicitur igitur Dei locus, qui plus habet actionis ejus et gratiæ. Idcirco sedes ipsius appellatur cœlum, quod in eo sunt angeli, qui ejus obtemperant voluntati, et eum semper collaudant. Hæc enim ipsi quies est. Et terra scabellum dicitur pedum ipsius. In hac enim per carnem cum hominibus versatus est. Pes autem Dei sancta ejus caro multifariam est appellata. Dicitur et ecclesia locus Dei. Hanc enim ad ejus gloriam, ut templum, constituimus, in quo preces etiam ad eum fundimus. Similiter et ea loca, in quibus ejus opera manifesta sunt, quæ vel in carne egit, vel sine corpore, loca dicuntur Dei. Sciendum est autem, Deum in partes non dividi, sed esse ubique totum omnino, et non partem in parte, quo pacto corpora dividuntur. Sed totum in omnibus, et totum super omnia. Angelus vero ratione quidem corporea in loco non continetur, quasi formam, figuramque suscipiat; attamen in loco esse dicitur propterea quod intelligentia præsto est, et agit, ut congruit naturæ ipsius, et non esse alibi, sed illic, ubi agit, intelligentia contineri. Nequit enim eodem tempore diversis in locis esse. Nam solius est Dei ubique agere eodem tempore. Angelus enim naturali celeritate, qua prompte, citoque ex uno in alium locum pertransit, in diversis locis agit. Deus autem cum sit ubique, et super omnia,

ubique eodem tempore varie agit una et simplici actione. At animus corpori devinctus est, et totus toti conjunctus, non autem pars parti copulatus, nec continetur a corpore, sed ipsum continet ut ignis ferrum. Et in ipso manens actiones proprias exsequitur.

περιέχει αὐτὸ, ὥσπερ πῦρ σίδηρον. Καὶ ἐν αὐτῷ οὖσα τὰς οἰκείας ἐνεργείας ἐνεργεῖ.

Ejusdem.

Id, quod circumscriptum est, aut loco, aut tempore, aut comprehensione continetur. Quod autem non est circumscriptum horum nullo comprehenditur. Solus igitur Deus non est circumscriptus, quippe qui principium finemque non habet, et omnia continet, et nulla comprehensione continetur. Solus enim nec comprehendi, nec definiri, nec ab ullo cognosci potest, sed ipse se solus novit. Angelus vero et tempore circumscribitur, nam esse cœpit, et loco, licet, ut diximus, intelligibili, et comprehensione. Nam et se mutuo angeli aliqua ex parte naturaliter cognoscunt, et a procreatore perfecte comprehenduntur. Corpora autem et principio, et fine, et loco corporeo, et comprehensione sunt circumscripta.

Τοῦ αὐτοῦ.

Περιγραπτὸν μὲν ἐστι τὸ τόπῳ ἢ χρόνῳ ἢ καταλήψει περιλαμβανόμενον· ἀπερίγραπτον δὲ τὸ μηδενὶ τούτων περιεχόμενον. Ἀπερίγραπτον μὲν οὖν μόνον ἐστὶ τὸ Θεῖον, ἄναρχον ὂν καὶ ἀτελεύτητον, καὶ πάντα περιέχον, καὶ μηδεμιᾷ καταλήψει περιεχόμενον· μόνον γάρ ἐστιν ἀκατάληπτον καὶ ἀόριστον, ὑπ' οὐδενὸς γινωσκόμενον, αὐτὸ δὲ μόνον ἑαυτοῦ θεωρητικόν· ὁ δὲ ἄγγελος καὶ χρόνῳ περιγράφεται, ἤρξατο γὰρ τοῦ εἶναι, καὶ τόπῳ, εἰ καὶ νοητῶς, ὡς προείπομεν, καὶ καταλήψει· καὶ ἀλλήλων γὰρ τὴν φύσιν ἴσασι ποσῶς, καὶ ὑπὸ τοῦ κτίστου ὁρίζονται τέλεον· τὰ δὲ σώματα καὶ ἀρχῇ, καὶ τέλει, καὶ τόπῳ σωματικῷ, καὶ καταλήψει.

TITULUS IV.

Divinam naturam comprehendi non posse. Magni Gregorii Theologi, ex oratione in diem Natalem Domini nostri Jesu Christi.

Deus, et erat semper, et est, et erit: vel, ut rectius loquar, semper *est*. Nam *erat*, et *erit*, nostri temporis, fluxæque naturæ segmenta sunt. Ille autem semper *est*, atque hoc modo seipsum nominat, cum in monte Moysi oraculum edit [1]. Universum enim id, quod est, in se complectitur, nec principium habens, nec finem habiturum, velut pelagus quoddam essentiæ immensum et interminatum, omnem, tum temporis, tum naturæ cogitationem superans; mente sola adumbratus is, et quidem perexigue ac perobscure, non ex his quæ in ipso sunt, sed quæ circa ipsum: alia ex alio collecta specie ad unum quoddam veritatis simulacrum, priusquam teneatur, effugiens, et priusquam intellectu percipiatur, se ipsum fuga proripiens: tantum principem nostri partem, eamque a vitiorum labe purgatam, collustrans, quantum oculorum aciem fulguris celeritas minime consistentis. Hoc autem, mea quidem sententia, idcirco fit, ut quatenus comprehendi potest, nos ad se trahat (quod enim percipi omnino nequit, id nec sperat quisquam, nec assequi conatur); quatenus autem capi non potest, admirationem sui excitet, atque ex ipsa admiratione vehementius expetatur, expetitus purget, purgans autem divinos efficiat, talesque cum redditi sunt, cum iis jam, velut cum familiaribus, consuetudinem habeat (metuo ne hoc audacius a me dictum videri possit), Deus diis unitus et cognitus, ac tantum fortasse, quantum jam eos, qui ipsi noti sunt, cognoscit. Immensus igitur et infinitus est Deus, et ad contemplandum difficilis: atque hoc solum omnino de ipso comprehendi potest, nempe quod immensus, et infinitus sit: etsi quispiam existimet, cum, quia simplicis naturæ sit, rationem hanc habere, ut, vel prorsus incomprehensibilis sit, vel prorsus ac perfecte comprehendi queat. Quid enim ille sit, qui naturam simplicem habet, exquiramus. Neque enim simplicitas illi natura est: quandoquidem nec compositis sola compositio.

ΤΙΤΛΟΣ Δ'.

Περὶ τοῦ ἀκατάληπτον εἶναι τὴν θείαν φύσιν. Τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου, ἐκ τοῦ λόγου τοῦ εἰς τὰ γενέθλια τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Θεὸς ἦν μὲν ἀεὶ, καὶ ἔστι, καὶ ἔσται· μᾶλλον δὲ *ἔστιν* ἀεί. Τὸ γὰρ *ἦν*, καὶ *ἔσται*, τοῦ καθ' ἡμᾶς χρόνου τμήματα, καὶ τῆς ῥευστῆς φύσεως· ὁ δὲ *ὢν* ἀεὶ, καὶ τοῦτο αὐτὸς ἑαυτὸν ὀνομάζει, τῷ Μωϋσεῖ χρηματίζων ἐπὶ τοῦ ὄρους. Ὅλον γὰρ ἐν ἑαυτῷ συλλαβὼν, ἔχει τὸ εἶναι, μήτε ἀρξάμενον, μήτε παυσόμενον, οἷόν τι πέλαγος οὐσίας ἄπειρον καὶ ἀόριστον, πᾶσαν ὑπερεκπῖπτον ἔννοιαν, καὶ χρόνου καὶ φύσεως· νῷ μόνῳ σκιαγραφούμενος, καὶ τοῦτο λίαν ἀμυδρῶς καὶ μετρίως, οὐκ ἐκ τῶν κατ' αὐτὸν, ἀλλ' ἐκ τῶν περὶ αὐτὸν, ἄλλης ἐξ ἄλλου φαντασίας συλλεγομένης, εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα, πρὶν κρατηθῆναι, φεῦγον, καὶ πρὶν νοηθῆναι, διαδιδράσκον· τοσαῦτα περιλάμπον ἡμῶν τὸ ἡγεμονικὸν, καὶ ταῦτα κεκαθαρμένον, ὅσα καὶ ὄψιν ἀστραπῆς τάχος οὐχ ἱσταμένης. Ἐμοὶ δοκεῖν, ἵνα τῷ ληπτῷ μὲν ἕλκῃ πρὸς ἑαυτὸ (τὸ γὰρ τελέως ἄληπτον, ἀνέλπιστον, καὶ ἀνεπιχείρητον), τῷ δὲ ἀλήπτῳ θαυμάζηται, θαυμαζόμενον δὲ ποθῆται πλέον, ποθούμενον δὲ καθαίρῃ, καθαῖρον δὲ θεοειδεῖς ἀπεργάζηται, τοιούτοις δὲ γενομένοις, ὡς οἰκείοις, ἤδη προσομιλῇ, τολμᾷ τι νεανικὸν ὁ λόγος, Θεὸς θεοῖς ἑνούμενός τε καὶ γνωριζόμενος, καὶ τοσοῦτον ἴσως, ὅσον ἤδη γινώσκει τοὺς γινωσκομένους. Ἄπειρον οὖν τὸ θεῖον καὶ δυσθεώρητον· καὶ τοῦτο πάντη καταληπτὸν αὐτοῦ μόνον, ἡ ἀπειρία· κἂν τις οἴηται τῷ ἁπλῆς εἶναι φύσεως, ἢ ὅλον ἄληπτον εἶναι, ἢ τελέως ληπτόν. Τί γὰρ ὃς ἁπλῆς ἐστι φύσεως, ἐπιζητήσωμεν. Οὐ γὰρ δὴ τοῦτο φύσις αὐτῷ ἡ ἁπλότης· εἴπερ μηδὲ τοῖς συνθέτοις, μόνον τὸ εἶναι συνθέτοις.

[1] Exod. III, 14.

Διχῆ δὲ τοῦ ἀπείρου θεωρουμένου, κατά τε ἀρχὴν καὶ τέλος (τὸ γὰρ ὑπὲρ ταῦτα, καὶ μὴ ἐν τούτοις, ἄπειρον), ὅταν μὲν εἰς τὸν ἄνω βυθὸν ὁ νοῦς ἀποβλέψῃ, οὐκ ἔχων ὅποι στῇ καὶ ἀπερείσηται ταῖς περὶ Θεοῦ φαντασίαις, τὸ ἐνταῦθα ἄπειρον καὶ ἀνέκβατον, ἄναρχον προσηγόρευσεν· ὅταν δὲ εἰς τὰ κάτω καὶ τὰ ἑξῆς, ἀθάνατον καὶ ἀνώλεθρον· ὅταν δὲ συνέλῃ τὸ πᾶν, αἰώνιον. Αἰὼν γὰρ, οὔτε χρόνος, οὔτε χρόνου τι μέρος· οὐδὲ γὰρ μετρητόν· ἀλλ' ὅπερ ἡμῖν ὁ χρόνος, ἡλίου φορᾷ μετρούμενος, τοῦτο τοῖς ἀϊδίοις, αἰὼν, τὸ συμπαρεκτεινόμενον τοῖς οὖσιν, οἷόν τι χρονικὸν κίνημα, καὶ διάστημα.

Jam vero, cum immensitas bifariam consideretur, nempe et principii, et finis ratione (nam quod supra hæc est, ac non in his, immensum est); cum in superius profundum mens aspexit, non habens ubi consistat, formisque illis, quas de Deo concipit innitatur, immensum hoc et inextricabile, anarchum, hoc est, principio carens, appellavit: cum autem ad inferiora et posteriora, immortale atque interitus expers; cum vero utrumque contraxit et collegit, æternum. Æternitas enim, nec tempus, nec temporis pars ulla est (nec enim in mensuram cadit); sed quod nobis tempus est, solis motu definitum, hoc æternis ævum est, nimirum ille quasi temporalis quidam motus, et intervallum, quod simul cum æternis extenditur.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ θεολογίας λόγου.

Θεὸν νοῆσαι μὲν χαλεπὸν, φράσαι δὲ ἀδύνατον, ὥς τις τῶν παρ' Ἕλλησι θεολόγων ἐφιλοσόφησεν, οὐκ ἀτέχνως ἐμοὶ δοκεῖ, ἵνα καὶ κατειληφέναι δόξῃ τὸ χαλεπὸν εἰπεῖν, καὶ διαφύγῃ τῷ ἀνεκφράστῳ τὸν ἔλεγχον. Ἀλλὰ φράσαι μὲν ἀδύνατον, ὡς ὁ ἐμὸς λόγος, νοῆσαι δὲ ἀδυνατώτερον. Τὸ μὲν γὰρ νοηθὲν, τάχα ἂν λόγος δηλώσειεν, εἰ καὶ μὴ συμμέτρως, ἀλλ' ἀμυδρῶς γε τῷ μὴ πάντη τὰ ὦτα διεφθαρμένῳ, καὶ νωθρῷ τὴν διάνοιαν. Τὸ δὲ τοσοῦτο πρᾶγμα τῇ διανοίᾳ περιλαβεῖν, πάντως ἀδύνατον καὶ ἀμήχανον, μὴ ὅτι τοῖς καταβεβλακευμένοις καὶ κάτω νεύουσιν, ἀλλὰ καὶ τοῖς λίαν ὑψηλοῖς τε καὶ φιλοθέοις, καὶ ὁμοίως πάσῃ γεννητῇ φύσει, καὶ οἷς ὁ ζόφος οὗτος ἐπιπροσθεῖ, καὶ τὸ παχὺ τοῦτο σαρκίον, πρὸς τὴν τοῦ ἀληθοῦς κατανόησιν· οὐκ οἶδα δὲ, εἰ μὴ καὶ ταῖς ἀνωτέρω καὶ νοεραῖς φύσεσιν· αἳ, διὰ τὸ πλησίον εἶναι Θεοῦ, καὶ ὅλῳ τῷ φωτὶ καταλάμπεσθαι, τυχὸν ἂν καὶ τρανοῖντο, εἰ καὶ μὴ πάντη, ἀλλ' ἡμῶν γε τελεώτερόν τε καὶ ἐκτυπώτερον, καὶ ἄλλων ἄλλαι πλεῖον ἢ ἔλαττον, κατὰ τὴν ἀναλογίαν τῆς τάξεως.

Ejusdem, ex oratione de theologia.

Deum intellectu percipere difficile est: eloqui autem impossibile, ut profanorum theologorum quidam docuit, meoquidem judicio, non incallide, nempe ut ex eo quod intellectu difficilem affirmat, opinionem hominibus afferat, se eum cognitione percepisse; ex eo autem quod nullis verbis eum explicari posse ait, hoc agat, ne inscitia sua prodi atque convinci queat. Ego vero ita potius dicendum censeo, Dei naturam nullis quidem verbis explicari posse; animo autem atque intellectu comprehendi multo minus posse. Nam quod quis animo et ratione complexus fuerit, id quoque fortasse sermone declarare queat, si ne mediocriter quidem, at saltem obscure, modo auditorem nactus sit non omnino surdum, tardique et stupidi ingenii. At rem tantam animo comprehendere, omnino impossibile est, non modo ignavis et languidis, deorsumque vergentibus, sed magnis etiam et excelsis viris Deique amore præditis, ac mortalibus peræque omnibus, quibus ad veri cognitionem caligo hæc et carnis crassities tenebras offundit. Atque haud scio an hoc quoque sublimioribus illis et intelligentibus naturis, negatum non sit; quæ quia Deo propius junctæ sunt, ac toto illo splendore collucent, cernere utique fortasse queant, si non prorsus, ac certe plenius quam nos et solidius, atque aliæ aliis, pro cujusque ordine, vel uberius, vel parcius.

Τοῦτο μὲν οὖν ἐνταῦθα κείσθω· τὸ δὲ ἡμέτερον, οὐχ ἡ εἰρήνη τοῦ Θεοῦ μόνον ὑπερέχει πάντα νοῦν καὶ κατάληψιν, οὐδὲ ὅσα τοῖς δικαίοις ἐστὶν ἐν ἐπαγγελίαις ἀποκείμενα, τὰ μήτε ὀφθαλμοῖς ὁρατὰ, μήτε ὠσὶν ἀκουστὰ, μήτε διανοίᾳ θεωρητὰ, κατὰ μικρὸν γοῦν, οὐδὲ ἡ τῆς κτίσεως ἀκριβὴς κατανόησις (καὶ γὰρ καὶ ταύτης πείσθητι τὰς σκιὰς ἔχειν μόνον, ὅταν ἀκούσῃς· *Ὄψομαι τοὺς οὐρανοὺς, ἔργα τῶν δακτύλων σου, σελήνην καὶ ἀστέρας*, καὶ τὸν ἐν αὐτοῖς πάγιον λόγον· ὡς οὐχὶ νῦν ὁρῶν, ὀψόμενος δὲ ἔστιν ὅτε)· ἀλλὰ πολὺ πρὸ τούτων, ἡ ὑπὲρ ταῦτα, καὶ ἐξ ἧς ταῦτα, φύσις ἄληπτός τε καὶ ἀπερίληπτος· λέγω δὲ, οὐχ ὅτι ἔστιν, ἀλλ' ἥ τίς ἐστιν. Οὐ γὰρ κενὸν τὸ κήρυγμα ἡμῶν, οὐδὲ ματαία ἡ πίστις ἡμῶν, οὐδὲ τοῦτό ἐστιν ὃ δογματίζομεν (μὴ πάλιν τὴν εὐγνωμοσύνην ἡμῶν ἀθεΐας λάβῃς ἀρχὴν καὶ συκοφαντίας, καὶ κατεπαρθῇς ὡς ὁμολογούντων

Sed de hac re hic sit finis. Quod autem ad nos attinet, non pax tantummodo Dei exsuperat omnem mentem et cognitionem [1], nec quæcunque iis, qui justitiam coluerint, in divinis pollicitationibus recondita sunt, quæ nec oculis cerni, nec auribus excipi, nec animo cogitari ac perspici [2], nisi tenuissime, possunt, nec exacta et absoluta rerum creatarum cognitio (nam harum quoque te solas umbras tenere haud dubites, cum Scripturam ad hunc modum loquentem audieris: *Videbo cœlos, opera digitorum tuorum, lunam et stellas* [3], eamque, quæ ipsis inest, firmam et stabilem rationem, perinde scilicet atque in hac vita ea minime videns, sed aliquando perspecturus): sed multo magis natura illa his sublimior, et ex qua hæc originem traxerunt, captum omnem et comprehensionem superat. Nec vero hæc verba ita accipi velim, quasi percipi

[1] Philip. IV, 7. [2] I Cor. II, 9. [3] Ps. VIII, 4.

num posse dicam, quod sit Deus, sed quid et quale sit. Neque enim inanis est prædicatio nostra, nec vana fides nostra [1]; nec id est, quod astruimus (ne rursus id quod probe candideque diximus, in impietatis et calumniæ argumentum trahas, ac nobis, ut ignorantiam confitentibus, arroganter insultes). Plurimum namque interest, certo tibi persuadeas aliquid esse, an, quid tandem illud sit, compertum habeas.

A τὴν ἄγνοιαν). Πλεῖστον γὰρ διαφέρει τοῦ εἶναί τι πεπεῖσθαι, τὸ τί ποτέ ἐστι τοῦτο εἰδέναι.

Ejusdem ex eadem oratione.

Ecquis enim eo sapientiæ pervenit? ecquis unquam tantam gratiam divinitus consecutus est? ecquis os mentis ita aperuit, ac Spiritum attraxit [2], ut Spiritus omnia perscrutantis, atque etiam Dei profunda cognoscentis [3] ope atque adjumento, Dei naturam comprehenderit, nec jam ulterius progredi necesse habeat, utpote qui extremum illud appetendum jam habeat, ad quod omnis sublimium virorum et vita et cogitatio contendit?

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Τίς οὕτως εἰς ἔσχατον σοφίας ἀφίκετο; τίς τοσούτου χαρίσματος ἠξιώθη ποτέ; τίς οὕτω τὸ στόμα τῆς διανοίας διήνοιξε, καὶ εἵλκυσε Πνεῦμα, ἵνα τῷ τὰ πάντα ἐρευνῶντι καὶ γινώσκοντι, καὶ τὰ βάθη τοῦ Θεοῦ, Πνεύματι, Θεὸν καταλάβῃ, καὶ μηκέτι τοῦ πρόσω δέηται, τὸ ἔσχατον ὀρεκτὸν ἤδη ἔχων, καὶ εἰς ὃ πᾶσα σπεύδει τοῦ ὑψηλοῦ καὶ πολιτεία καὶ διάνοια;

B

Quid enim tandem Deum esse censebis, si argumentis a ratione petitis fidem omnino habes? Aut quo tandem te subvehet hæc disputatio, si accuratius examinetur? Te, inquam, appello, qui philosophiæ ac theologiæ principatum tibi vindicas, atque in immensum gloriaris. An corpus eum esse dices? Quonam ergo modo immensus, infinitus, figuræ expers est, ac denique ejusmodi, ut nec tangi, nec oculis cerni queat? An hæc quoque in corpora cadunt? O licentiam! Non enim hæc corporum natura est. An corpus quidem esse statues, immensum vero, atque infinitum, cæteraque hujus generis esse negabis? O crassitiem! ut nulla re Deus nobis præstet. Quid enim afferri potest, cur colatur atque adoretur, si circumscriptus est? Aut quid causæ esse dicemus, quin ex elementis conflatus sit, atque in eadem denuo redigatur, aut etiam prorsus intereat? Compositio quippe pugnæ initium est, pugna autem dissidii, dissidium solutionis: solutio porro nullo modo in Deum ac primam illam naturam cadit. Quocirca nullum dissidium admittendum est, ne solutio consequatur: nec pugna, ne dissidium oriatur: nec compositio, ne pugna exsistat. Ac proinde ne corpus quidem est, ne alioqui compositum quidem eum necesse sit. Sic ab extremis ad prima recurrens oratio insistit.

Τί γάρ ποτε ὑπολήψῃ τὸ Θεῖον, εἴπερ ὅλαις ταῖς λογικαῖς πιστεύεις ἐφόδοις; ἢ πρὸς τί σε ὁ λόγος ἀνάξει βασανιζόμενος, ὦ φιλοσοφώτατε σὺ, καὶ θεολογικώτατε, καὶ καυχώμενε εἰς τὰ ἄμετρα; Πότερον σῶμα; καὶ πῶς τὸ ἄπειρον, καὶ ἀόριστον, καὶ ἀσχημάτιστον, καὶ ἀναφὲς, καὶ ἀόρατον; ἢ καὶ ταῦτα σώματα; Ὢ τῆς ἐξουσίας! οὐ γὰρ αὕτη φύσις σωμάτων. Ἢ σῶμα μὲν, οὐχὶ ταῦτα δέ; Ὢ τῆς παχύτητος! ἵνα μηδὲν πλέον ἡμῶν ἔχῃ τὸ Θεῖον. Πῶς γὰρ σεπτὸν, εἰ περιγραπτόν; ἢ πῶς φεύξεται τὸ ἐκ στοιχείων συγκεῖσθαι, καὶ εἰς αὐτὰ πάλιν ἀναλύεσθαι, ἢ καὶ ὅλως λύεσθαι; Σύνθεσις γὰρ, ἀρ-C χὴ μάχης· μάχη δὲ, διαστάσεως· ἡ δὲ, λύσεως· λύσις δὲ ἀλλότριον πάντῃ Θεοῦ, καὶ τῆς πρώτης φύσεως. Οὐκοῦν διάστασις, ἵνα μὴ λύσις· οὐδὲ μάχη, ἵνα μὴ διάστασις· οὐδὲ σύνθεσις, ἵνα μὴ μάχη· διὰ τοῦτο οὐδὲ σῶμα, ἵνα μὴ σύνθεσις. Ἐκ τῶν τελευταίων ἐπὶ τὰ πρῶτα ὁ λόγος ἀνεὼν, οὕτως ἵσταται.

Jam vero quomodo illud tueri poterimus, quod ait Scriptura, Deum omnia pervadere atque implere, juxta illud: *Nonne cælum et terram ego impleo? dicit Dominus* [4]; et, *Spiritus Domini replevit orbem terrarum* [5]; si Deus partim circumscribat, partim circumscribatur? Aut enim per vacuam universitatem grassabitur, et res omnes nobis peribunt, ut sic Deus contumelia afficiatur, nimirum et qui corpus sit, et iis quæ procreavit careat: aut corpus in corporibus erit, id quod fieri non potest: aut implicabitur, et opponetur, quemadmodum ea, quæ liquiditate prædita sunt, inter se miscentur; atque alia secabit, et ab aliis rursus secabitur, quod ipsis etiam Epicuri atomis absurdius et anilius est; sicque nobis collabetur, nec corpus, nec solidi quidquam habebit hæc disputatio, qua corpus Deo tribuere conamur. Quod si eum corpus materiæ expers esse contenderint, si quidem quintum illud, ut nonnulli censuerunt, et in

Πῶς δὲ καὶ σωθήσεται τὸ διὰ πάντων διήκειν, καὶ πληροῦν τὰ πάντα Θεὸν, κατὰ τὸ, *Οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει Κύριος*· καὶ, *Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην*, εἰ τὸ D μὲν περιγράφοι, τὸ δὲ περιγράφοιτο; Ἢ γὰρ διὰ κενοῦ χωρήσει τοῦ παντὸς, καὶ τὰ πάντα οἰχήσεται ἡμῖν, ἵν' ὑβρισθῇ Θεὸς, καὶ σῶμα γενόμενος, καὶ οὐκ ἔχων ὅσα πεποίηκεν· ἢ σῶμα ἐν σώμασι ἔσται, ὅπερ ἀδύνατον· ἢ πλακήσεται καὶ ἀντιπαρατεθήσεται, ὥσπερ ὅσα τῶν ὑγρῶν μίγνυται· καὶ τὸ μὲν τέμνει, ὑπὸ δὲ τοῦ τμηθήσεται, ὃ καὶ τῶν Ἐπικουρείων ἀτόμων ἀτοπώτερόν τε καὶ γραωδέστερον· καὶ οὕτω διαπεσεῖται ἡμῖν, καὶ σῶμα οὐχ ἕξει, οὐδὲ πῆξίν τινα ὁ περὶ τοῦ σώματος λόγος. Εἰ δὲ ἄϋλον φήσομεν, εἰ μὲν τὸ πέμπτον, ὥς τισιν ἔδοξε, καὶ τὴν κύκλῳ φορὰν φερόμενον· ἔστω μὲν ἄϋλόν τι καὶ πέμπτον σῶμα, εἰ βούλονται δὲ, καὶ ἀσώματον, κατὰ τὴν αὐτόνομον αὐτῶν τοῦ λόγου φορὰν καὶ ἀνάπλασιν· οὐδὲν γὰρ νῦν περὶ τούτου διοί-

[1] I Cor. xv, 14. [2] Ps. cxviii, 131. [3] I Cor. ii, 10. [4] Jer. xxiii, 24. [5] Sap. i, 7.

σομαι. Κατὰ τί δὲ τῶν κινουμένων ἔσται καὶ φερομένων, ἵνα μὴ λέγω τὴν ὕβριν, εἰ τὰ αὐτὰ τοῖς πεποιημένοις ὁ πεποιηκὼς κινηθήσεται, καὶ τοῖς φερομένοις ὁ φέρων, εἴ γε καὶ τοῦτο δώσουσι; Τί δαὶ τὸ τοῦτο πάλιν κινοῦν; τί δὲ τὸ πᾶν κινοῦν; κἀκεῖνο τί; καὶ τί πάλιν ἐκεῖνο; καὶ τοῦτο εἰς ἄπειρον. Πῶς δαὶ οὐκ ἐν τόπῳ πάντως, εἴ γε φερόμενον; Εἰ δὲ ἄλλο τι παρὰ τὸ πέμπτον φήσουσιν, εἰ μὲν ἀγγελικόν· πόθεν ὅτι ἄγγελοι σώματα, καὶ τίνα ταῦτα; καὶ πόσον ὑπὲρ ἄγγελον εἴη Θεὸς, οὗ λειτουργὸς ἄγγελος; Εἰ δὲ ὑπὲρ ταῦτα, πάλιν εἰσήχθη σωμάτων ἑσμὸς ἀλόγιστος, καὶ φλυαρίας βυθὸς, οὐδαμοῦ στῆναι δυνάμενος.

orbem volubile : sit sane corpus quoddam quintum, et a materia semotum, atque etiam, si ipsis ita collibuerit, incorporeum; quandoquidem ita sermone comparati sunt, ut pro arbitrio in omnem partem sese versent, ac quidvis effingant; nihil enim hac de re in præsentia cum illis altercabor. Cæterum quo tandem in genere erit earum rerum, quæ motu cientur et agitantur, ut interim taceam, quam gravis sit contumeliæ, asserere, Creatorem eodem, quo res ab eo creatas, motu incitari, atque eum, cujus vi ac numine res conditæ volvuntur, si tamen hoc etiam daturi sunt, eodem modo cum iis volvi ac circumferri? Quæro etiam, quidnam sit quod universum hoc moveat? Quidnam vero quod vicissim illud moveat, ac rursum a quo illud moveatur? Eodemque modo in infinitum progrediar. Qui etiam fieri potest, ut omnino non sit in loco, si quidem fertur, ac motu incitatur? Jam si aliud quoddam corpus, præter quintum illud, Deum esse statuant, si quidem angelicum : unde probabunt angelos corpore constare, et quo tandem corpore? Quantum autem, si res ita se habeat, Deus angelum, quo ministro utitur, antecellet? Si corpus quoddam his sublimius esse dixerint, rursus corporum examen rationis expers inducetur, ac nugarum gurges adeo profundus, ut nusquam pes figi possit.

Οὔτω μὲν οὖν οὐ σῶμα ἡμῖν ὁ Θεός· οὐδὲ γὰρ ἤδη τις τοῦτο τῶν θεοπνεύστων, ἢ εἶπεν, ἢ παρεδέξατο, οὐδὲ τῆς ἡμετέρας αὐλῆς ὁ λόγος. Λείπεται δὴ ἀσώματον ὑπολαμβάνειν. Ἀλλ' εἰ ἀσώματον, οὔπω μὲν οὐδὲ τοῦτο τῆς οὐσίας παραστατικόν τε καὶ περιεκτικὸν, ὥσπερ οὐδὲ τὸ ἀγέννητον, καὶ τὸ ἄναρχον, καὶ τὸ ἀναλλοίωτον, καὶ τὸ ἄφθαρτον, καὶ ὅσα περὶ Θεοῦ, ἢ περὶ Θεὸν εἶναι λέγεται. Τί γὰρ ὄντι αὐτῷ κατὰ τὴν φύσιν καὶ τὴν ὑπόστασιν ὑπάρχει, τὸ μὴ ἀρχὴν ἔχειν, μηδὲ ἐξίστασθαι, μηδὲ περατοῦσθαι; Ἀλλ' ὅλον τὸ εἶναι περιλαμβάνειν λείπεται προσφιλοσοφεῖν τε καὶ προσεξετάζειν τῷ γε νοῦν Θεοῦ ἀληθῶς ἔχοντι, καὶ τελειοτέρῳ τὴν θεωρίαν. Ὡς γὰρ οὐκ ἀρκεῖ τὸ σῶμα εἰπεῖν, ἢ τὸ γεγεννῆσθαι, πρὸς τὸ καὶ τὸ, περὶ ὃ ταῦτα, παραστῆσαί τε καὶ δηλῶσαι, ἀλλὰ δεῖ καὶ τὸ ὑποκείμενον τούτοις εἰπεῖν, εἰ μέλλοι τελείως καὶ ἀποχρώντως τὸ νοούμενον παραστήσεσθαι (ἢ γὰρ ἄνθρωπος, ἢ βοῦς, ἢ ἵππος τοῦτο τὸ ἐνσώματον, καὶ γεννώμενον, καὶ φθειρόμενον)· οὕτως οὐδὲ ἐκεῖ στήσεται μέχρι τοῦ εἰπεῖν ἃ μὴ ἔστιν, ὁ τὴν τοῦ ὄντος πολυπραγμονῶν φύσιν· ἀλλὰ δεῖ πρὸς τῷ εἰπεῖν ἃ μὴ ἔστι, καὶ ὃ ἔστιν εἰπεῖν· ὅσῳ καὶ ῥᾷον ἕν τι περιλαβεῖν, ἢ τὰ πάντα καθ' ἕκαστον ἀπειπεῖν, ἵνα ἔκ τε τῆς ἀναιρέσεως ὧν οὐκ ἔστι, καὶ τῆς οὗ ἐστι θέσεως, περιληφθῇ τὸ νοούμενον. Ὁ δὲ, ἃ μὲν οὐκ ἔστι λέγων, σιωπῶν δὲ ὃ ἐστι, ποιεῖ παραπλήσιον, ὥσπερ ἂν εἰ τὰ πέντε δὶς ὅσα ἐστὶν ἐρωτώμενος, ὅτι μὲν οὐ δύο λέγοι, οὐδὲ τρία, οὐδὲ τέσσαρα, οὐδὲ πέντε, οὐδὲ εἴκοσιν, οὐδὲ τριάκοντα, οὐδέ τινα, ἵνα συνελὼν εἴπω, τῶν ἐντὸς δεκάδος, ἢ δεκαδικῶν ἀριθμῶν· ὅτι δὲ εἴη δέκα μὴ λέγοι, μηδὲ ἐρείδοι τὸν νοῦν τοῦ ἐρωτῶντος εἰς τὸ ζητούμενον. Πολλῷ γὰρ ῥᾷον καὶ συντομώτερον ἐκ τοῦ ὅ ἐστιν ὅσα οὐκ ἔστι δηλῶσαι, ἢ ἐκ τοῦ ἀνελεῖν ἃ μὴ ἔστιν, ὅ ἐστιν ἐνδείξασθαι. Ἡ τοῦτο μὲν παντὶ δῆλον.

Atque hinc constat, Deum corpus non esse. Neque enim adhuc quisquam eorum, qui divinitus afflati sunt, hoc vel dixit, vel ab aliis dictum comprobavit, nec nostri ovilis est hæc doctrina. Superest igitur, ut incorporeum esse Deum existimemus. Verum, utcunque incorporeum dicamus, nondum tamen hoc naturam illius essentiamque complectitur et declarat; quemadmodum nec ingenitum, nec anarchum, id est, principii expers, nec immutabile, nec incorruptibile, cæteraque omnia, quæ de Deo, vel circa Deum, prædicantur. Quid enim prodest ad indicandam ipsius naturam et subsistentiam qua exsistit, si dicas eum initium non habere, nec a se unquam desciscere, nec ullis terminis includi? Verum totam ejus essentiam edisserendam et inquirendam huic relinquimus, qui vere Dei notitiam habet, atque in contemplando perfectior est. Ut enim non satis est corpus dicere, aut procreatum esse, ad hoc vel illud, cui hæc adjacent, exprimendum et indicandum, sed quid ipsa quoque res subjecta sit, dicendum est, si modo volumus, in quod cogitamus, plene atque abunde repræsentare (potest enim vel homo, vel bos, vel equus esse, hoc quod corporeum ac procreatum et corruptibile esse pronuntiamus): ad eumdem modum qui Dei naturam curiosius inquirendam duxerit, non hic conquiescet, ut dicat, quid non sit Deus, sed hoc quoque ipsi adjiciendum erit, ut, quid sit, exponat; idque eo magis, quod minus difficile est unum quidpiam animo complecti, quam omnia sigillatim inficiando removere, ut rejectis iis, quæ non est, et constituto eo, quod sit, comprehendatur id quod cogitamus. Qui vero ita, quid res aliqua non sit, pronuntiat, ut interim, quid sit, taceat, non absimilis est ei qui rogatus, bis quinque quot sint, respondeat quidem ea nec duo esse, nec tria, nec quatuor, nec quinque, nec viginti, nec triginta, nec, ut brevi complectar, ullum numerum citra vel ultra denarium: cæterum quod decem sint, non dicat, nec mentem ejus, a quo interrogatur, ad id quod quæsitum est, affigat. Multo enim facilius et compendiosius est, ex eo, quod, quid sit, dixeris, quidquid non sit declarare.

quam ex eorum, quid non est, ablatione atque inficiatione, quæ sit, demonstrare; quemadmodum cuivis perspicuum esse arbitror.

A Quoniam igitur Deum corpore vacare nobis est exploratum, aliquanto ulterius in inquirendo progrediamur. Nusquamne ille est, an alicubi? Si enim nusquam, quæret fortasse aliquis ex iis qui inquirendi ac disputandi subtilitate impensius gaudent, quomodo esse quoque possit. Nam si id quod non est, nusquam est: id quoque quod nusquam est, ne quidem fortasse est. Quod si alicubi esse dixeris, proculdubio, quandoquidem est, vel in universo est, vel supra universum. Si in universo; vel in quadam ejus parte est, vel ubique. Si quadam in parte, ergo a minori hac parte circumscribetur Sin ubique, ab ampliore alioque multo majore, id est, a continente continebitur. Hæc si dederimus, futurum est, ut universum universi complexu teneatur, nec ullus a circumscriptione liber exstet locus. In has absurditates incidant necesse est, qui eum in universo esse dixerint. B Ac præterea, ubinam erat, antequam universa hæc rerum machina exstitisset? Nam hoc quoque non levem difficultatem affert. Quod si eum supra universum esse dixerint, quid? Nihilne erat, quod eum ab universo dirimeret? Ubinam porro erat, quod supra universum erat? Aut quomodo internosci poterat id, quod sublimius erat, ab eo, quod inferius, cum nullus limes esset, qui hæc secerneret ac distingueret? Annon omnino necesse est medium quoddam esse, quo, velut termino, dirimatur universum ab eo, quod supra universum est? Quid autem aliud hoc fuerit, quam locus, quem jam ante exclusimus? Nondum enim commemoro, fieri omnino non posse, quin circumscriptus sit Deus, si animo et cogitatione comprehendi potest. Unum quippe circumscriptionis genus comprehensio quoque ipsa est.

Ἐπεὶ δέ ἐστιν ἀσώματον ἡμῖν τὸ Θεῖον, μικρόν τι προσεξετάσωμεν. Πότερον οὐδαμοῦ τοῦτο, ἢ ἔστιν ὅπου; Εἰ μὲν γὰρ οὐδαμοῦ, ζητήσαι τις ἂν τῶν ἄγαν ἐξεταστικῶν, πῶς ἂν καὶ εἴη. Εἰ γὰρ τὸ μὴ ὄν, οὐδαμοῦ, τὸ μηδαμοῦ, τυχὸν οὐδὲ ὄν. Εἰ δέ ἐστί που, πάντως ἐπείπερ ἐστὶν, ἢ ἐν τῷ παντὶ, ἢ ὑπὲρ τὸ πᾶν. Ἀλλ' εἰ μὲν ἐν τῷ παντὶ, ἢ τινι, ἢ πανταχοῦ. Καὶ εἰ μὲν ἔν τινι, ὑπ' ἐλάττονος περιγραφήσεται τοῦ τινος. Εἰ δὲ πανταχοῦ, ὑπὸ πλείονος καὶ ἄλλου πολλοῦ, λέγω δὲ, τὸ περιεχόμενον τοῦ περιέχοντος. Εἰ τὸ πᾶν ὑπὸ τοῦ παντὸς μέλλει περισχεθήσεσθαι, καὶ μηδένα τόπον εἶναι περιγραφῆς ἐλεύθερον. Ταῦτα μὲν, εἰ ἐν τῷ παντί. Καὶ ποῦ, πρὶν γενέσθαι τὸ πᾶν; Οὐδὲ γὰρ τοῦτο μικρὸν εἰς ἀπορίαν. Εἰ δὲ ὑπὲρ τὸ πᾶν, ἆρ' οὐδὲν ἦν τὸ διορίζον αὐτὸ τοῦ παντός; Ποῦ δὲ τὸ ὑπὲρ τοῦτο; Καὶ πῶς ἐνοήθη τὸ ὑπεραῖρον καὶ ὑπεραιρόμενον, οὐκ ὄντος ὅρου τινὸς τοῦ τέμνοντος ταῦτα καὶ διορίζοντος; Ἢ χρὴ πάντως εἶναι τὸ μέσον, καὶ ᾧ περατοῦται τὸ πᾶν, καὶ τὸ ὑπὲρ τὸ πᾶν; Καὶ τί ἄλλο τοῦτο ἢ τόπος ἐστὶν, ὅνπερ ἐφύγομεν; Καὶ οὔπω λέγω τὸ περιγραπτὸν πάντως εἶναι τὸ Θεῖον, καὶ εἰ διανοίᾳ καταληπτόν· ἓν γὰρ περιγραφῆς εἶδος καὶ ἡ κατάληψις.

Ex eadem oratione.

C Quorsum autem hæc disserui, curiosiusque fortasse, quam vulgi aures ferant, ac pro ea, quæ hac tempestate viget, disputandi ratione (quæ, simplici atque ingenua rerum divinarum pertractatione contempta et pro nihilo habita, subdolum atque involutum dicendi genus invexit; ut nimirum ex fructibus arbor [1], hoc est, ater ille ac tenebrosus spiritus, hujusmodi dogmatum afflator, ex hac disputationis caligine agnoscatur)? Non enim hoc eo a me factum est, ut ipse quoque nova et ab hominum sensibus aliena proferre, atque eximia quadam et excellenti sapientia ornatus esse [2] videar, nodos nectens, atque astricta dissolvens; quod quidem magnum Danielis miraculum fuit; D verum ut illud ostendam, quod orationis principio dicere instituebam, nimirum Deum extra humani ingenii captum esse, nec totum, quantus est, cogitari atque animo informari posse; idque non ob invidiam (longe enim abest a divina natura invidiæ livor, utpote quæ omni perturbatione vacat, solaque bona et domina est, ac præsertim erga id, quod ex omnibus rebus a se conditis maximo in pretio habet. Quid enim apud Verbum priore loco ac numero est, quam quæ rationem ac sermonis facultatem acceperunt? Quandoquidem hoc quoque ipsum, quod procreata sunt, summæ cujusdam divinæ bonitatis argumentum est), nec ut inde ipsius, qui plenus est, honori

Ἐκ τοῦ αὐτοῦ λόγου.

Τίνος οὖν ἕνεκεν ταῦτα διῆλθον, καὶ περιεργότερον ἴσως ἢ κατὰ τὰς τῶν πολλῶν ἀκοὰς, καὶ κατὰ τὸν νῦν κεκρατηκότα τύπον τῶν λόγων (ὃς τὸ γενναῖον καὶ ἁπλοῦν ἀτιμάσας, τὸ σκολιὸν καὶ γριφοειδὲς ἐπεισήγαγεν· ὡς ἐκ τῶν καρπῶν τὸ δένδρον γινώσκεσθαι, λέγω δὲ τὸ ἐνεργοῦν τὰ τοιαῦτα δόγματα σκότος ἐκ τοῦ ζόφου τῶν λεγομένων); Οὐ γὰρ ἵνα καὶ αὐτὸς παράδοξα λέγειν δόξω, καὶ περιττὸς φαίνωμαι τὴν σοφίαν, πλέκων συνδέσμους, καὶ διαλύων κρατούμενα, τοῦτο δὴ τὸ μέγα θαῦμα τοῦ Δανιήλ· ἀλλ' ἵν' ἐκεῖνο δηλώσαιμι, ὃ μοι λέγειν ὁ λόγος ἀπ' ἀρχῆς ὥρμησε. Τοῦτο δὲ τί ἦν; Τὸ μὴ ληπτὸν εἶναι ἀνθρωπίνῃ διανοίᾳ τὸ Θεῖον, μηδὲ ὅλον ὅσον ἐστὶ φαντάζεσθαι· καὶ τοῦτο οὔτε διὰ φθόνον (μακρὰν γὰρ τῆς θείας φύσεως φθόνος, τῆς γε ἀπαθοῦς, καὶ μόνης ἀγαθῆς, καὶ κυρίας, καὶ μάλιστα τῶν ἑαυτοῦ κτισμάτων περὶ τὸ τιμιώτατον. Τί γὰρ Λόγῳ πρὸ τῶν λογικῶν· ἐπεὶ καὶ αὐτὸ τὸ ὑποστῆναι τῆς ἄκρας ἀγαθότητος), οὔτε εἰς τιμὴν ἑαυτοῦ καὶ δόξαν τοῦ πλήρους, ἵνα τῷ ἀνεφίκτῳ τὸ τίμιον ἔχῃ καὶ τὸ σεβάσμιον. Τοῦτο γὰρ πάντως σοφιστικὸν καὶ ἀλλότριον, μὴ ὅτι Θεοῦ, ἀλλ' οὐδὲ ἀνθρώπου μετρίως ἐπιεικοῦς, καί τι δεξιὸν ἑαυτῷ συνειδότος, ἐκ τοῦ κωλύειν ἑτέρους τὸ πρωτεῖον πορίζεσθαι.

[1] Matth. VII, 20. [2] Dan. V, 11.

gloriæque quidquam accederet, ut videlicet ex eo quod ad ejus cognitionem mortales pervenire nequeunt, major ad ipsum honor ac veneratio redeat. Sophisticum enim plane, atque alienum est, non dicam a Deo, sed ab homine, mediocri saltem probitate candoreque prædito, atque ingenuæ cujusdam honestatis sibi conscio, prohibendis aliis principatum sibi arrogare.

Ἀλλ' εἰ μὲν καὶ δι' ἄλλας αἰτίας, εἰδεῖεν ἂν οἱ ἐγγυτέρω Θεοῦ, καὶ τῶν ἀνεξιχνιάστων αὐτοῦ κριμάτων ἐπόπται καὶ θεωροὶ, εἴπερ εἰσί τινες τοσοῦτοι τὴν ἀρετὴν, καὶ ἐν ἴχνεσιν ἀβύσσου περιπατοῦντες, τὸ δὴ λεγόμενον· ὅσον δ' οὖν ἡμεῖς κατειλήφαμεν, μικροῖς μέτροις μετροῦντες τὰ δυσθεώρητα· τάχα μὲν, ἵνα μὴ τῷ ῥᾳδίῳ τῆς κτήσεως, ῥᾴστη γένηται καὶ ἡ τοῦ κτηθέντος ἀποβολή. Φιλεῖ γὰρ τὸ μὲν πόνῳ κτηθὲν μᾶλλον κρατεῖσθαι· τὸ δὲ ῥᾳδίως κτηθὲν, καὶ ἀποπτύεσθαι τάχιστα, ὡς πάλιν ληφθῆναι δυνάμενον· καὶ οὕτως εὐεργεσία καθίσταται τὸ μὴ πρόχειρον τῆς εὐεργεσίας, τοῖς γε νοῦν ἔχουσι. Τάχα δὲ, ὡς μὴ ταυτὸν ἡμᾶς τῷ πεσόντι Ἑωσφόρῳ πάσχειν, ἐκ τοῦ τὸ φῶς ὅλον χωρῆσαι κατέναντι Κυρίου παντοκράτορος τραχηλιᾷν, καὶ πίπτειν ἐκ τῆς ἐπάρσεως, πτῶμα πάντων ἐλεεινότατον. Τυχὸν δὲ, ἵν' ᾖ τι πλέον ἐκεῖθεν ἆθλον φιλοπονίας καὶ λαμπροῦ βίου τοῖς ἐνταῦθα κεκαθαρμένοις, καὶ μακροθυμοῦσι πρὸς τὸ ποθούμενον. Διὰ τοῦτο μέσος ἡμῶν τε καὶ Θεοῦ ὁ σωματικὸς οὗτος ἵσταται γνόφος, ὥσπερ ἡ νεφέλη τὸ πάλαι τῶν Αἰγυπτίων καὶ τῶν Ἑβραίων. Καὶ τοῦτό ἐστιν ἴσως, ὃ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, τὴν ἡμετέραν παχύτητα, δι' ἣν ὀλίγοι καὶ μικρὸν διακύπτουσιν. Τοῦτο μὲν οὖν φιλοσοφείτωσαν οἷς ἐπιμελὲς, καὶ ἀνιέτωσαν ἐπὶ πλεῖστον τῆς διασκέψεως· ἡμῖν δ' οὖν ἐκεῖνο γνώριμον τοῖς δεσμίοις τῆς γῆς, ὅ φησιν ὁ θεῖος Ἱερεμίας, καὶ τὸ παχὺ τοῦτο σαρκίον περιβεβλημένοις· ὅτι ὥσπερ ἀδύνατον ὑπερβῆναι τὴν ἑαυτοῦ σκιὰν, καὶ τῷ λίαν ἐπειγομένῳ (φθάνει γὰρ ἀεὶ τοσοῦτον, ὅσον καταλαμβάνεται), ἢ τοῖς ὁρατοῖς πλησιάσαι τὴν ὄψιν, δίχα τοῦ ἐν μέσῳ φωτὸς καὶ ἀέρος, ἢ τῶν ὑδάτων ἔξω τὴν νηκτὴν φύσιν διολισθαίνειν· οὕτως ἀμήχανον τοῖς ἐν σώματι, δίχα τῶν σωματικῶν, πάντη γενέσθαι μετὰ τῶν νοουμένων. Ἀεὶ γάρ τι παρεμπεσεῖται τῶν ἡμετέρων, κἂν ὅτι μάλιστα χωρίσας ἑαυτὸν τῶν ὁρωμένων ὁ νοῦς, καὶ καθ' ἑαυτὸν γενόμενος, προσβάλλειν ἐπιχειρῇ τοῖς συγγενέσι καὶ ἀοράτοις. Γνώσῃ δὲ οὕτως.

Verum aliasne etiam quasdam ob causas, viderint ii, qui Deo propinquiores conjunctioresque sunt, atque impervestigabilium ipsius judiciorum [1] inspectores et contemplatores, si qui tamen sunt ad eam virtutis magnitudinem evecti, atque in abyssi vestigiis deambulantes [2], ut proverbio dici solet. Quantum tamen nos, qui exiguis modulis ea quæ ad contemplandum difficilia sunt, metimur, conjectura assequi possumus, tres hujus rei causæ afferri queant. Prima forsan, ne, ob adipiscendi facilitatem, facilis quoque rei quæsitæ jactura sit. Fit enim fere, ut quod non sine labore atque industria partum est, arctius quoque teneatur: quod autem nullo negotio comparatum est, citissime vilescat, et abjiciatur, utpote quod recuperari possit; atque ita in beneficium cedit non obvia illa beneficentia, apud eos saltem, qui prudentes sunt. Altera, ne idem nobis, quod Lucifero illi prolapso [3], accidat; hoc est, ne toto illo fulgore perfusi cervicem adversus Dominum omnipotentem attollamus, atque ob elationem corruamus, casu omnium miserrimo et calamitosissimo. Postrema, ut pro industriæ suæ illustrisque vitæ præmio uberius aliquid habeant, qui hic sese a vitiorum labe perpurgarint, ac rem adamatam et expetitam patientibus animis exspectarint. Idcirco media inter nos ac Deum corporea hæc caligo interjecta est; non secus ac nubes illa [4] olim inter Ægyptios et Hebræos. Ac fortasse huc spectat illud Scripturæ, Posuit tenebras latibulum sibi [5], hoc est, crassitiem nostram, qua fit, ut pauci omnino, iique parum admodum transpiciant. Sed de hac re accuratius philosophentur, altissimeque consideratione provehantur, quibus id studio et curæ fuerit. Nobis utique, qui terræ vinculis astricti tenemur [6], ut Jeremiæ verbis utar, crassaque hac carne obtegimur, hoc perspicuum est, quod quemadmodum nulla ratione fieri potest, ut quispiam, quamlibet gressum urgeat, umbram suam prætereat (quantum enim eam assequeris, tantum etiam illa semper antevertit), aut oculus rebus in aspectum cadentibus citra intermediam lucem et aerem conjungatur, aut pisces extra aquas natent; ita etiam impossibile est iis, qui corporibus inclusi sunt, sine corporearum ac sensibilium rerum adminiculo, rebus iis, quæ animo ac ratione intelliguntur, omnino conjungi. Semper enim obiter sensibile aliquid rerum nostrarum incidit, quantumvis maxime nostra mens ab iis rebus, quæ in aspectum cadunt, abstracta, atque in seipsam collecta, res cognatas, et oculorum aciem fugientes assequi ac percipere contenderit.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Θεὸν, ὅ τί ποτε μὲν ἔστι τὴν φύσιν καὶ τὴν οὐσίαν, οὔτε τις εὗρεν ἀνθρώπων πώποτε, οὔτε μὴν εὕρῃ. Ἀλλ' εἰ μὲν εὑρήσει ποτὲ, ζητείσθω τοῦτο, καὶ φιλοσοφείσθω παρὰ τῶν βουλομένων· εὑρήσει δὲ, ὡς ὁ ἐμὸς λόγος, ἐπειδὰν τὸ θεοειδὲς τοῦτο καὶ θεῖον, λέγω δὲ τὸν ἡμέτερον νοῦν τε καὶ λόγον, τῷ οἰκείῳ προσμίξῃ, καὶ ἡ εἰκὼν ἀνέλθῃ

Ex eadem oratione.

Quid tandem Deus natura sua et essentia sit, nec hominum quisquam unquam invenit, nec invenire potest. An vero aliquando sit inventurus, quærat hoc qui volet, ac perscrutetur. Mea quidem sententia, tum demum hoc inveniet, cum deiforme hoc atque divinum, id est, mens nostra et ratio cum natura cognata conjuncta fuerit, et imago ad

[1] Rom. xi, 33. [2] Job xxxviii, 16. [3] Isa. xiv, 12. [4] Exod. xiv, 20. [5] Psal. xvii, 12. [6] Thren. iii, 34.

exemplar illud suum, cujus nunc desiderio tangitur, ascenderit. Atque illud mihi esse videtur, quod primarium philosophiæ caput est, nempe nos aliquando tantum cogniturος, quantum cogniti sumus.[1] At in hac mortali vita quidquid ad nos usque pertingit, aliud nihil est, quam exiguus quidam rivulus, ac velut parvus magnæ lucis radius. Quamobrem si quis Deum cognovit, aut, Scriptura teste, cognovisse dicitur, eatenus cognovisse censendus est, quatenus uberioris splendoris particeps sit, quam qui minus luminis divinitus accepit. Ita exsuperantia hæc, perfecta cognitio existimata est, non ad rei ipsius veritatem, sed ad aliorum modulum et facultatem perpensa.

A πρὸς τὸ ἀρχέτυπον, οὗ νῦν ἔχει τὴν ἔφεσιν. Καὶ τοῦτο εἶναί μοι δοκεῖ τὸ πάνυ φιλοσοφούμενον, ἐπιγνώσεσθαί ποτε ἡμᾶς, ὅσον ἐγνώσμεθα. Τὸ δὲ νῦν εἶναι, βραχεῖά τις ἀποῤῥοὴ πᾶν τὸ εἰς ἡμᾶς φθάνον, καὶ οἷον μεγάλου φωτὸς μικρὸν ἀπαύγασμα. Ὥστε καὶ εἴ τις ἔγνω Θεὸν, ἢ ἐγνωκέναι μεμαρτύρηται, τοσοῦτον ἔγνω, ὅσον ἄλλου μὴ τὸ ἴσον ἐλλαμφθέντος φανῆναι φωτοειδέστερος· καὶ τὸ ὑπερβάλλον, τέλειον ἐνομίσθη, οὐ τῇ ἀληθείᾳ, τῇ δὲ τοῦ πλησίον δυνάμει παραμετρούμενον.

Quocirca Enos quidem spem habuit fore ut Dominum invocaret [2]: ubi vides spem duntaxat in eo laudari, eamque non cognitionis, sed invocationis. Enoch autem, quamvis translatus fuerit [3], nondum tamen constat, an Dei naturam comprehenderit, aut comprehensurus sit. Jam Noe, cui orbis universi ab aquarum periculo conservandi cura credita est [4], vel potius orbis semina commissa, exiguo ligno diluvium fugientia [5], hinc solum tandem consecutus est, quod Deo gratus et acceptus fuisset. Magnus porro ille patriarcha Abraham, ex fide quidem justificatus est [6], ac novam et inauditam victimam, magnæque illius figuram gerentem, obtulit [7]: at Deum non ut Deum conspexit, sed ut hominem aluit [8]; ac proinde laudatus est, quod, quantum percepit, tantum quoque veneratus est. Nam quid de Jacob dicam, qui licet sublimem quamdam scalam, et ascendentes angelos in somnis conspicatus sit [9], ac columnam non sine mysterio quodam unxerit (fortasse ut lapidem salutis nostræ causa unctum significaret), atque in ejus, quem conspexerat, honorem, loco cuidam domus Dei cognomentum imposuerit, ac cum Deo quasi cum homine luctam inierit, quæcunque tandem illa Dei cum homine lucta esse queat. His enim verbis fortasse nihil aliud indicatur, quam humanæ virtutis cum divina comparatio, luctæque signa, quæ creatam naturam victam esse ostenderent, in corpore tulerit, ac denique pro pietatis præmio nominis commutationem acceperit, pro Jacob nimirum, magno illo et eximio Israelis nomine nuncupatus; hoc tamen nec ipse, nec quisquam eo sublimior, ad hunc usque diem in omnibus duodecim tribubus, quarum pater exstitit, gloriari magnificeque prædicare potuit, se totam Dei naturam animo percepisse.

Διὰ τοῦτο Ἐνὼς μὲν ἤλπισεν ἐπικαλεῖσθαι τὸν Κύριον· ἐλπὶς τὸ κατορθούμενον ἦν, καὶ τοῦτο οὐ γνώσεως, ἀλλ' ἐπικλήσεως. Ἐνὼχ δὲ μετετέθη μὲν, οὔπω δὲ δῆλον, εἰ Θεοῦ φύσιν περιλαβὼν, ἢ περιληB ψόμενος. Τοῦ δὲ Νῶε, καλὸν ἡ εὐαρέστησις, τοῦ καὶ κόσμον ὅλον ἐξ ὑδάτων διασώσασθαι πιστευθέντος, ἢ κόσμου σπέρματα, ξύλῳ μικρῷ φεύγοντι τὴν ἐπίκλυσιν. Ἀβραὰμ δὲ ἐδικαιώθη μὲν ἐκ πίστεως, ὁ μέγας πατριάρχης, καὶ θύει θυσίαν ξένην, καὶ τῆς μεγάλης ἀντίτυπον· Θεὸν δὲ οὐχ ὡς Θεὸν εἶδεν, ἀλλ' ὡς ἄνθρωπον ἔθρεψε, καὶ ἐπῃνέθη, σεβασθεὶς ὅσον κατέλαβεν. Ἰακὼβ δὲ, κλίμακα μὲν ὑψηλὴν ἐφαντάσθη τινὰ, καὶ ἀγγέλων ἄνοδον, καὶ στήλην ἀλείφει μυστικῶς (ἴσως ἵνα τὸν ὑπὲρ ἡμῶν ἀλειφέντα λίθον παραδηλώσῃ), καὶ οἶκος Θεοῦ τόπῳ τινὶ προσηγορίαν δίδωσιν, εἰς τιμὴν τοῦ ὀφθέντος, καὶ ὡς ἀνθρώπῳ τῷ Θεῷ προσπαλαίει, ἥ τίς ποτέ ἐστιν ἡ πάλη Θεοῦ πρὸς ἄνθρωπον, ἢ τάχα τῆς ἀνθρωπίνης ἀρεC τῆς πρὸς Θεὸν ἀντεξέτασις, καὶ σύμβολα τῆς πάλης ἐπὶ τοῦ σώματος φέρει, τὴν ἧτταν παραδεικνύντα τῆς γεννητῆς φύσεως, καὶ ἆθλον εὐσεβείας τὴν μεταβολὴν τῆς προσηγορίας λαμβάνει, μετονομασθεὶς, ἀντὶ Ἰακὼβ, Ἰσραὴλ, τοῦτο δὴ τὸ μέγα καὶ τίμιον ὄνομα· ἐκεῖνο δὲ, οὔτε αὐτὸς, οὔτε τις ὑπὲρ αὐτὸν μέχρι σήμερον ἐκαυχήσατο τῶν δώδεκα φυλῶν, ὧν πατὴρ ἦν, ὅτι Θεοῦ φύσιν ἢ ὄψιν ὅλην ἐχώρησεν.

D

Nec vero Eliæ, vel spiritus vehemens, vel ignis, vel terræ concussio, ut historiæ sacræ monumentis proditum est, sed aura quædam tenuis Dei præsentiam, non autem naturam ipsam, adumbravit[10]. Ipsum Eliam dico, quem igneus quoque currus in cœlum evexit[11], significans, ut opinor, singularem quamdam hominis virtutem, atque humanum fastigium excedentem. Quid? Non te judex ille Manue, ac Petrus apostolus, admiratione afficiunt? Quorum alter ne conspectum quidem Dei, per imaginem ipsi obversantis, ferre poterat, ac

Ἠλίᾳ δὲ, οὔτε πνεῦμα βίαιον, οὔτε πῦρ, οὔτε συσσεισμὸς, ὡς τῆς ἱστορίας ἀκούεις, ἀλλ' ἡ αὔρα τις ὀλίγη τὴν τοῦ Θεοῦ παρουσίαν, καὶ ταῦτα, οὐ φύσιν ἐσκιαγράφησεν. Ἠλίᾳ τίνι; ὃν καὶ ἅρμα πυρὸς ἀνάγει πρὸς οὐρανὸν, δηλοῦν τοῦ δικαίου τὸ ὑπὲρ ἄνθρωπον. Μανωὲ δὲ τὸν κριτὴν πρότερον, καὶ Πέτρον τὸν μαθητὴν ὕστερον, πῶς οὐ τεθαύμακας; τὸν μὲν οὐδὲ ὄψιν φέροντα τοῦ φαντασθέντος Θεοῦ, καὶ διὰ τοῦτο, *Ἀπολώλαμεν*, *ὦ γύναι*, λέγοντα, *Θεὸν ἑωράκαμεν*, ὡς οὐ χωρητῆς οὔσης ἀνθρώποις, οὐδὲ φαντασίας θείας, μὴ ὅτι γε φύσεως· τὸν δὲ καὶ τὸν

[1] I Cor. XIII, 12. [2] Gen. IV, 26. [3] Gen. V, 24. [4] Gen. VI, 13 seqq. [5] Gen. IX, 1 seqq. [6] Gen. XV, 6; Rom. IV, 3. [7] Gen. XXII, 2 seqq. [8] Gen. XVIII, 2 seqq. [9] Gen. XXVIII, 12. [10] III Reg. XIX, 11 seqq. [11] IV Reg. II, 11.

φαινόμενον Χριστὸν τῷ πλοίῳ μὴ προσιέμενον, καὶ A διὰ τοῦτο ἀποπεμπόμενον· καίτοιγε θερμότερος τῶν ἄλλων εἰς ἐπίγνωσιν Χριστοῦ Πέτρος, καὶ διὰ τοῦτο μακαριζόμενος, καὶ τὰ μέγιστα πιστευόμενος. Τί δ' ἂν εἴποις περὶ Ἡσαΐου, καὶ Ἰεζεκιὴλ τοῦ τῶν μεγίστων ἐπόπτου, καὶ τῶν λοιπῶν προφητῶν; ὧν ὁ μὲν τὸν Κύριον Σαβαὼθ εἶδε καθήμενον ἐπὶ θρόνου δόξης, καὶ τοῦτον ὑπὸ τῶν ἑξαπτερύγων σεραφὶμ κυκλούμενον, καὶ αἰνούμενον, καὶ ἀποκρυπτόμενον, ἑαυτόν τε τῷ ἄνθρακι καθαιρόμενον, καὶ πρὸς τὴν προφητείαν καταρτιζόμενον· ὁ δὲ καὶ τὸ ὄχημα τοῦ Θεοῦ τὰ χερουβὶμ διαγράφει, καὶ τὸν ὑπὲρ αὐτῶν θρόνον, καὶ τὸ ὑπὲρ αὐτοῦ στερέωμα, καὶ τὸν ἐν τῷ στερεώματι φανταζόμενον, καὶ φωνάς δή τινας, καὶ ὁρμὰς, καὶ πράξεις· καὶ ταῦτα, εἴτε φαντασία τις ἦν ἡμερινὴ, μόνοις B θεωρητὴ τοῖς ἁγίοις, εἴτε νυκτὸς ἀψευδὴς ὄψις, εἴτε τοῦ ἡγεμονικοῦ τύπωσις συγγενομένη τοῖς μέλλουσιν ὡς παροῦσιν, εἴτε τι ἄλλο προφητείας εἶδος ἀπόῤῥητον, οὐκ ἔχω λέγειν· ἀλλ' οἶδεν ὁ τῶν προφητῶν Θεὸς, καὶ οἱ τὰ τοιαῦτα ἐνεργούμενοι. Πλὴν οὔτε οὗτοι περὶ ὧν ὁ λόγος, οὔτε τις ἄλλος τῶν κατ' αὐτοὺς, ἔστη ἐν ὑποστήματι καὶ οὐσίᾳ Κυρίου, κατὰ τὸ γεγραμμένον, οὐδὲ Θεοῦ φύσιν ἢ εἶδεν ἢ ἐξηγόρευσεν.

proinde dicebat : Periimus, uxor, Deum vidimus [1], tanquam videlicet homines, ne divini quidem in imagine conspectus, nedum naturæ ipsius, capaces sint : alter conspicuum etiam Christum in naviculam admittere recusabat, atque ablegabat [2]. Quod eo quoque mirabilius videri debet, quod idem ad Christi agnitionem animi ardore alios anteibat, eoque nomine beatus prædicatus est [3], resque maximas in fidem accepit. Quid Isaiam et Ezechielem rerum maximarum spectatorem reliquosque prophetas commemorem? Quorum alter Dominum Sabbaoth in gloriæ throno sedentem vidit [4], eumque a seraphim senis alis præditis in orbem cinctum ac laudatum et tectum, seque ipsum carbone perpurgatum, atque ad obeundum prophetiæ munus adornatum. Alter vehiculum quoque Dei [5], hoc est, cherubinos describit, thronumque ipsis excelsiorem, eoque sublimius firmamentum, atque insuper eum, qui in firmamento sese utcunque conspicandum præbebat, vocesque etiam quasdam, et impetus, atque actiones; idque, sive diurnum quoddam hoc spectrum, solis sanctissimis viris spectabile, sive minime fallax noctis visio, sive prævia quædam mentis impressio, futura tanquam præsentia exhibens, sive arcanum quoddam aliud prophetiæ genus, dicere nequeo; novit hoc prophetarum Deus, et qui hujusmodi afflatibus agitantur. Cæterum neque hi, de quibus loquor, neque quisquam alius ejusdem ordinis, in substantia et essentia Domini, ut Scriptura loquitur [6], stetit, nec Dei naturam aut vidit, aut aliis prodidit et patefecit.

Παύλῳ δὲ, εἰ μὲν ἐκφορὰ ἦν ἅπερ C ἔσχεν ὁ τρίτος οὐρανὸς, καὶ ἡ μέχρις ἐκείνου πρόοδος, ἢ ἀνάβασις, ἢ ἀνάληψις, τάχα ἄν τι περὶ Θεοῦ εἶδον ἔγνωμεν, εἴπερ τοῦτο ἦν τὸ τῆς ἁρπαγῆς μυστήριον· ἐπεὶ δὲ ἄῤῥητα ἦν, καὶ ἡμῖν σιωπῇ τιμάσθω. Τοσοῦτον δὲ ἀκούσωμεν αὐτοῦ Παύλου λέγοντος, ὅτι *Ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν*. Ταῦτα, καὶ τὰ τοιαῦτα ὁμολογεῖ ὁ μὴ ἰδιώτης τὴν γνῶσιν, ὁ δοκιμὴν ἀπειλῶν τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ, ὁ μέγας τῆς ἀληθείας προαγωνιστὴς, καὶ διδάσκαλος. Διὸ καὶ πᾶσαν τὴν κάτω γνῶσιν οὐδὲν ὑπὲρ τὰ ἔσοπτρα καὶ τὰ αἰνίγματα τίθεται, ὡς ἐν μικροῖς τῆς ἀληθείας ἱσταμένην ἰνδάλμασιν. Εἰ δὲ μὴ λίαν δοκῶ τισι περιττὸς καὶ περίεργος τὰ τοιαῦτα ἐξετάζων, οὐδὲ ἄλλα τινὰ τυχὸν ἢ ταῦτα ἦν, ἃ μὴ δύνασθαι νῦν βαστα- D χθῆναι, ὁ Λόγος αὐτὸς ὑπῃνίσσετο, ὥς ποτε βασταχθησόμενα καὶ τρανωθησόμενα· καὶ ἅπερ μηδ' ἂν αὐτὸν δυνηθῆναι χωρῆσαι τὸν κόσμον, Ἰωάννης ὁ τοῦ Λόγου πρόδρομος, ἡ μεγάλη τῆς ἀληθείας φωνὴ, διωρίζετο.

Quod si Paulo ea, quæ tertium cœlum [7], atque ad illud usque progressio, vel ascensio, vel assumptio exhibuit, mortalibus evulgare licuisset, amplius quiddam fortasse de Deo cognovissemus, si modo arcana hæc causa erat, cur in cœlum raperetur. Quoniam autem hæc ei in vulgus efferre nefas erat, faciamus nos quoque, ut ea silentio commendemus. Atque hoc duntaxat Paulum dicentem audiamus : *Ex parte cognoscimus, et ex parte prophetamus* [8]. Hæc, atque ejusmodi fateri non dubitat ille scientia nequaquam imperitus, ille experimentum se daturum minitans loquentis in se Christi, magnus, inquam, ille veritatis propugnator et doctor. Eoque nomine omnem quoque humanam ac terrenam scientiam nihil supra specula et ænigmata [9] esse statuit, utpote quæ ultra exigua veritatis simulacra minime sese porrigat. Quod nisi me quispiam in hujus generis rebus exquirendis nimis curiose et supervacanee versari existimet, dicere quoque non verear, nec alia quidem fortasse, quam hæc, ea esse, quæ Christus ipse portari in hac vita posse negavit [10], velut aliquando portanda, et declaranda; et quæ ille Verbi præcursor Joannes, et magna veritatis vox, ne a mundo quidem capi posse pronuntiavit [11].

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Πᾶσα μὲν οὖν ἀλήθεια, καὶ πᾶς λόγος δυστέκμαρτός τε καὶ δυσθεώρητος· καὶ οἷον ὀργάνῳ μικρῷ μεγάλα δημιουργοῦμεν, τῇ ἀνθρωπίνῃ σοφίᾳ τὴν τῶν ὄντων γνῶσιν θηρεύοντες, καὶ τοῖς νοη-

Ex eadem oratione.

Verum enim vero cum veritas omnis et disputatio plurimum difficultatis atque obscuritatis habeat, ac nos velut parvo quodam instrumento res magnas efficere moliamur, humanæ videlicet

[1] Judic. XIII, 22. [2] Luc. V, 8. [3] Matth. XVI, 17. [4] Isa. VI, 1. [5] Ezech. I, 4 seqq. [6] Jerem. XXIII, 18. [7] II Cor. XII, 2. [8] I Cor. XIII, 9. [9] ibid. 12. [10] Joan. XVI, 12. [11] Joan. XXI, 25.

sapientiæ adjumento rerum cognitionem aucupantes, ac res, quæ animi tantum intelligentia comprehenduntur, per sensus cognoscere aggredimur; aut certe non sine sensibus, quibus undique jactamur et in errorem pertrahimur, nec nuda mente cum nudis rebus versari, atque inde ad veritatem propius accedere, rebusque perceptis ac comprehensis mentem informare possumus. Tum vero disputatio ea, quæ de Deo suscipitur, quo perfectior, eo quoque difficilior est, pluribusque objectationibus patet, in iisque diluendis ac dissolvendis plus negotii facessit. Nihil enim tam levis exiguique ponderis nobis adversari potest, quod non disputationis cursum interrumpat atque comprimat, impediatque quominus ultra progrediamur. Quemadmodum qui equos ad cursum incitatos repente freno retrahunt, ac per inopinatam et repentinam excussionem retrorsum agunt. Sic nimirum Salomon, qui omnibus, cum suæ, tum superioris memoriæ hominibus sapientiæ laude præstitit [1], et cordis latitudinem Dei beneficio accepit, ac tantam contemplationis copiam et ubertatem [2], ut arenæ numerum excederet, quo altius in has profunditates penetrat, hoc magis æstuat, ac finem quemdam sapientiæ constituit, nimirum quod invenisset, quantum ea a se fugeret [3]. Consimili quoque modo Paulus, non dicam Dei naturam, hoc enim prorsus supra humanas vires esse perspectum habebat, sed Dei solum judicia cognitione assequi conatur. Quoniam autem nec exitum ullum, nec quo ascensum figere ac stabilire posset, reperiebat, nec perspicuo ullo fine curiosa ipsius animi perscrutatio claudebatur, quod videlicet subinde semper aliquid reliqui esse perspiceret: o rem miram ac stupendam! (ut ipse quoque eodem affectu commovear) orationem admiratione circumscribit, idque Dei opes ac profundum appellat, ac Dei judicia nullius ingenio percipi et comprehendi posse ingenue fatetur [4], iisdem propemodum verbis cum Davide utens, qui nunc judicia Dei abyssum multam vocat [5], cujus fundum, nec mensura, nec sensu capi queat; nunc mirabilem factam esse scientiam ex seipso suique ipsius constitutione pronuntiat [6], atque adeo robustam, ut viribus nostris eam capere et complecti nequeamus.

A τοῖς προσβάλλοντες μετὰ τῶν αἰσθήσεων· ἢ οὐκ ἄνευ αἰσθήσεων, ὑφ' ὧν περιφερόμεθα καὶ πλανώμεθα, καὶ οὐκ ἔχομεν γυμνῷ τῷ νοΐ γυμνοῖς τοῖς πράγμασιν ἐντυγχάνοντες, μᾶλλόν τι προσιέναι τῇ ἀληθείᾳ, καὶ τὸν νοῦν τυποῦσθαι ταῖς καταλήψεσιν. Ὁ δὲ περὶ Θεοῦ λόγος, ὅσῳ τελεώτερος, τοσούτῳ δυσεφικτότερος, καὶ πλείους τὰς ἀντιλήψεις ἔχων καὶ τὰς λύσεις ἐργωδεστέρας. Πᾶν γὰρ τὸ ἐνιστάμενον, κἂν βραχύτατον ᾖ, τὸν τοῦ λόγου δρόμον ἐπέσχε καὶ διεκώλυσε, καὶ τὴν εἰς τὸ πρόσω φορὰν διέκοψεν· ὥσπερ οἱ τοὺς ἵππους τοῖς ῥυτῆρσιν ἀθρόως μεθέλκοντες φερομένους, καὶ τῷ ἀδοκήτῳ τοῦ τιναγμοῦ περιτρέποντες. Οὕτω Σολομῶν μὲν ὁ σοφισάμενος περισσὰ, ὑπὲρ πάντας τοὺς γενομένους ἔμπροσθεν, καὶ καθ' ἑαυτὸν, ᾧ τὸ τῆς καρδίας πλάτος δῶρον Θεοῦ, καὶ ἡ ψάμμου δαψιλεστέρα χύσις τῆς θεωρίας, ὅσῳ πλέον ἐμβατεύει τοῖς βάθεσι, τοσούτῳ πλέον B ἰλιγγιᾷ, καὶ τέλος τι ποιεῖται σοφίας εὑρεῖν ὅσον διέφυγεν· Παῦλος δὲ πειρᾶται μὲν ἐφικέσθαι, οὔπω λέγω τῆς τοῦ Θεοῦ φύσεως, τοῦτο γὰρ ᾔδει παντελῶς ἀδύνατον ὂν, ἀλλὰ μόνον τῶν τοῦ Θεοῦ κριμάτων. Ἐπεὶ δὲ οὐχ εὑρίσκει διέξοδον, οὐδὲ στάσιν τῆς ἀναβάσεως, οὐδὲ εἴς τι φανερὸν τελευτᾷ πέρας ἡ πολυπραγμοσύνη τῆς διανοίας, ἀεί τινος ὑποφαινομένου τοῦ λείποντος· ὢ τοῦ θαύματος (ἵνα καὶ αὐτὸς πάθω τὸ ἴσον)! ἐμπλήξει περιγράφει τὸν λόγον, καὶ πλοῦτον Θεοῦ, καὶ βάθος τὸ τοιοῦτο καλεῖ, καὶ ὁμολογεῖ τῶν τοῦ Θεοῦ κριμάτων τὸ ἀκατάληπτον, μονονουχὶ τὰ αὐτὰ τῷ Δαβὶδ φθεγγόμενος, ποτὲ μὲν ἄβυσσον πολλὴν ὀνομάζοντι τὰ τοῦ Θεοῦ κρίματα, ἧς C οὐκ ἔστι τὴν ἕδραν ἢ μέτρῳ ἢ αἰσθήσει λαβεῖν, ποτὲ δὲ τεθαυμαστῶσθαι τὴν γνῶσιν ἐξ ἑαυτοῦ, καὶ τῆς ἑαυτοῦ συστάσεως λέγοντι, κεκραταιῶσθαί τε πλέον ἢ κατὰ τὴν ἑαυτοῦ δύναμιν καὶ περίδραξιν.

Ut enim missa alia faciens, inquit, meipsum omnemque humanam naturam et compagem intuear, quæ hæc mistio nostra est? Quis motus? Quomodo id quod immortale est, cum mortali copulatum est? Quomodo deorsum fluo, et sursum feror? Quomodo anima circumfertur? Quomodo vitam impertitur, et affectuum fit particeps? Quomodo mens simul et circumscripta est, et nullis terminis inclusa, in nobis manet, et motus fluxionisque celeritate omnia perlustrat? Quomodo sermonis opera percipitur vicissim, et communicatur, ac per aerem grassatur, et cum rebus ipsis ingreditur? Quomodo cum sensibus consuetudinem habet, ac rursus seorsim a sensibus sese colligit? Atque, ut quæ priora sunt dicam, quæ prima nostri effictio et constitutio in naturæ officina? Quæ etiam postrema formatio ac perfectio? Quæ cibi

Ἵνα γὰρ τἆλλα ἐάσας, φησὶ, πρὸς ἐμαυτὸν βλέψω, καὶ πᾶσαν τὴν ἀνθρωπίνην φύσιν καὶ σύμπηξιν, τίς ἡ μίξις ἡμῶν; Τίς ἡ κίνησις; Πῶς τὸ ἀθάνατον τῷ θνητῷ συνεκράθη; Πῶς κάτω ῥέω, καὶ ἄνω φέρομαι; Πῶς ψυχὴ περιφέρεται; πῶς D ζωὴν δίδωσι, καὶ πάθους μεταλαμβάνει; Πῶς ὁ νοῦς καὶ περιγραπτὸς καὶ ἀόριστος, ἐν ἡμῖν μένων, καὶ πάντα ἐφοδεύων τάχει φορᾶς καὶ ῥεύσεως; Πῶς μεταλαμβάνεται λόγῳ καὶ μεταδίδοται, καὶ δι' ἀέρος χωρεῖ, καὶ μετὰ τῶν πραγμάτων εἰσέρχεται; Πῶς αἰσθήσει κοινωνεῖ, καὶ συστέλλεται ἀπὸ τῶν αἰσθήσεων; Καὶ ἔτι πρὸ τούτων, τίς ἡ πρώτη πλάσις ἡμῶν, καὶ σύστασις ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ; Καὶ τίς ἡ τελευταία μόρφωσις καὶ τελείωσις; Τίς ἡ τῆς τροφῆς ἔφεσις καὶ διάδοσις; Καὶ τίς ἤγαγεν ἐπὶ τὰς πρώτας πηγὰς, καὶ τοῦ ζῆν ἀφορμὰς αὐτομάτως; Πῶς σιτίοις μὲν σῶμα, λόγῳ δὲ ψυχὴ

[1] III Reg. III, 12. [2] II Par. I, 12. [3] Eccle. VII, 24; VIII, 17. [4] Rom. XI, 33. [5] Psal. XXXV, 7. [6] Psal. CXXXVIII, 6.

τρέφεται; Τίς ἡ τῆς φύσεως ὁλκὴ, καὶ πρὸς ἄλληλα σχέσις τοῖς γεννῶσι καὶ τοῖς γεννωμένοις, ἵνα τῷ φίλτρῳ συνέχηται; Πῶς ἑστηκότα τε τὰ εἴδη, καὶ τοῖς χαρακτῆρσι διεστηκότα, ὧν τοσούτων ὄντων, αἱ ἰδιότητες ἀνέφικτοι; Πῶς τὸ αὐτὸ ζῶον θνητὸν καὶ ἀθάνατον, τὸ μὲν τῇ μεταστάσει, τὸ δὲ τῇ γεννήσει; Τὸ μὲν γὰρ ὑπεξῆλθε, τὸ δὲ ἀντεισῆλθεν, ὥσπερ ἐν ὁλκῷ ποταμοῦ μὴ ἑστῶτος καὶ μένοντος. Πολλὰ δ' ἂν ἔτι φιλοσοφήσαις περὶ μελῶν καὶ μερῶν, καὶ τῆς πρὸς ἄλληλα τούτων εὐαρμοστίας, πρὸς χρείαν τε ὁμοῦ καὶ κάλλος συνεστώτων τε καὶ διεστώτων, ὑπερεχόντων τε καὶ προσεχομένων, ἑνουμένων τε καὶ σχιζομένων, περιεχόντων τε καὶ περιεχομένων νόμῳ καὶ λόγῳ φύσεως. Πολλὰ περὶ φωνῶν καὶ ἀκοῶν· πῶς αἱ μὲν φέρονται διὰ τῶν φωνητικῶν ὀργάνων, αἱ δὲ ὑποδέχονται, διὰ τῆς ἐν μέσῳ τοῦ ἀέρος πληγῆς καὶ τυπώσεως ἀλλήλαις ἐπιμιγνύμεναι. Πολλὰ περὶ ὄψεως ἀρρήτως κοινωνούσης τοῖς ὁρατοῖς, καὶ μόνῳ τῷ βούλεσθαι, καὶ ὁμοῦ κινουμένης, καὶ ταυτὸ τῷ νοΐ πασχούσης. Μετὰ γὰρ τοῦ ἴσου τάχους, ἐκεῖνός τε μίγνυται τοῖς νοουμένοις, καὶ αὕτη τοῖς ὁρωμένοις. Πολλὰ περὶ τῶν ἄλλων αἰσθήσεων, αἳ παραδεκτικαί τινές εἰσι τῶν ἔξωθεν, λόγῳ μὴ θεωρούμεναι. Πολλὰ περὶ τῆς ἐν ὕπνοις ἀναπαύσεως, καὶ τῆς δι' ὀνειράτων ἀναπλάσεως, μνήμης τε καὶ ἀναμνήσεως, λογισμοῦ τε καὶ θυμοῦ, καὶ ἐφέσεως, καὶ συντόμως εἰπεῖν, ὅσοις ὁ μικρὸς οὗτος κόσμος διοικεῖται, ὁ ἄνθρωπος.

appetitio ac distributio? Quis nos sponte ad primos illos fontes ac vitæ causas duxit? Quomodo corpus cibis, animus contra sermone ac doctrinâ pascitur? Quæ est illa naturæ vis mutuaque inter parentes et liberos affectio, ut quasi quodam philtro contineantur? Quomodo firmæ ac stabiles sunt species, et interim notis inter se distinctæ, quarum proprietates, cum tanto numero sint, assequi non possumus? Quomodo idem animal mortale simul et immortale est; mortale quidem ratione migrationis, immortale autem ratione procreationis? Ut enim aliud morte subducitur, ita rursus ipsi aliud subrogatur, non secus atque in fluminis tractu, quod simul fluxum est et stabile. Multa de hominis membris et partibus adhuc commemorare possis, ac de mutua earum concinnitate; quippe quæ naturæ lege ac ratione, non minus ad elegantiam, quam ad utilitatem, conjungantur simul et distinguantur, præcellant et dignitate inferiores sint, uniantur et distrahantur, contineant et contineantur. Multa etiam de vocibus et auditu : nimirum quomodo illæ per vocalia instrumenta deferantur, hic vero eas excipiat, ac per intermedii aeris percussionem atque impressionem inter se jungantur. Multa item de oculis, qui modo quodam ineffabili cum iis rebus, quas cernimus, commercium habent, ac sola voluntate, simul etiam cum ea moventur, eodemque modo cum mente afficiuntur. Pari enim celeritate, et hæc intellectilibus, et illi visibilibus rebus junguntur. Multa præterea de reliquis sensibus, qui velut admittendis externis rebus destinati sunt, nec ratione percipiuntur. Multa denique de ea, qua in somnis fruimur, quiete atque insomniorum figmentis, de memoria et reminiscentia, de ratione, et ira, et cupiditate, reliquisque, ut uno verbo complectar, quibus parvus hic mundus, id est, homo, gubernatur.

Τοῦ αὐτοῦ περὶ τοῦ λόγου τοῦ περὶ τῆς ἐν ταῖς διαλέξεσιν εὐταξίας.

Τί πρὸς οὐρανὸν ἀνίπτασαι, πεζὸς ὤν; Τί πύργον οἰκοδομεῖς, τὰ πρὸς ἀπαρτισμὸν οὐκ ἔχων; Τί καὶ σὺ μετρεῖς τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί, στοιχεῖα μεγάλα, καὶ μόνῳ μετρητὰ τῷ Ποιήσαντι; Γνῶθι σαυτὸν πρῶτον· τὰ ἐν χερσὶ κατανόησον· τίς εἶ, καὶ πόθεν ἐπλάσθης, καὶ πῶς συνετέθης, ἵν' εἰκὼν ᾖς Θεοῦ, καὶ τῷ χείρονι συνδεθῇς, καὶ τί τὸ κινῆσάν σε, τίς ἡ περὶ σὲ σοφία καὶ τί τῆς φύσεως τὸ μυστήριον· πῶς μετρῇ τόπῳ, καὶ νοῦς οὐχ ὁρίζεται, ἀλλ' ἐν ταυτῷ μένων πάντα ἐπέρχεται· πῶς ὄψις ὀλίγη, καὶ ἐπιπλεῖστον φθάνουσα, καὶ πότερον παραδοχή τίς ἐστι τοῦ ὀφθέντος, ἢ πρὸς ἐκεῖνο διάβασις· πῶς τὸ αὐτὸ καὶ κινεῖ, καὶ κινεῖται, διὰ βουλήσεως κυβερνώμενον· τίς δαὶ παῦλα κινήσεως· τίς ὁ τῶν αἰσθήσεων μερισμὸς, καὶ πῶς διὰ τούτων ὁ νοῦς ὁμιλεῖ τοῖς ἔξω, καὶ τὰ ἔξωθεν παραδέχεται· πῶς ἀναλαμβάνει τὰ εἴδη· καὶ τίς ἡ τήρησις τοῦ ἀναληφθέντος, ἢ μνήμη· καὶ τίς ἡ τοῦ ἀπελθόντος ἀνάληψις, ἢ ἀνάμνησις· πῶς λόγος νοῦ γέννημα, καὶ γεννᾷ λόγον ἐν ἄλλῳ νοΐ, καὶ πῶς λόγῳ νόημα διαδίδοται· πῶς τρέφεται διὰ ψυχῆς σῶμα, καὶ πῶς ψυχὴ διὰ σώματος κοινωνεῖ πάθους·

Ejusdem ex oratione de modestia in disputationibus observanda.

Quid in cœlum provolas, cum pedes sis? Quid turrim exstruis, cum iis rebus careas, quæ ad eam perficiendam requiruntur [1]? Quid ipse quoque manu aquam metiris, et cœlum palmo [2], terramque omnem pugillo, elementa magna, et ejusmodi, ut ea Creator solus dimetiri possit? Primum teipsum cognosce : quæ in manibus sunt, intellectu assequere : quis sis, et quomodo effictus, ita ut simul et imago Dei sis, et deteriori astringaris; quid illud sit, quod tibi motum attulit, quæ in te sapientia eluceat, quod naturæ arcanum : quomodo loco circumscriberis, ac mens nullo limite includitur, sed in eodem loco manens, omnia lustrat ac pervagatur. Quomodo, cum tantillus sit oculus, tam longe pertingit; utrum quod rem visam admittat, an potius quod ad eam transeat : quomodo idem et movet et movetur, ac per voluntatem gubernatur : quæ motus quies, quæ sensuum partitio, quomodo mens eorum opera cum externis versatur, atque externa excipit : quomodo formas recipit · quæ assumptæ rei conservatio, vel memoria : quæ elapsæ recuperatio, vel reminiscentia : quomodo sermo mentis fetus est, atque in alia mente sermo-

nem procreat, et quomodo cogitatio sermone distribuitur: quomodo corpus per animam alitur, et quomodo anima per corpus affectuum particeps fit: quomodo eam timor constringit, præfidentia solvit, mœror contrahit, lætitia diffundit, livor tabe afficit, superbia effert, spes erigit: quomodo iracundia eam in furorem agit, et pudor rubore suffundit; hæc quidem, ebulliente sanguine, hic vero, recedente: quomodo perturbationum signa corporibus imprimuntur; quomodo ratio præsidet, quomodo hæc omnia regit et moderatur, affectuumque motus lenit ac sedat; quomodo a sanguine et spiratione, id, quod corpore vacat, tenetur; quomodo horum defectio, animæ discessio est. Hæc, aut horum aliquid, o homo, cognitione comprehende (nondum enim cœli naturam aut motum, nec siderum ordinem, nec elementorum permistionem, nec animantium discrimina, nec cœlestium virtutum inferiores gradus et sublimiores, atque omnia, in quæ artifex ratio distribuitur, nec denique providentiæ gubernationisque rationes commemoro): ac tum nondum dicam, Aude; verum, Adhuc time ad ea quæ sublimiora sunt, viresque tuas magis superant, accedere.

A πῶς πήγνυσι φόβος, καὶ λύει θάρσος; καὶ συστέλλει λύπη, καὶ διαχεῖ ἡδονὴ, καὶ τήκει φθόνος, καὶ μετεωρίζει τῦφος, καὶ κουφίζει ἐλπίς· πῶς ἐκμαίνει θυμὸς, καὶ αἰδὼς ἐρυθραίνει δι' αἵματος, ὁ μὲν ζέσαντος, ἡ δὲ ἀναχωρήσαντος· καὶ πῶς οἱ χαρακτῆρες τῶν παθῶν ἐν τοῖς σώμασι· τίς ἡ τοῦ λογισμοῦ προεδρία, καὶ πῶς πᾶσι τούτοις ἐπιστατεῖ καὶ ἡμεροῖ τὰ τῶν παθῶν κινήματα· πῶς αἵματι κρατεῖται καὶ πνοῇ τὸ ἀσώματον· καὶ πῶς ἡ τούτων ἔκλειψις, ψυχῆς ἐστιν ἀναχώρησις. Ταῦτα, ἢ τούτων τι κατανόησον, ὦ ἄνθρωπε· οὔπω γὰρ λέγω φύσιν, ἢ κίνησιν οὐρανοῦ, καὶ τάξιν ἀστέρων, καὶ μίξιν στοιχείων, καὶ ζώων διαφορὰς, καὶ δυνάμεων οὐρανίων ὑποβάσεις καὶ ὑπερθέσεις, καὶ πάντα B εἰς ὅσα ὁ δημιουργικὸς λόγος καταμερίζεται, καὶ λόγους προνοίας καὶ διοικήσεως· καὶ τότε οὔπω λέγω, Θάῤῥησον· ἀλλ', Ἔτι φοβήθητι προσβῆναι τοῖς ὑψηλοτέροις, καὶ τοῖς μᾶλλον ὑπὲρ τὴν σὴν δύναμιν.

Ejusdem ex oratione apologetica magna.

Excelsum est cœlum atque sublime, terra autem humilis et profunda. Ecquis illuc ascendet, eorum qui propter peccatum projecti sunt? Quis terrenis adhuc tenebris circumseptus, et crasso corporis indumento obvolutus, tota mente totam mentem pure poterit intueri, et inter hæc, quæ sunt instabilia, et sensibus obnoxia manens, ad ea, quæ sunt immobilia, et oculis cerni non possunt aspirare? Eorum certe qui hic puri mundique sunt, vix quisquam poterit simulacrum illius pulchritudinis aspicere, non secus, atque illi, qui solem in aqua contemplantur. Quis est ille, qui aquam manu, et cœlum palma dimensus est, et pugillo terram continet universam? Quis montes in lance posuit, et valles in statera? Ecquis erit locus, in quo ille requiescat? Cuinam omnibus e rebus dicetur similis? Quis est ille, qui verbo fecit omnia? Qui sapientia fabricatus est hominem? Qui dissidentia in unum contulit? Qui spiritui pulverem admiscuit? Qui animal, quod cernitur, cum eo, quod cerni non potest, mortale cum immortali, terrenum cum cœlesti copulavit, quod Deum attingit, et non comprehendit, appropinquat, et procul abest? *Dixi, sapiens fiam*, inquit Salomon, *et recessit a me longius, quam erat prius* [1]. Sapientiam autem intelligit. Et profecto *qui scientiam addit, addit et dolorem* [2], cum non majorem lætitiam accipiat ex eo, quod didicit, quam dolorem ex eo, quod assequi non potuit. Id quod illis solet contingere, qui sitientes adhuc abstrahuntur ab aqua. Aut qui se aliquid tenere jam putant, quod assequi nequeunt. Aut quos fulguris splendor prope citius transiliit, quam illustravit. Hæc me cogitatio depressit, atque humilem reddi-

Τοῦ αὐτοῦ. Ἐκ τοῦ μεγάλου ἀπολογητικοῦ.

Οὐρανὸς ὑψηλὸς, γῆ δὲ βαθεῖα, καὶ τίς ἀναβήσεται τῶν ἐῤῥιμμένων τῇ ἁμαρτίᾳ, τίς περικείμενος ἔτι τὸν κάτω ζόφον, καὶ τῆς σαρκὸς τὴν παχύτητα ὅλῳ νοῒ καθαρῶς ἐποπτεύσει νοῦν ὅλον, καὶ μιγήσεται τοῖς ἑστῶσι, καὶ ἀοράτοις ἐν τοῖς ἀστάτοις, καὶ ὁρωμένοις; μόλις γὰρ ἄν τις ἐνταῦθα τῶν σφόδρα κεκαθαρμένων κἂν εἴδωλον τοῦ καλοῦ θεωρήσειεν, ὥσπερ οἱ τὸν ἥλιον ἐν τοῖς ὕδασι. Τίς ὁ μετρήσας τῇ χειρὶ C τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί; Τίς ἔστησε τὰ ὄρη σταθμῷ, καὶ τὰς νάπας ζυγῷ; Τίς τόπος τῆς καταπαύσεως αὐτοῦ, καὶ τίνι τῶν πάντων ὁμοιωθήσεται; Τίς ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ, καὶ τῇ σοφίᾳ κατασκευάσας ἄνθρωπον, καὶ εἰς ἓν ἀγαγὼν τὰ διεστῶτα, καὶ μίξας τὸν χοῦν τῷ πνεύματι, καὶ συνθεὶς ζῶον ὁρατὸν καὶ ἀόρατον, πρόσκαιρον καὶ ἀθάνατον, ἐπίγειον καὶ οὐράνιον, ἁπτόμενον Θεοῦ καὶ οὐ περιδρασσόμενον, ἐγγίζον καὶ μακρυνόμενον; *Εἶπα, σοφισθήσομαι*, φησὶν ὁ Σολομὼν, *καὶ αὐτὴ ἐμακρύνθη ἀπ' ἐμοῦ μακρὰν ὑπὲρ ὃ ἦν*, τὴν σοφίαν λέγων, καὶ ὄντως ὁ *προστιθεὶς γνῶσιν προστίθησιν ἄλγημα*, οὐ μᾶλλον εὐφραίνοντος τοῦ εὑρεθέντος, ἢ ἀνιῶντος τοῦ διαφεύγοντος, D ὅπερ, οἶμαι, φιλεῖ συμβαίνειν τοῖς ἔτι διψῶσιν ἀποσπωμένοις ὕδατος, ἢ κρατεῖν τι οὐ δυναμένοις ἔχειν νομίζουσιν, ἢ οὓς ἀπῆλθεν εὐθὺς ἀστραπὴ περιλάμψασα. Τοῦτό με ἵστη κάτω, καὶ ταπεινὸν ἐποίει, καὶ εἶναι βέλτιον ἔπειθεν ἀκούειν φωνὴν αἰνέσεως, ἢ ἐξηγητὴν εἶναι τῶν ὑπὲρ δύναμιν. Ἡ μεγαλειότης, καὶ τὸ ὕψος, καὶ τὸ ἀξίωμα, καὶ αἱ καθαραὶ φύσεις μόλις χωροῦσαι Θεοῦ λαμπρότητα, ὃν ἄβυσσος καλύπτει, οὗ σκότος ἀποκρυφὴ, φωτὸς ὄντος τοῦ καθαρωτάτου, καὶ ἀπροσίτου τοῖς πλείοσιν, ὃς ἐν τῷδε τῷ παντὶ, καὶ τοῦ παντός ἐστιν ἔξω. Ὃς καλόν ἐστιν ἅπαν, καὶ ἄνω καλοῦ παντὸς, ὃς νοῦν

[1] Eccle. VII, 24. [2] Eccle. I, 18.

φωτίζει, καὶ διαφεύγει νοῦ τάχος, καὶ ὕψος, ὑποχωρῶν ἀεὶ τοσοῦτον, ὅσον καταλαμβάνεται, καὶ ὑπάγων πρὸς τὸ ἄνω τὸν ἐραστὴν τῷ φεύγειν, καὶ τῷ ...ῖον κρατούμενος κλέπτεσθαι.

A dit, persuasitque satius esse laudationis vocem audire, quam profiteri se doctorem eorum quæ vires humanas superant. Magnitudo, et sublimitas, et dignitas cœlestium illarum mentium, quæ sunt naturæ purissimæ vix capiunt splendorem Dei, quem abyssus tegit, cujus latibulum tenebræ sunt, qui lux purissima est, licet pluribus inaccessa. Qui in universo orbe versatur, et extra orbem est universum. Qui est omnis bonitas et pulchritudo, et omnem bonitatem, et pulchritudinem transcendit. Qui mentem illustrat, et mentis celeritatem et altitudinem effugit, tantum semper antecedens quantum illa sequitur, ut dum fugit, seque pene comprehensum ostendit, amantem magis inflammet assequendi cupiditate, et ad superiora ducat et trahat.

Ἔτι περὶ τοῦ ἀκατάληπτον εἶναι τὴν θείαν φύσιν. Τοῦ Χρυσοστόμου ἐκ τῆς βίβλου τῆς περιεχούσης τοὺς περὶ ἀκαταλήπτου λόγους.

Μέγα κακὸν τὸ μὴ μένειν εἴσω τῶν ὅρων, ὧν ἡμῖν ἔπηξεν ὁ Θεὸς, ἀλλὰ περιεργάζεσθαι τὰ νικῶντα τὸν ἡμέτερον νοῦν. Οὕτω γὰρ καὶ ὁ πρωτόπλαστος, ἐπιθυμήσας μειζόνων, καὶ ἅπερ εἶχεν ἀπώλεσε. Τοιγαροῦν πολλὰ χαίρειν τοῖς ἡμετέροις λογισμοῖς εἰπόντες, Λογισμοὶ γὰρ, φησὶν, ἀνθρώπων δειλοὶ, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν, μὴ θελήσωμεν ὑπερβαίνειν τὸ μέτρον τῆς ἀποκεκληρωμένης ἡμῖν δυνάμεως.

Item naturam divinam comprehendi non posse. Chrysostomi ex libro, quo continentur orationes, quibus Deum incomprehensum esse demonstrat.

B Magnum vitium est, non continere se intra illos terminos, quos nobis præscripsit Deus, sed ea velle tentare, quæ mentem nostram exsuperant. Ita qui primus formatus est homo, dum majora concupiscit, et ea, quæ habebat perdidit. Quamobrem rationibus nostris multam salutem dicentes (rationes enim, inquit, hominum vanæ, et fallaces eorum cogitationes), ne velimus mensuram attributæ nobis facultatis transilire.

Τοῦ αὐτοῦ.

Ἐθαυμαστώθη, φησὶν, *ἡ γνῶσις σου ἐξ ἐμοῦ, ἐκραταιώθη· οὐ μὴ δύνωμαι πρὸς αὐτήν*. Τοῦ Προφήτου πρὸς τὸ βάθος τῆς τοῦ Θεοῦ σοφίας ἰλιγγιῶντος, τολμᾷ τις λέγειν εἰδέναι τὴν φύσιν τοῦ Θεοῦ; τοῦ λέγοντος ὅτι, *Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι*· βοῶντος ὅτι Τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμὸς, ἤτοι κατάληψις, θρασύνεταί τις περὶ τῆς ἀκαταλήπτου φύσεως; Τί λέγεις; Ἡ σοφία τοῦ Θεοῦ ἀκατάληπτος, καὶ ἡ φύσις αὐτοῦ καταληπτή; Ἡ μεγαλωσύνη αὐτοῦ οὐκ ἔχει πέρας, καὶ τὴν οὐσίαν αὐτοῦ περιγράφεις; Μανία τοῦτο σαφής.

Ejusdem.

Mirabilis, inquit, *facta est scientia tua ex me, exaltata est, et non potero ad eam* [1] pertingere. In pelago divinæ sapientiæ non reperit vadum, sed hæret Propheta. Et aliquis audet dicere se Dei naturam habere perspectam et cognitam! Idem C dicit, *Incerta, et occulta sapientiæ tuæ manifestasti mihi* [2], et tamen clamat: Sapientiæ ejus non est numerus, seu comprehensio, et non veretur aliquis, de natura, quæ comprehendi non potest, ut a se percepta disputare? Quid ais? sapientia percipi non potest, et natura illius comprehendetur? Magnificentia ejus non habet finem, et ejus essentiam circumscribes? Hoc est perspicua insania.

Τοῦ αὐτοῦ.

Ἡσαΐας λέγων, *Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;* παραχωρήσει σοι διηγεῖσθαι τὴν οὐσίαν αὐτοῦ; Καὶ Παῦλος δὲ, ὁ μέχρι τρίτου οὐρανοῦ ἀρθεὶς, καὶ μυστηρίων ὑπερφυῶν καὶ ἀποῤῥήτων ἀξιωθεὶς, βραχύ τι μέρος τῆς τοῦ Θεοῦ προνοίας ἐξετάζων, πῶς τοὺς μὲν Ἰουδαίους ἐξέβαλε, τοὺς δὲ ἐξ ἐθνῶν εἰσεδέξατο, καὶ πρὸς αὐτὸ τὸ μικρὸν μέρος, ὥσπερ πρὸς ἀχανὲς πέλαγος ἰλιγγιάσας ἀπεπήδησεν εὐθέως, καὶ μετὰ μεγίστου θαύματος ἀνεβόησεν εἰπών· *Ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ*. Καὶ οὐκ εἶπεν ὅτι ἀκατάληπτα, ἀλλ' ὃ πολλῷ μᾶλλον, ἀνεξερεύνητα, καὶ ἀνεξιχνίαστα. Τὰ μὲν οὖν κρίματα αὐτοῦ ἀνεξερεύνητα, καὶ αἱ ὁδοὶ αὐτοῦ ἀνεξιχνίαστοι, καὶ αὐτὸς καταληπτός; Καὶ τί λέγω περὶ κριμάτων καὶ ὁδῶν; Τὰ ἔπαθλα τῶν ἁγίων ἀκατάληπτα. *Ἃ γὰρ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν*. Καὶ ἡ δωρεὰ αὐτοῦ ἀνεκδιήγητος. — *Χάρις γὰρ*, φησὶ,

Ejusdem.

Isaias, *Generationem ejus*, inquiens, *quis enarrabit*, concedet tibi, ut illius essentiam explices? Paulus, qui ad tertium usque sublatus est cœlum, et ad ea mysteria spectanda, quæ naturam superant et arcana sunt, admissus est, dum exiguam divinæ D providentiæ particulam expendit, nempe quomodo Judæos abjecerit, externasque gentes susceperit, tanquam in profundo pelago periclitaretur, statim exsilliit, et magna cum admiratione vehementer exclamans: *O altitudo*, inquit, *divitiarum, et sapientiæ, et scientiæ Dei, quam inscrutabilia sunt judicia ejus, et impervestigabiles viæ illius* [3]! Non dixit quam incomprehensibilia, sed quam inscrutabilia judicia, et quam impervestigabiles viæ. Deum ergo, cujus judicia scrutari et pervestigare non possumus, comprehendemus? Quid autem judicia et vias dico, cum præmia sanctorum comprehendi nequeant? *Oculus*, inquit, *non vidit, nec auris audivit, nec in cor hominis ascenderunt, quæ præparavit Deus diligentibus eum* [4]. Quid? quod du-

[1] Psal. cxxxviii, 6. [2] Psal. L, 8. [3] Rom. xi, 33. [4] I Cor. ii, 9.

num ejus verbis explicari non potest? *Gratia enim*, inquit, *Deo pro ineffabili dono ejus. Pax ejus superat omnem sensum* [1], et ipse solus comprehendetur? Et alibi Paulus : *Ex parte*, inquit, *cognoscimus*, tu autem affirmas, te perfecte cognoscere? Quanquam et ille dixit ex parte, non quod naturæ divinæ aliud quidem nosceret, aliud ignoraret; sed ex parte novit, quoniam sciebat esse Deum, quid autem esset, ignorabat. Sciebat Deum omnia procreasse, sapientem esse, nihil non posse, omnia continere, quantus autem aut quomodo esset, nesciebat.

Ejusdem.

Angeli tantummodo collaudant Deum, alii dicentes : *Gloria in excelsis Deo*; alii *Benedicta gloria ejus ex loco sancto ejus* [2], hoc est, ubicunque ille est. Neque enim in loco Deus, qui circumscribi non potest. Alii, *Sanctus, sanctus, sanctus, Dominus Sabaoth* [3]. Homines autem naturam illius definiunt, et circumscribunt. Quantus cœlestibus timor et reverentia? Quantus terrestribus contemptus, et confidentia? Illi caute loquuntur, audacter hi sunt curiosi.

Ejusdem.

Ait rursum Isaias : *Vidi Dominum sedentem in solio alto atque excelso* [4], tali nimirum, ut enarrari non possit. Dei solium humana mente sublimius est, et comprehendetur ipse Deus? *Et Seraphin stabant in circuitu ejus. Uni erant sex alæ, et alæ sex alteri, binis alis tegebant facies suas, et binis pedes* [5]. Seraphin avertunt ora, et pro duplici muro prætendunt alas, quod splendorem ex gloria solii terribili ratione fulgentem, perferre non valeant. Et præ stupore obtegunt pedes. Siquidem et nos cum maxima admiratione affecti sumus, corpus undique contrahere consuevimus. Corpus autem? Imo vero animus ipse ex summo rei cujuspiam admirandæ obtutu contractis actionibus suis ad intima refugit, seque corporis veluti propugnaculo undique circummunit. Quaternarum alarum usum intellexisti, reliquarum nunc usum intellige : *Et binis*, inquit, *volabant*. Indicium hoc est, perpetuæ rerum sublimium cupiditatis, quodque deorsum nunquam aspiciant. Nam alæ significant angelicæ naturæ levitatem et celeritatem. Alia item ratio potest afferri. Binis alis facies, et binis alis pedes obtegunt suos, ut ostendant Dei nec principium nec finem perspici comprehendive posse. Mediis autem volant, ut doceant de mediis posse rebus divinis rationes intelligi, nempe Deum et esse, et esse sapientem, et omnipotentem, et horum similia : *Et clamabat alter ad alterum : Sanctus, sanctus, sanctus, Dominus Sabaoth.* Quod est admirationis ac stuporis signum, præsertim cum non cernerent lucem, nec divinam naturam : spectaculum enim illud erat demissio quædam. Nec tamen demissionis gloriam perferre poterant. Demissio namque est, cum Deus se, non ut est

A τῷ Θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ δωρεᾷ αὐτοῦ. *Καὶ ἡ εἰρήνη αὐτοῦ ὑπερέχει πάντα νοῦν*, καὶ αὐτὸς μόνος καταληπτός; Καὶ ἀλλαχοῦ λέγει Παῦλος, *Ἐκ μέρους γινώσκομεν*, καὶ σὺ λέγεις ἐντελῶς γινώσκειν; Ἐκ μέρους δὲ εἶπεν, οὐχ ὅτι τὸ μὲν τῆς θείας φύσεως οἶδε, τὸ δὲ ἠγνόησεν, ἀλλ' ὅτι μερικὴν ἔχει γνῶσιν, καὶ ὅτι μὲν ἔστι Θεὸς, οἶδε, τί δέ ἐστι Θεὸς, ἀγνοεῖ. Καὶ ὅτι μὲν ἔστι δημιουργὸς, καὶ σοφὸς, καὶ παντοδύναμος, καὶ συνοχεὺς πάντων, καὶ τὰ τοιαῦτα γινώσκει, τὸ δὲ πόσον, καὶ πῶς οὐκ οἶδεν.

Τοῦ αὐτοῦ.

Οἱ ἄγγελοι δοξάζουσι μόνον, οἱ μὲν, *Δόξα ἐν ὑψίστοις Θεῷ*, λέγοντες, οἱ δὲ, *Εὐλογημένη ἡ δόξα* B *αὐτοῦ ἐκ τοῦ τόπου αὐτοῦ*, τουτέστιν ὁπουπερ ἂν ἐστιν. Οὐδὲ γὰρ τόπος περὶ Θεοῦ· ἀπερίγραπτον γὰρ τὸ Θεῖον· οἱ δὲ, « Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαββαώθ. » Οἱ δὲ ἄνθρωποι περιεργάζονται αὐτοῦ τὴν φύσιν. Πόσος ἄνω φόβος, πόση κάτω καταφρόνησις; Ἐκεῖνοι εὐλαβῶς εὐφημοῦσιν, οὗτοι τολμηρῶς πολυπραγμονοῦσιν.

Τοῦ αὐτοῦ.

Φησὶ πάλιν Ἡσαΐας· *Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου*, τουτέστιν ἀκαταλήπτου. Ὁ θρόνος ὑψηλότερος ἀνθρωπίνου νοῦ, καὶ ὁ ἐπὶ τοῦ θρόνου καταληπτός; *Καὶ τὰ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τὰ πρόσωπα αὐτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας.* C Τὰ Σεραφὶμ ἀποστρέφονται τὰς ὄψεις, καὶ προβάλλονται τὰς πτέρυγας ἀντὶ διπλοῦ τείχους, διὰ τὸ μὴ φέρειν τὴν ἐκ τῆς δόξης τοῦ θρόνου φοβερῶς ἐκπηδῶσαν ἀστραπὴν, καὶ τοὺς πόδας κατακαλύπτουσι διὰ τὴν ἔκπληξιν. Εἰώθαμεν γὰρ καὶ ἡμεῖς, ὅταν μεγίστῳ θάμβει κατασχεθῶμεν, πάντοθεν περιστέλλειν τὸ σῶμα. Καὶ τί λέγω τὸ σῶμα, ὅπου γε καὶ αὐτὴ ἡ ψυχὴ, τοῦτο παθοῦσα, ἀπὸ τῆς ἄκρας ἐπιφανείας τὰς ἐνεργείας αὐτῆς συνέλκουσα πρὸς τὸ βάθος καταφεύγει, καθάπερ τινὶ περιβολαίῳ πανταχόθεν ἑαυτὴν τῷ σώματι περιστέλλουσα; Ἔγνως τὴν χρείαν τῶν τεσσάρων πτερύγων· γνῶθι καὶ τὴν τῶν ὑπολοίπων. *Ταῖς δὲ δυσὶ*, φησὶν, *ἐπέταντο*. Σημεῖον τοῦτο τοῦ τῶν ὑψηλῶν ἐφίεσθαι διὰ παντὸς, καὶ μηδέποτε κάτω βλέπειν. Τὰ γὰρ πτερὰ τὸ μετάρσιον καὶ D ταχὺ τῆς ἀγγελικῆς αἰνίττεται φύσεως. Ἔστι δὲ καὶ ἄλλος λόγος, ὅτι ταῖς μὲν δυσὶ κατακαλύπτοντα τὴν κεφαλὴν, ταῖς δὲ δυσὶ τοὺς πόδας ἐδήλουν, ὅτι τοῦ Θεοῦ ἡ ἀρχὴ, καὶ τὸ τέλος ἀόρατον καὶ ἀνεξερεύνητον. Ἐπέταντο δὲ ταῖς μέσαις, διδάσκοντα περὶ τῶν μέσων θεολογεῖν. Οἷον ὅτι Θεὸς, ὅτι σοφὸς, ὅτι παντοδύναμος, καὶ τὰ τοιαῦτα. *Καὶ ἐνέκραγον ἕτερος πρὸς τὸν ἕτερον· Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ.* Τοῦτο δεῖγμα τῆς ἐκπλήξεως, καίτοι γε οὐκ αὐτοὶ ἑώρων τὸ φῶς, οὐδὲ τὴν θείαν φύσιν, ἀλλὰ συγκατάβασις ἦν τὰ ὁρώμενα. Καὶ ὅμως οὐδὲ τῆς συγκαταβάσεως ἤνεγκαν τὴν δόξαν. Συγκατάβασις

[1] II Cor. ix, 15; Philip. iv, 7. [2] Ezech. iii, 12. [3] Isa. vi, 3. [4] Isa. vi, 1. [5] ibid. 2.

γὰρ τὸ μὴ φαίνεσθαι κατὰ φύσιν, ἀλλ' ἐπιμετρεῖν τῇ τῶν ὁρώντων ἀσθενείᾳ τῆς ὄψεως τὴν ἐπίδειξιν. Καὶ ὅτι συγκατάβασις ἦν, καὶ ἐξ αὐτῶν τῶν ῥημάτων δῆλον. *Εἶδον* γάρ, φησί, *τὸν Κύριον*, Θεὸν δὲ οὐδεὶς ἑώρακε πώποτε, τὸν ἀνείδεον, τὸν ἄποσον, τὸν ἄποιον. Τίς τοῦτο λέγει; *Ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, αὐτὸς ἐξηγήσατο.* Εἶτά φησι, *καθήμενον*. Θεὸς δὲ οὔτε κάθηται, οὔτε ἕστηκε· σωμάτων γὰρ οἱ τοιοῦτοι σχηματισμοί. Ἔπειτα προστίθησιν *ἐπὶ θρόνου*. Θεὸς δὲ θρόνῳ οὐχ ἐμπεριείληπται. Πῶς γὰρ ὁ ἀπερίγραπτος; Ὅταν δὲ τὰ Σεραφὶμ τὰ ἑστῶτα κύκλῳ αὐτοῦ, ὅπερ δηλοῖ οὐ τόπον, ἀλλὰ τὴν ἀπὸ τῆς καθαρότητος οἰκειότητα, οὐκ ἰσχύωσιν οὐδὲ τῇ τῆς συγκαταβάσεως ἐνατενίσαι δόξῃ, ἄνθρωποι φιλονεικοῦσιν ἐνατενίσαι τῇ ὑπερακροτάτῳ δόξῃ τῆς οὐσίας αὐτοῦ; Καίτοι ὅσον τυφλοῦ καὶ βλέποντος τὸ μέσον τοσοῦτον ἡμῶν, κἀκείνων τὸ διάφορον.

Τοῦ αὐτοῦ.

Ὅταν αὐτὸς ὁ προφήτης Δανιὴλ οὐκ ἤνεγκεν ἀγγέλου συγκαταβατικὴν ὄψιν, ἀλλὰ παρελύθη, καὶ κατέπεσεν· *Οὐχ ὑπελείφθη* γάρ, φησίν, *ἐν ἐμοὶ ἰσχύς, καὶ ἡ δόξα μου μετεστράφη εἰς διαφθοράν*, ἤγουν *τὸ κάλλος τοῦ προσώπου μου ἀπώλετο, καὶ μετεστράφη εἰς ὠχρότητα νεκροῦ*· σὺ ὁ τοσοῦτον λειπόμενος τοῦ Δανιήλ, ὅσον ἐκεῖνος τοῦ ἀγγέλου, τολμᾷς διαίρειν στόμα, καὶ πολυπραγμονεῖν περὶ τῆς θείας φύσεως; Δανιὴλ ὁ τὰ ὑπὲρ ἄνθρωπον ἐν ἀνθρωπίνῳ σώματι δυνηθεὶς οὐκ ἔστεξεν ὁμοδούλου συγκατάβασιν, καὶ σὺ κατέλαβες τὴν φύσιν ἐκείνην, τὴν τὰς μυριάδας τῶν ἀγγέλων παραγαγοῦσαν, ὧν ἕνα Δανιὴλ οὐκ ἴσχυσεν ἰδεῖν, ὡς δεδήλωται. Τίς οὐκ ἂν στενάξειε, τίς οὐκ ἂν θρηνήσειε τῆς παραπληξίας;

Τοῦ αὐτοῦ.

Ἄκουσον τί φιλοσοφοῦσιν οἱ προφῆται περὶ τοῦ Θεοῦ, καὶ φρίξον. *Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται, καὶ ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, καὶ ὁ σείων τὸν οὐρανὸν ἐκ θεμελίων, ὁ ἀπειλῶν τῇ θαλάσσῃ καὶ ξηραίνων αὐτήν, καὶ ὁ στήσας τὸν οὐρανὸν ὡσεὶ καμάραν, καὶ διατείνας αὐτὸν ὡς σκηνὴν ἐπὶ τῆς γῆς, καὶ ὁ ποιήσας τὴν γῆν, ὡς οὐδέν.* Ὢ τῆς ὑπερβολῆς τοῦ θαύματος! τὴν τοσαύτην καὶ τηλικαύτην. Τὸ γὰρ ὡς οὐδὲν τὴν εὐχέρειαν ἐνέφηνε τῆς παραγωγῆς. Ταῦτα δὲ καὶ τὰ τοιαῦτα λέγουσιν οἱ προφῆται ἵνα ἀπό τε τοῦ μεγέθους τῶν γεγενημένων ἀπό τε τῆς κατὰ τὴν δημιουργίαν εὐκολίας ἰσχύσωμεν ἀξίαν τινὰ λαβεῖν περὶ τῆς τοῦ Θεοῦ δυνάμεως ἔννοιαν.

Τοῦ αὐτοῦ.

Ὁ κατέχων, φησί, *τὸν γῦρον τῆς γῆς, καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ ὡσεὶ ἀκρίδας; καὶ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου ἐνάντιον αὐτοῦ.* Πρόσεχε μετὰ ἀκριβείας. Ἃ γὰρ οἱ προφῆται λέγουσιν, ὁ Θεὸς λέγει. Θεὸς δὲ οὐδὲν ἂν εἴπῃ περιττόν,

A natura, conspiciendum præbet, sed habita ratione contemplantium, demittit se, atque accommodat eorum imbecillitati. Quod autem ejusmodi demissio fuerit, ex ipsis verbis colligi potest: *Vidi*, inquit, *Dominum*. At Deum nullus unquam vidit, quippe qui et formam, et quantitatem, et qualitatem non habet. Quis hoc dicit? *Unigenitus Filius, qui sedet in sinu Patris, ipse enarravit* [1]. Deinde subjicit, sedentem. Nec sedet Deus, nec stat. Hæc enim cadunt in corpora. Tum addit, in solio. At in solio Deus non includitur. Quomodo enim, cum circumscribi non possit? Cum igitur Seraphim stent, quod non locum significat, sed eorum ex puritate familiaritatem, nec possint in demissionis gloria oculos defigere, homines conantur in subli-
B miorem essentiæ ipsius gloriam oculos intendere? Et tamen quantum differt cæcus ab eo, qui cernendi vim habet, tantum est inter nos atque illos discrimen.

Ejusdem.

Daniel propheta demissum angeli non tulit aspectum, sed aufugit et procidit: *Non est relictum*, inquit, *in me robur, et gloria mea conversa est in corruptionem. Itaque periit oris mei pulchritudo, et in mortui pallorem versa est.* Tu vero, qui Daniele tanto inferior es, quantum ille cedit angelo, non vereris os tuum tollere, et in natura divina pervestiganda curiosus esse? Daniel, qui in corpore humano, quæ vires humanas superant, præ-
C stitit, conservi demissionem non sustinuit, et tu naturam illam apprehendisti, quæ innumerabilia condidit angelorum millia, quorum non potuit unum Daniel intueri, ut ostensum est? Quis non ingemiscat, quis non commiseretur stuporem et insaniam hominis?

Ejusdem.

Audi quid philosophentur prophetæ de Deo, et horresce præ timore, ac contremisce: *Qui aspicit super terram, et facit eam tremere. Qui tangit montes, et fumigant* [2]. *Mare vidit et fugit, Jordanis conversus est retrorsum* [3]. *Qui concutit cælum a fundamentis. Qui comminatur mari, et exsiccat illud. Qui statuit cælum sicut fornicem, et extendit illud tanquam tentorium super terram* [4]. *Qui fe-*
D *cit terram, ut nihil.* O admirandam superlationem! rem tantam ac talem, ut nihil. Illud enim nihil indicat procreandi facilitatem. Hæc et alia ejusdem generis loquuntur prophetæ, ut ex eorum, quæ a Deo facta sunt magnitudine dignam illius potentia notionem aliquam animo complectamur.

Ejusdem.

Qui continet, inquit, *orbem terræ, et habitantes in ea tanquam locustas* [5]. *Et omnes gentes in conspectu ejus, ut gutta ex cado.* Attende diligenter. Nam quæ prophetæ dicunt, ea loquitur Deus, Deus autem nihil supervacaneum aut vanum loqui-

[1] Joan. I, 18. [2] Psal. CIII, 32. [3] Psal. CXIII, 3. [4] Psal. CIII, 2. [5] Isa. XL, 22.

tur. Considera innumerabilia gentium millia, quæ terram incolunt, quarum ne nomina quidem connumerare possumus. Si gentes universæ ut cadi sunt gutta, hujusce guttæ quantulam partem esse te arbitraris, qui Deum conaris comprehendere, apud quem cunctæ gentes sunt uti gutta ex cado

Ejusdem.

Infinita sunt millium millia angelorum Deo ministrantium in cœlis, et, millia millium, qui astant illi tum Throni, tum Dominationes, tum Principatus, tum Potestates, et infiniti populi virtutum corpore vacantium, et tam multæ tribus, ut nequeant recenseri. Et infinita tamen hæc millium millia tam facile condidit Deus, ut explicari non possit. Quemadmodum enim velle nobis promptissimum est, sic illi condere facillimum. Id quod ostendens Propheta : *Deus*, inquit, *noster omnia quæcunque voluit, fecit in cœlo et in terra* [1]. Nonne præ pudore te ipsum sub terram deprimes ? An ut admirareris solum, elatus tantæ desidiæ te addixisti ? *Si Pater ego sum*, inquit, *ubi honor meus ? Si Dominus sum, ubi timor meus* [2] ? Qui enim timet, colit tantum et collaudat et adorat : non autem curiose et frustra disquirit.

Ejusdem.

Lucem habitans, inquit, *inaccessam* [3]. Domus est inaccessa, et ad eum, qui illam incolit, accedi poterit. Dixit autem hoc Paulus, non ut domum et locum illi esse suspiceris, qui loco contineri non potest, sed ut ex ea re multo magis intelligas Deum non posse comprehendi. Nec domum dixit comprehendi non posse, sed inaccessam (quod majus est) eam appellavit. Præterea : *Tu quis es*, inquit, *ut respondeas Deo* [4]? Divinæ gubernationis rationes curiosius exquirentes coercet, et tu beatam naturam ipsam gubernantem conaris indagare ? Nonne hoc extremæ dementiæ est et multiplici fulmine vindicandum ?

Ejusdem.

Rursum Paulus : *Ego me nondum*, inquit, *arbitror comprehendisse* [5]. Quid ais, Paule? Christum habes in te loquentem, et eum te nondum arbitraris comprehendisse ? Profecto, inquit, sic arbitror quoniam habeo Christum in me loquentem ducentemque me sic arbitrari. Paulus, qui in seipso Christum loquentem habet, nondum comprehendisse se arbitratur, ne illa quidem, quæ ad finem pertinent, sed credit solum, nihil anxie quærens, et tu curiose Dei naturam aucuparis ? Dicens autem : Non arbitror me comprehendisse, indicat se comprehendisse quidem, sed non omnia, Et alibi : *Si quis*, inquit, *videtur sibi aliquid scire, nondum quidquam novit, quomodo scire oportet* [6]. Tantum non dicit : Novit ille quidem, sed : Nondum plane.

Ejusdem.

Tu, ut cœlum ac terram et ea quæ interjecta sunt taceam, nondum intelligis naturam tuam, et his præ-

A οὐδὲ πάρεργον. Ἀναλέγισαι τὰ μυρία ἔθνη τῆς γῆς, ὧν οὐδὲ τὰ ὀνόματα δυνατὸν ἀπαριθμεῖν. Εἰ τοίνυν ὁμοῦ πάντα, ὡς σταγὼν ἀπὸ κάδου, πόσον μέρος τῆς σταγόνος ταύτης οἴῃ σεαυτὸν, καὶ πῶς περιεργάζῃ τὸν Θεὸν, ᾧ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου;

Τοῦ αὐτοῦ.

Μύριαι μυριάδες λειτουργούντων ἀγγέλων ἄνω, καὶ χίλιαι χιλιάδες παρεστώτων, καὶ Θρόνοι, καὶ Κυριότητες, καὶ Ἀρχαὶ, καὶ Ἐξουσίαι, καὶ ἄπειροι δῆμοι τῶν ἀσωμάτων δυνάμεων, καὶ ἀμύθητα φῦλα, καὶ ὅμως ταύτας ἁπάσας τὰς δυνάμεις μετὰ τοσαύτης εὐκολίας ἐποίησε, μεθ' ὅσης οὐ δύναται παραστῆσαι λόγος. Καθάπερ γὰρ ἡμῖν ἡ βούλησις εὐχερέστατον, οὕτως ἐκείνῳ τοῦ δημιουργεῖν ἡ δύναμις.
B Καὶ τοῦτο δηλῶν ὁ Προφήτης ἔλεγεν· *Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ πάντα ὅσα ἠθέλησεν ἐποίησεν.* Οὐ κατορύττεις σεαυτὸν, ἀντὶ τοῦ θαυμάζειν μόνον εἰς ἀπόνοιαν τοσαύτην ἐκφυσηθείς; *Εἰ Πατήρ εἰμι ἐγὼ*, φησὶ, *ποῦ ἐστιν ἡ δόξα μου* καὶ, *Εἰ Κύριός εἰμι, ποῦ ἐστιν ὁ φόβος μου;* Ὁ γὰρ φοβούμενος δοξάζει μόνον εὐφημῶν, καὶ προσκυνῶν, ἀλλ' οὐ πολυπραγμονεῖ καὶ περιεργάζεται.

Τοῦ αὐτοῦ.

Φῶς οἰκῶν ἀπρόσιτον, φησίν· ὁ οἶκος ἀπρόσιτος, καὶ ὁ οἰκῶν προσιτός; Εἶπε δὲ τοῦτο Παῦλος, οὐχ ἵνα οἶκον, καὶ τόπον ὑποπτεύσῃς περὶ τὸν ἀχώρητον Θεὸν, ἀλλ' ἵν' ἐκ πολλῆς περιουσίας μάθῃς τὸ
C τῆς θείας φύσεως ἀκατάληπτον. Ἀλλ' οὐδ' ἀκατάληπτον εἶπε τὸν οἶκον, ἀλλ' ἀπρόσιτον, ὃ τοῦ ἀκαταλήπτου πολλῷ μεῖζόν ἐστι. Καὶ πάλιν μὲν οὖν γε· « Σὺ τίς ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; » Ζητοῦντας οὖν οἰκονομίας Θεοῦ περιεργάζεσθαι κωλύει, καὶ σὺ πολυπραγμονεῖς τὴν μακρὰν φύσιν τὴν οἰκονομοῦσαν αὐτάς; Πῶς οὐκ ἐσχάτης ταῦτα μανίας; Πῶς οὐκ ἄξια μυρίων σκηπτῶν;

Τοῦ αὐτοῦ.

Λέγει Παῦλος αὖθις· *Ἐγὼ ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέναι.* Τί λέγεις, Παῦλε; Τὸν Χριστὸν ἔχεις ἐν σεαυτῷ λαλοῦντα, καὶ οὐ λογίζῃ κατειληφέναι; Ναὶ, φησὶν, οὕτω λογίζομαι, διότι τὸν Χριστὸν ἔχω ἐν ἐμοὶ λαλοῦντα, καὶ διδάσκοντά
D με οὕτω λογίζεσθαι. Παῦλος, ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, οὐ λογίζεται κατειληφέναι, οὐδὲ περὶ τῆς πίστεως, ἀλλὰ πιστεύει μόνον μηδὲν περιεργαζόμενος· καὶ σὺ πολυπραγμονεῖς τὴν φύσιν τοῦ Θεοῦ; Εἰπὼν δὲ ὅτι Οὐ λογίζομαι κατειληφέναι, ἐνέφηνε μὲν κατειληφέναι, οὐ τὸ πᾶν δέ. Καὶ ἀλλαχοῦ δέ φησιν· *Εἴ τις δοκεῖ εἰδέναι τι, οὐδέπω οὐδὲν ἔγνωκε, καθὼς ἔδει γνῶναι·* μονονουχὶ λέγων ὅτι ἔγνωκε μὲν, οὐκ ἐντελῶς δέ.

Τοῦ αὐτοῦ.

Εἶτα σεαυτοῦ μὲν τὴν φύσιν ἀγνοεῖς, ἵνα μηδὲν λέγω περὶ οὐρανοῦ, καὶ γῆς, καὶ τῶν ἐν τῷ μέσῳ

[1] Psal. II, 39. [2] Mal. I, 6. [3] I Tim. VI, 16. [4] Rom. IX, 20. [5] Philip. III, 13. [6] I Cor. VIII, 2.

φύσεων, καὶ τἄλλα πάντα παραδραμὼν, ἐπὶ τὴν ὑπερφυεστάτην τοῦ Θεοῦ φύσιν ἀνατρέχεις; Τῆς σεαυτοῦ ψυχῆς οὐκ οἶδας τὴν οὐσίαν, καὶ τί λέγω τὴν οὐσίαν, οὐδὲ πῶς ἔνεστι τῷ σώματί σου γινώσκεις, πότερον παρεκτείνεται τῷ τοῦ σώματος ὄγκῳ; Ἀλλὰ σώματος ἴδιον ἡ παρέκτασις, οὐ ψυχῆς· πολλάκις γὰρ, τῶν χειρῶν ἢ τῶν ποδῶν ἀποτμηθέντων, ὁλόκληρος ἡ ψυχὴ μένειν πέφυκεν. Ἀλλ' οὐ παρεκτείνεται τοῖς μέρεσι τοῦ σώματος. Ἔδει οὖν εἰς ἃ μὴ διήκει, νεκρὰ ταῦτα εἶναι. Τὸ γὰρ ἄψυχον πάντως καὶ νεκρόν. Ἀλλ' οὐδὲ τοῦτο λέγειν ἔστι. Λοιπὸν ουν, ὅτι μὲν ἔστι ἐν τῷ σώματι γινώσκεις, τὸ δὲ πῶς, ἀγνοεῖς. Εἶτα σεαυτὸν οὕτω προδήλως ἀγνοῶν, τὸν σεαυτοῦ ποιητὴν γινώσκεις, ὃ τὴν φύσιν ἐστί; *Χαλεπώτερά σου*, φησὶ, *μὴ ζήτει, καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε*· μὴ ὅτι γε περὶ Θεοῦ φύσεως, ἢ ἀγγέλων, ἢ ἀνθρώπων, ἀλλὰ μηδὲ περὶ τῶν ἀψύχων. Εἰ γὰρ βουληθῇς ἐλθεῖν εἰς ζήτησιν τῶν γεγενημένων, εἰς εὔριπον λογισμῶν καὶ κύματα πολὺν ἐργαζόμενα χειμῶνα, καὶ ναυάγιον ψυχῆς ἐμβαλὼν σεαυτῷ, οὐ μόνον εἴσῃ πλέον οὐδὲν, μὴ δυνάμενος ἑκάστου λόγους εὑρεῖν, ἀλλὰ καὶ τῶν νῦν σοι δοκούντων καλῶν πολλὰ διαβαλεῖς, ὑπὸ τῆς ἀσθενείας τῶν λογισμῶν εἰς τἀναντία περιαγόμενος.

A teritis ad supremam Dei naturam indagandam accurris? Animi tui ignoras essentiam. Essentiam dico? Imo vero nescis quomodo is insit in corpore tuo. Quid ita, inquiés, nonne ad molem corporis extenditur? Minime vero: nam extensio corporis est, non animi. Sæpe enim manibus, aut pedibus amputatis totus in manco corpore animus manet. Quid, inquies, nonne ad omnes corporis partes extenditur? Atqui videtur extendi oportere. Alioqui mortuæ essent illæ partes ad quas animus non perveniret. Quod enim animo caret, caret et vita. Ex his colligitur, te scire animum in corpore esse, quomodo autem in corpore sit, ignorare. Cum igitur teipsum plane ignores, naturam cognosces effectoris tui? B *Quæ te difficiliora sunt*, inquit, *ne quæras, et quæ fortiora sunt te, ne explores*[1]. Cave, ne curiosius investiges non modo naturam Dei, aut angelorum, aut hominum, sed ne illarum quidem rerum, quæ sunt inanimæ. Si enim disquisitionem eorum, quæ procreata sunt, aggressus fueris, in rationum Euripum, et fluctus magnam tempestatem, et naufragium animi concitantes tete conjiciens, non modo nihil amplius disces, cum rerum singularum rationem reperire non queas, verum etiam mentis imbecillitate tanquam turbine circumactus, multa quæ tibi tunc præclara videntur, calumniaberis.

Τοῦ αὐτοῦ.

Ἵνα γνωρισθῇ νῦν, φησὶ *καὶ ταῖς Ἀρχαῖς, καὶ ταῖς Ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς Ἐκκλησίας ἡ πολυποίκιλος τοῦ Θεοῦ σοφία.* Ἀκούεις τοῦ Παύλου λέγοντος ὅτι *Νῦν μεθ' ἡμῶν, καὶ δι' ἡμῶν, καὶ οὐ πρότερον, αἱ ἄνω δυνάμεις ἔγνωσαν τὰ τοῦ μεγάλου Βασιλέως ἀπόῤῥητα.* Ἵνα γὰρ μὴ νομίσῃς ὅτι Ἀρχὰς καὶ Ἐξουσίας τοὺς δαίμονας λέγει, προσέθηκεν, ὅτι ἐν τοῖς ἐπουρανίοις, ὅπου δαίμονες ἐπιβαίνειν οὐ δύνανται. Εἶτα τὴν μερικὴν αὐτοῦ σοφίαν, τὴν περὶ τῆς ἐνανθρωπήσεως καὶ κλήσεως τῶν ἐθνῶν οὐ πρότερον ᾔδεισαν αἱ οὐράνιαι δυνάμεις, καὶ σὺ νῦν αὐτὸν ἐκεῖνον κατέλαβες; Καὶ Τὰ τοῦ Θεοῦ μὲν οὐδεὶς οἶδεν εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ· καὶ Οὐδεὶς ἑώρακε τὸν Πατέρα εἰ μὴ ὁ ἐκ τοῦ Θεοῦ ὢν, ὁ Υἱὸς δηλαδή· τὸ γὰρ οὐδεὶς καὶ ἐπὶ τοῦ Πνεύματος, καὶ ἐπὶ τοῦ Υἱοῦ πρὸς τοὺς κτιστοὺς ἀντιδιαστέλλεται, πάσῃ κτιστῇ φύσει ὁρατῇ καὶ ἀοράτῳ τὴν τοιαύτην γνῶσιν ἀποτειχίζον· σὺ δὲ παρενείρεις σεαυτὸν εἰς ταύτην, ὡς ὑπὲρ τὰς φύσεις ταύτας γεγενημένον;

Ejusdem.

C *Ut innotescat*, inquit, *nunc Principatibus et Potestatibus in cœlis per Ecclesiam multiplex sapientia Dei*[2]. Audis Paulum dicentem: Nunc una nobiscum, et per nos, nec prius cœlestes illas virtutes magni Regis arcana cognovisse. Ac ne Principatus et Potestates, qui dæmones sunt, intelligeres: adjunxit in cœlis, quo dæmones aspirare non possunt. Partes igitur sapientiæ Dei ad divinam humanæ carnis assumptionem, et vocationem gentium pertinentes cœlestes illæ mentes ante non perceperunt, et tu nunc ipsum comprehendisti? Et quæ Dei sunt nemo novit nisi Spiritus Dei. Et nemo novit Patrem, nisi qui ex Deo est, nempe Filius: illa namque vox, Spiritum, et Filium secernit a rebus procreatis, quibus omnibus, sive sensu, sive animo et cogitatione tantum percipiantur, talem adimit cogitatio- D nem: et tu, quasi his superior sis, eam tibi vindicas?

Ὅτι περὶ τοῦ ἀκατάληπτον εἶναι τὴν θείαν φύσιν. Τοῦ Δαμασκηνοῦ. Κεφάλαιον α'.

Θεὸν οὐδεὶς ἑώρακε πώποτε, ὁ μονογενὴς Υἱὸς, ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρὸς, αὐτὸς ἐξηγήσατο. Ἄῤῥητον οὖν τὸ θεῖον, καὶ ἀκατάληπτον. Οὐδεὶς γὰρ ἐπιγινώσκει τὸν Πατέρα εἰ μὴ ὁ Υἱὸς, οὐδὲ τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ. Καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον οὕτως οἶδε τὰ τοῦ Θεοῦ, ὡς τὸ πνεῦμα τοῦ ἀνθρώπου οἶδε τὰ ἐν αὐτῷ. Μετὰ δὲ τὴν πρώτην καὶ

Item naturam divinam comprehendi non posse. Damasceni. Cap. 1.

Deum nemo vidit unquam: unigenitus Filius, qui est in sinu Patris, ipse enarravit[3]. Deus igitur nec explicari, nec comprehendi potest. Nullus enim novit Patrem nisi Filius, neque Filium nisi Pater. Et Spiritus sanctus quæ Dei sunt, ut spiritus hominis novit, quæ sunt in homine. Secundum illam primam beatamque naturam, nullus non ex homini-

[1] Eccl. III, 22. [2] Ephes. III, 12. [3] Joan. I, 18.

bus solum, sed ex virtutibus illis quæ mundo sunt excelsiores, aut ex cherubin, aut seraphin Deum novit, nisi cui Deus ipse se patefecit et indicavit. Neque tamen in omni prorsus ignoratione sui reliquit nos Deus. Omnibus enim ab ipso naturaliter insitum illud est, ut cognoscant esse Deum. Deinde rerum universitas ejusque conservatio et moderatio divinæ naturæ magnitudinem prædicat. Præterea per legem et prophetas prius, tum per unigenitum Filium suum, Dominum, et Deum, et Servatorem nostrum Jesum Christum, quantum capere poteramus, Deus cognitionem sui nobis aperuit. Omnia igitur quæ nobis per legem, et prophetas, et apostolos, et evangelistas tradita sunt, ea suscipimus, et cognoscimus et veneramur, nihil amplius inquirentes. Deus enim, cum bonus sit, omne bonum elargitur, nec invidiæ, aut ulli perturbationi obnoxius est. Nam a divina illa natura, omnium affectionum experti, ac sola bona procul abest invidia. Itaque cum omnia sciat, et quid cuique conducat non ignoret, quæ nobis cognita utilitatem erant allatura, ea voluntate sua declaravit: quæ vero ferre non poteramus, ea conticuit. His ergo contenti simus, in his maneamus. Nec terminos auferamus sempiternos, nec a divino præscripto recedamus.

Ejusdem. Cap. 2.

Oportet igitur, eum, qui de Deo vel dicturus est aliquid, vel auditurus, illud plane cognitum habere. Quæ ad divinitatem ejus, quæque ad humanitatem a Filio ipsius assumptam pertinent, nec omnia non dici posse, nec omnia rursum dici: nec omnia non cognosci, nec omnia cognosci posse. Aliud autem est posse cognosci aliquid, et aliud posse explicari. Quemadmodum etiam aliud est eloqui, aliud est cognoscere. Multa igitur, quæ ad Deum spectant, tenui quadam et obscura cognitione percipiuntur commode, et proprie nequeunt efferri. Itaque loquentes de iis, quæ supra nos sunt, cogimur uti verbis nobis congruentibus. Ex quo fit, ut Deo et des, et alia ejusmodi tribuamus.

Deum igitur esse, principio et fine carere, esse perpetuum, æternum, non creatum, immobilem, immutabilem, simplicem, incompositum, corporis expertem; nec cerni, nec tangi, nec circumscribi nec cogitatione, aut ullo modo comprehendi; bonum, justum, omnipotentem; omnia procreasse, omnia moderari, omnia cernere, omnibus consulere et providere; in omnia habere potestatem, omnium esse judicem, et cognoscimus, et confitemur. Præterea unum esse Deum, hoc est unam essentiam, eamque tribus personis, Patre, et Filio, et Spiritu sancto ita distinctam, ut Pater, et Filius, et Spiritus sanctus unum omnino sint, nisi quod Pater ingenitus est, Filius genitus, Spiritus sanctus procedit. Et unigenitum, ac Verbum Dei et Deum per viscera misericordiæ suæ pro salute nostra, ex bona Patris voluntate, et opera Spiritus sancti, sine semine

A μακαρίαν φύσιν οὐδεὶς ἔγνω ποτὲ Θεὸν, εἰ μὴ αὐτὸς ἀπεκάλυψεν, οὐκ ἀνθρώπων μόνον, ἀλλ' οὐ τῶν ὑπερκοσμίων δυνάμεων, καὶ αὐτῶν, φημὶ, τῶ χερουβὶμ, καὶ σεραφίμ. Οὐκ ἀφῆκε μέντοι ἡμᾶ ὁ Θεὸς ἐν παντελεῖ ἀγνωσίᾳ. Πᾶσι γὰρ ἡ γνῶσ τοῦ εἶναι Θεὸν ὑπ' αὐτοῦ φυσικῶς ἐγκατέσπαρτα Καὶ αὐτὴ γὰρ ἡ κτίσις, καὶ ἡ ταύτης συνοχὴ καὶ κυβέρνησις τὸ μεγαλεῖον ἀνακηρύττει τῆς θεί φύσεως. Καὶ διὰ νόμου δὲ καὶ προφητῶν πρότερο ἔπειτα δὲ καὶ διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, Κ ρίου δὲ καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστ κατὰ τὸ ἐφικτὸν ἡμῖν τὴν ἑαυτοῦ ἐφανέρωσε γνῶσιν. Πάντα τοίνυν τὰ παραδεδομένα ἡμῖν διά νόμου, καὶ προφητῶν, καὶ ἀποστόλων, καὶ εὐαγγ λιστῶν δεχόμεθα, καὶ γινώσκομεν, καὶ σεβόμεθ
B οὐδὲν περαιτέρω τούτων ἐπιζητοῦντες. Ἀγαθὸς γὰ ὢν ὁ Θεὸς, παντὸς ἀγαθοῦ παρεκτικός ἐστιν, φθόνῳ, οὐδὲ πάθει τινὶ ὑποκείμενος. Μακρὰν γὰ τῆς θείας φύσεως φθόνος τῆς γε ἀπαθοῦς, καὶ μόν ἀγαθῆς. Ὡς οὖν πάντα εἰδὼς, καὶ τὸ συμφέρ ἑκάστῳ προμηθούμενος, ὅπερ συνέφερεν ἡμῖν γνῶναι, ἀπεκάλυψεν· ὅπερ δὲ οὐκ ἐδυνάμεθα φέρει ἀπεσιώπησε. Ταῦτα ἡμεῖς στέρξωμεν, καὶ ἐν α τοῖς μείνωμεν, μὴ μεταίροντες ὅρια αἰώνια, μὴ ὑπερβαίνοντες τὴν θείαν παράδοσιν.

Τοῦ αὐτοῦ. Κεφάλαιον β'.

Χρὴ οὖν τὸν περὶ Θεοῦ λέγειν τι, ἢ ἀκούειν βουλόμενον, σαφῶς εἰδέναι, ὡς οὐδὲ πάντα ἄρρητα,
C οὐδὲ πάντα ῥητὰ, τά τε τῆς θεολογίας τά τε τῆς οἰκονομίας. Οὔτε μὴν πάντα ἄγνωστα, οὔτε πάντα γνωστά. Ἕτερον δέ ἐστι τὸ γνωστὸν καὶ ἕτερον τὸ ῥητόν· ὥσπερ ἄλλο τὸ λαλεῖν, καὶ ἄλλο τὸ γινώσκειν. Πολλὰ τοίνυν τῶν περὶ Θεοῦ ἀμυδρῶς νοουμένων, οὐ καιρίως ἐκφρασθῆναι δύναται, ἀλλὰ τὰ καθ' ἡμᾶς ἀναγκαζόμεθα ἐπὶ τῶν ὑπὲρ ἡμᾶς λέγειν· ὥσπερ ἐπὶ Θεοῦ λέγομεν ὕπνον καὶ ὀργὴν καὶ ἀμέλειαν, χεῖράς τε καὶ πόδας, καὶ τὰ τοιαῦτα.

somnum, et iram, et securitatem, et manus, et pe-

Ὅτι μὲν οὖν ἐστι Θεὸς ἄναρχος, ἀτελεύτητος, αἰώνιός τε καὶ ἀΐδιος, ἄκτιστος, ἄτρεπτος, ἀναλλοίωτος,
D ἁπλοῦς, ἀσύνθετος, ἀσώματος, ἀόρατος, ἀναφής, ἀπερίγραπτος, ἀπερινόητος, ἀκατάληπτος, ἀγαθός, δίκαιος, παντοδύναμος, πάντων τῶν κτισμάτων δημιουργὸς, παντοκράτωρ, παντεπόπτης, πάντων προνοητὴς, ἐξουσιαστὴς, κριτὴς, καὶ γινώσκομεν, καὶ ὁμολογοῦμεν· καὶ ὅτι εἷς ἐστι Θεὸς, ἤγουν μία οὐσία· καὶ ὅτι ἐν τρισὶν ὑποστάσεσι γνωρίζεταί τε καὶ ἔστι, Πατρὶ, φημὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι· καὶ ὅτι ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα κατὰ πάντα ἕν εἰσι πλὴν τῆς ἀγεννησίας, καὶ τῆς γεννήσεως, καὶ τῆς ἐκπορεύσεως· καὶ ὅτι ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ καὶ Θεὸς, διὰ σπλάγχνα ἐλέους αὐτοῦ, διὰ τὴν ἡμετέραν σωτηρίαν, εὐδοκίᾳ τοῦ Πατρὸς καὶ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος, ἀσπόρως συλληφθεὶς, ἀφθόρως ἐκ τῆς

ἁγίας Παρθένου καὶ Θεοτόκου Μαρίας γεγέννηται· καὶ ὅτι ὁ αὐτὸς Θεὸς τέλειός ἐστιν ὁμοῦ, καὶ τέλειος ἄνθρωπος ἐκ δύο φύσεων, θεότητός τε καὶ ἀνθρωπότητος, καὶ ἐν δύο φύσεσι θελητικαῖς τε καὶ ἐνεργητικαῖς, καὶ αὐτεξουσίοις, καὶ ἁπλῶς εἰπεῖν, τελείως ἐχούσαις κατὰ τὸν ἑκάστῃ πρέποντα ὅρον τε καὶ λόγον, θεότητί τε καὶ ἀνθρωπότητι, φημὶ, ἐν μιᾷ συνθέτῳ ὑποστάσει· ὅτι τε ἐπείνησε, καὶ ἐδίψησε, καὶ ἐκοπίασε, καὶ ἐσταυρώθη, καὶ θανάτου καὶ ταφῆς πεῖραν ἐδέξατο, καὶ ἀνέστη τριήμερος, καὶ εἰς οὐρανοὺς ἀνεφοίτησεν, ὅθεν πρὸς ἡμᾶς παραγέγονε, καὶ παραγενήσεται πάλιν ὕστερον, καὶ ἡ θεία Γραφὴ μάρτυς, καὶ πᾶς ὁ τῶν ἁγίων χορός. Τί δέ ἐστι Θεοῦ οὐσία, ἢ πῶς ἐστιν ἐν πᾶσιν, ἢ πῶς ἐκ Θεοῦ Θεὸς γεγέννηται, ἢ ἐκπεπόρευται (1), ἢ πῶς ἑαυτὸν κενώσας ὁ μονογενὴς Υἱὸς καὶ Θεὸς ἄνθρωπος γέγονεν ἐκ παρθενικῶν αἱμάτων, ἑτέρῳ παρὰ τὴν φύσιν θεσμῷ πλαστουργηθεὶς, ἢ πῶς ἀβρόχοις ποσὶ τοῖς ὕδασιν ἐπεπόρευτο, καὶ ἀγνοοῦμεν, καὶ λέγειν οὐ δυνάμεθα. Οὐ δυνατὸν οὖν παρὰ τὰ θεϊκῶς ὑπὸ τῶν θείων λογίων τῆς τε Παλαιᾶς, καὶ Καινῆς Διαθήκης ἡμῖν ἐκπεφασμένα, ἤτοι εἰρημένα, εἰπεῖν τι περὶ Θεοῦ, ἢ ὅλως ἐννοῆσαι.

ΤΙΤΛΟΣ Ε'.

Περὶ θεωνυμίας, τοῦ Ἀρεοπαγίτου ἐκ τοῦ λόγου τοῦ περὶ θείων ὀνομάτων.

Τοῦτο οὖν εἰδότες οἱ θεολόγοι, καὶ ὡς ἀνώνυμον αὐτὴν ὑμνοῦσι καὶ ἐκ παντὸς ὀνόματος· ἀνώνυμον μὲν, ὡς ὅταν φῶσι τὴν θεαρχίαν αὐτὴν ἐν μιᾷ τῶν συμβολικῶν τῆς συμβολικῆς θεοφανείας ὁράσεων ἐπιπλῆξαι τῷ φήσαντι, τί Τὸ ὄνομά σου; καὶ ὥσπερ αὐτὸν ἀπὸ πάσης θεωνυμικῆς γνώσεως ἀπάγουσαν φάναι, « Καὶ ἵνα τί ἐρωτᾷς τὸ ὄνομά μου, καὶ τοῦτό ἐστι θαυμαστόν; » Ἦ οὐχὶ τοῦτο ὄντως ἐστὶ τὸ θαυμαστὸν ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα, τὸ ἀνώνυμον, τὸ παντὸς ὑπεριδρυμένον ὀνόματος ὀνομαζόμενον εἴτε ἐν τῷ αἰῶνι τούτῳ, εἴτε ἐν τῷ μέλλοντι; Πολυώνυμον δὲ, ὡς ὅταν αὖθις αὐτὴν εἰσάγωσι φάσκουσαν, « Ἐγώ εἰμι ὁ ὢν, ἡ ζωὴ, τὸ φῶς, ὁ Θεὸς, ἡ ἀλήθεια. » Καὶ ὅταν αὐτοὶ τὸν πάντων αἴτιον οἱ θεόσοφοι πολυωνύμως ἐκ πάντων τῶν αἰτιατῶν ὑμνῶσιν, ὡς ἀγαθὸν, ὡς καλὸν, ὡς σοφὸν, ὡς ἀγαπητὸν, ὡς Θεὸν θεῶν, ὡς Κύριον κυρίων, ὡς ἅγιον ἁγίων, ὡς αἰώνιον, ὡς ὄντα, καὶ ὡς αἰώνων αἴτιον, ὡς ζωῆς χορηγὸν, ὡς σοφίαν, ὡς νοῦν, ὡς λόγον, ὡς γνώστην, ὡς προέχοντα πάντας τοὺς θησαυροὺς ἁπάσης τῆς γνώσεως, ὡς δύναμιν, ὡς δυνάστην, ὡς Βασιλέα τῶν βασιλευόντων, ὡς παλαιὸν τῶν ἡμερῶν, ὡς ἀναλλοίωτον, καὶ ἀγήρω, ὡς σωτηρίαν, καὶ δικαιοσύνην, ὡς ἁγιασμὸν, ὡς λύτρωσιν, ὡς μεγέθει πάντων ὑπερέχοντα, καὶ ὡς ἐν αὔρᾳ λεπτῇ. Καί γε καὶ ἐν νοῖς αὐτὸν εἶναί φασι, καὶ ἐν ψυχαῖς, καὶ ἐν σώμασι, καὶ ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς, καὶ ἅμα ἐν ταυτῷ τὸν αὐτὸν ἐγκόσμιον, ὑπερκό-

A conceptum, et sine corruptione ex sancta Virgine Dei Genitrice Maria genitum; et perfectum esse Deum simul, et perfectum hominem ex duabus naturis divina et humana, et in duabus naturis voluntate, actione, potestate propria utentibus; et, ut breviter dicam, pro conveniente utrique definitione rationeque perfecte sese habentibus, divinitate, inquam, et humanitate in una conjunctis hypostasi, sive persona. Hunc et esurisse, et sitisse et defatigatum esse, et cruci fuisse suffixum, et mortem ac sepulturam subiisse, et surrexisse tertia die, et in cœlum unde ad nos venerat, ascendisse, atque inde rursum esse venturum, tum divina Scriptura testatur, tum omnis sanctorum cœtus. At quæ sit essentia Dei, et quomodo in omnibus sit et qua B ratione Deus ex Deo genitus sit, aut procedat: quonam pacto Unigenitus Dei et Deus seipsum exinaniens ex virgineis sanguinibus homo factus sit, ratione præter naturam formatus, aut quomodo siccis pedibus super fluctus incesserit, nec scimus nec possumus explicare. Nihil igitur præter ea quæ divinitus a divinis oraculis et Veteri et Novo Testamento nobis patefacta dictaque sunt, de Deo vel dicere licet vel cogitare.

TITULUS V.

De divina appellatione, Areopagitæ ex libro de divinis nominibus.

Hæc intelligentes theologi Deum et tanquam omni nomine carentem, et ex omni nomine cele- C brant. Omni quidem carentem nomine, cum summam ipsam Divinitatem in una ex arcanis et occultum aliquid significantibus visionibus apparentem increpasse dicunt illum, qui interrogaverat: Quod est nomen tuum? et ipsum tanquam ab omni divinæ appellationis cognitione deterrentem dixisse: «Cur nomen inquiris meum, quod est admirabile[1]»? Nonne id vere admirabile nomen est quod est super omne nomen, quod explicari non potest, quod superat omne nomen expressum vel in hoc sæculo vel in futuro? Eum rursus ut multiplici nomine præditum celebrant, ut cum ipsum divinitatem ita loquentem inducunt: «Ego sum, qui sum, vita, lux, Deus, veritas[2].» Et cum divina sapientia præstantes viri ipsum rerum omnium D auctorem in rebus omnibus procreatis pluribus nominibus appellant, ut bonum, ut pulchrum, ut sapientem et amabilem, ut deorum Deum, ut Dominum dominorum, ut Sanctum sanctorum, ut æternum, ut existentem, ut sæculorum causam, ut vitæ largitorem, ut sapientiam, ut mentem, ut rationem, ut cognitorem, ut omnes omnis scientiæ thesauros superantem, ut potentiam, ut potentem, ut Regem regum, ut antiquum dierum, ut immutabilem, ut non senescentem, ut salutem, ut justitiam, ut sanctitatem, ut redemptionem, ut magnitudine

[1] Gen. xxxi, 26. [2] Exod. iii, 13.

(1) Τοῦτο περὶ τοῦ ἁγίου Πνεύματος νοητέον. Schol. in cod. Mosq. 1.

omnibus excellentem, ut cum in aura tenui, atque adeo in mentibus ipsum esse dicunt, et in animis et in corporibus, et in cœlo, et in terra, et simul in eodem, eumdem in mundo, supra mundum, circa mundum, cœlo superiorem, præstantiorem essentia, solem, stellam, ignem, aquam, spiritum, rorem, nubem, ipsum lapidem, et petram, et omnia quæ sunt et nihil eorum quæ sunt.

A σμιον, περικόσμιον, ὑπερουράνιον, ὑπερούσιον, ἥλιον, ἀστέρα, πῦρ, ὕδωρ, πνεῦμα, δρόσον, νεφέλην, αὐτόλιθον, καὶ πέτραν, καὶ πάντα τὰ ὄντα, καὶ οὐδὲν τῶν ὄντων.

Item de appellatione divina, Magni Gregorii Theologi ex oratione 2 De Filio.

Nullo nomine Divinitas potest enuntiari. Id non solum rationes ostendunt, verum etiam Hebræorum sapientissimi et vetustissimi, quoad fieri potuit, declararunt, quippe qui propriis quibusdam notis cum venerati sunt, nec permiserunt, ut eisdem litteris ea, quæ post Deum sunt, et ipse Deus indicaretur, quasi oporteat in hoc etiam Deum cum rebus nostris nihil habere commune. Quomodo igitur admisissent tales viri, naturam illam insolubilem et sua se proprietate continentem voce solubili declarari? Nullus unquam profecto totum efflavit aerem; nec Dei essentiam omnino vel mens concepit, vel vox comprehendit. Sed ex iis quæ circa ipsum sunt, Divinitatem adumbrantes, obscuram ejus quamdam et tenuem hinc inde imaginem colligimus. Et ille primus a nobis theologus existimatur, non qui totam divinitatem invenit, nullo enim vinculo tota stringitur, sed qui magis quam alius cogitationem intendens, majorem veritatis sive similitudinem, sive umbram, sive id alio modo vis appellare, animo complectitur.

Ἔτι περὶ θεωνυμίας, τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ δευτέρου Λόγου τῶν περὶ Υἱοῦ.

Τὸ θεῖον ἀκατονόμαστον. Καὶ τοῦτο δηλοῦσιν οὐχ οἱ λογισμοὶ μόνον, ἀλλὰ καὶ Ἑβραίων οἱ σοφώτατοι καὶ παλαιότατοι, ὅσον εἰκάζειν, ἔδοξαν. Οἱ γὰρ χαρακτῆρσιν ἰδίοις τὸ θεῖον τιμήσαντες, οὐδὲ γράμμασιν ἀνασχόμενοι τοῖς αὐτοῖς ἄλλο τι γράφεσθαι τῶν μετὰ Θεὸν, καὶ Θεὸν, ὡς δέον ἀκοινώ-B νητον εἶναι, καὶ μέχρι τούτου τὸ Θεῖον τοῖς ἡμετέροις, πότε ἂν δείξαιντο λυομένῃ φωνῇ δηλοῦσθαι τὴν ἄλυτον φύσιν καὶ ἰδιάζουσαν. Οὔτε γὰρ ἀέρα τις ἐπνευσεν ὅλον πώποτε, οὔτε οὐσίαν παντελῶς Θεοῦ, ἢ νοῦς κεχώρηκεν, ἢ φωνὴ περιέλαβεν. Ἀλλ' ἐκ τῶν περὶ αὐτὸν σκιαγραφοῦντες τὰ κατ' αὐτὸν, ἀμυδράν τινα καὶ ἀσθενῆ, καὶ ἄλλην ἀπ' ἄλλου φαντασίαν συλλέγομεν. Καὶ οὗτος ἄριστος ἡμῖν θεολόγος, οὐχ ὃς εὗρε τὸ πᾶν, οὐ γὰρ δέχεται τὸ πᾶν ὁ δεσμὸς, ἀλλ' ὃς ἂν ἄλλου φαντασθῇ πλέον, καὶ πλεῖον ἐν ἑαυτῷ συναγάγῃ τὸ τῆς ἀληθείας ἴνδαλμα, ἢ ἀποσκίασμα, ἢ ὅ τι καὶ ὀνομάζομεν.

Quantum ergo nobis assequi concessum est, *Ens*, et *Deus*, magis quodammodo essentiæ nomina sunt; ex iisque etiam vox, *Ens*, ad eam indicandam aptior est; non hoc solum nomine, quod ipse, cum Moysi in monte oraculum ederet, quæreretque ille, quo nomine vocaretur, ita seipsum appellavit, edicens videlicet ei, ut ad populum his verbis uteretur: *Qui est, misit me* [1]; sed etiam quia nomen illud magis proprium esse comperimus. Quamvis enim *Dei* vox, vel a verbo θέειν, vel ab αἴθειν, ut putant qui in hoc genere sibi sciti atque arguti videntur, hoc est, a *currendo*, vel ab *urendo*, rationem originis suæ ducat, propter motus perpetuitatem, et quod vitiosos habitus consumat (nam hinc quoque ignis consumens dicitur [2]), ex eorum tamen numero est, quæ ad aliquid referuntur, nec libera et absoluta est; quemadmodum nec vox ista, *Dominus*, quæ *Dei* quoque nomen esse dicitur. *Ego enim*, inquit, *Dominus Deus tuus: hoc meum nomen est* [3]; et, *Dominus nomen ipsi* [4]. At nos naturam ejusmodi exquirimus, quæ ipsum esse per se habeat, ac non cum alio quopiam copuletur. Ens vero, proprium sane est Dei, ac totum, nec priore aliqua re, nec posteriore (nec enim erat, aut erit), definitum ac circumcisum.

C Ὅσον δ' οὖν ἐκ τῶν ἡμῖν ἐφικτῶν, ὁ μὲν ὢν, καὶ ὁ Θεὸς, μᾶλλόν πως τῆς οὐσίας ὀνόματα καὶ τούτων μᾶλλον ὁ ὤν· οὐ μόνον ὅτι τῷ Μωϋσεῖ χρηματίζων ἐπὶ τοῦ ὄρους, καὶ τὴν κλῆσιν ἀπαιτούμενος, ἥ τίς ποτε εἴη, τοῦτο προσεῖπεν ἑαυτόν. *Ὁ ὢν ἀπέσταλκέ με*, τῷ λαῷ κελεύσας εἰπεῖν· ἀλλ' ὅτι καὶ κυριωτέραν ταύτην εὑρίσκομεν. Ἡ μὲν γὰρ τοῦ Θεοῦ, κἂν ἀπὸ τοῦ *θέειν*, ἢ *αἴθειν*, ἡτυμολόγηται τοῖς περὶ ταῦτα κομψοῖς, διὰ τὸ ἀεικίνητον καὶ δαπανητικὸν τῶν μοχθηρῶν ἕξεων, καὶ γὰρ πῦρ καταναλίσκον ἐντεῦθεν λέγεται, ἀλλ' οὖν τῶν πρός τι λεγομένων ἐστὶ, καὶ οὐκ ἄφετος· ὥσπερ καὶ ἡ Κύριος φωνὴ, ὄνομα εἶναι Θεοῦ καὶ αὐτὴ λεγομένη· *Ἐγὼ* D *γὰρ*, φησὶ, *Κύριος, ὁ Θεός σου· τοῦτό μου ἐστὶν ὄνομα*· καὶ, *Κύριος ὄνομα αὐτῷ*. Ἡμεῖς δὲ φύσιν ἐπιζητοῦμεν, ᾗ τὸ εἶναι καθ' ἑαυτὸ, καὶ οὐκ ἄλλῳ συνδεδεμένον· τὸ δὲ ὂν, ἴδιον ὄντως Θεοῦ, καὶ ὅλον, μήτε τῷ πρὸ αὐτοῦ, μήτε τῷ μετ' αὐτὸν, οὐ γὰρ ἦν, ἢ ἔσται, περατούμενον ἢ περικοπτόμενον.

Alia autem nomina partim potestatis esse constat, partim œconomiæ, et quidem duplicis; alterius nimirum corpore sublimioris, alterius cum corpore conjunctæ. Exempli causa, Omnipotens [5], et Rex, vel gloriæ [6], vel sæculorum [7], vel virtu-

Τῶν δ' ἄλλων προσηγοριῶν, αἱ μὲν τῆς ἐξουσίας εἰσὶ προφανῶς, αἱ δὲ τῆς οἰκονομίας, καὶ ταύτης διττῆς· τῆς μὲν ὑπὲρ τὸ σῶμα, τῆς δὲ ἐν σώματι· οἷον ὁ μὲν Παντοκράτωρ, καὶ ὁ Βασιλεὺς, ἢ τῆς δόξης, ἢ τῶν αἰώνων, ἢ τῶν δυνάμεων, ἢ τοῦ

[1] Exod. III, 14. [2] Deut. IV, 24. [3] Isa. XLII, 8. [4] Amos IX, 6; Psal. LXVII, 5. [5] Exod. XV, 3. [6] Psal. XXIII, 10. [7] I Tim. I, 17.

ἀγαπητοῦ, ἢ τῶν βασιλευόντων· καὶ ὁ Κύριος, ἢ A Σαβαώθ, ὅπερ ἐστὶ στρατιῶν, ἢ τῶν δυνάμεων, ἢ τῶν κυριευόντων. Ταῦτα μὲν σαφῶς τῆς ἐξουσίας. Ὁ δὲ *Θεός*, ἢ τοῦ σώζειν, ἢ ἐκδικήσεων, ἢ εἰρήνης, ἢ δικαιοσύνης, ἢ Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ, καὶ παντὸς Ἰσραὴλ τοῦ πνευματικοῦ, καὶ ὁρῶντος Θεόν· ταῦτα δὲ τῆς οἰκονομίας. Ἐπειδὴ γὰρ τρισὶ τούτοις διοικούμεθα, δέει τε τιμωρίας, καὶ σωτηρίας ἐλπίδι, πρὸς δὲ καὶ δόξης, καὶ ἀσκήσει τῶν ἀρετῶν, ἐξ ὧν ταῦτα· τὸ μὲν τῶν ἐκδικήσεων ὄνομα οἰκονομεῖ τὸν φόβον· τὸ δὲ τῶν σωτηριῶν, τὴν ἐλπίδα· τὸ δὲ τῶν ἀρετῶν, τὴν ἄσκησιν· ἵν' ὡς τὸν Θεὸν ἐν ἑαυτῷ φέρων, ὁ τούτων τι κατορθῶν, μᾶλλον ἐπείγηται πρὸς τὸ τέλειον, καὶ τὴν ἐξ ἀρετῶν οἰκείωσιν. Ταῦτα μὲν οὖν ἐστι κοινὰ θεότητος τὰ ὀνόματα. Ἴδιον δὲ τοῦ μὲν ἀνάρχου, Πατήρ· B τοῦ δὲ ἀνάρχως γεννηθέντος, Υἱός· τοῦ δὲ ἀγεννήτως προελθόντος, ἢ προϊόντος, τὸ Πνεῦμα τὸ ἅγιον. Ἀλλ' ἐπὶ τὰς τοῦ Υἱοῦ κλήσεις ἔλθωμεν, ὅπερ ὡρμήθη λέγειν ὁ λόγος.

Δοκεῖ γάρ μοι λέγεσθαι, Υἱὸς μέν, ὅτι ταυτόν ἐστι τῷ Πατρὶ κατ' οὐσίαν· καὶ οὐκ ἐκεῖνο μόνον, ἀλλὰ κἀκεῖθεν. Μονογενὴς δέ, οὐχ ὅτι μόνος ἐκ μόνου καὶ μόνον, ἀλλ' ὅτι καὶ μονοτρόπως, οὐχ ὡς τὰ σώματα· Λόγος δέ, ὅτι οὕτως ἔχει πρὸς τὸν Πατέρα, ὡς πρὸς νοῦν λόγος· οὐ μόνον διὰ τὸ ἀπαθὲς τῆς γεννήσεως, ἀλλὰ καὶ τὸ συναφές, καὶ τὸ ἐξαγγελτικόν· τάχα δ' ἂν εἴποι τις, ὅτι καὶ ὡς ὅρος C πρὸς τὸ ὁριζόμενον, ἐπειδὴ καὶ τοῦτο λέγεται λόγος. *Ὁ γὰρ νενοηκώς*, φησί, *τὸν Υἱὸν* (τοῦτο γάρ ἐστι τὸ ἑωρακώς), *νενόηκε τὸν Πατέρα*· καὶ σύντομος ἀπόδειξις καὶ ῥᾳδία τῆς τοῦ Πατρὸς φύσεως, ὁ Υἱός· γέννημα γὰρ ἅπαν τοῦ γεγεννηκότος, σιωπῶν λόγος. Εἰ δὲ καὶ διὰ τὸ ἐνυπάρχειν τοῖς οὖσι λέγοι τις, οὐχ ἁμαρτήσεται τοῦ λόγου· τί γάρ ἐστιν, ὃ μὴ Λόγῳ συνέστηκεν; Σοφία δέ, ὡς ἐπιστήμη θείων τε καὶ ἀνθρωπίνων πραγμάτων· πῶς γὰρ οἷόν τε τὸν πεποιηκότα, τοὺς λόγους ἀγνοεῖν, ὧν πεποίηκε; Δύναμις δέ, ὡς συντηρητικὸς τῶν γενομένων, καὶ τὴν τοῦ συνέχεσθαι ταῦτα χορηγῶν δύναμιν. Ἀλήθεια δέ, ὡς ἕν, οὐ πολλὰ τῇ φύσει· τὸ μὲν γὰρ ἀληθές, ἕν· τὸ δὲ ψεῦδος, πολυσχιδές· καὶ ὡς καθαρὰ τοῦ Πατρὸς σφραγίς, καὶ χαρακτὴρ ἀψευδέστατος. Εἰκὼν D δέ, ὡς ὁμοούσιον, καὶ ὅτι τοῦτο ἐκεῖθεν, ἀλλ' οὐκ ἐκ τούτου Πατήρ· αὕτη γὰρ εἰκόνος φύσις, μίμημα εἶναι τοῦ ἀρχετύπου, καὶ οὗ λέγεται· πλὴν ὅτι καὶ πλέον ἐνταῦθα· ἐκεῖ μὲν γάρ, ἀκίνητος κινουμένου· ἐνταῦθα δέ, ζῶντος καὶ ζῶσα, καὶ πλέον ἔχουσα τὸ ἀπαράλλακτον, ἢ τοῦ Ἀδὰμ ὁ Σήθ, καὶ τοῦ γεννῶντος παντὸς τὸ γεννώμενον· τοιαύτη γὰρ ἡ τῶν ἁπλῶν φύσις, μὴ τῷ μὲν ἐοικέναι, τῷ δὲ ἀπεοικέναι, ἀλλ' ὅλον ὅλου τύπον εἶναι, καὶ ταυτὸν μᾶλλον, ἢ ἀφομοίωμα. Φῶς δέ, ὡς

tum [1], vel dilecti [2], vel regnantium [3]. Item Dominus vel Sabaoth [4], hoc est, exercituum, vel virtutum [5], vel dominantium [6]. Hæc sine ulla dubitatione potentiam Dei ostendunt. *Deus* rursus, vel salvos faciendi [7], vel ultionum [8], vel pacis [9], vel justitiæ [10], vel Abrahæ, Isaac, et Jacob [11], universique spiritualis Israelis, ac Deum videntis. Hæc utique œconomiæ sunt nomina. Quoniam enim tribus his rebus gubernamur, nempe et supplicii metu, et salutis gloriæque spe, et cultu virtutum, quibus hæc comparantur; ultionum quidem nomine, metus procuratur; salutis autem, spes; virtutum denique, probitatis studium: ut qui aliquid horum assequitur, perinde ac Deum in seipso gerens, ad perfectionem et familiaritatem eam atque cognationem, qua nos virtus ipsi conciliat, majori celeritate festinet. Atque hæc vocabula Deitati communia sunt. Proprium autem ejus, qui principii expers est, nomen, Pater: ejus autem, qui citra ullum principium genitus est, Filius: illius itemque, qui citra generationem processit, aut progreditur, Spiritus sanctus. Verum ad Filii nomina, de quibus nobis dicere propositum erat, accedamus.

Primum ergo Filius [12] mihi dici videtur, quia essentia idem est cum Patre: neque id solum, sed quia etiam ex illo est. Unigenitus [13] autem, non quia solus ex solo, et solum, sed etiam quia unico modo, ac non ut corpora. Verbum [14] porro, quia ita se habet ad Patrem, ut sermo ad mentem, non modo propter generationem passionis omnis expertem, verum etiam propter conjunctionem ipsius cum Patre, vimque enuntiatricem. Fortasse etiam quis dixerit, eodem modo se ad Patrem habere, quo definitio ad definitum, quoniam definitio quoque λόγος dicitur. *Qui enim Filium cognovit*, ait Christus (hoc enim idem significat, ac, *vidit*), *Patrem quoque cognovit* [15]: ac brevis, et compendiosa facilisque paternæ naturæ declaratio est Filius. Omne enim quod genitum est, genitorem suum tacita quadam voce definit. Quod si quis etiam, quia rebus omnibus insit, Λόγον vocari contendat, a ratione non aberrabit. Quid enim est, quod non Verbo conditum sit? Sapientia [16] vero, ut rerum divinarum et humanarum scientia. Qui enim fieri potest, ut conditor rerum a se conditarum rationes ignoret? Potentia [17], ut rerum creatarum conservator, vimque iis suppeditans ut contineantur. Veritas [18], ut natura unum, non multa. Verum quippe unum est; mendacium multiplex: atque etiam ut purum Patris sigillum, minimeque mendax character. Imago [19], ut ejusdem cum Patre substantiæ [20], et quia ex illo est, non autem ex hoc Pater. Hæc siquidem imaginis natura est, ut sit imitatio exemplaris, cujus imago dicitur; quanquam hic imago exemplar suum expressius refert. Illic enim rei vivæ ac motu præditæ mortua et motus expers imago est: hic autem vivi exem-

[1] Psal. LXVII, 13. [2] Ibid. [3] I Tim. VI, 15. [4] Rom. IX, 29. [5] Psal. XXIII, 10. [6] Deut. X, 17. [7] Psal. LXVII, 21. [8] Psal. XCIII, 1. [9] Rom. XV, 33. [10] Psal. IV, 2. [11] Exod. III, 6. [12] Matth. XVII, 5. [13] Joan. I, 18. [14] Joan. I, 1. [15] Joan. XIV, 7, 9. [16] I Cor. I, 30. [17] Ephes. V, 19. [18] Joan. XIV, 6. [19] Coloss. I, 15. [20] Hebr. I, 3.

pluris viva quoque est effigies, multoque minus a Patre differens, quam Seth ab Adamo [1], filiusque omnis a parente suo. Hujusmodi namque simplicium rerum natura est, ut non partim inter se similes sint, partim dissimiles, sed totæ totas repræsentent, eædemque potius sint, quam similes. Lux [2] etiam dicitur, ut animorum splendor, qui et vita et sermone purgantur. Nam si ignorantia et peccatum tenebræ sunt, lux profecto erit scientia, et vita divina. Vita [3], quia lux, totiusque ratione præditæ naturæ coagmentatio, et procreatio: *In ipso enim vivimus, et movemur, et sumus* [4], secundum duplicem illam inspirationis [5] facultatem. Nam et illinc omnes vitalem spiritum accipimus, et Spiritum sanctum, quotquot ipsius capaces sumus, et quatenus os mentis aperuerimus. Justitia [6], quia pro merito præmia et pœnas distribuit, æquumque judicem se præbet his, qui sub lege sunt, et his, qui sub gratia; corporique item et animæ, ut illud pareat, hæc præsit atque imperet, præstantiorque pars principatum adversus inferiorem teneat, nec id quod deterius est, adversus id, quod melius est, insurgat. Sanctificatio [7], quia puritas, ut purum illud numen per puritatem capiatur. Redemptio [8], quia nos a peccato detentos in libertatem asserit, seseque pro nobis, ut orbis terrarum expietur, liberationis pretium dat. Resurrectio [9], ut nos hinc abductos suscitans, et a peccato morte affectos ad vitam reducens.

Atque hæc adhuc communia sunt, tam ei qui supra nos est, quam qui propter nos. Nunc ad ea veniamus, quæ proprie nostra sunt, humanitatisque assumptæ. Homo [10] itaque dicitur, non solum ut per corpus a corporibus capiatur, qui alioqui ob incomprehensibilem naturam suam capi non poterat; sed etiam ut per se hominem sanctitate afficiat, fermentique instar universæ massæ sit, sibique uniens quod condemnatum fuerat, totum illud a condemnatione liberet, omnia pro nobis, quæ nos sumus, excepto peccato, factus, corpus, anima, mens (per quæ videlicet mors pervaserat); et, quod ex his commune est, homo, visibilis Deus, propter id quod animo atque intellectu comprehendebatur. Filius hominis [11], propter Adamum, ac Virginem, ex quibus exstitit, illo nimirum ut generis auctore, hac autem ut matre, juxta matris legem, et non juxta legem generationis. Christus [12], propter divinitatem: ea enim humanitatis unctio est, non operatione, ut in aliis christis, sed totius ungentis præsentia sanctificans: cujus hic effectus est, ut id, quod ungit, homo vocetur, et, quod ungitur, Deus fiat: Via [13], ut per se nos ducens; Ostium [14], ut introductor: Pastor [15], ut nos in loco pascuæ collocans, et aqua refectionis educans [16], atque hinc nobis itineris ducem se præbens, necnon adversus belluas pro nobis dimicans: tum etiam, ut errantes revocans, et perditos reducens, et confractos obligans, et infirmos roborans, et firmos ac validos custodiens, atque ad futuræ vitæ caulam, per pastoralis scientiæ rationes, colligens:

A λαμπρότης ψυχῶν καὶ λόγῳ καὶ βίῳ καθαιρομένων. Εἰ γὰρ σκότος ἡ ἄγνοια καὶ ἡ ἁμαρτία, φῶς ἂν εἴη ἡ γνῶσις, καὶ ὁ βίος ὁ ἔνθεος. Ζωὴ δὲ, ὅτι φῶς, καὶ πάσης λογικῆς φύσεως σύστασις καὶ οὐσίωσις· *Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν*, κατὰ τὴν διπλῆν τοῦ ἐμφυσήματος δύναμιν, καὶ πνοὴν· ἐκεῖθεν ἐμφυσώμενοι πάντες, καὶ Πνεῦμα ἅγιον ὅσοι χωρητικοὶ, καὶ τοσοῦτον, καθ' ὅσον ἂν τὸ στόμα τῆς διανοίας ἀνοίξωμεν. Δικαιοσύνη δὲ, ὅτι τοῦ πρὸς ἀξίαν διαιρέτης, καὶ διαιτῶν δικαίως τοῖς ὑπὸ νόμον, καὶ τοῖς ὑπὸ χάριν, ψυχῇ καὶ σώματι, ὥστε τὸ μὲν ἄρχειν, τὸ δὲ ἄρχεσθαι, καὶ τὴν ἡγεμονίαν ἔχειν τὸ κρεῖττον κατὰ τοῦ χείρονος, ὡς μὴ τὸ χεῖρον ἐπανίστασθαι τῷ βελτίονι· Ἁγιασμὸς δὲ, ὡς B καθαρότης, ἵνα χωρῆται τὸ καθαρὸν καθαρότητι. Ἀπολύτρωσις δὲ, ὡς ἐλευθερῶν ἡμᾶς, ὑπὸ τῆς ἁμαρτίας κατεχομένους, καὶ λύτρον ἑαυτὸν ἀντιδιδοὺς ἡμῶν τῆς οἰκουμένης καθάρσιον. Ἀνάστασις δὲ, ὡς ἐντεῦθεν ἡμᾶς ἀπανιστῶν, καὶ πρὸς τὴν ζωὴν ἐπανάγων νενεκρωμένους ὑπὸ τῆς ἁμαρτίας.

Ταῦτα μὲν οὖν ἔτι κοινὰ τοῦ τε ὑπὲρ ἡμᾶς, καὶ τοῦ δι' ἡμᾶς· ἃ δὲ ἰδίως ἡμέτερα, καὶ τῆς ἐντεῦθεν προσλήψεως. Ἄνθρωπος μὲν, οὐχ ἵνα C χωρηθῇ μόνον διὰ σώματος σώμασιν, ἄλλως οὐκ ἂν χωρηθεὶς διὰ τὸ τῆς φύσεως ἄληπτον· ἀλλ' ἵνα καὶ ἁγιάσῃ δι' ἑαυτοῦ τὸν ἄνθρωπον, ὥσπερ ζύμη γενόμενος τῷ παντὶ φυράματι, καὶ πρὸς ἑαυτὸν ἑνώσας τὸ κατακριθὲν, ὅλον λύσῃ τοῦ κατακρίματος, πάντα ὑπὲρ πάντων γενόμενος, ὅσα ἡμεῖς, πλὴν τῆς ἁμαρτίας, σῶμα, ψυχὴ, νοῦς, δι' ὅσον ὁ θάνατος· τὸ κοινὸν ἐκ τούτων, ἄνθρωπος, Θεὸς ὁρώμενος, διὰ τὸ νοούμενον. Υἱὸς δὲ ἀνθρώπου, καὶ διὰ τὸν Ἀδὰμ, καὶ διὰ τὴν Παρθένον, ἐξ ὧν ἐγένετο· τοῦ μὲν, ὡς προπάτορος, τῆς δὲ, ὡς μητρὸς νόμῳ, καὶ οὐ νόμῳ γεννήσεως· Χριστὸς δὲ, διὰ τὴν θεότητα· χρίσις γὰρ αὕτη τῆς ἀνθρωπότητος, οὐκ ἐνεργείᾳ κατὰ τοὺς ἄλλους χριστοὺς ἁγιάζουσα, παρουσίᾳ δὲ ὅλου τοῦ χρίοντος· ἧς ἔργον, ἄνθρωπον D ἀκοῦσαι τὸ χρίον, καὶ ποιῆσαι Θεὸν τὸ χριόμενον. Ὁδὸς δὲ, ὡς δι' ἑαυτοῦ φέρων ἡμᾶς· Θύρα δὲ, ὡς εἰσαγωγεύς· Ποιμὴν δὲ, ὡς εἰς τόπον χλόης κατασκηνῶν, καὶ ἐκτρέφων ἐπὶ ὕδατος ἀναπαύσεως, καὶ ἐντεῦθεν ὁδηγῶν, καὶ προπολεμῶν κατὰ τῶν θηρίων· τὸ πλανώμενον ἐπιστρέφων, τὸ ἀπολωλὸς ἐπανάγων, τὸ συντετριμμένον καταδεσμῶν, τὸ ἰσχυρὸν φυλάσσων, καὶ πρὸς τὴν ἐκεῖθεν μάνδραν συνάγων λόγοις ποιμαντικῆς ἐπιστήμης· Πρόβατον δὲ, ὡς σφάγιον· Ἀμνὸς δὲ, ὡς τέλειον· Ἀρχιερεὺς δὲ, ὡς προσαγωγεύς· Μελχισεδὲκ δὲ, ὡς ἀμήτωρ τὸ ὑπὲρ ἡμᾶς, καὶ ἀπάτωρ τὸ καθ' ἡμᾶς· καὶ ὡς ἀγενεαλόγητος τὸ ἄνω· *Τὴν γὰρ γενεὰν αὐτοῦ*, φησὶ, *τίς διηγή-*

[1] Gen IV, 25. [2] Joan. VIII, 12. [3] Joan. XIV, 6. [4] Act. XVII, 28. [5] Gen. II, 7. [6] I Cor. I, 30. [7] Ibid. [8] Ibid. [9] Joan. XI, 25. [10] Joan. IX, 11. [11] Matth. XXIV, 27, 44. [12] Matth. I, 16. [13] Joan. XIV, 6 [14] Joan. X, 9. [15] Joan. X, 11. [16] Psal. XXII, 2.

σεται; καὶ ὡς βασιλεὺς Σαλὴμ, *εἰρήνη* δὲ τοῦτο, καὶ A ὡς *βασιλεὺς δικαιοσύνης*, καὶ ὡς ἀποδεκατῶν πατριάρχας κατὰ τῶν πονηρῶν δυνάμεων ἀριστεύοντας.

Ovis[1] porro, ut victima: Agnus[2], ut perfectus: Pontifex[3], ut oblator: Melchisedech[4], ut matris expers, quod ad naturam illam nostra excelsiorem attinet, patre autem carens, quantum ad nostram: unum etiam quia sublimitus absque genealogia est. (*Generationem enim illius*, inquit, *quis enarrabit*[5]?) Ac præterea, ut *Rex Salem*[6], hoc est, *pacis*, et *Rex justitiæ*, ac denique ut a patriarchis adversus pestiferas potestates strenue rem gerentibus, decimas accipiens.

ΤΙΤΛΟΣ Ϛʹ.

Περὶ τῆς θείας δημιουργίας, τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ λόγου τοῦ εἰς τὰ γενέθλια τοῦ Χριστοῦ.

Οὕτω μὲν οὖν τὰ Ἅγια τῶν ἁγίων, ἃ καὶ τοῖς Σεραφὶμ συγκαλύπτεται, καὶ δοξάζεται τρισὶν ἁγιασμοῖς εἰς μίαν συνιοῦσι κυριότητα, καὶ θεότητα. B Ἐπεὶ δὲ οὐκ ἤρκει τῇ ἀγαθότητι τοῦτο τὸ κινεῖσθαι μόνον τῇ ἑαυτῆς θεωρίᾳ, ἀλλ' ἔδει χυθῆναι τὸ ἀγαθὸν, καὶ ὁδεῦσαι, ὡς πλείονα εἶναι τὰ εὐεργετούμενα, τοῦτο γὰρ τῆς ἄκρας ἦν ἀγαθότητος· πρῶτον μὲν ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίας, καὶ τὸ ἐννόημα ἔργον ἦν, λόγῳ συμπληρούμενον, καὶ Πνεύματι τελειούμενον. Καὶ οὕτως ὑπέστησαν λαμπρότητες δεύτεραι, λειτουργοὶ τῆς πρώτης λαμπρότητος, εἴτε νοερὰ πνεύματα, εἴτε πῦρ οἷον ἄϋλον καὶ ἀσώματον, εἴτε τινὰ φύσιν ἄλλην ὅτι ἐγγυτάτω τῶν εἰρημένων ταύτας ὑποληπτέον. Βούλομαι μὲν εἰπεῖν ὅτι ἀκινήτους πρὸς τὸ κακὸν, καὶ μόνην ἐχούσας τὴν τοῦ καλοῦ κίνησιν, ἅτε περὶ Θεὸν οὔσας, καὶ τὰ πρῶτα ἐκ Θεοῦ λαμπομένας. Τὰ γὰρ ἐντεῦθα δευτέρας ἐλλάμψεως. Πείθει δέ με μὴ ἀκινήτους, ἀλλὰ δυσκινήτους καὶ ὑπολαμβάνειν ταύτας καὶ λέγειν, C ὁ διὰ τὴν λαμπρότητα ἑωσφόρος, σκότος διὰ τὴν ἔπαρσιν καὶ γενόμενος καὶ λεγόμενος, αἵ τε ὑπ' αὐτὸν ἀποστατικαὶ δυνάμεις, δημιουργοὶ τῆς κακίας τῇ τοῦ καλοῦ φυγῇ, καὶ ἡμῖν πρόξενοι.

TITULUS VI.

De opificio Dei. Gregorii Theologi ex oratione in diem natalem Christi.

Ita Sancta sanctorum, quæ ipsis etiam Seraphin occulta sunt, et triplici ab eis sanctitatis laude celebrantur, in unum principatum divinitatemque conveniunt. Verum quia bonitati divinæ non erat satis, sua ipsius contemplatione moveri, sed oportebat, ut bonum ipsum sese diffunderet, et progrederetur, quo se pluribus communicaret. (Hoc enim summæ bonitatis proprium erat) idcirco potestates angelicas atque cœlestes cogitatione concepit, et cogitatio reipsa fuit verbo completa, et spiritu perfecta. Atque ita secundi splendores primi splendoris ministri, sive spiritus intelligentes, sive ignis materiam et corpus non habens, sive alia aliqua natura, iis quæ dicta sunt proxima putandi sunt, exstiterunt. Equidem velim dicere nulla eos propensione ad malum ferri, sed moveri duntaxat ad bonum, quippe qui prope Deum sint, primique ab ipso Deo effulserint (nam quæ hic sunt, secundo loco fulserunt) verum ut eos non immobiles, sed difficile moveri et sentiam, et dicam, facit non solum is, qui propter splendorem quo illustrabatur Lucifer olim, nunc autem propter superbiam, tenebrarum princeps et est, et appellatur, sed etiam illæ, quæ cum ipso defecerunt, et sub ipso sunt potestates, quæ bonum fugientes, mali effectrices evaserunt, et nos item ad malum cohortantur et impellunt.

Τοῦ αὐτοῦ.

Οὕτω μὲν οὖν ὁ νοητὸς αὐτῷ καὶ διὰ ταῦτα ὑπέστη κόσμος, ὡς ἐμὲ γοῦν περὶ τούτων φιλοσοφῆσαι μικρῷ λόγῳ τὰ μεγάλα σταθμώμενον. Ἐπεὶ δὲ τὰ πρῶτα καλῶς εἶχεν αὐτῷ, δεύτερον ἐννοεῖ κόσμον ὑλικὸν καὶ ὁρώμενον, καὶ οὗτός ἐστι τὸ ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ σύστημά τε καὶ σύγκριμα· D ἐπαινετὸν μὲν τῆς καθ' ἕκαστον εὐφυΐας, ἀξιεπαινετώτερον δὲ τῆς ἐξ ἁπάντων εὐαρμοστίας καὶ συμφωνίας, ἄλλου πρὸς ἄλλο τι καλῶς ἔχοντος, καὶ πάντων πρὸς ἅπαντα εἰς ἑνὸς κόσμου συμπλήρωσιν, ἵνα δείξῃ μὴ μόνον οἰκείαν ἑαυτῷ φύσιν, ἀλλὰ καὶ ταύτῃ ξένην ὑποστήσασθαι δυνατὸς ὤν. Οἰκεῖον μὲν γὰρ θεότητος αἱ νοεραὶ φύσεις, καὶ νῷ μόνῳ ληπταί· ξένον δὲ παντάπασιν, ὅσαι ὑπὸ τὴν αἴσθησιν, καὶ τούτων αὐτῶν ἔτι πορρωτέρω, ὅσαι παντελῶς ἄψυχοι καὶ ἀκίνητοι.

Ex eadem oratione.

Hoc igitur pacto mundus illi constitit intelligibilis, si parva oratione licet magna perpendentem philosophari. At cum illi prima præclare se haberent, alterum mundum cogitavit ex materia constantem et aspectabilem, qui ex cœlo, terraque, et his quæ in medio sunt, concretus est, et constitutus, laudabilis quidem ex rerum singularum pulchritudine, sed laudabilior ob concinnitatem, et concentum, quo tum una cum alia, tum omnes cum omnibus præclare conjunctæ vicissimque congruentes ad unius orbis perfectionem concurrunt. Ut ostenderet in sua esse potestate, non solum ut cognatam sibi naturam efficeret, sed etiam ut alienam et peregrinam omnino constitueret. Nam ut intelligentes illæ naturæ, et quæ sola mente percipi possunt, ejus amplitudini quodammodo similes cognatæque sunt, sic ab ea prorsus alienæ et remotæ, quæ sensibus sunt expositæ, atque inter has illæ potissimum, quæ anima motuque carent.

[1] Isa. LIII, 7. [2] Joan. I, 29. [3] Hebr. VI, 20. [4] Hebr. VII, 1. [5] Isa. LIII, 8. [6] Hebr. VII, 2.

Ex eadem oratione.

A Mens igitur et sensus ita jam inter se discreta suis se finibus continebant, effectorisque Verbi magnificentiam tanquam taciti quidem laudatores eximiique præcones præ se ferebant. Nondum autem erat ulla ex utrisque concretio, et ex contrariis mistio, quæ majorem sapientiam, et impensam in rebus procreatis, et divinæ bonitatis divitias indicaret. Quamobrem has ut ostenderet opifex Verbum animal unum ex utraque natura, ea nimirum, quæ cernitur, et illa, quæ non cernitur, compactum fabricatus est hominem, ex materia quæ jam suppetebat, corpus accipiens, atque illi ex se spiritum inserens, quem quidem animum et imaginem Dei vocat Scriptura. Hunc quasi alium quemdam mundum, in parvo magnum in terra constituit, alium B veluti angelum mistum, adoratorem, rerum procreatarum, quæ cernuntur, inspectorem, earum, quæ non cernuntur, contemplatorem, regem eorum, quæ sunt in terra, summo Regi obtemperantem: mortalem et immortalem: sensibus et mente constantem, ut illis cerni ac intelligi possit: medium inter magnitudinem et humilitatem: eumdem tum spiritum, tum carnem, spiritum propter gratiam, carnem propter superbiam. Illud, ut maneret, et Deum de se bene meritum laudaret: hoc, ut perturbationibus et molestiis esset obnoxius, ut cum magnitudine sua elatus sibi placeret, iis afflictus, et commonitus resipisceret: animal hic collocatum, ut alio migret, et quæ mysterii est summa, ut Dei imitatione evadat in Deum. C Idcirco enim mediocris hæc nobis lux concessa est, ut ea duce splendorem illum assequamur, quo digni simus, qui videamus suscipiamusque Deum, qui nos et compegit, et solvet, et multo magnificentius restituit.

Τοῦ αὐτοῦ λόγου.

Νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις οὕτως ἀπ' ἀλλήλων διακριθέντα, τῶν ἰδίων ὅρων ἐντὸς εἱστήκεισαν καὶ τὸ τοῦ δημιουργοῦ Λόγου μεγαλεῖον ἐν ἑαυτοῖς ἔφερον, σιγῶντες ἐπαινέται τῆς μεγαλουργίας καὶ διαπρύσιοι κήρυκες. Οὔπω δὲ ἦν κρᾶμα ἐξ ἀμφοτέρων, οὐδέ τις μίξις τῶν ἐναντίων, σοφίας μείζονος γνώρισμα, καὶ τῆς περὶ τὰς φύσεις πολυτελείας, οὐδὲ ὁ πᾶς πλοῦτος τῆς ἀγαθότητος γνώριμος. Τοῦτο δὴ βουληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι Λόγος, καὶ ζῶον ἓν ἐξ ἀμφοτέρων, ἀοράτου τε, λέγω, καὶ ὁρατῆς φύσεως, δημιουργεῖ τὸν ἄνθρωπον. Καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα ἤδη προϋποστάσης, παρ' ἑαυτοῦ δὲ πνοὴν ἐνθείς, ὃ δὴ ψυχὴν νοερὰν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος, οἷόν τινα κόσμον δεύτερον ἐν μικρῷ μέγαν ἐπὶ τῆς γῆς ἵστησιν· ἄγγελον ἄλλον, προσκυνητὴν μικτόν, ἐπόπτην τῆς ὁρατῆς κτίσεως, μύστην τῆς νοουμένης, βασιλέα τῶν ἐπὶ γῆς, βασιλευόμενον ἄνωθεν, ἐπίγειον καὶ οὐράνιον, πρόσκαιρον καὶ ἀθάνατον, ὁρατὸν καὶ νοούμενον· μέσον μεγέθους καὶ ταπεινότητος, τὸν αὐτὸν πνεῦμα καὶ σάρκα· πνεῦμα διὰ τὴν χάριν, σάρκα διὰ τὴν ἔπαρσιν· τὸ μέν, ἵνα μένῃ καὶ δοξάζῃ τὸν εὐεργέτην, τὸ δέ, ἵνα πάσχῃ, καὶ πάσχων, ὑπομιμνήσκηται καὶ παιδεύηται, τῷ μεγέθει φιλοτιμούμενος· ζῶον ἐνταῦθα οἰκονομούμενον, καὶ ἀλλαχοῦ μεθιστάμενον, καὶ πέρας τοῦ μυστηρίου, τῇ πρὸς Θεὸν νεύσει θεούμενον. Εἰς τοῦτο γὰρ ἐμοὶ φέρει τὸ μέτριον ἐνταῦθα φέγγος τῆς ἀληθείας, λαμπρότητα Θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν, ἀξίαν τοῦ καὶ συνδήσαντος καὶ λύσοντος, καὶ αὖθις συνδήσοντος ὑψηλότερον.

Ex oratione in Sacra Lumina.

Verum quia oportebat non solum in cœlis Deum coli et adorari, sed aliquos etiam in terris esse illius cultores et adoratores, ut (quoniam omnia sunt Deo plena) omnia Dei gloria complerentur, ideo manu Dei conditus est homo, et ejus imagine decoratus.

Ἐκ τοῦ εἰς τὰ Ἅγια Φῶτα λόγου.

Ἐπεὶ δὲ ἔδει μὴ τοῖς ἄνω μόνον τὴν προσκύνησιν περιγράφεσθαι, ἀλλ' εἶναί τινας καὶ κάτω προσκυνητάς, ἵνα πληρωθῇ τὰ πάντα δόξης Θεοῦ, ἐπεὶ καὶ Θεοῦ, διὰ τοῦτο κτίζεται ἄνθρωπος χειρὶ Θεοῦ τιμηθεὶς καὶ εἰκόνι.

Ex oratione in diem Natalem Christi.

Hunc in paradiso collocavit (qualiscunque fuerit ille Paradisus) et liberum voluntatis arbitrium D largitus est, ut bonum non minus ipsius eligentis esset, quam ejus, qui semina tribuisset. Plantarum immortalium cultorem constituit, id est, divinarum, ut equidem sentio, contemplationum, tum simplicium tum perfectarum. Nudum ob simplicitatem, et vitam nulla arte instructam, nec ullo tectum indumento, qualem esse decebat primum illum hominem. Tum legem dedit, qua liberam voluntatem exerceret. Lex illa mandatum erat, quo illi præscribebatur, quam plantam attingere, et a qua deberet abstinere. Hæc autem, a qua temperare oportebat, erat scientiæ planta, quæ quidem ab initio nec malo sata fuit consilio, nec ob invidiam prohibita (ne vibrent huc linguas suas impii qui gigantum

Ἐκ τοῦ λόγου τοῦ εἰς τὰ γενέθλια τοῦ Χριστοῦ.

Τοῦτον ἔθετο μὲν ἐν τῷ παραδείσῳ, ὅστις ποτὲ ἦν ὁ παράδεισος οὗτος, τῷ αὐτεξουσίῳ τιμήσας, ἵν' ᾖ τοῦ ἑλομένου τὸ ἀγαθὸν οὐχ ἧττον ἢ τοῦ παρασχόντος τὰ σπέρματα· φυτῶν ἀθανάτων γεωργόν, θείων ἐννοιῶν ἴσως, τῶν τε ἁπλουστέρων καὶ τῶν τελεωτέρων· γυμνὸν τῇ ἁπλότητι καὶ ζωῇ τῇ ἀτέχνῳ, καὶ δίχα παντὸς ἐπικαλύμματος καὶ προβλήματος. Τοιοῦτον γὰρ ἔπρεπεν εἶναι τὸν ἀπ' ἀρχῆς. Καὶ δίδωσι νόμον, ὕλην τῷ αὐτεξουσίῳ. Ὁ δὲ νόμος ἦν ἐντολή, ὧν τε μεταληπτέον αὐτῷ φυτῶν, καὶ οὗ μὴ προσαπτέον. Τὸ δὲ ἦν τὸ ξύλον τῆς γνώσεως, οὔτε φυτευθὲν ἀπ' ἀρχῆς κακῶς, οὔτε ἀπαγορευθὲν φθονερῶς. Μὴ πεμπέτωσαν ἐκεῖ τὰς γλώσσας οἱ θεομάχοι, μηδὲ τὸν ὄφιν μιμείσθωσαν· ἀλλὰ καλὸν μέν, εὐκαίρως μεταλαμβανόμενον· θεωρία γὰρ ἦν τὸ φυτόν, ὡς ἡ ἐμὴ θεωρία, ἧς μόνοις

ἐπιβαίνειν ἀσφαλὲς, τοῖς τὴν ἕξιν τελειοτέροις· οὐ A καλὸν δὲ τοῖς ἁπλουστέροις ἔτι καὶ τὴν ἔφεσιν λιχνοτέροις, ὥσπερ οὐδὲ τροφὴ τελεία λυσιτελὴς τοῖς ἁπαλοῖς ἔτι καὶ δεομένοις γάλακτος.

more cum Deo pugnant, nec serpentis virus suis captionibus imitentur, sed bona quidem erat, si quis opportune ad illam accessisset. Planta enim illa (ut ego quidem existimo) erat contemplatio, ad quam soli tuto accedunt, qui habitu perfecti sunt, qui autem cupidiores atque intemperantiores non item. Quemadmodum nec perfectus et solidus cibus tenerioribus adhuc et lacte indigentibus prodest.

Ἔτι περὶ τῆς θείας δημιουργίας, τοῦ Νύσσης ἐκ τοῦ κατηχητικοῦ λόγου.

Τὸ νῦν ἐν ἀτόποις εἶναι τὴν ἀνθρωπίνην ζωὴν οὐχ ἱκανός ἐστιν ἔλεγχος τοῦ μηδέποτε τὸν ἄνθρωπον ἐν ἀγαθοῖς γεγενῆσθαι. Ἐπειδὴ γὰρ Θεοῦ ἔργον ὁ ἄνθρωπος τοῦ δι' ἀγαθότητα τὸ ζῶον τοῦτο παραγαγόντος εἰς γένεσιν, οὐκ ἄν τις εὐλόγως, οὗ ἡ αἰτία τῆς συστάσεως ἀγαθότης ἐστὶ, τοῦτον ἐν κακοῖς γεγενῆσθαι παρὰ τοῦ πεποιηκότος καθυποπτεύσειεν, B ἀλλ' ἕτερόν ἐστιν αἴτιον τοῦ ταῦτά τε νῦν περὶ ἡμᾶς εἶναι, καὶ τῶν προτέρων ἐρημωθῆναι. Ὁ γὰρ ἐπὶ μετουσίᾳ τῶν ἰδίων ἀγαθῶν ποιήσας τὸν ἄνθρωπον, καὶ πάντων αὐτῷ τῶν καλῶν ἀφορμὰς ἐγκατασκευάσας τῇ φύσει, ὡς ἂν δι' ἑκάστου καταλλήλως πρὸς τὸ ὅμοιον ἡ ὄρεξις φέροιτο, οὐκ ἂν τοῦ καλλίστου τε καὶ τιμιωτάτου τῶν ἀγαθῶν ἀπεστέρησε, λέγω δὴ τῆς κατὰ τὸ ἀδέσποτον καὶ αὐτεξούσιον χάριτος. Εἰ γάρ τις ἀνάγκη τῆς ἀνθρωπίνης ἐπεστάτει ζωῆς, διεψεύσθη ἂν ἡ εἰκὼν κατ' ἐκεῖνο τὸ μέρος ἀλλοτριωθεῖσα τῷ ἀνομοίῳ πρὸς τὸ ἀρχέτυπον. Τῆς γὰρ βασιλευούσης φύσεως ἡ ἀνάγκαις τισὶν ὑπεζευγμένη τε καὶ δουλεύουσα πῶς ἂν εἰκὼν ὠνομάζετο; Οὐκοῦν τὸ διὰ πάντων πρὸς τὸ Θεῖον C ὡμοιωμένον ἔδει πάντως ἔχειν ἐν τῇ φύσει τὸ αὐτοκρατὲς καὶ ἀδέσποτον, ὥστε ἆθλον ἀρετῆς εἶναι τὴν τῶν ἀγαθῶν μετουσίαν. Πόθεν οὖν, ἐρεῖς, ὁ διὰ πάντων τοῖς καλλίστοις τετιμημένος τὰ χείρω τῶν ἀγαθῶν ἀντηλλάξατο; Σαφὴς καὶ ὁ περὶ τούτου λόγος. Οὐδεμία κακοῦ γένεσις ἐκ τοῦ θείου βουλήματος τὴν ἀρχὴν ἔσχεν· ἢ γὰρ ἂν ἔξω μέμψεως ἦν ἡ κακία, Θεὸν αὐτῆς ἐπιγραφομένη ποιητὴν καὶ πατέρα. Ἀλλ' ἐμφύεταί πως τὸ κακὸν ἔξωθεν τῇ προαιρέσει, τότε συνιστάμενον, ὅταν τις ἀπὸ τοῦ καλοῦ γένηται τῆς ψυχῆς ἀναχώρησις. Καθάπερ γὰρ ἡ μὲν ὅρασις φύσεώς ἐστιν ἐνέργεια, ἡ δὲ πήρωσις στέρησίς ἐστι τῆς φυσικῆς ἐνεργείας· οὕτω καὶ ἡ ἀρετὴ πρὸς τὴν κακίαν ἀντικαθέστηκεν. Οὐ γάρ ἐστιν ἄλλως κακίας γένεσιν ἐννοῆσαι ἢ ἀρε- D τῆς ἀπουσίᾳ. Ὥσπερ γὰρ, τοῦ φωτὸς ὑφαιρεθέντος, ὁ ζόφος ἐπηκολούθησε, παρόντος δὲ οὐκ ἔστιν· οὕτως, ἕως ἂν παρῇ τὸ ἀγαθὸν ἐν τῇ φύσει, ἀνύπαρκτόν ἐστι καθ' ἑαυτὴν ἡ κακία. Ἡ δὲ τοῦ κρείττονος ἀναχώρησις τοῦ ἐναντίου γίνεται γένεσις. Ἐπεὶ οὖν τοῦτο τῆς αὐτεξουσιότητός ἐστι τὸ ἰδίωμα, τὸ κατ' ἐξουσίαν αἱρεῖσθαι τὸ καταθύμιον, οὐχ ὁ Θεός σοι τῶν παρόντων ἐστὶν αἴτιος κακῶν, ἀδέσποτόν τι καὶ ἄνετόν σοι κατασκευάσας τὴν φύσιν, ἀλλ' ἡ ἀβουλία, τὸ χεῖρον ἀντὶ τοῦ κρείττονος προελομένη.

Item de opificio Dei, ex oratione catechetica Gregorii Nyssæ pontificis.

Non idoneo probatur argumento, nunquam in bonis hominem fuisse, quod nunc in malis versetur humana vita. Nam cum homo sit opus Dei, qui animal hoc propter bonitatem procreavit, nemo illum, cujus procreandi causa bonitas fuit, in malis a procreatore fuisse genitum merito suspicetur. Itaque alia causa est, quamobrem nunc et molestiis ærumnisque premamur, et pristinis commodis privati simus. Qui enim hominem propriorum bonorum participem fecerat, ejusque naturæ inseverat virtutum omnium semina, ut singulis vicissim excolendis ad similitudinem suam incenderetur, pulcherrimi ac præstantissimi muneris, liberæ nimirum et nullius imperio subjectæ voluntatis, expertem non reliquisset. Etenim si qua necessitas humanæ vitæ fuisset imposita, falsam in ea quidem parte imaginem retulisset, alienaque ab exemplari propter dissimilitudinem exstitisset. Qui enim necessitatibus obnoxia deserviensque natura regnantis imago nominaretur? Oportebat igitur, ut, quod in omnibus Deo simile factum erat, naturæ libertatem nullius imperio subjectam obtineret, ut virtutis præmium esset bonorum adeptio. Cur igitur, inquies, qui pulcherrimis omnibus dotibus ornatus erat, mala bonis anteposuit? Facilis est ad hoc responsio est. Nullus mali ortus a Dei voluntate principium habet. Alioqui vitium reprehendi non posset, si Deum auctorem suum et causam afferret. Sed extrinsecus quodammodo malum innascitur, cum animus proposito ac voluntate sua recedit ab honestate. Nam ut visus est actio naturæ, cæcitas autem privatio naturalis actionis, sic virtus et vitium inter se contraria sunt. Neque enim aliter gignitur vitium, nisi virtutis absentia. Sicut enim ablato lumine tenebræ subsequuntur, eo autem præsente nullæ sunt, ita quandiu est in natura bonum, malum per se nihil est. Bono autem recedente contrarium ingreditur. Cum igitur liberæ voluntatis hoc proprium sit, ut arbitratu suo, quod magis libet, complectatur Deus, qui liberam tibi naturam tribuit, tuorum non est malorum auctor, sed temeritas tua, quæ melioribus omissis deteriora consequitur.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ὅτι μὲν ἐκτραπήσεται τοῦ ἀγαθοῦ τὸ ἀνθρώπινον, οὐκ ἠγνόησεν ὁ πάντα ἐμπερικρατῶν τῇ γνωστικῇ δυνάμει, καὶ τὸ ἐφεξῆς τῷ παρῳχηκότι

Ex eadem oratione.

Hominem a bono recessurum non ignorabat Deus, qui scientia sua cuncta comprehendit, et futura perinde atque præsentia contuetur. Verum ut

discessum ipsius ad malum, sic ejusdem reditum ad bonum providebat. Utrum igitur melius fuit, naturam nostram, quam a bono declinaturam prospiciat, omnino non procreare, an procreatam atque ægrotantem ad pristinam gratiam revocare per pœnitentiam? Jam propter molestias et incommoda, quæ caducæ corporis naturæ contingunt necessario, Deum arbitrari malorum etiam effectorem, aut hominis non esse creatorem existimare, ne simul etiam eorum, quæ nos angunt et cruciant, auctor judicetur, nimis angusti ac dementis animi est, hominumque malum et bonum sensu dijudicantium, qui nesciunt, id solum esse naturæ nostræ bonum, quod sensus non percipit, idque rursus malum, quod a vero bono alienum est. Rebus autem molestis jucundisve bonum a malo distinguere animalium est rationis expertium, in quæ, quoniam mentem cogitationemque non habent, veri boni cognitio non cadit.

Item de opificio Dei, sancti Maximi.

Mens primum infinitam omnibus in rebus Dei magnitudinem cogitans, et pelagus illud in quo nullum reperit vadum, admiratur. Deinde obstupescit, quomodo rerum omnium essentiam ex nihilo procrearit. Facessant hinc Græci, qui ex nihilo negant quidquam fieri. Nos, quemadmodum magnificentiæ divinæ nullus est terminus, ita sapientiæ potentiæque nullum esse finem dicimus.

Ejusdem.

Eorum quæ facta sunt a Deo, partim ratione et mente prædita sunt, in eaque tum virtus, aut vitium, tum scientia, aut ignorantia cadit; partim diversa sunt corpora ex contrariis, nempe terra, aqua, aere, igneque compacta. Et alia quidem sunt corporis materiæque prorsus expertia, licet quædam ex his sint cum corporibus conjuncta: alia ex materia et forma tantum constant.

Ejusdem.

Qua de causa Deus rerum universitatem fabricatus sit, licet investigare. Nam bonitate compulsus cuncta procreavit, quo benignitas ejus in plura sese diffunderet, omnibusque pro suo cuique modulo communicaret. Quomodo autem hæc, aut cur non antea fecerit inquirere nefas est. Etenim ex rebus divinis aliæ comprehendi ab hominibus possunt, aliæ minime. *Petulans* enim, inquit ille, *et nullo freno cohibita investigatio homines fere præcipites agit.*

Ejusdem.

Quatuor ex divinis proprietatibus, per quas omnia consistunt, reguntur, et conservantur, summa benignitate Deus, cum essentiam ratione menteque præditam procrearet, communicavit, esse, semper esse, bonitatem, et sapientiam. Horum duo tribuit essentiæ, nimirum ut esset, et semper esset. Duo reliqua nempe bonitatem et sapientiam, aptæ

A κατὰ τὸ ἴσον βλέπων· ἀλλ' ὥσπερ τὴν παρατροπὴν ἐθεάσατο, οὕτω καὶ τὴν ἀνάκλησιν αὐτοῦ πάλιν τὴν πρὸς τὸ ἀγαθὸν κατενόησε. Τί οὖν ἄμεινον ἦν, καθόλου μὴ ἀγαγεῖν τὴν φύσιν ἡμῶν εἰς γένεσιν, ἐπειδὴ προεώρα τοῦ καλοῦ διαμαρτήσεσθαι τὸν γενησόμενον, ἢ ἀγαγόντα καὶ νενοσηκυῖαν πάλιν πρὸς τὴν ἐξ ἀρχῆς χάριν διὰ μετανοίας ἀνακαλέσασθαι; Τὸ δὲ διὰ τὰς σωματικὰς ἀλγηδόνας, αἳ τῷ ῥευστῷ τῆς φύσεως κατ' ἀνάγκην ἐπισυμβαίνουσι, κακῶν ποιητὴν τὸν Θεὸν ὀνομάζειν, ἢ μηδὲ ὅλως ἀνθρώπου κτίστην αὐτὸν οἴεσθαι, ὡς ἂν μὴ καὶ τῶν ἀλγυνόντων ἡμᾶς αἴτιος ὑπονοοῖτο, τοῦτο τῆς ἐσχάτης μικροψυχίας ἐστὶ τῶν τῇ αἰσθήσει τὸ καλὸν καὶ τὸ κακὸν διακρινόντων, οἳ οὐκ ἴσασιν, ὅτι ἐκεῖνο τῇ φύσει μόνον ἐστὶν ἀγαθὸν, οὗ αἴσθησις οὐκ ἐφάπτεται, καὶ μόνον ἐκεῖνο κακὸν, ἡ τοῦ ἀληθινοῦ
B καλοῦ ἀλλοτρίωσις. Πόνοις δὲ καὶ ἡδοναῖς τὸ καλὸν καὶ τὸ μὴ καλὸν κρίνειν τῆς ἀλόγου φύσεώς ἐστιν ἴδιον, ἐφ' ὧν ἡ τοῦ ἀληθῶς καλοῦ κατανόησις, διὰ τὸ μὴ μετέχειν αὐτὰ νοῦ καὶ διανοίας, χώραν οὐκ ἔχει.

Ἔτι περὶ τῆς θείας δημιουργίας, τοῦ ἁγίου Μαξίμου.

Πρῶτον μὲν θαυμάζει ὁ νοῦς τὴν θείαν ἐννοούμενος κατὰ πάντα ἀπειρίαν καὶ τὸ ἀνέκβατον ἐκεῖνο πέλαγος· δεύτερον δὲ ἐκπλήττεται, πῶς ἐκ τοῦ μὴ ὄντος τὴν τῶν ὄντων οὐσίαν εἰς τὸ εἶναι παρήγαγεν. Ἕλληνες μὲν οὖν ἐῤῥέτωσαν, μηδὲν ἐξ οὐκ ὄντων γενέσθαι λέγοντες· ἡμεῖς δέ φαμεν, ὅτι ὥσπερ τῆς
C μεγαλωσύνης τοῦ πεποιηκότος οὐκ ἔστι πέρας, οὕτως οὐδὲ τῆς σοφίας καὶ δυνάμεως αὐτοῦ κατάληξις.

Τοῦ αὐτοῦ.

Τῶν ὑπὸ τοῦ Θεοῦ γεγονότων τὰ μέν εἰσι λογικὰ καὶ νοερὰ, καὶ τῶν ἐναντίων δεκτικὰ, οἷον ἀρετῆς καὶ κακίας, γνώσεως καὶ ἀγνωσίας· τὰ δὲ σώματα διάφορα ἐκ τῶν ἐναντίων συνεστῶτα, τουτέστι γῆς, ἀέρος, ὕδατος, πυρός. Καὶ τὰ μέν εἰσιν ἀσώματα πάντη καὶ ἄϋλα, εἰ καί τινα τούτων συνέζευκται σώματι· τὰ δὲ ἐξ ὕλης καὶ εἴδους μόνον ἔχει τὴν σύστασιν.

Τοῦ αὐτοῦ.

Δι' ἣν μὲν αἰτίαν ὁ Θεὸς ἐδημιούργησε ζητητέον· δι' ἀγαθότητα γὰρ, ἵνα πλείονα εἴη τὰ εὐεργετού-
D μενα ἀναλόγως αὐτοῦ μετέχοντα· πῶς δὲ ἐδημιούργησε, καὶ διὰ τί μὴ πρότερον; οὐ ζητητέον· ἀνεξερεύνητα γάρ. Διότι τῶν θείων τὰ μὲν ληπτὰ, τὰ δὲ ἄληπτα τοῖς ἀνθρώποις. *Θεωρία γὰρ*, φησὶν, *ἀχαλίνωτος τάχα ἂν καὶ κατὰ κρημνῶν ὤσειε.*

Τοῦ αὐτοῦ.

Τέσσαρα τῶν θείων ἰδιωμάτων συνεκτικὰ, καὶ φρουρητικὰ, καὶ διασωστικὰ τῶν ὄντων δι' ἄκραν ἀγαθότητα ἐκοινώνησεν ὁ Θεὸς, παραγαγὼν εἰς τὸ εἶναι τὴν λογικὴν καὶ νοερὰν οὐσίαν· τὸ ὂν, τὸ ἀεὶ ὂν, τὴν ἀγαθότητα, καὶ τὴν σοφίαν. Τούτων δὲ τὰ δύο μὲν τῇ οὐσίᾳ παρέσχε, τὸ ὂν καὶ τὸ ἀεὶ ὄν· τὰ δύο δὲ τῇ γνωμικῇ ἀπένειμεν ἐπιτηδειότητι, τὴν

ἀγαθότητα καὶ τὴν σοφίαν, ἵνα ἅπερ ἐστὶν αὐτὸς κατ' οὐσίαν, γένηται ἡ κτίσις κατὰ μετουσίαν. Διὰ ταῦτα καὶ κατ' εἰκόνα Θεοῦ, καὶ καθ' ὁμοίωσιν ὁ ἄνθρωπος δημιουργηθῆναι λέγεται· κατ' εἰκόνα μὲν, ὡς ὄντος ὢν, καὶ ἀεὶ ὄντος ἀεὶ ὢν, εἰ καὶ μὴ ἀνάρχως αὐτὸς, ἀλλ' ἀτελευτήτως· καθ' ὁμοίωσιν δὲ, ὡς ἀγαθοῦ ἀγαθὸς, καὶ σοφοῦ σοφὸς, τοῦ κατὰ φύσιν ὁ κατὰ χάριν. Ἀλλὰ κατ' εἰκόνα μέν εἰσι πάντες ἁπλῶς ἄνθρωποι, καθ' ὁμοίωσιν δὲ μόνοι οἱ ἀγαθοὶ καὶ σοφοί.

Τοῦ αὐτοῦ.

Πᾶσα λογικὴ καὶ νοερὰ οὐσία διῄρηται εἴς τε τὴν ἀγγελικὴν καὶ τὴν ἀνθρωπίνην φύσιν· καὶ ἡ μὲν ἀγγελικὴ διῄρηται πάλιν εἰς δύο καθολικὰς γνώμας καὶ ἀγέλας, εἰς ἁγίας τε Δυνάμεις καὶ εἰς ἐναγεῖς δαίμονας· ἡ δὲ ἀνθρωπίνη πάλιν εἰς δύο καθολικὰς γνώμας καὶ ἀγέλας, εἰς εὐσεβεῖς καὶ εἰς ἀσεβεῖς.

Τοῦ αὐτοῦ.

Νοερὸν μέν ἐστι τὸ νοοῦν, νοητὸν δὲ νοούμενον. Τροφὴ δέ τινα τοῦ νοοῦντος τρόπον τὸ νοούμενον. Οὕτω μὲν οὖν κυρίως· λέγονται δὲ καὶ ἐναλλὰξ καταχρηστικῶς.

Τοῦ αὐτοῦ.

Ζητητέον τοῖς σπουδαιοτέροις τίνα καθήκει νοεῖν εἶναι τὰ ἔργα, ὧν ἤρξατο τῆς γενέσεως ὁ Θεὸς, καὶ τίνα πάλιν ὧν οὐκ ἤρξατο. Εἰ γὰρ πάντων κατέπαυσε τῶν ἔργων ὧν ἤρξατο ποιῆσαι, δῆλον ὡς ἐκείνων οὐ κατέπαυσεν, ὧν οὐκ ἤρξατο ποιῆσαι. Μή ποτε οὖν ἔργα μὲν θεῖα χρονικῶς ἠργμένα τοῦ εἶναί εἰσι πάντα τὰ τοῦ εἶναι μετέχοντα, οἷον αἱ διάφοροι τῶν ὄντων οὐσίαι· τὸ γὰρ μὴ ὂν ἔχουσιν αὐτῶν τοῦ εἶναι πρεσβύτερον. Ἦν γάρ ποτε ὅτε οὐκ ἦν. Ἔργα δὲ Θεοῦ οὐκ ἠργμένα χρονικῶς, ὄντα μεθεκτὰ, ὧν κατὰ χάριν μετέχουσι τὰ ὄντα μετέχοντα, οἷον ἡ ἀγαθότης καὶ πᾶν εἴ τι τῷ τῆς ἀγαθότητος ἐμπεριέχεται λόγῳ· καὶ ἁπλῶς πᾶσα ζωὴ, καὶ ἀθανασία, καὶ ἁπλότης, καὶ ἀτρεψία, καὶ ἀπειρία, καὶ ὅσα περὶ Θεὸν οὐσιωδῶς θεωρεῖται, ἅτινα καὶ ἔργα Θεοῦ εἰσι, καὶ οὐκ ἠργμένα χρονικῶς. Οὐ γάρ ποτε πρεσβύτερον ἀρετῆς τὸ οὐκ ἦν, οὐδέ τινος ἄλλου τῶν εἰρημένων. Οὐκ ἦν γάρ ποτε, ὅτε οὐκ ἦν ταῦτα, ἄναρχά τε ὄντα χρονικῶς, καὶ μόνον τὸν Θεὸν ἔχοντα τοῦ εἶναι μονιμώτατον ἀϊδίως γεννήτορα. Τὰ μέντοι ἠργμένα χρονικῶς καὶ εἰσὶ, καὶ λέγονται τοῦθ' ὅπερ καὶ εἰσὶ, καὶ λέγονται.

Τοῦ αὐτοῦ

Πᾶσα ἡ νοερὰ οὐσία καὶ ἡ αἰσθητικὴ ἔλαβον δυνάμεις παρὰ τοῦ κτίσαντος ἀντιληπτικὰς τῶν ὄντων· ἡ μὲν νοερὰ τὰς νοήσεις, ἡ δὲ αἰσθητικὴ τὰς αἰσθήσεις.

Τοῦ αὐτοῦ.

Ὁ μὲν δημιουργήσας Θεὸς μετέχεται μόνον, ἡ δὲ κτίσις πᾶσα καὶ μετέχει, καὶ μεταδίδωσι. Καὶ

A animi largitus est habitudini, ut quæ per essentiam ipse est, eorum res procreatæ participes fierent. Quamobrem homo factus esse dicitur ad imaginem et ad similitudinem Dei. Ad imaginem quidem, quoniam ex eo, qui est, exsistit : et ex eo qui semper est, semper exsistit. Quamvis enim non sine principio sit, nunquam tamen esse desinet. Ad similitudinem vero, quoniam a bono bonus, et a sapiente sapiens, licet ille sit ejusmodi per naturam, ipse autem per gratiam. Verum cum omnes pariter homines ad imaginem sint, soli boni sapientesque sunt ad similitudinem.

Ejusdem.

Essentia omnis, quæ ratione ac mente prædita est, in angelicam naturam dividitur et humanam.
B Angelica rursum in duas veluti classes gregesque secernitur, in sanctas Potestates, et exsecrandos dæmones. Humana item secatur in duas partes, in homines pios et impios.

Ejusdem.

Intelligens dicitur id, quod mente utitur. Intelligitur id, quod mente comprehenditur. Intelligentis cibus quodammodo est id, quod animo menteque percipitur. Ita quidem proprie; abusive autem enuntiantur ordine mutato.

Ejusdem.

A studiosioribus est investigandum, quænam sint illæ res, quas facere cœpit Deus, et quæ rursum illæ quas nunquam cœpit. Nam si requievit
C ab omnibus, quas cœpit facere, ab illis profecto quas facere nunquam cœpit, quievit nunquam. Quibus igitur impertitum est, ut sint, eæ temporis habent initium, quales sunt variæ rerum naturæ, quibus ipsum nihilum est antiquius. Fuit enim aliquando, cum ipsæ non essent. Temporis autem principium non habent, quæ communicantur, quarum aliæ res per gratiam participes sunt, qualis est bonitas, et quidquid bonitatis ratione comprehenditur, et omnis vita, et immortalitas, et simplicitas, et immutabilitas, et infinitas, et quæcunque in Dei essentia considerantur, quæ nullum habent initium temporis. Nunquam enim aut virtute aut ulla earum rerum, quæ commemoratæ sunt,
D ipsum nihilum fuit antiquius. Nunquam enim fuit, cum hæ non essent quæ, quantum ad tempus pertinet, sine principio sunt, et ab omni æternitate solum Deum habent auctorem, ut sint. Nam quæ in tempore cœperunt esse, et sunt, et dicuntur id ipsum quod sunt, et dicuntur.

Ejusdem.

Naturæ tam intelligentes, quam sentientes acceperunt a rerum omnium procreatore facultates, quibus res ipsas comprehenderent, intelligentes quidem, mentem et cogitationem, sentientes autem ipsos sensus

Ejusdem.

Procreator Deus largitur tantummodo. Res autem omnes procreatæ et accipiunt, et largiuntur. Accipiunt

enim, ut sint, et bene sint. Largiuntur autem aliis tantum, ut bene sint. Atque ex his illæ, quæ sunt corporis expertes tum dicendo, tum agendo, tum spectando largiuntur aliis, ut bene sint. Quæ vero corporeæ sunt, dum spectantur duntaxat. Ac sanctæ quidem illæ Potestates splendoris radios inter se vicissim communicant et largiuntur. Hominibus vero tum virtutem suam impartiunt, dum eos Deo similes reddunt: tum cognitionis suæ faciunt illos participes, dum eos docent aliquid vel de Deo sublimius, vel de rebus corpore carentibus profundius, vel de corporeis exquisitius, vel de providentia verius, vel de judicio clarius

Ejusdem.

Rebus procreatis, ut simpliciter sint, per essentiam concessum est; ut bene sint per liberam voluntatem; ut semper bene sint, per gratiam. Qui autem ab eo excidunt, ut semper bene sint, in id incurrunt, ut semper misere sint.

TITULUS VII.

De divina humanæ carnis assumptione. Areopagitæ, ex libro de divinis Nominibus, cap. 1.

Summa illa Divinitas singulariter amat humanum genus, quippe quæ in una suarum personarum vere atque integre naturam nostram assumpsit, ad se revocans, sibique applicans infimam hominum humilitatem, ex qua, qui simplex est, Jesus inexplicabili ratione compositus est: et qui æternus est, temporis extensionem accepit: et qui omnem totius naturæ ordinem supra modum essentiæ superat, intra naturæ nostræ terminos genitus est, ita tamen, ut quæ ipsius sunt propria, haudquaquam mutata, aut confusa eonservet.

Ejusdem ex cap. 2, de conjuncta distinctaque Divinitatis ratione.

Quinetiam (id quod in omni theologia maxime perspicuum est) divina Jesu in natura nostra formatio, nec oratione ulla explicari, nec ab ulla mente, nec ab ipso quidem antiquissimorum angelorum primo potest intelligi. Nam quod humanam essentiam assumpserit, ex mysteriis accepimus. Quomodo autem ex virgineis sanguinibus, alia lege præter naturam formatus sit, et quomodo super humidam et instabilem aquæ naturam siccis pedibus molem corpoream et materiæ pondus habentibus ambulaverit, et reliqua omnia, quæ natura præstantiora in ipso Jesu considerantur, effecerit, ignoramus.

Ejusdem ex epistola ad Gaium medicum.

Quomodo, inquies, Jesus, qui omnibus antecellit, cum omnibus per essentiam constitutus est? Neque enim, ut est hominum auctor, sed ut tota ipsa hominis essentia vere homo exsistit, homo dicitur. Nos autem non humana ratione Jesum definimus. Neque enim est homo tantum, neque essentia præstantior, quatenus homo solum; sed vere est homo, qui eximie homines diligens supra homines, et secundum homines, ex hominum essentia, cum essentia supe-

μετέχει μὲν τοῦ εἶναι, καὶ τοῦ εὖ εἶναι, μεταδίδωσι δὲ τοῦ εὖ εἶναι μόνον. Ἀλλ' ἡ μὲν ἀσώματος οὐσία καὶ λέγουσα, καὶ πράττουσα, καὶ θεωρουμένη τοῦ εὖ εἶναι μεταδίδωσιν· ἡ δὲ σωματικὴ θεωρουμένη μόνον. Αἱ μέντοι ἅγιαι δυνάμεις ἀλλήλαις μὲν φωτισμοῦ μεταδιδόασι, τοῖς ἀνθρώποις δὲ τῆς τε αὐτῶν ἀρετῆς, καὶ θεοειδεῖς αὐτοὺς ἐργαζόμεναι, καὶ τῆς ἐν αὐταῖς γνώσεως ἐν τῷ διδάσκειν ἢ περὶ Θεοῦ τι ὑψηλότερον, ἢ περὶ ἀσωμάτων βαθύτερον, ἢ περὶ σωμάτων ἀκριβέστερον, ἢ περὶ προνοίας τρανότερον, ἢ περὶ κρίσεως σαφέστερον.

Τοῦ αὐτοῦ.

Ὁ μὲν τοῦ ἁπλῶς εἶναι τρόπος κατ' οὐσίαν δέδοται τῇ λογικῇ κτίσει· ὁ δὲ τοῦ εὖ εἶναι κατὰ προαίρεσιν· ὁ δὲ τοῦ ἀεὶ εὖ εἶναι κατὰ χάριν. Οἱ μέντοι τοῦ ἀεὶ εὖ εἶναι ἀποτυγχάνοντες τὸ ἀεὶ φεῦ εἶναι λαμβάνουσιν.

ΤΙΤΛΟΣ Ζ'.

Περὶ τῆς θείας ἐνανθρωπήσεως, τοῦ Ἀρεοπαγίτου ἐκ τοῦ λόγου τοῦ περὶ θείων ὀνομάτων, κεφάλ. α'.

Φιλάνθρωπον διαφερόντως ἡ θεαρχία, ὅτι τῶν καθ' ἡμᾶς πρὸς ἀλήθειαν ὁλικῶς ἐν μιᾷ τῶν αὐτῆς ὑποστάσεων ἐκοινώνησεν, ἀνακαλουμένη πρὸς ἑαυτὴν, καὶ ἀνατιθεῖσα τὴν ἀνθρωπίνην ἐσχατιὰν, ἐξ ἧς ἀφθέγκτως ὁ ἁπλοῦς Ἰησοῦς συνετέθη, καὶ παράτασιν εἴληφε χρονικὴν ὁ ἀΐδιος, καὶ εἴσω τῆς καθ' ἡμᾶς ἐγεγόνει φύσεως ὁ πάσης τῆς κατὰ φύσιν πᾶσαν τάξεως ὑπερουσίως ἐκβεβηκὼς μετὰ τῆς ἀμεταβόλου καὶ ἀσυγχύτου τῶν οἰκείων ἱδρύσεως.

Τοῦ αὐτοῦ ἐκ τοῦ β' κεφαλαίου τοῦ περὶ ἡνωμένης καὶ διακεκριμένης θεολογίας.

Ἀλλὰ καὶ τὸ πάσης θεολογίας ἐκφανέστατον, ἡ καθ' ἡμᾶς Ἰησοῦ θεοπλαστία, καὶ ἄῤῥητός ἐστι λόγῳ παντὶ, καὶ ἄγνωστος νῷ παντὶ, καὶ αὐτῷ τῷ πρωτίστῳ τῶν πρεσβυτάτων ἀγγέλων. Καὶ τὸ μὲν ἀνδρικῶς αὐτὸν οὐσιωθῆναι μυστικῶς παρειλήφαμεν· ἀγνοοῦμεν δὲ ὅπως ἐκ παρθενικῶν αἱμάτων ἑτέρῳ παρὰ τὴν φύσιν διεπλάττετο θεσμῷ, καὶ ὅπως ἀβρόχοις ποσὶ σωματικὸν ὄγκον ἔχουσι καὶ ὕλης βάρος ἐπορεύετο τὴν ὑγρὰν καὶ ἄστατον οὐσίαν, καὶ τὰ ἄλλα ὅσα τῆς ὑπερφυοῦς ἐστιν Ἰησοῦ φυσιολογίας.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Γάϊον θεραπευτὴν ἐπιστολῆς.

Πῶς, φῄς, Ἰησοῦς ὁ πάντων ἐπέκεινα πᾶσίν ἐστιν οὐσιωδῶς συντεταγμένος; Οὐ γὰρ ὡς αἴτιος ἀνθρώπων λέγεται ἄνθρωπος, ἀλλ' ὡς αὐτὸ κατ' οὐσίαν ὅλην ἀληθῶς ἄνθρωπος ὤν. Ἡμεῖς δὲ τὸν Ἰησοῦν οὐκ ἀνθρωπικῶς ἀφορίζομεν. Οὐδὲ γὰρ ἄνθρωπος μόνον, οὐδὲ ὑπερούσιος, ἢ ἄνθρωπος μόνον, ἀλλ' ἄνθρωπος ἀλτηθῶς ὁ διαφερόντως φιλάνθρωπος, ὑπὲρ ἀνθρώπους, καὶ κατὰ ἀνθρώπους, ἐκ τῆς ἀνθρώπων οὐσίας ὁ ὑπερούσιος οὐσιωμένος. Ἔστι

…οὐδὲν ἧττον ὑπερουσιότητος ὑπερπλήρης ὁ ἀεὶ ὑπερούσιος. Ἀμέλει τῇ ταύτης περιουσίᾳ, καὶ εἰς οὐσίαν ἀληθῶς ἐλθὼν ὑπὲρ οὐσίαν οὐσιώθη, καὶ ὑπὲρ ἄνθρωπον ἐνήργει τὰ ἀνθρώπου. Καὶ δηλοῖ παρθένος ὑπερφυῶς κύουσα, καὶ ὕδωρ ἄστατον ὑλικῶν καὶ γεηρῶν ποδῶν ἀνέχον βάρος, καὶ μὴ ὑπεῖκον, ἀλλ' ὑπερφυεῖ δυνάμει πρὸς τὸ ἀδιάχυτον συνιστάμενον. Τί ἄν τις τὰ πολλὰ πάμπολλα ὄντα διέλθοι, δι' ὧν ὁ θείως ὁρῶν ὑπὲρ νοῦν γνώσεται καὶ τὰ ἐπὶ τῇ φιλανθρωπίᾳ τοῦ Ἰησοῦ καταφασκόμενα, δύναμιν ὑπεροχικῆς ἀποφάσεως ἔχοντα; Καὶ γὰρ, ἵνα συνελόντες εἴπωμεν, οὐδὲ ἄνθρωπος ἦν, οὐχ ὡς μὴ ἄνθρωπος, ἀλλ' ὡς ἐξ ἀνθρώπων, ἀνθρώπων ἐπέκεινα, καὶ ὑπὲρ ἄνθρωπον ἀληθῶς ἄνθρωπος γεγονώς. Καὶ τὸ λοιπὸν οὐ κατὰ ἄνθρωπον τὰ ἀνθρώπινα, ἀλλὰ ἀνδρωθέντος Θεοῦ, καινήν τινα τὴν θεανδρικὴν ἐνέργειαν ἡμῖν πεπολιτευμένος.

A rior esset, essentiam assumpsit humanam, et essentia tamen omnem essentiam superante, ut qui semper essentia sit exellentior, quam plenissimus. Hac nimirum exuberans excellentia, cum ad nostram essentiam vere descenderet, eam ratione ipsam essentiam superante assumpsit, et res humanas supra hominem gessit. Indicia sunt, Virgo supra naturam concipiens, et aqua instabilis pedum ex materia constantium et terrenorum pondus sustinens et nihil cedens, sed potentia naturam aquæ vincente ad solidam se redigens firmitatem. Quis ea præ multitudine persequatur, ex quibus, qui divine cernit, supra intelligentiam intelliget, illa etiam, quæ de humanitate Jesu affirmantur, excellentissimæ negationis vim obtinere? Atque ut eorum summam paucis complectamur,
B neque homo erat, non quod non esset homo, sed quod ex hominibus, præstantius, quam homines, et supra hominem vere homo factus est, et deinceps neque divinam ut Deus, neque humanam ut homo, sed (Deo homine facto) novam quamdam ex divina humanaque ratione permistam actionem nobiscum versans exhibuit.

Τοῦ αὐτοῦ ἐκ τῶν θεολογικῶν στοιχειώσεων.

Ἐπεὶ δὲ καὶ ἕως φύσεως ὑπὸ φιλανθρωπίας ἐλήλυθε, καὶ ἀληθῶς οὐσιώθη, καὶ ἀνὴρ ὁ ὑπέρθεος ἐχρημάτισεν (ἵλεω δὲ εἴη πρὸς ἡμῶν τὰ ὑπὲρ νοῦν καὶ λόγον ὑμνούμενα), κἀν τούτοις ἔχει τὸ ὑπερφυὲς καὶ ὑπερούσιον, οὐ μόνον, ᾗ ἀναλλοιώτως ἡμῖν καὶ ἀσυγχύτως κεκοινώνηκε μηδὲν πεπονθὼς εἰς τὸ ὑπερπλῆρες αὐτοῦ πρὸς τῆς ἀφθέγκτου κενώσεως, ἀλλ' ὅτι καὶ τὸ πάντων καινῶν καινότατον ἐν τοῖς φυσικοῖς ἡμῶν ὑπερφυὴς ἦν, ἐν τοῖς κατ' οὐσίαν ὑπερούσιος, πάντα ἡμῶν ὑπὲρ ἡμᾶς ὑπερέχων.

Ejusdem ex theologicis elementis.

Sed quoniam suo erga nos amore incitatus ad nostram usque naturam venit, et qui summus Deus est, vere factus et vocatus est homo (propitia sint, quæ mentem et rationem superantia a nobis celebrantur), in his quoque vis ejus natura essentiaque sublimior exsistit. Non solum quia nihil propter inexplicabilem exinanitionem in exuberante sua plenitudine perpessus, se nobis sine immutatione et con-
C fusione communicavit, verum etiam (quod rerum omnium admirabilium est maxime admirabile) in iis, quæ naturalia sunt, supra naturam fuit, in iis, quæ ad eundem pertinent, super essentiam, omnia quæ nostra sunt, ex nobis, et supra nos excellenti ratione possidens.

Τοῦ αὐτοῦ ἐκ τοῦ λόγου τοῦ περὶ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας.

Ἡ δὲ τῆς θεαρχικῆς ἀγαθότητος ἀπειροτάτη φιλανθρωπία ἐν ἀληθεῖ μεθέξει τῶν καθ' ἡμᾶς γενομένη ἀναμαρτήτῳ, καὶ πρὸς τὸ ταπεινὸν ἡμῶν ἑνοποιηθεῖσα μετὰ τῆς τῶν οἰκείων ἀσυγχύτου καὶ ἀλωβήτου παντελῶς ἕξεως, τὴν πρὸς αὐτὴν ἡμῖν κοινωνίαν, ὡς ὁμογενέσι λοιπὸν ἐδωρήσατο, καὶ τῶν ἰδίων ἀνέδειξε μετόχους καλῶν.

Ejusdem ex libro de ecclesiastica hierarchia.

Infinita divinæ bonitatis erga genus humanum benevolentia vere quæ nostra sunt, assumens sine peccato, seque humilitati nostræ conjungens, et quæ propria ipsius sunt, sine ulla prorsus confusione imminutioneque retinens, nobis jam ut cognatis se communicavit, et nos bonorum suorum participes fecit.

Ἐκ τοῦ λόγου τοῦ περὶ τῆς οὐρανίου ἱεραρχίας.

Ἀνανεύσω δὲ καὶ πρὸς τὰς ὑπερτάτας τῶν λογίων θεοφανείας· ὁρῶ γὰρ ὅτι καὶ αὐτὸς Ἰησοῦς ἡ τῶν ὑπερουρανίων οὐσιῶν ὑπερούσιος αἰτία, πρὸς τὸ καθ' ἡμᾶς ἀμεταβόλως ἐληλυθὼς, οὐκ ἀποπηδᾷ τῆς ὑπ' αὐτοῦ ταχθείσης καὶ αἱρεθείσης ἀνθρωποπρεπῶς εὐταξίας, ἀλλ' εὐπειθῶς ὑποτάττεται ταῖς τοῦ Πατρὸς καὶ Θεοῦ δι' ἀγγέλων διατυπώσεσιν.

D *Ejusdem ex libro de cœlesti hierarchia.*

Verum, ut summas item ac divinas sacræ Scripturæ demonstrationes contemplemur, video ipsum etiam Jesum, qui sublimium essentiarum est auctor essentia sublimior, cum ad nos sine ulla sui commutatione venisset, a lege atque ordine homini congruente, quem ipse statuerat et elegerat, non recedere, sed Patris et Dei mandatis, quæ per angelos dederat, summisse obtemperare.

Ἔτι περὶ τῆς θείας ἐνανθρωπήσεως, τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ λόγου τοῦ εἰς τὰ γενέθλια τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἐπεὶ δὲ φθόνῳ διαβόλου, καὶ γυναικὸς ἐπηρείᾳ ἥν τε ἔπαθεν ὡς ἁπαλωτέρα, καὶ ἣν προσήγαγεν ὡς πιθανωτέρα (φεῦ τῆς ἐμῆς ἀσθενείας! ἐμὴ γὰρ

Item de divina humanæ carnis assumptione, magni Gregorii Theologi ex oratione in diem Natalem Domini nostri Jesu Christi.

Sed postea quam invidia diaboli et fraudulenta illius vi, quam mulier ut et imbecillior perpessa est, et ad persuadendum aptior obtrusit viro (o infirmi-

tatem meam! mea enim est primi parentis infirmitas) A mandati, quod acceperat ipse oblitus est, et amaro pomi gustatu superatus, simul et a ligno vitæ, et a paradiso, et a Deo tanquam exsul extruditur, et pelliceis induitur vestimentis, crassiore nimirum carne, quæ mortem subiret, et spiritui repugnaret. Ac primum quidem agnoscit turpitudinem suam, atque ideo se Dei conspectum fugiens abscondit. Hic tamen lucratur mortem, per quam peccatum abscinditur, ne miseria sit immortalis, et cum supplicio beneficium conjunctum cernatur. Hac enim ratione Deus, ut mihi quidem persuadeo, punit. Cæterum cum variis occasionibus atque temporibus humanum genus multorum peccatorum, quæ illa malitiæ radix protulerat, multis modis, nempe oratione, lege, B prophetis, beneficiis, minis, plagis, eluvionibus, incendiis, bellis, victoriis, cladibus, prodigiis ex cœlo, ex aere, ex terra, ex mari, insperatis hominum, civitatum, gentium eversionibus, quibus rationibus nihil aliud agebatur, nisi ut malitia contereretur, frustra prius esset admonitum et reprehensum, et majoribus peccatis, ut mutuis homicidiis, adulteriis, perjuriis, insanis hominum amoribus et (quod omnium malorum gravissimum erat) simulacrorum cultu, quo homines neglecto Procreatore ad res procreatas colendas et adorandas se convertebant, obstringeretur, gravioraque jam ejusmodi morbi remedia medicamentaque requirerent, majora gravioraque sunt adhibita. Ipsum enim Dei Verbum, quod est ante sæcula, quod comprehendi non potest, C quod corpus non habet (et quæ sequuntur), ipsa Dei imago incommutabilis, Patris definitio et ratio, imaginem, quam homini impresserat, ipse suscipit, et propter carnem, carnem gerit, et animo ratione prædito pro salute animi mei commiscetur, ut simili similem purget, in omnibus denique, peccato tamen excepto, fit homo. Ex Virgine, cujus animum et carnem Spiritus ante purgaverat, nascitur. Decebat enim, ut et liberorum susceptio honoraretur, et illi tamen in honore virginitas anteferretur; atque ita humana forma assumpta ad nos progreditur unum ex duobus contrariis, carne et spiritu, constans, quorum hic divinitatem tribuebat, illa divinitate afficiebatur (o novam mistionem! o conjunctionem admirabilem!) D Ille, qui est effector, efficitur; qui creator est, creatur; qui comprehendi non potest, vinculo humani animi divinitatem et carnis crassitudinem copulante comprehenditur. Qui ditat alios, pauper fit. Carnis enim meæ paupertatem amplectitur, ut ego divinitatis ejus divitias assequar. Qui plenus est, exinanitur, parumper enim gloriam suam sinit exhauriri, ut ego plenitudinis ejus particeps efficiar. Quænam sunt hæ bonitatis divitiæ? Quodnam circa me mysterium apparet? Ego imaginem, cujus particeps factus eram, non servavi. Ille carnem meam suscipit, ut et imaginem servet, et carnem reddat immortalem. Alteram init societatem priore societate eo quidem longe admirabiliorem, quod in priore, præstantius quod erat, communicavit; in posteriore, quod deterius erat, accepit.

ἡ τοῦ προπάτορος), τῆς μὲν ἐντολῆς ἐπελάθετο τῆς δοθείσης, καὶ ἡττήθη τῆς πικρᾶς γεύσεως· ὁμοῦ δὲ τοῦ τῆς ζωῆς ξύλου, καὶ τοῦ παραδείσου, καὶ τοῦ Θεοῦ διὰ τὴν κακίαν ἐξόριστος γίνεται, καὶ τοὺς δερματίνους ἀμφιέννυται χιτῶνας, ἴσως τὴν παχυτέραν σάρκα, καὶ θνητὴν, καὶ ἀντίτυπον. Καὶ τοῦτο πρῶτον γινώσκει τὴν ἰδίαν αἰσχύνην, καὶ ἀπὸ Θεοῦ κρύπτεται. Κερδαίνει μέντοι κἀνταῦθα τὸν θάνατον, καὶ τὸ διακοπῆναι τὴν ἁμαρτίαν, ἵνα μὴ ἀθάνατον ᾖ τὸ κακόν· καὶ γίνεται φιλανθρωπία ἡ τιμωρία. Οὕτω γὰρ πείθομαι κολάζειν Θεόν. Πολλοῖς δὲ παιδευθεὶς πρότερον ἀντὶ πολλῶν τῶν ἁμαρτημάτων, ὧν ἡ τῆς κακίας ῥίζα ἐβλάστησε κατὰ διαφόρους αἰτίας καὶ χρόνους, λόγῳ, νόμῳ, προφήταις, εὐεργεσίαις, ἀπειλαῖς, πληγαῖς, ὕδασιν, ἐμπρησμοῖς, πολέμοις, νίκαις, ἥτταις, σημείοις ἐξ οὐρανοῦ, σημείοις ἐξ ἀέρος, ἐκ γῆς, ἐκ θαλάττης, ἀνδρῶν, πόλεων, ἐθνῶν ἀνελπίστοις μεταβολαῖς, ὑφ' ὧν ἐκτριβῆναι τὴν κακίαν τὸ σπουδαζόμενον ἦν, τέλος ἰσχυροτέρου δεῖται φαρμάκου ἐπὶ δεινοτέροις τοῖς ἀῤῥωστήμασιν, ἀλληλοφονίαις, μοιχείαις, ἐπιορκίαις, ἀνδρομανίαις, τὸ πάντων ἔσχατον τῶν κακῶν, καὶ πρῶτον, εἰδωλολατρείαις, καὶ τῇ μεταθέσει τῆς προσκυνήσεως ἀπὸ τοῦ πεποιηκότος ἐπὶ τὰ κτίσματα. Ταῦτα ἐπειδὴ μείζονος ἐδεῖτο τοῦ βοηθήματος, μείζονος καὶ τυγχάνει. Τὸ δὲ ἦν αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος ὁ προαιώνιος, ὁ ἀόρατος καὶ ἀπερίληπτος, ὁ ἀσώματος, καὶ τὰ ἑξῆς, ἡ ἀπαράλλακτος εἰκὼν, ὁ τοῦ Πατρὸς ὅρος καὶ Λόγος ἐπὶ τὴν ἰδίαν εἰκόνα χωρεῖ, καὶ σάρκα φορεῖ διὰ τὴν σάρκα, καὶ ψυχῇ νοερᾷ διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων, καὶ πάντα γίνεται, πλὴν τῆς ἁμαρτίας, ἄνθρωπος, κυηθεὶς μὲν ἐκ τῆς Παρθένου, καὶ ψυχὴν καὶ σάρκα προκαθαρθείσης τῷ Πνεύματι. Ἔδει γὰρ καὶ γέννησιν τιμηθῆναι, καὶ παρθενίαν προτιμηθῆναι. Προελθὼν δὲ Θεὸς μετὰ τῆς προσλήψεως, ἓν ἐκ δύο τῶν ἐναντίων, σαρκὸς καὶ πνεύματος, ὧν τὸ μὲν ἐθέωσε, τὸ δὲ ἐθεώθη (ὢ τῆς καινῆς μίξεως, ὢ τῆς παραδόξου κράσεως!), ὁ ὢν γίνεται, καὶ ὁ ἄκτιστος κτίζεται, καὶ ὁ ἀχώρητος χωρεῖται διὰ μέσης ψυχῆς νοερᾶς μεσιτευούσης θεότητι καὶ σαρκὸς παχύτητι, καὶ ὁ πλουτίζων πτωχεύει· πτωχεύει γὰρ τὴν ἐμὴν σάρκα, ἵν' ἐγὼ πλουτήσω τὴν αὐτοῦ θεότητα. Καὶ ὁ πλήρης κενοῦται· κενοῦται γὰρ τῆς ἑαυτοῦ δόξης ἐπὶ μικρὸν, ἵν' ἐγὼ τῆς ἐκείνου μεταλάβω πληρώσεως. Τίς ὁ πλοῦτος τῆς ἀγαθότητος; Τί τὸ περὶ ἐμὲ τοῦτο μυστήριον; Μετέλαβον τῆς εἰκόνος, καὶ οὐκ ἐφύλαξα. Μεταλαμβάνει τῆς ἐμῆς σαρκὸς, ἵνα καὶ τὴν εἰκόνα σώσῃ, καὶ τὴν σάρκα ἀθανατίσῃ. Δευτέραν κοινωνεῖ κοινωνίαν πολὺ τῆς προτέρας παραδοξοτέραν, ὅσῳ τότε μὲν τοῦ κρείττονος μετέδωκε, νῦν δὲ μεταλαμβάνει τοῦ χείρονος.

Ejusdem in Sancta Lumina.

Nam quia malitiæ inventor, qui se invictum existi-

Τοῦ αὐτοῦ ἐκ τοῦ Λόγου τοῦ εἰς τὰ ἅγια Φῶτα.

Ἐπειδὴ γὰρ ᾤετο ἀήττητος εἶναι τῆς κακίας ὁ

σοφιστής, θεότητος ἐλπίδι δελεάσας ἡμᾶς, σαρκὸς προβλήματι δελεάζεται· ἵν' ὡς τῷ Ἀδὰμ προσβαλὼν τῷ Θεῷ περιπέσῃ, καὶ οὕτως ὁ νέος Ἀδὰμ τὸν παλαιὸν ἀνασώσῃ, καὶ λυθῇ τὸ κατάκριμα τῆς σαρκὸς, σαρκὶ τοῦ θανάτου θανατωθέντος.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ὁ Υἱὸς τοῦ Θεοῦ γίνεται καὶ υἱὸς ἀνθρώπου, οὐχ ὃ ἦν μεταβαλὼν, ἄτρεπτος γάρ, ἀλλ' ὃ οὐκ ἦν προσλαβὼν, φιλάνθρωπος γάρ· ἵνα χωρηθῇ ὁ ἀχώρητος διὰ μέσης σαρκὸς ὁμιλήσας ἡμῖν, ὡς ἐκ παραπετάσματος· ἐπειδὴ καθαρὰν αὐτοῦ τὴν θεότητα φέρειν οὐ τῆς ἐν γενέσει καὶ φθορᾷ φύσεως.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Κληδόνιον πρώτης λογοειδοῦς ἐπιστολῆς.

Τὰ γὰρ ἀμφότερα ἓν τῇ συγκράσει, Θεοῦ μὲν ἐνανθρωπήσαντος, ἀνθρώπου δὲ θεωθέντος.

Τοῦ αὐτοῦ ἐκ τοῦ δευτέρου λόγου περὶ Υἱοῦ.

Εἰ γὰρ καὶ τὸ συναμφότερον ἕν, ἀλλ' οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ.

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὰ ἅγια Φῶτα λόγου.

Καὶ τοῦτο τῇ θεώσει Θεός.

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὸ Πάσχα δευτέρου λόγου.

Καὶ διὰ τὴν πρόσληψιν τὴν χρισθεῖσαν θεότητι, καὶ γενομένην ὅπερ τὸ χρῖσαν, καὶ, θαῤῥῶ λέγειν, ὁμόθεον.

Τοῦ αὐτοῦ ἐκ τοῦ προτρεπτικοῦ εἰς τὸ βάπτισμα.

Ὅλον ἄνθρωπον, καὶ ὅλον Θεὸν ὑπὲρ ὅλου τοῦ πεπονθότος, ἵν' ὅλῳ σοι τὴν σωτηρίαν χαρίσηται ὅλον τὸ κατάκριμα λύσας τῆς ἁμαρτίας.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Τοσοῦτον ἄνθρωπος διὰ σὲ, ὅσον σὺ γίνῃ, δι' ἐκεῖνον Θεός.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἥξειν τε πάλιν κρίνοντα ζῶντας καὶ νεκροὺς, οὐκ ἔτι μὲν σάρκα, οὐκ ἀσώματον δὲ, οἷς αὐτὸς οἶδε λόγοις θεοειδεστέρου σώματος· ἵνα καὶ ὀφθῇ ὑπὸ τῶν ἐκκεντησάντων, καὶ μείνῃ Θεὸς ἔξω παχύτητος.

Ἔτι περὶ τῆς θείας ἐνανθρωπήσεως, τοῦ Νύσσης ἐκ τοῦ κατηχητικοῦ λόγου.

Διὰ τίνος ἔδει τὸν ἄνθρωπον πρὸς τὴν ἐξ ἀρχῆς χάριν ἀνακληθῆναι; Τίνι διέφερεν ἡ τοῦ πεπτωκότος ἐνόρθωσις, ἡ τοῦ ἀπολωλότος ἀνάκλησις, ἡ τοῦ πεπλανημένου χειραγωγία; τίνι ἄλλῳ ἢ τῷ Κυρίῳ πάντως τῆς φύσεως; τῷ γὰρ ἐξ ἀρχῆς τὴν ζωὴν δεδωκότι μόνῳ δυνατὸν ἦν καὶ πρέπον ἅμα, καὶ ἀπολομένην ἀνακαλέσασθαι, ὃ παρὰ τοῦ μυστηρίου τῆς ἀληθείας ἀκούομεν, Θεὸν πεποιηκέναι κατ' ἀρχὰς τὸν ἄνθρωπον, καὶ σεσωκέναι διαπεπτωκότα μανθάνοντες. Ἀλλὰ μέχρι μὲν τούτων συνθήσεται τυχὸν τῷ λόγῳ ὁ πρὸς τὸ ἀκόλουθον βλέπων, διὰ τὸ μὴ δοκεῖν ἔξω τι τῆς θεοπρεποῦς ἐννοίας τῶν εἰρημένων εἶναι· πρὸς δὲ τὸ ἐφεξῆς οὐχ ὁμοίως ἕξει, δι' ὧν μάλιστα τὸ μυστήριον τῆς οἰκονομίας κρατύνεται· γέννησιν ἀνθρωπίνην λέγω, καὶ τὴν ἐκ νηπίου πρὸς τελείωσιν αὔξη-

mabat, nos spe divinitatis alliciens deceperat, ipse carnis objectu tanquam esca proposita decipitur, et dum se putat Adam invadere, in Deum incidit. Atque ita novus Adam veterem servat, et carnis condemnationem carne dissolvit, et mortem ipsam morte afficit.

Ex eadem oratione.

Filius Dei fit etiam hominis filius, nec ab eo, quod erat, immutatur, sed accipit, quod non erat, ut (quæ illius est in homines benevolentia) carne tanquam velo interjecto nobiscum versans, qui comprehendi non poterat, comprehendatur. Purum enim divinitatis ejus splendorem natura, quæ gignitur atque corrumpitur, non poterat sustinere.

Ejusdem, ex epistola prima ad Cledonium.

Utraque sic conjunguntur, ut unum sint, cum Deus homo fiat, et homo Deus.

Ejusdem ex oratione 2 de Filio.

Utrumque quidem est unum, non natura tamen, sed conjunctione.

Ejusdem ex oratione in Sancta Lumina.

Et hoc deificatione Deus.

Ejusdem ex oratione in Pascha.

Et propter hominem assumptum, qui divinitate inunctus est, et factus id, a quo inunctus erat, et simul Deus, sic enim audeo dicere.

Ejusdem, ex oratione, qua ad baptisma cohortatur.

Totum hominem, et totum Deum, pro toto illo qui passus erat, ut toti tibi salutem elargiretur, totam peccati solvens condemnationem.

Ex eadem oratione.

Tantum homo propter te, quantum tu propter illum Deus.

Ex eadem oratione.

Veniet iterum judicaturus vivos et mortuos, non jam amplius caro, nec sine corpore, diviniore tamen corpore, rationibus illis, quas ipse novit, ut et ab illis cernatur, qui eum cruci affixerunt, et maneat sine crassitudine Deus.

De divina item humanæ carnis assumptione. Gregorii Nyssæ pontificis ex oratione catechetica.

Per quem oportebat in pristinum gratiæ statum hominem revocari? cui potissimum conveniebat, lapsum excitare? perditum restituere? errantem in viam reducere? cuinam alii, nisi plane naturæ ipsius Domino? Cui enim initio vitam largitus erat, ei soli et licebat et conveniebat, eamdem amissam recuperare. Hominem in principio factum a Deo ex mysterio veritatis intelligimus; eumdem, cum jam profligatus ac perditus esset, a Deo conservatum dicimus. Atque hæc quidem, qui viderint esse consentanea, ab eaque notione, quam habemus de Deo, minime abhorrentia, forte concedent, ea vero, quæ sequuntur, quibus dispositionis mysterium maxime innititur, non ita facile: nempe hominem esse factum, ex puero ad perfectam ætatem crevisse, edisse, bibisse, labore, som-

no, molestiis affectum esse, lacrymasse, calumnias, A judicium, erucem ac mortem fuisse perpessum, in sepulcroque positum. Hæc enim, quæ mysterio comprehenduntur, animos eorum, qui sunt infirmiores in fide, debilitant infringuntque, ne illa, quæ deinceps sequuntur, propter ea, quæ dicta sunt, suscipiant. Nam Deo dignam ex inferis excitationem ideo non concedunt, ne mortem Deo indignam admittant. Ego vero illud mihi prius faciendum puto, ut paulisper a crassa carnis hebetudine recedam, et honestum ipsum per se considerem, ostendamque non esse ejusmodi, ut his notis, quibus earum utraque describatur. Neminem eorum, qui sani sunt, negaturum existimo, unum illud omnino esse dedecus, eamque unam turpitudinem, B quæ vitii fœditate definitur, a qua quidquid alienum sit, id ab omni remotum esse dedecore ac turpitudine : Deum vero cuncta decere, quæ in regione cernuntur honestatis. Quæ cum ita sint, aut vitium esse demonstrent, nasci, nutriri, augeri, ad naturæ perfectionem progredi, mori, reviviscere : aut si quæ dicta sunt, a vitio remota esse concedunt, necessario non esse turpia fateantur. Cum igitur declaratum sit, honesta esse, quæ ab omni fœditate vitii abhorrent, nonne ut amentes miserandi sunt, qui honesta Deo asserunt non convenire? At humana, inquient, natura exiguis terminis circumscribitur, Deus autem est infinitus. Quonam igitur pacto quod infinitum est, individuo corpusculo concludatur? Ecquis dicit, infini- C tam divinitatis vim carne tanquam vase aliquo circumscriptam fuisse, cum ne in natura quidem nostra mens ipsa carnis terminis circumscribatur? Nam corporis moles propriis partibus definitur, animus autem mentis cogitationisque motibus commeans per omnes res procreatas ad cœlos usque conscendit, ad infimas maris partes penetrat, longe lateque per totum orbem evagatur, et ad ea, quæ sub terra sunt accedit solertia sua, quinetiam eorum quæ supra cœlos geruntur, intelligentiam plerumque consequitur, nec pondere corporis impeditur. Quod si animus hominis, naturæ necessitate corpori conjunctus, ubique est, quid cogit nos dicere, carnis natura divinitatem præpediri? cur non potius D eorum exemplo, quæ nobis concessa sunt, quod divinam deceat dispositionem, conjicimus et cogitamus? Sicut enim in lucerna materiam circumplexum ignem aspicimus, eumque a materia, quæ ipsum attingit, ratione distinguimus, quæ tamen re ipsa distingui non possunt, ut flamma per se a materia sejuncta ostendatur, sed utraque unum est (nullus autem id mihi sumat in hoc exemplo, quod ignis corrumpatur, sed id solum accipiens, quod similitudini convenit, quæ ab ea sunt aliena repudiet), quid prohibet, quin eodem modo, quo cernimus flammam attingere subjectam materiam, nec in ea tamen includi, Deo dignam cogitationem suscipiamus, credamusque naturam divinam ita conjungi atque unum fieri cum humana natura,

σιν, βρῶσίν τε καὶ πόσιν, καὶ κόπον, καὶ ὕπνον, καὶ λύπην, καὶ δάκρυον, συκοφαντίαν τε καὶ δικαστήριον, σταυρὸν καὶ θάνατον, καὶ τὴν ἐν μνημείῳ θέσιν. Ταῦτα γὰρ συμπαραλαμβανόμενα τῷ μυστηρίῳ, ἀμβλύνει πως τῶν μικροψυχοτέρων τὴν πίστιν, ὡς μηδὲ τὰ ἐφεξῆς τῶν λεγομένων διὰ τὰ προειρημένα συμπαραδέχεσθαι. Τὸ γὰρ θεοπρεπὲς τῆς ἐκ νεκρῶν ἀναστάσεως διὰ τὸ περὶ τὸν θάνατον ἀπρεπὲς οὐ προσίενται. Ἐγὼ δὲ πρότερον οἶμαι δεῖν μικρὸν τῆς σαρκικῆς παχύτητος τὸν λογισμὸν ἀποστήσαντας, αὐτὸ τὸ καλὸν ἐφ' ἑαυτοῦ, καὶ τὸ μὴ τοιοῦτον κατανοῆσαι ποίοις γνωρίσμασιν ἑκάτερον τούτων καταλαμβάνεται. Οὐδένα γὰρ ἀντερεῖν οἶμαι τῶν λελογισμένων ὅτι ἓν κατὰ φύσιν μόνον τῶν πάντων αἰσχρόν ἐστι, τὸ κατὰ κακίαν πάθος. Τὸ δὲ κακίας ἐκτὸς παντὸς αἴσχους ἐστὶν ἀλλότριον. Πρέπει δὲ Θεῷ πᾶν ὅ τι περ ἂν ἐν τῇ τοῦ καλοῦ θεωρεῖται χώρᾳ. Ἢ τοίνυν δειξάτωσαν κακίαν εἶναι τὴν γέννησιν, τὴν ἀνατροφὴν, τὴν αὔξησιν, τὴν πρὸς τὸ τέλειον τῆς φύσεως πρόοδον, τὴν τοῦ θανάτου πεῖραν, τὴν ἐκ τοῦ θανάτου ἐπάνοδον, ἢ, εἰ ἔξω κακίας εἶναι τὰ εἰρημένα συντίθενται, οὐδὲν αἰσχρὸν εἶναι τὸ κακίας ἀλλότριον ἐξ ἀνάγκης ὁμολογήσουσι. Καλοῦ δὲ πάντως ἀναδεικνυμένου τοῦ πάσης αἰσχρότητος καὶ κακίας ἀπηλλαγμένου, πῶς οὐκ ἐλεεινοὶ τῆς ἀλογίας οἱ τὸ καλὸν μὴ πρέπειν ἐπὶ Θεοῦ δογματίζοντες; Ἀλλὰ μικρὸν, φησὶ, καὶ εὐπερίγραπτον ἡ ἀνθρωπίνη φύσις, ἄπειρον δὲ ἡ θεότης. Καὶ πῶς ἂν περιελήφθη τῷ ἀτόμῳ τὸ ἄπειρον; Καὶ τίς τοῦτό φησιν, ὅτι τῇ περιγραφῇ τῆς σαρκὸς, καθάπερ ἀγγείῳ τινὶ, ἡ ἀπειρία τῆς θεότητος περιελήφθη; Οὐδὲ γὰρ ἐπὶ τῆς ἡμετέρας ζωῆς ἐντὸς κατακλείεται τῶν τῆς σαρκὸς ὅρων ἡ νοερὰ φύσις, ἀλλ' ὁ μὲν ὄγκος τοῦ σώματος τοῖς οἰκείοις μέρεσι περιγράφεται, ἡ δὲ ψυχὴ τοῖς τῆς διανοίας κινήμασι πάσῃ κατ' ἐξουσίαν ἐφαπλοῦται τῇ κτίσει, καὶ μέχρις οὐρανῶν ἀνιοῦσα, καὶ τῶν ἀβύσσων ἐπιβατεύουσα, καὶ τῷ πλάτει τῆς οἰκουμένης ἐπερχομένη, καὶ πρὸς τὰ καταχθόνια διὰ τῆς πολυπραγμοσύνης εἰσδύνουσα· πολλάκις δὲ καὶ τῶν ὑπερουρανίων θαυμάτων ἐν περινοίᾳ γίνεται, οὐδὲν βαρυνομένη τῷ ἐφολκίῳ τοῦ σώματος. Εἰ δὲ ἀνθρώπου ψυχὴ κατὰ τὴν τῆς φύσεως ἀνάγκην συγκεκραμένη τῷ σώματι πανταχοῦ κατ' ἐξουσίαν γίνεται, τίς ἀνάγκη τῇ φύσει τῆς σαρκὸς τὴν θεότητα λέγειν ἐμπεριείργεσθαι, καὶ μὴ διὰ τῶν χωρητῶν ἡμῖν ὑποδειγμάτων στοχασμόν τινα πρέποντα περὶ τῆς θείας οἰκονομίας λαβεῖν; Ὡς γὰρ τὸ πῦρ ἐπὶ τῆς λαμπάδος ὁρᾶται τῆς ὑποκειμένης περιδεδραγμένον ὕλης, καὶ λόγος μὲν διακρίνει τό τε ἐπὶ τῆς ὕλης πῦρ, καὶ τὴν τὸ πῦρ ἐξάπτουσαν ὕλην, ἔργῳ δὲ οὐκ ἔστιν ἀπ' ἀλλήλων ταῦτα διατεμόντα ἐφ' ἑαυτῆς δεῖξαι τὴν φλόγα διεζευγμένην τῆς ὕλης, ἀλλ' ἓν τὰ συναμφότερα γίνεται (καί μοι μηδεὶς τὸ φθαρτικὸν τοῦ πυρὸς συμπαραλαμβανέτω τῷ ὑποδείγματι, ἀλλ' ὅσον εὐπρεπές ἐστι μόνον ἐν τῇ εἰκόνι δεξάμενος, τὸ ἀπεμφαῖνον ἀποποιείσθω·) τὸν αὐτὸν τρόπον, ὡς ὁρῶμεν καὶ ἐξημμένην τοῦ ὑποκειμένου τὴν φλόγα, καὶ οὐκ ἐναποκλειομένην τῇ ὕλῃ, τί κωλύει, τῆς θείας φύσεως ἕνωσίν τινα καὶ προσεγγισμὸν

κατανοήσαντας πρὸς τὸ ἀνθρώπινον, τὴν θεοπρεπῆ διάνοιαν καὶ ἐν τῷ προσεγγισμῷ διασώσασθαι, πάσης περιγραφῆς ἐκτὸς εἶναι τὸ Θεῖον πιστεύοντας, κἂν ἐν ἀνθρώπῳ ᾖ; Εἰ δὲ ζητεῖς πῶς κατακιρνᾶται θεότης πρὸς τὸ ἀνθρώπινον, ὥρα σοι πρὸ τούτου ζητεῖν, τίς πρὸς τὴν σάρκα τῆς ψυχῆς ἡ συμφυΐα. Εἰ δὲ τῆς σῆς ἀγνοεῖται ψυχῆς ὁ τρόπος, καθ' ὃν ἑνοῦται τῷ σώματι, μηδὲ ἐκεῖνο πάντως οἴου δεῖν ἐντὸς γενέσθαι τῆς σῆς καταλήψεως. Ἀλλ' ὥσπερ ἐνταῦθα καὶ ἕτερον εἶναί τι παρὰ τὸ σῶμα τὴν ψυχὴν πεπιστεύκαμεν, ἐκ τοῦ μονωθεῖσαν τῆς ψυχῆς τὴν σάρκα νεκράν τε καὶ ἀνενέργητον γίνεσθαι, καὶ τὸν τῆς ἑνώσεως οὐκ ἐπιγινώσκομεν τρόπον· οὕτω κἀκεῖ διαφέρειν μὲν ἐπὶ τὸ μεγαλοπρεπέστερον τὴν θείαν φύσιν πρὸς τὴν θνητὴν καὶ ἐπίκηρον ὁμολογοῦμεν, τὸν δὲ τῆς ἀνακράσεως τρόπον τοῦ Θείου πρὸς τὸν ἄνθρωπον συνιδεῖν οὐ χωροῦμεν. Ἀλλὰ τὸ μὲν γεγενῆσθαι Θεὸν ἐν ἀνθρώπου φύσει διὰ τῶν ἱστορουμένων θαυμάτων οὐκ ἀμφιβάλλομεν, τὸ δ' ὅπως ὡς μεῖζον ἢ κατὰ λογισμῶν ἔφοδον διερευνᾶν παραιτούμεθα. Οὐδὲ γὰρ πᾶσαν τὴν σωματικήν τε καὶ νοητὴν κτίσιν παρὰ τῆς ἀσωμάτου τε καὶ ἀκτίστου φύσεως ὑποστῆναι πιστεύοντες, τὸ πόθεν ἢ τὸ πῶς τῇ περὶ τούτων πίστει συνεξετάζομεν. Ἀλλὰ τὸ γεγενῆσθαι παραδεχόμενοι, ἀπολυπραγμόνητον τὸν τρόπον τῆς τοῦ παντὸς συστάσεως καταλείπομεν, ὡς ἄρρητον παντάπασιν ὄντα καὶ ἀνερμήνευτον. Τοῦ δὲ Θεὸν ἐν σαρκὶ φανερωθῆναι ἡμῖν ὁ τὰς ἀποδείξεις ἐπιζητῶν πρὸς τὰς ἐνεργείας βλεπέτω. Καὶ γὰρ τοῦ ὅλως εἶναι Θεὸν οὐκ ἄν τις ἑτέραν ἀπόδειξιν ἔχοι πλὴν τῆς δι' αὐτῶν τῶν ἐνεργειῶν μαρτυρίας. Ὥσπερ τοίνυν εἰς τὸ πᾶν ἀφορῶντες, καὶ τὰς κατὰ τὸν κόσμον οἰκονομίας ἐπισκοποῦντες, καὶ τὰς εὐεργεσίας τὰς θεόθεν κατὰ τὴν ζωὴν ἡμῶν ἐνεργουμένας ὑπερκεῖσθαί τινα δύναμιν ποιητικὴν τῶν γινομένων, καὶ συντηρητικὴν τῶν ὄντων καταλαμβάνομεν· οὕτω καὶ ἐπὶ τοῦ διὰ σαρκὸς ἡμῖν φανερωθέντος Θεοῦ ἱκανὴν ἀπόδειξιν τῆς ἐπιφανείας τῆς θεότητος τὰ κατὰ τὰς ἐνεργείας θαύματα πεποιήμεθα πάντα τοῖς ἱστορηθεῖσιν ἔργοις, δι' ὧν ἡ θεία χαρακτηρίζεται φύσις κατανοήσαντες. Θεοῦ τὸ ζωοποιεῖν τοὺς ἀνθρώπους· Θεοῦ τὸ συντηρεῖν διὰ προνοίας τὰ ὄντα· Θεοῦ τὸ βρῶσιν καὶ πόσιν τοῖς διὰ σαρκὸς τὴν ζωὴν εἰληχόσι χαρίζεσθαι· Θεοῦ τὸ εὐεργετεῖν τὸν δεόμενον· Θεοῦ τὸ παρατραπεῖσαν ἐξ ἀσθενείας τὴν φύσιν πάλιν δι' ὑγείας πρὸς ἑαυτὴν ἐπανάγειν· Θεοῦ τὸ πάσης ἐπιστατεῖν ὁμοιοτρόπως τῆς κτίσεως, γῆς, θαλάσσης, ἀέρος, καὶ τῶν ὑπὲρ τὸν ἀέρα τόπων· Θεοῦ τὸ πρὸς πάντα διαρκῆ τὴν δύναμιν ἔχειν, καὶ πρό γε πάντων τὸ θανάτου καὶ φθορᾶς εἶναι κρείττονα. Εἰ μὲν οὖν τινος τούτων καὶ τῶν τοιούτων ἐλλιπὴς ἦν ἡ περὶ αὐτὸν ἱστορία, εἰκότως τὸ μυστήριον ἡμῶν οἱ ἔξω τῆς πίστεως παρεγράφοντο· εἰ δὲ δι' ὧν νοεῖται Θεὸς, πάντα ἐν τοῖς περὶ αὐτοῦ διηγήμασι καθορᾶται, τί τὸ ἐμποδίζον τῇ πίστει; Ἀλλὰ, φησὶ, γέννησίς τε καὶ θάνατος ἴδιον τῆς σαρκικῆς ἐστι φύσεως. Φημὶ κἀγώ· ἀλλὰ τὸ πρὸ τῆς γενέσεως καὶ τὸ μετὰ τὸν θάνατον τὴν τῆς φύσεως ἡμῶν ἐκφεύγει κοινότητα. Εἰς γὰρ ἑκάτερα τῆς ἀνθρωπίνης ζωῆς τὰ πέρατα βλέποντες,

A ut in ipsa conjunctione atque unitate, quamvis in homine Deus sit, nulla tamen circumscriptione concludatur? Quod si quæris, quomodo Deus cum homine commistus sit, prius considera conjunctionem animi cum carne tua, qui quidem animus, si intelligere non potes, qua ratione cum corpore copuletur, multo minus existima te posse assequi, quo pacto Deus cum homine conjungatur. Verum, quemadmodum in te credis aliud quiddam esse animum, quam corpus sit, quoniam corpus ab animo desertum, cadaver evadit, atque iners fit, et ad agendum inutile, licet conjunctionis rationem ignores; sic etiam in Dei cum homine conjunctione confitemur divinam naturam caducæ mortalique modis omnibus dignitate præstare, qua ratione autem B efficiatur ipsa conjunctio non possumus intelligere. Quod Deus in hominis natura genitus sit, ex rebus admirandis, quæ visæ scriptæque sunt, non ambigimus, rationem autem ac modum, ut majorem, quam a nobis percipi possit, omittimus indagare. Neque enim, cum res omnes corporeas, et quæ mente solum percipiuntur a natura incorporea, et quæ creata non est, procreatas esse credimus, unde aut quomodo factæ sint, investigamus; sed cum mundum fuisse conditum acceperimus, rationem, qua conditus fuerit curiose non exquirimus, quippe qui plane sciamus, eam nullo modo posse percipi aut explicari. Quod autem Deus in carne nobis apparuerit, si quis demonstrationes inquirit, is ejus C opera conspiciat. Nam et quod Deus ipse sit, nullo alio nisi operum ipsius testimonio comprobatur. Ut igitur rerum universitatem intuentes, earumque moderationem et ordinem, vitæque nostræ commoda divinitus data considerantes, vim quamdam mundi effectricem conservatricemque cognoscimus, sic in Deo nobis per carnem patefacto admiranda illius opera similia iis, quæ scripta sunt, quibus, tanquam notis natura divina declaratur, locuples nobis divinitatis ejus testimonium afferunt. Dei namque esse cognoscimus, hominibus vitam tribuere; Dei, ea, quæ sunt, providentia tueri ac conservare; Dei, cibum et potum iis, quæ in carne vitam degunt, elargiri; Dei, de pauperibus et indigentibus bene mereri; Dei, naturam quæ D infirmitate sua de recta via deflexerat, reducere ad sanitatem, et in pristinum statum revocare; Dei, cunctis æque rebus procreatis imperare, terræ, mari, aeri, et iis, quæ supra aerem sita sunt; Dei, perpetuam in omnia potestatem habere, imprimisque esse morte et corruptione superiorem. Horum si quid in historia, qua vita ipsius describitur, desideraretur, illi, qui a religione sunt alieni, merito mysterium nostrum repudiarent. Sin omnia, quibus Deus cognoscitur, in ea conspiciuntur, quid prohibet, quo minus fidem religionemque suscipias? At enim, inquies, nasci atque obire propria sunt hujusce carnis. Concedo; verum ea, quæ ortum ejus præcesserunt, quæque mortem sunt subsecuta, communem naturæ nostræ conditionem supe-

rant. Nam si utrumque terminum humanæ vitæ consideres, videbis, unde incipiamus, et quo deducamur. A corruptione enim principium ducimus, et in corruptionem desinimus. Ejus autem nec ortum, nec mortem excepit corruptio. Hoc tibi admirandum videtur, et incredibile? Gaudeo. Quæ enim supra, quam credi possint, admirabilia putas, ea supra naturam esse confiteris. Quapropter hoc tibi divinitatis ejus certissimum sit argumentum, quod, quæ de illo prædicantur, non sequuntur omnino ordinem naturalem. Etenim si ea, quæ de Christo memoriæ prodita sunt, naturæ terminis omnia continerentur, ubi illius esset divinitas? Cum vero multorum, quibus fidem non habes, ratio naturam superet, hæc ipsa testimonio sunt, illum, quem prædicamus Deum etiam esse. Homines enim generantur ex parentum conjunctione, et post mortem ipsam corrumpuntur. Quæ si de ipso dicerentur, Deum esse non posses existimare, quem eamdem, quam nos, habere naturæ conditionem intelligeres. At cum illum natum quidem esse audis, sed nascendi ratione communem naturæ nostræ ordinem superasse, eumdemque mortuum quidem, sed corruptionem non attigisse, consequens foret, ut si alterutrum tibi credendum non esset, hominem potius eum esse non crederes, unum ex iis, qui in natura conspiciuntur, et quem non esse hominem crederes, eum necessario Deum arbitrateris. Qui enim eum ortum esse memoriæ tradidit, idem ex Virgine natum testatus est. Quamobrem si scriptoris verba te adducunt, ut natum credas, eadem scriptoris verba tibi illum ita natum esse persuadeant. Qui enim ortum ipsius enarravit, idem eum ex Virgine adjunxit exstitisse. Et qui de morte mentionem fecit, resurrectionem etiam post mortem est testatus. Quod si ex iis, quæ audis, et mortuum, et genitum esse concedis, ex eisdem dabis omnino, et ortum, et mortem ejus a corruptione procul abfuisse. Quæ si naturam superant, is intra naturam non continetur, qui propter hæc natura superior fuisse demonstratur.

Ex eadem oratione.

Quænam igitur, inquies, causa fuit, cur ad istam humilitatem sese demitteret Deus, ex qua fides dubia redderetur, cum ipse ratione, quæ nec percipi, nec comprehendi, nec explicari potest, quippe quæ omnem cogitationem omnemque magnitudinem superat, humanæ naturæ sordibus immisceretur, ob quam abjectam atque humilem demissionem reliqua etiam ipsius facta sublimia negligerentur? Ad hoc etiam quid respondere oporteat, non ignoramus. Tu, qui causam quæris, quamobrem Deus factus sit homo, si divina beneficia abstuleris ex humana vita, unde Deum agnoscas, non habebis. Benemerentem enim de nobis ex muneribus ejus agnoscimus. Illa enim, quæ facta sunt, conspicientes, munificam effectoris naturam intelligimus. Itaque si benignitas et humanitas divinæ naturæ indicium est, rationem habes, quam requi-

ἴσμεν καὶ ὅθεν ἀρχόμεθα, καὶ εἰς τί καταλήξομεν. Ἐκ πάθους γὰρ τοῦ εἶναι ἀρξάμενος ὁ ἄνθρωπος, πάθει συναπαρτίζεται. Ἐκεῖ δὲ οὔτε ἡ γέννησις ἀπὸ πάθους ἤρξατο, οὔτε τὸν θάνατον φθορὰ διεδέξατο. Ἀπιστεῖς τῷ θαύματι; Χαίρω σου τῇ ἀπιστίᾳ. Ὁμολογεῖς γὰρ πάντως, δι' ὧν ὑπὲρ πίστιν ἡγῇ τὸ λεγόμενον, ὑπὲρ τὴν φύσιν εἶναι τὰ θαύματα. Αὐτὸ οὖν τοῦτο τῆς θεότητος ἔστω σοι τοῦ φανέντος ἀπόδειξις, τὸ μὴ δι' ὅλου διὰ τῶν κατὰ φύσιν προϊέναι τὸ κήρυγμα. Εἰ γὰρ ἐντὸς ἦν τῶν τῆς φύσεως ὅρων πάντα τὰ περὶ Χριστοῦ διηγήματα, ποῦ τὸ θεῖον; Εἰ δὲ ὑπερβαίνει τὴν φύσιν ἐν πολλοῖς ὁ λόγος, ἐν οἷς ἀπιστεῖς, ἐν τούτοις ἐστὶν ἡ ἀπόδειξις τοῦ καὶ Θεὸν εἶναι τὸν κηρυσσόμενον. Ἄνθρωπος μὲν γὰρ ἐκ συνδυασμοῦ τίκτεται, καὶ μετὰ θάνατον ἐν διαφθορᾷ γίνεται. Εἰ ταῦτα περιεῖχε τὸ κήρυγμα, οὐκ ἂν Θεὸν εἶναι πάντως ᾠήθης τὸν ἐν τοῖς ἰδιώμασι τῆς φύσεως ἡμῶν μαρτυρούμενον. Ἐπεὶ δὲ γὰρ γεγεννῆσθαι μὲν ἀκούεις αὐτὸν, ἐκβεβηκέναι δὲ τῆς φύσεως ἡμῶν τὴν κοινότητα τῷ τε τῆς γενέσεως τρόπῳ, καὶ τῷ ἀνεπιδέκτῳ τῆς εἰς φθορὰν ἀλλοιώσεως, καλῶς ἂν ἔχοι κατὰ τὸ ἀκόλουθον ἐπὶ τὸ ἕτερον τῇ ἀτοπίᾳ χρήσασθαι, εἰς τὸ μὴ ἄνθρωπον αὐτὸν ἕνα τῶν ἐν τῇ φύσει δεικνυμένων οἴεσθαι. Ἀνάγκη γὰρ πᾶσα τὸν μὴ πιστεύοντα τὸν τοιοῦτον ἄνθρωπον εἶναι, εἰς τὴν περὶ τοῦ Θεὸν αὐτὸν εἶναι πίστιν ἐναχθῆναι. Ὁ γὰρ γεγεννῆσθαι αὐτὸν ἱστορήσας καὶ τὸ ἐκ Παρθένου γεγεννῆσθαι συνδιηγήσατο. Εἰ οὖν πιστόν ἐστι διὰ τῶν εἰρημένων τὸ γεγεννῆσθαι αὐτὸν, διὰ τῶν αὐτῶν τούτων πάντως οὐδὲ τὸ οὕτως αὐτὸν γεγεννῆσθαι ἀπίθανον. Ὁ γὰρ τὴν γέννησιν εἰπὼν καὶ τὸ ἐκ παρθενίας προσέθηκε· καὶ ὁ τοῦ θανάτου μνησθεὶς καὶ τὴν ἀνάστασιν τῷ θανάτῳ προσεμαρτύρησεν. Εἰ οὖν ἀφ' ὧν ἀκούεις καὶ τεθνάναι καὶ γεγεννῆσθαι δίδως, ἐκ τῶν αὐτῶν δώσεις πάντως καὶ τὸ ἔξω πάθους εἶναι καὶ τὴν γέννησιν αὐτοῦ καὶ τὸν θάνατον. Ἀλλὰ μὴν ταῦτα μείζω τῆς φύσεως· οὐκοῦν οὐδὲ ἐκεῖνος πάντως ἐντὸς πάντη τῆς φύσεως ὁ ἐν τοῖς ὑπὲρ τὴν φύσιν γεγεννῆσθαι ἀποδεικνύμενος.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Τίς οὖν ἡ αἰτία, φησὶ, τοῦ πρὸς τὴν ταπεινότητα ταύτην καταβῆναι τὸ Θεῖον, ὡς ἀμφίβολον εἶναι τὴν πίστιν, εἰ Θεὸς τὸ ἀχώρητον, καὶ ἀκατανόητον, καὶ ἀνεκλάλητον πρᾶγμα, τὸ ὑπὲρ πᾶσαν δόξαν, καὶ πᾶσαν μεγαλειότητα τῷ λύθρῳ τῆς ἀνθρωπίνης φύσεως καταμίγνυται, ὡς καὶ τὰς ὑψηλὰς ἐνεργείας αὐτοῦ τῇ πρὸς τὸ ταπεινὸν ἐπιμιξίᾳ συνευτελίζεσθαι; Οὐκ ἀποροῦμεν καὶ πρὸς τοῦτο θεοπρεποῦς ἀποκρίσεως. Ζητεῖς τὴν αἰτίαν τοῦ γενέσθαι Θεὸν ἐν ἀνθρώποις; Ἐὰν ἀφέλῃς τοῦ βίου τὰς θεόθεν γενομένας εὐεργεσίας, ἐκ ποίων ἐπιγνώσῃ τὸ Θεῖον; Οὐκ ἂν εἰπεῖν ἔχοις. Ἀφ' ὧν γὰρ εὖ πάσχομεν, ἀπὸ τούτων τὸν εὐεργέτην ἐπιγινώσκομεν. Πρὸς γὰρ τὰ γινόμενα βλέποντες, διὰ τούτων τὴν τοῦ εὐεργετοῦντος ἀναλογιζόμεθα φύσιν. Εἰ οὖν ἴδιον γνώρισμα τῆς θείας φύσεως ἡ φιλανθρωπία, ἔχεις ὃν ἐπεζήτησας λόγον· ἔχεις τὴν αἰτίαν τῆς ἐν ἀνθρώποις τοῦ Θεοῦ παρουσίας.

Ἐδεῖτο γὰρ τοῦ ἰατρεύσοντος ἡ φύσις ἡμῶν ἀσθενήσασα· ἐδεῖτο τοῦ ἀνορθοῦντος ὁ ἐν τῷ πτώματι ἄνθρωπος· ἐδεῖτο τοῦ ζωοποιοῦντος ὁ ἀφαμαρτὼν τῆς ζωῆς· ἐδεῖτο τοῦ πρὸς τὸ ἀγαθὸν ἐπανάγοντος ὁ ἀποῤῥυεὶς τῆς τοῦ ἀγαθοῦ μετουσίας· ἔχρῃζε τῆς τοῦ φωτὸς παρουσίας ὁ καθειργμένος τῷ σκότῳ· ἐπεζήτει τὸν λυτρωτὴν ὁ αἰχμάλωτος, τὸν συναγωνιστὴν ὁ δεσμώτης, τὸν ἐλευθερωτὴν ὁ τῷ ζυγῷ τῆς δουλείας κατεχόμενος. Ἆρα μικρὰ ταῦτα καὶ ἀνάξια, τὸν Θεὸν δυσωπῆσαι πρὸς ἐπίσκεψιν τῆς ἀνθρωπίνης φύσεως καταβῆναι; Ἀλλ' ἐξῆν, φησὶ, καὶ εὐεργετηθῆναι τὸν ἄνθρωπον, καὶ τὸν Θεὸν ἐν ἀπαθείᾳ διαμεῖναι. Ὁ γὰρ τῷ βουλήματι τὸ πᾶν συστησάμενος, καὶ τὸ μὴ ὂν ὑποστήσας ἐν μόνῃ τῇ ὁρμῇ τοῦ θελήματος, τί οὐχὶ καὶ τὸν ἄνθρωπον δι' αὐθεντικῆς τινος καὶ θεϊκῆς ἐξουσίας τῆς ἐναντίας δυνάμεως ἀποσπάσας πρὸς τὴν ἐξ ἀρχῆς ἄγει κατάστασιν, εἰ τοῦτο φίλον αὐτῷ; Ἀλλὰ μακρὰς περιέρχεται περιόδους, σώματος ὑπερχόμενος φύσιν, καὶ διὰ γεννήσεως παριὼν εἰς τὸν βίον, καὶ πᾶσαν ἀκολούθως ἡλικίαν διεξιὼν, εἶτα θανάτου γενόμενος, καὶ οὕτω διὰ τῆς τοῦ ἰδίου σώματος ἀναστάσεως τὸν σκοπὸν ἀνύων, ὡς οὐκ ἐξὸν αὐτῷ μένοντι ἐπὶ τοῦ ὕψους τῆς θεϊκῆς δόξης διὰ προστάγματος σῶσαι τὸν ἄνθρωπον, τὰς δὲ τοιαύτας περιόδους χαίρειν ἐᾶσαι; Οὐκοῦν ἀνάγκη καὶ ταῖς τοιαύταις τῶν ἀντιθέσεων ἀντικαταστῆναι παρ' ἡμῶν τὴν ἀλήθειαν, ὡς ἂν διὰ μηδενὸς ἡ πίστις κωλύοιτο τῶν ἐξεταστικῶς ζητούντων τοῦ μυστηρίου τὸν λόγον. Πρῶτον μὲν οὖν τί τῇ ἀρετῇ κατὰ τὸ ἐναντίον ἀντικαθέστηκεν ἐπισκεψώμεθα. Ὡς φωτὶ σκότος, καὶ θάνατος τῇ ζωῇ, οὕτω τῇ ἀρετῇ ἡ κακία, δηλονότι, καὶ οὐδὲν παρὰ ταύτην ἕτερον. Καθάπερ γὰρ πολλῶν ὄντων τῶν ἐν τῇ κτίσει θεωρουμένων, οὐδὲν ἄλλο πρὸς τὸ φῶς ἢ τὴν ζωὴν τὴν ἀντίθεσιν ἔχει, οὐ λίθος, οὐ ξύλον, οὐχ ὕδωρ οὐχ ἄνθρωπος, οὐχ ἄλλο τι τῶν ὄντων οὐδὲν, πλὴν ἰδίως τὰ κατὰ τὸ ἐναντίον νοούμενα, οἷον σκότος καὶ θάνατος· οὕτω καὶ ἐπὶ τῆς ἀρετῆς οὐκ ἄν τις κτίσιν τινὰ κατὰ τὸ ἐναντίον αὐτῇ νοεῖσθαι λέγοι πλὴν τὸ κατὰ κακίαν νόημα. Οὐκοῦν, εἰ μὲν ἐν κακίᾳ γεγεννῆσθαι τὸ Θεῖον ὁ ἡμέτερος ἐπρέσβευε λόγος, καιρὸν εἶχεν ὁ ἀντιλέγων κατατρέχειν ἡμῶν τῆς πίστεως, ὡς ἀνάρμοστά τε καὶ ἀπεμφαίνοντα περὶ τῆς θείας φύσεως δογματιζόντων· οὐ γὰρ δὴ θεμιτὸν ἦν αὐτοσοφίαν, καὶ ἀγαθότητα, καὶ ἀφθαρσίαν, καὶ εἴ τι ὑψηλόν ἐστι νόημά τε καὶ ὄνομα, πρὸς τὸ ἐναντίον μεταπεπτωκέναι λέγειν. Εἰ οὖν Θεὸς μὲν ἡ ἀληθὴς ἀρετὴ, φύσις δέ τις οὐκ ἀντιδιαιρεῖται τῇ ἀρετῇ, ἀλλὰ κακία, Θεὸς δὲ οὐκ ἐν κακίᾳ, ἀλλ' ἐν ἀνθρώπου γίνεται φύσει, μόνον δὲ ἀπρεπὲς καὶ αἰσχρὸν τὸ κατὰ κακίαν πάθος, ἐν ᾧ οὔτε γέγονεν ὁ Θεὸς, οὔτε γενέσθαι φύσιν ἔχει, τί ἐπαισχύνονται τῇ ὁμολογίᾳ τοῦ Θεὸν ἀνθρωπίνης ἅψασθαι φύσεως, οὐδὲ μιᾶς ἐναντιότητος ὡς πρὸς τὸν τῆς ἀρετῆς λόγον ἐν τῇ κατασκευῇ τοῦ ἀνθρώπου θεωρουμένης; Οὔτε τὸ διανοητικὸν, οὔτε τὸ ἐπιστήμης δεκτικὸν, οὔτε ἄλλο τι τοιοῦτον, ὃ τῆς ἀνθρωπίνης ἴδιον οὐσίας ἐστὶ, τῷ λόγῳ τῆς ἀρετῆς ἠναντίωται. Ἀλλ' αὐτὴ, φησὶν, ἡ τροπὴ τοῦ ἡμετέρου σώματος πάθος ἐστὶν, ὁ δὲ ἐν

A ris : causam habes, cur ad homines descenderit Deus. Egebat medico natura nostra, qui morbos et ægritudines curaret suas. Qui lapsus jacebat homo, ejus opera, a quo excitaretur, indigebat. Qui a vita discesserat, egebat illius auxilio, qui se in vitam revocaret. Egebat illius ope, a quo reduceretur in pristinum bonorum statum qui a perfruendis bonis exciderat. Egebat lucis præstantia, qui in tenebris coercebatur. Requirebat servatorem captivus, vinctus tutorem, liberatorem ille, qui sub servitutis jugo detinebatur. Parvane erant hæc et indigna, quæ Deus ipse susciperet, atque præstaret, ad naturamque humanam visitandam descenderet, quæ tam miserabiliter atque infeliciter affecta erat? At licebat, inquies, Deo, ut nihil ipse pateretur, de ho- B mine bene mereri. Qui enim mundum universum, cum nullus esset, consilio et solo voluntatis motu ex nihilo constituerat, cur non idem, si tam illi id erat cordi, hominem divinæ potestatis auctoritate ex adversarii dominatu liberatum in pristinum statum restituit? Cur tam longas persecutus est vias, dum corporis naturam assumit? dum nascens in vitam ingreditur? dum omnem ordine transigit ætatem suam, mortemque tandem degustat, et proprio corpore ad vitam revocato propositum sibi finem assequitur, quasi in excelsa divinitatis gloria manens omisso tam longo circuitu hominem jussu servare non posset? Necesse est, etiam istis argumentis respondere, veritatemque defendere C et aperire, ne qua vis fidei religionique inferatur ab iis, qui mysterii rationem curiose inquirunt. Primum igitur, quid virtuti e contrario respondeat, consideremus. Ut luci tenebræ, ut mors vitæ, sic virtuti vitium contrarium est, ac nihil præterea aliud. Quemadmodum enim, cum multæ sint res in natura, nulla tamen luci, vitæque e contrario opponitur, non lapis, non lignum, non aqua, non homo, nulla denique alia, præter illas, quas vere cognoscimus ipsis esse contrarias, tenebræ nimirum et mors; sic etiam in virtute fit, cui nihil e contrario quis opposuerit, præter vitium. Quare si in Dei ortu vitium aliquod inesse dicendo concessimus, tempus erat, ut qui contradicit, fidem nostram invaderet, quod absurda, naturæque divinæ mini- D me convenientia tradidissemus. Neque enim fas fuit ipsam sapientiam, et bonitatem, et immortalitatem, et si quid aliud præclarum cogitari dicique potest, asserere in contraria decidisse. Quod si vera virtus est Deus, natura autem virtuti non est contraria, sed vitium, Deus vero non in vitio, sed in hominis natura natus est, nec quidquam indecorum ac turpe, præter vitii affectionem, in qua Deus nec fuit, nec esse potuit: quid verentur confiteri, Deum naturam humanam induisse, cum in hominis constructione nihil virtuti contrarium esse cernatur? Neque enim quod ratione, cogitatione, mente præditus est, aut ad scientiam percipiendam idoneus, nec quidquam aliud eorum, quæ naturæ humanæ propria sunt, abhorreat a

definitione virtutis. At ipsa, inquies, nostri corporis A immutatio quid aliud est, quam affectio ac perturbatio, a qua, qui in corpore est, abesse non potest? Deus autem omnis perturbationis est expers. Quamobrem Deo aliena est hæc opinio, si quidem Deum, qui natura sua vacat omni perturbatione, ad eam degustandam venisse prædicatis. Ad hæc quoque confutanda eamdem rationem adhibebimus, dicemusque affectionem, seu perturbationem dupliciter accipi, proprie et improprie. Quæ enim voluntatem attingit, eamque a virtute deducit ad vitium, vere dicitur perturbatio. Quæ autem ordine quodam suo per naturam commeat atque progreditur, ea magis proprie actio, quam perturbatio posset appellari, qualis est ortus, augmentum, subjectique per accessionem secessionemque cibi conservatio, et ad B corpus vel constituendum coitio et concursus elementorum, vel dissolvendum eorumdem distractio, et ad proprium cujusque locum reditus atque secessio. Utram igitur harum mysterium nostrum asserit Deum attigisse? eamne, quæ proprie perturbatio vocatur, et vitium est, an illam, quæ nihil aliud est, quam actio, et motus quidam naturalis? Si enim in motibus illis pravis ac repudiandis Deum esse natum contenderemus, doctrinam absurdam effugere oporteret, ut quæ nihil sani traderet de natura divina. Cum autem dicamus, Deum naturam humanam, cujus idem ipse auctor effectorque fuit, assumpsisse, quid absurdum, aut quod Deo minus conveniat, prædicamus? Nihil enim de illo creden- C dum tradimus, quod perturbationem, aut vitium, aut turpitudinem significet. Neque enim medicum morbo affici dicimus, quando morbo laborantes curat. Nam licet eos invisat et attingat, ipse tamen nullo morbi incommodo afficitur. Quod si nasci non est malum, ne vivere quidem malum esse dixeris. At voluptatis affectio, inquies, quæ ortum antecedit, viventiumque ad malum vitiumque propensio, naturæ nostræ sunt morbi. Quid tum? cum ab utroque liberum ipsum fuisse mysterium tradat? Quod si et sine voluptate genitus est, et vitam a vitio remotissimam egit, ecquod reliquum est malum, cujus Deum participem pietatis mysterium dicat exstitisse? Sin aliquis animi a corpore sejunctionem malum appellat, is æquum erat, ut prius D conjunctionem utriusque malum appellaret. Nam si copulatorum disjunctio mala est, et disjunctorum copulatio est mala. Utrobique enim est quidam motus, ut quemadmodum consequentem vocas, sic etiam præcedentem vocare debeas. Quocirca si prior motus, quem ortum nominas, non est malus, ne posterior quidem, quem mortem dicis, qua corporis animique conjunctio distrahitur, malus poterit appellari. Nos autem Deum dicimus in utroque fuisse motu, tum in illo, quo animus et corpus concurrunt, tum in eo, per quem animus a corpore separatur.

Ex eadem oratione.

Cum autem unus sit omnibus hominibus ad vitam

τούτῳ γεγονὼς ἐν πάθει γίνεται. Ἀπαθὲς δὲ τὸ Θεῖον. Οὐκοῦν ἀλλοτρία περὶ Θεοῦ ἡ ὑπόληψις, εἴπερ τὸν ἀπαθῆ κατὰ τὴν φύσιν πρὸς κοινωνίαν πάθους ἐλθεῖν τὸ κήρυγμα διορίζεται. Ἀλλὰ καὶ πρὸς ταῦτα πάλιν τῷ αὐτῷ λόγῳ χρησόμεθα, ὅτι πάθος τὸ μὲν κυρίως, τὸ δὲ ἐκ καταχρήσεως λέγεται. Τὸ μὲν οὖν προαιρέσεως ἁπτόμενον, καὶ πρὸς κακίαν ἀπὸ τῆς ἀρετῆς μεταστρέφον, ἀληθῶς πάθος ἐστὶ, τὸ δ' ὅσον ἐν τῇ φύσει κατὰ τὸν ἴδιον εἱρμὸν πορευομένη διεξοδικῶς θεωρεῖται, τοῦτο κυριώτερον ἔργον ἂν μᾶλλον ἢ πάθος προσαγορεύοιτο· οἷον ἡ γέννησις, ἡ αὔξησις, ἡ διὰ τῆς ἐπιῤῥύτου τε καὶ ἀποῤῥύτου τροφῆς τοῦ ὑποκειμένου διαμονὴ, ἡ τῶν στοιχείων περὶ τὸ σῶμα συνδρομὴ, ἡ τοῦ συντεθέντος πάλιν διάλυσίς τε καὶ πρὸς τὰ συγγενῆ μεταχώρησις. Τίνος οὖν λέγει τὸ μυστήριον ἡμῶν ἧφθαι τὸ Θεῖον, τοῦ κυρίως λεγομένου πάθους, ὅπερ κακίας ἐστὶν, ἢ τοῦ κατὰ φύσιν κινήματος; Εἰ μὲν γὰρ ἐν τοῖς ἀπαγορευομένοις γεγεννῆσθαι τὸ Θεῖον ὁ λόγος διισχυρίζετο, φεύγειν ἔδει τὴν ἀτοπίαν τοῦ δόγματος, ὡς οὐδὲν ὑγιὲς περὶ τῆς θείας φύσεως διεξιόντος· εἰ δὲ τῆς φύσεως ἡμῶν αὐτὸν ἐφῆφθαι λέγει, ἧς καὶ ἡ πρώτη γένεσίς τε καὶ ὑπόστασις παρ' αὐτοῦ τὴν ἀρχὴν ἔσχε, ποῦ τῆς Θεῷ πρεπούσης ἐννοίας διαμαρτάνει τὸ κήρυγμα, μηδεμιᾶς παθητικῆς διαθέσεως ἐν ταῖς περὶ Θεοῦ ὑπολήψεσι τῇ πίστει συνιούσης; Οὐδὲ γὰρ τὸν ἰατρὸν ἐν πάθει γίνεσθαι λέγομεν, ὅταν θεραπεύῃ τὸν ἐν πάθει γινόμενον. Ἀλλὰ κἂν προσάψηται τοῦ ἀῤῥωστήματος, ἔξω πάθους ὁ θεραπευτὴς διαμένει. Εἰ ἡ γένεσις αὐτὴ καθ' ἑαυτὴν πάθος οὐκ ἔστιν, οὐδ' ἂν τὴν ζωήν τις πάθος προσαγορεύσειεν. Ἀλλὰ τὸ καθ' ἡδονὴν, φησὶ, πάθος τῆς ἀνθρωπίνης καθηγεῖται γενέσεως, καὶ ἡ πρὸς κακίαν τῶν ζώντων ὁρμὴ τοῦτο τῆς φύσεως ἡμῶν ἐστιν ἀῤῥώστημα. Ἀλλὰ μὴν ἀμφοτέρων αὐτὸν καθαρεύειν φησὶ τὸ μυστήριον. Εἰ οὖν ἡδονῆς μὲν ἡ γένεσις αὐτοῦ ἠλλοτρίωται, κακίας δὲ ἡ ζωὴ, ποῖον ὑπολέλειπται πάθος, οὗ τὸν Θεὸν κεκοινωνηκέναι φησὶ τὸ τῆς εὐσεβείας μυστήριον; Εἰ δέ τις τὴν τοῦ σώματος καὶ τῆς ψυχῆς διάζευξιν πάθος προσαγορεύοι, πολὺ πρότερον δίκαιον ἂν εἴη τὴν συνδρομὴν ἀμφοτέρων οὕτω κατονομάσαι. Εἰ γὰρ ὁ χωρισμὸς τῶν συνημμένων πάθος ἐστὶ, καὶ ἡ συνάφεια τῶν διεστώτων πάθος ἂν εἴη. Κίνησις γάρ τίς ἐστιν ἔν τε τῇ συγκρίσει τῶν διεστώτων καὶ ἐν τῇ διακρίσει τῶν συμπεπλεγμένων, καὶ ἡνωμένων. Ὅπερ τοίνυν ἡ τελευταία κίνησις ὀνομάζεται, τοῦτο προσήκει καλεῖσθαι καὶ τὴν προάγουσαν. Εἰ δὲ ἡ πρώτη κίνησις, ἣν γένεσιν ὀνομάζομεν, πάθος οὐκ ἔστιν, οὐδ' ἂν ἡ δευτέρα κίνησις, ἣν θάνατον ὀνομάζομεν, πάθος ἂν κατὰ τὸ ἀκόλουθον λέγοιτο, καθ' ἣν ἡ συνδρομὴ τοῦ σώματος καὶ τῆς ψυχῆς διακρίνεται. Τὸν δὲ Θεόν φαμεν ἐν ἑκατέρᾳ γεγεννῆσθαι τῇ τῆς φύσεως κινήσει, δι' ἧς ἥ τε ψυχὴ πρὸς τὸ σῶμα συντρέχει, τό τε σῶμα τῆς ψυχῆς διακρίνεται.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Μιᾶς δὲ πᾶσιν ἀνθρώποις τῆς εἰς τὴν ζωὴν οὔσης

παρόδου, πόθεν ἔδει τὸν εἰσιόντα πρὸς ἡμᾶς εἰσοικισθῆναι τῷ βίῳ; Ἐξ οὐρανοῦ, φήσει τυχὸν ὁ διαπτύων ὡς αἰσχρόν τε καὶ ἄδοξον τὸ εἶδος τῆς ἀνθρωπίνης γενέσεως. Ἀλλ' οὐκ ἦν ἐν οὐρανῷ τὸ ἀνθρώπινον, οὐδέ τις ἐν τῇ ὑπερκοσμίῳ ζωῇ κακίας νόσος ἐπεχωρίαζεν. Ἔνθα τοίνυν τὸ κακὸν οὐκ ἦν, οὐδὲ ὁ ἀνθρώπινος ἐπολιτεύετο βίος, πῶς ἐπιζητεῖ τις ἐκεῖθεν τῷ Θεῷ περιπλακῆναι τὸν ἄνθρωπον, μᾶλλον δὲ οὐχὶ ἄνθρωπον, ἀλλ' ἀνθρώπου τι εἴδωλον καὶ ὁμοίωμα; Τίς δ' ἂν ἐγένετο τῆς φύσεως ἡμῶν διόρθωσις, εἰ τοῦ ἐπιγείου ζώου νενοσηκότος, ἕτερόν τι τῶν οὐρανίων τὴν θείαν ἐπιμιξίαν ἐδέξατο; Οὐκ ἔστι γὰρ θεραπευθῆναι τὸν κάμνοντα, μὴ τοῦ πονοῦντος μέρους ἰδιαζόντως δεξαμένου τὴν ἴασιν. Εἰ οὖν τὸ μὲν κάμνον ἐπὶ γῆς ἦν, ἡ δὲ θεία δύναμις τοῦ κάμνοντος μὴ ἐφήψατο, πρὸς τὸ ἑαυτῇ βλέπουσα πρέπον, ἄχρηστος ἦν τῷ ἀνθρώπῳ ἡ περὶ τὰ μηδὲν ἡμῖν ἐπικοινωνοῦντα τῆς θείας δυνάμεως ἀσχολία. Τὸ μὲν γὰρ ἀπρεπὲς ἐπὶ τῆς θεότητος ἴσον, εἴπερ ὅλως θεμιτόν ἐστιν ἄλλο τι παρὰ τὴν κακίαν ἀπρεπὲς ἐννοεῖν· πλὴν τῷ μικροψύχως ἐν τούτῳ κρίνοντι τὴν θείαν μεγαλειότητα, ἐν τῷ δέξασθαι τῶν τῆς φύσεως ἡμῶν ἰδιωμάτων τὴν κοινωνίαν, οὐδὲν μᾶλλον παραμυθεῖται τὸ ἄδοξον οὐρανίῳ σώματι ἢ ἐπιγείῳ συσχηματισθῆναι τὸ θεῖον. Τοῦ γὰρ ὑψίστου, καὶ ἀπροσίτου κατὰ τὸ ὕψος τῆς φύσεως ἡ κτίσις πᾶσα κατὰ τὸ ἴσον ἐπὶ τὸ κάτω ἀφέστηκε, καὶ ὁμοτίμως αὐτῷ τὸ πᾶν ὑποβέβηκε. Τὸ γὰρ καθόλου ἀπρόσιτον οὐ τινὶ μέν ἐστι προσιτόν, τῷ δὲ ἀπροσπέλαστον, ἀλλ' ἐπίσης πάντων τῶν ὄντων ὑπερανέστηκεν. Ὅπου τοίνυν ἡ νόσος, ἐκεῖ φοιτῆσαι τὴν ἰωμένην δύναμιν ὁμολογοῦντες, τί ἔξω τῆς θεοπρεποῦς ὑπολήψεως πεπιστεύκαμεν; Ἀλλὰ κωμῳδοῦσι τὴν φύσιν ἡμῶν, καὶ τὸν τῆς γεννήσεως τρόπον διαθρυλλοῦσι, καὶ οἴονται διὰ τούτων ἐπιγέλαστον ποιεῖν τὸ μυστήριον, ὡς ἀπρεπὲς ὂν Θεῷ διὰ τοιαύτης εἰσόδου τῆς τοῦ ἀνθρωπίνου βίου κοινωνίας ἐφάψασθαι. Ἀλλ' ἤδη περὶ τούτου καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηται λόγοις, ὅτι μόνον αἰσχρὸν τῇ ἑαυτοῦ φύσει τὸ κακόν ἐστι, καὶ εἴ τι πρὸς τὴν κακίαν οἰκείως ἔχει. Ἡ δὲ τῆς φύσεως ἀκολουθία, θείῳ βουλήματι καὶ νόμῳ διαταχθεῖσα, πόῤῥω τῆς κατὰ κακίαν ἐστὶ διαβολῆς. Ἢ οὕτω γ' ἂν ἐπὶ τὸν δημιουργὸν ἡ κατηγορία τῆς φύσεως ἐπανίοι, εἴ τι τῶν περὶ αὐτὴν ὡς αἰσχρόν τε καὶ ἀπρεπὲς διαβάλλοιτο. Εἰ οὖν κακίας τὸ Θεῖον κεχώρισται, φύσις δὲ κακία οὐκ ἔστι, τὸ δὲ μυστήριον ἐν ἀνθρώπῳ γενέσθαι τὸν Θεὸν οὐκ ἐν κακίᾳ λέγει, ἡ δὲ τοῦ ἀνθρώπου ἐπὶ τὸν βίον εἴσοδος μία ἐστὶ, δι' ἧς παράγεται ἐπὶ τὴν ζωὴν τὸ γεννώμενον· τίνα νομοθετοῦσιν ἕτερον τρόπον τῷ Θεῷ τῆς εἰς τὸν βίον παρόδου οἱ ἐπισκεφθῆναι μὲν περὶ τῆς θείας δυνάμεως ἀσθενήσασαν ἐν κακίᾳ τὴν φύσιν εὔλογον κρίνοντες, πρὸς δὲ τὸν τῆς ἐπισκέψεως τρόπον δυσαρεστούμενοι; οὐκ εἰδότες ὅτι πᾶσα πρὸς ἑαυτὴν ἡ κατασκευὴ τοῦ σώματος ὁμοτίμως ἔχει, καὶ οὐδὲν ἐν ταύτῃ τῶν πρὸς τὴν σύστασιν τῆς ζωῆς συντελούντων ὡς ἄτιμόν τι ἢ πονηρὸν διαβάλλεται. Πρὸς ἕνα γὰρ σκοπὸν ἡ τῶν ὀργανικῶν μελῶν διασκευὴ πᾶσα συν-

aditus, unde oportebat accedentem ad nos Deum in vitam ingredi? E cœlo, inquiet ille fortasse, qui procreationis humanæ rationem ut ingloriam turpemque despicit. At in cœlo non erat humanum genus, nec ullus vitiorum morbus ad summas illas cœli sedes aspirabat; ubi autem malum non erat, ibi nec hominum vita versabatur. Quomodo igitur e cœlo quispiam quærat Deo hominem, vel potius effigiem quamdam, ac simulacrum hominis affingi? Ecquæ naturæ nostræ cautio fuisset adhibita, si cum terrestre animal laboraret, cœlestium aliquod divinam admissionem suscepisset? Neque enim ægrotus curari potest, nisi parti laboranti proprium admoveatur medicamentum. Itaque cum in terra esset, qui ægrotabat, si divina potentia dignitatis suæ habita ratione ægrotantem non attigisset, inutile fuisset homini divinæ potentiæ studium, illis adhibitum, quæ nihil ad nos pertinerent. Æque enim divinitate fuisset indignum, si fas est illa quippiam indignum præter vitium dicere, remedium minus aptum et appositum excogitare. Quid, quod eum, qui naturæ nostræ conditionem humiliorem putat, quam ut divinam magnitudinem deceat, nihilo magis consolatur, quod cœleste corpus, quam quod terrenum Deus induerit? Ab illo enim qui naturæ suæ sublimitate tam excelsus est, ut nihil ad eum aspirare queat, omnes res procreatæ ex æquo distant, omnes ei pariter cedunt. Is enim, ad quem prorsus non potest accedi, non est ejusmodi, ut ad eum aliæ res aditum habeant, aliæ non habeant, sed omnibus æqualiter præstat atque antecellit. Quamobrem, cum illuc medendi facultatem accedere fateamur, ubi morbus est, quid Deo credimus indignum? At naturam nostram insectantur, nascendique modum exagitant, eaque re se id assecuturos existimant, ut mysterium irrideatur, quod Deo sit indignum, ejusmodi ingressu ad communem hominum vitam accessisse. Ad hæc antea quoque respondimus, nihil esse turpe divinæ naturæ, nisi vitium et quæ cum vitio conjuncta sunt, naturæ autem ordinem divino consilio et lege constitutum ab omni vitio remotum esse. Nam si quid in ea ut turpe atque indecorum reprehendi posset, id ipsum in ejus recideret auctorem Deum. Quod si a vitio Deus sejunctus est, et vitio natura caret, et mysterium in homine Deum, non in vitio natum tradit, et hominis unus est in vitam ingressus, per quem quod genitum est, editur in vitalem hanc lucem, ecquam aliam isti in vitam introeundi rationem Deo præscribunt? Nam, quod Deum potentia sua invisere debuisse naturam in vitio ægrotantem judicant, recte sentiunt: quod autem visendi modum improbant, ignorant, omnem corporis fabricam eodem esse honoris ac pretii loco, et nihil eorum, quæ vitam assecuta sunt, ut despectum aut turpe reprehendi; omnia enim humanorum membrorum instrumenta tendunt ad unum illum finem, ut homo conservetur in vita. Pars igitur eorum præsentem vitam tuetur, quæ ad varios usus ita

definitione virtutis. At ipsa, inquies, nostri corporis A immutatio quid aliud est, quam affectio ac perturbatio, a qua, qui in corpore est, abesse non potest? Deus autem omnis perturbationis est expers. Quamobrem Deo aliena est hæc opinio, si quidem Deum, qui natura sua vacat omni perturbatione, ad eam degustandam venisse prædicatis. Ad hæc quoque confutanda eamdem rationem adhibebimus, dicemusque affectionem, seu perturbationem dupliciter accipi, proprie et improprie. Quæ enim voluntatem attingit, eamque a virtute deducit ad vitium, vere dicitur perturbatio. Quæ autem ordine quodam suo per naturam commeat atque progreditur, ea magis proprie actio, quam perturbatio posset appellari, qualis est ortus, augmentum, subjectique per accessionem secessionemque cibi conservatio, et ad B corpus vel constituendum coitio et concursus elementorum, vel dissolvendum eorumdem distractio, et ad proprium cujusque locum reditus atque secessio. Utram igitur harum mysterium nostrum asserit Deum attigisse? eamne, quæ proprie perturbatio vocatur, et vitium est, an illam, quæ nihil aliud est, quam actio, et motus quidam naturalis? Si enim in motibus illis pravis ac repudiandis Deum esse natum contenderemus, doctrinam absurdam effugere oporteret, ut quæ nihil sani traderet de natura divina. Cum autem dicamus, Deum naturam humanam, cujus idem ipse auctor effectorque fuit, assumpsisse, quid absurdum, aut quod Deo minus conveniat, prædicamus? Nihil enim de illo creden- C dum tradimus, quod perturbationem, aut vitium, aut turpitudinem significet. Neque enim medicum morbo affici dicimus, quando morbo laborantes curat. Nam licet eos invisat et attingat, ipse tamen nullo morbi incommodo afficitur. Quod si nasci non est malum, ne vivere quidem malum esse dixeris. At voluptatis affectio, inquies, quæ ortum antecedit, viventiumque ad malum vitiumque propensio, naturæ nostræ sunt morbi. Quid tum? cum ab utroque liberum ipsum fuisse mysterium tradat? Quod si et sine voluptate genitus est, et vitam a vitio remotissimam egit, ecquod reliquum est malum, cujus Deum participem pietatis mysterium dicat exstitisse? Sin aliquis animi a corpore sejunctionem malum appellat, is æquum erat, ut prius D conjunctionem utriusque malum appellaret. Nam si copulatorum disjunctio mala est, et disjunctorum copulatio est mala. Utrobique enim est quidam motus, ut quemadmodum consequentem vocas, sic etiam præcedentem vocare debeas. Quocirca si prior motus, quem ortum nominas, non est malus, ne posterior quidem, quem mortem dicis, qua corporis animique conjunctio distrahitur, malus poterit appellari. Nos autem Deum dicimus in utroque fuisse motu, tum in illo, quo animus et corpus concurrunt, tum in eo, per quem animus a corpore separatur.

Ex eadem oratione.

Cum autem unus sit omnibus hominibus ad vitam

τούτῳ γεγονὼς ἐν πάθει γίνεται. Ἀπαθὲς δὲ τὸ Θεῖον. Οὐκοῦν ἀλλοτρία περὶ Θεοῦ ἡ ὑπόληψις, εἴπερ τὸν ἀπαθῆ κατὰ τὴν φύσιν πρὸς κοινωνίαν πάθους ἐλθεῖν τὸ κήρυγμα διορίζεται. Ἀλλὰ καὶ πρὸς ταῦτα πάλιν τῷ αὐτῷ λόγῳ χρησόμεθα, ὅτι πάθος τὸ μὲν κυρίως, τὸ δὲ ἐκ καταχρήσεως λέγεται. Τὸ μὲν οὖν προαιρέσεως ἁπτόμενον, καὶ πρὸς κακίαν ἀπὸ τῆς ἀρετῆς μεταστρέφον, ἀληθῶς πάθος ἐστὶ, τὸ δ' ὅσον ἐν τῇ φύσει κατὰ τὸν ἴδιον εἱρμὸν πορευομένη διεξοδικῶς θεωρεῖται, τοῦτο κυριώτερον ἔργον ἂν μᾶλλον ἢ πάθος προσαγορεύοιτο· οἷον ἡ γέννησις, ἡ αὔξησις, ἡ διὰ τῆς ἐπιῤῥύτου τε καὶ ἀποῤῥύτου τροφῆς τοῦ ὑποκειμένου διαμονὴ, ἡ τῶν στοιχείων περὶ τὸ σῶμα συνδρομὴ, ἡ τοῦ συντεθέντος πάλιν διάλυσίς τε καὶ πρὸς τὰ συγγενῆ μεταχώρησις. Τίνος οὖν λέγει τὸ μυστήριον ἡμῶν ἧφθαι τὸ Θεῖον, τοῦ κυρίως λεγομένου πάθους, ὅπερ κακίας ἐστὶν, ἢ τοῦ κατὰ φύσιν κινήματος; Εἰ μὲν γὰρ ἐν τοῖς ἀπαγορευομένοις γεγεννῆσθαι τὸ Θεῖον ὁ λόγος διισχυρίζετο, φεύγειν ἔδει τὴν ἀτοπίαν τοῦ δόγματος, ὡς οὐδὲν ὑγιὲς περὶ τῆς θείας φύσεως διεξιόντος· εἰ δὲ τῆς φύσεως ἡμῶν αὐτὸν ἐφῆφθαι λέγει, ἧς καὶ ἡ πρώτη γένεσίς τε καὶ ὑπόστασις παρ' αὐτοῦ τὴν ἀρχὴν ἔσχε, ποῦ τῆς Θεῷ πρεπούσης ἐννοίας διαμαρτάνει τὸ κήρυγμα, μηδεμιᾶς παθητικῆς διαθέσεως ἐν ταῖς περὶ Θεοῦ ὑπολήψεσι τῇ πίστει συνιούσης; Οὐδὲ γὰρ τὸν ἰατρὸν ἐν πάθει γίνεσθαι λέγομεν, ὅταν θεραπεύῃ τὸν ἐν πάθει γινόμενον. Ἀλλὰ κἂν προσάψηται τοῦ ἀῤῥωστήματος, ἔξω πάθους ὁ θεραπευτὴς διαμένει. Εἰ ἡ γένεσις αὐτὴ καθ' ἑαυτὴν πάθος οὐκ ἔστιν, οὐδ' ἂν τὴν ζωήν τις πάθος προσαγορεύσειεν. Ἀλλὰ τὸ καθ' ἡδονὴν, φησὶ, πάθος τῆς ἀνθρωπίνης καθηγεῖται γενέσεως, καὶ ἡ πρὸς κακίαν τῶν ζώντων ὁρμὴ τοῦτο τῆς φύσεως ἡμῶν ἐστιν ἀῤῥώστημα. Ἀλλὰ μὴν ἀμφοτέρων αὐτὸν καθαρεύειν φησὶ τὸ μυστήριον. Εἰ οὖν ἡδονῆς μὲν ἡ γένεσις αὐτοῦ ἠλλοτρίωται, κακίας δὲ ἡ ζωὴ, ποῖον ὑπολέλειπται πάθος, οὗ τὸν Θεὸν κεκοινωνηκέναι φησὶ τὸ τῆς εὐσεβείας μυστήριον; Εἰ δέ τις τὴν τοῦ σώματος καὶ τῆς ψυχῆς διάζευξιν πάθος προσαγορεύοι, πολὺ πρότερον δίκαιον ἂν εἴη τὴν συνδρομὴν ἀμφοτέρων οὕτω κατονομάσαι. Εἰ γὰρ ὁ χωρισμὸς τῶν συνημμένων πάθος ἐστὶ, καὶ ἡ συνάφεια τῶν διεστώτων πάθος ἂν εἴη. Κίνησις γάρ τίς ἐστιν ἔν τε τῇ συγκρίσει τῶν διεστώτων καὶ ἐν τῇ διακρίσει τῶν συμπεπλεγμένων, καὶ ἡνωμένων. Ὅπερ τοίνυν ἡ τελευταία κίνησις ὀνομάζεται, τοῦτο προσήκει καλεῖσθαι καὶ τὴν προάγουσαν. Εἰ δὲ ἡ πρώτη κίνησις, ἣν γένεσιν ὀνομάζομεν, πάθος οὐκ ἔστιν, οὐδ' ἂν ἡ δευτέρα κίνησις, ἣν θάνατον ὀνομάζομεν, πάθος ἂν κατὰ τὸ ἀκόλουθον λέγοιτο, καθ' ἣν ἡ συνδρομὴ τοῦ σώματος καὶ τῆς ψυχῆς διακρίνεται. Τὸν δὲ Θεόν φαμεν ἐν ἑκατέρᾳ γεγεννῆσθαι τῇ τῆς φύσεως κινήσει, δι' ἧς ἥ τε ψυχὴ πρὸς τὸ σῶμα συντρέχει, τό τε σῶμα τῆς ψυχῆς διακρίνεται.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Μιᾶς δὲ πᾶσιν ἀνθρώποις τῆς εἰς τὴν ζωὴν οὔσης

παρόδου, πόθεν ἔδει τὸν εἰσιόντα πρὸς ἡμᾶς εἰσοικισθῆναι τῷ βίῳ; Ἐξ οὐρανοῦ, φήσει τυχὸν ὁ διαπτύων ὡς αἰσχρόν τε καὶ ἄδοξον τὸ εἶδος τῆς ἀνθρωπίνης γενέσεως. Ἀλλ' οὐκ ἦν ἐν οὐρανῷ τὸ ἀνθρώπινον, οὐδέ τις ἐν τῇ ὑπερκοσμίῳ ζωῇ κακίας νόσος ἐπεχωρίαζεν. Ἔνθα τοίνυν τὸ κακὸν οὐκ ἦν, οὐδὲ ὁ ἀνθρώπινος ἐπολιτεύετο βίος, πῶς ἐπιζητεῖ τις ἐκεῖθεν τῷ Θεῷ περιπλακῆναι τὸν ἄνθρωπον, μᾶλλον δὲ οὐχὶ ἄνθρωπον, ἀλλ' ἀνθρώπου τι εἴδωλον καὶ ὁμοίωμα; Τίς δ' ἂν ἐγένετο τῆς φύσεως ἡμῶν διόρθωσις, εἰ τοῦ ἐπιγείου ζώου νενοσηκότος, ἕτερόν τι τῶν οὐρανίων τὴν θείαν ἐπιμιξίαν ἐδέξατο; Οὐκ ἔστι γὰρ θεραπευθῆναι τὸν κάμνοντα, μὴ τοῦ πονοῦντος μέρους ἰδιαζόντως δεξαμένου τὴν ἴασιν. Εἰ οὖν τὸ μὲν κάμνον ἐπὶ γῆς ἦν, ἡ δὲ θεία δύναμις τοῦ κάμνοντος μὴ ἐφήψατο, πρὸς τὸ ἑαυτῇ βλέπουσα πρέπον, ἄχρηστος ἦν τῷ ἀνθρώπῳ ἡ περὶ τὰ μηδὲν ἡμῖν ἐπικοινωνοῦντα τῆς θείας δυνάμεως ἀσχολία. Τὸ μὲν γὰρ ἀπρεπὲς ἐπὶ τῆς θεότητος ἴσον, εἴπερ ὅλως θεμιτόν ἐστιν ἄλλο τι παρὰ τὴν κακίαν ἀπρεπὲς ἐννοεῖν· πλὴν τῷ μικροψύχως ἐν τούτῳ κρίνοντι τὴν θείαν μεγαλειότητα, ἐν τῷ δέξασθαι τῶν τῆς φύσεως ἡμῶν ἰδιωμάτων τὴν κοινωνίαν, οὐδὲν μᾶλλον παραμυθεῖται τὸ ἄδοξον οὐρανίῳ σώματι ἢ ἐπιγείῳ συσχηματισθῆναι τὸ θεῖον. Τοῦ γὰρ ὑψίστου, καὶ ἀπροσίτου κατὰ τὸ ὕψος τῆς φύσεως ἡ κτίσις πᾶσα κατὰ τὸ ἴσον ἐπὶ τὸ κάτω ἀφέστηκε, καὶ ὁμοτίμως αὐτῷ τὸ πᾶν ὑποβέβηκε. Τὸ γὰρ καθόλου ἀπρόσιτον οὐ τινι μὲν ἐστι προσιτὸν, τῷ δὲ ἀπροσπέλαστον, ἀλλ' ἐπίσης πάντων τῶν ὄντων ὑπερανέστηκεν. Ὅπου τοίνυν ἡ νόσος, ἐκεῖ φοιτῆσαι τὴν ἰωμένην δύναμιν ὁμολογοῦντες, τί ἔξω τῆς θεοπρεποῦς ὑπολήψεως πεπιστεύκαμεν; Ἀλλὰ κωμῳδοῦσι τὴν φύσιν ἡμῶν, καὶ τὸν τῆς γεννήσεως τρόπον διαθρυλλοῦσι, καὶ οἴονται διὰ τούτων ἐπιγέλαστον ποιεῖν τὸ μυστήριον, ὡς ἀπρεπὲς ὂν Θεῷ διὰ τοιαύτης εἰσόδου τῆς τοῦ ἀνθρωπίνου βίου κοινωνίας ἐφάψασθαι. Ἀλλ' ἤδη περὶ τούτου καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηται λόγοις, ὅτι μόνον αἰσχρὸν τῇ ἑαυτοῦ φύσει τὸ κακόν ἐστι, καὶ εἴ τι πρὸς τὴν κακίαν οἰκείως ἔχει. Ἡ δὲ τῆς φύσεως ἀκολουθία, θείῳ βουλήματι καὶ νόμῳ διαταχθεῖσα, πόῤῥω τῆς κατὰ κακίαν ἐστὶ διαβολῆς. Ἡ οὕτω γ' ἂν ἐπὶ τὸν δημιουργὸν ἡ κατηγορία τῆς φύσεως ἐπανίοι, εἴ τι τῶν περὶ αὐτὴν ὡς αἰσχρόν τε καὶ ἀπρεπὲς διαβάλλοιτο. Εἰ οὖν κακίας τὸ θεῖον κεχώρισται, φύσις δὲ κακία οὐκ ἔστι, τὸ δὲ μυστήριον ἐν ἀνθρώπῳ γενέσθαι τὸν Θεὸν οὐκ ἐν κακίᾳ λέγει, ἡ δὲ τοῦ ἀνθρώπου ἐπὶ τὸν βίον εἴσοδος μία ἐστὶ, δι' ἧς παράγεται ἐπὶ τὴν ζωὴν τὸ γεννώμενον· τίνα νομοθετοῦσιν ἕτερον τρόπον τῷ Θεῷ τῆς εἰς τὸν βίον παρόδου οἱ ἐπισκεφθῆναι μὲν περὶ τῆς θείας δυνάμεως ἀσθενήσασαν ἐν κακίᾳ τὴν φύσιν εὔλογον κρίνοντες, πρὸς δὲ τὸν τῆς ἐπισκέψεως τρόπον δυσαρεστούμενοι; οὐκ εἰδότες ὅτι πᾶσα πρὸς ἑαυτὴν ἡ κατασκευὴ τοῦ σώματος ὁμοτίμως ἔχει, καὶ οὐδὲν ἐν ταύτῃ τῶν πρὸς τὴν σύστασιν τῆς ζωῆς συντελούντων ὡς ἄτιμόν τι ἢ πονηρὸν διαβάλλεται. Πρὸς ἕνα γὰρ σκοπὸν ἡ τῶν ὀργανικῶν μελῶν διασκευὴ πᾶσα συν-

aditus, unde oportebat accedentem ad nos Deum in vitam ingredi? E cœlo, inquiet ille fortasse, qui procreationis humanæ rationem ut ingloriam turpemque despicit. At in cœlo non erat humanum genus, nec ullus vitiorum morbus ad summas illas cœli sedes aspirabat; ubi autem malum non erat, ibi nec hominum vita versabatur. Quomodo igitur e cœlo quispiam quærat Deo hominem, vel potius effigiem quamdam, ac simulacrum hominis affingi? Ecquæ naturæ nostræ cautio fuisset adhibita, si cum terrestre animal laboraret, cœlestium aliquod divinam admissionem suscepisset? Neque enim ægrotus curari potest, nisi parti laboranti proprium admoveatur medicamentum. Itaque cum in terra esset, qui ægrotabat, si divina potentia dignitatis suæ habita ratione ægrotantem non attigisset, inutile fuisset homini divinæ potentiæ studium, illis adhibitum, quæ nihil ad nos pertinerent. Æque enim divinitate fuisset indignum, si fas est illa quippiam indignum præter vitium dicere, remedium minus aptum et appositum excogitare. Quid, quod eum, qui naturæ nostræ conditionem humiliorem putat, quam ut divinam magnitudinem deceat, nihilo magis consolatur, quod cœleste corpus, quam quod terrenum Deus induerit? Ab illo enim qui naturæ suæ sublimitate tam excelsus est, ut nihil ad eum aspirare queat, omnes res procreatæ ex æquo distant, omnes ei pariter cedunt. Is enim, ad quem prorsus non potest accedi, non est ejusmodi, ut ad eum aliæ res aditum habeant, aliæ non habeant, sed omnibus æqualiter præstat atque antecellit. Quamobrem, cum illuc medendi facultatem accedere fateamur, ubi morbus est, quid Deo credimus indignum? At naturam nostram insectantur, nascendique modum exagitant, eaque re se id assecuturos existimant, ut mysterium irrideatur, quod Deo sit indignum, ejusmodi ingressu ad communem hominum vitam accessisse. Ad hæc antea quoque respondimus, nihil esse turpe divinæ naturæ, nisi vitium et quæ cum vitio conjuncta sunt, naturæ autem ordinem divino consilio et lege constitutum ab omni vitio remotum esse. Nam si quid in ea ut turpe atque indecorum reprehendi posset, id ipsum in ejus recideret auctorem Deum. Quod si a vitio Deus sejunctus est, et vitio natura caret, et mysterium in homine Deum, non in vitio natum tradit, et hominis unus est in vitam ingressus, per quem quod genitum est, editur in vitalem hanc lucem, ecquam aliam isti in vitam introeundi rationem Deo præscribunt? Nam, quod Deum potentia sua invisere debuisse naturam in vitio ægrotantem judicant, recte sentiunt: quod autem visendi modum improbant, ignorant, omnem corporis fabricam eodem esse honoris ac pretii loco, et nihil eorum, quæ vitam assecuta sunt, ut despectum aut turpe reprehendi; omnia enim humanorum membrorum instrumenta tendunt ad unum illum finem, ut homo conservetur in vita. Pars igitur eorum præsentem vitam tuetur, quæ ad varios usus ita

distributa sunt, ut homo per illa sentiendi agendique muneribus fungatur. Pars est ad procreandum accommodata, quæ prospicit in futurum, naturæque successionem subministrat. Quare si consideratur utilitas, quonam illorum, quæ in honore sunt hæc inferiora, vel potius si recte loqui volumus, quonam illorum non superiora judicentur? Neque enim per oculos, neque per linguam, neque per aliud sentiendi instrumentum genus nostrum perpetuo conservatur. Hæc enim, ut dictum est, præsentis vitæ commodis consulunt. Illa vero humani generis immortalitatem conservant, mortisque vim assidue nos oppugnantem quodammodo infringunt, debilitant, atque irritam faciunt. Semper enim quod deficit, novo partu instaurat natura. Quæ cum ita sint, quid absurdi mysterium nostrum amplectitur, si B quibus instrumentis cum morte natura decertat, iis ex pura Virgine Deus humanæ vitæ conjunctus est?

A τέτακται, ὁ δὲ σκοπός ἐστι τὸ διαμένειν ἐν τῇ ζωῇ τὸ ἀνθρώπινον. Τὰ μὲν οὖν λοιπὰ τῶν ὀργάνων τὴν παροῦσαν συνέχει τῶν ἀνθρώπων ζωὴν, ἀλλὰ πρὸς ἄλλην ἐνέργειαν μεμερισμένα, δι' ὧν ἡ αἰσθητική τε καὶ ἐνεργητικὴ δύναμις οἰκονομεῖται· τὰ δὲ γεννητικὰ τοῦ μέλλοντος ἔχει τὴν πρόνοιαν δι' ἑαυτῶν τῇ φύσει τὴν διαδοχὴν ἀντεισάγοντα. Εἰ οὖν πρὸς τὸ χρειῶδες βλέποις, τίνος ἂν εἴη τῶν τιμίων εἶναι νομιζομένων ἐκεῖνα δεύτερα; τίνος δὲ οὐκ ἂν προτιμότερα κατὰ τὸ εὔλογον κρίνοιτο; Οὐ γὰρ ὀφθαλμῷ, καὶ ἀκοῇ, καὶ γλώσσῃ, ἢ ἄλλῳ τινὶ τῶν αἰσθητηρίων πρὸς τὸ διηνεκὲς τὸ γένος ἡμῶν διεξάγεται. Ταῦτα γὰρ, καθὼς εἴρηται, τῆς παρούσης ἐστὶν ἀπολαύσεως. Ἀλλ' ἐν ἐκείνοις ἡ ἀθανασία συντηρεῖται τῇ ἀνθρωπότητι, ὡς ἀεὶ καθ' ἡμῶν ἐνεργοῦντα τὸν θάνατον ἄπρακτον εἶναι τρόπον τινὰ καὶ ἀνήνυτον, πάντοτε πρὸς τὸ λεῖπον διὰ τῶν ἐπιγινομένων ἑαυτὴν ἀντεισαγούσης τῆς φύσεως. Τί οὖν ἀπρεπὲς περιέχει ἡμῶν τὸ μυστήριον, εἰ διὰ τούτων ἐκ Παρθένου καθαρᾶς κατεμίχθη ὁ Θεὸς τῷ ἀνθρωπίνῳ βίῳ, δι' ὧν ἡ φύσις πρὸς τὸν θάνατον μάχεται·

Ex eadem oratione.

Cur autem cum initio peccatum vigeret, non in ipso statim ortu per humanæ carnis assumptionem oppressum fuit, atque provisum ne latius serperet et propagaretur? Facilis responsio est. Quoniam is, qui naturæ consulebat, sapientia et providentia distulit beneficium erga nos suum. Nam et in corporis morbis cum aliquis humor corruptus meatus occupavit, medicæ facultatis periti non prius adhibent astringentia medicamenta, quam id, quod naturæ contrarium intus diffusum est, se totum effuderit, eo autem ad superficiem extracto remediis utuntur suis. Quoniam igitur malitiæ morbus semel naturam humanam invaserat, exspectavit orbis medicus, ut omnia genera improbitatis, quæ in ipsa natura latitabant, erumperent. Idcirco non statim post cædem et fratricidium admissum a Cain hominum generi medicinam fecit. Nondum enim eorum, qui tempore Noe corrupti sunt, morbus apparuerat. Nondum gravis Sodomiticæ iniquitatis ægritudo patefacta erat. Nondum Ægyptiorum pugna cum Deo, nondum superbia Assyriorum, nondum a Judæis admissæ sanctorum hominum cædes, nondum alia omnia scelera atque flagitia, quæ vel litterarum monumentis consignata, D vel silentio prætерita sunt, exstiterant, cum variis modis peccati radix in hominum voluntatibus serperet. Posteaquam igitur malitia pervenit ad summum, hominesque nullum sceleris genus intentatum reliquerunt, tunc optimus medicus remedium, quo totam ægritudinem curaret, adhibuit. Hæc fuit causa, quamobrem non exorienti, sed perfecto jam morbo mederi voluit. Quod si quis rationibus nostris non acquiescit, quia post medicamentum adhibitum adhuc peccando grassatur hominum vita, is exemplo claro communitus veritatem agnoscat. Quemadmodum enim in serpentibus videmus, si lethalem plagam in capite acceperint, non continuo simul cum ipso capite reliquas cor-

Ἐκ τοῦ αὐτοῦ λόγου.

Τί δαὶ οὐκ, ἐν ἀρχαῖς οὔσης τῆς κακίας, τὴν ἐπὶ τὸ πλέον αὐτῆς πρόοδον διὰ τῆς ἐνανθρωπήσεως ἐπετέμετο; Πρὸς τοῦτο σύντομος ὁ παρ' ἡμῖν ἐστι λόγος· Ὅτι σοφία γέγονε, καὶ τοῦ λυσιτελοῦντος τῇ φύσει προμήθεια ἡ πρὸς τὴν εὐεργεσίαν ἡμῶν ἀναβολή. Καὶ γὰρ ἐπὶ τῶν σωματικῶν νοσημάτων, ὅταν τις διεφθορὼς χυμὸς ὑφέρπῃ τοὺς πόρους, πρὶν ἅπαν ἐπὶ τὴν ἐπιφάνειαν ἑλκυσθῆναι τὸ παρὰ C φύσιν ἐγκείμενον, οὐ καταφαρμακεύεται τοῖς πυκνοῦσι τὸ σῶμα παρὰ τῶν τεχνικῶς μεθοδευόντων τὰ πάθη, ἀλλ' ἀναμένουσι τὸ ἐνδομυχοῦν ἅπαν ἔξω γενέσθαι, καὶ οὕτω γυμνῷ τῷ πάθει τὴν ἰατρείαν προσάγουσιν. Ἐπειδὴ τοίνυν ἅπαξ ἐνέσκηψε τῇ φύσει τῆς ἀνθρωπότητος ἡ τῆς κακίας νόσος, ἀνέμεινεν ὁ τοῦ παντὸς θεραπευτὴς μηδὲν ὑπολειφθῆναι τῆς πονηρίας εἶδος ἐγκεκρυμμένον τῇ φύσει. Διὰ τοῦτο οὐκ εὐθὺς μετὰ τὸν φθόνον καὶ τὴν ἀδελφοκτονίαν τοῦ Κάϊν προσάγει τῷ ἀνθρώπῳ τὴν θεραπείαν. Οὔπω γὰρ τῶν ἐπὶ Νῶε καταφθαρέντων ἡ κακία ἐξέλαμψεν, οὐδὲ τῆς σοδομιτικῆς παρανομίας ἡ χαλεπὴ νόσος ἀπεκαλύφθη, οὐδὲ ἡ τῶν Αἰγυπτίων θεομαχία, οὐδὲ ἡ τῶν Ἀσσυρίων ὑπερηφανία, οὐδὲ ἡ τῶν Ἰουδαίων κατὰ τῶν ἁγίων τοῦ Θεοῦ μιαιφονία, οὐδὲ τὰ ἄλλα πάντα, ὅσα τε μνημονεύεται, καὶ ὅσα ἔξω τῆς ἱστορίας ἐν ταῖς καθεξῆς γενεαῖς κατεπράχθη, πολυτρόπως τῆς τοῦ κακοῦ ῥίζης ἐν ταῖς τῶν ἀνθρώπων προαιρέσεσι βλαστανούσης. Ἐπεὶ οὖν πρὸς τὸ ἀκρότατον μέτρον ἔφθασεν ἡ κακία, καὶ οὐδὲν ἔτι πονηρίας εἶδος ἐν τοῖς ἀνθρώποις ἀτόλμητον ἦν, ὡς ἂν διὰ πάσης τῆς ἀῤῥωστίας προχωρήσειεν ἡ θεραπεία, τούτου χάριν οὐκ ἀρχομένην, ἀλλὰ τετελειωμένην θεραπεύει τὴν νόσον. Εἰ δέ τις ἐλέγχειν οἴεται τὸν ἡμέτερον λόγον, ὅτι καὶ μετὰ τὸ προσαχθῆναι τὴν θεραπείαν ἔτι πλημμελεῖται διὰ τῶν ἁμαρτημάτων ὁ ἀνθρώπινος βίος, ὑποδείγματί τινι τῶν γνωρίμων ὁδηγηθήτω πρὸς τὴν ἀλήθειαν. Ὥσπερ γὰρ ἐπὶ τοῦ ὄφεως, εἰ κατὰ τῆς κεφαλῆς τὴν καιρίαν λάβοι, οὐκ εὐθὺς συννεκροῦται τῇ κεφαλῇ

καὶ ὁ κατόπιν ὁλκὸς, ἀλλ' ἡ μὲν τέθνηκε, τὸ δὲ οὐραῖον ἔτι ἐψύχωται τῷ ἰδίῳ θυμῷ, καὶ τῆς ζωτικῆς κινήσεως οὐκ ἐστέρηται· οὕτως ἔστι καὶ τὴν κακίαν ἰδεῖν, τῷ μὲν καιρίῳ πληγεῖσαν, ἐν δὲ τοῖς λειψάνοις ἑαυτῆς ἔτι διοχλοῦσαν τὸν βίον.

Ἔτι περὶ τῆς θείας ἐνανθρωπήσεως, τοῦ ἁγίου Μαξίμου ἐκ τῆς ἐκθέσεως τοῦ περὶ τῆς ὀρθῆς ὁμολογίας λόγου.

Οἱ ἐξ ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου τὸν ἕνα τῆς ἁγίας καὶ ὁμοουσίου καὶ μακαρίας Τριάδος, τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ Θεὸν Λόγον ἔφασαν ἐνανθρωπῆσαι δι' ἡμᾶς, καὶ σαρκωθῆναι ἐκ τῆς ἁγίας, πανενδόξου καὶ ἀειπαρθένου Μαρίας, τῆς κυρίως καὶ κατὰ ἀλήθειαν Θεοτόκου, σάρκα ἐξ αὐτῆς ἑνώσαντα ἑαυτῷ καθ' ὑπόστασιν, τὴν ἡμῖν ὁμοούσιον, ἐνεψυχωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ· οὐδ' ὡς ἐν ῥιπῇ ὀφθαλμοῦ προϋποστᾶσαν, ἀλλ' ἐν αὐτῷ τῷ Θεῷ καὶ Λόγῳ καὶ τὸ εἶναι, καὶ τὸ ὑποστῆναι λαβοῦσαν· καὶ τέλειον ὄντα Θεὸν γενέσθαι τέλειον ἄνθρωπον, μήτε τὸ Θεὸς εἶναι ἀποθέμενον διὰ τὸ γενέσθαι ἄνθρωπον, ὅπερ οὐκ ἦν, μήτε κωλυθέντα γενέσθαι ὅπερ οὐκ ἦν ἄνθρωπον, διὰ τὸ μεμενηκέναι ὅπερ ἦν, ἤγουν Θεόν· ἀλλὰ τοῦτο ὄντα, κἀκεῖνο γενέσθαι. Ἑκάτερόν τε ἐπαληθεύοντα, τὸ θεῖον ὁμοῦ, καὶ τὸ ἀνθρώπινον πιστοῦσθαι θαύμασι θείοις, καὶ παθήμασιν ἀνθρωπίνοις. Καὶ κατὰ μὲν τὴν ἑαυτοῦ πρὸς τὸν Πατέρα φύσιν τε καὶ οὐσίαν, ἄκτιστον, ἀόρατον, ἀπερίγραπτον, ἀναλλοίωτον, ἄτρεπτον, ἀπαθῆ, ἄφθαρτον, ἀθάνατον, δημιουργὸν τῶν πάντων· κατὰ δὲ τὴν τῆς σαρκὸς αὐτοῦ φύσιν καὶ ἡμετέραν, τὸν αὐτὸν κτιστὸν, παθητὸν, περιγραπτὸν, χωρητὸν, θνητὸν, τὸν αὐτὸν μὲν, οὐ κατὰ τὸ αὐτὸ δὲ, διὰ τὰ ἐξ ὧν, καὶ ἐν οἷς τὸ εἶναι ἔχει. Ὁμοούσιον τὸν αὐτὸν τῷ Θεῷ καὶ Πατρὶ κατὰ τὴν θεότητα· καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα. Διπλοῦν τὴν φύσιν ἤτοι τὴν οὐσίαν, διὰ τὸ μεσίτην ὄντα Θεοῦ καὶ ἀνθρώπων δεῖν ἀποσώζειν κυρίως τὴν πρὸς τὰ μεσιτευόμενα φυσικὴν οἰκειότητα τῷ ὑπάρχειν ἀμφότερα, ὅπως αὐτῇ τῇ ἀληθείᾳ ἐν ἑαυτῷ, καὶ δι' ἑαυτοῦ συνάψας τοῖς ἐπουρανίοις τὰ ἐπίγεια, καὶ τὴν ὑλικὴν τῶν ἀνθρώπων φύσιν, τὴν ἐκ τῆς ἁμαρτίας πολεμωθεῖσαν, τῷ Θεῷ καὶ Πατρὶ προσαγαγὼν σωθεῖσαν, φιλιωθεῖσάν τε καὶ θεωθεῖσαν οὐκ οὐσίας ταυτότητι, ἀλλὰ δυνάμει ἀῤῥήτῳ τῆς ἐνανθρωπήσεως, θείας κοινωνοὺς φύσεως διὰ τῆς ἐξ ἡμῶν ἁγίας αὐτοῦ σαρκὸς, ὡς ἀπ' ἀρχῆς καὶ ἡμᾶς ἀπεργάσηται· διὸ καὶ Θεὸς ὁμοῦ καὶ ἄνθρωπος, ὁ αὐτὸς πράγματι, καὶ οὐ βουλήσει μόνῃ ὑπάρχων γινώσκηται. Οὐ διπλοῦς δὲ τὴν ὑπόστασιν, ἤτοι τὸ πρόσωπον, διὰ τὸ ἕνα καὶ τὸν αὐτὸν καὶ πρὸ σαρκὸς εἶναι, καὶ μετὰ σαρκὸς μεμενηκέναι, μηδὲ μιᾶς γενομένης προσθήκης τῇ ἁγίᾳ Τριάδι, ἢ ὑφαιρέσεως ἐκ τῆς τοῦ Λόγου σαρκώσεως. Τὸν αὐτὸν παθόντα μὲν σαρκὶ ὑπὲρ ἡμῶν, διὰ παντὸς δὲ τὸν αὐτὸν θεότητι ὄντα ἀπαθῆ καὶ διαμένοντα. Ὥστε καὶ τὴν σωτηρίαν εἶναι τὴν ἡμετέραν ἐν τῷ θανάτῳ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ (ὢ παραδόξου μυστηρίου καὶ ἀνεκφράστου!) καὶ τὴν θεϊκὴν τῆς οὐσίας αὐτοῦ πρὸς τὸν Πατέρα

poris partes interire, sed eo jam mortuo caudam adhuc propria anima munitam vivere, nec vitali motu privari: ita malitiam licet considerare, quæ cum mortifero vulnere confecta sit, in reliquiis tamen suis vitam adhuc producit.

Item de divina humanæ carnis assumptione, sancti Maximi, ex expositione orationis de recta confessione.

Qui ab initio fuerunt verbi inspectores, ac ministri, unum e sancta, et ejusdem essentiæ, et beata Trinitate Filium Dei, et Deum Verbum hominem induisse propter nos, et carnem humanam ex sancta, et omni ex parte gloriosa semperque virgine, et proprie ac vere Dei Genitrice Maria sibi ipsi secundum personam ejusdem, qua nos sumus, essentiæ animatam anima, mente, rationeque prædita, quæ non ictu oculi temporisve momento prius exstiterit, sed in ipso Deo et Verbo acceperit, ut esset atque subsisteret, assumpsisse tradiderunt. Et cum esset perfectus Deus, factum esse perfectum hominem, nec desiisse esse Deum, propterea quod factus esset homo, quod non erat; nec prohibitum esse fieri, quod non erat homo, propterea quod mansisset id, quod erat Deus, sed cum Deus esset, hominem esse factum. Veræ divinitatis autem et veræ humanitatis documenta atque indicia fuisse tum divina miracula, tum cruciatus et tormenta. Ac quantum ad ejus naturam atque essentiam ratione Patris attinet, nec creatum esse, nec oculis perspici, nec circumscribi, nec immutari, nec moveri, nec pati, nec corrumpi, et immortalem esse, et rerum omnium procreatorem. Quantum autem ad carnis ejus et nostram naturam pertinet, eumdem et creatum esse, et pati potuisse, et circumscribi, et comprehendi, et mori; eumdem, inquam, non in eodem tamen, propter illa ex quibus, et in quibus habet, ut sit. Esse ejusdem essentiæ cum Deo et Patre, ratione divinitatis, esse ejusdem nobiscum essentiæ, ratione humanitatis. Natura seu essentia duplicem, quoniam, cum sit medius inter Deum atque homines conciliator, sic eum oportebat naturalem inter hæc extrema intercedentem proprietatem conservare, ut esset utrumque, quo reverà in seipso, et per seipsum terrestria cœlestibus devinciret et conjungeret, et hominum naturam ex materia constantem, quæ a peccato expugnata devictaque fuerat, ad Deum et Patrem, liberam, et salvam, Deique amantem, et divinitate affectam non eadem essentiæ ratione, sed sancta assumptæ a se carnis potestate, quæ explicari non potest, divinitatis factam participem secum adduceret: ut qui ab initio nos etiam procreavit Deus, idem et homo non consilio et voluntate solum, sed re ipsa esse cognoscatur. Nec tamen esse hypostasi, seu persona duplicem, quandoquidem, ut unus et idem erat, antequam carnem assumeret, sic post carnem assumptam permansit, cum ex Verbi humanitate nihil accesserit, nihil decesserit sanctæ Trinitati. Carne quidem pro nobis cruciatum,

et mortem esse perpessum, eumdem tamen omnino divinitate nullis cruciatibus aut affectionibus obnoxium permansisse, ut et salus esset nostra in morte unigeniti Filii Dei (o mirabile mysterium, et omnem dicendi vim superans!) et divinæ essentiæ ejus apud Patrem gloria et splendor perpetuo sine ulla imminutione permaneret.

A δόξαν τε καὶ λαμπρότητα διηνεχῶς μένειν ἀνελάττωτον.

Ejusdem.

Magnum assumptæ a Deo carnis mysterium semper mysterium manet, non solum quia, dum facultati eorum, qui servantur, proportione videtur respondere, majus quam præ se fert, arcanum habet reconditum; verum etiam quia id ipsum, quod apparet, magis occultum et secretum est quam ut ulla ratione, quomodo sit, percipi valeat. Deus enim essentia sublimior, ratione essentiam superante sumpsit essentiam, et pro hominibus (tantum ejus in homines amor fuit!) ex hominum essentia factus homo, modum, quo factus est, arcanum retinet, quippe qui supra morem, et vim, et intelligentiam humanam factus est homo.

Τοῦ αὐτοῦ.

Τὸ μέγα τῆς θείας ἐνανθρωπήσεως μυστήριον ἀεὶ μένει μυστήριον, οὐ μόνον ὅτι συμμέτρως τῇ δυνάμει τῶν ὑπ' αὐτοῦ σωζομένων ἐκφαινόμενον ἔχει μεῖζον τοῦ ἐκφανθέντος τὸ κεκρυμμένον, ἀλλ' ὅτι καὶ αὐτὸ τὸ φανὲν ἔτι μένει πάμπαν ἀπόκρυφον οὐδενὶ λόγῳ καθώς ἐστι γινωσκόμενον. Ὁ γὰρ Θεὸς ὑπερούσιος ὤν, ὑπερουσίως οὐσιώθη· καὶ ὑπὲρ ἀνθρώπων ὡς φιλάνθρωπος ἐκ τῆς τῶν ἀνθρώπων οὐσίας ἄνθρωπος γεγονώς, B τὸν τοῦ πῶς ἄνθρωπος γέγονε τρόπον μένει κεκτημένος ἀνέκφαντον, ὡς ὑπὲρ ἄνθρωπον ἄνθρωπος γενόμενος.

Ejusdem.

Ecquis tantum excellit dicendi facultate, ut audeat, aut possit explicare, quomodo comprehensus sit Deus? quomodo caro sine semine generata sit? quomodo sine corruptione mulieris partus exstiterit? quomodo virgo nullo intercedente homine mater evaserit? quomodo mater partu virginitatem non solvente virgo permanserit? et ut extremo loco, quod primum est, dicam, quomodo Deus factus sit homo? et quod majus mysterium continet, quomodo per essentiam secundum personam in carne existens, per essentiam secundum personam totus semper in Patre fuerit? Quomodo et totus sit natura Deus, et totus natura ita factus sit homo, ut nec divinam nec humanam naturam abjiceret, sed ambas sine confusione conjunctas conservaret? Hæc fides sola comprehendit, quæ mentem et cogitationem superantia verbis nequeunt demonstrari.

Τοῦ αὐτοῦ.

Τίς τοσοῦτον δυνάμει λόγου θαῤῥῶν ἐξειπεῖν δυνήσεται, πῶς γέγονε Θεοῦ σύλληψις; πῶς γένεσις σαρκὸς ἄνευ σπορᾶς; πῶς γέννησις δίχα φθορᾶς; πῶς ἡ Παρθένος μήτηρ οὐ μεσολαβήσαντος ἀνδρός; πῶς ἡ μήτηρ Παρθένος, τῷ τόκῳ μὴ λυθείσης τῆς παρθενίας; καὶ ἵνα τὸ πρῶτον τελευταῖον εἴπω, πῶς ὁ Θεὸς ἄνθρωπος γίνεται; καὶ τὸ μυστηριωδέστερον, πῶς οὐσιωδῶς ἐν σαρκὶ καθ' ὑπόστασιν ὁ κατ' οὐσίαν ὑποστατικῶς ὅλος ἀεὶ μένων ἐν τῷ Πα- C τρί; Πῶς καὶ ὅλος ἐστὶ Θεὸς κατὰ φύσιν, καὶ ὅλος γέγονεν ἄνθρωπος κατὰ φύσιν, μήτε τὴν θείαν φύσιν, μήτε τὴν ἀνθρωπίνην ἠρνημένος, ἀλλ' ἀσυγχύτως ἡνωμένας αὐτὰς τηρῶν; Ταῦτα πίστις μόνη χωρεῖ τῶν ὑπὲρ νοῦν καὶ λόγον ὑπάρχουσα πραγμάτων ὑπόστασις, καὶ ἀναπόδεικτος γνῶσις.

Ejusdem.

Adam a divino mandato recedens, in causa fuit, ut hominis principium sit cum voluptate, finis cum dolore. Nam cum voluptate gignitur, cum dolore moritur. Christus autem, factus obediens, alium ex Spiritu ortum hominibus largitus est, cujus initium a dolore quidem excolendæ virtutis et laboribus nascitur, finis autem voluptatem et quietem consequitur. Quamobrem et ipse, cum vellet homo fieri, quamvis semine noluerit generari, mortem tamen perferre voluit, non ut voluptatis, quæ nulla fuerat, esset pœna, sed ut nos damnatos absolveret et morte sua mortem nostram interimeret, et conciliaret nobis immortalitatem.

Τοῦ αὐτοῦ.

Ὁ μὲν Ἀδὰμ, παρακούσας τῆς θείας ἐντολῆς, ἐξ ἡδονῆς ἄρχεσθαι τὴν γένεσιν τῶν ἀνθρώπων, καὶ καταλήγειν εἰς ὀδύνην ἐποίησε. Δι' ἡδονῆς μὲν γὰρ ἡ σπορὰ, δι' ὀδύνης δὲ ὁ θάνατος. Ὁ δὲ Χριστὸς, ὑπήκοος γενόμενος, ἄλλην γένεσιν πνευματικὴν ἐχαρίσατο τοῖς ἀνθρώποις, ἐξ ὀδύνης μὲν καὶ πόνων τῶν τῆς ἀρετῆς ἀρχομένην, εἰς ἡδονὴν δὲ καὶ D ἀνάπαυσιν καταλήγουσαν. Διὸ καὶ αὐτὸς ἐνανθρωπῆσαι βουληθεὶς τὴν διὰ σπορᾶς οὐ προσήκατο γένεσιν, τὸν δι' ὀδύνης δὲ θάνατον ὑπέμεινεν, οὐχ ὡς ἐπιτίμιον ἡδονῆς, ἀλλ' ὑπὲρ ἡμῶν τῶν καταδίκων, καὶ ἵν' ὁ θάνατος αὐτοῦ θάνατος τοῦ ἡμετέρου θανάτου γένηται καὶ πρόξενος ἀθανασίας.

Ejusdem.

Æquum fuit, ut Deus, qui natura et bonus, et sapiens, et justus, et potens est, neque uti bonus hominis a se procreati despiceret infirmitatem, et uti sapiens ejus curandæ rationem cognitam haberet, et uti justus eos, qui volentes servituti sese subjecerant, nulla violentia in libertatem vindicaret, et uti potens ad hoc perficiendum vires et facultatem obtineret.

Τοῦ αὐτοῦ.

Ἔδει τὸν Θεὸν ἀγαθὸν, καὶ σοφὸν, καὶ δίκαιον, καὶ δυνατὸν ὄντα κατὰ φύσιν, ὡς μὲν ἀγαθὸν μὴ παριδεῖν τοῦ οἰκείου πλάσματος τὴν ἀσθένειαν· ὡς δὲ σοφὸν γινώσκειν τὸν τρόπον τῆς ἰατρείας ἡμῶν· ὡς δίκαιον δὲ μὴ τυραννικὴν ποιήσασθαι τὴν ἐλευθερίαν τῶν δεδουλωμένων ἑκουσίως τοῖς δαίμοσιν· ὡς δυνατὸν δὲ μὴ ἀτονῆσαι πρὸς τὴν τῆς ἰατρείας ἐκπλήρωσιν.

Τοῦ αὐτοῦ.

A Τὸ μὲν ἀγαθὸν τοῦ Θεοῦ δείκνυσιν αὐτὸ τὸ μὴ παριδεῖν, ὡς εἴρηται· τὸ δὲ σοφὸν αὐτοῦ ὁ ὑπὲρ νοῦν καὶ λόγον τρόπος τῆς ἐνανθρωπήσεως αὐτοῦ. Τέλειος γὰρ ὢν Θεὸς, τέλειος γέγονεν ἄνθρωπος, ἐν ὑποστάσει μιᾷ μενουσῶν τῶν δύο φύσεων, ἡνωμένων μὲν, μὴ συγκεχυμένων δέ· τὸ δὲ δίκαιον ἡ πρόσληψις τοῦ παθητοῦ τῆς φύσεως. Ἀνέλαβε γὰρ τὴν καταπολεμηθεῖσαν ἀνθρωπίνην φύσιν μετὰ τῶν ἀδιαβλήτων παθῶν αὐτῆς. Τὰ γὰρ διαβεβλημένα γνωμικά εἰσιν, ἀλλ' οὐ φυσικά. Καὶ οὐ δι' ἑτέρου, ἀλλὰ δι' αὐτῆς κατεπολέμησε τὸν ἡμᾶς καταπολεμήσαντα διάβολον, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνασωζόμενος. Τὴν δὲ δύναμιν αὐτοῦ παρίστησι τὸ δυνηθῆναι τὸν Θεὸν γενέσθαι ἄνθρωπον· τί γὰρ τούτου μεῖζον; B ἔτι δὲ καὶ ἡ χορηγία τῶν εὐεργεσιῶν τῶν ἐναντίων, οἷς αὐτὸς ἔπαθε. Διὰ πάθους γὰρ ἀπάθειαν, καὶ διὰ πόνων ἄνεσιν, καὶ διὰ προσκαίρου θανάτου ζωὴν ἀΐδιον ἡμῖν ἐδωρήσατο, καὶ ταῖς ἑαυτοῦ κατὰ σάρκα στερήσεσι τὰς ἕξεις τῆς ἡμῶν φύσεως ἀνεκαίνισεν.

Τοῦ αὐτοῦ.

Ὁ τοῦ Θεοῦ Λόγος, ἅπαξ κατὰ σάρκα γεννηθεὶς, ἀεὶ κατὰ πνεῦμα γεννᾶται τοῖς βουλομένοις, ὡς σῶμα μὲν ἔχων τοὺς τρόπους τῶν ἀρετῶν, ὡς ψυχὴν δὲ τοὺς ἐν πνεύματι λόγους τῶν ὄντων, ὡς νοῦν δὲ τὴν θεολογικὴν μυσταγωγίαν.

C *Τοῦ αὐτοῦ.*

Ὁ χωρὶς ἁμαρτίας ἐνανθρωπήσας πάντως χωρὶς τῆς εἰς θεότητα μεταβολῆς θεώσει τὸν ἄνθρωπον· καὶ τοσοῦτον αὐτὸν ἀναβιβάσει δι' ἑαυτὸν, ὅσον ἑαυτὸν κατεβίβασε διὰ τοῦτον, ὥσπερ ὁ μέγας Ἀπόστολος ἔλεγε, *Τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν εἰς ἡμᾶς ὑπερβάλλοντα πλοῦτον τῆς τοῦ Θεοῦ χρηστότητος δειχθήσεσθαι.*

Τοῦ αὐτοῦ.

Καθάπερ τὸ λευκὸν τῆς ἐρέας καταχρωσθὲν χρώματι πορφύρας οὐκ ἔστι δίχρωμον ἀλλὰ μονόχρωμον· οὕτως ἄρα καὶ ἐν τῷ προβλήματι, θεωθέντος τοῦ ἀνθρωπίνου νοῦ, οὐ δύο ἡγεμονικά εἰσι, Θεὸς καὶ νοῦς, ἀλλ' ἓν, ὁ θεώσας τὸν νοῦν Θεός.

D *Ἔτι περὶ τῆς θείας ἐνανθρωπήσεως, τοῦ Δαμασκηνοῦ. Κεφαλ. ξϛ'.*

Ἄγγελος Κυρίου ἀπεστάλη πρὸς τὴν ἁγίαν Παρθένον ἐκ Δαυϊδικῆς φυλῆς καταγομένην, καί φησι πρὸς αὐτὴν, *Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.* Ἡ δὲ διεταράχθη ἐπὶ τῷ λόγῳ. Καί φησι πρὸς αὐτὴν ὁ ἄγγελος· *Μὴ φοβοῦ, Μαριάμ. Εὗρες γὰρ χάριν παρὰ Κυρίῳ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.* Τὸ Ἰησοῦς γὰρ Σωτὴρ ἑρμηνεύεται. Τῆς δὲ διαπορούσης, *Πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω;* πάλιν φησὶ πρὸς αὐτὴν ὁ ἄγγελος· *Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι. Διὸ καὶ τὸ γεννώμενον ἅγιον κλη-*

Ejusdem.

Illud declarat, ut dictum est, bonitatem Dei, quod non respexit humanam imbecillitatem. Modus ille omni mente rationeque præstantior, quo nostram carnem assumpsit, ipsius indicat sapientiam. Nam qui perfectus est Deus, factus est homo perfectus, ita manentibus in una hypostasi sive persona duabus naturis, ut sine confusione copularentur. Naturæ ad patiendum idoneæ susceptio, ipsius justitiam demonstrat. Suscepit enim humanam naturam victam cum omnibus ejus affectionibus, quæ tamen essent a culpa liberæ. Nam quæ cum peccato conjunctæ sunt, non sunt naturales, sed voluntariæ. Et per hanc, non autem per aliud quidquam, diabolum, qui de nobis victoriam reportaverat, profligavit, et vicit, et re simili similem conservavit. Potentiam illius ostendit, quod Deus potuit homo fieri. Quid enim hoc majus? Deinde, quod illis, quæ passus est contraria subministravit. Pro imbecillitate enim summum robur, pro laboribus quietem · pro brevi morte vitam largitus est sempiternam. Pro iis denique quibus ipse in carne sua privatus est, ea quæ natura nostra amiserat, recuperavit.

Ejusdem.

Dei Verbum carne semel generatum spiritu volentibus semper generatur. Mores virtutesque quasi corpus ejus constituunt, sermones in spiritu habiti tanquam animam, mentem vero theologica contemplatio.

Ejusdem.

Qui sine peccato factus est homo omnino sine mutatione in divinitatem hominem divinum efficiet. Eumque per se tantum extollet, quantum per illum sese submisit. In sæculis enim futuris, ut ait Apostolus, patefient excellentes divitiæ bonitatis erga nos Dei.

Ejusdem.

Quemadmodum in lana candida, si colore purpuræ imbuatur, non duo sint, sed unus color, sic in mente humana a Deo assumpta, divinaque reddita, non duo sunt principes Deus, et mens, sed unus qui mentem divinam reddidit Deus.

Item de divina humanæ carnis assumptione Damasceni, cap. 66.

Angelus Domini ad sanctam Virginem e Davidica tribu genus ducentem missus : *Ave*, inquit, *gratia plena, Dominus tecum.* His illa cum esset perturbata, rursum ait angelus ad eam : *Ne timeas, Maria; invenisti enim gratiam apud Deum. Et paries filium, et vocabis nomen ejus Jesum. Ipse enim salvum faciet populum suum a peccatis eorum.* Jesus enim significat Servatorem. Illa autem hæsitante, dicenteque : *Quomodo fiet istud, quoniam virum non cognosco?* rursum angelus ad eam dixit : *Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi : ideoque, et quod nascetur ex te sanctum vocabitur Filius Dei.* At illa, *Ecce*, inquit,

ancilla Domini. Fiat mihi secundum verbum tuum [1]. Post assensum igitur sanctæ Virginis, Spiritus sanctus ex sermone Domini quem angelus dixerat descendit in eam, ipsamque purgavit, et vim illi ad suscipiendam Verbi divinitatem, et ad generandum præbuit. Et tunc ei in sua manens hypostasi Dei altissimi sapientia, et virtus, Filius Dei, ejusdem essentiæ cum Patre tanquam divinum semen obumbravit, sibique ex castis et purissimis ejus sanguinibus compegit carnem animatam anima, ratione, menteque prædita, primitias nostræ massæ, non semine, sed divino artificio per Spiritum sanctum: figura non paulatim per accessiones perfecta, sed uno eodemque momento temporis absoluta. Ipsum autem Dei Verbum ita cum carne conjunctum est hypostasi, ut simul et caro fuerit, et Dei Verbi caro. Simul et caro fuerit animata ratione menteque prædita, et Dei Verbi caro animata ratione menteque prædita. Itaque non hominem Deum esse factum, sed Deum factum esse hominem dicimus. Nam qui natura perfectus est Deus, idem natura factus est homo perfectus, non natura mutatus, nec dispositionis speciem præbens, sed assumpta ex sancta Virgine carne ratione menteque animata, quæ in ipso habebat, ut esset, et cum ipso erat per hypostasim conjuncta sine confusione, sine immutatione, sine inversione. Neque enim divinitatis suæ naturam in carnis naturam convertit, neque carnis suæ naturam in suæ divinitatis naturam commutavit. Neque ex divina sua natura, et ex natura quam suscepit, humana, naturam unam compositam reddidit.

Ejusdem. Cap. 68.

Hæ voces, divinitas et humanitas, essentiam sive naturam significant. Illæ vero, Deus et homo, modo essentiam indicant, ut cum dicimus: Deus essentia est, quæ comprehendi non potest: et Deus est unus; modo personas declarant, de quibus ita dicitur, ut species de suis individuis, quemadmodum in eo Scripturæ loco: *Propterea unxit te Deus, Deus tuus* [2]. Ecce enim hic Patrem et Filium significavit. Et cum legis in alio loco: *Homo quidam erat in regione Ausitide* [3]. Job enim solus indicatur. Quoniam igitur in Domino nostro Jesu Christo duas naturas agnoscimus, et unam tantum personam, quæ ex utraque constat natura: proinde cum naturas contemplamur, divinitatem et humanitem dicimus. Quando autem ex natura constantem personam, si ex utraque natura constare consideretur, eam tum Christum, tum Deum, tum hominem ex æquo et Deum hominem factum nominamus. Sin ex una, tum Deum duntaxat et Filium Dei, tum hominem solum appellamus. Et aliquando quidem ex sublimioribus rationibus, aliquando autem ex humilioribus consideratur. Unus enim est, sive hoc, sive illo modo similiter exsistat. Jam cum divinitatem dicimus, eam humanitatis proprietatibus non denomi-

[1] Luc. I, 28 sqq. [2] Psal. XLIV, 8. [3] Job I, 1.

A *θήσεται Υἱὸς Θεοῦ.* Ἡ δὲ πρὸς αὐτὸν, *Ἰδοὺ ἡ δούλη Κυρίου· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου.* Μετὰ οὖν τὴν συγκατάθεσιν τῆς ἁγίας Παρθένου Πνεῦμα ἅγιον ἐπῆλθεν ἐπ' αὐτὴν, κατὰ τὸν τοῦ Κυρίου λόγον, ὃν εἶπεν ὁ ἄγγελος, καθαῖρον αὐτὴν, καὶ δύναμιν δεκτικὴν τῆς τοῦ Λόγου θεότητος παρέχον, ἅμα δὲ καὶ γεννητικήν. Καὶ τότε ἐπεσκίασεν αὐτὴν ἡ τοῦ Θεοῦ τοῦ Ὑψίστου ἐνυπόστατος σοφία καὶ δύναμις, ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ τῷ Πατρὶ ὁμοούσιος, οἱονεὶ θεῖος σπόρος, καὶ συνέπηξεν ἑαυτῷ ἐκ τῶν ἁγνῶν καὶ καθαρωτάτων αὐτῆς αἱμάτων σάρκα ἐνψυχωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ, ἀπαρχὴν τοῦ ἡμετέρου φυράματος, οὐ σπερματικῶς, ἀλλὰ δημιουργικῶς διὰ τοῦ ἁγίου Πνεύματος, οὐ ταῖς κατὰ μικρὸν προσθήκαις ἀπαρτιζομένου τοῦ σχή- B ματος, ἀλλ' ὑφ' ἓν τελειωθέντος. Αὐτὸς δὲ ὁ τοῦ Θεοῦ Λόγος ἐχρημάτισε τῇ σαρκὶ ὑπόστασις, ὥστε ἅμα σὰρξ, ἅμα Θεοῦ Λόγου σὰρξ, ἔμψυχος, λογική τε καὶ νοερά. Διὸ οὐκ ἄνθρωπον θεωθέντα λέγομεν, ἀλλὰ Θεὸν ἐνανθρωπήσαντα. Ὢν γὰρ φύσει τέλειος Θεὸς, γέγονε καὶ φύσει τέλειος ἄνθρωπος ὁ αὐτὸς, οὐ τραπεὶς τὴν φύσιν, οὐδὲ φαντάσας τὴν οἰκονομίαν, ἀλλὰ τῇ ἐκ τῆς ἁγίας Παρθένου ληφθείσῃ λογικῶς τε καὶ νοερῶς ἐνψυχωμένῃ σαρκὶ, καὶ ἐν αὐτῷ τὸ εἶναι λαχούσῃ ἑνωθεὶς καθ' ὑπόστασιν ἀσυγχύτως, καὶ ἀναλλοιώτως, καὶ ἀτρέπτως, μὴ μεταβαλὼν τὴν τῆς θεότητος αὐτοῦ φύσιν εἰς τὴν τῆς σαρκὸς οὐσίαν, μήτε μὴν τὴν οὐσίαν τῆς σαρκὸς αὐτοῦ εἰς τὴν τῆς θεότητος αὐτοῦ φύσιν, οὐδὲ C ἐκ τῆς θείας αὐτοῦ φύσεως, καὶ ἧς προσελάβετο ἀνθρωπίνης φύσεως μίαν φύσιν ἀποτελέσας σύνθετον.

Τοῦ αὐτοῦ. Κεφάλαιον ξη'.

Τὸ μὲν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος ὄνομα τῶν οὐσιῶν ἐστιν, ἤτοι φύσεων παραστατικόν· τὸ δὲ Θεὸς καὶ ἄνθρωπος καὶ ἐπὶ τῆς οὐσίας τάττεται· ὥσπερ ὅταν λέγομεν, Θεός ἐστιν ἀκατάληπτος οὐσία, καὶ ὅτι εἷς ὁ Θεός. Λαμβάνεται δὲ καὶ ἐπὶ τῶν ὑποστάσεων, ὡς τοῦ μερικωτέρου δεχομένου τὸ τοῦ καθολικωτέρου ὄνομα· ὡς ὅταν φησὶν ἡ Γραφὴ, *Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου,* ἰδοὺ γὰρ τὸν Πατέρα καὶ τὸν Υἱὸν ἐσήμανε· καὶ ὡς ὅταν λέγῃ, *Ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι·* τὸν γὰρ Ἰὼβ μόνον ἐδήλωσεν. Ἐπὶ γοῦν τοῦ Κυρίου ἡμῶν D Ἰησοῦ Χριστοῦ, ἐπειδὴ δύο μὲν τὰς φύσεις γινώσκομεν, μίαν δὲ τὴν ὑπόστασιν ἐξ ἀμφοτέρων σύνθετον, ὅταν μὲν τὰς φύσεις ἀναθεωρῶμεν, θεότητα καὶ ἀνθρωπότητα καλοῦμεν· ὅταν δὲ τὴν ἐκ φύσεων συντεθεῖσαν ὑπόστασιν, ποτὲ μὲν ἐκ τοῦ συναμφοτέρου Χριστὸν ὀνομάζομεν, καὶ Θεὸν καὶ ἄνθρωπον κατὰ ταὐτὸν, καὶ Θεὸν σεσαρκωμένον· ποτὲ δὲ ἐξ ἑνὸς τῶν μερῶν Θεὸν μόνον, καὶ Υἱὸν Θεοῦ, καὶ ἄνθρωπον μόνον, καὶ υἱὸν ἀνθρώπου· καὶ ποτὲ μὲν ἐκ τῶν ὑψηλῶν μόνων, ποτὲ δὲ ἐκ τῶν ταπεινῶν μόνων. Εἷς γάρ ἐστιν ὁ κἀκεῖνο, καὶ τοῦτο ὑπάρχων ὁμοίως. Θεότητα μὲν οὖν λέγοντες, οὐ κατονομάζομεν αὐτῆς τὰ τῆς ἀνθρωπότητος ἰδιώματα· οὐ γὰρ

φαμεν θεότητα παθητὴν ἢ κτιστήν· οὔτε δὲ τῆς A σαρκὸς, ἤτοι τῆς ἀνθρωπότητος κατηγοροῦμεν τὰ τῆς θεότητος ἰδιώματα. Οὐ γάρ φαμεν σάρκα, ἤτοι ἀνθρωπότητα ἄκτιστον. Ἐπὶ δὲ τῆς ὑποστάσεως, κἂν ἐκ τοῦ συναμφοτέρου, κἂν ἐξ ἑνὸς τῶν μερῶν ταύτην ὀνομάσωμεν, ἀμφοτέρων τῶν φύσεων τὰ ἰδιώματα αὐτῇ ἐπιτίθεμεν. Καὶ γὰρ ὁ Χριστὸς, ὅπερ ἐστὶ τὸ συναμφότερον, καὶ Θεὸς καὶ ἄνθρωπος λέγεται, καὶ κτιστὸς καὶ ἄκτιστος, καὶ παθητὸς καὶ ἀπαθής. Καὶ ὅταν ἐξ ἑνὸς τῶν μερῶν Υἱὸς Θεοῦ καὶ Θεὸς ὀνομάζηται, δέχεται τὰ τῆς συνυφεστηκυίας φύσεως ἰδιώματα, ἤτοι τῆς σαρκὸς, Θεὸς παθητὸς ὀνομαζόμενος, καὶ Κύριος τῆς δόξης ἐσταυρωμένος, οὐ καθὸ Θεὸς, ἀλλὰ καθὸ ἄνθρωπος ὁ αὐτός. Καὶ ὅταν ἄνθρωπος, καὶ υἱὸς ἀνθρώπου ὀνομάζηται, δέχεται τὰ τῆς θείας οὐσίας ἰδιώματα καὶ B αὐχήματα, παιδίον προαιώνιον, καὶ ἄνθρωπος ἄναρχος, οὐ καθὸ παιδίον, καὶ ἄνθρωπος, ἀλλὰ καθὸ Θεὸς ὢν προαιώνιος γέγονεν ἐπ' ἐσχάτων παιδίον. Καὶ οὗτός ἐστιν ὁ τρόπος τῆς ἀντιδόσεως, ἑκατέρας φύσεως ἀντιδιδούσης τῇ ἑτέρᾳ τὰ ἴδια διὰ τὴν τῆς ὑποστάσεως ταυτότητα καὶ τὴν εἰς ἄλληλα αὐτῶν περιχώρησιν. Κατὰ τοῦτο δυνάμεθα εἰπεῖν περὶ Χριστοῦ, Οὗτος ὁ Θεὸς ἡμῶν *ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη*. Καὶ ὁ ἄνθρωπος οὗτος ἄκτιστός ἐστι, καὶ ἀπαθὴς, καὶ ἀπερίγραπτος.

namus. Neque enim dicimus divinitatem pati, aut creatam esse. Nec rursum de carne aut humanitate divinitatis proprietates enuntiamus. Quandoquidem nec carnem, nec humanitatem increatam appellamus. At personæ, sive ex una, sive ex utraque parte nominemus, utriusque naturæ proprietates attribuimus. Etenim Christus, quemadmodum utrumque est, sic etiam dicitur, tum Deus et homo, tum creatus et increatus, tum pati et non pati. Quin etiam cum ex una tantum parte, vel Deus aut Filius Dei nominatur, conjunctæ sibi naturæ seu carnis suscipit proprietates. Itemque Deus passus, et Dominus gloriæ affixus cruci, non quatenus Deus, sed quatenus homo, dicitur: vel homo, aut filius hominis vocatur, essentiæ divinæ proprietates et dignitates admittit, vocaturque puerulus ante sæcula, et homo sine principio, non quatenus est puerulus aut homo, sed quatenus Deus exsistens ante sæcula in novissimis natus est sæculis. Atque hæc quidem est ratio mutuæ alteruæque attributionis utriusque naturæ, quæ suas utraque proprietates alteri vicissim præbet, propterea quod unam et eamdem personam constituunt, seque mutuo comprehendunt. Ex quo fit, ut de Christo possimus dicere: Hic Deus noster *in terra visus est, et cum hominibus versatus* [1]. Et: Hic homo nec creatus est, nec patitur, nec ullo termino circumscribitur.

Τοῦ αὐτοῦ. Κεφάλ. ο'.

Ὅτι πᾶσα ἡ θεία φύσις ἐν μιᾷ τῶν ἑαυτῆς ὑποστάσεων ἡνώθη πάσῃ τῇ ἀνθρωπίνῃ φύσει, καὶ οὐ μέρος μέρει. Ἀναγκαῖος οὖν ὁ λόγος, C καὶ τῶν λεγόντων ἐπὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος τρεῖς μερικὰς οὐσίας.

Ejusdem. Cap. 70.

Totam divinam naturam in una suarum personarum toti humanæ naturæ conjunctam esse, non autem partem parti. Quæ quidem oratio necessaria est etiam adversus illos, qui in sancta et ejusdem essentiæ Trinitate tres asserunt esse singulares essentias.

Τὰ κοινὰ καὶ καθολικὰ κατηγοροῦνται τῶν αὐτοῖς ὑποκειμένων μερικῶν. Κοινὸν τοίνυν ἡ οὐσία, μερικὸν δὲ ἡ ὑπόστασις. Μερικὸν δὲ, οὐχ ὅτι μέρος μὲν τῆς φύσεως ἔχει, μέρος δὲ οὐκ ἔχει· ἀλλὰ μερικὸν τῷ ἀριθμῷ, ὡς ἄτομον· ἀριθμῷ γὰρ, καὶ οὐ φύσει διαφέρειν λέγονται αἱ ὑποστάσεις. Κατηγορεῖται δὲ ἡ οὐσία τῆς ὑποστάσεως, διότι ἐν ἑκάστῃ τῶν ὁμοειδῶν ὑποστάσεων τελεία ἡ οὐσία ἐστί. Διὸ οὐ διαφέρουσιν ἀλλήλων αἱ ὑποστάσεις κατ' οὐσίαν, ἀλλὰ κατὰ τὰ συμβεβηκότα, ἅτινά εἰσι τὰ χαρακτηριστικὰ ἰδιώματα· χαρακτηριστικὰ δὲ ὑποστάσεως, ἀλλ' οὐ φύσεως. Καὶ γὰρ τὴν ὑπόστασιν ὁρίζονται οὐσίαν D μετὰ συμβεβηκότων. Ὥστε τὸ κοινὸν μετὰ τοῦ ἰδιάζοντος ἔχει ἡ ὑπόστασις, καὶ τὸ καθ' ἑαυτὴν ὑπάρξαι. Ἡ οὐσία δὲ καθ' ἑαυτὴν οὐχ ὑφίσταται, ἀλλ' ἐν ταῖς ὑποστάσεσι θεωρεῖται. Πασχούσης τοίνυν μιᾶς τῶν ὑποστάσεων, πᾶσα ἡ οὐσία, καθ' ἣν ἡ ὑπόστασις πεπονθέναι λέγεται, ἐν μιᾷ τῶν ἑαυτῆς ὑποστάσεων, οὐ μέντοι γε ἀνάγκη πάσας τὰς ὁμοειδεῖς ὑποστάσεις συμπάσχειν τῇ πασχούσῃ ὑποστάσει. Οὕτω τοίνυν ὁμολογοῦμεν τὴν τῆς θεότητος φύσιν πᾶσαν τελείαν εἶναι ἐν ἑκάστῃ τῶν ἑαυτῆς ὑποστάσεων, πᾶσαν ἐν Πατρὶ, πᾶσαν ἐν Υἱῷ, πᾶσαν ἐν ἁγίῳ Πνεύματι. Διὸ καὶ τέλειος Θεὸς ὁ Πατὴρ, τέ-

Quæ commune, et universum, ac veluti totum quiddam constituunt, ea de subjectis sibi partibus dicuntur. Itaque cum essentia commune et universum quiddam sit, ac totius rationem obtineat, persona autem pars (pars, inquam, non quod naturæ partem habeat, partem non habeat, sed numero pars, ut individuum; numero enim, non natura personæ differunt) essentia dicitur de persona, quoniam in unaquaque ejusdem speciei personarum est essentia perfecta. Quamobrem personæ essentia non differunt inter se, sed accidentibus, accidentia voco characteres, ac notas illas proprias, quæ personam, non autem essentiam designant. Sic enim personam definiunt, ut sit essentia cum accidentibus conjuncta. Quare persona habet id, quod est commune cum propria nota copulatum. Essentia autem non per se subsistit, sed in personis consideratur. Itaque cum una patitur personarum, omnis essentia, per quam est persona, in una suarum personarum dicitur passa. Nec tamen sequitur necessario, ut omnes ejusdem speciei personæ simul cum illa, quæ passa est, ipsæ quoque passæ dicantur. Sic ergo confitemur, totam Divinitatis naturam in singulis personis suis

[1] Baruch. III, 38.

esse perfectam, totam in Patre, totam in Filio, totam in Spiritu sancto. Quocirca et perfectus Deus est Pater, et perfectus Deus est Filius, et perfectus Deus est Spiritus sanctus. Sic item in humanitate assumpta ab uno sanctæ Trinitatis Deo Verbo totam et perfectam divinitatis naturam, in una suarum personarum, toti humanæ naturæ, non autem partem parti fuisse conjunctam dicimus. Nam, ut divinus inquit Apostolus, *In ipso inhabitat omnis plenitudo divinitatis corporaliter* [1], id est, in carne ejus. Et Pauli discipulus in rebus divinis explicandis excellentissimus Dionysius, *Se totam*, inquit, *in una suarum personarum communicavit.* Nec tamen cogemur dicere, omnes seu tres sanctæ divinitatis personas omnibus humanitatis personis secundum personas esse conjunctas. Nulla enim alia, nisi approbationis et voluntatis ratione Pater, et Spiritus sanctus assumptæ a Deo Verbo humanitati communicarunt. Totam vero divinitatis essentiam toti humanæ naturæ conjunctam asserimus, quia nihil eorum quæ naturæ nostræ Deus Verbum inseruit, cum initio nos procrearet, dimisit, sed omnia suscepit, nempe corpus, animam, mente rationeque præditam, et eorum proprietates (animal enim, quod harum aliqua parte caret, non est homo). Totum enim totus assumpsit, et totus toti conjunctus est, ut toti salutem largiretur. Quod enim non esset assumptum foret incurabile. Conjunctum igitur est carni Verbum Dei, et Deus per mentem inter Dei puritatem, et carnis crassitudinem intercedentem. Nam animæ quidem carnisque princeps est mens, utpote purissima ipsius animæ pars, Deus autem ipsius mentis, quæ cum cedit præstantiori, principatum ostendit suum. Sic autem cum præstantiori conjungitur, atque illi obsequitur, ut faciat quæcunque voluntas divina præscribit. Mens est divinitatis sibi per personam conjunctæ locus, quemadmodum et caro. Non autem simul inhabitat, ut opinionis errore decipiuntur hæretici, qui, Quomodo, inquiunt, quod unum tantum modium capit, duos modios continebit? Errant imperiti, quia ratione corporea dijudicant ea, quæ a materia sunt remotissima. Quomodo enim Christus dicetur perfectus Deus, et homo perfectus, et ejusdem cum Patre et nobiscum essentiæ, si partem divinæ naturæ cum parte naturæ humanæ in se ipso conjungat? Porro dicimus naturam nostram a mortuis surrexisse, et in cœlum ascendisse, et sedisse ad dexteram Patris, non quod omnes omnium hominum personæ surrexerint, et ad dexteram Patris consederint, sed quod omnis natura nostra hæc in Christi persona sit consecuta. *Nos*, inquit divinus Apostolus, *consurgere et consedere fecit in Christo* [2]. Præterea dicimus conjunctionem hanc ex communibus essentiis confectam. Nam omnis essentia ut commune atque universum quiddam omnes sibi subjectas per-

[1] Col. II, 9. [2] Ephes. II, 6.

A λειος Θεὸς ὁ Υἱὸς, τέλειος Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον. Οὕτω καὶ ἐν τῇ ἐνανθρωπήσει τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος Θεοῦ Λόγου φαμὲν πᾶσαν καὶ τελείαν τὴν φύσιν τῆς θεότητος ἐν μιᾷ τῶν ἑαυτῆς ὑποστάσεων ἑνωθῆναι πάσῃ τῇ ἀνθρωπίνῃ φύσει, καὶ οὐ μέρος μέρει. Φησὶ γοῦν ὁ θεῖος Ἀπόστολος, ὅτι *Ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς*, τουτέστιν ἐν τῇ σαρκὶ αὐτοῦ. Καὶ ὁ τούτου φοιτητὴς, καὶ πολὺς τὰ θεῖα Διονύσιος, ὅτι ὁλικῶς ἡμῖν ἐν μιᾷ τῶν ἑαυτῆς ἐκοινώνησεν ὑποστάσεων. Οὐ μὴν δὲ λέγειν ἀναγκασθησόμεθα πάσας τὰς ὑποστάσεις τῆς ἁγίας θεότητος, ἤτοι τὰς τρεῖς, πάσαις ταῖς τῆς ἀνθρωπότητος ὑποστάσεσι καθ' ὑπόστασιν ἡνῶσθαι. Κατ' οὐδένα γὰρ κεκοινώνηκε λόγον ὁ Πατὴρ, καὶ τὸ Πνεῦμα τὸ ἅγιον τῇ σαρκώσει B τοῦ Θεοῦ Λόγου, εἰ μὴ κατ' εὐδοκίαν καὶ βούλησιν. Πάσῃ δὲ τῇ ἀνθρωπίνῃ φύσει φαμὲν ἑνωθῆναι πᾶσαν τὴν τῆς θεότητος οὐσίαν, ὅτι οὐδὲν ὧν ἐνεφύτευσε τῇ ἡμετέρᾳ φύσει ὁ Θεὸς Λόγος, ἀρχῆθεν πλάσας ἡμᾶς ἐνέλιπεν, ἀλλὰ πάντα ἀνέλαβε, σῶμα, ψυχὴν νοερὰν καὶ λογικὴν, καὶ τὰ τούτων ἰδιώματα. Τὸ γὰρ ἑνὸς τούτων ἀμοιροῦν ζῶον, οὐκ ἄνθρωπος. Ὅλον γὰρ ὅλος ἀνέλαβέ με, καὶ ὅλος ὅλῳ ἡνώθη, ἵν' ὅλῳ τὴν σωτηρίαν χαρίσηται. Τὸ γὰρ ἀπρόσληπτον ἀθεράπευτον. Ἥνωται τοίνυν σαρκὶ διὰ μέσου νοῦ ὁ Λόγος τοῦ Θεοῦ καὶ Θεὸς, μεσιτεύοντος Θεοῦ καθαρότητι, καὶ σαρκὸς παχύτητι. Ἡγεμονικὸν γὰρ ψυχῆς καὶ σαρκὸς ὁ νοῦς, τῆς ψυχῆς τὸ καθαρώτατον. Ἀλλὰ καὶ νοῦ ὁ Θεός. Καὶ ὅτε μὲν παραχωρῆται C ὑπὸ τοῦ κρείττονος, τὴν οἰκείαν ὁ νοῦς ἡγεμονίαν ἐνδείκνυται, ἐκνικᾶται δὲ, καὶ ἕπεται τῷ κρείττονι, καὶ ταῦτα ἐνεργεῖ ἃ βούλεται ἡ θεία θέλησις. Χωρίον ὁ νοῦς γέγονε τῆς καθ' ὑπόστασιν αὐτῷ ἡνωμένης θεότητος· ὥσπερ δὴ καὶ ἡ σὰρξ οὐ σύνοικος, ὡς ἡ τῶν αἱρετικῶν ἐναγὴς πλανᾶται οἴησις. Οὐ γὰρ ἂν μεδιμναῖον λέγουσα, χωρήσῃ διμέδιμνον, σωματικῶς τὰ ἄϋλα κρίνουσα. Πῶς δὲ Θεὸς τέλειος, καὶ ἄνθρωπος τέλειος, καὶ ὁμοούσιος τῷ Πατρὶ καὶ ἡμῖν ὁ Χριστὸς λεχθήσεται, εἰ μέρος τῆς θείας φύσεως μέρει τῆς ἀνθρωπίνης ἐν αὐτῷ ἥνωται φύσεως; Λέγομεν δὲ τὴν φύσιν ἡμῶν ἐγηγέρθαι ἐκ τῶν νεκρῶν, καὶ ἀνεληλυθέναι καὶ κεκαθικέναι ἐκ δεξιῶν τοῦ Πατρὸς, οὐ καθὸ πᾶσαι αἱ τῶν ἀνθρώπων ὑποστάσεις ἀνέστησαν, καὶ ἐκάθισαν ἐκ D δεξιῶν τοῦ Πατρὸς, ἀλλὰ καθὸ πᾶσα ἡ φύσις ἡμῶν ἐν τῇ τοῦ Χριστοῦ ὑποστάσει. Φησὶ γοῦν ὁ θεῖος Ἀπόστολος, *Συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τῷ Χριστῷ.* Καὶ τοῦτο δέ φαμεν, ὅτι ἐκ κοινῶν οὐσιῶν ἡ ἕνωσις γέγονε. Πᾶσα γὰρ οὐσία κοινή ἐστι πασῶν τῶν ὑπ' αὐτῆς περιεχομένων ὑποστάσεων, καὶ οὐκ ἔστιν εὑρεῖν μερικὴν καὶ ἰδιάζουσαν φύσιν, ἤτοι οὐσίαν. Ἐπεὶ ἀνάγκη τὰς αὐτὰς ὑποστάσεις καὶ ὁμοουσίους καὶ ἑτεροουσίους λέγειν· καὶ τὴν ἁγίαν Τριάδα καὶ ὁμοούσιον, καὶ ἑτεροούσιον κατὰ τὴν θεότητα λέγειν. Ἡ αὐτὴ τοίνυν φύσις ἐν ἑκάστῃ τῶν ὑποστάσεων θεωρεῖται. Καὶ ὅτε εἴπωμεν τὴν φύσιν τοῦ Λόγου σεσαρκῶσθαι, κατὰ τοὺς μακαρίους

Ἀθανάσιον καὶ Κύριλλον, τὴν θεότητά φαμεν ἡνῶσθαι σαρκί. Διὸ οὐ δυνάμεθα εἰπεῖν, Ἡ φύσις τοῦ Λόγου ἔπαθεν· οὐ γὰρ ἔπαθεν ἡ θεότης ἐν αὐτῷ. Λέγοντες δὲ τὴν ἀνθρωπίνην φύσιν πεπονθέναι ἐν τῷ Χριστῷ, οὐ πάσας τὰς τῶν ἀνθρώπων ὑποστάσεις ἐμφαίνομεν, ἀλλὰ τῇ ἀνθρωπίνῃ φύσει ὁμολογοῦμεν πεπονθέναι τὸν Χριστόν. Ὥστε φύσιν τοῦ Λόγου λέγοντες αὐτὸν τὸν Λόγον σημαίνομεν. Ὁ δὲ Λόγος καὶ τὸ κοινὸν τῆς οὐσίας κέκτηται, καὶ τὸ ἰδιάζον τῆς ὑποστάσεως.

sonas complectitur. Nec licet naturam sive essentiam ullam singularem, privatamque reperire. Sic enim esset necessarium, personas ipsas essentiæ et ejusdem esse, et diversæ. Et sanctam Trinitatem ejusdem esse, diversæque essentiæ quantum pertinet ad divinitatem. Eadem igitur natura in singulis personis consideratur. Et quando dicimus, Verbi naturam carnem assumpsisse, divinitatem ex beatorum Athanasii, Cyrillique sententia carni esse conjunctam affirmamus. Quamobrem non possumus dicere Verbi naturam esse passam, neque enim divinitas in ipso passa est. Dicentes autem naturam humanam fuisse passam in Christo, non omnes hominum personas significamus, sed in natura humana Christum esse passum confitemur. Quare cum Verbi naturam dicimus, ipsum Verbum indicamus. Verbum autem et essentiæ communitatem obtinet, et personæ proprietatem.

Τοῦ αὐτοῦ Κεφάλαιον οα'.

Περὶ τῆς μιᾶς τοῦ Θεοῦ Λόγου συνθέτου ὑποστάσεως.

Τοιγαροῦν ὁμολογοῦμεν αὐτὸν ἕνα Υἱὸν Θεοῦ καὶ μετὰ τὴν ἐνανθρώπησιν, καὶ Υἱὸν ἀνθρώπου τὸν αὐτόν· ἕνα Χριστὸν, ἕνα Κύριον, τὸν μονογενῆ Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, Ἰησοῦν τὸν Κύριον ἡμῶν, δύο αὐτοῦ τὰς γεννήσεις σέβοντες, μίαν μὲν τὴν ἐκ Πατρὸς προαιώνιον ὑπὲρ αἰτίαν καὶ λόγον καὶ χρόνον καὶ φύσιν· καὶ μίαν τὴν ἐπ' ἐσχάτων δι' ἡμᾶς, καὶ καθ' ἡμᾶς, καὶ ὑπὲρ ἡμᾶς. Δι' ἡμᾶς, ὅτι διὰ τὴν ἡμετέραν σωτηρίαν· καθ' ἡμᾶς, ὅτι γέγονεν ἄνθρωπος ἐκ γυναικὸς, καὶ χρόνῳ κυήσεως· ὑπὲρ ἡμᾶς, ὅτι οὐκ ἐκ σπορᾶς, ἀλλ' ἐξ ἁγίου Πνεύματος καὶ τῆς ἁγίας Παρθένου ὑπὲρ νόμον κυήσεως· οὐ Θεὸν αὐτὸν μόνον κηρύττοντες γυμνὸν τῆς καθ' ἡμᾶς ἀνθρωπότητος, οὐδὲ μὴν ἄνθρωπον μόνον ψιλοῦντες αὐτὸν τῆς θεότητος, οὐκ ἄλλον καὶ ἄλλον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ὁμοῦ Θεόν τε καὶ ἄνθρωπον· Θεὸν τέλειον, καὶ ἄνθρωπον τέλειον· ὅλον Θεὸν, καὶ ὅλον ἄνθρωπον· διὰ τοῦ εἰπεῖν, τέλειον Θεὸν καὶ τέλειον ἄνθρωπον, τὸ πλῆρες καὶ ἀνελλιπὲς δηλοῦντες τῶν φύσεων· διὰ δὲ τοῦ εἰπεῖν, ὅλον Θεὸν καὶ ὅλον ἄνθρωπον, τὸ μοναδικὸν δεικνύντες τῆς ὑποστάσεως. Καὶ μίαν δὲ φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην ὁμολογοῦμεν, διὰ τοῦ σεσαρκωμένην τὴν τῆς σαρκὸς οὐσίας σημαίνοντες, κατὰ τὸν μακάριον Κύριλλον. Καὶ σεσάρκωται τοίνυν ὁ Λόγος, καὶ τῆς οἰκείας ἀϋλότητος οὐκ ἐξέστηκε. Καὶ ὅλος σεσάρκωται, καὶ ὅλος ἦν ἀπερίγραπτος. Σμικρύνεται σωματικῶς καὶ συστέλλεται. Καὶ θεϊκῶς ἐστιν ἀπερίγραπτος, οὐ συμπαρεκτεινομένης τῆς σαρκὸς αὐτοῦ τῇ ἀπεριγράπτῳ θεότητι. Ὅλος μὲν οὖν ἐστι Θεὸς τέλειος, οὐχ ὅλον δὲ Θεός· οὐ γὰρ μόνον Θεὸς, ἀλλὰ καὶ ἄνθρωπος. Καὶ ὅλος ἄνθρωπος τέλειος, οὐχ ὅλον δὲ ἄνθρωπος. Οὐ μόνον γὰρ ἄνθρωπος, ἀλλὰ καὶ Θεός. Τὸ μὲν γὰρ ὅλον φύσεώς ἐστι παραστατικὸν, τὸ δὲ ὅλος ὑποστάσεως· ὥσπερ τὸ μὲν ἄλλο φύσεως, τὸ δὲ ἄλλος ὑποστάσεως. Ἐν πᾶσι μὲν ἦν, καὶ ὑπὲρ τὰ πάντα, καὶ ἐν τῇ γαστρὶ τῆς Θεομήτορος, ἀλλ' ἐν ταύτῃ ἐνεργείᾳ σαρκώσεως. Ἰστέον δὲ ὡς, εἰ καὶ περιχωρεῖν ἐν ἀλλήλαις τὰς τοῦ Κυρίου φύσεις φαμὲν, ἀλλ' οἴδαμεν ὡς ἐκ τῆς θείας φύσεως ἡ περιχώρησις γίνεται. Αὕτη μὲν γὰρ διὰ πάντων διήκει, καθὼς βούλεται, καὶ περιχωρεῖ, δι' αὐτῆς δὲ οὐδέν. Καὶ αὕτη μὲν τῶν

Ejusdem. Cap. 71.

De una Dei Verbi composita persona.

Eumdem igitur etiam post humanam carnem assumptam unum Filium Dei, et Filium hominis, unum Christum, unum Dominum, unigenitum Filium, et Verbum Dei, Jesum Dominum nostrum confitemur, duos ipsius ortus venerantes, unum quidem ex Patre ante sæcula omni causa et ratione tum temporis, tum naturæ superiorem, alterum autem in novissimis temporibus propter nos, et ex nobis, et supra nos. Propter nos, quia propter salutem nostram; ex nobis, quia ex muliere natus est homo legitimo partus tempore; supra nos, quia sine semine, ex Spiritu sancto, et sancta Virgine, supra pariendi legem. Nec Deum solum ipsum prædicamus a nostra sejunctum humanitate, nec solum hominem remotum a divinitate, nec alium atque alium, sed unum et eumdem, simul Deum atque hominem, Deum perfectum et perfectum hominem, totum Deum et totum hominem, eumdem totum Deum etiam cum carne sua, et totum hominem etiam cum summa divinitate, ut dicentes, perfectum Deum et perfectum hominem, absolutam et nulla re deficientem naturarum plenitudinem ostendamus, dicentes autem, totum Deum et totum hominem, unicam et singularem personam declaremus. Unam item Dei Verbi naturam carnem assumpsisse confitemur, id est, carnis essentiam, ut beatus Cyrillus intelligit. Carnem igitur Verbum assumpsit, nec tamen a natura sua recessit materiæ experte. Et cum totam carnem assumpserit, totum tamen nullo termino circumscribitur. Corpore minuitur atque contrahitur, et divinitate non circumscribitur: cum ejus caro super divinitate, quæ circumscribi non potest, non extendatur. Totus ergo perfectus est Deus, non totum autem Deus; neque enim solum Deus, sed etiam homo. Et totus homo perfectus, non autem totum homo; neque enim solum homo, verum etiam Deus. Ut totum quidem naturam constituat, totus autem personam, itemque naturæ sit aliud, alius autem personæ. In omnibus erat, et super omnia etiam in utero divinæ Genitricis, in hoc tamen ea potissimum actione, qua carnem induebat. Illud

sciendum est, quamvis dicamus Domini naturas inter se mutuo commeare, id tamen a natura divina proficisci. Ipsa enim, ut vult, per omnia commeat, transit, ac penetrat, per ipsam vero nihil. Atque ipsa quidem dignitates suas carni sic elargitur, ut nihil patiatur, et carnis affectionum expers maneat. Nam si nohis sol actiones impertit suas, et a nostris nihil accipit, quanto magis id solis auctor ipse præstabit?

A οἰκείων αὐχημάτων τῇ σαρκὶ μεταδίδωσι, μένει δὲ αὐτὴ ἀπαθὴς, καὶ τῶν τῆς σαρκὸς παθῶν ἀμέτοχος. Εἰ γὰρ ὁ ἥλιος, ἡμῖν τῶν οἰκείων ἐνεργειῶν μεταδιδοὺς, μένει τῶν ἡμετέρων ἀμέτοχος, πόσῳ μᾶλλον ὁ τοῦ ἡλίου δημιουργός;

Ejusdem. Cap. 75.

De natura in specie et individuo considerata, et differentia copulationis, et carnis assumptionis.

Natura vel cogitatione sola, et nuda consideratur, per se enim non subsistit, vel communiter in omnibus ejusdem speciei personis, eas ipsas conjungens. Et dicitur in specie, aut communiter considerata natura, eadem, quæ assumptis accidentibus in una persona. Et dicitur in individuo considerata natura, quæ tamen eadem est ac ea quæ in specie consideratur. Deus igitur Verbum carnem assumens neque nuda et sola cogitatione comprehensam naturam accepit (neque enim id esset carnem assumere, sed decipere et carnis assumptionem confingere), neque naturam illam, quæ in specie consideratur; neque enim personas omnes accepit, sed naturam in individuo, quæ eadem est cum illa, quæ est in specie (primitias enim accepit nostræ massæ), non per se subsistentem, et quæ prius esset individuum, ut sic ab ipso assumeretur, sed quæ in sua ipsius exsisteret persona. Nam ipsa Dei Verbi hypostasis sive persona, carnis hypostasis sive persona exstitit. Atque ita Verbum caro factum est, sine incitatione tamen, et caro Verbum sine commutatione. Et Deus homo, et homo Deus, ob hanc per personam conjunctionem. Quapropter idem est dicere, naturam Verbi, et naturam in individuo. Neque enim id individuum, seu personam proprie et singulariter declarat; neque personarum communitatem, sed communem naturam, quæ in una personarum consideratur et expenditur. Aliud igitur est conjunctio, aliud carnis assumptio. Conjunctio enim solam indicat copulationem, cum quo autem fiat ipsa conjunctio non declarat. At carnis (seu quod idem est) humanitatis assumptio cum carne, sive cum homine conjunctionem demonstrat, quemadmodum et ignitio (ut ita dicam) ferri cum igne conjunctionem ostendit.

Τοῦ αὐτοῦ. Κεφάλαιον οε'.

Περὶ τῆς ἐν εἴδει, καὶ ἐν ἀτόμῳ θεωρουμένης φύσεως, καὶ διαφορᾶς, καὶ ἑνώσεως, καὶ σαρκώσεως.

Ἡ φύσις ἢ ψιλῇ θεωρίᾳ κατανοεῖται, καθ' ἑαυτὴν γὰρ οὐχ ὑφέστηκεν, ἢ κοινῶς ἐν πάσαις ταῖς ὁμοειδέσιν ὑποστάσεσι ταύτας συνάπτουσα καὶ λέγεται ἐν τῷ εἴδει θεωρουμένη φύσις· ἢ ὁλικῶς ἡ αὐτὴ ἐν
B προσλήψει συμβεβηκότων ἐν μιᾷ ὑποστάσει, καὶ λέγεται ἐν ἀτόμῳ θεωρουμένη φύσις, ἡ αὐτὴ οὖσα τῇ ἐν τῷ εἴδει θεωρουμένῃ. Ὁ οὖν Θεὸς Λόγος σαρκωθεὶς οὔτε τὴν ἐν ψιλῇ θεωρίᾳ κατανοουμένην φύσιν ἀνέλαβεν· οὐ γὰρ σάρκωσις τοῦτο, ἀλλ' ἀπάτη καὶ πλάσμα σαρκώσεως· οὔτε τὴν ἐν τῷ εἴδει θεωρουμένην· οὐ γὰρ τὰς ὑποστάσεις πάσας ἀνέλαβεν, ἀλλὰ τὴν ἐν ἀτόμῳ, τὴν αὐτὴν οὖσαν τῇ ἐν τῷ εἴδει. Ἀπαρχὴν γὰρ ἀνέλαβε τοῦ ἡμετέρου φυράματος, οὐ καθ' ἑαυτὴν ὑποστᾶσαν καὶ ἄτομον χρηματίσασαν πρότερον, καὶ οὕτως ὑπ' αὐτοῦ προσληφθεῖσαν, ἀλλ' ἐν τῇ αὐτοῦ ὑποστάσει ὑπάρξασαν. Αὕτη γὰρ ἡ ὑπόστασις τοῦ Θεοῦ Λόγου ἐγένετο τῇ σαρκὶ ὑπόστασις, καὶ κατὰ τοῦτο ὁ Λόγος σὰρξ ἐγένετο, ἀτρέπτως δηλαδὴ, καὶ ἡ σὰρξ Λόγος ἀμεταβλήτως, καὶ ὁ Θεὸς
C ἄνθρωπος. Θεὸς γὰρ ὁ Λόγος, καὶ ὁ ἄνθρωπος Θεὸς διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν. Ταὐτὸν οὖν ἐστιν εἰπεῖν φύσιν τοῦ Λόγου καὶ τὴν ἐν ἀτόμῳ φύσιν. Οὔτε γὰρ τὸ ἄτομον, ἤγουν τὴν ὑπόστασιν, κυρίως καὶ μόνως δηλοῖ, οὔτε τὸ κοινὸν τῶν ὑποστάσεων, ἀλλὰ τὴν κοινὴν φύσιν ἐν μιᾷ τῶν ὑποστάσεων θεωρουμένην καὶ ἐξεταζομένην. Ἄλλο μὲν οὖν ἐστιν ἕνωσις, καὶ ἄλλο σάρκωσις. Ἡ μὲν γὰρ ἕνωσις μόνην δηλοῖ τὴν συνάφειαν, πρὸς τί δὲ γέγονεν ἡ συνάφεια, οὐκ ἔτι. Ἡ δὲ σάρκωσις, ταὐτὸν δέ ἐστιν εἰπεῖν καὶ ἐνανθρώπησις, τὴν πρὸς σάρκα ἤτοι πρὸς ἄνθρωπον συνάφειαν δηλοῖ, καθάπερ καὶ ἡ πύρωσις τοῦ σιδήρου τὴν πρὸς τὸ πῦρ ἕνωσιν.

Ejusdem. Cap. 84.

De naturalibus et nulli crimini obnoxiis affectionibus.

Præterea confitemur, eum omnes naturales et culpa carentes affectiones hominis suscepisse. Totum enim hominem, et quæ sunt hominis assumpsit omnia, præter peccatum. Hoc enim neque naturale est, neque nobis insitum a procreatione, sed diaboli satu in libero nostro proposito nobis volentibus non autem invitis coaluit, et propagatum est, dominioque potitum. At naturales et vitio culpaque vacantes affectiones sunt illæ, quæ in potestate nostra non sunt, quæ nimirum ex admissi peccati damnatione et noxa in vitam humanam irruerunt, ut fames, sitis,

D *Τοῦ αὐτοῦ. Κεφάλαιον πδ'.*

Περὶ τῶν φυσικῶν καὶ ἀδιαβλήτων παθῶν.

Ὁμολογοῦμεν δὲ ὅτι πάντα τὰ φυσικὰ καὶ ἀδιάβλητα πάθη τοῦ ἀνθρώπου ἀνέλαβεν. Ὅλον γὰρ τὸν ἄνθρωπον, καὶ πάντα τὰ τοῦ ἀνθρώπου ἀνέλαβε, πλὴν τῆς ἁμαρτίας. Αὕτη γὰρ οὐ φυσική ἐστιν, οὐδὲ ὑπὸ τοῦ δημιουργοῦ ἡμῖν ἐνσπαρεῖσα, ἀλλ' ἐκ τῆς τοῦ διαβόλου ἐπισπορᾶς, ἐν τῇ ἡμετέρᾳ αὐτεξουσίῳ προαιρέσει ἑκουσίως συνισταμένη, οὐ βίᾳ ἡμῶν κρατοῦσα. Φυσικὰ δὲ καὶ ἀδιάβλητα πάθη εἰσὶ τὰ οὐκ ἐφ' ἡμῖν, ὅσα ἐκ τῆς ἐπὶ τῇ παραβάσει κατακρίσεως εἰς τὸν ἀνθρώπινον εἰσῆλθε βίον, οἷον πεῖνα, δίψα, κόπος, πόνος, τὸ δάκρυον, ἡ φθορὰ, ἡ τοῦ θανάτου παραίτησις, ἡ δειλία, ἡ ἀγωνία, ἐξ ἧς οἱ

ἱδρῶτες, οἱ θρόμβοι τοῦ αἵματος, ἡ διὰ τὸ ἀσθενὲς τῆς φύσεως ὑπὸ τῶν ἀγγέλων βοήθεια, καὶ τὰ τοιαῦτα, ἅτινα πᾶσι τοῖς ἀνθρώποις φυσικῶς ἐνυπάρχουσι. Πάντα τοίνυν ἀνέλαβεν, ἵνα πάντα ἁγιάσῃ. Ἀμέλει τὰ φυσικὰ ἡμῶν πάθη καὶ κατὰ φύσιν καὶ ὑπὲρ φύσιν ἦσαν ἐν τῷ Χριστῷ. Καὶ κατὰ φύσιν μὲν ἐκινεῖτο ἐν αὐτῷ, ὅτε παρεχώρει τῇ σαρκὶ πάσχειν τὰ ἴδια· ὑπὲρ φύσιν δὲ, ὅτι οὐ προηγεῖτο ἐν τῷ Κυρίῳ τῆς θελήσεως τὰ φυσικά· οὐδὲν γὰρ ἠναγκασμένον ἐπ' αὐτοῦ θεωρεῖται, ἀλλὰ πάντα ἑκούσια. Θέλων γὰρ ἐπείνησε, θέλων ἐδίψησε, θέλων ἐδειλίασε, θέλων ἀπέθανε.

A lassitudo, dolor, lacrymæ, interitus, mortis causa timor, angor, ex quo sudores, sanguinis guttæ, angelorum propter naturæ imbecillitatem subsidium et consolatio, hæc et alia id genus, quæ omnibus naturaliter, omnia suscepit, ut omnia prorsus sancta redderet. Naturales autem omnes affectiones, et ex natura, et supra naturam erant in Christo. Ex natura enim in eo movebantur, cum permittebat carni, ut quæ propria illius sunt, pateretur atque sentiret. Supra naturam vero, quoniam naturales in Domino motus et affectiones ejus voluntati non imperabant. Nihil enim in eo coactum, invitum, et necessarium consideratur, sed omnia voluntaria. Volens enim esuriit, volens sitivit, volens timuit, volens mortuus est.

Τοῦ αὐτοῦ. Κεφάλαιον ϞΖ'.
Διὰ τί ὁ Υἱὸς τοῦ Θεοῦ ἐνηνθρώπησε, καὶ οὐχ ὁ Πατὴρ, οὐδὲ τὸ Πνεῦμα. B

Πατὴρ ὁ Πατὴρ, καὶ οὐχ Υἱός. Υἱὸς ὁ Υἱὸς, καὶ οὐ Πατήρ. Πνεῦμα ἅγιον τὸ Πνεῦμα, καὶ οὐ Πατὴρ, οὐδὲ Υἱός. Ἡ γὰρ ἰδιότης ἀκίνητος. Ἢ πῶς ἂν ἰδιότης μεῖναι, κινουμένη καὶ μεταπίπτουσα; Διὰ τοῦτο ὁ Υἱὸς τοῦ Θεοῦ Υἱὸς ἀνθρώπου γίνεται, ἵνα μείνῃ ἡ ἰδιότης ἀκίνητος. Υἱὸς γὰρ ὢν τοῦ Θεοῦ, Υἱὸς ἀνθρώπου γέγονε, σαρκωθεὶς ἐκ τῆς ἁγίας Παρθένου, καὶ οὐκ ἐκστὰς τῆς υἱικῆς ἰδιότητος.

Ejusdem. Cap. 97.
Cur Filius Dei carnem humanam assumpserit, non autem Pater, aut Spritus sanctus.

Pater est Pater, non Filius. Filius est Filius, non Pater. Spiritus sanctus est Spiritus sanctus, non Pater aut Filius. Proprietas enim immobilis est. Quæ si moveatur et concidat, quomodo proprietas permanebit? Idcirco Filius Dei fit hominis Filius, ut proprietas firma et immobilis maneat. Nam cum sit Filius Dei, factus est Filius hominis, ita carnem assumens ex Virgine, ut non recederet a Filii proprietate.

Ἔτι περὶ τῆς θείας ἐνανθρωπήσεως. Ἑτέρων Πατέρων.

Εἰ τὸ πῦρ μένον κατὰ χώραν ἑνοῦται καὶ τῷ σιδήρῳ, πολλῷ μᾶλλον καὶ ὁ παντοδύναμος μένων ἀκίνητος ἡνώθη τῷ προσλήμματι, καὶ ὅλος ἦν ἐν τῷ Πατρὶ, καὶ ὅλος ἦν ἐν τῷ προσλήμματι. Ὑπερφυὴς οὖν ὁ τοιοῦτος λόγος, διότι ὁ Υἱὸς καὶ Λόγος ὑπερφυής.

Εἴπερ ὁ νοῦς ψυχῇ συνδεδεμένος ἐνοικούσῃ σώματι, μηδέποτε ταύτην ἀπολιμπάνων ἔνθα βούλεται πρόεισι, καὶ ἀνεκφοιτήτως, ἵν' οὕτως εἴπω, φοιτᾷ πανταχοῦ, περίεργον ἀπορεῖν, πῶς ὁ Υἱὸς καὶ Θεὸς μὴ λιπὼν τὸν Πατέρα καὶ τοὺς οὐρανοὺς κατῆλθεν εἰς γῆν, καὶ ἀχώρητος ὢν, ἐχωρήθη ψυχῇ καὶ σώματι. Εἰ γὰρ τὸ κτίσμα τοιοῦτον, ὁ κτίσης ὁποῖος ὁ τῷ κτίσματι τοῦτο δοὺς τὸ θαυμαστόν τε καὶ ἀνερμήνευτον;

Item de divina humanæ carnis assumptione. Aliorum Patrum.

Si ignis in suo loco manens cum ferro conjungitur, mundo magis ille, qui est omnipotens, immobilis manens assumptæ carni conjunctus est, ut qui totus erat in Patre, totus in illa esset assumptione. Quæ quidem ratio si naturæ vim superat, nil mirum est, quando Filius et Verbum ipsa est natura præstantius. C

Si mens animæ corpus incolenti conjuncta quolibet progreditur ipsam animam non derelinquens, et impenetrabilis (ut ita dicam) per omnia commeat et penetrat, supervacaneum est dubitare, quomodo Filius, et Deus nec Patrem relinquens, nec cœlum deserens in terram descenderit, et cum nequeat comprehendi, sit ab anima et corpore comprehensus. Nam si res procreata hanc obtinet potestatem, qualis erit procreator ipse, admirabilis hujus, quæ verbis explicari non potest, elargitor?

Ὁ Λόγος καὶ Θεὸς ὅλος σεσάρκωται, καὶ ὅλος ἐστὶν ἀπερίγραπτος. Διὰ τοῦτο καὶ ἐν τῷ κόλπῳ τοῦ Θεοῦ καὶ Πατρὸς ἦν, καὶ ἐν τῇ νηδύϊ τῆς Θεομήτορος· ἐκεῖνο μὲν ὡς ἀπερίγραπτος, τοῦτο δὲ ὡς σεσαρκωμένος. D

Σαρκούμενος ὁ Λόγος καὶ Θεὸς καὶ ἐν τοῖς πᾶσιν ἦν, ὡς πάντα πληρῶν καὶ ὑπὲρ τὰ πάντα, ὡς ἀπερίγραπτος καὶ πᾶσιν ἀχώρητος, καὶ ἐν τῇ γαστρὶ τῆς Θεομήτορος ἦν ἐνεργείᾳ σαρκώσεως καὶ ἀπεριγράπτως, καὶ ἐν τῷ προσλήμματι ἦν ἑνώσει σαρκὸς καὶ ὁμοίως ἀπεριγράπτως. Ἐνηνθρώπησε δὲ δι' ἡμᾶς, καὶ καθ' ἡμᾶς, καὶ ὑπὲρ ἡμᾶς, ὅτι διὰ τὴν ἡμετέ-

Totum Verbum, qui Deus est, carnem assumpsit, et totum nequit comprehendi. Quamobrem et totum simul in utero divinæ Matris, illic, ut nullo termino comprehensum, hic autem ut indutum humana carne.

Carnem assumens Verbum et Deus, et in omnibus erat, ut omnia complens, et super omnia, quia nullo termino aut loco circumscribi potest, aut comprehendi, et in utero divinæ Matris, quoniam assumptionem carnis ita peragebat, ut non circumscriberetur tamen; et in ipsa assumptione propter carnis conjunctionem, quam nullo item

modo circumscriptus efficiebat. Factus autem est A homo propter nos, et ex nobis, et supra nos, quoniam et pro salute nostra, et ex muliere, et ex virgine.

Jam ante mundi constitutionem ut Deus humanam carnem assumeret, præfinitum erat. Nunquam autem ante sanctissimam Mariam divinæ carnis assumptione dignum repertum est domicilium. Ubi autem repertum est, humanam carnem assumpsit Deus. Qui ideo in desponsa Virgine concipi voluit, ut et matrimonium cujus initium sponsalia sunt, commendaret, et ei virginitatem anteponeret.

Humanitas quæ per conjunctionem in una eademque persona assumpta est, ex ipsa conjunctione et B communione effecta divina est, statimque ab humanæ naturæ terminis non recedens, excellentes et magnificas divinitatis dotes accepit, ut et vitam tribueret, et esset omnipotens, et omnia cerneret. Dicitur autem serva, et ignara, et aliis ejusmodi nominibus appellatur, si quis (ut inquit Gregorius Theologus) sola nuda cogitatione separet id, quod videtur, ab eo, quod intelligitur. In hac autem Christus obnoxius fuit naturalibus et culpa carentibus affectionibus, ut nec a propria natura discederet, et se vere carnem humanam assumpsisse confirmaret, et doloribus suis nostros curaret, et naturalibus affectionibus eas, quæ sunt præter naturam aboleret, et denique ut eas vincens ipse tanquam homo nobis simili natura secum conjunctis et co- C gnitis victoriam ipsam largiretur. Peccatum enim non est affectio naturalis, et quæcunque ad peccatum pertinent.

Ut ignis ferrum ignitum et illustre reddens frigiditatis et nigredinis ejus particeps ipse non efficitur, ita divinitas virtutem suam humanitati communicans ejus non accepit imbecillitatem.

Puritas quidem cum sordibus nostris versatur, sed ipsæ tamen sordes puritatem non inficiunt. *Lux* enim (inquit) *in tenebris lucet, et tenebræ eam non comprehenderunt* [1]. Nam cum tenebræ præsentia radiorum expellantur, sol tamen a tenebris non obscuratur.

Unum dicitur in iis quidem, quæ sunt ejusdem D essentiæ, cum eadem est natura, et diversæ personæ. Ex quo illud, *Et tria unum sunt* [2]. In iis autem, quæ diversæ sunt essentiæ, unum dicitur, cum eadem persona est, et diversæ naturæ, ex quo illud, et utrumque unum. Unum autem non natura, sed conjunctione duarum naturarum in una persona.

Quemadmodum unum est ex eorum numero quæ multiplici ratione dicuntur; dicitur enim unum vel numero, ut exempli gratia, Petrus; vel specie, ut homo; vel genere, ut animal; sic etiam duo. Nam et numero dicuntur duo, ut Petrus et Paulus; et specie, ut homo et equus; et genere, ut essentia et

ραν σωτηρίαν, καὶ ὅτι ἐκ γυναικὸς, καὶ ὅτι ἐκ Παρθένου.

Πάλαι μὲν πρὸ καταβολῆς κόσμου προώριστο ἡ τοῦ Θεοῦ ἐνανθρώπησις, οὔπω δὲ μέχρι τῆς παναγίας Μαρίας ἄξιον εὑρέθη τῆς ἐνανθρωπήσεως ἐργαστήριον. Ὅτε οὖν εὑρέθη, τότε καὶ ἐνηνθρώπησε. Συνελήφθη δὲ ἐν τῇ μεμνηστευμένῃ Παρθένῳ· ἐν μεμνηστευμένῃ μὲν, ἵνα τιμηθῇ ὁ γάμος· γάμου γὰρ ἀρχὴ ἡ μνηστεία· ἐν παρθένῳ δὲ, ἵνα προτιμηθῇ ἡ παρθενία.

Τὸ πρόσλημμα διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν, καὶ τὴν ταυτότητα τῆς ὑποστάσεως, ἐξ αὐτῆς ἑνώσεως καὶ κοινωνίας θεωθὲν, μετέσχεν αὐτίκα τῶν θείων πλεονεκτημάτων καὶ μεγαλοπρεπειῶν. Καὶ τῶν μὲν ὅρων τῆς ἀνθρωπίνης φύσεως οὐκ ἐξέστη, γέγονε δὲ ζωοποιὸν καὶ παντοδύναμον, καὶ πάντα εἰδός. Λέγεται δὲ δοῦλον, καὶ ἀγνοοῦν, καὶ τὰ τοιαῦτα, ἄν τις τὸ φαινόμενον χωρήσῃ τοῦ νοουμένου, καθά φησιν ὁ Θεολόγος Γρηγόριος, ἐπινοίᾳ δηλονότι ψιλῇ. Ὑπέκειτο δὲ τοῖς φυσικοῖς καὶ ἀδιαβλήτοις πάθεσιν, ὡς μὴ ἐκστὰν τῆς οἰκείας φύσεως, καὶ ἵνα ἡ ἐνανθρώπησις πιστωθῇ, καὶ ἵνα τοῖς ἑαυτοῦ πάθεσιν ἰάσηται τὰ ἡμέτερα πάθη, καὶ τοῖς φυσικοῖς τὰ παρὰ φύσιν ἐξαφανίσῃ, καὶ συλλήβδην εἰπεῖν, ἵνα νικήσας αὐτὸς, ὡς ἄνθρωπος, καὶ ἡμῖν τοῖς ὁμοφυέσι καὶ συγγενέσι τὴν κατ' αὐτῶν χαρίσηται νίκην. Ἡ μέντοι ἁμαρτία οὐ φυσικὸν, ἀλλὰ παρὰ φύσιν πάθος, καὶ ὅσα τῆς ἁμαρτίας.

Ὥσπερ τὸ πῦρ πυρακτοῖ μὲν καὶ λαμπρύνει τὸν σίδηρον, οὐ μεταλαμβάνει δὲ τῆς αὐτοῦ ψυχρότητος ἢ μελανίας· οὕτω καὶ ἡ θεότης μετέδωκε μὲν τῇ ἀνθρωπότητι τῆς οἰκείας δυνάμεως, οὐ μετέλαβε δὲ τῆς ἀσθενείας αὐτῆς.

Ἡ μὲν καθαρότης ὁμιλεῖ τῷ ἡμετέρῳ ῥύπῳ, ὁ δὲ ῥύπος οὐχ ἅπτεται τῆς καθαρότητος. *Τὸ φῶς γὰρ*, φησὶν, *ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν*. Ἀφανίζεται γὰρ τῇ παρουσίᾳ τῆς ἀκτῖνος ὁ ζόφος, οὐ τῷ ζόφῳ ἀμαυροῦται ὁ ἥλιος.

Τὸ ἓν ἐπὶ μὲν τῶν ὁμοουσίων λέγεται, ἔνθα ταυτότης μὲν φύσεως, ἑτερότης δὲ ὑποστάσεων, ὡς τὸ καὶ *τὰ τρία ἕν*· ἐπὶ δὲ τῶν ἑτεροουσίων, ἔνθα ταυτότης μὲν ὑποστάσεων, ἑτερότης δὲ φύσεων, ὡς τὸ καὶ τὸ συναμφότερον ἕν, ἀλλ' οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ.

Ὥσπερ τὸ ἓν τῶν πολλαχῶς λεγομένων ἐστὶ, λέγεται γὰρ ἓν τῷ ἀριθμῷ, ὡς ὁ Πέτρος τυχὸν, καὶ ἓν τῷ εἴδει, ὡς ὁ ἄνθρωπος, καὶ ἓν τῷ γένει, ὡς τὸ ζῶον· οὕτω καὶ τὰ δύο. Λέγεται γὰρ δύο τῷ ἀριθμῷ, ὡς Πέτρος καὶ Παῦλος, καὶ δύο τῷ εἴδει, ὡς ἄνθρωπος καὶ ἵππος, καὶ δύο τῷ γένει, ὡς οὐσία καὶ

[1] Joan. I, 5. [2] I Joan. V, 7.

χρῶμα. Ὅταν οὖν λέγομεν τὰ δύο ἐπὶ τοῦ Χριστοῦ, οὐ δύο τῷ ἀριθμῷ τοῦτον λέγομεν, ἀλλ' ἕνα μὲν τῷ ἀριθμῷ διὰ τὴν μονάδα τῆς ὑποστάσεως, δύο δὲ τῷ εἴδει, τουτέστι τῇ φύσει, διὰ τὴν δυάδα τῶν φύσεων. Φησὶ γὰρ καὶ Γρηγόριος ὁ Θεολόγος ὅτι τὸ συναμφότερον ἓν οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ. Καὶ Ἀριστοτέλης δὲ τὴν ὕλην καὶ τὸ εἶδος ἓν μὲν λέγει τῷ ἀριθμῷ, δύο δὲ τῷ εἴδει. Ταύτας τὰς δύο χρήσεις προβλητέον κατὰ τῶν λεγόντων ὅτι ἑνὸς μὲν εἴδους πολλὰ εὑρίσκομεν ἄτομα, δύο δὲ εἴδη ἐπὶ ἑνὸς ἀτόμου καὶ εὑρεῖν ἀδύνατον, καὶ λέγειν ἄλογον.

Τὸ ταὐτὸν λέγεται μὲν τῇ οὐσίᾳ, ὡς Πέτρος Παύλῳ τῇ οὐσίᾳ ταυτὸν, τοῦτο δὲ καὶ φύσει ταυτὸν λέγομεν· λέγεται δὲ καὶ τῷ γένει, ὡς βοῦς ἵππῳ τῷ γένει ταυτὸν, γένος γὰρ ἀμφοῖν τὸ ἄλογον ζῶον· λέγεται δὲ καὶ τῷ εἴδει, ὡς Τίτος Τιμοθέῳ τῷ εἴδει ταυτὸν, ὑπὸ γὰρ τὸν ἄνθρωπον ἄμφω· λέγεται δὲ καὶ τῷ ἀριθμῷ, ὡς τὸ πολυώνυμον ἀριθμῷ ταυτὸν, ξίφος γὰρ, καὶ ἄορ, καὶ σπάθη ἓν τῷ ἀριθμῷ, ἓν γὰρ ἐνταῦθα τὸ ὑποκείμενον· λέγεται δὲ καὶ τῇ ἀναλογίᾳ, ὡς ὁ νοῦς τῷ ὀφθαλμῷ τῇ ἀναλογίᾳ ταυτὸν, ὃ γὰρ ὀφθαλμὸς ἐν σώματι, τοῦτο νοῦς ἐν ψυχῇ· λέγεται δὲ καὶ τῇ ὑποστάσει ταυτὸν, ὡς ἐπὶ Χριστοῦ, αἱ διάφοροι γὰρ φύσεις αὐτοῦ τῇ ὑποστάσει ταυτὸν, ἤγουν ἕν.

Ἐπὶ Χριστοῦ τὰς δύο φύσεις ἐπινοίᾳ μὲν τοῦ διωρισμένου ποσοῦ λέγομεν, ὡς ἐπινοίᾳ μόνῃ διαιρουμένας, πράγματι δὲ τοῦ συνεχοῦς, ὡς ἀδιαιρέτους πράγματι.

Ἕνωσίς ἐστι διεστώτων πραγμάτων κοινωνικὴ συνδρομή. Γίνεται δὲ κατὰ διαφόρους τρόπους. Ἢ γὰρ κατὰ κρᾶσιν, ὡς ἐπὶ ὑγρῶν, οἴνου καὶ ὕδατος· ἢ κατὰ σωρείαν, ὡς ἐπὶ ξηρῶν, σίτου καὶ κριθῆς· ἢ κατὰ φύρσιν, ὡς ἐπὶ ξηροῦ καὶ ὑγροῦ, γῆς καὶ ὕδατος· ἢ κατὰ ἀνάμιξιν, ὡς ἐπὶ διαφόρων ἀλεύρων· ἢ κατὰ σύγχυσιν, ὡς ἐπὶ τηκτῶν, χρυσοῦ καὶ ἀργύρου, κηροῦ καὶ πίσσης· ἢ κατὰ ἁρμονίαν, ὡς ἐπὶ λίθων· ἢ κατὰ παράθεσιν, ὡς ἐπὶ σανίδος· ἢ κατὰ συναλοιφὴν, ὡς ἐπὶ λαμπάδος ἐκ πυρὸς προερχομένης, καὶ αὖθις ἑνουμένης· ἢ κατ' οὐσίαν, ὡς ἐπὶ ἀτόμων, Πέτρου καὶ Παύλου, ἢ τινῶν ἵππων, ἢ βοῶν, ἢ ἑτέρων ζώων· ἢ κατὰ σχέσιν, ὡς ἐπὶ φίλων καὶ γνωμῶν, εἰς ἓν θέλημα συνερχομένων· ἢ κατὰ σύνθεσιν, ὡς ἐπὶ ψυχῆς καὶ σώματος. Ἡ δὲ καθ' ὑπόστασιν ἐπὶ μόνης λέγεται τῆς ἐν Χριστῷ θεότητος καὶ ἀνθρωπότητος. Ἐδογμάτισε δὲ ταύτην πρῶτος ὁ ἐν ἁγίοις Κύριλλος. Νεστορίου γὰρ κατὰ σχέσιν γενέσθαι τὴν ἕνωσιν τῶν ἐν Χριστῷ δύο φύσεων διδάσκοντος, αὐτὸς ἀντικαθιστάμενος τῇ τοιαύτῃ βλασφημίᾳ τὴν καθ' ὑπόστασιν εἰσήγαγε, δηλοῦσαν ὅτι κατὰ μίαν ὑπόστασιν, ἤγουν εἰς ἓν πρόσωπον, ἡνώθησαν. Ἓν πρόσωπον ἔσχον αἱ δύο φύσεις, καὶ οὐ δύο κατὰ τὸν λῆρον Νεστορίου. Λέγεται δὲ καὶ οὐσιώδης ἡ τοιαύτη ἕνωσις, ἤγουν ἀληθὴς, καὶ οὐ κατὰ φαντασίαν.

Καὶ ἄλλως δὲ καθ' ὑπόστασίν ἕνωσις ἐστιν ἡ τῶν ἑτερουσίων εἰς μίαν ὑπόστασιν σύνοδος, σωζομένης ἑκάστῳ καὶ μετὰ τὴν ἕνωσιν τῆς φυσικῆς ἰδιότητος.

A color. Quando igitur duo in Christo dicimus, non numero intelligimus duo, quoniam est unica persona, sed specie duo, hoc est, natura, quæ duplex in illo est. Dicit enim Gregorius Theologus, utrumque esse unum non natura, sed conjunctione, et Aristoteles materiam et formam unum esse dicit numero, specie autem duo. Duplicem hunc usum oportet proponere adversus eos, qui unius quidem speciei multi reperiri concedunt individua, duas autem species in uno individuo nec reperiri nec dici posse contendunt.

Idem dicitur vel essentia, seu, quod idem est, natura, ut Petrus et Paulus idem natura sunt: vel genere; utriusque enim genus est animal rationis expers; vel specie, ut Titus et Timotheus idem

B sunt specie: nam sub homine sunt ambo; vel numero, ut quod multa habet nomina: gladius enim, ensis, mucro idem numero, his enim unum subjicitur; vel analogia, seu convenientia, aut proportione, ut mens et oculus idem sunt proportione. Quod enim est oculus in corpore, idem est mens in animo; vel persona, ut in Christo; ejus enim diversæ naturæ persona idem sunt, sive unum.

Duas in Christo naturas cogitatione quidem dicimus esse discretæ quantitatis, ut quæ sola cogitatione dividantur, re autem dicimus eas esse quantitatis continuæ, ut quæ re ipsa non dividantur.

C Quæ diversa sunt, multis modis concursu mutuo possunt ita conjungi, ut unum sint. Vel mistione, ut in iis, quæ liquida sunt, qualia sunt vinum et aqua. Vel acervo, ut in iis, quæ sunt arida, quale est triticum et hordeum. Vel imbibitione, ut in humido et sicco, qualis est terra et aqua. Vel remistione ut in diversis farinis. Vel confusione, ut in iis, quæ liquefiunt, qualia sunt aurum et argentum, et cera et pix. Vel congruentia, ut in lapidibus. Vel appositione, ut in tabulis. Vel conjunctione, ut in lampade, quæ ex igne proficiscitur, et rursum conjungitur. Vel essentia, ut in individuis, quales sunt Petrus et Paulus, aut aliqui vel equi, vel boves, aut alia animalia. Vel habitu, ut in amicis et sententiis in unam voluntatem convenientibus. Vel

D compositione, ut in anima, et corpore. Vel persona, id, quod de sola divinitate et humanitate in Christo dicitur. Hoc autem conjunctionis genus primus tradidit sanctus Cyrillus, cum repugnaret Nestorio, qui duarum in Christo naturarum copulationem habitu fieri docebat. Exsecrandæ enim illius resistens opinioni, conjunctionem, quæ fit per hypostasim sive personam, induxit, qua duæ naturæ in una persona, non autem in duabus, ut nugis suis asserebat Nestorius, copulantur. Dicitur autem hæc et per essentiam conjunctio, quod vera sit, non autem sola opinione fingatur.

Aliter etiam ea, quæ diversæ sunt essentiæ per unam personam sic conjunguntur, ut unum sint sua, cuique vel post conjunctionem servata proprietate.

Quæ quidem conjunctio quadrat etiam animæ et corpori in unam coeuntibus personam, ut Damascenus edocuit.

Ejusdem dicitur esse personæ id, quod in una eademque persona cum alio a quo differre essentia conjungitur, ut in anima quoque fit et corpore.

Omnibus rebus immistus est Deus per potentiam, naturam cujusque regentem et conservantem, Filius autem et Deus cum humanitate assumpta mistus est per personam.

Qua ratione Patri conjunctus est Christus, eadem et nobis conjunctus est, per naturam nimirum. Et qua ratione differt a Patre, eadem a nobis etiam differt, nempe per personam, sibi autem per personam in unum copulatur, per naturam vero dividitur. Et cum Patre quidem et nobiscum est ejusdem naturæ, non autem ejusdem personæ, secum autem ipse ejusdem personæ, non autem ejusdem naturæ. In eo namque naturæ sunt duæ, et una duntaxat persona.

Quando id, quod compositum est, earum partium, ex quibus constat, nominibus appellare non possumus, tunc ipsam naturam unam absolute dicere consuevimus, ut corpus, quod ex quatuor constat elementis, terra, aqua, aere, et igne, cum proprie nec terram, nec aquam, nec aerem, nec ignem nominare possimus, quod hæc simplicia sint, illud compositum, unam ipsam naturam corporis appellamus. Sic item hominem, cum proprie nec animam, nec corpus, ex quibus compositus est, vocare valeamus, quod alia sit animæ, alia corporis, alia hominis definitio, unam ex utroque constantem naturam dicimus. Quanquam Scripturæ mos est, ut libertate Spiritus utens ex parte totum denominet. In Christo autem conjunctio est ejusmodi, ut verbis nequeat explicari, imo ne hominis quidem mente comprehendi. Neque enim aliam sibi personam Verbum adjunxit, sed naturam humanam ea ratione, quam ipse novit, assumpsit personæ suæ, et in se ipso, ut magis proprie dicam, supposuit. Quoniam autem ipsum, qui ex divinitate constat et humanitate, partium, quæ in ipso copulatæ sunt, nominibus proprie possumus appellare; proprie enim illum et Deum dicimus, et hominem proprie nominamus; merito propter antedictam causam duas ipsum naturas, non autem unam, ut cætera, quæ composita sunt, dicimus, nec tres; neque enim hominem duas dicimus naturas, licet in duabus, ut demonstratum est, naturis constet.

Omnis compositio ex partibus proxime componentibus nuncupatur. Itaque ut domum, non ex terra et aqua, sed ex lapidibus et lignis; hominemque non ex quatuor elementis, sed ex anima, et corpore componi dicimus; sic Christum ex divinitate et humanitate: non enim partium partes consideramus, sed eas partes solas, quæ proximæ et summæ sunt.

A Τοῦτο δὲ ἁρμόσειεν ἂν καὶ ἐπὶ ψυχῆς καὶ σώματος εἰς μίαν ἑνωθέντων ὑπόστασιν, ὡς ὁ Δαμασκηνὸς ἐδίδαξεν.

Ὁμοϋπόστατόν ἐστι τὸ εἰς μίαν καὶ τὴν αὐτὴν ὑπόστασιν ἄλλῳ συντεθειμένον, διαφέρον δὲ πρὸς τὸ αὐτὸ κατὰ τὴν οὐσίαν, ὡς ἐπὶ ψυχῆς καὶ σώματος.

Πᾶσι μὲν ἐγκέκραται ὁ Θεὸς κατὰ τὴν συνεκτικὴν δύναμιν τῆς ἐν ἑκάστῳ φύσεως, ὁ δὲ Υἱὸς καὶ Θεὸς τῷ προσλήμματι καθ' ὑπόστασιν ἐγκαταμέμικται.

Ὧ λόγῳ ὁ Χριστὸς ἥνωται τῷ Πατρὶ, τούτῳ καὶ ἡμῖν· κατὰ τὴν φύσιν γάρ καὶ ᾧ λόγῳ διῄρηται τοῦ Πατρὸς, τούτῳ καὶ ἡμῶν· κατὰ τὴν ὑπόστασιν γάρ· B ἑαυτῷ δὲ κατὰ μὲν τὴν ὑπόστασιν ἥνωται, κατὰ δὲ τὴν φύσιν διῄρηται. Καὶ ἔστι τῷ μὲν Πατρὶ καὶ ἡμῖν ὁμοφυὴς, οὐ μὴν ὁμοϋπόστατος· ἑαυτῷ δὲ ὁμοϋπόστατος, οὐ μὴν ὁμοφυής. Διότι αἱ μὲν φύσεις ἐν αὐτῷ δύο, μία δὲ ἡ ὑπόστασις.

Τὸ δὲ σύνθετον μηκέτι δυνάμεθα κυρίως καλεῖν τοῖς ὀνόμασι τῶν μερῶν, ἐξ ὧν συνετέθη. Τότε μίαν αὐτῷ φύσιν ἀπολύτως λέγειν εἰώθαμεν· οἷον τὸ ἐκ τεσσάρων στοιχείων συγκείμενον οἱονδήποτε σῶμα, γῆς, ὕδατος, ἀέρος, πυρὸς, μὴ δυνάμενοι κυρίως καλεῖν ἢ γῆν, ἢ ὕδωρ, ἢ ἀέρα, ἢ πῦρ, ταῦτα μὲν γὰρ ἁπλᾶ, ἐκεῖνο δὲ σύνθετον, μίαν αὐτὸ φύσιν σώματος ὀνομάζομεν. Οὕτω δὲ λοιπὸν καὶ τὸν ἄνθρωπον, C ἐπείπερ οὐ δυνάμεθα κυρίως καλεῖν ἢ ψυχὴν, ἢ σῶμα, ἐξ ὧν συνετέθη, ἄλλο γὰρ ὅρος ψυχῆς, καὶ ἄλλο σώματος, καὶ ἄλλο ἀνθρώπου τοῦ ἐξ ἀμφοῖν, μίαν φύσιν τοῦτον προσαγορεύομεν· εἰ καὶ σύνηθες τῇ Γραφῇ πολλάκις τῇ ἐλευθερίᾳ κεχρημένῃ τοῦ Πνεύματος ἐκ τοῦ μέρους τὸ ὅλον ὀνομάζειν. Ἐπὶ δὲ τοῦ Χριστοῦ ἄφραστος μὲν ἡ ἕνωσις· οὐ γὰρ ἂν ἐφίκοιτο ταύτης ἀνθρώπινος νοῦς. Οὐδὲ γὰρ ὑπόστασιν ἑτέραν ὁ Λόγος ἥνωσεν ἑαυτῷ, ἀλλὰ φύσιν ἀνθρωπίνην, ὡς μόνος αὐτὸς οἶδε, τῇ ἑαυτοῦ ὑποστάσει ἥνωσε, καὶ ἐν ἑαυτῷ, κυριώτερον εἰπεῖν, ὑπέστησεν. Ἐπεὶ δὲ αὐτὸν ἐκ θεότητος καὶ ἀνθρωπότητος ὄντα δυνάμεθα κυρίως καλεῖν τοῖς ὀνόμασι τῶν ἑνωθέντων μερῶν, Θεὸν γὰρ αὐτὸν λέγομεν κυρίως, καὶ ἄνθρωπον αὐτὸν ὀνομάζομεν κυρίως· D εἰκότως ἄρα καὶ δύο φύσεις αὐτὸν προσαγορεύομεν, καὶ οὔτε μίαν, ὡς τἄλλα συντεθέντα διὰ τὴν προαποδοθεῖσαν αἰτίαν, οὔτε τρεῖς. Οὐ γὰρ δύο φύσεις ὁ ἄνθρωπος λέγεται, εἰ καὶ ἐκ δύο φύσεων σύγκειται, καθὼς ἀποδέδεικται.

Πᾶσα σύνθεσις ἐκ τῶν προσεχῶς συντεθέντων συντεθεῖσθαι λέγεται. Ὥσπερ γὰρ τὸν οἶκον οὐ λέγομεν ἐκ γῆς καὶ ὕδατος, ἀλλ' ἐκ λίθων καὶ ξύλων συντεθεῖσθαι, ὁμοίως δὲ καὶ τὸν ἄνθρωπον οὐχ ἐκ τῶν τεσσάρων στοιχείων, ἀλλ' ἐκ σώματος καὶ ψυχῆς· οὕτω καὶ τὸν Χριστὸν ἐκ θεότητος καὶ ἀνθρωπότητος, οὐ τὰ μέρη τῶν μερῶν σκοποῦντες, ἀλλὰ μόνα τὰ προσεχέστερα μέρη καὶ κεφαλαιωδέστερα.

Εἰ ὁ ἄνθρωπος ἐν δυσὶ φύσεσι, σώματος, λέγω, καὶ ψυχῆς, ὁ Χριστὸς ἄρα ἐν τρισὶν ἔσται φύσεσιν. Ἀλλὰ μίαν ἔχει φύσιν ὁ ἄνθρωπος. Ἄλλη μὲν γὰρ φύσις σώματος, καὶ ἄλλη ψυχῆς λογικῆς, ὧν ἡ σύνοδος μίαν ἀποτελεῖ φύσιν τοῦ ἀνθρώπου. Καὶ μέχρι μὲν ἂν ἥνωται, λέγεται ἄνθρωπος, διαζευγνυμένων δὲ, οὐκ ἔτι, ἀλλὰ τὸ μὲν σῶμα, τὸ δὲ ψυχὴ λογική. Μίαν τοίνυν ἔχει φύσιν ὁ ἄνθρωπος σύνθετον.

Si homo constat ex corpore et anima, ut duabus naturis, Christus utique ex tribus naturis constabit. At unicam habet homo naturam. Nam licet alia corporis natura sit, alia animæ ratione præditæ, horum tamen congressio naturam unam hominis conficit. Et quandiu conjuncta manent, homo dicitur; posteaquam sejuncta sunt, non amplius homo, sed pars una cadaver, altera anima ratione prædita. Unam igitur habet homo naturam compositam.

Εἰ περ ἴδιον τοῦ Λόγου τὸ πρόσλημμα, πάντως ἄρα καὶ τὰ τοῦ ἰδίου προσλήμματος οὗτος ἰδιοποιήσεται, εἰ καὶ μὴ ὑπόκειται τούτοις· καὶ μεταδώσει τούτῳ τῶν ἑαυτοῦ, εἰ καὶ μὴ οὕτως, ὡς αὐτὸς ταῦτα κέκτηται. Τοῦτο δὲ τρόπον ἀντιδόσεως καλοῦμεν, περιχωρουσῶν εἰς ἀλλήλας τῶν φύσεων, καὶ τὰ ἀλλήλων ἰδιοποιουμένων. Εἰ δὲ καὶ περιχωρεῖν εἰς ἀλλήλας, καὶ ἐν ἀλλήλαις ταύτας φαμὲν, ἀλλ' οὖν ἐκ τῆς θείας φύσεως ἡ περιχώρησις κυρίως. Αὕτη μὲν γὰρ διὰ πάντων τῶν κτισμάτων ὡς βούλεται διήκει, διὰ δὲ ταύτης οὐδέν.

Si assumpta humanitas est Verbi propria, quæ humanitatis assumptæ propria sunt, erunt etiam Verbi propria, licet eis se ipsum non subjiciat, sed illi communicet, quæ sua sunt, quamvis non eo modo, quo ea a se possidentur. Hanc autem mutuæ tributionis rationem vocamus, qua naturæ se vicissim capiunt, et quæ utrique propria sunt, sibi mutuo tribuunt. Ac tametsi vicissim ac mutuo has inter se commeare dicimus, hoc tamen ex divina proprie natura pendet, quæ per omnia transit, et commeat et penetrat, uti vult, per illam autem nihil.

Τρία σημαίνει ἡ ἀντίδοσις, ἓν μὲν τὴν τῶν ὀνομάτων, ὡς ὅταν τὸν ἄνθρωπον λέγωμεν Θεὸν, καὶ τὸν Θεὸν ἄνθρωπον· ἕτερον δὲ τὴν τῶν πραγμάτων, ἥτις ἐστὶ διττὴ, ἡ μὲν ἴση καὶ ἀνόμοιος, ὡς ἐπὶ τοῦ ἐνανθρωπισθέντος Θεοῦ, καὶ τοῦ θεωθέντος ἀνθρώπου. Εἰ γὰρ καὶ τοσοῦτον ἐθεώθη ὁ προσληφθεὶς ἄνθρωπος, ὅσον ἐνηνθρώπησεν ὁ προσλαβὼν Θεὸς, κατὰ σῶμα γὰρ, καὶ ψυχὴν, καὶ νοῦν καὶ ἡ ἐνανθρώπησις, καὶ ἡ θέωσις· ἀλλ' οὐχ ὁμοίως. Ὁ μὲν γὰρ φύσει γέγονεν ἄνθρωπος, ὁ δὲ θέσει Θεός. Ἡ δὲ ὁμοία καὶ ἄνισος, ὡς ἐπὶ τῆς ἐμπνευσθείσης τῷ ἀνθρώπῳ παρὰ Θεοῦ ψυχῆς, καὶ τῆς δανεισθείσης τῷ Θεῷ καὶ Λόγῳ παρὰ ἀνθρώπου σαρκός. Εἰκὼν μὲν γὰρ Θεοῦ καὶ ὁμοία κατὰ τὸ δυνατὸν ἡ ψυχὴ λέγοιτ' ἂν, ἴση δὲ οὐδαμῶς. Καὶ τότε μὲν τοῦ κρείττονος μετέδωκεν, ὕστερον δὲ μετέλαβε τοῦ χείρονος. Σημειωτέον δὲ ὅτι ποτὲ μὲν τὸν Θεὸν ἄνθρωπον λέγομεν, ποτὲ δὲ τὸν ἄνθρωπον Θεόν· τὴν θεότητα δὲ ἄνθρωπον, ἢ τὴν ἀνθρωπότητα Θεὸν οὐδαμῶς.

Hæc mutua tributio vel in nominibus consideratur, ut cum hominem dicimus Deum, et Deum hominem, vel in rebus, et hæc est duplex. Nam aut æqualis est et dissimilis, ut in Deo homine facto, et in homine facto Deo. Licet enim tantum assumptus homo factus sit Deus, quantum Deus hominem assumens factus est homo; per corpus enim et animam, et mentem utroque factum est; non similiter tamen : Deus enim per naturam factus est homo, homo autem per gratiam Deus. Aut similis et inæqualis, ut in anima a Deo homini data, ut in carne ab homine Deo et Verbo tributa. Imago enim Dei est, et quoad fieri potest, Deo similis anima, æqualis autem nullo modo. Et tunc quidem id dedit, quod præstantius erat, post autem id, quod erat deterius, accepit. Verum animadvertendum est, quamvis aliquando dicamus Deum hominem, aliquando hominem Deum, divinitatem tamen hominem, aut humanitatem Deum nos nunquam dicere.

Οὐκ ἔστιν εὑρεῖν εἰκόνα παραστατικὴν τοῦ προκειμένου· πειρασόμεθα δέ τινα παραγαγεῖν, μετρίαν μὲν ὡς πρὸς τὸ μέγεθος τοῦ μυστηρίου, τῶν δὲ λοιπῶν ἀληθεστέραν εἰς ἐμφέρειαν. Ὥσπερ γὰρ εἰ πεπυράκτωτο μὲν ὅλος ἀὴρ, μᾶλλον δὲ εἰ πῦρ ἦν, κόκκος δέ τις σιδηροῦς ἐνετέθη τούτῳ, ἀνάγκη καὶ τοῦτον πρὸς τὸ ἐπικρατοῦν πεποιῶσθαι τοσοῦτον ὡς μὴ δοκεῖν ἕτερον εἶναι διὰ τὸ πῦρ, εἰ καὶ ὁ τῆς οὐσίας αὐτῷ λόγος ὑφίστατο· οὕτως ἡ ἀνθρωπίνη φύσις ἑνωθεῖσα τῇ τοῦ Θεοῦ κατεκρατήθη τοσοῦτον, ὡς μὴ δοκεῖν ἔτι φύσιν ἀνθρώπου μένειν. Διὰ τοῦτο καὶ οἱ Πατέρες τεθεῶσθαι ταύτην εἰρήκασι πρὸς τὸ ἐπικρατοῦν ἀποβλέψαντες. Ὅθεν καὶ μία τούτων ἡ προσκύνησις διὰ τὴν μίαν τούτων ὑπόστασιν καὶ ἀδιαίρετον ἕνωσιν.

Etsi nullum potest exemplum excogitari, quod plane rem propositam exprimat, nos tamen aliquod afferre conabimur, quod quidem, si rei magnitudini minus respondebit, apposite tamen utcunque veritatem adumbrabit. Quemadmodum si totus exardescat aer vel potius sit totus ignis, exiguum autem ferri frustulum in illum conjiciatur, necesse quidem erit illud sic affici, ut nihil aliud, quam ignis esse videatur, attamen illi essentiæ ratio permanebit : eodem modo natura humana divinæ conjuncta, sic ab illa comprehensa est et superata, ut non amplius natura hominis esse videatur. Et hac de causa Patres nostri, quod exsuperat et dominatur, intuentes, illam Deum esse factam dixerunt Ideoque propter unam horum personam et indissolubilem conjunctionem, unum item his adorationis cultum deberi.

Personarum in Christo differentiam non admittimus, ne quartam personam in sancta Trinitate confingamus. Naturarum autem agnoscimus differentiam, ne carnem ejusdem per naturam essentiæ cum Christo credamus esse.

Si tres essent æreæ statuæ, quarum una auro aut cera undique illineretur, aliquodne damnum hæc in propria essentia faceret, an duas naturas veras et integras, suam nimirum unam, et aliam illitam et adjunctam conservaret, cum tamen ob id non quatuor evaderent statuæ, sed tres omnino ut antea permanerent? Hoc modo, ut ex parvis magna conjiciamus, et obscuris quibusdam simulacris veritatem pervestigemus, duas in Christo naturas et unam personam considera, ut nulla Trinitati propter humanitatis naturam assumptam fiat accessio. Natura enim est assumpta, non autem persona. Itaque post ejus etiam assumptionem mansit una divinitas, et trinitas personarum.

Non per mutationem, aut inversionem, aut confusionem animata Domini caro divina dicitur facta, et nominatur Deus, sed propter summam personæ conjunctionem. Nam et Deus dicitur factus homo, propterea quod humanitati conjunctus est, et Deus ipse, et ejus humanitas divina dicitur propter verissimam item illius in persona copulationem. Post hanc autem copulationem naturæ non confusæ cum suis proprietatibus manserunt. Aurum enim illitum ligno idem permanet. Lignum vero et auri dignitatem lucratur, nec desinit esse lignum, nec propriam naturam derelinquit.

Verbum et Deus aut universum, aut singularem assumpsit hominem. Si universum, oculis non cerneretur. Natura enim universa non est conspicua. Præterea multas haberet personas: plures enim genus universum complectitur. Nec ejusdem esset nobiscum essentiæ. Nos enim sumus individua. Et multa ejusmodi incommoda sequerentur. Sin hominem assumpsit singularem, duas deprehendetur habere personas. Reliquum igitur est, ut neutrum assumpserit, sed singularis, hoc est, individui naturam hominis, cujus ipse persona fuit. Singularis autem hominis natura communis quidem est, sed in individuo. Singularem vero dicimus hominem, ut individuum speciei, non animam solam, aut corpus solum, sed quod ex utroque conficitur.

Quæ in natura humana sunt a vitio reprehensioneque aliena, ea Christus partim supra homines accepit, partim ut homines, partim abjectius quam homines. Supra homines fuit, quod sine semine conceptus est, quod ex Virgine natus, et cætera horum similia. Hominum more fuit, quod divinæ Genitricis uterum infantulus tumefecit, quod novem mensium spatio natus est, quod hausit lac, quod ploravit, et id genus alia. Abjectius et humilius, quam pro hominum consuetudine fuit, quod ejus

A Διαφορὰν μὲν ὑποστάσεων οὐ λέγομεν ἐπὶ τοῦ Χριστοῦ, ἵνα μὴ προσθήκην τετάρτου προσώπου τῇ ἁγίᾳ Τριάδι ἐπινοήσωμεν· διαφορὰν δὲ φύσεων λέγομεν, ἵνα μὴ τῷ Λόγῳ κατὰ τὴν φύσιν ὁμοούσιον τὴν σάρκα πρεσβεύσωμεν.

Εἰ τρεῖς ἦσαν ἀνδριάντες χαλκοῖ, τούτων δὲ εἷς ἐπεχρίσθη χρυσῷ ἢ κηρῷ διόλου, πότερον ἐβλάβη περὶ τὴν ἰδίαν οὐσίαν οὗτος, ἢ σώζει τὰς δύο φύσεις ἀκεραίους καὶ ἀλωβήτους, καὶ τὴν ἑαυτοῦ, καὶ τὴν ἐπιχρισθεῖσαν αὐτῷ, καὶ οὐδὲ τέσσαρες πάντως ἀνδριάντες παρὰ τούτῳ γεγόνασιν; Οὐκοῦν τῷ αὐτοῦ παραδείγματι, ὡς ἐκ τῶν μικρῶν τὰ μεγάλα στοχάσασθαι, καὶ ἀμυδραῖς τισιν εἰκόσι τὴν ἀλήθειαν ἐνοπτρίσασθαι, νόει καὶ ἐπὶ τοῦ Χριστοῦ δύο μὲν τὰς φύσεις, μίαν δὲ τὴν ὑπόστασιν, καὶ οὐδὲ
B προσθήκη τῇ Τριάδι ἐπιγενήσεται διὰ τὴν προσληφθεῖσαν φύσιν τῆς ἀνθρωπότητος. Καὶ ἄλλως γὰρ φύσις, οὐχ ὑπόστασις προσελήφθη. Καὶ τριὰς οὖσα ὑποστάσεων, οὐχὶ φύσεων, ἡ μία θεότης πάλιν ἔμεινε καὶ μετὰ τὴν ἕνωσιν τριὰς ὑποστάσεων.

Οὐ κατὰ μεταβολὴν φύσεως, ἢ τροπὴν, ἢ ἀλλοίωσιν, ἢ σύγχυσιν ἡ τοῦ Κυρίου ἔμψυχος σὰρξ τεθεῶσθαι λέγεται, καὶ Θεὸς ὀνομάζεται, ἀλλὰ διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν καὶ ἀκροτάτην συνάφειαν. Καὶ ἄνθρωπος μὲν γὰρ γεγενῆσθαι λέγεται ὁ Θεὸς, διὰ τὸ ἑνωθῆναι ἀνθρωπότητι· καὶ Θεὸς, καὶ ὁμόθεος ἡ ἀνθρωπότης αὐτοῦ, διὰ τὴν πρὸς αὐτὸν ὁμοίως ἀκραιφνεστάτην καὶ καθ' ὑπόστασιν ἕνωσιν. Μεμενήκασι δὲ καὶ μετὰ τὴν τοιαύτην ἕνωσιν αἱ φύσεις ἀσύγχυτοι, καὶ μετὰ τῶν οἰκείων
C ἰδιοτήτων. Τὸ γάρ τοι χρυσίον ἐπαληλιμμένον τῷ ξύλῳ μεμένηκεν ὅπερ ἦν. Καὶ κατακλουτεῖ μὲν τὸ ξύλον τοῦ χρυσίου τὴν δόξαν, οὐκ ἀπέστη δὲ τοῦ εἶναι ξύλον, οὐδὲ τῆς οἰκείας φύσεως.

Τὸν καθόλου ἄνθρωπον, ἢ τὸν μερικὸν ὁ Θεὸς καὶ Λόγος ἀνέλαβεν. Εἰ μὲν οὖν τὸν καθόλου, οὐκ ἂν ἦν ὁρατός· ἡ γὰρ καθόλου φύσις ἀόρατος· ἀλλὰ καὶ ὑποστάσεις ἂν εἶχε πολλάς· κατὰ πλειόνων γὰρ τὸ καθόλου· καὶ οὐδ' ἂν ἡμῖν ἦν ὁμοούσιος. Ἄτομοι γὰρ ἡμεῖς, καὶ πολλὰ ταῦτα συνέβαινεν ἄτοπα. Εἰ δὲ τὸν μερικὸν, δύο εὑρεθήσεται ἔχων ὑποστάσεις. Λοιπὸν οὖν οὐδέτερον ἀνέλαβεν, ἀλλὰ φύσιν μερικοῦ ἀνθρώπου, τουτέστιν ἀτόμου, γενόμενος αὐτὸς ὑπόστασις ταύτης. Ἡ δὲ τοῦ μερικοῦ ἀνθρώπου
D φύσις κοινὴ μέν ἐστιν, ἐν ἀτόμῳ δέ. Μερικὸν δὲ ἄνθρωπον λέγομεν, ὡς ἄτομον εἴδους, οὐχ ὡς ψυχὴν μόνον, ἢ σῶμα μόνον, ἐξ ὧν ὁ ἄνθρωπος.

Τῶν φυσικῶν καὶ ἀδιαβλήτων πραγμάτων τῆς ἀνθρωπίνης φύσεως τὰ μὲν ὑπὲρ ἄνθρωπον ἔσχε Χριστὸς, τὰ δὲ κατὰ ἄνθρωπον, τὰ δὲ ἀνθρώπου ταπεινότερον. Καὶ ὑπὲρ ἄνθρωπον μὲν τὸ ἄνευ σπορᾶς συλληφθῆναι, τὸ ἐκ Παρθένου γεννηθῆναι, καὶ τὰ τοιαῦτα· κατὰ ἄνθρωπον δὲ τὸ τὴν τῆς Θεοτόκου κοιλίαν ὡς βρέφος ἐξογκῶσαι, τὸ ἐννεαμηνιαῖον ἀποτεχθῆναι, τὸ γαλακτοτροφηθῆναι, τὸ κλαυθμυρισθῆναι, καὶ τὰ τούτοις ἑπόμενα. Ἀνθρώπου δὲ ταπεινότερον τὸ φανῆναι τὸ εἶδος αὐτοῦ ἐν τῷ σταυρῷ ἄτιμον, καὶ

ἐκλεῖπον ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ὡς Ἡσαΐας φησί. Καὶ τὸ πρὸ τῶν συσταυρωθέντων αὐτῷ λῃστῶν τεθνηκέναι ἀπὸ τῆς ὀδύνης τῶν ἥλων, εἰ δὲ βούλει καὶ τὸ μετὰ τὴν ἀνάστασιν ἐν εὐτελεῖ μορφῇ κηπουροῦ ὀφθῆναι, καὶ τὸ τοὺς μώλωπας καὶ τύπους τῶν τραυμάτων τοῖς ἀποστόλοις ἐνδείκνυσθαι, καὶ τὸ μετὰ τὴν ἀνάστασιν ἐσθίειν. Πάντες γὰρ οἱ ἄνθρωποι μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἐκλάμψουσιν ὡς ὁ ἥλιος, καὶ οὐδεὶς ἕξει σωματικὰ τηνικαῦτα τραύματα, ἢ τύπους τραυμάτων, οὐδὲ προσδεήσεται βρώσεως.

Ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεὸς αὐτὸς λέγεται καὶ συλληφθῆναι, καὶ γεννηθῆναι, καὶ διδάσκειν, καὶ θαυματουργεῖν, καὶ ἁπλῶς εἰπεῖν, τὰ μὲν δρᾶσαι, τὰ δὲ παθεῖν, ἀποθανεῖν, καὶ ἀναστῆναι. Διότι αὐτὸς γέγονεν ὑπόστασις τῷ προσλήμματι, μὴ ὄντι διὰ τὸ ἄσπορον ἰδιοϋποστάτῳ. Ἐπεὶ οὖν ἡ τοῦ προσλαβόντος ὑπόστασις αὐτὴ καὶ τοῦ προσλήμματός ἐστιν ὑπόστασις, αὐτὸς λέγεται καὶ ἐνεργεῖν, καὶ πάσχειν, ὡς ἓν πρόσωπον ὤν· ἐνεργεῖν δὲ τὰ ἀνθρώπινα καὶ πάσχειν κατὰ τὴν φύσιν τοῦ προσλήμματος. Ὅθεν καὶ οἰκειοῦται τὰ τοῦ οἰκείου, ὡς αὐτὸς ὢν ὑπόστασις αὐτοῦ καὶ πρόσωπον, ὡς δεδήλωται.

Θεὸν μὲν ἐνανθρωπήσαντα, καὶ Θεὸν σαρκὶ παθόντα φαμὲν, θεότητα δὲ ἐνανθρωπήσασαν, ἢ σαρκὶ παθοῦσαν οὐ λέγομεν, εἰ μέλλοιμεν κυριολεκτεῖν· ὅτι καὶ ἡ Παρθένος Θεὸν μὲν ἐγέννησεν, ἀλλὰ θεότητος ὑπόστασιν μίαν σεσαρκωμένην, ἥτις ἐστὶν ὁ Υἱὸς, ἵνα ὁ ἄνω Υἱὸς εἴη καὶ κάτω υἱὸς, καὶ ἡ ἰδιότης μείνῃ ἀκίνητος. Τὸ γὰρ γεννᾶσθαι, οὐ φύσεως, ἀλλ' ὑποστάσεως ἦν. Εἰ γὰρ φύσεως ἦν, οὐκ ἂν ἐν τῇ αὐτῇ φύσει τὸ γεννητὸν ἐθεωρεῖτο, καὶ τὸ ἀγέννητον. Ἐπεὶ δὲ τὸν Χριστὸν ἐγέννησεν, ὅστις ἐστὶ Θεὸς καὶ ἄνθρωπος, ἐκ τοῦ κρείττονος καὶ κυριωτέρου μέρους Θεοτόκος ἐπωνομάσθη. Ἄλλως τε καὶ ἡ τοῦ προσλήμματος ὑπόστασις θεία ἦν, καὶ τὸ πρόσλημμα δὲ ἐξ αὐτῆς ἑνώσεως ἐθεώθη.

ΤΙΤΛΟΣ Η'.

Κατὰ Ἑβραίων. Ἐκ τῆς λεγομένης εἶναι τοῦ Νύσσης βίβλου τῆς προσαγορευομένης Θεογνωσίας τὰ ὑποτεταγμένα πάντα συνελέγησαν κεφάλαια μέχρι τῶν Χρυσοστομικῶν. Τὸ μέντοι πέμπτον τούτων τοῦ μεγάλου Βασιλείου ἐστίν.

Ὁ νόμος μὲν, καὶ οἱ προφῆται, ὧν ἦν Χριστὸς πλήρωμα, τὰ περὶ τούτου πάντα λεπτομερῶς ἀνεγράψαντο, καὶ μὴν καὶ περὶ τῆς ἁγίας Τριάδος. Παρεντέθεινται δὲ σποράδην, καὶ ἀσαφείᾳ συνεσκιάσθησαν τὰ πολλὰ κατὰ θείαν πρόνοιαν, ἵνα μὴ νηπιόφρονες ἔτι ὄντες Ἰουδαῖοι, καὶ μήπω νοεῖν ὑψηλότερα δυνάμενοι, εἰς ἀναξίας ὑπολήψεις ἐκκλίνωσι, καὶ πάθεσι τὸ ἀπαθὲς ἀπαγάγωσι. Καὶ γὰρ ἐν Χωρὴβ τοῦ Θεοῦ λαλεῖν πρὸς αὐτοὺς ἀρξαμένου, παρῃτήσαντο τὴν τοιαύτην φωνὴν δι' οἰκείαν ἀσθένειαν, εἰπόντες· *Οὐ προσθήσομεν ἀκοῦσαι τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν, καὶ τὸ πῦρ τὸ μέγα οὐκ ὀψόμεθα ἔτι, οὐδ' οὐ μὴ ἀποθάνωμεν.* Καὶ εἶπε

species in cruce turpis apparuit, et cum ignominia, et *deficiens*, ut inquit Isaias, *supra filios hominum;* quodque prius quam latrones, qui simul in crucem acti erant, præ clavorum dolore mortuus est; adde et illud, si placet, quod sub humili forma hortulani se post resurrectionem conspiciendum præbuit, et apostolis cicatrices et loca vulnerum ostendit, quodque cibum cepit. Nam reliqui homines, posteaquam fuerint in vitam revocati, fulgebunt ut sol, nec ullus eorum ejusmodi cicatrices in corpore, aut vulnerum loca retinebit, nec comedet.

Filius Dei atque idem Deus, et conceptus, et natus esse dicitur, et docuisse, et res admirandas fecisse, et, ut paucis omnia complectar, tum egisse, tum passus esse et mortuus, et surrexisse. Quoniam assumptæ carnis ipse fuit persona, quæ quidem caro sine semine genita nullam aliam propriam personam habuit. Quocirca cum assumentis et assumptæ humanæ naturæ una sit eademque persona, ipse dicitur et agere et pati ex ejus, quod assumpsit, natura. Et quæ illius propria sunt, sibi ascivit ut propria, quippe qui sit ejus hypostasis atque persona, ut demonstravimus.

Deum humanitatem induisse et in carne passum esse dicimus. Divinitatem vero nec humanitatem assumpsisse, nec passum esse dicimus, si volumus proprie loqui. Nam et Virgo Deum quidem genuit, divinitatem autem non genuit. At una divinitatis persona naturam assumpsit humanam. Hic autem est Filius Dei, ut qui in cœlis est Filius, Filius item esset in terris, et proprietas immobilis permaneret. Gigni enim non naturæ fuit, sed personæ. Etenim si fuisset naturæ, non in eadem natura et genitum et ingenitum exstitisset. Verum quia virgo genuit Christum, qui Deus est et homo, a parte præstantiori et excellentiori Dei Genitrix appellatur. Quanquam et assumptæ naturæ persona divina est, et assumpta natura propter ipsam conjunctionem divina est reddita.

TITULUS VIII.

In Hebræos. Omnia quæ sequuntur capita, usque ad illa quæ collegimus ex Chrysostomo, sumpta sunt ex libro qui inscribitur De cognitione Dei, cujus auctor esse fertur Gregorius Nyssæ pontifex, excepto quinto, quod est Basilii Magni.

Lex et prophetæ, quorum plenitudo Christus est, omnia, quæ tum ad ipsum Christum, tum etiam ad sanctam pertinent Trinitatem, subtiliter perscripserunt. Sed divina factum est providentia, ut multa fuse sparsa disseminataque sint, et obscure posita, ne cum adhuc essent infantes Judæi, nec quæ sublimiora sunt possent percipere, ad indignas opiniones declinarent, et quod ab omni affectione remotissimum est, affectionibus obnoxium arbitrarentur. Etenim cum Deus in Horeb eos alloqui cœpisset, ejusmodi oratione suam imbecillitatem excusarunt: *Non pergemus*, inquientes, *audire vocem Domini Dei nostri, nec ignem hunc magnum*

videbimus amplius, ne moriamur. Et dixit Dominus ad me (hæc sunt verba Moysis scribentis [1]) : *Bene omnia sunt locuti. Prophetam suscitabo eis de medio fratrum suorum similem tibi, et ponam verba mea in ore ejus, et loquetur eis omnia, quæ præcepero illi* [2]. Hæc quidem ita se habent. Verborum autem hæc est sententia : Quoniam ipsi me nequeunt audire, *prophetam suscitabo eis*, (et, quæ sequuntur) qui nuntiabit illis ea; quæ, ut nunc quidem res est, intelligere non possunt. Quæ nimirum ad Patrem, et Filium, et Spiritum sanctum, et ad divinam humanæ naturæ pertinent assumptionem, et alia quæ per Evangelium promulgata sunt. Illud enim, *similem tibi*, similitudinem in legibus sanciendis potissimum indicat. At Jesus Nave neque ad talia visa et oracula, ut Moyses, admissus est, neque legislator, ut ille, fuit, neque tantam iniit gratiam, quantam ille.

Christus vero cum is fuerit, in reliquis, uti Dominus, antecelluit. Quod autem filius Nave non sit ille propheta, quem Deus pollicitus est, ita collige : Dixit Moyses ad populum in Deuteronomio : *Prophetam e fratribus nostris suscitabit tibi Dominus Deus tuus.* At filius Nave multo ante per manus Moysis a Deo fuerat declaratus, ut in Levitico legimus. Alius ergo præter hunc erat suscitandus. Judæi vero quæ in Deuteronomii fine post mortem Moysis scripta sunt, videntur ignorare. Sic autem habent : *Nondum surrexit propheta in Israele sicut Moyses, quem novit Dominus facie ad faciem* [3]. Consentaneum quidem erat, ut cum Deus Moysi dixisset, se prophetam suscitaturum eis, tunc ipse Moyses populo denuntiaret. At cum id in Horeb accepisset, postea in Deuteronomio ad populum refert dedita opera exspectans Jesu filii Nave declarationem, ne hunc esse prophetam illum similem sibi suspicarentur. Posteaquam vero declaratus est Nave filius, tum demum illud populo exhibuit. Et de hoc quidem hactenus. Cum autem innumerabilia prope loca sint in sacra Scriptura, quæ vel ante denuntiant ea, quæ ad Christum pertinent, vel indicant illa, quæ ad sanctam spectant Trinitatem, nos omittemus multa, et ea præcipue, quæ isti maligne detorquentes conantur aliter interpretari, ne improbe contradicendi occasionem præbeamus : *Omnes enim Israelitæ*, ut inquit Ezechiel [4], *sunt contentiosi et duri corde*, pauca tantum eaque adeo perspicua, ut refutari nequeant, proponemus, quæ vel persuadeant, vel eos pertinaces, et obstinatos, atque dementes esse convincant.

A *Κύριος πρός με*, φησὶν ὁ ταῦτα γράψας Μωσῆς· *Ὀρθῶς πάντα ὅσα ἐλάλησα. Προφήτην ἀναστήσω αὐτοῖς ἐκ τῶν ἀδελφῶν αὐτῶν, ὥσπερ σὲ, καὶ δώσω τὸ ῥῆμά μου ἐν τῷ στόματι αὐτοῦ, καὶ λαλήσει αὐτοῖς, καθότι ἂν ἐντείλωμαι αὐτῷ.* Ταῦτα μὲν οὕτως· ὁ δὲ νοῦς τῶν ῥημάτων, ὅτι Ἐπειδήπερ οὐ δύνανται νῦν ἀκούειν, *προφήτην ἀναστήσω αὐτοῖς*, καὶ τὰ ἑξῆς, ὃς ἀναγγελεῖ αὐτοῖς ὅσα τόγε νῦν ἔχον οὐκ ἰσχύουσι παραδέξασθαι. Ἐκ τούτων οὖν εἰσι τὰ περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, καὶ τὰ περὶ τῆς θείας ἐνανθρωπήσεως, καὶ ἁπλῶς ὅσα διὰ τοῦ Εὐαγγελίου νενομοθέτηται. Τὸ γὰρ *ὥσπερ σὲ*, τὴν ὁμοίωσιν κατὰ τὸ νομοθετεῖν ἐμφαίνει μᾶλλον. Ἀλλ' Ἰησοῦς μὲν ὁ τοῦ Ναυῆ οὔτε τοιαύτης οἵας ὁ Μωϋσῆς ἠξιώθη θεοφανείας, οὔτε νομοθέτης, ὡς ἐκεῖνος, ἐγέ- B νετο, οὔτε χάριν εὗρεν ὅσην ἐκεῖνος.

Ὁ δὲ Χριστὸς κατὰ τὸ νομοθετεῖν ὅμοιος ἐκείνῳ γενόμενος, τἄλλα πάντα διαφερόντως ὡς Δεσπότης ὑπέρκειται. Ὅτι δὲ οὐχ ὁ τοῦ Ναυῆ υἱὸς ἦν ὁ ἀναστησόμενος προφήτης, ἄκουσον. Εἴρηκε Μωϋσῆς ἐν τῷ Δευτερονομίῳ πρὸς τὸν λαὸν, ὅτι *Προφήτην ἀναστήσει Κύριος ὁ Θεός σου ἐκ τῶν ἀδελφῶν ἡμῶν*, καὶ τὰ ἑξῆς. Ὁ δὲ τοῦ Ναυῆ πρὸ πολλοῦ ἦν κεχειροτονημένος ὑπὸ τοῦ Θεοῦ διὰ τῶν χειρῶν Μωϋσέως, ὡς τὸ Λευϊτικὸν ἱστορεῖ. Λοιπὸν οὖν ἕτερος ὁ ἀναστησόμενος παρὰ τὸν ἀναστάντα. Ἀλλ', ὡς ἔοικεν, ἀγνοοῦσιν οἱ Ἰουδαῖοι τὸ γεγραμμένον κατὰ τὸ C συμπέρασμα τοῦ Δευτερονομίου μετὰ τὸν θάνατον τοῦ Μωϋσέως, ὅτι καὶ *Οὐκ ἀνέστη ἔτι προφήτης ἐν Ἰσραὴλ ὡς Μωϋσῆς, ὃν ἔγνω Κύριος πρόσωπον κατὰ πρόσωπον.* Ἔδει μὲν οὖν ὅτε πρὸς τὸν Μωϋσῆν εἶπεν ὁ Θεὸς, ὅτι Προφήτην ἀναστήσω αὐτοῖς, τότε τοῦτο καὶ τὸν Μωϋσῆν εἰπεῖν πρὸς τὸν λαόν. Ἀλλ' αὐτὸς ἐν Χωρὴβ τοῦτο μαθὼν, ὕστερον εἶπεν αὐτὸ πρὸς τὸν λαὸν κατὰ τὸ Δευτερονόμιον, οἰκονομικῶς ἀναμένων τὴν Ἰησοῦ τοῦ Ναυῆ προχείρισιν, ἵνα μὴ τοῦτον εἶναι τὸν ἐοικότα προφήτην ὑπολαμβάνωσι· μετὰ μέντοι τὴν αὐτοῦ χειροθεσίαν τότε τοῦτο κατεμήνυσε τῷ λαῷ. Ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον. Μυρίων δὲ χρήσεων οὐσῶν τῶν τε προκαταγγελουσῶν τὰ περὶ Χριστοῦ, καὶ τῶν ἀπαγγελουσῶν περὶ τῆς ἁγίας Τριάδος, τὰ πολλὰ μὲν ἐάσομεν, καὶ μᾶλλον ὅσα D παρερμηνεύειν οὗτοι κακοήθως ἐπιχειροῦσιν, ἵνα μὴ δῶμεν θύραν καὶ διατριβὴν ταῖς πονηραῖς ἀντιῤῥήσεσιν· *Πᾶς γὰρ οἶκος Ἰσραὴλ φιλόνεικοί εἰσι, καὶ σκληροκάρδιοι*, φησὶν Ἰεζεκιήλ· Ὀλίγα δὲ προχειρισόμεθα σαφῆ τε καὶ ἀναντίῤῥητα, καὶ ὅσα τούτους ἢ πάντως ἐθελοκωφοῦντας, ἢ ἀνοηταίνοντας ἀπελέγξουσι.

Libri Geneseos.

Et dixit Deus : Faciamus hominem ad imaginem et similitudinem nostram [5]. Pater nimirum eos alloquitur, qui ex ipsius sunt essentia, quos in summa procreationis mundi dignitate socios habet. Neque vero referenda sunt hæc ad Hebræi sermo-

Βίβλου Γενέσεως.

Καὶ εἶπεν ὁ Θεὸς, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν. Ὁ Πατὴρ δηλονότι πρὸς τοὺς ἐκ τῆς οὐσίας αὐτοῦ τοὺς κοινωνοῦντας αὐτῷ τοῦ δημιουργικοῦ καὶ δεσποτικοῦ ἀξιώματος. Οὐκ ἔχει γὰρ ἐνταῦθα χώραν τὸ τῆς Ἑβραΐδος δια-

[1] Exod. XVIII. [2] Deut. XVIII. 18. [3] Deut. XXXIV, 10. [4] Ezech. XXXV, 7. [5] Gen. I, 26.

λέκτου ἰδίωμα, τὸ χρώμενον ἔστιν ὅτε τοῖς ἑνικοῖς πληθυντικῶς. Ἢ γὰρ ἄν, καὶ ἐφ' ἃ μὴ χρὴ τῷ τοιούτῳ ἰδιώματι καταχρώμενοι, πολλῆς ἐμπλήσομεν τοὺς ἀντιλέγοντας ταραχῆς.

A nis proprietatem, qua numerus plura indicans pro illo, qui unum significat, usurpatur, ubi non oportet, confusione replebimus contradicentes.

Ἐκ τῆς αὐτῆς.

Καὶ εἶπεν ὁ Θεός, Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, ἤγουν ὡς ἕκαστος ἡμῶν τῶν ἐν τῇ μιᾷ θεότητι προσώπων. Εἰ γὰρ καὶ εἰρωνικῶς εἴρηται, ἀλλ' οὖν ἑνὸς προσώπου σημαντικὸν ὅλως εἶναι οὐ δύναται.

Ex eodem libro.

Et dixit Deus : Ecce Adam factus est ; sicut unus ex nobis [1], qui sumus nimirum in una divinitate personarum. Hoc enim etsi cum ironia dictum est, unam tamen duntaxat personam significare non potest.

Ἐκ τῆς αὐτῆς.

Καὶ εἶπεν ὁ Θεός, Δεῦτε καὶ καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώσσας. Τὸ γὰρ δεῦτε πρὸς δύο τοὐλάχιστον ὁ λέγων λέγει, καὶ Τριὰς ἐντεῦθεν συναπαρτίζεται. Πρὸς ἰσοδυνάμους δέ, καὶ ὁμοουσίους τὸ *δεῦτε, ποιήσωμεν τόδε*, καὶ οὐ πρὸς ἀγγέλους ἐρεῖς, ὅπερ ἐστὶν ἄτοπον. Ἢ οἵους ἄν, καὶ ὅσους ἐρεῖς, παραγραψόμεθα διὰ τὸ ἀμάρτυρον.

Ex eodem libro.

Et dixit Deus : Venite, descendamus, et confundamus linguam eorum [2]. Illud enim : *Venite*, duos significat. Et unus est, qui loquitur. Ex quo Trinitas perfecta declaratur. Quod autem eos, qui B ejusdem potestatis et essentiæ sunt, alloquatur : Venite, inquiens, hoc faciamus, facile apparet. Quod si angelos ministros allocutum respondetis, sive omnes, quod absurdum est, sed paucos dixeris, cum id nullo Scripturæ testimonio fultum sit, ut falsum improbabimus.

Πῶς Θεὸς διαλέγεται; Ἆρα τὸν ἡμέτερον τρόπον; εὐσεβέστερον λέγειν, ὅτι τὸ θεῖον βούλημα, καὶ ἡ πρώτη ὁρμὴ τοῦ νοεροῦ κινήματος, τοῦτο Λόγος ἐστὶ τοῦ Θεοῦ. Σχηματίζει δὲ αὐτὸν διεξοδικῶς ἡ Γραφή, ἵνα δείξῃ, ὅτι οὐχὶ γενέσθαι μόνον ἐβουλήθη τὴν κτίσιν, ἀλλὰ διά τινος συνεργοῦ παραχθῆναι ταύτην εἰς γένεσιν. Ἠδύνατο γάρ, ὡς ἐξ ἀρχῆς εἶπε, περὶ πάντων ἐπεξελθεῖν. Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανόν, καὶ τὴν γῆν. Εἶτα ἐποίησε τὸ φῶς, εἶτα ἐποίησε τὸ στερέωμα. Νῦν δὲ τὸν Θεὸν οἱονεὶ προστάσσοντα καὶ διαλεγόμενον εἰσάγουσα, τὸν ᾧ διαλέγεται κατὰ τὸ σιωπώμενον ὑποφαίνει, οὐ βασκαίνουσα ἡμῖν τῆς γνώσεως, ἀλλ' ἐκκαίουσα ἡμᾶς πρὸς τὸν πόθον, δι' ὧν ἴχνη τινὰ καὶ ἐμφάσεις ὑποβάλλει τοῦ ἀπορρήτου. Τὸ γὰρ πόνῳ κτηθὲν περιχαρῶς ὑπεδέχθη, καὶ φιλοπόνως διεφυλάχθη. Ὧν μέντοι πρόχειρος ὁ πορισμός, τούτων ἡ κτῆσις εὐκαταφρόνητος. Διὰ τοῦτο ὁδῷ τινι καὶ τάξει ἡμᾶς εἰς τὴν περὶ τοῦ Μονογενοῦς ἔννοιαν ἐμβιβάζει, καίτοι γε τοῦ ἐν φωνῇ λόγου οὐδὲ οὕτως ἦν χρεία τῇ ἀσωμάτῳ φύσει, αὐτῶν τῶν νοηθέντων μεταδίδοσθαι δυναμένων τῷ συνεργοῦντι. Ὥστε τίς χρεία λόγου τοῖς δυναμένοις ἐξ αὐτοῦ τοῦ νοήματος κοινωνεῖν ἀλλήλοις τῶν βουλευμάτων; φωνὴ μὲν γὰρ ἀκοήν, καὶ ἀκοὴ φωνῆς ἕνεκεν. Ὅπου δὲ οὐκ ἀήρ, οὐχὶ γλῶσσα, οὐδὲ οὖς, οὐ πόρος σκολιὸς ἐπὶ τὴν ἐν τῇ κεφαλῇ συναίσθησιν ἀναφέρων τοὺς ψόφους, ἐκεῖ οὐδὲ ῥημάτων χρεία, ἀλλ' ἐξ αὐτῶν, ὡς ἂν εἴποι τις, τῶν ἐν καρδίᾳ νοημάτων τοῦ θελήματος ἡ μετάδοσις. Ὅπερ οὖν ἔφην, ὥστε διαναστῆναι τὸν νοῦν ἡμῶν πρὸς τὴν ἔρευναν τοῦ προσώπου, πρὸς ὃν οἱ λόγοι σοφῶς καὶ ἐντέχνως, τοῦτο τῆς διαλέκτου παρείληπται.

Quomodo loquitur Deus? Eone modo quo loquimur nos? Impium sit, ita sentire. Nam consilium divinum, et primus ille mentis intelligentis motus est Sermo Dei, quem sic exponit et exprimit Scriptura, ut significet, Deum non modo procreare hominem voluisse, sed alicujus opera id voluisse præstare. Poterat enim ut ab initio fecit, sic omnia persequi. In principio fecit Deus cœlum et terram. Deinde fecit lucem, postea firmamentum. Nunc C autem Deum quasi præcipientem et colloquentem inducens, eum quocum loquitur, tacite demonstrat, non quod nobis cognitionem invideat, sed ut nos illius arcani incendat cupiditate, cujus vestigia indicat et semina quædam subjicit. Etenim quæ labore parta sunt, cum lætitia percipimus, diligenterque conservamus ; quæ vero facile comparamus, despicere et negligere consuevimus. Itaque via quadam et ordine nos ad Unigeniti intelligentiam ducit et allicit. Atqui sermonis, qui per vocem effertur, usus non erat necessarius naturæ illi corporis experti, cum posset cogitata his verbis simul agenti communicare. Vox enim propter auditum, et auditus vocis est gratia. Ubi D autem nec aer est, nec lingua, nec aures, nec obliquæ illæ aurium semitæ sonos ad sensum, qui in capite est, perducentes, ibi verba non sunt necessaria, sed ex ipsis cordis, ut ita dicam, aut animi notionibus cogitationes patefiunt. Quamobrem Scriptura sapienter et scite, ut diximus, hanc figuram usurpat, ut mentem nostram ad personam, cum qua sermo instituitur, investigandam impellat.

Ἐκ τῆς αὐτῆς.

Ὤφθη δὲ τῷ Ἀβραὰμ ὁ Θεὸς πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας. Ἀναβλέψας δὲ τοῖς ὀφθαλ-

Ex eodem libro.

Apparuit autem illi Deus ad quercum Mambræ, sedente ipso in ostio tabernaculi sui, in meridie. Sus-piciens autem oculis suis vidit, et ecce tres viri

[1] Gen. II, 22. [2] Gen. XI, 7.

A steterunt super eum. Et videns cucurrit in occursum eis, et adoravit super terram, et dixit: Domine, si utique inveni gratiam coram te, ne transeas servum tuum [1]. Et paulo post: *Dixit autem ad eum: Ubi Sara uxor tua?* Ille autem respondens dixit: *Ecce in tabernaculo*. Et ait: *Revertens veniam ad te*, et quæ sequuntur. Ecce scriptum est, Deum apparuisse Abraham, tres autem fuisse, qui apparuerunt. Et cum sint tres, sermo cum uno tantum instituitur, ut constet omnino, unam esse trium personarum divinitatem. Quod si unum quidem esse dixeris Deum, angelos autem duos, quomodo potuerunt cum Domino considere?

Ex eodem libro.

Dominus pluit super Sodomam, et Gomorrham B *sulphur et ignem a Domino de cœlo* [2]. Quæ quidem verba et duas indicant personas, et idem consilium æqualemque declarant potestatem. Duas autem consequitur tertia, quoniam mutuo inter se vinculo ita conjunctæ sunt, ut separari non possint.

Exodi [3].

Audi, Israel, Dominus Deus tuus, Dominus unus est. Illud: Dominus, et Deus, et Dominus tres personas ostendit, illud autem: *Unus est*, divinitatem et naturam unam.

Davidis [et Zachariæ, et Isaiæ].

In Deo laudabo verbum; in Domino laudabo sermonem. In Deo speravi, non timebo, quid faciat C *mihi homo* [4]. Et rursum: *Immola Deo sacrificium laudis, et redde Altissimo vota tua, et invoca me in die tribulationis tuæ* [5]. Et rursum: *Vivit Dominus, et benedictus Deus, et exaltetur Deus salutis meæ* [6]. Item: *In lumine tuo videbimus lumen* [7], hoc est, in Filio tuo videbimus Spiritum sanctum. Per ipsum enim multo clarius Patrem et Spiritum sanctum cognovimus. Multa præterea reperiemus, quibus sancta Trinitas indicatur. Hymnus etiam angelicus ille: *Sanctus, sanctus, sanctus Dominus* [8], terna sanctitatis celebratione tres personas demonstrat, semel autem Dominum nominans, unicam declarat divinitatem. Verum multo significantius David de Patre et Filio loquitur, ex persona Patris ad Filium: *Ex utero*, inquiens, *genui* D *te* [9]. Per uterum paternam docet essentiam et naturam intelligi. Quem autem poteris alium sine tempore genitum invenire? Ex persona autem Filii: *Dominus*, inquiens, *dixit ad me: Filius meus es tu, ego hodie genui te* [10]. Illud enim: *Hodie genui te*, ortum ejus in tempore ex Virgine significat. Genui, pro eo, quod est, te gigni mihi placuit, vel procreavi. Huic autem personæ Filii congruit etiam illud Solomonis: *Dominus creavit me*, et quæ sequuntur. Deinde subjicit; *Ante omnes colles generat me* [11]. Illud enim, Creavit me, ortum illius in tempore humanum significat. At illud ante omnes

μοῖς αὐτοῦ εἶδε, καὶ ἰδοὺ τρεῖς εἱστήκεισαν ἐπάνω αὐτοῦ. Καὶ ἰδὼν, προσέδραμεν εἰς συνάντησιν αὐτοῖς, καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν, καὶ εἶπε, Κύριε, εἰ ἄρα εὗρον χάριν ἐναντίον σου, μὴ παρέλθῃς τὸν παῖδά σου. Εἶπε δὲ πρὸς αὐτὸν, Ποῦ Σάῤῥα ἡ γυνή σου; Ὁ δὲ ἀποκριθεὶς εἶπεν, Ἰδοὺ, ἐν τῇ σκηνῇ. Καὶ εἶπεν, Ἐπαναστρέφων ἥξω πρὸς σὲ, καὶ τὰ ἑξῆς. Ἰδοὺ γέγραπται, ὀφθῆναι μὲν τῷ Ἀβραὰμ τὸν Θεὸν, εἶναι δὲ τρεῖς τοὺς ὀφθέντας, καὶ τριῶν ὄντων πρὸς ἕνα τὴν διάλεξιν γίνεσθαι, εἰς ἔμφασιν πάντως τοῦ τρισυποστάτου τῆς μιᾶς θεότητος. Εἰ δὲ τὸν ἕνα μὲν ἐρεῖς εἶναι Θεὸν, τοὺς ἄλλους δὲ ἀγγέλους, πῶς ἠνέσχοντο συγκαθίσαι τῷ Δεσπότῃ;

Ἐκ τῆς αὐτῆς.

Κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμοῤῥα θεῖον καὶ πῦρ παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ. Τῶν δύο μὲν τοῦτο προσώπων ἐμφαντικὸν, καὶ τῆς αὐτοβουλίας, ἰσοδυναμίας δηλωτικὸν, τοῖς δυσὶ δὲ καὶ τὸ τρίτον συνεισάγεται, διὰ τὸ ἀχώριστον καὶ φεράλληλον.

Τῆς Ἐξόδου.

Ἄκουε, Ἰσραὴλ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι. Τὸ μὲν γὰρ Κύριος, καὶ Θεὸς, καὶ Κύριος τὰς τρεῖς ὑποστάσεις ὑπεμφαίνει, τὸ δὲ *εἷς ἐστι* τὴν ἐν τρισὶ μίαν θεότητα καὶ φύσιν.

Τοῦ Δαβίδ.

Ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα, ἐπὶ τῷ Κυρίῳ αἰνέσω λόγον. Ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. Καὶ πάλιν· *Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου, καὶ ἐπικάλεσαί με ἡμέρᾳ θλίψεώς σου.* Καὶ αὖθις, *Ζῇ Κύριος, καὶ εὐλογητὸς ὁ Θεὸς, καὶ ὑψωθήτω ὁ Θεὸς τῆς σωτηρίας μου.* Καὶ προσέτι, *Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς*, τουτέστιν, ἐν τῷ Υἱῷ σου γνωσόμεθα τὸ Πνεῦμα τὸ ἅγιον. Δι' αὐτοῦ γὰρ ὥσπερ τὰ περὶ τοῦ Πατρὸς, οὕτω καὶ τὰ περὶ τοῦ ἁγίου Πνεύματος ἀριδηλότερον ἐμυσταγωγήθημεν. Καὶ πολλὰ τοιαῦτα τῆς ἁγίας Τριάδος εὑρίσκομεν καταγγελτικά. Καὶ ὁ ἀγγελικὸς δὲ ὕμνος, *Ἅγιος, ἅγιος, ἅγιος Κύριος*, διὰ μὲν τοῦ *τρισαγίου* τὸ τρισυπόστατον, διὰ δὲ τοῦ *Κύριος* ἑνιαῖον ἐδήλωσε τῆς θεότητος. Ἐκφαντικώτερον δὲ περὶ Πατρὸς καὶ Υἱοῦ φησιν ὁ Δαβὶδ ἐκ προσώπου τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν, *Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε*, γαστρὸς θεοπρεπῶς νοουμένης τῆς πατρικῆς οὐσίας καὶ φύσεως. Τίνα γὰρ ἄλλον ἐρεῖν ἰσχύσεις ἀχρόνως γεγεννημένον; ἐκ δὲ προσώπου τοῦ Υἱοῦ· *Κύριος εἶπε πρός με, Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε*, τὴν χρονικὴν αὐτοῦ δηλοῖ γέννησιν, τὴν ἐκ τῆς Παρθένου. Γεγέννηκα γὰρ, ἀντὶ τοῦ γεννηθῆναι εὐδόκησα, ἢ ἔκτισα. Εἴρηκε δὲ συμφώνως τούτῳ καὶ Σολομὼν προσώπῳ τοῦ υἱοῦ, *Κύριος ἔκτισέ με*, καὶ τὰ ἑξῆς. Εἶτα ἐπήγαγε· *Πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.* Τὸ μὲν γὰρ ἔκτισε τῆς κάτω καὶ χρονικῆς αὐτοῦ γεννήσεως, τὸ δὲ *πρὸ πάντων βουνῶν γεννᾷ με* τῆς

[1] Gen. XVIII, 1 sqq. [2] Gen. XIX, 24. [3] Imo Deut. VI, 4. [4] Psal. LV, 11. [5] Psal. XLIX, 14. [6] Psal. XVII, 47. [7] Psal. XXXV, 10. [8] Isa. VI, 3. [9] Psal. CIX, 3. [10] Psal. II, 7. [11] Prov. VIII, 25.

ὄντα, καὶ ἀχρόνου, καὶ προαιωνίου. Καὶ πάλιν ὁ Δαβίδ, *Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν·* Κύριον μὲν τὸν Πατέρα λέγων, Λόγον δὲ τὸν Υἱὸν αὐτοῦ, ὅτι ὅπως ἔχει πρὸς τὸν Πατέρα, ὡς πρὸς νοῦν λόγος, οὐ μόνον διὰ τὸ ἀπαθὲς τῆς γεννήσεως, ἀλλὰ καὶ τὸ συναφὲς, καὶ τὸ ἐξαγγελτικόν· Πνεῦμα δὲ, τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ πάλιν περὶ μὲν τοῦ Λόγου καὶ Υἱοῦ, *Ἀπέστειλε τὸν Λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς*, ὁ Πατὴρ δηλονότι τὸν Υἱὸν, νοσοῦντας τὴν πλάνην. Περὶ δὲ τοῦ ἁγίου Πνεύματος, *Ἐξαποστελεῖς τὸ Πνεῦμά σου καὶ κτισθήσονται*, οἱ τῆς καινῆς δηλαδὴ κτίσεως, *καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς*, τῆς παλαιωθείσης ἐν ἁμαρτίαις. Οὔτε δὲ Λόγος προφητικὸς ἀποστέλλεται διὰ τῶν φωνητικῶν ὀργάνων εἰς τὸν ἀέρα χεόμενος, καὶ λυόμενος. Λέγει γὰρ ἐν ἄλλοις· *Εἰς τὸν αἰῶνα, Κύριε, ὁ Λόγος σου διαμένει ἐν τῷ οὐρανῷ.* Οὔτε Πνεῦμα δι' ἀναπνευστικῶν ὁμοίως ὀργάνων ἐξωθούμενον, καὶ λυόμενον, καὶ χεόμενον. Ταῦτα γὰρ σωμάτων. Φανερὸν οὖν, ὅτι Λόγος, καὶ Πνεῦμα, ἐνυπόστατα, καὶ ἀΐδια, καὶ δημιουργά. Καὶ ὁ Ἰὼβ δέ φησι, *Ζῇ Κύριος, ὁ οὕτω με κρίνας, καὶ ὁ παντοκράτωρ, ὁ παραπικράνας μου τὴν ψυχήν, καὶ Πνεῦμα θεῖον τὸ περιὸν ἐν ῥισί μου.* Καὶ ὁ Ζαχαρίας ἐκ προσώπου τοῦ Θεοῦ καὶ Πατρὸς, *Ἐγὼ μεθ' ὑμῶν εἰμι, καὶ ὁ Λόγος μου, καὶ τὸ Πνεῦμά μου.* Καὶ ὁ Ἡσαΐας, *Νῦν Κύριος ἐξαπέσταλκέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ.*

Βίβλου Γενέσεως.

Φησὶν Ἰακὼβ πρὸς τὰς δύο γυναῖκας αὐτοῦ· *Καὶ εἶπέ μοι ὁ ἄγγελος τοῦ Θεοῦ καθ' ὕπνους, Ἑώρακα ὅσα σοι Λάβαν ποιεῖ*, καὶ τὰ ἑξῆς. Εἶτα, *Ἐγώ εἰμι ὁ Θεὸς, ὁ ὀφθείς σοι ἐν τόπῳ Θεοῦ.* Εἰ οὖν ἄγγελος ἁπλῶς ἦν εἷς τῶν λειτουργικῶν δυνάμεων, πῶς ἑαυτὸν ἐκάλει Θεόν; ἢ πάντως ὁ Υἱὸς ἦν, ὅς ἐστιν ἄγγελος τοῦ Θεοῦ καὶ Πατρὸς, ὡς λόγος νοῦ· ἐξαγγελτικὸς γὰρ ὁ λόγος τοῦ νοῦ, ἔτι δὲ, καὶ ὡς μετὰ τὴν ἐνανθρώπησιν ἀναγγείλας ἡμῖν τὸ τῆς πατρότητος ὄνομα. *Ἐφανέρωσα γὰρ*, φησὶ, *τὸ ὄνομά σου τοῖς ἀνθρώποις*, καὶ ὡς τῆς *μεγάλης βουλῆς ἄγγελος*. Οὕτω γὰρ αὐτὸν προσηγόρευσεν Ἡσαΐας· προσέτι, καὶ *θαυμαστὸν σύμβουλον, καὶ Θεὸν ἰσχυρὸν ἐξουσιαστὴν* κατονομάσας αὐτόν. Τίς γὰρ Θεοῦ σύμβουλος, εἰ μὴ ὁ ὁμοούσιος, καὶ αὐτοδύναμος, καὶ ἰσότιμος Υἱός; βουλὴ δὲ τοῦ Πατρὸς, ἡ διὰ τῶν ἀνθρώπων. Ἡ βουλὴ δὲ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, αὐτοθελὴς αἰνίττεται. Ὅτι δὲ ὁ Υἱὸς οὗτος καὶ Θεὸς ἐνηνθρώπησε, φησὶν ὁ αὐτός· *Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, Υἱὸς καὶ ἐδόθη ἡμῖν.* Δι' ἡμᾶς γὰρ ἐγεννήθη παιδίον ὁ Υἱὸς, καὶ συνανεστράφη ἡμῖν. Περὶ γὰρ τοῦ κυρίως Υἱοῦ ταῦτα προεφήτευσε, καὶ οὐ περὶ ἁπλῶς υἱοῦ, καὶ ὡς παράδοξον ἔργον. Τί δὲ παράδοξον ἁπλῶς υἱὸν γεννηθῆναι παιδίον; διὸ καὶ τὰ ἑξῆς ἀριδηλότατα προσέθηκεν εἰς ἔμφασιν τῆς

A colles, alterum illum cœlestem et sine tempore, et ante sæcula declarat. Item David : *Verbo*, inquit, *Domini cœli firmati sunt, et Spiritu oris ejus omnis virtus eorum* [1] ; Dominum appellat Patrem ; Verbum autem Filium ipsius, quoniam ita se habet cum Patre, ut cum mente verbum et oratio, non solum propter ortum qui sine ulla fuit affectione, verum etiam propter conjunctionem cum Patre, et quia voluntatem ejus enuntiat. Spiritum vero vocat Spiritum sanctum. Item de Verbo et Filio : *Misit Verbum suum*, inquit, *et sanavit eos* [2]. Pater nimirum misit Filium, et sanavit ignorantiæ morbo laborantes. At de Spiritu sancto : *Mittes*, inquit, *Spiritum tuum, et creabuntur* , nova utique creatione ; *et renovabis faciem terræ* [3], quæ consenuit in peccatis. B Neque vero vocalibus instrumentis enuntiatum hoc verbum in aera diffunditur atque dissolvitur. Sic enim dicit : *In sæculum, Domine, Verbum tuum permanet in cœlo* [4]. Nec Spiritus ille spirandi instrumentis expellitur, aut spargitur et dissipatur : hæc enim corporibus contingunt. Perspicuum igitur est, Verbum et Spiritum in sua utrumque existere persona, et esse æternum, et creatorem. Præterea Job dicit : *Vivit Deus, qui ita me judicavit, et omnipotens qui amaram reddidit animam meam, et Spiritus Dei mihi in naribus circumit* [5]. Et Zacharias ex persona Dei et Patris : *Ego vobiscum*, inquit, *sum, et Verbum meum, et Spiritus meus*. Et Isaias : *Nunc*, inquit, *Dominus misit me,* C *et Spiritus ejus* [6].

Ex Genesi [*et Isaia*].

Dixit Jacob ad duas uxores suas : Et dixit mihi angelus Dei in somnis [7] : *Vidi quæcunque fecit tibi Laban*, et quæ sequuntur. Deinde : *Ego*, inquit, *sum Deus, qui apparui tibi in loco Dei*. Si angelus erat unus e numero ministrantium potestatum, quomodo se ipsum appellat Deum? An utique Filius erat, qui Dei et Patris est angelus, hoc est nuntius, ut mentis index est verbum , et sermo mentis et animi sensum indicat ? Post humanam enim carnem assumptam nuntians nobis Patris nomen, *Nuntiavi*, inquit, *nomen tuum hominibus* [8]. Et *magni consilii Angelus* vocatur ab Isaia, et *magnus Consiliarius, et Deus fortis, et potens* [9]. Quis D porro consiliarius Dei, nisi qui ejusdem est essentiæ, ejusdemque potestatis et dignitatis æqualis Filius ? Consilium voluntasque Patris est hominum salus per evangelica mandata. Patris vero et Filii consilio eadem voluntas significatur. Quod autem Filius hic et Deus carnem humanam induerit, ostendit idem Isaias : *Puer*, inquiens, *natus est nobis et filius datus est nobis* [10]. Propter nos enim natus est puer ille Filius, et nobiscum versatus est. Nam de illo, qui vere Filius est, non autem de quolibet filio hæc prædixit propheta. Et opus hoc ut admirandum prædicat. Quid autem admiran-

[1] Psal. XXXII, 6. [2] Psal. CVI, 20. [3] Psal CIII, 30. [4] Psal. CXVIII, 89. [5] Job. XXVII, 2, 3. [6] Isa. XLVIII, 16. [7] Gen. XXXI, 11. [8] Joan. XVII, 6. [9] Isa. IX, 6. [10] Isa. IX, 6.

dum, eum qui simpliciter filius sit, puerum nasci? Quamobrem et clariora deinceps subjecit, ut divinitatem illius et differentiam inter eum et reliquos, qui simpliciter filii sunt, indicaret.

Jeremiæ [imo Baruch et Isaiæ].

Hic est Deus noster: et non æstimabitur alius adversus eum. Deinde addit: *Post hæc in terris visus est, et cum hominibus conversatus est* [1]. Et Isaias: *Ecce*, inquit, *Deus noster. Ipse veniet, et salvabit nos* [2]. Afferens autem signum adventus ejus in carne subjungit: *Tunc aperientur oculi cæcorum, et aures surdorum audient. Tunc saliet, ut cervus, claudus, et diserta erit lingua balborum.* [3]. Quæ quidem omnia re ipsa perfecta humanam carnem ab illo assumptam indicio certissimo testantur. Idemque rursus ait: *Non legatus, non angelus, sed ipse Dominus servavit eos.* Legatus enim est intercessor, qualis fuit Moyses, et si quis alius post Moysem. Ac per legatos quidem atque angelos multi sæpenumero servati sunt, ut illi, quos vel Moyses vel Jesus Nave filius, et alii ejusmodi rexerunt et gubernarunt. Et qui fuerunt sub Ezechia, quo quidem tempore angelus una nocte centum octoginta quinque millia Assyriorum delevit. Hæc profecto Dei peregrinationem clarissime patefaciunt.

Isaiæ.

Dabit Dominus ipse vobis signum: Ecce virgo concipiet, et pariet filium [4]. Omnis enim, quæ fetum in utero gerit, non est virgo. Hæc autem fetum in utero gerens erit virgo. Quod quidem ut admirabile testimonium atque indicium proponitur.

Ejusdem.

Antequam sciat puer bonum, aut malum, reprobat malitiam ut eligat bonum [5]. Cuinam puero hæc dices convenire? Solus Christus peccatum (inquit) non fecit, nec inventus est dolus in ore ejus, id est, neque re, neque verbis peccavit. Aliorum autem omnium nullus (inquit) purus a macula.

Micheæ.

Et tu, Bethleem terra Juda, nequaquam minima es in principibus Juda. Ex te enim mihi exibit dux, qui regat populum meum Israelem. Verum ut ostenderet hunc non esse hominem nudum et solum, sed cum Deo conjunctum, adjecit: *Exitus ejus ab initio, a diebus sæculi* [6]. Actiones, inquit, ejus ad divinitatem pertinentes, vel ortus ejus, ab initio, ex sæculi intervallo, hoc est, ab omni æternitate. Zorobabel autem Babylone natus est. Vides exquisitissime subductam rationem ad locum usque, in quo natus est Christus.

Daniel.

Videbam in visione noctis, et ecce cum nubibus cœli quasi filius hominis veniebat, et ad Antiquum dierum accessit, et ad ejus conspectum adductus

A αὐτοῦ θεότητος, καὶ διαστολὴν τῆς ἁπλῶς υἱότητος.

Ἱερεμίου.

Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Εἶτα ἐπήγαγε, *Μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη*. Καὶ πάλιν ἐν ἑτέρῳ λόγῳ· *Ἰδοὺ ὁ Θεὸς ἡμῶν αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς*. Διδοὺς δὲ καὶ σημεῖον τῆς ἐνσάρκου παρουσίας αὐτοῦ προσέθηκε, *Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. Τότε ἀλεῖται ὡς ἔλαφος ὁ χωλὸς, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλου*· ἅπερ ἅπαντα γεγονότα μαρτύριον ἀψευδὲς τῆς ἐνανθρωπήσεως αὐτοῦ. Ὁ αὐ-
B τὸς δὲ καὶ αὖθις εἴρηκεν· *Οὐ πρέσβις, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν αὐτούς*. Πρέσβις γὰρ ὁ μεσίτης, οἷος ἦν ὁ Μωϋσῆς, καὶ εἴ τις κατ' ἐκεῖνον· καί τοι καὶ διὰ μεσίτου, καὶ δι' ἀγγέλου πολλοὶ πολλάκις ἐσώθησαν, ὡς οἱ διὰ Μωσέως δημαγωγούμενοι, καὶ διὰ Ἰησοῦ τοῦ Ναυῆ, καὶ τῶν τοιούτων. Καὶ αὖθις, οἱ περὶ τὸν Ἐζεκίαν, ἐφ' οὗ τὰς ρπε' χιλιάδας τῶν Ἀσσυρίων ὁ ἄγγελος ἀνεῖλε μιᾷ νυκτί. Πρόδηλον οὖν, ὅτι φανερὰν ἐπιδημίαν Θεοῦ τὰ ῥήματα μηνύουσι.

Ἠσαΐου.

Δώσει Κύριος αὐτὸς ἡμῖν σημεῖον. Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν. Πᾶσα μὲν
C ἐν γαστρὶ ἔχουσα, οὐκ ἔστι παρθένος. Αὕτη δὲ ἐν γαστρὶ ἔχουσα, παρθένος ἦν. Διὸ καὶ ὡς παράδοξον εἰς σημεῖον δέδοται.

Τοῦ αὐτοῦ.

Πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. Ποίῳ δὲ παιδὶ ταῦτα προσαρμόσεις; Μόνος γὰρ ὁ Χριστὸς ἁμαρτίαν, φησὶν, οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, τουτέστιν οὔτε λόγῳ, οὔτε ἔργῳ ἡμάρτηκε. Τῶν ἄλλων δὲ πάντων οὐδεὶς, φησὶ, καθαρὸς ἀπὸ ῥύπου.

Μιχαίου.

*Καὶ σὺ, Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα. Ἐκ σοῦ γάρ μοι ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου
D τὸν Ἰσραήλ*. Ἵνα δὲ διδάξῃ, ὅτι οὐκ ἔστιν ἄνθρωπος ψιλὸς οὗτος, ἀλλ' ἡνωμένος Θεῷ, προσέθηκεν, *Αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἀφ' ἡμερῶν αἰῶνος*· αἱ κατὰ τὴν θεότητα, φησὶν, ἐνέργειαι αὐτοῦ, ἢ ἡ γέννησις αὐτοῦ ἀπ' ἀρχῆς ἐκ διαστημάτων αἰῶνος, ἤγουν αἰώνιοι. Ὁ δὲ Ζοροβάβελ ἐν Βαβυλῶνι γεγέννηται. Ὁρᾷς ἀκριβολογίαν μέχρι καὶ τοῦ τόπου, οὗ ὁ Χριστὸς γεγέννηται;

Δανιήλ.

Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡσεὶ υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν. Καὶ ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν

[1] Bar. III, 6, 38. [2] Isa. XXXV, 4. [3] ibid. 5, 6. [4] Isa. VII, 14. [5] ibid. 15. [6] Mich. V, 2.

ἔφθασε, καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη, καὶ αὐτῷ A *ἐδόθη ἡ ἀρχὴ, καὶ ἡ τιμὴ, καὶ ἡ βασιλεία, καὶ πάντες οἱ λαοὶ, φυλαὶ, γλῶσσαι αὐτῷ δουλεύουσιν. Ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται. Καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται.* Τίς οὖν ἐστιν, ὁ ὡς υἱὸς ἀνθρώπου λαβὼν τὴν ἐξουσίαν ἀναφαίρετον κατὰ πάντων; Ἄνθρωπος μὲν πάντως οὐδεὶς, ὁ θεάνθρωπος δὲ Χριστὸς, περὶ οὗ καὶ ὁ Δαβὶδ εἴρηκε πρὸς τὸν Θεὸν καὶ Πατέρα· *Ὁ Θεὸς, τὸ κρίμα σου τῷ βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως.* Ὁ Χριστὸς γὰρ καὶ ὡς Θεὸς βασιλεύς ἐστι, καὶ υἱὸς βασιλέως. Καὶ ὡς ἄνθρωπος βασιλεὺς γέγονε, καὶ υἱὸς βασιλέως τοῦ Δαβὶδ, διὸ καὶ ὕστερον ἔλεγεν, *Ἐδόθη μοι ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.* Πρὸς B ὃν ὁ Πατὴρ μετὰ τὸ λαβεῖν τὴν βασιλείαν, ὡς ἄνθρωπον ἔλεγε· *Κάθου ἐκ δεξιῶν μου. Εἶπε* γὰρ, φησὶν, ὁ *Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.* Ἢ τίνες εἰσὶν δύο κύριοι τοῦ Δαβὶδ, περὶ ὧν ὁ λόγος, εἰ μὴ τούτους ἐρεῖς; Εἰπὼν δὲ ὁ Δαβὶδ, *Ὁ Θεὸς, τὸ κρίμα σου τῷ βασιλεῖ δὸς*, καὶ τὰ ἑξῆς, προσεπήγαγεν ὅτι *Πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ*, τὸ τῆς θεότητος, ἢ τῆς υἱότητος δηλονότι. Ἀεὶ γὰρ ἦν ἀμφότερα. Τίς οὖν ὁ τοιοῦτος βασιλεὺς, εἰ μὴ οὗτος; τίνι δὲ καὶ πάντα τὰ ἔθνη ἐδούλευσαν, καὶ ἐνευλογήθησαν, καὶ ἐμακάρισαν, εἰ μὴ μόνον τὸν Χριστόν; εἰ δ' ἔτι περιμένεις αὐτὸν, ὅτε ὁ Ἠλίας προδραμεῖται τούτου, τὴν δευτέραν κάθοδον τοῦ Σωτῆρος λέγεις, ὅτε καὶ ἡ τοῦ κόσμου συντέλεια. Δύο γὰρ C οὐσῶν καθόδων, τῆς μὲν κατὰ τὴν ἐνανθρώπησιν αὐτοῦ, τῆς δὲ κατὰ τὴν μέλλουσαν παγκόσμιον κρίσιν, ἡ μὲν ἤδη γέγονεν, ἧς πρόδρομος Ἰωάννης, ὁ δεύτερος Ἠλίας· ἡ δὲ γενήσεται πρόδρομον ἔχουσα Ἠλίαν τὸν δεύτερον Ἰωάννην. Ἀμφότεροι γὰρ τοῦ αὐτοῦ Πνεύματος, καὶ τῆς αὐτῆς χάριτος, καὶ δυνάμεως, ὅσον εἰς τὸ προτρέχειν Χριστοῦ.

Τὸν ἠλειμμένον καὶ μεσσίαν, ὃν ἀπεκδέχεσθε, ψιλός ἐστιν ἄνθρωπος, ἢ θεάνθρωπος; Εἰ μὲν γὰρ ψιλὸς ἄνθρωπος, οὐκ ἔστιν ὃν οἱ προφῆται κατήγγειλαν. Οὗτοι γὰρ σημεῖα θεότητος αὐτῷ προστιθέασι, διαστέλλοντες ἀπὸ τῶν ψιλῶν ἀνθρώπων. Καὶ πόθεν ἄλλοθεν μαθόντες προσδοκᾶτε τοῦτον; Εἰ δὲ θεάνθρωπός ἐστιν, ἰδοὺ καὶ ἄλλο πρόσωπον θεότητος ὁμολογοῦντες λανθάνετε. Οὐ γὰρ τὸν Πατέρα D πάντως ἐρεῖτε. *Παιδίον* γὰρ, φησὶν, *ἐγεννήθη ἡμῖν*, Υἱὸς, ἀλλ' οὐχ ὁ Πατήρ. Τοῦ ἀλείφειν δὲ καὶ τοῦ χρίειν ταυτὸ σημαινόντων, ὁ αὐτός ἐστιν ἠλειμμένος, καὶ Χριστός. *Σύνετε δὴ, ἄφρονες ἐν τῷ λαῷ, καὶ μωροὶ ποτὲ φρονήσατε.* Καὶ ὁ Ἠσαΐας δέ φησι πρὸς ὑμᾶς, *Οἱ τυφλοὶ, ἐμβλέψατε, καὶ οἱ κωφοὶ, ἀκούσατε.* Ἢ γοῦν προδήλως ἐθελοτυφλώττετε, ἢ παντελῶς ἀναισθητεῖτε! Πότε οὖν ὀνομάτων ὁμωνυμίας, ἢ ῥημάτων σημασίας, ἢ λέξεων ἰδιότητας διαστελεῖτε, δι' ὧν καταλαμβάνεται ἡ ἀλήθεια;

Περὶ τῶν παθῶν τοῦ Χριστοῦ.

Φησὶν ὁ Δαβὶδ ἐκ προσώπου τοῦ Χριστοῦ· *Συνα-*

est, et datus est illi honor, et imperium, et regnum, et omnes populi, tribus, linguæ serviunt illi. Potestas ejus potestas sempiterna, quæ non pertransibit, et regnum illius non evertetur [1]. Ecquis est hic filius hominis, qui potestatem accipit absolutam in omnes ac sempiternam? Homo quidem omnino nullus, sed ipse Deus et homo Christus. De quo et David Deum et Patrem sic alloquitur: *Deus, judicium tuum regi da, et justitiam tuam filio regis* [2]. Christus enim et uti Deus rex est, et filius regis; et uti homo factus est rex, et filius regis, nempe Davidis. Ex quo postea: *Data est*, inquit, *mihi omnis potestas in cœlo et in terra* [3]. Ad quem Pater, postquam, ut homo, potestatem accepit: *Sede*, inquit, *a dextris meis. Dixit* enim (ut ait David) *Dominus Domino meo, Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum* [4]. Quinam sunt hi duo Domini ipsius Davidis, nisi hos concesseris? At cum dixisset David: *Deus, judicium tuum regi da*, et quæ sequuntur, subjecit: *Quoniam ante solem permanet nomen ejus* [5], nomen illud utique quod illum Deum, aut Filium esse demonstrat. Semper enim utrumque fuit. Ecquis igitur ejusmodi rex, nisi hic? Cui servierunt omnes gentes, nisi Christo? Quem nisi Christum collaudarunt, beatumque prædicaverunt? Sin adhuc ipsum exspectas, quoad præcurrat Elias, secundum Servatoris descensum exspectas, cum aderit mundi finis. Nam cum duo sint Christi descensus, unus cum ad naturam humanam assumendam venit, alter cum veniet ad judicandum orbem universum, prior jam fuit, cujus præcursor tanquam alter Elias Joannes exstitit, posterior erit, et Eliam tanquam alterum Joannem habebit præcursorem. Ambo enim sunt ejusdem Spiritus, et ejusdem gratiæ atque virtutis, quatenus Christum præcurrunt.

Unctus ille et Messias, quem exspectatis, est purus homo, an Deus et homo? Nam si purus homo est, non est ille, quem prædixerunt prophetæ, qui signa ei divinitatis adjunxerunt, ut ipsum a puris et meris hominibus separarent, vos autem a quibus aliis didicistis notas et signa illius, quem exspectatis? Sin Deus est homo, nonne animadvertitis, vos aliam divinitatis personam confiteri? Neque enim dicetis hunc esse Patrem. Nam, *Puer*, inquit, *natus est nobis* [6]. Filius, non autem Pater. Jam Messias, et Christus, et unctus idem est. *Intelligite, insipientes in populo, et stulti, aliquando sapite* [7]. Et Isaias vos alloquitur, *Cæci*, inquiens, *inspicite, et surdi, audite* [8]. Ultrone cæci estis? an omnino sensibus caretis? Ecquando igitur nominum ambiguitates, aut verborum significationes, aut dictionum proprietates distinguetis, quibus veritas comprehenditur?

De Christi cruciatibus et morte.

David ex persona Christi, *Consilium*, inquit, *ma-*

[1] Dan. VII, 13, 14. [2] Psal. LXXI, 2. [3] Matth. XXVIII, 18. [4] Psal. CIX, 1. [5] Psal. LXXI, 17. [6] Isa. IX, 6. [7] Psal. XCIII, 8. [8] Isa. XLII, 18.

lignantium obsedit me. Foderunt manus meas et pedes meos; dinumeraverunt omnia ossa mea. Diviserunt sibi vestimenta mea, et super vestem meam miserunt sortem [1]. Hæc cum illis, quæ narrantur in Evangeliis plane congruentia cuinam alii, nisi Christo dices convenire? Eadem per Isaiam de se prædixit Christus: *Dorsum meum percutientibus præbui, genas vellentibus, et faciem ab ignominia conspuentium non averti* [2]. Et rursum David: *Dederunt*, inquit, *in escam meam fel, et in siti mea potaverunt me aceto* [3]: Quod si hæc intelliges de populo in captivitate constituto, cum constet eum, licet alia multa pertulerit, hujusmodi tamen non fuisse perpessum, sententia tua facile refelletur. Mortem ipsius prædixit Isaias: *Ut ovis*, inquiens, *ad occisionem ductus est* [4]. Verum ut cognosceres eam nobis fuisse salutarem, rursum idem, *Livore*, inquit, *ejus sanati omnes sumus* [5]. Ut intelligeres autem ob ejus mortem Judæorum genus ad exitium pervenisse subjecit, *Et dabo impios pro ejus sepultura* [6]. Quid enim Judæorum impietate, flagitiosius, qui eum, a quo tam multa beneficia acceperant, interfecerunt?

De Christi resurrectione.

Non relinques, inquit David, *animam meam in inferno, nec dabis sanctum tuum videre corruptionem* [7] nempe corporis. Deinde, *Notos*, inquit, *fecisti mihi dies vitæ*. Oseas multo clarius: *Et sanabit nos post duos dies, in die tertia, et resurgemus, et vivemus in conspectu ejus* [8]. Hæc autem dicta sunt ex persona eorum, qui dormierant, quorum corpora cum Christo surrexerunt tertio die, quo surrexit ipse, *et apparuerunt multis*, ut Evangelium docet [9]. Quinetiam Josephus Hebræus in XVIII libro *De antiquitate Judæorum* de Christo loquitur ad hunc modum: Fuit eodem tempore Jesus, vir sapiens, si tamen eum appellare virum fas est. Erat enim mirabilium operum effector, et doctor hominum qui cum voluptate quæ vera sunt amplectuntur. Ac multos quidem tum ex Judæis, tum ex aliis gentibus adjunxit sibi. Hic erat Christus. Quem nostræ gentis principibus accusantibus a Pilato damnatum cruci affixerunt Judæi. Nec tamen qui eum prius dilexerant, doctrinam ipsius promulgare destiterunt. Tertio namque post die se rursus viventem illis conspiciendum præbuit, cum et hæc et alia de ipso innumerabilia divini prophetæ prædixissent.

De Ecclesia ex gentibus, juxta Isaiam.

Lætare, solitudo sitiens. Exsultet solitudo, et floreat quasi lilium. Et loca deserta Jordanis exsultabunt, et gloria Libani data est ei, et honor Carmeli [10]. Hæc sensu quidem nec facta sunt unquam, neque fient. Quis enim solitudinem et loca deserta deligat ad habitandum, nisi forte Christianos monachos dixeris? Spiritu autem plane contigerunt.

γωγῇ πονηρευομένων περιέσχον με. Ὤρυξαν χεῖράς μου, καὶ πόδας μου. Ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. Ταῦτα τίνι ἄλλῳ προσαρμόσεις παρὰ τὸν Χριστὸν, περὶ ὧν ἁπάντων συνῳδὰ τὸ Εὐαγγέλιον ἱστορεῖ; καὶ διὰ τοῦ Ἡσαΐου δὲ προείρηκε περὶ τῶν τοιούτων ὁ Χριστός· *Τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων.* Καὶ πάλιν Δαβίδ· *Ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.* Εἰ δὲ περὶ τοῦ ἐν αἰχμαλωσίᾳ λαοῦ ταῦτα νοήσεις, ἐπιστομίσει σε τὸ μηδαμοῦ γεγράφθαι κατ' εἶδος αὐτὰ ταῦτα τούτους παθεῖν, ἕτερα δὲ πολλὰ καὶ χαλεπά. Περὶ δὲ τῆς ἀναιρέσεως αὐτοῦ προείρηκεν Ἡσαΐας· *Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη.* Ἵνα δὲ γνῷς, ὅτι σωτήριος ἡμῖν αὕτη γεγένηται, φησὶ πάλιν ὁ αὐτὸς, *Τῷ μώλωπι αὐτοῦ πάντες ἰάθημεν.* Καὶ ἵνα μάθῃς, ὅτι διὰ τὴν σφαγὴν αὐτοῦ παρεδόθη τὸ γένος τῶν Ἰουδαίων εἰς ἐξολόθρευσιν, προσέθηκε, *Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ.* Τί γὰρ Ἰουδαίων πονηρότερον ἀνελόντων τὸν τοσαῦτα τούτους εὐεργετήσαντα;

Περὶ τῆς ἀναστάσεως αὐτοῦ.

Φησὶν ὁ Δαβὶδ, ὅτι *Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθορὰν*, τοῦ σώματος δηλονότι. Εἶτα, *Ἐγνώρισάς με ὁδοὺς ζωῆς*· καὶ Ὠσηὲ δὲ φανερώτερον φησί· *Καὶ ὑγιάσει ἡμᾶς μετὰ δύο ἡμέρας, ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ ἀναστησόμεθα, καὶ ζησόμεθα ἐνώπιον αὐτοῦ*, προσώπῳ ταῦτα λέγων τῶν κεκοιμημένων ἁγίων, ὧν τὰ σώματα συνηγέρθησαν τῷ Χριστῷ κατὰ τὴν τριήμερον ἀνάστασιν αὐτοῦ, *καὶ ἐνεφανίσθησαν πολλοῖς*, ὡς διδάσκει τὸ Εὐαγγέλιον. Φησὶ δὲ καὶ ὁ Ἑβραῖος Ἰώσηπος κατὰ τὸν ὀκτωκαιδέκατον τόμον τῆς *Ἀρχαιολογίας* αὐτοῦ· Γίνεται δὲ κατὰ τοῦτον τὸν χρόνον Ἰησοῦς σοφὸς ἄνθρωπος, εἴπερ ἄνδρα αὐτὸν λέγειν χρή. Ἦν γὰρ παραδόξων ἔργων ποιητὴς, διδάσκαλος ἀνθρώπων ἡδονῇ τἀληθῆ δεχομένων καὶ πολλοὺς μὲν τῶν Ἰουδαίων, πολλοὺς δὲ καὶ ἀπὸ τοῦ ἑλληνικοῦ ἐπηγάγετο. Ὁ Χριστὸς οὗτος ἦν, καὶ αὐτὸν ἐνδείξει τῶν παρ' ἡμῖν πρώτων ἀνδρῶν καθήλωσαν Ἰουδαῖοι σταυρῷ, ἐπιτετιμηκότος Πιλάτου. Οὐκ ἐξεπαύσαντο δὲ οἱ τὸ πρῶτον ἀγαπήσαντες τὰ αὐτοῦ καταγγέλλειν. Ἐφάνη γὰρ αὐτοῖς τρίτην ἔχων ἡμέραν πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτά τε καὶ ἄλλα μυρία περὶ αὐτοῦ θαυμάσια εἰρηκότων.

Περὶ τῆς ἐξ ἐθνῶν ἐκκλησίας ἐκ τῶν Ἡσαΐου.

Εὐφράνθητι, ἔρημος διψῶσα. Ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον, καὶ ἐξανθήσει, καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου. Καὶ ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ Καρμήλου. Αἰσθητῶς μὲν οὖν οὔτε γέγονεν, οὔτε γενήσεται ταῦτα. Τίς γὰρ ἂν ἕλοιτο τὴν ἔρημον οἰκῆσαι, εἰ μὴ τοὺς Χριστιανοὺς ἐρεῖς μοναχούς; Ἀναγωγικῶς δὲ,

[1] Psal. XXI, 17 sqq. [2] Isa. L, 6. [3] Psal. LXVIII, 22. [4] Isa. LIII, 7. [5] Ibid. 5. [6] Ibid. 9. [7] Psal. XV, 10, 11. [8] Ose. VI, 3. [9] Matth. XXVII, 53. [10] Isa. XXXV, 1, 2.

καὶ πάνυ. Ἔρημος μὲν γὰρ ἡ ἐξ ἐθνῶν ἐκκλησία τῶν ἀκάρπων πρὶν, καὶ ὄντως οἰκητήριον τῶν νοητῶν θηρίων, ἥτις φλεγομένη τῷ πυρὶ τῶν παθῶν ἐδίψα θεογνωσίας καὶ σωτηρίας. Καὶ τυχοῦσα τοῦ κηρύγματος εὐφραίνεται, καὶ ἀγαλλιᾶται, καὶ ἀνθεῖ τῇ φαιδρότητι, καὶ εὐωδίᾳ τῶν ἀρετῶν. Ἐδόθη δὲ αὐτῇ καὶ ἡ δόξα τοῦ Λιβάνου, τουτέστι τοῦ παλαιοῦ λαοῦ, ὃν καὶ Κάρμηλον ὠνόμασε. Δόξα δὲ τούτου καὶ τιμὴ ἡ εὐσέβεια, καὶ ἡ πρὸς Θεὸν οἰκείωσις, καὶ τὸ ὕψος τῆς δόξης καὶ τοῦ νόμου, καὶ τὸ τῶν θείων ἀντιλήψεων ἀμφιλαφὲς, καὶ τὸ τῶν χαρίτων κατάκομον. Καὶ πάλιν, *Εὐφράνθητι, στεῖρα, ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα.* Στεῖρα μὲν γὰρ ἡ δηλωθεῖσα ἐκκλησία, καὶ ἄγονος καρπῶν ἀρετῆς τὸ πρότερον, ὕστερον δὲ τὰ σπέρματα τῆς εὐσεβείας ὑποδεξαμένη πολύπαις ἐγένετο, νικήσασα τῇ πολυπληθείᾳ τὴν Ἰουδαϊκὴν συναγωγὴν, ἧς ἀνὴρ ὁ Θεὸς τὸ πρὶν, ἀγαπῶν καὶ προνοούμενος καὶ φυλάττων αὐτὴν, ἢ καὶ ὁ νόμος. Πάλιν δὲ προσώπῳ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Ἡσαΐας πρὸς τὸν Υἱὸν καὶ Θεόν φησιν· *Ἰδοὺ δέδωκά σε εἰς διαθήκην ἐθνῶν τοῦ καταστῆσαι τὴν γῆν, καὶ κληρονομῆσαι κληρονομίαν ἐρήμου*, καὶ τὰ ἑξῆς. Καὶ διὰ τοῦ Δαβὶδ γὰρ ἐπηγγείλατο τῷ Υἱῷ λέγων, *Καὶ δώσω σοι ἔθνη, τὴν κληρονομίαν σου.* Ὁ αὐτὸς δὲ Δαβὶδ παρεκάλει τὸν Πατέρα περὶ τούτων λέγων, *Κατάστησον, Κύριε, νομοθέτην ἐπ' αὐτούς.* Καὶ ὁ Ἡσαΐας δὲ εἴρηκε προσώπῳ τοῦ τοιούτου νομοθέτου· *Νόμος παρ' ἐμοῦ ἐξελεύσεται, καὶ ἡ κρίσις μου εἰς φῶς ἐθνῶν, καὶ εἰς τὸν βραχίονά μου ἔθνη ἐλπιοῦσι.* Τίς δὲ ὁ νόμος οὗτος παρὰ τὸν εὐαγγελικὸν, ὃς ἐφώτισε τὰ ἐσκοτισμένα τῇ πλάνῃ ἔθνη; Ὁ γὰρ Μωσαϊκὸς πρὸ πολλῶν ἐτῶν ἐξελήλυθεν.

A Nam gentium Ecclesia nullos antea fructus ferentium erat quædam veluti solitudo, in qua degebant vitiorum feræ. Hæc Dei cognitionem salutemque sitiens lætatur, et exsultat, et floret, fructuum pulchritudine et suavitate decorata. Data autem est illi gloria Libani, hoc est, antiqui populi, quem et Carmelum vocat, cujus gloria et honor est pietas, religio et amicitia Dei, et gloriæ legisque sublimitas, et divinorum munerum copia, atque gratiarum abundantia. Et rursum : *Lætare, sterilis, quæ non paris; erumpe et clama, quæ non parturis. Quoniam multi sunt filii magis desertæ, quam habentis virum* [1]. Sterilis enim erat Ecclesia, quam ostendimus, nec ullos ante ferebat virtutum fructus. B Post autem pietatem et religionem amplexa, multorum facta est filiorum mater, Judaicamque Synagogam, cujus antea vir erat Deus, qui eam diligebat, et providentia sua fovebat ac tuebatur, vel etiam lex, vicit fecunditate. Rursum ex persona Dei et Patris Filium et Deum alloquens sic ait Isaias : *Ecce dedi te in fœdus gentium, ut terram constituas, et solitudinis suscipias hæreditatem* [2], et quæ sequuntur. Quod etiam per Davidem Filio pollicitus est, *Et dabo*, inquiens, *gentes hæreditatem tuam* [3]. Ac ipse quidem David Patrem ad hoc hortabatur, *Constitue*, inquiens, *Domine*, *legislatorem super eos* [4]. At Isaias ex hujus legislatoris persona, *Lex*, inquit, *egredietur a me in lucem gentium, et in brachio meo gentes sperabunt* [5]. C Quænam alia est illa lex, præter evangelicam, quæ gentes in ignorantiæ tenebris aberrantes illustravit? Nam lex quidem Mosaica multis jam annis antecesserat.

Τοῦ αὐτοῦ.

Περὶ τῆς καινῆς διαθήκης τοῦ εὐαγγελίου πάλιν προεφήτευσεν Ἡσαΐας εἰπὼν, *Ἐκ Σιὼν ἐξελεύσεται νόμος καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ.* Ὁ γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς νῦν μὲν ἐν τῷ ὄρει Σιὼν καθήμενος, καὶ διδάσκων, νῦν δὲ ἐν τῇ πόλει τῇ Ἱερουσαλὴμ διατρίβων, ἐνομοθέτησε τὸν εὐαγγελικὸν νόμον τε καὶ λόγον. Οὐ γὰρ περὶ τοῦ Μωσαϊκοῦ νῦν φησιν ὁ προφήτης. Πῶς γὰρ, ὃς ἐν τῷ Σινᾷ ἐνομοθετήθη, ἀλλ' οὐκ ἐν Σιὼν, οὐδὲ ἐν Ἱερουσαλὴμ, καὶ πάλαι πολλῷ πρὸ τοῦ Ἡσαΐου, ὥσπερ ὁ εὐαγγελικὸς πολλῷ μετὰ τὸν Ἡσαΐαν; Διὸ καὶ προσφυῶς εἶπεν, ὅτι *ἐξελεύσεται*. Ὁ παλαιὸς γὰρ ἐξῆλθε. Περὶ τούτου δὲ τοῦ καινοῦ καὶ Ἱερεμίας προείρηκε λέγων, *Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ διαθήσομαι ὑμῖν διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν τῇ διαθήκῃ μου κἀγὼ ἠμέλησα αὐτῶν.* Συνεσκιασμένα δὲ ταῦτα καὶ τὰ τοιαῦτα, ἵνα μὴ ἀφανισθῶσι τὰ βιβλία. Ὅπου γὰρ παρόντα, καὶ θαυματουργοῦντα βλέποντες, καὶ τελείαν ἀπόδειξιν τῆς ἑαυτοῦ θεότητος παρεχόμε-

Ejusdem.

Jam de novo Evangelii testamento rursum Isaias ante locutus est : *Ex Sion*, inquiens, *exibit lex, et sermo Domini ex Jerusalem* [6]. Siquidem Dominus noster Jesus Christus nunc in monte Sion sedens et docens, nunc in civitate Jerusalem versans, legem et doctrinam evangelicam tradidit. Neque enim de Mosaica lege propheta nunc loquitur. Qui enim id fieri queat, cum ea non in Sion, nec in Jerusalem, sed in D monte Sion fuerit lata, multo antequam natus esset Isaias, quemadmodum evangelica multo post ipsum Isaiam tempore promulgata fuit? Quapropter apposite dixit : *Exibit*; quoniam antiqua lex jam exierat. Hoc autem tempus Jeremias item pronuntiavit his verbis : *Ecce veniunt dies, dicit Dominus, et feriam vobiscum fœdus novum, non secundum illud fœdus, quod inivi cum patribus vestris, qua die manum eorum apprehendi, ut educerem eos de terra Ægypti, quoniam illi fœdus meum non observarunt, et ego neglexi eos* [7]. Hæc et his similia obscure tradita sunt, ne delerentur libri. Nam qui Christum præsentem, et res admirabiles

[1] Isa. LIV, 1. [2] Isa. XLIX, 8. [3] Psal. II, 8. [4] Psal. IX, 21. [5] Isa. LI, 4. [6] Isa. II, 3. [7] Jerem. XXXI, 32.

efficientem, et certissima divinitatis suæ afferentem indicia contuentes non susceperunt, sed egerunt in crucem, hi scilicet prophetiis pepercissent de ipso loquentibus, si eas nulla contectas umbra, sed apertas ac nudas accepissent? Jam vero nos Christi nomine appellatum iri prædixit Isaias: *Vos*, inquiens, *tollet everteique Dominus. Illis autem, qui servient mihi, novum nomen imponet, quod in universa terra celebrabitur* [1]. Idemque rursus: *Videbunt*, inquit, *gentes gloriam tuam, et omnes reges justitiam tuam. Et vocabitur nomen novum, quod ipse Dominus pronuntiabit* [2]. Hoc Oseas item prædixit: *Et erit*, inquiens, *in novissimis temporibus nomen ejus illustre in universa terra. Et nomine illius multi populi appellabuntur. Et ibunt in viis ejus, et vivent in ipsis.*

Ejusdem.

Et in te precabuntur, quoniam in te Dominus est. Et non est Deus præter te. Tu enim es Deus, et non cognovimus. Illud, Et precabuntur in te, præsignificat eos, qui crediderunt in Christum. Illud autem, *Quoniam in te Deus est* [3], in carne assumpta præmonstrat divinitatem. At illud, *Tu enim es Deus, et non cognovimus*, excusationem indicat Judæorum in judicio futuro, quæ stulta atque inanis erit. Si Christus impostor fuit, quomodo quæ prædixit, eventu comprobata sunt omnia: ut ea, quæ ad templi destructionem, quæ ad civitatem Hierosolymorum expugnandam evertendamque, et ad internecionem Judæorum, quæque ad discipulos suos, et ad res admirandas, quas in nomine suo erant facturi, pertinentia prænuntiavit?

Item contra Hebræos, magni Joannis Chrysostomi capita maxime apposita, et opportuna ex eo selecta volumine quo orationes in Judæos continentur.

Si virum aliquem venerandum, atque præclarum in cauponam, aut latronum diversorium adductum cerneres, eumque deinde contumeliis et verberibus affectum gravissima eorum debacchantium probra perpeti animadverteres, propiereane cauponam, aut diversorium illud admirandum existimares, quod illuc insignis ille vir adductus esset? an potius detestareris ea, quæ perspiceres, et ab illis abhorreres, quod talis vir ibi tam indignis modis acceptus esset? Similem ejusmodi loco esse puta Synagogam Judæorum, qui Moysem et prophetas in illam adductos ignominia potius afficiunt, quam honore. Etenim cum dicant, eos nihil esse locutos de Christo, deque illius humanitate, imo vero voces eorum hoc indicantes corrumpant, nonne manifesta illos afficiunt ignominia? Nam et Serapidis templum hos libros a Ptolemæo descriptos continebat, neque tamen ob id quisquam templum illud sanctum existimabit. Ipsi quidem libri propriam habebant sanctitatem, sed eam templo non impertiebant propter impuritatem co-

A νον οὐκ ᾐδέσθησαν, ἀλλ' ἐσταύρωσαν, σχολῇ γ' ἂν τῶν περὶ αὐτοῦ προφητειῶν ἐφείσαντο, εἰ ταύτας ἀσυσκιάστους ἔλαβον καὶ γυμνάς; Ἔτι δὲ καὶ τὸ τοῦ Χριστοῦ ὄνομα κλῆσις ἡμῖν ἔσται, προείρηκε μὲν Ἡσαΐας, *Ὑμᾶς*, λέγων, *ἀνελεῖ Κύριος, τοῖς δὲ δουλεύουσί μοι κληθήσεται ὄνομα καινὸν, καὶ εὐλογηθήσεται ἐπὶ πάσης τῆς γῆς*. Καὶ αὖθις, *Ὄψονται ἔθνη τὴν δόξαν σου, καὶ πάντες οἱ βασιλεῖς τὴν δικαιοσύνην σου, καὶ κληθήσεται τὸ ὄνομα τὸ καινὸν, ὃ ὁ Κύριος ὀνομάσει αὐτό*. Προεῖπε δὲ καὶ Ὠσηὲ, *Καὶ ἔσται*, φήσας, *ἐπ' ἐσχάτων τὸ ὄνομα αὐτοῦ ἐμφανὲς ἐν πάσῃ τῇ γῇ, καὶ τῷ ὀνόματι αὐτοῦ ἐπικληθήσονται λαοὶ πολλοὶ, καὶ κατὰ τὰς ὁδοὺς αὐτοῦ πορεύσονται καὶ ζήσονται ἐν αὐταῖς.*

B

Τοῦ αὐτοῦ.

Καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ ὁ Θεός ἐστι, καὶ οὐκ ἔστι Θεὸς πλὴν σου. σὺ γὰρ εἶ Θεὸς, καὶ οὐκ ᾔδειμεν. Τὸ μὲν οὖν, Καὶ ἐν σοὶ προσεύξονται, προφητεία περὶ τῶν πιστευσάντων εἰς τὸν Χριστόν. Τὸ δὲ ὅτι *Ἐν σοὶ ὁ Θεός ἐστι*, τὴν ἐν τῷ προσλήμματι θεότητα καταγγέλλει. Τὸ δὲ, *Καὶ γὰρ εἶ Θεὸς, καὶ οὐκ ᾔδειμεν*, ἀπολογία τις τῶν Ἰουδαίων ἐν τῇ μελλούσῃ κρίσει, εἰ καὶ ματαία καὶ ἀπαράδεκτος. Εἰ πλάνος ἦν ὁ Χριστὸς, πῶς ὅσα προείρηκεν εἰς τέλος ἐξέβησαν; Οἷον τὰ περὶ τῆς ἐρημώσεως τοῦ ναοῦ τῶν Ἱεροσολύμων, καὶ τῆς ἁλώσεως, καὶ τῆς καταστροφῆς τῆς πόλεως, καὶ τῆς πανωλεθρίας τῶν C Ἰουδαίων, καὶ ὅσα περὶ τῶν μαθητῶν αὐτοῦ, καὶ τῶν ἐν ὀνόματι αὐτοῦ θαυμάτων, καὶ ἁπλῶς ἅπαντα.

Ἔτι κατὰ Ἑβραίων, τοῦ μεγάλου Ἰωάννου τοῦ Χρυσοστόμου κεφάλαια καιριώτατα ἐπιλεγέντα ἐκ τῆς βίβλου τῆς περιεχούσης τοὺς κατὰ τῶν Ἰουδαίων λόγους αὐτοῦ.

Εἴ τινα εἶδες ἄνθρωπον αἰδέσιμον. καὶ λαμπρὸν εἰς καπηλεῖον εἰσαχθέντα, ἢ εἰς καταγώγιον λῃστῶν, εἶτα ὑβριζόμενον ἐκεῖ, καὶ τυπτόμενον, καὶ τὴν ἐσχάτην ὑφιστάμενον παροινίαν, ἆρα ἂν ἐθαύμασας τὸ καπηλεῖον, ἢ τὸ σπήλαιον, ὅτι ἔνδον αὐτῶν ὁ θαυμαστὸς ὅλως εἰσήχθη; ἢ μᾶλλον ἐβδελύξω ταῦτα, καὶ ἀπεστράφης, ὅτι ἔνδον αὐτῶν ὑβρίζεται; Τοιοῦτον εἶναι νόμιζε καὶ τὸν τόπον τῆς συναγωγῆς τῶν D Ἰουδαίων. Τὸν γὰρ Μωσέα καὶ τοὺς προφήτας εἰσαγαγόντες ἐκεῖ μᾶλλον ἀτιμάζουσιν, ἢ τιμῶσιν. Ὅταν γὰρ λέγωσι μηδὲν αὐτοὺς εἰρηκέναι περὶ τοῦ Χριστοῦ καὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ, μᾶλλον δὲ παραφθείρωσι τὰς τοῦτο διδασκούσας ῥήσεις αὐτῶν, πότερον οὐ προδήλως αὐτοὺς ὑβρίζουσιν; Ἐπεὶ καὶ ὁ τοῦ Σαράπιδος ναὸς εἶχε τὰς βίβλους ταύτας μεταγραφείσας παρὰ Πτολεμαίου τοῦ φιλαδέλφου, ἀλλ' οὐ διὰ τοῦτο φαίη τις ἂν ἅγιον ἐκεῖνον. Αὗται μὲν γὰρ εἶχον τὴν οἰκείαν ἁγιωσύνην, οὐ μεταδεδώκασι δὲ ταύτης καὶ τῷ ναῷ, διὰ τὴν τῶν ἐκεῖ συνιόντων μιαρίαν. Ἀλλὰ καὶ Ἀζώτιοι, τὴν κιβωτόν ποτε λαβόντες, εἰς τὸ ἱερὸν αὐτῶν εἰσήγαγον, καὶ οὐδὲν

[1] Isa. LXV passim. [2] Isa. LXII, 2. [3] Isa. XLV, 14.

ἧττον ἐκεῖνο μιαρὸν ἦν. Ὥστε διὰ τοῦτο μάλιστα μισεῖν Ἰουδαίους, καὶ τὴν συναγωγὴν αὐτῶν δίκαιον, ὅτι οὕτως ἐμπαροινοῦσιν εἰς τὸν Μωσέα καὶ τοὺς προφήτας. Βίβλοι γὰρ ἀναγινωσκόμεναι μετὰ ἀπιστίας, οὔτε τόπον, οὔτε τοὺς ἀναγινώσκοντας ἁγιάσαι δύνανται. Δικαίως ἐῤῥέθη πρὸς αὐτοὺς, ὅτι *Σπήλαιον ὑαίνης ἐγένετό μοι ὁ οἶκος ὑμῶν*· ὑαίνης ὁμοῦ καὶ ἀκαθάρτου θηρίου.

rum, qui illuc ingrediebantur. Quid Azotii? nonne arcam captam in templum suum introduxerunt, quod tamen permansit impurum? Æquum igitur est, Judæos, et eorum Synagogam ideo potissimum exsecrari, quod in Moysem et prophetas insaniunt et debacchantur. Librorum enim lectio, si fides absit, nec locum, nec legentes sanctos possunt efficere. Itaque merito in eos dictum est: *Domus hyænæ factus est mihi locus vester*; hyænæ inquam, crudelis et exsecrandæ feræ.

Τοῦ αὐτοῦ.

Εἰ μὴ τοὺς προφήτας εἶχον, εἰ μὴ τὰς ἱερὰς βίβλους ἀνεγίνωσκον, οὐκ ἂν οὕτως ἦσαν ἀκάθαρτοι καὶ βέβηλοι. Νῦν δὲ πάσης ἀπεστέρηνται συγγνώμης, ὅτι τοὺς κήρυκας τῆς ἀληθείας ἔχοντες, πρὸς αὐτοὺς ἐκείνους, καὶ πρὸς τὴν ἀλήθειαν ἀπομάχονται.

Ejusdem.

Nisi prophetas haberent, et sacros libros legerent, non essent tam detestabiles et profani. Nunc autem nullam merentur veniam, qui cum præcones habeant veritatis, adversus illos veritatemque depugnant.

Τοῦ αὐτοῦ.

Ἐπὶ τῶν Ἰουδαϊκῶν ἑορτῶν οὐ μόνον καιρὸν, ἀλλὰ καὶ τόπον παρατηρεῖν ἐκέλευσεν ὁ Θεός. Καθάπερ γὰρ τοῦ πάσχα καιρὸς μὲν ἡ ιδʹ τοῦ μηνὸς τοῦ πρώτου, τόπος δὲ τὰ Ἱεροσόλυμα, οὕτω δὴ καὶ τῶν ἄλλων. Ἀλλ' ὁ μὲν καιρὸς τῶν ἑορτῶν διάφορος, ὁ δὲ τόπος εἷς. Καὶ οὐκ ἐξῆν ἢ τὸν καιρὸν, ἢ τὸν τόπον παραβαίνειν. Μᾶλλον δὲ τὸν μὲν καιρὸν ἐπὶ τοῦ Πάσχα δι' ἀνάγκην συνεχωρεῖτο παραβαίνειν, τὸν δὲ τόπον οὐδαμῶς. *Οὐ δύνασαι γὰρ ποιεῖν τὸ Πάσχα*, φησὶν, *ἐν οὐδεμιᾷ τῶν πόλεων, ὧν Κύριος ὁ Θεός σου δίδωσί σοι, ἀλλ' ἢ ἐν μόνῳ τῷ τόπῳ, ᾧ ἂν ἐκλέξηται Κύριος ὁ Θεός*. Τί οὖν; ἑαυτῷ ἐναντιοῦται, θύειν μὲν ἐν ἑνὶ τόπῳ νομοθετήσας, αὐτὸν δὲ πάλιν τὸν τόπον καταστρέψας, καὶ ἄβατον Ἰουδαίοις ἐργασάμενος; Οὐδαμῶς. Ἀλλ' ἐπείπερ οὐδὲ παρὰ τὴν ἀρχὴν αὐτοῖς δοῦναι τὰς θυσίας ἐβούλετο, κατενόει δὲ μαινομένους, ἀγχομένους, ἐπιθυμοῦντας θυσιῶν, καὶ παρεσκευασμένους, εἰ μὴ λάβοιεν, αὐτομολῆσαι πρὸς εἰδωλολατρείαν, οἰκονομικῶς ἐπέτρεψεν αὐτὰς, τῶν εἰδώλων εἰς ἑαυτὸν ταύτας μεταστήσας. Καὶ συνεχώρησε τὸ μεῖον κακὸν, ἵνα μὴ τῷ μείζονι περιπέσοιεν. Εἶτα διὰ σοφωτάτης μεθόδου καὶ ταύτας περιεῖλε, τὰς μὲν θυσίας ἐν μιᾷ πόλει περιορίσας, τὴν δὲ πόλιν ταύτην καθελὼν ὕστερον, ἵνα μὴ δυνάμενοι θύειν ἔξω ταύτης διὰ τὸν νόμον, εὐμηχάνως ταύτας ἀφαιρεθεῖεν. Καὶ τὸ δὴ θαυμαστὸν, πᾶσα μὲν ἀνεῖται τοῖς Ἰουδαίοις ἡ οἰκουμένη ἔνθα θύειν οὐκ ἔξεστι, μόνη δὲ τούτοις ἡ Ἱερουσαλὴμ ἀποκέκλεισται, ἔνθα θύειν μόνον ἐξῆν. Ὥσπερ γὰρ οἰκοδόμος θεμελίους θεὶς, τοίχους ἀναστήσας, ὄροφον καμαρώσας, τὴν καμάραν ἐκείνην εἰς ἕνα τινὰ λίθον μέσον συνέδησεν, εἶτα τὸν λίθον ἐκεῖνον ἀφελὼν, τὸν πάντα τῆς οἰκοδομῆς διέλυσε σύνδεσμον, οὕτω καὶ ὁ Θεὸς[1], καθάπερ τινὰ σύνδεσμον τῆς διὰ θυσιῶν λατρείας τὴν Ἱερουσαλὴμ ὁρισάμενος, εἶτα ταύτην ἀνατρέψας ὁμοῦ κατέλυσε καὶ τὴν λατρείαν τῶν θυσιῶν.

Ejusdem.

Judaicis celebritatibus non solum tempus, sed etiam locum observandum præscripsit Deus. Exempli gratia, tempus ad Pascha celebrandum præfinitum erat dies quartus decimus mensis primi; locus autem Hierosolyma. At cum celebritatum tempora essent diversa, locus erat unus. Cumque a præscripto tempore et loco recedere nefas esset, necessitati tamen concedebatur, ut tempus in observando Paschate minus observaretur. Locum autem nullo pacto licebat non observare: *Non poteris*, inquit, *celebrare Pascha in ulla earum civitatum, quas tibi Deus tradet, præter illam, quam Dominus Deus elegerit*[1]. Quid? sibine ipse adversatur? qui cum uno in loco jubeat sacrificare, eum ipsum locum sic evertit, ut ad eum Judæi nequeant accedere? Minime vero, sed quemadmodum illis ne victimas quidem initio volebat concedere, quas tamen, cum illos insanos, anxios, et earum ita cupidos intelligeret, ut nisi immolandi potestatem accepissent, ad simulacrorum cultum ultro essent præcipites ruituri, eo consilio concessit, ut eos a simulacris ad se colendum converteret, minore malo permisso, ne in gravius incurrerent, sic sapientissima brevissimaque ratione illas sustulit, cum in una tantum civitate immolare permitteret, hanc autem evertendam ac delendam curaret, ut, cum extra illam mactare victimas per legem non liceret, ea sublata victimæ tollerentur. Totus enim terrarum orbis, quod quidem mirabile est, Judæis conceditur, ubi sacrificare non licet, a sola autem Jerusalem excluduntur, in qua una illis, ut sacrificent, permissum est. Nam ut architectus, si jactis fundamentis, erectisque parietibus, fastigii testudinem ad lapidem unum in medio positum devinciat, eo lapide sublato totum evertit ædificium: ita Deus cum quoddam veluti sacrificiorum vinculum Jerusalem constituisset, hac eversa victimas immolandi jus abrogavit.

Τοῦ αὐτοῦ.

Ὅτι οὐδὲ ταῖς θυσίαις ἀρεσκόμενος ὁ Θεὸς ἐνομο-

Ejusdem.

Quod autem Deus sacrificandi leges tulit, non

[1] Deut. xvi, 5, 6.

quod ipse victimis placaretur, sed quia Judæorum tanquam infantium indulgeret imbecillitati, per Isaiam ostendit : *Non est*, inquit, *mihi voluntas in vobis. Plenus sum. Holocausta arietum, et adipem agnorum, et sanguinem taurorum, et hircorum nolo. Quis enim exquisivit hæc e manibus vestris? Si obtuleritis siliginem, inane suffimentum, fastidium mihi est* [1]. Et rursum : *Non honorasti me*, inquit, *victimis nec donis servisti mihi* . Et per Jeremiam : *Cur*, inquit, *thus e Saba fertis? et cinnamomum ex terra longinqua* [2]? Et rursum : *Holocausta vestra*, inquit, *non placuerunt mihi* . Et rursum : *Holocausta vestra cum victimis vestris odit anima mea.* Ad hæc : *Non locutus sum*, inquit, *patribus vestris de victimis, neque de holocaustis mandavi illis.* Nam si hæc exquisivisset, veteres, qui ante illos fuerunt illustres, primos ad illa compulisset. Nunc autem quæ ad tempus concessit, rursus abrogat. Per Davidem enim, *Non suscipiam*, inquit, *de domo tua vitulos, neque de gregibus tuis hircos;* et, *Numquid manducabo carnes taurorum, aut sanguinem hircorum potabo* [3]? et multa ejusmodi. Deinde sacrificium rationi congruens introducit : *Misericordiam*, inquiens, *volo, et non sacrificium.* Et : *Ecce præstat obedire, quam immolare.* Et : *Sacrificium laudis honorificabit me.* Et : *Magnificabo nomen Dei mei cum laude* . Et : *Placebit Deo super vitulum novum* [4] . Et : *Sacrificium Deo spiritus contribulatus* [5]. Et : *Sacrificium et oblationem noluisti, corpus autem compegisti mihi* [6], corpus Domini utique, quod a sacerdotibus quotidie offertur, et dignis distribuitur, ut ejus participes fiant.

A θέτησε περὶ τούτων, ἀλλὰ ταῖς ἀσθενείαις τῶν Ἰουδαίων ὡς νηπίων ἔτι συγκαταβαίνων ἐδήλωσε μὲν καὶ διὰ Ἠσαΐου λέγων, *Οὐκ ἔστι μοι θέλημα ἐν ὑμῖν. Πλήρης εἰμί, ὁλοκαυτώματα κριῶν, καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι. Τίς γὰρ ταῦτα ἐξεζήτησεν ἐκ τῶν χειρῶν ὑμῶν;* Καὶ *ἐὰν προσφέρητέ μοι σεμίδαλιν, μάταιον θυμίαμα, βδέλυγμά μοί ἐστι.* Καὶ αὖθις, *Οὐκ ἐδόξασάς με ἐν θυσίαις, οὐδὲ ἐδούλευσάς μοι ἐν δώροις.* Καὶ διὰ Ἱερεμίου· *Ἵνα τί μοι λίβανον ἐκ Σαβᾶ φέρετε, καὶ κινάμωμον ἐκ γῆς μακρόθεν; Τὰ ὁλοκαυτώματα ὑμῶν οὐχ ἥδυνάν με.* Καὶ πάλιν, *Τὰ ὁλοκαυτώματα ὑμῶν μετὰ τῶν θυσιῶν ὑμῶν μεμίσηκεν ἡ ψυχή μου.* Καὶ πρὸς τούτοις, *Οὐκ ἐλάλησα πρὸς τοὺς πατέρας ὑμῶν περὶ θυσιῶν, οὐδὲ περὶ ὁλοκαυτωμά-* B *των ἐνετειλάμην αὐτοῖς.* Εἰ γὰρ ταῦτα ἐζήτει, τοὺς παλαιοὺς ἂν τοὺς πρὸ αὐτῶν λάμψαντας, πρώτους ἤγαγεν ἐπὶ ταῦτα. Νῦν δὲ κατὰ καιρὸν αὐτὰ συγχωρήσας αὖθις ἀπελαύνει. Φησὶ γὰρ καὶ διὰ Δαβίδ, *Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάῤῥους.* Καί, *Μὴ φάγωμαι κρέα ταύρων, ἢ αἷμα τράγων πίωμαι;* καὶ πολλὰ τοιαῦτα. Εἶτα τὴν λογικὴν ἀντεισάγει λατρείαν, λέγων, *Ἔλεον θέλω, καὶ οὐ θυσίαν.* Καί, *Θυσία αἰνέσεως δοξάσει με.* Καί, *Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει.* Καί, *Ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον.* Καί, *Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι*, δηλαδὴ τὸ Δεσποτικόν, τὸ παρὰ τῶν ἱερέων ἑκάστοτε θυόμε- C νον, καὶ τοῖς ἀξίοις διανεμόμενον εἰς μετάληψιν.

Ejusdem.

Interrogentur Hebræi, quomodo festos dies celebrent. Nonne perspicuum est, eos, cum celebritatis loco careant, si sacrificent, a legis præscripto discedere? Nam si prophetæ, qui captivi olim abducti fuerant, amissa Jerusalem sacrificare non audebant : Non est enim, dicebant, in hoc tempore holocaustum, nec sacrificium, nec oblatio, non locus, ut fructum feramus coram te, et inveniamus misericordiam. Quin etiam cum canere cogerentur ab iis, a quibus in servitute detinebantur, aliquem e canticis Sion, recusabant, dicentes : *Quomodo cantabimus canticum Domini in terra aliena* [7]? Atque per Zachariam Dominus aliis dicit : *Jejuniumne jejunastis septuaginta annis* [8]? quibus nimirum captivi premebantur servitute. Quomodo igitur cum sacrificium non sit, neque canticum, neque jejunium, et nulla idcirco celebritas, siquidem omnis legitima celebritas sacrificio peragebatur, audent isti, jejunium aut diem festum agere, aut ullum omnino cultum lege præscriptum exsequi? Quod autem prophetæ neque immolarent Pascha, neque diem alium festum ullum peragerent, ex Danielis jejunio intel-

Τοῦ αὐτοῦ.

Ἐρωτάσθωσαν Ἰουδαῖοι πῶς ἑορτάζουσι μὴ ἔχοντες τόπον ἑορτῆς; Ἆρ' οὐ προδήλως παρανομοῦσιν; Εἰ γὰρ οἱ αἰχμαλωτισθέντες πάλαι προφῆται οὔτε θύειν ἐτόλμων, ἐκπεπτωκότες τῆς Ἱερουσαλήμ· Οὐκ ἔστι γάρ, φησίν, ἐν τῷ καιρῷ τούτῳ οὐδὲ ὁλοκαύτωμα, οὐδὲ θυσία, οὐδὲ προσφορά, οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου, καὶ εὑρεῖν ἔλεος. Ἀλλὰ καὶ ᾄδειν ἐκ τῶν ᾠδῶν Σιὼν ἀναγκαζόμενοι παρὰ τῶν αἰχμαλωτισάντων οὐκ ἠνείχοντο, λέγοντες, *Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;* Ναὶ μὴν καὶ διὰ Ζα- D χαρίου ὁ Θεὸς ἑτέροις ἔλεγε, *Μὴ νηστείαν νενηστεύκατέ μοι ἔτη ἑβδομήκοντα;* δηλονότι τὰ τῆς αἰχμαλωσίας. Ὅπου δὲ θυσία οὐκ ἦν, οὐδὲ ᾠδή, οὐδὲ νηστεία πάντως, οὐδὲ ἑορτή· πᾶσα γὰρ ἑορτὴ νομικὴ διὰ θυσίας ἐπετελεῖτο· πῶς τολμῶσιν οὗτοι νηστεύειν, ἢ ἑορτάζειν, ἢ ὅλως νομικήν τινα λατρείαν ἐπιτελεῖν; Ὅτι δὲ οἱ προφῆται οὐδὲ τὸ Πάσχα ἔθυον, οὐδ' ἄλλην ἑορτὴν ἐν ἀλλοτρίᾳ γῇ, δῆλον καὶ ἀπὸ τῆς νηστείας τοῦ Δανιήλ. Ἀρξάμενος γὰρ ἀπὸ τῆς τρίτης ἡμέρας τοῦ πρώτου μηνός, ἐνήστευσε τρεῖς ἑβδομάδας ἄχρι τῆς εἰκοστῆς τετάρτης αὐτοῦ· ἐν τούτῳ δὲ τῷ μηνὶ καὶ ἡ ἑορτὴ

[1] Isa. i, passim. [2] Jer. vi, 20. [3] Psal. xlix, 9, 13. [4] Psal. lxviii, 31, 32. [5] Psal. l, 19. [6] Psal. xxxix, 7. [7] Psal. cxxxvi, 4. [8] Zach. vii, 5.

τοῦ Πάσχα ἦν, καὶ ἡ τῶν Ἀζύμων, ἡ μὲν κατὰ τὴν ιδ', ἡ δὲ ἀπὸ τῆς ιε' ἄχρι τῆς κα', ἐν αἷς νηστεύειν θέμις οὐκ ἦν.

ligi potest, qui cum tertio primi mensis die jejunare cœpisset, tres hebdomadas jejunavit, atque ad vicesimum quartum ejusdem mensis diem. Quo quidem mense celebritas erat tum Paschatis, tum Azymorum, Paschatis quidem die mensis quartodecimo; Azymorum autem a quartodecimo usque ad vicesimum primum, quibus diebus jejunare nefas erat.

Τοῦ αὐτοῦ.

Ἐὰν δὲ λέγωσιν ὅτι Προσδοκῶμεν τὴν πόλιν ἀπολαβεῖν, εἰπὲ πρὸς αὐτούς, Οὐκοῦν ἡσυχάσατε ἕως ἀπολάβητε αὐτήν. Καὶ γὰρ καὶ οἱ πρὸ ὑμῶν αἰχμαλωτισθέντες ἅγιοι μέχρις ἂν ἀπέλαβον αὐτήν, οὐδὲ μίαν νομικὴν ἐπετέλουν λατρείαν· σὺ δὲ τούτους ὑπερορῶν προδήλως παρανομεῖς.

Ejusdem

Quod si responderint, sperare se civitatem recuperaturos, dic illis : Ergo quiescite, quoad illam recuperetis. Nam et sancti viri, qui ante vos in captivitatem ducti sunt, nullum egerunt sacrificium, antequam illam recuperarunt. Vos autem illos aspernantes aperte disceditis ab ipsa lege.

Τοῦ αὐτοῦ.

Χρίσματος οὐκ ὄντος, οὐκ ἔχεις ἱερέα· μὴ ὄντος ἱερέως, οὐκ ἔχεις θυσίαν, οὐδὲ λατρείαν τινά.

Ejusdem.

Cum absit unctio, non habes sacerdotem, absente sacerdote, nec sacrificium habes, nec ullum cultum.

Τοῦ αὐτοῦ.

Προμηνύων ὁ Θεὸς τὴν κατάλυσιν τῆς νομικῆς ἱερωσύνης, εἴρηκε διὰ τοῦ Δαβίδ· *Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ*, ὃς οὐ θυσίας νομικὰς ἱέρευεν, ἀλλ' εὐχάς, καὶ ἄρτον, καὶ οἶνον, ὡς ἡ ἱστορία διδάσκει. Πρόδηλον τοίνυν ὡς τῇ μὲν ἱερωσύνῃ τοῦ Ἀαρὼν συνανῃρέθη καὶ ἡ νομικὴ πολιτεία, τῇ δὲ τοῦ Μελχισεδὲκ συναντεισήχθη πολιτεία προσήκουσα.

Ejusdem.

Deus significans sacrificia lege constituta abrogatum iri, per Davidem, *Tu es*, inquit, *sacerdos in æternum secundum ordinem Melchisedech* [1], qui non legis sacrificia, sed preces, et panem ac vinum obtulit. Constat igitur una cum Aaronis sacerdotio sublatam esse legis administrationem, in cujus locum administrandi ratio congruens Melchisedech administrationi successit.

Τοῦ αὐτοῦ.

Οὐδὲν ἀθλιώτερον τῶν Ἰουδαίων. Ὅτε μὲν γὰρ ἔδει τηρεῖν τὸν νόμον, παρέβαινον αὐτόν, ὅτε δὲ οὐκ ἔδει, τηρεῖν ἐπιχειροῦσι, καὶ παροργίζουσι τὸν Θεόν, οὐ μόνον παραβαίνοντες, ἀλλὰ καὶ φυλάττοντες.

Ejusdem.

Nihil est Judæis infelicius, qui cum legi parendum esset, eam aspernabantur ; nunc autem cum illi parendum non sit, eam conantur observare, Deumque, non solum violantes legem, verum etiam illam observantes, irritant.

Τοῦ αὐτοῦ.

Τρεῖς δουλείας Ἰουδαῖοι χαλεπὰς ὑπέμειναν, τὴν ἐν Αἰγύπτῳ, τὴν ἐν Βαβυλῶνι, τὴν ἐπὶ Ἀντιόχου τοῦ Ἐπιφανοῦς. Οὐδεμίαν δὲ χωρὶς προρρήσεως ἐπήγαγεν αὐτοῖς ὁ Θεός, ἀλλ' ἐφ' ἑκάστης καὶ τὸν ἀριθμὸν τῶν ἐτῶν ἐμήνυσε, τῆς μὲν ἔτη τετρακόσια, τῆς δὲ ἑβδομήκοντα, τῆς δὲ ἔτη τρία ἥμισυ, καὶ μικρόν τι πρός, καὶ τὴν ἐλευθερίαν εὐηγγελίσατο. Καὶ περὶ μὲν τῆς ἐν Αἰγύπτῳ προείρηκεν ὁ Θεὸς τῷ Ἀβραάμ, *Γινώσκων γνώσῃ ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ. Καὶ δουλώσουσιν αὐτό, καὶ κακώσουσιν ἔτη τετρακόσια. Τὸ δὲ ἔθνος ᾧ ἂν δουλεύσωσι κρινῶ ἐγώ· τετάρτη δὲ γενεᾷ ἐπαναλεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς.* Ἔμαθες ἤδη τὸν ἀριθμὸν τῶν ἐτῶν, ὅτι τετρακόσια· καὶ τὴν πικροτάτην δουλείαν, ὅτι Κακώσουσιν αὐτό· καὶ τὴν δίκην τῶν δουλωσαμένων, κατακριθέντων ἐναποπνιγῆναι τοῖς ὕδασι· καὶ τὸν τρόπον τῆς ἀπαλλαγῆς, ὅτι Μετὰ ἀποσκευῆς πολλῆς, δηλαδὴ χρημάτων. Περὶ δὲ τῆς ἐν Βαβυλῶνι προεφήτευσεν Ἱερεμίας εἰρηκώς, *Εἶπε Κύριος· Ὅταν μέλλῃ πληροῦσθαι τῇ Βαβυλῶνι ο' ἔτη, ἐπισκέψομαι ὑμᾶς, καὶ ἐπιστήσω ἐφ' ὑμᾶς τοὺς λόγους μου τοὺς ἀγαθούς, τοῦ ἀποστρέψαι εἰς τὸν τόπον τοῦτον. Καὶ ἐπιστρέψω τὴν αἰχμαλω-*

Ejusdem.

Tres servitutes Judæi gravissimas pertulerunt, unam in Ægypto, alteram in Babylone, tertiam sub Antiocho cognomento Illustri. Harum nullam intulit Deus, quam non ante prædixerit. Singulis enim præfinitum annorum numerum indicavit, primæ quadringentorum, secundæ septuaginta, tertiæ trium cum dimidio, et paulo amplius. Quo quidem absoluto temporis spatio libertatem recepturos prænuntiavit. Ac de illa quidem, quæ fuit in Ægypto, sic cum Abraham locutus est : *Sciens scito, quod semen tuum peregrinum erit in terra non sua, et eos servituti subjicient, et affligent annis quadringentis. Gentem autem, cui servierint, ego judicabo. Quarta autem generatione huc revertentur cum magna copia* [2]. Intellexisti jam et annorum numerum, nempe quadringentorum ; et servitutis acerbitatem, Nam Affligent, inquit; et supplicium eorum a quibus prementur servitute ; nam Ego, inquit, eos judicabo, ita nimirum, ut aquis absorbeantur ; et liberationis modum : Cum magna, inquit, copia, pecuniarum utique. De illa autem, quæ fuit in Babylone Jeremias propheta prædixit ad hunc modum : *Dixit Dominus : Cum cœperint impleri Babyloni septuaginta anni, visitabo*

[1] Psal. CIX, 4. [2] Gen. XV, 13, 14.

vos, et statuam super vos verba mea bona, ut reverta-mini in locum hunc, et convertam captivitatem vestram, et congregabo vos ex omnibus gentibus, in quas dispersi vos, inquit Dominus, et convertam vos in locum unde demigrare vos feci [1]. Vides omnia vere enumerata ? Itaque Daniel non ante pro illis supplicavit, quam septuaginta anni, ut ait ipse, completi sunt, ne ipse quoque audiret, quod audierat Jeremias : *Ne oraveris pro populo hoc neque postulaveris pro illis, quoniam non audiam te* [2]. Ac justus quidem orans condemnabat se, *Peccavimus* inquiens, *injuste egimus, iniquitatem fecimus*. At illi qui malorum erant pleni, contra se gerebant. Servavimus, aiebant, mandata tua. Et nunc beatos dicimus alienos, et nunc reædificant, qui fecerunt iniqua. Nam ut boni solent post recte facta modeste de se sentire, sic improborum mos est, ut post admissa peccata se jactitent. De illa vero quæ fuit sub Antiocho Illustri dilucide locutus est Daniel, qui arietem quidem appellat Darium Persarum regem, hircum autem regem Macedonum Alexandrum ; quatuor vero illius cornua, reges qui Alexandro defuncto imperium ipsius diviserunt, posterius autem cornu illum, quem diximus, Antiochum. Tum declarans administrationis Judaicæ eversionem, quam hic intulit : *Per ipsum*, inquit, *conturbatum est sacrificium, et sanctum vastabitur. Et datum est peccatum in sacrificium* [3]. Simulacrum enim in templo constituit, cui scelestas hostias immolavit. *Et humi dejecta est justitia.* Legis judicia intelligit. Et alio prophetiæ suæ loco longius hæc repetens latiusque declarans cum ad Antiochum pervenisset, addidit : *Brachia exorientur, et profanabunt sanctum, et transferent continuationem*, hoc est solemnes et quotidianas victimas. *Et inferent in ipsum abominationem*, nempe simulacrum, *et gladio atque igni debilitabuntur* (civitatis incendium intelligit) *et captivitate, et direptione. Et interim, dum infirmabuntur, auxilio parvo adjuvabuntur* (inducias significat), deinde causam, calamitatum subjicit : *Ut igne in ipsis probentur, et eligantur albique fiant, usque ad temporis finem* [4], hoc est, ut probentur electi, et purgentur illi qui peccaverunt. Tum de maledicto Antiochi in Deum locutus, ita prosequitur : *Et prospere aget donec finiatur ira*, id est, donec impleatur ira Dei adversus Judæos. Cumque denuntiasset et alia multa, et ad horum commutationem pervenisset : *Et consurget*, inquit, *Michael princeps magnus, qui stat pro filiis populi tui. Et erit tempus afflictionis, quale non fuit, ex quo gens exstitit super terram usque ad tempus illud. Tunc omnis populus servabitur, qui inventus fuerit descriptus* [5], nimirum in libro viventium, hoc est, ii, qui erunt salute digni. *A tempore autem*, inquit, *mutationis Endelechismi*, hoc est, solutionis sacrificii, *dies erunt mille duceati nonaginta*. Quod quidem spatium tres annos, et dimidium, et paulo

A *σίαν ὑμῶν, καὶ ἀθροίσω ὑμᾶς ἐκ πάντων τῶν ἐθνῶν, οὗ διέσπειρα αὐτοὺς ἐκεῖ*, φησὶ *Κύριος, καὶ ἐπιστρέψω ὑμᾶς εἰς τὸν τόπον ὅθεν ἀπῴκισα ὑμᾶς ἐκεῖθεν*. Εἶδες πάντα μετὰ ἀληθείας προδηλωθέντα ; Διὰ τοῦτο καὶ ὁ Δανιὴλ οὐ πρότερον περὶ αὐτῶν ἱκέτευσεν, ἕως οὗ τὰ ἑβδομήκοντα ἔτη συνετελέσθησαν, ὡς αὐτός φησιν, ἵνα μὴ ἀκούσῃ καὶ αὐτὸς, ὅπερ ἤκουσεν Ἱερεμίας, *Μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀξίου περὶ αὐτῶν ὅτι οὐκ εἰσακούσομαί σου*. Καὶ ὁ μὲν δίκαιος προσευχόμενος ἑαυτὸν κατεδίκαζε λέγων, *Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν*. Οἱ δὲ μυρίων γέμοντες κακῶν τοὐναντίον ἐποίουν φάσκοντες· Ἐφυλάξαμεν τὰ προστάγματά σου, καὶ νῦν μακαρίζομεν ἀλλοτρίους, καὶ ἀνοικοδομοῦνται
B οἱ ποιοῦντες ἀνομήματα. Ὥσπερ γὰρ τοῖς ἀγαθοῖς ἔθος μετὰ τὰ κατορθώματα μετριοφρονεῖν, οὕτω καὶ τοῖς πονηροῖς μετὰ τὰ ἁμαρτήματα ἐπαίρεσθαι. Περὶ δὲ τῆς Ἀντιόχου τοῦ Ἐπιφανοῦς προηγόρευσε σαφῶς ὁ Δανιήλ. Κριὸν μὲν γὰρ ἐκάλεσε τὸν βασιλέα τῶν Περσῶν Δαρεῖον, τράγον δὲ τὸν βασιλέα τῶν Μακεδόνων Ἀλέξανδρον, τέσσαρα δὲ τούτου κέρατα, τοὺς μετ' ἐκεῖνον διελομένους τὴν ἀρχὴν αὐτοῦ βασιλεῖς, ὕστερον δὲ κέρας τὸν εἰρημένον Ἀντίοχον. Εἶτα δηλῶν τὴν δι' αὐτοῦ καθαίρεσιν τῆς Ἰουδαϊκῆς πολιτείας φησί· *Δι' αὐτὸν θυσία ἐταράχθη, καὶ τὸ ἅγιον ἐρημωθήσεται, καὶ ἐδόθη ἐπὶ τὴν θυσίαν ἁμαρτία*. Εἴδωλον γὰρ ἐν τῷ ναῷ στήσας, θυσίας μιαρὰς ἐπετέλει τούτῳ·
C *Καὶ ἐῤῥίφη χαμαὶ δικαιοσύνη*, τὰ δικαιώματα τοῦ νόμου λέγων. Καὶ αὖθις περὶ τούτων ἐν ἑτέρῳ τόπῳ τῆς προφητείας αὐτοῦ διηγησάμενος ἄνωθεν πλατύτερον, καὶ εἰς τὸν Ἀντίοχον κατελθὼν προστίθησι· *Βραχίονες ἀναστήσονται, καὶ βεβηλώσουσι τὸ ἁγίασμα, καὶ μεταστήσουσι τὸν ἐνδελεχισμὸν*, ἤτοι τὰς ἐνδελεχεῖς καὶ καθημερινὰς θυσίας· *καὶ δώσουσιν εἰς αὐτὸν βδέλυγμα*, δηλαδὴ εἴδωλον, *καὶ ἀσθενήσουσιν ἐν ῥομφαίᾳ, καὶ ἐν φλογὶ*, τὸν ἐμπρησμὸν τῆς πόλεως αἰνιττόμενος· *καὶ ἐν αἰχμαλωσίᾳ, καὶ ἐν διαρπαγῇ, καὶ ἐν τῷ ἀσθενῆσαι αὐτοὺς, βοηθήσονται βοήθειαν μικρὰν*, τὴν μεταξὺ τῶν κακῶν ἐκείνων ἀνακωχὴν ἐμφαίνων. Εἶθ' οὕτω καὶ τὴν αἰτίαν προστίθησι τῶν συμφορῶν· *Τοῦ πυρῶσαι γὰρ*, φησὶν, *ἐν αὐ-*
D *τοῖς, καὶ τοῦ ἐκλέξασθαι, καὶ τοῦ λευκᾶναι ἕως καιροῦ πέρατος*, τουτέστιν, ὥστε δοκιμασθῆναι τοὺς ἐκλεκτοὺς, καὶ καθαρισθῆναι τοὺς ἁμαρτήσαντας. Μετὰ ταῦτα δὲ περὶ τῆς κατὰ τοῦ Θεοῦ βλασφημίας τοῦ Ἀντιόχου διδάξας ἐπάγει, ὅτι *Καὶ κατευθυνεῖ μέχρι τοῦ συντελεσθῆναι τὴν ὀργὴν*, μέχρι δηλονότι τοῦ πληρωθῆναι τὴν κατὰ τῶν Ἰουδαίων ὀργὴν τοῦ Θεοῦ. Ἀπαγγείλας δὲ καὶ τἄλλα πάντα, καὶ ἐπὶ τὴν ἀπαλλαγὴν τούτων ἐλθὼν, φησί· *Καὶ ἀναστήσεται Μιχαὴλ ὁ ἄρχων ὁ μέγας, ὁ ἐφεστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ σου· καὶ ἔσται καιρὸς θλίψεως, οἷος οὐ γέγονεν ἀφ' οὗ γεγένηται ἔθνος ἐπὶ γῆς, ἕως τοῦ καιροῦ ἐκεί-*

[1] Jer. xxix, 10 sqq. [2] Jer. vii, 16 ; xi, 14 ; xiv, 11. [3] Dan. viii, 11, 12. [4] Dan. xi, 31 sqq. [5] Dan. xii, 1.

του. *Τότε δὲ σωθήσεται ὁ λαὸς πᾶς, ὁ εὑρεθεὶς γεγραμμένος ἐν τῇ βίβλῳ*, δηλαδὴ τῶν ζώντων, ἤγουν οἱ σωτηρίας ἄξιοι. Ἀπὸ δὲ τοῦ καιροῦ, φησὶ, τῆς ἐναλλάξεως τοῦ ἐνδελεχισμοῦ, τουτέστιν ἀπὸ τῆς καταλύσεως τῆς οὐσίας, ἡμέραι χίλιαι διακόσιαι ἐννενήκοντα, ὅπερ ἐστὶν ἔτη τρία ἥμισυ καὶ μικρόν τι πρός. Ἰδοὺ καὶ τὸ μῆκος τοῦ καιροῦ. Ἔτι λέγει πάλιν· *Μακάριος ὁ ὑπομείνας, καὶ φθάσας εἰς ἡμέρας χιλίας τριακοσίας τριάκοντα πέντε*· τοῦτο εὐαγγέλιον τῆς ἀπαλλαγῆς. Προσέθηκε δὲ ἡμέρας τεσσαράκοντα πέντε, διότι ἐν τοσαύταις ἡμέραις ἡ συμβολὴ, καὶ ἡ νίκη, καὶ ἡ παντελὴς ἀπαλλαγὴ τῶν δεινῶν ἐγένετο. Οὐχ ἐμακάρισε δὲ τὸν ἁπλῶς φθάσαντα, ἀλλὰ τὸν μεθ' ὑπομονῆς, καὶ μὴ προδεδωκότα τὴν εὐσέβειαν. Ὁρᾷς, οὐ μέχρις ἐνιαυτῶν καὶ μηνῶν, ἀλλὰ καὶ ἕως ἡμέρας μιᾶς καὶ τὴν αἰχμαλωσίαν, καὶ τὴν ἀπαλλαγὴν ἀκριβολογηθείσας, καὶ προαναφωνηθείσας; Ταῦτα καὶ Ἰώσηπος ὁ Ἑβραῖος ἀριδηλότατα συνεγράψατο. Ἀλλ' ἐπὶ μὲν τῶν ἐπισήμων τούτων αἰχμαλωσιῶν καὶ αὐταὶ, καὶ τὰ μήκη τῶν καιρῶν αὐτῶν, καὶ αἱ ἀπαλλαγαὶ προεφητεύθησαν· ἐπὶ δὲ τῆς τελευταίας ταύτης, καὶ ἀτελευτήτου τῆς πολλῷ τούτων ἐπισημοτέρας, ὅτι μὲν ἐρημωθήσεται τὰ Ἱεροσόλυμα διὰ Ῥωμαίων προεφητεύθη, ὅτι δὲ στήσεταί ποτε τὰ τῆς ἐρημώσεως ἀπεσιωπήθη.

A amplius conficit. Ecce tibi et temporis longitudo. Rursumque: *Beatus*, inquit, *qui sustinet, et pervenit ad dies mille trecentos triginta quinque* [1]. Hæc est bona liberationis denuntiatio. Adjunxit autem dies quadraginta quinque, quia tot dierum spatio futurum erat, ut consilium, et victoria, et ærumnarum dissolutio constitueretur. Neque vero beatum simpliciter dixit, qui perveniret ad illud tempus, sed qui cum patientia perveniret, quique a pietate non deflexisset. Cernis et captivitatem, et liberationem, non usque ad annos, et menses, sed usque ad diem unum subtiliter explicatas et prænuntiatas. Hæc et Josephus Hebræus clarissimè conscripsit. Insignes igitur illæ captivitates ita prænuntiatæ sunt, ut et quandiu B duraturæ, et quando essent dissolvendæ, prædictum sit; in hac autem extrema, et nullum finem habitura, quæ multo insignior est, Hierosolyma quidem a Romanis evertenda redigendaque in solitudinem prædictum est. Quod autem sint unquam instauranda, nihil omnino pronuntiatum.

Τοῦ αὐτοῦ.

Ἔγραψε Δανιὴλ ὅτι ἦλθε πρὸς αὐτὸν Γαβριὴλ, καὶ φησιν· *Ἑβδομήκοντα ἑβδομάδες συνετεμήθησαν ἐπὶ τὸν λαόν σου*, τουτέστιν ὡρίσθησαν. Ἀντὶ γὰρ τῶν ἑβδομήκοντα ἐτῶν τῆς ἐν Βαβυλῶνι ταλαιπωρίας ὥρισεν αὐτοῖς ὁ Θεὸς ἑβδομήκοντα ἑβδομάδας ἐτῶν ἐν τῇ λατρείᾳ στῆναι τῇ νομικῇ, εἶτα ἐκπεσεῖν αὐτῆς διὰ τὸ κατὰ Χριστοῦ τόλμημα. Τούτου γὰρ ἕνεκεν εἶπεν *ἐπὶ τὸν λαόν σου*, τὸν οὐκ ἔτι τοῦ Θεοῦ. Αἱ τοίνυν ἑβδομήκοντα ἑβδομάδες τετρακόσια ἐννενήκοντα ἔτη συναπαρτίζουσιν, ἅπερ ἀρχόμενα ἀπὸ τῆς διὰ Νεεμίου οἰκοδομῆς τοῦ ναοῦ τῶν Ἱεροσολύμων τελειοῦνται ἕως τοῦ βαπτισθῆναι τὸν Χριστόν. Προϊὼν γὰρ ἐδήλωσε τὴν ἀρχὴν αὐτῶν, καὶ τὸ τέλος εἰπὼν, *Ἀπὸ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως Χριστοῦ ἡγουμένου ἑβδομάδες ἑπτὰ, καὶ ἑβδομάδες ἑξήκοντα δύο*, ἤγουν ἑβδομάδες ἑξήκοντα ἐννέα, μιᾶς εἰς τὰς ἑβδομήκοντα λειπούσης. Αἱ μὲν γὰρ ἑβδομήκοντα ἄρχονται ἀπὸ τοῦ ἀνοικοδομηθῆναι τὸν ναὸν, αἱ δὲ ἑξηκονταεννέα ἀπὸ τοῦ καὶ τὴν πόλιν Ἱεροσολύμων. Φησὶ γὰρ, *Οἰκοδομηθήσεται πλατεῖα καὶ περίτειχος*. Ὁπότε γὰρ ὁ Χριστὸς ἐβαπτίσθη, καὶ ἡγήσατο μαθητῶν, τότε καὶ οἱ Ἰουδαῖοι ἀρξάμενοι λυττᾷν κατ' αὐτοῦ, τῆς θείας ἐπισκοπῆς ἐγυμνώθησαν. Καὶ ὅρα πάντα διασαφηθέντα τῷ Δανιὴλ παρὰ τοῦ ἀγγέλου. Εἶπε γὰρ, *Τοῦ παλαιωθῆναι παράπτωμα*, ὅ ἐστιν, ὅτε ὑπεραρθῇ ἁμαρτία· ποία δὲ κορυφαιοτέρα τῆς Κυριοκτονίας; *καὶ τοῦ σφραγίσαι ἁμαρτίας*, ὥστε μηδὲν μεῖζον ὑπολελεῖφθαι. Διὸ καὶ ὁ Χριστὸς πρὸς αὐτοὺς ἔλεγε· *Πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν*. Ἐκεῖνοι μὲν γὰρ προφήτας ἀνεῖλον, ὑμεῖς δὲ τὸν Δεσπότην τῶν προφη-

Ejusdem.

Daniel venisse Gabrielem, seque sic allocutum dicit: *Septuaginta hebdomadæ perfectæ sunt super populum tuum* [2], hoc est, præfinitæ sunt. Nam pro septua- C ginta annis, quibus misere afflictus est in Babylone, septuaginta annorum hebdomadas illi præfinit Deus, ut in cultu legis maneret, deinde propter facinus, quod ausus est admittere in Christum, ab ea excluderetur. Idcirco enim dixit *super populum tuum*, tuum, inquam, non amplius Dei. Septuaginta hebdomadæ quadringentos et nonaginta annos conficiunt. Qui incipientes ab ædificatione templi Hierosolymorum facta per Nehemiam illuc usque perveniunt, cum baptizatus est Christus. Pergit enim ostendere et principium eorum, et finem: *Ex quo*, inquiens, *ædificabitur Jerusalem usque ad Christum ducem hebdomades septem, et hebdomades sexaginta duæ* [3], quæ sunt sexaginta novem, deficiente una ad perficiendum numerum D septuaginta. Nam septuaginta incipiunt a templi reædificatione. Sexaginta novem autem incipiunt, ex quo civitas etiam Hierosolymorum rursum ædificatur. Itaque, *Platea*, inquit, *et mœnia ædificabuntur* [4]. Cum enim baptizatus est Christus, et discipulos instituit, tunc Judæi incipientes in ipsum sævire a divina cura exciderunt. Vide autem omnia aperte ab angelo declarata Danieli: dixit enim: *Ut inveterascat peccatum*, hoc est, ut extollatur peccatum. Quale autem peccatum? illud nimirum omnium gravissimum in cæde Domini perpetratum. *Ut obsignentur peccata*, id est, ut compleantur, adeo ut nihil majus addi possit. Quamobrem et Christus ad eos, *Implete*, inquit, *peccata patrum vestrorum* [5].

[1] Ibid. 12. [2] Dan. IX, 24. [3] Ibid. 25. [4] Ibid. [5] Matth. XXIII, 32.

Nam illi quidem prophetas occiderunt, vos autem prophetarum Dominum occidere festinatis. *Et obsignetur visio, et prophetia*, hoc est, cum desinet prophetia. Similiter enim et Christus, *Lex*, inquit, *et prophetæ usque ad Joannem* [1]. *Et tolletur unctio*, regia nimirum, et sacerdotalis. *Et judicium non erit*, seu judex. *Et civitatem, et sanctum evertet*, exercitus utique Romanorum urbem et templum evertet; cum Duce veniente, hoc est, Christo ipsi opitulante, qui Dux est eorum, qui in se credunt, venturo iterum secundo adventu. Et *succidentur*, inquit, *diluvio*. Et rursum de captivitate loquens: *Tolletur*, inquit, *sacrificium et libatio. Et vastationis abominatio erit in templo.* Statuam Titi abominationem appellat vastationis. Quapropter et Christus ait: *Cum videritis abominationem desolationis, stantem in loco sancto, qui legit, intelligat* [2]. Et *usque ad consummationem sæculi consummatio tradetur vastationi.* Consummationem temporis vocat mundi finem. Aut ostendant ipsi aliud tempus. Ecce enim mille jam annos permanent in servitute. Appropinquat autem mundi consummatio. Quocirca et Josephus, de quo ante diximus, de captivitate Judæorum scribens ita loquitur.

Præterea de Romanorum principatu Daniel scripsit, dicens, Hierosolyma ab illis eversum iri. Nec ausus est quidquam aliud addere, cum probe sciret, nihil a Daniele de liberatione ab istis miseriis dictum fuisse. Quinetiam diversis postea temporibus conati, qui dispersi erant, Judæi et templum et civitatem instaurare sub Adriano imperatore, innumerabiles calamitates pertulerunt, dirutis fundamentis, et civitate Ælia ex imperatoris cognomine appellata. Imperante autem Constantino cum eadem molirentur, idem perpessi sunt, amputatis etiam auriculis, ut ea nota cognoscerentur a Christi interdicto recessisse. At Juliano imperatore cum ad opus conficiendum illis opitularetur, ut Christum ostenderet falsa pronuntiasse, ignis e fundamentis effossis exsiliens partim combussit, partim dissipavit. Quid? quod in aliis captivitatibus prophetæ cum illis fuerunt, in hac autem nullus?

Ejusdem.

Cur Christum occidisti, Judæe? Quoniam, inquit, impostor erat, et inimicus Dei. Atqui consentaneum erat te, ut qui Dei adversarium sustulisses, ab ipso Deo gratiam inire, et munera accipere, Nam si vestra sæpe dissimulans peccata vos e captivitatibus revocavit: *Non propter vos*, inquiens, *facio, domus Israel, sed propter nomen meum* [3], hoc est, ne videar auxilii inopia vos derelinquere: multo erat æquius, vos ut conservaret, cum præclare vos gerentes adversarium ejus de medio sustulissetis. Nunc

A τῶν ἀνελεῖν ἐπείγεσθε. Καὶ τοῦ σφραγίσαι ὅρασιν, καὶ προφήτην, εἶτουν ὅταν παυθῇ τοῦ προφητεύειν. Ὅθεν ὁμοίως καὶ ὁ Χριστὸς ἔλεγεν· *Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου. Καὶ ἐξολοθρευθήσεται*, φησὶ, *χρίσμα*, δηλονότι τὸ βασιλικὸν καὶ τὸ ἱερατικόν· *καὶ κρῖμα οὐκ ἔσται*, ἤτοι κριτής· *καὶ τὴν πόλιν, καὶ τὸ ἅγιον διαφθερεῖ*· τὴν πόλιν καὶ τὸν ναὸν ὁ Ῥωμαίων στρατός· σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ, τουτέστι βοηθοῦντος αὐτῷ Χριστοῦ τοῦ ἡγουμένου τῶν πιστευόντων εἰς αὐτὸν, τοῦ ἐρχομένου πάλιν κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν· *καὶ συγκοπήσονται*, φησὶν, *ὡς ἐν κατακλυσμῷ*. Καὶ πάλιν περὶ τῆς αἰχμαλωσίας λέγων εἴρηκεν· *Ἀρθήσεται θυσία καὶ σπονδὴ, καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῆς ἐρημώσεως*, τὸν ἀνδριάντα B Τίτου βδέλυγμα καλέσας ἐρημωτικόν. Διὸ καὶ ὁ Χριστὸς αὖθις ἔλεγεν, *Ὅταν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως ἑστὼς ἐν τόπῳ ἁγίῳ, ὁ ἀναγινώσκων νοείτω.* Ἔπειτα καὶ *ἕως συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν*, συντέλειαν καιροῦ λέγων τοῦ ὁρισθέντος τῷ κόσμῳ, ἢ δειξάτωσαν ἕτερον καιρόν. Ἰδοὺ γὰρ ὑπὲρ τὰ χίλια ἔτη δουλεύουσι, καὶ λοιπὸν ἐγγὺς ἡ τοῦ κόσμου συντέλεια. Ὅθεν καὶ ὁ προδηλωθεὶς Ἰώσηπος περὶ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων συγγράφων τάδε φησίν.

Ἔτι καὶ περὶ τῆς Ῥωμαίων ἡγεμονίας ὁ Δανιὴλ ἀνέγραψεν, ὅτι ὑπ' αὐτῶν αἱρεθήσεται τὰ Ἱεροσόλυμα, καὶ ὁ ναὸς ἐρημωθήσεται. Καὶ οὐκ ἐτόλμησε C προσθεῖναί τι πλέον, οὐδαμοῦ τι γεγράφθαι περὶ τῆς ἀπαλλαγῆς τῶν δεινῶν τούτων εἰδώς. Ἀλλὰ καὶ χρόνοις ὕστερον διαφόροις ἐπιχειρήσαντες οἱ διεσπαρμένοι τῶν Ἰουδαίων ἀναστῆσαι καὶ τὸν ναὸν, καὶ τὴν πόλιν, ἐπὶ μὲν Ἀδριανοῦ βασιλέως μυρίας ὑπέστησαν κακώσεις, ἅμα καὶ τῶν οἰκοδομηθέντων καθαιρεθέντων ἐκ θεμελίων, καὶ τῆς πόλεως Αἰλίας ἀπὸ τῆς ἐπωνυμίας τοῦ βασιλέως μετονομασθείσης· ἐπὶ δὲ Κωνσταντίνου τοῦ μεγάλου τὰ αὐτὰ τολμήσαντες, τὰ ἴσα πεπόνθασι, καὶ τὰ ὦτα περιῃρέθησαν, ὡς παρήκοοι τῆς ἀποφάσεως τοῦ Χριστοῦ, ἐπὶ δὲ Ἰουλιανοῦ συνεργοῦντος μᾶλλον αὐτοῖς, ἵνα δείξῃ ψευδῆ τὴν τοιαύτην ἀπόφασιν, πῦρ ἀνορυττομένων τῶν θεμελίων ἐκπηδῆσαν τοὺς μὲν κατέφλεξε, τοὺς δὲ διεσκόρπισε. Καὶ ἐπὶ μὲν τῶν ἄλλων αἰχμα- D λωσιῶν προφῆται συνῆσαν αὐτοῖς, ἐπὶ δὲ ταύτης οὐδείς.

Τοῦ αὐτοῦ.

Διατί τὸν Χριστὸν ἀνεῖλες, ὦ Ἰουδαῖε; Διότι, φησὶ, πλάνος ἦν καὶ ἀντίθεος. Καὶ μὴν ἔδει σε λοιπὸν τυχεῖν παρὰ Θεοῦ εὐεργεσίας ἀνελόντα τὸν ἀντίθεον. Εἰ γὰρ παρεώρα πολλάκις τὰς ἁμαρτίας ὑμῶν, καὶ ἀνεκαλεῖτο τὰς ὑμετέρας αἰχμαλωσίας λέγων, *Οὐ δι' ὑμᾶς ἐγὼ ποιῶ, οἶκος Ἰσραὴλ, ἀλλὰ διὰ τὸ ὄνομά μου*, τουτέστιν, ἵνα μὴ δόξω δι' ἀσθένειαν βοηθείας ἐρήμους καταλιμπάνων ὑμᾶς· πολλῷ μᾶλλον ἐχρῆν σώζειν κατωρθωκότας τὴν ἀναίρεσιν τοῦ ἐχθροῦ αὐτοῦ. Νῦν δὲ τὸ ἔθνος ὑμῶν μετὰ τὴν

[1] Matth. XI, 13. [2] Matth. XXIV, 15. [3] Ezech. XXXVI, 22.

ἀναίρεσιν αὐτοῦ τοσαῦτα καὶ τοιαῦτα πέπονθε χαλεπὰ, ὅσα καὶ οἷα τῶν ἀπ' αἰῶνος ἐθνῶν οὐδέν. Διὰ πάσης γὰρ συμφορᾶς ἐλθὸν, ὧν πλήρης πᾶσα ἀκοὴ, τελευταῖον εἰς πάντα τὰ ἔθνη διεσπάρη, καὶ παρὰ πᾶσι δουλεύει δουλείαν τὴν ἀτιμοτάτην, καὶ εἰς αἰῶνας ἀπέραντον. Ἀλλὰ *ταῦτα*, φησὶ, *διὰ τὰς ἁμαρτίας ὑμῶν*, ποίας; Οὐδὲν γὰρ τοιοῦτον οἷα πάλαι πεπλημμελήκατε. Πάλαι γὰρ καὶ μόσχον προσεκυνήσατε, καὶ τῷ Βεελφεγὼρ ἐτελέσθητε, καὶ τοὺς υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας ἐθύσατε τοῖς δαιμονίοις, καὶ τοὺς προφήτας ἀνείλετε, καὶ τοὺς τοῦ Θεοῦ νόμους κατεπατήσατε, ἀλλ' οὐδὲν τοιοῦτον πεπόνθατε. Διαφόρως γὰρ αἰχμαλωτισθέντες πάλιν ἠλεήθητε, καὶ εἰς τὴν προτέραν τάξιν ἀποκατέστητε. Νῦν δὲ ὅτε καὶ τοὺς νόμους τηρεῖτε, καὶ σωφρονέστερον διάγετε, μᾶλλον ἀσύγγνωστον κολάζεσθε· τίνος ἕνεκεν; Ὅτι ἀσύγγνωστα ἡμαρτήκατε. Τὸν γὰρ Υἱὸν τοῦ Θεοῦ σταυρῷ προσηλώσατε. Μείζονα δὲ ταύτης ἁμαρτίαν οὐκ ἂν ἔχοις εὑρεῖν. Ἢ τοίνυν ἄδικόν φατε τὸν Θεὸν κολάζοντα τοὺς βεβοηθηκότας αὐτῷ, καὶ τὸν ἐχθρὸν αὐτοῦ θανατώσαντας, ἢ καὶ ἄκοντες ὁμολογεῖτε χαλεπωτέραν ἁμαρτίαν πλημμελῆσαι παρὰ τὰς πώποτε. Καὶ τί ἂν ἄλλο εἴη παρὰ τὴν ἀναίρεσιν τῆς Ζωῆς; μετὰ γὰρ τὰς προῤῥηθείσας ἁμαρτίας οὐ μόνον οὐ χεῖρον, ἀλλ' οὐδὲ ἴσον πεπλημμελήκατε.

A autem gens vestra post illius cædem tantas et tales perpessa est calamitates, quantas et quales alia gens post hominum memoriam nulla. Etenim posteaquam his miseriis affecta est, quæ ad omnium aures pervenerunt, ad extremum in omnes gentes dispersa dissipataque servit abjectissimam et turpissimam servitutem, quæ sæculis omnibus perseverat. At hæc, inquit, propter nostra peccata nobis acciderunt. Quæ narras peccata? Neque enim sunt ulla ejusmodi, qualia jam commisistis. Cum et adoratis vitulum, et Beelphegor initiati estis, et filios, ac filias vestras dæmoniis immolavistis, et prophetas interfecistis, et Dei leges conculcastis. Neque tamen tam graves unquam dedistis pœnas. Alio enim pacto captivi estis in servitutem adducti, B siquidem rursum consecuti misericordiam pristinum libertatis statum recuperastis. Nunc autem, cum et legibus obtemperetis, et vos modestius geratis, nullam supplicii levationem invenitis. Quanam de causa vobis hæc accidunt? Quia scelere nulla venia digno vos obstrinxistis. Nam Dei Filium in crucem egistis. Quo quidem peccato nullum potest gravius excogitari. Aut ergo Deum esse iniquum asserite, qui sibi ferentes auxilium, hostemque suum interimentes puniat, aut vel inviti confitemini, vos gravissimum omnium, quæ unquam admiseritis, facinus patravisse. Ecquod autem istud est facinus, nisi quod morte Vitam affecistis? Quo quidem nefario scelere, post peccata, quæ enumeravimus, non dicam, gravius, sed ne par quidem ullum admisistis.

Τοῦ αὐτοῦ.

Περὶ τῶν Χερουβὶμ διηγούμενος Ἡσαΐας φησὶν ὅτι *Καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς, ἧς ἐκέκραγον, καὶ ὁ οἶκος ἐπλήσθη καπνοῦ*, προμηνύων ὅτι τὸν τρισάγιον ὕμνον τῆς ἁγίας Τριάδος ὄντα μὲν ἀγγελικὸν, ἁρμόζοντα δὲ Χριστιανοῖς τοῖς ἀγγελοτρόποις οὐ χωρήσει διὰ φρενῶν ἀσθένειαν ἡ τῶν Ἰουδαίων συναγωγή. Διὸ καὶ ἐπαρθήσεται τὸ ὑπέρθυρον αὐτῆς, ἤγουν ἡ ἄνωθεν συνέχουσα τὰς παραστάδας, καὶ τὰς θύρας αὐτῆς θεία δύναμις καὶ χάρις. Θύραι δὲ αὐτῆς καὶ παραστάδες οἱ ἱερεῖς, καὶ διδάσκαλοι. Διὸ καὶ ἀλλαχοῦ γέγραπται· *Καὶ θήσω τὴν Ἱερουσαλὴμ εἰς πρόθυρα σαλευόμενα*, δηλονότι παρὰ τὸ μὴ ἔχειν ὑπέρθυρον συνεκτικὸν τῶν εἰρημένων. Ὅθεν καὶ εὐανάτρεπτοί εἰσιν ἐν ταῖς διαλέξεσιν. Ὁ δὲ οἶκος ἐπλήσθη καπνοῦ, τουτέστι σκότους καὶ πλάνης. Ἡ δόξα δὲ μετεφοίτησεν εἰς τὰς ἀπανταχῆ τῶν ἐν τοῖς ἔθνεσι πιστῶν ἐκκλησίας. *Πλήρης γὰρ*, φησὶν, *ἡ γῆ τῆς δόξης αὐτοῦ.*

Ejusdem.

C De Seraphin loquens Isaias, *Sublatum est*, inquit, *superliminare a voce, qua clamaverunt, et domus repleta est fumo*[1]. Quibus verbis significat, Judæorum synagogam propter mentis imbecillitatem cantum illum trina sanctus repetitione sanctam Trinitatem celebrantem, qui et angelicus est, et Christianis hominibus propter angelicos ipsorum mores congruit, non esse comprehensuram. Quamobrem et ejus superliminare tolletur, quod lapides ex utraque parte ostii positos, et fores continet. Indicat autem superliminare virtutem et gratiam Dei. Lapides autem illi atque fores significant sacerdotes et doctores. Quapropter et alibi scriptum est: *Et ponam Jerusalem in vestibula quæ concutiuntur et nutant*, propterea, quod non D habeant superliminare, quod ea, quæ dicta sunt, continet, ex quo in sermonibus et consciliis suis sunt instabiles. Domus autem fumo repleta est, id est, tenebris et errore. Gloria vero passim diffusa est in omnes fidelium Ecclesias, quæ ex gentibus constant. *Plena* enim, inquit, *est terra gloria ejus*[2].

Τοῦ αὐτοῦ.

Ὅταν εἴπῃ πρὸς σὲ ὁ Ἰουδαῖος, Πῶς ἔτεκεν ἡ Παρθένος; εἰπὲ σὺ πρὸς αὐτὸν, Πῶς ἔτεκεν ἡ στεῖρα καὶ γεγηρακυῖα Σάῤῥα; Ἐνταῦθα μὲν γὰρ ἓν κώλυμα τὸ μὴ γάμου μετασχὸν, ἐκεῖ δὲ ἐμπόδια δύο, οὐ μόνον ἡ στείρωσις, ἀλλὰ καὶ τὸ γῆρας.

Ejusdem.

Cum Judæus ex te quærit, Quomodo Virgo peperit? tu vicissim quære, Quomodo peperit senex et sterilis Sara? In illa enim unum duntaxat impedimentum est, quod conjugium non experitur. In hac autem duo, quod et sterilis est, et senex. Ob

[1] Isai. vi, 4. [2] ibid. 3.

id autem steriles pepererunt, ut virginem peperisse non esset incredibile. Et ideo mysterium illud mysterio huic tempore antecessit.

Ejusdem.

Librorum Hebraicorum apud Hebræos sunt litteræ, apud Christianos autem gratia.

Ejusdem.

Facies, inquit, *meretricis facta est tibi, et neminem erubuisti* [1]. Et rursum: *Agnosco*, inquit, *quod durus sis, et nervus ferreus cervix tua*, quæ nimirum flecti non potest, *et frons tua ærea* [2], id est impudens. Et rursum: *A sæculo contrivisti jugum tuum, fregisti vinculum tuum* [3]. Nam cum cervice dura jugum detrectarint, et evangelicæ doctrinæ aratrum excusserint et ad excolendam virtutem se inutiles exhibuerint, reliquum est, ut ad cædem idonei videantur.

Item adversus Hebræos Leontii Cypr. pontificis.

Ostende mihi (Judæus inquit) signa adventus Christi, ut illud, quod est apud Michæam: *Quia gens*, inquit, *contra gentem non tollet amplius gladium* [4]. Et illud, quod affert Jeremias: *Non docebit*, inquiens, *amplius unusquisque proximum suum, dicens: Cognosce Dominum, quoniam omnes cognoscent eum a parvo eorum usque ad magnum* [5]. Et illud, quod est apud Isaiam: *Quia pascetur*, inquit, *simul lupus cum agno, et pardus simul accubabit cum hædo, et vitulus, et leo, et taurus simul pascentur, et puer parvus ducet eos. Et bos et ursus pascentur simul, et simul erunt eorum catuli. Et leo sicut bos comedet paleas. Et puerulus infans in foraminibus aspidum, et in cubile fetuum aspidum immittet manum, et non lædent* [6]. Hæc enim est celebris et vulgata illa quæstio Judæorum. Intelligant igitur hæc omnia contigisse. Nam cum jam Christus esset oriturus, statim exiit edictum a Cæsare Augusto, ut describeretur universus orbis. Quamobrem cum totus orbis esset in ditione Romanorum, omnes in pace degebant, et cum mutua inter se bella amplius non gererent, quippe qui sub uno omnes imperio continerentur, ad agriculturæ studia sese converterant. Quod si gentes aliquas fuisse reliquas dixeris, quæ armis inter se dimicarent, respondebo illud esse Scripturæ proprium, ut totum ponat pro majori parte. Quale est etiam illud trium puerorum: *Non est hoc tempore princeps, nec propheta* [7], cum tamen et Daniel et Ezechiel cum illis essent, et Jeremias in Jerusalem. Et alia multa ejusmodi possent adduci. Vel id prædictum est de gentibus, quæ crediderunt. Sensu autem magis arcano et sublimi, *Gens*, inquit, *dæmonum adversus hominum gentem, idololatriæ gladium animos interimentem, et Dei cognitionis oblivionem afferentem non tollet.* Nam

A Ἐγέννησαν οὖν αἱ στεῖραι, ἵνα πιστευθῇ καὶ ἡ Παρθένος γεννήσασα, καὶ τὸ κατ' ἐκείνας μυστήριον τῷ μυστηρίῳ τούτῳ προοδοποιεῖ.

Τοῦ αὐτοῦ.

Τῶν Ἑβραϊκῶν βίβλων τὰ μὲν γράμματα παρ' Ἑβραίοις, τὰ δὲ νοήματα παρ' ἡμῖν τοῖς Χριστιανοῖς.

Τοῦ αὐτοῦ.

Ὄψις, φησὶ, *πόρνης ἐγένετό σοι, ἀπηναισχύντει πρὸς πάντας*. Καὶ αὖθις· *Γινώσκω ὅτι σκληρὸς εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου*, τουτέστιν ἀκαμπὴς, *καὶ τὸ μέτωπόν σου χαλκοῦν*, εἴτουν ἀναίσχυντον. Καὶ πάλιν, *Ἀπ' αἰῶνος συνέτριψας τὸν ζυγόν σου, διέῤῥηξας τὸν δεσμόν σου*. Σκληροτράχηλοι γὰρ ὄντες ἄνωθεν, καὶ τὸ τῆς B εὐαγγελικῆς διδασκαλίας ἄροτρον ἀποσεισάμενοι, καὶ πρὸς ἐργασίαν ἀρετῆς ἀχρήστους ἑαυτοὺς καταστήσαντες, πρὸς σφαγὴν λοιπὸν ἐπιτήδειοι γεγόνασιν.

Ἔτι κατὰ Ἑβραίων Λεοντίου ἐπισκόπου Κύπρου.

Δεῖξόν μοι, φησὶ, τὰ σημεῖα τῆς τοῦ Χριστοῦ παρουσίας· τὸ παρὰ τῷ Μιχαίᾳ. *Οὐκ ἔτι γὰρ*, φησὶν, *οὐ μὴ ἄρῃ ἔθνος ἐπὶ ἔθνος ῥομφαίαν*. Καὶ τὸ παρὰ τῷ Ἱερεμίᾳ, *Οὐ μὴν γὰρ*, φησὶ, *διδάξωσιν ἔτι ἕκαστος τὸν πλησίον αὐτοῦ, λέγων, Γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν*· καὶ τὸ παρὰ τῷ Ἡσαΐᾳ· *Συμβοσκηθήσεται γὰρ*, φησὶ, *λύκος* C *μετὰ ἀρνὸς, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ μοσχάριον, καὶ λέων, καὶ ταῦρος ἅμα βοσκηθήσονται, καὶ ἅμα τὰ παιδία αὐτῶν ἔσονται. Καὶ λέων καὶ βοῦς ἅμα φάγονται ἄχυρα, καὶ παιδίον νήπιον ἐπὶ τρώγλην ἀσπίδων, καὶ ἐπὶ κοίτην ἐκγόνων ἀσπίδων τὴν χεῖρα ἐπιβαλεῖ, καὶ οὐ μὴ κακοποιήσωσι*. Τοῦτο γὰρ τὸ πολυθρύλλητον ζήτημα τῶν Ἰουδαίων. Ὁράτωσαν δὲ πάντα γενόμενα. Τοῦ Χριστοῦ γὰρ γεννᾶσθαι μέλλοντος, εὐθὺς ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου ἀπογράψασθαι πᾶσαν τὴν οἰκουμένην. Καὶ λοιπὸν ὑποταγέντος παντὸς ἔθνους τῇ Ῥωμαίων ἀρχῇ, πάντες εἰρήνευσαν, καὶ μηκέτι πολεμοῦντες ἀλλήλοις, ὡς ὑπὸ μίαν ὄντες κεφαλὴν, εἰς γεωργίαν ἐτράπησαν. Εἰ δέ που καί τινα ἔθνη ὑπελείφθη μα- D χόμενα, τῆς Γραφῆς ἐστιν ἰδίωμα καθολικῶς λέγειν ἀπὸ τοῦ πλείονος μέρους. Τοιοῦτόν ἐστι καὶ τὸ τῶν τριῶν παίδων τὸ, *Οὐκ ἔστιν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης*. Ἦν γὰρ καὶ ὁ Δανιὴλ, καὶ ὁ Ἰεζεκιὴλ μετ' αὐτῶν, καὶ ὁ Ἱερεμίας ἐν Ἱερουσαλὴμ, καὶ πολλὰ τοιαῦτα. Ἢ καὶ περὶ τῶν πιστευσάντων ἐθνῶν ἡ πρόῤῥησις. Κατ' ἀναγωγὴν δὲ, *Ὁ μὴ ἄρῃ*, φησὶ, *τὸ ἔθνος τῶν δαιμόνων ἐπὶ τὸ ἔθνος τῶν ἀνθρώπων μάχαιραν τῆς εἰδωλολατρείας ἀναιροῦσαν ψυχὰς, καὶ ἀναισθησίαν θεογνωσίας ἐπάγουσαν*. Ἔνθα γὰρ τὸ Εὐαγγέλιον ἐκηρύχθη, πάντες ἓν σῶμα γεγόνασι, καὶ μίαν ἔσχον κεφαλὴν τὸν Χριστὸν, καὶ φοβεροὶ τοῖς δαι-

[1] Jer. III, 3. [2] Isai. XLVIII, 4. [3] Jerem. II, 20. [4] Mich. IV, 3. [5] Jer. XXXI, 34. [6] Isa. XI, 6 sqq. [7] Dan. III, 38.

μασιν ἀπεδείχθησαν. Τὸ γὰρ, Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν, οὐ περὶ πολεμικῆς εἴρηται μαχαίρας. Μάχαιρα γὰρ ἣν ἔβαλεν ὁ Χριστὸς, τὸ κήρυγμα, καὶ ἡ τούτου πίστις, διαιροῦσα τὸν πιστὸν ἀπὸ τοῦ ἀπίστου, καὶ τέμνουσα τὴν ἐπὶ κακῷ σχέσιν καὶ συμφωνίαν αὐτῶν. Ἀλλ' οὕτω μὲν τὸ κατὰ Μιχαίαν· ἴδωμεν δὲ καὶ τὸ κατὰ Ἱερεμίαν. Σημεῖα γὰρ πολλὰ καὶ μεγάλα τοῦ Χριστοῦ ποιοῦντος, οἱ συντρέχοντες καὶ βλέποντες ταῦτα, πάντες ἀπὸ μικροῦ ἕως μεγάλου τοὺς ἑαυτῶν ὀφθαλμοὺς εἶχον διδασκάλους θεογνωσίας, καὶ κατανοοῦντες τὰς θεοπρεπεῖς δυνάμεις αὐτοῦ, ταχέως δι' ἑαυτῶν ἐμάνθανον, ὅτι Θεός ἐστιν, ὡς ἔστι καταλαβεῖν οὐ μόνον ἀπὸ τῆς τῶν Εὐαγγελίων γραφῆς, ἀλλὰ καὶ ἀπὸ τῶν καθ' Ἑβραίους χρονικῶν Γραφῶν, καὶ τῶν καθ' Ἕλληνας ἱστοριογράφων. Λείπεται οὖν εἰπεῖν περὶ τοῦ κατὰ τὸν Ἡσαΐαν σημείου τῆς παρουσίας Χριστοῦ. Οὗτος ταῖς διαφοραῖς τῶν ἡμέρων τε καὶ ἀγρίων ζώων τὰ διάφορα τῶν ἀνθρώπων ἤθη παρεδήλωσε, καὶ διὰ τῆς ἐκείνων συνδιαιτήσεως τὴν μίαν τούτων ποίμνην ᾐνίξατο, καὶ τὰς ἐκ τούτων συστησομένας Ἐκκλησίας, λύκον μὲν καλέσας τὸν ὀξὺν εἰς ἁρπαγὴν, ἄρνα δὲ τὸν εὐεπηρέαστον, καὶ πάρδαλιν μὲν τὸν ποικιλόγνωμον, ἔριφον δὲ τὸν ἁπλοῦν. Καὶ μοσχάριον μὲν τὸν πρᾷον, ταῦρον δὲ τὸν θρασὺν, λέοντα δὲ τὸν ὑπερήφανον, οὓς ἄξει, καὶ ποιμανεῖ ἄνθρωπος τῇ μὲν φρονήσει πολιὸς, τῷ δὲ ἀπονήρῳ καὶ τῇ ταπεινοφροσύνῃ παιδίον. Καὶ μέγας μὲν τῇ ἀρετῇ, μικρὸς δὲ τῇ φαινομένῃ εὐτελείᾳ καὶ λιτότητι. Τοιοῦτοι δέ οἱ τῶν ἐκκλησιῶν προεστῶτες, ὑφ' ὧν οἱ διάφοροι τοῖς ἤθεσιν ἀγόμενοι ῥυθμίζονταί τε καὶ συναρμόζονται. Καὶ αὖθις βοῦν μὲν τὸν ἐργατικὸν, ἄρκτον δὲ τὸν γαστρίμαργον. Καὶ πάλιν λέοντα μὲν τὸν ἡγεμονικόν τε καὶ ἀρχικὸν, βοῦν δὲ τὸν ὑπὸ ζυγὸν δουλείας, καὶ ὑποτεταγμένον. Ἄχυρα δὲ ἡ εὐτελὴς τοῦ ὑπὸ ζυγὸν τροφή. Συσσιτηθήσεται γὰρ ὁ ὑποτάσσων τῷ ὑποτασσομένῳ διὰ τὴν ἑνότητα τῆς πίστεως. Παιδίον δὲ νήπιον ἕκαστος τῶν προεστώτων, ὡς εἴρηται, νηπιάζων ἐν κακίᾳ, οὗ χεὶρ ἡ διδασκαλία διὰ τὸ ἀνυσιμώτατον, ἥτις ἐπιβάλλεται τοῖς ἀπίστοις, οἵτινές εἰσι τρῶγλαι καὶ καταδύσεις καὶ οἰκητήρια καὶ ἀναπαυτήρια τῶν νοητῶν ἀσπίδων, ἤτοι τῶν ἰοβόλων καὶ θανατηφόρων δαιμόνων, ὧν ἔκγονα τὰ πάθη. Καὶ ἄλλως δὲ οἱ κατὰ Χριστὸν ζῶντες τὴν χεῖρα τοῖς δαίμοσιν ἐπιβάλλοντες, καὶ τὸ τοῦ σταυροῦ σημεῖον ἐπάγοντες, οὐκ ἐῶσι τοὺς ἐνοικοῦντας δαίμονας κακοποιεῖν ἔτι τοὺς πάσχοντας. Ὅτι δὲ θηρία τὰ ἔθνη, λέγει πολλάκις ἡ Γραφή. Φησὶν ὁ Θεὸς διὰ Ὠσηέ· Διαθήσω διαθήκην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μετὰ τῶν θηρίων τοῦ ἀγροῦ, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν ἑρπετῶν τῆς γῆς, καθολικωτέρῳ λόγῳ θηρία μὲν τοῦ ἀγροῦ τοὺς ἀγρίους καὶ ὠμοὺς ὀνομάζων, πετεινὰ δὲ τοὺς ὑψηλοτέρους, ἑρπετὰ δὲ τοὺς ταπεινοτέρους· ἢ πετεινὰ μὲν τοὺς τῇ ἀστρολογίᾳ προσκειμένους, ἑρπετὰ δὲ τοὺς ῥυπαινομένους ἐν τοῖς πάθεσι· καὶ αὖθις διὰ Ἡσαΐου· *Εὐλογήσατέ με τὰ θηρία τοῦ ἀγροῦ*· καὶ διὰ Ἱερεμίου πάλιν· Λέ-

ubi divulgatum est Evangelium, omnes unum corpus effecti sunt, et unum habent caput Christum, et formidandi dæmonibus evaserunt. Quod autem ipse dixit, se venisse, non ut pacem in terram afferret, sed gladium, id non intelligitur de gladio bellico. Gladius enim, quem ipse tulit nihil aliud est, nisi religionis ejus divulgatio, et in eum fides quæ separat fidelem ab infideli, conjunctionem et consensum eorum in peccando dirimit. Et hæc quidem dicta sint de prophetia Michææ. Videamus, quæ a Jeremia dicta sunt. Cum multa magnaque signa faceret Christus, illi, qui concurrebant et exspectabant, omnes a parvo usque ad magnum oculos proprios habebant divinæ cognitionis magistros et judices, et animadvertentes divinas illius virtutes, confestim intelligebant ipsum esse Deum, ut colligi potest non solum ex monumentis Evangeliorum, verum etiam ex annalibus Hebræorum et gentium historicis. Reliquum est, ut signum adventus Christi prædictum ab Isaia consideremus. Hic animalium cicurum et ferarum discrimine significat diversos hominum mores, et per communem illorum victum, et mutuam vivendi consuetudinem, unum hominum ovile, et Ecclesias ex his constituendas ostendit, lupum quidem appellans eum qui ad rapinas velox est: agnum autem eum, qui prædæ et direptioni est expositus: pardum illum, qui astutus et mente varius: hædum illum, qui candidus et simplex: vitulum illum, qui est mansuetus: taurum eum, qui est audax: leonem illum, qui est superbus; quos ducet et pascet homo prudentia quidem senex, innocentia autem et modestia puerulus, magnus virtute, sed frugalitate et simplicitate parvus. Tales sunt Ecclesiarum præfecti, quibus regentibus et gubernantibus, qui diversis moribus sunt, inter se conveniunt, et mutua benevolentia conjunguntur. Item per bovem homines intelligit laboriosos. Per ursum ventri deditos. Per leonem, eos, qui præsunt et imperant. Per bovem, eos, qui servitutis premuntur jugo, et alterius imperio parent. Per paleas frugalem ac tenuem victum eorum, qui subditi sunt. Simul autem pascentur illi, qui reguntur et parent, et illi qui gubernant atque imperant, propter fidei necessitudinem et conjunctionem. Pueruli vero, infantuli ad malum, ut dictum est, sunt Ecclesiarum præfecti, quorum manus doctrina est, propter summam quam adhibent diligentiam; quæ quidem manus injicitur infidelibus, qui sunt veluti cavernæ et foramina, et ferarum cubilia, et aspidum, seu venenatorum et perniciosorum dæmonum domicilia, quorum filii sunt animi perturbationes et vitia. Aliter etiam qui ex Christi sententia vivunt, manum dæmonibus injiciunt, et crucis signum opponentes non sinunt obsidentes dæmones obsessos homines lædere. Quod autem Scriptura gentes sæpenumero feras vocet, perspicuum est. Dicit enim Deus per Oseam: *Faciam fœdus in illa die*

A cum feris agri, et volucribus cœli, et serpentibus terræ [1]. Liberiore et latiore quadam ratione feras agri sævos et crudeles appellat. Volucres autem illos qui sublimiori mente sunt præditi. Serpentes vero, eos qui sunt abjectiores. Aut per volucres intelligit eos qui astrologiæ studiis incumbunt. Et per Isaiam : *Benedicite*, inquit, *mihi feræ agri* [2]. Et per Jeremiam : *Dedi*, inquit, *omnem terram Nabuchodonozor regi Babylonis, ut serviat ei, et feræ agri laborent illi*. Et per Ezechielem : *Delebo*, inquit, *malas feras e terra* [3]. Ut interim omittam quæ a Daniele, et merito. *Comparatus est enim*, inquit, *bestiis insipientibus, qui mentem habet, homo, et similis factus est eis.*

δωκα πᾶσαν τὴν γῆν τῷ Ναβουχοδονόσορ βασιλεῖ Βαβυλῶνος τοῦ δουλεύειν αὐτῷ, καὶ τὰ θηρία τοῦ ἀγροῦ ἐργάζεσθαι αὐτῷ. Καὶ διὰ Ἰεζεκιήλ· Ἀφανιῶ θηρία πονηρὰ ἀπὸ τῆς γῆς. Καὶ νῦν ἐάσωμεν τὰ παρὰ τῷ Δανιὴλ, καὶ εἰκότως. Παρασυνεβλήθη γάρ, φησί, τοῖς κτήνεσι τοῖς ἀνοήτοις ὁ νοῦν ἔχων ἄνθρωπος, καὶ ὡμοιώθη αὐτοῖς.

Item adversus eosdem. Aliorum Patrum.

B Si Dei figmentum pulcherrimum homo ad imaginem et similitudinem ejus factus est, quomodo res Deo indigna est, ut ex opere ad imaginem et similitudinem suam a se confecto carnem sumat? Præterea si Deo turpe non fuit, hominem fingere atque formare, quomodo illi turpe erit, eum refingere ac reformare?

Si sol, qui corpus est corruptibile, longe lateque radios suos in omnes partes conjiciens, in locis lutulentis sordidisque versatur, nec tamen inquinat puritatem suam, sed ita nitidos contrahit ac rursum dimittit radios, ut ipse quidem nihil contaminetur, corporibus autem illos excipientibus multum afferat utilitatis : quanto magis ille justitiæ Sol, qui rerum omnium, quæ vel corporeæ sunt, vel corporis expertes, effector est, in carnem puram et a se formatam ingressus, nec maculam ipse contraxit ullam, et eam ipsam carnem puriorem sanctioremque reddidit?

Ἔτι κατὰ τῶν αὐτῶν. Ἑτέρων Πατέρων.

Εἰ πλάσμα Θεοῦ τὸ κάλλιστον ὁ ἄνθρωπος, καὶ κατ' εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ πέπλασται, πῶς ἀνάξιον Θεοῦ σάρκα λαβεῖν ἐκ τοῦ οἰκείου πεπλασμένου; Καὶ εἰ τὸ πλάττειν τὸν ἄνθρωπον οὐκ αἰσχύνην τῷ Θεῷ φέρει, πῶς τὸ ἀναπλάττειν αὐτὸν αἰσχύνην ἐνέγκει;

Εἴπερ ὁ ἥλιος σῶμα φθαρτὸν ὢν πανταχοῦ τὰς ἀκτῖνας ἀφιεὶς, καὶ βορβόροις καὶ ῥύποις ὁμιλῶν, οὐδὲν ἀπὸ τῶν σωματικῶν τούτων μολυσμάτων εἰς τὴν ἑαυτοῦ καθαρότητα παραβλάπτεται, καθαρὰς δὲ τὰς ἀκτῖνας συστέλλων, καὶ πάλιν ἀφιεὶς, αὐτὸς μὲν οὐδ' ὅλως μολύνεται, τοῖς ὑποδεχομένοις δὲ τοῦτον σώμασι πολλῆς μεταδίδωσιν ὠφελείας, πολλῷ μᾶλλον ὁ τῆς δικαιοσύνης ἥλιος, ὁ καὶ τοῦ ἡλίου, καὶ τῶν σωμάτων, καὶ τῶν ἀσωμάτων δημιουργὸς C εἰς καθαρὰν ἐλθὼν σάρκα, καὶ ἣν αὐτὸς ἔπλασεν, οὐ μόνον οὐκ ἐμολύνθη, ἀλλὰ καὶ αὐτὴν καθαρωτέραν καὶ ἁγιωτέραν εἰργάσατο.

Damasceni de Sabbato. Cap. 32.

Sabbatum dies septimus vocatus est, et requiem significat. Deus enim eo die, sicut ait Scriptura, *requievit ab operibus suis* [4], ut numerus dierum ad septimum usque progressus, rursus in orbem redeat, atque a primo initium sumat. Hic porro numerus apud Judæos in honore est : quippe quem Deus coli præceperit, idque non defunctorie, sed gravissimis etiam pœnis statutis in eos, qui illud transgressi essent [5]. Nec vero temere id ille imperavit, sed certis quibusdam rationibus adductus, quas veri spirituales mentisque perspicacitate præditi intelligunt.

D Quantum autem ego, alioquin imperitus, assequi possum (ut ab inferioribus ac crassioribus incipiam), cum sciret Deus Israeliticum populum pinguem esse, et carni addictum, inque res terrenas impense pronum, nec discretionis ullius, hanc legem sanxit : primum, *ut servus et jumentum requiescerent*, sicut scriptum est [6]. Etenim *justus miseratur animas jumentorum suorum* [7] : deinde vero, ut ipsi terrenis occupationibus feriati

Τοῦ Δαμασκηνοῦ περὶ τοῦ Σαββάτου. Κεφάλ. λβ'.

Σάββατον ἡ ἑβδόμη ἡμέρα κέκληται· δηλοῖ δὲ τὴν κατάπαυσιν. Ἐν αὐτῇ γὰρ *κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ*, ὥς φησιν ἡ θεία Γραφή· διὸ καὶ μέχρις ἑπτὰ ὁ τῶν ἡμερῶν ἀριθμὸς προβαίνων, πάλιν ἀνακυκλοῦται, καὶ ἀπὸ τῆς πρώτης ἄρχεται. Οὗτος ὁ ἀριθμὸς τίμιος παρὰ Ἰουδαίοις, τοῦ Θεοῦ προστάξαντος τιμᾶσθαι αὐτὸν, οὐχ ὡς ἔτυχεν, ἀλλὰ καὶ μετὰ βαρυτάτων ἐπὶ τῇ παραβάσει ἐπιτιμίων. Οὐχ ἁπλῶς δὲ τοῦτο προσέταξεν, ἀλλὰ διά τινας μυστικῶς τοῖς πνευματικοῖς τε καὶ διορατικοῖς κατανοουμένας αἰτίας.

Ὡς ἐμὲ γοῦν γνῶναι τὸν ἀμαθῆ· ἵν' ἐκ τῶν κατωτέρων καὶ παχυτέρων ἄρξωμαι· εἰδὼς ὁ Θεὸς τὸ παχύ τε καὶ φιλόσαρκον, καὶ πρὸς τὴν ὕλην ὅλως ἀποῤῥεπὲς τοῦ Ἰσραηλίτου λαοῦ, ἅμα δὲ καὶ τὸ ἀδιάκριτον· πρῶτον μὲν, *ἵνα ὁ δοῦλος καὶ τὸ ὑποζύγιον ἀναπαύσηται*, ὡς γέγραπται· ἐπειδὴ *ἀνὴρ δίκαιος οἰκτείρει τὰς ψυχὰς κτηνῶν αὐτοῦ*, ἅμα ἵνα δὲ καὶ σχολὴν ἄγοντες ἐκ τοῦ περὶ τὴν ὕλην περισπασμοῦ, πρὸς τὸν Θεὸν συνάγωνται, ἐν ψαλμοῖς,

[1] Osee II, 18. [2] Isa. XLIII, 20. [3] Jerem XXVII, 6. [4] Gen. II, 2. [5] Exod. XIII, 6; Num. XV, 35. [6] Deut. V, 14. [7] Prov. XI, 10.

καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, καὶ μελέτῃ A τῶν θείων Γραφῶν ἅπασαν τὴν ἑβδόμην ἀναλίσκοντες, καὶ ἐν Θεῷ καταπαύοντες. Ὅτε μὲν γὰρ οὐκ ἦν νόμος, οὐ Γραφὴ θεόπνευστος, οὔτε τὸ Σάββατον τῷ Θεῷ ἀφιέρωτο. Ὅτε δὲ ἡ θεόπνευστος Γραφὴ διὰ Μωϋσέως ἐδόθη, ἀφιερώθη τῷ Θεῷ τὸ Σάββατον, ὡς ἂν περὶ τὴν ταύτης μελέτην ἐν αὐτῷ ἀδολεσχήσωσιν, οἱ μὴ πάντα τὸν βίον τῷ Θεῷ ἀφιεροῦντες, οἱ μὴ πόθῳ τῷ Δεσπότῃ ὡς Πατρὶ δουλεύοντες, ἀλλ' ὡς δοῦλοι ἀγνώμονες, κἂν μικρὸν καὶ ἐλάχιστον μέρος τῆς ἑαυτῶν ζωῆς τῷ Θεῷ ἀποτέμωνται, καὶ τοῦτο φόβῳ τῶν ἐπὶ τῇ παραβάσει εὐθυνῶν καὶ ἐπιτιμήσεων· *Δικαίῳ γὰρ νόμος οὐ κεῖται, ἀλλὰ ἀδίκῳ.* Καὶ πρῶτος Μωϋσῆς τεσσαράκοντα ἡμερῶν, καὶ αὖθις ἑτέρων τεσσαράκοντα νηστείᾳ προσεδρεύσας B τῷ Θεῷ, πάντως καὶ τοῖς Σάββασι διὰ νηστείας ἐκάκου ἑαυτὸν, τοῦ νόμου μὴ κακοῦν ἑαυτοὺς ἐν τῇ τοῦ Σαββάτου ἡμέρᾳ προστάσσοντος. Εἰ δὲ φαῖεν, ὅτι πρὸ τοῦ νόμου τούτου, τί φήσουσι περὶ τοῦ Θεσβίτου Ἠλιοῦ, τεσσαράκοντα ἡμερῶν ὁδὸν ἀνύσαντος ἐν βρώσει μιᾷ; Οὗτος γὰρ οὐ μόνον διὰ τῆς νηστείας, ἀλλὰ καὶ διὰ τῆς ὁδοιπορίας ἐν τοῖς Σάββασι τῶν τεσσαράκοντα ἡμερῶν ἑαυτὸν κακώσας, ἔλυσε τὸ Σάββατον· καὶ οὐκ ὠργίσθη τούτῳ ὁ Θεὸς, ὁ τὸν νόμον δεδωκὼς, ἀλλὰ καὶ ὡς ἀρετῆς ἔπαθλον, ἐν Χωρὴβ ἑαυτὸν ἐνεφάνισε. Τί δὲ περὶ Δανιὴλ φήσουσι; Οὐχὶ τρεῖς ἑβδομάδας διετέλεσεν ἄσιτος; Τί δὲ πᾶς Ἰσραὴλ, οὐ περιτέμνει τὸ παιδίον ἐν Σαββάτῳ, C εἰ τύχοι ὀκταήμερον; Οὐχὶ δὲ καὶ τὴν μεγάλην νηστείαν, ἣν νενομοθέτηνται, εἰ ἐν Σαββάτῳ καταντήσει, νηστεύουσι; Οὐχὶ δὲ καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται ἐν τοῖς τῆς σκηνῆς ἔργοις βεβηλοῦσι τὸ Σάββατον, καὶ ἀναίτιοί εἰσιν; Ἀλλὰ καὶ κτῆνος ἂν εἰς βόθρον ἐμπέσοι ἐν Σαββάτῳ, ὁ μὲν ἀνασπάσας, ἀναίτιος, ὁ δὲ παριδὼν, κατάκριτος. Τί δὲ πᾶς Ἰσραὴλ, οὐχὶ ἑπτὰ ἡμέρας τὴν τοῦ Θεοῦ κιβωτὸν περιφέροντες, τὰ Ἱεριχούντινα τείχη περιῄεσαν, ἐν αἷς πάντως ἦν καὶ τὸ Σάββατον;

A ad Deum se colligerent; septimum nempe diem in psalmis et hymnis et canticis spiritualibus, divinarumque Scripturarum lectione totum expendentes, atque in Deo conquiescentes. Nam, quando lex non erat, nec Scriptura divinitus inspirata, ne Sabbatum quidem Deo consecratum erat. At postquam Scriptura divina per Moysen data est, Sabbatum quoque Deo dicatum fuit, ut ejus meditationi vacarent, qui totum vitæ tempus Deo non impendunt, nec Domino tanquam patri toto desiderio serviunt: sed velut ingrati servi, parvam saltem ac perexiguam vitæ particulam illi impertirent, idque pœnarum et objurgationum, quæ prævaricatores manent, timore: *Non enim lex* B *justo posita est, sed injusto* [1]. Argumento est, quod primus ipse Moyses totos quadraginta dies, rursumque totidem alios jejunus assistens Deo [2], procul dubio ipsis quoque Sabbatis sese macerabat, cum tamen lex juberet, ne quis se die Sabbati affligeret. Quod si hoc ante datam legem gestum fuisse aiunt, quid de Elia Thesbite sunt dicturi, qui quadraginta dierum iter, semel duntaxat sumpto cibo confecit [3]? Etenim ipse non jejunio solum, sed etiam itinere, in horum quadraginta dierum sabbatis sese affligens, Sabbatum solvit: neque propterea Deus qui legem tulerat, ei succensuit; quin potius in virtutis præmium, illi se C in Horeb conspiciendum præbuit. Quid item de Daniele dicent? Annon tres hebdomadas integras jejunus egit [4]? Quid vero? Nunquid non Israelitæ omnes infantem Sabbato circumcidunt, si quidem tunc octavum vitæ diem attigerit [5]? Nonne magnum illud jejunium, quod lege præscriptum est, si in Sabbato occurrerit, obeunt [6]? Annon itidem sacerdotes et Levitæ in tabernaculi operis Sabbatum violant, nec ob id in culpa sunt [7]? Quin, si jumentum die Sabbati in foveam prolabitur, qui illud extraxerit, criminis est insons, reus vero, qui hoc facere neglexerit. Num cuncti Israelitæ per septiduum arcam Dei ferentes, Jerichuntina mœnia non circuiere, inter quos dies plane Sabbatum erat [8]?

Ὡς οὖν ἔφην, σχολῆς ἕνεκα τῆς πρὸς Θεὸν, ἵνα κἂν D σμικροτάτην ἀπόμοιραν αὐτῷ ἀπονέμωσι, καὶ ἀναπαύσωνται, ὅ τε δοῦλος καὶ τὸ ὑποζύγιον, ἡ τοῦ Σαββάτου τήρησις ἐπινενόητο, τοῖς νηπίοις ἔτι, καὶ ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου δεδουλωμένοις, τοῖς σαρκικοῖς, καὶ μηδὲν ὑπὲρ τὸ σῶμα, καὶ τὸ γράμμα ἐννοῆσαι δυναμένοις. *Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ, γενόμενον ἐκ γυναικὸς ἄνθρωπον, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.* Ὅσοι γὰρ ἐλάβομεν αὐτὸν, ἔδωκεν ἡμῖν ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς αὐτόν· ὥστε οὐκέτι ἐσμὲν δοῦλοι, ἀλλ' υἱοί· οὐκέτι ὑπὸ νόμον, ἀλλ' ὑπὸ

D Itaque, quemadmodum dixi, ut Deo vacaretur, et vel minima saltem vitæ particula ei tribueretur, nec non ut servus jumentumque requiescerent, Sabbati observatio consulto invecta illis fuit, qui cum parvuli adhuc et carnales essent, sub elementis mundi servientes [9], nihil supra corpus et litteram valerent cogitare. *Cum autem venit plenitudo temporis, misit Deus Filium suum* unigenitum, hominem *factum ex muliere, factum sub lege, ut eos qui sub lege erant redimeret; ut adoptionem filiorum reciperemus* [10]. Quotquot enim recepimus eum, dedit nobis potestatem filios Dei fieri [11], qui in ipsum credimus. Quare non jam sumus servi, sed liberi [12]: non

[1] I Timoth. I, 9. [2] Exod. XXIV, 18; XXXIV, 28. [3] III Reg. XIX, 8. [4] Dan. X, 2. [5] Levit. XXII, 3. [6] Levit. XXIII, 27. [7] Matth. XII, 5. [8] Josue III, seqq. [9] Galat. IV, 3. [10] Ibid. 4, 5. [11] Joan. I, 12. [12] Galat. IV, 7.

jam sub lege, sed sub gratia : non jam ex parte solum præ metu Domino servimus ; sed ad totum tempus ei consecrandum sumus obligati, adeo ut servo illi, iræ, inquam, et cupiditati, quiescere a peccato, Deoque feriatum esse jubeamus ; erecta quidem perpetuo versus Deum cupiditate, armata vero contra Dei hostes iracundia : ac jumentum item, corpus nimirum, a peccati servitute dato otio recreemus, et ad inserviendum divinis præceptis compellamus.

Hæc sunt quæ spiritualis Christi lex nobis indicit, quam, qui custodiunt, Mosaica lege superiores exsistunt. Nam, ex quo venit quod perfectum est, evacuatum est quod ex parte erat [1]; ac scisso per Salvatoris crucem tegumento sive velo legis, sanctoque Spiritu igneis linguis illucescente, littera obsolevit, corporalia cessarunt, et impleta lege servitutis, lex libertatis nobis donata est. Atque perfectam humanæ naturæ requiem celebramus, hoc est resurrectionis diem, in qua Dominus Jesus, vitæ auctor et Salvator, nos ad promissam illis qui spirituali cultu Deo serviunt, hæreditatem introduxit; in quam nimirum ipse præcursor noster ingressus est, postquam a morte ad vitam rediit, et reseratis patefactisque sibi cœli janais, in Patris dextera secundum corpus consedit, quo illi etiam qui legi Spiritus morem gerunt, deinceps sunt introituri.

Quocirca ad nos, qui spiritu, ac non littera incedimus, omnis carnalium rerum abjectio spectat, cultusque spiritualis, et cum Deo conjunctio. Circumcisio quippe, corporeæ voluptatis rerumque superfluarum ac minime necessariarum est abjectio. Præputium vero nihil aliud est, nisi superflua cutis membri illius in quo libido cietur. Omnis porro voluptas, quæ nec ex Deo, nec in Deo capitur, voluptatis est superflua portio, cujus figura præputium est : Sabbatum autem est requies a peccato. Quamobrem duo hæc unum prorsus sunt, atque ita ambo simul, si ab iis qui spiritu agunt, observentur, ne minimam quidem flagitii notam creant.

Quin illud quoque notandum est, septenario numero præsens omne tempus designari, juxta atque sapientissimus Salomon dixit, *dare partem septem, atque etiam octo* [2]. Et diviniloquus David [3], cum de octava psalmum ederet, de futura post resurrectionem instauratione rerum canebat. Quocirca, quandoquidem lex die septimo a corporeis rebus cessare præcipiebat, et spiritualibus vacare, vero Israelitæ, eaque mente prædito quæ Deum videat, arcana ratione hoc subindicabat, nunquam id non agendum esse, ut sese Deo offerat, et supra res corporeas assurgat.

A χάριν· οὐκέτι μερικῶς τῷ Κυρίῳ δουλεύοντες ἐκ φόβου, ἀλλὰ πάντα τὸν χρόνον τῆς ζωῆς αὐτῷ ἀνατιθέναι ὀφείλοντες, καὶ ἀεὶ τὸν δοῦλον, τὸν θυμὸν λέγω καὶ τὴν ἐπιθυμίαν, ἀπὸ τῆς ἁμαρτίας καταπαύοντες, καὶ τῷ Θεῷ σχολάζειν ἐπιτρέποντες· τὴν μὲν ἐπιθυμίαν ἅπασαν ἀεὶ πρὸς Θεὸν ἀνατείνοντες, τὸν δὲ θυμὸν κατὰ τῶν τοῦ Θεοῦ δυσμενῶν καθοπλίζοντες· καὶ τὸ ὑποζύγιον, ἤτοι τὸ σῶμα, ὁμοίως, τὴν μὲν δουλείαν τῆς ἁμαρτίας ἀναπαύοντες, ταῖς δὲ θείαις ἐντολαῖς ἐξυπηρετεῖσθαι προτρέποντες.

Ταῦτα ὁ πνευματικὸς ἡμῖν ἐντέλλεται τοῦ Χριστοῦ νόμος, καὶ οἱ τοῦτον φυλάσσοντες, ὑπέρτεροι τοῦ Μωσαϊκοῦ νόμου γεγόνασιν. Ἐλθόντος γὰρ τοῦ τελείου, τὸ ἐκ μέρους κατήργηται, καὶ τοῦ καλύμματος τοῦ B νόμου, ἤτοι τοῦ καταπετάσματος διὰ τῆς τοῦ Σωτῆρος διαῤῥαγέντος σταυρώσεως, καὶ τοῦ Πνεύματος πυρίναις γλώσσαις ἐκλάμψαντος, τὸ γράμμα κατήργηται, τὰ σωματικὰ πέπαυται, καὶ ὁ τῆς δουλείας νόμος πεπλήρωται, καὶ νόμος ἐλευθερίας ἡμῖν δεδώρηται. Καὶ ἑορτάζομεν τὴν τελείαν τῆς ἀνθρωπίνης φύσεως κατάπαυσιν· φημὶ δὲ τὴν τῆς ἀναστάσεως ἡμέραν, ἐν ᾗ ἡμᾶς ὁ Κύριος Ἰησοῦς, ὁ τῆς ζωῆς ἀρχηγὸς καὶ Σωτὴρ, εἰς τὴν ἐπηγγελμένην τοῖς πνευματικῶς τῷ Θεῷ λατρεύουσι κληρουχίαν εἰσήγαγεν, εἰς ἣν αὐτὸς πρόδρομος ἡμῶν εἰσῆλθεν, ἀναστὰς ἐκ νεκρῶν, καὶ ἀνοιγέντων αὐτῷ τῶν οὐρανίων πυλῶν, ἐν δεξιᾷ τοῦ Πατρὸς κεκάθικε σωματικῶς, ἔνθα καὶ οἱ τὸν πνευ- C ματικὸν τηροῦντες νόμον εἰσελεύσονται.

Ἡμῖν τοίνυν τοῖς τῷ πνεύματι στοιχοῦσι, καὶ οὐ τῷ γράμματι, πᾶσα ἡ τῶν σαρκικῶν ἐστιν ἀπόθεσις, καὶ ἡ πνευματικὴ λατρεία, καὶ ἡ πρὸς Θεὸν συνάφεια. Περιτομὴ μὲν γάρ ἐστιν ἡ τῆς σωματικῆς ἡδονῆς, καὶ τῶν περιττῶν, καὶ οὐκ ἀναγκαίων ἀπόθεσις. Ἀκροβυστία γὰρ οὐδὲν ἕτερόν ἐστιν, εἰ μὴ δέρμα, ἡδονικοῦ μορίου περίττωμα. Πᾶσα δὲ ἡδονὴ μὴ ἐκ Θεοῦ καὶ ἐν Θεῷ γινομένη περίττωμα ἡδονῆς ἐστιν· ἧς τύπος ἡ ἀκροβυστία. Σάββατον δὲ, ἡ ἐκ τῆς ἁμαρτίας κατάπαυσις. Ὥστε ἀμφότερα ἓν τυγχάνουσι, καὶ οὕτως ἀμφότερα ἅμα ὑπὸ τῶν πνευματικῶν τελούμενα, οὐδὲ τὴν τυχοῦσαν παρανομίαν D ἐργάζονται.

Ἔτι δὲ ἰστέον ὅτι ὁ ἑπτὰ ἀριθμὸς πάντα τὸν παρόντα χρόνον δηλοῖ, ὥς φησιν ὁ σοφώτατος Σολομῶν, *δοῦναι μερίδα τοῖς ἑπτὰ, καί γε τοῖς ὀκτώ.* Καὶ ὁ θεηγόρος Δαβὶδ περὶ τῆς ὀγδόης ψάλλων, περὶ τῆς μελλούσης μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν καταστάσεως ἔψαλλε. Τὴν ἑβδόμην οὖν ἡμέραν, ἀργίαν μὲν ἄγειν ἐκ τῶν σωματικῶν, τοῖς δὲ πνευματικοῖς ἐνασχολεῖσθαι προστάσσων ὁ νόμος, μυστικῶς πάντα τὸν χρόνον τῷ ἀληθινῷ Ἰσραὴλ, καὶ νοῦν ὁρῶντα Θεὸν ἔχοντι, ὑπέφηνε, τῷ Θεῷ ἑαυτὸν προσάγειν, καὶ ὑπεράνω τῶν σωματικῶν γίνεσθαι.

[1] I Cor. XIII, 10. [2] Eccle. XI, 2. [3] Psal. VI, 11.

Περὶ τῆς Ἰουδαϊκῆς περιτομῆς τοῦ μεγάλου Ἰωάννου τοῦ Χρυσοστόμου ἀπὸ τῆς ἐξηγήσεως τῆς εἰς τὴν βίβλον τῆς Γενέσεως.

A Τίνος ἕνεκεν, εἰπέ μοι, νῦν περιτέμνεσθε; Τότε γὰρ, ἵνα μὴ τοῖς παρανόμοις ἔθνεσιν οἱ πρόγονοι ὑμῶν συναναφυρῶσι, τοῦτο ἐπετάγησαν. Νῦν δὲ διὰ τὴν τοῦ Θεοῦ χάριν πάντων πρὸς τὴν ἀλήθειαν τοῦ φωτὸς χειραγωγηθέντων, ποῖον τῆς περιτομῆς ὄφελος; Μὴ γὰρ πρὸς τὴν τῆς ψυχῆς ἐλευθερίαν συμβάλλεταί τι ἡ τῆς σαρκὸς ἀπόθεσις; Οὐκ ἠκούσατε σαφῶς τοῦ Θεοῦ λέγοντος· *Καὶ ἔσται ἐν σημείῳ διαθήκης*; μονονουχὶ δεικνύντος, ὅτι διὰ τὴν πολλὴν αὐτῶν ἀγνωμοσύνην τοῦ τοιούτου σημείου ἐδεήθησαν. Οὕτω γὰρ καὶ ἐπὶ τῶν ἀνθρωπίνων πολλάκις γίνεται πραγμάτων, ἐπειδὰν μὴ θαρ-B ῥῶμέν τισι, σημεῖον ἐνεχύρου χάριν λαμβάνειν παρ' αὐτῶν σπουδάζομεν. Οὕτω καὶ ὁ τῶν ὅλων Θεὸς εἰδὼς αὐτῶν τὴν εὐκολίαν τῆς γνώμης, τὸ σημεῖον τοῦτο παρ' αὐτῶν ἀπαιτῆσαι κατεδέξατο, οὐχ ἵνα διηνεκῶς μένῃ τὸ σημεῖον τοῦτο, ἀλλ' ἵνα, τῶν τότε τέλος λαμβανόντων, καὶ ἡ τοῦ σημείου χρεία περιαιρεθῇ. Ὥσπερ γὰρ ὅταν σημεῖόν τινες ἀπαιτῶσι, καὶ ἐνέχυρον βούλονται λαμβάνειν, ἐπειδὰν δὲ τοῦ πράγματος ἡ ὑπόθεσις πέρας λάβῃ, καὶ τὸ σημεῖον λοιπὸν αἴρεται· οὕτω δὴ καὶ ἐνταῦθα, ἐπειδὴ διὰ τὸ φανερὸν εἶναι τὸν λαὸν τοῦ πατριάρχου τὸ σημεῖον τοῦτο παρ' ὑμῶν εἰσηνέχθη, ἐχρῆν τῶν ἐθνῶν ἐκείνων, δι' οὓς τὸ σημεῖον ἐδέξασθε, τῶν μὲν ἄρδην ἀφανισθέντων, τῶν δὲ μετ' ἐκείνους τῆς ἀληθείας τῷ φωτὶ προσδραμόντων, μηκέτι C τὸν ἔλεγχον τῆς οἰκείας ἀγνωμοσύνης περιφέρειν, ἀλλ' ἀπαλλάττεσθαι, καὶ εἰς τὴν προτέραν εὐγένειαν ἐπανατρέχειν. Ἐννόησον γάρ μοι ὅτι ὁ θαυμάσιος ἐκεῖνος πατριάρχης πρὶν ἢ τῆς περιτομῆς δέξασθαι τὴν ἐντολὴν, ἐνενήκοντα ἐννέα γὰρ ἐτῶν ἦν, ἡνίκα τοῦτο ἐπετάττετο, καὶ εὐάρεστος γέγονε τῷ Θεῷ, καὶ μυριάκις ἀνεκηρύχθη παρὰ τοῦ Δεσπότου. Καὶ ἐπειδὴ λοιπὸν εἰς ἔργον ἔμελλεν ἐκβαίνειν τὰ τῆς ἐπαγγελίας, καὶ τίκτεσθαι ὁ Ἰσαὰκ, καὶ αὐξάνεσθαι τὸ γένος, καὶ ὁ πατριάρχης μεθίστασθαι τῆς ζωῆς, τότε δέχεται τὴν ἐντολὴν τῆς περιτομῆς, καὶ ἐν ἡλικίᾳ τοιαύτῃ περιτέμνεται, ἵνα τοῖς ἑξῆς ἅπασι νόμος τις, καὶ κανὼν γένηται τὰ παρὰ τοῦ πατριάρχου γεγενημένα. Καὶ D ἵνα μάθητε ἀκριβῶς, ὡς οὐδὲν τοῦτο πρὸς τὴν ψυχῆς ἀρετὴν συντελεῖ ἐξ αὐτῶν τῶν γινομένων, νυνὶ συνιδεῖν δυνατόν. Τί γάρ φησιν, *Ὀκτὼ ἡμερῶν παιδίον περιτμηθήσεται*; Τὸν δὲ χρόνον τοῦτον οἶμαι ὡρίσθαι παρὰ τοῦ φιλανθρώπου Θεοῦ δύο τούτων ἕνεκα, ἑνὸς μὲν, ἵνα τῇ ἀώρῳ ἡλικίᾳ κουφότερον ἐνεγκεῖν τῆς περιτομῆς τὸν πόνον δυνηθῇ· δεύτερον δὲ, ἵνα δι' αὐτῶν τῶν ἔργων παιδευθῶμεν, ὡς οὐκ εἰς ψυχήν τι συντελεῖ τὸ γινόμενον, ἀλλὰ σημείου χάριν τοῦτο γίνεται. Τὸ γὰρ ἄωρον παιδίον τὸ μὴ γινῶσκον τὰ γινόμενα, μηδὲ αἴσθησίν τινα ἔχον, ποίαν ὠφέλειαν εἰς τὴν ψυχὴν ἐκ τούτου δέξασθαι δυνήσεται; Ἐκεῖνα γάρ ἐστι τῆς ψυχῆς ἰδικῶς κατορθώματα, τὰ ἐκ προαιρέσεως γινόμενα. Ψυχῆς γάρ ἐστι

[1] Gen. XVII, 11.

De Judaica circumcisione. Magni Joannis Chrysostomi ex interpretatione in Genesim.

Cur, quæso, nunc circumcidimini? Nam olim parentes vestri jussi sunt circumcidi, ne gentibus illis a lege alienis commiscerentur. Nunc autem, cum omnes gentes per gratiam Dei ad veritatis lucem perductæ sint, quænam est circumcisionis utilitas? Num ad animi libertatem expedit carnis rejectio? Nonne audivistis Deum aperte dicentem: *Et erit inter me et vos in signum fœderis* [1]? Quibus verbis tantum non indicat, vos propter magnam temeritatem et ingrati animi vitium indiguisse ejusmodi signo et nota. Sic enim fit sæpe etiam in negotiis humanis. Quoties enim alicui non habemus fidem, B pignoris gratia signum aliquod ab eo flagitandum existimamus. Ita rerum omnium Dominus cognoscens Judæos esse animo instabili, et facile sententiam mutare, signum hoc ab eis accipere voluit, non ut perpetuo maneret, sed ut rebus illis, quæ tunc tractabantur, finem habentibus, signi etiam usus tolleretur. Quemadmodum enim qui arrham, et pignus aliquod petunt, et volunt accipere, cum negotia transacta fuerint, id non amplius curant, eodem modo contingit in hac re. Nam quia circumcisionis pignus a vobis postulatum est, ut eo signo patriarchæ populus dignosceretur ab aliis gentibus, consentaneum erat, ut, posteaquam illæ partim deletæ essent, partim ad veri- C tatis lumen adductæ, vos temeritatis et stultitiæ signum amplius non circumferretis, sed ad pristinam nobilitatis dignitatem reverteremini. Jam illud mihi considera, admirabilem illum patriarcham, priusquam circumcisionis mandatum acciperet, fuisse nonaginta novem annorum, ante quod tempus et placuerat Deo, et sæpissime a Domino fuerat approbatus, cumque jam illi promissa a Deo essent exsolvenda, ut et filio Isaac augeretur, et progeniem multiplicaret, et paucis post annis esset e vita discessurus, tum demum fuisse jussum ut se circumcideret, ea nimirum de causa, ut quæ ipse gesserat tanquam lex et regula quædam posteris essent proposita. Nam quod nihil ad animi virtutem expediat circumcisio, ex iis, quæ D facta sunt, nunc possumus intelligere. Cur enim præceptum est, ut puer octo dierum circumcidatur? Cur tempus hoc a benignitate divina fuit præfinitum, nisi, ut ego sentio, his duabus de causis: ut circumcisionis dolor in illa tenera ætate facilius perferretur, et re ipsa constaret, factum illud animo nihil prodesse, sed signi tantum vim obtinere? Quam enim utilitatem inde percipiat tenellus ille puerulus, qui sensu pene carens, ea quæ fiunt, penitus ignorat? Nam illa sunt proprie recta animi officia, quæ ex voluntate proficiscuntur. Perfectum animi opus, et officium est, ut virtutem amplectatur, et vitium fugiat; ut plura ne concupiscat, sed ea, quæ habet, egentibus benigne distribuat; ne

rerum præsentium desiderio contabescat, sed his spretis atque contemptis, futuras expetat, et assidue cogitet. In circumcisione vero quid, ut recte, et voluntate factum laudabitur? Sed amentes ac sensu expertes Judæi veritate jam patefacta in umbra adhuc sedent, cumque sol radios suos in omnes partes effuderit, adhuc exiguæ lucernæ lumini inhærent. Et postulante jam tempore ut solido cibo nutriantur, non possunt a lacte dimoveri, nec beatum Paulum audire volunt ita clamantem, et dicentem de patriarcha : *Et signum accepit circumcisionis signaculum justitiæ fidei in præputio* [1]. Vides quomodo hic nos utrumque docuerit, nempe patriarcham et signi gratia circumcisionem accepisse, et cum esset in præputio justitiam ex fide præ se tulisse? Nam ne Judæus impudenter assereret, et circumcisionem ipsi justitiam attulisse, idcirco beatus hic ad pedes Gamalielis edoctus ea quæ ad exquisitam legis peritiam pertinent, Ne putetis, inquit, impudentissimi Judæi, circumcisionem quidquam ei ad justitiam contulisse; etenim quo tempore præputium habebat, eam fidem præ se tulit, ut meruerit illud audire : *Credidit Abraham Deo, et reputatum illi est ad justitiam* [2]. Cum igitur jam esset in justitia propter fidem, tunc signi causa circumcisionem accepit. Item ejus nomini Deus elementum adjungit, et postea præcipit, ut circumcidatur, et ostendat se propter magnam justi virtutem sibi illum amicum adjunxisse, et propter illum posteros etiam ipsius. Ac, quemadmodum qui servum comparavit, et nomen ipsius et habitum plerumque commutat, et omnia facit, ut ille cognoscatur seque dominum ejus esse declaret : sic item rerum omnium Deus, cum vellet patriarcham a reliquis hominibus distinguere, et litteram unam ejus nomini adjungens eum fore multarum gentium patrem indicavit, et per circumcisionem ostendit sibi populum eximium, et a reliquis sejunctum populis ex semine ejus futurum. At illi ignorantia obcæcati carnis circumcisionem adhuc observantes non audiunt Paulum sic eos iterum alloquentem : *Si circumcidamini, Christus vobis nihil proderit* [3]; ob id enim natus est Dominus, ut hæc omnia auferret. Et idcirco ipse totam legem implevit, ut legis observationem non sineret ulterius progredi. Quapropter et beatus Paulus clamabat : *Qui in lege*, inquiens, *justificamini, a gratia excidistis* [4].

A κατορθώματα τὸ ἀρετὴν ἑλέσθαι, καὶ κακίαν φυγεῖν. Ψυχῆς κατόρθωμα τὸ μὴ τῶν πλειόνων ἐφίεσθαι, ἀλλὰ καὶ τὰ ὄντα προέσθαι τοῖς δεομένοις. Ψυχῆς ἐστι κατόρθωμα τὸ μὴ τοῖς παροῦσι προστετηκέναι, ἀλλὰ τούτων μὲν ὑπερορᾷν, τὰ μέλλοντα δὲ καθ' ἑκάστην ἡμέραν φαντάζεσθαι. Ἡ περιτομὴ δὲ ποῖον ἂν εἴη κατόρθωμα; Ἀλλ' οἱ ἀγνώμονες καὶ ἀχάριστοι Ἰουδαῖοι τῆς ἀληθείας φανείσης, ἔτι τῇ σκιᾷ παρακαθήμενοι, καὶ τοῦ ἡλίου τῆς δικαιοσύνης λάμψαντος, καὶ τὰς ἀκτῖνας τοῦ φωτὸς πανταχοῦ ἀφιέντος, ἔτι τῷ λυχνιαίῳ φωτὶ προσηλωμένοι, καὶ μετὰ τὸν καιρὸν τῆς στερεᾶς τροφῆς ἔτι τῷ γάλακτι τρεφόμενοι, οὐδὲ τοῦ μακαρίου Παύλου ἀκούειν ἀνέχονται βοῶντος, καὶ λέγοντος περὶ τοῦ πατριάρχου· *Καὶ σημεῖον ἔλαβε περιτομῆς, σφραγῖδα τῆς δικαιο-* B *σύνης τῆς πίστεως τῆς ἐν ἀκροβυστίᾳ.* Ὅρα πῶς ἀμφότερα ἡμᾶς ἐνταῦθα ἐδίδαξε, καὶ ὅτι σημείου χάριν τὴν περιτομὴν κατεδέξατο, καὶ ὅτι ἡνίκα ἀκρόβυστον ἦν, τὴν δικαιοσύνην τὴν ἐκ πίστεως ἐπεδείξατο. Ἵνα γὰρ μὴ ἀναισχυντῇ ὁ Ἰουδαῖος, καὶ λέγῃ, ὅτι ἡ περιτομὴ τὴν δικαιοσύνην αὐτῷ προεξένησε, διὰ τοῦτο ὁ μακάριος οὗτος, ὁ παρὰ τοὺς πόδας Γαμαλιὴλ μαθητευθεὶς, ὁ κατὰ ἀκρίβειαν τοῦ νόμου παιδευθεὶς φησί· *Μὴ νομίσητε, ὦ ἀναίσχυντοι Ἰουδαῖοι, ὅτι ἡ περιτομή τι εἰς δικαιοσύνην αὐτῷ συνετέλεσε.* Καὶ γὰρ ἐν τῷ καιρῷ τῆς ἀκροβυστίας τὴν πίστιν ἐπιδειξάμενος ἤκουσεν· *Ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.* C Γενόμενος οὖν ἐν τῇ δικαιοσύνῃ διὰ τὴν πίστιν, τότε δέχεται σημείου χάριν τὴν περιτομὴν, καὶ ὁμοῦ καὶ τῷ ὀνόματι αὐτοῦ τὸ στοιχεῖον ἐπιτίθησι, καὶ μετὰ ταῦτα τὴν περιτομὴν ἐπιτάττει, ἵνα δείξῃ, ὅτι διὰ τὴν πολλὴν ἀρετὴν λοιπὸν τὸν δίκαιον ᾠκειώσατο, καὶ δι' ἐκεῖνον καὶ τοὺς ἐξ αὐτοῦ ἐσομένους. Καὶ καθάπερ τις οἰκέτην κτησάμενος, πολλάκις καὶ τὸ ὄνομα αὐτοῦ μετατίθησι, καὶ τὸ σχῆμα, καὶ πάντα ποιεῖ, ὥστε κατάδηλον αὐτὸν ποιῆσαι, ἵνα διὰ πάντων κηρύττῃ τὴν δεσποτείαν· οὕτω δὴ καὶ ὁ τῶν ὅλων Θεὸς, ὥσπερ χωρίσαι τῶν ἄλλων ἀνθρώπων αὐτὸν βουλόμενος, διὰ μὲν τῆς προσθήκης τοῦ στοιχείου, ὅτι πολλῶν ἐθνῶν πατὴρ ἔσται ἐμήνυσε, διὰ δὲ τῆς περιτομῆς, ὅτι ἐξαίρετος αὐτοῦ ἔσται λαὸς, καὶ τῶν λοιπῶν ἐθνῶν κεχωρισμένον τὸ ἐξ αὐτοῦ D μέλλον τίκτεσθαι σπέρμα· εἰ καὶ ἐκεῖνοι διὰ τὴν οἰκείαν πώρωσιν ἔτι τὴν περιτομὴν τῆς σαρκὸς φυλάττειν βούλονται, οὐκ ἀκούοντες πάλιν Παύλου λέγοντος· *Ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει.* Διὰ γὰρ τοῦτο παρεγένετο ὁ Δεσπότης, ἵνα ταῦτα ἀνέλῃ· καὶ διὰ τοῦτο πάντα τὸν νόμον ἐπλήρωσεν, ἵνα στήσῃ λοιπὸν τοῦ νόμου τὴν παρατήρησιν. Διὰ τοῦτο ἐβόα, καὶ ἔλεγεν ὁ μακάριος Παῦλος· *Οἵτινες ἐν νόμῳ δικαιοῦσθε τῆς χάριτος ἐξεπέσατε.*

Item de circumcisione. Ex Damasceno, cap. 34.

Post legem, post benedictionem, post promissionem circumcisio data est Abraham, uti signum, quod eum, et filios atque domesticos ejus, a gentibus, quibuscum versabatur, distingueret. Hoc autem

Κεφάλαιον λδ'. Περὶ τῆς αὐτῆς περιτομῆς, τοῦ Δαμασκηνοῦ.

Ἡ περιτομὴ πρὸ τοῦ νόμου ἐδόθη τῷ Ἀβραὰμ, μετὰ τὰς εὐλογίας, μετὰ τὴν ἐπαγγελίαν, σημεῖον ἀποδιαστέλλον αὐτὸν, καὶ τοὺς ἐξ αὐτοῦ, καὶ τοὺς αὐτοῦ οἰκογενεῖς ἐκ τῶν ἐθνῶν, μεθ'

[1] Rom. IV, 11. [2] Gen. XV, 6; Rom. IV, 3. [3] Gal. V, 2. [4] Ibid. 4.

ὧν ἀνεστρέφετο. Καὶ δῆλον· ὅτε γὰρ ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη μόνος ὁ Ἰσραὴλ καθ' ἑαυτὸν διέτριψεν, οὐ συναναμεμιγμένος ἑτέρῳ ἔθνει, ὅσοι ἐν τῇ ἐρήμῳ ἐγεννήθησαν οὐ περιετμήθησαν, καὶ γέγονε δεύτερος νόμος περιτομῆς. Ἐπὶ Ἀβραὰμ γὰρ ἐδόθη νόμος περιτομῆς. Εἶτα ἐπαύσατο ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη, καὶ πάλιν ἐκ δευτέρου ἔδωκεν ὁ Θεὸς τῷ Ἰησοῦ νόμον περιτομῆς μετὰ τὸ διαβῆναι τὸν Ἰορδάνην, καθὼς ἐν τῇ βίβλῳ τοῦ Ἰησοῦ γέγραπται. Σημεῖον οὖν οὖσα ἡ περιτομή, οὐ χρειῶδες μέλος ἀποτέμνει τοῦ σώματος, ἀλλὰ περίσσωμα ἄχρηστον· οὕτω διὰ τοῦ βαπτίσματος τὴν ἁμαρτίαν περιτεμνόμεθα. Ἡ δὲ ἁμαρτία δῆλον ὡς περίττωμα ἐπιθυμίας ἐστὶ, καὶ οὐ χρειώδης ἐπιθυμία. Ἀδύνατον γάρ τινα μηδ' ὅλως ἐπιθυμεῖν, ἢ τέλειον ἄγευστον ἡδονῆς εἶναι. Ἀλλὰ τὸ ἄχρηστον τῆς ἡδονῆς, ἤτοι ἡ ἄχρηστος ἐπιθυμία καὶ ἡδονὴ, τοῦτό ἐστιν ἁμαρτία, ἣν περιτέμνει τὸ ἅγιον βάπτισμα, παρέχον ἡμῖν σημεῖον τὸν τίμιον σταυρὸν ἐπὶ τοῦ μετώπου, οὐκ ἐξ ἐθνῶν ἀφορίζον ἡμᾶς, πάντα γὰρ τὰ ἔθνη τοῦ βαπτίσματος ἔτυχον, καὶ τῷ σημείῳ τοῦ σταυροῦ ἐσφραγίσθησαν, ἀλλ' ἐν ἑκάστῳ ἔθνει τὸν πιστὸν διαστέλλον ἀπὸ τοῦ ἀπίστου. Τῆς τοίνυν ἀληθείας ἐκφανθείσης, ἀνόνητος ὁ τύπος καὶ ἡ σκιά. Ὥστε περιττὸν νῦν τὸ περιτέμνεσθαι, καὶ ἐναντίον τοῦ ἁγίου βαπτίσματος. Ὁ γὰρ περιτεμνόμενος χρεωστεῖ ὅλον τὸν νόμον πληρῶσαι. Ὁ δὲ Κύριος, ἵνα πληρώσῃ τὸν νόμον, περιετμήθη, καὶ πάντα δὲ τὸν νόμον, καὶ τὸ Σάββατον ἐτήρησεν, ἵνα πληρώσῃ, καὶ τέλος τὸν νόμον. Ἀφ' οὗ δὲ ἐβαπτίσθη, καὶ τὸ Πνεῦμα τὸ ἅγιον τοῖς ἀνθρώποις ἐνεφανίσθη, ἐν εἴδει περιστερᾶς καταβαῖνον ἐπ' αὐτὸν, ἔκτοτε ἡ πνευματικὴ λατρεία, καὶ πολιτεία, καὶ ἡ τῶν οὐρανῶν βασιλεία κεκήρυκται.

(7) ΤΙΤΛΟΣ Θ'.

Κατὰ Σίμωνος τοῦ Σαμαρέως, καὶ Μαρκίωνος τοῦ Ποντικοῦ, καὶ τοῦ Πέρσου Μάνεντος, καὶ τῶν Μανιχαίων, τοῦ μεγάλου Ἀθανασίου.

Τινὲς ἐκπεσόντες τῆς ἐκκλησιαστικῆς διδασκαλίας, καὶ περὶ τὴν πίστιν ναυαγήσαντες, ὑπόστασιν τοῦ κακοῦ παραφρονοῦσιν εἶναι. Ἀναπλάττονται δὲ ἑαυτοῖς παρὰ τὸν ἀληθινὸν τοῦ Χριστοῦ Πατέρα Θεὸν ἕτερον, καὶ τοῦτον ἀγέννητον, τοῦ κακοῦ ποιητὴν, καὶ τῆς κακίας ἀρχηγὸν, τὸν καὶ τῆς κτίσεως δημιουργόν. Τούτους δὲ εὐχερῶς ἄν τις ἐλέγξειεν ἔκ τε τῶν θείων Γραφῶν, καὶ ἐξ αὐτῆς τῆς ἐν ἀνθρώποις διανοίας, ἀφ' ἧς καὶ ταῦτα ἀναπλασάμενοι μαίνονται. Ὁ μὲν οὖν Κύριος καὶ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τοῖς Εὐαγγελίοις φησὶ, βεβαιῶν τὰ Μωσέως ῥήματα· *Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι*· καί·

ex eo perspicuum est, quod quadraginta annorum spatio, quo Israel secum ipse solus vixit in solitudine, nec cum alia gente commistus est, quicunque nati sunt, non fuerunt circumcisi. Quamobrem altera lex circumcisionis lata est. Nam cum circumcidendi lex, quæ vivente Abraham fuerat instituta, quadraginta annis in solitudine cessasset, iterum sub Josue confirmata est a Deo, posteaquam Jordanem trajecerunt, quemadmodum in libro Josue scriptum est. Circumcisionis igitur signum, quo Israel a reliquis gentibus distinguebatur, erat baptismi nota. Nam ut circumcisio non membrum corporis utile, sed inutile, et supervacaneum quiddam amputat, sic per baptisma peccatum nobis circumciditur, et amputatur. Peccatum autem esse cupiditatem superfluam, et non utilem, aut necessariam manifestum est. Nam, ut nihil omnino cupiamus, aut omni voluptatis gustu careamus, id vero fieri non potest. Quare voluptas inutilis, seu inutilis, et non necessaria cupiditas et voluptas peccatum est, quod amputat sanctum baptisma, nobis imprimens honorificum crucis signum in fronte: non separans nos ab aliis gentibus, cum omnes gentes baptisma sint assecutæ, et signo crucis obsignatæ, sed in unaquaque gente distinguens fidelem ab infideli. Veritate igitur patefacta signum, et nota, et umbra sunt inutilia. Itaque circumcidi supervacaneum est, et sancto baptismati adversatur. Nam qui circumciditur, totam legem tenetur observare. Dominus autem circumcisus est, et totam legem, et Sabbatum observavit, ut legem impleret, eique finem imponeret. Ex quo enim baptizatus est, et Spiritus sanctus super eum in columbæ specie descendens hominibus apparuit, spiritalis cultus, et ratio vivendi, et regnum cœlorum cœpit promulgari.

TITULUS IX.

Adversus Simonem Samariensem, et Marcionem Ponticum, et Manetem Persam, et Manichæos, magni Athanasii.

Quidam ab ecclesiastica doctrina deficientes factoque in fide naufragio mali naturam per se subsistentem comminiscuntur. Et præter verum Christi Patrem, alterum sibi Deum, eumque item ingenitum, et mali effectorem, ac malitiæ principem, et auctorem mundi confingunt. Hos tum ex divinis Scripturis, tum ex ea, quæ in hominibus est, cogitatione, qua ipsi hæc confingentes insaniunt, facile possumus coarguere, et confutare. Dominus igitur noster Jesus Christus in Evangeliis verba Mosis confirmans: *Dominus*, inquit, *Deus tuus Dominus unus est*[1]. Et, *Confiteor*, inquit, *tibi*, *Pater*, *Domine*

[1] Deut. VI, 4; Marc. XII, 29.

(7) Ante titulum nonum in cod. Mosquensi legitur hoc scholium: Τινὲς μὲν τῶν παλαιοτάτων αἱρέσεων τὴν μίαν ἀρνησάμεναι τῶν ὅλων ἀρχὴν, ἀρχὰς ἑτέρας διαφόρους ὑπέθεντο, δοκῆσαι τε ἐνανθρωπῆσαι τὸν Χριστὸν ἐδογμάτισαν, ὧν τῆς ἀσεβείας ἤρξατο μὲν Σίμων ὁ Μάγος· ἔσχατος δὲ προέστη ταύτης Μάνης ὁ Πέρσης, ὁ τῶν Μανιχαίων καθηγητής. Τινὲς δὲ τἀναντία μᾶλλον ἐπρέσβευσαν, μίαν μὲν ἀρχὴν τῶν ὅλων ὁμολογοῦντες, ψιλὸν δὲ ἄνθρωπον τὸν Χριστὸν κηρύττοντες, ὧν τῆς λύσσης Ἐβίων μὲν ἀρχηγὸς ἐχρημάτισε· τελευταῖοι δὲ διδάσκαλοι ταύτης γεγόνασι Μάρκελλος καὶ Φωτεινός. Χρὴ δὲ γινώσκειν, ὡς ἕκαστος τῶν κατὰ διαδοχὰς προϊσταμένων ηὔξησε τὴν αἵρεσιν, προσεπινοῶν καινοτέρας ἀσεβείας, καὶ τὰ μὲν ἐπλάτυνε, τὰ δὲ ὑπήλλαξε, τινὰ δὲ καὶ παρῃτήσατο.

cœli et terræ [1]. Quæ cum ita sint, quomodo erit alter præter hunc Deus? Aut ubinam erit commentitius istorum Deus, cum solus hic, et verus Deus cuncta cœli terræque complexu compleat? Aut quomodo sit earum rerum fabricator, quarum ipse Deus et Pater Christi Dominus est, ut ore suo Christus testatur? Nisi quæ Dei boni sunt, eorum ex æquo et malum esse posse dominum dicant? Quod si dixerint, attende, in quantam impietatem incurrent. In iis enim, quorum æqua potestas est, uter præstantior sit, reperiri non potest. Nam si uno invito alter est, æqualis et par est utriusque tum vis, tum imbecillitas. Æqualis enim vis ex eo perspicua est, quod se vicissim superant, cum nolente altero uterque est; par autem imbecillitas inde colligitur, quod res præter utriusque sententiam accidunt, siquidem et nolente malo bonus est, et malus invito bono. Præterea, si malus effecit ea quæ cernimus, ecquod boni tandem erit opus? Nihil enim cernitur præter mundum hunc ab opifice perfectum. Quo igitur indicio esse cognoscetur ille, qui bonus est, cum nulla exstent opera ipsius, ex quibus ipse dignosci queat? Artifex enim ex operibus cognoscitur. Jam quomodo simul esse poterunt duo inter se contraria? Aut quid ea dividet, ut disjungantur? Nam ut simul sint, fieri non potest, cum utrumque alterum tollat. Neque ut unum in altero sit, quoniam eorum natura dissimilis non patitur conjunctionem. Tertium igitur erit, quod ea dirimat, quodque sit et ipsum Deus. At qualisnam erit et tertii natura? Bonive similis, an mali? Utriusque enim esse non potest. Ergo cum istorum commentum putidum esse convincatur, necessarium est ut ecclesiasticæ doctrinæ veritas eluceat, quæ tradit malum nec a Deo profectum, nec in Deo esse, nec ab initio fuisse factum, neque naturam, aut essentiam ejus ullam exsistere, sed homines privationem boni cogitantes, cœpisse ea, quæ non sunt, quæque ipsi volunt, sibi ipsis confingere, et comminisci. Quemadmodum enim si quis lucente sole, et radiis suis terram universam illustrante clauserit oculos, sibi ipse tenebras, quæ nullæ sunt, pariet; ex quo fiet, ut errans in tenebris ambulet, et sæpe titubet, et cadat, et e locis præruptis præceps ruat, existimans lucem non adesse, sed tenebras, quas cum intueri se putet, nihil videt: sic et hominum animus claudens mentis oculos, quibus potest Deum cernere, sibi ipse mala excogitavit, in quibus sese movens, nescit se, dum videtur sibi facere aliquid, nihil facere. Fingit enim quæ non sunt, nec talis manet, qualis factus est, sed qualem se ipse commiscuit, talis etiam apparet. Nam qui factus est, ut Deum aspiceret, et illustraretur a Deo, sibi ipse ea, quæ corrumpuntur, et tenebras conquisivit. Ut quodam loco Scriptura significat: *Fecit*, inquiens, *Deus hominem rectum* [2], ac ipse sibi rationes multas excogitavit.

A *Ἐξομολογοῦμαί σοι, Πάτερ Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς*. Εἰ δὲ εἷς ἐστιν ὁ Θεὸς, καὶ οὗτος οὐρανοῦ καὶ γῆς Κύριος, πῶς ἄλλος ἂν εἴη Θεὸς παρὰ τοῦτον; Ποῦ δὲ καὶ ἔσται ὁ κατ' αὐτοὺς Θεὸς, τὰ πάντα τοῦ μόνου καὶ ἀληθινοῦ πληροῦντος κατὰ τὴν τοῦ οὐρανοῦ καὶ γῆς περίληψιν; Πῶς δὲ καὶ ἄλλος ἂν εἴη ποιητὴς, ὧν αὐτὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Χριστοῦ ἐστι Κύριος, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν; Εἰ μὴ ἄρα ὦσιν ἐν ἰσοστασίῳ, καὶ τῶν τοῦ ἀγαθοῦ Θεοῦ τὸν φαῦλον δύνασθαι γενέσθαι Κύριον εἴποιεν. Ἀλλ' ἐὰν τοῦτο λέγωσιν, ὅρα εἰς ὅσην ἀσέβειαν ἐκπίπτουσιν. Ἐν γὰρ τοῖς τὰ ἴσα δυναμένοις τὸ ὑπερέχον καὶ κρεῖττον οὐκ ἂν εὑρεθείη. Καὶ γὰρ εἰ μὴ θέλοντος τοῦ ἑτέρου τὸ ἕτερόν ἐστιν, ἴση ἀμφοτέρων ἡ δύναμις, καὶ ἀσθένειά ἐστιν· ἴση μὲν ἡ δύναμις, ὅτι νι- B κῶσιν ἀλλήλων τὴν βούλησιν ἐν τῷ εἶναι· ἴση δὲ ἡ ἀσθένεια, ὅτι μὴ βουλομένοις αὐτοῖς παρὰ γνώμην ἀποβαίνει τὰ πράγματα. Ἔστι γὰρ καὶ ὁ ἀγαθὸς παρὰ γνώμην τοῦ φαύλου. Ἔστι δὲ καὶ ὁ φαῦλος παρὰ βούλησιν τοῦ ἀγαθοῦ. Ἄλλως τε, καὶ τοῦτο γὰρ ἄν τις αὐτοῖς εἴποι, εἰ τὰ φαινόμενα ἔργα τοῦ φαύλου ἐστὶ, τί τὸ ἔργον τοῦ ἀγαθοῦ; Φαίνεται γὰρ οὐδὲν πλὴν τῆς τοῦ δημιουργοῦ κτίσεως. Τί δὲ καὶ τοῦ εἶναι τὸν ἀγαθὸν γνώρισμα, οὐκ ὄντων αὐτοῦ ἔργων, δι' ὧν ἂν γνωσθείη; Ἐκ γὰρ τῶν ἔργων ὁ δημιουργὸς γινώσκεται. Πῶς δὲ ὅλως καὶ δύο ἂν εἴη ἐναντία ἀλλήλων; Ἢ τί τὸ διαιροῦν ἐστι ταῦτα ἵνα χωρὶς ἀλλήλων γένωνται; εἶναι γὰρ ταῦτα ἅμα ἀδύνατον, διὰ τὸ ἀναιρετικὰ ἀλλήλων εἶναι. Ἀλλ' οὐδὲ ἕτερον ἐν ἑτέρῳ δυνηθείη ἂν εἶναι διὰ τὸ ἄμι- C κτον καὶ ἀνόμοιον αὐτῶν τῆς φύσεως. Οὐκοῦν ἐκ τρίτου τὸ διαιροῦν φανήσεται, καὶ αὐτὸ Θεός. Ἀλλὰ ποίας ἂν εἴη καὶ τὸ τρίτον φύσεως; Πότερον τῆς τοῦ καλοῦ, ἢ τῆς τοῦ φαύλου; τῆς γὰρ ἀμφοτέρων εἶναι αὐτὸ ἀδύνατον. Σαθρᾶς δὴ τοίνυν τῆς τοιαύτης διανοίας αὐτῶν φαινομένης, ἀνάγκη τὴν ἀλήθειαν διαλάμπειν τῆς ἐκκλησιαστικῆς γνώσεως, ὅτι τὸ κακὸν οὐ παρὰ Θεοῦ, οὐδὲ ἐν Θεῷ, οὔτε ἐξ ἀρχῆς γέγονεν, οὔτε οὐσία τίς ἐστιν αὐτοῦ, ἀλλὰ ἄνθρωποι κατὰ στέρησιν τῆς τοῦ καλοῦ φαντασίας ἑαυτοῖς ἐπινοεῖν ἤρξαντο καὶ ἀναπλάττειν τὰ οὐκ ὄντα, καὶ ἅπερ βούλονται. Ὡς γὰρ ἄν τις ἡλίου φαίνοντος, καὶ πάσης τῆς γῆς τῷ φωτὶ τούτου καταλαμπομένης, καμμύων τοὺς ὀφθαλμοὺς σκότος ἑαυτῷ ἐπινοεῖ, οὐκ ὄντος σκότους, D καὶ λοιπὸν ὡς ἐν σκότει πλανώμενος περιπατεῖ πολλάκις πίπτων, καὶ κατὰ κρημνῶν ὑπάγων, νομίζων οὐκ εἶναι φῶς, ἀλλὰ σκότος, δοκῶν γὰρ βλέπειν οὐδ' ὅλως ὁρᾷ· οὕτω καὶ ἡ ψυχὴ τῶν ἀνθρώπων καμμύσασα τὸν ὀφθαλμὸν, δι' οὗ τὸν Θεὸν ὁρᾷν δύναται, ἑαυτῇ τὰ κακὰ ἐπενεόησεν, ἐν οἷς κινουμένη οὐκ οἶδεν ὅτι δοκοῦσά τι ποιεῖν οὐδὲν ποιεῖ. Τὰ οὐκ ὄντα γὰρ ἀναπλάττεται, καὶ οὐχ ὁποία λέγομεν τοιαύτη καὶ ἔμεινεν, ἀλλ' ὁποίαν ἑαυτὴν ἀνέφυε τοιαύτη καὶ φαίνεται. Γέγονε μὲν γὰρ εἰς τὸ ὁρᾷν τὸν Θεὸν καὶ ὑπ' αὐτοῦ φωτίζεσθαι, αὕτη δὲ ἀντὶ τοῦ Θεοῦ τὰ φθαρτὰ, καὶ τὸ σκότος ἐζήτησεν, ὥς που καὶ ἡ Γραφή φησιν· *Ὁ [Θεὸς τὸν ἄνθρωπον ἐποίησεν εὐθῆ*, αὐτοὶ δὲ ἐζήτησαν λογισμοὺς πολλούς.

[1] Matth. XI, 25. [2] Eccle. VII, 30.

Τοῦ αὐτοῦ κατὰ Οὐαλεντίνου τὰ πολλὰ σύμφρονος ὄντος τοῖς προδιαληφθεῖσιν αἱρετικοῖς.

A Πῶς λέγετε τὸν Χριστὸν οὐρανίαν σάρκα περιβεβλῆσθαι, καὶ οὐκ ἀνθρωπίνην, καίτοι τοῦ Ἀποστόλου φάσκοντος· *Ὁ ἁγιάζων, καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες;* Δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται, φησὶν, ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· *Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου.* *Ἐξ ἑνὸς* δὲ τινος τοῦ Ἀδὰμ δηλονότι, κατὰ τὴν τοῦ Λουκᾶ γενεαλογίαν. Καὶ πάλιν· *Ἐπεὶ τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν.* Ἀναιρῶν δὲ καὶ τὴν ὑπόληψιν τῆς οὐρανίου σαρκὸς ἐπήγαγεν· *Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται.* Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. Καὶ πολλὰ τοιαῦτα. Ἀλλ' ὁ Κύριος, φασὶν, εἴρηκεν ἐν B τοῖς Εὐαγγελίοις· *Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ.* Καὶ ὁ Ἀπόστολος δὲ πάλιν· *Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκὸς, ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ.* Ἰδοὺ γὰρ ἀμφοτέρωθεν οὐράνιος ἄνθρωπος ὀνομάζεται. Πρὸς οὓς ἐροῦμεν ὅτι, ἐπεὶ διπλοῦς ὢν ταῖς φύσεσιν ὁ Χριστὸς, μοναδικός ἐστι τὴν ὑπόστασιν, ἰδιοποιεῖται τὰ τῆς ἑκατέρας φύσεως. Καὶ καθάπερ ὁ Ἀπόστολος εἰπὼν περὶ τῶν χριστοκτόνων, ὅτι, *Εἰ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν,* οὐ τὴν θεότητα πεπονθέναι φησὶν, ἥτις ἐστὶ Κύριος τῆς δόξης, ἀλλὰ τὸ πρόσλημμα· οὕτω καὶ ἐπὶ τῶν ῥητῶν τούτων αὐτὸς μὲν ὁ Υἱὸς καὶ Θεὸς πεπονθέναι C λέγεται διὰ τὴν μίαν ὑπόστασιν τῆς θεότητος, ἥτις καὶ τῇ ἀνθρωπίνῃ φύσει γέγονεν ὑπόστασις· πεπονθέναι δὲ κατὰ τὴν ἀνθρωπίνην φύσιν αὐτοῦ· καὶ ἐκ τοῦ οὐρανοῦ μὲν καταβεβηκέναι, καὶ ἐν τῷ οὐρανῷ εἶναι κατὰ τὴν ὑπόστασιν τῆς θεότητος· Υἱὸς δὲ ἀνθρώπου εἶναι κατὰ τὴν ὕστερον προσληφθεῖσαν φύσιν μετὰ τὴν ἐξ οὐρανοῦ κάθοδον. Καὶ πάλιν ὁ αὐτὸς Κύριος διὰ τὴν μίαν ὑπόστασιν δεύτερος μὲν ἄνθρωπος κατὰ τὴν ἡνωμένην ἀνθρωπότητα, ἐξ οὐρανοῦ δὲ κατὰ τὴν θεότητα. Εἰ γὰρ μὴ νοήσωμεν ἕκαστον οἰκείως, ἐν ἀντιλογίαις ὑποβαλοῦμεν τὸν Ἀπόστολον. Πῶς γὰρ κατὰ πάντα ὅμοιος ἡμῖν τοῖς γηΐνοις; Πῶς δὲ ἀδελφὸς ἡμῶν ὁ σάρκα οὐρανίαν περιβεβλημένος; Καὶ ἄλλα δὲ μυρία ἄτοπα ἕψεται.

Ἔτι κατὰ τῶν αὐτῶν τοῦ μεγάλου Βασιλείου ἐκ τοῦ β' λόγου τῆς Ἑξαημέρου.

D « Καὶ σκότος ἐπάνω τῆς ἀβύσσου. » Τὸ σκότος οὐχ ὡς πέφυκεν ἐξηγοῦνται, ἀέρα τινὰ ἀφώτιστον, ἢ τόπον ἐξ ἀντιφράξεως σώματος σκιαζόμενον, ἀλλὰ δύναμιν κακὴν, μᾶλλον δὲ αὐτὸ τὸ κακὸν παρ' ἑαυτοῦ μὲν τὴν ἀρχὴν ἔχον, ἀντικείμενον δὲ καὶ ἐναντίον τῇ ἀγαθότητι τοῦ Θεοῦ. Εἰ γὰρ ὁ Θεὸς φῶς ἐστι, δῆλον ὅτι ἡ ἀντιστρατευομένη αὐτῷ δύναμις σκότος ἂν εἴη, φησὶ, κατὰ τὸ τῆς διανοίας ἀκόλουθον· σκότος οὐ παρ' ἑτέρου τὸ εἶναι ἔχον, ἀλλὰ κακὸν αὐτογέννητον· σκότος πολέμιον ψυχῶν, θανάτου ποιητικὸν, ἀρετῆς ἐναντίωσις, ὅπερ καὶ ὑφιστάναι, καὶ μὴ παρὰ Θεοῦ γεγενῆσθαι ὑπ' αὐτῶν μηνύεσθαι τῶν

Ejusdem contra Valentinum qui in multis consentiebat cum superioribus hæreticis.

Quomodo Christum asseritis cœlestem, non autem humanam carnem induisse, cum Paulus dicat, *Qui sanctificat, et qui sanctificantur, ex uno omnes* [1]? Quamobrem non erubescit, inquit, fratres eos appellare, *Nuntiabo,* inquiens, *nomen tuum fratribus meis* [2]. *Ex uno* autem cum dicit, Adam nimirum intelligit, ut Lucæ genealogia declarat. Et rursum : *Quoniam,* inquit, *filii carnis et sanguinis participes sunt, et ipse similiter eorum particeps fuit* [3]. Atque ut cœlestis carnis adimeret suspicionem, subjecit : *Neque enim angelos assumpsit, sed semen Abrahæ* [4]. Quare debuit in omnibus esse fratrum similis. Et alia multa. At Dominus in Evangeliis : *Nemo,* inquit, *ascendit in cœlum, nisi qui descendit de cœlo, Filius hominis, qui est in cœlo* [5]. Et Apostolus rursum: *Primus,* inquit, *homo de terra terrenus, secundus autem homo,* Dominus utique, *de cœlo cœlestis* [6]. Ecce, inquit, utrobique cœlestis homo nominatur. Respondemus, Christum, cum ex duabus constet naturis, et una tantum persona, ea, quæ utriusque naturæ propria sunt, retinere. Ac quemadmodum Paulus, cum dicit, de illis, qui Christum occiderunt, *Si cognovissent, nunquam Dominum gloriæ crucifixissent* [7], non significat, divinitatem esse passam quæ per Dominum gloriæ intelligitur, sed humanitatem : sic in iis, quæ dicta sunt, ipse quidem Filius, et Deus passus esse dicitur per unam divinitatis personam, quæ est eadem naturæ humanæ persona, passus autem in natura ipsius humana; atque de cœlo descendisse, et in cœlo esse, quatenus ad personam pertinet divinitatis, Filius autem esse hominis habitatione illius naturæ, quam e cœlo descendens posterius assumpsit. Et rursus idem Dominus propter unam, quam habet, personam, secundus autem homo propter adjunctam humanitatem, ex cœlo autem propter divinitatem. Nisi enim unumquodque proprie consideraverimus, apostolorum repugnantia dicere suspicabimur. Quomodo enim aut per omnia nobis similis, aut frater noster, si carnem cœlestem induit? Hæc enim et alia innumerabilia incommoda consequentur.

Item contra eosdem Basilii Magni ex oratione II in Hexaemeron.

Et tenebræ erant super abyssum [8]. Tenebras non uti natura sunt, interpretantur, nempe aerem quemdam luce non illustratum, aut locum objectu corporis obscuratum, sed potentiam malam, imo vero ipsum malum, quod a se quidem principium habeat, adversetur autem et contrarium sit bonitati Dei. Nam si Deus, inquiunt, est lux, rationi consentaneum est ut quæ illi ex adverso repugnat potentia tenebræ sint, non aliunde principium habentes, sed per se genitæ. Quæ quidem nihil aliud sunt, nisi ipsum malum, quod animos oppugnat, mortem parit, virtutem ut hostis insequitur.

[1] Hebr. II, 11. [2] Psal. XXI, 23. [3] Hebr. II, 14. [4] ibid. 16. [5] Joan. III, 13. [6] I Cor. XV, 47. [7] I Cor. II, 8. [8] Gen. I, 2.

lidque per se consistere, non autem a Deo factum esse, ex ipsis prophetæ verbis significari dicunt, sed falluntur. Ex hoc verbo quæ non pravæ, et impiæ opiniones conflictæ sunt? Ex hac prava vocula quam graves lupi occasionem arripuerunt, ut Dei gregem dilacerarent, et animos invaderent? Nonne Marciones hinc eruperunt? nonne hinc Valentini exorti sunt? nonne hinc exsecranda Manichæorum hæresis profecta est? quam si quis putrem Ecclesiarum saniem appellet, non errabit. Quod terra esset invisibilis, ex eo, quod sequitur, confirmatur. Quoniam abyssus, quæ illi inhærebat, erat ipsa quoque tenebris involuta. Quamobrem abyssus non est multitudo adversantium potestatum, ut quidam opinati sunt. Nec tenebræ sunt potentia quædam princeps, et improba, quæ bonum ipsum impugnet. Duo enim, quæ sibi vicissim æquis viribus prædita adversentur, sese mutuo corrumpent omnino, et perpetuo bello sic distrahentur, ut negotium nunquam non habeant, et sibi vicissim exhibeant. Quod si viribus unum præstiterit, alterum prorsus abolebit. Itaque si parem mali, et boni vim esse statuunt, assiduum bellum, et perpetuum interitum introducunt, cum pariter et vincat utrumque, et vincatur ab altero. Sin boni vis antecellit, quid obstat, quominus natura mali penitus deleatur? Sin contra, quod nefas est dicere, miror, cur non a se ipsimet fugiant, et abhorreant, qui tam impia et detestanda maledicta comminiscuntur. Nec tamen pium est dicere ab ipso Deo malum oriri. Quandoquidem nullum contrarium a contrario fit. Neque enim vita mortem generat. Nec tenebræ lucem pariunt. Nec morbus valetudinem efficit. At si malum, inquiunt, nec ingenitum est, nec genitum a Deo, unde naturam habet? Nam mala quidem esse nullus negabit, qui vitæ munere fungatur. Quid igitur dicemus? Malum non esse naturam vivam, atque animatam, sed affectionem quamdam in animo, quæ quoniam ab honesto decedit, est virtuti contraria, et ignavis innascitur. Quare non est, cur malum intrinsecus pervestiges, aut principem ullam improbitatis naturam opineris, sed suæ quisque malitiæ se auctorem agnoscat. Proinde quorum tu dominus es, eorum aliunde ne quæras initia. Sed intellige, quod proprie, et vere malum est, id ex voluntario lapsu principium ducere. Nam si præter voluntatem accideret, non tantus ex legibus timor delinquentibus impenderet. Nunc autem, quoniam a voluntate proficiscitur, certa judiciorum supplicia, facinorosis hominibus pro cujusque meritis irrogantur.

A τοῦ προφήτου λόγων ἐξαπατῶνται. Ἐκ δὴ τούτου τί οὐχὶ συνεπλάσθη τῶν πονηρῶν καὶ ἀθέων δογμάτων; Ποῖοι λύκοι βαρεῖς διασπῶντες τὸ ποίμνιον τοῦ Θεοῦ οὐχὶ ἀπὸ τῆς μικρᾶς ταύτης φωνῆς τὴν ἀρχὴν λαβόντες ἐπεπόλασαν ταῖς ψυχαῖς; οὐ Μαρκίωνες; οὐχ Οὐαλεντῖνοι· οὐχ ἡ βδελυκτὴ τῶν Μανιχαίων αἵρεσις; ἣν σηπεδόνα τις τῶν Ἐκκλησιῶν προσειπὼν οὐχ ἁμαρτήσει τοῦ προσήκοντος. Τοῦ ἀόρατον εἶναι τὴν γῆν κατασκευαστικόν ἐστι τὸ ἐπαγόμενον, ὅτι ἄβυσσος ἦν ἡ ἐπέχουσα, καὶ αὐτὴ ἐσκοτισμένη. Οὔτε οὖν ἄβυσσος δυνάμεων πλῆθος ἀντικειμένων, ὥς τινες ἐφαντάσθησαν, οὔτε σκότος ἀρχική τις καὶ πονηρὰ δύναμις ἀντεξαγομένη τῷ ἀγαθῷ. Δύο γὰρ ἐξισάζοντα ἀλλήλοις κατ' ἐναντίωσιν φθαρτικὰ ἔσται πάντως τῆς ἀλλήλων συστάσεως,
B καὶ πράγματα ἕξει διηνεκῶς, καὶ παρέξει ἀπαύστῳ πρὸς ἄλληλα συνεχόμενα τῷ πολέμῳ. Κἂν ὑπερβάλλῃ δυνάμει τῶν ἀντικειμένων τὸ ἕτερον, δαπανητικὸν ἐξάπαντος τοῦ κρατηθέντος γίνεται. Ὥστε εἰ μὲν ἰσόῤῥοπον λέγουσι τοῦ κακοῦ τὴν πρὸς τὸ ἀγαθὸν ἐναντίωσιν, ἄπαυστον εἰσάγουσι πόλεμον, καὶ διηνεκῆ τὴν φθορὰν, κρατούντων ἐν μέρει, καὶ κρατουμένων· εἰ δὲ ὑπερέχει δυνάμει τὸ ἀγαθὸν, τίς ἡ αἰτία τοῦ τὴν φύσιν κακοῦ μὴ παντελῶς ἀνῃρῆσθαι; Εἰ δὲ, ὃ μὴ θέμις εἰπεῖν, θαυμάζω, πῶς οὐχὶ φεύγουσιν αὐτοὶ ἑαυτοὺς πρὸς οὕτω βλασφημίας ἀθεμίτους ὑποφερόμενοι; Οὐ μὴν οὐδὲ παρὰ Θεοῦ τὸ κακὸν τὴν γένεσιν ἔχειν εὐσεβές ἐστι λέγειν, διὰ τὸ μηδὲν τῶν ἐναντίων παρὰ τοῦ ἐναντίου γίνεσθαι.
C Οὔτε γὰρ ἡ ζωὴ θάνατον γεννᾷ, οὔτε τὸ σκότος φωτός ἐστιν ἀρχὴ, οὔτε ἡ νόσος ὑγείας ἐστὶ δημιουργός. Εἰ τοίνυν, φησὶ, μήτε ἀγένητον, μήτε παρὰ Θεοῦ γεγονὸς, πόθεν ἔχει τὴν φύσιν; Τὸ γὰρ εἶναι τὰ κακὰ οὐδεὶς ἀντερεῖ τῶν μετεχόντων τοῦ βίου. Τί οὖν φαμεν; Ὅτι τὸ κακὸν οὐκ ἔστιν οὐσία ζῶσα καὶ ἔμψυχος, ἀλλὰ διάθεσις ἐν ψυχῇ ἐναντίως ἔχουσα πρὸς ἀρετὴν διὰ τὴν ἀπὸ τοῦ καλοῦ ἀπόπτωσιν τοῖς ῥαθύμοις ἐγγινομένη. Μὴ τοίνυν ἔξω μὲν τὸ κακὸν περισκόπει, μηδὲ ἀρχέγονόν τινα φύσιν πονηρίας φαντάζου, ἀλλὰ τῆς ἐν αὐτῷ κακίας ἕκαστος ἑαυτὸν ἀρχηγὸν γνωριζέτω. Ὧν τοίνυν αὐτὸς εἶ κύριος, τούτων τὰς ἀρχὰς μὴ ζητήσῃς ἑτέρωθεν, ἀλλὰ γνώριζε τὸ κυρίως κακὸν ἐκ τῶν προαιρετικῶν ἀποπτωμάτων τὴν ἀρχὴν εἰληφός. Οὐ γὰρ ἂν, εἴπερ ἀκούσιον ἦν, καὶ μὴ ἐφ' ἡμῖν, τοσοῦτος μὲν ἐκ τῶν νόμων
D ὁ φόβος τοῖς πλημμελοῦσιν ἐπήρτητο, οὕτω δὲ ἀπαραίτητοι τῶν δικαστηρίων αἱ κολάσεις τὸ πρὸς ἀξίαν τοῖς κακούργοις ἐπιμετροῦσαι.

Item in eosdem. Ex libro, qui Gregorio Nyssæ pontifici ascribitur, De cognitione Dei.

Et tenebræ, inquit Moses, *erant super abyssum.* Ex quo malitiose isti ratiocinantes dicunt tenebras fuisse, quarum effectrix causa sit malum principium. Deinde et divisit Deus inter lucem et tenebras. Si lux est, et tenebræ sunt, quas a luce sejunctas intelligis. Hæc tenebricosi isti, qui in luce cæcutiunt. Nos autem dicimus, tenebras non

Ἔτι κατὰ τῶν αὐτῶν ἐκ τῆς λεγομένης εἶναι τοῦ Νύσσης βίβλου, καὶ καλουμένης Θεογνωσίας.

Καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, φησὶ Μωϋσῆς. Ὅθεν οὗτοι κακούργως ἑρμηνεύοντες φασιν ὅτι ἦν τὸ σκότος, οὗ ποιητικὸν αἴτιον ἡ πονηρὰ ἀρχή. Εἶτα καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους. Εἰ οὖν τὸ φῶς ὂν, καὶ τὸ σκότος ὂν, ἄρα τὸ διασταλὲν ἀπὸ τοῦ φωτός. Ταῦτα μὲν οἱ σκοτεινοὶ περὶ τὸ φῶς οντοι. Τί δὲ

ἡμεῖς; Οὐ τὸ σκότος οὐσία τις, ἀλλὰ συμβεβηκὸς, καὶ οὐδὲν ἕτερον ἢ φωτὸς ἀπουσία. Γυρωθέντος γὰρ ἐν ἀρχῇ τοῦ οὐρανοῦ, παρυπέστη σκότος ἐξ ἐμφράξεως τῶν πέριξ συμβὰν, ὃ καὶ νῦν εἴωθεν ἐπὶ τῶν ἐμπεφραγμένων γίνεσθαι. Τούτων δὲ διαχωρισμὸς τὸ μετρητὸν διάστημα τῆς τοῦ φωτὸς ἀπουσίας. Καὶ γίνεται τρόπον τινὰ τοῦ φωτὸς ἡ ἀπουσία καὶ στέρησις ἕξις καὶ παρύπαρξις τῷ σκότει. Πονηρὰ δὲ ἀρχὴ, τουτέστι πονηρὸς Θεὸς, οὐκ ἔστιν. Εἰ μὲν γὰρ Θεὸς, οὐ πονηρὸς, ἀλλὰ πηγὴ ἀγαθότητος· εἰ δὲ πονηρὸς, οὐ Θεός. Πῶς γὰρ Θεὸς ἡ κακία καὶ ἁμαρτία; Εἰ δὲ ταῦτα Θεὸς, οἴχεται πάντα, καὶ ἀνατέτραπται.

Ἐκ τῆς αὐτῆς.

Πῶς ἔσονται δύο ἀρχαὶ, ἀγαθὴ καὶ πονηρά; Ἐναντία γὰρ ἀλλήλοις τὸ ἀγαθὸν, καὶ πονηρὸν ἤτοι κακὸν, καὶ ἀλλήλων φθαρτικὰ, καὶ ἀσύμβατα. Καὶ λοιπὸν ἐν μέρει τοῦ παντὸς ἑκάτερον ἔσται, καὶ ὑπὸ τοῦ μέρους τούτου περιγραφήσεται· καὶ ἢ ἀλλήλων ἅψονται, καὶ ὑπ' ἀλλήλων διαφθαρήσονται, ἢ μέσον ἔσται τι διατειχίζον, καὶ ἰδοὺ τρεῖς ἀρχαί. Καὶ αὖθις ἢ εἰρηνεύουσιν, ὅπερ τὸ πονηρὸν οὐ δύναται, ἢ μαχέσονται, ὅπερ τὸ ἀγαθὸν οὐ βούλεται, οὐδὲ δύναται. Τὸ μὲν γὰρ πονηρὸν εἰρηνεῦον οὐ πονηρόν· τὸ δὲ ἀγαθὸν μαχόμενον, οὐκ ἀγαθόν. Οὐκ ἄρα δύο ἀρχαὶ, καὶ ταῦτα ἐναντίαι, καὶ πολεμιώταται. Μία δὲ πάντως ἀγαθή. Τὸ δὲ πονηρὸν οὐκ ἀρχὴ, ἀλλὰ τοῦ ἀγαθοῦ στέρησις καὶ ἀποτυχία.

Ἐκ τῆς αὐτης.

Εἴπερ ἄμφω θεοὶ πεφύκασιν ὁ ἀγαθὸς καὶ πονηρὸς, ἑτέραν ἕξουσιν ἀρχήν. Καὶ δυὰς οὐκ ἀρχὴ, ἀλλὰ τοὐναντίον ἡ μονὰς ἀρχὴ τῆς δυάδος. Ἀρχὴ δὲ μὴ ὄντες, οὐδὲ Θεοὶ πάντως ἔσονται. Ἐπεὶ οὖν ἡ μονὰς ἀρχὴ πάντων, εἷς ἄρα καὶ Θεὸς, ὁ πάντων αἴτιος καὶ δημιουργός.

Ἐκ τῆς αὐτῆς.

Εἰ μὲν τὸ ἀγαθὸν ὂν, τὸ πονηρὸν οὐκ ὄν. Εἰ δὲ τὸ πονηρὸν ὂν, τὸ ἀγαθὸν οὐκ ὂν, κατὰ τὸν λόγον τῶν ἀμέσων ἐναντίων, ὑγείας καὶ νόσου, ζωῆς καὶ θανάτου. Οὐκ ἄρα Θεὸς πονηρός.

Ἐκ τῆς αὐτῆς.

Ὁ μὲν ἀγαθὸς Θεὸς οὐσιώδη καὶ φυσικὴν ἔχει τὴν ἀγαθότητα, ὁ δὲ πονηρὸς τὴν στέρησιν τῆς ἀγαθότητος ἕξιν ἕξει πάντως. Καὶ πῶς Θεὸς ἐξ ἀποπτώσεως καὶ ἐλλείψεως;

Ἐκ τῆς αὐτῆς.

Εἰ δύο ἦσαν Θεοὶ, ἢ τρεῖς, ἢ ἁπλῶς πολλοὶ, πάλαι ἂν ὁ κόσμος ἀπωλώλει ἄλλοτε ἄλλως, καὶ διαφόρως ἐνεργούμενος, καὶ κινούμενος. Τὸ δὲ κατὰ ταυτὰ, καὶ ὡσαύτως ἀεὶ κινεῖσθαι, καὶ διεξάγεσθαι, καὶ ἡ διὰ πάντων εὐαρμοστία, καὶ συμφωνία, καὶ τάξις, καὶ διαμονὴ, καὶ συντήρησις ἕνα καὶ τὸν αὐτὸν κηρύττει τὸν αἴτιον, καὶ δημιουργὸν, καὶ προνοητὴν, καὶ συνοχέα.

A esse naturam ullam, sed accidens, et nihil aliud nisi lucis absentiam. Etenim cum cœlum initio involveretur eorum, quæ circum erant objectu, tenebræ exstiterunt. Quod etiam nunc in iis, quæ obstruuntur, evenire consuevit. At harum divisio est spatium illud, quod lucis absentia demetitur. Quæ quidem lucis absentia, et privatio est habitus quodammodo et essentia tenebrarum. Principium autem malum, hoc est, Deus malus non est. Nam si Deus est, non est malus, cum bonitatis sit fons. Sin malus, non est Deus. Quomodo enim Deus malitia, aut peccatum esse potest? Quæ quidem si Deus est, omnia pereunt, et evertuntur.

Ex eodem.

Quonam pacto duo possunt esse principia, bo- B num unum, alterum malum? Bonum enim, et malum contraria sunt, seque vicissim interimunt, et nequeunt simul consistere. Quare aut in parte universitatis alterum erit, et ab ea circumscribetur, aut sese contingent, mutuoque corrumpent, aut inter illa medium aliquod intercedet, atque ita tria jam erunt principia. Præterea aut pace utentur, quod malum non potest: aut pugnabunt, quod bonum recusat. Nam illud quidem, si utatur pace, non erit malum; hoc vero, si bellum gerit, non erit bonum. Quamobrem non sunt duo principia, præsertim inter se contraria, et inimicissima, sed unum, idque bonum. Malum enim non est principium, sed privatio et amissio boni.

C *Ex eodem.*

Si duo sunt Dei, bonus quidem unus, alter autem malus, aliud habebunt principium. Binarius enim numerus non potest esse principium, cum ipse ab unitate principio proficiscatur. Quod si principium non sunt, ne Dei quidem erunt omnino. Quoniam igitur unitas est rerum omnium principium, unus utique et Deus est rerum auctor, et effector omnium.

Ex eodem.

Si bonum per se est, malum non est. Si malum per se est, non est bonum. Hæc est enim contrariorum medio carentium ratio atque conditio: qualia sunt valetudo, et ægritudo, vita et mors. Non igitur Deus malus.

D *Ex eodem.*

Deus bonus essentia et natura bonitatem habet, malus bonitatis privationem ut habitum obtinebit. Quomodo autem Deus, qui eo tantum est, quod deficit, caret, non assequitur, et non est?

Ex eodem.

Si duo, aut tres, pluresve essent Dei, cum alius alio modo et diversa ratione ageretur, et moveretur, mundus jam pridem intercidisset. Nunc autem cum omnia ratione certa et stabili semper moveantur, et disponantur, firma hæc, atque perpetua rerum omnium concinnitas, et ordo, et moderatio, et conservatio unam, eamdemque clamant esse causam, unum auctorem, a quo et procreata sint omnia, et regantur, et conserventur.

Ex eodem.

Si malus, et scelestus est hic mundus inferior, et vos nimirum mali, scelestique, quippe qui pars sitis ipsius, Quod si natura estis improbi, et mali, veritas non adest vobis. Veritas enim bonum plane est. Bonum autem est alienum a malo. Jam qui veritate carent, eorum doctrina falsa nullo solido innititur fundamento.

Ex eodem.

Si mundum hunc bonum esse confitemini, Deum autem et patrem malum non hujusce mundi effectorem, erit utique mundus alter malus a Deo illo confectus malo. Atqui mundus istiusmodi non est, ne Deus igitur quidem malus. Nam Deus principium est, effectrixque causa. Quare cum non exsistant, quæ a principio effecta et condita sint, ne principium quidem est, nec Deus igitur malus.

Ex eodem.

Veteris, inquiunt, Testamenti Deus non ea est providentia, et scientia, quæ omnia complectatur. Interrogat enim, *Adam, ubi*, inquiens, *es* [1]? Et Cain, *Ubi est*, inquiens, *frater tuus* [2]? Et Abraham, *Ubi est*, inquiens, *Sara uxor tua* [3]? Et alia multa ad eumdem modum. His respondemus, ejusmodi interrogata non ab ignorantia, sed potius a cognitione proficisci. Nisi enim cognovisset et Adam, et Cain peccasse, non eos continuo interrogasset. Cognovisse autem ex iis, quæ sequuntur, perspicuum est. Sic enim alloquitur Adam prius, quam ille se comedisse fateretur: *Ecquis indicavit tibi, te nudum esse, nisi quod e ligno, de quo solo præcepi tibi, ne comederes, comedisti* [4]? Cain vero, qui conabatur et ipse latitare, compellat his verbis: *Vox sanguinis fratris tui clamat ad me* [5]. Hæc non ignorantis sunt, sed plane et perspicue cognoscentis, qui ea specie interrogationis vult iis, qui peccaverant, persuadere, ut resipiscant, cum se deprehensos animadvertant. Ea item verba: *Ubi est Sara uxor tua?* declarant eum non ignorare Abraham uxorem habere, eamque vocari Saram. Qui autem hæc scit, is profecto non erat nescius ubi esset Sara. Neque enim, cum Sara post ostium staret, risissetque clam audiens se matrem fore, dixisset, *Cur risit Sara?* risus etiam causam subjecit, secum ipsa inquiens, Verene pariam? Hæc enim illius sunt, qui cor etiam atque animum novit. Interrogavit autem, *Ubi est Sara uxor tua?* eo consilio, ut Abraham cognoscens, se ante cognoscere, et omnia scire, sibi ut præstantiori vacaret, et omnibus, quæ deinceps dicerentur, fidem adhiberet. Atque etiam illud, quod de Sodoma, et Gomorrha dictum est: *Descendam et videbo, utrum re ipsa, quæ clamor ipsorum indicat compleverint, an non, ut sciam* [6], quid aliud signi-

A *Ἐκ τῆς αὐτῆς.*

Εἰ μὲν πονηρὸς ὁ κάτω κόσμος οὗτος, καὶ ἡμεῖς ἄρα πονηροὶ, μέρος ὄντες αὐτοῦ. Πονηροῖς δὲ ἡμῖν κατὰ φύσιν οὖσιν οὐ πρόσεστιν ἀλήθεια. Ἡ γὰρ ἀλήθεια σαφῶς ἀγαθόν· τὸ δὲ ἀγαθὸν ἀλλότριον πονηροῦ. Μὴ κεκτημένοις δὲ ἀλήθειαν τὰ δεδογμένα ψευδῆ τε καὶ ἀνυπόστατα. Εἰ δὲ ἀγαθὸς ὁ δηλωθεὶς κόσμος, ἀγαθοῦ πάντως καὶ δημιούργημα. Ἀγαθοῦ γὰρ αἰτιατοῦ ἀγαθὸν τὸ αἴτιον, ὥσπερ καὶ πονηροῦ πονηρόν.

Ἐκ τῆς αὐτῆς.

Εἴπερ μὲν τὸν κόσμον ἀγαθὸν ὁμολογεῖτε, τὸν δὲ Θεὸν καὶ Πατέρα πονηρὸν, καὶ οὐ τοῦ κόσμου τούτου δημιουργὸν, ἔσται πάντως καὶ πονηρὸς ἄλλος κόσμος τοῦ πονηροῦ Θεοῦ δημιούργημα. Ἀλλὰ μὴν
B οὐκ ἔστιν. Οὐδὲ Θεός ἐστιν ἄρα πονηρός. Ὁ μὲν γὰρ Θεὸς ἀρχὴ καὶ ποιητικὸν αἴτιον· ἀρχομένων δὲ καὶ πεποιημένων οὐκ ὄντων, οὐδὲ ἀρχὴ πάντως ἔσται. Οὐκ ἄρα οὖν πονηρός ἐστι Θεός.

Ἐκ τῆς αὐτῆς.

Ὁ τῆς Παλαιᾶς, φασὶ, Διαθήκης Θεὸς οὐκ ἔχει τὴν περιληπτικὴν πάντων καὶ θείαν πρόγνωσιν. Ἐρωτᾷ γὰρ τὸν Ἀδὰμ, *Ποῦ εἶ;* καὶ τὸν Κάϊν, *Ποῦ Ἄβελ ὁ ἀδελφός σου;* καὶ τὸν Ἀβραὰμ, *Ποῦ Σάῤῥα ἡ γυνή σου;* καὶ πολλὰ τοιαῦτα. Πρὸς οὕς φαμεν. Οὐκ ἀγνοίας αἱ δηλωθεῖσαι ἐρωτήσεις, ἀλλὰ μᾶλλον γνώσεως. Εἰ μὴ γὰρ ἔγνω καὶ τὸν Ἀδὰμ, καὶ τὸν Κάϊν ἁμαρτήσαντα, οὐκ ἂν εὐθὺς
C ἠρώτησε· καὶ δῆλον ἀπὸ τῶν ἑξῆς. Εἴρηκε γὰρ πρὸς μὲν τὸν Ἀδὰμ, καίτοι μήπω μηδὲν περὶ τῆς βρώσεως ὁμολογήσαντα· *Τίς ἀνήγγειλέ σοι, ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες;* Πρὸς δὲ τὸν Κάϊν, καίτοι καὶ αὐτὸν πειρώμενον λαθεῖν· *Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με.* Ταῦτα καὶ λίαν μὲν εἰδότος εἰσὶ, βουλομένου δὲ διὰ τῆς προσποιήτου ἐρωτήσεως εἰς μετάνοιαν ἀγαγεῖν τοὺς ἡμαρτηκότας, ἐπιγνόντας ὅτι πεφώρανται. Πάλιν δὲ καὶ τό· *Ποῦ Σάῤῥα ἡ γυνή σου;* προγινώσκοντος ἦν ὅτι καὶ γυναῖκα ἔχει, καὶ Σάῤῥα κέκληται. Ὁ δὲ ταῦτα εἰδὼς καὶ ὅπου ἦν ἐγίνωσκε πάντως. Οὐ γὰρ ἂν ὄπισθεν τῆς θύρας ἑστώσης, καὶ
D μετὰ τὴν τῆς τεκνογονίας ἐπαγγελίαν γελασάσης κρύβδην, ἔλεγε· *Τί ὅτι ἐγέλασε Σάῤῥα;* Εἶτα προστίθησι καὶ τὴν αἰτίαν τοῦ γέλωτος. *Λέγουσα* γάρ, φησὶν, *ἐν ἑαυτῇ, Ἆρά γε ἀληθῶς τέξομαι;* Ταῦτα γὰρ καὶ καρδιογνώστου. Ἠρώτησε δὲ *Ποῦ Σάῤῥα ἡ γυνή σου;* κατ' οἰκονομίαν, ἵνα μαθὼν ἐντεῦθεν Ἀβραὰμ ὅτι προγνώστης ἐστὶ, καὶ πάντα εἰδὼς, ὡς κρείττονι προσέχῃ, καὶ τοῦ λοιποῦ πιστεύῃ πᾶσιν, οἷς ἂν ἐρεῖ. Καὶ τὸ περὶ τῶν Σοδόμων δὲ καὶ Γομόῤῥων εἰρημένον, ὅτι *Καταβὰς ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν συντελοῦνται· εἰ δὲ μὴ, ἵνα γνῶ*, κατ' οἰκονομίαν εἴρηται, παιδεύων ἡμᾶς μὴ κολάζειν ἀπὸ προγνώσεως, ἀλλ' ἀναμένειν τὴν πραγματικὴν διάγνωσιν. Εἰ γὰρ μὴ ἐγίνωσκε, πῶς

[1] Gen. III, 9. [2] Gen. IV, 9. [3] Gen. XVIII, 9. [4] Gen. III, 11. [5] Gen. IV, 10. [6] Gen. XVIII, 21.

A ἔλεγε· *Κραυγὴ Σοδόμων καὶ Γομόῤῥων ἔρχεται πρός με;* Ἡ γῆ, φησὶ, *βοᾷ καὶ πρὸ τῶν πραγμάτων, ἢ αὐτὰ τὰ πράγματα κράζει.* Πολλαὶ δὲ τοιαῦται οὐ μόνον παρὰ τῇ Παλαιᾷ, ἀλλὰ καὶ παρὰ τῇ Νέᾳ ἐρωτήσεις τοῦ Χριστοῦ. Πᾶσαι δὲ οἰκονομικαὶ, καί τι ἕτερον κατασκευάζουσαι. Ἴδιον γὰρ τοῦ Θεοῦ τὸ πάντα γινώσκειν· καὶ ὁ μὴ πάντα εἰδὼς οὐ πάντων Θεός.

ficat, nisi eo consilio Deum ita locutum esse, ut nos erudiret, ne unquam præcipites irruamus ad irroganda supplicia, propterea quod aliquorum flagitia prospiciamus, sed exspectemus, ut re ipsa perfecta sint. Nam si non cognovisset quomodo potuisset dicere: Clamor Sodomorum et Gomorrhæ venit ad me? Terra, inquit, clamat, etiam ante res. Et ipsæ res vociferantur et clamant. Multæ sunt ejusmodi interrogationes non solum in Veteri, sed etiam in Novo Testamento, quæ tamen omnes mysterium continent, et aliquid aliud agunt. Nam Dei proprium est cuncta cognoscere, et qui omnia non habet cognita, non est omnium Deus.

Ἐκ τῆς αὐτῆς.

Πῶς φατε τὸν μὲν τῆς παλαιᾶς Διαθήκης νομοθέτην δίκαιον, τὸν δὲ τῆς νέας ἀγαθὸν, καὶ διὰ B ταῦτα ἄλλον καὶ ἄλλον εἶναι διισχυρίζεσθε; Εἰ μὲν γὰρ τὸ δίκαιον ἀγαθὸν, ὁ δίκαιος πάντως ἀγαθός. Οὐ γὰρ ἀλλήλοις ἀντιδιαιροῦνται τὸ ἀγαθὸν καὶ τὸ δίκαιον· καὶ ὁ ἀγαθὸς πάντως δίκαιος. Μυρίων δὲ χρήσεων ἀγαθὸν εἶναι τὸν τῆς παλαιᾶς νομοθέτην κηρυττουσῶν, μίαν παραθήσομαι· *Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός· εἰπάτω δὴ οἶκος Ἰσραὴλ ὅτι ἀγαθός*· καὶ οἱ καθεξῆς δύο στίχοι. Καὶ ὁ τῆς νέας δὲ νομοθέτης· *Καὶ ἡ κρίσις δὲ ἡ ἐμὴ δικαία ἐστί*· καὶ πρὸς τὸν Ἰωάννην· *Ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην.* Ὅτι δὲ εἷς ὁ καὶ τῆς παλαιᾶς καὶ τῆς νέας νομοθέτης, προείρηκεν Ἱερεμίας λέγων· *Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ διαθήσομαι ὑμῖν Διαθήκην καινὴν, οὐ κατὰ τὴν* C *Διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν, ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν τῇ Διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν.* Καὶ πάλιν αὐτὸς, ὁ καὶ ταύτης κἀκείνης νομοθέτης Χριστὸς, εἶπεν· *Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι*· τουτέστιν ἀτελῆ ὄντα διὰ τὸ τῶν Ἑβραίων ἀτελὲς τελειῶσαι τῇ μείζονι φιλοσοφίᾳ, καὶ ἀνδράσι πρεπούσῃ. Ὁ μὲν γὰρ ἦν παιδαγωγὸς γυμνάζων ἐπὶ τὸ Εὐαγγέλιον, τοῦτο δέ ἐστι μυσταγωγὸς διδάσκων τὰ τελεώτερα. Καὶ ὁ μὲν ἐῤῥύθμιζε τὰ σώματα, τὸ δὲ καταρτίζει τὰς ψυχάς. Συνεργὸς οὖν ἡ παλαιὰ τῆς νέας, καὶ προπαρασκευὴ, καὶ ὁδοποίησις.

Ex eodem.

Quomodo dicitis antiqui Testamenti legislatorem justum, novi autem bonum, atque ideo unum ab alio diversum esse contenditis? Nam si quod justum est, bonum est, justus erit bonus omnino. Neque enim contraria sunt justum, et bonum. Sed justo repugnat injustum et bono malum adversatur: præterea si malum injustum, bonum utique justum, et bonus omnino justus. Cum autem innumerabilia sint testimonia, quibus veteris Testamenti Deus esse declaratur bonus, ego unum duntaxat in medium afferam: *Dicat*, inquit, *Israel, quoniam bonus* [1], et qui deinceps sequuntur, duo versiculi. Unum item, quo novi Testamenti Deus justus ostenditur: *Et judicium*, inquit, *meum justum est* [2]. Quod autem unus, atque idem sit veteris ac novi Testamenti Deus, prædixit Jeremias, *Ecce*, inquiens, *dies veniunt, dicit Dominus, et constituam vobis Testamentum novum, non ut Testamentum illud, quod cum patribus vestris constitui, quo die manum eorum apprehendi, ut educerem eos ex Ægypto. Quia ipsi non manserunt in Testamento meo. Et ego neglexi illos* [3]. Et ipse tum antiqui, tum novi Testamenti auctor Christus: *Non veni*, inquit, *ut legem solverem, sed ut eam implerem* [4]; hoc est, ut illam propter Hebræorum imperfectionem imperfectam majore quadam, et viris congruente philosophia perficerem et absolverem. Illa enim erat pædagogus, qui ad Evangelium suscipiendum instituebat. Hæc autem est præceptor ipse, qui docet perfectiora. Et illa quidem corpora informabat, hæc autem animos erudit. Vetus ergo est ministra novæ, ad novam enim du-
D cit, et viam ostendit et parat.

Ἔτι κατὰ τῶν αὐτῶν τοῦ μεγάλου Ἰωάννου τοῦ Χρυσοστόμου ἐκ τοῦ λόγου τοῦ εἰς τό· « Πάτερ, εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ. »

Εἰ γὰρ, τούτων γενομένων, τὸ πονηρὸν τοῦ διαβόλου στόμα διὰ Μαρκίωνος τοῦ Ποντικοῦ καὶ Οὐαλεντίνου, καὶ Μανιχαίου τοῦ Πέρσου, καὶ ἑτέρων πλείστων αἱρετικῶν ἐπεχείρησεν ἀνατρέψαι τὸν τῆς οἰκονομίας λόγον, καὶ ἤχησε σατανικήν τινα ἠχὴν λέγον ὅτι Οὐδὲ ἐσαρκώθη, οὐδὲ σῶμα περιεβάλλετο, ἀλλὰ δόκησις τοῦτο ἦν, καὶ φαντασία, καὶ σκιὰ, καὶ ὑπόκρισις, καίτοι τῶν παθῶν βοώντων, τοῦ θανάτου, τοῦ τάφου· εἰ μηδὲν τούτων ἐγεγόνει,

Item adversus eosdem. Magni Joannis Chrysostomi ex oratione in ea verba: « Pater, si fieri potest, transeat a me calix iste [5]. »

Et cum hæc facta sint, improbum tamen ac sceleratum os diaboli per Marcionem Ponticum, et Valentinum, et Manichæum Persam, et alios plurimos tentans divinæ dispositionis rationem evertere, satanicam illam vocem emisit, ut diceret Deum non assumpsisse carnem, neque corpus induisse, sed id fuisse speciem quamdam, et opinionem, atque umbram, et simulationem, reclamantibus passione, morte, sepultura. Quod

[1] Psal. cxvii, 2. [2] Joan. viii, 16. [3] Jer. xxxi, 31, 32. [4] Matth. v, 17. [5] Matth xxvi, 39.

si nihil ejusmodi factum esset, quanto magis improbam istam impietatis doctrinam disseminassent?

Ejusdem ex interpretatione in mysticam cœnam.

Quoniam Marcionis, et Valentini, et Manichæi fautores erant venturi, qui hanc dispositionem negarent, idcirco assidue mortis suæ mentionem fecit, etiam per mysteria, ut nemo falsis rationibus argumentisque decipi posset, sed per sacram illam mensam simul et servaret, et institueret.

Ejusdem ex interpretatione in magos.

Erubescat Paulus Samosatensis, erubescat Marcio, qui noluerunt videre, quod magi Ecclesiæ progenitores conspexerunt: neque enim vereor eos sic appellare. Erubescat Marcion, videns Deum in carne adorari. Nam quod in carne sit, panni et præsepe testantur. Quod autem illum non ut purum et simplicem hominem colant, ex eo patet quod in tenera ætate exsistenti munera offerunt, quæ conveniunt Deo.

Ejusdem ex interpretatione in illa verba: « In principio fecit Deus cœlum et terram [1]. »

Quod si Manichæus accedat, et dicat, materiam ante exstitisse, et Marcion, et Valentinus, et Græci, tu illis hæc verba oppone: *In principio fecit Deus cœlum et terram.* At ille Scripturæ non credit, et tu eum ut insanum, et mente captum evita. Qui enim rerum omnium procreatori fidem non habet, et mendacii veritatem arguit, quam unquam veniam assequetur? Sin veritatis hostes pergant adversari, dicentes fieri non posse, ut ex nihilo quidquam fiat, eos interroga, utrum primus homo ex terra, an ex alia re conflatus sit. Ex terra respondebunt, et confitebuntur omnino. Dicant igitur nobis quomodo ex terra carnis natura facta sit. Ex terra enim lutum, et lateres, tegulæ, atque ollæ fieri solent. Quomodo igitur carnis natura facta est et nervi, et arteriæ, et adeps, et cutis, et ungues, et capilli? Ad hæc illi quod respondeant, nihil habebunt, sed obmutescent. Quid autem loquor de nostro corpore? dicant nobis de pane, quem quotidie comedimus, quomodo, cum unius generis sit, in sanguinem, pituitam, et bilem, et varios humores commutetur, et cur cum panis frumenti colorem retineat, sanguis ipse sit rufus, aut niger. Quod si hæc, quæ quotidie ante oculos habemus, nobis nunquam poterunt explicare, multo minus reliqua Dei opera declarabunt. At si post tantam argumentorum copiam obstinate volent repugnare, et tueri sententiam suam, nos tamen non desistemus hæc eadem ipsis repetere: *In principio fecit Deus cœlum et terram [1].* Hoc enim verbum unicum potest omnes eorum turres, et propugnacula evertere, omniaque humana argumenta penitus refellere, et confutare, et eos, si tandem

[1] Gen. I, 1.

A πῶς οὐ μᾶλλον τὰ πονηρὰ ταῦτα ἂν ἔσπειρε δόγματα τῆς ἀσεβείας;

Τοῦ αὐτοῦ ἐκ τῆς εἰς τὸν μυστικὸν δεῖπνον ἑρμηνείας.

Ἐπειδὴ γὰρ ἔμελλον οἱ περὶ Μαρκίωνα, καὶ Οὐαλεντῖνον, καὶ Μανιχαῖον φύεσθαι ταύτην ἀρνούμενοι τὴν οἰκονομίαν, διηνεκῶς ἀναμιμνήσκει τοῦ πάθους, καὶ διὰ τῶν μυστηρίων, ὥστε μηδένα παραλογισθῆναι, ὁμοῦ μὲν σώζων, ὁμοῦ δὲ παιδεύων διὰ τῆς ἱερᾶς τραπέζης ἐκείνης.

Τοῦ αὐτοῦ ἐκ τῆς εἰς τοὺς μάγους ἑρμηνείας.

Αἰσχυνέσθω Παῦλος ὁ Σαμοσατεὺς, αἰσχυνέσθω Μαρκίων, μὴ βουληθέντες ἰδεῖν ἅπερ οἱ μάγοι εἶδον, οἱ τῆς Ἐκκλησίας πρόγονοι· οὐ γὰρ αἰσχύνομαι B οὕτως αὐτοὺς καλεῖν. Αἰσχυνέσθω Μαρκίων ὁρῶν Θεὸν ἐν σαρκὶ προσκυνούμενον. Ὅτι μὲν γὰρ ἐν σαρκὶ, τὰ σπάργανα δείκνυσι, καὶ ἡ φάτνη· ὅτι δὲ οὐχ ὡς ψιλὸν ἄνθρωπον προσεκύνουν, δηλοῦσιν ἐν ἀώρῳ τῆς ἡλικίας τοιαῦτα δῶρα προσάγοντες, ἃ Θεῷ προσάγειν εἰκὸς ἦν.

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τῆς εἰς τό· « Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν, καὶ τὴν γῆν. »

Κἂν γὰρ Μανιχαῖος ὑπεισέλθῃ λέγων τὴν ὕλην προϋπάρχειν, κἂν Μαρκίων, κἂν Οὐαλεντῖνος, κἂν Ἑλλήνων παῖδες, λέγε πρὸς αὐτούς· *Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.* Ἀλλ' οὐ πιστεύει τῇ Γραφῇ· ἀποστράφηθι λοιπὸν αὐτὸν ὡς μαινόμενον καὶ ἐξεστηκότα. Ὁ γὰρ τῷ δη- C μιουργῷ τῶν ὅλων ἀπιστῶν, ὡς καὶ ψεῦδος τῆς ἀληθείας καταγινώσκων, ποίας ἂν τύχῃ συγγνώμης ποτέ; Εἰ δὲ ἐπιμένοιεν οἱ τῆς ἀληθείας ἐχθροὶ λέγοντες ἀδύνατον εἶναι ἐξ οὐκ ὄντων τι προαχθῆναι, ἐρώμεθα αὐτοὺς, Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς ἐπλάσθη, ἢ ἑτέρωθέν ποθεν; Πάντως ἐροῦσιν ὅτι ἐκ γῆς καὶ συνομολογήσουσιν. Εἰπάτωσαν οὖν ἡμῖν πῶς ἐκ γῆς ἐγένετο φύσις; Ἀπὸ γῆς γὰρ πηλὸς, καὶ πλίνθος, καὶ κέραμος, καὶ ὄστρακον ἂν γένοιτο. Πῶς οὖν σαρκὸς φύσις ἐγένετο; πῶς ὀστᾶ, καὶ νεῦρα, καὶ ἀρτηρίαι, καὶ πιμελὴ, καὶ δέρμα, καὶ ὄνυχες, καὶ τρίχες, καὶ ἐκ μιᾶς ὑποκειμένης ὕλης διαφόρων οὐσιῶν ποιότητες; Ἀλλ' οὐδ' ἂν δυνηθεῖεν τὸ στόμα διᾶραι πρὸς ταῦτά ποτε. Τί δὲ λέγω περὶ τοῦ σώ- D ματος τοῦ ἡμετέρου; περὶ τοῦ ἄρτου οὗ καθ' ἑκάστην ἡμέραν σιτούμεθα εἰπάτωσαν ἡμῖν, πῶς μονοειδὴς ὢν μεταβάλλεται εἰς αἷμα, καὶ φλέγμα, καὶ χολὴν, καὶ διαφόρους χυμούς; καὶ ὁ μὲν σιτόχρους πολλάκις ἐστὶ, τὸ δὲ αἷμα πυῤῥὸν ἢ μέλαν. Εἰ τοίνυν ταῦτα τὰ καθ' ἑκάστην ἡμέραν πρὸ τῶν ὀφθαλμῶν ὁρώμενα εἰπεῖν ἡμῖν οὐκ ἂν δύναιντό ποτε, σχολῇ γ' ἂν εἴποιεν περὶ τῶν ἄλλων τοῦ Θεοῦ δημιουργημάτων. Ἀλλ' εἰ καὶ μετὰ τοσαύτην τῶν ἀποδείξεων περιουσίαν ἐπιμένοιεν τὴν οἰκείαν φιλονεικίαν κρατύνειν βουλόμενοι, ἡμεῖς μηδὲ οὕτω παυσόμεθα τὰ αὐτὰ πάλιν λέγοντες πρὸς αὐτούς· *Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν*

ῥῆν. Τοῦτο γὰρ ἱκανὸν μόνον τὸ ῥῆμα πάντα; τῶν ἐναντίων τοὺς πύργους καταβαλεῖν, καὶ πάντας τοὺς ἀνθρωπίνους λογισμοὺς ἐξ αὐτῶν τῶν βάθρων ἀνασπάσαι, καὶ εἰ βουληθεῖεν ὀψέ ποτε τῆς φιλονεικίας ἀποσχέσθαι, πρὸς τὴν τῆς ἀληθείας ὁδὸν αὐτοὺς χειραγωγῆσαι δυνήσεται.

A aliquando voluerint resipiscere, in veritatis viam adducere.

Ἐκ τῆς αὐτῆς ἀκολουθίας.

Ἀλλ' οἱ τῇ πλάνῃ προκατειλημμένοι οὐ προσέχοντες τῇ ἀκολουθίᾳ τῶν εἰρημένων, οὐδὲ ἀκούοντες τοῦ μακαρίου Μωϋσέως λέγοντος· *Ἐν ἀρχῇ ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν*, καὶ τότε ἐπιφέροντος. *Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος διὰ τὸ τῷ σκότῳ καὶ τοῖς ὕδασι κεκαλύφθαι*· οὕτω γὰρ ἔδοξε τῷ Δεσπότῃ ἐξ ἀρχῆς παραγαγεῖν· φασὶν, ὅτι προϋπέκειτο ἡ ὕλη, καὶ τὸ σκότος προϋπῆρχε. Τί ταύτης τῆς ἀνοίας χεῖρον γένοιτ' ἄν; Ἀκούεις ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο τὰ ὄντα, καὶ λέγεις ὅτι προϋπῆρχεν ἡ ὕλη; Καὶ τίς ἀνάσχοιτο τοσαύτης παροινίας τῶν νοῦν ἐχόντων; Μὴ γὰρ ἄνθρωπός ἐστιν ὁ δημιουργῶν, ἵνα δεηθῇ τινος προϋποκειμένου, καὶ οὕτω τὰ τῆς τέχνης ἐπιδείξηται; Θεός ἐστιν, ᾧ πάντα εἴκει, λόγῳ καὶ προστάγματι πάντα δημιουργῶν. Ὅρα γὰρ, εἶπε μόνον, καὶ παρήχθη τὸ φῶς, καὶ παρεχώρησε τὸ σκότος.

Ex eodem loco.

Sed qui errore tenentur oppressi, non animadvertentes ea, quæ ex his verbis consequuntur, neque audientes Mosem dicentem : *In principio fecit Deus cœlum et terram*, subjicientemque, *Terra autem erat invisibilis et inornata* [1] ; quoniam tenebris, et aquis operiebatur, nondum enim voluerat Deus a principio eam educere: dicunt materiam ante fuisse, atque item tenebras. Quid hac dementia deterius fieri potest? Audis Deum in principio fecisse cœlum et terram, et ex nihilo, et dicis ante materiam exstitisse? Ecquis sapiens mentisque B compos ita deliret? Num homo est, qui agit, ut parata materia indigeat, quo opera ostendat sua? Deus est, cui omnia parent, qui verbo, et jussu cuncta fecit. Ecce enim dixit solum, et facta est lux, et tenebræ discesserunt.

Ἐκ τῆς ἑρμηνείας τῆς εἰς τοὺς πέντε ἄρτους.

Καὶ διατί οὐ ποιεῖ ἐκ μὴ ὄντων, ἐμφράττων τὸ Μαρκίωνος καὶ Μανιχαίου στόμα, τῶν τὴν κτίσιν ἀλλοτριούντων αὐτοῦ, καὶ διὰ τῶν ἔργων αὐτῶν δεικνὺς ὅτι τὰ ὁρώμενα ἅπαντα αὐτοῦ ἔργα, καὶ κτίσματά εἰσι· καὶ δεικνὺς ὅτι αὐτός ἐστιν ὁ τοὺς καρποὺς διδοὺς, ὁ εἰπὼν ἐξ ἀρχῆς· *Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, καὶ ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν*. Οὐκ ἔλαττον γὰρ τοῦ ἀπὸ γῆς δεῖξαι καρπὸν, καὶ ἀπὸ ὑδάτων ἑρπετὰ ἔμψυχα τὸ ἀπὸ πέντε ἄρτων ποιῆσαι ἄρτους τοσούτους, καὶ ἀπὸ ἰχθύων πάλιν, ὃ σημεῖον ἦν τοῦ καὶ τῆς γῆς καὶ τῆς θαλάσσης αὐτὸν κρατεῖν.

Ejusdem, ex interpretatione in quinque panes.

Cur autem non eos facit ex nihilo, ut obstruat os Marcionis, et Manichæi, qui adimunt ei rerum procreationem? Imo vero factis ostendit, omnia quæ cernuntur, a se fuisse condita, et procreata, seque illum esse, qui fructus elargitur, qui ab initio dixit : *Germinet terra herbam feni, et producant* C *aquæ reptilia animarum viventium* [2]. Neque enim minus est ex quinque panibus facere tam multos panes, aut ex duobus piscibus tam multos pisces, quod declarat eum esse terræ, marisque Dominum, quam fructum e terra, et reptilia animata ex aquis ostendisse.

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τῆς εἰς τό· « Πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ Πατήρ μου, ἐκριζωθήσεται. »

Ejusdem, ex interpretatione in illa verba: « Omnis plantatio, quam non plantavit Pater meus cœlestis, eradicabitur. [3] *»*

Τοῦτο περὶ τοῦ νόμου φασὶν εἰρῆσθαι οἱ τὰ Μανιχαίων νοσοῦντες. Ἀλλ' ἐπιστομίζει τὰ ἔμπροσθεν εἰρημένα αὐτούς. Εἰ γὰρ περὶ τοῦ νόμου ἔλεγε, πῶς ἀνωτέρω ἀπολογεῖται ὑπὲρ αὐτοῦ, καὶ μάχεται λέγων· *Διατί παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν;* Πῶς δὲ τὸν προφήτην εἰσάγει εἰς μέσον λέγοντα· *Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ*, καὶ τὰ ἑξῆς; Ἀλλὰ περὶ αὐτῶν ἐκείνων, καὶ τῶν παραδόσεων αὐτῶν ταῦτά φησιν. Εἰ γὰρ ὁ Θεὸς εἶπε· *Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου*, πῶς οὐκ ἔστι φυτεία Θεοῦ τὸ παρὰ Θεοῦ εἰρημένον; Καὶ τὸ ἑξῆς δὲ δείκνυσιν ὅτι περὶ αὐτῶν εἴρηται, καὶ τῶν παραδόσεων αὐτῶν. Ἐπήγαγε γοῦν· *Ὁδηγοί εἰσι τυφλῶν*. Εἰ δὲ περὶ τοῦ νόμου ἔλεγε, τοῦτο εἶπεν ἄν· Ὁδηγός ἐστι τυφλὸς τυφλῶν. Ἀλλ' οὐχ οὕτως εἶπεν, ἀλλ' Ὁδηγοί εἰσι τυφλοὶ τυ-

Hoc de lege dictum esse volunt, qui Manichæorum laborant morbo, sed opinionem eorum refellunt ea, quæ superius dicta sunt. Nam si hoc de lege loquitur, cur eam ante defendit? Cur pro illo propugnat? *Quid*, inquiens, *transgredimini mandatum Dei propter traditionem vestram* [4]? Cur prophetæ D sententiam in medium profert, dicentis : *Populus hic labiis me honorat* [5], et quæ sequuntur? Non igitur de lege, sed de illis ipsis, eorumque doctrina hæc dicta sunt. Nam si Deus dicit : *Honora patrem tuum, et matrem tuam* [6], qui fieri potest, ut Dei plantatio non sit, quod a Deo dictum est? Et quod sequitur, ostendit de ipsis, et doctrina ipsorum fuisse dictum ; subjicit enim : *Duces sunt cæci, cæcorum* [7]. Quod si de lege voluisset intelligi, dixisset : Cæca est cæcorumque dux. Non autem ita

[1] Gen. I, 2. [2] ibid. 11. [3] Matth. XV, 13. [4] ibid. 3. [5] ibid. 6. [6] Exod. XX, 12. [7] Matth. XV, 14.

dixit, sed eo potius modo : Cæci sunt, et cæcorum duces, ut et illam a reprehensione liberaret, et culpam in eos omnem conferret.

Ex eodem loco.

Interrogemus igitur eos, qui legem insectantur, utrum præceptum illud, quo prohibemur irasci, contrarium sit ei, quo vetamur occidere, an potius hujus id perfectio sit, et confirmatio. Perspicuum est, illud esse perfectionem hujus et absolutionem, et propterea majus esse. Qui enim ad iram non incitatur, a cæde facilius abstinebit. Et qui animum cohibet suum, multo magis manus continebit. Nam ira cædis est radix, quam qui evellit, multo magis concidet ramos, imo vero ne nasci quidem illos permittet. Quamobrem hæc non ad legis interitum jubebat, sed ad majorem illius observantiam. Quo namque consilio hæc sanciebat ipsa lex? Nonne, ut nemo proximum interficeret? Legi igitur adversantia præcepisset, qui jussisset interficere. Hoc enim, *occide*, illi, *ne occidas*, contrarium est. Itaque si ne irasci quidem concedit, id quod a lege jubetur multo magis confirmat. Neque enim perinde sibi temperabit a cæde, qui studiose cavet, ne quempiam occidat, ut ille qui ipsam quoque interficit iracundiam. Hic enim longius multo abest ab ipso conatu. Verum ut eos magis etiam convincamus, omnia quæ ab ipsis dicuntur, in medium afferamus. Quænam autem ista sunt? Deum illum, qui mundum hunc fabricatus est, qui solem suum oriri facit super malos, et bonos; qui pluit super justos et injustos, malum esse affirmant. Qui autem ex illis mitiores sunt, rem ita temperant, ut eum justum esse duntaxat concedant, bonum autem negent. Alterum autem quemdam, qui non sit, quique nihil eorum, quæ sunt, effecerit, Christo patrem assignant. Et eum, qui bonus non est, in suis se terminis continere, et quæ sua sunt, tueri dicunt. Hunc vero, qui bonus est, aliena, et quæ ipse non fecit, appetere. Agnoscis filios diaboli? Quomodo e patris fonte verba hauriant, quæ loquantur, dum auferunt Deo mundi fabricationem, cum Joannes exclamet : *In propria venit*, et, *Mundus per eum factus est* [1]. Jam legem examinant et expendunt in Veteri Testamento jubentem, ut oculus pro oculo, et dens pro dente evellatur. Atque ita impie irruentes, Quomodo, inquiunt, bonus sit is qui talia præcipit? Quid nos ad hæc respondebimus? Maximam id Dei erga nos benevolentiam indicare. Neque enim sanxit hanc legem, ut nobis oculos vicissim effoderemus, sed potius ut ea deterriti, ne committeremus in alterum, quod nobis ipsi timeremus. Quemadmodum et Ninivitis comminatus est eversionem, non ut eos exscinderet et aboleret : tacendum enim fuerat, si id omnino efficere decrevisset, sed ut eos pœnæ formidine meliores redderet, atque ita iram, qua in eos accensus erat, exstingueret Sic et iis, qui prompte ad eruendos aliorum oculos

φλῶν, ἐκεῖνον μὲν ἀπαλλάττων τῆς κατηγορίας, εἰς δὲ τούτους τὸ πᾶν περιέλκων.

Ἐκ τῆς αὐτῆς ἀκολουθίας.

Ἐρωτήσωμεν τοίνυν τοὺς τὸν νόμον ἐμβάλλοντας, τὸ μὴ ὀργίζεσθαι τοῦ μὴ φονεύεν ἐναντίον, ἢ μᾶλλον ἐκείνου τελείωσις τοῦτο, καὶ κατασκευή; Εὔδηλον ὅτι τοῦτο ἐκείνου πλήρωσις, καὶ μεῖζον τούτου ἕνεκεν. Ὁ γὰρ πρὸς ὀργὴν οὐκ ἐκφερόμενος πολλῷ μᾶλλον φόνου ἀφέξεται· καὶ ὁ θυμὸν χαλινῶν πολλῷ μᾶλλον τὰς χεῖρας καθέξει πως ἑαυτοῦ. Ῥίζα γὰρ τοῦ φόνου θυμός. Ὁ τοίνυν τὴν ῥίζαν ἐκκόπτων πολλῷ μᾶλλον ἀναιρήσει τοὺς κλάδους, μᾶλλον δὲ οὐδὲ φῦναι τὴν ἀρχὴν ἐάσει. Οὐκοῦν οὐκ ἐπ' ἀναιρέσει τοῦ νόμου, ἀλλ' ἐπὶ πλείονι ταῦτα ἐνομοθέτει φυλακῇ. Τί γὰρ βουλόμενος ὁ νόμος ταῦτα ἐπέταξεν; Οὐχ ἵνα μηδεὶς φονεύῃ τὸν πλησίον; Οὐκοῦν τοῦ μαχομένου τῷ νόμῳ τὸ κελεύειν φονεῦον ἦν. Τὸ γὰρ φονεύειν ἐναντίον. Εἰ δὲ μὴ ὀργίζεσθαι ἐπιτρέπει, ὅπερ ὁ νόμος ἐβούλετο, τοῦτο μᾶλλον ἵστησιν. Οὐ γὰρ ὁμοίως ἀφέξεται φόνου ὁ μελετῶν μὴ φονεύειν τῷ καὶ τὴν ὀργὴν ἀνῃρηκότι. Πορρωτέρω γὰρ οὗτος ἕστηκε τοῦ τολμήματος. Ἵνα δὲ καὶ ἑτέρως αὐτοὺς ἕλωμεν, εἰς μέσον ἃ λέγουσιν ἀγάγωμεν ἅπαντα. Τίνα οὖν ἐστιν ἅ φασιν; ὅτι ὁ τὸν κόσμον ποιήσας Θεὸς, ὁ τὸν ἥλιον ἀνατέλλων ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, ὁ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους πονηρός τίς ἐστιν. Οἱ δὲ ἐπιεικέστεροι δῆθεν αὐτῶν τοῦτο παραιτοῦνται. Δίκαιον δὲ αὐτὸν εἶναι λέγοντες ἀποστεροῦσι τοῦ εἶναι ἀγαθόν. Ἕτερον δὲ τὸν οὐκ ὄντα, οὔτε ποιήσαντά τι τῶν ὄντων πατέρα διδόασι τῷ Χριστῷ. Καὶ τὸν μὲν οὐκ ἀγαθὸν ἐν τοῖς αὑτοῦ μένειν, καὶ τὰ αὑτοῦ διατηρεῖν φασι· τὸν δὲ ἀγαθὸν τῶν ἀλλοτρίων ἐφίεσθαι, καὶ ὧν οὐκ ἐγένετο δημιουργός. Εἶδες τοῦ διαβόλου τὰ τέκνα, πῶς ἀπὸ τῆς πηγῆς τοῦ πατρὸς φθέγγονται ἀλλοτριοῦντες τοῦ Θεοῦ τὴν δημιουργίαν; τοῦ Ἰωάννου βοῶντος ὅτι *Εἰς τὰ ἴδια ἦλθε*, καὶ *Ὁ κόσμος δι' αὐτοῦ ἐγένετο*. Εἶτα τὸν νόμον ἐξετάζοντες τὸν ἐν τῇ Παλαιᾷ, τὸν κελεύοντα ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος ἐκβάλλειν, ἐπεμβαίνουσιν ἀθέως λέγοντες· Καὶ πῶς ἂν δύναιτο ἀγαθὸς εἶναι ὁ ταῦτα λέγων; Τί οὖν πρὸς ταῦτά φαμεν; Ὅτι μέγιστον εἶδος φιλανθρωπίας ἐστίν. Οὐ γὰρ ἵνα τοὺς ἀλλήλων κόπτωμεν ὀφθαλμοὺς τέθεικε τὸν νόμον τοῦτον, ἀλλ' ἵνα φόβῳ τοῦ μὴ παθεῖν ὑφ' ἑτέρων ἀπεχώμεθα τοῦ δρᾶσαί τι τοιοῦτον ἑταίροις. Ὥσπερ οὖν τοῖς Νινευΐταις ἠπείλησε καταστροφὴν, οὐχ ἵνα αὐτοὺς ἀνέλῃ (εἰ γὰρ τοῦτο ἐβούλετο, σιγᾷν ἐχρῆν), ἀλλ' ἵνα τῷ φόβῳ βελτίους ποιήσας παύσῃ τὴν ὀργήν· οὕτω καὶ τοῖς προχείρως ἐπιπηδῶσι τοῖς ἑτέρων ὀφθαλμοῖς τιμωρίαν ἔθηκεν, ἵνα, κἂν ἀπὸ προαιρέσεως ἀγαθῆς μὴ βούλωνται, ἀπέχωνται τῆς ὠμότητος.

[1] Joan. I, 10, 11.

involant, supplicium proposuit, ut ejus acerbitate eos, si bono animi proposito non moverentur, deterreret.

Ἔτι κατὰ τῶν αὐτῶν, τοῦ ἁγίου Κυρίλλου ἐκ τοῦ πρὸς τὸν βασιλέα Θεοδόσιον προσφωνητικοῦ.

Τὸ ἀποστολικὸν ῥητὸν τὸ λέγον περὶ τοῦ Σωτῆρος· *Ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος*, προβαλλόμενος ἕκαστος τῶν αἱρετικῶν τῶν βδελυρῶν δογμάτων κατασκευάζει τὸ ψεῦδος. Ἄρειος μὲν, καὶ Εὐνόμιος, καὶ Ἀπολλινάριος, καὶ τὸ ὁμοίωμα, καὶ τὸ σχῆμα τοῦ ἀνθρώπου τὸ φαινόμενον τῆς ἡμετέρας φύσεως μόνον σημαίνειν διαγορεύοντες· οἱ δὲ τῆς τῶν Δοκιτῶν φάλαγγος (8), καὶ τὸ ὁμοίωμα, καὶ τὸ σχῆμα εἰς σκιάν τινα, καὶ εἰκασίαν, καὶ φαντασίαν σώματι ἐοικυῖαν λαμβάνοντες. Καὶ μεθ' ἕτερα· Ἡμεῖς δὲ τὸ ἐν ὁμοιώματι ἀνθρώπου γενέσθαι, καὶ σχήματι εὑρεθῆναι, ἤτοι γνωρισθῆναι ὡς ἄνθρωπον, οὕτω νοήσωμεν· ὅτι τὴν ἡμετέραν φύσιν προσλαβὼν, καὶ ἴσος ἡμῖν ἦν, καὶ ὅμοιος· ἴσος μὲν, ὡς μορφὴν δούλου λαβὼν, ἤγουν φύσιν ἀνθρώπου· ὅμοιος δὲ, ὡς δίχα σπέρματος. Τὸ μὲν γὰρ ἐκ γυναικὸς ἀνθρώπινον, τὸ δὲ ἐκ παρθένου ὑπὲρ ἄνθρωπον. Ἐν ὁμοιώματι μὲν οὖν εἶπε, διὰ τὸ τἄλλα μὲν ἴσον ἡμῖν εἶναι κατὰ τὴν φύσιν, οὐκ ἔχει δὲ τὸ ἐκ σπέρματος συνεστάναι. Τὸ αὐτὸ δὲ δηλοῖ καὶ τὸ *Σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος*. Σχῆμα γὰρ πάλιν εἶπε, διότι εἰ καὶ τὸ ἀνθρώπινον εἶδος εἶχε, καὶ ἀληθῶς αὐτὸ περιεβέβλητο, ἀλλ' οὖν πλέον εἶχεν ἀνθρώπου τῷ μὴ ψιλὸν αὐτὸν εἶναι, ἀλλ' ἡνωμένον θεότητι. Εἰ δὲ κατὰ φαντασίαν ἐνανθρωπῆσαι τὸν Σωτῆρα δεξόμεθα, μάτην οἱ ἀπόστολοι, μάτην τὸ κήρυγμα, καὶ συντόμως εἰπεῖν οἴχεται πᾶσιν ἡ σωτηρίας ἐλπίς.

A *Item adversus eosdem. Sancti Cyrilli ex libro ad Theodosium imperatorem scripto.*

Ea Apostoli verba de Servatore : *In similitudine hominum factus, et habitu inventus ut homo* [1], arripiunt hæretici, ut exsecrandæ doctrinæ suæ mendacia tueantur atque confirment. Nam Arius quidem, et Eunomius, et Apollinarius similitudinem et habitum sic accipiunt, ut naturæ nostræ speciem duntaxat quamdam significent. Reliquæ autem hæreticorum copiæ per similitudinem et habitum umbram quamdam, et imaginem, et formam corpori similem interpretantur. Et post alia : Nos autem in similitudine hominis factum, et habitu inventum sive cognitum ut hominem, sic in-
B telligimus, ut naturam nostram assumpserit, et æqualis nobis ac similis fuerit. Æqualis, quia servi formam, seu naturam humanam accepit. Similis, quia sine semine. Nam quod ex muliere natus sit, humanum id est. Quod autem ex virgine, id vero humana conditione præstantius. In similitudine igitur dixit, quoniam cum in reliquis par esset nobis et æqualis, quantum ad naturam pertinet, non tamen ex semine conceptus est. Idemque verbis illis significatur, *Et habitu*, seu figura, *inventus ut homo*. Figuram enim dixit, quia licet humanam speciem, et naturam haberet, vereque illam induisset, homine tamen habebat aliquid excellentius, quia non purus erat et simplex homo, sed
C cum divinitate conjunctus. Quod si specie tantum, et imagine quadam, ac simulatione Servatorem hominis assumpsisse naturam admittimus, inanis fuit labor apostolorum, inanis est Evangelii promulgatio, inanis denique salutis spes.

Κεφάλαιον κθ'.
Ἔτι κατὰ τῶν αὐτῶν, τοῦ Δαμασκηνοῦ.

Ὅτι οὐ δύο ἀρχαὶ, μία ἀγαθὴ, καὶ μία πονηρὰ, ἐντεῦθεν εἰσόμεθα. Ἐναντία εἰσὶν ἀλλήλοις τὸ ἀγαθὸν, καὶ τὸ πονηρὸν, καὶ ἀλλήλων φθαρτικὰ, καὶ ἐν ἀλλήλοις, ἢ σὺν ἀλλήλοις οὐχ ὑφιστάμενα. Ἐν μέρει οὖν τούτων ἕκαστον ἔσται τοῦ παντός. Καὶ πρῶτον μὲν περιγραφήσονται οὐχ ὑπὸ τοῦ παντὸς μόνον, ἀλλὰ καὶ ὑπὸ μέρους τοῦ παντὸς τούτων ἕκαστον· ἔπειτα τίς ὁ τὴν χώραν ἑκάστῳ ἀποτεμόμενος; Οὐ γὰρ ἀλλήλοις συνενεχθῆναι, καὶ συμβιβασθῆναι φήσουσιν. Ἐπεὶ οὐ κακὸν τὸ κακὸν εἰρήνην ἄγον πρὸς τὸ ἀγαθὸν, καὶ συμβιβαζόμενον· οὐδὲ ἀγαθὸν τὸ ἀγαθὸν φιλικῶς πρὸς τὸ κακὸν διακείμενον. Εἰ δ' ἕτερος ὁ τούτων ἑκάστῳ τὴν οἰκείαν ἀφορίσας διατριβὴν, ἐκεῖνος μᾶλλον ἔσται Θεός. Ἀνάγκη δὲ καὶ δυοῖν θάτερον, ἢ ἅπτεσθαι, καὶ φθείρειν ἄλληλα, ἢ εἶναί τι μέσον, ἐν ᾧ οὐδὲ τὸ κακὸν, οὐδὲ τὸ ἀγαθὸν ἔσται, ὥσπερ τι διάφραγμα διεῖργον ἐξ ἀλλήλων

Item contra eosdem. Damasceni 29.

Duo non esse principia, unum bonum, et alterum malum, sic intelligemus. Bonum et malum contraria sunt, seque vicissim interimunt, et eorum utrumque nec in altero, nec cum altero potest consistere. Separatim igitur erunt, in ipsa rerum universitate, et primum ita circumscribentur, ut non solum in mundo sint, sed unum in una mundi parte, alterum in alia. Jam quis utrique regio-
D nem descripsit suam? Neque enim inter se convenisse, et fœdus iniisse dicent. Quandoquidem malum non esset malum, si amicitia cum bono conjunctum esset : nec bonum esset bonum, si illi cum malo conveniret. Sin tertius aliquis suum utrique domicilium præfinivit, ille potius erit Deus. Alterutrum autem est necessarium, ut vel se contingant mutuoque interimant, vel inter ea sit aliquod medium, in quo nec bo-

[1] Philipp. II, 7.

(8) Ad verba, Οἱ δὲ τῆς τῶν Δοκιτῶν φάλαγγος, legitur scholium in codice Mosquensi 1 : Δοκῖται καὶ Φαντασιασταὶ, οἱ δοκήσει καὶ φαντασίᾳ γεγονέναι λέγοντες τὴν θείαν ἐνανθρώπησιν· ὁποῖοί εἰσι καὶ οἱ ἀνωτέρω ἐν ἀρχῇ τοῦ παρόντος τίτλου μνημονευθέντες.

num nec malum commoretur, quodque tanquam septum utraque sejungat et dirimat. Et hoc quidem pacto non duo erunt, sed tria principia. Præterea necesse est ut vel in pace degant, quod malum non potest : quod enim in pace degit, non est malum ; vel pugnent, quod nequit bonum : quod enim bellum gerit, perfecte bonum non est ; vel malum quidem pugnet, bonum autem non repugnet : qua sane ratione bonum a malo deleretur aut certe vexaretur et discruciaretur, quod a bono alienum est. Unum ergo principium est, idque bonum et ab omni malitia remotissimum. Quod si dixeris Unde igitur malum? a bono enim ortum habere non potest ; respondemus, malum nihil aliud esse nisi privationem boni, et commutationem ex eo quod secundum naturam est, in id quod est contra naturam. Nihil enim natura malum. Nam omnia, quæ Deus fecit, valde sunt bona quatenus facta sunt. Itaque si manent quemadmodum fuerunt procreata, valde bona sunt. Sin a proprio naturæ statu voluntate deflectunt in contrarium, in malo consistunt. Natura igitur procreatori cuncta serviunt et parent. Quando autem sponte sua aliquid eorum, quæ procreata sunt, imperium detrectans ab auctore suo defecerit, in se ipso malum constituit. Malum enim nec essentia est, nec aliquid essentiæ proprium, sed accidens, et ab eo, quod secundum naturam est, in id quod naturæ adversatur declinatio. Hoc autem nihil aliud est, nisi peccatum. Unde igitur peccatum? a propria voluntate diaboli inventum. Ergo diabolus malus? Non quatenus factus est. Lucidissimus enim et præclarissimus angelus fuit procreatus ab opifice Deo, libera præditus voluntate, quippe qui ratione ornatus sit. Ultro autem et volens a virtute congruenti naturæ suæ discedens in malitiæ tenebras incidit, procul amotus a Deo qui solus est bonus et largitor vitæ. Ab ipso enim quidquid est bonum habet, ut bonum sit, et dum voluntate recidit ab eo (voluntate enim, non loco, ab illo receditur) in malum incurrit.

ἀμφότερα. Καὶ οὐκ ἔτι δύο, ἀλλὰ τρεῖς ἀρχαὶ ἔσονται. Ἀνάγκη δὲ τούτων τὸ ἕτερον ἢ εἰρηνεύειν, ὅπερ τὸ κακὸν οὐ δύναται, τὸ γὰρ εἰρηνεῦον οὐ κακὸν, ἢ μάχεσθαι, ὅπερ τὸ ἀγαθὸν οὐ δύναται· τὸ γὰρ μαχόμενον οὐ τελέως ἀγαθόν· ἢ τὸ μὲν κακὸν μάχεσθαι, τὸ δὲ ἀγαθὸν μὴ ἀντιμάχεσθαι, ἀλλ' ὑπὸ τοῦ κακοῦ φθείρεσθαι, ἢ ἀεὶ λυπεῖσθαι, καὶ κακουχεῖσθαι, ὅπερ οὐ τοῦ ἀγαθοῦ γνώρισμα. Μία τοίνυν ἀρχὴ ἀγαθὴ πάσης κακίας ἀπηλλαγμένη. Ἀλλ' εἰ τοῦτό φασι, Πόθεν τὸ κακόν; ἀμήχανον γὰρ ἐκ τοῦ ἀγαθοῦ τὸ κακὸν ἔχειν τὴν γένεσιν· φαμὲν οὖν ὅτι τὸ κακὸν οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ τοῦ ἀγαθοῦ στέρησις, καὶ ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν παρατροπή. Οὐδὲν γὰρ κακὸν κατὰ φύσιν· πάντα γὰρ ὅσα ἐποίησεν ὁ Θεὸς καλὰ λίαν, καθ' ὃ γέγονεν. Οὕτω τοίνυν μένοντα καθὼς ἔκτισται, καλὰ λίαν εἰσίν· ἐκουσίως δὲ ἀποφοιτῶντα τοῦ κατὰ φύσιν, καὶ εἰς τὸ παρὰ φύσιν ἐρχόμενα, ἐν τῷ κακῷ γίνονται. Κατὰ φύσιν μὲν οὖν πάντα δοῦλα, καὶ ὑπήκοα τοῦ Δημιουργοῦ. Ὅταν δὲ ἐκουσίως τι τῶν κτισμάτων ἀφηνιάσῃ, καὶ παρήκοον τοῦ ποιήσαντος αὐτὸ γένηται, ἐν ἑαυτῷ συνεστήσατο τὴν κακίαν. Ἡ κακία γὰρ οὔτε οὐσία τίς ἐστιν, οὔτε οὐσίας ἰδίωμα, ἀλλὰ συμβεβηκὸς, ἤγουν ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν ἐκούσιος παρατροπὴ, ὅπερ ἐστὶν ἡ ἁμαρτία. Πόθεν οὖν ἡ ἁμαρτία; τῆς αὐτεξουσίου γνώμης τοῦ διαβόλου εὕρεμα. Κακὸς οὖν ὁ διάβολος, οὐ καθὸ γέγονεν· ἄγγελος γὰρ φωτεινότατος καὶ λαμπρότατος ὑπὸ τοῦ Δημιουργοῦ ἔκτισται, αὐτεξούσιος, ὡς λογικός· ἐκουσίως δὲ τῆς κατὰ φύσιν ἀρετῆς ἀπεφοίτησε καὶ ἐν τῷ ζόφῳ τῆς κακίας ἐγένετο, Θεοῦ μακρυνθεὶς τοῦ μόνου ἀγαθοῦ καὶ ζωοποιοῦ. Ἐξ αὐτοῦ γὰρ πᾶν ἀγαθὸν ἀγαθύνεται. Καὶ καθ' ὅσον ἐξ αὐτοῦ ἐμακρύνθη γνώμῃ, οὐ γὰρ τόπῳ, ἐν τῷ κακῷ γέγονε.

TITULUS X.

Adversus Sabellium. Sancti Cyrilli ex interpretatione in Joannis Evangelium.

Si idem est Filius, qui Pater, quæ est distinctionis nominum ratio? Nam si alium non genuit, cur vocatur Pater? Et qui a Patre genitus non est, quomodo prorsus est Filius? Quoniam igitur genitum esse Filium divinæ Scripturæ testantur, et veritas ita sese habet, per se in propria quisque persona exsistunt Pater et Filius. Quandoquidem unus ab altero distinguitur ut a gignente genitus.

Beatus Paulus ad Philippenses de Filio scribens, *Qui rapinam*, inquit, *non est arbitratus, esse se æqualem Deo* [1]. Quis igitur ille est, qui noluit rapinam arbitrari, se esse æqualem Deo? Nonne dicendum est necessario unum quidem illum esse, qui est in forma Dei, alterum autem eum cujus est forma? Omnes hoc ut perspicuum confitentur. Quare non unum

ΤΙΤΛΟΣ Ι'.

Τοῦ ἐν ἁγίοις Κυρίλλου κατὰ Σαβελλίου. Ἐκ τῆς κατὰ Ἰωάννην Εὐαγγέλιον ἑρμηνείας τὰ ὅλα ταῦτα κεφάλαια.

Εἰ αὐτός ἐστιν ὁ Υἱὸς, καὶ Πατὴρ, ποῖον ἔχει λόγον ἡ τῶν ὀνομάτων διαστολή; Εἰ μὴ γὰρ ἄλλον ἐγέννησεν, ἱνατί καλεῖται Πατήρ; Πῶς δὲ ὅλως Υἱὸς, εἰ μὴ ἐγεννήθη παρὰ Πατρός; Ἐπειδὴ δὲ γεγεννῆσθαι τὸν Υἱὸν αἱ θεῖαι κηρύττουσι Γραφαὶ, καὶ ὁ τῆς ἀληθείας οὕτως ἔχει λόγος, ὑφεστήκασιν ἄρα καθ' ἑαυτοὺς, καὶ εἰσὶν ἰδιαζόντως καὶ ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, εἴπερ ἕτερον ἐξ ἑτέρου φαίνεται τὸ γεννώμενον ὡς πρὸς τὸ γεννῶν.

Ὁ μακάριος Παῦλος ἐπιστέλλων Φιλιππησίοις περὶ τοῦ Υἱοῦ φησιν· « Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. » Ἢ γὰρ οὐκ ἀνάγκη λέγειν ἕνα μέν τινα ὑπάρχειν τὸν ἐν μορφῇ Θεοῦ, ἕτερον δὲ πάλιν τὸ ὅπερ ἦν ἡ μορφή; Ἀλλ' ἔστι δῆλον ἅπασι καὶ ὁμολογούμενον. Οὐκοῦν οὐχ ἕν τι κατὰ ταυτὸν τῷ ἀριθμῷ Πατὴρ, καὶ Υἱὸς, ἀλλ'

[1] Philip. II, 6.

ὁμοούσιοι, καὶ ἐν ἀλλήλοις θεωρούμενοι κατὰ τὴν ταυτότητα τῆς οὐσίας, εἰ καὶ εἷς ἐξ ἑνὸς, δηλαδὴ ἐκ Πατρὸς ὁ Υἱός.

Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, ἔφασκεν ὁ Σωτὴρ, ὡς εἰδὼς δηλονότι καὶ ἑαυτὸν ἰδίως ὑφεστηκότα, καὶ τὸν Πατέρα. Εἰ δὲ μὴ οὕτως ἔχει τοῦ πράγματος ἡ ἀλήθεια, τί μὴ τηρήσας τῇ ἑνάδι τὸ πρέπον ἔφασκεν, *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν εἰμι;* Ἐπειδὴ δὲ εἰς πληθυντικὸν ἀριθμὸν τὸ σημαινόμενον ἐξαπλοῖ, δῆλος ἂν εἴη λοιπὸν τὴν τῶν ἑτεροδόξων ἀνατρέπων ὑπόνοιαν.

Ἐκ τῆς οὐσίας ὄντα τῆς τοῦ Θεοῦ καὶ Πατρὸς ἐπιδεικνύων ἑαυτὸν ὁ Υἱός φησί που πάλιν· *Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον, καὶ ἥκω.* Πῶς οὖν οὐχ ἕτερος ἔσται παρ' αὐτὸν, ὡς ἐν ὑποστάσει, καὶ ἀριθμῷ, παντὸς ἡμᾶς ἀναπείθοντος λόγου τὸ ἔκ τινος προελθὸν ἕτερον εἶναι παρ' ἐκεῖνο νοεῖν, ἀφ' οὗ δὴ καὶ προελήλυθεν; Οὐκοῦν ἀληθὴς οὐδαμῶς τοῖς δι' ἐναντίας ὁ λόγος.

Ἐξ ὀργῆς ἐμπεπρῆσθαι Θεοῦ τὰς τῶν Σοδομιτῶν πόλεις ἡ θεία λέγει Γραφή. Ἐξηγουμένη δὲ ὅπως αὐτοῖς ὁ θεῖος ἐπενήνεκται θυμὸς, καὶ τὸν τρόπον τῆς ἀπωλείας ἐκδιδάσκουσα σαφῶς, *Ἔβρεξε*, φησὶ, *Κύριος πῦρ παρὰ Κυρίου ἐπὶ Σόδομα, πῦρ, καὶ θεῖον.* Ἐπεὶ καὶ αὕτη τοῖς ἐκεῖνα πλημμελεῖν εἰωθόσιν ἡ μερὶς τοῦ ποτηρίου πρεπωδεστάτη. Ποῖος οὖν ἄρα Κύριος παρὰ ποίου Κυρίου τὸ πῦρ ἐπαφῆκε, καὶ τὰς τῶν Σοδομιτῶν κατέφλεξε πόλεις; Ἀλλ' ἔστι δῆλον ὡς ὁ Πατὴρ πάντα δι' Υἱοῦ ἐνεργῶν, ἐπεὶ καὶ δύναμις αὐτοῦ καὶ βραχίων ἐστὶν, αὐτὸν Σοδομίταις ὕειν ἐποίει τὸ πῦρ. Ὅτε τοίνυν Κύριος παρὰ Κυρίου τὸ πῦρ ἐκείνοις ἐφίησι, πῶς οὐχ ἕτερος, ὅσον εἰς τὸ ἰδίως ὑπάρχειν, παρὰ τὸν Υἱὸν ὁ Πατὴρ, καὶ αὖ πάλιν ὁ Υἱὸς παρὰ τὸν Πατέρα; Τὸ γὰρ ἓν ὡς ἐξ ἑνὸς ἐν τούτῳ σημαίνεται.

Ἐξαπόστειλον τὸ φῶς σου, καὶ τὴν ἀλήθειάν σου. Ποῖον οὖν ἄρα ἐστὶ φῶς; Ποία δὲ ἡ ἀλήθεια αὐτοῦ; Λέγοντος ἄκουε τοῦ Υἱοῦ· *Ἐγώ εἰμι τὸ φῶς*, καὶ, *Ἐγώ εἰμι ἡ ἀλήθεια.* Εἰ δὲ πέμπεται πρὸς ἡμᾶς τὸ φῶς καὶ ἡ ἀλήθεια τοῦ Πατρὸς, τουτέστιν ὁ Υἱὸς, πῶς οὐχ ἕτερός ἐστι παρ' αὐτὸν, ὅσον εἰς τὸ ἰδίως ὑπάρχειν, εἰ καὶ ἕν ἐστιν ὡς πρὸς αὐτὸν, ὅσον εἰς τὴν τῆς οὐσίας ταυτότητα; Εἰ γὰρ μὴ οὕτως ἔχειν οἴονταί τινες, ὁ αὐτὸς δὲ καὶ εἷς ἐστι Πατὴρ καὶ Υἱὸς, τί μὴ ἕτερον ἐποιεῖτο τὸν τῆς εὐχῆς τρόπον ὁ πνευματοφόρος βοῶν, Ἐλθὲ πρὸς ἡμᾶς, ὦ φῶς καὶ ἀλήθεια; Ἐπειδὴ δὲ τὸ, Ἐξαπόστειλον, λέγει, δῆλος ἂν εἴη λοιπὸν ἕτερον μὲν τὸν ἀποστέλλοντα εἰδὼς, ἕτερον δὲ τὸν ἀποστελλόμενον. Ὁ δὲ τῆς ἀποστολῆς τρόπος νοείσθω θεοπρεπῶς.

Ἐπεὶ δὲ τῷ Σαβελλίῳ ἀντίθετός ἐστιν Ἄρειος· ἐκεῖνος μὲν γὰρ τὰ τρία πρόσωπα συναιρῶν εἰς ἓν, ἓν πρόσωπον καὶ μίαν φύσιν ἐδογμάτιζεν· οὗτος δὲ τὴν μίαν φύσιν διαιρῶν, τρεῖς φύσεις καὶ τρία πρόσωπα τοὐναντίον ἀντεδογμάτιζεν· οἱ ἄλλοι Πατέρες, Ἀθανάσιος, καὶ Βασίλειος, καὶ Γρηγόριος, ἐν οἷς

quiddam numero sunt Pater et Filius, sed in sua uterque consistit persona, et quamvis unus ab uno sit, nempe Filius a Patre, unam tamen essentiam et naturam habent.

Ego et Pater (inquit Servator) *unum sumus*, [1] ut qui sciret, et se et Patrem propria utrumque persona subsistere. Nam nisi res ita vero se habet, cur non servavit unitatis decorum, *Ego*, inquiens, *et Pater unum sum.* Numero igitur utens pluribus congruenti, eorum qui aliter sentiunt evertit opinionem.

Seipsum esse ex Dei et Patris essentia declarans Filius, *Ego*, inquit, *a Patre exivi* [2]. Quomodo igitur non alter ab illo erit persona duntaxat, et numero, cum omnis nos ratio doceat, id quod ex aliquo proficiscitur ab eo diversum cogitare? Quare constat, aliter sentientium opinionem esse falsam.

Ex ira Dei Sodomitarum civitates fuisse incensas atque combustas testatur divina Scriptura, quæ aperte declarans, quomodo Deus illis succensuerit, et quomodo eversæ deletæque fuerint, *Pluit*, inquit, *Dominus a Domino super Sodomam ignem et sulphur* [3]. Hoc enim punitionis genus flagitiosis illis maxime congruebat. Quis ergo Dominus a quo Domino ignem demisit, et Sodomitarum urbes abolevit? Pater nimirum omnia per Filium agens, qui virtus est et brachium ipsius, fecit ut ignem in Sodomitas plueret. Quamobrem qui fieri potest, ut cum Dominus a Domino ignem in eos conjecerit, non sit distinctus et a Filio Pater, ut propria exsistens persona, et rursum a Patre Filius? Hic enim unum ab uno significatur.

Emitte lucem tuam et veritatem tuam [4]. Quænam illius est lux, et veritas? Audi Filium, qui, *Ego*, inquit, *sum lux, ego sum veritas.* Itaque si lux et veritas Patris, nempe Filius, ad nos mittitur, quomodo non est ab illo distinctus, quatenus propria subsistit persona, licet cum illo unum sit, quantum ad unam et eamdem essentiam pertinet? Quod si, ut quidam opinantur, unus est Pater idem, qui et Filius, cur non ea potius precandi ratione usus est divino Spiritu afflatus propheta: Veni, inquiens, ad nos, o lux et veritas? Quare cum dixerit, Mitte, alium utique intellexit illum esse, qui mittit, et alium eum, qui mittitur. Missionis autem ratio Deo conveniens cogitetur.

Verum quia cum Sabellio Arius pugnat: nam ille tres personas in unum ita contraxit, ut unam tantum personam, et naturam unam esse contenderet: hic autem naturam unam ita divisit, ut tres naturas, et tres personas assereret: Athanasius, et Basilius, et Gregorius, et alii Patres cum exsecran-

[1] Joan. x, 30. [2] Joan. xvi, 28. [3] Gen. xviii, 24. [4] Psal. xlii, 3.

dam Arii opinionem impugnarent, simul etiam Sabellii doctrinam, ad quam refellendam, ut pote paucis comprehensam, non multis opus erat argumentis, everterunt.

TITULUS XI.

In Arianos. Magni Athanasii, ex quarto contra eos ipsos libro.

Beatus Alexander episcopus Ecclesia Arium ejecit, et extrusit dicentem hæc : Non semper Deus Pater, non semper Filius fuit. Sed cum omnia ex nihilo facta sint, eodem modo et Filius exstitit, qui et ipse ex rebus procreatis et factis una est. Cumque omnia non essent prius, quam facta sunt, sic fuit aliquando, cum et Dei Verbum non esset. Neque enim erat ante quam gigneretur, sed exsistendi principium habuit, cum Deus voluit ipsum efficere. Nam unum ex universis operibus et ipsum est. Et quoniam natura mutabile est, voluntate permansit bonum, cum tamen ut reliqua omnia mutari possit, quando vult. Idcirco enim Deus cum prævideret ipsum futurum bonum, hanc illi gloriam tribuit, quam ex virtute deinceps obtinuit. Dicunt igitur, Christum non esse verum Deum, sed communione Deum dici, ut reliquos omnes. Addunt præterea, ipsum non esse in Patre natura et proprium essentiæ illius Verbum et propriam ejus sapientiam, qua mundum hunc fabricatus est. Aliud enim esse Verbum illud proprium quod in Patre est, aliamque propriam in Patre sapientiam, qua quidem sapientia et Verbum hoc fecit. Hunc enim ipsum Dominum opinione Verbum rationemque dici propter illa, quæ ratione sunt prædita : opinione item dici sapientiam propter illa, quæ sapientia sunt ornata. Denique cum omnia sint aliena et peregrina, et ab essentia Patris remotissima, sic et ipsum asserunt ab essentia Patris alienissimum ac remotissimum, quippe qui factus et creatus sit, et unum opus. Ad hæc aiunt Deum non propter illum nos procreasse, sed illum propter nos. Erat enim, inquiunt, solus Deus, et cum illo non erat Verbum. Deinde cum vellet nos efficere, tunc et illud effecit, et ex quo factum est, Verbum, et Filium, et sapientiam ipsum appellavit, ut nos per illud procrearet. Et quemadmodum reliqua omnia Dei voluntate exstiterunt, cum non essent prius, sic et ipsum, cum antea non esset, factum est. Neque enim, inquiunt, proprius et naturalis Filius Patris est Verbum, sed et ipsum per gratiam exstitit. Qui enim est Deus, Filium, qui non erat, fecit ea voluntate, qua fecit et fabricavit et esse voluit omnia. Nam illud etiam dicunt, Christum non esse naturalem et veram Patris virtutem, sed quemadmodum bruchus, et eruca, sic et ipse Patris, inquiunt, virtus dicitur. Illud item adjungunt, Patrem esse Filio invisibilem, Filium enim Patrem nec videre, nec intelligere perfecte et absolute. Nam cum exsistendi principium habeat, non posse eum, qui principio caret, cognitum habere. Quod si cognoscat et videat, pro men-

A ἀνέτρεψαν τὴν Ἀρείου βλασφημίαν, συμπαρέλαβον καὶ τὴν Σαβελλίου καὶ συνανέτρεψαν, ὅτι μηδὲ πολλῶν ἐδεῖτο λόγων εὐέλεγκτος οὖσα, καὶ εἰς ὀλίγους φθάσασα.

ΤΙΤΛΟΣ ΙΑ.

Τοῦ μεγάλου Ἀθανασίου κατὰ Ἀρειανῶν, ἐκ τοῦ κατὰ Ἀρειανῶν τετάρτου λόγου.

Ὁ μακάριος Ἀλέξανδρος καὶ ἐπίσκοπος ἐξέβαλε τὸν Ἄρειον τῆς Ἐκκλησίας λέγοντα ταῦτα· Οὐκ ἀεὶ ὁ Θεὸς Πατήρ. Οὐκ ἀεὶ ἦν ὁ Υἱὸς, ἀλλὰ πάντων ὄντων ἐξ οὐκ ὄντων, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἐξ οὐκ ὄντων ἐστί. Καὶ πάντων ὄντων κτισμάτων, καὶ αὐτὸς κτίσμα καὶ ποίημά ἐστι. Καὶ πάντων οὐκ ὄντων πρότερον, ἀλλ' ἐπιγενομένων, καὶ αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος ἦν ποτε, ὅτε οὐκ ἦν, καὶ οὐκ ἦν πρὶν γεννηθῆναι. Ἀρχὴν ἔχει B τοῦ εἶναι. Τότε γὰρ γέγονεν, ὅτε βεβούλευτο αὐτὸν ὁ Θεὸς δημιουργῆσαι. Ἓν γὰρ τῶν πάντων ἔργων ἐστὶ καὶ αὐτός. Καὶ ὅτι τῇ μὲν φύσει τρεπτός ἐστι, τῷ δὲ ἰδίῳ αὐτεξουσίῳ βούλεται μένειν καλός· ὅτε μέντοι θέλει, δύναται τρέπεσθαι καὶ αὐτὸς, ὥσπερ καὶ τὰ πάντα. Διὰ τοῦτο γὰρ ὁ Θεὸς προγινώσκων ἔσεσθαι καλὸν αὐτὸν προλαβὼν αὐτῷ ταύτην τὴν δόξαν δέδωκεν, ἣν ἂν καὶ ἐκ τῆς ἀρετῆς ἔσχε μετὰ ταῦτα. Λέγουσι γοῦν ὅτι οὐδὲ Θεὸς ἀληθινός ἐστιν ὁ Χριστὸς, ἀλλὰ μετοχῇ καὶ αὐτὸς, ὥσπερ οἱ ἄλλοι πάντες, λέγεται Θεός. Προστιθέασι δὲ καὶ τοῦτο, ὅτι οὐκ ἔστιν αὐτὸς ἐν τῷ Πατρὶ φύσει, καὶ ἴδιος τῆς οὐσίας αὐτοῦ Λόγος, καὶ ἡ ἰδία σοφία, ἐν ᾗ πεποίηκε τοῦτον τὸν κόσμον, ἀλλ' ἄλλος μέν ἐστιν ὁ ἐν τῷ C Πατρὶ αὐτοῦ ἴδιος Λόγος, καὶ ἄλλη ἡ ἐν τῷ Πατρὶ ἰδία σοφία αὐτοῦ, ἐν ᾗ σοφίᾳ καὶ τοῦτον τὸν Λόγον πεποίηκεν. Αὐτὸς δὲ οὗτος ὁ Κύριος κατ' ἐπίνοιαν λέγεται Λόγος διὰ τὰ λογικὰ, καὶ κατ' ἐπίνοιαν λέγεται σοφία διὰ τὰ σοφιζόμενα. Ἀμέλει φασὶν ὅτι πάντων ξένων καὶ ἀλλοτρίων ὄντων κατὰ τὴν οὐσίαν τοῦ Πατρὸς, οὕτω καὶ αὐτὸς ξένος μὲν, καὶ ἀλλότριος τῆς τοῦ Πατρὸς οὐσίας ἐστί· τῶν δὲ γεννητῶν καὶ κτισμάτων ἴδιος καὶ εἷς τυγχάνει. Κτίσμα γάρ ἐστι, καὶ ποίημα, καὶ ἔργον. Πάλιν τέ φασιν ὅτι οὐχ ἡμᾶς ἔκτισε δι' ἐκεῖνον, ἀλλ' ἐκεῖνον δι' ἡμᾶς. Ἦν γὰρ, φησὶ, μόνος ὁ Θεὸς, καὶ οὐκ ἦν ὁ Λόγος σὺν αὐτῷ. Εἶτα θελήσας ἡμᾶς δημιουργῆσαι, τότε πεποίηκε τοῦτον. Καὶ ἀφ' οὗ γέγονεν, ὠνόμασεν αὐτὸν Λόγον, καὶ D Υἱὸν, καὶ σοφίαν, ἵνα καὶ ἡμᾶς δι' αὐτοῦ δημιουργήσῃ. Καὶ ὥσπερ τὰ πάντα βουλήματι τοῦ Θεοῦ ὑπέστη οὐκ ὄντα πρότερον, οὕτω καὶ αὐτὸς τῷ βουλήματι τοῦ Θεοῦ οὐκ ὢν πρότερον ἐγένετο. Οὐ γάρ ἐστι τοῦ Πατρὸς ἴδιον καὶ φύσει γέννημα ὁ Λόγος, ἀλλὰ καὶ αὐτὸς χάριτι γέγονεν. Ὁ γὰρ ὢν Θεὸς τὸν μὴ ὄντα Υἱὸν πεποίηκε τῇ βουλῇ, ἐν ᾗ καὶ τὰ πάντα πεποίηκε, καὶ ἐδημιούργησε, καὶ ἔκτισε, καὶ γενέσθαι ἠθέλησε. Καὶ γὰρ καὶ τοῦτο λέγουσιν, ὅτι οὐκ ἔστιν ὁ Χριστὸς ἡ φυσικὴ καὶ ἀληθινὴ δύναμις τοῦ Θεοῦ, ἀλλ' ὥσπερ ἡ κάμπη καὶ ὁ βροῦχος λέγονται δύναμις, οὕτω καὶ αὐτὸς λέγεται δύναμις τοῦ Πατρός. Πρὸς τούτοις ἔλεγεν ὅτι τῷ Υἱῷ ὁ Πατὴρ ἀόρατος ὑπάρχει, καὶ οὔτε ὁρᾷ, οὔτε γινώσκει τελείως καὶ ἀκριβῶς τὸν Πατέρα ὁ Υἱός. Ἀρχὴν γὰρ

ἔχων τοῦ εἶναι οὐ δύναται τὸν ἄναρχον γινώσκειν. Ἀλλὰ καὶ ὃ γινώσκει καὶ βλέπει, ἀναλόγως οἶδε τοῖς ἰδίοις μέτροις. Καὶ βλέπει, ὥσπερ καὶ ἡμεῖς γινώσκομεν καὶ βλέπομεν κατὰ τὴν ἰδίαν δύναμιν. Προσετίθει δὲ καὶ τοῦτο, ὅτι οὐ μόνον τὸν Πατέρα οὐκ οἶδεν ἀκριβῶς, ἀλλ' οὐδὲ τὴν ἰδίαν ἑαυτοῦ οὐσίαν οἶδε. Πάντα δὲ ταῦτα τῶν Γραφῶν ἐστιν ἐναντία. Ὁ μὲν γὰρ Ἰωάννης φησὶν, *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*· οὗτοι δὲ φάσκουσιν, Οὐκ ἦν πρὶν γεννηθῆναι. Καὶ αὐτὸς δὲ πᾶσιν ἔγραψε, *Καὶ ἐσμεν ἐν τῷ ἀληθινῷ ἐν τῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς, καὶ ἡ ζωὴ ἡ αἰώνιος*· οὗτοι δὲ ὥσπερ ἀντιμαχόμενοι φάσκουσι μὴ εἶναι τὸν Χριστὸν ἀληθινὸν Θεὸν, ἀλλὰ κατὰ μετοχὴν καὶ αὐτὸν, ὡς πάντας, λέγεσθαι Θεόν. Καὶ ὁ μὲν Ἀπόστολος αἰτιᾶται τοὺς Ἕλληνας, ὅτι κτίσμα σέβουσι, λέγων· *Ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα Θεόν*· οὗτοι δὲ κτίσμα λέγοντες εἶναι τὸν Κύριον καὶ ὡς κτίσματι λατρεύοντες αὐτῷ, τί διαφέρουσιν Ἑλλήνων; Πῶς γὰρ, εἰ τοῦτο φρονοῦσιν, οὐχὶ καὶ κατ' αὐτῶν ἐστι τὸ ἀνάγνωσμα, καὶ ὥσπερ ἐκείνοις, οὕτω καὶ αὐτοῖς μεμφόμενός ἐστιν ὁ μακάριος Παῦλος; Καὶ ὁ μὲν Κύριός φησιν· *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*, καὶ, *Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα*· καὶ ὁ παρ' αὐτοῦ δὲ ἀποσταλεὶς κηρύττειν Ἀπόστολος γράφει· *Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ*· οὗτοι δὲ τολμῶσι διαιρεῖν, καὶ ἀλλότριον αὐτὸν τῆς τοῦ Πατρὸς οὐσίας καὶ ἀϊδιότητος λέγειν, καὶ τρεπτὸν εἰσάγειν οἱ ἄθεοι, οὐ βλέποντες ὅτι ταῦτα λέγοντες οὐκ ἔτι ποιοῦσιν αὐτὸν ἓν μετὰ τοῦ Πατρὸς, ἀλλὰ μετὰ τῶν κτισμάτων. Τίς γὰρ οὐχ ὁρᾷ ὅτι ἀδιαίρετόν ἐστι τὸ ἀπαύγασμα πρὸς τὸ φῶς, καὶ ἴδιον αὐτοῦ συνυπάρχον τούτῳ φύσει, καὶ οὐκ ἐπιγέγονεν ὕστερον; Εἶτα τοῦ Πατρὸς λέγοντος, *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς*, καὶ τῶν Γραφῶν λεγουσῶν τοῦτον εἶναι τοῦ Πατρὸς Λόγον, ἐν ᾧ οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ ἁπλῶς πάντα δι' αὐτοῦ ἐγένετο, οὗτοι καινῶν ἐφευρεταὶ δογμάτων καὶ πλαστῶν γινόμενοι ἕτερον ἐπεισάγουσι Λόγον, καὶ ἄλλην σοφίαν τοῦ Πατρὸς εἶναι, τοῦτον δὲ κατ' ἐπίνοιαν διὰ τὰ λογικὰ λέγεσθαι Λόγον καὶ σοφίαν, οὐχ ὁρῶντες, ὅσον ἐκ τούτου τὸ ἄτοπον. Εἰ γὰρ δι' ἡμᾶς λέγεται κατ' ἐπίνοιαν Λόγος καὶ σοφία, τί ἂν εἴη αὐτὸς, οὐκ ἂν εἴποιεν. Εἰ γὰρ ταῦτα αὐτὸν λέγουσιν αἱ Γραφαὶ, οὗτοι δὲ ταῦτα εἶναι τὸν Κύριον οὐ θέλουσι, φανερῶς οὐδὲ ὑπάρχειν αὐτὸν θέλουσιν, οἱ ἄθεοι καὶ τῶν Γραφῶν ἐναντίοι. Καὶ τοῦτο οἱ μὲν πιστοὶ δύνανται παρ' αὐτῆς τε τῆς Πατρικῆς φωνῆς, καὶ παρὰ τῶν προσκυνούντων αὐτὸν ἀγγέλων, καὶ τῶν περὶ αὐτοῦ γραψάντων ἁγίων μαθεῖν· οὗτοι δὲ, ἐπεὶ τὴν διάνοιαν οὐκ ἔχουσι καθαρὰν, οὐδὲ δύνανται θείων ἐπακούειν καὶ θεολόγων ἀνδρῶν, δύνανται κἂν παρὰ τῶν ὁμοίων αὐτοῖς δαιμόνων μαθεῖν ὅτι μὴ ὡς πολλῶν ὄντων ἀνεφώνουν, ἀλλὰ τοῦτον μόνον εἰδότες ἔλεγον, Σὺ εἶ ὁ ἅγιος τοῦ Θεοῦ, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ. Καὶ γὰρ ὁ τὴν αἵρεσιν αὐτοῖς ὑποβάλλων, πειράζων ἐν τῷ ὄρει, οὐκ ἔλεγεν, Εἰ καὶ σὺ Υἱὸς εἶ

suræ suæ ratione cognoscere et videre, quemadmodum etiam nos pro viribus nostris cognoscimus et intuemur. Ac non solum exquisitam non habere Patris cognitionem, sed ne propriam quidem sui ipsius essentiam nosse. Quæ quidem omnia Scripturis divinis adversantur. *In principio* enim, Joannes inquit, *erat Verbum*[1]; isti vero dicunt : Non erat prius quam generaretur. Et alibi : *Sumus in vero Filio ejus, Jesu Christo. Hic est verus Deus et vita æterna*[2]. At isti repugnantes dicunt, Christum non esse verum Deum, sed communione quadam, ut sunt reliqui omnes, qui vocantur dii. Et Apostolus quidem gentes accusat, quod res procreatas colant, *Et servierunt*, inquiens, *creaturæ potius quam Creatori*[3]. Isti autem cum Dominum creatum asserant, et illi tamen serviant, quid a gentibus differunt? Cur enim, si ita sentiunt, non etiam in eos judicium sit, et quemadmodum gentibus, sic etiam ipsis beatus Paulus irascatur? Et Dominus, *Ego*, inquit, *et Pater unum sumus*; et : *Qui vidit me, vidit et Patrem*[4]. Et Apostolus ab eo missus ad Evangelium divulgandum ita scribit : *Qui cum sit splendor gloriæ, et figura substantiæ ejus*[5]. At isti dividere audent, eumque ab essentia æternitateque Patris alienum, et mutabilem dicere. Nec animadvertunt impii se, dum hæc dicunt,, illum non amplius unum cum Patre, sed cum rebus procreatis constituere. Quis enim non videt, a luce separari non posse splendorem, cujus proprium est, ut naturali vinculo cum illa semper conjunctus sit, non autem postea in illa factus? Adhæc cum Pater dicat : *Hic est Filius meus dilectus*[6], et Scripturæ affirment, hunc esse Patris Verbum, in quo et cœli firmati sunt, et omnia denique per ipsum condita : isti novæ commentitiæque doctrinæ inventores aliud inducunt Verbum, et aliam Patris sapientiam comminiscuntur : hunc enim opinione tantum propter illa, quæ ratione sunt prædita, Verbum et sapientiam dici. Nec vident quam absurdum sit id, quod ex eorum sententia sequitur. Nam si opinione tantum propter nos Verbum, et sapientia dicitur, quid ipse sit, non poterunt dicere. Etenim cum Scripturæ dicant, eum esse Verbum et sapientiam, ipsi autem Dominum hæc esse negant, ne esse quidem illum volunt homines nefarii, et inimici Scripturarum. Ac fideles quidem viri possunt hoc discere tum a Patris voce, tum ab angelis ipsum adorantibus, tum a sanctis scriptoribus, qui de illo locuti sunt. Isti vero, qui mentem habent impuram, nec res divinas, nec theologos viros intelligunt, possunt a dæmonibus saltem sui similibus edoceri. Qui clamabant, non tanquam multos, sed ut hunc solum viderent, et dicebant : Tu es sanctus Dei et Filius Dei. Nam ipse quidem, qui hæresim animis eorum injecit, cum tentaret illum in monte, non dixit : Si et tu Filius Dei es, quasi essent et alii, sed tanquam solus ipse esset,

[1] Joan. I, 1. [2] I Joan. V, 20. [3] Rom. I, 25. [4] Joan. X, 30. [5] Hebr. I, 3. [6] Matth. III, 17.

Si tu, inquit, es Filius Dei[1]. Sed hominibus A admirandis idem accidit, quod ipsis Græcis. Sicut enim hi cum non possent unum Deum percipere, deorum sibi multitudinem confinxerunt: sic et illi cum unum Patris Verbum esse non crederent, ad multitudinem confugerunt; et eum qui vere Deus est, Verbum esse verum negantes, creatum fuisse audent cogitare et dicere, nec attendunt, quanta impietate referta sit ejusmodi sententia. Nam si creatus est, quomodo rerum procreatarum auctor esse posset? Aut quomodo ipse Filius est et sapientia et Verbum? Verbum enim non creatur, sed gignitur. Et quod creatum est non est Filius, sed opus confectum. Quod si res procreatæ per ipsum effectæ sunt, creatus autem et ipse est, per aliquid omnino factus est. Ne B cesse est enim, ea quæ fiunt, per aliquem fieri. Non est autem creatus aut factus, quia non est opus, sed Verbum Patris. Præterea si alia præter Dominum est Patris sapientia, et sapientia in sapientia facta est. Si autem sapientia est Verbum Dei, erit Verbum in Verbo factum. Et si Dei Verbum est Filius, Filius erit in Filio factus. Quomodo igitur Dominus dixit: *Ego in Patre, et Pater in me est*[2], cum in Patre sit alius in quo et ipse Dominus factus est? Cur autem et Joannes omisso illo de hoc tantum loquitur, *Omnia*, inquiens, *per ipsum facta sunt, et sine ipso ne unum quidem factum est*[3]. Jam si omnia voluntate Dei facta, per ipsum facta sunt, quomodo et ipse unum eorum sit? Et cum C Apostolus dicat: *Propter quem omnia et per quem omnia*[4], isti non propter illum nos esse factos asserunt, sed eum propter nos. Si enim res sic haberet, dicendum erat, Propter quos factum est Verbum. Non autem id dixit sed, Propter quem omnia et per quem omnia. Ex quo istos hæreticos esse et sycophantas declaravit. Jam cum ausi sint dicere, aliud quoddam esse Verbum in Deo, quando nequeunt apertas ex Scripturis demonstrationes afferre, opus saltem ostendant aliquod istius a se conficti Verbi, si Patris opera sine hoc Verbo facta sunt, ut stultitiæ suæ causam aliquam habere videantur. Nam veri quidem Verbi opera cunctis perspicua sunt, ex quibus ratione quadam et ipsum cognoscitur. Quemadmodum enim res procreatas D intuentes procreatorem ipsarum Deum intelligimus, ita cum nihil in eis confusum, sed omnia ordine et providentia moveri conservarique conspicimus, Dei Verbum in omnibus exsistens, et omnia regens ac moderans animadvertimus. Hoc et divinæ Scripturæ testantur, quæ dicunt ipsum esse Dei Verbum, et per illud omnia fuisse confecta, et sine ipso factum esse nihil. Istius autem Verbi, quod ipsi efferunt, nec Scripturæ testimonium, nec opus ullum ostendunt. Siquidem et Pater, *Hic est*, inquiens, *Filius meus dilectus*, nullum alium esse præter ipsum significat. Quamobrem egregii isti homines Manichæis in hac parte videntur similes. Ut

τοῦ Θεοῦ, ὡς ὄντων ἄλλων, ἀλλ' ὡς μόνου ὄντος αὐτοῦ; *Εἰ σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ*· Ἀλλ' οἱ θαυμαστοὶ, ὥσπερ οἱ Ἕλληνες ἐκπεσόντες τῆς περὶ Θεοῦ ἑνὸς ἐννοίας εἰς πολυθεότητα κατῆλθον, οὕτω καὶ οὗτοι μὴ πιστεύοντες εἶναι τὸν τοῦ Πατρὸς Λόγον εἰς πολλῶν ἐπίνοιαν πεπτώκασι, καὶ τὸν μὲν ὄντως ὄντα Θεὸν ἀληθινὸν Λόγον ἀρνοῦνται, κτίσμα δὲ αὐτὸν καὶ ἐνθυμεῖσθαι, καὶ λέγειν τετολμήκασιν, οὐ βλέποντες, ὅσης ἀσεβείας μεστόν ἐστι τὸ φρόνημα. Εἰ γὰρ κτίσμα ἐστὶ, πῶς αὐτὸς τῶν κτισμάτων ἐστὶ δημιουργός; ἢ πῶς αὐτὸς ὁ Υἱὸς καὶ σοφία, καὶ Λόγος; Ὁ Λόγος γὰρ οὐ κτίζεται, ἀλλὰ γεννᾶται. Καὶ τὸ κτίσμα οὐχὶ Υἱὸς, ἀλλὰ ποίημα. Καὶ εἰ τὰ κτίσματα δι' αὐτοῦ γέγονε, κτίσμα δέ ἐστι καὶ αὐτὸς, διά τινος ἄρα καὶ αὐτὸς γέγονεν. Ἀνάγκη γὰρ τὰ ποιήματα διά τινος γίνεσθαι, ὥσπερ οὖν καὶ γέγονε διὰ τοῦ Λόγου, ὅτι μὴ αὐτὸς ἦν ποίημα, ἀλλὰ Λόγος τοῦ Πατρός. Καὶ πάλιν, εἰ ἄλλη ἐστὶν ἡ ἐν τῷ Πατρὶ σοφία παρὰ τὸν Κύριον, καὶ ἡ σοφία ἐν σοφίᾳ γέγονεν. Εἰ δὲ σοφία ἐστὶν ὁ τοῦ Θεοῦ Λόγος, εἴη ἂν καὶ ὁ Λόγος ἐν Λόγῳ γεγονώς. Καὶ εἰ ὁ Λόγος τοῦ Θεοῦ ἐστιν ὁ Υἱὸς, εἴη ἂν καὶ ὁ Υἱὸς ἐν τῷ Υἱῷ ποιηθείς. Πῶς τοίνυν ὁ Κύριος ἔλεγεν, *Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ*, ὄντος ἑτέρου ἐν τῷ Πατρὶ, ἐν ᾧ καὶ αὐτὸς ὁ Κύριος γέγονε; Πῶς δὲ ὁ Ἰωάννης ἀφεὶς ἐκεῖνον περὶ τούτου διηγεῖται λέγων, *Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν*; Εἰ δὲ πάντα βουλήματι τὰ γενόμενα δι' αὐτοῦ γέγονε, πῶς αὐτὸς εἷς τῶν γενομένων ἐστί; Πῶς δὲ καὶ τοῦ Ἀποστόλου λέγοντος, *Δι' ὃν τὰ πάντα, δι' οὗ τὰ πάντα*, οὗτοι λέγουσιν, Οὐχ ἡμεῖς δι' αὐτὸν, ἀλλ' ἐκεῖνος δι' ἡμᾶς γέγονεν; Ἔδει γὰρ, εἴπερ οὕτως ἦν, εἰπεῖν αὐτὸν, Δι' οὓς γέγονεν ὁ Λόγος. Νῦν δὲ μὴ τοῦτο λέγων, ἀλλὰ, Δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, δείκνυσι τούτους αἱρετικοὺς καὶ συκοφάντας. Ἄλλως τε εἰ τεθαῤῥήκασιν ἄλλον εἶναι τὸν Λόγον ἐν τῷ Θεῷ, ἐπεὶ μὴ φανερὰς ἔχουσι τὰς ἐκ τῶν Γραφῶν ἀποδείξεις, κἂν ἔργον αὐτοῦ δεικνύτωσαν, εἰ τὰ τοῦ Πατρὸς ἔργα χωρὶς τούτου τοῦ Λόγου γεγόνασιν, ἵνα τινὰ σχῶσι πρόφασιν τῆς ἑαυτῶν ἀνοίας. Τοῦ μὲν ἀληθινοῦ Λόγου πάντα ἐστὶ φανερὰ τὰ ἔργα, ὡς καὶ ἐξ αὐτῶν αὐτὸν ἀναλόγως θεωρεῖσθαι. Ὡς γὰρ τὴν κτίσιν ὁρῶντες διανοούμεθα τὸν ταύτην κτίσαντα Θεὸν, οὕτω καὶ βλέποντες μηδὲν ἄτακτον ἐν τοῖς γενομένοις, ἀλλὰ πάντα τάξει καὶ προνοίᾳ κινούμενά τε καὶ μένοντα, ἐνθυμούμεθα Λόγον εἶναι τοῦ Θεοῦ τὸν ἐπὶ πάντων τε ὄντα καὶ ἡγεμονεύοντα. Τοῦτο καὶ αἱ θεῖαι Γραφαὶ μαρτυροῦσι λέγουσαι, αὐτόν τε εἶναι τὸν τοῦ Θεοῦ Λόγον, καὶ ὅτι δι' αὐτοῦ τὰ πάντα ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν. Ἐκείνου δὲ περὶ οὗ λέγουσιν, οὐδὲν οὔτε ῥητὸν, οὔτε ἔργον ὑπ' αὐτῶν δείκνυται. Καὶ γὰρ καὶ αὐτὸς ὁ Πατὴρ λέγων, *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς*, οὐδένα ἕτερον εἶναι παρ' αὐτὸν σημαίνει. Οὐκοῦν κατὰ τοῦτο Μανιχαίοις λοιπὸν οἱ θαυμαστοὶ προσετέθησαν. Καὶ γὰρ κἀκεῖνοι μόνον ἄχρις ὀνόματος ἀγαθὸν Θεὸν ὀνομάζουσι, καὶ ἔργον αὐτοῦ οὔτε βλεπόμενον, οὔτε

[1] Matth. IV, 6 [2] Joan. XIV, 11. [3] Joan. I, 3. [4] I Cor. VIII, 6.

ἀόρατον δεικνύειν δύνανται. Τὸν δὲ ἀληθινὸν, καὶ ὄντως ὄντα Θεὸν, τὸν ποιητὴν οὐρανοῦ, καὶ γῆς, καὶ πάντων τῶν ἀοράτων ἀρνούμενοι, παντελῶς εἰσι μυθολόγοι. Τοῦτο δὲ καὶ οὗτοι πάσχειν μοι δοκοῦσιν οἱ κακόφρονες. Τοῦ γὰρ ἀληθινοῦ Λόγου καὶ μόνου ὄντος ἐν τῷ Πατρὶ τὰ ἔργα βλέπουσι, καὶ τοῦτον μὲν ἀρνοῦνται, ἄλλον δὲ ἑαυτοῖς ἀναπλάττοντες Λόγον, οὔτε ἐξ ἔργων, οὔτε ἐκ ῥημάτων ἀποδεικνύειν δύνανται. Καὶ μετ' ὀλίγα· Εἶτα τοῦ Ἀποστόλου λέγοντος, *Χριστὸς Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία*, οὗτοι τῇ κάμπῃ, καὶ ταῖς πολλαῖς δυνάμεσι τοῦτον συναριθμοῦσιν. Εἶτα τοῦ Κυρίου λέγοντος, *Οὐδεὶς ἐπιγινώσκει τὸν Πατέρα εἰ μὴ ὁ Υἱός*· καὶ πάλιν, Οὐχ ὅτι τὸν Πατέρα τις ἑώρακεν εἰ μὴ ὁ ὢν ἀπὸ τοῦ Πατρὸς, πῶς οὐκ ἀληθῶς εἰσιν οὗτοι θεομάχοι, λέγοντες μήτε ὁρᾶσθαι, μήτε ἐπιγινώσκεσθαι τὸν Πατέρα παρὰ τοῦ Υἱοῦ τελείως; Εἰ γὰρ ὁ Κύριος λέγει, *Καθὼς γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα*, οὐκ ἐκ μέρους δὲ γινώσκει ὁ Πατὴρ τὸν Υἱὸν, πῶς οὐ μαίνονται φλυαροῦντες, ὅτι ἐκ μέρους, καὶ οὐ πλήρης ὁ Υἱὸς γινώσκει τὸν Πατέρα; Εἶτα, εἰ ἀρχὴν ἔχει εἰς τὸ εἶναι ὁ Θεὸς, ἀρχὴν δὲ ἔχει καὶ τὰ πάντα εἰς τὸ γενέσθαι, τί τίνος ἐστὶ πρῶτον λεγέτωσαν. Ἀλλ' οὔτε τι εἰπεῖν ἔχουσιν, οὔτε τοῦ Λόγου τοιαύτην ἀρχὴν δεικνύειν δύνανται οἱ κακοῦργοι. Τοῦ γὰρ Πατρός ἐστιν ἀληθινὸν καὶ ἀΐδιον αὐτοῦ γέννημα. *Καὶ ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος.* Περὶ γὰρ τοῦ λέγειν αὐτοὺς μὴ εἰδέναι τὸν Υἱὸν τὴν ἑαυτοῦ οὐσίαν, περιττόν ἐστιν ἀποκρίνασθαι, εἰ μὴ μόνη μανίαν αὐτῶν καταγινώσκειν, εἰ ἑαυτὸν οὐκ οἶδεν ὁ Λόγος, ὁ τοῖς πᾶσι τὴν γνῶσιν τὴν περὶ τοῦ Πατρὸς καὶ ἑαυτοῦ χαριζόμενος, καὶ μεμφόμενος τοὺς μὴ γινώσκοντας αὐτούς.

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ Ἀρειανῶν πέμπτου λόγου.

Ἐκ Θεοῦ Θεός ἐστιν ὁ Λόγος. Καὶ Θεὸς γὰρ ἦν ὁ Λόγος. Καὶ πάλιν, *Ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς, ὁ ὢν ἐπὶ πάντων Θεὸς, εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.* Καὶ ἐπειδὴ ἐκ Θεοῦ Θεός ἐστι, καὶ τοῦ Θεοῦ Λόγος, σοφία, καὶ Υἱὸς καὶ δύναμίς ἐστιν ὁ Χριστὸς, διὰ τοῦτο εἷς Θεὸς ἐν ταῖς θείαις Γραφαῖς καταγγέλλεται. Τοῦ ἑνὸς γὰρ Θεοῦ Υἱὸς ὢν ὁ Λόγος, εἰς αὐτὸν οὗ καὶ ἔστιν ἀναφέρεται. Ὥστε δύο μὲν εἶναι, Πατέρα καὶ Υἱὸν, μονάδα δὲ θεότητος, ἀδιαίρετον καὶ ἄσχιστον. Λεχθείη δ' ἂν καὶ οὕτω· Μία ἀρχὴ θεότητος, καὶ οὐ δύο ἀρχαί. Ὅθεν κυρίως καὶ μοναρχία ἐστίν. Ἐξ αὐτῆς δὲ τῆς ἀρχῆς ἐστι φύσει Υἱὸς ὁ Λόγος, οὐχ ὡς ἀρχὴ ἑτέρα καθ' ἑαυτὸν ὑφεστὼς, οὐδὲ ἔξωθεν ταύτης γεγονὼς, ἵνα μὴ τῇ ἑτερότητι δυαρχία καὶ πολυαρχία λέγηται, ἀλλὰ τῆς μιᾶς ἀρχῆς ἴδιος Υἱὸς, ἰδία σοφία, ἴδιος Λόγος ἐξ αὐτῆς ὑπάρχων. Κατὰ γὰρ τὸν Ἰωάννην, *ἐν ταύτῃ τῇ ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν.* Θεὸς γάρ ἐστιν ἡ ἀρχή· καὶ ἐπειδὴ ἐξ αὐτῆς ἐστι, διὰ τοῦτο καὶ Θεὸς ἦν ὁ Λόγος. Ὥσπερ δὲ οὐκ ἄλλη

A enim illi Deum quemdam nomine duntaxat bonum appellant, opus autem illius, quod aut videatur, aut non videatur, nequeunt ullum demonstrare; Deum vero illum, qui reipsa verus est Deus, cœlique, et terræ, et eorum, quæ sub aspectum non cadunt, effector est, negant, atque ita fabularum conflictores esse deprehenduntur: sic et isti declarant dementiam suam, qui non illius Verbi, quod unum in Patre est opera contemplantur, et ipsum negant, aliud autem sibi ipsi confingunt Verbum, quod nullius nec operis nec Scripturæ possunt testimonio comprobare. Et paulo post: Deinde cum Apostolus dicat: *Christus Dei virtus, et Dei sapientia* [1], isti cum bruchis illum et vulgatis et communibus virtutibus numerant. Quid? cum Dominus dicat: B *Nemo novit Patrem nisi Filius* [2], et rursum: non quod Patrem quispiam viderit, nisi ille, qui est a Patre, nonne isti vere pugnant cum Deo, dicentes, Patrem a Filio nec videri, nec cognosci perfecte? Cum enim idem Dominus dicat: *Sicut cognoscit me Pater, sic ego cognosco Patrem* [3], Pater autem non ex parte cognoscat Filium, nonne insaniunt, dum ita nugantur ut asserant, Filium ex parte et non plene Patrem cognoscere? Ad hæc si Verbum exsistendi principium habet, res item omnes principium habent, quo factæ sunt, quid in his primum sit, dicant. Verum, quid respondeant homines astuti non habebunt. Patris enim est verum germen et sempiternum. *Et in principio erat Verbum et* C *Verbum erat apud Deum, et Deus erat Verbum* [4]. Nam quod dicunt, Filium ne suam quidem naturam cognoscere, id vero ne responsione quidem dignum est, et ipsorum furorem coarguit. Qui enim se non cognoscat Verbum, quod omnibus tum Patris tum sui ipsius cognitionem elargitur, quodque eis, a quibus non cognoscuntur irascitur et indignatur?

Eiusdem ex quinto libro contra Arianos.

Ex Deo Deus est Verbum. *Deus* enim *erat Verbum*. Et rursum: *Quorum patres, ex quibus et Christus, qui est omnium Deus benedictus in sæcula. Amen* [5]. Et quoniam ex Deo Deus est, et Dei Verbum sapientia, et Filius, et virtus Christus, idcirco unus Deus in divinis Scripturis enuntiatur. Unius enim Dei Filius cum sit Verbum, ad ipsum, cujus D etiam est, refertur, ut duo quidem sint Pater et Filius, sed una utriusque divinitas, quæ dividi secarique non potest. Dicemus etiam hoc modo: Divinitatis unum est principium, non autem duo principia. Quare proprie principatus est. Ex ipso autem principio natura Filius est Verbum, non ut principium alterum quod per se subsistat, aut extra ipsum sit factum, ne duplex aut multiplex imperium exsistat, sed unius principii proprius Filius, propria sapientia, proprium Verbum ex ipso consistens principio. Nam, ut Joannes scribit, *in hoc principio erat Verbum, et Verbum erat apud Deum.* Deus enim principium est, et quoniam ex ipso

[1] I Cor. i, 24. [2] Matth. xi, 27. [3] Joan. x, 15. [4] Joan. i, 1. [5] Rom. ix, 5.

Verbum est, idcirco etiam Deus est. Ac quemadmodum Filius non est alterum principium, ne duo principia sint, sic Verbum, quod ex uno est principio, non dissolvitur, neque est vox simpliciter significans, sed est per essentiam Verbum, et per essentiam sapientia, quæ vere est Filius. Nam si per essentiam non esset, Deus esset in aera loquens, et corpus, quod nihil hominibus amplius contineret. Verum quoniam non est homo, nec Verbum ejus est, ut exigit hominum imbecillitas. Sicut enim una essentia principium est, sic unum per essentiam subsistens Verbum et sapientia. Nam ut ex Deo Deus est, et ex sapiente sapientia, et ex rationem habente ratio, seu Verbum, et ex Patre Filius: sic ex eo, qui in propria exsistit persona, in persona propria exsistens, et ex essentia habens essentiam, in essentiaque constans, et ex eo, qui est, is qui est. Etenim nisi esset sapientia per essentiam, et Verbum in essentia constans, et Filius exsistens, sed simpliciter esset sapientia, et Verbum, et Filius in Patre, ipse Pater esset ex sapientia Verboque compositus. Ex quo sequerentur ea, quæ prædiximus incommoda, essetque ipsemet sui ipsius Pater, et Filius, et seipsum generans, et a se genitus, ut paulo post ostendemus. Aut nomine tantum est Verbum, et sapientia, et Filius, non autem subsistit is de quo hæc dicuntur, vel potius qui hæc ipsa est. Si non subsistit, inania hæc sunt nomina et supervacanea, nisi quis dicat Deum esse ipsam sapientiam, et ipsum Verbum. At hoc pacto ipse sui ipsius esset Pater, et Filius: Pater quidem quando sapiens; Filius autem quando sapientia. Verum hæc non sunt in Deo, ut qualitas quædam. Absit. Absurdum enim hoc est. Nam Deus hoc modo esset compositus ex essentia et qualitate. Siquidem omnis qualitas est in essentia. Et hoc dato divinam unitatem, quæ dividi non potest, compositam esse constaret, quippe quæ in essentiam et accidens secaretur.

A ὁ Υἱὸς ἀρχὴ, ἵνα μὴ δύο ἀρχαὶ, οὕτως ὁ ἐκ τῆς μιᾶς Λόγος οὐ διαλελυμένος, ἢ ἁπλῶς φωνὴ σημαντικὴ, ἀλλὰ οὐσιώδης Λόγος, καὶ οὐσιώδης σοφία, ἥτις ἐστὶν ὁ Υἱὸς ἀληθῶς. Εἰ γὰρ δὴ μὴ οὐσιώδης εἴη, ἔσται ὁ Θεὸς λαλῶν εἰς ἀέρα, καὶ σῶμα, οὐδὲν πλέον ἔχων τῶν ἀνθρώπων. Ἐπειδὴ δὲ οὐκ ἔστιν ἄνθρωπος, οὐκ ἂν εἴη οὐδὲ ὁ Λόγος αὐτοῦ κατὰ τὴν τῶν ἀνθρώπων ἀσθένειαν. Ὥσπερ γὰρ μία οὐσία ἡ ἀρχὴ, οὕτως εἷς οὐσιώδης καὶ ὑφεστὼς ὁ ταύτης Λόγος, καὶ ἡ σοφία. Ὡς γὰρ ἐκ τοῦ Θεοῦ Θεός ἐστι, καὶ ἐκ σοφοῦ σοφία, καὶ ἐκ λογικοῦ Λόγος, καὶ ἐκ Πατρὸς Υἱὸς, οὕτως ἐξ ὑποστάσεως ὑποστατὸς, καὶ ἐξ οὐσίας οὐσιώδης καὶ ἐνούσιος, καὶ ἐξ ὄντος ὤν. Ἐπεὶ εἰ μὴ οὐσιώδης σοφία, καὶ ἐνούσιος Λόγος, καὶ ὢν Υἱὸς, ἀλλὰ ἁπλῶς σοφία, καὶ Λόγος, καὶ Υἱὸς ἐν τῷ Πατρὶ, εἴη ἂν αὐτὸς B ὁ Πατὴρ σύνθετος ἐκ σοφίας καὶ Λόγου. Εἰ δὲ τοῦτο, ἀκολουθήσει τὰ προειρημένα ἄτοπα. Ἔσται δὲ καὶ αὐτὸς ἑαυτοῦ Πατὴρ καὶ Υἱὸς, αὐτὸς ἑαυτὸν γεννῶν, καὶ γεννώμενος ὑφ' ἑαυτοῦ, ὡς μετὰ μικρὸν δειχθήσεται· ἢ ὄνομα μόνον ἐστὶ Λόγος, καὶ σοφία, καὶ Υἱὸς, οὐχ ὑφέστηκε δὲ, καθ' οὗ λέγεται ταῦτα, μᾶλλον δὲ, ὅς ἐστι ταῦτα. Εἰ οὖν οὐχ ὑφέστηκεν, ἀργὰ ἂν εἴη καὶ κενὰ τὰ ὀνόματα, ἐκτὸς εἰ μὴ ἄν τις εἴποι αὐτοσοφίαν εἶναι καὶ αὐτολόγον τὸν Θεόν. Ἀλλ' εἰ τοῦτο, εἴη ἂν αὐτὸς ἑαυτοῦ Πατὴρ καὶ Υἱός· Πατὴρ μὲν, ὅτε σοφὸς, Υἱὸς δὲ, ὅτε σοφία. Ἀλλ' οὐχ ὡς ποιότης τις ταῦτα ἐν τῷ Θεῷ· ἄπαγε. Ἄτοπον τοῦτο. Εὑρεθήσεται γὰρ σύνθετος ὁ Θεὸς ἐξ οὐσίας καὶ ποιότητος. Πᾶσα γὰρ ποιότης ἐν οὐσίᾳ ἐστί. Κατὰ C τοῦτο δὲ ἡ θεία μονὰς, ἀδιαίρετος οὖσα, σύνθετος φανήσεται, τεμνομένη εἰς οὐσίαν καὶ συμβεβηκός.

Ex eodem libro.

Quemadmodum vere Pater est, sic sapientia vere est. Hac igitur ratione duo sunt, quoniam non, ut Sabellius opinatur, idem est Pater et Filius. Sed Pater est Pater, et Filius est Filius. Unum autem sunt; quia Filius per naturam est essentiæ Patris, proprium ipsius Verbum exsistens. Hoc Dominus docebat: *Ego*, inquiens, *et Pater unum sumus* [1]. Neque enim Verbum a Patre separatum est, neque Pater sine Verbo unquam fuit, aut est. Quare et Verbum est Deus, et Pater non sine Verbo.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Ὥσπερ ἀληθῶς Πατὴρ, οὕτως ἀληθῶς σοφία. Κατὰ τοῦτο οὖν δύο μὲν, ὅτι μὴ κατὰ Σαβέλλιον ὁ αὐτὸς Πατὴρ καὶ Υἱός. Ἀλλ' ὁ Πατὴρ Πατὴρ, καὶ ὁ Υἱὸς Υἱός. Ἓν δὲ, ὅτι ὁ Υἱὸς τῆς οὐσίας τοῦ Πατρός ἐστι φύσει, ἴδιος ὑπάρχων Λόγος αὐτοῦ. Τοῦτο ὁ Κύριος ἔλεγεν· *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*. Οὔτε γὰρ ὁ Λόγος κεχώρισται τοῦ Πατρὸς, οὔτε ὁ Πατὴρ D ἄλογός ποτε ἦν, ἢ ἐστι. Καὶ ὁ Λόγος οὖν Θεὸς, καὶ ὁ Πατὴρ οὐκ ἄλογος.

Ex eodem libro.

Christus est Verbum Dei. Utrum igitur sic a se exstitit ut per se subsistens agglutinatus sit Patri: an Deus ipsum fecit, et Verbum suum appellavit? Si primum detur, ut per se exstiterit, Deusque sit, duo erunt principia, neque erit vere proprius Patris Filius, quippe qui non ipsius sit Patris, sed sui ipsius; sin concedatur secundum, uti extrinsecus factus fuerit, erit res procreata. Reliquum igitur est ut illum ex Deo dicamus esse. Ut aliud sit id, quod ex aliquo est, et aliud sit id, ex quo illud

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Ὁ Χριστὸς Λόγος τοῦ Θεοῦ ἐστι. Πότερον οὖν ἀφ' ἑαυτοῦ ὑπέστη, καὶ ὑποστὰς προσκεκόλληται τῷ Πατρὶ, ἢ ὁ Θεὸς αὐτὸν πεποίηκε, καὶ ὠνόμακεν ἑαυτοῦ Λόγον; Εἰ μὲν οὖν τὸ πρῶτον, λέγω δὴ τὸ ἑαυτῷ ὑπέστη, καὶ Θεός ἐστι, δύο ἂν εἶεν ἀρχαί. Οὐκ ἔσται δὲ εἰκότως οὐδὲ τοῦ Πατρὸς ἴδιος, διὰ τὸ μὴ αὐτοῦ τοῦ Πατρὸς, ἀλλ' ἑαυτοῦ εἶναι. Εἰ δὲ ἔξωθεν πεποίηται, εἴη ἂν κτίσμα. Λείπεται δὴ ἐξ αὐτοῦ τοῦ Θεοῦ λέγειν αὐτόν. Εἰ δὲ τοῦτο, ἄλλο ἂν εἴη τὸ ἔκ τινος, καὶ ἄλλο τὸ ἐξ οὗ ἐστι. Κατὰ τοῦτο ἄρα

[1] Joan. x, 30.

δύο. Εἰ δὲ μὴ δύο εἴη, ἀλλ' ἐπὶ τοῦ αὐτοῦ τὸ Πατὴρ A καὶ τὸ Υἱὸς λέγοιτο, ἔσται τὸ αὐτὸ αἴτιον καὶ αἰτιατὸν, καὶ γεννώμενον καὶ γεννῶν, ὅπερ ἄτοπον ἐπὶ τοῦ Σαβελλίου δέδεικται. Εἰ δὲ ἐξ αὐτοῦ μέν ἐστιν, οὐκ ἄλλο δὲ, ἔσται καὶ γεννῶν καὶ μὴ γεννῶν· γεννῶν μὲν, ὅτι ἐξ αὐτοῦ προφέρει· μὴ γεννῶν δὲ, ὅτι μὴ ἄλλος ἑαυτοῦ ἐστιν. Εἰ δὲ τοῦτο, εἴη ἂν κατ' ἐπίνοιαν λεγόμενος ὁ αὐτὸς Πατὴρ καὶ Υἱός. Εἰ δὲ ἀπρεπὲς οὕτως, εἴη δ' ἂν δύο Πατὴρ καὶ Υἱός· ἓν δὲ, ὅτι ὁ Υἱὸς οὐκ ἔξωθεν, ἀλλ' ἐκ Θεοῦ γεγέννηται. Εἰ δὲ φεύγει τις τὸ λέγειν γέννημα, μόνον δὲ λέγει ὑπάρχειν τὸν Λόγον σὺν τῷ Θεῷ, φοβηθήτω ὁ τοιοῦτος μὴ φεύγων τὸ ὑπὸ τῆς Γραφῆς λεγόμενον ἐμπέσῃ εἰς ἀτοπίαν, διφυῆ τινα εἰσάγων τὸν Θεόν. Μὴ διδοὺς γὰρ ἐκ τῆς μονάδος εἶναι τὸν Λόγον, ἀλλ' ἁπλῶς κεκολλῆσθαι τῷ Πατρὶ Λόγον, δυάδα οὐσίας B εἰσάγει, μηδετέραν τῆς ἑτέρας Πατέρα τυγχάνουσαν. Τὸ αὐτὸ δὲ καὶ περὶ δυνάμεως.

est. Atque ita erunt duo. Quod si duo non sint, sed de eodem dicatur Pater et Filius, idem erit et causa et quod a causa proficiscitur, idem gignens et genitum. Quod quidem adsurdum in Sabellio deprehensum est. At si ex ipso sit, sed non aliud, erit et gignens, et non gignens; gignens quidem quoniam se profert, non gignens autem, quia nihil aliud, quam se profert. Ex quo sequetur, ut opinione tantum idem dicatur Pater et Filius. Quæ si absurda sunt, duo sint Pater et Filius. Unum autem, quia Filius non extrinsecus factus est, sed ex Deo genitus. Quod si quis genitum recusat dicere et tantummodo dicit, Verbum esse cum Deo, caveat is, ne dum fugit id quod a Scriptura dicitur, in absurdam aliquam opinionem incurrat, et natura duplici Deum introducat. Qui enim non ex unitate Verbum esse concedit, sed simpliciter Patri Verbum vult esse conjunctum et agglutinatum, duplicem inducit essentiam, quarum neutra sit alterius Pater. Idemque contingit de potestate.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ὁ Θεὸς σοφὸς, καὶ οὐκ ἄλογός ἐστιν, ἢ τοὐναντίον ἄσοφος καὶ ἄλογος. Εἰ μὲν οὖν τὸ δεύτερον, αὐτόθεν ἔχει ἀτοπίαν· εἰ δὲ τὸ πρῶτον, ἐρωτητέον, πῶς ἐστι σοφὸς, καὶ οὐκ ἄλογος; Πότερον ἔξωθεν ἐσχηκὼς τὸν Λόγον καὶ τὴν σοφίαν; ἢ ἐξ ἑαυτοῦ; Εἰ μὲν οὖν ἔξωθεν, ἔσται τις ὁ προδεδωκὼς αὐτῷ, καὶ πρὶν λαβεῖν ἄσοφος ἦν καὶ ἄλογος· εἰ δὲ ἐξ ἑαυτοῦ, δῆλον ὅτι οὐκ ἐξ οὐκ ὄντων, οὐδὲ ἦν ποτε, ὅτε οὐκ ἦν. Ἀεὶ γὰρ ἦν· ἐπεὶ καὶ οὗ ἐστιν εἰκὼν, ἀεὶ ὑπάρχει. C Ἐὰν δὲ λέγωσιν, ὅτι σοφὸς μέν ἐστι, καὶ οὐκ ἄλογος, ἴδιον δὲ ἔχει ἐν ἑαυτῷ σοφίαν, καὶ ἴδιον Λόγον, οὐ τὸν Χριστὸν δὲ, ἀλλὰ ἐν ᾧ καὶ τὸν Χριστὸν ἐποίησε, λεκτέον ὅτι εἰ ὁ Χριστὸς ἐν ἐκείνῳ τῷ Λόγῳ γέγονε, δῆλον ὅτι καὶ τὰ πάντα· καὶ αὐτὸς ἂν εἴη, περὶ οὗ λέγει ὁ Ἰωάννης, *Πάντα δι' αὐτοῦ ἐγένετο.* Καὶ ὁ Ψαλμῳδὸς δὲ, *Πάντα ἐν σοφίᾳ ἐποίησας.* Εὑρεθήσεται δὲ ὁ Χριστὸς ψευδόμενος λέγων, *Ἐγὼ ἐν τῷ Πατρὶ*, ὄντος ἑτέρου ἐν τῷ Πατρί. Καὶ τὸ, *Ὁ Λόγος σὰρξ ἐγένετο*, οὐκ ἀληθὲς κατ' αὐτούς. Εἰ γὰρ ἐν ᾧ τὰ πάντα ἐγένετο, αὐτὸς ἐγένετο σὰρξ, ὁ δὲ Χριστὸς οὐκ ἔστιν ὁ ἐν τῷ Πατρὶ Λόγος, δι' οὗ τὰ πάντα ἐγένετο, ἄρα ὁ Λόγος οὐ γέγονε σὰρξ, ἀλλ' ἴσως ὠνομάσθη Λόγος ὁ Χριστός. Καὶ εἰ τοῦτο, πρῶτον μὲν ἄλλος ἂν εἴη παρὰ τὸ ὄνομα· ἔπειτα οὐ δι' D αὐτοῦ ἐγένετο τὰ πάντα, ἀλλ' ἐν ἐκείνῳ, ἐν ᾧ καὶ ὁ Χριστός. Εἰ δὲ φήσαιεν ὡς ποιότητα εἶναι ἐν τῷ Πατρὶ τὴν σοφίαν, ἢ αὐτοσοφίαν εἶναι, ἀκολουθήσει τὰ ἄτοπα, τὰ ἐν τοῖς ἔμπροσθεν εἰρημένα. Ἔσται γὰρ σύνθετος, καὶ αὐτὸς ἑαυτοῦ Υἱὸς καὶ Πατὴρ γινόμενος. Πλὴν ἐλεγκτέον, καὶ δυσωπητέον αὐτοὺς, ὅτι ὁ ἐν τῷ Θεῷ Λόγος οὐκ ἂν εἴη κτίσμα, οὐδὲ ἐκ τοῦ μὴ ὄντος· ὄντος δὲ ἅπαξ ἐν Θεῷ Λόγου, αὐτὸς ἂν εἴη ὁ Χριστὸς, ὁ λέγων, *Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ*, ὁ διὰ τοῦτο καὶ μονογενὴς ὤν. Ἐπειδὴ οὐκ ἄλλος τις ἐξ αὐτοῦ ἐγεννήθη. Εἷς οὗτος Υἱὸς, ὅς ἐστι Λόγος, σοφία, δύναμις. Οὐ γὰρ σύνθε-

Ex eodem libro.

Deus aut sapiens est, nec ratione, seu oratione, aut Verbo caret, aut contra insipiens, et Verbo carens. Hoc si admiserint, statim per se ut absurdissimum corruet. Sin illud concesserint, interrogandi sunt, quomodo sapiens sit, ne Verbo careat. Utrum extrinsecus, an ex se Verbum et sapientiam habuerit. Nam si extrinsecus, Verbum illi ut additum et agglutinatum adhærebit, et ipse prius quam illud assequeretur, insipiens erat et sine Verbo. Sin ex se, perspicuum est, illud non ex nihilo constitisse, neque fuisse unquam, cum non esset; semper enim fuit, quoniam et is, cujus imago est, semper est. Quod si dixerint, Deum quidem esse sapientem, nec Verbo vacare, sed propriam in seipso sapientiam et proprium Verbum obtinere, quod tamen non sit Christus, cum in eo Christum etiam fecerit; respondendum erit, si Christus in illo factus est, et omnia nimirum in illo fuisse facta, et esse Verbum illud, de quo et Joannes, *Omnia*, inquit, *per ipsum facta sunt* [1]: et David, *Omnia*, inquit, *in sapientia fecisti* [2]. Quod si aliud Verbum in Patre sit, Christus mendax deprehendetur, cum dicit: *Ego in Patre, et Pater in me est* [3]. Illud item falsum esse constabit: *Verbum caro factum est* [4]. Nam, si, Verbum, in quo facta sunt omnia, factum est caro, Christus autem non est Verbum illud a Patre, per quod omnia facta sunt, Verbum utique caro factum non est, sed forte Christus nominatus est Verbum. Ex quo primum sequitur, ut aliud sit, quam nomen indicat, deinde, ut non per ipsum facta sint omnia, sed in illo, in quo et Christus. Quod si sapientiam, aut ipsam sapientiam qualitatem esse dixerint in Deo Patre, eadem, quæ supra dicta sunt, incommoda consequentur, ut et compositus sit, et ipse ipsius tum Filius, tum Pater. Attamen eos inde redargui et

[1] Joan. I, 3. [2] Psal. x, 24. [3] Joan. XIV, 10. [4] Joan. I, 14.

convinci oportet, quoniam si Verbum in Deo est, creatum non est, neque factum ex nihilo. Quod si in Deo semel conceditur esse Verbum, non alius illud erit, nisi Christus, qui, *Ego*, inquit, *in Patre, et Pater in me est*. Qui et ideo est unigenitus, quia nullus alius ex ipso genitus est, nisi unus hic Filius, qui est Verbum, et sapientia, et virtus : ex quibus tamen non componitur Deus, sed genitor esse constituitur. Quemadmodum enim Verbo res creat, sic essentiæ propriæ Filium per naturam gignit ipsum Verbum, per quod et facit, et creat, et regit omnia. Verbo enim et sapientia facta sunt universa, et ejusdem præscripto ordine conservantur.

A τος ἐκ τούτων ὁ Θεὸς, ἀλλὰ γεννητικός. Ὥσπερ γὰρ τὰ κτίσματα Λόγῳ δημιουργεῖ, οὕτω κατὰ φύσιν τῆς ἰδίας οὐσίας ἔχει γέννημα τὸν Λόγον, δι' ο καὶ δημιουργεῖ, καὶ κτίζει, καὶ οἰκονομεῖ τὰ πάντα. Τῷ γὰρ Λόγῳ καὶ τῇ σοφίᾳ τὰ πάντα γέγονε, καὶ τῇ διατάξει αὐτοῦ διαμένει τὰ σύμπαντα.

Eodem loco hæc sequuntur.

Ex Deuteronomio : *Vos autem, qui adhæretis Domino Deo vestro, vivitis universi hodierna die* [1]. Ex his verbis discrimen Filii et rerum creatarum licet perspicere, intelligereque Filium Dei creatum minime esse. Enimvero Filius dicit, *Ego et Pater unum sumus* [2], et, *Ego in Patre, et Pater in me est* : res autem factæ cum proficiunt, Domino adhærent. Nempe Verbum, tanquam proprium, est in Patre : at res factæ, utpote quæ extrinsecus exsistunt, adhærent : nimirum natura alienæ sunt, voluntate autem adhærent. Etenim filius qui natura est, unum est cum genitore : qui vero extrinsecus adoptatur, generi adjungitur sive adhæret. Hinc statim subdit : *Quæ natio magna, cui Deus appropinquat* [4]? Et alibi : *Deus appropinquans ego* [5]. Nam rebus factis appropinquat, quippe cum illæ sint ipsi externæ : at Filio, utpote proprio, non appropinquat, sed in eo est : nec adhæret Filius, sed una cum Patre est. Unde rursus Moyses in eodem Deuteronomio sic loquitur : *Vocem ejus audietis, et ipsi vos adjungemini* [6]. Quod autem adjungitur, extrinsecus adjungitur.

Τῆς αὐτῆς ἀκολουθίας.

Ἐκ τοῦ Δευτερονομίου. *Ὑμεῖς δὲ οἱ προσκείμενοι Κυρίῳ τῷ Θεῷ ὑμῶν ζῆτε πάντες ἐν τῇ σήμερον.* Ἐκ τούτου δυνατὸν εἰδέναι τὴν διαφορὰν, καὶ
B γνῶναι ὅτι οὐκ ἔστι κτίσμα ὁ Υἱὸς τοῦ Θεοῦ. Ὁ μὲν γὰρ Υἱὸς λέγει, *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί*· τὰ δὲ γενητὰ, ὅτι προκόπτει, πρόσκειται τῷ Κυρίῳ. Ὁ μὲν γὰρ Λόγος, ὡς ἴδιος ἐν τῷ Πατρί ἐστι· τὰ δὲ γενητὰ ἔξωθεν ὄντα πρόσκειται, ὡς τῇ μὲν φύσει ἀλλότρια, τῇ δὲ προαιρέσει προσκείμενα. Καὶ γὰρ καὶ υἱὸς μὲν ὁ φύσει, ἕν ἐστι μετὰ τοῦ γεννῶντος· ὁ δὲ ἔξωθεν υἱοποιούμενος προσκείσεται τῷ γένει. Διὰ τοῦτο καὶ εὐθὺς ἐπιφέρει, ὅτι *Ποῖον ἔθνος μέγα, ᾧ ἐστιν αὐτῷ Θεὸς ἐγγίζων*; καὶ ἀλλαχοῦ· *Θεὸς ἐγγίζων ἐγώ*· τοῖς γὰρ γενητοῖς ἐγγίζει, ὡς ξένοις αὐτοῦ οὖσι· τῷ δὲ Υἱῷ, ὡς ἰδίῳ, οὐκ
C ἐγγίζει, ἀλλ' ἐν αὐτῷ ἐστι· καὶ ὁ Υἱὸς οὐ πρόσκειται, ἀλλὰ σύνεστι τῷ Πατρί. Ὅθεν καὶ πάλιν λέγει Μωσῆς ἐν αὐτῷ τῷ Δευτερονομίῳ· *Τῆς φωνῆς αὐτοῦ ἀκούσεσθε, καὶ αὐτῷ προστεθήσεσθε.* Τὸ δὲ ποοστιθέμενον ἔξωθεν προστίθεται.

Jam quod pertinet ad levem et humanam Arianorum opinationem, qua nempe Dominum egenum fuisse ex his ipsius verbis suspicantur, *Data est mihi* [7], *accepi* [8], ut et ex his Pauli locis, *Idcirco exaltavit illum* [9], et, *Sedit a dextris* [10], aliisque similibus; respondendum est Dominum nostrum, qui idem Verbum et Filius Dei est, corpus gestasse, et Filium quoque hominis factum fuisse, ut medius Deum inter et homines effectus, quæ Dei sunt, nobis subministraret : quæ nostri, Deo offerret. Quocirca cum esurire, flere, defatigari et clamare Eloi, Eloi, dicitur, quæ quidem humanæ nostræ sunt affectiones et miseriæ, eas a nobis accipit ac Patri offert, et pro nobis intercedit, ut in ipso penitus deleantur. His autem verbis, *Data est mihi potestas*, et, *accepi*, et, *Idcirco exaltavit eum Deus* [11], munera in nos a Deo per illum collata significantur. Nec enim indigens erat Verbum vel unquam factum est : nec rursus homines idonei erant qui ista sibi compararent : sed per Verbum nobis donata sunt; unde illa tanquam ipsi donata, nobis impertiuntur. Siquidem eam ob rem homo factus est, ut illa velut sibi data, in nos transferrentur. Nec enim purus homo dignus unquam fuisset

Πρὸς δὲ τὴν ἀσθενῆ καὶ ἀνθρωπίνην ἔννοιαν τῶν Ἀρειανῶν, διὰ τὸ ὑπονοεῖν τὸν Κύριον ἐνδεᾶ, ὅταν λέγῃ, *Ἐδόθη μοι*, καὶ, *ἔλαβον*· καὶ ἐὰν λέγῃ ὁ Παῦλος, *Διὰ τοῦτο ὑπερύψωσεν αὐτὸν*, καὶ, *Ἐκάθισεν ἐν δεξιᾷ*, καὶ τὰ τοιαῦτα, λεκτέον, ὅτι ὁ Κύριος ἡμῶν, Λόγος ὢν Υἱὸς τοῦ Θεοῦ, ἐφόρεσε σῶμα, καὶ γέγονε καὶ Υἱὸς ἀνθρώπου, ἵνα, μεσίτης γενόμενος Θεοῦ καὶ ἀνθρώπων, τὰ μὲν Θεοῦ ἡμῖν, τὰ δὲ ἡμῶν τῷ Θεῷ διακονῇ. Ὅταν οὖν λέγηται πεινᾷν,
D καὶ δακρύειν, καὶ κοπιᾷν, καὶ Ἐλωΐ, Ἐλωΐ, ἀνθρώπινα ὄντα, καὶ ἡμέτερα πάθη, δέχεται παρ' ἡμῶν, καὶ τῷ Πατρὶ ἀναφέρει, πρεσβεύων ὑπὲρ ἡμῶν, ἵνα ἐν αὐτῷ ἐξαφανισθῇ· ὅταν δὲ, ὅτι *Ἐδόθη μοι ἐξουσία*, καὶ, *ἔλαβον*, καὶ, *Διὰ τοῦτο ὑπερύψωσεν αὐτὸν ὁ Θεὸς*, τὰ παρὰ τοῦ Θεοῦ εἰς ἡμᾶς ἐστι χαρίσματα δι' αὐτοῦ διδόμενα. Οὐ γὰρ ὁ Λόγος ἐνδεὴς ἦν ἢ γέγονε πώποτε· οὐδὲ πάλιν οἱ ἄνθρωποι ἱκανοὶ ἦσαν ἑαυτοῖς διακονῆσαι ταῦτα· διὰ δὲ τοῦ Λόγου δίδοται ἡμῖν· διὰ τοῦτο, ὡς αὐτῷ διδόμενα, ἡμῖν μεταδίδοται· διὰ τοῦτο γὰρ καὶ ἐνηνθρώπησεν, ἵνα, ὡς αὐτῷ διδόμενα, εἰς ἡμᾶς διαβῇ. Ἄνθρωπος γὰρ ψιλὸς οὐκ ἂν ἠξιώθη τούτων· Λόγος δὲ πάλιν μόνος, οὐκ ἂν ἐδεήθη τούτων. Συνήφθη οὖν ἡμῖν ὁ Λόγος, καὶ τότε ἐξουσίαν ἡμῖν μετέδωκε. καὶ

[1] Deut. IV, 4. [2] Joan. X, 30. [3] ibid. 38. [4] Deut. IV, 7. [5] Jerem. XXIII, 23. [6] Deut. XIII, 4. [7] Matth. XXVIII, 18. [8] Joan. X, 18. [9] Philipp. II, 9. [10] Psal. CIX, 1; Coloss. III, 1. [11] Philipp. II, 9.

ὑπερύψωσεν. Ἐν ἀνθρώπῳ γὰρ ὢν ὁ Λόγος ὑπερύψωσε τὸν ἄνθρωπον· καὶ ἐν ἀνθρώπῳ ὄντος τοῦ Λόγου, ἔλαβεν ὁ ἄνθρωπος. Ἐπεὶ οὖν τοῦ Λόγου ὄντος ἐν σαρκὶ, ὑψώθη ὁ ἄνθρωπος, καὶ ἔλαβεν ἐξουσίαν· διὰ τοῦτο εἰς τὸν Λόγον ἀναφέρεται ταῦτα, ἐπειδὴ δι' αὐτὸν ἐδόθη· διὰ γὰρ τὸν ἐν ἀνθρώπῳ Λόγον ἐδόθη ταῦτα τὰ χαρίσματα. Καὶ ὥσπερ ὁ Λόγος σὰρξ ἐγένετο, οὕτω καὶ ὁ ἄνθρωπος τὰ διὰ τοῦ Λόγου εἴληφε. Πάντα γὰρ ὅσα ὁ ἄνθρωπος εἴληφεν, ὁ Λόγος λέγεται εἰληφέναι· ἵνα δειχθῇ, ὅτι οὐκ ἄξιος ὢν ὁ ἄνθρωπος λαβεῖν, ὅσον ἧκεν εἰς τὴν αὐτοῦ φύσιν, ὅμως διὰ τὸν γενόμενον σάρκα Λόγον εἴληφεν. Ὅθεν ἐάν τι λέγηται δίδοσθαι τῷ Κυρίῳ, ἤ τι τοιοῦτον, νοεῖν δεῖ μὴ αὐτῷ ὡς χρῄζοντι δίδοσθαι, ἀλλὰ τῷ ἀνθρώπῳ διὰ τοῦ Λόγου. Καὶ γὰρ πᾶς πρεσβεύων ὑπὲρ ἄλλου, αὐτὸς τὴν χάριν λαμβάνει, οὐ χρῄζων, ἀλλὰ διὰ τὸν ὑπὲρ οὗ πρεσβεύει.

A qui hæc acciperet; nec item purum Verbum his posset indigere: conjunctum igitur nobis est Verbum, tuncque nos potestatis participes reddidit et exaltavit. Verbum siquidem in homine exsistens, hominem exaltavit: et Verbo item in homine exsistente accepit homo. Quia ergo Verbo in carne exsistente, exaltatus homo est, potestatemque accepit, idcirco ista ad Verbum referuntur, quandoquidem propter ipsum data sunt. Hæc enim dona propter Verbum in homine exsistens concessa sunt. Unde quemadmodum Verbum caro factum est: ita et homo quæ accepit, per Verbum accepit. Omnia enim quæ homo accepit, Verbum accepisse dicitur: ut videlicet ostenderetur, quoniam homo pro suæ naturæ conditione dignus non esset, qui illa acciperet, per Verbum B carnem factum, ea illum accepisse. Quocirca si quid Domino datum esse, vel aliquid hujuscemodi dicitur, intelligendum est non ei tanquam indigenti fuisse datum, sed homini per ipsum Verbum. Etenim quisquis pro alio intercedit, gratiam ipse accipit, non quia indigeat, sed propter illum cujus causa intercedit.

Ὥσπερ γὰρ τὰς ἀσθενείας ἡμῶν λαμβάνει οὐκ ἀσθενῶν, καὶ πεινᾷ οὐ πεινῶν, ἀλλὰ τὰ ἡμῶν ἀναπέμπει εἰς τὸ ἐξαλειφθῆναι· οὕτω τὰς ἀντὶ τῶν ἀσθενειῶν παρὰ Θεοῦ δωρεὰς πάλιν αὐτὸς δέχεται, ἵνα συναφθεὶς ἄνθρωπος μεταλαβεῖν δυνηθῇ. Λέγει γοῦν ὁ Κύριος· *Πάντα ὅσα δέδωκάς μοι, δέδωκα αὐτοῖς*· καὶ πάλιν· *Ὑπὲρ αὐτῶν ἐρωτῶ*. Ἠρώτα γὰρ ὑπὲρ ἡμῶν τὰ ἡμῶν ἀναδεχόμενος, καὶ ἐδίδου ἃ ἐλάμβανεν. Ἐπειδὴ οὖν, συναφθέντος τοῦ Λόγου τῷ ἀνθρώπῳ, εἰς τὸν Λόγον ἀποβλέπων ἐχαρίζετο ὁ Πατὴρ τῷ ἀνθρώπῳ τὸ ὑψωθῆναι, τὸ ἔχειν C πᾶσαν ἐξουσίαν, καὶ ὅσα τοιαῦτα· διὰ τοῦτο αὐτῷ τῷ Λόγῳ πάντα ἀναφέρεται, καὶ ὡς αὐτῷ διδόμενά ἐστιν, ἃ δι' αὐτοῦ ἡμεῖς λαμβάνομεν. Ὡς γὰρ δι' ἡμᾶς ἐνηνθρώπησεν αὐτὸς, οὕτως ἡμεῖς δι' αὐτὸν ὑψούμεθα. Οὐδὲν οὖν ἄτοπον, εἰ, ὥσπερ δι' ἡμᾶς ἐταπείνωσεν ἑαυτὸν, καὶ δι' ἡμᾶς λέγεται ὑπερυψῶσθαι. *Ἐχαρίσατο* οὖν *αὐτῷ*, ἀντὶ τοῦ, ἡμῖν δι' αὐτὸν, καὶ *ὑπερύψωσεν*, ἀντὶ τοῦ, ἡμᾶς ἐν αὐτῷ. Καὶ αὐτὸς δὲ ὁ Λόγος, ἡμῶν ὑψουμένων, καὶ λαμβανόντων, καὶ βοηθουμένων, ὡς αὐτὸς ὑψούμενος, καὶ λαμβάνων, καὶ βοηθούμενος, εὐχαριστεῖ τῷ Πατρὶ, τὰ ἡμέτερα εἰς ἑαυτὸν ἀναφέρων καὶ λέγων· *Πάντα ὅσα δέδωκάς μοι, δέδωκα αὐτοῖς*.

Nimirum quemadmodum nostras infirmitates ipse non infirmus suscepit, et esurivit quamvis non esuriens, ut nostra Patri offerens deleret: ita pro infirmitatibus, dona a Deo ipse accipit, ut homo ipsi conjunctus horum particeps esse queat. Hinc ipse ait: *Omnia quæcunque dedisti mihi, dedi eis* [1]: et iterum, *Pro eis rogo* [2]. Pro nobis nempe rogabat, his quæ nostra sunt susceptis, et dabat quæ ipse accipiebat. Quoniam igitur Verbo conjuncto cum homine, Pater propter ipsum Verbum homini dabat ut exaltaretur, omnemque potestatem haberet, et alia hujusmodi: idcirco omnia ascribuntur ipsi Verbo, cui et veluti dantur quæcunque nos per ipsum accipimus. Ut enim propter nos homo factus est: ita nos propter eum exaltamur. Nihil igitur absurdi est si, quemadmodum seipsum propter nos humiliavit, ita et propter nos exaltari dicatur. Itaque *donavit illi*, id est, nobis propter ipsum, et *exaltavit*, id est, nos in ipso. Verbum porro, cum nos exaltamur, accipimus, et adjuvamur, quasi ipsum exaltaretur, acciperet et adjuvaretur, gratias agit Patri, nostraque in seipsum transfert, et ait: *Omnia quæcunque dedisti mihi, dedi eis* [3].

Ἐκ τοῦ αὐτοῦ. Δείκνυσι τοὺς Ἀρειομανίτας καὶ πρὸς ἑαυτοὺς διαφερομένους· τὸ γὰρ ψεῦδος οὐδὲ πρὸς ἑαυτὸ σύμφωνόν ἐστι.

D *Ex eodem libro. Ostendit, homines Arii morbo et insania laborantes inter se dissentire. Quæ enim falsa sunt, ne sibi quidem ipsa congruere.*

Οἱ περὶ Εὐσέβιον οἱ Ἀρειομανῖται, ἀρχὴν τοῦ εἶναι τῷ Υἱῷ διδόντες, προσποιοῦνται μὴ βούλεσθαι ἀρχὴν αὐτὸν ἔχειν βασιλείας. Ἔστι δὲ γελοῖον. Ὁ γὰρ ἀρχὴν τοῦ εἶναι διδοὺς τῷ Υἱῷ, πρόδηλον, ὅτι καὶ τοῦ βασιλεύειν ἀρχὴν δίδωσιν αὐτῷ· ὥστε ὁμολογοῦντες ὃ ἀρνοῦνται, τυφλώττουσι. Καὶ πάλιν οἱ λέγοντες μόνον ὄνομα εἶναι Υἱοῦ, ἀνούσιον δὲ καὶ ἀνυπόστατον εἶναι τὸν Υἱὸν τοῦ Θεοῦ, τουτέστι τὸν Λόγον τοῦ Πατρὸς, προσποιοῦνται ἀγανακτεῖν κατὰ τῶν λεγόντων, Ἦν ποτε, ὅτε οὐκ ἦν.

Ariani, Eusebii gregales, cum Filio principium exsistendi tribuunt, simulant se nolle eum regni principium habere. Atqui istud ridiculum fuerit. Siquidem qui Filio dat exsistendi principium, manifeste principium quoque regnandi illi dat; ac proinde fatendo quod negant, se cæcos ipsi esse produnt. Qui item aiunt merum nomen Filii esse, Filium autem Dei, id est, Verbum Patris, essentia et substantia vacuum esse, fingunt se adversus illos indignari qui dicunt, Fuit aliquando cum non

[1] Joan. XVII, 7. [2] ibid. 9. [3] ibid. 7.

esset. Atqui id etiam ridiculum est. Nam qui illum ne esse quidem volunt, illis succensent, qui eum saltem in tempore esse concedunt. Itaque hi etiam confitentur quod negant, cum alios reprehendunt. Præterea, Eusebiani qui Filium confitentur, eum natura Verbum esse negant, solaque cogitatione Verbi nomen Filio volunt concedi : alii vero qui Verbum confitentur, negant ipsum esse Filium, solaque cogitatione nomen Filii Verbo tribui volunt : vano utrique conatu.

Ἔστι δὲ καὶ τοῦτο γελοῖον. Οἱ γὰρ ὅλως τὸ εἶναι αὐτῷ μὴ διδόντες, ἀγανακτοῦσι κατὰ τῶν κἂν χρόνῳ διδόντων. Καὶ οὗτοι οὖν ὅπερ ἀρνοῦνται, διὰ τοῦ ἐπιτιμᾷν τοῖς ἄλλοις, ὁμολογοῦσι. Πάλιν τε οἱ περὶ Εὐσέβιον, Υἱὸν ὁμολογοῦντες, ἀρνοῦνται αὐτὸν εἶναι φύσει Λόγον, καὶ κατ' ἐπίνοιαν Λόγον λέγεσθαι τὸν Υἱὸν βούλονται· οἱ δὲ ἕτεροι, Λόγον ὁμολογοῦντες, ἀρνοῦνται αὐτὸν εἶναι Υἱόν, καὶ κατ' ἐπίνοιαν Υἱὸν λέγεσθαι τὸν Λόγον βούλονται, ἐξ ἴσου κενοβατοῦντες.

Ego et Pater unum sumus [1]. Vel duo vos unum esse dicitis, vel unum duplici nomine ornatum esse, vel unum in duo esse divisum. Si unum in duo divisum est, necesse est corpus esse id quod divisum est, neutrumque esse perfectum, quippe cum utrumque pars sit, non vero totum. Sed si unum est duplici ornatum nomine : hæc Sabellii sententia est, qui Patrem et Filium eumdem esse docet, et utrumque tollit, Patrem quidem, cum Filius est ; Filium vero, cum est Pater. Quod si duo unum sint, necesse est illos duos quidem esse, unum vero secundum divinitatem, et quatenus Filius Patri est consubstantialis, et ex ipso Patre Verbum est : ita ut duo quidem sint, quia Pater est et Filius, quod est Verbum ; unum autem, quia Deus unus est. Nam nisi ita sit, dicendum certe illi erat : Ego sum Pater, vel Ego et Pater sum. Nunc vero ista voce, *Ego*, Filium significat ; genitorem autem, cum subdit, *et Pater* ; denique dictione, *unum*, unam divinitatem suamque designat consubstantialitatem.

Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν. Τὰ δύο ἓν εἶναί φατε, ἢ τὸ ἓν διώνυμον, ἢ πάλιν τὸ ἓν εἰς δύο διῃρῆσθαι. Εἰ μὲν οὖν τὸ ἓν εἰς δύο διῄρηται, ἀνάγκη σῶμα εἶναι τὸ διαιρεθέν, καὶ μηδέτερον τέλειον, μέρος γὰρ ἑκάτερον καὶ οὐχ ὅλον· εἰ δὲ τὸ ἓν διώνυμον, Σαβελλίου τὸ ἐπιτήδευμα, τὸν αὐτὸν Υἱὸν καὶ Πατέρα λέγοντος, καὶ ἑκάτερον ἀναιροῦντος, ὅτε μὲν Υἱός, τὸν Πατέρα, ὅτε δὲ Πατήρ, τὸν Υἱόν. Εἰ δὲ τὰ δύο ἕν, ἀνάγκη δύο μὲν εἶναι, ἓν δὲ κατὰ τὴν θεότητα, καὶ κατὰ τὸ ὁμοούσιον εἶναι τὸν Υἱὸν τῷ Πατρί, καὶ ἐξ αὐτοῦ τοῦ Πατρὸς εἶναι τὸν Λόγον· ὥστε δύο μὲν εἶναι, ὅτι Πατήρ ἐστι καὶ Υἱός, ὅ ἐστι Λόγος, ἓν δέ, ὅτι εἷς Θεός. Εἰ γὰρ μὴ οὕτως ἐστίν, ἔδει εἰπεῖν, Ἐγώ εἰμι ὁ Πατήρ, ἤ, Ἐγὼ καὶ ὁ Πατήρ εἰμι. Νῦν δὲ ἐν τῷ, Ἐγώ, τὸν Υἱὸν σημαίνει· ἐν δὲ τῷ, *καὶ ὁ Πατήρ*, τὸν γεννήσαντα· ἐν δὲ τῷ, *ἕν*, τὴν μίαν θεότητα καὶ τὸ ὁμοούσιον αὐτοῦ.

Ex eodem libro. Patrem et Filium non esse duos Deos, licet sint duæ personæ.

Cæterum si quis duos esse Patrem et Filium audiens, nos calumnietur quasi qui duos deos inducamus (nonnulli enim id sibi fingunt, statimque nos his verbis irrident, Vos duos deos asseritis), hujusmodi hominibus sic respondendum est : Si is, qui Patrem et Filium agnoscit, duos deos dicit : necesse est igitur ut Filio repudiato, a Sabellio stet qui unum esse credit. Namque si is, qui duos dicit, gentilis est : igitur ille, qui unum dicit, Sabellianus est. Verum non ita se res habet ; absit ! sed quemadmodum is, qui Patrem et Filium duos esse agnoscit, unum Deum esse confitetur : ita ille qui Deum unum credit, Patrem et Filium duos credat esse, sed unum divinitate, et quatenus ex Patre natum Verbum, ab ipso Patre nec separari nec dividi nec sejungi potest. Humano, si placet, utamur exemplo. Ignis et splendor ex eo ortus, duo quidem sunt quatenus exsistunt et cernuntur : unum vero sunt, quatenus splendor ab igne est, nec ab eo dividi potest.

Ἐκ τοῦ αὐτοῦ λόγου. Ὅτι οὐ δύο Θεοὶ ὁ Πατὴρ καὶ ὁ Υἱός, εἰ καὶ δύο κατὰ τὰς ὑποστάσεις.

Ἐὰν δέ, ὅτι δύο ἐστὶν ὁ Πατὴρ καὶ ὁ Υἱός, ἀκούων τις διαβάλλοι, ὡς δύο θεῶν καταγγελλομένων (τοιαῦτα γάρ τινες ἑαυτοῖς ἀναπλάττονται, καὶ εὐθέως γελῶσιν, ὅτι Δύο θεοὺς λέγετε)· λεκτέον πρὸς τοὺς τοιούτους· Εἰ ὁ Πατέρα καὶ Υἱὸν γινώσκων δύο θεοὺς λέγει, ὥρα καὶ τὸν λέγοντα ἕνα, ἀναιρεῖν τὸν Υἱόν, καὶ Σαβελλίζειν. Εἰ γὰρ ὁ λέγων δύο, Ἑλληνίζει, οὐκοῦν ὁ λέγων ἓν Σαβελλίζει. Τοῦτο δὲ οὐκ ἔστι· μὴ γένοιτο! ἀλλ' ὥσπερ ὁ λέγων Πατέρα καὶ Υἱὸν δύο ἕνα Θεὸν λέγει, οὕτως ὁ λέγων ἕνα Θεὸν δύο φρονείτω Πατέρα καὶ Υἱόν, ἓν ὄντας τῇ θεότητι, καὶ τῷ ἐξ αὐτοῦ ἀμέριστον καὶ ἀδιαίρετον καὶ ἀχώριστον εἶναι τὸν Λόγον ἀπὸ τοῦ Πατρός. Ἔστω δὲ παράδειγμα ἀνθρώπινον, τὸ πῦρ καὶ τὸ ἐξ αὐτοῦ ἀπαύγασμα, δύο μὲν τῷ εἶναι καὶ ὁρᾶσθαι, ἓν δὲ τῷ ἐξ αὐτοῦ καὶ ἀδιαίρετον εἶναι τὸ ἀπαύγασμα αὐτοῦ.

Quæ objiciant Ariani. Ex primo ejusdem in eos libro.

Si nunquam, inquiunt, fuit, cum non esset Filius, sed æternus est, et simul cum Patre est, non Filium sed fratrem Patris constituitis. Stulti homines et litigiosi, si æternum dantaxat, non autem Filium

Ἀντίθεσις Ἀρειανῶν ἐκ τοῦ πρώτου κατ' αὐτῶν λόγου.

Εἰ μὴ ἦν ποτε, ὅτε οὐκ ἦν, ἀλλ' ἀΐδιός ἐστιν ὁ Υἱός, καὶ συνυπάρχει τῷ Πατρί, οὐκ ἔτι Υἱόν, ἀλλ' ἀδελφὸν εἶναι τοῦ Πατρὸς λέγετε αὐτόν. Ἀνόητοι καὶ φιλόνεικοι, εἰ μὲν ἀϊδίως συνεῖναι μόνον αὐτὸν ἐλέ-

[1] Joan. x, 30.

γομεν, καὶ μὴ Υἱὸν, πιθανή τις ἦν αὐτῶν ἡ πρὸς τοῦτον προσποίητος εὐλάβεια· εἰ δὲ ἀΐδιον λέγοντες ὁμολογοῦμεν αὐτὸν Υἱὸν ἐκ Πατρὸς, πῶς ὁ γεννηθεὶς ἀδελφὸς τοῦ γεννήσαντος δύναται νομίζεσθαι; Καὶ εἰ εἰς Πατέρα, καὶ Υἱόν ἐστιν ἡμῶν ἡ πίστις, ποία ἀδελφότης ἐν τούτοις ἐστίν; Ἢ πῶς δύναται ὁ Λόγος ἀδελφὸς λέγεσθαι τούτου, οὗ καί ἐστι Λόγος; Οὐ γὰρ ἔκ τινος ἀρχῆς προϋπαρχούσης ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἐγεννήθησαν, ἵνα ἀδελφοὶ νομισθῶσιν, ἀλλ' ὁ Πατὴρ ἀρχὴ τοῦ Υἱοῦ καὶ γεννητής ἐστι. Καὶ ὁ Πατὴρ Πατήρ ἐστι, καὶ οὐχ Υἱὸς γέγονε. Καὶ ὁ Υἱὸς δὲ Υἱός ἐστι, καὶ οὐκ ἀδελφός.

Ἐκ τοῦ αὐτοῦ λόγου ἀντίθεσις Ἀρειανῶν.

Εἰ γέννημά ἐστιν ὁ Υἱὸς τοῦ Πατρὸς, καὶ εἰκὼν, καὶ ὅμοιός ἐστι κατὰ πάντα τοῦ Πατρὸς, ὀφείλει πάντως, ὥσπερ γεγέννηται, γεννᾷν καὶ ὁ Υἱὸς, καὶ γίνεσθαι καὶ αὐτὸς Πατὴρ Υἱοῦ, πάλιν τε ὁ ἐξ αὐτοῦ γεννώμενος γεννᾷν καὶ αὐτὸς, καὶ καθεξῆς εἰς ἄπειρον. Τοῦτο γὰρ ὅμοιον δείκνυσι τὸν γεννηθέντα τοῦ γεννήσαντος. Εἰ μὲν ὡς ἄνθρωπός ἐστιν ὁ Υἱὸς, γινέσθω καὶ γενέτης, ἵνα καὶ ὁ Υἱὸς ἕτερος γένηται Πατὴρ, καὶ οὕτω δὲ καθεξῆς ἐξ ἀλλήλων γινέσθωσαν, ἵνα καὶ εἰς πλῆθος θεῶν ἡ διαδοχὴ κατ' αὐτοὺς αὐξάνῃ. Εἰ δὲ οὐκ ἔστιν ὡς ἄνθρωπος ὁ Θεὸς, οὐκ ἔστι γὰρ, οὐ δεῖ τὰ ἀνθρώπων ἐπ' αὐτοῦ λογίζεσθαι. Τὰ μὲν γὰρ ἄλλα ζῶα καὶ οἱ ἄνθρωποι ἐκ δημιουργικῆς ἀρχῆς κατὰ διαδοχὴν ἐξ ἀλλήλων γεννῶνται. Καὶ ὁ γεννώμενος ἐκ γεννηθέντος πατρὸς γεννηθεὶς, εἰκότως καὶ αὐτὸς ἑτέρου γίνεται πατὴρ, ἔχων ἐκ πατρὸς ἐν ἑαυτῷ τοῦτο, ἐξ οὗ καὶ αὐτὸς γέγονε. Διὸ οὐδὲ ἔστιν ἐν τοῖς τοιούτοις κυρίως πατὴρ, καὶ κυρίως υἱός. Ὁ γὰρ αὐτὸς υἱὸς γίνεται καὶ πατὴρ, υἱὸς μὲν τοῦ γεννήσαντος, πατὴρ δὲ τοῦ γεννωμένου ἐξ αὐτοῦ. Ἐπὶ δὲ τῆς θεότητος οὐκ ἔστιν οὕτως. Οὐ γὰρ ὡς ἄνθρωπος ὁ Θεός. Οὔτε γὰρ ὁ Πατὴρ ἐκ Πατρός ἐστι· διὸ οὐδὲ γεννᾷ τὸν γεννησόμενον Πατέρα· οὔτε ὁ Υἱὸς ἐξ ἀποῤῥοίας ἐστὶ τοῦ Πατρὸς, οὔτε ἐκ γεννηθέντος Πατρὸς γεγέννηται. Διὸ οὐδὲ γεγέννηται εἰς τὸ γεννᾷν. Ὅθεν ἐπὶ τῆς θεότητος μόνης ὁ Πατὴρ κυρίως ἐστὶ Πατὴρ, καὶ ὁ Υἱὸς κυρίως Υἱός ἐστι. Καὶ ἐπὶ τούτων καὶ μόνων ἕστηκε τὸ τὸν Πατέρα ἀεὶ Πατέρα εἶναι, καὶ τὸν Υἱὸν ἀεὶ Υἱὸν εἶναι. Οὐκοῦν ὁ λέγων, Διατί μὴ γεννητικὸς Υἱοῦ ὁ Υἱός; ζητείτω, διατί μὴ Πατέρα ἔσχεν ὁ Πατήρ. Ἀλλὰ ταῦτά γε ἀμφότερα μεστὰ πάσης δυσσεβείας. Ὥσπερ γὰρ ὁ Πατὴρ ἀεὶ Πατὴρ καὶ οὐκ ἄν ποτε γένηται Υἱὸς, οὕτως ὁ Υἱὸς ἀεὶ Υἱός ἐστι, καὶ οὐκ ἄν ποτε γένοιτο Πατήρ. Καὶ ἐν τούτῳ γὰρ μᾶλλον χαρακτὴρ ὢν τοῦ Πατρὸς καὶ εἰκὼν δείκνυται, μένων ὅ ἐστι, καὶ οὐκ ἀλλασσόμενος, ἀλλ' ἔχων ἐκ τοῦ Πατρὸς τὴν ταυτότητα. Εἰ μὲν οὖν ὁ Πατὴρ μεταβάλλεται, μεταβαλλέσθω καὶ ἡ εἰκών· εἰ δὲ ἄτρεπτός ἐστιν ὁ Πατὴρ, καὶ ὡς ἔστιν οὕτω διαμένει, ἐξ ἀνάγκης καὶ ἡ εἰκὼν, ὡς ἔστιν οὕτω διαμένει, καὶ οὐ τραπήσεται.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ οὐκ ἀϊδίως σύνεστιν ὁ Λόγος τῷ Πατρὶ, οὐκ

A esse diceremus, aliquid fortasse non inconsiderate videri possent objecisse, nunc autem, cum æternum dicentes, fateamur ipsum esse a Patre Filium, quomodo genitus gignentis frater potest existimari? Et si nos in Patrem, et Filium credimus, quid in his fraternum est? aut quomodo potest Verbum dici frater illius, cujus est Verbum? Neque enim ab aliquo alio principio Pater et Filius geniti sunt, ut fratres putentur esse, sed Pater Filii principium et genitor est. Et Pater est Pater, non autem Filius. Et Filius est Filius, non autem frater.

Quid objiciant Ariani. Ex eodem libro.

Si Filius Patris est germen, et in omnibus similis Patri, debet, inquiunt, omnino sicut genitus

B est, sic etiam gignere, et fieri ipse quoque Pater Filii, et hic rursus ab ipso genitus, etiam ipse gignere, atque ita deinceps in infinitum. Sic enim constaret, eum, qui genitus est, illius, qui genuit, esse similem. Respondemus, si Filius est eo modo, quo homines filii sunt, fiat etiam genitor, ut Filius sit alter Pater, atque ita deinceps alius ex alio gignatur, ut eorum successio augeatur, et deorum constituat multitudinem. Quod si non ea ratione, qua homines, Filius est, non sunt ei, quæ hominum sunt, attribuenda. Nam reliqua quidem animalia, atque etiam homines jam inde ab ipso procreationis initio mutuo quodam successionis ordine generantur, et generant, ut qui generat, cum

C ex generato patre generatus sit, merito ipse quoque fiat alterius pater, cum a suo patre in se id ipsum habeat, ex quo et ipse fuit generatus. Ex quo fit, ut nullus inter eos proprie sit pater, aut proprie filius, cum idem et pater exsistat, et filius. Pater quidem illius, quem generavit, est; filius autem ejus a quo ipse generatus est. In ipsa vero divinitate non ita est. Neque enim Deus est, ut homines sunt. Etenim Pater non est ab alio Patre. Quare nec gignit geniturum, futurumque Patrem. Nec Filius ex Patris est semine, neque ex genito Patre genitus est. Quamobrem nec ad gignendum est genitus. Proinde in sola divinitate Pater proprie Pater est, et Filius proprie Filius est. Et in his solis illud firmum et constans est, ut Pater

D semper sit Pater, et Filius semper Filius. Quocirca qui dicit, Cur Filius non est ejusmodi, ut filium generet? idem quærat, Cur Pater non habuit Patrem? Sed utraque quæstio est impietatis plenissima. Quemadmodum enim Pater ita semper est Pater, ut nunquam Filius fieri queat, ita et Filius ita semper est Filius ut nunquam Pater fieri queat. In quo magis ostenditur esse forma et imago Patris, dum manet id, quod est, et nunquam immutatur, cum eamdem a Patre essentiam habeat. Quare si mutatur Pater, mutetur et imago. Sin Pater est quoque necessario sicut est, sic etiam manet, et immutabilis, et sicut est, sic etiam manet, imago non immutabitur.

Ex eodem libro.

Si Verbum non est ab omni æternitate cum Pa-

tre, Trinitas non est æterna. Sed cum esset primum unitas, ex accessione facta Trinitas est, et progrediente, ut ipsi volunt, tempore aucta constitit. Præterea si Filius non est proprium Patris essentiæ germen, sed ex nihilo factus est, ex nihilo Trinitas est constituta; et fuit aliquando, cum non esset Trinitas, sed unitas. Et imperfecta fuit primo, deinde absoluta; et quod deinde genitum est, cum iis quæ creata sunt, numeratur; et id, quod aliquando non fuit, simul cum eo, quod semper est, divinum existimatur et colitur. Et quod majus est, ipsa Trinitas sibi ipsa dissimilis esse reperitur, quippe quæ cum peregrinis et alienis naturis et essentiis conjuncta sit. Hoc autem quid aliud est, nisi Trinitatem esse genitam affirmare? Quæ autem Trinitatis divinitas sit, quæ sibi ipsa dissimilis exsistat, et ex accessione fuerit tempore completa, et nunc hoc, nunc illo modo se habeat? Nonne verisimile est, eam accessionem rursus aliam atque aliam perpetuo accepturam, utpote quæ initio semel ex accessione constitutionem suam obtinuerit? Quid porro dubium, fieri posse, ut imminuatur? Quæ enim adjuncta sunt, et adimi posse perspicuum est.

Quid objiciant Ariani. Ex eodem libro.

Sed ecce, inquiunt, semper Deus fuit procreator, et est, neque illi procreandi facultas accessit. Num igitur, quoniam æternus est procreator, æternæ sunt etiam res procreatæ, ut in illis item nefas sit dicere, eas fuisse antequam fierent? Stulti ac dementes Ariani. Quid simile cum rebus procreatis Filius habet, ut quæ de illo dicuntur, eadem et his convenire dicant? Cur autem, cum ante demonstratum sit, quantum inter Filium intersit et opus, perstant in sua dementia? Opus enim, ut diximus, extra opificem est. Filius autem est proprium essentiæ germen. Quamobrem opus, ut semper sit, non est necessarium. Nam opifex agit, quando vult, germen autem non est voluntati subjectum, sed est essentiæ proprietas. Et opifex quidem erit, et appellabitur, etiamsi nondum sint opera; non erit autem, nec vocabitur Pater, nisi Filius sit. Quod si curiosius pergant inquirere, cur, cum Deus semper posset facere, quæ facta sunt, non semper fecerit, quæstio ipsorum erit hominum furentium et audacium. *Quis enim novit mentem Domini? aut quis ejus fuit consiliarius fuit? aut quomodo dicet figmentum ei, qui se finxit, Cur me fecisti sic* [1]? Verum ut aliquam, licet tenuem et adumbratam rationem afferamus, nec omnino taceamus, sic habeant: Etsi Deus poterat semper facere, res tamen non poterant æternæ esse. Ex nihilo enim sunt, nec esse possunt prius, quam fiant. Quæ autem prius, quam fiant non sunt, quomodo simul esse possint cum Deo, qui semper est? Quamobrem Deus rebus ipsis consulens, quando vidit, eas factas posse permanere, tunc omnes fecit. Et

[1] Rom. I, 34; IX, 20.

A ἔστιν ἡ Τριὰς ἀΐδιος, ἀλλὰ μονὰς μὲν ἦν πρότερον, ἐκ προσθήκης δὲ γέγονεν ὕστερον Τριάς, καὶ προϊόντος τοῦ χρόνου κατ' αὐτοὺς ηὔξησε, καὶ συνέστη. Πάλιν τε εἰ οὐκ ἔστιν ὁ Υἱὸς ἴδιον γέννημα τῆς τοῦ Πατρὸς οὐσίας, ἀλλ' ἐξ οὐκ ὄντων γέγονεν, ἐξ οὐκ ὄντων συνίσταται ἡ Τριάς, καὶ ἦν ποτε, ὅτε οὐκ ἦν Τριάς, ἀλλὰ μονάς, καὶ ποτὲ μὲν ἐλλιπὴς Τριάς, ποτὲ δὲ πλήρης. Καὶ λοιπὸν τὸ γενητὸν τῷ κτίστῃ συναριθμεῖται, καὶ τὸ ποτὲ μὴ ὂν τῷ ἀεὶ ὄντι συνθεολογεῖται καὶ συνδοξάζεται. Καὶ τό γε μεῖζον ἀνόμοιος ἑαυτῇ ἡ Τριὰς εὑρίσκεται, ξέναις καὶ ἀλλοτρίαις φύσεσί τε καὶ οὐσίαις συνισταμένη. Τοῦτο δὲ οὐδὲν ἕτερόν ἐστιν εἰπεῖν, ἢ γενητὴν τὴν τῆς Τριάδος σύστασιν. Ποταπὴ δὲ αὕτη θεοσέβεια Τριάδος τῆς μὴ ἑαυτῇ ὁμοίως τυγχανούσης, ἀλλ' ἐκ προσθήκης B χρόνῳ πληρουμένης, καὶ ποτὲ μὲν οὕτω, ποτὲ δὲ οὕτως οὔσης; Εἰκὸς γὰρ αὐτὴν καὶ πάλιν λήψεσθαι προσθήκην, καὶ τοῦτο εἰς ἄπειρον, ὡς ἅπαξ καὶ κατὰ τὴν ἀρχὴν ἐκ προσθήκης ἔσχε τὴν σύστασιν. Οὐκ ἀμφίβολον δὲ ὅτι καὶ δυνατὸν αὐτὴν μειοῦσθαι. Τὰ γὰρ προστιθέμενα φανερὸν ὅτι καὶ ἀφαιρεῖσθαι δύναται.

Ἀντίθεσις Ἀρειανῶν ἐκ τοῦ αὐτοῦ λόγου.

Ἀλλ' ἰδού, φησίν, ἀεὶ ὁ Θεὸς ἦν ποιητὴς καὶ ἔστι, καὶ οὐκ ἐπιγέγονεν αὐτῷ τοῦ δημιουργεῖν ἡ δύναμις. Ἆρ' οὖν ἐπειδὴ δημιουργός ἐστιν, ἀΐδιά εἰσι καὶ τὰ ποιήματα; καὶ οὐ θέμις εἰπεῖν οὐδὲ ἐπὶ τούτων, C Οὐκ ἦν πρὶν γενηθῇ; Ἄφρονες Ἀρειανοί. Τί γὰρ ὅμοιον Υἱὸς, καὶ ποίημα; ἵνα τὰ ἐπὶ τοῦ Πατρός, ταῦτα καὶ ἐπὶ τῶν δημιουργημάτων εἴπωσι; Πῶς δὲ τοσαύτης διαφορᾶς ἐν τοῖς ἔμπροσθεν δειχθείσης γεννήματος καὶ ποιήματος, ἐμμένουσι τῇ ἀμαθίᾳ; Πάλιν οὖν τὸ αὐτὸ λεκτέον. Τὸ ποίημα ἔξωθεν τοῦ ποιοῦντός ἐστιν, ὥσπερ εἴρηται. Ὁ δὲ Υἱὸς ἴδιον τῆς οὐσίας γέννημά ἐστι. Διὸ καὶ τὸ μὲν ποίημα οὐκ ἀνάγκη ἀεὶ εἶναι. Ὅτε γὰρ βούλεται ὁ δημιουργὸς ἐργάζεται. Τὸ δὲ γέννημα οὐ βουλήσει ὑπόκειται, ἀλλὰ τῆς οὐσίας ἐστὶν ἰδιότης. Καὶ ποιητὴς μὲν ἂν εἴη, καὶ λέγοιτο, κἂν μήπω ᾖ τὰ ἔργα· Πατὴρ δὲ οὐκ ἂν κληθείη, οὐδ' ἂν εἴη, μὴ ὑπάρχοντος Υἱοῦ. Ἐὰν δὲ περιεργάζωνται, διατί ὁ Θεὸς ἀεὶ δυνάμενος ποιεῖν, οὐκ ἀεὶ ποιεῖ, μαινομένων μὲν καὶ αὕτη τόλμα. D *Τίς γὰρ ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; Ἢ πῶς ἐρεῖ τὸ πλάσμα τῷ κεραμεῖ, Τί με οὕτως ἐποίησας;* Ἵνα δὲ κἂν ἀμυδρόν τινα λογισμὸν εὑρόντες μὴ σιωπήσωμεν, ἀκουέτωσαν· ὅτι εἰ καὶ τῷ Θεῷ δυνατὸν ἀεὶ ποιεῖν, ἀλλ' οὐκ ἠδύνατο τὰ γενητὰ ἀΐδια εἶναι. Ἐξ οὐκ ὄντων γάρ ἐστι, καὶ οὐκ ἦν πρὶν γένηται. Τὰ δὲ οὐκ ὄντα πρὶν γένηται, πῶς ἠδύνατο συνυπάρχειν τῷ ἀεὶ ὄντι Θεῷ; Διὸ καὶ πρὸς τὸ λυσιτελὲς αὐτῶν ἀφορῶν ὁ Θεός, ὅτε εἶδεν ὅτι δύναται γενόμενα διαμένειν, τότε καὶ πεποίηκε πάντα. Καὶ ὥσπερ δυνάμενος ἐξ ἀρχῆς καὶ ἐπὶ τοῦ Ἀδάμ, ἢ ἐπὶ τοῦ Νῶε, ἢ ἐπὶ τοῦ Μωϋσέως ἀποστεῖλαι τὸν ἑαυτοῦ Λόγον οὐκ ἀπέστειλεν, εἰ μὴ ἐπὶ

συντελείᾳ τῶν αἰώνων· τοῦτο γὰρ ᾔδει λυσιτελεῖν A πάσῃ τῇ κτίσει· οὕτω καὶ τὰ γενητὰ, ὅτε ἠθέλησε καὶ λυσιτελὲς ἦν αὐτοῖς, ἐποίησεν. Ὁ δὲ Υἱὸς οὐκ ὢν ποίημα, ἀλλ' ἴδιος τῆς οὐσίας τοῦ Πατρὸς, ἀεί ἐστιν. Ἀεὶ γὰρ ὄντος τοῦ Πατρὸς, ἀεὶ εἶναι δεῖ καὶ τὸ ἴδιον τῆς οὐσίας αὐτοῦ, ὅπερ ἐστὶν ὁ Λόγος αὐτοῦ, καὶ ἡ σοφία. Καὶ τὰ μὲν κτίσματα, κἂν μηδέπω ὑπάρχῃ, οὐκ ἐλαττοῖ τὸν ποιητὴν, ἔχει γὰρ τὸ δύνασθαι δημιουργεῖν ὅτε βούλεται· τὸ δὲ γέννημα, ἐὰν μὴ συνῇ ἀεὶ τῷ Πατρὶ, ἐλάττωμα τῆς τελειότητος τῆς οὐσίας αὐτοῦ ἐστιν. Ὅθεν τὰ μὲν ποιήματα, ὅτε ἠθέλησεν, ἐδημιουργήθη διὰ τοῦ Λόγου· ὁ δὲ Υἱὸς ἀεί ἐστιν ἴδιον γέννημα τῆς τοῦ Πατρὸς οὐσίας.

quemadmodum, cum posset, quo tempore vel Adam, vel Noë, vel Moses fuit, mittere Verbum suum, non tamen misit, nisi sæculis jam absolutis; sic enim humano generi conducere cognoscebat; eodem modo et res universas fecit, quando voluit, et novit eis sic expedire. At Filius, qui non est opus aliquod procreatum, sed proprietas essentiæ Patris, semper est. Etenim cum semper sit Pater, semper etiam ejus esse oportet essentiæ proprietatem. Hæc autem est Verbum, et sapientia ipsius. Jam ut res procreatæ non sint, nihil adimitur procreatori. Nam procreare potest, quando vult. Filius autem nisi sit semper cum Patre, essentiæ ipsius perfectio diminuitur. Ita res omnes per Verbum factæ sunt, quando ipsi libuit opifici Deo. Filius autem, cum sit proprium Patris essentiæ germen, semper est.

Ἐκ τοῦ αὐτοῦ λόγου.

B Φασὶν ὅτι γέγραπται παρὰ μὲν τῷ Ἀποστόλῳ· *Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα*· παρὰ δὲ τῷ Δαβὶδ, *Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου*. Εἶτα ἐπιφέρουσιν, ὡς σοφόν τι λέγοντες, Εἰ διὰ τοῦτο ὑψώθη, καὶ χάριν ἔλαβε, καὶ διὰ τοῦτο κέχρισται, μισθὸν τῆς προαιρέσεως ἔλαβε. Προαιρέσει δὲ πράξας, τρεπτῆς ἐστιν ὄντως φύσεως. Ταῦτα οὐ μόνον εἰπεῖν, ἀλλὰ καὶ γράψαι τετολμήκασιν Εὐσέβιός καὶ Ἄρειος. Καὶ οἱ ἀπ' αὐτῶν δὲ λαλεῖν οὐκ ὀκνοῦσι κατὰ μέσην τὴν ἀγοράν. Ἐξ ἀρετῆς γὰρ, φασὶ, καὶ βελτιώσεως ἔσχε τὸ λέγεσθαι Υἱὸς καὶ Θεὸς, καὶ οὐκ ἔστιν ἀληθινὸς Θεός. Τὸ μὲν γὰρ ἔκ τινος C κατὰ φύσιν ἀληθινόν ἐστι γέννημα, οἷος ἦν Ἰσαὰκ τῷ Ἀβραὰμ, καὶ Ἰωσὴφ τῷ Ἰακὼβ, καὶ τὸ ἀπαύγασμα τῷ ἡλίῳ· οἱ δὲ ἐξ ἀρετῆς καὶ χάριτι υἱοὶ λεγόμενοι μόνον εἰσὶν ἔχοντες ἀντὶ τοῦ φύσει τὴν ἐκ τοῦ λαβεῖν χάριν, καὶ ἄλλοι παρὰ τὸ δοθὲν αὐτοῖς ὄντες. Περὶ ὧν ἔλεγεν, *Υἱοὺς ἐγέννησα, καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν*. Ἀμέλει, ἐπεὶ μὴ κατὰ φύσιν ἦσαν υἱοὶ, διὰ τοῦτο καὶ τραπέντων ἀφῃρέθη τὸ Πνεῦμα, καὶ ἀπεκηρύχθησαν. Καὶ πάλιν δὲ μετανοοῦντας αὐτοὺς δέξεται, καὶ διδοὺς τὸ φῶς πάλιν υἱοὺς καλέσει ὁ καὶ κατὰ τὴν ἀρχὴν οὕτω τὴν χάριν αὐτοῖς δεδωκώς. Τί οὖν ἦν πρὸ τούτου, εἰ νῦν ὑψώθη, καὶ νῦν ἤρξατο προσκυνεῖσθαι, καὶ Υἱὸς ἐλέχθη, ὅτε γέγονεν ἄνθρωπος; Φαίνεται γὰρ μηδὲν βελτιώσας αὐτὸς τὴν σάρκα, ἀλλὰ μᾶλλον αὐτὸς δι' αὐτῆς βελτιωθείς. D Εἰ γὰρ οὐκ ἦν, πρὶν ἄνθρωπος γένηται, Κύριος, Θεὸς, Λόγος, ἢ ἄλλο τι ἦν παρὰ ταῦτα, καὶ ὕστερον τούτων ἐξ ἀρετῆς μετέσχεν, ἢ τὸ ἕτερον, ὅπερ εἰς τὴν ἐκείνων κεφαλὴν τραπείη, ἀνάγκη λέγειν αὐτοὺς μηδὲ εἶναι πρὸ τούτου αὐτὸν, ἀλλὰ τὸ ὅλον ἄνθρωπον εἶναι φύσει, καὶ μηδὲν πλέον. Ἀλλ' οὐκ ἔστι τοῦτο τῆς Ἐκκλησίας, τοῦ δὲ Σαμοσατέως ἐστὶ, καὶ τῶν νῦν Ἰουδαίων τὸ φρόνημα. Εἰ γὰρ οὐκ ἦν, ἢ ἦν μὲν, ἐβελτιώθη δὲ ὕστερον, πῶς δι' αὐτοῦ γέγονε τὰ πάντα; Ἢ πῶς τούτῳ, εἴ γε μὴ τέλειος ἦν, προσέχαιρεν ὁ Πατὴρ, καὶ αὐτὸς πρὸ τούτου

Ex eodem libro

Aiunt ab Apostolo scriptum esse: *Propter quod et Deus exaltavit illum, et dedit illi nomen, quod est super omne nomen* [1]. Et a Davide: *Propterea unxit te Deus Deus tuus oleo lætitiæ præ consortibus tuis* [2]. Deinde quasi sapienter aliquid dicant, ita colligunt: Si propterea fuit exaltatus, et gratiam accepit, et idcirco unctus est, propositi præmium obtinuit. Ex quo patet, eum cum proposito agat, et agendo deliberet, mutabili esse natura præditum. Hæc non solum dicere, sed scribere ausi sunt Eusebius et Arius. Hæc qui ab illis acceperunt, ausi sunt in medio foro prædicare. Ex virtute enim, inquiunt, qua melior effectus est, obtinuit, ut diceretur Filius et Deus, cum verus Deus non sit. Nam ex aliquo naturaliter nasci id demum est, verum esse Filium, qualis fuit Isaac ex Abraham, et Joseph ex Jacob, et splendor ex sole. Qui autem ex virtute et gratia filii dicuntur Dei, naturæ loco gratiam habent, quam acceperunt. Sunt etiam alii filii, qui illo nomine abutuntur, de quibus dictum est: *Filios genui, et educavi, ipsi autem spreverunt me* [3]. Nil mirum, cum filii natura non essent. Quamobrem et cum sese mutassent, Spiritu privati sunt, et abdicati: et rursum si resipiscant, illos suscipiet Deus, et lumen infundet, et filios appellabit, qui et initio gratiam ipsis est elargitus. Quid igitur fuit antea, si nunc exaltatus? si nunc adorari cœpit? si Filius dictus est, posteaquam factus est homo? Apparet enim, eum carni nihil boni attulisse, sed contra potius ab ea multum accepisse, siquidem prius, quam homo fieret, nec Dominus, nec Deus, nec Verbum erat, aut aliud quidquam præter hæc, sed postea virtutis ergo donatus est his. Et, quod illis male verteret, cogentur dicere, ipsum ne fuisse quidem antehac, sed esse totum natura hominem, et prætерea nihil. Hoc autem ab Ecclesia alienissimum est et Samosatensis eorumque Judæorum, qui nunc sunt sententiæ congruit. Nam si aut non erat, aut erat quidem, sed melior postea factus est, quomodo per ipsum facta sunt omnia? Aut quomodo Pater hoc imperfecto Filio lætabatur?

[1] Philip. II, 9. [2] Psal. XLIV, 8. [3] Isa. I, 2.

Aut quomodo ipse in conspectu Patris antea gaudebat? Præterea quomodo, si post mortem adeptus est ut adoraretur, ipsum adoravit Abraham, et Moses in rubo? Et (id quod Daniel vidit) quonam pacto *innumerabilia millium millia ministrabant ei* [1]? Quonam pacto si nunc, ut isti volunt, assecutus est ut melior et præstantior fieret, gloriam, quæ ante mundum est et mundo præcellit, ipse de se loquens commemorat, *Clarifica me*, inquiens, *Pater, ea gloria quam habui, priusquam mundus fieret, apud te* [2]? Quæ cum ita sint, non descendens ipse melior factus est, sed quæ ea re egebant, meliora fecit, et homo factus homines Dei filios ac deos reddidit. Non ergo cum homo esset prius, deinde factus est Deus; sed cum Deus esset, deinde factus est homo, ut nos divinitate decoraret. Ad hæc qui posset appellari primogenitus rerum omnium procreatarum, si ante se haberet, qui filii et dei vocarentur? Aut cur primi illi non sunt ejusmodi, ut de illis dicatur, *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum* [3], et propter nos postea Verbum hoc factum est caro? Quare illud, *superexaltavit*, non significat Verbi essentiam exaltatam. Fuit enim semper, et est æqualis Deo, sed exaltatio illa pertinet ad humanitatem. Et ideo non prius hæc dicta sunt, quam Verbum caro factum est, ut perspicuum esset, voces illas, *humiliavit*, et *exaltavit*, ad hominem referri; cujus enim humilitas est, ejusdem est et exaltatio. Et si propter carnis assumptionem scriptum est *humiliavit*, manifestum est quod propter ipsam scriptum est etiam, *exaltavit*. Exaltatione enim egebat homo propter carnis et mortis humilitatem. Quoniam igitur Verbum, cum esset imago Patris, et immortale servi formam accepit, et propter nos in carne sua mortem pertulit, ut ita se pro nobis per mortem offerret Patri, idcirco etiam ut homo propter nos et pro nobis dicitur exaltatus, ut sicut nos morte ipsius omnes mortui sumus in Christo, sic etiam in Christo, a mortuis excitati, et in cœlum profecti, quo ipse præcursor noster pervenit, exaltemur. Quod si nunc pro nobis ita se demisit, quamvis et nunc, et ante, et semper esset Dominus, pro nobis utique exaltatus scribitur. Et quemadmodum ipse, quamvis omnes sanctos efficiat, dicit tamen ut se sanctificet, non quo Verbum sanctum fiat, sed ut nos omnes in se ipso sanctos reddat: sic et illud, quod dictum est, *Exaltavit illum*, non eo pertinet, ut ipse exaltetur, est enim altissimus, sed ut ipse quidem pro nobis justitia fiat, nos autem in ipso exaltemur, et in cœlorum fores ingrediamur, quas pro nobis ipse patefecit, cum præcurrentes dicant: *Tollite portas, principes, vestras, et elevamini, portæ æternales, et introibit Rex gloriæ* [4]. Neque enim ipsi Domino et rerum omnium effectori conclusæ erant, sed propter nos, quibus cœli fores erant clausæ, sic scriptum est. Itaque propter carnem, quam gestabat, humano more dictum est: *Tollite portas:* et *Introibit*, tanquam homo ingrediatur. At de ipso rursum, ut qui Deus sit,

A ηὐφραίνετο ἐν προσώπῳ τοῦ Πατρός; Πῶς δὲ, εἰ μετὰ τὸν θάνατον ἔλαβε τὸ προσκυνεῖσθαι, φαίνεται ὁ Ἀβραὰμ αὐτὸν προσκυνῶν, καὶ Μωϋσῆς ἐν τῇ βάτῳ, καὶ ὡς εἶδε Δανιὴλ, μύριαι μυριάδες, καὶ χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ; Πῶς δὲ, εἰ νῦν κατ' αὐτοὺς ἔσχε τὴν βελτίωσιν, τῆς πρὸ κόσμου καὶ ὑπερκοσμίου δόξης ἑαυτοῦ μνημονεύων ἔλεγεν αὐτὸς ὁ Υἱὸς, *Δόξασόν με, Πάτερ, τῇ δόξῃ, ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί;* Οὐκ ἄρα καταβὰς ἐβελτιώθη, ἀλλὰ μᾶλλον ἐβελτίωσεν αὐτὸς τὰ δεόμενα βελτιώσεως, καὶ υἱοποίησεν ἡμᾶς τῷ Πατρὶ, καὶ ἐθέωσε τοὺς ἀνθρώπους γενόμενος ἄνθρωπος. Οὐκ ἄρα ἄνθρωπος ὤν, ὕστερον γέγονε Θεὸς, ἀλλὰ Θεὸς ὤν, ὕστερον γέγονεν ἄνθρωπος, ἵνα μᾶλλον
B ἡμᾶς θεοποιήσῃ. Πῶς οὖν πρωτότοκος πάσης κτίσεως, ἔχων πρὸ αὐτοῦ κληθέντας υἱοὺς καὶ θεούς; Πῶς δὲ οἱ μέτοχοι πρῶτοι οὐ μετέχουσι Λόγου; *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος.* Καὶ δι' ἡμᾶς ὕστερον ὁ Λόγος οὗτος σὰρξ ἐγένετο. Τὸ οὖν *ὑπερύψωσεν* οὐ τὴν οὐσίαν τοῦ Λόγου λέγει ὑψουμένην. Ἦν γὰρ ἀεὶ, καὶ ἔστιν ἴσα Θεῷ, ἀλλὰ τῆς ἀνθρωπότητός ἐστιν ἡ ὕψωσις. Οὐ πρὶν γοῦν εἴρηται ταῦτα, εἰ μὴ ὅτε γέγονε σὰρξ ὁ Λόγος, ἵνα γένηται φανερὸν ὅτι τὸ *ἐταπείνωσε*, καὶ τὸ *ὑπερύψωσεν* ἐπὶ τοῦ ἀνθρώπου λέγεται. Οὗ γάρ ἐστι τὸ ταπεινὸν, τούτου καὶ τὸ ὑψωθῆναι ἂν εἴη. Καὶ εἰ διὰ τὴν πρόσληψιν τῆς σαρκὸς τὸ *ἐταπείνωσε* γέγραπται, δῆλον ὅτι καὶ τὸ *ὑπερύψωσε* δι' αὐτὴν γέγραπται. Τούτου γὰρ ἦν ἐνδεὴς ὁ
C ἄνθρωπος διὰ τὸ ταπεινὸν τῆς σαρκὸς, καὶ τοῦ θανάτου. Ἐπεὶ οὖν εἰκὼν ὢν τοῦ Πατρὸς, καὶ ἀθάνατος ὢν Λόγος, ἔλαβε τὴν τοῦ δούλου μορφὴν, καὶ ὑπέμεινε δι' ἡμᾶς ἐν τῇ ἑαυτοῦ σαρκὶ τὸν θάνατον, ἵνα οὕτως ἑαυτὸν ὑπὲρ ἡμῶν διὰ τοῦ θανάτου προσενέγκῃ τῷ Πατρὶ, διὰ τοῦτο καὶ ὡς ἄνθρωπος δι' ἡμᾶς, καὶ ὑπὲρ ἡμῶν λέγεται ὑπερυψοῦσθαι, ἵν' ὥσπερ ἡμεῖς τῷ θανάτῳ αὐτοῦ πάντες ἀπεθάνομεν ἐν Χριστῷ, οὕτως ἐν αὐτῷ τῷ Χριστῷ πάλιν ἡμεῖς ὑπερυψωθῶμεν, ἔκ τε τῶν νεκρῶν ἐγειρόμενοι, καὶ εἰς οὐρανοὺς ἀνερχόμενοι, ἔνθα πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Χριστός. Εἰ δὲ νῦν ὑπὲρ ἡμῶν, καίτοι καὶ πρὸ τούτου, καὶ ἀεὶ Κύριος ὢν καὶ δημιουργὸς τῶν οὐρανῶν, ὑπὲρ ἡμῶν ἄρα καὶ τὸ ὑπερυψωθῆναι νῦν γέγραπται. Καὶ ὥσπερ αὐτὸς πάντας
D ἁγιάζων λέγει πάλιν τῷ Πατρὶ, ἑαυτὸν ὑπὲρ ἡμῶν ἁγιάζειν, οὐχ ἵνα ἅγιος ὁ Λόγος γένηται, ἀλλ' ἵνα αὐτὸς ἐν ἑαυτῷ ἁγιάσῃ πάντας ἡμᾶς· οὕτως ἄρα καὶ τὸ νῦν λεγόμενον, ὑπερύψωσεν αὐτὸν, οὐχ ἵνα αὐτὸς ὑψωθῇ, ὕψιστος γάρ ἐστιν, ἀλλ' ἵνα αὐτὸς μὲν ὑπὲρ ἡμῶν δικαιοσύνη γένηται, ἡμεῖς δὲ ὑψωθῶμεν ἐν αὐτῷ, καὶ εἰς τὰς πύλας εἰσέλθωμεν τῶν οὐρανῶν, ἃς αὐτὸς πάλιν ὑπὲρ ἡμῶν ἀνέῳξε, λεγόντων τῶν προτρεχόντων, *Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.* Καὶ ὧδε γὰρ οὐκ αὐτῷ ἦσαν αἱ πύλαι κεκλεισμέναι, Κυρίῳ καὶ ποιητῇ πάντων ὄντι· ἀλλὰ δι' ἡμᾶς καὶ τοῦτο γέγραπται,

[1] Dan. VII, 10. [2] Joan. XVII, 5. [3] Joan. I, 11. [4] Psal. XXIII, 7, 9.

οἷς ἦν ἡ θύρα τοῦ παραδείσου κεκλεισμένη. Διὸ καὶ ἀνθρωπίνως μὲν, δι' ἣν ἐφόρεσε σάρκα, λέγεται περὶ αὐτοῦ τὸ *Ἄρατε πύλας*, καὶ τὸ *εἰσελεύσεται*, ὡς ἀνθρώπου εἰσερχομένου. Θεϊκῶς δὲ πάλιν περὶ αὐτοῦ λέγεται, ἐπεὶ καὶ Θεός ἐστιν ὁ Λόγος, ὅτι *Οὗτός ἐστι Κύριος, καὶ βασιλεὺς τῆς δόξης*. Τὴν δὲ τοιαύτην λεγομένην εἰς ἡμᾶς ὕψωσιν προανεφώνει τὸ Πνεῦμα ἐν ὀγδοηκοστῷ ψαλμῷ λέγον, *Καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθήσονται*. Εἰ δὲ δικαιοσύνη ἐστὶν ὁ Υἱὸς, οὐκ ἄρα αὐτός ἐστιν ὡς ἐνδεὴς ὑψούμενος, ἀλλ' ἡμεῖς ἐσμεν οἱ τῇ δικαιοσύνῃ ὑψούμενοι, ἥτις ἐστὶν αὐτός. Καὶ γὰρ καὶ τὸ *Ἐχαρίσατο αὐτῷ* οὐ διὰ τὸν Λόγον γέγραπται· ἦν γὰρ πάλαι, καὶ πρὶν γένηται ἄνθρωπος, προσκυνούμενος, ὥσπερ ἄνωθεν εἴπομεν, ὑπὸ ἀγγέλων καὶ πάσης κτίσεως κατὰ τὴν Πατρικὴν ἰδιότητα· ἀλλὰ δι' ἡμᾶς, καὶ ὑπὲρ ἡμῶν πάλιν εἴρηται τοῦτο περὶ αὐτοῦ. Ὥσπερ γὰρ ὡς ἄνθρωπος ὁ Χριστὸς ἀπέθανε, καὶ ὑπερυψώθη, οὕτως ὡς ἄνθρωπος λέγεται λαμβάνειν, ὅπερ εἶχεν ἀεὶ ὡς Θεὸς, ἵν' εἰς ἡμᾶς φθάσῃ καὶ ἡ τοιαύτη δοθεῖσα χάρις. Οὐ γὰρ ἠλαττώθη ὁ Λόγος σῶμα λαβὼν, ἵνα καὶ χάριν ζητήσῃ λαβεῖν, ἀλλὰ μᾶλλον καὶ ἐθεοποίησεν, ὅπερ ἐνεδύσατο, καὶ πλέον ἐχαρίσατο τῷ γένει τῶν ἀνθρώπων τοῦτο. Ὥσπερ γὰρ ἀεὶ προσεκυνεῖτο Λόγος ὢν, καὶ ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὕτως ὁ αὐτὸς ὢν, καὶ ἄνθρωπος γενόμενος κληθείς τε Ἰησοῦς, οὐδὲν ἧττον ἔχει πᾶσαν ὑπὸ πόδας τὴν κτίσιν, καὶ ἐν τούτῳ τῷ ὀνόματι τὰ γόνατα κάμπτουσαν αὐτῷ, καὶ ἐξομολογουμένην, ὅτι καὶ τὸ γενέσθαι σάρκα τὸν Λόγον, καὶ θάνατον ὑπομεῖναι σαρκὶ οὐκ ἐπ' ἀδοξίᾳ τῆς θεότητος αὐτοῦ γέγονεν, ἀλλ' εἰς δόξαν Θεοῦ Πατρός. Δόξα δὲ Πατρός ἐστι, τὸν γενόμενον ἄνθρωπον καὶ ἀπολόμενον εὑρεθῆναι, καὶ νεκρωθέντα ζωοποιηθῆναι, καὶ ναὸν γενέσθαι Θεοῦ. Καὶ γὰρ καὶ τῶν ἐν οὐρανοῖς δυνάμεων ἀεὶ μὲν προσκυνουσῶν αὐτὸν, προσκυνουσῶν δὲ καὶ νῦν ἐν τῷ ὀνόματι Ἰησοῦ τὸν Κύριον, ἡμῶν ἐστιν αὕτη ἡ χάρις, καὶ ὑπερύψωσις ὅτι τε καὶ ἄνθρωπος γενόμενος προσκυνεῖται ὁ τοῦ Θεοῦ Υἱὸς, καὶ οὐ ξενισθήσονται αἱ οὐράνιαι δυνάμεις, βλέπουσαι τοὺς συσσώμους ἐκείνους πάντας ἡμᾶς εἰσαγομένους εἰς τὰς χώρας ἑαυτῶν.

dicitur : *Et introibit Rex gloriæ*. Ac ejusmodi quidem de nobis exaltationem Spiritus sanctus prænuntiavit in octogesimo Psalmo : *Et in justitia tua*, inquiens, *exaltabuntur*. Quod si ipse Filius justitia est, non utique tanquam inops est exaltatus, sed nos per justitiam, quæ ipse est, exaltati sumus. Nam et illud, *Et donavit illi*, non propter Verbum scriptum est. Jam enim et ante quam fieret homo, et ab angelis, et ab omnibus rebus procreatis ob paternam proprietatem, ut diximus, adorabatur : sed propter nos, et pro nobis, hoc item dictum de ipso est. Etenim Christus quemadmodum ut homo et mortuus et exaltatus est, sic etiam ut homo dicitur accipere id, quod semper habebat ut Deus, ut gratia data in nos perveniret. Non enim imminutum est Verbum corpus assumens, ut sibi gratiam acquireret, sed potius, ut quod induerat corpus, divinum redderet. Illud autem humano generi donavit, ut quemadmodum Verbum et in forma Dei exsistens adorabatur, sic etiam factum homo, vocatumque Jesus, nihilominus res omnes procreatas sub pedibus positas, et eo nomine genua sibi flectentes, seque collaudantes haberet. Ex eo enim, quod Verbum caro factum est et mortem in carne pertulit, nullum ad divinitatem dedecus pervenit, sed gloria potius ad Patrem. Siquidem gloria Patris est, ut homo qui perierat inventus sit, et qui mortuus erat, sit in vitam revocatus et Dei templum evaserit. Quod autem Dominum, quem virtutes illæ cœlestes semper adorabant, nunc etiam adorent in nomine Jesu, nostra hæc est gloria atque exaltatio, et quod Dei Filius etiam homo factus colitur et adoratur ab ipsis virtutibus cœlestibus, quæ nos consortes ejus, et unum cum ipso corpus effectos et in loca sua introductos non alienos aut peregrinos existimabunt.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ διὰ τὸ προσκυνεῖσθαι ἐν τῷ ψαλμῷ, *Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου*, ἐκ τῆς διὰ τοῦτο λέξεως πρόφασιν πάλιν ἑαυτοῖς εἰς ἃ βούλονται πορίζονται· γνώτωσαν οἱ τῶν Γραφῶν ἀμαθεῖς, καὶ τῆς ἀσεβείας ἐφευρεταὶ, ὅτι καὶ ἐνταῦθα πάλιν τὸ *διὰ τοῦτο* οὐ μισθὸν ἀρετῆς ἢ πράξεως σημαίνει τοῦ Λόγου, ἀλλὰ τὸ αἴτιον πάλιν τῆς εἰς ἡμᾶς αὐτοῦ καθόδου, καὶ τῆς ὑπὲρ ἡμῶν εἰς αὐτὸν γινομένης τοῦ Πνεύματος χρίσεως. Οὐ γὰρ εἶπε, Διὰ τοῦτο ἔχρισέ σε, ἵνα γένῃ Θεὸς, ἢ Υἱὸς, ἢ Λόγος· ἦν γὰρ καὶ πρὸ τούτου, καὶ ἔστιν ἀεὶ, καθάπερ δέδεικται· ἀλλὰ μᾶλλον, Ἐπειδὴ Θεὸς ἦς καὶ βασιλεὺς, διὰ τοῦτο καὶ ἐχρίσθης. Ἐπεὶ οὐδὲ ἄλλου ἦν συνάψαι τὸν ἄνθρωπον τῷ Πνεύματι τῷ ἁγίῳ ἢ σοῦ, τῆς εἰκόνος τοῦ Πατρὸς, καθ' ἣν καὶ ἐξ ἀρχῆς γεγόναμεν. Σοῦ γάρ ἐστι καὶ τὸ Πνεῦμα. Τῶν μὲν γὰρ γενητῶν ἡ φύσις οὐκ ἦν ἀξιόπιστος εἰς τοῦτο, ἀγγέλων μὲν παραβάντων, ἀνθρώπων δὲ παρακουσάντων. Διὰ τοῦτο Θεοῦ

Ex eodem libro.

Si, quoniam in psalmo scriptum est : *Propterea unxit te Deus, Deus tuus* [1], occasionem ad ea, quæ volunt confirmanda ex his verbis arripiunt, animadvertant homines Scripturarum imperiti, et impietatis inventores, hic rursum non Verbi præmium virtutis actionisve, sed descensus illius ad nos, et unctionis Spiritus in ipso pro nobis factæ causam significari. Non enim dixit : Propterea unxit te, ut Deus, aut Rex, aut Filius, aut Verbum fias; erat enim ante, et semper est, ut declaravimus; sed potius, Quia Deus es, et Rex, idcirco et unctus es. Quoniam non ad alium spectabat, Spiritu sancto hominem intingere, nisi ad te, qui Patris imago es, ad quam quidem imaginem et initio facti sumus. Tuus enim et Spiritus est. Ex rebus enim procreatis nulla erat digna, cui hoc munus committeretur, cum et angeli deliquissent, et homines non obtemperassent. Quapropter Deum

[1] Psal. XLIV, 8.

ea provincia postulabat; Deus autem erat Verbum, ut homines exsecrationis obnoxios liberaret. Jam per quem, et a quo oportebat nisi per Filium, et a Filio Spiritum dari, cum illius Spiritus sit? Ecquando autem nos Spiritum ipsum accipere potuimus, nisi cum Verbum homo factum est? Nam, ut Apostoli verba significant, non fuissemus redempti, nisi qui in forma Dei est, servi formam accepisset. Et David indicat, nos nunquam fuisse Spiritus participes, aut sanctos futuros, nisi Verbum, quod Spiritum elargitur, dixisset, seipsum Spiritu pro nobis inungi. Quo quidem in carne inuncto et nos illum plane accepimus. Carne enim in ipso primum effecta sancta, cum per illam ipse ut homo dicatur accepisse, nos ex ejus plenitudine accipientes, consequentem Spiritus gratiam obtinemus.

Ex eodem libro.

Illud: *Dilexisti justitiam, et odisti iniquitatem* [1], non, quemadmodum vos intelligitis, naturam Verbi mutabilem significat. Nam, quia rerum procreatarum natura mutabilis est, ideoque et angeli deliquerunt, ut dictum est, et homines non obtemperarunt. Et horum actio non est firma et stabilis, sed sæpe contingit, ut qui modo erat bonus, paulo post invertatur, et alius evadat; et qui paulo ante justus erat, mox injustus esse deprehendatur: idcirco uno, qui esset immutabilis, opus erat, cujus immutabilem justitiam homines tanquam virtutis formam et exemplum propositum haberent. Neque vero uti legibus obnoxius, et in utramque partem habens propensionem, hoc quidem diligit, illud autem odit, ut amittendi metu alterum complectatur, cum alioqui mutabilis sit, sed ut qui Deus est et Verbum Patris, judex exsistit justus, et virtutis amans, vel potius elargitor. Itaque quoniam natura justus ac pius est, idcirco diligere justitiam dicitur, iniquitatem odisse. Quod perinde est, ac si diceretur, bonos ac justos amare complectique, malos autem et injustos odio prosequi et insectari. Idem enim et de Patre dicunt Scripturæ: *Justus Dominus, et justitiam dilexit* [1]. Et, *Odisti omnes, qui operantur iniquitatem* [2]. Et, *Jacob quidem dilexit, Esau autem odio habuit* [3].

Ex eodem libro.

Arianorum, et Valentini, et Carpocratis confutatio. Valentini quidem Christum et angelos ejusdem generis esse dicentis, et illum unum ex illis esse asserentis; Carpocratis autem mundum per angelos fuisse factum affirmantis; Arianorum vero Filium cum angelis comparantium.

De ministerio Veteris et Novi Testamenti judicium ferens Apostolus audacter, ad Judæos scribens, *Tanto*, inquit, *melior angelis factus* [4], etc. Idcirco uti noluit absoluta comparatione, ac dicere, *major* aut *honoratior*, ne quis de Christo et de angelis id, tanquam de iis qui ejusdem essent generis, dictum existimaret. Sed dixit *melior*, ut naturæ differen-

A χρεία ἦν, Θεὸς δέ ἐστιν ὁ Λόγος, ἵνα ὡς ὑπὸ κατάραν γενομένους αὐτὸς ἐλευθερώσῃ. Διὰ τίνος δὲ, καὶ παρὰ τίνος ἔδει τὸ Πνεῦμα δίδοσθαι ἢ διὰ τοῦ Υἱοῦ, οὗ καὶ τὸ Πνεῦμά ἐστι; Πότε δὲ λαμβάνειν ἡμεῖς ἐδυνάμεθα, εἰ μὴ ὅτε ὁ Λόγος γέγονεν ἄνθρωπος; Καὶ ὥσπερ τὸ παρὰ τῷ Ἀποστόλῳ λεγόμενον δείκνυσιν ὅτι οὐκ ἂν ἐλυτρώθημεν, εἰ μὴ ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων ἔλαβε δούλου μορφήν· οὕτω καὶ ὁ Δαβὶδ δείκνυσιν ὅτι οὐκ ἂν ἄλλως μετέσχομεν τοῦ Πνεύματος, καὶ ἡγιάσθημεν, εἰ μὴ ὁ τοῦ Πνεύματος δοτὴρ αὐτὸς ὁ Λόγος ἔλεγεν ἑαυτὸν ὑπὲρ ἡμῶν τῷ Πνεύματι χρίεσθαι. Διὸ καὶ βεβαίως ἐλάβομεν, αὐτοῦ λεγομένου κεχρῆσθαι σαρκί. Τῆς γὰρ ἐν αὐτῷ σαρκὸς πρώτης ἁγιασθείσης, καὶ αὐτοῦ λεγομένου δι' αὐτὴν εἰληφέναι ὡς ἀνθρώπου, ἡμεῖς ἐπακολουθοῦσαν ἔχομεν τὴν B τοῦ Πνεύματος χάριν ἐκ τοῦ πληρώματος αὐτοῦ λαμβάνοντες.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Τὸ, *Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀδικίαν*, πρόσκειται, οὐχ ὡς ὑμεῖς νοεῖτε τρεπτὴν δεικνύοντος τοῦ Λόγου τὴν φύσιν, ἀλλὰ μᾶλλον καὶ ἐκ τούτου τὸ ἄτρεπτον αὐτοῦ σημαίνεται. Ἐπειδὴ γὰρ τῶν γενητῶν ἡ φύσις ἐστὶ τρεπτὴ, καὶ οἱ μὲν παρέβησαν, οἱ δὲ παρήκουσαν, ὥσπερ εἴρηται, ἥ τε πρᾶξις αὐτῶν οὐκ ἔστι βεβαία, ἀλλὰ πολλάκις ἐνδέχεται τὸν νῦν ἀγαθὸν μετὰ ταῦτα τρέπεσθαι, καὶ ἕτερόν τινα γενέσθαι, ὡς τὸν ἄρτι δίκαιον ἄδικον μετ' ὀλίγον εὑρεθῆναι· διὰ τοῦτο πάλιν ἀτρέπτου χρεία, ἵνα τὸ ἀμετάβλητον τῆς τοῦ Λόγου δικαιοσύνης ἔχωσιν C εἰκόνα, καὶ τύπον πρὸς ἀρετὴν οἱ ἄνθρωποι. Οὐχ ὡς ὑποκείμενος δὲ νόμοις, καὶ τὴν ἐπὶ θάτερα ῥοπὴν ἔχων τὸ μὲν ἀγαπᾷ, τὸ δὲ μισεῖ, ἵνα φόβῳ τοῦ πεσεῖν τὸ ἕτερον προσλαμβάνῃ, καὶ ἄλλως πάλιν τρεπτὸς εἰσάγηται. Ἀλλ' ὡς Θεὸς ὢν, καὶ Λόγος τοῦ Πατρὸς, κριτής ἐστι δίκαιος καὶ φιλάρετος, μᾶλλον δὲ καὶ χορηγὸς ἀρετῆς. Δίκαιος οὖν φύσει καὶ ὅσιος ὢν, διὰ τοῦτο ἀγαπᾷν λέγεται δικαιοσύνην, καὶ μισεῖν ἀδικίαν. Τοῦτο δὲ ἴσον τῷ εἰπεῖν, ὅτι τοὺς μὲν ἐναρέτους ἀγαπᾷ, καὶ προσλαμβάνεται, τοὺς δὲ ἀδίκους ἀποστρέφεται καὶ μισεῖ. Καὶ γὰρ καὶ περὶ τοῦ Πατρὸς τὸ αὐτὸ λέγουσιν αἱ θεῖαι Γραφαί· *Δίκαιος Κύριος, καὶ δικαιοσύνας ἠγάπησε, καὶ ἐμίσησε πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν*, καὶ, *Τὸν μὲν Ἰακὼβ ἠγάπησε, τὸν δὲ Ἡσαῦ ἐμίσησεν.*

D *Ἐκ τοῦ αὐτοῦ λόγου.*

Ἔλεγχος Ἀρειανῶν, καὶ Βαλεντίνων, καὶ Καρποκράτους. Βαλεντίνου μὲν ὁμογενεῖς τοῦ Χριστοῦ λέγοντος τοὺς ἀγγέλους, καὶ ἕνα τούτων ποιοῦντος αὐτὸν, Καρποκράτους δὲ δι' ἀγγέλων λέγοντος δημιουργηθῆναι τὸν κόσμον, Ἀρειανῶν δὲ πρὸς ἀγγέλους τὸν Υἱὸν συγκρινόντων.

Τὴν διακονίαν κρίνων ὁ Ἀπόστολος τῆς τε Παλαιᾶς καὶ τῆς Καινῆς παῤῥησιάζεται πρὸς Ἰουδαίους γράφων, καὶ λέγων, *Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων*. Διὰ τοῦτο γοῦν οὐδὲ τὸ ὅλον συγκριτικῶς εἴρηκε *μείζων* ἢ *τιμιώτερος*, ἵνα μὴ ὡς περὶ ὁμογενῶν τούτων, κἀκείνων τις λογίσηται, ἀλλὰ *κρείττων* εἴρηκεν, ἵνα τὸ διαλλάττον τῆς φύσεως τοῦ

[1] Psal. XLIV, 8. [2] Psal. V, 7. [3] Rom. IX, 13. [4] Hebr. I, 4.

Υἱοῦ πρὸς τὰ γενητὰ γνωρίσῃ. Καὶ τούτων ἔχομεν τὴν ἀπόδειξιν ἐκ τῶν θείων Γραφῶν, τοῦ μὲν Δαβὶδ ψάλλοντος, *Κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας*· τοῦ δὲ Σολομῶντος ἀναφωνοῦντος, *Λάβετε παιδείαν, καὶ μὴ ἀργύριον, καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον. Κρείσσων γὰρ σοφία λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς.* Πῶς γὰρ οὐχ ἑτεροούσια καὶ ἄλλα τὴν φύσιν σοφία καὶ οἱ ἀπὸ γῆς λίθοι; Ποία δὲ συγγένεια ταῖς ἐν οὐρανοῖς αὐλαῖς καὶ τοῖς ἐπὶ γῆς οἴκοις; Ἢ τί ὅμοιον τῶν αἰωνίων καὶ πνευματικῶν πρὸς τὰ πρόσκαιρα καὶ θνητά; Καὶ τοῦτο γὰρ ὁ Ἡσαΐας φησί· *Τάδε λέγει Κύριος τοῖς εὐνούχοις· Ὅσοι ἂν φυλάξωνται τὰ Σάββατά μου, καὶ ἀντέχωνται τῆς Διαθήκης μου, δώσω αὐτοῖς ἐν τῷ οἴκῳ μου καὶ ἐν τῷ τείχει μου τόπον ὀνομαστὸν κρεῖσσον υἱῶν καὶ θυγατέρων ὄνομα αἰώνιον δώσω αὐτοῖς, καὶ οὐκ ἐκλείψει.* Οὕτως ἄρα οὐδεμία συγγένεια τοῦ Υἱοῦ πρὸς τοὺς ἀγγέλους ἐστί. Μηδὲ μιᾶς δὲ οὔσης τῆς συγγενείας, οὐκ ἄρα συγκριτικῶς ἐλέχθη τὸ *κρείττων*, ἀλλὰ διακριτικῶς, καὶ διὰ τὸ διαλλάττον τῆς τούτου φύσεως ἀπ' ἐκείνων. Καὶ αὐτὸς οὖν ὁ Ἀπόστολος τὸ *κρείττων* ἑρμηνεύων οὐκ ἐν ἄλλῳ τινὶ ἢ ἐν τῇ διαφορᾷ τοῦ Υἱοῦ πρὸς τὰ γενητὰ τίθησι λέγων, ὅτι *ὁ μὲν Υἱός, τὰ δὲ δοῦλα.* Καὶ ὁ μὲν ὡς Υἱὸς μετὰ τοῦ Πατρὸς ἐν δεξιᾷ κάθηται, τὰ δὲ ὡς δοῦλα παρέστηκε, καὶ ἀποστέλλεται, καὶ λειτουργεῖ. Οὐκοῦν, εἰ μὲν τῶν γενητῶν ἄλλος ἐστί, τῆς δὲ τοῦ Πατρὸς οὐσίας μόνος ἴδιον γέννημα ὁ Υἱός, ματαιοῦται τοῖς Ἀρειανοῖς ἡ περὶ τοῦ *κρείττων γενόμενος* πρόφασις. Κἂν γὰρ ἐν τούτοις αἰσχυνθέντες βιάζωνται πάλιν λέγειν, συγκριτικῶς εἰρῆσθαι τὰ ῥητά, καὶ διὰ τοῦτο εἶναι τὰ συγκρινόμενα ὁμογενῆ, ὥστε τὸν Υἱὸν τῆς τῶν ἀγγέλων εἶναι φύσεως, αἰσχυνθήσονται μὲν προηγουμένως, ὡς τὰ Βαλεντίνου, καὶ Καρποκράτους, καὶ τῶν ἄλλων αἱρετικῶν ζηλοῦντες, καὶ φθεγγόμενοι, ὧν ὁ μὲν ὁμογενεῖς εἴρηκε τοὺς ἀγγέλους τῷ Χριστῷ, ὁ δὲ Καρποκράτης ἀγγέλους τοῦ κόσμου δημιουργοὺς εἶναί φησι. Παρ' αὐτῶν γὰρ ἴσως μαθόντες καὶ οὗτοι, συγκρίνουσι τὸν τοῦ Θεοῦ Λόγον τοῖς ἀγγέλοις. Ἀλλ' ἐντραπήσονται τοιαῦτα φανταζόμενοι παρὰ μὲν τοῦ Ὑμνῳδοῦ λέγοντος, *Τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ, καί, Τίς ὅμοιός σοι ἐν θεοῖς, Κύριε;* Ἀκούσονται δὲ ὅμως, ἐὰν ἄρα καὶ οὗτοι μάθωσιν, ὡς ἐν τοῖς ὁμογενέσιν ὁμολογουμένως φιλεῖ τὰ τῆς συγκρίσεως γίνεσθαι, καὶ οὐκ ἐν τοῖς ἑτερογενέσιν. Οὐδεὶς οὖν Θεὸν συγκρίνει πρὸς ἄνθρωπον, οὐδὲ πάλιν ἄνθρωπον πρὸς τὰ ἄλογα, οὐδὲ ξύλα πρὸς λίθους διὰ τὸ ἀνόμοιον τῆς φύσεως. Ἀλλὰ Θεὸς μὲν ἀσύγκριτόν ἐστι πρᾶγμα, ἄνθρωπος δὲ πρὸς ἄνθρωπον συγκρίνεται, καὶ ξύλον πρὸς ξύλον, καὶ λίθος πρὸς λίθον, καὶ οὐκ ἄν τις εἴποι ἐπὶ τούτων τὸ κρεῖττον, ἀλλὰ τὸ μᾶλλον, καὶ τὸ πλέον· οὕτως Ἰωσὴφ ὡραῖος μᾶλλόν ἐστι παρὰ τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ Ῥαχὴλ τῆς Λείας. Ἀστὴρ γὰρ ἀστέρος οὐ κρείττων, ἀλλὰ μᾶλλον διαφέρει ἐν δόξῃ. Ἐπὶ δὲ τῶν ἑτερογενῶν, ὅταν τις παραβάλῃ πρὸς

A tiam inter Filium et res procreatas ostenderet. Id quod ex aliis divinæ Scripturæ locis intelligi potest. Nam et David ita canit: *Melior est dies una in atriis tuis super millia* [1]. Et Salomon, *Accipite*, inquit, *disciplinam, et non argentum, et cognitionem super aurum probatam. Melior enim est sapientia lapidibus pretiosis, et quidquid pretiosum est, non est illa dignum* [2]. Quis enim non videt diversam atque aliam esse naturam sapientiæ, atque lapidum, qui sunt e terra? Quæ vero cognatio cœlestibus atriis cum terrestribus domiciliis, aut quæ rebus æternis et spiritalibus cum caducis et mortalibus similitudo? Et Isaias ita loquitur: *Hæc dicit Dominus eunuchis: Qui custodierint sabbata mea, et elegerint, quæ ego volui, et tenuerint fœdus meum, dabo*
B *illis in domo mea, et in muris meis locum celebrem. Nomen filiis et filiabus melius, et sempiternum dabo eis, quod non peribit* [3]. Sic nulla prorsus generis conjunctio est Filio cum angelis. Quamobrem ea vox, *melior*, non comparationem significat, sed differentiam, qua illius natura distat ab angelorum natura. Ac ipse quidem Apostolus vocem illam, *melior*, interpretans, nihil aliud notat nisi differentiam, quæ est inter Filium et res procreatas. Dicit enim illum esse Filium, hos autem servos. Illum uti Filium sedere ad dexteram Patris, hos uti servos astare, et mitti, et ministrare. Quare si eorum, qui creati sunt, illii diversi sunt ab eo, qui ex Patris essentia solus est proprius Filius, stultum est id, quod Ariani colligunt ex ea voce, *melior factus*. Nam
C et in his turpiter convicti coguntur rursum dicere, ea verba fuisse per comparationem prolata, et quæ comparata sunt, eodem genere comprehendi, et Filium ejus esse naturæ, cujus et angeli sunt, ut primum illis erubescendum sit, quod Valentini, et Carpocratis, et aliorum hæreticorum sententias æmulentur et probent, cum Valentinus quidem Christum et angelos ejusdem esse generis dicat, Carpocrates autem mundum ab angelis conditum affirmet. A quibus et ipsi fortasse edocti, Dei Verbum cum angelis comparant. Verum hæc opinantes refellentur a Davide ita concinente: *Quis similis erit Domino in filiis Dei* [4]? Et, *Quis similis tibi in diis, Domine* [5]? Audiant tamen et isti, si forte queant
D intelligere, quomodo ea, quæ genere conjuncta, non autem quæ genere diversa sunt, soleant inter se comparari. Nullus enim Deum cum homine comparat, nec hominem cum animalibus, quæ ratione carent, nec cum lapidibus ligna propter naturæ dissimilitudinem. Sed cum Deo quidem nihil comparari potest. Homo autem cum homine comparatur, et lignum cum ligno, et lapis cum lapide. Ac de his quidem nemo dicet, *melius*, sed *magis*, et *plus*, ut Joseph magis formosus est, quam fratres ejus, et Rachel magis pulchra, quam Lia, et stella non est melior, quam alia stella, sed potius differt in claritate. At de illis, quæ genere diversa

[1] Psal. LXXXIII, 11. [2] Prov. VIII, 10, 11. [3] Isa. LVI, 4. [4] Psal. LXXXVIII, 7. [5] Psal. LXXXV, 8.

sunt, cum loquimur, tum voce hac, *melius*, recte utimur, quemadmodum de sapientia, et lapidibus dictum est. Quare si dixisset Apostolus : Tantum angelis Filius præstat, aut tanto major est, possetis dicere, Filium cum angelis conferri. Nunc autem cum dicat, illum tanto angelis meliorem, tantumque ab illis distare quantum a servis filius distat, eum ab angelis natura diversum esse demonstrat. Cumque rursus dicat, eum omnia fundasse, declarat, ipsum ab omnibus rebus procreatis diversam naturam habere. Idcirco enim et Filius non dixit : *Pater melior me est*, ne quis se a Patris natura alienum diceret, sed dixit, *major me est* [1], non ulla tamen magnitudine, nec tempore, sed ob id quod ex Patre genitus est. Quin etiam Apostolus ipse non præcipue dixit, *Tanto melior angelis factus*, ut Verbi naturam a rerum procreatarum natura per comparationem distingueret, cum nihil ei comparari valeat, quæ prorsus alia diversaque sit, sed potius, ut Verbi peregrinationem in carne, et consilii ejus in genere humano servando dispositionem, respiciens ostenderet, hoc non esse simile eorum, qui præcessissent, ut quantum ab illis differret, qui ab ipso prius fuerant missi, tanto etiam gratiam ab ipso et per ipsum allatam angelorum ministerio meliorem esse constaret. Servorum enim illud tantum erat, ut fructus repeterent, filii vero, ut quæ debebantur, condonaret, vineamque transferret *Tanto melioris testamenti sponsor factus est Jesus* [2]. Et rursum : *Nunc autem præstantius ministerium assecutus, quanto melioris etiam testamenti mediator est, quod quidem melioribus promissis sancitum est. Nihil enim ad perfectionem adduxit lex, sed introductio fuit melioris spei* [3]. Et rursum : *Necesse*, inquit, *erat exemplaria quidem cœlestium his mundari, ipsa vero cœlestia melioribus hostiis, quam istis* [4]. *Melius*, et hic, et ubique ad Dominum refert, qui et melior, et alius est, quam res ipsæ procreatæ. Melior enim est ipsius hostia, melior in ipsum spes, et meliora promissa ab ipso allata, non tanquam magna cum parvis comparata, sed ut alius omnino naturæ, quandoquidem et is, qui illa ministravit, melior est rebus ipsis procreatis. Et illud : *Sponsor factus est*, indicat sponsionem ab illo pro nobis factam. Sicut enim Verbum exsistens factus est caro, quod tamen ad carnem referimus, quæ quidem facta et creata est, sic et hoc loco illud, *factus*, ad testamenti ministerium refertur ab Apostolo. Illud, *Fias mihi in Deum protectorem, et in domum refugii, ut salvum me facias* [5], et illud : *Dominus factus est refugium pauperi* [6], et quæcunque his similia in divinis Scripturis inveniuntur, si ad Filium, quod quidem fortasse verius est, referri dicunt : animadvertant homines sanctos non optare, ut sibi sit adjutor, et domus refugii, quatenus creatus est. Quamobrem et verba illa, *factus*, et *fecit*, et *creavit*, sic accipiant, ut ad ejus in carne præsentiam

A ἄλληλα, τότε τὸ κρεῖττον πρὸς τὸ διαλλάττον λέγεται, καθάπερ ἐπὶ τῆς σοφίας καὶ τῶν λίθων εἴρηται. Εἰ μὲν οὖν εἰρηκὼς ἦν ὁ Ἀπόστολος, Τοσούτῳ μᾶλλον ὁ Υἱὸς τῶν ἀγγέλων προάγει, ἢ τοσούτῳ μείζων ἐστὶν, ἦν ἂν ἡμῖν πρόφασις, ὡς συγκρινομένου τοῦ Υἱοῦ πρὸς τοὺς ἀγγέλους· νῦν δὲ λέγων κρείττονα αὐτὸν εἶναι, καὶ τοσούτῳ διαφέρειν, ὅσῳ διέστηκεν υἱὸς δούλων, δείκνυσιν αὐτὸν ἄλλον εἶναι τῆς τῶν ἀγγέλων φύσεως. Λέγων δὲ πάλιν αὐτὸν εἶναι τὸν θεμελιώσαντα τὰ πάντα, δείκνυσιν αὐτὸν ἄλλον εἶναι πάντων τῶν γενητῶν. Διὰ τοῦτο γὰρ καὶ ὁ Υἱὸς οὐκ εἴρηκεν, *Ὁ Πατήρ μου κρείττων μού ἐστιν*, ἵνα ξένον τις τῆς ἐκείνου φύσεως αὐτὸν ὑπολάβῃ, ἀλλὰ μείζων εἶπεν οὐ μεγέθει τινὶ, οὐδὲ χρόνῳ, ἀλλὰ διὰ τὴν ἐξ αὐτοῦ τοῦ Πατρὸς γέννησιν. Καὶ ὁ Ἀπόστολος δὲ αὐτὸς οὐ τὴν B οὐσίαν προηγουμένως τοῦ Λόγου συγκρῖναι θέλων πρὸς τὰ γενητὰ ἔλεγε, *Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων*· ἀσύγκριτον γὰρ, μᾶλλον δὲ ἄλλο ἐστίν· ἀλλὰ πρὸς τὴν ἔνσαρκον ἐπιδημίαν τοῦ Λόγου βλέπων, καὶ τὴν τότε γενομένην παρ' αὐτοῦ οἰκονομίαν, ἠθέλησε δεῖξαι οὐχ ὅμοιον εἶναι τοῦτον τοῖς πρότερον, ἵνα ὅσῳ τῇ φύσει διαφέρῃ τῶν προαποσταλέντων παρ' αὐτοῦ, τοσούτῳ καὶ πλέον παρὰ τούτου, καὶ διὰ τούτου γενομένη χάρις κρείττων τῆς δι' ἀγγέλων διακονίας γένηται. Δούλων μὲν γὰρ ἦν ἀπαιτεῖν μόνον τοὺς καρποὺς, υἱοῦ δὲ καὶ δεσπότου χαρίσασθαι τὰς ὀφειλὰς, καὶ μεταθεῖναι τὸν ἀμπελῶνα. Κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς. Καὶ πάλιν, *Νυνὶ δὲ διαφορωτέρας τετύχηκε λειτουργίας, ὅσῳ καὶ κρείττονός ἐστι* C *διαθήκης μεσίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται. Καὶ οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος, ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος.* Καὶ αὖθίς φησιν· *Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς, ἐν τούτοις καθαρίζεσθαι, αὐτὰ δὲ τὰ ἐπουράνια κρείττοσι θυσίαις παρὰ ταῦτα.* Τὸ ἄρα κρεῖττον καὶ νῦν, καὶ δι' ὅλων τῷ Κυρίῳ ἀνατίθησι, τῷ κρείττονι καὶ ἄλλῳ παρὰ τὰ γενητὰ τυγχάνοντι. Κρείττων γὰρ ἡ δι' αὐτοῦ θυσία. Κρείττων ἡ ἐν αὐτῷ ἐλπὶς, καὶ αἱ δι' αὐτοῦ ἐπαγγελίαι, οὐχ ὡς πρὸς μικρὰ μεγάλαι συγκρινόμεναι, ἀλλ' ὡς ἄλλαι πρὸς ἄλλα τὴν φύσιν τυγχάνουσαι· ἐπεὶ καὶ ὁ ταῦτα οἰκονομήσας κρείττων τῶν γενητῶν ἐστι. Καὶ τὸ λεγόμενον πάλιν, *γέγονεν ἔγγυος*, τὴν παρ' αὐτοῦ γε- D νομένην σημαίνει ὑπὲρ ἡμῶν ἐγγύην. Ὡς γὰρ Λόγος ὢν σὰρξ ἐγένετο, καὶ τὸ γενέσθαι τῇ σαρκὶ λογιζόμεθα· γενητὴ γάρ ἐστιν αὕτη κτιστὴ τυγχάνουσα· οὕτω καὶ ἐνταῦθα τὸ *γέγονεν* εἰς τὴν τῆς Διαθήκης διακονίαν λογίζεται ὁ Ἀπόστολος. Γέγραπται τοίνυν, *Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν, καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με*· καὶ πάλιν· *Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι*, καὶ ὅσα τοιαῦτα ἐν ταῖς θείαις Γραφαῖς εὑρίσκεται. Εἰ μὲν οὖν εἰς τὸν Υἱὸν ταῦτα εἰρῆσθαι λέγουσιν, ὃ τάχα καὶ μᾶλλον ἀληθές ἐστιν, ἐπιγνώτωσαν ὅτι μὴ ὄντα γενητὸν αὐτὸν ἀξιοῦσι γενέσθαι βοηθὸν αὐτοῖς, καὶ οἶκον καταφυγῆς οἱ ἅγιοι. Καὶ λοιπὸν τὸ γενόμενος,

[1] Joan. xiv, 28. [2] Hebr. vii, 22. [3] Hebr. viii, 6. [4] Hebr. ix, 23. [5] Psal. xxx, 3. [6] Psal. ix, 10.

... *ἐποίησε*, καὶ τὸ *ἔκτισεν* εἰς τὴν ἔνσαρκον α... παρουσίαν λαμβανέτωσαν. Τότε γὰρ γέγονε β..., καὶ οἶκος καταφυγῆς, ὅτε τῷ σώματι αὐτοῦ τὰ[ς ἁ]μαρτίας ἡμῶν ἀνήνεγκεν ἐπὶ τὸ ξύλον, καὶ ἔλεγε· *Δεῦτε, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.* Ἐὰν δὲ εἰς τὸν Πατέρα λέγωσιν εἰρῆσθαι τὰ ῥήματα, ἆρα καὶ ἐπειδὴ καὶ ἐνταῦθα γέγραπται τὸ *γενοῦ*, καὶ τὸ *ἐγένετο*, τοσοῦτον ἐπιχειρήσουσιν, ὡς καὶ περὶ τοῦ Λόγου ἑαυτοῦ τοιαῦτα διαλογίζεσθαι. Φέρει γὰρ αὐτοὺς ἡ ἀκολουθία τοιαῦτα περὶ τοῦ Πατρὸς ὑπονοεῖν, οἷα καὶ περὶ τοῦ Λόγου φαντάζονται.

A referantur. Tunc enim factus est adjutor, et domus refugii, quando corpore suo peccata nostra in lignum sustulit, et dixit: *Venite ad me omnes, qui laboratis, et onerati estis, et ego reficiam vos* [1]. Sin ad Patrem ea referenda dixerint, cum et hic scriptum sit: *fias*, et *factus est*, tanta videntur esse confidentia et arrogantia, ut Deum etiam factum dicant, et quæ de Verbo ipsius asserunt, eadem ad illum referant. Id enim ex verbis ipsis consequitur, ut eadem de Patre cogitent, quæ de Verbo comminiscuntur.

Ἐκ πολλῶν ἐπιχειρημάτων ἀποδείκνυσιν ὅτι γνήσιος καὶ ὁμοούσιος ὁ Υἱὸς τῷ Πατρὶ, ἐκ τοῦ κατὰ Ἀρειανῶν β' Λόγου.

Μὴ ὄντος Υἱοῦ, πῶς ἄρα τὸν Θεὸν κτίστην εἶναι λέγετε; Εἰ γὰρ διὰ Λόγου καὶ ἐν σοφίᾳ πάντα τὰ γινόμενα γίνεται, χωρὶς δὲ τούτου οὐκ ἄν τι γένοιτο, οὐκ ἔχει καθ' ὑμᾶς, ἐν ᾧ, καὶ δι' οὗ τὰ πάντα ποιεῖ. Εἰ δὲ μὴ καρπογόνος ἐστὶν αὐτὴ ἡ θεία οὐσία, ἀλλ' ἔρημος κατ' αὐτοὺς ὡς φῶς μὴ φωτίζον, καὶ πηγὴ ξηρὰ, πῶς δημιουργικὴν ἐνέργειαν ἔχειν αὐτὸν λέγοντες οὐκ αἰσχύνονται; Καὶ ἀναιροῦντες δὲ τὸ κατὰ φύσιν, πῶς τὸ κατὰ βούλησιν προβάλλοντες οὐκ ἐρυθριῶσιν; Εἰ δὲ τὰ ἐκτὸς, καὶ οὐκ ὄντα πρότερον βουλόμενος αὐτὰ εἶναι δημιουργεῖ, καὶ γίνεται τούτων ποιητὴς, πολλῷ πρότερον εἴη ἂν Πατὴρ γεννήματος ἐκ τῆς ἰδίας οὐσίας. Εἰ γὰρ τὸ βούλεσθαι περὶ τῶν μὴ ὄντων διδόασι τῷ Θεῷ, διατί μὴ τὸ ὑπερκείμενον τῆς βουλήσεως οὐκ ἐπιγινώσκουσι τοῦ Θεοῦ; Υπερανabέβηκε δὲ τῆς βουλήσεως τὸ πεφυκέναι καὶ εἶναι αὐτὸν Πατέρα τοῦ ἰδίου Λόγου. Εἰ τοίνυν τὸ πρότερον, ὅπερ ἐστὶ κατὰ φύσιν, οὐχ ὑπῆρξε κατὰ τὴν ἐκείνων ἔννοιαν, πῶς τὸ δεύτερον, ὅπερ ἐστὶ κατὰ βούλησιν, γένοιτ' ἄν; Πρότερον δέ ἐστιν ὁ Λόγος, καὶ δεύτερον ἡ κτίσις. Καὶ δῆλον ἂν εἴη ὅτι ποιητὴς ὢν ὁ Θεὸς ἔχει καὶ τὸν δημιουργικὸν Λόγον οὐκ ἔξωθεν, ἀλλ' ἴδιον ἑαυτοῦ. Πάλιν γὰρ τὸ αὐτὸ ῥητέον· Εἰ τὸ βούλεσθαι ἔχει, καὶ τὸ βούλημα αὐτοῦ ποιητικόν ἐστι, καὶ ἀρκεῖ τὸ βούλημα αὐτοῦ πρὸς σύστασιν τῶν γινομένων, ὁ δὲ Λόγος ἐστὶν αὐτοῦ ποιητικὸς, καὶ δημιουργὸς, οὐκ ἀμφίβολον ὅτι αὐτός ἐστιν ἡ τοῦ Πατρὸς ζῶσα βουλὴ, καὶ ἐνούσιος ἐνέργεια, καὶ Λόγος ἀληθινὸς ἐν ᾧ καὶ συνέστηκε καὶ διοικεῖται τὰ πάντα καλῶς. Οὐδεὶς δὲ διστάσειεν ὡς ὁ ἁρμόζων τῆς ἁρμονίας καὶ τῶν ἁρμοζομένων πρόεστι. Καὶ δεύτερόν ἐστι καθὰ προεῖπον, τὸ δημιουργεῖν τοῦ γεννᾷν τὸν Θεόν. Διὸ καὶ ὅταν ᾖ ἡ οὐσία ποίημα, ἢ κτίσμα, τότε τὸ *ἐποίησε*, καὶ τὸ *ἐγένετο*, καὶ τὸ *ἔκτισε* κυρίως ἐπ' αὐτῶν λέγεται, καὶ σημαίνει τὸ ποίημα. Ὅταν δὲ ἡ οὐσία γέννημα ᾖ, καὶ Υἱὸς, τότε τὸ *ἐποίησε*, καὶ τὸ *ἐγένετο*, καὶ τὸ *ἔκτισεν* οὐκ ἔτι κυρίως ἐπ' αὐτοῦ κεῖται, οὐδὲ ποίημα σημαίνει, ἀλλ' ἀντὶ τοῦ *ἐγέννησε* τῷ *ἐποίησεν* ἀδιαφόρῳ τις κέχρηται ῥήματι. Πολλάκις γοῦν πατέρες τοὺς ἐξ αὐτῶν φύντας δούλους αὐτοὺς ὀνομάζουσι, καὶ οὐκ ἀρνοῦνται τὸ γνήσιον τῆς φύσεως· καὶ πολλάκις τοὺς ἰδίους δούλους φιλοφρονούμενοι τέκνα καλοῦσι, καὶ

Multis argumentis ostendit, Filium esse ejusdem essentiæ cum Patre. Ex secundo libro contra Arianos.

Si Filius non est, quomodo Deum creatorem esse B dicitis? Nam si per Verbum, et in sapientia fiunt omnia, et sine hoc fieri nihil potest, non habet per vos, in quo et per quod omnia facit. Quod si divina ipsius essentia per vos fecunda non est, sed sterilis, instar luminis non illustrantis, et fontis aridi, cur non erubescitis, cum illum vim procreandi habere dicitis? Nonne vos pudet, cum id auferatis ei, quod ad naturam pertinet, illud, quod ad voluntatem spectat concedere? Quod si ea quæ sunt extrinsecus, et quæ non erant prius, cum vult illa esse, facit, et est eorum procreator, multo magis est Filii ex propria essentia Pater. Nam si Deo voluntatem in rebus procreandis conceditis, cur in eo illud, quod hac voluntate superius est, non agnoscitis? Præstat enim ipsum natura C esse, et esse proprii Verbi Patrem, quam voluntate mundum constituere. Quod si illi stultitia vestra adimitur id, quod naturale est, quomodo suppetet illud, quod est voluntarium? Prius enim est Verbum, deinde res procreatæ. Quod si rerum procreator est, et Verbum habet nimirum non extrinsecus, sed proprium ex se. Hoc enim rursum est repetendum. Si voluntatem habet eam, quæ rerum effectrix est, et quæ ad res condendas satis est, Verbum autem ipsius est efficiens et creans, non est dubium quin Verbum ipsum sit viva voluntas Patris, et actio per essentiam exsistens, et Verbum illud verum, quo præclare cuncta constituit et moderatur. Nullus autem ambiget, quin is, qui concinne res disponit, concentu ipso et rebus ordine constitutis D prior sit, posteriusque, ut ante diximus, sit apud Deum mundum procreare, quam Filium gignere. Quamobrem cum de re, quæ facta creatave est, verba fiunt, tunc illis vocibus *fecit*, et *facta est*, et *creavit*, aut *creata est*, recte utimur, ut opus ipsum demonstretur; at cum res, de qua loquimur, et Filius est, tunc illæ voces non adhibentur, aut certe adhibentur improprie. Ut cum patres a se genitos filios appellant servos, non tamen veros esse filios negant; aut cum domini, humanitate et benevolentia quadam adducti servos vocant filios, non tamen se eorum esse dominos abnuunt. Illic enim

[1] Matth. xi, 28.

patres auctoritate utuntur sua, hic autem domini benignitate. Sara quidem Abraham dominum suum appellabat, quamvis non esset serva, sed conjux. Et Apostolus Philemoni domino servum Onesimum ut fratrem reconciliavit. Bersabee vero, licet mater esset, filium vocavit servum; sic enim Davidem allocuta est: *Salomonem*, inquiens, *servum tuum*. Deinde et Nathan propheta ingressus, eadem quæ illa locutus est: *Quoniam Salomonem*, inquiens, *servum tuum*. Non veriti sunt Filium nominare servum. Attamen et David audiens, filium proprium intellexit: et illi qui loquebantur eum esse legitimum filium non ignorabant, cum vellent illum, quem servum appellabant, patris hæredem fieri; erat enim naturalis filius Davidis. Eodem modo cum de Servatore nostro, quem vere Filium confitentur, homines sancti dicunt, eum fidelem esse illi, qui ipsum fecit, aut cum ipse de se: *Dominus*, inquit, *creavit me* [1], et. *Ego servus sum*, inquit, *tuus et filius ancillæ tuæ* [2]: hæc et alia ejusmodi cum quidem audiunt, ne Filii negent proprietatem ex Patre. Alioquin cum audientes Salomonem servum dici, filium tamen confitentur, nonne digni sunt, qui millies pereant, nisi eamdem de Domino cogitationem suscipiant? præsertim si, cum audiunt *germen*, et *Verbum*, et *sapientiam*, has voces ita conantur detorquere, ut naturam, et Filium vere genitum ex Patre negent; audientes autem verba, quæ rei factæ congruunt, de illo dici, statim eo feruntur, ut Filium natura factum opinentur, et Verbum negent, cum tamen possint omnia illa verba, quoniam factus est homo, ad humanitatem ejus referre. Quanquam Ezechias, ut apud Isaiam scriptum est, optans dicebat: *Ex hac die filios faciam*, hoc est, gignam. Et Eva, cum peperisset Cain, *Possedi*, inquit, *hominem per Deum* [3], cum dicere debuisset, Peperi, quippe quæ de partu mentionem fecerat. Neque tamen propterea quod dixit, *Possedi*, putaret aliquis, eam emisse Cain, non autem peperisse. Et patriarcha Jacob sic allocutus est Joseph, *Nunc igitur*, inquiens, *duo filii, qui facti sunt tibi in Ægypto prius, quam ego in Ægyptum venirem ad te, mei sunt, Ephraim et Manasses*. Et de Job ita scriptum est, *Facti sunt ei septem filii, et filiæ tres*. Quemadmodum Moses dixit in lege: *Si fient cuipiam filii*, et, *Si filium fecerit*. Ecce quomodo filios, qui geniti sunt, factos dicant, cum probe sciant fore, ut intelligantur esse filii, nec quidquam referre, utrum facere, an gignere, an possidere dicas, quod natura et veritas cogitationem hominis ad se trahit. Quamobrem quærentibus, utrum Dominus factus creatusque sit, ita respondendum est, ut ipsi prius vicissim interrogentur, an Filium, et Verbum, et sapientiam esse fateantur. Hoc enim concesso statim omnis dubitatio et controversia tollitur. Neque enim res facta Filius, aut Verbum esse potest, neque rursum Filius, res facta. Animadverte autem quantus error consequatur, si Filium dicamus esse

[1] Prov. VIII, 22. [2] Psal. CXV, 16. [3] Gen. IV, 1.

A οὐ κρύπτουσι τὴν ἐξ ἀρχῆς αὐτῶν κτῆσιν. Τὸ μὲν γὰρ ἐπ' ἐξουσίας ὡς πατέρες λέγουσι, τὸ δὲ φιλανθρώπως ὀνομάζουσι. Σάῤῥα γοῦν τὸν Ἀβραὰμ κύριον ἐκάλει, καίτοι μὴ δούλη, ἀλλὰ σύζυγος οὖσα. Καὶ ὁ μὲν Ἀπόστολος Φιλήμονι τῷ κτησαμένῳ συνῆπτεν ὡς ἀδελφὸν Ὀνήσιμον τὸν δοῦλον· ἡ δὲ Βηρσαβεὲ, καίτοι μήτηρ οὖσα, τὸν υἱὸν ἐκάλει δοῦλον, λέγουσα τῷ πατρὶ, *Τὸν δοῦλόν σου Σολομῶντα*. Εἶτα καὶ Νάθαν ὁ προφήτης εἰσελθὼν, τὰ αὐτὰ ἐκείνῃ ἔλεγε τῷ Δαβὶδ, ὅτι *Σολομῶντα τὸν δοῦλόν σου*, καὶ οὐκ ἔμελεν αὐτοῖς τὸν υἱὸν εἰπεῖν δοῦλον. Ἀκούων γὰρ κἀκεῖνος ἐπεγίνωσκε τὴν φύσιν. καὶ οὗτοι δὲ λέγοντες οὕτως οὐκ ἠγνόουν τὸ γνήσιον. Κληρονόμον γοῦν ἠξίουν αὐτὸν τοῦ πατρὸς γενέσθαι, ὃν ὡς δοῦλον ἐκάλουν, ἦν γὰρ υἱὸς τῇ φύσει τοῦ Δαβίδ. Οὕτως οὖν B καὶ περὶ τοῦ Σωτῆρος, τοῦ ἀληθῶς ὁμολογουμένου Υἱοῦ καὶ φύσει Λόγου ὄντος, ἂν λέγωσιν οἱ ἅγιοι, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, ἢ αὐτὸς περὶ ἑαυτοῦ ἂν λέγῃ, *Κύριος ἔκτισέ με*, καὶ, *Ἐγὼ δοῦλός σου καὶ υἱὸς τῆς παιδίσκης σου*, καὶ ὅσα τοιαῦτα, μὴ διὰ τοῦτο ἀρνείσθωσάν τινες τὴν ἐκ τοῦ Πατρὸς αὐτοῦ ἰδιότητα. Ἐπεὶ δὲ οἱ ἀκούοντες Σολομῶντα δοῦλον, ὁμολογοῦσιν υἱὸν, πῶς οὐ πολλάκις ἀπολωλέναι δίκαιοί εἰσιν, ὅτι τὴν αὐτὴν ἐπὶ τοῦ Κυρίου διάνοιαν οὐ σώζουσιν; Ἀλλ' ὅταν μὲν ἀκούωσι γέννημα, καὶ Λόγον, καὶ σοφίαν, βιάζονται παρερμηνεύειν, καὶ ἀρνεῖσθαι τὴν φύσιν καὶ γνησίαν γέννησιν τὴν ἐκ τοῦ Πατρὸς τοῦ Υἱοῦ· ἀκούσαντες δὲ ποιήματος φωνὰς καὶ λέξεως, εὐθὺς εἰς τὸ νομίζειν φύσει ποίημα τὸν Υἱὸν καταφέρονται, καὶ ἀρνοῦνται τὸν Λόγον, καίC τοι δυνάμενοι διὰ τὸ γεγενῆσθαι ἄνθρωπον αὐτὸν πάσας τὰς τοιαύτας λέξεις ἐπιῤῥίπτειν ἐπὶ τὸ ἀνθρώπινον αὐτοῦ. Ὁ γοῦν Ἐζεκίας, ὡς ἐν τῷ Ἡσαΐᾳ γέγραπται, εὐχόμενος ἔλεγεν, *Ἀπὸ γὰρ τῆς σήμερον παιδία ποιήσω*, ἀντὶ τοῦ, γεννήσω. Ἡ Εὔα δὲ τεκοῦσα τὸν Καῒν εἶπεν, *Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ*· ἀντὶ τοῦ τεκεῖν ἄρα καὶ αὐτὴ τὸ *ἐκτησάμην* εἴρηκε. Καὶ γὰρ πρότερον εἰποῦσα τὸν τόκον, ὕστερον εἶπε τὸ *ἐκτησάμην*. Καὶ οὐ διὰ τὸ *ἐκτησάμην* νομίσειεν ἄν τις ἔξωθεν ἠγοράσθαι τὸν Καῒν, καὶ μὴ ἐξ αὐτῆς τετέχθαι. Καὶ ὁ πατριάρχης Ἰακὼβ ἔλεγε τῷ Ἰωσὴφ, Νῦν οὖν οἱ δύο υἱοί σου οἱ γενόμενοί σοι ἐν Αἰγύπτῳ πρὸ τοῦ με ἐλθεῖν πρὸς σὲ εἰς Αἴγυπτον ἐμοί εἰσιν, Ἐφραῒμ καὶ Μανασσῆς. Καὶ ἡ Γραφὴ δὲ περὶ τοῦ Ἰὼβ φησίν, D *Ἐγένοντο υἱοὶ ἑπτὰ αὐτῷ, καὶ θυγατέρες τρεῖς*· ὥσπερ καὶ Μωσῆς εἴρηκεν ἐν τῷ νόμῳ· *Ἐὰν δὲ γένωνταί τινι υἱοὶ*, καὶ, *Ἂν ποιήσῃ υἱόν*. Ἰδοὺ πάλιν τοὺς γεννηθέντας, ὡς γενομένους καὶ ποιηθέντας εἰρήκασιν, εἰδότες ὅτι ἕως ὁμολογοῦνται υἱοὶ, κἂν λέγῃ τις, ὅτι ἐγένοντο, ἢ ἐκτησάμην, ἢ ἐποίησα, οὐδὲν διαφέρει· ἡ γὰρ φύσις καὶ ἡ ἀλήθεια ἕλκει τὴν διάνοιαν εἰς ἑαυτήν. Διὸ καὶ πρὸς τοὺς ζητοῦντας, εἰ ποίημα, ἢ κτίσμα ἐστὶν ὁ Κύριος, χρὴ πρότερον λέγειν, εἰ Υἱός ἐστι, καὶ Λόγος, καὶ σοφία. Τούτων γὰρ ἀποδεικνυμένων, ἐκβάλλεται εὐθὺς, καὶ παύεται ἡ περὶ τοῦ ποιήματος καὶ κτίσματος ὑπόνοια. Οὔτε γὰρ τὸ ποίημα Υἱὸς καὶ Λόγος ἂν εἴη, οὔτε ὁ Υἱὸς

ποίημα ἂν εἴη. Σκοπεῖτε γὰρ πόσον ἔχει πτῶμα τὸ λέγειν ποίημα τὸν Υἱὸν τοῦ Θεοῦ. Λέγει που Σολομὼν ἐν τῷ Ἐκκλησιαστῇ ὅτι *Σύμπαν τὸ ποίημα ὁ Θεὸς ἄξει εἰς κρίσιν.* Οὐκοῦν εἰ ποίημά ἐστιν ὁ Λόγος, ἀχθήσεται παρ' ὑμῖν καὶ αὐτὸς εἰς κρίσιν. Καὶ ποῦ λοιπὸν ἡ κρίσις, κρινομένου τοῦ κριτοῦ; Εἰ δ' ὅτι γέγραπται *πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν*, σκιράττει πάλιν αὐτοὺς τοῦτο νομίζοντας, ὡς ἐπὶ πάντων λέγεσθαι καὶ ἐπ' αὐτοῦ τὸ *πιστὸν*, ὅτι πιστεύων ἐκδέχεται τῆς πίστεως τὸν μισθὸν, ὥρα καὶ διὰ τοῦτο πάλιν αὐτοὺς ἐγκαλεῖν Μωσεῖ μὲν λέγοντι, *Θεὸς πιστὸς*, τῷ Ἀποστόλῳ δὲ γράφοντι, *Πιστὸς ὁ Θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε.* Ἀλλὰ ταῦτα λέγοντες οἱ ἅγιοι οὐκ ἀνθρώπινα περὶ τοῦ Θεοῦ διανοοῦνται· ἀλλ' ἐγίνωσκον διπλοῦν εἶναι τὸν νοῦν ἐν τῇ Γραφῇ περὶ τοῦ *πιστοῦ*, τὸ μὲν ὡς πιστεῦον, τὸ δὲ ὡς ἀξιόπιστον· καὶ τὸ μὲν ἐπ' ἀνθρώπων, τὸ δὲ ἐπὶ Θεοῦ ἁρμόζειν. Πιστὸς γοῦν Ἀβραάμ, ὅτι τῷ λαλοῦντι πεπίστευκε Θεῷ· πιστὸς δὲ ὁ Θεὸς, ὅτι καθὼς ψάλλει Δαβίδ, *Πιστὸς ἐστιν ἐν τοῖς λόγοις αὐτοῦ ὁ Κύριος*, καὶ ἀξιόπιστος, καὶ ἀδύνατόν ἐστι ψεύσασθαι. Καὶ τὸ γεγράφθαι τοίνυν πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν οὐ πρὸς ἄλλους ἔχει τὴν ὁμοιότητα, οὐδ' ὅτι πιστεύων εὐάρεστος γέγονεν, ἀλλ' ὅτι Υἱὸς ὢν τοῦ ἀληθινοῦ Θεοῦ πιστός ἐστι καὶ αὐτὸς, ὀφείλων πιστεύεσθαι, ἐν οἷς ἂν λέγῃ καὶ ποιῇ, αὐτὸς ἄτρεπτος μένων, καὶ μὴ ἀλλοιούμενος ἐν τῇ ἀνθρωπίνῃ οἰκονομίᾳ, καὶ τῇ ἐνσάρκῳ παρουσίᾳ. Οὐ τοίνυν τὰ πρὸ τῆς κτίσεως λεγόμενος ὁ Ἀπόστολος εἴρηκεν, ἀλλ' ὅτε ὁ Λόγος σὰρξ ἐγένετο. Πότε γὰρ ἀπεστάλη, ἢ ὁπηνίκα τὴν ἡμετέραν ἐνεδύσατο σάρκα; Πότε δὲ ἀρχιερεὺς τῆς ὁμολογίας ἡμῶν γέγονεν, ἢ ὅτε προσενέγκας ἑαυτὸν ὑπὲρ ἡμῶν ἤγειρεν ἐκ νεκρῶν τὸ σῶμα; Καὶ νῦν αὐτὸς τοὺς προσερχομένους αὐτοῦ τῇ πίστει προσάγει, καὶ προσφέρει τῷ Πατρὶ, λυτρούμενος πάντας, καὶ ὑπὲρ πάντων ἱλασκόμενος τὰ πρὸς τὸν Θεόν. Οὐ τὴν οὐσίαν ἄρα τοῦ Λόγου, οὐδὲ τὴν ἐκ Πατρὸς αὐτοῦ φύσει γέννησιν σημᾶναι θέλων ὁ Ἀπόστολος εἴρηκε *πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν*, μὴ γένοιτο· ποιῶν γάρ ἐστιν ὁ Λόγος, οὐ ποιούμενος αὐτός· ἀλλὰ τὴν εἰς ἀνθρώπους αὐτοῦ κάθοδον καὶ ἀρχιερωσύνην γενομένην, ἣν καλῶς ἄν τις ἴδοι ἐκ τῆς κατὰ τὸν νόμον καὶ τὸν Ἀαρὼν ἱστορίας.

factum. *Cuncta quæ fiunt*, ut inquit Salomon in Ecclesiaste, *Deus in judicium adducet* [1]. Quare si Verbum est res facta, nobiscum in judicium adducetur. Ecquod autem judicium erit, si judex ipse judicabitur? Quod si perturbantur, quoniam scriptum est, *eum esse fidelem ei, qui fecit ipsum* [2], quod existiment hanc vocem, *fidelem*, ita de illo ut de omnibus accipi, cum is qui fidelis est, hoc est qui credit, mercedem accipiat, videant, ne hoc nomine Moysem etiam in crimen vocent, qui, *Deus*, inquit, *fidelis est* [3], et Apostolum ipsum illa scribentem: *Fidelis Deus, qui non permittet vos tentari supra id quod potestis* [4]. Sciendum est igitur viros sanctos non ea, quæ hominibus conveniunt, in Deum conferre, sed vocem hanc, *fidelem*, in Scriptura dupliciter accipi. Nam fidelis dicitur is, qui credit, et is, qui dignus est, ut ei credatur. Illud hominibus congruit, hoc Deo. Proinde fidelis Abraham, qui Deo loquenti credidit; fidelis est Deus, quoniam, ut David cecinit, *Fidelis est Dominus in omnibus verbis suis* [5], et dignus, cui fides habeatur, et mentiri non potest. Et locus igitur ille ubi scriptum est, fidelem esse ei, qui fecit ipsum, non ita est intelligendus, ut ad similitudinem hominum credens placuerit, sed quod cum sit veri Dei Filius, fidelis est etiam ipse, hoc est dignus, cui fides habeatur in omnibus, quæ vel facit, vel dicit; stabilis enim et ipse est, et non mutatur, quantum ad humanam dispositionem, et ad ejus in carne adventum pertinet. Non enim ab Apostolo id dictum est de illo antequam creatus est, sed posteaquam Verbum caro factum est. Quando enim missus est? nonne quando carnem nostram induit? Quando princeps confessionis nostræ factus est? nonne quando corpus suum, cum se pro nobis obtulisset, a mortuis excitavit? Et nunc accedentes ad fidem suam adducit, et offert Patri, cum omnes redemerit, et omnibus Deum placaverit. Absit igitur, ut credamus, Apostolum dixisse, fidelem eum esse illi, qui fecit ipsum, ut Verbi essentiam et ortum ex Patre significaret, (Verbum enim facit, non autem fit), sed ut ejus ad homines descensum et pontificatum ostenderet, quem facile ex lege et historia Aaron poteris intelligere.

Ἐκ τῆς κατὰ τὸν Ἀαρὼν ἱστορίας τὸ κατὰ Χριστὸν μυστήριον παριστῶν ἐλέγχει τοὺς περί τι κατ' αὐτὸν σφαλλομένους. Ἐκ τοῦ αὐτοῦ λόγου.

Οὗτος ὁ Ἀαρὼν οὐ γεγένηται ἀρχιερεὺς, ἀλλὰ ἄνθρωπος· καὶ μετὰ χρόνον ὅτε ὁ Θεὸς ἠθέλησε γέγονεν ἀρχιερεύς, καὶ γέγονεν οὐχ ἁπλῶς, οὐδὲ ἐκ τῶν συνήθων ἱματίων γνωριζόμενος, ἀλλ' ἐπενδιδυσκόμενος τὴν ἐπωμίδα, τὸ λογεῖον, τὸν ποδήρη, ἃ αἱ γυναῖκες μὲν εἰργάσαντο προστάξει τοῦ Θεοῦ, ἐν τούτοις δὲ εἰσερχόμενος εἰς τὰ ἅγια τὴν ὑπὲρ τοῦ λαοῦ θυσίαν προσέφερεν. Οὕτω τοίνυν καὶ ὁ Κύριος ἐν ἀρχῇ μὲν ἦν ὁ Λόγος, ὅτε δὲ ἠθέλησεν ὁ Πατὴρ ὑπὲρ πάντων λύτρον δοθῆναι, καὶ πᾶσι χαρίσασθαι,

Ex Aaron historia mysterium Christi constituens arguit illos, qui de ipso minus recte sentiunt. Ex eodem libro.

Hic Aaron non pontifex, sed homo natus est. Post autem, quando placuit Deo, factus est, sed ita, ut non ex solitis vestimentis agnosceretur, sed superhumerale et rationale et tunicam indueret, quæ quidem ornamenta mandato Dei mulieres confecerant. His indutus in sancta ingrediebatur, et pro populo sacrificium faciebat. Sic et Dominus initio quidem Verbum erat, sed quando voluit Pater illius sacrificio pro omnibus oblato placari, tunc, ut Aaron tunicam, sic Verbum carnem huma-

[1] Eccle. XII, 14. [2] Hebr. III, 2. [3] Deut. VII, 9. [4] I Cor. X, 13. [5] Psal. CXLIV, 13.

nam sumpsit e terra. Mariam enim Virginem, ut terram intactam sibi matrem elegit, ut habens jam, quod immolari posset, tanquam sacerdos se ipsum offerret Patri, et proprio sanguine nos omnes expiaret a peccatis, et a mortuis excitaret. Et quemadmodum Aaron non mutabatur, licet veste sacra esset indutus, ita Verbum, manens id quod erat, tantummodo tegebatur. Et qui Aaron sacrificantem conspicatus, dicebat: Ecce habemus hodie pontificem Aaron, non significabat eum tunc esse factum hominem (erat enim homo priusquam sacerdos fieret), sed ministerio factum esse pontificem, amictumque vestimentis ad eum qui munere pontificio fungeretur exornandum factis et comparatis: eodem modo possumus de Domino recte cogitare, cum assumpta carne non alium esse factum, sed ea se contexisse. Et illud: *Factus est*, nefas est sic interpretari, ut cum, quatenus Verbum est, factum intelligamus; sed ita accipiendum est, ut cum esset Verbum et procreator, deinde assumpto corpore facto et procreato, quod pro nobis offerre posset, pontificem esse factum cognoscamus. Quando enim factus, aut missus est, nisi cum nostræ similem carnem et sanguinem sumpsit? Et quando factus est misericors et fidelis pontifex? nonne tunc, cum per omnia fratribus similis evasit? Tunc autem fuit ejusmodi, cum homo factus est, et misericors effectus est, cum se pro nobis offerens misertus est nostri. Jam fidelis est factus, non fidem accipiens, aut in aliquem credens quemadmodum nos, sed dignus exsistens cui fides in omnibus, quæ dixerit aut fecerit, habeatur, et quod fidelem hostiam illam permanentem, et nunquam deficientem offert: nam quæ legis præscripto immolabantur hostiæ, fideles ac firmæ non erant, Servatoris autem hostia semel oblata perfecit omnia et fidelis est, æternumque permanet. Fidelis est igitur ut qui non mutatur, sed idem manet promissaque perficit, *Videte*, inquiens, *quia ego sum et non mutor* [1]. Itaque verba illa, *factus est* et *creatus est*, hominem illum significant esse factum. Quamobrem et Petrus cum dixisset, *Dominum et Christum fecit ipsum*, statim subjecit, *hunc Jesum, quem vos crucifixistis* [2]. Neque enim, ut ante monuimus, dixit, Fecit ipsum Verbum, sed Dominum, nec simpliciter, sed *in vos et in medio vestrum fecit*, quod perinde est, ac si diceret, declaravit. Id quod ipse Petrus hanc doctrinam exordiens cum observatione significabat, cum Judæos sic alloqueretur, *Viri Israelitæ, audite verba hæc: Jesum Nazarenum virum approbatum a Deo in vobis virtutibus, et prodigiis, et signis quæ fecit Deus per illum in medio vestri, sicut vos scitis* [3]. Quod enim in orationis fine dictum est *fecit*, dicit hic *approbavit*, seu declaravit. Ex signis enim et rebus admirandis quas Dominus fecit, non simpliciter declaratus est homo, sed in corpore humano

[1] Luc. xxiv, 39. [2] Act. ii, 36. [3] ibid. 22.

τότε δὴ ὁ Λόγος, ὡς Ἀαρὼν τὸν ποδήρη, οὕτω καὶ αὐτὸς ἔλαβε τὴν ἀπὸ γῆς ἀνθρωπίνην σάρκα, Μαρίαν τὴν παρθένον ἀντὶ τῆς ἀνεργάστου γῆς ἐσχηκὼς μητέρα τοῦ σώματος, ἵνα ἔχων τὸ προσφερόμενον αὐτὸς ὡς ἀρχιερεὺς ἑαυτὸν προσενέγκῃ τῷ Πατρὶ, καὶ τῷ ἰδίῳ αἵματι πάντας ἡμᾶς ἀπὸ τῶν ἁμαρτιῶν καθαρίσῃ, καὶ ἀπὸ τῶν νεκρῶν ἀναστήσῃ. Καὶ ὥσπερ ὁ Ἀαρὼν οὐκ ἠλλάσσετο, περιτιθέμενος τὴν ἱερατικὴν ἐσθῆτα, ἀλλὰ μένων ὁ αὐτὸς ἐκαλύπτετο μόνον, καὶ εἰ ἔλεγέ τις ἑωρακὼς αὐτὸν προσφέροντα, Ἰδοὺ γέγονε σήμερον ὁ Ἀαρὼν ἀρχιερεὺς, οὐκ ἐσήμαινεν αὐτὸν ἄνθρωπον τότε γεγενῆσθαι, ἦν γὰρ πρὸ τοῦ ἀρχιερεὺς γενέσθαι ἄνθρωπος, ἀλλ' ὅτι τῇ λειτουργίᾳ πεποίηται ἀρχιερεὺς, περιθέμενος τὰ πεποιημένα καὶ κατασκευασθέντα ἱμάτια τῇ ἱερατείᾳ· τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ Κυρίου δυνατόν ἐστι καλῶς νοεῖν, ὡς οὐκ ἄλλος γέγονε τὴν σάρκα λαβὼν, ἀλλ' ὁ αὐτὸς ὢν ἐκαλύπτετο ταύτῃ. Καὶ τὸ *γέγονε* δὲ, καὶ τὸ *πεποίηται*, οὐχ ὅτι ὁ Λόγος, ᾗ Λόγος ἐστὶ, πεποίηται νοεῖν θέμις, ἀλλ' ὅτι Λόγος ὢν δημιουργὸς, ὕστερον πεποίηται ἀρχιερεὺς, ἐνδυσάμενος σῶμα τὸ γενητὸν καὶ ποιητὸν, ὅπερ καὶ προσενεγκεῖν ὑπὲρ ἡμῶν δύναται. Διὸ καὶ λέγεται πεποιῆσθαι. Πότε γὰρ πεποίηται, καὶ πότε ἀπόστολος γέγονεν, εἰ μὴ ὅτε παραπλησίως ἡμῖν μετέσχε καὶ αὐτὸς αἵματος καὶ σαρκός; Καὶ πότε γέγονεν ἐλεήμων καὶ πιστὸς ἀρχιερεὺς, ἢ ὅτε κατὰ πάντα τοῖς ἀδελφοῖς ὡμοιώθη; ὡμοιώθη δὲ τότε, ὅτε γέγονεν ἄνθρωπος. Καὶ γέγονεν ἐλεήμων μὲν, ὅτε περὶ ἡμῶν προσενέγκας ἠλέησεν ἡμᾶς· πιστὸς δὲ, οὐ πίστεως μετέχων, οὐδὲ εἴς τινα πιστεύων, ὥσπερ ἡμεῖς, ἀλλὰ πιστεύεσθαι ὀφείλων περὶ ὧν ἂν λέγῃ καὶ ποιῇ, καὶ ὅτι πιστὴν θυσίαν προσφέρει, τὴν μένουσαν καὶ μὴ διαπίπτουσαν. Αἱ μὲν γὰρ κατὰ νόμον προσφερόμεναι οὐκ εἶχον τὸ πιστὸν, ἡ δὲ τοῦ Σωτῆρος θυσία ἅπαξ γεγενημένη τετελείωκε τὸ πᾶν, καὶ πιστὴ γέγονε μένουσα διὰ παντός. Πιστὸς γὰρ ὡς οὐκ ἀλλασσόμενος, ἀλλ' ἀεὶ διαμένων, καὶ ἀποδιδοὺς ἃ ἐπήγγελται λέγων, *Ἴδετέ με, ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι.* Καὶ τὸ *πεποίηται* γοῦν, καὶ τὸ *πέπλασται*, καὶ τὸ *ἔκτισται* τὸ ἄνθρωπον αὐτὸν γενέσθαι σημαίνει. Καὶ γὰρ καὶ ὁ Πέτρος εἰρηκὼς, *Κύριον καὶ Χριστὸν αὐτὸν ἐποίησεν*, εὐθὺς ἐπήγαγε, *τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε.* Οὐ γὰρ εἴρηκε, καθὰ προεῖπον, Ἐποίησεν αὐτὸν Λόγον, ἀλλὰ Κύριον. Καὶ οὐχ ἁπλῶς, ἀλλ' εἰς ὑμᾶς, καὶ ἐν μέσῳ ὑμῶν ἐποίησεν, ὃ ἴσον τῷ εἰπεῖν, Ἀπέδειξε. Καὶ τοῦτο ἀρχόμενος ὁ Πέτρος τῆς τοιαύτης διδασκαλίας μετὰ παρατηρήσεως ἐσήμαινεν, ἡνίκα πρὸς αὐτοὺς ἔλεγεν, *Ἄνδρες Ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους τούτους· Ἄνδρα ἀπὸ τοῦ Θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς δυνάμεσι, καὶ τέρασι, καὶ σημείοις, οἷς ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς αὐτοὶ οἴδατε.* Τὸ ἄρα πρὸς τὸ τέλος *ἐποίησε* λεγόμενον, τοῦτο ἐν τῇ ἀρχῇ εἴρηκεν *ἀπέδειξεν*. Ἀπὸ γὰρ τῶν σημείων, καὶ ὧν ἐποίησε θαυμασίων ὁ Κύριος, ἀπεδείχθη οὐχ ἁπλῶς ἄνθρωπος, ἀλλὰ Θεὸς ὢν ἐν σώματι, καὶ Κύριος αὐ-

τὸς ὢν ὁ Χριστός. Τοιοῦτόν ἐστι καὶ τὸ ἐν τοῖς Εὐ- A αγγελίοις λεγόμενον παρὰ τοῦ Ἰωάννου· *Διὰ τοῦτο οὖν μᾶλλον ἐδίωκον αὐτὸν οἱ Ἰουδαῖοι, οὐ μόνον ἔλυε τὸ Σάββατον, ἀλλὰ καὶ Πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ.* Οὐ γὰρ ἔπλαττεν ἑαυτὸν ὁ Κύριος τότε Θεὸν, οὐδὲ ὅλως ἐστὶ ποιούμενος Θεὸς, ἀλλ' ἀπεδείκνυε διὰ τῶν ἔργων λέγων, *Κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις μου πιστεύσατε· ἵνα γνῶτε ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί.* Δῆλον οὖν ὡς νῦν Κύριος καὶ Χριστὸς, ἤτοι βασιλεὺς ἀναδεικνύμενος, οὐκ ἀρχὴν ἔχει τοῦ γενέσθαι νῦν Κύριος καὶ βασιλεὺς, ἀλλ' ἀρχὴν ἔχει τοῦ τὴν κυριότητα αὐτοῦ καὶ βασιλείαν δεικνύειν, καὶ ἐκτείνειν καὶ πρὸς τοὺς ἀπειθήσαντας. Καὶ οὐκ ἀρχὴν τοῦ εἶναι αὐτὸς ἔσχε τότε, ἀλλ' ἡμεῖς ἀρχὴν ἔσχομεν τοῦ εἶναι B αὐτὸν Κύριον ἡμῶν. Οὐχ ἁπλῶς δὲ ἐποίησεν αὐτὸν, ἀλλ' εἰς τὸ κυριεῦσαι πάντων αὐτὸν, καὶ ἁγιάζειν πάντας διὰ τοῦ χρίσματος. Οὐ γὰρ ἔπρεπε δι' ἑτέρου τὴν λύτρωσιν γενέσθαι, ἀλλὰ διὰ τοῦ φύσει Κυρίου, ἵνα μὴ διὰ Υἱοῦ μὲν κτιζόμεθα, ἄλλον δὲ Κύριον ὀνομάζωμεν, καὶ πέσωμεν εἰς τὴν Ἀρειανὴν καὶ τὴν Ἑλληνικὴν ἀφροσύνην, τῇ κτίσει δουλεύοντες παρὰ τὸν κτίσαντα τὰ πάντα Θεόν.

Τῆς αὐτῆς ἀκολουθίας κατὰ Ἀρειανῶν λεγόντων ὀργάνου χρείαν ἀποπληροῦν τὸν Υἱὸν, καὶ δι' ἡμᾶς γεγονέναι.

Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται κἀγὼ ἐργάζομαι. Τὸ δὲ *ἕως ἄρτι* δεικνύει τὸ ἀϊδίως, ὡς Λόγον ὑπάρχειν αὐτὸν ἐν τῷ Πατρί. Λόγου γὰρ ἴδιον ἐργά- C ζεσθαι τὰ τοῦ Πατρὸς ἔργα, καὶ μὴ εἶναι ἐκτὸς αὐτοῦ. Εἰ δὲ ἃ ὁ Πατὴρ ἐργάζεται, ταῦτα καὶ ὁ Υἱὸς ἐργάζεται, καὶ ἃ κτίζει ὁ Υἱὸς, ταῦτα τοῦ Πατρός ἐστι κτίσματα. Ἔργον δὲ καὶ κτίσμα τοῦ Πατρός ἐστιν ὁ Υἱὸς, ἢ καὶ αὐτὸς ἑαυτὸν ἐργάσεται, καὶ ἑαυτὸν ἔσται κτίζων; Ἐπειδὴ ἃ ἐργάζεται ὁ Πατὴρ, ταῦτα καὶ τοῦ Υἱοῦ ἐστιν ἔργα, ὅπερ ἄτοπον ἂν εἴη καὶ ἀδύνατον. Ἢ τὰ τοῦ Πατρὸς κτίζων καὶ ἐργαζόμενος, αὐτὸς οὐκ ἂν εἴη ἔργον οὐδὲ κτίσμα, ἵνα μὴ αὐτὸς, ποιητικὸν αἴτιον ὂν, ἐν τοῖς ποιουμένοις εὑρίσκηται. Πῶς οὖν δι' αὐτοῦ κτίζει, εἰ μὴ Λόγος ἐστὶν αὐτοῦ καὶ σοφία; Πῶς δὲ Λόγος ἂν εἴη καὶ σοφία, εἰ μὴ ἴδιον γέννημα τῆς οὐσίας αὐτοῦ ἐστιν, ἀλλ' ἐξ οὐκ ὄντων καὶ αὐτὸς ἐγένετο; Πῶς δὲ, πάντων ἐξ οὐκ ὄντων καὶ κτισμάτων ὄντων, καὶ D τοῦ Υἱοῦ κατ' ἐκείνους ἑνὸς ὄντος τῶν κτισμάτων, καὶ τῶν οὐκ ὄντων ποτὲ, μόνος οὗτος ἀποκαλύπτει τὸν Πατέρα, καὶ οὐδεὶς ἄλλος, εἰ μὴ μόνος αὐτὸς γινώσκει τὸν Πατέρα; Εἰ γὰρ δυνατὸν ποίημα ὄντα τοῦτον γινώσκειν τὸν Πατέρα, γινωσκέσθω καὶ παρὰ πάντων κατ' ἀναλογίαν τῶν ἑκάστου μέτρων. Ποιήματα γὰρ πάντα, ὥσπερ καὶ αὐτός. Εἰ δὲ οὐ δυνατὸν τοῖς γενητοῖς οὔτε βλέπειν, οὔτε γινώσκειν αὐτὸν, ὑπερβαίνει γὰρ πάντας ἥ τε ὄψις, καὶ ἡ περὶ αὐτοῦ γνῶσις· καὶ γὰρ καὶ αὐτὸς μὲν ὁ Θεὸς εἶπεν, *Οὐδεὶς ὄψεται τὸ πρόσωπόν μου, καὶ ζήσεται*· ὁ δὲ Υἱὸς εἴρηκεν, Οὐδεὶς ἐπιγινώσκει τὸν Πατέρα εἰ μὴ ὁ Υἱός· ἄλλος ἂν εἴη παρὰ τὰ γενητὰ ὁ Λόγος μόνος γινώσκων,

A Deus, et Dominus, et Christus. Hoc et in Evangelio a Joanne indicatur, qui, *Propterea*, inquit, *magis persequebantur ipsum Judæi, quod non modo solvebat Sabbatum, verum etiam Patrem proprium dicebat Deum, seipsum faciens æqualem Deo* [1]. Non enim fingebat seipsum Dominus Deum, neque est omnino factus Deus, sed ipsis factis ostendebat, *Etsi mihi*, inquiens, *non creditis, operibus meis credite, ut cognoscatis me esse in Patre, et Patrem in me* [2]. Perspicuum igitur est, qui nunc Dominus, et Christus, seu rex declaratur, eum non habere principium, ut nunc Dominus fiat, et Rex, sed potius ut dominatum et regnum ostendat suum, cujus vis ad contumaces et incredulos usque protenditur. Et ille quidem initium non habuit, ut B esset Dominus noster, sed nos ipsum habere Dominum nostrum incepimus. Neque vero simpliciter ipsum fecit, sed fecit, ut omnibus imperaret, et omnes unctione sanctos efficeret. Non enim decebat, ut per alium nisi per naturalem Dominum genus humanum redimeretur, ne qui per Filium creati sumus, alium Dominum appellaremus, incideremusque in Arianorum Græcorumque stultitiam, qui præter Deum rerum omnium procreatorem rei procreatæ deserviunt.

Ex eodem loco in Arianos, qui dicunt Filium instrumenti partes egisse, et propter nos esse factum.

Pater meus usque nunc operatur, et ego operor. Illud *usque nunc*, significat ipsum, ut Verbum, in Patre C esse ab omni æternitate. Nam Verbi proprium est, opera Patris operari, et extra Patrem non esse. Quod si ea, quæ Pater agit, agit et Filius, et quæ creantur a Filio, Patris sunt opera. Filius autem, ut isti volunt, est opus Patris, et creatus a Patre, aut ipse se facit, et creat, quandoquidem ea, quæ Pater agit, sunt etiam opera Filii. Quod quidem absurdum est, et fieri non potest. Aut faciens et creans ea, quæ Patris sunt, ipse nec factus, nec creatus est, ne, qui causa efficiens est, in rebus factis reperiatur. Jam quomodo Pater per Filium creat, nisi Verbum ipsius est et sapientia? Quomodo autem Verbum et sapientia illius sit, nisi proprium sit ejus essentiæ germen, sed ex nihilo etiam ipse procreatus? Quomodo autem, cum om- D nia ex nihilo facta creataque sint, Filius, si unus eorum est, solus ex omnibus illis quondam non exsistentibus, Patrem declarat, et nemo alius, nisi ipse solus Patrem cognoscit? Nam si fieri potest, ut hic sit opus, et cognoscat Patrem, ab omnibus etiam pro cujusque modulo cognoscatur, quandoquidem sunt opera, quemadmodum et ille. At si quæ facta sunt, ipsum nec videre nec cognoscere possunt, quod omnium vires superet aspectus ejus et cognitio, cum Deus ipse dicat: *Nemo videbit faciem meam, et vivet* [3], et Filius: *Nemo novit Patrem nisi Filius* [4], Verbum utique aliud est, quam ea, quæ facta sunt, cum ab eo solo cognoscatur et videatur Pater. Quomodo igitur Verbum

[1] Joan. v, 17. [2] Joan. x, 38. [3] Exod. xxxiii, 20. [4] Luc. x, 22.

solum novit Patrem nisi proprium illius est Verbum? Quomodo autem proprium ipsius sit, si creatum est? si verus ejus Filius, et ex ipso non est? Quod autem Filius sit, et solus proprius, non autem opus factum creatumve, Pater ipsius ostendit, *Filius*, inquiens, *meus es tu* [1]. Et: *Hic est Filius meus dilectus, in quo mihi bene complacui* [2]. Quamobrem et angeli ministrabant ei, ut qui ab illis natura diversus esset, et ab ipsis adoratur, non ut qui gloria præstet, sed qui plane alius sit, quam reliquæ res procreatæ, et ipsi etiam angeli, utpote solus Patris proprius per essentiam Filius. Etenim si, ut gloria excellens, adoraretur, quicunque præstarent et excellerent, ab inferioribus essent adorandi. Hoc autem non fit. Nec res ulla creata rem creatam adorat, sed servus dominum, et quæ creata sunt, adorant Deum. Petrus quidem apostolus Cornelium volentem se adorare prohibet, *Et ego*, inquiens, *homo sum* [3]. Et angelus in Apocalypsi ad Joannem, qui volebat ipsum adorare, *Vide*, inquit, *ne feceris. Conservus tuus ego sum, et fratrum tuorum prophetarum, et eorum, qui observant verba libri hujus. Deum adora* [4]. Quare Deus solus est adorandus, id quod norunt etiam ipsi angeli. Quamvis enim inter illos alius alii gloria antecellat, omnes tamen creati sunt, ideoque non adorari, sed adorare Dominum debent. Patrem quidem Sampsonis Manue, qui volebat angelo sacrificium offerre, cohibuit angelus, *Ne mihi*, inquiens, *sed Deo sacrifica* [5]. At Dominus ab angelis adoratur, scriptum enim est: *Et adorent eum omnes angeli Dei* [6]; et ab omnibus gentibus: *Et adorabunt te*, inquit Isaias, *et vovebunt tibi. Quoniam in te Deus est, et non est alius Deus præter te* [7]. Discipulos quidem adorantes non solum admittit, verum etiam certiores facit, quis ipse sit, *Nonne vos*, inquiens, *vocatis me magistrum, et Dominum? et bene facitis, sum enim* [8]. Et Thomam dicentem, *Dominus meus, et Deus meus* [9], permittit dicere; atque adeo non prohibens probat. Est enim, quemadmodum et alii prophetæ dicunt, et David ipse canit, *Dominus virtutum, et Dominus Sabaoth, et Deus verus, et omnipotens* [10]. Cur autem non eodem mandato, quo facta sunt omnia, factus sit Filius a Deo, aut cur per hunc, qui factus est etiam ipse, omnia facta sint, dicant ipsi. Quamvis enim omnia, quæ dicunt, sint absurda et a ratione aliena, audent tamen ita loqui: Deus, inquiunt, cum vellet rerum omnium universitatem procreare, videret autem eam esse naturam ipsarum, ut non posset a se, qui immensus est, procreationem capere, solus solum unum fecit, et creavit, et hunc Filium et Verbum appellavit, ut ejus opera et reliqua omnia deinceps fieri possent. Quis non ex verbis istis absolutam eorum impietatem agnoscat, quam sibi ipsi multa cum imperitia miscentes non erubescunt tanquam ebrii a veritate deficere? Nam si dixerint, Deum, ne in re-

A καὶ μόνος βλέπων τὸν Πατέρα. Πῶς οὖν ἔγνω μόνος, εἰ μὴ μόνος ἴδιος ἦν αὐτοῦ; Πῶς δ' ἂν ἴδιος, εἰ κτίσμα ἦν, καὶ μὴ Υἱὸς ἀληθινὸς, καὶ ἐξ αὐτοῦ; Υἱὸν δὲ αὐτὸν καὶ μόνον ἴδιον δείκνυσιν ἑαυτοῦ ὁ Πατὴρ, καὶ οὐ κτίσμα λέγων, *Υἱός μου εἶ σύ*· καὶ, *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα*. Διὸ καὶ διηκόνουν αὐτῷ οἱ ἄγγελοι, ὡς ἄλλῳ παρ' αὐτοὺς ὄντι, καὶ προσκυνεῖται παρ' αὐτῶν, οὐχ ὡς τῇ δόξῃ μείζων, ἀλλ' ὡς ἄλλος παρὰ πάντα τὰ κτίσματα, καὶ παρ' ἐκείνους ὢν, μόνος δὲ τοῦ Πατρὸς ἴδιος ὢν κατ' οὐσίαν Υἱός. Εἰ γὰρ ὡς τῇ δόξῃ ὑπερέχων προσεκυνεῖτο, ἔδει καὶ ἕκαστον τῶν ὑποβεβηκότων τὸν ὑπερέχοντα προσκυνεῖν. Ἀλλ' οὐκ ἔστιν οὕτως· κτίσματι γὰρ κτίσμα οὐ προσκυνεῖ, ἀλλὰ δοῦλος δεσπότην, καὶ κτίσμα Θεόν. Πέτρος μὲν οὖν ὁ ἀπόστο- B λος προσκυνῆσαι θέλοντα τὸν Κορνήλιον κωλύει λέγων, ὅτι *Κἀγὼ ἄνθρωπός εἰμι*, ἄγγελος δὲ θέλοντα προσκυνῆσαι, τὸν Ἰωάννην ἐν τῇ Ἀποκαλύψει κωλύει λέγων· *Ὅρα μὴ, σύνδουλός σού εἰμι, καὶ τῶν ἀδελφῶν σου τῶν προφητῶν, καὶ τῶν τηρούντων τοὺς λόγους τοῦ βιβλίου τούτου. Τῷ Θεῷ προσκύνησον.* Οὐκοῦν Θεοῦ ἐστι μόνου τὸ προσκυνεῖσθαι. Καὶ τοῦτο ἴσασι καὶ αὐτοὶ οἱ ἄγγελοι, ὅτι κἂν ἀλλήλους δόξαις ὑπερέχουσιν, ἀλλὰ κτίσμα πάντες εἰσὶ, καὶ οὐκ εἰσὶ τῶν προσκυνουμένων, ἀλλὰ τῶν προσκυνούντων τὸν Δεσπότην. Τὸν γοῦν πατέρα τοῦ Σαμψὼν τὸν Μανωὲ θέλοντα θυσίαν προσενεγκεῖν τῷ ἀγγέλῳ ἐκώλυσεν ὁ ἄγγελος λέγων· *Μὴ ἐμοὶ, ἀλλὰ τῷ Θεῷ προσένεγκε.* Ὁ δὲ Κύριος C παρὰ ἀγγέλων προσκυνεῖται· γέγραπται γάρ, *Καὶ προσκυνησάτωσαν αὐτὸν πάντες ἄγγελοι Θεοῦ*· καὶ παρὰ πάντων τῶν ἐθνῶν, ὡς ὁ Ἡσαΐας φησί· *Καὶ προσκυνήσουσί σοι, καὶ ἐν σοὶ προσεύξονται· ὅτι ἐν σοὶ ὁ Θεὸς, καὶ οὐκ ἔστι Θεὸς πλήν σου.* Τούς τε μαθητὰς προσκυνοῦντας δέχεται, καὶ πληροφορεῖ τούτους, ὅστις ἐστὶ, λέγων, *Οὐχ ὑμεῖς με λέγετε ὁ Κύριος, καὶ ὁ διδάσκαλος; καὶ καλῶς λέγετε. Εἰμὶ γάρ.* Καὶ τὸν Θωμᾶν λέγοντα, *Ὁ Κύριός μου καὶ ὁ Θεός μου*, συγχωρεῖ λέγειν, καὶ μᾶλλον ἀποδέχεται μὴ κωλύων αὐτόν. Ἔστι γὰρ αὐτὸς, ὡς οἵ τε ἄλλοι προφῆται λέγουσι, καὶ Δαβὶδ ψάλλων, *Κύριος τῶν δυνάμεων*, καὶ *Κύριος Σαβαὼθ*, καὶ *Θεὸς ἀληθινὸς*, καὶ *Παντοκράτωρ*. Τίνος οὖν ἕνεκεν οὐ γέγονε τὰ πάντα παρὰ μόνου τοῦ D Θεοῦ τῷ προστάγματι, ᾧ γέγονε καὶ ὁ Υἱός; Ἢ διατί διὰ τούτου τὰ πάντα γέγονε, καίτοι καὶ αὐτοῦ γενητοῦ τυγχάνοντος; λεγέτωσαν. Ἀλογία μὲν πᾶσα παρ' αὐτοῖς· φασὶ δὲ ὅμως, ὡς ἄρα θέλων ὁ Θεὸς τὴν γενητὴν κτίσαι φύσιν, ἐπειδὴ ἑώρα μὴ δυναμένην αὐτὴν μετασχεῖν τῆς τοῦ Θεοῦ ἀκράτου καὶ παρ' αὐτοῦ δημιουργίας, ποιεῖ καὶ κτίζει μόνος μόνον ἕνα, καὶ καλεῖ τοῦτον Υἱὸν καὶ Λόγον, ἵνα, τούτου μέσου γενομένου, οὕτω λοιπὸν τὰ πάντα δι' αὐτοῦ γενέσθαι δυνηθῇ. Πῶς οὖν οὐκ ἄν τις τῆς αὐτῶν τέλεον ἐκ τούτων καταγνοίη ἀσεβείας, ἣν μετὰ πολλῆς τῆς ἀφροσύνης ἑαυτοῖς κεράσαντες οὐκ ἐρυθριῶσιν, οὕτω καταμεθύοντες τῆς ἀληθείας; Εἰ μὲν γὰρ διὰ

[1] Psal. II, 7. [2] Matth. III, 27. [3] Act. X, 26. [4] Apoc. XIX, 10. [5] Jud. XIII, 16. [6] Psal. XCVI, 8. [7] Isai. LXV, 14. [8] Joan. XIII, 13. [9] Joan. XX, 28. [10] Psal. XXIII, 10.

τὸ κάμνειν τὸν Θεὸν πρὸς τὴν τῶν ἄλλων ἐργασίαν φήσουσι μόνον αὐτὸν πεποιηκέναι τὸν Υἱὸν, καταβοήσει τούτων πᾶσα μὲν ἡ κτίσις οὐκ ἄξια φθεγγομένων περὶ τοῦ Υἱοῦ, ἐγγράφως δὲ ὁ Ἡσαΐας λέγων, *Θεὸς αἰώνιος ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς οὐ πεινάσει, οὐδὲ κοπιάσει, οὐδὲ ἔστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ.* Εἰ δὲ ὡς ἀπαξιῶν ὁ Θεὸς τὰ ὅλα ἐργάσασθαι, τὸν μὲν Υἱὸν μόνον εἰργάσατο, τὰ δὲ ἄλλα τῷ Υἱῷ ἐνεχείρισε, τοῦτο μὲν ἀνάξιον Θεοῦ· οὐκ ἔστι γὰρ ἐν τῷ Θεῷ τῦφος· ἐντρέψει δὲ αὐτοὺς ὅμως ὁ Κύριος λέγων, *Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ Πατρὸς ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς;* καὶ πάλιν, *Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε, μηδὲ τῷ σώματι ὑμῶν, τί ἐνδύσησθε. Οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος; Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς τὰς ἀποθήκας. καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. Οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; Καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε; Καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει. Λέγω δὲ ὑμῖν, ὅτι οὐδὲ Σολομὼν ἐν ὅλῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. Εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ Θεὸς οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι!* Εἰ γὰρ οὐκ ἀνάξιον Θεοῦ προνοεῖσθαι καὶ μέχρι τῶν οὕτω μικρῶν, τριχὸς κεφαλῆς, καὶ στρουθίων, καὶ τοῦ χόρτου τοῦ ἀγροῦ, οὐκ ἀνάξιον ἦν αὐτοῦ καὶ ταῦτα ἐργάσασθαι. Ὧν γὰρ τὴν πρόνοιαν ποιεῖται, τούτων καὶ ποιητής ἐστι διὰ τοῦ Λόγου τοῦ ἰδίου. Ἄλλως τε καὶ μεῖζον τὸ ἄτοπον τοῖς τοῦτο λέγουσιν ἀπαντᾷ. Διαιροῦσι γὰρ τὰ κτίσματα καὶ τὴν δημιουργίαν· καὶ τὸ μὲν τοῦ Πατρὸς ἔργον, τὰ δὲ τοῦ Υἱοῦ διδόασιν ἔργα, δέον ἢ καὶ τὰ πάντα μετὰ τοῦ Υἱοῦ παρὰ Πατρὸς γίνεσθαι, ἢ εἰ διὰ τοῦ Υἱοῦ πάντα τὰ γενητὰ γίνεται, μὴ λέγειν αὐτὸν ἕνα τῶν ποιημάτων εἶναι. Ἔπειτα δὲ κἀκείνως ἄν τις αὐτῶν ἐλέγξειε τὴν ἄνοιαν. Εἰ καὶ ὁ Λόγος τῆς γενητῆς φύσεώς ἐστι, πῶς, αὐτῆς ἀδυνάτου τυγχανούσης χωρεῖν τὴν τοῦ Θεοῦ αὐτουργίαν, μόνος οὗτος ἐκ πάντων ἠδυνήθη παρὰ τῆς ἀγενήτου καὶ ἀκραιφνεστάτης οὐσίας τοῦ Θεοῦ γενέσθαι, ὡς ὑμεῖς λέγετε; Ἀνάγκη γὰρ ἢ τούτου δυναμένου καὶ πᾶσαν δύνασθαι, ἢ πάσης ἀδυνάτου τυγχανούσης, μὴ δύνασθαι μηδὲ τὸν Λόγον. Εἷς γάρ ἐστι τῶν γενητῶν καὶ οὗτος καθ' ὑμᾶς. Εἰ, διὰ τὸ ἀδύνατον εἶναι τὴν γενητὴν φύσιν μετασχεῖν τῆς τοῦ Θεοῦ αὐτουργίας, μεσίτου χρεία γέγονεν, ἀνάγκη πᾶσα, γενητοῦ καὶ κτίσματος ὄντος τοῦ Λόγου, μέσου χρείαν εἶναι καὶ ἐπὶ τῆς τούτου δημιουργίας, διὰ τὸ εἶναι ἕνα καὶ αὐτὸν τῆς γενητῆς φύσεως, τῆς μὴ δυναμένης μετασχεῖν τῆς παρὰ τοῦ Θεοῦ ἐργασίας, ἀλλὰ μέσου δεομένης. Κἂν ἐκείνου δέ τις εὑρεθῇ μέσος, πάλιν ἑτέρου χρεία μεσίτου δι' ἐκεῖνον, καὶ οὕτω τις ἐπαναβαίνων, καὶ διερευνῶν τῷ λογισμῷ εὑρήσει

A liquis rebus procreandis defatigaretur, solum ipsum Filium fecisse, cum ipsa rerum procreatarum universitas reclamabit, et voce quodammodo clarissima dicet, eos, quæ Deo indigna sunt, loqui, tum scriptis suis illos compescet Isaias, *Deus, inquiens, æternus, qui fecit summitates terræ, non esuriet, neque defatigabitur, neque est inventio prudentiæ ejus.* Sin affirmaverint, Deum fecisse Filium solum, eique rerum universitatem, quam ipse creare dedignaretur, commisisse, et hoc Deo indignum esse constabit, cum in eo nulla sit superbia. Et Dominus sententiam eorum evertet: *Nonne duo,* inquiens, *passeres asse veneunt, et unus ex illis non cadet super terram sine Patre vestro, qui in cœlis est* [1]? Et rursum: *Nolite,* inquit, *solliciti esse animæ* B *vestræ, quid manducetis, neque corpori vestro, quid induamini. Nonne anima plus est quam esca, et corpus plus, quam vestimentum? Respicite volatilia cœli, quoniam non serunt, neque nent, neque congregant in horrea, et Pater vester cœlestis pascit illa. Nonne vos illis antecellitis? Quis autem vestrum cogitans potest adjicere ad staturam suam cubitum unum? Et de vestimento quid solliciti estis? Considerate lilia agri quomodo crescunt: non laborant, neque nent. Dico autem vobis, neque Salomon in omni gloria sua vestiebatur, sicut unum ex his. Si autem fenum agri, quod hodie est, et cras in clibanum mittitur, Deus sic vestit, quanto magis vos, modicæ fidei* [2]! Quare si Deo non est indignum, ut tam parva, nempe ca- C pillum capitis, et passeres, et fenum agri curet, nec eadem ut faciat indignum est Deo. Quibus enim consulit et prospicit, eorum etiam per Verbum proprium effector est. Quid? quod majus etiam incommodum ita loquentes consequitur? Dividunt enim res procreatas ab ipsa procreatione, et hanc Dei opus esse volunt, illas autem opera Filii esse contendunt. Perspicuum autem est, aut omnia simul cum Filio a Deo Patre fieri, aut si per Filium omnia fiunt, ipsum Filium eorum, quæ fiunt, non esse unum. In hoc præterea stultitia istorum coarguitur. Nam si ipsum quoque Verbum factæ est naturæ, quomodo, cum ipsa Dei actionem sustinere non queat, solum Verbum ex omnibus a non facta et purissima Dei natura fieri potuerit, uti vos asseveratis? D Necesse enim ut si Verbum potest, et omnia possint, aut si hæc non possunt, ne Verbum quidem possit, siquidem Verbum, ut ipsi sentiunt, est unum ex iis, quæ facta sunt. Ad hæc si propterea quod natura, quæ creatur et fit, ipsius Dei procreationem capere non valet, necesse fuit, ut medium aliquod fieret, si et Verbum procreatum est, medio fuit aliquo opus ad ejus procreationem. Quod si ita sit, et medium hoc rursum alio medio, et aliud alio deinceps indigebit, atque ita erit necessaria infinita mediorum multitudo, nec res novo semper egentes medio unquam consistent. At enim Deus per Mosem eduxit populum ex Ægypto, et per eumdem, quamvis esset homo, legem dedit. Ex quo,

[1] Matth. x, 29. [2] Matth. vi, 25 sqq.

inquiunt, constat similia per aliud simile fieri posse. Quæ isti cum dicunt, miror, cur non se in latebris condant, ne præ pudore confundantur. Moses non ad creandum missus est, neque ad vocandum ea, quæ non sunt, ut essent, neque ad sui similes homines conflandos et effingendos, sed ad munus hoc obervandum, ut Dei verba populo et Pharaoni regi nuntiaret. Quis autem infinitam in his differentiam non videt, cum legationis munere fungi et ministrare sit eorum, quæ creata et serva sunt, proprium, facere autem et procreare solius Dei, et Verbi ipsius, et sapientiæ? Quapropter nullus inveniet, quemquam procreare, nisi solum Dei Verbum. Omnia enim in sapientia facta sunt, et sine Verbo ne unum quidem factum est: ad alia autem munera obeunda non unus ex omnibus deligitur, sed multi, quos vult ipse Deus. Multi enim adsunt archangeli, multi Throni, multæ Potestates, multæ Dominationes, innumerabilia denique præsto sunt millia ministrorum, qui prompti exspectant mittentis imperium. Prophetæ præterea multi, et apostoli duodecim, et Paulus, et Moses ipse, nec solus tamen, sed et Aaron cum ipso, et alii item septuaginta duo discipuli repleti Spiritu sancto, et Mosi successit Josue filius Nave, et huic ipsi Judices, et his non unus, sed multi reges. Quod si creatus, et unus ex iis qui facti sunt, erat Filius, esse multos ejusmodi filios oportebat, ut multos ejusmodi ministros haberet Deus, quemadmodum et in aliis ordinibus multi sunt. Quod si non licet hoc intueri, sed cum multæ res creatæ sint, unum duntaxat Verbum est, quis non animadvertit Filium a rebus omnibus procreatis ita differre, ut nihil æquale cum illis habeat, sed omnia cum Patre propria et paria? Quamobrem non multa sunt Verba, sed unum Patris Verbum, et una imago Dei. At sol etiam, inquiunt, solus est, et terra una. Eadem ratione dicant etiam aquam esse unam, et ignem esse unum, homines imperiti, qui nesciunt unumquodque eorum, quæ facta sunt, sic unum esse natura sua, ut non ob id tamen ad ejusmodi munus exsequendum sit idoneum. Sic enim singula unum sunt, ut mutua quasi membra quædam inter se sint, et unum quodammodo corpus mundum conficiant. Quod si Filium etiam talem existimant, repellantur ab omnibus, ut qui partem universitatis Verbum asserant, et partem ejusmodi, quæ sine aliis partibus commissum sibi munus obire non possit. Istuc autem si plane constat esse impium, agnoscant Verbum non procreatum, sed omnium procreatorem. At enim ita factum et creatum affirmant, ut ab effectore suo tanquam a magistro didicerit procreare, atque ita præceptori Deo inservire. Hæc enim et Asterius sophista, ut qui didicit negare Deum, ausus est litterarum monumentis mandare, nec animadvertit, quam absurda sint, quæ ex his consequuntur. Nam si creandi ratio doceri potest, caveant, ne Deum etiam ipsum non natura, sed doctrina pro-

A πολὺν ὄχλον ἐπιῤῥέοντα μεσιτῶν, καὶ οὕτως ἀδύνατον ὑποστῆναι τὴν κτίσιν, ἀεὶ μεσίτου δεομένην, καὶ τοῦ μέσου μὴ δυναμένου γενέσθαι χωρὶς ἑτέρου μεσίτου, διὰ τὸ πάντας εἶναι τῆς γενητῆς φύσεως, τῆς μὴ δυναμένης μετασχεῖν τῆς παρὰ μόνου τοῦ Θεοῦ ἐργασίας, ὡς ὑμεῖς λέγετε. Ἀλλ' ἰδοὺ, φησὶ, καὶ διὰ Μωσέως ἐξήγαγε τὸν λαὸν ἐξ Αἰγύπτου, καὶ δι' αὐτοῦ τὸν νόμον ἔδωκε, καίτοι καὶ αὐτοῦ τυγχάνοντος ἀνθρώπου. ὥστε δυνατὸν καὶ διὰ τοῦ ὁμοίου τὰ ὅμοια γίνεσθαι. Τοῦτο δὲ λέγειν αὐτοὺς ἐγκαλυπτομένους ἔπρεπεν, ἵνα μὴ πολλὴν αἰσχύνην ἀπενέγκωνται. Μωϋσῆς γὰρ οὐ δημιουργεῖν ἐπέμπετο, οὐδὲ τὰ μὴ ὄντα εἰς τὸ εἶναι καλέσαι, καὶ πλάσαι τοὺς ὁμοίους ἀνθρώπους, ἀλλὰ διακονῆσαι μόνον ῥήματα πρὸς τὸν λαὸν, καὶ πρὸς τὸν βασιλέα Φαραώ.
B Ἔχει δὲ τοῦτο πολλὴν τὴν διαφορὰν, ὅτι τὸ μὲν διακονεῖν τῶν γενητῶν καὶ δούλων ἐστὶ, τὸ δὲ δημιουργεῖν καὶ κτίζειν μόνου τοῦ Θεοῦ ἐστι, καὶ τοῦ ἰδίου Λόγου αὐτοῦ, καὶ τῆς σοφίας. Διὰ τοῦτο γοῦν ἐπὶ μὲν τοῦ δημιουργεῖν οὐκ ἄν τις ἄλλον εὕροι, ἢ μόνον τὸν τοῦ Θεοῦ Λόγον· πάντα γὰρ ἐν σοφίᾳ γέγονε, καὶ χωρὶς τοῦ Λόγου ἐγένετο οὐδὲ ἕν· πρὸς δὲ τὰς διακονίας οὐχ εἷς, ἀλλ' ἐκ πάντων πολλοί εἰσιν, οὓς ἂν θέλῃ πέμπειν ὁ Κύριος. Πολλοὶ μὲν γὰρ ἄγγελοι, πολλοὶ δὲ θρόνοι, καὶ ἐξουσίαι, καὶ κυριότητες, χίλιαι χιλιάδες, καὶ μύριαι μυριάδες παρεστήκασι λειτουργῶν καὶ ἑτοίμων εἰς τὸ ἐξαποστέλλεσθαι. Καὶ προφῆται μὲν πολλοὶ, καὶ ἀπόστολοι δέκα καὶ δύο, καὶ Παῦλος. καὶ Μωϋσῆς δὲ αὐτὸς οὐ
C μόνος, ἀλλὰ καὶ Ἀαρὼν σὺν αὐτῷ, καὶ μετὰ ταῦτα ἄλλοι ἑβδομήκοντα Πνεύματος ἐπληρώθησαν ἁγίου. Καὶ Μωϋσῆν διεδέξατο Ἰησοῦς ὁ Ναυῆ. κἀκεῖνον οἱ κριταὶ, κἀκείνους οὐχ εἷς, ἀλλὰ πλεῖστοι βασιλεῖς. Εἴπερ οὖν κτίσμα ἦν, καὶ τῶν γενητῶν ὁ Υἱὸς, ἔδει πολλοὺς εἶναι τοιούτους Υἱοὺς, ἵνα καὶ πολλοὺς τοιούτους διακόνους ἔχῃ ὁ Θεὸς, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων πλῆθός ἐστιν. Εἰ δὲ τοῦτο οὐκ ἔστιν ἰδεῖν, ἀλλὰ τὰ μὲν κτίσματα πολλὰ, ὁ δὲ Λόγος εἷς ἐστι, τίς οὐ συνορᾷ καὶ ἐκ τούτων, ὅτι ὁ Υἱὸς διέστηκε τῶν πάντων, καὶ οὐ πρὸς τὰ κτίσματα τὴν ἐξίσωσιν ἔχει, ἀλλὰ πρὸς τὸν Πατέρα τὴν ἰδιότητα; Ὅθεν οὐδὲ πολλοὶ Λόγοι, ἀλλὰ μόνος εἷς τοῦ ἑνὸς Πατρὸς Λόγος, καὶ μία τοῦ Θεοῦ εἰκών ἐστιν. Ἀλλ' ἰδοὺ, φησὶ, καὶ ὁ ἥλιος μόνος εἷς, καὶ ἡ γῆ μία. Καὶ οἱ ἄφρονες
D εἰπάτωσαν, ὅτι καὶ ὕδωρ ἓν, καὶ πῦρ ἓν, ἵνα ἀκούσωσιν ὅτι τῶν γενομένων ἕκαστον ἓν μέν ἐστι κατὰ τὴν ἰδίαν οὐσίαν, πρὸς δὲ τὴν ἐγχειριζομένην διακονίαν καὶ λειτουργίαν οὐκ ἔστιν ἱκανὸν καὶ μόνον αὐτάρκως, ἀλλ' ἕκαστον τῶν γενομένων, ὥσπερ ἀλλήλων, ὄντα μέλη ἓν, καθάπερ σῶμα, τὸν κόσμον ἀποτελοῦσιν. Εἰ τοίνυν οὕτω καὶ τὸν Υἱὸν ὑπολαμβάνουσιν εἶναι, βαλλέσθωσαν παρὰ πάντων, μέρος εἶναι νομίζοντες τῶν πάντων τὸν Λόγον, καὶ μέρος οὐχ ἱκανὸν ἄνευ τῶν ἄλλων πρὸς τὴν ἐγχειρισθεῖσαν αὐτῷ λειτουργίαν. Εἰ δὲ τοῦτο ἐκ φανεροῦ δυσσεβές ἐστιν, ἐπιγνώτωσαν, ὅτι μὴ τῶν γενητῶν ἐστιν ὁ Λόγος, τῶν δὲ γενητῶν δημιουργός. Ἀλλ' εἰρήκασιν, ὅτι κτίσμα ἐστὶ, καὶ τῶν γενητῶν, ὡς δὲ παρὰ διδασκάλου καὶ τεχνίτου μεμάθηκε τὸ δημιουργεῖν,

καὶ οὕτως ὑπηρέτησε τῷ διδάξαντι τῷ Θεῷ. Ταῦτα A γὰρ καὶ Ἀστέριος ὁ σοφιστὴς, ὡς μαθὼν ἀρνεῖσθαι τὸν Κύριον, γράψαι τετόλμηκεν, οὐ συνορῶν τὴν ἐκ τούτων ἀλογίαν. Εἰ γὰρ διδακτόν ἐστι τὸ δημιουργεῖν, σκοπείτωσαν, μὴ καὶ αὐτὸν τὸν Θεὸν καὶ Πατέρα εἴπωσι μὴ φύσει, ἀλλ' ἐπιστήμῃ δημιουργὸν εἶναι, ὥστε καὶ δυνατὸν μεταπίπτειν ἀπ' αὐτοῦ. Ἔπειτα, εἰ ἡ σοφία τοῦ Θεοῦ ἐκ διδασκαλίας ἐκτήσατο τὸ δημιουργεῖν, πῶς ἔτι σοφία ἐστὶ δεομένη μαθημάτων; Τί δὲ ἦν καὶ πρὸ τοῦ μαθεῖν; σοφία γὰρ οὐκ ἦν λειπομένη διδασκαλίας. Κενὸν ἄρα τι πρᾶγμα ἦν, καὶ οὐκ ἔστιν οὐσιώδης σοφία, ἀλλ' ἐκ προκοπῆς ἔσχε τὸ ὄνομα τῆς σοφίας. Καὶ ἐπὶ τοσοῦτον ἔσται σοφία, ἕως ἂν, ὃ μεμάθηκε, φυλάττῃ. Ὃ γὰρ μὴ φύσει τινὶ, ἀλλ' ἐκ μαθήσεως προσγέγονε, B δυνατὸν καὶ ἀπομαθεῖν ποτε. Τοιαῦτα δὲ λέγειν περὶ τοῦ Λόγου τοῦ Θεοῦ οὐ Χριστιανῶν, ἀλλ' Ἑλλήνων ἐστί. Καὶ γὰρ εἰ ἐκ διδασκαλίας τὸ δημιουργεῖν τινι προσγίνεται, φθόνον καὶ ἀσθένειαν περὶ τὸν Θεὸν εἰσάγουσιν οἱ ἄφρονες· φθόνον μὲν, ὅτι μὴ πολλοὺς δημιουργεῖν ἐδίδαξεν, ἵν' ὥσπερ πολλοὶ ἄγγελοι, οὕτω καὶ πολλοὶ δημιουργοὶ αὐτοῦ ὦσιν· ἀσθένειαν δὲ, ὅτι μὴ μόνος ἠδυνήθη ποιῆσαι, συνεργοῦ δὲ, ἢ ὑπουργοῦ χρείαν ἔσχε, καίτοι δειχθείσης καὶ τῆς γενητῆς φύσεως, δυνατῆς οὔσης γίνεσθαι παρὰ μόνου τοῦ Θεοῦ, εἴ γε κατ' αὐτοὺς ὁ Υἱὸς γενητὸς ὢν ἠδυνήθη παρὰ μόνου τοῦ Θεοῦ γενέσθαι. Ἀλλ' οὐδενός ἐστιν ὁ Θεὸς ἐνδεὴς, μὴ γένοιτο. Αὐτὸς γὰρ εἶπε, *Πλήρης εἰμί*. Οὐδὲ ἐκ διδασκαλίας γέγονε δημιουργὸς ὁ Λόγος, ἀλλ' εἰκὼν καὶ σοφία ὢν τοῦ Πατρὸς τὰ τοῦ C Πατρὸς ἐργάζεται. Οὐδὲ τῆς τῶν γενητῶν ἕνεκεν ἐργασίας τὸν Υἱὸν πεποίηκεν. Ἰδοὺ γὰρ καὶ τοῦ Υἱοῦ ὄντος, πάλιν ἐργαζόμενός ἐστιν ὁ Πατὴρ, ὡς αὐτὸς ὁ Κύριός φησιν· *Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι*. Εἰ δὲ καθ' ὑμᾶς διὰ τοῦτο γέγονεν ὁ Υἱὸς, ἵνα τὰ μετ' αὐτὸν ἐργάσηται, φαίνεται δὲ ὁ Πατὴρ καὶ μετὰ τὸν Υἱὸν ἐργαζόμενος, περιττὴ καθ' ὑμᾶς κατὰ τοῦτο ἡ τοῦ τοιούτου Υἱοῦ ποίησις. Ἄλλως τε διατί ὅλως θέλων κτίσαι ζητεῖ τὸν μεσίτην, ὡς οὐκ ἀρκοῦντος τοῦ βουλήματος αὐτοῦ συστῆσαι περὶ ὧν ἂν αὐτῷ δοκεῖ; Καὶ μὲν αἱ Γραφαὶ λέγουσι, *Πάντα ὅσα ἠθέλησεν ἐποίησε*, καὶ, *Τῷ βουλήματι αὐτοῦ τίς ἀνθέστηκεν*; Εἰ δὲ καὶ τὸ βούλημα μόνον ἱκανόν ἐστιν αὐτοῦ πρὸς τὴν τῶν πάντων δη- D μιουργίαν, περιττὴ πάλιν καθ' ὑμᾶς ἡ τοῦ μεσίτου χρεία. Καὶ γὰρ καὶ τὸ παράδειγμα τὸ περὶ τοῦ Μωϋσέως, καὶ τοῦ ἡλίου, καὶ τῆς σελήνης ὑμῶν δέδεικται σαθρόν. Κἀκεῖνο πάλιν ὑμᾶς ἐντρίψει. Εἰ θέλων ὁ Θεὸς τὴν γενητὴν κτίσαι φύσιν, καὶ περὶ ταύτης βουλευσάμενος ἐπινοεῖ, καὶ κτίζει τὸν Υἱὸν καθ' ὑμᾶς, ἵνα δι' αὐτοῦ ἡμᾶς δημιουργήσῃ· σκοπεῖτε πόσην ἀσέβειαν φθέγγεσθαι τετολμήκατε. Πρῶτον μὲν, ὅτι φαίνεται μᾶλλον αὐτὸς ὁ Υἱὸς δι' ἡμᾶς γεγονὼς, καὶ οὐχ ἡμεῖς δι' αὐτόν. Οὐ γὰρ δι' αὐτὸν ἐκτίσθημεν, ἀλλ' αὐτὸς δι' ἡμᾶς πεποίηται, ὥστε χάριν αὐτὸν ἡμῖν μᾶλλον ἔχειν, καὶ μὴ ἡμᾶς αὐτῷ, ὥσπερ καὶ ἡ γυνὴ τῷ ἀνδρί. *Οὐ γὰρ ἐκτίσθη*,

creatorem esse dicant, ut possit etiam artem oblivisci. Præterea si sapientia Dei discendo assecuta est, ut procrearet, quomodo sapientia est, cum indigeat disciplina? Quid porro erat ante quam disceret? Sapientia enim dici non poterat, cum scientia et peritia vacaret. Inanis ergo res erat, nec vere sapientia, sed progressu ipso sapientiæ nomen obtinebat. Et tandiu erit sapientia, quandiu id, quod didicit, conservabit. Quod enim non natura insitum est, sed doctrina partum, dedisci aliquando potest. Hæc autem de Dei Verbo dicere, non profecto Christianorum, sed gentilium est. Etenim si facultas creandi doctrina comparari queat, invidiam vel etiam imbecillitatem stulte in Deum inducunt: invidiam quidem, quia non multos docuerit creandi artem, ut quemadmodum multi circa illum sunt archangeli et angeli, ita et multi essent creatores: imbecillitatem vero, quia non solus res potuerit facere, sed adjutore et administro opus habuerit: quanquam factam naturam a solo Deo fieri posse ostensum jam est, quandoquidem Filius qui, ut putant, est factus, a Deo solo potuit fieri. Verum nulla re certe opus habet Deus: absit. Ipse enim dixit: *Plenus sum* [**]. Nec item Verbum discendo factus est creator: sed cum sit imago et sapientia Patris, ea quæ sunt Patris efficit. Nec etiam Filium creavit, rerum factarum efficiendarum causa: namque quamvis exsistat Filius, Pater nihilominus agit, ut ipse Dominus his verbis docet: *Pater meus usque modo operatur, et ego operor* [1]. Quod si, ut putatis, idcirco Filius factus est, ut ea quæ post illum exsistunt, produceret, et ipse tamen Pater post editum Filium operatur: supervacua sane est hujusmodi Filii procreatio. Quanquam cum vellet res procreare, cur medii cujusquam operam exquisivit, cum ejus voluntas, ad ea, quæ illi placent, conficienda satis sit? Sic enim Scripturæ testantur his verbis: *Omnia, quæcunque voluit, fecit* [2], et, *Voluntati ejus quis restitit?* Quod si voluntas ejus satis est ad rerum omnium procreationem, ex sententia ipsorum alterius opera medii supervacanea est. Nam Mosis, et solis, et lunæ exemplum, quod afferunt, nullius esse momenti declaratum est. Jam, ut hoc etiam argumento confutentur, si Deus volens rerum universitatem procreare, deque ea re consulens excogitat et creat Filium, ut ipsi dicunt, videant, quantam impietatem audeant pronuntiare. Primum videtur ipse Filius propter nos factus esse, non autem nos propter illum. Non enim nos propter ipsum creati sumus, sed ipse propter nos factus est, ut nobis potius ille gratiam debeat, quam nos illi, quemadmodum et mulier viro. *Non enim*, inquit, *vir propter mulierem, sed mulier propter virum* [3]. Quare sicut vir est imago et gloria Dei, mulier autem est gloria viri, ita nos imago Dei et gloria ipsius facti sumus, Filius autem imago nostra, et ad gloriam nostram

[1] Joan. v, 17. [2] Psal. cxiii, 3. [3] I Cor. xi, 11.

factus est. Et nos quidem facti sumus, ut essemus. Dei autem Verbum propter nos, non ut esset, sed ut nobis usui esset tanquam instrumentum factum est, ut non ex ipso nos, sed ipsum ex usu nostro consisteret. Qui hæc vel tantummodo cogitant, nonne omnem stultitiam superant? Etenim si propter nos factum est Verbum, ne prius quidem, quam nos, est apud Deum. Neque enim Deus habens illud in se de nobis consuluit, sed nos habens in se consuluit, ut isti dicunt, de ipso Verbo. Hoc autem si ita est, fortasse ne voluit quidem Filium Pater. Non enim volens ipsum creavit, sed volens nos, propter nos illum fecit. Post nos enim ipsum excogitavit. Quamobrem ex impiorum sententia sequitur, ut supervacaneum sit rerum instrumentum, quarum causa factus est. Jam si Filius, ut qui solus posset a Deo solo fieri, ab eo factus est, nos autem, ut qui non possemus a Deo fieri, per Verbum facti sumus, cur non prius etiam de ipso, ut quod fieri posset, consuluit Deus, sed de nobis? Aut cur non illud, cum sit ejusmodi, nobis imbecillis prætulit? Aut cur prius ipsum faciens, non prius etiam de ipso deliberat? Aut cur prius de nobis consulens, non priores etiam nos fecit, cum ejus voluntas satis sit ad res constituendas? sed prius illud creat, de nobis autem prius consulit, et illo priores non vult? Quid? quod volens nos creare, et de nobis consulens res creatas appellat: Verbum autem, quod propter nos facit, Filium, et hæredem proprium vocat? Æquius autem erat, ut nos quorum gratia et Verbum facit, filios appellaret. An perspicuum est Deum prius cogitare et velle hunc, qui Filius est, et propter quem et omnes nos facit? Quando enim Deus aut Mosem alloquitur aut Abraham promittit, tunc audientes illi respondent, hic quidem, *Quomodo*, inquiens, *id sciam* [1]? ille autem: *Mitte*, inquiens, *alium* [2]. Et rursum: *Si me*, inquiens, *interrogaverint quod illi est nomen*, *quid illis respondebo* [3]? Horum enim uterque Verbum habet medium, et sapientiam Dei, Patris propositum cognoscentem. At quando Verbum agit et creat, non est illic interrogatio et responsio. In ipso enim Pater est, et Verbum in Patre. Sed satis est velle, et protinus opus perfectum est, ut propositi quidem ac voluntatis indicium sit illa vox, *Dixit*, verbis autem illis, *et factum est ita*, opus per Verbum et sapientiam, in qua et Patris voluntas est, factum ostendatur.

φησὶν ἡ Γραφή, ὁ ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλ' ἡ γυνὴ διὰ τὸν ἄνδρα. Ἆρ' οὖν, ὥσπερ ὁ μὲν ἀνὴρ εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχει, ἡ δὲ γυνὴ δόξα ἀνδρός ἐστιν, οὕτως ἡμεῖς μὲν τοῦ Θεοῦ εἰκὼν, καὶ εἰς δόξαν αὐτοῦ γεγόναμεν, ὁ δὲ Υἱὸς ἡμῶν ἐστιν εἰκὼν, καὶ εἰς ἡμῶν δόξαν ὑπέστη; Καὶ ἡμεῖς μὲν εἰς τὸ εἶναι γεγόναμεν, ὁ δὲ τοῦ Θεοῦ Λόγος καθ' ὑμᾶς οὐκ εἰς τὸ εἶναι, ἀλλ' εἰς τὴν ἡμῶν χρείαν, ὡς ὄργανον πεποίηται, ὥστε μὴ ἡμᾶς ἐξ αὐτοῦ, ἀλλ' αὐτὸν ἐκ τῆς ἡμῶν χρείας συνίστασθαι; Καὶ πῶς οὐ πᾶσαν ἄνοιαν ὑπερβάλλουσιν οἱ ταῦτα καὶ μόνον ἐνθυμούμενοι; Καὶ γὰρ, εἰ δι' ἡμᾶς γέγονεν ὁ Λόγος, οὐκ ἔστιν οὐδὲ πρῶτος ἡμῶν παρὰ τῷ Θεῷ. Οὐ γὰρ ἐκεῖνον ἔχων ἐν ἑαυτῷ περὶ ἡμῶν βουλεύεται, ἀλλ' ἡμᾶς ἔχων ἑαυτῷ βουλεύεται, ὡς ἐκεῖνοί φασι περὶ τοῦ ἑαυτοῦ Λόγου. Εἰ δὲ τοῦτό ἐστι, τάχα οὐδὲ ὅλως ἤθελε τὸν Υἱὸν ὁ Πατήρ. Οὐ γὰρ θέλων αὐτὸν ἔκτισεν, ἀλλ' ἡμᾶς θέλων δι' ἡμᾶς αὐτὸν ἐδημιούργησε· μεθ' ἡμᾶς γὰρ αὐτὸν ἐπενόησεν, ὥστε κατὰ τοὺς ἀσεβοῦντας περιττὸν εἶναι λοιπὸν τὸν Υἱὸν, τὸν γενόμενον ὡς ὄργανον τῶν γενομένων, ὧν ἕνεκεν καὶ ἐκτίσθη. Εἰ δὲ ὡς δυνατὸς ὁ Υἱὸς μόνος παρὰ μόνου τοῦ Θεοῦ γέγονεν, ἡμεῖς δὲ ὡς ἀδύνατοι διὰ τοῦ Λόγου γεγόναμεν, διατί μὴ καὶ πρῶτον, ὡς δυνατοῦ ὄντος αὐτοῦ, περὶ αὐτοῦ βουλεύεται, ἀλλὰ περὶ ἡμῶν; ἢ διατί τὸν δυνατὸν οὐ προκρίνει τῶν ἀσθενῶν; ἢ διατί πρῶτον αὐτὸν ποιῶν, οὐχὶ καὶ περὶ πρώτου αὐτοῦ βουλεύεται; ἢ διατί περὶ ἡμῶν πρῶτον βουλευόμενος, οὐ πρώτους ἡμᾶς ἐργάζεται, ἱκανοῦ ὄντος τοῦ βουλήματος αὐτοῦ πρὸς τὴν τῶν ὄντων σύστασιν, ἀλλ' ἐκεῖνον μὲν πρῶτον κτίζει, περὶ δὲ ἡμᾶς πρῶτον βουλεύεται, καὶ πρώτους ἡμᾶς θέλει τοῦ μεσίτου; καὶ ἡμᾶς μὲν θέλων κτίσαι, καὶ περὶ ἡμῶν βουλευόμενος κτίσμα καλεῖ, ἐκεῖνον δὲ, ὃν δι' ἡμᾶς δημιουργεῖ, Υἱὸν καλεῖ καὶ ἴδιον κληρονόμον; Ἔδει δὲ ἡμᾶς, ὧν ἕνεκεν καὶ τοῦτον ποιεῖ, υἱοὺς μᾶλλον καλεῖσθαι. Ἢ δῆλον, ὅτι τοῦτον Υἱὸν ὄντα, τοῦτον καὶ προενθυμεῖται καὶ θέλει, δι' ὃν καὶ πάντας ἡμᾶς ποιεῖ. Ὅταν μὲν γὰρ ὁ Θεὸς ἢ τῷ Μωϋσῇ ὁμιλῇ, ἢ τῷ Ἀβραὰμ ἐπαγγέλληται, τότε ὁ ἀκούων ἀποκρίνεται. Καὶ ὁ μὲν λέγει, *Κατὰ τί γνώσομαι*; ὁ δὲ, *Προχείρισαι ἄλλον*. Καὶ πάλιν, *Ἐὰν ἐρωτήσωσί με τί ὄνομα αὐτῷ, τί ἐρῶ πρὸς αὐτούς*; Ἔχει γὰρ τούτων ἕκαστος τὸν μεσιτεύοντα Λόγον, καὶ τὴν σοφίαν τοῦ Θεοῦ γνωρίζουσαν τὸ βούλημα τοῦ Πατρός. Ὅταν δὲ ἐργάζηται αὐτὸς, καὶ κτίζῃ ὁ Λόγος, οὐκ ἔστιν ἐκεῖ ἐρώτησις, καὶ ἀπόκρισις· ἐν αὐτῷ γάρ ἐστιν ὁ Πατὴρ, καὶ ὁ Λόγος ἐν τῷ Πατρί· ἀλλ' ἀρκεῖ τὸ βούλεσθαι, καὶ τὸ ἔργον γίνεται, ἵνα τοῦ μὲν βουλήματος ᾖ γνώρισμα, τὸ *εἶπε*· τῷ δὲ *καὶ ἐγένετο οὕτω*, τὸ ἔργον σημαίνηται, τὸ διὰ τοῦ Λόγου καὶ τῆς σοφίας, ἐν ᾗ καὶ βούλησίς ἐστι τοῦ Πατρός.

Ex eodem libro. In Arianos, inter quos et Samosatensis comprehenditur, quoniam et ipse censuit, Filium Dei nihil aliud esse nisi Verbum enuntiatum, et mandatum divinum, quo Pater tanquam artifex ut instrumento mechanico usus est ad rerum universitatem constituendam.

Quomodo, inquiunt, Filius ab omni æternitate po-

Κατὰ Ἀρειανῶν, οἷς καὶ τὸν Σαμοσατέα συμπαραλαμβάνει. Καὶ γὰρ καὶ αὐτὸς Λόγον προφορικὸν, καὶ πρόσταγμα θεῖον τὸν Υἱὸν τοῦ Θεοῦ ἐδογμάτιζε, τόν τε Πατέρα ἐν σχήματι τεχνίτου τούτῳ κεχρῆσθαι δίκην ὀργάνου μηχανικοῦ εἰς τὴν τοῦ ποιήματος διακόσμησιν.

Πῶς, φησὶ, δύναται ὁ Υἱὸς ἀϊδίως συνυπάρχειν

[1] Gen. xv, 8. [2] Exod. iv, 13. [3] Exod. iii, 13.

A τῷ Πατρί; καὶ γὰρ καὶ οἱ ἄνθρωποι ἐξ ἀνθρώπων μετὰ χρόνον υἱοὶ γίνονται. Καὶ ὁ μὲν πατὴρ τριάκοντα τυχὸν ἐτῶν ἐστιν, ὁ δὲ υἱὸς ἀρχὴν ἔχει τότε γεννηθείς, καὶ ὅλως πᾶς υἱὸς ἀνθρώπου οὐκ ἦν πρὶν γεννηθῇ. Πάλιν δὲ ψιθυρίζουσι, Πῶς δύναται ὁ Υἱὸς Λόγος εἶναι; ἢ ὁ Λόγος εἰκὼν τοῦ Θεοῦ; Ὁ γὰρ ἀνθρώπων λόγος ἐκ συλλαβῶν συγκείμενος, μόνον ἐσήμανε τὸ βούλημα τοῦ λαλήσαντος, καὶ εὐθὺς πέπαυται καὶ ἠφάνισται. Ἐκεῖνοι μὲν οὖν, ὥσπερ ἐπιλαθόμενοι τῶν προλεχθέντων κατ' αὐτῶν ἐλέγχων, πάλιν διαλογίζονται τοιαῦτα. Ὁ δὲ τῆς ἀληθείας λόγος ἐλέγχει τούτους οὕτως· Εἰ μὲν περὶ ἀνθρώπου τινὸς λογίζονται, ἀνθρωπίνως καὶ περὶ τοῦ λόγου αὐτοῦ, καὶ τοῦ υἱοῦ αὐτοῦ λογιζέσθωσαν. Εἰ δὲ περὶ τοῦ Θεοῦ τοῦ κτίσαντος τοὺς ἀνθρώπους, B μηκέτι ἀνθρωπίνως, ἀλλὰ ἄλλως ὑπὲρ τὴν τῶν ἀνθρώπων φύσιν διανοείσθωσαν. Ὁποῖος γὰρ ἂν εἴη ὁ γεννῶν, τοιοῦτον ἀνάγκη καὶ τὸ γέννημα εἶναι. Καὶ ὁποῖος ἂν εἴη ὁ τοῦ λόγου πατήρ, τοιοῦτος ἂν εἴη καὶ ὁ λόγος αὐτοῦ. Ὁ μὲν οὖν ἄνθρωπος ἐν χρόνῳ γενόμενος, ἐν χρόνῳ καὶ αὐτὸς γεννᾷ τὸ τέκνον. Καὶ ἐπειδὴ ἐκ τοῦ μὴ ὄντος γέγονε, διὰ τοῦτο καὶ ὁ λόγος αὐτοῦ παύεται, καὶ οὐ μένει. Ὁ δὲ Θεὸς οὐχ ὡς ἄνθρωπός ἐστι· τοῦτο γὰρ εἶπεν ἡ Γραφή· ἀλλ' ὤν ἐστι, καὶ ἀεί ἐστι. Διὰ τοῦτο καὶ ὁ Λόγος αὐτοῦ ὤν ἐστι, καὶ ἀϊδίως ἐστὶ μετὰ τοῦ Πατρὸς, ὡς ἀπαύγασμα φωτός. Καὶ ὁ μὲν τῶν ἀνθρώπων λόγος ἐκ συλλαβῶν ἐστι συγκείμενος, καὶ οὔτε ζῇ, οὔτε τι ἐνεργεῖ, ἀλλὰ μόνον ἐστὶ σημαντικὸς τῆς τοῦ λαλοῦντος διανοίας, καὶ μόνον ἐξῆλθε, καὶ παρῆλθε C μηκέτι φανούμενος, ἐπειδὴ οὐδὲ ἦν ὅλως πρὶν λαληθῆναι. Διὸ οὔτε ζῇ, οὔτε ἐνεργεῖ, οὔτε ὅλως ἄνθρωπός ἐστιν ὁ τῶν ἀνθρώπων λόγος. Πάσχει δὲ τοῦτο, καθὰ προεῖπον, ἐπειδὴ καὶ ὁ γεννῶν τοῦτον ἄνθρωπος ἐκ τοῦ μὴ ὄντος ἔχει τὴν φύσιν. Ὁ δὲ τοῦ Θεοῦ Λόγος, οὐχ ὡς ἄν τις εἴποι, προφορικός ἐστιν, οὐδὲ ψόφος ῥημάτων, οὐδὲ τὸ προστάξαι Θεὸν τοῦτό ἐστιν Υἱὸς, ἀλλ' ὡς φῶς, καὶ ἀπαύγασμα οὕτως ἐστὶ γέννημα τέλειον ἐκ τελείου. Διὸ καὶ εἰκὼν τοῦ Θεοῦ ἐστι, καὶ Θεός. Καὶ Θεὸς γὰρ ἦν, φησὶν, ὁ Λόγος· Καὶ οἱ μὲν λόγοι τῶν ἀνθρώπων οὐδέν εἰσιν εἰς ἐνέργειαν. Διὸ καὶ οὐ διὰ λόγων, ἀλλὰ διὰ χειρῶν ἄνθρωπος ἐργάζεται, ὅτι αὗται μὲν ὑπάρχουσιν, ὁ δὲ λόγος αὐτοῦ οὐχ ὑφίσταται. Ὁ δὲ τοῦ Θεοῦ Λόγος, ὡς εἶπεν D ὁ Ἀπόστολος, ζῶν ἐστι, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ σώματος. Ἔπρεπε γὰρ, ἑνὸς ὄντος τοῦ Θεοῦ, μίαν εἶναι καὶ τὴν εἰκόνα, καὶ ἕνα τὸν τούτου Λόγον, καὶ μίαν τὴν τούτου σοφίαν. Διὸ καὶ θαυμάζω πῶς, ἑνὸς ὄντος τοῦ Θεοῦ, οὗτοι κατὰ τὰς ἰδίας ἐπινοίας πολλὰς εἰκόνας, καὶ σοφίας, καὶ λόγους ἐπενόησαν. Καὶ ἄλλον μὲν εἶναι τὸν ἴδιον καὶ φύσει Λόγον τοῦ Πατρὸς λέγουσιν, ἐν ᾧ καὶ τὸν Υἱὸν πεποίηκε· τὸν δὲ ἀληθῶς Υἱὸν κατ' ἐπίνοιαν λέγεσθαι Λόγον, ὡς ἄμπελον, καὶ ὁδὸν, καὶ θύραν, καὶ ξύλον ζωῆς. Σοφίαν τε ὀνόματι λέγεσθαι αὐτόν φασιν, ἄλλην μέντοι εἶναι τὴν ἰδίαν καὶ ἀλη-

A test simul esse cum Patre? Etenim filii post tempus homines ex hominibus fiunt; et cum, verbi causa, pater triginta annorum est, tunc filius genitus principium habet; nullusque omnino hominis filius erat antequam gigneretur? Rursumque garriunt ad hunc modum: Filius Verbum esse, aut Verbum imago Dei, quando verbum hominis ex syllabis constans solum loquentis cogitationem indicat, et simul ac prolatum est, dissipatur et evanescit? Isti quidem earum rationem, quibus ante confutati sunt, obliti, hæc iterum afferunt, sed veritatis verbum eos refellit hoc modo: Si de homine quopiam disserunt, humano more de verbo, deque filio ipsius loquantur. Sin de Deo, qui homines procreavit, non humana, sed excellentiore quadam B ratione de illo cogitent. Qualis enim genitor est, talis est etiam qui gignitur necessario. Et qualis est verbi pater, tale nimirum est verbum ejus. Quapropter homo in tempore genitus, in tempore et ipse filium gignit. Et quoniam ex nihilo factus est homo, idcirco verbum etiam illius in nihilum redigitur et aboletur. Deus autem, ut Scriptura testatur, non est, sicut homines sunt, sed est ille, qui est, et qui semper est [1]. Itaque et Verbum ejus vere est, et ab omni æternitate cum Patre est, tanquam splendor lucis. Atque hominum quidem verbum ex syllabis constat, neque vivit, neque quidquam agit, sed tantum loquentis sententiam explicat, et solum exit, et præterit, nec C amplius apparet: quippe quod nec erat antequam enuntiaretur. Quare nec vivit, nec agit quidquam, nec omnino verbum hominis homo est. Hoc autem accidit, ut ante dixi, quoniam et homo, qui verbum hoc parit, ex nihilo naturam habet. At Dei Verbum non, ut aliquis dicat, ore pronuntiatur, nec edit vocis sonum, neque quod mandat ac præcipit Deus, id Filius est, sed uti lux et splendor, sic est germen perfectum ex perfecto. Quamobrem et Deus est, et imago Dei. *Et Deus* enim, inquit, *erat Verbum*. Ac hominum quidem verba re nihil sunt. Quocirca non verbis, sed manibus agunt homines. Quia manus exsistunt, verba autem nihil habent firmamenti. At Dei Verbum, ut Apostolus ait [2], vivit, et efficax est, et penetrabilius omni gladio ancipiti, et pertingit us- D que ad divisionem animi et spiritus. Decebat enim, ut cum unus esset Deus, una item esset imago ipsius, et Verbum unum, et una sapientia. Quamobrem miror, cur isti, cum unus sit Deus, opinionis errore multas sibi imagines, et sapientias, et verba confinxerint. Atque aliud quidem proprium, et natura Verbum Patris, quo Filium etiam fecit, esse dicunt. Nam vere Filium opinione dici Verbum, sicut etiam vitis, et via dicitur, et ostium, lignum vitæ, et sapientia nomine duntaxat. Aliam enim esse veram illam Patris sapientiam, quæ non genita cum ipso consistit, qua Filium fecit eum, quem quod illius esset sapientiæ particeps, sapientiam nomi-

[1] Exod. III, 14. [2] Hebr. IV, 12.

navit. Hæc illi dum obloquuntur, nonne omni odio sunt digni? Si enim, ut ipsi putant, non quia genitus est a Patre, nec propter essentiæ æternitatem Filius est, sed propter illa, quæ loquendi facultate prædita sunt Verbum est, et propter illa quæ sapientia sunt ornata, sapientia dicitur, ut virtus ob illa quæ virtutem habent: Filius item vocatus est propter nos, qui a se filii facti sumus, et propter illa fortasse, quæ sunt, habet, ut sit. Quid igitur erit ipse? neque enim est horum quidquam, et hæc sunt duntaxat ipsius nomina, quibus propter nos decoratus est, cum exsistendi speciem tantum habeat. Verum ista diabolica est, vel deterior etiam cogitatio. Siquidem Verbum Dei nomine tantum opinantur esse, cum se ipsi vere putent exsistere. Quæ porro verborum portenta sunt ista, ut sapientiam dicant simul esse cum Patre, hanc autem Christum esse negent, sed cum multæ sint virtutes, et sapientia creatæ, Christum earum unam asserant esse, cumque cum bruchis et locustis comparent? Quid? nonne plane vafri, veteratores, malitiosique sunt qui audientes nos dicere, Verbum simul esse cum Patre, calumniantur, et, Duo ergo, inquiunt, non genita constituitis? At ipsi dicentes ipsius sapientiam non esse genitam non animadvertunt idem reprehensionis telum contra se posse retorqueri. Etenim isthæc ipsa eorum opinio nonne plane stulta est, dum dicunt non genitam sapientiam simul exsistentem cum Deo esse Deum? Aliquid enim simul esse dicitur, non quia secum, sed quia cum aliquo sit. Quemadmodum Evangelistæ de Domino dicunt, Simul erat cum discipulis, non quia secum ipse, sed quia cum illis erat. Nisi vero compositum esse Deum affirmaverint, habereque sapientiam, quæ nec ipsa genita sit, connexam, et complentem ipsius essentiam, quam quidem sapientiam mundi effectricem inducunt, ut ejus procreationem adimant Filio, et Verbi ac sapientiæ abutuntur nomine, aliudque sibi Verbum et sapientiam confingentes, verum Dei Verbum et veram ac solam Dei sapientiam negant, atque ita homines impii Manichæos imitantur.

Ex eodem libro.

Quemadmodum cum audimus Joannem dicentem: *Verbum caro factum est*[1], non Verbum ipsum totum carnem intelligimus, sed carnem induisse, atque hominem factum esse, et cum audimus: *Christus factus est maledictum pro nobis*[2], et: *Qui peccatum non novit, pro nobis peccatum fecit*[3], non totum esse factum maledictionem, aut peccatum intelligemus, sed maledictionem nostram, ut ait Apostolus, suscepisse, ut nos a maledictione liberaret, peccata vero nostra, ut inquit Isaias[4], ipsum tulisse, eaque, ut Petrus ait[5], in corpore suo sustulisse super lignum: sic cum audiverimus illud

A θινὴν σοφίαν τοῦ Πατρὸς, τὴν ἀγεννήτως συνυπάρχουσαν αὐτῷ, ἐν ᾗ καὶ τὸν Υἱὸν ποιήσας ὠνόμασε κατὰ μετουσίαν ἐκείνης σοφίαν αὐτόν. Τοῦτο δὲ καὶ μόνον φθεγξάμενοι, πῶς οὐκ ἄξιοι παντὸς μίσους εἰσίν; Εἰ γὰρ, ὡς αὐτοὶ νομίζουσιν, οὐ διὰ τὴν ἐκ Πατρὸς γέννησιν καὶ τὸ ἀΐδιον τῆς οὐσίας Υἱός ἐστιν, ἀλλὰ διὰ τὰ λογικὰ Λόγος, καὶ διὰ τὰ σοφιζόμενα σοφία, καὶ διὰ τὰ δυναμούμενα δύναμις λέγεται, πάντως που καὶ διὰ τοὺς παρ' αὐτοῦ υἱοποιουμένους Υἱὸς ἐκλήθη, καὶ τάχα διὰ τὰ ὄντα ἔχει καὶ τὸ εἶναι. Τί οὖν ἄρα λοιπόν ἐστιν αὐτός; Οὐδὲν γὰρ ἂν εἴη τούτων αὐτὸς, εἰ ὀνόματα μόνον ἐστὶν αὐτοῦ ταῦτα, καὶ μόνον τοῦ εἶναι φαντασίαν ἔχει δι' ἡμᾶς, καὶ τοῖς ὀνόμασι τούτοις καλλωπιζόμενος. Ἀλλὰ τοῦτο διαβολικὴ μᾶλλόν ἐστιν ἀπόνοια, τάχα δὲ καὶ B πλεῖον, ὅτι αὐτοὺς μὲν ἀληθῶς ὑφεστάναι θέλουσι, τὸν δὲ τοῦ Θεοῦ Λόγον ὀνόματι μόνον νομίζουσιν εἶναι. Πῶς δὲ οὐ τερατολογία αὐτῶν καὶ ταῦτα, λέγειν μὲν σοφίαν συνυπάρχουσαν τῷ Πατρὶ, μὴ λέγειν δὲ ταύτην τὸν Χριστὸν, ἀλλὰ πολλὰς δυνάμεις κτιστὰς καὶ σοφίαν εἶναι, τούτων δὲ μίαν εἶναι τὸν Κύριον, τὸν καὶ τῇ κάμπῃ καὶ τῇ ἀκρίδι παραβαλλόμενον παρ' αὐτῶν; Πῶς δὲ οὐ πανοῦργοι, ὅτι παρ' ἡμῶν μὲν ἀκούοντες συνυπάρχειν τὸν Λόγον τῷ Πατρὶ, γογγύζουσιν εὐθὺς φάσκοντες, Οὐκοῦν δύο ἀγέννητα λέγετε; Αὐτοὶ δὲ λέγοντες ἀγέννητον τὴν αὐτοῦ σοφίαν, οὐχ ὁρῶσι κατ' αὐτῶν φθάνουσαν, ἣν αἰτιῶνται ματαίαν μέμψιν. Καὶ γὰρ κἀκείνη πάλιν αὐτῶν ἡ διάνοια πῶς οὐ πάνυ μωρὰ, λέγειν τὴν C ἀγέννητον συνυπάρχουσαν τῷ Θεῷ σοφίαν αὐτὴν εἶναι τὸν Θεόν; τὸ γὰρ συνυπάρχον οὐχ ἑαυτῷ, τινὶ δὲ συνυπάρχει, ὡς περὶ τοῦ Κυρίου λέγουσιν οἱ εὐαγγελισταὶ, ὅτι συνῆν τοῖς μαθηταῖς. Οὐ γὰρ ἑαυτῷ, ἀλλὰ τοῖς μαθηταῖς συνῆν. Εἰ μὴ ἄρα σύνθετον εἴποιεν τὸν Θεὸν ἔχοντα συμπεπλεγμένην, ἢ συμπληρωτικὴν τῆς οὐσίας αὐτοῦ τὴν σοφίαν ἀγέννητον οὖσαν καὶ αὐτὴν, ἥντινα καὶ δημιουργὸν εἰσάγουσι τοῦ κόσμου, ἵνα καὶ τοῦ δημιουργεῖν τὸν Υἱὸν ἀφέλωνται. Καὶ τῷ μὲν ὀνόματι τοῦ Λόγου, καὶ τῆς σοφίας καταχρῶνται, ἕτερα δὲ ἑαυτοῖς ἀναπλάττοντες ἀρνοῦνται τὸν ἀληθινὸν τοῦ Θεοῦ Λόγον, καὶ τὴν ὄντως καὶ μόνην σοφίαν τοῦ Θεοῦ, καὶ Μανιχαίους λοιπὸν ζηλοῦσιν οἱ ἄθλιοι.

Ἐκ τοῦ αὐτοῦ λόγου.

D Ὥσπερ Ἰωάννου ἀκούοντες, *Ὁ Λόγος σὰρξ ἐγένετο*, οὐκ αὐτὸν ὅλον σάρκα νοοῦμεν τὸν Λόγον, ἀλλὰ σάρκα ἐνδυσάμενον, καὶ γενόμενον ἄνθρωπον, ἀκούοντές τε, *Χριστὸς γέγονεν ὑπὲρ ἡμῶν κατάρα, καὶ τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν*, οὐκ αὐτὸ τοῦτο ὅλον κατάραν καὶ ἁμαρτίαν νοοῦμεν αὐτὸν γεγενῆσθαι, ἀλλ' ὅτι τὴν μὲν καθ' ἡμῶν κατάραν ἀνεδέξατο, ὡς εἶπεν ὁ Ἀπόστολος, ἐξαγοράσας ἡμᾶς ἐκ τῆς κατάρας, τὰς δὲ ἁμαρτίας ἡμῶν, ὡς μὲν Ἡσαΐας εἶπεν, ἐβάστασεν· ὡς δὲ ὁ Πέτρος εἶπεν, ἀνήνεγκεν αὐτὰς τῷ σώματι ἐπὶ τοῦ ξύλου· οὕτως ἐὰν ἀκούσωμεν ἐν ταῖς

[1] Joan. I, 14. [2] Galat. III, 13. [3] II Cor. V, 21. [4] Isa. LIII, 5. [5] I Petr. II, 21.

Παροιμίαις τὸ *ἔκτισεν*, οὐ δεῖ κτίσμα ὅλον τῇ φύσει νοεῖν τὸν Λόγον, ἀλλ' ὅτι τὸ κτιστὸν ἐνεδύσατο σῶμα, καὶ ὑπὲρ ἡμῶν ἔκτισεν αὐτὸν ὁ Θεὸς εἰς ἡμᾶς, τὸ κτιστὸν αὐτῷ καταρτίσας, ὡς γέγραπται, σῶμα, ἵν' ἐν αὐτῷ ἀνακαινισθῆναι καὶ υἱοποιηθῆναι δυνηθῶμεν. Τί τοίνυν ὑμᾶς ἠπάτησεν, ὦ ἀνόητοι, εἰπεῖν τὸν Κτίστην κτίσμα; ἢ πόθεν ἠγοράσατε ἑαυτοῖς τὸ καινὸν φρόνημα τοῦτο, καὶ ἐν αὐτῷ πομπεύετε; Αἱ γὰρ Παροιμίαι λέγουσι τὸ *ἔκτισεν*, ἀλλ' οὐ λέγουσι κτίσμα τὸν Υἱὸν, ἀλλὰ γέννημα. Τὸ δὲ ἔκτισε λέγουσαι οὐκ ἐπὶ τῆς οὐσίας αὐτοῦ λέγουσιν, ἀλλὰ πολλῶν ὁδῶν ἀρχὴν αὐτὸν γενέσθαι σημαίνουσιν.

A ex Proverbiis [1], *creavit*, non totum natura creatum Verbum debemus intelligere, sed corpus creatum suscepisse. Pro nobis enim creavit ipsum Deus, creatum ipsi, ut scriptum est [2], corpus accommodans, ut in eo possemus nos renovari, filiique fieri. Quid ergo decepit vos, o stulti, ut Creatorem creatum esse diceretis? Aut unde vobis inane istud figmentum comparastis, in quo vobis tantopere placetis et plauditis? In libro enim Proverbiorum legimus quidem. *creavit*, non tamen invenimus Filium creatum dici, et esse genitum, sed illud, creavit non refertur ad ejus essentiam, sed eo, ut multarum viarum initium esse factum ostendatur.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Οὐ κτίσμα ἐστὶν, ἀλλὰ κτίστης μέν ἐστιν ὁ τοῦ Θεοῦ Λόγος. Τότε δὲ λέγει παροιμιωδῶς, *Ἔκτισέ με*, ὅτε τὴν κτιστὴν ἐνεδύσατο σάρκα. Καὶ τοῦτο πάλιν δυνατόν ἐστι καὶ ἐξ αὐτοῦ τοῦ ῥητοῦ διανοεῖσθαι. Υἱὸς γὰρ ὤν, καὶ Πατέρα τὸν Θεὸν ἔχων, αὐτοῦ γὰρ ἴδιόν ἐστι γέννημα, ὅμως Κύριον ὀνομάζει τὸν Πατέρα, οὐχ ὅτι δοῦλος ἦν, ἀλλ' ὅτι τὴν τοῦ δούλου μορφὴν ἀνέλαβεν. Ἔπρεπε γὰρ αὐτὸν, ὥσπερ ὄντα Λόγον ἐκ τοῦ Πατρὸς, Πατέρα τὸν Θεὸν καλεῖν. Τοῦτο γὰρ καὶ ἴδιον Υἱοῦ πρὸς Πατέρα, οὕτως ἐλθόντα τελειῶσαι τὸ ἔργον, καὶ δούλου μορφὴν λαβόντα, Κύριον ὀνομάζειν τὸν Πατέρα. Καὶ ταύτην τὴν διαφορὰν αὐτὸς ἐδίδαξε μετὰ καλῆς τῆς διαστολῆς λέγων ἐν τοῖς Εὐαγγελίοις, *Ἐξομολογοῦμαί σοι, Πάτερ*· εἶτα, *Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς*. Ἀλλ' ὥσπερ ἡμεῖς, Πατέρα καλοῦντες τὸν Κύριον, οὐκ ἀρνούμεθα τὴν κατὰ φύσιν δουλείαν· αὐτοῦ γάρ ἐσμεν ἔργα, καὶ αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς· οὕτως ὅταν ὁ Υἱὸς τὴν τοῦ δούλου μορφὴν λαμβάνων λέγῃ, *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ*, μὴ ἀρνείσθωσαν τὴν ἀϊδιότητα τῆς τούτου θεότητος, καὶ ὅτι ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ πάντα δι' αὐτοῦ γέγονε, καὶ ἐν αὐτῷ τὰ πάντα ἔκτισται. Τὸ δὲ ἐν ταῖς Παροιμίαις ῥητὸν, καθὼς προεῖπον, οὐ τὴν οὐσίαν, ἀλλὰ τὸ ἀνθρώπινον τοῦ Λόγου σημαίνει. Εἰ γὰρ εἰς ἔργα, φησὶν, ἔκτισται, φαίνεται μὴ τὴν οὐσίαν ἑαυτοῦ σημᾶναι θέλων, ἀλλὰ τὴν εἰς ἔργα αὐτοῦ οἰκονομίαν γενομένην, ὅπερ δεύτερόν ἐστι τοῦ εἶναι. Τὰ γὰρ κτιζόμενα, καὶ γινόμενα προηγουμένως ἕνεκεν τοῦ εἶναι καὶ τοῦ ὑπάρχειν πεποίηται, καὶ δεύτερον ἔχουσι τὸ ποιεῖν περὶ ὧν αὐτοῖς ὁ Λόγος προστάττει, ὡς ἐπὶ πάντων ἐστὶ τὸ τοιοῦτον ἰδεῖν. Ἀδὰμ γὰρ ἐκτίσθη, οὐχ ἵνα ἐργάζηται, ἀλλ' ἵνα πρῶτον ὑπάρχῃ ἄνθρωπος. Μετὰ ταῦτα γὰρ ἔλαβεν ἐντολὴν κιβωτὸν κατασκευάσαι. Καὶ ἐφ' ἑκάστου ζητῶν ταῦτα εὕροι τις ἄν. Καὶ γὰρ καὶ Μωϋσῆς ὁ μέγας πρῶτον ἄνθρωπος γεγένηται, καὶ δεύτερον τὴν ἡγεμονίαν τοῦ λαοῦ πεπίστευται. Οὐκοῦν καὶ ἐνταῦθα τοῦτο νοεῖν ἔξεστι. Τοῦτο δὲ πάλιν καὶ τὸ Πνεῦμα προσημαῖνον ἐν Ψαλμοῖς ἔλεγε· *Καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου*, ὅπερ καὶ περὶ ἑαυτοῦ σημαίνων ὁ Κύριός φησιν· *Ἐγὼ δὲ κατεστάθην βασιλεὺς*

Ex eodem libro.

Dei Verbum non est creatum, sed creator; tunc autem in Proverbiis se creatum dicit, cum carnem creatam induit. Quod quidem ex eodem loco potest intelligi. Etenim cum Filius sit, et Deum habeat Patrem, est enim proprium germen ipsius, tamen eum Dominum vocat, non quod servus sit, sed quia servi formam accepit. Decebat enim, ut ex Patre Verbum exsistens Patrem Deum appellaret, veniens autem ad nostræ salutis opus exsequendum et servi formam sumens, Patrem vocaret Dominum. Atque hanc quidem differentiam præclara distinctione docuit ipse Dominus: *Confiteor*, inquiens in Evangeliis, *tibi, Pater*, deinde subjiciens, *Domine cœli et terræ* [3]. Ac quemadmodum nos Patris nomine Dominum appellantes, naturalem non negamus servitutem, sumus enim ipsius opera, et *ipse fecit nos, non autem ipsi nos* [4], sic quando Filius servi formam suscipiens dicit: *Dominus creavit me initium viarum suarum* [5], nullus ausit divinitatis ejus æternitatem negare, neque in principio Verbum esse, et omnia per ipsum fuisse facta. Nam dictum illud in libro Proverbiorum, ut monui, non essentiam Verbi, sed humanitatem ejus significat. Cum enim se ad agendum creatum commemoret, perspicuum est, ipsum non essentiam suam, sed curandæ salutis humanæ consilium indicare: quod quidem essentia posterius est. Quæ enim creantur et fiunt, ob id primum creantur et fiunt, ut sint, deinde vim habent agendi ea quæ fuerint imperata. Hoc autem in omnibus licet perspicere. Adam enim creatus est, non ut ageret, sed primum ut esset homo. Tum agendi mandatum accepit. Noe autem creatus est, non propter arcam, sed ut primum exsisteret, atque homo esset. Post enim jussus est arcam exædificare. Et magnus ille Moses primum homo factus est, deinde populi dux constitutus. Atque ita sigillatim potes omnia persequi. Quamobrem idem et hic licet cogitare. Hoc et Spiritus ante significans in Psalmis locutus est ad hunc modum, *Et constituisti eum super opera manuum tuarum* [6]. Quod et de seipso Dominus indicans, *Ego*, inquit, *constitutus sum Rex ab eo super Sion montem sanctum ejus* [7]. Quemad-

[1] Prov. VIII, 22. [2] Hebr. X, 5. [3] Luc. X, 21. [4] Psal. XCIX, 3. [5] Prov. VIII, 22. [6] Psal. VIII, 7. [7] Psal II, 6.

modum enim cum monti Sion illuxit forma corporea, non tunc initium sumpsit, sed cum esset Verbum Dei, et Rex sempiternus, dignatus est in hominis forma regnum suum et montem Sion illustrare, ut et eos qui tunc erant, et nos a peccati dominatu liberaret : ita super opera constitutus, non iis quæ nondum essent, sed jam exsistentibus, et regentis ac moderantis opera indigentibus præfectus est. Decebat enim, ut aliud, quam ipsa opera exsistens, imo vero ipsorum operum auctor exsistens et procreator, eaque in se propter nos creatos renovanda suscipiens, omnia in se recrearet. Nam cum dixisset, *creavit*, statim causam adjecit, opera commemorans, ut se creatum ad agendum dicens, se ideo factum hominem ostenderet, ut ea renovaret. Hic autem est divinæ Scripturæ mos, ut cum de carne per Verbum assumpta mentionem facit, causam, cur eam assumpserit, adjungat ; at cum aut de sua divinitate Verbum loquitur, aut ministri ejus nuntiant, simplici et soluta oratione, et nullam causam afferente declarant. Patris enim est splendor, et quemadmodum Pater propter nullam causam est, sic nulla splendoris causa est requirenda. Quamobrem cum scriptum sit *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum*, non est additum propter quid. At cum legis : *Verbum caro factum est*, tunc et causam audis propter quam, nempe, *Et habitavit in nobis*. Rursum Apostolus dicens, *Qui cum in forma Dei esset*, non addit causam, at cum dicit : *Servi formam accepit*, tunc eam subjicit, *Humiliavit*, inquiens, *semetipsum usque ad mortem, mortem autem crucis* [1]. Idcirco enim et factum est caro, et servi formam assumpsit. Et ipse Dominus multa parabolarum involucris tegit, de se autem loquens aperte dicit : *Ego in Patre, et Pater in me* [2] ; et : *Ego et Pater unum sumus* [3] ; et : *Qui vidit me, vidit Patrem* [4] ; et : *Ego sum lux mundi* [5] ; et : *Ego sum veritas* [6]. Nec singulis dictis causam adjungit, ne posterior illis quorum causa fuit, esse videatur. Necesse enim est, ut causa præcedat id, quod nisi propter ipsam, non fuisset factum. Paulus quidem segregatus in Evangelium, quod ante promiserat Dominus per prophetas, habebat Evangelium ante se, cujus Evangelii minister est factus, et Joannes delectus, ut præiret ante Dominum, ante se Dominum habuit. Dominus vero, qui nullam habet ante se causam, ut Verbum sit, nisi quod Patris est Filius, et unigenita sapientia, quando fit homo, tunc affert causam, propter quam est carnem gestaturus. Antequam enim homo fiat, præcedit hominum utilitas, sine qua carnem non induisset. Quæ autem fuerit causa, propter quam factus est homo, declarat ipse : *Descendi*, inquiens, *de cœlo, non ut facerem voluntatem meam, sed voluntatem ejus, qui misit me, ut omne quod dedit mihi Pater, non perdam ex eo, sed suscitem illud in*

A *ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ*. Ὥσπερ δὲ ὅτε ἐπέλαμψε σωματικῶς τῇ Σιὼν, οὐκ ἀρχὴν εἶχεν, ἀλλὰ ὢν Λόγος τοῦ Θεοῦ καὶ ἀΐδιος βασιλεὺς, κατηξίωσεν ἀνθρωπίνως ἐπιλάμψαι τὴν βασιλείαν αὐτοῦ, καὶ τῇ Σιὼν, ἵνα ἀπὸ τῆς βασιλευούσης ἐν αὐτοῖς ἁμαρτίας λυτρωσάμενος αὐτούς τε καὶ ἡμᾶς ποιήσῃ ὑπὸ τὴν πατρικὴν βασιλείαν αὐτοῦ, οὕτω καθιστάμενος εἰς τὰ ἔργα, οὐκ εἰς τὰ μηδέ πω ὄντα, ἀλλ' εἰς τὰ ἤδη ὄντα, καὶ δεόμενα διορθώσεως καθίσταται. Ἔπρεπε γὰρ ἄλλον αὐτὸν ὄντα τῶν ἔργων, καὶ μᾶλλον δημιουργὸν ὄντα αὐτῶν, καὶ τὴν τούτων ἀνανέωσιν εἰς ἑαυτὸν δέξασθαι, ἵνα αὐτοῦ κτιζομένου εἰς ἡμᾶς τὰ πάντα εἰς ἑαυτὸν ἀνακτίσῃ. Καὶ γὰρ λέγων *ἔκτισεν*, εὐθὺς καὶ τὴν αἰτίαν ἐπήγαγε λέγων, *τὰ ἔργα*, ἵνα τὸ εἰς ἔργα κτίζεσθαι, B τὸ γίνεσθαι ἄνθρωπον δηλώσῃ, εἰς ἀνανέωσιν τούτων. Καὶ τοῦτο ἔθος ἐστὶ τῇ θείᾳ Γραφῇ. Ὅταν μὲν γὰρ σημαίνῃ τὴν κατὰ σάρκα γέννησιν τοῦ Λόγου, τίθησι καὶ τὴν αἰτίαν, δι' ἣν γέγονεν ἄνθρωπος· ὅταν δὲ περὶ τῆς θεότητος αὐτοῦ αὐτὸς λέγῃ, καὶ οἱ τούτου θεράποντες ἀπαγγέλλωσι, πάντα ἁπλῇ λέξει, ἀπολελυμένῃ τῇ διανοίᾳ, καὶ οὐδὲ μετὰ συμπεπραγμένης αἰτίας λέγεται. Τοῦ γὰρ Πατρός ἐστιν ἀπαύγασμα. Ὥσπερ γὰρ ὁ Πατὴρ οὐ διά τινα αἰτίαν ἐστὶν, οὕτως οὐδὲ τοῦ ἀπαυγάσματος τούτου χρὴ ζητεῖν αἰτίαν. *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος*, γέγραπται, καὶ οὐκ ἔχει τὸ διατί. Ὅτε δὲ ὁ Λόγος σὰρξ ἐγένετο, τότε καὶ τὴν αἰτίαν τίθησι, δι' C ἣν γέγονε, λέγων, *Καὶ ἐσκήνωσεν ἐν ἡμῖν*. Πάλιν δὲ ὁ Ἀπόστολος λέγων, *Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων*, οὐκ ἔθηκε τὴν αἰτίαν, εἰ μὴ ὅτε τὴν μορφὴν ἔλαβε τοῦ δούλου. Τότε γὰρ ἐπιφέρει λέγων, *Ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, θανάτου δὲ σταυροῦ*. Διὰ ταῦτα γὰρ καὶ σὰρξ ἐγένετο, καὶ μορφὴν ἔλαβε δούλου. Αὐτός τε ὁ Κύριος πολλὰ μὲν ἐν Παροιμίαις λελάληκε, περὶ δὲ ἑαυτοῦ σημαίνων ἀπολελυμένως εἴρηκεν, *Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί*· καὶ, *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*· καὶ, *Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα*· καὶ, *Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου*· καὶ, *Ἐγώ εἰμι ἡ ἀλήθεια*, οὐ τιθεὶς ἐφ' ἑκάστου τὴν αἰτίαν, οὐδὲ τὸ διατί, ἵνα μὴ δεύτερος ἐκείνων φαίνηται, ὧν χάριν καὶ γέγονεν. Ἀνάγκη γὰρ προηγεῖσθαι τὴν D αἰτίαν τούτου, ἧς ἄνευ οὐκ ἂν οὐδὲ αὐτὸς ἐγεγόνει. Παῦλος γοῦν ἀφωρισμένος εἰς εὐαγγέλιον, ὃ προεπηγγείλατο ὁ Κύριος διὰ τῶν προφητῶν, εἶχε πρὸ ἑαυτοῦ τὸ εὐαγγέλιον, οὗ καὶ γέγονε διάκονος. Καὶ Ἰωάννης μὲν προχειρισθεὶς εἰς τὸ προοδεῦσαι τοῦ Κυρίου, πρὸ ἑαυτοῦ εἶχε τὸν Κύριον. Ὁ δὲ Κύριος οὐκ ἔχων πρὸ ἑαυτοῦ αἰτίαν τοῦ εἶναι Λόγος, ἢ μόνον, ὅτι τοῦ Πατρός ἐστι γέννημα, καὶ σοφία μονογενὴς, ὅταν ἄνθρωπος γένηται, τότε καὶ τὴν αἰτίαν τίθησι, δι' ἣν μέλλει σάρκα φορεῖν. Προηγεῖται γὰρ τοῦ γενέσθαι αὐτὸν ἄνθρωπον ἡ τῶν ἀνθρώπων χρεία, ἧς ἄνευ οὐκ ἂν ἐνεδύσατο σάρκα. Τίς δὲ ἡ χρεία, δι' ἣν γέγονεν ἄνθρωπος, αὐτὸς μὲν ὁ Κύριος

[1] Philipp. II, 6-8. [2] Joan. XIV, 10. [3] Joan. X, 30. [4] Joan. XIV, 9. [5] Joan. VIII, 12. [6] Joan. XIV, 6.

σημαίνων ἔλεγε ταύτην· *Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶν ὃ δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Τοῦτο γάρ τὸ θέλημα τοῦ Πατρός μου, ἵνα πᾶς ὁ θεωρῶν τὸν Υἱὸν, καὶ πιστεύων εἰς αὐτὸν, ἔχῃ ζωὴν αἰώνιον, καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.* Καὶ πάλιν· *Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ ἐν τῇ σκοτίᾳ μὴ μείνῃ.* Καὶ πάλιν ἐν τῷ κατὰ Ἰωάννην φησίν· *Ἐγὼ εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο· Ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ.* Ὁ δὲ Ἰωάννης ἔγραψεν· *Εἰς τοῦτο ἐφανερώθη ὁ Υἱὸς τοῦ Θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου.* Διὰ τὸ μαρτυρῆσαι ἄρα, καὶ ὑπὲρ ἡμῶν ἀναδέξασθαι θάνατον, καὶ διὰ τὸ ἀναστῆσαι τοὺς ἀνθρώπους, καὶ λῦσαι τὰ ἔργα τοῦ διαβόλου ἐλήλυθεν ὁ Σωτήρ. Καὶ αὕτη ἐστὶν ἡ αἰτία τῆς ἐνσάρκου παρουσίας αὐτοῦ. Ἄλλως γὰρ ἀνάστασις οὐκ ἂν ἐγένετο, εἰ μὴ θάνατος ἐγεγόνει. Θάνατος δὲ πῶς ἐγεγόνει, εἰ μὴ τὸ ἀποθνῆσκον ἐσχήκει σῶμα; Τοῦτο μαθὼν παρ' αὐτοῦ καὶ ὁ Ἀπόστολος ἔλεγεν· *Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς, καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον.* Εἰ δὲ οὐ δι' ἑαυτὸν, ἀλλὰ δι' ἡμᾶς κτίζεται, οὐκ ἔστιν ἄρα αὐτὸς κτίσμα, ἀλλὰ τὴν ἡμῶν ἐνδυσάμενος σάρκα ταῦτα λέγει. Ὥσπερ γὰρ τὰς ἀσθενείας ἡμῶν δεχόμενος λέγεται αὐτὸς ἀσθενεῖν, καίτοι μὴ ἀσθενῶν αὐτὸς, δύναμις γάρ ἐστι τοῦ Θεοῦ, ἁμαρτία τε ὑπὲρ ἡμῶν γέγονε, καὶ κατάρα, καίτοι μὴ ἁμαρτήσας αὐτὸς, ἀλλ' ὅτι τὰς ἁμαρτίας ἡμῶν, καὶ τὴν κατάραν ἐβάστασεν αὐτός· οὕτως ἡμᾶς ἐν ἑαυτῷ κτίζων λέγει· *Κύριος ἔκτισέ με,* καίτοι κτίσμα μὴ ὢν αὐτός.

A *novissimo die. Hæc est enim voluntas Patris mei, ut omnis qui videt Filium, et credit in eum, habeat vitam æternam, et ego suscitem eum in novissimo die* [1]. Et rursum : *Ego*, inquit, *veni lux in mundum, ut omnis qui credit in me non maneat in tenebris* [2]. Et rursum in Evangelio Joannis : *Ego*, inquit, *ad hoc natus sum, et ad hoc veni, ut testimonium perhibeam veritati* [3]. Joannes autem scripsit : *Propterea apparuit Filius Dei, ut dissolvat opera diaboli* [4]. Ut testimonium igitur perhiberet, et mortem pro nobis subiret, et solveret opera diaboli, venit Servator. Hæc est causa adventus ejus in carne. Resurrectio enim non fuisset, nisi fuisset mors, nec mors, nisi corpus mortale suscepisset. Id ab ipso didicerat Apostolus, propterea B dixit : *Quoniam pueri participes erant carnis et sanguinis, et ipse similiter carnis et sanguinis particeps factus est, ut per mortem destrueret eum qui habebat mortis imperium, id est, diabolum* [5]. Quod si propter nos, non autem propter se creatur, ipse creatus non est, sed carnem nostram creatam indutus hæc dicit. Quemadmodum enim infirmitates nostras suscipiens, dicitur ipse infirmus, cum tamen infirmus et imbecillus non sit, quippe qui virtus est Dei, et peccatum pro nobis factus est, et maledictum, cum tamen ipse non peccaverit, sed peccata et maledictiones nostras ipse tulerit, sic non in seipso creans dicit : *Dominus creavit me*, cum tamen ipse creatus non sit.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Εἰ μὲν τῇ φύσει καὶ τῇ οὐσίᾳ κτίσμα ὁ Λόγος, καὶ μὴ διαφορὰ ἦν τοῦ γεννήματος πρὸς τὸ κτίσμα, οὐκ ἂν ἐπήγαγε τὸ *Γεννᾷ με,* ἀλλ' ἤρκεῖτο τῷ *ἔκτισεν*, ὡς τῆς λέξεως ταύτης σημαινούσης τὸ ἐγέννησεν· νῦν δὲ εἰρηκώς· *Ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ*, ἐπήγαγεν οὐχ ἁπλῶς τὸ *Γεννᾷ με*, ἀλλὰ μετὰ συμπλοκῆς τοῦ, *δὲ*, συνδέσμου, ὡς ἀσφαλιζόμενος ἐν τούτῳ τὴν ἐκ τοῦ *ἔκτισε* λέξιν λέγων· *Πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.* Τὸ γὰρ γεννᾷ με τῷ *ἔκτισε* συμπεπλεγμένως ἐπιφερόμενον, μίαν ποιεῖ τὴν διάνοιαν· καὶ δείκνυσιν, ὅτι τὸ μὲν *ἔκτισε* διά τι εἴρηκε, τὸ δὲ *γεννᾷ με* πρὸ τοῦ *ἔκτισέν ἐστιν*. Ὥσπερ γὰρ εἰς ἔμπαλιν εἰρήκει *Κύριος γεννᾷ με*, καὶ ἐπέφερε, *Πρὸ δὲ πάντων βουνῶν ἔκτισέ με*, πάντως προηγεῖτο τοῦ *ἐγέννησε τὸ ἔκτισεν*, οὕτως εἰρηκὼς πρῶτον *ἔκτισεν*, εἶτα ἐπαγαγών· *Πρὸ δὲ πάντων βουνῶν γεννᾷ με*, ἐξ ἀνάγκης δείκνυσι προηγεῖσθαι τὸ ἐγέννησε τοῦ ἔκτισε. Καὶ γὰρ καὶ λέγων· *Πρὸ πάντων γεννᾷ με*, ἄλλον εἶναι ἑαυτὸν σημαίνει τῶν πάντων· Ἀλλ' ἐπὶ μὲν τοῦ ἔκτισε κεῖται *ἀρχὴν ὁδῶν*, ἐπὶ δὲ τοῦ *γεννᾷ με*, οὐ κεῖται ἀρχὴν γεννᾷ με, ἀλλὰ πρὸ πάντων γεννᾷ με. Ὁ δὲ πρὸ

C *Ex eodem libro.*

Si natura atque essentia Verbum esset res procreata, et inter rem procreatam et Filium nihil interesset, non addidisset illud : *Gignit me*; sed ei fuisset satis dixisse : *Creavit me.* Siquidem hæc vox etiam gignendi significationem contineret. Nunc autem cum dixerit : *Creavit me initium viarum suarum ad opera sua*, addit : *Gignit me.* Neque id simpliciter, sed ad muniendam vocem illam : *Creavit*, hoc veluti vinculum subnectit : *Ante omnes colles gignit me.* Hoc enim : *Gignit me*, cum illo, *Creavit me*, conjuncte prolatam hanc habet significationem, ut et *Creavit*, propter aliquid dictum sit, et *Gignit*, antecedat illud : *Creavit.* Quemadmodum enim si dixisset, *Gignit me* : deinde subjecisset : D *Ante omnes colles creavit me*, intelligeremus omnino, hoc *Creavit*, illi, *Gignit*, antecedere; sic cum dixerit prius, *Creavit*, deinde adjunxerit : *Ante omnes colles gignit me*, hoc *Gignit*, illi *Creavit* præcedere necessario demonstratur. Nam cum dicat : *Ante omnes gignit me*, significat se aliud esse quam omnes sint. Atqui dicit : *Creavit me*, subjicit : *Initium viarum suarum.* Quod illi : *Gignit me*, non est adjunctum, sed potius additum est : *Ante omnes.*

[1] Joan. VI, 38-40. [2] Joan. XII, 46. [3] Joan. XVIII, 37 [4] I Joan. III, 8. [5] Hebr. II, 14.

Quod autem ante omnes est, non est initium omnium ita ut unum ex illis sit, sed ab omnibus diversum. Quod si ab omnibus diversum est, in quibus et initium omnium intelligitur, perspicuum est ab omnibus rebus procreatis diversum esse. Sicut enim homines Dei Spiritum accipientes, per ipsum Spiritum fiunt filii Dei, sic Dei Verbum carnem hominum induens et creari et fieri dicitur. In quo tamen primogenitus e nobis vocatur, et est. Quandoquidem omnibus hominibus propter Adami peccatum damnatis, et pereuntibus, caro illius, utpote Verbi corpus effecta, prima ex omnibus servata et liberata est. Nos autem deinceps uti corporis ejus consortes servamur. Cum illo namque corpore et dux noster Dominus in regnum cœlorum ingressus est, et ad Patrem suum accedit, *Ego sum*, inquiens, *via, et ostium, et per me oportet omnes introire.*

In eamdem sententiam.

Quoniam perierat prima illa per Adamum via, nec amplius in paradisum tendebamus, sed ad mortem deflexeramus, audieramusque, *Terra es, et in terram reverteris* [1]; idcirco clementissimum Dei Verbum, volente Patre, creatam carnem induit, ut quam primus homo, violata lege, morte affecerat, eidem, sui corporis sanguine, vitam redderet *nobisque viam novam et viventem per velumen*, ut ait Apostolus [2], id est per carnem suam, innovaret. Quod idem alibi his verbis significat : *Si qua in Christo nova creatura, vetera transierunt, ecce omnia nova facta sunt* [3]. Si porro nova creatura facta est, sane inter novas has res creatas primum aliquem esse oportuit : atqui merus homo tantummodo terrestris, quales nos post violatam legem facti sumus, is esse non poterat. Namque in prima creatione infideles facti sunt homines, ac per eos prior via periit. Alio igitur opus erat qui et primam renovaret, et novam factam conservaret. Itaque non aliquis alius, sed Dominus mira benignitate principium novæ creaturæ creatur via; unde jure merito ait : *Dominus creavit me principium viarum suarum in opera sua* [4], ut non jam secundum priorem illam vivat homo, sed ut exsistente jam principio novæ creaturæ, Christumque ejus viarum principium habentes, ipsum deinceps sequamur dicentem : *Ego sum via* [5]. Id ipse beatus docet Apostolus in Epistola ad Colossenses, dicens : *Ipse est caput corporis Ecclesiæ, qui est principium, primogenitus ex mortuis, ut sit in omnibus ipse primatum tenens* [6]. Cum enim Salvator hac ratione secundum carnem creatus sit, eorumque qui recreantur factus fuerit principium, ac nostrum habeat primitias, humanam scilicet carnem quam assumpsit ; convenienter post ipsum futurus creatur populus, de quo ait David : *Scribantur hæc in generationem alteram, et populus qui creabitur, laudabit Dominum* [7]; et rursus psalmo vicesimo primo,

A πάντων ὤν, οὐκ ἔστιν ἀρχὴ τῶν πάντων, ἀλλὰ ἄλλος ἐστὶ τῶν πάντων. Εἰ δὲ ἄλλος ἐστὶ τῶν πάντων, ἐν οἷς καὶ ἡ ἀρχὴ τῶν πάντων σημαίνεται, δῆλον, ὅτι ἄλλος ἐστὶ τῶν κτισμάτων. Ὥσπερ γὰρ οἱ ἄνθρωποι λαμβάνοντες τὸ Πνεῦμα τοῦ Θεοῦ γίνονται τέκνα Θεοῦ δι' ἑαυτοῦ, οὕτως ὁ Λόγος τοῦ Θεοῦ, ὅτε καὶ αὐτὸς ἐνεδύσατο τῶν ἀνθρώπων τὴν σάρκα, τότε λέγεται καὶ κτίζεσθαι, καὶ πεποιῆσθαι. Ἀλλὰ καὶ ἐν τούτῳ πρωτότοκος λέγεται, καὶ ἔστιν ἡμῶν, ἐπειδὴ πάντων τῶν ἀνθρώπων ἀπολλυμένων κατὰ τὴν παράβασιν τοῦ Ἀδὰμ, πρώτη τῶν ἄλλων ἐσώθη, καὶ ἠλευθερώθη ἡ ἐκείνου σάρξ, ὡς αὐτοῦ τοῦ Λόγου σῶμα γενομένου. Καὶ λοιποὶ ἡμεῖς ὡς σύσσωμοι τυγχάνοντες κατ' ἐκεῖνον σωζόμεθα. Ἐν ἐκείνῳ γὰρ ἡμῶν **B** καὶ ὁδηγὸς ὁ Κύριος εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ πρὸς τὸν ἑαυτοῦ Πατέρα γίνεται, λέγων· *Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ θύρα, καὶ δι' ἐμοῦ δεῖ πάντας εἰσελθεῖν.*

Εἰς τὸ αὐτὸ ῥητόν.

Ἐπειδήπερ ἡ πρώτη ὁδὸς ἡ διὰ τοῦ Ἀδὰμ ἀπώλετο, καὶ ἀντὶ τοῦ παραδείσου ἐξεκλίναμεν εἰς τὸν θάνατον, ἠκούσαμέν τε, *Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ*, διὰ τοῦτο ὁ φιλάνθρωπος τοῦ Θεοῦ Λόγος βουλήσει τοῦ Πατρὸς ἐνδιδύσκεται τὴν κτισθεῖσαν σάρκα, ἵνα ἣν ἐνέκρωσεν ὁ τοιοῦτος ἄνθρωπος διὰ τῆς παραβάσεως, ταύτην αὐτὸς ἐν τῷ αἵματι τοῦ ἰδίου σώματος ζωοποιήσῃ, καὶ ἐγκαινίσῃ ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν, ὡς εἴρηκεν ὁ Ἀπόστολος, διὰ τοῦ καταπετάσματος, τουτέστι διὰ τῆς σαρκὸς αὐ**C**τοῦ, ὅπερ καὶ ἐν ἑτέρῳ σημαίνων φησὶν, Ὥστε εἴ τις ἐν Χριστῷ καινὴ κτίσις, τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά. Εἰ δὲ καινὴ κτίσις γέγονεν, ἔδει ταύτης τῆς κτίσεως πρῶτόν τινα εἶναι. Ἄνθρωπος μὲν οὖν ψιλὸς καὶ μόνον χοϊκὸς, οἷοι γεγόναμεν ἡμεῖς ἐκ τῆς παραβάσεως, οὐκ ἠδύνατο εἶναι. Καὶ γὰρ ἐν τῇ πρώτῃ κτίσει ἄπιστοι γεγόνασιν οἱ ἄνθρωποι, καὶ δι' αὐτῶν ἀπώλετο ἡ πρώτη ἡ ὁδός. Χρεία δὲ ἦν ἄλλου τοῦ ἀνανεοῦντος τὴν πρώτην, καὶ τὴν καινὴν γενομένην διατηροῦντος. Οὐκοῦν οὐχ ἕτερός τις, ἀλλ' ὁ Κύριος ἀρχὴ τῆς καινῆς κτίσεως κτίζεται, καὶ ὁδός. Καὶ εἰκότως λέγει· *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ*, ἵνα μὴ κατὰ τὴν πρώτην ἐκείνην ὁ ἄν**D**θρωπος πολιτεύηται, ἀλλ' ὡς ἀρχῆς οὔσης καινῆς κτίσεως. Καὶ τὸν Χριστὸν ἔχοντες ἀρχὴν ὁδῶν, τούτῳ λοιπὸν ἀκολουθοῦμεν λέγοντι· Ἐγώ εἰμι ἡ ὁδός. Τοῦτο γὰρ καὶ ὁ μακάριος Ἀπόστολος διδάσκων ἐν τῇ πρὸς Κολοσσαεῖς ἔλεγεν· *Αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας, ὅς ἐστιν ἀρχὴ πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων*. Τοῦ γὰρ Σωτῆρος οὕτω κατὰ σάρκα κτισθέντος, καὶ ἀρχῆς γενομένου τῶν ἀνακτιζομένων, καὶ ἔχοντος ἡμῶν τὴν ἀπαρχὴν, ἣν προσέλαβεν ἀνθρωπίνην σάρκα, ἀκολούθως μετ' αὐτὸν, καὶ ὁ μέλλων λαὸς κτίζεται, λέγοντος τοῦ Δαβίδ· *Γραφήτω αὕτη εἰς γενεὰν*

[1] Genes. III, 19. [2] Hebr. x, 20. [3] II Cor. v, 17. [4] Prov. VIII, 22. [5] Joan. XIV, 6. [6] Coloss. I, 18. [7] Psal. CI, 19.

ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον. Καὶ πάλιν ἐν τῷ κα' ψαλμῷ, Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος. Οὐκ ἔτι γὰρ ἀκουσόμεθα· *Ἧ δ' ἂν ἡμέρᾳ φάγησθε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε· ἀλλ' Ὅπου εἰμὶ ἐγὼ, καὶ ὑμεῖς ἔσεσθε.* Ὥστε λέγειν ἡμᾶς, Αὐτοῦ γάρ ἐσμεν ποίημα κτισθέντες ὑπ' αὐτοῦ ἐπὶ ἔργοις ἀγαθοῖς. Πάλιν δὲ ἐπειδὴ τὸ ἔργον τοῦ Θεοῦ, τουτέστιν ὁ ἄνθρωπος τέλειος κτισθεὶς, ἐλλιπὴς γέγονε διὰ τῆς παραβάσεως, καὶ γέγονε τῇ ἁμαρτίᾳ νεκρὸς, ἀπρεπὲς δὲ ἦν μένειν τὸ ἔργον τοῦ Θεοῦ ἀτελὲς, διὸ καὶ ἐδέοντο πάντες οἱ ἅγιοι περὶ τούτου λέγοντες ἐν τῷ ρλζ' ψαλμῷ· *Κύριε, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς*, διὰ τοῦτο ὁ τέλειος τοῦ Θεοῦ Λόγος τὸ ἀτελὲς περιτίθεται σῶμα, καὶ λέγεται εἰς τὰ ἔργα κτίζεσθαι, ἵνα ἀνθ' ἡμῶν τὴν ὀφειλὴν ἀποδοὺς τὰ λείποντα τῷ ἀνθρώπῳ δι' ἑαυτοῦ τελειώσῃ. Ἔλειπε δὲ αὐτῷ ἡ ἀθανασία, καὶ ἡ εἰς τὸν παράδεισον ὁδός. Καὶ τοῦτό ἐστι τὸ λεγόμενον παρὰ τοῦ Σωτῆρος· *Τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι, ἵνα ποιήσω.* Καὶ πάλιν· *Τὰ ἔργα, ἃ δέδωκέ μοι ὁ Πατὴρ, ἵνα τελειώσω αὐτὰ, ταῦτα τὰ ἔργα ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ.* Ἃ δὲ λέγει ἐνταῦθα ἔργα δεδωκέναι τὸν Πατέρα εἰς τελείωσιν, ταῦτά ἐστιν εἰς ἃ κτίζεται, λέγων ἐν ταῖς Παροιμίαις· *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ.* Ἴσον γάρ ἐστιν, εἰ εἶπεν· Ἔδωκέ μοι ὁ Πατὴρ τὰ ἔργα εἰς τὸ τελειῶσαι. Τότε γὰρ αὐτὰ γεγενῆσθαι διὰ τῆς παραβάσεως ἀτελῆ καὶ χωλὰ τὰ ἔργα, λέγεται σωματικῶς, ὅτι κτίζεται, ἵνα τελειώσας αὐτὰ, καὶ ὁλόκληρα ποιήσας, παραστήσῃ τῷ Πατρὶ τὴν Ἐκκλησίαν, ὡς εἶπεν ὁ Ἀπόστολος, μὴ ἔχουσαν σπίλον, ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος. Τετελείωται οὖν ἐν αὐτῷ, καὶ ἀποκατεστάθη ὥσπερ ἦν, καὶ κατὰ τὴν ἀρχὴν γεγονὸς τὸ ἀνθρώπινον γένος, καὶ μεῖζον μᾶλλον χάριτι. Ἀναστάντες γὰρ ἐκ νεκρῶν, οὐκ ἔτι φοβούμεθα θάνατον, ἀλλ' ἐν Χριστῷ βασιλεύομεν ἀεὶ ἐν τοῖς οὐρανοῖς. Τοῦτο δὲ γέγονεν, ἐπειδὴ αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος ἴδιος καὶ ἐκ τοῦ Πατρὸς ὢν, ἐνεδύσατο σάρκα, καὶ γέγονεν ἄνθρωπος. Εἰ γὰρ κτίσμα ὢν, ἐγεγόνει ἄνθρωπος, ἔμενεν οὐδὲν ἧττον ὁ ἄνθρωπος, ὥσπερ καὶ ἦν, οὐ συναφθεὶς τῷ Θεῷ. Πῶς γὰρ ἂν ποίημα ὢν διὰ ποιήματος συνάπτοιτο τῷ κτίσαντι; Ἢ ποία βοήθεια παρὰ τῶν ὁμοίων τοῖς ὁμοίοις γένοιτ' ἂν, δεομένων καὶ αὐτῶν τῆς αὐτῆς βοηθείας; Πῶς δὲ, εἴπερ κτίσμα ἦν ὁ Λόγος, τὴν ἀπόφασιν τοῦ Θεοῦ λῦσαι δυνατὸς ἦν, καὶ ἀφεῖναι τὰς ἁμαρτίας, γεγραμμένου παρὰ τοῖς προφήταις, ὅτι τοῦτο Θεοῦ ἐστι; *Τίς γὰρ Θεὸς, ὥσπερ σὺ, ἐξαίρων ἁμαρτίας, καὶ ὑπερβαίνων ἀνομίας;* Ὁ μὲν γὰρ Θεὸς εἶπε· *Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ*· οἱ δὲ ἄνθρωποι γεγόνασι θνητοί. Πῶς οὖν οἷόν τε ἦν παρὰ τῶν γενητῶν λυθῆναι τὴν ἀπόφασιν; Ἔλυσεν οὖν αὐτὴν ὁ Κύριος, ὡς εἶπεν αὐτός· *Ἐὰν μὴ ὁ Υἱὸς ὑμᾶς ἐλευθερώσῃ*, καὶ ἔδειξεν ἀληθῶς ὁ Υἱὸς ἐλευθερώσας, ὅτι οὐκ ἔστι κτίσμα, οὐδὲ τῶν γε-

[1] Psal. xxi, 32. [2] Genes. ii, 17. [3] Joan. xiv, 3. [7] Joan. v, 36. [8] Ephes. v, 27. [9] Mich. vii, 18.

Annuntiabitur Domino generatio ventura, et annuntiabunt justitiam ejus populo qui nascetur, quem fecit Dominus [1]. Nec enim amplius audituri sumus : *Quacunque die comederitis ex eo, morte moriemini* [2] ; sed, *Ubi sum ego, et vos eritis* [3] : adeo ut jam dicere liceat : *Ipsius enim factura sumus, creati in operibus bonis* [4]. Præterea postquam opus Dei, id est homo, perfectus creatus, prævaricatione inops effectus est, et peccato mortuus ; cum item dedeceret opus Dei imperfectum remanere, unde fit ut omnes sancti psalmo centesimo trigesimo septimo Deum hac de re ita precentur, *Domine, retribues pro me ; Domine, opera manuum tuarum ne despicias* [5] : idcirco perfectum Dei Verbum, corpus imperfectum induit ; atque in opera creari dicitur, ut pro nobis debito soluto, ea quæ homini deerant, per seipsum expleret atque perficeret. Deerant autem homini immortalitas et via ad paradisum. Hoc ipsum Salvator his verbis indicat : *Ego te glorificavi in terra : opus perfeci quod faciendum mihi dedisti* [6]. Et iterum : *Opera quæ Pater mihi perficienda dedit : ipsa opera quæ facio, testimonium perhibent de me* [7]. Opera porro quæ sibi Patrem perficienda dedisse declarat, ipsa illa sunt in quæ creatur, ut in Proverbiis ait : *Dominus creavit me principium viarum suarum in opera sua.* Nam idem est dicere, *dedit mihi Pater opera*, et, *creavit me Dominus in opera.* Tunc enim quod opera imperfecta et mutila peccato facta fuerant, creari secundum corpus dicitur, ut illis perfectis atque in integrum statum restitutis, Ecclesiam Patri exhiberet *non habentem maculam*, ut ait Apostolus, *aut rugam, aut aliquid hujusmodi, sed ut sit sancta et immaculata* [8]. In illo ergo perfectum est hominum genus, qualeque initio factum fuerat vel potius ampliore cum gratia restitutum atque reparatum est. Siquidem ex mortuis excitati, mortem non amplius pertimescimus, sed in Christo semper in cœlis sumus regnaturi. Quod ideo consequimur, quod ipsum Dei Verbum proprium atque ex parte genitum carnem induit factusque homo est. Nam si creatam cum haberet naturam, factus postea fuisset homo, idem profecto quod antea mansisset hominum genus, neque cum Deo conjunctum fuisset. Qui enim res facta per rem factam cum Creatore conjungi posset? Aut quid auxilii similibus posset dari a similibus, cum ipsa eodem auxilio indigeant? Qui vero, si Verbum res creata esset, posset Dei sententiam abrogare, peccatumque dimittere, cum hoc Dei proprium esse scripserint prophetæ? Nam, *Quis, Deus, similis tui, qui aufers peccata, et transcendis iniquitates* [9]? Siquidem Deus dixit : *Terra es, et in terram reverteris* [10], eaque causa est cur homines facti mortales fuerint : quomodo sententiam hanc possent res factæ solvere? Verum ipse solvit Dominus, ut idem ipse ait : *Nisi Filius vos liberaverit* [11], vereque ostendit

[4] Ephes. ii, 10. [5] Psal. cxxxvii, 8. [6] Joan. xvii, 4. [10] Gen. iii, 19. [11] Joan. viii, 36.

Filius liberator se nec creatum nec factum esse, A sed naturæ Patris, qui sententiam illam initio tulerat, solusque peccata condonat, proprium esse Verbum et imaginem. Cum enim in Verbo dictum fuerit, *Terra es et in terram reverteris*, valde congruenter per idem ipsum Verbum atque in ipso libertas et solutio damnationis facta est.

Atqui, inquiunt, etiamsi Salvator creatus esset, poterat Deus tantummodo dicere, atque ita solvere maledictionem. At simili modo ipsis ita occurri possit: Etiam sine ullo ejus adventu poterat Deus tantummodo dicere, atque ita solvere maledictionem. Verum attendere oportet quid sit hominibus utile, non autem quid in omnibus possit Deus. Namque etiam ante Noe arcam, homines qui peccaverant poterat interimere: tamen id nonnisi post arcam fecit. Poterat quoque absque Moyse, solummodo dicere, populumque educere ex Ægypto: at id per Moysem fieri conveniebat. Poterat item Deus populum sine judicibus conservare: verum e re populi erat judices pro tempore habere. Quin etiam ipse Salvator poterat ab initio advenire; vel postquam advenit, poterat non tradi Pilato: attamen in fine sæculorum advenit, et quæsitus dixit, *Ego sum* [1]. Quod enim ille facit, id hominibus expedit, nec aliter fieri decuit: quod autem et expedit et decet, id ipse curat et providet. Venit itaque non ut illi ministraretur, sed ut ipse ministraret [2], et nobis restitueret salutem. Certe tametsi legem e cœlo poterat enuntiare, vidit tamen hominibus conducere eam e monte Sina proferri: quod quidem fecit ut et Moyses posset ascendere, et illi, verba propius audiendo, facilius crederent. Verumtamen quanta cum ratione id factum fuerit, ex his perspicere licet. Si Deus pro sua potentia dixisset, solutaque esset maledictio: apparuisset quidem jubentis potestas, talisque factus fuisset homo qualis fuit Adam ante peccatum, qui nimirum gratiam extrinsecus acciperet, nec eam corpori connexam haberet. Enimvero cum istiusmodi esset Adam, in paradiso est collocatus: imo vero forte pejor factus est, quippe qui peccare didicerit. Quod si, cum talis fuisset, contigisset quoque ut a serpente deciperetur, Deum iterum jubere et maledictionem solvere opus fuisset, eoque modo nullum finem consecuta esset necessitas, hominesque nihilominus rei mansissent, ac peccato serviissent. Ita autem semper peccando, semper condonante opus habuissent, ac proinde nunquam fuissent liberati, cum ex se toti sint carnei, atque ob carnis infirmitatem legi semper succumbant.

Præterea si Filius res creata esset, homo nihilominus mortalis remaneret, utpote minime cum Deo copulatus. Nec enim res aliqua creata res alias creatas cum Deo potest conjungere, cum ipsa conjungentem aliquem quærat. Neque pars aliqua creatæ naturæ salutem illi posset afferre, cum

[1] Joan. XVIII, 5. [2] Matth. XX, 28.

A νητῶν, ἀλλὰ ἴδιος, καὶ εἰκὼν τῆς τοῦ Πατρὸς οὐσίας, τοῦ καὶ κατὰ τὴν ἀρχὴν ἀποφηναμένου καὶ ἀφίεντος μόνου τὰς ἁμαρτίας. Ἐπειδὴ γὰρ εἴρηται ἐν τῷ Λόγῳ. *Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ*, ἀκολούθως δι' αὐτοῦ τοῦ Λόγου καὶ ἐν αὐτῷ ἡ ἐλευθερία καὶ ἡ λύσις τῆς κατακρίσεως γεγένηται.

Ἀλλ' ἠδύνατο, φασὶ, καὶ κτίσματος ὄντος τοῦ Σωτῆρος, μόνον εἰπεῖν ὁ Θεὸς καὶ λῦσαι τὴν κατάραν. Τὸ αὐτὸ δ' ἂν ἀκούσαιεν καὶ αὐτοὶ παρ' ἑτέρου λέγοντος· Ἠδύνατο καὶ μηδ' ὅλως ἐπιδημήσαντος αὐτοῦ, μόνον εἰπεῖν ὁ Θεὸς καὶ λῦσαι τὴν κατάραν. Ἀλλὰ σκοπεῖν δεῖ τὸ τοῖς ἀνθρώποις λυσιτελοῦν καὶ μὴ ἐν πᾶσι τὸ δυνατὸν τοῦ Θεοῦ λογίζεσθαι· ἐπεὶ ἠδύ-
B νατο καὶ πρὸ τῆς Νῶε κιβωτοῦ τοὺς τότε παραβάντας ἀνθρώπους ἀπολέσαι· ἀλλὰ μετὰ τὴν κιβωτὸν πεποίηκεν. Ἠδύνατο καὶ χωρὶς Μωσέως καὶ μόνον εἰπεῖν, καὶ ἐξαγαγεῖν τὸν λαὸν ἐξ Αἰγύπτου· ἀλλὰ συνέφερε διὰ Μωσέως. Ἠδύνατο καὶ χωρὶς τῶν κριτῶν σώζειν τὸν λαὸν ὁ Θεός· ἀλλὰ συνέφερε τοῖς λαοῖς κατὰ καιρὸν ἐγείρεσθαι κριτὴν αὐτοῖς. Ἠδύνατο καὶ ἐξ ἀρχῆς ὁ Σωτὴρ ἐπιδημῆσαι, ἢ ἐλθὼν μὴ παραδοθῆναι Πιλάτῳ· ἀλλὰ καὶ ἐπὶ συντελείᾳ τῶν αἰώνων ἦλθε, καὶ ζητούμενος εἶπεν· *Ἐγώ εἰμι*· ὃ γὰρ ποιεῖ, τοῦτο καὶ συμφέρει τοῖς ἀνθρώποις, καὶ ἄλλως οὐκ ἔπρεπε γενέσθαι· καὶ ὅπερ δὲ συμφέρει καὶ πρέπει, τούτου καὶ πρόνοιαν ποιεῖται. Ἦλθε γοῦν, οὐχ ἵνα διακονηθῇ, ἀλλ' ἵνα διακονήσῃ, καὶ τὴν ἡμῶν ἐργάσηται σωτηρίαν. Ἀμέλει δυνάμενος ἀπὸ τοῦ οὐρα-
C νοῦ λαλῆσαι τὸν νόμον, εἶδεν, ὅτι λυσιτελεῖ τοῖς ἀνθρώποις ἀπὸ τοῦ Σινᾶ λαλῆσαι, καὶ τοῦτο πεποίηκεν, ἵνα καὶ Μωσῆς ἀναβῆναι δυνηθῇ, κἀκεῖνοι τὸν λόγον ἐγγύθεν ἀκούοντες, μᾶλλον πιστεῦσαι δυνηθῶσι. Πλὴν καὶ τὸ εὔλογον τοῦ γενομένου θεωρεῖν ἔξεστιν ἐντεῦθεν· Εἰ διὰ τὸ δυνατὸν εἰρήκει, καὶ ἐλέλυτο ἡ κατάρα· τοῦ μὲν κελεύσαντος ἡ δύναμις ἐπεδείκνυτο, ὁ μέντοι ἄνθρωπος τοιοῦτος ἐγίνετο, οἷος ἦν καὶ ὁ Ἀδὰμ πρὸ τῆς παραβάσεως, ἔξωθεν λαβὼν τὴν χάριν, καὶ μὴ συνηρμοσμένην ἔχων αὐτὴν τῷ σώματι· τοιοῦτος γὰρ ὢν καὶ τότε τέθειτο ἐν τῷ παραδείσῳ· τάχα δὲ καὶ χείρων ἐγίνετο, ὅτι καὶ παραβαίνειν μεμάθηκεν. Ὢν τοίνυν τοιοῦτος, εἰ καὶ παραπέπειστο ὑπὸ τοῦ ὄφεως, ἐγίνετο πάλιν χρεία
D προστάξαι τὸν Θεὸν καὶ λῦσαι τὴν κατάραν· καὶ οὕτως εἰς ἄπειρον ἐγίνετο ἡ χρεία, καὶ οὐδὲν ἧττον οἱ ἄνθρωποι ἔμενον ὑπεύθυνοι, δουλεύοντες τῇ ἁμαρτίᾳ· ἀεὶ δὲ ἁμαρτάνοντες, ἀεὶ ἐδέοντο τοῦ συγχωροῦντος, καὶ οὐδέποτε ἠλευθεροῦντο, σάρκες ὄντες καθ' ἑαυτοὺς, καὶ ἀεὶ ἡττώμενοι τῷ νόμῳ διὰ τὴν ἀσθένειαν τῆς σαρκός.

Πάλιν τε εἰ κτίσμα ἦν ὁ Υἱὸς, ἔμενεν ὁ ἄνθρωπος οὐδὲν ἧττον θνητὸς, μὴ συναπτόμενος τῷ Θεῷ· οὐ γὰρ κτίσμα συνῆπτε τὰ κτίσματα τῷ Θεῷ, ζητοῦν καὶ αὐτὸ τὸν συνάπτοντα· οὐδὲ τὸ μέρος τῆς κτίσεως σωτηρία τῆς κτίσεως ἂν εἴη, δεόμενον καὶ αὐτὸ σωτηρίας. Ἵνα οὖν μηδὲ τοῦτο γένηται,

πέμπει τὸν ἑαυτοῦ Υἱὸν, καὶ γίνεται υἱὸς ἀνθρώπου, τὴν κτιστὴν σάρκα λαβών· ἵν', ἐπειδὴ πάντες εἰσὶν ὑπεύθυνοι τῷ θανάτῳ, ἄλλος ὢν τῶν πάντων, αὐτὸς ὑπὲρ πάντων τὸ ἴδιον σῶμα τῷ θανάτῳ προσενέγκῃ, καὶ λοιπὸν, ὡς πάντων δι' αὐτοῦ ἀποθανόντων, ὁ μὲν λόγος τῆς ἀποφάσεως πληρωθῇ (πάντες γὰρ ἀπέθανον ἐν Χριστῷ)· πάντες δὲ δι' αὐτοῦ γένωνται λοιπὸν ἐλεύθεροι μὲν ἀπὸ τῆς ἁμαρτίας καὶ τῆς δι' αὐτὴν κατάρας, ἀληθῶς δὲ διαμείνωσιν ὥσπερ ἀναστάντες ἐκ νεκρῶν, καὶ ἀθανασίαν καὶ ἀφθαρσίαν ἐνδυσάμενοι. Τοῦ γὰρ Λόγου ἐνδυσαμένου τὴν σάρκα, καθὼς πολλάκις δέδεικται, πᾶν μὲν δῆγμα τοῦ ὄφεως δι' ὅλου κατεσβέννυτο ἀπ' αὐτῆς· εἴ τι ἐκ τῶν σαρκικῶν κινημάτων ἀνεφύετο κακὸν, ἐξεκόπτετο, καὶ συνανῃρεῖτο τούτοις ὁ τῆς ἁμαρτίας ἀκόλουθος θάνατος, ὡς αὐτὸς ὁ Κύριός φησιν· *Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ οὐδὲν εὑρίσκει ἐν ἐμοί*· καὶ, *Εἰς τοῦτο γὰρ ἐφανερώθη*, ὡς ἔγραψεν ὁ Ἰωάννης, *ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου*. Τούτων δὲ λυθέντων ἀπὸ τῆς σαρκὸς, πάντες οὕτω κατὰ τὴν συγγένειαν τῆς σαρκὸς ἠλευθερώθημεν, καὶ λοιπὸν συνήφθημεν καὶ ἡμεῖς τῷ Λόγῳ. Συναφθέντες δὲ τῷ Θεῷ, οὐκέτι μὲν ἐπὶ γῆς ἀπομένομεν, ἀλλ' ὡς αὐτὸς εἶπεν, ὅπου αὐτὸς, καὶ ἡμεῖς ἐσόμεθα.

Ἔτι εἰς τὸ αὐτό.

Εἰ τοίνυν τῇ σοφίᾳ ἡ γῆ τεθεμελίωται, πῶς ὁ θεμελιῶν θεμελιοῦται; Ἀλλὰ παροιμιωδῶς ἐστιν εἰρημένον καὶ τοῦτο· καὶ δεῖ καὶ τούτου τὸν νοῦν ζητεῖν, ἵνα γινώσκωμεν, ὅτι τῇ μὲν σοφίᾳ ὁ Πατὴρ δημιουργεῖ, καὶ θεμελιοῖ τὴν γῆν εἰς τὸ εἶναι ἑδραίαν καὶ διαμένειν αὐτήν· αὐτὴ δὲ ἡ σοφία ἐθεμελιοῦτο εἰς ἡμᾶς, ἵνα ἀρχὴ καὶ θεμέλιος τῆς καινῆς ἡμῶν κτίσεως καὶ ἀνακαινίσεως γένηται. Οὐκ εἴρηκε γοῦν οὐδὲ ἐν τούτοις, Πρὸ τοῦ αἰῶνος Λόγον ἢ Υἱόν με πεποίηκεν, ἵνα μὴ ὡς ἀρχὴν ἔχῃ τοῦ ποιεῖσθαι· τοῦτο γὰρ πρὸ πάντων δεῖ ζητεῖν, εἰ Υἱός ἐστι, καὶ περὶ τούτου τὰς Γραφὰς προηγουμένως ἐρευνᾷν. Τοῦτο γὰρ καὶ τῶν ἀποστόλων ἐρωτηθέντων ὁ Πέτρος ἀπεκρίνατο λέγων· *Σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος*· τοῦτο γὰρ καὶ ὁ πατὴρ τῆς Ἀρειανῆς αἱρέσεως ἐν πρώτοις ἠρώτησεν, *Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ*. Ἤιδει γὰρ, ὅτι τοῦτό ἐστιν ἡ ἀλήθεια, καὶ τὸ κύριον τῆς πίστεως ἡμῶν· καὶ ὅτι, ἐὰν μὲν αὐτὸς ᾖ ὁ Υἱὸς, τέλος ἕξει ἡ διαβολικὴ τυραννίς· ἐὰν δὲ κτίσμα ᾖ, εἷς ἐστι καὶ αὐτὸς τῶν ἐκ τοῦ Ἀδὰμ τοῦ ἀπατηθέντος παρ' αὐτοῦ, καὶ οὐδεμία φροντὶς ἦν αὐτῷ. Διὰ τοῦτο καὶ οἱ τότε Ἰουδαῖοι ἠγανάκτουν, ὅτι ὁ Κύριος Υἱὸν Θεοῦ ἑαυτὸν καὶ Πατέρα ἴδιον ἔλεγεν ἑαυτοῦ εἶναι τὸν Θεόν. Εἰ γὰρ ἦν ἑαυτὸν ἕνα τῶν κτισμάτων εἰρηκὼς, ἢ ὅτι Ποίημά εἰμι, οὐκ ἐξενίζοντο ἀκούοντες, οὐδὲ βλασφημίαν ἐνόμιζον τὰ τοιαῦτα ῥήματα, εἰδότες καὶ ἀγγέλων ἐπιδημίαν γενομένην πρὸς τοὺς πατέρας· ἀλλ' ἐπειδὴ Υἱὸν ἑαυτὸν ἔλεγεν, ἐθεώρουν μὴ κτίσματος εἶναι τὸ τοιοῦτον γνώρισμα, ἀλλὰ θεότητος καὶ φύσεως πατρικῆς.

A ipsa salute quoque indigeat. Quod ne fieret, Deus sui ipsius Filium misit, qui creata carne assumpta factus est filius hominis, ut quoniam omnes rei essent mortis, ille qui alius est ab omnibus, proprium corpus pro omnibus morti offerret, atque ita omnibus veluti per ipsum mortuis, et sententia adversum nos lata compleretur (omnes enim in Christo mortui sunt), et omnes deinceps a peccato et maledictione, quæ ex eo secuta est, per ipsum fierent liberi, vereque in perpetuum permanerent, immortalitate et incorruptione, postquam resurrexissent, induti. Namque postquam Verbum carnem induit, ut sæpe dictum est, ab ea exstinctus penitus est serpentis morsus, et quidquid mali exoriebatur ex carnis motibus, præcisum omnino est, ac deni-
B que ipsa mors peccati comes fuit simul interempta, ut ipse Dominus hujusmodi verbis declarat: *Venit princeps hujus mundi, et nihil in me invenit* [1]. Et: *In hoc enim apparuit*, uti scripsit Joannes, *ut dissolvat opera diaboli* [2]. His autem carne dissolutis, omnes propter carnis cognationem liberati sumus, jamque nos etiam cum Verbo copulati fuimus. Porro cum Deo conjuncti, non amplius in terra remanebimus, sed, ut ipse dixit [3], ubi ille erit, nos quoque erimus.

In eumdem locum.

Si igitur sapientia terram fundavit, qui fieri potest ut is qui fundat, fundetur? Verum id etiam proverbii instar dictum est, ejusque nobis
C quærenda significatio est, ut cognoscamus Patrem sapientia creare et fundare terram, ut firma et stabilis permaneat: ipsam vero sapientiam nostri causa esse fundatam, ut videlicet nostræ novæ creationis et renovationis principium fieret et fundamentum. Hinc nec eo in loco ait: Ante ævum Verbum vel Filium me fecit, ne quasi initium, quo fieri cœpisset, habere crederetur. Namque id ante omnia quærendum est, si nempe Filius ipse est, eaque de re Scripturæ sunt præcipue scrutandæ. Id enim cum interrogarentur et ipsi apostoli, Petrus ita respondit: *Tu es Christus, Filius Dei viventis* [4]. Idem vero et ipse pater Arianæ hæresis in pri-
D mis percunctatus est, *Si Filius Dei es* [5]. Hoc enim veritatem et præcipuum nostræ fidei fundamentum esse non ignorabat, et, si ipse esset Filius, finem habituram esse diabolicam tyrannidem: sin autem creatus esset, unum quoque eum esse ex Adæ posteris quem olim decepit, proindeque nihil hoc curandum esse. Ea similiter de causa Judæi indignabantur, quod Dominus se Filium Dei, et Deum sui proprium Patrem diceret. Nam si se unam e creatis rebus vel factum esse dixisset, nihil illos perturbassent hujusmodi verba, nec impia esse judicassent, utpote quibus non latebat angelos olim ad suos patres accessisse. Verum quia se Filium dicebat, id non rei creatæ, sed divinitatis ac paternæ naturæ notam esse perspiciebant.

[1] Joan. xiv, 30. [2] I Joan. iii, 8. [3] Joan. xiv, 3. [4] Matth. xvi, 16. [5] Matth. iv, 6.

Par itaque erat Arianos saltem suum imitari patrem diabolum, quidque rei esset inquirere, ita ut, si dixisset quidem, Verbum vel Filium me fundavit, idem sentirent atque nunc sentiunt : at si non hæc ejus essent verba, ea quoque quæ non essent non comminiscerentur. Nec enim dixit, Ante ævum Verbum vel Filium me fundavit, sed tantum, *fundavit me*, ut nimirum indicaret, quemadmodum jam observavi, non propter se, sed propter illos qui super ipsum ædificantur, hæc, proverbii instar, locutum esse. Id optime intelligebat Apostolus cum ita scripsit : *Fundamentum aliud nemo potest ponere, præter id quod positum est, quod est Jesus Christus: Unusquisque autem videat quomodo superædificet* [1]. Porro necesse est ut tale sit fundamentum qualia sunt quæ super ipsum ædificantur, ut inter se possint apte congruere. Atqui ut Verbum, tales, qualis et ipse est, qui secum conveniant habere non potest, quippe, cum sit unigenitus. At factus homo similes habet, quorum videlicet similem carnem assumpsit. Itaque secundum naturam humanam fundatur, ut et nos tanquam lapides pretiosi super ipsum ædificari possimus, et templum efficiamur sancti Spiritus in nobis habitantis. Cæterum ut ipse fundamentum est, nos autem sumus qui super ipsum ædificamur : ita etiam idem ipse vitis est, nos autem veluti palmites cohærentes, non quidem secundum divinitatis naturam, nam hoc fieri nequit, sed secundum naturam humanam (necesse enim est vitis similes esse palmites), quia nos scilicet secundum carnem similes illius sumus. Quoniam vero hæretici nihil nisi humanum sapiunt, haud abs re fuerit eos humanis exemplis eodem ex loco depromptis confutare. Itaque non dixit, Fundamentum me fecit, ne inde eum rem factam esse atque ortus principium habuisse suspicati hæretici, impietatis stabiliendæ occasionem impudenter arriperent; sed dixit : *Fundavit me*. Porro quod fundatur, lapidibus super ipsum projectis fundatur, quod quidem non quovis modo perficitur, sed cum lapis e monte translatus, in imis terris collocatur. Nam quandiu lapis est in monte, nondum positus est in fundamentum. Cum vero exigente causa, translatus fuerit, et terræ profundo coopertus, tunc si vox lapidi daretur, hæc utique posset dicere : Qui me huc transtulit, nunc fundavit me. Igitur ipse quoque Dominus, non tunc esse cœpit, cum fundatus est (siquidem antea erat Verbum), sed postquam nostrum induit corpus, quod ex Maria desectum accepit, tunc dixit, *Fundavit me :* quod idem est ac si diceret : Me, qui sum Verbum : terreno corpore cooperuit. Sic enim ille, qui nostra suscipit, nostri causa fundatur, ut nos, qui simile habemus corpus, carnis similitudine in illo aptati et colligati, in virum perfectum occurramus [2], immortalesque et incorrupti maneamus.

Ἔδει τοίνυν τοὺς Ἀρειανοὺς, κἂν τὸν πατέρα ἑαυτῶν τὸν διάβολον μιμουμένους, περιεργάζεσθαι· καὶ εἰ μὲν εἴρηκε, Λόγον ἢ Υἱόν με ἐθεμελίωσε, φρονεῖν, ὡς φρονοῦσιν· εἰ δὲ μὴ οὕτως εἴρηκε, μὴ ἐπινοεῖν ἑαυτοῖς τὰ μὴ ὄντα. Οὐ γὰρ εἴρηκε, Πρὸ τοῦ αἰῶνος Λόγον ἢ Υἱόν με ἐθεμελίωσεν· ἀλλ' ἁπλῶς, *ἐθεμελίωσέ με*, ἵνα δείξῃ πάλιν, καθάπερ εἶπον, ὅτι οὐ δι' ἑαυτὸν, διὰ δὲ τοὺς ἐποικοδομουμένους ἐπ' αὐτὸν παροιμιωδῶς καὶ τοῦτο λέγει. Τοῦτο γὰρ εἰδὼς καὶ ὁ Ἀπόστολος γράφει· *Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. Ἕκαστος δὲ βλεπέτω, πῶς ἐποικοδομεῖ.* Ἀνάγκη δὲ τὸν θεμέλιον τοιοῦτον εἶναι, οἷα καὶ τὰ ἐποικοδομούμενά ἐστιν, ἵνα καὶ συναρμολογεῖσθαι δυνηθῇ. Λόγος μὲν οὖν ὤν, ᾗ Λόγος ἐστὶν, οὐκ ἔχει τοιούτους, οἷός ἐστι καὶ αὐτὸς, τοὺς συναρμολογουμένους αὐτῷ· μονογενὴς γάρ ἐστιν· ἄνθρωπος δὲ γενόμενος ἔχει τοὺς ὁμοίους, ὧν καὶ τὴν ὁμοίαν ἐνεδύσατο σάρκα. Οὐκοῦν κατὰ τὸ ἀνθρώπινον θεμελιοῦται, ἵνα καὶ ἡμεῖς ἐπ' αὐτὸν ὡς λίθοι τίμιοι ἐποικοδομεῖσθαι δυνηθῶμεν, καὶ γενώμεθα ναὸς τοῦ ἐν ἡμῖν οἰκοῦντος ἁγίου Πνεύματος. Ὥσπερ δὲ θεμέλιος αὐτὸς, ἡμεῖς δὲ λίθοι ἐποικοδομούμενοι ἐπ' αὐτόν· οὕτως αὐτὸς πάλιν ἄμπελός ἐστιν, ἡμεῖς δὲ ὡς κλήματα συνημμένα, οὐ κατὰ τὴν οὐσίαν τῆς θεότητος· ἀδύνατον γὰρ τοῦτό γε· ἀλλὰ πάλιν κατὰ τὸ ἀνθρώπινον· ὅμοια γὰρ εἶναι δεῖ τὰ κλήματα τῇ ἀμπέλῳ· ἐπεὶ καὶ ἡμεῖς ὅμοιοι κατὰ τὴν σάρκα τυγχάνομεν ὄντες αὐτοῦ. Ἄλλως τε ἀνθρώπινα φρονοῦντας τοὺς αἱρετικοὺς, ἀνθρωπίνοις παραδείγμασι διελέγχειν προσήκει διὰ τῶν αὐτῶν λόγων. Οὐκ εἴρηκε γοῦν, ὅτι Θεμέλιόν με πεποίηκεν, ἵνα μὴ, ὡς ποιήματος καὶ ἀρχὴν ἔχοντος αὐτοῦ τοῦ γίνεσθαι, κἂν ἐν τούτῳ πρόφασιν εὕρωσιν ἀναίσχυντον πρὸς ἀσέβειαν· ἀλλ' ὅτι *Ἐθεμελίωσέ με*. Τὸ δὲ θεμελιούμενον θεμελιοῦται μὲν διὰ τοὺς ἐπιβαλλομένους ἐπ' αὐτὸ λίθους· γίνεται δὲ οὐχ ἁπλῶς, ἀλλ' ὅταν ἐξ ὄρους μετενεχθῇ λίθος, καὶ εἰς τὸ βάθος τῆς γῆς κατατεθῇ. Καὶ ἕως μὲν ἐν τῷ ὄρει λίθος ἐστὶν, οὔπω τεθεμελίωται· ἐπειδὰν δὲ ἡ χρεία ἀπαιτῇ, καὶ μετενεχθῇ, καὶ περιβάληται τὸ βάθος τῆς γῆς· τότε λοιπὸν, εἰ λάβοι φωνὴν ὁ λίθος, εἴποι ἄν· Νῦν ἐθεμελίωσέ με, ὁ ἐξ ὄρους ὧδε μεταθείς. Οὐκοῦν οὐχ ὁ Κύριος καὶ ὅτε τεθεμελίωται, ἀρχὴν ἔχει τοῦ εἶναι (ἦν γὰρ καὶ πρὸ τούτου Λόγος)· ἀλλ' ὅτε τὸ ἡμέτερον ἐνεδύσατο σῶμα, ὅπερ ἐκ Μαρίας τμηθὲν ἔλαβε, τότε φησὶν, *Ἐθεμελίωσέ με*· ἴσον τῷ εἰπεῖν· Λόγον ὄντα με περιέβαλε γηΐνῳ σώματι. Οὕτω γὰρ δι' ἡμᾶς θεμελιοῦται, τὰ ἡμῶν ἀναδεχόμενος, ἵνα ἡμεῖς, ὡς σύσσωμοι συναρμολογούμενοι καὶ συνδεθέντες ἐν αὐτῷ διὰ τῆς ὁμοιώσεως τῆς σαρκὸς, εἰς ἄνδρα τέλειον καταντήσαντες, ἀθάνατοι καὶ ἄφθαρτοι διαμείνωμεν.

Nemo vero his etiam loquendi modis conturbetur : *Ante ævum*, et, *Priusquam terram face-*

Τὸ δὲ, *Πρὸ τοῦ αἰῶνος*, καὶ, *Πρὸ τοῦ τὴν γῆν ποιῆσαι*, καὶ, *Πρὸ τοῦ ὄρη ἑδρασθῆναι*, μηδένα

[1] I Cor. III, 11, 10. [2] Ephes. IV, 13.

...κτίτω· πάνυ γὰρ καὶ τοῦτο καλῶς συνῆψε A ἐθεμελίωσε, καὶ τῷ, ἔκτισε· τοῦτο γὰρ πάλιν ...κατὰ σάρκα οἰκονομίας ἅπτεται. Ἡ γὰρ παρὰ ...ῦ Σωτῆρος εἰς ἡμᾶς γενομένη χάρις, ἄρτι μὲν ἐπε...νη, ὡς εἶπεν ὁ Ἀπόστολος, καὶ γέγονεν ἐπιδημή...ντος αὐτοῦ· προητοίμαστο δὲ αὕτη καὶ πρὶν γενέσθαι ...ᾶς, μᾶλλον δὲ καὶ πρὸ τῆς καταβολῆς τοῦ ...σμου· καὶ ἡ αἰτία χρηστὴ καὶ θαυμαστὴ πώς ...ιν. Οὐκ ἔπρεπε τὸν Θεὸν ὕστερον περὶ ἡμῶν βου...εσθαι, ἵνα μὴ ὡς ἀγνοῶν τὰ καθ' ἡμᾶς φαίνηται. ...ίζων τοίνυν ἡμᾶς διὰ τοῦ ἰδίου Λόγου ὁ τῶν ὅλων ...ς, καὶ εἰδὼς τὰ ἡμῶν ὑπὲρ ἡμᾶς, προγινώσκων ...ὅτι, καλοὶ γενόμενοι, ὕστερον παραβάται τῆς ἐν...ῆς ἐσόμεθα, καὶ ἐκ τοῦ παραδείσου ἐκβληθησόμεθα ...τὴν παρακοὴν, φιλάνθρωπος καὶ ἀγαθὸς ὤν, B ...οετοιμάζει ἐν τῷ ἰδίῳ Λόγῳ, δι' οὗ καὶ ἔκτισεν ...ᾶς, τὴν περὶ τῆς σωτηρίας ἡμῶν οἰκονομίαν, ἵνα, ...ἀπατηθέντες παρὰ τοῦ ὄφεως ἐκπέσωμεν, μὴ τέ...ἀπομείνωμεν νεκροὶ, ἀλλ' ἔχοντες ἐν τῷ Λόγῳ ...προητοιμασμένην ἡμῖν λύτρωσίν τε καὶ σωτη...ν, πάλιν ἀναστάντες, ἀθάνατοι διαμείνωμεν, ὅταν ...ὸς ὑπὲρ ἡμῶν ἀρχὴ τῶν ὁδῶν κτισθῇ, καὶ ὁ πρω...τοκος τῆς κτίσεως γένηται πρωτότοκος ἀδελφῶν, ...αὐτὸς ἀπαρχὴ τῶν νεκρῶν ἀναστῇ. Τοῦτο Παῦ...ὁ μακάριος ἀπόστολος γράφων διδάσκει· τὸ ...ἐν ταῖς Παροιμίαις, *Πρὸ τοῦ αἰῶνος*, καὶ, *Πρὸ ...τὴν γῆν γενέσθαι*, διερμηνεύων, οὕτω φησὶ πρὸς ...Τιμόθεον· *Συγκακοπάθησον τῷ Εὐαγγελίῳ, κατὰ δύναμιν Θεοῦ τοῦ σώσαντος ἡμᾶς καὶ καλέ...σαντος κλήσει ἁγίᾳ· οὐ κατὰ τὰ ἔργα ἡμῶν,* C *...λὰ κατὰ τὴν ἰδίαν πρόθεσιν καὶ χάριν, τὴν ...θεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰω...ων, φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας ...ῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καταργήσαν...ς μὲν τὸν θάνατον, φωτίσαντος δὲ τὴν ζωήν.* ...ὸς δὲ τοὺς Ἐφεσίους· *Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ· καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατ' ἐνώπιον αὐτοῦ ἐν ἀγάπῃ, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ* D *Χριστοῦ εἰς αὐτόν.*

Πῶς οὖν ἐξελέξατο, πρὶν γενέσθαι ἡμᾶς, εἰ μὴ, ὡς αὐτὸς εἴρηκεν, ἐν αὐτῷ ἦμεν προτετυπωμένοι; Πῶς δὲ ὅλως, πρὶν ἀνθρώπους κτισθῆναι, ἡμᾶς προώρισεν εἰς υἱοθεσίαν, εἰ μὴ αὐτὸς ὁ Υἱὸς πρὸ τοῦ αἰῶνος τεθεμελίωτο, ἀναδεξάμενος τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν; Ἢ πῶς, ὡς ἐπιφέρει λέγων ὁ Ἀπόστολος, *ἐκληρώθημεν προορισθέντες*, εἰ μὴ αὐτὸς ὁ Κύριος, πρὸ τοῦ αἰῶνος ἦν θεμελιωθεὶς, ὥστε αὐτὸν πρόθεσιν ἔχειν ὑπὲρ ἡμῶν πάντα τὸν καθ' ἡμῶν κλῆρον τοῦ κρίματος ἀναδέξασθαι διὰ τῆς σαρκὸς, καὶ λοιπὸν ἡμᾶς ἐν αὐτῷ ζωοποιηθῆναι; Πῶς δὲ καὶ πρὸ χρόνων αἰωνίων ἐλαμβάνομεν χάριν, μήπω γεγονότες, εἰ μὴ ἐν τῷ Χριστῷ ἦν ἀποκειμένη ἡ εἰς ἡμᾶς φθά-

ret, et, *Antequam montes collocarentur* [1]. Recte enim ista conjunxit cum verbis, *fundavit*, et, *creavit*. Namque hæc ejus secundum carnem dispensationem spectant. Etenim gratia quæ nobis a Salvatore donata est, modo quidem apparuit, ut ait Apostolus [2], exortaque est postquam ipse advenit: verum antequam nos nasceremur, vel potius ante mundi constitutionem præparata fuit, cujus hæc causa et recta est et admiranda. Deum de nobis posterius deliberare minime decebat, ne res nostras ignorare videretur. Quocirca cum nos rerum universarum Deus per proprium Verbum crearet, et ea, quæ ad nos pertinent, supra nos prospiceret, prænosceretque nos postquam boni facti fuissemus, legem violaturos, atque idcirco e paradiso expellendos: ille qui perhumanus et benignus est, in proprio Verbo, per quod nos creavit, nostræ salutis dispensationem præparavit, ut videlicet, etiamsi contingeret ut a dæmone circumventi caderemus, ne mortui penitus remaneremus, sed ut redemptionem et salutem in Verbo nobis præparatam habentes, reviviscerernus et immortales essemus, postquam ipse pro nobis principium viarum est creatus, et qui creaturæ primogenitus est, fratrum factus fuit primogenitus, et ipse, mortuorum primitiæ, revixit. Hæc ipsa est beati apostoli Pauli doctrina, qui illa Proverbiorum verba, *ante ævum*, et, *antequam terra fieret*, ita Epistola ad Timotheum interpretatur [3]: *Collabora Evangelio secundum Dei virtutem, qui salvos nos fecit et vocavit vocatione sancta, non secundum opera nostra, sed secundum proprium propositum et gratiam, quæ nobis data est in Christo Jesu ante æterna tempora, et nunc apparuit per adventum Salvatoris nostri Jesu Christi, qui mortem quidem destruxit, vitam autem illuminavit.* Et ad Ephesios: *Benedictus Deus et Pater Domini nostri Jesu Christi, qui benedixit nobis in omni benedictione spirituali, in cœlestibus, in Christo Jesu, sicut elegit nos in ipso ante mundi constitutionem, ut essemus sancti et immaculati in conspectu ejus in charitate, qui prædestinavit nos in adoptionem per Jesum Christum in ipsum* [4].

Quomodo ergo nos elegit antequam essemus, nisi, ut ipse dixit, in ipso fuissemus præsignati? Qui vero fieri potuit, ut nos, priusquam homines crearentur, in adoptionem prædestinaverit, nisi ipse Filius ante ævum fundatus esset, suscepta, nostri gratia, dispensatione? Vel quomodo, ut subjicit Apostolus, *sorte sumus prædestinati* [5], nisi ipse Dominus ante ævum fundatus fuisset, ita ut ipsi propositum fuerit omnem judicii adversum nos lati sortem carne suscipere, quo nos deinceps in ipso vivificaremur? Quomodo autem et ante tempora sæcularia gratiam accepissemus, qui nondum eramus, nisi gratia fuisset in Christo reposita quæ

[1] Prov. VIII, 23-25. [2] Tit. II, 11. [3] II Tim. I, 8-10. [4] Ephes. I, 3-5. [5] ibid. 11.

ad nos erat perventura? Hinc ille in judicio, cum unusquisque pro suis factis mercedem est accepturus, dicet: *Venite, benedicti Patris mei: possidete paratum vobis regnum a constitutione mundi* [1]. Quomodo igitur, vel in quo, antequam essemus, paratum est, nisi in Domino, qui ante ævum eam ob causam fundatus est, ut nos super ipsum tanquam ædificati, vitæ et gratiæ quæ ab illo oritur, velut apti lapides, participes essemus? Itaque jure merito Verbum in nostram veniens carnem, in eaque principium viarum in opera sua creatum, hac ratione, ut erat in ipso Patris voluntas, fundatur, sicuti commemoratum est, ante ævum, et antequam terra fieret, et montes collocarentur, fontesque scaturirent [2], ne scilicet, cum terra, montes, rerumque apparentium figuræ in fine præsentis ævi præterierint, nos, similiter, ut illa, vetustate conficeremur; sed potius ut etiam postea vivere valeremus, utpote qui nobis ante res illas præparatam in ipso Verbo habeamus secundum electionem vitam et benedictionem spiritualem. Sic enim vitam minime fluxam licebit consequi, constanterque in Christo vivemus, quoniam ante illa omnia vita nostra in Christo Jesu fundata et parata fuerit. Nec enim in alio quam in Domino qui est ante sæcula, et per quem facta sunt sæcula [3], vitam nostram fundari par erat, ut, cum illa in ipso veluti esset, nos etiam æternæ vitæ hæredes esse possemus.

Ejusdem ex libro tertio in Arianos, in ea verba: « Ego et Pater unum sumus [4]. »

Illam deinde sententiam Domini carpere cœperunt: *Ego in Patre, et Pater in me* [5]. Quomodo potest, inquiunt, hic in illo esse, aut ille ab hoc comprehendi? Quomodo potest Pater, qui major est, in Filio, qui minor est, inesse? Scilicet mirum est, Filium in Patre esse, cum de nobis etiam scriptum sit: *In ipso vivimus, movemur et sumus* [6]. Merito tamen hoc illis accidit, pro prava ipsorum mente, quippe qui Deum esse corpus existiment, nec qui sit verus Pater, aut verus Filius, aut lux invisibilis, aut splendor æternus ipsius invisibilis, aut essentia incorporea, et forma incorporea, et imago ipsius, animadvertant. Non enim, ut illi opinantur, quia dictum est: *Ego in Patre, et Pater in me*, ita commeant inter se, ut videmus contingere, cum vasa inania vicissim, unum ex alio replentur. Ut Filius id quod in Patre vacuum est, et Pater id quod in Filio vicissim est vacuum, impleat, et neuter eorum plenus, atque perfectus sit. Hoc enim est corporum proprium. Quapropter hæc vel dicere scelus est impietatis plenum. Plenus enim atque perfectus est Pater. Et Filius Divinitatis est plenitudo. Neque Deus, ut vasa, si in illis esset, confirmaret, eodem modo confirmat Filium. Filius enim est Patris virtus et sapientia [7]. Ac res quidem procreatæ, quatenus participes illius sunt, spiritu sanctæ fiunt, ipse autem Filius non particeps, sed

νουσα χαρις; Διὸ καὶ ἐν τῇ κρίσει ὅταν ἕκαστος κατὰ τὴν πρᾶξιν ἀπολαμβάνῃ, φήσει· *Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.* Πῶς οὖν, ἢ ἐν τίνι πρὶν γενέσθαι ἡμᾶς ἡτοιμάσθη εἰ μὴ ἐν τῷ Κυρίῳ τῷ πρὸ αἰῶνος εἰς τοῦτο θεμελιωθέντι, ἵν' ἡμεῖς ὡς ἐπ' αὐτὸν ἐποικοδομούμενοι μεταλάβωμεν ὡς λίθοι εὐάρμοστοι τῆς παρ' αὐτῷ ζωῆς τε καὶ χάριτος; Οὐκοῦν εἰκότως ἐπιβαίνων ὁ Λόγος εἰς τὴν ἡμετέραν σάρκα, καὶ ἐν αὐτῇ κτιζόμενος, ἀρχὴ ὁδῶν εἰς ἔργα αὐτοῦ θεμελιοῦται οὕτως, ὥσπερ ἦν ἐν αὐτῷ τὸ βούλημα τοῦ Πατρὸς, καθάπερ εἴρηται, πρὸ τοῦ αἰῶνος, καὶ πρὸ τοῦ τὴν γῆν γενέσθαι, καὶ πρὸ τοῦ ὄρη ἑδρασθῆναι, καὶ πρὸ τοῦ τὰς πηγὰς προελθεῖν. Ἵνα κἂν ἡ γῆ, καὶ τὰ ὄρη, καὶ τὰ σχήματα τῶν φαινομένων παρέλθῃ ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος, μὴ κατ' αὐτὰ παλαιωθῶμεν καὶ ἡμεῖς, ἀλλὰ δυνηθῶμεν καὶ μετὰ ταῦτα ζῆν, ἔχοντες τὴν πρὸ τούτων ἑτοιμασθεῖσαν ἡμῖν ἐν αὐτῷ τῷ Λόγῳ κατ' ἐκλογὴν ζωήν τε καὶ εὐλογίαν πνευματικήν. Οὕτω γὰρ δυνησόμεθα μὴ πρὸς καιρὸν ἔχειν τὴν ζωὴν, ἀλλὰ καὶ μετὰ ταῦτα διαμεῖναι ζῶντες ἐν Χριστῷ. Ἐπειδὴ καὶ πρὸ τούτων ἡ ζωὴ ἡμῶν τεθεμελίωτο, καὶ ἡτοίμαστο ἐν Χριστῷ. Οὐδὲ γὰρ οὐδὲ ἐν ἄλλῳ θεμελιωθῆναι τὴν ζωὴν ἡμῶν ἔπρεπεν εἰ μὴ ἐν τῷ Κυρίῳ τῷ πρὸ αἰώνων ὄντι, δι' οὗ καὶ οἱ αἰῶνες γεγόνασιν, ἵν' ὡς ἐν αὐτῷ αὐτῆς οὔσης, δυνηθῶμεν καὶ ἡμεῖς αἰώνιον κληρονομῆσαι ζωήν.

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ Ἀρειανῶν τρίτου λόγου, εἰς τό « Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν. »

Ἤρξαντο λοιπὸν διασύρειν τὸ ὑπὸ τοῦ Κυρίου λεγόμενον· *Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ*, λέγοντες, Πῶς δύναται οὗτος ἐν ἐκείνῳ, κἀκεῖνος ἐν τούτῳ χωρεῖν; Ἢ πῶς ὅλως δύναται ὁ Πατὴρ μείζων ὢν ἐν τῷ Υἱῷ ἐλάττονι ὄντι χωρεῖν; Καίτοι τί θαυμαστὸν, εἰ Υἱὸς ἐν τῷ Πατρί; ὅπου γε καὶ περὶ ἡμῶν γέγραπται· *Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν.* Πάσχουσι δὲ τοῦτο ἀκολούθως τῇ κακονοίᾳ ἑαυτῶν, σῶμα νομίζοντες εἶναι τὸν Θεὸν, καὶ μὴ νοοῦντες, μήτε τίς ἐστιν ἀληθινὸς Πατὴρ, καὶ ἀληθινὸς Υἱὸς, μήτε τίς ἐστι φῶς ἀόρατον, καὶ ἀΐδιον ἀπαύγασμα αὐτοῦ ἀόρατον, μήτε τί ἐστιν ἀσώματος ὑπόστασις, καὶ χαρακτὴρ ἀσώματος, καὶ εἰκὼν αὐτῆς. Οὐ γὰρ ὡς ἐκεῖνοι νομίζουσιν ἀντεμβιβαζόμενοι εἰς ἀλλήλους εἰσὶν ἐν τῷ λέγεσθαι· *Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ*, ὥσπερ ἐν ἀγγείοις κενοῖς ἐξ ἀλλήλων πληρουμένοις, ὥστε τὸν μὲν Υἱὸν πληροῦν τὸ κενὸν τοῦ Πατρὸς, τὸν δὲ Πατέρα πληροῦν τὸ κοῖλον τοῦ Υἱοῦ, καὶ ἑκάτερον αὐτοῖς μὴ εἶναι πλήρη καὶ τέλειον. Σωμάτων γὰρ ἴδιον τοῦτό γε. Διὸ καὶ τὸ μόνον εἰπεῖν τοῦτο ἀνάπλεών ἐστι ἀσεβείας. Πλήρης γὰρ καὶ τέλειός ἐστιν ὁ Πατὴρ, καὶ πλήρωμα θεότητός ἐστιν ὁ Υἱός. Οὐδ' αὖ πάλιν ὥσπερ ἐν τοῖς ἁγίοις γινόμενος ὁ Θεὸς ἐνεδυνάμου αὐτοὺς, οὕτως ἐστὶ καὶ ἐν τῷ Υἱῷ· αὐτὸς γάρ ἐστιν ἡ τοῦ Πατρὸς δύναμις καὶ σοφία. Καὶ τὰ μὲν γενητὰ μετοχῇ τού-

[1] Matth. xxv, 34. [2] Prov. viii, 23-25. [3] Hebr. i, 2. [4] Joan. x, 30. [5] Joan. xiv, 10. [6] Act. xvii, 28.
[7] I Cor. i, 24.

τοῦ ἐν Πνεύματι ἁγιάζεται, αὐτὸς δὲ ὁ Υἱὸς ἐν μετουσίᾳ Υἱός ἐστιν, ἀλλὰ γέννημα τοῦ Πατρὸς ἴδιόν ἐστι. Διὰ τοῦτο γὰρ καὶ εἰκότως εἰρηκὼς πρότερον· *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*, ἐπήγαγε τό· *Ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί*, ἵνα τῷ μὲν τὴν ταυτότητα τῆς θεότητος, τῷ δὲ τὴν ἑνότητα τῆς οὐσίας δείξῃ. Ἓν γάρ εἰσιν, οὐχ ὡς ἑνὸς εἰς δύο μέρη διαιρεθέντος, καὶ μηδὲν ὄντων πλὴν ἑνός, οὐδὲ ὡς τοῦ ἑνὸς δὶς ὀνομαζομένου, οὐδὲ ὥστε τὸν αὐτὸν ἄλλοτε μὲν Πατέρα, ἄλλοτε δὲ Υἱὸν ἑαυτοῦ γίνεσθαι· τοῦτο γὰρ Σαβέλλιος φρονήσας, αἱρετικὸς ἐκρίθη· ἀλλὰ δύο μέν εἰσιν, ὅτι ὁ Πατὴρ Πατήρ ἐστι, καὶ οὐχ ὁ αὐτὸς Υἱός ἐστι, καὶ ὁ Υἱὸς Υἱός ἐστι, καὶ οὐχ ὁ αὐτὸς Πατήρ ἐστι. Μία δὲ ἡ φύσις, ὅτι οὐκ ἀνόμοιον τὸ γέννημα τοῦ γεννήσαντος. Εἰκὼν γάρ ἐστιν αὐτοῦ, καὶ πάντα τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστι. Διὸ οὐδὲ ἄλλος Θεὸς ὁ Υἱός, οὐ γὰρ ἔξωθεν ἐπενοήθη, ἐπεὶ πάντως καὶ πολλοί, ξένης παρὰ τοῦ Πατρὸς ἐπινοουμένης θεότητος. Εἰ γὰρ καὶ ἕτερόν ἐστιν ὡς γέννημα ὁ Υἱός, ἀλλὰ ταυτόν ἐστιν ὡς Θεὸς καὶ ἕν εἰσιν αὐτὸς καὶ ὁ Πατὴρ τῇ ἰδιότητι καὶ οἰκειότητι τῆς φύσεως, καὶ τῇ ταυτότητι τῆς μιᾶς θεότητος, ὥσπερ εἴρηται. Καὶ γὰρ καὶ τὸ ἀπαύγασμα φῶς ἐστιν, οὐ δεύτερον τοῦ ἡλίου, οὐδὲ ἕτερον φῶς, οὐδὲ κατὰ μετουσίαν αὐτοῦ, ἀλλ' ἴδιον αὐτοῦ γέννημα. Τὸ δὲ τοιοῦτον γέννημα ἐξ ἀνάγκης ἐστὶ φῶς, καὶ οὐκ ἄν τις εἴποι δύο φῶτα εἶναι ταῦτα, ἀλλὰ δύο μέν, ἥλιον καὶ ἀπαύγασμα, ἓν δὲ τὸ ἐξ ἡλίου φῶς, ἐν τῷ ἀπαυγάσματι φωτίζοντα πανταχοῦ. Οὕτω καὶ ἡ τοῦ Υἱοῦ θεότης τοῦ Πατρός ἐστιν. Ὅθεν καὶ ἀδιαίρετός ἐστι, καὶ οὕτως εἷς Θεός, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ. Οὕτω γοῦν ἓν αὐτῶν ὄντων, καὶ μιᾶς οὔσης τῆς θεότητος, τὰ αὐτὰ λέγεται περὶ τοῦ Υἱοῦ, ὅσα λέγεται καὶ περὶ τοῦ Πατρός, χωρὶς τοῦ λέγεσθαι Πατήρ· *Πάντα γάρ*, φησὶν αὐτὸς ὁ Υἱός, *ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν*. Ὁ δὲ ἀκούων τὰ τοῦ Πατρὸς λεγόμενα ἐφ' Υἱοῦ ὄψεται καὶ οὗτος τὸν Πατέρα ἐν τῷ Υἱῷ. Θεωρήσει δὲ καὶ τὸν Υἱὸν ἐν τῷ Πατρὶ ὅταν τὰ λεγόμενα ἐφ' Υἱοῦ ταῦτα λέγηται καὶ ἐπὶ Πατρός. Ἐν γὰρ τῷ Υἱῷ ἡ πατρικὴ θεωρεῖται θεότης. Τοῦτο δὲ καὶ ἀπὸ τοῦ παραδείγματος τῆς εἰκόνος τοῦ βασιλέως προσεχέστερόν τις κατανοεῖν δυνήσεται. Ἐν γὰρ τῇ εἰκόνι τοῦ βασιλέως τὸ εἶδος καὶ ἡ μορφή ἐστι· καὶ ἐν τῷ βασιλεῖ δὲ τὸ ἐν τῇ εἰκόνι εἶδός ἐστιν. Ἀπαράλλακτος γάρ ἐστιν ἡ ἐν τῇ εἰκόνι τοῦ βασιλέως ὁμοιότης, ὥστε τὸν ἐνορῶντα τῇ εἰκόνι ὁρᾷν ἐν αὐτῇ τὸν βασιλέα, καὶ τὸν πάλιν ὁρῶντα τὸν βασιλέα ἐπιγινώσκειν, ὅτι οὗτός ἐστιν ὁ ἐν τῇ εἰκόνι. Ἐκ δὲ τοῦ μὴ διαλλάττειν τὴν ὁμοιότητα τῷ θέλοντι μετὰ τὴν εἰκόνα θεωρῆσαι τὸν βασιλέα, εἴποι ἂν ἡ εἰκών· Ἐγὼ καὶ ὁ βασιλεὺς ἕν ἐσμεν. Ἐγὼ γὰρ ἐν ἐκείνῳ εἰμί, κἀκεῖνος ἐν ἐμοί, καὶ ὃ ὁρᾷς ἐν ἐμοί, τοῦτο ἐν ἐκείνῳ βλέπεις. Καὶ ὃ ἑώρακας ἐν ἐκείνῳ, τοῦτο βλέπεις ἐν ἐμοί. Ὁ γοῦν προσκυνῶν τὴν εἰκόνα ἐν αὐτῇ προσκυνεῖ τὸν βασιλέα. Ἡ γὰρ ἐκείνου μορφή, καὶ τὸ εἶδός ἐστιν ἡ εἰκών. Ἐπεὶ τοίνυν καὶ ὁ Υἱὸς εἰκών ἐστι τοῦ Πατρός, ἐξ ἀνάγκης ἐστὶ νοεῖν, ὅτι ἡ θεότης, καὶ ἡ ἰδιότης τοῦ Πατρὸς τὸ εἶναι τοῦ Υἱοῦ ἐστι, καὶ

¹ Joan. XVI, 15. ² Philipp. II, 6.

A proprium est Patris germen. Quamobrem cum dixisset : *Ego et Pater unum sumus*, merito subjecit : *Ego in Patre, et Pater in me*. Ut illis verbis eamdem divinitatis rationem, his conjunctionem essentiæ declararet. Unum enim dixit, non ut unum in duas partes secetur, quæ nonnisi unum sint, neque ut unum bis nominetur; neque ut unum modo Pater sit, modo Filius ejus fiat. Sic enim Sabellius sentiens judicatus est hæreticus. Sed ita duo sunt, ut Pater quidem sit Pater, non autem idem Filius. Et Filius, non autem idem Pater. Natura vero una est, quia genitus non est genitori dissimilis. Est enim imago ejus. Et omnia, quæ Patris sunt, sunt etiam Filii. Quapropter Filius non est alius Deus. Neque enim extrinsecus fuit excogitatus, qua quidem externa, et B peregrina, et a Patre aliena divinitate multi omnino sunt. Quamvis enim aliud sit quatenus genitus est Filius, idem tamen est, quatenus Deus. Et unum sunt Filius et Pater, quoniam, ut diximus, una propria eademque natura, et divinitas est. Siquidem et splendor lux est non sole posteriore, neque luce diversus a sole, neque particeps illius sed proprium germen. Quod quidem germen omnino lux est, neque lucem duplicem sed cum duo sint, sol et splendor, unam tamen e solo lucem dixeris, splendore illustrantem omnia. Sic et Filii divinitas Patris est, ideoque dividi non potest. Sic unus est Deus, et non est alius præter hunc. Itaque cum unum sint, et una sit eorum divinitas, quæ dicuntur de Filio, eadem dicuntur de Patre excepto, quod Pater hic, Filius ille duntaxat C dicitur : *Omnia enim*, inquit ipse Filius, *quæ Pater habet, mea sunt* ¹. Jam qui audit ea quæ Patris sunt, de Filio dici, videbit et ipse Patrem in Filio. Et cum intelliget ea quæ de Filio dicuntur, de Patre etiam dici, Filium in Patre spectabit. In Filio enim cernitur divinitas Patris. Hoc autem regiæ imaginis exemplo facilius intelligi poterit. In imagine enim est species, et forma regis. Et in ipso rege species imaginis est. Constans enim est in imagine regis similitudo. Ut qui contemplatur imaginem, in ipsa regem agnoscat et videat. Et rursum qui regem aspicit, eum esse, agnoscat, qui in imagine cernebatur. Quamobrem ob certam et nihil differentem similitudinem ei qui persp[e]cta imagine voluerit regem intueri, D imagine poterit ita dicere : Ego et rex unum sumus. Ego enim in illo sum, et ille in me. Et quod cernis in me, idem in eo conspicies, et quod in illo conspicis, idem cernes in me. Qui ergo adorat imaginem, in ipsa regem adorat. Nam ejus effigies et forma imago est. Quoniam igitur Filius est imago Patris, intelligimus necessario divinitatem et proprietatem Patris esse essentiam Filii. Atque hoc illud est quod ea verba significant : *Qui cum in forma Dei esset* ². Porro divinitatis forma non ex Patre est, sed divinitatis Patris plenitudo est essentia Filii, et Verbum Deus est Filius. Quamobrem æqualis exsistens *non rapinam arbitratus est, esse se æqualem Deo*. Et quia Filii divinitas et species non alius, nisi Patris est, ideo dixit : *Ego*

in Patre sum. Sic Deus erat in Christo mundum reconcilians sibi [1]. Proprium enim Patris essentiæ Filius est, in quo mundus Deo reconciliatur. Sic quæ Filius agit, Patris sunt opera. Sic qui Filium videt, Patrem videt. In paterna enim divinitate Filius est et spectatur. Et paterna quæ in ipso species est, in eo Patrem ostendit, et sic est Pater in Filio. Et proprietas atque divinitas ex Patre in Filio sic ostendit Filium in Patre, ut ab eo separari non possit. Qui vero audit, et videt ea quæ dicuntur de Patre, de Filio item dici, non quod per gratiam sit eorum particeps, atque ita habeat illa insita in essentia sua, sed quod ipsius Filii essentia sit proprium essentiæ paternæ germen is, quemadmodum ante dixi, præclare intelligit dictum illud: *Ego in Patre, et Pater in me*; et illud: *Ego et Pater unum sumus*. Est enim Filius, qualis Pater, quoniam omnia, quæ Patris sunt, habet. Quare simul etiam cum Patre significatur. Nullus enim, nisi filius exsistat, patrem appellarit. Nam qui Deum effectorem dicit, non ea continuo quæ facta sunt, ostendit. Est enim effector, et opifex etiam antequam illa sint. At qui Patrem dicit, statim significat et essentiam Filii. Quare qui credit in Filium, etiam in Patrem credit. Credit enim in Patris essentiæ proprietatem. Atque ita una est fides in unum Deum. Et qui adorat, et colit Filium, in Filio Patrem etiam adorat et colit. Una enim est divinitas, et idcirco unus est honor, et una adoratio in Filio, et per Filium exhibetur Patri. Et qui sic adorant, unum adorat Deum. Unus enim Deus est, et non est alius præter ipsum. Et verba illa: *Ego sum, et præter me non est alius Deus* [2]; et: *Ego primus* [3]; et: *Ego post hæc* [4], recte dicuntur. Deus enim unus, et solus, et primus est. Nec tollunt Filium hæc verba. Absit! Est enim et ipse Filius in uno, et solo, et primo. Ut qui unius, et solius, et primi solus est Verbum, et sapientia, et splendor. Non igitur ut tollatur Filius, hæc dicta sunt, sed ut ostendatur, non esse alium, qualis est Pater, et quale est Verbum. Etenim, quoniam qui falsos adorant deos, a vero Deo desciscunt, Deus qui benignus est, et homines curat, revocans et avertens eos ab errore: *Ego*, inquit, *Deus solus*; et: *Ego sum, et præter me non est Deus*, et alia ejusmodi. Quæ quidem omnia loquitur, ut ea quæ non sunt, expellat, et omnes homines ad se convertat. Ac quemadmodum si quis cum dies esset, et sol illucesceret, lignum simpliciter pingeret, nec ulla lucis habita ratione diceret, picturam illam esse lucis causam, sol autem re perspecta clamaret: Ego, inquiens, sum lux diei, nec aliud ullum est diei lumen præter meum, si sol ita loqueretur, non eo spectaret, ut splendorem suum, sed ut errorem et stultitiam illius, qui ligni speciem depinxisset, excluderet, sic Deus: *Ego*, inquit, *sum*; et: *Ego Deus solus, et non est alius præter me*, ut homines a falsis deis colendis averteret et avocaret, et ad se verum

[1] II Cor. v, 19. [2] Isa. XLIV, 6. [3] ibid. [4] ibid.

A τοῦτό ἐστιν· *Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων*. Οὐκ ἐκ μέρους δὲ ἡ τῆς θεότητος μορφή, ἀλλὰ τὸ πλήρωμα τῆς τοῦ Πατρὸς θεότητός ἐστι τὸ εἶναι τοῦ Υἱοῦ. Καὶ ὅλος Θεός ἐστιν ὁ Υἱός. Διὰ τοῦτο καὶ ἴσα Θεῷ ὤν, οὐχ ἁρπαγμὸν τὸ εἶναι ἴσα Θεῷ ἡγήσατο. Καὶ πάλιν ἐπειδὴ τοῦ Υἱοῦ ἡ θεότης καὶ τὸ εἶδος οὐδενὸς ἄλλου ἢ τοῦ Πατρός ἐστι, τοῦτό ἐστιν ὅπερ εἶπεν, ὅτι *Ἐγὼ ἐν τῷ Πατρί*. Οὕτως ὁ Θεὸς ἦν ἐν Χριστῷ, κόσμον ἑαυτῷ καταλλάσσων. Τὸ γὰρ ἴδιον τῆς τοῦ Πατρὸς οὐσίας ἐστὶν ὁ Υἱός, ἐν ᾧ ἡ κτίσις πρὸς τὸν Θεὸν κατηλλάσσετο. Οὕτως ἃ ἐργάζεται ὁ Υἱός, τοῦ Πατρός ἐστιν ἔργα. Τὸ γὰρ εἶδος τῆς τοῦ Πατρὸς θεότητός ἐστιν ὁ Υἱός, ὅστις ἐργάζεται τὰ ἔργα. Οὕτω δὲ ὁ βλέπων τὸν Υἱὸν ὁρᾷ τὸν Πατέρα. Ἐν γὰρ τῇ πατρῴᾳ θεότητί ἐστι, καὶ B θεωρεῖται ὁ Υἱός. Καὶ τὸ ἐν αὐτῷ πατρικὸν εἶδος δείκνυσιν ἐν αὐτῷ τὸν Πατέρα. Καὶ οὕτως ἐστὶν ὁ Πατὴρ ἐν τῷ Υἱῷ. Καὶ ἡ ἐκ τοῦ Πατρὸς δὲ ἐν Υἱῷ ἰδιότης καὶ θεότης δείκνυσι τὸν Υἱὸν ἐν τῷ Πατρί, καὶ ἀεὶ ἀδιαίρετον αὐτοῦ. Καὶ ὁ ἀκούων δὲ, καὶ βλέπων τὰ λεγόμενα περὶ τοῦ Πατρός, ταῦτα λεγόμενα περὶ τοῦ Υἱοῦ, οὐ κατὰ χάριν, ἢ μετοχὴν ἐπιγινόμενα τῇ οὐσίᾳ αὐτοῦ, ἀλλ' ὅτι αὐτὸ τὸ εἶναι τοῦ Υἱοῦ, ἴδιον τῆς πατρικῆς οὐσίας ἐστὶ γέννημα, νοήσει καλῶς τὸ εἰρημένον, καθὰ προεῖπον· *Ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί*· καί· *Ἐγὼ, καὶ ὁ Πατὴρ ἕν ἐσμεν*. Ἔστι γὰρ ὁ Υἱός, οἷος ὁ Πατήρ, τῷ πάντα τὰ τοῦ Πατρὸς ἔχειν. Διὸ καὶ μετὰ τοῦ Πατρὸς σημαίνεται. Πατέρα γὰρ οὐκ ἄν τις εἴποι, C μὴ ὑπάρχοντος Υἱοῦ. Ὁ μέντοι ποιητὴν λέγων τὸν Θεὸν οὐ πάντως καὶ τὰ γενόμενα δηλοῖ. Ἔστι γὰρ καὶ πρὸ τῶν ποιημάτων ποιητής. Ὁ δὲ Πατέρα λέγων εὐθὺς μετὰ τοῦ Πατρὸς σημαίνει καὶ τὴν τοῦ Υἱοῦ ὕπαρξιν. Διὰ τοῦτο καὶ ὁ πιστεύων εἰς τὸν Υἱὸν εἰς τὸν Πατέρα πιστεύει. Καὶ οὕτω μία ἐστὶν ἡ πίστις εἰς ἕνα Θεόν. Καὶ ὁ προσκυνῶν δὲ, καὶ τιμῶν τὸν Υἱόν, ἐν Υἱῷ προσκυνεῖ καὶ τιμᾷ τὸν Πατέρα. Μία γάρ ἐστιν ἡ θεότης, καὶ διὰ τοῦτο μία τιμή, καὶ μία ἐστὶ προσκύνησις ἐν Υἱῷ, καὶ δι' αὐτοῦ γινομένη τῷ Πατρί. Καὶ ὁ οὕτω προσκυνῶν ἕνα Θεὸν προσκυνεῖ. Εἷς γὰρ Θεός ἐστι, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ. Καὶ τὸ *Ἐγώ εἰμι, καὶ οὐκ ἔστι πλὴν ἐμοῦ ἄλλος Θεός*· καὶ τό· *Ἐγὼ πρῶτος*, καὶ τὸ *Ἐγὼ μετὰ ταῦτα* καλῶς λέγεται. Εἷς γὰρ D Θεὸς καὶ μόνος, καὶ πρῶτός ἐστιν. Οὐκ εἰς ἀναίρεσιν δὲ τοῦ Υἱοῦ λέγει ταῦτα, μὴ γένοιτο· ἔστι γὰρ καὶ αὐτὸς ἐν τῷ ἑνί, καὶ μόνῳ, καὶ πρώτῳ, ὡς τοῦ ἑνὸς καὶ μόνου, καὶ πρώτου μόνος Λόγος, καὶ σοφία, καὶ ἀπαύγασμα ὤν· οὔκουν δι' αὐτὸν εἴρηται, ἀλλ' εἰς ἀναίρεσιν τοῦ μὴ εἶναι ἕτερον, οἷός ἐστιν ὁ Πατήρ, καὶ ὁ τούτου Λόγος. Ἐπειδὴ γὰρ οἱ προσκείμενοι τοῖς ψευδωνύμοις θεοῖς ἀφίστανται τοῦ ἀληθινοῦ Θεοῦ, διὰ τοῦτο ἀγαθὸς ὤν, καὶ κηδόμενος τῶν ἀνθρώπων ὁ Θεός, ἀνακαλούμενος τοὺς πλανηθέντας, φησίν· *Ἐγὼ Θεὸς μόνος*, καὶ *Ἐγώ εἰμι, καὶ πλὴν ἐμοῦ οὐκ ἔστι Θεός*, καὶ ὅσα τοιαῦτα ῥητά, ἵνα τὰ μὲν μὴ ὄντα διαβάλῃ, ἐπιστρέψῃ δὲ

πάντα εἰς ἑαυτόν. Καὶ ὥσπερ ἐάν τις, ἡμέρας οὔσης, καὶ ἡλίου φαίνοντος, ζωγραφείη ξύλον ἁπλῶς, οὐδὲ κἂν φαντασίαν ἔχων φωτὸς, καὶ λέγοι τὴν εἰκόνα ταύτην αἰτίαν εἶναι τοῦ φωτὸς, ὁ δὲ ἥλιος τοῦτο βλέπων λέγοι· Ἐγὼ μόνος εἰμὶ τὸ φῶς τῆς ἡμέρας, καὶ οὐκ ἔστιν ἄλλο φῶς τῆς ἡμέρας πλὴν ἐμοῦ, οὐ πρὸς τὸ ἑαυτοῦ ἀπαύγασμα βλέπων ταῦτα λέγει, ἀλλὰ πρὸς τὴν πλάνην διὰ τὴν εἰκόνα τοῦ ξύλου, καὶ ἀνομοιότητα τῆς ματαίας φαντασίας· οὕτως ἐστὶ καὶ τό· *Ἐγώ εἰμι* καὶ τό· *Ἐγὼ Θεὸς μόνος*, καὶ οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ, ἵνα τῶν ψευδωνύμων ἀποστήσω τοὺς ἀνθρώπους, καὶ μάθωσι λοιπὸν αὐτὸν τὸν ἀληθινὸν Θεόν. Ἀλλὰ πρὸς ταῦτα πάλιν ἐπιχειροῦσι φιλονεικεῖν ταῖς ἰδίαις μυθοπλαστίαις λέγοντες μὴ οὕτως εἶναι τὸν Υἱὸν καὶ τὸν Πατέρα ἕν, μηδὲ ὅμοιον, ὡς ἡ Ἐκκλησία κηρύττει, ἀλλ' ὡς αὐτοὶ θέλουσι. Φασὶ γὰρ ἐπεὶ ἃ θέλει ὁ Πατὴρ, ταῦτα θέλει καὶ ὁ Υἱὸς, καὶ οὔτε τοῖς νοήμασιν, ἢ τοῖς κρίμασιν ἀντίκειται, ἀλλ' ἐν πᾶσίν ἐστι σύμφωνος αὐτῷ, τὴν ταυτότητα τῶν δογμάτων, καὶ τὸν ἀκόλουθον, καὶ συνηρτημένον τῇ τοῦ Πατρὸς διδασκαλίᾳ ἀποδιδοὺς λόγον, διὰ τοῦτο αὐτὸς καὶ ὁ Πατὴρ ἕν εἰσι. Ταῦτα δὲ οὐ μόνον εἰπεῖν, ἀλλὰ καὶ γράψαι τινὲς τετολμήκασι. Τούτου δὲ τί ἂν τις ἀτοπώτερον ἢ ἀλογώτερον εἴποι; Εἰ γὰρ διὰ ταῦτα ἕν εἰσιν ὁ Πατὴρ καὶ ὁ Υἱὸς, καὶ εἰ οὕτως ὅμοιός ἐστιν ὁ Υἱὸς τῷ Πατρὶ, ὥρα καὶ τοὺς ἀγγέλους, καὶ τὰ ἄλλα τὰ ἡμῶν ὑπερκείμενα, Ἀρχάς τε, καὶ Ἐξουσίας, καὶ Θρόνους, καὶ Κυριότητας εἶναι καὶ αὐτοὺς, ὡς καὶ τὸν Υἱὸν, υἱοὺς, λέγεσθαί τε καὶ περὶ τούτων, ὅτι καὶ αὐτοὶ, καὶ ὁ Πατὴρ ἕν εἰσι, καὶ ὅτι ἕκαστος εἰκὼν, καὶ λόγος ἐστὶ τοῦ Πατρός. Ἃ γὰρ θέλει ὁ Θεὸς, ταῦτα θέλουσι καὶ αὐτοὶ, καὶ οὔτε τοῖς δόγμασιν, οὔτε τοῖς κρίμασι διαφωνοῦσιν, ἀλλ' ἐν πᾶσίν εἰσιν ὑπήκοοι τῷ πεποιηκότι. Οὐκ ἂν γὰρ ἔμειναν ἐν τῇ οἰκείᾳ δόξῃ, εἰ μὴ ἅπερ ἤθελεν ὁ Πατὴρ, ταῦτα καὶ αὐτοὶ ἐβούλοντο. Οὐκοῦν ὁ μὴ μείνας, ἀλλὰ παραφρονήσας ἤκουσε· *Πῶς ἐπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος, ὁ πρωὶ ἀνατέλλων;* Πῶς οὖν ὄντων τούτων οὕτω, μόνος ὁ Υἱὸς μονογενὴς, καὶ Λόγος, καὶ σοφία ἐστίν; Ἢ πῶς τοσούτων ὄντων ὁμοίων τῷ Πατρὶ, μόνος οὗτος εἰκών ἐστι; Καὶ γὰρ καὶ ἐν ἀνθρώποις εὑρεθήσονται ὅμοιοι τῷ Πατρὶ, πλεῖστοι μὲν μάρτυρες γενόμενοι, καὶ πρὸ αὐτῶν οἱ προφῆται, καὶ οἱ ἀπόστολοι, καὶ πάλιν πρὸ τούτων οἱ πατριάρχαι· πολλοὶ δὲ καὶ νῦν ἐφύλαξαν τὴν τοῦ Πατρὸς ἐντολὴν, γενόμενοι οἰκτίρμονες, ὡς ὁ Πατὴρ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, τηρήσαντες τό· *Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ ὡς τέκνα ἀγαπητὰ, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς ὁ Χριστὸς ἠγάπησεν ὑμᾶς.* Μιμηταὶ δὲ γεγόνασι καὶ τοῦ Παύλου πολλοὶ, ὡς κἀκεῖνος τοῦ Χριστοῦ, καὶ ὅμως οὐδεὶς τούτων οὔτε Λόγος, οὔτε σοφία, οὔτε μονογενὴς Υἱὸς, οὔτε εἰκών ἐστιν, οὔτε τις τούτων ἀπετόλμησεν εἰπεῖν· Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, ἢ Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί. Ἀλλὰ περὶ μὲν πάντων εἴρηται, Τίς ὅμοιός σοι ἐν θεοῖς, Κύριε; ἢ τίς ὁμοιωθήσεταί σοι ἐν υἱοῖς

A Deum cognoscendum et adorandum adduceret. Verum hæc isti rursum nugis quibusdam suis in controversiam vocant. Et Patrem atque Filium, non quemadmodum Ecclesia prædicat, sed ut ipsi volunt, unum esse contendunt. Quoniam enim, quæ Pater vult, ea vult etiam Filius, nec consiliis et judiciis ejus adversatur, sed in omnibus cum ipso convenit, eademque decreta, et consentaneam atque congruentem doctrinæ Patris rationem docet, inde fit, inquiunt, ut Pater et Filius unum sint. Hæc non solum dicere, sed scribere quidam ausi sunt, quibus nihil magis absurdum, aut a ratione alienum dici potest. Nam si propter hanc causam Pater et Filius unum sunt, et si Filius hoc modo Patri similis est, vide, ne qui nobis superiores sunt, Angeli, et Prin-
B cipatus, et Potestates, et Throni et Dominationes sint, ut ille, filii, et de his item dici possit, Ipsi et Pater unum sunt, et unusquisque eorum imago et verbum est Patris. Nam quæ vult Deus, et ipsi volunt, nec sententiis, nec judiciis differunt, sed omnibus in rebus suo obtemperant effectori. Non enim in gloria mansissent sua, nisi ea quæ Pater vult et ipsi vellent. Non enim in eos qui paruerunt, sed in eum qui contumax fuit, dictum est : *Quomodo cecidit e cælo lucifer, qui mane oriebatur* [1]. Si hæc ita habent, cur solus Filius unigenitus, et Verbum, et sapientia est? Aut cur, cum tam multi sint Patri similes, solus hic imago est? Quin etiam ex hominibus multi Patri similes invenientur, ut
C martyres, ut prophetæ, ut apostoli, ut patriarchæ. Multi hoc etiam tempore Servatoris mandatum observantes misericordes exstiterunt, ut Pater, qui est in cœlis. Observantes et illud : *Estote imitatores Dei, sicut filii charissimi, et ambulate in dilectione, sicut et Christus dilexit nos* [2]. Et Pauli fuerunt imitatores multi, sicut et ille Christi. Attamen eorum nullus neque Verbum, nec unigenitus Filius nec imago est. Neque illorum ullus ausus est dicere : *Ego et Pater unum sumus*; aut, *Ego in Patre, et Pater in me*. Sed de his omnibus dictum est : *Quis similis tibi in diis, Domine? Aut quis comparabitur tibi in filiis Dei* [3]. De ipso autem, solus imago vera et naturalis est Patris. Licet enim ad imaginem facti simus et imago et gloria Dei vocemur, non
D tamen propter nos, sed propter inhabitantem in nobis imaginem, et veram gloriam Dei, quæ Dei Verbum est, quod propter nos factum est caro, hujus nominis gratiam accepimus. Necesse autem est, ut similitudo et unitas ad ipsam Filii essentiam ducat. Quod nisi fiat, nihil amplius, quam res procreatæ, ut dictum est, habere videbitur, neque Patri erit similis, sed similis erit decretorum Patris, a Patre autem differt, quia Pater quidem est Pater, decreta autem et doctrina sunt Patris. Quare si quantum ad instituta doctrinamque pertinet similis est Patri Filius, sequitur, ut nomine tantum Pater sit, Filius autem non modo vera, et certa Patris

[1] Isa. XIV, 12. [2] Ephes. V, 1, 2. [3] Psal. LXXXVIII, 7.

imago non sit, sed ne proprietatem quidem aut similitudinem Patris ullam habere videatur. Quæ enim illi, si commutabilis est, cum Patre similitudo? Et Paulus docebat eorum similia, quæ docuerat Servator, nec tamen ei similis erat essentia. Ejusmodi sunt istorum nugæ. At Filius et Pater sic unum sunt, ut Filium cum Patre, et splendorem cum sole unum esse cognoscimus. Ex quo fit, ut agente Filio Pater agat, et veniente Filio ad sanctos, Pater in Filio veniat. Imagine enim cernitur Pater, et in splendore lux est. Quapropter, ut paulo ante diximus, Patre gratiam et pacem largiente, eam largitur Filius, ut Paulus in omnibus Epistolis suis significat: *Gratia vobis*, inquiens, *et pax a Deo Patre nostro et Domino Jesu Christo* [1]. Una enim et eadem est gratia a Patre in Filio, ut una lux est solis et splendoris. Rursum ad Thessalonicenses scribens, precatur: *Ipse*, inquiens, *Deus noster, et Dominus noster Jesus Christus dirigat viam nostram ad vos* [2]. In quo quidem loco animadvertendum est, ipsum non dicere: Dirigant, sed, *Dirigat*, ut non tanquam a duobus duplicem gratiam, sed ut ab uno gratiam unam dari demonstret. Quoniam Pater illam per Filium dat. Quæ plane res Patris et Filii indicat unitatem.

A Θεοῦ; περὶ δὲ αὐτοῦ, ὅτι μόνος εἰκὼν ἀληθινὴ, καὶ φύσει τοῦ Πατρός ἐστιν. Εἰ γὰρ καὶ κατ' εἰκόνα γεγόναμεν, καὶ εἰκὼν, καὶ δόξα Θεοῦ ἐχρηματίσαμεν, ἀλλ' οὐ δι' ἑαυτοὺς πάλιν, διὰ δὲ τὴν ἐνοικήσασαν ἡμῖν εἰκόνα, καὶ ἀληθῆ δόξαν τοῦ Θεοῦ, ἥτις ἐστὶν ὁ Λόγος τοῦ Θεοῦ, ὁ δι' ἡμᾶς ὕστερον γενόμενος σάρξ, ταύτην τῆς κλήσεως ἔχομεν τὴν χάριν. Ἀνάγκη δὲ τὴν ὁμοίωσιν καὶ τὴν ἑνότητα ἐπ' αὐτὴν τὴν οὐσίαν τοῦ Υἱοῦ φέρειν. Εἰ γὰρ μὴ οὕτω τις λέγει, οὔτε πλέον τι τῶν γενητῶν ἔχων φανήσεται, ὥσπερ εἴρηται, οὔτε τοῦ Πατρὸς ὅμοιος ἔσται, ἀλλὰ τῶν τοῦ Πατρὸς ὅμοιος ἔσται δογμάτων, καὶ τοῦ Πατρὸς διαφέρει. Ὅτι μὲν Πατὴρ Πατήρ ἐστι, τὰ δὲ δόγματα, καὶ ἡ διδασκαλία τοῦ Πατρός ἐστιν. Εἰ τοίνυν κατὰ τὰ δόγματα καὶ τὴν διδασκαλίαν ὅμοιός ἐστιν ὁ Υἱὸς B τοῦ Πατρὸς, ὁ μὲν Πατὴρ κατ' αὐτοὺς ὀνόματι Πατήρ ἐστιν, ὁ δὲ Υἱὸς οὐχ ἀπαράλλακτος εἰκὼν, μᾶλλον δὲ οὐδὲ ὅλως ἰδιότητα, ἢ ὁμοίωσίν τινα τοῦ Πατρὸς ἔχων φανήσεται. Ποία γὰρ ὁμοίωσις καὶ ἰδιότης τῷ παρεξηλλαγμένῳ τοῦ Πατρός; Καὶ γὰρ ὁ Παῦλος ὅμοια τῷ Πατρὶ διδάσκων, οὐχ ἦν κατ' οὐσίαν ὅμοιος αὐτῷ. Ἐκεῖνοι μὲν οὖν τοιαῦτα φλυαροῦσιν· ὁ δὲ Υἱὸς καὶ ὁ Πατὴρ οὕτως εἰσὶν ἓν, ὡς ἔστιν ἰδεῖν, καὶ νοεῖν Υἱὸν πρὸς Πατέρα, καὶ τὸ ἀπαύγασμα πρὸς τὸν ἥλιον. Διὰ γὰρ τὸ οὕτως εἶναι τὸν Υἱὸν ἐργαζομένου τοῦ Υἱοῦ, ὁ Πατὴρ ἐργάζεται, καὶ ἐρχομένου τοῦ Υἱοῦ πρὸς τοὺς ἁγίους, ὁ Πατήρ ἐστιν ὁ ἐρχόμενος ἐν τῷ Υἱῷ. Ἐν γὰρ τῇ εἰκόνι θεωρεῖται ὁ Πατὴρ, καὶ ἐν τῷ ἀπαυγάσματί ἐστι τὸ φῶς. Διὰ τοῦτο, καθὰ μικρῷ πρόσθεν εἴπομεν, διδόντος τοῦ Πατρὸς χάριν καὶ εἰρήνην, ταύτην ὁ Υἱὸς δίδωσιν, ὡς ὁ Παῦλος ἐπισημαίνεται διὰ πάσης ἐπιστολῆς γράφων, *Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ*. Μία γὰρ καὶ ἡ αὐτὴ χάρις ἐστὶ παρὰ Πατρὸς ἐν Υἱῷ, ὡς ἔστιν ἓν τὸ φῶς τοῦ ἡλίου, καὶ τοῦ ἀπαυγάσματος. Πάλιν οὖν ἐπευχόμενος Θεσσαλονικεῦσι καὶ λέγων· *Αὐτὸς δὲ ὁ Θεὸς καὶ Πατὴρ ἡμῶν καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατευθύναιεν τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς*, τὴν ἑνότητα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐφύλαξεν. Οὐ γὰρ εἶπε κατευθύναιεν, ὡς παρὰ δύο διδομένης, παρὰ τούτου καὶ τούτου διπλῆς χάριτος, ἀλλὰ *κατευθύναι*, ἵνα δείξῃ, ὅτι ὁ Πατὴρ διὰ τοῦ Υἱοῦ δίδωσι ταύτην. Καὶ ἡ δόσις αὕτη δείκνυσι τὴν ἑνότητα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ.

Ex eodem libro.

Beatus Joannes brevius et perfectius quam nos, horum verborum sensum explanabit, et cohibebit Arianos, ne amplius se tales, qualis est Filius, opinentur. Alioquin ipsi quoque illud audient: Tu es homo, et non Deus. Et noli, cum pauper sis, te cum divite uti æqualem comparare. Sic igitur Joannes scribit: *In hoc cognoscimus, quod in ipso manemus et ipse in nobis, quoniam de Spiritu suo nobis dedit* [3]. Quare propter gratiam Spiritus nobis impertitam, et nos in ipso manemus et ipse in nobis. Et quoniam Spiritus Dei est, eo in nobis exsistente, nos item qui illum habemus, in Deo esse existimamur. Et sic est Deus in nobis, non ut est Filius in Patre. Non enim Filius particeps Spiritus, ut per illum in Patre sit, neque ipse Spiritum accipit, sed illum potius omnibus dilargitur. Nec Spiritus conjungit Verbum cum Patre, sed ipse potius a Verbo id accipit. Et Filius quidem in Patre est, ut Verbum proprium, et splendor ipsius. Nos autem sine Spiritu, ut peregrini et alieni, longe absumus a Deo, Spiritus autem communione cum

C *Ἐκ τοῦ αὐτοῦ λόγου.*

Ὁ μακάριος Ἰωάννης ἐκ τῆς ἐπιστολῆς ἐν ὀλίγοις καὶ τελεώτερον μᾶλλον ἡμῶν δείξει τῶν γεγραμμένων τὸν νοῦν, καὶ παύσει λοιπὸν τοὺς Ἀρειανοὺς μηκέτι νομίζειν ἑαυτοὺς ἔσεσθαι ὡς τὸν Υἱὸν, ἵνα μὴ καὶ αὐτοὶ ἀκούσωσι· *Σὺ εἶ ἄνθρωπος καὶ οὐ Θεὸς, καὶ μὴ συμπαρεκτείνου πένης ὢν πλουσίῳ*. Γράφει τοίνυν ὁ Ἰωάννης οὕτω λέγων· *Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν*. Οὐκοῦν διὰ τὴν δεδομένην ἡμῖν χάριν τοῦ Πνεύματος ἡμεῖς τε ἐν αὐτῷ γινόμεθα, καὶ αὐτὸς ἐν ἡμῖν. Καὶ ἐπειδὴ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐστι, διὰ τοῦτο τούτου γινομένου ἐν ἡμῖν, εἰκότως ἔχοντες καὶ ἡμεῖς τὸ Πνεῦμα, νομιζόμεθα ἐν τῷ Θεῷ γενέσθαι. D Καὶ οὕτως ἐστὶν ὁ Θεὸς ἐν ἡμῖν, οὐχ ἄρα ὡς ἔστιν ὁ Υἱὸς ἐν τῷ Πατρί. Οὐ γὰρ καὶ ὁ Υἱὸς μετέχων ἐστὶ τοῦ Πνεύματος, ἵνα διὰ τοῦτο καὶ ἐν τῷ Πατρὶ γένηται, οὐδὲ λαμβάνων ἐστὶ τὸ Πνεῦμα, ἀλλὰ μᾶλλον αὐτὸς τοῖς πᾶσι τοῦτο χορηγεῖ, καὶ οὐ τὸ Πνεῦμα συνάπτει τὸν Λόγον τῷ Πατρὶ, ἀλλὰ μᾶλλον τὸ Πνεῦμα διὰ τοῦ Λόγου τοῦτο λαμβάνει. Καὶ ὁ μὲν

[1] I Cor. I, 3 et alibi passim. [2] I Thess. III, 11. [3] I Joan. IV, 13.

Υἱὸς ἐν τῷ Πατρί ἐστιν, ὡς Λόγος ἴδιος καὶ ἀπαύγασμα αὐτοῦ, ἡμεῖς δὲ χωρὶς μὲν τοῦ Πατρὸς ξένοι, καὶ μακράν ἐσμεν τοῦ Θεοῦ, τῇ δὲ τοῦ Πνεύματος μετοχῇ συναπτόμεθα τῇ θεότητι. Ὥστε τὸ εἶναι ἡμᾶς ἐν τῷ Πατρὶ μὴ ἡμέτερον εἶναι, ἀλλὰ τοῦ Πνεύματος τοῦ ἐν ἡμῖν ὄντος, καὶ ἐν ἡμῖν μένοντος, ἕως αὐτὸ τῇ ὁμολογίᾳ φυλάττομεν ἐν ἡμῖν. Λέγοντος δὲ πάλιν τοῦ Ἰωάννου· *Ὃς ἂν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ*, ποία ὁμοιότης, καὶ ποία ἰσότης ἡμῶν πρὸς τὸν Υἱόν; Ἢ πῶς οὐκ ἐλέγχονται πανταχόθεν οἱ Ἀρειανοὶ, καὶ μάλιστα παρὰ τοῦ Ἰωάννου, ὅτι ἄλλως μὲν ἔστιν ὁ Υἱὸς ἐν τῷ Πατρὶ, ἄλλως δὲ ἡμεῖς ἐν αὐτῷ γινόμεθα; Καὶ οὔτε ἡμεῖς ὡς ἐκεῖνος ἐσόμεθά ποτε, οὔτε ὁ Λόγος ὡς ἡμεῖς τυγχάνει ὤν, εἰ μὴ ἄρα τολμῶσιν ὡς ἐν πᾶσι καὶ νῦν εἰπεῖν, ὅτι ὁ Υἱὸς μετοχῇ τοῦ Πνεύματος, καὶ βελτιώσει πράξεως γέγονε καὶ αὐτὸς ἐν τῷ Πατρί. Ἀλλὰ καὶ τοῦτο πάλιν ὑπερλίαν ἐστὶν ἀσεβὲς, κἂν ὅλως εἰς ἐνθύμησιν λαβεῖν. Αὐτὸς γὰρ, ὥσπερ εἴρηται, τὸ Πνεῦμα δίδωσι, καὶ ὅσα ἔχει τὸ Πνεῦμα, ταῦτα παρὰ τοῦ Λόγου ἔχει. Οὐκοῦν ὁ Πατὴρ λέγων περὶ ἡμῶν τό· *Καθὼς σὺ, Πάτερ, ἐν ἐμοὶ, κἀγὼ ἐν σοὶ, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν*, οὐ τὴν ταυτότητα ἡμᾶς μένοντας ἐν αὐτῷ ἔχειν σημαίνει, ἀλλὰ ἀξίωσίς ἐστι πρὸς τὸν Πατέρα, ὡς ὁ Ἰωάννης ἔγραψεν, ἵνα τὸ Πνεῦμα χαρίσηται δι' αὐτοῦ τοῖς πιστεύουσι, δι' οὗ καὶ δοκοῦμεν ἐν τῷ Θεῷ γίνεσθαι, καὶ κατὰ τοῦτο συνάπτεσθαι αὐτῷ. Ἐπειδὴ γὰρ ὁ Λόγος ἐστὶν ἐν τῷ Πατρὶ, τὸ δὲ Πνεῦμα ἐκ τοῦ Λόγου δίδοται, θέλει λαβεῖν ἡμᾶς τὸ Πνεῦμα, ἵνα, ὅταν ἐκεῖνο λάβωμεν, τότε ἔχοντες τὸ Πνεῦμα τοῦ Λόγου τοῦ ὄντος ἐν τῷ Πατρὶ, δόξωμεν καὶ ἡμεῖς διὰ τὸ Πνεῦμα ἓν γενέσθαι ἐν τῷ Λόγῳ, καὶ δι' ἑαυτοῦ ἐν τῷ Πατρί. Τὸ δὲ *ἡμεῖς* ἐὰν λέγῃ, οὐδὲν ἕτερον πάλιν ἐστὶν, ἢ ἵνα ἡ γινομένη τοιαύτη χάρις εἰς τοὺς μαθητὰς ἀδιάπτωτος καὶ ἀμεταμέλητος γένηται· ὅπερ ὁ Ἀπόστολος γινώσκων ἔλεγε· *Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;* Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα τοῦ Θεοῦ, καὶ ἡ χάρις τῆς κλήσεως. Τὸ γὰρ Πνεῦμά ἐστι τὸ ἐν τῷ Θεῷ τυγχάνον, καὶ οὐχ ἡμεῖς καθ' ἑαυτούς. Καὶ ὥσπερ υἱοὶ καὶ θεοὶ διὰ τὸν ἐν ἡμῖν λόγον, οὕτως ἐν τῷ Υἱῷ καὶ ἐν τῷ Πατρὶ ἐσόμεθα, καὶ νομισθησόμεθα ἓν γεγενῆσθαι, διὰ τὸ ἐν ἡμῖν εἶναι τὸ Πνεῦμα, ὥσπερ ἐστὶν ἐν τῷ Λόγῳ τῷ ὄντι ἐν τῷ Πατρί. Ὅτε γοῦν ἐκπίπτει τις ἀπὸ τοῦ Πνεύματος διά τινα κακίαν, οὐκ ἔτι ἐν τῷ Θεῷ ἐστιν ἐκεῖνος ὁ πεσὼν, διὰ τὸ ἀποστῆναι ἀπ' αὐτοῦ τὸ ἐν τῷ Θεῷ ἅγιον καὶ παράκλητον Πνεῦμα· ἀλλ' ἐν ἐκείνῳ ἔσται, ᾧ ἑαυτὸν ὑπέταξεν ἁμαρτάνων, ὡς ἐπὶ τοῦ Σαοὺλ γέγονεν. Ἀπέστη γὰρ ἀπ' αὐτοῦ τὸ Πνεῦμα τοῦ Θεοῦ, καὶ ἔθλιβεν αὐτὸν πνεῦμα πονηρόν.

A divinitate copulamur: ut quod simul in Patre, id non ipsi nobis, sed Spiritui in nobis exsistenti et in nobis manenti acceptum referamus. At cum Joannes idem dicat: *Qui confitetur Jesum esse Filium Dei, Deus in ipso manet, et ipse in Deo* [1], quænam similitudo, aut æqualitas nobis cum Filio? Nonne Ariani undique, et a Joanne potissimum confutati tandem animadvertunt aliter esse Filium in Patre, et aliter nos in ipso, et neque nos unquam ut Verbum fore, neque Verbum ut nos? Nisi, ut eorum mos est, nunc etiam audeant dicere communione Spiritus, et virtutis progressu Filium etiam ipsum in Patre esse. Quod quidem in primis impium est vel cogitare, si quidem ipse, ut dictum est, Spiritum tribuit, et quod habet Spiritus id ab eo habet. Quamobrem cum B Servator de nobis dicit: *Sicut tu, Pater, in me, et ego in te, sic et ipsi in nobis sint* [2], non ostendit eamdem nos cum ipsis essentiam habere. Sed Patrem orat, quemadmodum Joannes scribit, ut credentibus Spiritum per se largiatur, per quem in Deo esse, et idcirco cum ipso conjungi videamur. Etenim quia Verbum est in Patre et Spiritus ex Verbo datur, vult ut Spiritum accipiamus, ut posteaquam acceperimus, habentes Spiritum Verbi in Patre exsistentis, videamur et nos per Spiritum esse unum in Verbo, et per Verbum in Patre. Illud autem, *sicut nos* nihil aliud significat, nisi ut ea gratia Spiritus in discipulos distributa nunquam excidat, nunquam adimatur. Id quod Apostolus novit, cum diceret: C *Quis nos separabit a charitate Dei* [3]? Nunquam enim pœnitet Deum munera sua largitum esse, et vocationis gratiam tribuisse. Spiritus enim est, qui in Deo exsistit, non autem nos per nos. Et quemadmodum filii et dii efficimur ob Verbum quod in nobis est, sic per Spiritum in nobis exsistentem, qui est in Verbo, quod est in Patre, unum in Filio et Patre erimus et esse existimabimur. Quando igitur aliquis per peccatum aliquod excidit a Spiritu, is non est amplius in Deo, quandoquidem ab eo recessit Spiritus sanctus et consolator, sed erit in illo cui seipsum peccando subjecit. Quemadmodum Sauli contigit, a quo recessit Spiritus Dei, et vexabat eum spiritus malus.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Πῶς δύναται ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς εἶναι φύσει καὶ ὅμοιος αὐτῷ κατ' οὐσίαν ὁ λέγων· *Ἐδόθη μοι πᾶσα ἐξουσία*; καί· Ὁ Πατὴρ οὐδένα κρίνει, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκεν τῷ Υἱῷ; καί· Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ; καὶ πάλιν· *Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου*; καὶ πάλιν· *Πᾶν ὃ δέδωκέ μοι ὁ Πατὴρ πρὸς ἐμὲ ἥξει.* Εἶτα ἐπιλέγουσιν, Εἰ ἦν, ὡς

D

Ex eodem libro.

Qui fieri potest, inquit, ut Filius sit natura ex Patre, vel Patri secundum naturam similis, cum ipse dicat: *Data est mihi omnis potestas* [4]; et: *Pater neminem judicat, sed omne judicium dedit Filio* [5] et, *Pater diligit Filium et omnia tradidit in manu ejus.* Et iterum: *Omnia mihi tradita sunt a Patre meo:* et rursus: *Omne quod dedit mihi Pater, ad me veniet* [6]. Tum ita ratiocinan-

[1] Joan. IV, 15. [2] Joan. XVII, 21. [3] Rom. VIII, 35. [4] Matth. XXVIII, 18. [5] Joan. V, 22. [6] Joan. VI, 37.

tur : Si talis natura esset Filius, qualem vos affirmatis, nequaquam illi opus fuisset ista accipere. Qui item naturalis et vera Patris virtus esse potest is qui, ubi patiendi tempus advenit, ait : *Nunc anima mea turbata est : et quid dicam ? Pater, serva me ex hac hora : sed propterea veni in horam hanc. Pater, glorifica Filium tuum. Venit ergo vox de cælo. Et glorificavi, et iterum glorificabo* [1]. Similia rursus alibi profert : *Pater, si fieri potest, transeat calix iste* [2]; et : *Cum hæc dixisset Jesus turbatus est spiritu, et contestatus est, et dixit : Amen, amen dico vobis, unus ex vobis me traditurus est* [3]. Ex quibus ita perversi concludunt : Si virtus ille sive potentia fuisset, non profecto timuisset, sed ipse potius aliis vim et potentiam præbuisset. Adjunt item : Si natura vera et propria Patris sapientia erat, cur igitur scriptum est : *Et Jesus proficiebat sapientia, et ætate et gratia apud Deum et homines* [4] : idemque cum venisset in partes Cæsareæ Philippi, interrogavit discipulos quem se esse dicerent homines [5] : cum item in Bethaniam advenisset, sciscitatus est ubinam jaceret Lazarus [6] : præterea discipulis ait : *Quot panes habetis* [7]? Qui igitur, inquiunt, fieri potest, ut ille sit sapientia, qui in sapientia proficit, et ea nescit quæ ab aliis optat discere? Id etiam iidem dicunt : Qui potest ille proprium Patris Verbum esse, sine quo non fuit aliquando Pater, et per quod omnia efficit, ut est vestra sententia, qui in cruce clamabat : *Deus meus, quare dereliquisti me* [8]? Sic etiam precatus erat : *Glorifica Filium tuum* [9]; et : *Glorifica me, Pater, gloria quam habui apud te, priusquam mundus fieret* [10]. Precatus item est in solitudine : discipulosque est hortatus ad orandum, ne intrarent in tentationem. Et : *Spiritus quidem*, aiebat, *promptus est, caro autem infirma* [11]. Et : *De die et hora illa nemo novit, neque angeli, neque Filius* [12]. Ex quibus locis ita improbi argumentantur : Si, ut vos putatis, semper Filius apud Patrem exstitisset, diem illum minime ignoraret, sed tanquam Verbum cognosceret : nec item a Patre derelinqueretur, qui una cum ipso exsisteret; nec gloriam postularet, quam in Patre haberet; nec denique prorsus precaretur, quippe qui, ut Verbum, nulla omnino re indigeret. Verum quia et creatus erat et una e rebus factis, hinc ita loquebatur, hisque indigebat quæ non ipse habebat. Siquidem rerum creatarum proprium est his indigere quæ non habent. Hæc igitur sunt quæ impii insaniendo proferunt. Qui quidem, cum res hujusmodi cogitent, possent etiam audacius interrogare : Quare omnino Verbum caro factum sit; tumque subjungere : Quomodo enim ille qui Deus erat, homo potui fieri? Vel quomodo ille qui corporis expers est, corpus potuit gestare? Imo quin Judæos potius imitentur et cum Caipha

A λέγεται, Υἱὸς κατὰ φύσιν, οὐ χρείαν εἶχε λαβεῖν. Ἢ πῶς δύναται δύναμις εἶναι φύσει καὶ ἀληθινὴ τοῦ Πατρὸς ὁ παρὰ τὸν καιρὸν τοῦ πάθους λέγων· *Νῦν ἡ ψυχή μου τετάρακται, καὶ τί εἴπω; Πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης· ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην. Πάτερ, δόξασόν σου τὸν Υἱόν. Ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ, καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω.* Πάλιν τε τὸ ὅμοιον ἔλεγε· *Πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο.* Καὶ, Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐταράχθη τῷ πνεύματι, καὶ ἐμαρτύρησε, καὶ εἶπεν· *Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, εἷς ἐξ ὑμῶν παραδώσει με.* Καὶ ἐπὶ τούτῳ φασὶν οἱ κακόφρονες· Εἰ δύναμις ἦν, οὐκ ἂν ἐδειλίασεν, ἀλλὰ μᾶλλον καὶ ἑτέροις τὸ δύνασθαι παρεῖχεν. Εἶτά φασιν· Εἰ σοφία ἦν φύσει ἀληθινὴ καὶ ἰδία τοῦ
B Πατρὸς, πῶς γέγραπται· *Ὁ δὲ Ἰησοῦς προέκοπτε σοφίᾳ, καὶ ἡλικίᾳ, καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις;* Καὶ ἐλθὼν εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου ἐπυνθάνετο παρὰ τῶν μαθητῶν τίνα λέγουσιν αὐτὸν οἱ ἄνθρωποι εἶναι. Εἰς δὲ τὴν Βηθανίαν παραγενόμενος ἐρωτᾷ, ποῦ Λάζαρος κεῖται· ἔλεγε δὲ καὶ τοῖς μαθηταῖς, Πόσους ἄρτους ἔχετε; Πῶς οὖν φασιν, οὗτος σοφία ἐν σοφίᾳ προκόπτων, καὶ ἀγνοῶν ἃ παρ' ἑτέρων μανθάνειν ἠξίου; Ἔτι δὲ καὶ τοῦτο παρ' αὐτῶν λεγόμενον, Πῶς δύναται Λόγος ἴδιος εἶναι τοῦ Πατρὸς, οὗ ἄνευ οὐκ ἦν ποτε Πατὴρ, καὶ δι' οὗ τὰ πάντα ἐποίει, ὡς ὑμεῖς φωνεῖτε, ὁ ἐπὶ μὲν τοῦ Σταυροῦ λέγων· Θεέ μου, Θεέ μου, ἱνατί με ἐγκατέλειπες; Πρὸ δὲ τούτου εὐχόμενος· Δόξασόν σου τὸν
C Υἱόν· καί· Δόξασόν με σὺ, Πάτερ, τῇ δόξῃ, ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί, καὶ ηὔχετο ἐν ταῖς ἐρήμοις, καὶ παρήγγελλε τοῖς μαθηταῖς εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμὸν, καί· Τὸ μὲν πνεῦμα πρόθυμον ἔλεγεν, ἡ δὲ σὰρξ ἀσθενής· καὶ ὅτι· Περὶ τῆς ἡμέρας ἐκείνης, καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὔτε οἱ ἄγγελοι, οὔτε ὁ Υἱός; Εἶτα πάλιν φασὶν ἐπὶ τούτοις οἱ δείλαιοι· Εἰ ἦν κατὰ τὴν ὑμετέραν διάνοιαν ἀϊδίως ὑπάρχων πρὸς τὸν Θεὸν, οὔτε ἂν ἠγνόησε περὶ τῆς ἡμέρας, ἀλλ' ἐγίνωσκεν ὡς Λόγος· οὐδ' ἂν ἐγκατελείπετο ὡς συνυπάρχων, οὔτε δόξαν ᾔτει λαβεῖν, ἔχων αὐτὴν ἐν τῷ Πατρὶ, οὔτε ὅλως ηὔχετο· οὐδενὸς γὰρ ὡς Λόγος ὢν ἐδέετο· ἀλλ' ἐπεὶ κτίσμα ἐστὶ καὶ εἷς τῶν γενητῶν, διὰ τοῦτο τοιαῦτα ἔλεγε, καὶ ἐδέετο ὧν οὐκ εἶχε. Κτισμάτων γὰρ ἴδιον τὸ χρῄζειν, καὶ δέεσθαι
D ὧν οὐκ ἔχουσι. Τοιαῦτα μὲν οὖν οἱ ἀσεβεῖς ἐξάρχονται λαλεῖν. Ἔδει δὲ ταῦτα λογιζομένους εἰπεῖν αὐτοὺς καὶ τολμηρότερον· Διατί ὅλως σὰρξ ἐγένετο; Καὶ πάλιν ἐπειπεῖν· Πῶς γὰρ ἠδύνατο Θεὸς ὢν γενέσθαι ἄνθρωπος; Ἢ πῶς ἠδύνατο ἀσώματος σῶμα φορέσαι; Ἢ καὶ Ἰουδαϊκώτερον κατὰ τὸν Καϊάφαν εἰπεῖν· Διατί ὅλως ἄνθρωπος ὢν Θεὸν ἑαυτὸν ποιεῖ; Ταῦτα γὰρ καὶ τὰ τούτοις παραπλήσια τότε μὲν Ἰουδαῖοι βλέποντες ἐγόγγυζον, νῦν δὲ ἀναγινώσκοντες οἱ Ἀρειομανῖται ἀπιστοῦσι, καὶ εἰς βλασφημίαν ἐκπεπτώκασιν. Εἴ τις οὖν ἐκ παραλλήλου τὰ τούτων, κα-

[1] Joan. XII, 27, 28. [2] Matth. XXVI, 39. [3] Joan. XIII, 21. [4] Luc. II, 52. [5] Matth. XVI, 13. [6] Joan. XI, 18. [7] Marc. VI, 38. [8] Matth. XXVII, 46. [9] Joan. XII, 28. [10] Joan. XVII, 5. [11] Matth. XXVI, 41. [12] Marc. XIII, 32.

A κείνων ἐξετάζοι ῥήματα, εὑρήσει πάντως εἰς τὴν αὐτὴν αὐτοὺς συναντῶντας ἀπιστίαν, καὶ ἴσην αὐτῶν τῆς ἀσεβείας τὴν τόλμαν, καὶ κοινὴν αὐτῶν οὖσαν τὴν πρὸς ἡμᾶς μάχην. Ἰουδαῖοι μὲν γὰρ ἔλεγον· Πῶς Ἄνθρωπος ὤν, δύναται Θεὸς εἶναι; Ἀρειανοὶ δέ· Εἰ Θεὸς ἦν ἀληθινὸς ἐκ τοῦ Θεοῦ, ἠδύνατο ἄνθρωπος γενέσθαι; καὶ Ἰουδαῖοι ἐσκανδαλίζοντο, καὶ ἐχλεύαζον λέγοντες· Οὐκ ἂν οὗτος, εἰ ἦν Υἱὸς Θεοῦ, ὑπέμεινε σταυρόν. Ἀρειανοὶ δὲ εἰς τὸ καταντικρὺ στήκοντες αὐτῶν φάσκουσιν ἡμῖν, Πῶς τολμᾶτε λέγειν Λόγον ἴδιον εἶναι τῆς τοῦ Πατρὸς οὐσίας τὸν ἔχοντα σῶμα; Εἶτα τῶν Ἰουδαίων ζητούντων ἀποκτεῖναι τὸν Κύριον, ὅτι Πατέρα τὸν Θεὸν ἔλεγεν ἴδιον εἶναι, καὶ ἴσον ἑαυτὸν ἐποίει ἐργαζόμενος ἃ ἐργάζεται ὁ Πατήρ, ἔμαθον οἱ Ἀρειανοὶ λέγειν καὶ αὐτοί, ὅτι οὔτε ἴσος τῷ Θεῷ ἐστιν, B οὔτε Πατὴρ ἴδιός ἐστι καὶ φύσει τοῦ Λόγου ὁ Θεός· ἀλλὰ τοὺς τὰ τοιαῦτα φρονοῦντας ζητοῦσιν ἀποκτεῖναι. Πάλιν τε τῶν Ἰουδαίων λεγόντων· *Οὐχ οὗτός ἐστιν Ἰησοῦς ὁ Υἱὸς Ἰωσήφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα, καὶ τὴν μητέρα; Πῶς οὖν λέγει· Πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι, καὶ ἐκ τοῦ οὐρανοῦ καταβέβηκα;* Οἱ Ἀρειανοὶ ἐπακολουθοῦσι καὶ αὐτοὶ ἐξ ἴσου λέγοντες· Πῶς δύναται Λόγος εἶναι, ἢ Θεὸς ὁ κοιμώμενος ὡς ἄνθρωπος, καὶ κλαίων, καὶ πυνθανόμενος; Ἀμφότεροι οὖν ἐκ τῶν ἀνθρωπίνων, ὧν ὑπέμεινεν ὁ Σωτὴρ δι' ἣν εἶχε σάρκα, ἀρνοῦνται τὴν ἀϊδιότητα καὶ θεότητα τοῦ Λόγου.

A clament : Cur Christus, qui homo est, seipsum Deum fecit [1] ? his enim et similibus sermonibus Judæi olim obstrepebant, cum hæc viderent, quæ nunc Ariani legentes, nolunt credere, sed ad blasphemias delapsi sunt. Si quis igitur Judæorum et Arianorum verba inter se velit conferre, is facile perspiciet illos in eamdem omnino infidelitatem incurrere, paremque eorum impietatem et audaciam, ac communem illis contra nos esse pugnam. Nam Judæi quidem aiebant : Qui fieri potest ut ille qui homo est, Deus sit ? Ariani vero : Si Deus verus est ex Deo, quo pacto potuit fieri homo ? Judæi præterea scandalum patiebantur, hujusmodique cavillabantur verbis : Si Filius Dei esset iste, crucem non tolerasset. Ex adversa autem parte B Ariani hæc nos interrogant : Quare asseverare audetis illum proprium naturæ Patris Verbum esse, qui corpus quod pati possit habet ? Judæi item Dominum necandum quærebant, quod Deum, suum esse Patrem diceret, eique se parem faceret, cum se ea agere quæ ille agit testaretur. Eadem quoque est Arianorum doctrina, illum nempe neque parem esse Deo, neque Deum proprium ac naturalem Verbi Patrem esse : quin etiam illos, qui ita sentiunt, ad necem perquirunt. Insuper is erat etiam Judæorum sermo : *Nonne hic est Filius Joseph, cujus nos patrem et matrem novimus? Quomodo igitur dicit, Priusquam Abraham fieret, ego sum, et de cœlo descendi* [2]. Judæis consentiunt Ariani, atque ista pariter decantant : Qui fieri potest ut ille sit Verbum vel Deus, qui dormit, ut homo, qui flet et interrogat? Scilicet utrique, humanas propter affectiones, quibus pro carnis, quam induit, conditioni se subjecit Salvator, Verbi proprietatem et divinitatem rejiciunt.

Ἐκ τοῦ αὐτοῦ λόγου περὶ τοῦ σκοποῦ τῆς C *ἁγίας καὶ θείας Γραφῆς, ὅτι διπλῆν οἶδε τὴν περὶ τοῦ Σωτῆρος ἐπαγγελίαν, τὴν μὲν ὡς ἀϊδίου Υἱοῦ καὶ Θεοῦ, τὴν δὲ ὡς ὕστερον ἀληθῶς καὶ τελείως ἐνανθρωπήσαντος.*

Ex eodem libro. Sanctæ et divinæ Scripturæ propositum esse, ut dupliciter de Servatore loquatur, tum ut de sempiterno Filio et Deo, tum ut de illo, qui postea vere perfecteque factus sit homo.

Σκοπὸς τοίνυν οὗτος καὶ χαρακτὴρ τῆς ἁγίας Γραφῆς, ὡς πολλάκις εἴπομεν, διπλῆν εἶναι τὴν περὶ τοῦ Σωτῆρος ἐπαγγελίαν ἐν αὐτῇ· ὅτι τε ἀεὶ Θεὸς ἦν καὶ Υἱός ἐστι, Λόγος ὢν καὶ ἀπαύγασμα καὶ σοφία τοῦ Πατρός· καὶ ὅτι ὕστερον, δι' ἡμᾶς σάρκα λαβὼν ἐκ Παρθένου τῆς Θεοτόκου Μαρίας, ἄνθρωπος γέγονε. Καὶ ἔστι μὲν τοῦτον εὑρεῖν διὰ πάσης τῆς θεοπνεύστου Γραφῆς σημαινόμενον, ὡς αὐτὸς ὁ Κύριος εἴρηκεν· *Ἐρευνᾶτε τὰς Γραφάς, ὅτι αὐ-* D *ταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ*· ἵνα δὲ μή, πάντα τὰ ῥητὰ συνάγων, πολὺς ἐν τῷ γράφειν γένωμαι, ἀρκεσθῶμεν ὡς πάντων μνημονεῦσαι, τοῦ μὲν Ἰωάννου λέγοντος· *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν.* Εἶτα· *Καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός*· τοῦ δὲ Παύλου γράφοντος· *Ὅς, ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα*

Hic igitur scopus et character est sanctæ Scripturæ, uti sæpe diximus, nempe ut duo de Salvatore demonstret, illum scilicet Deum semper fuisse, et Filium esse, quippe cum sit Patris Verbum splendorque et sapientia, ipsumque postea propter nos, carne ex Virgine Deipara Maria assumpta, hominem factum esse. Atque hunc quidem scopum per universam divinitus inspiratam Scri- D pturam inculcari deprehendere est, quemadmodum testatur ipse Dominus his verbis : *Scrutamini Scripturas, quia illæ sunt quæ testimonium perhibent de me* [3]. Verum ne, omnia loca adducendo, multus hac in re probanda videar, ea, quæ sequuntur, vice omnium afferre satis fuerit. Hæc igitur sunt Joannis verba : *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum : hoc erat in principio apud Deum. Omnia per ipsum facta sunt, et sine ipso factum est nihil* [4]. Deinde : *Et Verbum caro factum est, et habitavit in nobis, et vidimus gloriam ejus, gloriam quasi unigeniti a Patre* [5]. Paulus autem ita scribit : *Qui cum in forma Dei*

[1] Joan. x, 33. [2] Joan. vi, 42; viii, 58. [3] Joan. v, 39. [4] Joan. i, 1 2. [5] Ibid. 14.

esset, non rapinam arbitratus est esse se æqualem Deo, sed semetipsum exinanivit, forma servi accepta, in similitudinem hominum factus, et figura inventus ut homo. Humiliavit semetipsum, factus obediens usque ad mortem, mortem autem crucis [1]. Ex his porro, si quis eadem ratione universam Scripturam perlustrare voluerit, clare percipiet quare initio Pater illi dixit : *Fiat lux* [2], et, *Fiat firmamentum* [3], et, *Faciamus hominem* [4] : cur item eum in fine sæculorum in mundum miserit, non ut mundum judicaret, sed ut mundus per ipsum salvus fieret [5] :

Qui igitur divinam Scripturam legerit, discat quidem verba ex Vetere Testamento, sed ex Evangelio attendat Dominum hominem factum esse. Nam, *Verbum*, inquit, *caro factum est, et habitavit in nobis* [6]. Homo, inquam, factus est, non autem in hominem venit. Id enim scire etiam necesse est, ne forte in hujusmodi sententiam deflectentes impii, aliquos decipiant, illique existiment, quemadmodum olim Verbum in unumquemque sanctorum descendit, ita etiam in hominem venisse, ut eum sanctum redderet, et in ipso appareret, uti in aliis contigit. Si enim ita se res haberet, et in homine tantummodo apparuisset : nihil sane esset quod admirationem posset movere, nec qui eum videbant, obstupefacti dixissent : Undenam iste est [7] ? et, Cur tu homo cum sis, teipsum facis Deum [8] ? Audire siquidem illi consueverant : Factum est Verbum Domini ad singulos prophetas. Nunc autem postquam Dei Verbum, per quod omnia facta sunt, etiam filius hominis fieri non renuit, seque ipsum humiliavit, servi forma accepta : idcirco crux Christi Judæis est scandalum, nobis autem Christus Dei virtus et Dei sapientia est [9]. Nam *Verbum*, ut ait Joannes, *caro factum est* [10]. Siquidem mos est Scripturæ sacræ hominem carnem appellare. Hinc apud Joelem prophetam dicitur : *Effundam de Spiritu meo in omnem carnem* [11]. Item Daniel Astyagi dixit : *Ego idola manufacta non colo, sed Deum viventem, qui cœlum et terram creavit, et in omnem carnem dominatum habet* [12]. Hic enim, ut et Joel, hominum genus carnis nomine significat.

Olim igitur ad singulos sanctos factum est Verbum, eosque, qui ipsum digne susceperunt, effecit sanctos : nec tamen cum illi nascerentur, dictum est ipsum hominem factum esse, nec cum paterentur, passum esse. Cum autem in fine sæculorum ad destruendum peccatum ex Maria prodiit (ita enim Patri visum est suum mittere Filium factum ex muliere, factum sub lege [13], tunc dictum est ipsum carne assumpta hominem factum esse, atque pro nobis in ea esse passum, ut ait Petrus : *Christo igitur pro nobis passo in carne* [14], ut scilicet planum fieret, omnesque crederemus eum ipsum, qui semper Deus fuit, et eos, ad quos accessit, sanctos effecit,

A Θεῷ· *ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος. Ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ*. Ἀπὸ τούτων γὰρ, τῇ αὐτῇ διανοίᾳ διερχόμενός τις πᾶσαν τὴν Γραφὴν, ὄψεται πῶς ἐν ἀρχῇ μὲν εἶπε τούτῳ ὁ Πατήρ· *Γενηθήτω φῶς*, καὶ, *Γενηθήτω στερέωμα*, καὶ, *Ποιήσωμεν ἄνθρωπον*· ἐπὶ δὲ συντελείᾳ τῶν αἰώνων ἀπέστειλεν αὐτὸν εἰς τὸν κόσμον, οὐχ ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ (84) ὁ κόσμος δι' αὐτοῦ·

Ὁ τοίνυν ἐντυγχάνων τῇ θείᾳ Γραφῇ, ἀπὸ μὲν τῶν Παλαιῶν τὰ ῥητὰ καταμανθανέτω, ἀπὸ δὲ τῶν Εὐαγγελίων θεωρείτω τὸν Κύριον γενόμενον ἄνθρωπον· *Ὁ Λόγος* γὰρ, φησὶ, *σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν*. Ἄνθρωπος δὲ γέγονε, καὶ οὐκ εἰς ἄνθρωπον ἦλθε· καὶ τοῦτο γὰρ ἀναγκαῖον εἰδέναι· μήποτε καὶ, εἰς τοῦτο πεσόντες οἱ ἀσεβεῖς,
B ἀπατήσωσί τινας, κἀκεῖνοι νομίσωσιν, ὅτι, ὥσπερ ἐν τοῖς ἔμπροσθεν χρόνοις εἰς ἕκαστον τῶν ἁγίων ἐγίνετο, οὕτω καὶ νῦν εἰς ἄνθρωπον ἐπεδήμησεν ὁ Λόγος ἁγιάζων καὶ τοῦτον, καὶ φανερούμενος ὥσπερ καὶ ἐν τοῖς ἄλλοις. Εἰ γὰρ οὕτως ἦν, καὶ μόνον ἐν ἀνθρώπῳ φανεὶς ἦν, οὐδὲν ἦν παράδοξον οὔτε οἱ ὁρῶντες ἐξενίζοντο λέγοντες· Ποταπὸς ἄρα ἐστὶν οὗτος; καὶ, Διὰ τί σὺ, ἄνθρωπος ὢν, ποιεῖς σεαυτὸν Θεόν; Εἶχον γὰρ τὴν συνήθειαν ἀκούοντες· Καὶ ἐγένετο Λόγος Κυρίου πρὸς ἕκαστον τῶν προφητῶν. Νῦν δὲ, ἐπειδὴ ὁ τοῦ Θεοῦ Λόγος, δι' οὗ γέγονε τὰ πάντα, ὑπέμεινε καὶ Υἱὸν ἀνθρώπου γενέσθαι, καὶ ἐταπείνωσεν ἑαυτὸν, λαβὼν δούλου μορφήν· διὰ τοῦτο Ἰουδαίοις μὲν σκάνδαλόν ἐστιν ὁ τοῦ Χριστοῦ σταυρὸς, ἡμῖν δὲ Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σο-
C φία· Ὁ Λόγος γὰρ, ὡς εἶπεν ὁ Ἰωάννης, *σὰρξ ἐγένετο*· τῆς Γραφῆς ἔθος ἐχούσης λέγειν σάρκα τὸν ἄνθρωπον, ὡς διὰ Ἰωὴλ τοῦ προφήτου φησίν· *Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα*· καὶ ὡς Δανιὴλ εἴρηκε τῷ Ἀστυάγῃ· *Οὐ σέβομαι εἴδωλα χειροποίητα, ἀλλὰ τὸν ζῶντα Θεὸν, τὸν κτίσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ ἔχοντα πάσης σαρκὸς κυρείαν*· σάρκα γὰρ καὶ οὗτος καὶ Ἰωὴλ τὸ τῶν ἀνθρώπων γένος λέγουσιν.

Πάλαι μὲν οὖν πρὸς ἕκαστον τῶν ἁγίων ἐγίνετο, καὶ ἡγίαζε μὲν τοὺς γνησίως δεχομένους αὐτόν· οὔτε δὲ, γεννωμένων ἐκείνων, εἴρηται, ὅτι αὐτὸς γεγένηται ἄνθρωπος, οὔτε, πασχόντων ἐκείνων, εἴρηται· Πέπονθεν αὐτός. Ὅτε δὲ ἐκ Μαρίας ἐπεδή-
D μησεν ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας (οὕτω γὰρ εὐδοκήσας ὁ Πατὴρ ἔπεμψε τὸν ἑαυτοῦ Υἱὸν γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον), τότε εἴρηται, ὅτι σάρκα προσλαβὼν γεγένηται ἄνθρωπος, καὶ ἐν ταύτῃ πέπονθεν ὑπὲρ ἡμῶν, ὡς εἶπεν ὁ Πέτρος· *Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί*· ἵνα δειχθῇ, καὶ πάντες πιστεύσωμεν, ὅτι, ἀεὶ ὢν Θεὸς, καὶ ἁγιάζων,

[1] Philip. II, 6 8. [2] Gen. I, 3. [3] ibid. 6. [4] ibid. 26. [5] Joan. III, 17. [6] Joan. I, 14. [7] Joan. XIX, 9. [8] Joan. X, 33. [9] I Cor. I, 24. [10] Joan. I, 14. [11] Joel. II, 28. [12] Dan. XIV, 4. [13] Galat. IV, 4. [14] I Petr. IV, 1.

πρὸς οὓς ἐγένετο, διακοσμῶν τε κατὰ τὸ βούλημα A
τοῦ Πατρὸς τὰ πάντα, ὕστερον καὶ δι' ἡμᾶς γέγονεν ἄνθρωπος, καὶ σωματικῶς, ὥς φησιν ὁ Ἀπόστολος, κατῴκησεν ἡ θεότης ἐν τῇ σαρκί· ἴσον τῷ φάναι, Θεὸς ὤν, ἴδιον ἔσχε σῶμα, καὶ τούτῳ χρώμενος ὀργάνῳ, γέγονεν ἄνθρωπος δι' ἡμᾶς.

Τῆς αὐτῆς ἀκολουθίας.

Τῆς σαρκὸς πασχούσης, οὐκ ἦν ἐκτὸς ταύτης ὁ Λόγος· διὰ τοῦτο γὰρ αὐτοῦ λέγεται καὶ τὸ πάθος· καὶ θεϊκῶς δὲ ποιοῦντος αὐτοῦ τὰ ἔργα τοῦ Πατρὸς, οὐκ ἦν ἔξωθεν αὐτοῦ ἡ σάρξ· ἀλλ' ἐν αὐτῷ τῷ σώματι ταῦτα πάλιν ὁ Κύριος ἐποίει· διὰ τοῦτο γὰρ καὶ ἄνθρωπος γενόμενος ἔλεγεν· *Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύετε, ἵνα γινώσκητε, ὅτι ἐν ἐμοὶ ὁ Πατὴρ,* B
κἀγὼ ἐν αὐτῷ. Ἀμέλει ὅτε χρεία γέγονε τὴν πενθερὰν τοῦ Πέτρου πυρέσσουσαν ἐγεῖραι, ἀνθρωπίνως μὲν ἐξέτεινε τὴν χεῖρα, θεϊκῶς δὲ ἦν παύων τὴν νόσον. Καὶ ἐπὶ μὲν τοῦ ἐκ γενετῆς τυφλοῦ ἀνθρώπινον ἀπὸ τῆς σαρκὸς ἠφίει τὸ πτύσμα, θεϊκῶς δὲ τοὺς ὀφθαλμοὺς ἤνοιγε διὰ τοῦ πηλοῦ· ἐπὶ δὲ τοῦ Λαζάρου φωνὴν μὲν, ὡς ἄνθρωπος, ἀνθρωπίνην ἠφίει· θεϊκῶς δὲ, ὡς Θεὸς, τὸν Λάζαρον ἤγειρεν ἐκ νεκρῶν. Ταῦτα δὲ οὕτως ἐγίνετο, καὶ ἐδείκνυτο, ὅτι μὴ φαντασίᾳ ἀλλὰ ἀληθῶς ἦν ἔχων σῶμα· ἔπρεπε δὲ τὸν Κύριον, ἐνδιδυσκόμενον ἀνθρωπίνην σάρκα, ταύτην μετὰ τῶν ἰδίων παθῶν αὐτῆς ὅλην ἐνδύσασθαι, ἵνα, ὥσπερ ἴδιον αὐτοῦ λέγομεν εἶναι τὸ σῶμα, οὕτω καὶ τὰ τοῦ σώματος πάθη ἴδια μόνον αὐτοῦ λέγηται, εἰ καὶ μὴ ἥπτετο κατὰ τὴν θεότητα αὐτοῦ. Εἰ μὲν οὖν ἑτέρου ἦν τὸ σῶμα, ἐκείνου C
ἂν λέγοιτο καὶ τὰ πάθη· εἰ δὲ τοῦ Λόγου ἡ σάρξ (*ὁ γὰρ Λόγος σὰρξ ἐγένετο*), ἀνάγκη καὶ τὰ τῆς σαρκὸς πάθη λέγεσθαι αὐτοῦ, οὗ καὶ ἡ σάρξ ἐστιν. Οὗ δὲ λέγεται τὰ πάθη, οἷά ἐστι μάλιστα τὸ κατακριθῆναι, τὸ μαστιγωθῆναι, τὸ διψῆν, καὶ ὁ σταυρὸς, καὶ ὁ θάνατος, καὶ αἱ ἄλλαι τοῦ σώματος ἀσθένειαι, τούτου καὶ τὸ κατόρθωμα καὶ ἡ χάρις ἐστί. Διὰ τοῦτο τοίνυν ἀκολούθως καὶ πρεπόντως οὐκ ἄλλου, ἀλλὰ τοῦ Κυρίου λέγεται τὰ τοιαῦτα πάθη· ἵνα καὶ ἡ χάρις παρ' αὐτοῦ ᾖ καὶ μὴ ἄλλου λάτραι γινώμεθα, ἀλλὰ ἀληθῶς θεοσεβεῖς, ὅτι μηδένα τῶν γενητῶν, μηδὲ κοινόν τινα ἄνθρωπον, ἀλλὰ τὸν ἐκ τοῦ Θεοῦ φύσει καὶ ἀληθινὸν Υἱὸν τοῦτον καὶ γενόμενον ἄνθρωπον, οὐδὲν ἧττον Κύριον αὐτὸν καὶ Θεὸν καὶ Σωτῆρα ἐπικαλούμεθα. D

Τοῦτο δὲ τί; οὐκ ἂν θαυμάσειεν; ἢ τις οὐκ ἂν σύνθοιτο θεῖον ἀληθῶς εἶναι τὸ πρᾶγμα; Εἰ γὰρ τὰ τῆς θεότητος τοῦ Λόγου ἔργα μὴ διὰ τοῦ σώματος ἐγίνετο, οὐκ ἂν ἐθεοποιήθη ἄνθρωπος· καὶ πάλιν, εἰ τὰ ἴδια τῆς σαρκὸς οὐκ ἐλέγετο τοῦ Λόγου, οὐκ ἂν ἠλευθερώθη παντελῶς ἀπὸ τούτων ὁ ἄνθρωπος· ἀλλ' εἰ ἄρα πρὸς ὀλίγον μὲν ἀνεπαύετο, πάλιν δὲ ἔμενεν ἡ ἁμαρτία ἐν αὐτῷ καὶ ἡ φθορὰ, ὥσπερ ἐπὶ τῶν ἔμπροσθεν ἀνθρώπων γέγονε, καὶ τοῦτο δείκνυται. Πολλοὶ γοῦν ἅγιοι γεγόνασι καὶ

omniaque juxta Patris voluntatem administrat, propter nos hominem postea factum fuisse atque, ut loquitur Apostolus, divinitatem corporaliter in carne habitasse [1], quod idem est ac si diceret, Cum Deus esset, proprium habuit corpus, quo ut instrumento utens, homo propter nos factus est.

De eodem argumento.

Hinc cum caro pateretur, extra eam non erat Verbum, quæ causa est cur ejus esse passio dicatur. Cum item ipse Patris opera divine efficeret, extra ipsum non erat caro, sed in ipso corpore hæc efficiebat Dominus. Idcirco enim factus homo aiebat: *Si Patris mei opera non facio, mihi credere nolite: si autem facio, si mihi credere nolitis, operibus saltem credite, ut cognoscatis Patrem in me esse, et me in illo* [2]. Certe cum opus fuit socrum Petri febri laborantem curare [3], humano quidem more manum extendit, sed morbum divinitus repressit. Similiter cum cæcum natum sanavit, humanum sputum e carne emisit, sed per lutum oculos ejus divine aperuit. In Lazaro quoque a mortuis excitando humanam quidem vocem, ut homo, edidit: sed divine, ut Deus, Lazarum ad vitam revocavit. Hæc autem idcirco ita palam fiebant, quod non specie sed revera corpus haberet. Nempe decebat Dominum, humanam carnem induentem, totam eam cum propriis affectionibus induere, ut quemadmodum proprium ejus esse corpus dicimus, ita etiam corporis affectiones, ejusdem solum propriæ esse dicerentur, tametsi ejus non attingebant divinitatem. Itaque si alterius esset corpus, illius etiam esse affectiones dicerentur: sed si Verbi caro est (*Verbum enim caro factum est* [4]), necesse est carnis affectiones illius dici cujus ipsa caro est. Cujus porro dicuntur affectiones, quales in primis sunt, condemnari, flagellis cædi, sitire, cruci affigi, mori, aliæque corporis infirmitates, ejusdem quoque sunt tum præclare gesta tum gratia. Eam igitur ob rem congruenter et convenienter hujusmodi affectiones non alterius, sed Domini esse dicuntur, ut et gratia ab illo sit, et nullius alius, sed vere Dei cultores essemus, quippe qui nullam e rebus factis nec vulgarem aliquem hominem, sed verum et natura ex Deo genitum Filium invocemus, qui idem tametsi factus est homo, nihilominus et Dominus et Deus et Salvator est.

Cui porro id admirabile non videbitur, vel quis rem vere divinam esse non consenserit? Nisi enim divinitatis Verbi opera per corpus essent facta, nunquam homo divinus effectus fuisset: et vicissim nisi quæ carnis propria sunt, Verbi esse dicerentur, ab his homo non penitus fuisset liberatus. Verum si aliquod tempus cessassent, rursus tamen in homine peccatum et corruptio remansisset, uti antea contigit hominibus: neque id probatu est difficile. Multi nempe sancti et

[1] Coloss. II, 9. [2] Joan. X, 37, 38. [3] Matth. VIII, 14. [4] Joan. I, 14.

ab omni peccato puri exstitere : quinetiam Jeremias ab utero sanctus est effectus [1], et Joannes cum in matris utero adhuc gestaretur, ad Deiparæ Mariæ vocem lætitia exsultavit [2]. Verumtamen *Regnavit mors ab Adam usque ad Moysen, etiam in eos, qui non peccaverunt, in similitudinem prævaricationis Adæ* [3], atque ita homines nihilominus mortales et corrupti propriisque naturæ affectionibus subjecti permansere. Jam vero postquam Verbum homo factus est, et quæ carnis sunt, propria sibi esse voluit, hæc non amplius corpus attingunt, ob Verbum quod in ipso factum est, sed consumpta ab illo sunt, nec jam homines suas propter affectiones peccatores et mortui manent, sed Verbi virtute reviviscentes, immortales atque incorrupti perpetuo durant. Quocirca cum caro ex Deipara Maria nascitur, ipse tamen natus esse dicitur, quo donante alii nascuntur ut sint, ut scilicet nostrum ipse ortum in se transferat, hincque nos non jam, ut terra sola, in terram revertamur, sed tanquam cum cœlesti Verbo conjuncti, in cœlos ab ipso perducamur. Similiter igitur haud absque ratione alias corporis affectiones in seipsum transtulit, ut videlicet, non jam ut homines, sed ut proprie ad ipsum Verbum pertinentes, æternæ vitæ participes redderemur. Nec enim deinceps, ut in priori origine, in Adam morimur, sed nostra origine omnibusque carnis infirmitatibus in Verbum ipsum translatis, e terra excitamur, soluta peccati maledictione, ejus merito, qui in nobis, nostri gratia, maledictio factus est , idque admodum convenienter. Nam quemadmodum nos omnes, ut qui ex terra sumus, in Adam morimur : ita ex aqua et spiritu sursum regenerati, omnes in Christo vita donamur.

Ut autem accuratius cognosci possit naturam Verbi pati nihil posse, carnisque infirmitates propter carnem ipsi attribui, haud abs re erit beatum Petrum audire : dignus siquidem testis est cui de Salvatore dicenti fides habeatur. Sic ergo in Epistola scribit : *Christo igitur pro nobis carne passo* [4]. Proinde cum esurire dicitur et sitire, laborare, ignorare, dormire, flere, postulare, fugere, nasci, calicem deprecari, ac denique quæcunque carnis propria sunt, de singulis recte dici possit : Christo igitur, carne pro nobis, esuriente et sitiente, seque ignorare dicente, colaphis cæso, et laborante pro nobis carne : exaltato item, nascente, crescente, carne ; timente et latente, carne; ac dicente similiter, *Si fieri potest, transeat a me calix iste* [5], vapulante et accipiente pro nobis carne : in cæteris demum similibus rite addi queat, *pro nobis carne*. Idcirco enim et ipse Apostolus dicit, *Christo igitur passo*, non divinitate, sed *pro nobis carne*, ut illæ affectiones non propriæ Verbi naturæ, sed carnis natura propriæ esse agnoscerentur. Nemini igitur hæc humana sint scandalo, sed omnes potius agnoscamus Verbum quidem pro naturæ suæ conditione nihil pati posse, sed propter

A καθαροὶ πάσης ἁμαρτίας· Ἱερεμίας δὲ καὶ ἐκ κοιλίας ἡγιάσθη· καὶ Ἰωάννης ἔτι κυοφορούμενος ἐσκίρτησεν ἐν ἀγαλλιάσει ἐπὶ τῇ φωνῇ τῆς Θεοτόκου Μαρίας· καὶ ὅμως *Ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας, ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ*· καὶ οὕτως ἔμενον οὐδὲν ἧττον οἱ ἄνθρωποι θνητοὶ καὶ φθαρτοὶ, δεκτικοὶ τῶν ἰδίων τῆς φύσεως παθῶν. Νῦν δὲ τοῦ Λόγου γενομένου ἀνθρώπου, καὶ ἰδιοποιουμένου τὰ τῆς σαρκὸς, οὐκέτι ταῦτα τοῦ σώματος ἅπτεται διὰ τὸν ἐν αὐτῷ γενόμενον Λόγον· ἀλλ' ὑπ' αὐτοῦ μὲν ἀνήλωται, λοιπὸν δὲ οἱ ἄνθρωποι οὐκέτι κατὰ τὰ ἴδια πάθη μένουσιν ἁμαρτωλοὶ καὶ νεκροὶ, ἀλλὰ κατὰ τὴν τοῦ Λόγου δύναμιν ἀναστάντες, ἀθάνατοι καὶ ἄφθαρτοι ἀεὶ διαμένουσιν.
B Ὅθεν καὶ γεννωμένης τῆς σαρκὸς ἐκ τῆς Θεοτόκου Μαρίας, αὐτὸς λέγεται γεγεννῆσθαι, ὁ τοῖς ἄλλοις γένεσιν εἰς τὸ εἶναι παρέχων· ἵνα τὴν ἡμῶν εἰς ἑαυτὸν μεταθῇ γένεσιν, καὶ μηκέτι ὡς γῆ μόνη ὄντες εἰς γῆν ἀπέλθωμεν, ἀλλ' ὡς τῷ ἐξ οὐρανοῦ Λόγῳ συναφθέντες, εἰς οὐρανοὺς ἀναχθῶμεν παρ' αὐτοῦ. Οὐκοῦν οὕτω καὶ τὰ ἄλλα πάθη τοῦ σώματος οὐκ ἀπεικότως εἰς ἑαυτὸν μετέθηκεν· ἵνα μηκέτι ὡς ἄνθρωποι, ἀλλ' ὡς ἴδιοι τοῦ Λόγου, τῆς αἰωνίου ζωῆς μετάσχωμεν. Οὐκέτι γὰρ κατὰ τὴν προτέραν γένεσιν ἐν τῷ Ἀδὰμ ἀποθνήσκομεν· ἀλλὰ λοιπὸν τῆς γενέσεως ἡμῶν καὶ πάσης τῆς σαρκικῆς ἀσθενείας μετατεθέντων εἰς τὸν Λόγον, ἐγειρόμεθα ἀπὸ γῆς, λυθείσης τῆς δι' ἁμαρτίαν κατάρας διὰ τὸν ἐν ἡμῖν ὑπὲρ ἡμῶν γενόμενον κατάραν· καὶ εἰκότως γε. Ὥσπερ γὰρ ἐκ γῆς ὄντες πάντες ἐν τῷ
C Ἀδὰμ ἀποθνήσκομεν, οὕτως ἄνωθεν ἐξ ὕδατος καὶ πνεύματος ἀναγεννηθέντες, ἐν τῷ Χριστῷ πάντες ζωοποιούμεθα.

Ἵνα δὲ καὶ τὸ ἀπαθὲς τῆς τοῦ Λόγου φύσεως, καὶ τὰς διὰ τὴν σάρκα λεγομένας ἀσθενείας αὐτοῦ γινώσκειν τις ἀκριβέστερον ἔχῃ, καλὸν ἀκοῦσαι τοῦ μακαρίου Πέτρου· ἀξιόπιστος γὰρ οὗτος γένοιτ' ἂν μάρτυς περὶ τοῦ Σωτῆρος· γράφει τοίνυν ἐν τῇ Ἐπιστολῇ λέγων· *Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί*. Οὐκοῦν καὶ ὅταν λέγηται πεινᾷν, καὶ διψᾷν, καὶ κάμνειν, καὶ μὴ εἰδέναι, καὶ καθεύδειν, καὶ κλαίειν, καὶ αἰτεῖν, καὶ φεύγειν, καὶ γεννᾶσθαι, καὶ παραιτεῖσθαι τὸ ποτήριον, καὶ ἁπλῶς πάντα τὰ τῆς σαρκὸς, λεχθείη ἂν ἀκολούθως ἐφ' ἑκάστου· Χριστοῦ οὖν πεινῶντος καὶ διψῶντος ὑπὲρ
D ἡμῶν σαρκί· καὶ μὴ εἰδέναι λέγοντος καὶ ῥαπιζομένου, καὶ κάμνοντος ὑπὲρ ἡμῶν σαρκί· καὶ ὑψουμένου πάλιν, καὶ γεννωμένου, καὶ αὐξάνοντος σαρκί· καὶ φοβουμένου, καὶ κρυπτομένου σαρκί· καὶ λέγοντος, *Εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο*, καὶ τυπτομένου, καὶ λαμβάνοντος ὑπὲρ ἡμῶν σαρκί· καὶ ὅλως πάντα τὰ τοιαῦτα *ὑπὲρ ἡμῶν σαρκί*. Καὶ γὰρ καὶ αὐτὸς ὁ Ἀπόστολος διὰ τοῦτ' εἴρηκε, *Χριστοῦ οὖν παθόντος οὐ θεότητι, ἀλλ' ὑπὲρ ἡμῶν σαρκί*, ἵνα μὴ αὐτοῦ τοῦ Λόγου ἴδια κατὰ φύσιν, ἀλλ' αὐτῆς τῆς

[1] Jerem. I, 5. [2] Luc. I, 44. [3] Rom. V, 14. [4] I Petr. IV, 1. [5] Matth. XXVI, 39.

...ὡς ἴδια φύσει τὰ πάθη ἐπιγνωσθῇ. Μὴ τοίνυν A ...τῶν ἀνθρωπίνων τις σκανδαλιζέσθω, ἀλλὰ μᾶλ... γινωσκέτω, ὡς τὴν φύσιν αὐτὸς ὁ Λόγος ἀπα... ἐστι, καὶ ὅμως δι' ἣν ἐνεδύσατο σάρκα, λέγεται περὶ αὐτοῦ ταῦτα, ἐπειδὴ τῆς μὲν σαρκὸς ἴδια ταῦτα, τοῦ δὲ Σωτῆρος ἴδιον αὐτὸ τὸ σῶμα. Καὶ αὐτὸς μὲν ἀπαθὴς τὴν φύσιν, ὥς ἐστι, διαμένει, μὴ βλαπτόμενος ἀπὸ τούτων, ἀλλὰ μᾶλλον ἐξαφανίζων καὶ ἀπολλύων αὐτά· οἱ δὲ ἄνθρωποι, ὡς εἰς τὸν ἀπαθῆ μεταβάντων αὐτῶν τῶν παθῶν καὶ ἀπηλειμμένων, ἀπαθεῖς καὶ ἐλεύθεροι τούτων λοιπὸν καὶ αὐτοὶ εἰς τοὺς αἰῶνας γίγνονται, καθὼς ἐδίδαξεν ὁ Ἰωάννης λέγων· *Καὶ οἴδατε, ὅτι ἐκεῖνος ἐφανερώθη, ἵνα τὰς ἁμαρτίας ἡμῶν ἄρῃ· καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστι.* Τούτου δὲ οὕτως ὄντος, οὐκ ἐγκαλέσει τις αἱρετικὸς, Διὰ τί ἀνίσταται ἡ σὰρξ φύσει θνητὴ τυγχάνουσα; Εἰ δὲ καὶ ἀνίσταται, B διὰ τί μὴ πάλιν πεινᾷ καὶ διψᾷ, καὶ πάσχει, καὶ μένει θνητή; Ἐκ γὰρ τῆς γῆς γέγονε, καὶ τὸ κατὰ φύσιν πῶς ἂν ἀπ' αὐτῆς παύσοιτο; Δυναμένης τότε τῆς σαρκὸς ἀποκρίνεσθαι πρὸς τὸν οὕτω φιλόνεικον αἱρετικόν· Εἰμὶ μὲν ἐκ γῆς κατὰ φύσιν θνητὴ, ἀλλ' ὕστερον τοῦ Λόγου γέγονα σὰρξ, καὶ αὐτὸς ἐβάσταξέ μου τὰ πάθη, καίτοι ἀπαθὴς ὤν· ἐγὼ δὲ γέγονα τούτων ἐλευθέρα, οὐκ ἀφιεμένη δουλεύειν ἔτι τούτοις διὰ τὸν ἐλευθερώσαντά με Κύριον ἀπὸ τούτων. Εἰ γὰρ ἐγκαλεῖς, ὅτι τῆς κατὰ φύσιν ἀπηλλάγην φθορᾶς, ὅρα μὴ ἐγκαλέσῃς, ὅτι ὁ τοῦ Θεοῦ Λόγος τὴν ἐμὴν τῆς δουλείας ἔλαβε μορφήν. Ὡς γὰρ ὁ Κύριος, ἐνδυσάμενος τὸ σῶμα, γέγονεν ἄνθρωπος, οὕτως ἡμεῖς οἱ ἄνθρωποι παρὰ τοῦ Λόγου τε θεοποιούμεθα προσληφθέντες διὰ τῆς σαρκὸς αὐτοῦ, καὶ λοιπὸν ζωὴν αἰώνιον κληρονομοῦμεν.

carnem quam induit ista illi attribui, quia nempe hæc carnis propria sunt ipsumque corpus Salvatoris est proprium. Quocirca ille quidem, nullis ex natura sua obnoxius affectionibus, sicuti est permanet, nec ab his læditur, sed eas potius delet et exterminat : homines autem, ipsis affectionibus in illum, qui earum expers est, veluti translatis et deletis, iis et ipsi liberi pariter in perpetuum fiunt, quemadmodum his verbis Joannes docet : *Et scitis quod ille apparuit, ut peccata nostra tolleret, et peccatum in eo non est* [1]. Quæ cum ita sint, nullus certo locus hæretico relinquitur hoc modo obtrectandi : Quare caro quæ natura mortalis est reviviscit? Quod si reviviscit, cur non iterum esurit et sitit, et patitur, mortalisque manet cum ex terra sit facta? Quomodo vero quod illi naturale est ab ea discessit? Tunc enim caro ad hujusmodi nugacem hæreticum posset respondere : Ego quidem ex terra sum secundum naturam mortalis, sed postea Verbi caro facta sum, quod meas affectiones, tametsi earum expers, portavit, hisque ipsa libera effecta sum, nec jam deinceps illis servio ob Dominum qui me ab iisdem liberavit. Nam si me reprehendis quod a naturali corruptione fuerim liberata : vide ne etiam reprehendas, quod Dei Verbum meam servitutis formam acceperit. Ut enim Dominus, induto corpore, homo est factus; ita nos homines per Verbi carnem assumpti, divini ab eo efficimur, æternæque vitæ hæredes in posterum sumus.

Ταῦτα ἀναγκαίως προεξητάσαμεν, ἵνα, C ἐὰν ἴδωμεν αὐτὸν δι' ὀργάνου τοῦ ἰδίου σώματος θεϊκῶς πράττοντά τι ἢ λέγοντα, γινώσκωμεν, ὅτι Θεὸς ὢν, ταῦτα ἐργάζεται· καὶ πάλιν, ἐὰν ἴδωμεν αὐτὸν ἀνθρωπίνως λαλοῦντα, ἢ πάσχοντα, μὴ ἀγνοῶμεν, ὅτι σάρκα φορῶν γέγονεν ἄνθρωπος, καὶ οὕτω ταῦτα ποιεῖ καὶ λαλεῖ. Ἑκάστου γὰρ τὸ ἴδιον γινώσκοντες, καὶ ἀμφότερα ἐξ ἑνὸς πραττόμενα βλέποντες καὶ νοοῦντες, ὀρθῶς πιστεύομεν, καὶ οὐκ ἄν ποτε πλανηθησόμεθα. Ἐὰν δέ τις, θεϊκῶς τὰ παρὰ τοῦ Λόγου γινόμενα βλέπων, ἀρνήσηται τὸ σῶμα, ἢ καὶ τὰ τοῦ σώματος ἴδια βλέπων, ἀρνήσηται τὴν τοῦ Λόγου ἔνσαρκον παρουσίαν, ἢ ἐκ τῶν ἀνθρωπίνων ταπεινὰ περὶ τοῦ Λόγου φρονήσῃ, ὁ τοιοῦτος, ὡς μὲν Ἰουδαϊκὸς κάπηλος μίσγων τὸν οἶνον ὕδατι, σκάνδαλον νομίσει τὸν σταυρὸν, ὡς δὲ Ἕλλην, D μωρίαν ἡγήσεται τὸ κήρυγμα, οἷα δὴ καὶ οἱ θεομάχοι Ἀρειανοὶ πεπόνθασι. Τὰ γὰρ ἀνθρώπινα βλέποντες τοῦ Σωτῆρος ἐνόμισαν αὐτὸν εἶναι κτίσμα. Οὐκοῦν ἔδει καὶ τὰ θεϊκὰ βλέποντας αὐτοὺς ἔργα τοῦ Λόγου, ἀρνήσασθαι τοῦ σώματος αὐτοῦ τὴν γένεσιν, καὶ λοιπὸν καὶ Μανιχαίοις ἑαυτοὺς συγκαταριθμεῖν. Ἀλλ' ἐκεῖνοι μὲν κἂν ὀψέ ποτε μανθανέτωσαν, ὅτι ὁ Λόγος σὰρξ ἐγένετο· ἡμεῖς δὲ, τὸν σκοπὸν τῆς πίστεως ἔχοντες, ἐπιγινώσκωμεν ἃ κακονοοῦνται οὗτοι κακῶς, ὀρθὴν ἔχοντα τὴν διάνοιαν.

Hæc primum expendere necesse fuit, ut si Dominum viderimus, sui corporis instrumento, aliquid divine agentem aut dicentem, meminerimus eum cum Deus sit, ista efficere. Si vero rursus eumdem viderimus humano more loqui et pati, non ignoremus illum, carne induta, factum esse hominem, sicque illa et agere et loqui. Si enim quod utriusque proprium est perceperimus, et utraque ab uno agi consideraverimus et intellexerimus, recta profecto erit fides nostra, nec unquam futurum est ut erremus. At si quis, his quæ a Verbo divine fiunt conspectis, ejus corpus negaverit : vel si ea quæ corporis propria sunt intuitus, corporeum Verbi adventum ausus fuerit inficiari, aut ex humanis gestis abjecte de Verbo senserit, isti non secus ac Judaico cauponi, vinum cum aqua miscenti [2], crux scandalum erit, idemque gentili similis, prædicationem stultitiam esse censebit [3], quod jam Dei hostibus Arianis accidit, qui nimirum ob humanos Salvatoris actus, creatum eum esse arbitrati sunt. Quidni igitur etiam ob divina illius opera, ejus corporis procreationem negaverint seseque deinceps Manichæis adjunxerint? Verum vel saltem sero illi quidem discant Verbum carnem esse factum : nos autem fidei scopum retinentes, agnoscamus eorum, quæ male illi intelligunt, rectam esse significationem. Nam hæc dicta, *Pater diligit Filium*

[1] I Joan. III, 5. [2] Isa. I, 22. [3] I Cor. I, 23.

et omnia dedit in manu ejus [1]; et, *Omnia mihi tradita sunt a Patre meo* [2]; et, *Non possum ego a meipso facere quidquam, sed sicut audio, judico* [3], aliaque id genus nequaquam demonstrant Filium aliquando ista non habuisse. Qui enim fieri possit, ut ea quæ Pater habet, ille non semper habuerit, qui solus natura Verbum et Sapientia Patris est: cujus item hæc sunt verba: *Omnia quæ habet Pater, mea sunt* [4], et, quæ mea sunt, Patris etiam sunt [5]? Si enim quæ Patris sunt, sunt quoque Filii, hæcque semper Pater habet, perspicuum sane est, ea quæ Filius habet, cum eadem sint Patris, semper in illo esse. Non igitur ista commemorabat, quasi ea aliquando non habuerit: sed quod Filius, qui ea quæ habet, semper habet, ipsa a Patre habet.

Ne quis enim Filium omnia quæ habet Pater, habere intelligens, ex summa illa similitudine, quæ absque ulla est differentia, et ex identitate, ut hoc verbo utar, eorum quæ habet, eo impietatis cum Sabellio errans deveniret, ut ipsum esse Patrem arbitraretur: idcirco his est usus vocibus, *Data est mihi* [6], *accepi* [7], *tradita sunt mihi* [8], ut id solum ostenderet, se videlicet Patrem non esse, sed Patris Verbum æternumque esse Filium, qui ob suam quidem cum Patre similitudinem semper habet quæ ab eo habet; quia vero Filius idem ipse est, idcirco ex Patre habet quæ semper habet. Quod enim hæc verba, *data est*, *tradita sunt*, aliaque similia, Filii divinitatem non minuant, sed potius eum vere Filium esse argumento sint, ex iisdem illis vocabulis licet discere. Nam si omnia illi tradita sunt, primum sequitur eum alium esse ab omnibus quæ accepit. Deinde, cum omnium sit hæres, certe solus ipse quoque Filius et proprius est Patris secundum naturam. Si enim e numero omnium esset, non omnium profecto esset hæres. Quapropter cum omnia ipse accipiat, alius utique est ab omnibus, solusque est proprius Patris. Quod vero his verbis *data est*, et, *tradita sunt*, non significetur eum his aliquando caruisse, ex simili loco perspicere cæteraque inde licet intelligere. Ait nempe Salvator ipse: *Sicut Pater habet vitam in semetipso, sic dedit et Filio vitam habere in semetipso* [9]. Nam cum dicit, *dedit*, se non esse Patrem declarat: particula autem, *sic*, utitur, ut naturalem Filii cum Patre similitudinem et proprietatem significet. Si igitur fuit aliquando cum Pater non haberet ea quæ habet: nullum dubium est quin etiam fuerit aliquando Filius, cum illa non haberet. Nam ut Pater habet, ita et Filius. Verum si id impium dictu est, e contrario autem pium est affirmare, semper Patrem habuisse, an non perabsurdum est, Filio asseverante quemadmodum Pater habet ita et Filium habere, illos nihilominus contendere non ita sed aliter habere? Utique Verbum magis fide dignum est, proindeque omnia quæ se a Patre accepisse testatur, ea semper

A Τὸ γὰρ, *Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ*· καὶ τὸ, *Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου*· καὶ τὸ, *Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν· ἀλλὰ καθὼς ἀκούω, κρίνω*· καὶ ὅσα τοιαῦτά ἐστι ῥητὰ, οὐ τὸ μὴ ἐσχηκέναι ποτὲ τὸν Υἱὸν ταῦτα δείκνυσι. Πῶς γὰρ ἃ ἔχει ὁ Πατὴρ, οὐκ εἶχεν ἀϊδίως ὁ μόνος κατ' οὐσίαν τοῦ Πατρὸς Λόγος καὶ Σοφία, ὁ καὶ λέγων· *Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι*· καὶ, τὰ ἐμὰ τοῦ Πατρός ἐστιν; Εἰ γὰρ τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστιν, ἀεὶ δὲ ταῦτα ἔχει ὁ Πατὴρ, δῆλον ὅτι ἃ ἔχει ὁ Υἱὸς, ταῦτα ὄντα τοῦ Πατρὸς, ἀεί ἐστιν ἐν αὐτῷ. Οὐ διὰ τὸ μὴ ἐσχηκέναι οὖν ποτε ταῦτα ἔλεγεν· ἀλλ' ὅ ἔχων ἀϊδίως ὁ Υἱὸς ἃ ἔχει, παρὰ τοῦ Πατρὸς ἔχει.

B Ἵνα γὰρ μή τις, βλέπων τὸν Υἱὸν ἔχοντα πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐκ τῆς ἀπαραλλάκτου ὁμοιότητος καὶ ταυτότητος ὧν ἔχει, πλανηθεὶς κατὰ Σαβέλλιον ἀσεβήσῃ, νομίσας αὐτὸν εἶναι τὸν Πατέρα· διὰ τοῦτο τὸ, *ἐδόθη μοι*, καὶ τὸ, *ἔλαβον*, καὶ τὸ, *παρεδόθη μοι*, εἴρηκεν ὑπὲρ τοῦ μόνον δεῖξαι ὅτι οὐκ ἔστιν αὐτὸς ὁ Πατὴρ, ἀλλὰ τοῦ Πατρὸς ὁ Λόγος, καὶ ὁ ἀΐδιος Υἱός ἐστι, διὰ μὲν τὴν ὁμοιότητα τοῦ Πατρὸς ἔχων ἀϊδίως ἅπερ ἔχει παρ' αὐτοῦ· διὰ δὲ τὸ εἶναι αὐτὸν Υἱὸν, ἐκ τοῦ Πατρὸς ἔχει ἅπερ ἀϊδίως ἔχει. Ὅτι γὰρ τὸ, *ἐδόθη*, καὶ τὸ, *παρεδόθη*, καὶ τὰ ὅμοια τούτοις, οὐκ ἐλαττοῖ τὴν θεότητα τοῦ Υἱοῦ, ἀλλὰ καὶ μᾶλλον δείκνυσιν αὐτὸν ἀληθῶς Υἱὸν, ἔξεστι καὶ ἀπ' αὐτῶν τῶν ῥητῶν καταμαθεῖν. Εἰ γὰρ πάντα αὐτῷ παρεδόθη· πρῶτον μὲν ἄλλος ἐστὶ τῶν πάντων, ὧν παρέλαβεν· ἔπειτα, πάντων ὧν κληρονόμος, μόνος ὁ Υἱός ἐστι καὶ ἴδιος C κατ' οὐσίαν τοῦ Πατρός. Εἰ γὰρ εἷς ἦν τῶν πάντων, οὐ πάντων ἦν αὐτὸς κληρονόμος. Νῦν δὲ, πάντα λαμβάνων αὐτὸς, ἄλλος ἐστὶ τῶν πάντων καὶ μόνος ἴδιος τοῦ Πατρός. Ὅτι δὲ πάλιν τὸ, *ἐδόθη*, καὶ *παρεδόθη*, οὐ τό ποτε μὴ ἔχειν αὐτὸν δείκνυσι, δυνατὸν ἐκ τοῦ ὁμοίου ῥητοῦ καὶ περὶ πάντων συνιδεῖν τὸ τοιοῦτον. Φησὶ γὰρ αὐτὸς ὁ Σωτήρ· *Ὥσπερ ὁ Πατὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτως καὶ τῷ Υἱῷ δέδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ.* Ἐκ μὲν γὰρ τοῦ λέγειν, *δέδωκε*, σημαίνει ἑαυτὸν μὴ εἶναι τὸν Πατέρα· ἐν δὲ τῷ λέγειν, *οὕτως*, δείκνυσι τὴν πρὸς τὸν Πατέρα τοῦ Υἱοῦ φυσικὴν ὁμοιότητα καὶ ἰδιότητα. Εἰ μὲν οὖν ἦν ποτε ὅτε οὐκ εἶχεν ὁ Πατὴρ, δῆλον, D ὅτι καὶ ὁ Υἱὸς ἦν ὅτε οὐκ εἶχεν. Ὡς γὰρ ὁ Πατὴρ, οὕτως καὶ ὁ Υἱὸς ἔχει. Εἰ δὲ ἀσεβὲς μὲν τοῦτο λέγειν, εὐσεβὲς δὲ μᾶλλόν ἐστιν εἰπεῖν, ὅτι ἀεὶ ἔχει ὁ Πατήρ· πῶς οὐκ ἄτοπον τοῦ Υἱοῦ λέγοντος, ὅτι, ὡς ὁ Πατὴρ ἔχει, οὕτως καὶ ὁ Υἱὸς ἔχει, τούτους λέγειν μὴ οὕτως ἔχειν, ἀλλ' ἄλλως ἔχειν; Μᾶλλον οὖν ὁ Λόγος πιστός ἐστι, καὶ πάντα, ἃ λέγει εἰληφέναι, ἀεὶ ἔχων, αὐτὰ ἔχει παρὰ τοῦ Πατρός· καὶ ὁ μὲν Πατὴρ οὐ παρά τινος, ὁ δὲ Υἱὸς παρὰ τοῦ Πατρὸς ἔχει. Ὡς γὰρ καὶ ἐπὶ τοῦ ἀπαυγάσματος, εἰ αὐτὸ τὸ ἀπαύγασμα λέγοι· Πάντα τόπον δέδωκέ μοι

[1] Joan. III, 35. [2] Matth. XI, 27. [3] Joan. V, 30. [4] Joan. XVI, 15. [5] Joan. XVII, 10. [6] Matth. XXVIII, 18.
[7] Joan. X, 18. [8] Matth. XI, 27. [9] Joan. V. 26.

τὸ φῶς φωτίζειν· καὶ οὐκ ἀπ' ἐμαυτοῦ φωτίζω, ἀλλ' ὡς τὸ φῶς βούλεται· τοῦτο δὲ λέγον, οὐ τό ποτε μὴ ἔχειν ἑαυτὸ δείκνυσιν, ἀλλ' ὅτι τοῦ φωτὸς ἴδιόν εἰμι, καὶ τὰ ἐκείνου πάντα ἐμά ἐστιν. Οὕτως καὶ πλέον ἐπὶ τοῦ Υἱοῦ νοεῖν ἔξεστι. Καὶ γὰρ πάντα δεδωκὼς ὁ Πατὴρ τῷ Υἱῷ, πάντα πάλιν ὁ Πατὴρ ἐν τῷ Υἱῷ ἔχει· καὶ τοῦ Υἱοῦ δὲ ἔχοντος, πάλιν ὁ Πατὴρ αὐτὰ ἔχει. Ἡ γὰρ τοῦ Υἱοῦ θεότης τοῦ Πατρὸς θεότης ἐστί· καὶ οὕτως ὁ Πατὴρ ἐν τῷ Υἱῷ τῶν πάντων τὴν πρόνοιαν ποιεῖται.

habens, a Patre habet. Porro Pater illa a nemine habet, sed Filius habet a Patre. Nam ut splendoris exemplo utar, si ipse splendor ita loqueretur : Omnem locum mihi lux ad illuminandum dedit, neque ex meipso illumino, sed ut luci placet : sane hisce verbis non indicaret se aliquando non habuisse, sed potius ea esset sententia : Ego lucis sum proprius, ejusque omnia mea sunt. Idem similiter et multo magis de Filio intelligendum est. Omnia enim Pater Filio dedit, et rursus idem Pater omnia in Filio habet. Filio item habente, eadem quoque Pater habet. Siquidem Filii divinitas, Patris est divinitas, atque ita Pater in Filio res omnes providentia gerit et administrat.

Τῶν μὲν οὖν τοιούτων ῥητῶν τοιοῦτος ὁ νοῦς· περὶ δὲ τῶν ἀνθρωπίνως λεγομένων περὶ τοῦ Σωτῆρος, καὶ ταῦτα πάλιν εὐσεβῆ τὴν διάνοιαν ἔχει. Διὰ τοῦτο γὰρ καὶ προεξητάσαμεν τὰ τοιαῦτα, ἵνα, ἐὰν ἀκούσωμεν ἐπερωτῶντος αὐτοῦ, ποῦ Λάζαρος κεῖται, καὶ ὅταν εἰς τὰ μέρη Καισαρείας ἐλθὼν πυνθάνεται, *Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι;* καὶ, *Πόσους ἔχετε ἄρτους;* καὶ, *Τί θέλετε ἵνα ποιήσω ὑμῖν;* γινώσκωμεν ἐκ τῶν προειρημένων τὴν ὀρθὴν τῶν ῥητῶν διάνοιαν, καὶ μὴ σκανδαλιζώμεθα κατὰ τοὺς χριστομάχους Ἀρειανούς. Πρῶτον μὲν οὖν τοῖς ἀσεβοῦσι τοῦτο ῥητέον, πόθεν νομίζουσιν ἀγνοεῖν αὐτόν; Οὐ γὰρ ὁ ἐπερωτῶν πάντως καὶ ἀγνοῶν ἐπερωτᾷ· ἀλλ' ἔξεστι τὸν εἰδότα καὶ ἐρωτᾷν, περὶ ὧν ἐπίσταται. Ἀμέλει καὶ ὁ Ἰωάννης ἐπερωτῶντα τὸν Χριστὸν, *Πόσους ἄρτους ἔχετε*, οἶδε μὴ ἀγνοοῦντα, ἀλλὰ γινώσκοντα· φησὶ γὰρ, *Τοῦτο δὲ ἔλεγε πειράζων τὸν Φίλιππον· αὐτὸς γὰρ ᾔδει, τί ἔμελλε ποιεῖν.* Εἰ δὲ ᾔδει ὅπερ ἐποίει, οὐκ ἄρα ἀγνοῶν, ἀλλὰ γινώσκων ἐπερωτᾷ. Ἀπὸ δὲ τούτου καὶ τὰ ὅμοια νοεῖν ἔξεστιν, ὅτι, ὅταν ἐρωτᾷ ὁ Κύριος, οὐκ ἀγνοῶν, ποῦ Λάζαρος κεῖται, οὐδὲ τίνα λέγουσιν αὐτὸν εἶναι οἱ ἄνθρωποι, ἐπερωτᾷ, ἀλλὰ γινώσκων ὅπερ ἠρώτα αὐτὸς, εἰδὼς τί μέλλει ποιεῖν· καὶ ταχέως μὲν αὐτῶν οὕτω τὸ σοφὸν ἐκβάλλεται. Ἂν δὲ φιλονεικῶσιν ἔτι διὰ τὸ ἐπερωτᾷν, ἀκουέτωσαν, ὅτι ἐν μὲν τῇ θεότητι οὐκ ἔστιν ἄγνοια, τῆς δὲ σαρκὸς ἴδιόν ἐστι τὸ ἀγνοεῖν, καθάπερ εἴρηται. Καὶ ὅτι τοῦτο ἀληθές ἐστιν, ὅρα πῶς ὁ Κύριος ὁ πυνθανόμενος, ποῦ Λάζαρος κεῖται, αὐτὸς εἶπε μὴ παρὼν, ἀλλὰ καὶ μακρὰν ὢν, Λάζαρος ἀπέθανε, καὶ ποῦ ἀπέθανεν. Ὁ δὲ κατ' αὐτοὺς νομιζόμενος ἀγνοεῖν, αὐτός ἐστιν ὁ τοὺς διαλογισμοὺς τῶν μαθητῶν προγινώσκων, καὶ εἰδὼς τὰ ἐν τῇ ἑκάστου καρδίᾳ, καὶ τί ἐστιν ἐν τῷ ἀνθρώπῳ· καὶ τό γε μεῖζον, αὐτὸς μόνος γινώσκει τὸν Πατέρα, καὶ λέγει· *Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί.*

Hæc igitur est illorum verborum sententia. Quæ pariter de Salvatore humano more dicuntur, eorum quoque pia est significatio. Idcirco enim illa prius examinare visum est, ut, si Dominum interrogantem audierimus, ubi Lazarus jaceat [1] : et cum, ubi in partes Cæsareæ venit percunctatur, *Quem me homines esse dicunt* [2]? et, *Quot panes habetis* [3]? et *Quid vultis ut faciam vobis* [4]? ex his quæ explicavimus, ista etiam recte possimus intelligere, minimeque, ut Dei hostes Ariani, scandalum patiamur. Itaque primum ab impie sentientibus requirendum est, undenam eum ignorare arbitrentur? Nec enim eum, qui interrogat, necesse est ignorare de quibus interrogat : verum licet etiam scientem de his quæ cognoscit sciscitari. Certe ipse Joannes Christum interrogantem, *Quot panes habetis*, non nescientem, sed scientem agnoscit, hinc enim ait : *Hoc autem dicebat tentans Philippum : ipse enim sciebat quid esset facturus* [5]. Quod si noverat quid faceret, non igitur nesciens sed sciens interrogabat. Hoc autem ex loco alia possumus intelligere. Nec enim ignorans Dominus interrogabat, ubinam jaceret Lazarus, neque, quem ipsum homines dicerent, sed hoc ipsum quod interrogabat cognoscens, sciensque quid esset facturus : atque ita facillime acutum illorum sophisma diluitur. Quod si in eo, quod interrogare dicitur, velint insistere, audiant nullam in divinitate ignorantiam esse, sed proprium esse carnis ignorare, uti dictum est. Quod quidem verum esse comperies, si observes quo pacto Dominus qui interrogavit ubi jaceret Lazarus, ipse non præsens sed procul absens dixerit Lazarum mortuum esse, quove in loco mortuus esset. Et vero ille ipse, quem ignarum esse existimant, is est qui cogitationes prænoscit discipulorum, et quæ in singulorum corde geruntur, quidque sit in homine accurate novit : et quod majus est, solus ipse Patrem cognoscit et dicit : *Ego in Patre, et Pater in me est* [6].

Οὐκοῦν παντὶ τοῦτο δῆλόν ἐστιν, ὅτι τῆς μὲν σαρκός ἐστι τὸ ἀγνοεῖν, αὐτὸς δὲ ὁ Λόγος, ᾗ Λόγος ἐστὶ, τὰ πάντα καὶ πρὶν γενέσεως γινώσκει. Οὐδὲ γὰρ, ἐπειδὴ γέγονεν ἄνθρωπος, πέπαυται τοῦ εἶναι Θεός· οὐδὲ, ἐπειδὴ Θεός ἐστι, φεύγει τὸ ἀνθρώπινον· μὴ γένοιτο! ἀλλὰ μᾶλλον Θεὸς ὢν, προσελάμβανε τὴν σάρκα, καὶ ἐν σαρκὶ ὢν ἐθεοποίει τὴν

Itaque omnibus perspicuum est ignorationem ad carnem pertinere, ipsum autem Verbum, quatenus Verbum est, omnia prius etiam quam oriantur cognoscere. Nec enim eo quod homo factus sit, Deus esse desiit : neque quia Deus est, id quod humanum est fugit : absit ; sed potius Deus cum esset, carnem assumpsit, et cum esset in carne, carnem ipsam

[1] Joan. xi, 34. [2] Matth. xvi, 13. [3] Marc. vi, 38. [4] Matth. xx, 32. [5] Joan. vi, 6. [6] Joan. xiv, 10.

divinam reddidit. Nam quemadmodum in ipsa interrogabat, ita in eadem mortuum excitavit, omnibusque aperte indicavit eum qui mortuis vitam et animam restituit, multo magis res omnes occultas optime nosse. Sciebat igitur ubi jaceret Lazarus, sed tamen sciscitatus est. Id autem fecit sanctissimum Dei Verbum, quod omnia nostri causa sustinuit, cum ut hoc modo nostram ignorantiam portans, nobis solius veri sui Patris cognitionem impertiret, tum ut nos doceret seipsum propter nos ad omnium salutem missum esse, qua gratia nulla certe major possit esse. At si Verbum venit ut hominum genus redimeret atque ut sanctos illos et divinos redderet caro factum est, cui nondum exploratum est ea quæ cum caro factum est, se accepisse testatur, non propter seipsum, sed propter carnem se accepisse significare? Siquidem gratiæ per ipsum a Patre datæ ad illam pertinebant carnem, in qua ille ipse erat qui ista loquebatur. Videamus autem quænam petebat, et quæ tandem illa sunt quæ se accepisse dixit, ut saltem ita illi erubescant. Gloriam igitur petebat [1], aiebatque, *Omnia mihi tradita sunt* [2]: post suam item resurrectionem se omnem accepisse potestatem affirmat [3]. Atqui antequam dixit: *Omnia mihi tradita sunt*, omnium erat Dominus: quippe cum omnia per ipsum facta sint [4], et unus esset Dominus, per quem omnia [5]. Similiter cum gloriam postularet, Dominus utique gloriæ et erat et est, uti Paulus testatur: *Si enim cognovissent, nunquam Dominum gloriæ crucifixissent* [6]. Habebat siquidem quam hujusmodi poscebat verbis: *Gloria quam habui, priusquam mundus esset, apud te* [7]. Potestatem pariter, quam post resurrectionem accepisse dicit, habuit etiam priusquam eam acciperet, suamque ante resurrectionem. Etenim ipse per se ipsum Satanam sic increpabat: *Recede a me, Satana* [8]; suis item discipulis potestatem adversus illum dedit [9], cum illis reversis ait; *Videbam Satanam sicut fulgur de cœlo cadentem* [10]. Verum iterum ostenditur illud quod accepisse dicit, etiam habuisse priusquam acciperet. Siquidem dæmones abigebat, et quæ ligaverat Satanas, ipse solvebat, ut patet in illa Abrahæ filia [11]. Peccata idem condonavit, cum paralytico et mulieri quæ ipsius unxit pedes, dixit: *Remittuntur tibi peccata* [12]. Mortuis præterea vitam reddidit, visumque cæco nato restituit: quæ quidem omnia effecit non præstolatus donec ea agendi acciperet potestatem, sed ut hujusmodi potestate jam præditus. Ex quibus dilucidum est quæ ut Verbum habuit, eadem et factum hominem et postquam revixit se accepisse dicere: nempe ut homines in terris quidem, tanquam divinæ naturæ participes per ipsum effecti, potestatem adversus dæmones consequerentur, in cœlis vero, tanquam

A σάρκα. Καὶ γὰρ ὥσπερ ἐν αὐτῇ ἐπυνθάνετο, οὕτω καὶ ἐν αὐτῇ τὸν νεκρὸν ἤγειρε· καὶ πᾶσιν ἔδειξεν ὅτι ὁ νεκροὺς ζωοποιῶν καὶ τὴν ψυχὴν ἀνακαλούμενος, πολὺ μᾶλλον τὰ κρυπτὰ πάντων ἐπιγινώσκει καὶ ἐγίνωσκε ποῦ κεῖται Λάζαρος· ἀλλ' ἐπυνθάνετο· ἐποίει γὰρ καὶ τοῦτο ὁ πανάγιος τοῦ Θεοῦ Λόγος, ὁ πάντα δι' ἡμᾶς ὑπομείνας, ἵνα καὶ οὕτω τὴν ἄγνοιαν ἡμῶν βαστάξας, χαρίσηται γινώσκειν τὸν μόνον ἑαυτοῦ ἀληθινὸν Πατέρα καὶ ἑαυτὸν τὸν δι' ἡμᾶς ἐπὶ σωτηρίᾳ πάντων ἀποσταλέντα, ἧς μείζων οὐκ ἂν γένοιτο χάρις. Εἰ δὲ, ἵνα λυτρωθῇ τὸ γένος τὸ ἀνθρώπινον, ἐπεδήμησεν ὁ Λόγος, καὶ ἵνα αὐτοὺς ἁγιάσῃ καὶ θεοποιήσῃ γέγονεν ὁ Λόγος σὰρξ, τίνι λοιπὸν οὐκ ἔστι φανερὸν, ὅτι ταῦτα ἅπερ εἰληφέναι λέγει, ὅτε γέγονε σὰρξ, οὐ δι' ἑαυτὸν, ἀλλὰ διὰ τὴν σάρκα λέγει; Ἐν ᾗ γὰρ B ἦν, λέγων, ταύτης ἦν καὶ τὰ διδόμενα χαρίσματα δι' αὐτοῦ παρὰ τοῦ Πατρός. Τίνα δὲ ἦν ἃ ᾐτεῖτο, ἴδωμεν, καὶ τίνα ἦν ὅλως ἃ ἔλεγεν εἰληφέναι, ἵνα κἂν οὕτως αἰσθάνεσθαι δυνηθῶσιν ἐκεῖνοι. Δόξαν τοίνυν ᾐτεῖτο, καὶ ἔλεγε· *Πάντα μοι παρεδόθη*, καὶ μετὰ τὴν ἀνάστασιν ἐξουσίαν πᾶσάν φησιν εἰληφέναι. Ἀλλὰ καὶ πρὶν εἴπῃ, *Πάντα μοι παρεδόθη*, πάντων ἦν Κύριος. Πάντα γὰρ δι' αὐτοῦ ἐγένετο, καὶ εἷς Κύριος ἦν δι' οὗ τὰ πάντα. Καὶ δόξαν μὲν εἶπε, ἧς Κύριος ἦν καὶ ἔστιν, ὡς ὁ Παῦλός φησιν· *Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν*. Εἶχε γὰρ ἣν ᾐτεῖτο λέγων· *Τῇ δόξῃ ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι, παρὰ σοί*. Καὶ τὴν ἐξουσίαν δὲ, ἣν ἔλεγε μετὰ τὴν ἀνάστασιν εἰληφέναι, ταύτην C εἶχε καὶ πρὸ τοῦ λαβεῖν, καὶ πρὸ τῆς ἀναστάσεως. Αὐτὸς μὲν γὰρ ἐπετίμα δι' ἑαυτοῦ λέγων, *Ὕπαγε ὀπίσω μου, Σατανᾶ*. Καὶ τοῖς μαθηταῖς ἐδίδου κατ' αὐτοῦ τὴν ἐξουσίαν, ὅτε καὶ ὑποστρεψάντων αὐτῶν ἔλεγεν· *Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα*. Ἀλλὰ καὶ πάλιν ὅπερ ἔλεγεν εἰληφέναι, τοῦτο καὶ πρὸ τοῦ λαβεῖν ἔχων δείκνυται. Τούς τε γὰρ δαίμονας ἀπήλαυνε, καὶ ὅπερ ἦν δήσας ὁ Σατανᾶς, ἔλυεν αὐτὸς, ὡς ἐπὶ τῆς Ἀβραμιαίας θυγατρὸς ἐποίησε, καὶ ἁμαρτίας ἠφίει, λέγων τῷ παραλυτικῷ, καὶ τῇ τοὺς πόδας ἀλειψάσῃ γυναικί· *Ἀφέωνταί σοι αἱ ἁμαρτίαι*. Καὶ νεκροὺς μὲν ἤγειρε, τοῦ τυφλοῦ δὲ τὴν γένεσιν ἀποκαθιστᾷ, χαριζόμενος αὐτῷ τὸ βλέπειν. Καὶ ταῦτα ἐποίει οὐ μένων ἕως λάβῃ, ἀλλ' ἐξουσιαστὴς ὤν. Ὡς ἐκ τού- D των δῆλον εἶναι, ὅτι ἃ εἶχε Λόγος ὤν, ταῦτα καὶ γενόμενος ἄνθρωπος, καὶ μετὰ τὴν ἀνάστασιν ἀνθρωπίνως εἰληφέναι λέγεται, ἵνα δι' αὐτὸν οἱ ἄνθρωποι ἐπὶ μὲν τῆς γῆς ὡς κοινωνοὶ γενόμενοι θείας φύσεως λοιπὸν ἐξουσίαν ἔχωσι κατὰ τῶν δαιμόνων· ἐν δὲ τοῖς οὐρανοῖς ὡς ἐλευθερωθέντες ἀπὸ τῆς φθορᾶς αἰωνίως βασιλεύωσι. Καθόλου γὰρ χρὴ τοῦτο γινώσκειν, ὅτι οὐδὲν ὧν λέγει εἰληφέναι, ὡς μὴ ἔχων ἔλαβεν, ἵνα τῆς σαρκὸς ἐν αὐτῷ λαμβανούσης, λοιπὸν ἐξ ἐκείνης καὶ ἐφ' ἡμᾶς ἡ χάρις διαβαίνῃ βεβαίως.

[1] Joan. XVII, 1. [2] Luc. X, 22. [3] Matth. XXVIII, 18. [4] Joan. I, 3. [5] I Cor. VIII, 6. [6] I Cor. II, 8. [7] Joan. XVII, 5. [8] Matth. IV, 10. [9] Luc. X, 19. [10] ibid. 18. [11] Luc. XIII, 16. [12] Matth. IX, 5; Luc. VII, 48.

corruptione liberati, perpetuo regnare possint. Id enim generatim sciendum est, nihil eorum quæ accepisse dicit, quasi ea non haberet accepisse : nam Verbum, utpote Deus, illa semper habuit. Verum secundum humanam naturam accepisse nunc dicitur, ut, carne in ipso accipiente, inde in nobis quæ data sunt constanter permanerent.

Τῆς αὐτῆς ὁμοίως καὶ ταῦτα.

Τίνος δὲ χάριν γινώσκων ἔλεγεν, ὅτι *οὐδὲ ὁ Υἱὸς οἶδεν;* Οὐδένα τῶν πιστῶν ἀγνοεῖν οἶμαι, ὅτι καὶ τοῦτο οὐδὲν ἧττον διὰ τὴν σάρκα ὡς ἄνθρωπος ἔλεγεν. Οὐδὲ γὰρ τοῦτο ἐλάττωμα τοῦ Λόγου ἐστὶν, ἀλλὰ τῆς ἀνθρωπίνης φύσεώς ἐστιν ἴδιον καὶ τὸ ἀγνοεῖν. Ἀμέλει λέγων ἐν τῷ Εὐαγγελίῳ περὶ τοῦ κατὰ τὸ ἀνθρώπινον αὐτοῦ· *Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν Υἱόν*, δῆλον, ὅτι καὶ τὴν τοῦ παντὸς τέλους ὥραν ὡς μὲν Λόγος γινώσκει, ὡς δὲ ἄνθρωπος ἀγνοεῖ. Ἀνθρώπου γὰρ ἴδιον τὸ ἀγνοεῖν, καὶ μάλιστα ταῦτα. Ἀλλὰ καὶ τοῦτο τῆς φιλανθρωπίας ἴδιον τοῦ Σωτῆρος. Ἐπειδὴ γὰρ γέγονεν ἄνθρωπος, οὐκ ἐπῃσχύνετο διὰ τὴν σάρκα τὴν ἀγνοοῦσαν εἰπεῖν, Οὐκ οἶδα, ἵνα δείξῃ, ὅτι εἰδὼς ὡς Θεὸς, ἀγνοεῖ σαρκικῶς. Οὐκ εἴρηκε γοῦν, ὅτι Οὐδὲ ὁ Υἱὸς τοῦ Θεοῦ, ἵνα μὴ ἡ θεότης ἀγνοοῦσα φαίνηται, ἀλλ' ἁπλῶς, Οὐδὲ ὁ Υἱὸς, ἵνα τοῦ ἐξ ἀνθρώπων γενομένου Υἱοῦ ἡ ἄγνοια ᾖ. Διὰ τοῦτο καὶ περὶ ἀγγέλων εἰπὼν οὐκ εἴρηκεν ἐπαναβαίνων, ὅτι Οὐδὲ τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἐσιώπησε δεικνὺς τὰ δύο ταῦτα, ὅτι εἰ τὸ Πνεῦμα οἶδε, πολλῷ μᾶλλον ὁ Λόγος ᾗ Λόγος οἶδε, παρ' οὗ καὶ τὸ Πνεῦμα λαμβάνει, καὶ ὅτι περὶ τοῦ Πνεύματος σιωπήσας φανερὸν πεποίηκεν, ὅτι περὶ τῆς ἀνθρωπίνης αὐτοῦ λειτουργίας ἔλεγεν, *Οὐδὲ ὁ Υἱός*. Πῶς δὲ πλὴν τῶν Ἀρειανῶν συνομολογήσειεν, ὡς ὁ τὸν Πατέρα γινώσκων πολλῷ μᾶλλον οἶδε τῆς κτίσεως τὸ ὅλον, ἐν δὲ τῷ ὅλῳ καὶ τὸ τέλος ταύτης. Καὶ εἰ ὥρισται ἡ ὥρα καὶ ἡ ἡμέρα παρὰ τοῦ Πατρὸς, δῆλόν ἐστιν, ὅτι διὰ τοῦ Υἱοῦ ὥρισται, καὶ οἶδεν αὐτὸς τὸ δι' αὐτοῦ ὁρισθέν. Οὐδὲν γάρ ἐστιν ὃ μὴ διὰ τοῦ Υἱοῦ γέγονέ τε καὶ ὥρισται.

Πάλιν τε, εἰ πάντα τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστι, τοῦτο γὰρ αὐτὸς εἴρηκε, τοῦ δὲ Πατρός ἐστι τὸ εἰδέναι τὴν ἡμέραν, δῆλόν ἐστιν, ὅτι καὶ ὁ Υἱὸς οἶδεν, ἴδιον ἔχων καὶ τοῦτο ἐκ τοῦ Πατρός. Καὶ πάλιν, εἰ ὁ Υἱὸς ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ, οἶδε δὲ ὁ Πατὴρ τὴν ἡμέραν καὶ τὴν ὥραν, φανερὸν, ὅτι καὶ ὁ Υἱὸς ἐν τῷ Πατρὶ ὢν, καὶ εἰδὼς τὰ ἐν τῷ Πατρὶ, οἶδε καὶ αὐτὸς τὴν ἡμέραν καὶ τὴν ὥραν. Εἰ δὲ καὶ εἰκών ἐστιν ἀληθινὴ τοῦ Πατρὸς ὁ Υἱὸς, οἶδε δὲ ὁ Πατὴρ, δῆλον ὅτι καὶ περὶ τοῦ εἰδέναι ταῦτα τὴν ὁμοιότητα τοῦ Πατρὸς ὁ Υἱὸς ἔχει. Συναριθμοῦντες δὲ τοῖς γενητοῖς οἱ Ἀρειανοὶ τὸν Υἱὸν τοῦ Θεοῦ κατ' ὀλίγον καὶ αὐτὸν τὸν Πατέρα ἐλάττονα τῆς κτίσεως μελετῶσι λέγειν. Εἰ γὰρ ὁ Πατέρα γινώσκων οὐκ οἶδε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, φοβοῦμαι μὴ μείζων ἔσται, ὡς ἂν ἐκεῖνοι μανέντες εἴποιεν, ἡ περὶ τῆς κτίσεως, μᾶλλον δὲ ἡ περὶ τοῦ ἐλάττονος μέρους τῆς κτίσεως γνῶσις τῆς περὶ τοῦ Πατρὸς γνώσεως. Ἀλλ' οὐκ ἀγνοῶν ἔλεγεν, Οὐκ οἶδα, ἀλλὰ δεικνὺς ὅτι σάρκα ἀγνοοῦσαν ἐνεδύσατο. Τότε γοῦν εἰρηκὼς, Οὐδὲ ὁ Υἱὸς οἶδε, καὶ τῶν κατὰ τὸν Νῶε ἀνθρώπων τὴν

Ex eodem loco et hæc.

Cur autem cognoscens dixerit, *ne Filium quidem nosse*, neminem fidelium arbitror ignorare. Id enim quoque propter carnem, ut homo, dixit; ea namque re Verbo nihil detrahitur, cum humanæ naturæ proprium sit nescire. Alioqui cum in Evangelio de se ut de homine dicat : *Pater, venit hora, clarifica Filium tuum* [1], perspicuum est eum et mundi finis horam uti Verbum cognoscere, ut hominem autem ignorare. Hoc enim est hominis proprium, ut ignoret, et maxime res ejusmodi. Quo tamen loco et Servatoris benignitatem agnoscimus, qui cum esset etiam homo non erubuit dicere, se nescire, ut declararet, se, quamvis uti Deus sciret, ut hominem ignorare. Non dixit autem, Ne Filius quidem Dei novit, ne divinitas ignara videretur : sed simpliciter, Ne Filius quidem, ut Filii ex homine facti ignorantiam esse constaret. Idcirco et de angelis affirmans non ascendit eo, ut diceret, et Spiritum sanctum nescire, sed tacuit, hæc duo significans, primum si Spiritus novit, multo magis Verbum, ut Verbum nosse, a quo Spiritus accipit, deinde cum de Spiritu siluisset, verba illa, Ne Filius quidem, de ministerio suo humano dixisse. Nullus autem est, exceptis Arianis, qui non confiteatur eum, qui Patrem novit, multo magis nosse rerum procreatarum universitatem, in qua et ipsius orbis finis continetur. Quod si dies et hora præfinita est a Patre, perspicuum est, eam per Filium esse præfinitam. Quod autem per se præfinitum est, id ipse nimirum novit. Nihil enim quod non per Filium sit factum et præfinitum.

Præterea si omnia quæ Patris sunt, Filii sunt, ut ipse dixit, Patris autem est, scire diem illam, perspicuum est, eam et Filium nosse, cum id etiam proprium habeat ex Patre. At hæc si Filius in Patre est, et Pater in Filio, novit autem Pater diem et horam, non est dubitandum, quin Filius in Patre exsistens, et sciens quæ sunt in Patre, noverit etiam ipse diem et horam. Denique cum vera Patris imago sit Filius, norit autem Pater, patet in hoc quoque Filium Patri similem esse. Ariani vero Dei Filium in rerum procreatarum numero collocantes, paulatim meditantur quomodo Patrem ipsum rebus procreatis minorem dicant; si enim qui Patrem novit diem et horam illam ignorat, vereor, ne major sit, ut insanientes isti dicerent, cognitio, quæ ad res procreatas, imo vero quæ ad minorem earum partem, quam quæ ad Patrem pertinent. Cæterum non ignorans dixit, Non novi, sed indicans, se carnem ignaram induisse, dixit, Ne Filius quidem novit. Et hominum, qui erant tempore Noe, ignorantiam commemorans

[1] Joan. XVII, 1.

statim subjecit: *Vigilate igitur, quia nescitis, qua hora Dominus vester venturus sit* [1]. Et rursum; *Qua hora non putatis Filius hominis veniet* [2]. Quod si uti Deus ignorasset, dicendum erat: Vigilate igitur, quia nescio, et qua hora non puto. Non autem ita dixit, sed, *Quia nescitis vos*, et, *Qua hora non putatis*, ut ostenderet hominum esse proprium ignorare. Quapropter eorum et ipse carnem similem habens, et homo factus dicebat, Ne Filius quidem novit. Nam et de Noe non dixit, Non cognovit, sed, *Non cognoverunt, donec diluvium venit* [3]. Illi enim non cognoscebant, ipse autem diluvium inducens cognoscebat. Quamobrem et Noe dixit: *Ingredere tu, et filii tui tui in arcam* [4]. Si enim ignorasset, non prædixisset Noe: *Septimo ab hinc die inducam pluviam super terram* [5]. Quemadmodum enim homo factus cum hominibus esurit, et sitit, et patitur, sic cum hominibus ut homo non novit. Divinitas autem in Patre exsistens et Verbum et sapientia novit, et nihil ignorat. Sic et de Lazaro ut homo percunctatur, qui venerat, ut eum in vitam revocaret, quique noverat, unde animam ejus acciret. Majus autem est scire, ubi esset anima ejus, quam nosse, ubi cadaver jaceret. Ita discipulos etiam interrogat, cum venisset in partes Cæsareæ, et sciret antequam Petrus responderet. Nam si ea, de quibus Dominus percontabatur, Pater Petro revelavit, perspicuum est id per Filium fuisse factum: *Nemo enim Filium novit nisi Pater, neque Patrem quisquam novit, nisi Filius, et cui voluerit Filius revelare* [6]. Quod si Patris Filiique cognitio per Filium fit, non est dubium, quin ipse Dominus interrogans prius patefecerit Petro, quæ a Patre acceperat, deinde autem interrogarit humano more, ut hic etiam ostenderet se qui ut homo interrogat, ut Deum scire, quæ Petrus esset responsurus. Noverat profecto Filius, qui Patrem cognoscebat, qua quidem cognitione nec majus nec perfectius quidquam esse potest.

Apostolus in secunda ad Corinthios Epistola: *Scio, inquit, hominem in Christo ante annos quatuordecim sive in corpore nescio, sive extra corpus nescio; Deus scit* [7]. Quid dicitis? Novitne Apostolus quæ in ea visione illi acciderunt, quamvis dicat, Nescio, an non novit? Si eum negatis nosse, videte, ne, erroribus assueti, in Phrygum impietatem delabamini qui tum prophetas tum alios Verbi ministros negabant scire, quæ vel facerent, vel nuntiarent. Sin novit dicens, Non novi, quia Christum in se omnia sibi patefacientem habebat, nonne per Christum impugnantium cor vere evertitur, et per se condemnatur, qui cum Apostolum dicentem, *Non novi*, nosse concedant, Christum dicentem, *Non novi*, nosse negent? Apostolus igitur patefaciente sibi

A ἄγνοιαν παραθεὶς εὐθὺς ἐπήγαγε· *Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται.* Καὶ πάλιν· *Ἧ οὐ δοκεῖτε ὥρᾳ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.* Ἔδει δὲ, εἴπερ ἦν ἀγνοῶν θεϊκῶς, εἰπεῖν, Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἶδα, καὶ ᾗ οὐ δοκῶ ὥρᾳ. Νῦν δὲ τοῦτο μὲν οὐκ εἶπεν, εἰρηκὼς δὲ, ὅτι «Οὐκ οἴδατε ὑμεῖς,» καὶ, «ᾗ οὐ δοκεῖτε ὥρᾳ,» ἔδειξεν, ὅτι τῶν ἀνθρώπων ἐστὶ τὸ ἀγνοεῖν, δι' οὓς καὶ αὐτὸς τὴν ὁμοίαν αὐτῶν ἔχων σάρκα, καὶ ἄνθρωπος γενόμενος ἔλεγεν, ὅτι *Οὐδὲ ὁ Υἱὸς οἶδε.* Καὶ γὰρ καὶ ἐπὶ τοῦ Νῶε οὐκ εἶπεν, Οὐκ ἔγνω, ἀλλ' οὐκ ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυσμός. Οἱ μὲν γὰρ οὐκ ἐγίνωσκον, ὁ δὲ τὸν κατακλυσμὸν ἐπάγων ἐγίνωσκε. Διὰ τοῦτο καὶ τῷ Νῶε εἴρηκεν· *Εἴσελθε, σὺ καὶ οἱ υἱοί σου εἰς τὴν κιβωτόν.* Εἰ γὰρ ἦν ἀγνοῶν, οὐκ ἂν προέλεγε B τῷ Νῶε, *Ἔτι γὰρ ἡμερῶν ἑπτὰ ἐγὼ ἐπάγω ὑετὸν ἐπὶ τὴν γῆν.* Ὥσπερ γὰρ ἄνθρωπος γενόμενος μετὰ ἀνθρώπων πεινᾷ, καὶ διψᾷ, καὶ πάσχει, οὕτω μετὰ μὲν ἀνθρώπων ὡς ἄνθρωπος οὐκ οἶδε, θεϊκῶς δὲ ἐν τῷ Πατρὶ ὢν ὡς Λόγος καὶ σοφία οἶδε, καὶ οὐδέν ἐστιν ὃ ἀγνοεῖ. Οὕτω καὶ περὶ Λαζάρου πάλιν ἀνθρωπίνως πυνθάνεται ὁ ἀπελθὼν ἐγεῖραι αὐτὸν, καὶ εἰδὼς πόθεν ἀνακαλέσεται τὴν Λαζάρου ψυχήν. Μεῖζον δὲ τὸ εἰδέναι ποῦ ἦν ἡ ψυχὴ τοῦ εἰδέναι ποῦ ἔκειτο τὸ σῶμα. Οὕτω καὶ τῶν μαθητῶν πυνθάνεται ἐλθὼν εἰς τὰ μέρη Καισαρείας, καίπερ εἰδὼς καὶ πρὶν ἀποκρίνασθαι τὸν Πέτρον. Εἰ γὰρ ὁ Πατὴρ ἀπεκάλυψε τῷ Πέτρῳ περὶ ὧν ὁ Κύριος ἐπυνθάνετο, δῆλόν ἐστιν, ὅτι διὰ τοῦ Υἱοῦ γέγονεν ἡ ἀποκάλυψις. C *Οὐδεὶς γὰρ οἶδε τὸν Υἱὸν εἰ μὴ ὁ Πατὴρ, οὐδὲ τὸν Πατέρα τις οἶδεν εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἂν θέλῃ ὁ Υἱὸς ἀποκαλύψαι.* Εἰδὲ δι' Υἱοῦ ἥ τε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ γνῶσις ἀποκαλύπτεται, οὐκ ἀμφίβολον, ὡς αὐτὸς ὁ πυνθανόμενος Κύριος πρότερον ἀποκαλύψας τῷ Πέτρῳ τὰ παρὰ τοῦ Πατρὸς ὕστερον ἀνθρωπίνως ἐπυνθάνετο, ἵνα καὶ ἐν τούτῳ δείξῃ, ὅτι σαρκικῶς πυνθανόμενος, ᾔδει θεϊκῶς ἃ ἔμελλε λέγειν ὁ Πέτρος. Οἶδεν ἄρα ὁ Υἱὸς γινώσκων τὸν ἑαυτοῦ Πατέρα, ἧς γνώσεως οὔτε μεῖζον, οὔτε τελειότερον ἄν τι γένοιτο.

Ὁ Ἀπόστολος ἐν τῇ δευτέρᾳ πρὸς Κορινθίους Ἐπιστολῇ γράφων φησὶν, *Οἶδα ἄνθρωπον ἐν Χριστῷ πρὸ ἐτῶν ιδ', εἴτε ἐν σώματι οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα. Ὁ Θεὸς οἶδε.* Τί τοίνυν φατέ; Οἶδεν ὁ Ἀπόστολος ὃ πέπονθεν ἐν τῇ ὀπτασίᾳ, D κἂν λέγῃ, Οὐκ οἶδα, ἢ οὐκ οἶδεν; Εἰ μὲν οὐκ οἶδε, σκοπεῖτε μὴ μανθάνοντες πίπτειν, πέσητε καὶ εἰς τὴν Φρυγῶν παρανομίαν τῶν λεγόντων μὴ εἰδέναι τοὺς προφήτας, μηδὲ τοὺς ἄλλους τοὺς διακονήσαντας τὸν Λόγον, μήτε ἃ ποιοῦσι, μήτε περὶ τίνων ἀπαγγέλλουσιν. Εἰ δὲ οἶδε, λέγων, Οὐκ οἶδα· εἶχε γὰρ ἐν αὐτῷ τὸν Χριστὸν ἀποκαλύπτοντα τὰ πάντα· πῶς οὐκ ἀληθῶς ἐξεστραμμένη τῶν χριστομάχων, καὶ αὐτοκράτητός (1) ἐστιν ἡ καρδία, ὅτι τὸν μὲν Ἀπόστολον λέγοντα, Οὐκ οἶδα, λέγουσιν εἰδέναι, τὸν δὲ Κύριον λέ-

[1] Matth. xxiv, 42. [2] Luc. xii, 40. [3] Matth. xxiv, 39. [4] Gen. vii, 1. [5] Ibid. 4. [6] Matth. xi, 27; Luc. x, 22. [7] II Cor. xii, 2.

(1) Edit. Athanas. (tom. XXVI, col. 424 A), αὐτοκατάκριτός ἐστιν αὐτῶν ἡ κ. *Annon revera perversus et damnatione per se dignissimus est* Dei hostium animus qui, etc.

γοντα, Οὐκ οἶδα, λέγουσι μὴ εἰδέναι; Ὁ μὲν οὖν Ἀπόστολος, ἀποκαλύπτοντος αὐτῷ τοῦ Υἱοῦ, οἶδεν ὃ πέπονθε. Διὰ τοῦτο γάρ φησιν· *Οἶδα ἄνθρωπον ἐν Χριστῷ*. Εἰδὼς δὲ τὸν ἄνθρωπον, οἶδε καὶ πῶς ὁ ἄνθρωπος ἡρπάγη. Ὁ δὲ Ἐλισσαῖος βλέπων τὸν Ἠλίαν, οἶδε καὶ πῶς ἀνελήφθη. Ἀλλὰ καίπερ γινώσκων, ὅμως τῶν υἱῶν τῶν προφητῶν νομιζόντων τὸν Ἠλίαν εἰς ἓν τῶν ὀρέων ὑπὸ τοῦ Πνεύματος ἐῤῥίφθαι, αὐτὸς τὴν μὲν ἀρχὴν γινώσκων ὃ ἑώρακεν, ἔπειθε τοὺς ἄνδρας, βιαζομένων δὲ ἐκείνων σεσιώπηκε, καὶ συνεχώρησεν ἀπελθεῖν. Ἆρ' οὖν ἐπειδὴ σεσιώπηκε, οὐκ ἐγίνωσκεν; ἐγίνωσκε μὲν οὖν, ἀλλ' ὡς οὐκ εἰδὼς συνεχώρησεν, ἵνα ἐκεῖνοι πεισθέντες μηκέτι διστάσωσι περὶ τῆς ἀναλήψεως Ἠλίου. Οὐκοῦν πολλῷ μᾶλλον ὁ Παῦλος, αὐτὸς ὢν ὁ ἁρπαγείς, οἶδε καὶ πῶς ἡρπάγη. Καὶ γὰρ Ἠλίας ἐγίνωσκε, καὶ εἰ ἐπυνθάνετό τις, εἶπεν ἄν, πῶς ἀνελήφθη. Λέγει δὲ ὅμως ὁ Παῦλος, Οὐκ οἶδα, δύο τούτων χάριν, ὥς γε νομίζω, ἑνὸς μὲν ὡς αὐτὸς εἶπεν, ἵνα μὴ διὰ τὴν ὑπερβολὴν τῶν ἀποκαλύψεων ἕτερόν τις αὐτὸν λογίσηται ὑπὲρ ὃ βλέπει· ἑτέρου δὲ, ὅτι τοῦ Σωτῆρος εἰπόντος, Οὐκ οἶδα, ἔπρεπε καὶ αὐτὸν εἰπεῖν, Οὐκ οἶδα, ἵνα μὴ φαίνηται δοῦλος ὢν ὑπὲρ τὸν Κύριον αὐτοῦ, καὶ μαθητὴς ὑπὲρ τὸν διδάσκαλον.

Οὐκοῦν ὁ τῷ Παύλῳ δεδωκὼς εἰδέναι πολλῷ μᾶλλον αὐτὸς οἶδε. Τίνος μὲν οὖν χάριν εἶπε τότε, Οὐκ οἶδα, εἰ αὐτὸς ὢν Δεσπότης οἶδεν; Ὡς δὲ διερευνῶντας στοχάζεσθαι χρὴ, τῆς ἡμῶν ἕνεκα λυσιτελείας, ὥς γε νομίζω, τοῦτο πεποίηκε. Καὶ γὰρ τὰ μὲν πρὸ τοῦ τέλους ἀπαντῶντα δεδήλωκεν, ἵνα, ὡς εἶπεν αὐτὸς, μὴ ξενισθῶμεν, γινομένων αὐτῶν, ἀλλὰ καὶ ἐκ τούτων τὰ μετὰ ταῦτα τέλος προσδοκῶμεν. Περὶ δὲ τῆς ἡμέρας καὶ τῆς ὥρας οὐκ ἠθέλησε θεϊκῶς εἰπεῖν, ὅτι Οἶδα, ἀλλὰ σαρκικῶς, ὅτι Οὐκ οἶδα, ἵνα μηκέτι ἐπερωτήσωσιν αὐτὸν, καὶ λοιπὸν ἢ μὴ εἰρηκὼς λυπήσῃ τοὺς μαθητὰς, ἢ εἰρηκὼς παρὰ τὸ συμφέρον αὐτοῖς καὶ πᾶσιν ἡμῖν ποιήσῃ. Ὁ γὰρ ἂν ποιῇ, τοῦτο πάντως ὑπὲρ ἡμῶν ἐστιν, ἐπειδὴ καὶ δι' ἡμᾶς ὁ Λόγος σὰρξ ἐγένετο. Δι' ἡμᾶς τοίνυν εἶπεν· *Οὐδὲ ὁ Υἱὸς οἶδε*, καὶ οὔτε ἐψεύσατο εἰρηκὼς, ἀνθρωπίνως γὰρ εἶπεν ὡς ἄνθρωπος, Οὐκ οἶδα, οὔτε ἀφῆκε τοὺς μαθητὰς αὐτὸν βιάσασθαι. Εἰρηκὼς γὰρ, Οὐκ οἶδα, ἔστησε κἀκείνων τὴν ἐρώτησιν. Ἐν γοῦν ταῖς Πράξεσι τῶν ἀποστόλων ἐστὶ γεγραμμένον, ὅτι ἠρώτων αὐτὸν πάλιν οἱ μαθηταὶ, πότε τὸ τέλος ἔσται, καὶ πότε παραγίνῃ, καὶ εἶπεν αὐτοῖς φανερώτερον· *Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ*. Καὶ οὐκ εἶπε τότε, Οὐκ οἶδεν οὐδὲ ὁ Υἱὸς, ὥσπερ πρὸ τούτου ἀνθρωπίνως. Λοιπὸν γὰρ ἦν ἡ σὰρξ ἀναστᾶσα, καὶ ἀποθεμένη τὴν νέκρωσιν, καὶ θεοποιηθεῖσα, καὶ οὐκ ἔτι ἔπρεπε σαρκικῶς αὐτὸν ἀποκρίνασθαι ἀνερχόμενον εἰς τοὺς οὐρανοὺς, ἀλλὰ λοιπὸν θεϊκῶς διδάξαι, ὅτι *Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ*. Τίς δὲ ἡ δύναμις τοῦ Πατρὸς ἢ ὁ Χριστός; Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία.

A Filio novit, quid sibi acciderit. Et ideo dicit: *Scio hominem in Christo*. Cognoscens autem hominem, novit etiam quomodo raptus fuerit. Et Elisæus suspiciens Eliam, vidit quomodo raptus fuit. Attamen id sciens cum filiis prophetarum, qui arbitrabantur Eliam in aliquem montem a Spiritu projectum esse, persuadere non posset, quin illum omnino vellent inquirere, tacuit, et acquievit eorum consilio. Num igitur quia tacuit, ideo non novit? Norat ille quidem, sed tanquam non nosset, concessit ut quærerent, ne de raptu Eliæ amplius ambigerent. Quod quidem de Paulo, qui ipse raptus fuit, multo magis asserendum est. Novit igitur quomodo raptus fuit. Nam et Elias novit. Si quis tamen, quomodo raptus fuerit, Paulum B interrogaret, duabus de causis, ut ego quidem existimo, *Non novi*, responderet. Primum ne quis propter excellentiam revelationum duceret ipsum esse supra id quod videret. Deinde quia Servatore negante, se nosse, debebat et ipsum dicere, Nescio, ne cum esset servus et discipulus, Domino et præceptore major videretur.

Quare qui Paulo dedit, ut sciret, multo magis ipse novit. Cur igitur tunc negavit, se nosse, qui ut Dominus novit? Nostræ nimirum utilitatis causa id fecit, si tamen licet vestigantes aliquid conjicere. Nam et eventura ante mundi finem significa- C vit, ne cum ea contingerent, nos ut peregrinos et imprudentes opprimerent, sed ut ex illis, quæ post etiam futura essent, exspectaremus. Diem autem et horam noluit ut Deus dicere se nosse, sed ut homo se negavit scire, ne amplius interrogarent. Sic igitur rem temperavit, ne si vel omnino taceret, tristitia discipulos afficeret, vel si plane patefaceret, ageret contra quam et illis et nobis foret utile. Quoniam igitur propter nos Verbum caro factum est, propter nos etiam dixit: Ne Filius quidem novit. Neque ita dicens mentitus est. Humano enim more, ut homo, negavit se scire, nec permisit, ut discipuli se amplius urgerent; negando enim se scire, fecit interrogationem ipsorum consistere. At in eo libro, quo res ab aposto- D lis gestæ continentur, scriptum est, discipulos iterum interrogasse, quando finis esset venturus, eumque clarius illis ad hunc modum respondisse: *Non est vestrum, nosse tempora vel momenta, quæ Pater posuit in sua potestate* [1]. Non dixit tunc: Ne Filius quidem novit, ut antea dixerat, tanquam homo. Jam enim surrexerat caro, depositaque mortalitate divina erat reddita. Nec amplius decebat, ut jam in cœlum iturus responderet, ut homo, sed doceret ut Deus, *Non est vestrum*, inquiens, *nosse tempora vel momenta, quæ Pater posuit in sua potestate*. Quæ autem Patris potestas, nisi Christus? Christus enim Dei virtus et sapientia [2].

[1] Act. I, 7. [2] I Cor. I, 24.

Sciebat utique Filius, uti Verbum. Sic enim loquens significavit se scire, sed ad eos non pertinere cognoscere, ut etiamsi dæmones speciem assumerent angelorum, et conarentur mundi finem denuntiare, quo audientes deciperent, ne illis crederent, cum vocis Domini testimonium haberent. Quanquam ne expedit quidem hominibus finem illum nosse, ne eo cognito negligentes interim fiant. Quamobrem utrumque nobis finem tum orbis, tum suæ cujusque vitæ notum esse noluit. Nam et in universitatis fine singulorum finis comprehenditur, et singulorum fine cogitur finis universitatis, ut cum incertus sit, quotidie magis in virtutis studio proficiamus. Et ideo Servator adjungit : *Vigilate igitur, quia nescitis, qua hora Dominus vester venturus sit* [1]. Propter utilitatem ergo provenientem ex hac inscitia ita locutus est. Jam cum in paradiso Dominus sic Adam interroget : *Adam, ubi es* [2]? et ex Cain quærat, ubi sit frater ejus, quid hic dicetis? Eumne ignorare, atque ideo sic percontari? At Manichæos hoc modo vos esse declarabitis. Eorum enim propria hæc est audacia. Quod si verentes, ne aperte Manichæi nominemini, vobis ipsis vim affertis, ut dicatis, eum cognoscentem percontari, quid absurdum aut novum conspicitis, quamobrem excidatis, si Filius, in quo tunc Deus percontabatur, ipse nunc carnem indutus ut homo percontatur? Nisi ut cum Manichæi sitis, percontationem etiam illam carpatis, et calumniemini, ut solum in malis cogitationibus vestris vos audacter geratis. At in omnibus confutati rursum tumultuamini propter illa verba, quæ a Luca scripta sunt : *Et Jesus proficiebat sapientia, et ætate, et gratia apud Deum et homines* [3]. Necessarium igitur est, ut vos iterum tanquam Sadducæos et Pharisæos interrogem, Jesus Christus homo est, ut reliqui omnes homines, an Deus est carnem gerens? Si homo communis est, ut cæteri homines, proficiat, ut homo, quæ quidem est Samosatensis sententia, quam vos item re sequimini, licet hominum veriti de vobis existimationem, dissimuletis. Sin Deus est carnem gerens, quandoquidem et hoc verum est, quid proficit, cum sit æqualis Deo, aut quomodo augetur Filius, qui semper est in Patre? Si enim semper in Patre exsistens proficit et crescit, aliquid nimirum est supra Patrem, ad quod ille crescens perveniat. Deinde si homo factus proficiebat, erat ante, quam homo fieret, imperfectus. Et caro potius perfectio ipsius fuit quam ipse carnis. Deinde si Verbum exsistens proficit, quid majus assequi potest quam ut sit id, quod est, Verbum nimirum, et sapientia, et Filius, et Deus, cujus si quis ut radii particeps fieri potest, is inter homines est perfectissimus, et æqualis angelis fit? Siquidem et Angeli et Archangeli, et Dominationes, et omnes Potestates, et Throni, Verbi participes personam ejus semper contem-

A Οἶδεν ἄρα ὁ Υἱὸς Λόγος ὤν. Τοῦτο γὰρ λέγων ἐσήμανεν, ὅτι Ἐγὼ οἶδα, ἀλλ' οὐκ ἔστιν ὑμῶν γνῶναι, ἵνα κἂν ὡς ἄγγελοι μετασχηματίζωνται δαίμονες, καὶ περὶ τῆς συντελείας ἐπιχειρήσωσι λέγειν πρὸς τὸ πλανῆσαι τοὺς ἀκούοντας, μὴ πιστεύσητε ἔχοντες ὑμεῖς παρ' ἐμοῦ τὴν φωνήν. Ἄλλως τε οὐδὲ εἰδέναι τοῖς ἀνθρώποις τὸ τέλος συμφέρει, ἵνα μὴ γνόντες καταφρονηταὶ τοῦ μεταξὺ χρόνου γένωνται. Ἀμφότερα δὴ οὖν καὶ τὸ καθόλου τέλος, καὶ τὸ ἑκάστου ἀπέκρυψεν ἀφ' ἡμῶν ὁ Λόγος. Καὶ γὰρ ἐν τῷ καθόλου τὸ ἑκάστου τέλος ἐστὶ, καὶ ἐν τῷ ἑκάστου τέλει τὸ καθόλου συνάγεται, ἵνα ἀδήλου αὐτοῦ ὄντος, καὶ ἀεὶ προσδοκωμένου, καθ' ἡμέραν προκόπτωμεν. Διὰ τοῦτο γὰρ ἐπέφερεν ὁ Σωτὴρ λέγων· *Γρηγορεῖτε οὖν ὅτι οὐκ οἴδατε οὐδὲ ὑμεῖς ποίᾳ ἡμέρᾳ ὁ Κύ-* B *ριος ὑμῶν ἔρχεται.* Διὰ τὸ συμφέρον ἄρα τὸ ἐκ τῆς ἀγνοίας τοῦτο εἴρηκεν. Ἐν τῷ παραδείσῳ δὲ πυνθάνεται ὁ Θεὸς τοῦ Ἀδὰμ λέγων· *Ἀδὰμ, ποῦ εἶ;* Ἐξετάζει δὲ καὶ τὸν Κάϊν λέγων· *Ποῦ Ἄβελ ὁ ἀδελφός σου;* Τί τοίνυν καὶ περὶ τούτου φατέ; Εἰ γὰρ ἀγνοεῖν αὐτὸν νομίζετε, καὶ διὰ τοῦτο πυνθάνεσθαι, Μανιχαίοις μὲν ἤδη προσετέθητε. Αὐτῶν γὰρ τὸ τοιοῦτον τόλμημα. Εἰ δὲ φοβούμενοι φανερῶς ὀνομασθῆναι Μανιχαῖοι βιάζεσθε αὐτοὺς εἰπεῖν, ὅτι γινώσκων πυνθάνεται, τί ἄτοπον, ἢ τί ξένον ὁρῶντες οὕτω πεπτώκατε, εἰ ὁ Υἱὸς, ἐν ᾧ τότε ἐπυνθάνετο ὁ Θεὸς, ὁ αὐτὸς Υἱὸς καὶ νῦν σάρκα περιβαλλόμενος πυνθάνεται ὡς ἄνθρωπος; Εἰ μὴ ἄρα Μανιχαῖοι γενόμενοι μέμφεσθαι θελήσετε καὶ τὴν τότε γενομένην C πρὸς τὸν Ἀδὰμ ἐρώτησιν, ἵνα μόνον νεανιεύησθε ἐν ταῖς κακονοίαις. Καὶ γὰρ ἐν πᾶσιν ἐλεγχόμενοι θορυβεῖτε πάλιν διὰ τὸ εἰρημένον παρὰ τοῦ Λουκᾶ. Φησὶ γάρ· *Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ, καὶ χάριτι παρὰ Θεῷ, καὶ ἀνθρώποις.* Ἀναγκαῖον οὖν ἐστι πάλιν αὐτοὺς ὡς τοὺς Σαδδουκαίους καὶ Φαρισαίους ἐρωτῆσαι· Ἰησοῦς Χριστὸς ἄνθρωπός ἐστιν, ὡς οἱ ἄλλοι πάντες ἄνθρωποι, ἢ Θεός ἐστι σάρκα φορῶν; Εἰ μὲν οὖν κοινὸς ἄνθρωπος κατὰ τοὺς ἄλλους ἀνθρώπους καὶ αὐτός ἐστιν, ἔστω πάλιν ὡς ἄνθρωπος προκόπτων. Τοῦτο μέντοι τοῦ Σαμοσατέως ἐστὶ τὸ φρόνημα, ὃ τῇ μὲν δυνάμει καὶ ὑμεῖς φρονεῖτε, τῷ δὲ ὀνόματι μόνον ἀρνεῖσθε διὰ τοὺς ἀνθρώπους. Εἰ δὲ Θεός ἐστι σάρκα φορῶν, ἐπειδὴ καὶ τοῦτό ἐστιν ἀληθῶς, ποίαν ἔχει προκοπὴν ὁ ἴσα Θεῷ D ὑπάρχων; Ἢ ποῦ εἶχεν αὐξάνειν ὁ Υἱὸς, ὁ ἀεὶ ὢν ἐν τῷ Πατρί; Εἰ γὰρ ἀεὶ ὢν ἐν τῷ Πατρὶ προκόπτει, τί ἄρα ἐστὶν ἐπέκεινα τοῦ Πατρὸς, ἵνα ἐπὶ τούτῳ προκόψῃ; Ἔπειτα, εἰ ἄνθρωπος γενόμενος προέκοπτε, δῆλον ὅτι πρὸ τοῦ γενέσθαι ἄνθρωπος ἀτελὴς ἦν, καὶ μᾶλλον ἡ σὰρξ αἰτία τῆς τελειώσεως γέγονεν, ἢ αὐτὸς τῆς σαρκός. Πάλιν τε, εἰ Λόγος ὢν προκόπτει, τί μεῖζον ἔχει γενέσθαι Λόγου, καὶ σοφίας, καὶ Υἱοῦ, καὶ Θεοῦ, καὶ δυνάμεως; Ταῦτα γάρ ἐστιν ὁ Λόγος, οὗ εἴ τις ὡς ἀκτῖνος μετασχεῖν πως δύναται, ὁ τοιοῦτος παντέλειος ἐν ἀνθρώποις, καὶ ἴσος ἀγγέλοις γίνεται. Καὶ γὰρ καὶ Ἄγγελοι, καὶ Ἀρχάγγελοι, καὶ Κυριότητες, καὶ πᾶσαι αἱ Δυνάμεις, καὶ Θρόνοι

[1] Matth. xxiv, 42. [2] Gen. iii, 9. [3] Luc. ii, 52.

τοῦ Λόγου μετέχοντες βλέπουσι διὰ παντὸς τὸ πρόσωπον αὐτοῦ. Πῶς οὖν ὁ ἄλλοις τὴν τελειότητα παρέχων αὐτὸς μετ' ἐκείνους προκόπτει; Ἄλλοι γὰρ καὶ τῇ ἀνθρωπίνῃ αὐτοῦ γενέσει διηκόνησαν, καὶ τὸ λεγόμενον παρὰ τῷ Λουκᾷ μετὰ τὴν διακονίαν τῶν ἀγγέλων εἴρηται. Πῶς οὖν ἡ σοφία ἐν σοφίᾳ προέκοπτεν; Ἢ πῶς ὁ τοῖς ἄλλοις τὴν χάριν διδοὺς (ὁ γὰρ Παῦλος διὰ πάσης ἐπιστολῆς δι' αὐτοῦ δίδοσθαι τὴν χάριν γινώσκων φησίν· *Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν*), αὐτὸς ἐν χάριτι προέκοπτεν; Ἢ γὰρ ψεύδεσθαι τὸν Ἀπόστολον λεγέτωσαν, ἢ μηδὲ σοφίαν εἶναι λέγειν τὸν Υἱὸν τολμάτωσαν, ἢ εἰ σοφία ἐστὶ, προκοπὴν οὐκ ἐπεδέχετο.

Ἄνθρωποι μὲν γὰρ κτίσματα τυγχάνοντες ἐπεκτείνεσθαί πως καὶ προκόπτειν ἐν ἀρετῇ δύνανται. Ἐνὼχ γοῦν οὕτω μετετέθη, καὶ Μωϋσῆς αὐξάνων ἐτελειοῦτο, Ἰσαὰκ δὲ προκόπτων ἐγένετο μέγας. Καὶ ὁ Ἀπόστολος ἐπεκτείνεσθαι καθ' ἡμέραν τοῖς ἔμπροσθεν ἔλεγεν. Εἶχε γὰρ ἕκαστος ποῦ προκόψει, βλέπων εἰς τὸν ἔμπροσθεν αὐτοῦ βαθμόν. Ὁ δὲ τοῦ Θεοῦ Υἱὸς μόνος ὢν, ἐν τῷ μόνῳ Πατρί ἐστιν, ἀφ' οὗ οὐδὲ ἐπεκτείνεται, ἀλλ' ἐν αὐτῷ μένων ἐστὶν ἀεί. Ἀνθρωπίνως οὖν εἴρηται καὶ ἐνταῦθα προκόπτειν, ἐπεὶ καὶ τῶν ἀνθρώπων ἐστὶ πάλιν ἡ προκοπή. Καὶ γὰρ καὶ ὁ εὐαγγελιστὴς μετὰ ἀκριβοῦς παρατηρήσεως λέγων, τῇ προκοπῇ συνῆψε τὴν ἡλικίαν· Λόγος δὲ καὶ Θεὸς ἡλικίᾳ οὐ μεμέτρηται, ἀλλὰ τῶν σωμάτων εἰσὶν αἱ ἡλικίαι. Τοῦ σώματος ἄρα ἐστὶν ἡ προκοπή. Αὐτοῦ γὰρ προκόπτοντος, προέκοπτεν ἐν αὐτῷ καὶ ἡ φανέρωσις τῆς θεότητος τοῖς ὁρῶσιν. Ὅσῳ δὲ ἡ θεότης ἀπεκαλύπτετο, τοσούτῳ πλέον ἡ χάρις ηὔξανεν ὡς ἀνθρώπου παρὰ πᾶσιν ἀνθρώποις. Παιδίον μὲν γὰρ ἐβαστάζετο, παῖς δὲ γενόμενος ἐπέμενεν ἐν τῷ ἱερῷ, καὶ τοὺς ἱερέας ἀνέκρινε περὶ τοῦ νόμου. Κατ' ὀλίγον δὲ τοῦ σώματος αὐξάνοντος, καὶ τὸν Λόγον φανεροῦντος, ὁμολογεῖται λοιπὸν παρὰ μὲν Πέτρου πρῶτον, εἶτα καὶ παρὰ πάντων τῶν μαθητῶν, ὅτι ἀληθῶς Θεοῦ Υἱός ἐστιν. Εἰ χρὴ δὲ καὶ πιθανῶς μετὰ τοῦ ἀληθοῦς εἰπεῖν, αὐτὸς ἐν ἑαυτῷ προέκοπτεν. *Ἡ σοφία γὰρ ᾠκοδόμησεν ἑαυτῇ οἶκον*, καὶ ἐν ἑαυτῇ προκόπτειν τὸν οἶκον ἐποίει.

Τίς δέ ἐστιν ἡ λεγομένη προκοπὴ, καθὰ προεῖπον; Ἡ παρὰ τῆς σοφίας μεταδιδομένη τοῖς ἀνθρώποις θεοποίησις, καὶ χάρις, ἐξαφανιζομένης ἐν αὐτοῖς τῆς ἁμαρτίας καὶ τῆς ἐν αὐτοῖς φθορᾶς κατὰ τὴν ὁμοιότητα καὶ συγγένειαν τῆς σαρκὸς τοῦ Λόγου. Οὕτω γὰρ αὐξάνοντος ἐν ἡλικίᾳ τοῦ σώματος, συνεπεδίδοτο ἐν αὐτῷ ἡ τῆς θεότητος φανέρωσις, καὶ ἐδείκνυτο παρὰ πᾶσιν, ὅτι ναὸς Θεοῦ ἐστι, καὶ Θεὸς ἦν ἐν τῷ σώματι. Ἐὰν δὲ φιλονεικῶσιν, ὅτι Ἰησοῦς ἐκλήθη σὰρξ γενόμενος, καὶ εἰς αὐτὸν ἀναφέρωσι τὸ λεγόμενον *προέκοπτεν*, ἀκουέτωσαν, ὅτι οὐδὲ τοῦτο νῦν ἐλαττοῖ τὸ πατρικὸν φῶς. Τοῦτο γάρ ἐστιν ὁ Υἱός. Δείκνυσι δὲ πάλιν, ὅτι γέγονεν ἄνθρωπος ὁ Λόγος, καὶ ἀληθινὴν ἐφόρεσε σάρκα, καὶ ὥσπερ εἴπομεν, ὅτι σαρκὶ πέπονθε, καὶ σαρκὶ ἐπείνασε, καὶ σαρκὶ ἐκοπίασεν, οὕτω καὶ εἰκότως ἂν λέγοιτο, ὅτι σαρκὶ

A plantur. Quomodo igitur qui aliis perfectionem præbet, ipse post illos proficiat? Angeli enim et in ortu ipsius humano ministrabant. Et quod a Luca dictum est, post angelorum ministerium fuit. Quomodo igitur is qui ipsa sapientia est, sapientia proficiebat? Aut qui gratiam aliis elargitur (nam Paulus quidem in omnibus Epistolis suis gratiam per ipsum dari facile agnoscit: *Gratia*, inquiens, *Domini nostri Jesu Christi cum omnibus vobis* [1]) ipse gratia proficiebat? Aut igitur Apostolum dicant falsa scripsisse, aut sapientiam esse Filium negent; aut si sapientia est, nullum accipiebat incrementum.

B Homines enim, qui creati sunt, crescere, et in virtutis studio progredi possunt. Enoch quidem hoc modo translatus est. Et Moses crescens proficiebat. Et Isaias proficiens magnus effectus est. Et Apostolus ad ea quotidie, quæ ante sunt, contendebat. Horum enim singuli habebant, quo progrederentur, superiores gradus intuentes. At Dei Filius solus exsistens in solo Patre est, a quo non ulterius extenditur, sed in ipso semper manet. Humana ergo ratione dictum est, Proficiebat. Nam hominum est profectio et augmentum. Quare magna cum observatione ætatem adjunxit evangelista, Proficiebat, inquiens, sapientia et ætate. Verbum autem et Deus nullam habet ætatis mensuram. Ætates enim ad corpus referuntur. Itaque corporis est hæc progressio. Corpore enim cres-
C cente divinitatis declaratio videntibus major efficiebatur. Quanto autem magis divinitas patefiebat, tanto magis gratia augebatur, nempe hominis jam apud omnes homines. Puerulus enim gestabatur. Puer vero mansit in templo, et cum sacerdotibus de lege disputabat. Paulatim deinceps crescente corpore, et Verbum demonstrante, Petrus primum, deinde reliqui discipuli eum vere Dei Filium confitentur. Quod si probabile aliquid cum veritate conjunctum dicendum est, ipse in seipso proficiebat. *Sapientia enim ædificavit sibi domum* [2], et in seipsa fecit domum consurgere.

Quænam autem est hæc progressio, secundum ea quæ diximus? Gratia scilicet et deificatio hominibus a sapientia impertita, deleto in illis peccato et cor-
D ruptione, propter ipsorum cum carne Verbi similitudinem et cognationem. Dum igitur corpus ætate cresceret, augebatur in ipso divinitatis declaratio, qua cognoscebant omnes, ipsum esse templum Dei, et Deum esse in corpore. Quod si pertinacius obstiterint, dicentes vocatum esse Jesum, cum factus est caro, et illud *proficiebat* ad illum dixerint esse referendum, sciant, ne id quidem paternam lucem imminuere. Est enim Filius. Eaque re planum fit, Verbum esse factum hominem, et veram carnem gestasse. Et quemadmodum dicimus, Dominum carne passum esse, et carne esuriisse, et carne defatigatum esse, sic etiam jure dicemus carne

[1] Rom. xvi, 20-24; II Cor. xiii, 13. [2] Prov. ix, 1.

auctum esse et profecisse. Non igitur Verbi incrementum, neque caro erat sapientia. Quapropter, ut ante diximus, non ipsa per se sapientia, quatenus sapientia est, proficiebat. Sed quod humanum erat, in sapientia proficiebat. Humanam enim naturam paulatim exsuperabat, divinumque efficiebatur, et divinitatis instrumentum fiebat ad ejus actiones et splendorem omnibus in rebus efferendum. Quamobrem non dixit: Verbum proficiebat, sed, Jesus proficiebat, quo quidem nomine Dominus factus homo vocatus est. Ut progressum illum humanæ naturæ fuisse constet, quemadmodum diximus.

Sicut ergo crescente carne dicitur ipse crescere propter corporis conjunctionem, sic ea quæ tempore mortis appetente dicuntur, ut turbari, et flere, eodem sensu sunt accipienda. Si igitur ex humanis affectionibus humilia abjectaque cogitandi de Deo sumunt occasionem, adeo ut hominem ipsum totum e terra, non autem e cœlo putent, cur non etiam ex divinis operibus in Patre Verbum agnoscunt, et propriam repudiant impietatem? Possunt enim animadvertere eumdem esse, qui divina opera exsequitur, et qui corpus affectionibus obnoxium ostendit, dum permittit, ipsum lugere, et esurire, et id genus alia perpeti. Ex his enim omnibus declaravit se, cum Deus sit impatibilis, carnem patibilem suscepisse. Ex operibus autem ostendit, se Dei Verbum hominem esse factum: *Etsi mihi*, inquiens, *non creditis, operibus credite, ut cognoscatis, me esse in Patre, et Patrem in me* [1]. Audientes quidem illum dicentem: *Ego et Pater unum sumus*, [2] unam ex proprietate Patris per essentiam perspicere divinitatem oportebat; audientes autem eum flevisse, et reliqua ejusdem generis pertulisse, ea fateri esse corporis maxime propria. Legitimam enim ita cogitandi causam habent, ut ea quidem de Deo, hæc autem propter humanum ipsius corpus scripta sint. Homo autem factus est, et hæc tanquam ab homine dicuntur et fiunt, ut hæ quoque carnis affectiones nobis leviores efficiantur, et nos ab illis liberi simus. Jam Dominus, qui semper in Patre est, non antequam hanc vocem emitteret, nec posteaquam illam emisit, a Patre derelinqui potuit. Neque fas est dicere, Dominum ipsum formidasse, quem inferni custodes metuentes infernum dimiserunt, propter quem et monumenta aperta sunt, et multa corpora sanctorum surrexerunt. Ecce enim dicente Domino: *Cur dereliquisti me* [3]? Pater se et semper et tunc in ipso fuisse declarat. Nam et terra Dominum suum loquentem agnoscens statim tremuit. Et velum scissum est, et sol radios suos contexit, et petræ confractæ sunt; et quod admirandum est, illi ipsi, qui aderant et eum ante negaverant, hæc conspicati vere hunc esse Dei Filium confitentur.

[1] Joan. x, 38. [2] Ibid. 30. [3] Matth. xxvi, 46.

A προέκοπτεν. Οὔτ' οὖν τοῦ Λόγου ἡ προκοπὴ, οὔτε ἡ σὰρξ ἦν σοφία, ἀλλὰ τῆς σοφίας σῶμα γέγονεν ἡ σάρξ. Διὰ τοῦτο ὡς προείπομεν, οὐχ ἡ σοφία, ᾗ σοφία ἐστὶν, αὐτὴ καθ' ἑαυτὴν προέκοπτεν, ἀλλὰ τὸ ἀνθρώπινον ἐν τῇ σοφίᾳ προέκοπτεν, ὑπεραναβαῖνον κατ' ὀλίγον τὴν ἀνθρωπίνην φύσιν, καὶ θεοποιούμενον, καὶ ὄργανον αὐτῆς γενόμενον πρὸς τὴν ἐνέργειαν τῆς θεότητος, καὶ τὴν ἔλλαμψιν αὐτῆς φαῖνον ἐν πᾶσι. Διὸ οὐδὲ εἶπεν, Ὁ Λόγος προέκοπτεν, ἀλλὰ, Ἰησοῦς, ὅπερ ὄνομα γενόμενος ἄνθρωπος ὁ Κύριος ἐκλήθη, ὡς εἶναι τῆς ἀνθρωπίνης φύσεως τὴν προκοπήν. Οὕτως ἐν τοῖς ἔμπροσθεν εἴπομεν.

Οὐκοῦν ὥσπερ προκοπτούσης τῆς σαρκὸς λέγεται αὐτὸς προκόπτειν διὰ τὴν πρὸς τὸ σῶμα ἰδιότητα, B οὕτω καὶ τὰ παρὰ τὸν καιρὸν τοῦ θανάτου λεγόμενα, τὸ πραχθῆναι, τὸ κλαῦσαι, χρὴ λαμβάνειν τῇ αὐτῇ διανοίᾳ. Εἴπερ οὖν ἐκ τῶν ἀνθρωπίνων προφασίζονται τὰ ταπεινὰ νοεῖν περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, μᾶλλον δὲ ἄνθρωπον αὐτὸν ὅλον ἐκ γῆς, καὶ οὐκ ἐξ οὐρανοῦ νομίζουσι, διατί μὴ καὶ ἐκ τῶν θεϊκῶν ἔργων ἐπιγινώσκουσι τὸν ἐν τῷ Πατρὶ Λόγον, καὶ λοιπὸν ἀρνοῦνται τὴν ἰδίαν ἀσέβειαν; Ἔξεστι γὰρ αὐτοῖς ὁρᾷν, πῶς αὐτός ἐστιν ὁ καὶ τὰ θεοπρεπῆ ἔργα ποιῶν, ὁ αὐτός ἐστιν ὁ καὶ τὸ σῶμα παθητὸν δεικνὺς ἐν τῷ ἀφιέναι κλαίειν καὶ πεινᾷν αὐτὸ, καὶ τὰ ἴδια τοῦ σώματος ἐν αὐτῷ φαίνεσθαι. Ἐκ μὲν γὰρ τῶν τοιούτων ἐγνώριζε πᾶσιν, ὅτι Θεὸς ὢν ἀπαθὴς σάρκα παθητὴν ἔλαβεν· ἐκ δὲ τῶν ἔργων ἐδείκνυεν ἑαυτὸν Λόγον ὄντα Θεοῦ, καὶ ὕστερον γενόμενον ἄνθρωπον C λέγων· *Κἂν ἐμοὶ μὴ πιστεύητε ἀνθρώπινον περιβεβλημένον σῶμα, ἀλλὰ κἂν τοῖς ἔργοις πιστεύσατε, ἵνα γνῶτε, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί.* Ἔδει δὲ, ὅτι ἀκούοντας μὲν αὐτοὺς, *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*, μίαν ὁρᾷν τὴν θεότητα κατὰ τὸ ἴδιον τῆς οὐσίας τοῦ Πατρός· ἀκούοντας δὲ τὸ *ἔκλαυσε*, καὶ τὰ ὅμοια, ταῦτα τοῦ σώματος ἴδια λέγειν μάλιστα, ὅτι ἐν ἑκατέρῳ τούτων ἔχουσι τὴν ἀφορμὴν εὔλογον, ὅτι τὰ μὲν ὡς περὶ Θεοῦ γέγραπται, τὰ δὲ διὰ τὸ ἀνθρώπινον αὐτοῦ σῶμα λέγεται. Ἐπεὶ καὶ ἄνθρωπος γέγονε, καὶ ὡς παρὰ ἀνθρώπου γίνεται, καὶ λέγεται ταῦτα, ἵνα ταῦτα τὰ παθήματα τῆς σαρκὸς κουφίσας αὐτοῖς ἐλευθέραν αὐτῶν ταύτην κατασκευάσῃ. Ὅθεν οὐδὲ D ἐγκαταλείπεσθαι δύναται παρὰ τοῦ Πατρὸς ὁ Κύριος, ἐν ἑαυτῷ ὢν ἀεὶ καὶ πρὸ τοῦ εἰπεῖν καὶ ὅτε ταύτην ἠφίει τὴν φωνήν. Ἀλλ' οὐδὲ θέμις εἰπεῖν πάλιν δειλιᾷν τὸν Κύριον, ὃν οἱ πυλωροὶ τοῦ ᾅδου πτύξαντες ἐξαφῆκαν τὸν ᾅδην. Καὶ τὰ μὲν μνήματα ἀνέῳγε, πολλὰ δὲ σώματα τῶν ἁγίων ἀνέστη. Ἰδοὺ λέγοντος αὐτοῦ, *Ἱνατί με ἐγκατέλειπες*; ἐδείκνυεν ὁ Πατὴρ, ὡς ἀεὶ καὶ τότε ἦν αὐτῷ. Ἡ γὰρ γῆ γινώσκουσα τὸν λαλοῦντα Δεσπότην εὐθὺς ἔτρεμε, καὶ τὸ καταπέτασμα ἐσχίζετο, ὁ ἥλιός τε ἐκρύπτετο, καὶ αἱ πέτραι διεῤῥήγνυντο. Καὶ τό γε θαυμαστὸν, ὅτι οἱ τότε παρόντες, καὶ ἀρνούμενοι αὐτὸν πρότερον, ὕστερον ταῦτα βλέποντες ὁμολογοῦσιν ἀληθῶς τοῦτον εἶναι Θεοῦ Υἱόν.

Περὶ δὲ τοῦ λέγειν αὐτόν· *Εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον*, μαθέτωσαν πῶς ὁ ταῦτα εἰρηκὼς ἐπετίμα τῷ Πέτρῳ λέγων· *Οὐ φρονεῖς τὰ τοῦ Θεοῦ*. Ἤθελε γὰρ ὃ παρῃτεῖτο, καὶ διὰ τοῦτο ἦν ἐλθών. Ἐπετίμα μὲν οὖν τῷ Πέτρῳ ὡς Θεὸς, παρῃτεῖτο δὲ τὸν θάνατον ὡς ἄνθρωπος. Εἶχε γὰρ δειλιῶσαν τὴν σάρκα, δι' ἣν συνεκέρα τὸ ἑαυτοῦ θέλημα τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ, ἵνα καὶ τοῦτο πάλιν ἀφανίσας, θαῤῥαλέον τὸν ἄνθρωπον πρὸς τὸν θάνατον κατασκευάσῃ. Ἰδοὺ γὰρ πρᾶγμα παράδοξον ἀληθῶς. Ὃν κατὰ δειλίαν λαλοῦντα νομίζουσιν οἱ χριστομάχοι, οὗτος τῇ νομιζομένῃ δειλίᾳ θαῤῥαλέους τοὺς ἀνθρώπους καὶ ἀφόβους κατασκευάζει. Οἱ γὰρ μακάριοι ἀπόστολοι μετ' αὐτὸν, καὶ οἱ ἄλλοι ἅγιοι μάρτυρες οὕτως ἐκ τῶν τοιούτων φωνῶν κατεφρόνουν τοῦ θανάτου, ὡς μᾶλλον νομίζειν εἰς τὴν ζωὴν μεταβαίνειν, ἢ θάνατον ὑπομένειν. Πῶς οὖν οὐκ ἄτοπον τῶν μὲν θεραπόντων τοῦ Λόγου θαυμάζειν τὴν ἀνδρίαν, αὐτὸν δὲ τὸν Λόγον λέγειν τε δειλιᾷν, δι' ὃν κἀκεῖνοι θανάτου κατεφρόνησαν; Ἐκ δὲ τῆς τῶν ἁγίων μαρτυρίας καρτερικωτάτης προθέσεως, καὶ ἀνδρίας δείκνυται, ὡς οὐκ ἦν ἡ θεότης δειλιῶσα, ἀλλὰ τὴν ἡμῶν δειλίαν ἦν ἀφαιρούμενος ὁ Σωτήρ. Ὡς γὰρ θανάτῳ τὸν θάνατον κατήργησε, καὶ ἀνθρωπίνως πάντα τὰ ἀνθρώπινα, οὕτω καὶ τῇ νομιζομένῃ δειλίᾳ τὴν ἡμῶν δειλίαν ἀφῃρεῖτο, καὶ πεποίηκε μηκέτι φοβεῖσθαι τοὺς ἀνθρώπους τὸν θάνατον. Ἔλεγεν οὖν ταῦτα, καὶ ἅμα ἐποίει. Ἀνθρώπινον μὲν γὰρ ἦν τὸ λέγειν· *Παρελθέτω τὸ ποτήριον*· καί· *Ἱνατί με ἐγκατέλειπες*; θεϊκῶς δὲ ὁ αὐτὸς ἐποίει τὸν ἥλιον ἐκλείπειν, καὶ τοὺς νεκροὺς ἐγείρεσθαι. Πάλιν τε λέγων ἀνθρωπίνως· *Νῦν ἡ ψυχή μου τετάρακται*, ἔλεγε θεϊκῶς· *Ἐξουσίαν ἔχω τὴν ψυχήν μου θεῖναι, καὶ πάλιν ἐξουσίαν ἔχω λαβεῖν αὐτήν*. Τὸ μὲν γὰρ ταράττεσθαι σαρκὸς ἴδιον ἦν, τὸ δὲ ἐξουσίαν ἔχειν θεῖναι καὶ λαβεῖν ὅτε βούλεται τὴν ψυχὴν, οὐκ ἔστι τοῦτο ἴδιον ἀνθρώπου, ἀλλὰ τῆς τοῦ Λόγου δυνάμεώς ἐστιν. Ἄνθρωπος γὰρ οὐ κατ' ἰδίαν ἐξουσίαν, ἀλλ' ἀνάγκῃ φύσεως καὶ μὴ θέλων ἀποθνήσκει. Ὁ δὲ Κύριος ἀθάνατος ὢν, σάρκα δὲ θνητὴν ἔχων, ἐπ' ἐξουσίας εἶχεν ὡς Θεὸς ἀπὸ τοῦ σώματος χωρισθῆναι, καὶ τοῦτο πάλιν ἀναλαβεῖν ὅτε βούλεται. Ἔπρεπε γὰρ φθαρτὴν οὖσαν τὴν σάρκα μηκέτι κατὰ τὴν ἑαυτῆς φύσιν μένειν θνητὴν, ἀλλὰ διὰ τὸν ἐνδυσάμενον αὐτὴν Λόγον ἄφθαρτον διαμένειν. Ὡς γὰρ αὐτὸς γενόμενος ἐν τῷ ἡμῶν σώματι τὰ ἡμῶν ἐμιμήσατο, οὕτως ἡμεῖς δεξάμενοι τοῦτον τῆς παρ' ἐκείνου μεταλαμβάνομεν ἀθανασίας. Μάτην τοίνυν σκανδαλίζεσθαι προσποιοῦνται, ὅτι περὶ τοῦ Λόγου γέγραπται· *Ἐταράχθη καὶ ἔκλαυσεν*. Ἐοίκασι γὰρ μηδὲ ἀνθρωπίνην αἴσθησιν ἔχειν, ἀγνοοῦντες τὴν τῶν ἀνθρώπων φύσιν καὶ τὰ τούτων ἴδια. Μᾶλλον γὰρ ἔδει θαυμάζειν, ὅτι ἐν τοιαῦτα πασχούσῃ σαρκὶ ἦν ὁ Λόγος, καὶ οὔτε ἐκώλυσε τοὺς ἐπιβουλεύοντας, οὔτε ἐξεδίκει κατὰ τῶν ἀναιρούντων, καίπερ δυνάμενος, ὁ ἄλλους κωλύσας ἀποθανεῖν, καὶ ἀποθανόντας ἐγείρας ἐκ τῶν νεκρῶν,

Jam quod pertinet ad illa verba : *Si fieri potest, transeat a me calix* [1], animadvertant, quomodo, qui hæc dixit, Petrum increpuerit, *Non capis*, inquiens, *quæ Dei sunt* [2]. Volebat suscipere id, quod deprecabatur, et idcirco venerat. Increpavit igitur Petrum ut Deus, deprecatus est mortem ut homo. Habebat enim carnem pavidam, propter quam cum humana imbecillitate voluntatem suam conjunxit, ut hanc item affectionem aboleret, hominemque ad oppetendam mortem strenuum et fortem efficeret. Attende enim rem novam et admirabilem. Quem timide loqui putant isti Christi hostes, is ea ipsa affectione, quam ipsi formidinem existimant, homines audentes et impavidos constituit. Nam beati post illum apostoli et alii sancti martyres propter has voces adeo mortem contempserunt, ut per eam se magis ad vitam transire, quam mortem subire existimarent. Quam absurdum igitur est, cum Verbi ministrorum fortitudinem admireris, Verbum ipsum timidum dicere, propter quod illi mortem non timuerunt ! Ex fortissimo igitur sanctorum martyrum proposito virtuteque constat divinitatem minime formidasse, sed formidinem nostram Servatorem abstulisse. Quemadmodum enim morte sua mortem destruxit, et humanitate sua reliquas humanas affectiones, sic et hoc qui metus dicitur, metum nostrum sustulit, effecitque, ne homines amplius mortem extimescerent. Dixit ille quidem, et fecit hæc. Nam sicut hominis fuit dicere : *Transeat calix ;* et : *Cur dereliquisti me?* sic Dei fuit efficere, ut sol ipse deficeret, et mortui redirent in vitam. Et qui dixit, ut homo : *Anima mea turbata est* [3], idem uti Deus dixit : *Potestatem habeo ponendi animam meam, et potestatem habeo iterum assumendi eam* [4]. Turbari enim est proprium carnis. Habere autem, quando vult, ponendi sumendique animam potestatem, non est amplius hominis proprium, sed ad Verbi potentiam pertinet. Homo enim non potestate sua, sed naturæ necessitate etiam nolens moritur. Dominus autem, qui immortalis est, et carnem gestabat mortalem, ut Deus potestatem habebat, ut se, cum vellet, et a corpore separaret, et corpus iterum sumeret. Decebat enim, ut caro mortalis et interitui obnoxia non jam ex natura sua maneret mortalis, sed propter Verbum, quod illam assumpserat, immortalis effecta nullum amplius interitum sentiret. Sicut enim corpore nostro quæ nostra sunt, imitabatur, sic nos ipsum suscipientes ab eo sumimus immortalitatem. Itaque frustra se dicunt offendi, cum audiunt de Verbo illa dici : Anima turbata est, flevit. Videntur enim humano sensu carere, et naturam hominum et affectiones eorum ignorare. Magis eos admirari oportebat, Verbum in carne, quæ talia patitur, esse, nec insidias struentes cohibuisse, neque interfectores ultum esse, cum tamen posset, quippe quod alios a mor-

[1] Matth. xxvi, 39. [2] Matth. xvi, 23. [3] Joan. xii, 27. [4] Ibid. x, 18.

te liberaret, et jam mortuos in vitam reduceret, sed proprium corpus pati permisisse. Ob id enim, ut ante diximus, venit, ut carne pateretur, et carnem redderet immortalem, et quod sæpe jam a nobis dictum est, ut ignominia et reliquis humanis affectionibus in se translatis, homines ab illis per ipsum deletis non vexarentur amplius, sed Dei templum in perpetuum manerent.

Ex eadem serie.

Improba profecto scelestaque res, ut videtur, est homo hæreticus, et instar illius feræ, quam in fabulis suis Græci hydram appellant, quæ prioribus serpentibus excisis, serpentes alios parit, et eorum objectu cum illis pugnat, qui priores obtruncaverunt. Sic hostes Dei, confutatis argumentis quibus se tanquam serpentibus defendebant, Judaicas et stultas alias quæstiones inveniunt, et, Esto, inquiunt, quando hæc sic interpretemini, et ratiocinationibus demonstrationibusque superatis, dicite, utrum consilio et voluntate genitus sit Filius a Patre. Hoc si quis eorum qui de religione Christiana recte sentiunt, quæreret, nihil esset suspicandum, recta enim mens, et sententia simpliciorem verborum expositionem superaret. Nunc autem cum ab hæreticis hæc quæstio proficiscatur, omnia autem hæreticorum verba suspecta sint, metuendum est, ne suam ipsorum impietatem ita disseminent. Idem enim dicit, qui quærit, consilione genitus sit Filius, ac si quæreret, utrum fuerit aliquando, cum non esset, aut utrum ex nihilo factus et creatus sit. Undenam enim, quove ex Scripturæ loco hæc promunt? nisi forte omissa Scriptura, Valentini malitiam imitantur. Ptolemæus enim Valentinianus, Duas, inquit, quod non est genitum, lances habet, cogitationem et voluntatem. Et primo cogitavit, deinde voluit. Et quæ cogitavit, efficere non potuit, nisi cum voluntatis potestas facta fuit. At hoc discentes Ariani voluntatem et consilium Verbo volunt anteire. Isti igitur æmulentur doctrinam Valentini, nos autem sacras versantes Scripturas invenimus de illo dici, ipsum esse, et solum esse, et esse in Patre, et esse Patris imaginem. De solis autem rebus procreatis, quæ quondam non erant, sed factæ sunt, consilium et voluntatem præcessisse legimus, cum in centesimo tertio decimo psalmo David ita canat: *Deus noster in cælo, et in terra, omnia quæcunque voluit fecit*[1], et in psalmo centesimo decimo: *Magna opera Domini exquisita in omnes voluntates ejus*[2]. Et rursum in psalmo centesimo tricesimo quarto: *Omnia quæcunque voluit Dominus fecit in cælo et in terra, in mari, et in omnibus abyssis*[3]. Quare si Verbum est opus, et res facta, et unum ex omnibus, dicatur et ipsum consilio factum. Sic enim ostendit Scriptura, res omnes esse factas. Asterius item ad hæresim confirmandam adjutor accedit, Si indignum est, inquiens, opifice Deo, ut volens faciat, in omnibus pariter rebus voluntas tollatur, quo dignitas ejus firma et

A ἀλλ' ἠνέσχετο πάσχειν τὸ ἴδιον σῶμα. Διὰ τοῦτο γὰρ καὶ ἐλήλυθεν, ὡς προεῖπον, ἵνα σαρκὶ πάθῃ, καὶ λοιπὸν ἀπαθὴς, καὶ ἀθάνατος ἡ σὰρξ κατασκευασθῇ, καὶ ἵνα, καθὼς πολλάκις εἴπομεν, ὡς εἰς αὐτὸν τῆς ὕβρεως, καὶ τῶν γινομένων φθανόντων, μηκέτι τῶν ἀνθρώπων ἅπτηται ταῦτα, ἀλλ' ἐξαφανισθῇ παντελῶς παρ' αὐτοῦ, καὶ λοιπὸν δι' αἰῶνος ὡς ναὸς Θεοῦ διαμείνωσι.

Τῆς αὐτῆς ἀκολουθίας.

Ἀλλ', ὡς ἔοικε, πονηρὸν ὁ αἱρετικὸς ἀληθῶς. Καὶ ὥσπερ ἡ λεγομένη παρὰ τοῖς Ἕλλησιν ἐν μύθοις ὕδρα τὸ θηρίον, ἀναιρουμένων τῶν προτέρων ὄφεων, ὤδινεν ἑτέρους ὄφεις, φιλονεικοῦσα πρὸς τὸν ἀναιροῦντα τῇ τῶν ἑτέρων προβολῇ, τὸν αὐτὸν τρόπον καὶ οἱ θεοστυγεῖς, ὥσπερ ὕδραι τὴν ψυχὴν
B πίπτοντες, ἐφ' οἷς προβάλλονται, ἄλλας ἐφευρίσκουσιν Ἰουδαϊκὰς καὶ μωρὰς ἐκζητήσεις, λέγοντες, Ἔστω ταῦτα οὕτως, ἑρμηνεύετε καὶ νικᾶτε τοῖς λογισμοῖς καὶ ταῖς ἀποδείξεσιν, ἀλλὰ δεῖ λέγειν βουλήσει καὶ θελήσει γεγενῆσθαι τὸν Υἱὸν ὑπὸ τοῦ Πατρός. Τοῦτο δὲ εἰ μέν τις τῶν ὀρθῶς πιστευόντων ἁπλούστερον ἔλεγεν, οὐδὲν ἦν ὑποπτεῦσαι περὶ τοῦ λεγομένου, νικώσης τῆς ὀρθοδόξου διανοίας τὴν ἁπλουστέραν τῶν ῥημάτων προφοράν· ἐπειδὴ δὲ παρ' αἱρετικῶν ἐστιν ἡ φωνὴ, ὕποπτα δὲ τῶν αἱρετικῶν τὰ ῥήματα, δέος μὴ τὴν ἑαυτῶν ἀσέβειαν ἄλλως ἐπισπείρωσι. Ταυτὸν γὰρ σημαίνει πάλιν ὁ λέγων, Βουλήσει γέγονεν Υἱὸς, καὶ ὁ λέγων Ἦν ποτε ὅτε οὐκ ἦν, καὶ ἐξ οὐκ ὄντων γέγονεν ὁ Υἱὸς, καὶ
C κτίσμα ἐστί. Πόθεν γὰρ, ἢ ἐκ ποίας Γραφῆς τὰ τοιαῦτα πάλιν προφέρουσιν, εἰ μὴ ἄρα τὰς Γραφὰς ἀφέντες, ὑποκρίνονται τὴν Οὐαλεντίνου κακόνοιαν; Πτολεμαῖος γὰρ ὁ Οὐαλεντίνου ἔφη δύο ζυγοὺς ἔχειν τὸν ἀγέννητον, ἔννοιαν καὶ θέλησιν· καὶ πρῶτον ἐνενόησεν, εἶτα ἠθέλησε. Καὶ ἅπερ ἐνενόει οὐκ ἠδύνατο παραγαγεῖν, εἰ μὴ ὅτε καὶ ἡ τοῦ θελήματος δύναμις ἐγένετο. Ὅθεν καὶ οἱ Ἀρειανοὶ μαθόντες, θέλημα καὶ βούλησιν προηγεῖσθαι θέλουσι τοῦ Λόγου. Ἐκεῖνοι μὲν οὖν τὰ Οὐαλεντίνου ζηλούτωσαν, ἡμεῖς δὲ οἱ ἐντυγχάνοντες τοῖς θείοις λόγοις ἐπὶ μὲν τοῦ Υἱοῦ τὸ *ἦν* εὕρομεν, καὶ αὐτὸν μόνον ἠκούσαμεν ὄντα καὶ ἐν τῷ Πατρὶ, καὶ εἰκόνα τοῦ Πατρός. Ἐπὶ δὲ μόνων τῶν γενητῶν, ἐπεὶ καὶ τῇ φύσει οὐκ ἦν ποτε ταῦτα, ἀλλ' ἐπιγέγονε, προηγουμένην καὶ βούλησιν
D καὶ θέλησιν ἀνέγνωμεν, τοῦ μὲν Δαβὶδ ψάλλοντος ἐν τῷ ριγ' ψαλμῷ οὕτως· *Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησεν*. Ἐν δὲ τῷ ρι'· *Μεγάλα τὰ ἔργα Κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ*. Καὶ πάλιν ἐν τῷ ρλδ'· *Πάντα ὅσα ἠθέλησεν ὁ Κύριος ἐποίησεν ἐν τῷ οὐρανῷ, καὶ τῇ γῇ, καὶ ἐν ταῖς θαλάσσαις, καὶ ἐν πάσαις ταῖς ἀβύσσοις*. Εἰ μὲν οὖν ἔργον, καὶ ποίημα καὶ εἷς τῶν πάντων ἐστὶ, λεγέσθω καὶ αὐτὸς βουλήσει γιγνόμενος. Οὕτω γὰρ ἔδειξεν ἡ Γραφὴ τὰ ποιήματα γίνεσθαι. Καὶ Ἀστέριος δὲ ὁ συνήγορος τῆς αἱρέσεως τούτῳ συντιθέμενος οὕτω γράφει· Εἴτε γὰρ ἀνάξιον τοῦ δημιουργοῦ τὸ θέλοντα ποιεῖν, ἐπὶ πάν-

[1] Psal. CXIII, 3. [2] Psal. CX, 2. [3] Psal. CXXXIV, 6.

των ὁμοίως ἀνῃρήσθω τὸ θέλειν, ἵνα ἀκέραιον αὐτῷ A σώζηται τὸ ἀξίωμα. Εἰ δὲ προσῆκον τῷ Θεῷ τὸ βούλεσθαι, καὶ ἐπὶ τῷ πρώτῳ γεννήματι ὑπαρχέτω. Οὐ γὰρ δὴ δυνατὸν ἑνί τε καὶ τῷ αὐτῷ Θεῷ τὸ θέλειν ἐπὶ τῶν ποιουμένων ἁρμόττειν, καὶ τὸ μὴ βούλεσθαι προσήκειν. Πλείστην ὅσην ἀσέβειαν ἐν τοῖς ῥήμασιν αὐτοῦ συνθεὶς ὁ σοφιστὴς, ὅτι τὸ ποίημα, καὶ τὸ γέννημα ταυτόν ἐστι, καὶ εἷς ἐκ πάντων τῶν γεννημάτων ἐστὶν ὁ Υἱός. Εἰ δὲ ἄλλος ἐστὶ τῶν πάντων, ὥσπερ οὖν ἐν τοῖς πρὸ τούτων ἐδείχθη, καὶ μᾶλλον τὰ ἔργα δι' αὐτοῦ γέγονε, μὴ λεγέσθω βουλήσει, ἵνα μὴ καὶ αὐτὸς οὕτω γίνηται, ὥσπερ καὶ τὰ δι' αὐτοῦ γενόμενα συνέστη. Καὶ γὰρ ὁ μὲν Παῦλος οὐκ ὢν πρότερον, ὕστερον ὅμως διὰ θελήματος Θεοῦ ἀπόστολος γέγονεν, ἡ δὲ κλῆσις ἡμῶν ὥς ποτε καὶ αὐτὴ μὴ οὖσα, νῦν δὲ ἐπιγενομένη προηγουμένην ἔχει B βούλησιν. Καὶ ὡς αὐτὸς πάλιν ὁ Παῦλός φησι· *Κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ γέγονε*. Τό τε διὰ Μωσέως λεγόμενον· *Γενηθήτω φῶς*, καί· *Ἐξαγαγέτω ἡ γῆ*, καί· *Ποιήσωμεν ἄνθρωπον*, ἡγοῦμαι, καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηται τῆς βουλήσεως τοῦ ποιοῦντος τοῦτο εἶναι σημαντικόν. Τὰ μὲν γὰρ μὴ ὄντα ποτὲ, ἀλλ' ἔξωθεν ἐπιγινόμενα ὁ δημιουργὸς βούλεται ποιῆσαι. Τὸν δὲ ἴδιον Λόγον ἐξ ἑαυτοῦ φύσει γεννῶν οὐ προβουλεύεται. Ἐν τούτῳ γὰρ ὁ Πατὴρ τὰ ὅλα ὅσα βούλεται ποιεῖ καὶ δημιουργεῖ, καθὼς Ἰάκωβος ὁ ἀπόστολος διδάσκων ἔλεγε· *Βουληθεὶς ἀπεκύησεν ἡμᾶς Λόγῳ ἀληθείας*. Καταισχυνθέντες οὖν ἐπὶ τὸ λέγειν ποίημα, καὶ κτίσμα, καὶ, Οὐκ ἦν πρὶν γεννηθῇ ὁ τοῦ Θεοῦ Λόγος, ἄλλως πάλιν κτίσμα C λέγουσιν αὐτὸν εἶναι, βούλησιν προβαλλόμενοι καὶ λέγοντες, Εἰ μὴ βουλήσει γέγονεν, οὐκοῦν ἀνάγκῃ, καὶ μὴ θέλων ἔσχεν ὁ Θεὸς Υἱόν. Καὶ τίς ὁ τὴν ἀνάγκην ἐπιβαλὼν αὐτῷ, πονηρότατοι, καὶ πάντα πρὸς τὴν αἵρεσιν ἑαυτῶν ἕλκοντες; Τὸ μὲν γὰρ ἀντικείμενον τῇ βουλήσει ἑωράκασι, τὸ δὲ μεῖζον καὶ ὑπερκείμενον οὐ τεθεωρήκασιν. Ὥσπερ γὰρ ἀντίκειται τῇ βουλήσει τὸ παρὰ γνώμην, οὕτως ὑπέρκειται, καὶ προηγεῖται τοῦ βούλεσθαι τὸ κατὰ φύσιν. Οἰκίαν γοῦν τις βουλόμενος κατασκευάζει, υἱὸν δὲ γεννᾷ κατὰ φύσιν, καὶ τὸ μὲν βουλήσει κατασκευαζόμενον ἤρξατο γίνεσθαι, καὶ ἔξωθέν ἐστι τοῦ ποιοῦντος. Ὁ δὲ Υἱὸς ἴδιόν ἐστι τῆς οὐσίας τοῦ Πατρὸς γέννημα, καὶ οὐκ ἔστιν ἔξωθεν αὐτοῦ. Διὸ οὐδὲ βούλεται περὶ αὐτοῦ, ἵνα μηδὲ περὶ ἑαυτοῦ δοκῇ βουλεύεσθαι. Ὅσῳ D οὖν τοῦ κτίσματος ὁ Υἱὸς ὑπέρκειται τοσούτῳ καὶ τῆς βουλήσεως τὸ κατὰ φύσιν. Καὶ ἔδει αὐτοὺς ἀκούοντας οὐ βουλήσει λογίζεσθαι τὸ κατὰ φύσιν. Οἱ δὲ ἐπιλανθανόμενοι, ὅτι περὶ υἱοῦ Θεοῦ ἀκούουσι, τολμῶσιν ἀνθρωπίνας ἀντιθέσεις λέγειν ἐπὶ Θεοῦ, ἀνάγκη καὶ παρὰ γνώμην, ἵνα τὸ εἶναι Υἱὸν ἀληθινὸν ἀρνήσωνται τοῦ Θεοῦ, ἐπεὶ εἰπάτωσαν ἡμῖν αὐτοὶ, τὸ ἀγαθὸν εἶναι καὶ οἰκτίρμονα τὸν Θεὸν ἐκ βουλήσεως πρόσεστιν αὐτῷ, ἢ οὐ βουλήσει; Εἰ μὲν οὖν ἐκ βουλήσεως, σκοπεῖν δεῖ, ὅτι ἤρξατο μὲν εἶναι ἀγαθὸς, καὶ τὸ μὴ εἶναι δὲ αὐτὸν ἀγαθὸν ἐνδεχόμενόν ἐστι· τὸ γὰρ βουλεύεσθαι καὶ προαιρεῖσθαι

integra conservetur. Quod si voluntas in Deo non est indecora, in primo etiam germine adhibeatur. Neque enim fieri potest, ut in uno eodemque Deo in rebus faciendis, et velle simul deceat et nolle. Quam potest maximam impietatem sophista verbis suis componit, Idemque vult esse quod genitum est, et quod factum est, et unam ex rebus, quæ factæ sunt, vult esse Filium. Verum ab omnibus diversus est, quemadmodum in superioribus demonstravimus: *Et omnia per ipsum facta sunt* [1]; quare nec dicatur consilio, ne ipse quoque ita factus ostendatur, ut illa, quæ per ipsum facta sunt, constiterunt. Nam Paulus quidem, qui prius non erat, postea per voluntatem Dei apostolus factus est. Et vocatio nostra, ut quæ olim et ipsa non erat, nunc autem est, Dei consilium est consecuta, et ut ipse Apostolus rursum ait: *Secundum propositum voluntatis suæ* [2]. Et illud, quod a Mose scriptum est: *Fiat lux*; et, *Producat terra*; et, *Faciamus hominem* [3], arbitror, ut ante dictum est, significare facientis voluntatem. Quæ enim antea non erant, sed extrinsecus facta sunt, ea vult facere procreator Deus. In Verbo autem proprio, quod ex se natura gignit, non præcedit voluntas. In hoc enim Pater alia omnia, quæ vult, facit et creat, ut apostolus Jacobus docet, *Genuit*, inquiens, *vos volens Verbo veritatis suæ* [4]. Præ pudore igitur confusi, nec audentes dicere, Dei Verbum factum et creatum esse, et aliquando non fuisse, aliam rationem inveniunt, qua creatum esse dicant. Voluntatem enim præponunt, et, Nisi voluntate, inquiunt, genitus est, necessitate ergo et invitus habet Filium Deus. Ecquis illi, homines scelestissimi, qui ad hæresim vestram omnia trahitis, necessitatem attulit? Quid enim voluntati contrarium sit, viderunt, quid autem ea sit majus et prius, non animadverterunt. Sicut enim opponitur voluntati id quod præter sententiam volentis est, sic id, quod natura est, voluntatem antecedit. Voluntate aliquis domum ædificat, natura filium gignit. Et quod voluntate fit, cœpit fieri, et extra facientem est. Filius autem essentiæ Patris proprium est germen, et non est extra ipsum. Quamobrem de ipso non consulit sicut nec de se quidem videtur consulere. Quanto igitur re procreata Filius superior est, tanto id, quod natura est, voluntatem anteit. Isti autem, obliti se loqui de Filio Dei, audent humanas illas oppositiones de Deo dicere, necessitatem, et præter sententiam, ut negent esse verum Filium Dei. Nam et ipsi nobis respondeant, utrum Deo adsit ex voluntate ut sit bonus et misericors, necne. Si ex voluntate, sequitur, eum cœpisse bonum esse, atque ita fieri poterit ut ipse non sit bonus. Consulere enim et eligere licet in utramque partem, et naturæ cogitantis et ratiocinantis proprium est. Sin autem, nec absurdum hoc consequatur, non ex voluntate bonus est, audiant id, quod ipsi dixerunt, Neces-

[1] Joan. I, 3. [2] Ephes. I, 5. [3] Gen. I, 3, 25, 26. [4] Jac. I, 18.

sitate et invitus est bonus. Ecquis autem illi necessitatem injecit? Quod si absurdissimum est, in Deo esse necessitatem dicere, et propterea confitendum est, esse naturæ bonum, multo magis et verius dicendum est, eum natura, non voluntate esse Filii Patrem. Illud præterea nobis respondeant; volo enim eos pro audacia ipsorum interrogare, quæ quidem interrogatio licet liberior sit, ad pietatem tamen spectabit. Propitius esto, Deus. Respondeant igitur, utrum Pater ipse prius consuluerit, deinde voluerit, post autem fuerit, an priusquam consuluerit sit. Oportet enim, ut cum de Verbo talia audeant loqui, similia item de Patre audiant, ut sciant, istam ipsorum petulantiam ad Patrem quoque pervenire. Si dixerint, et ipsum Patrem ex consultatione et voluntate esse, quid erat antequam consuluit, aut quid amplius habuit posteaquam consuluit? Quod si ejusmodi interrogatio absurda est, et nequit consistere, et hæc dicere omnino nefas est, cum satis sit, id nos audire, et scire, et intelligere de Deo, nempe ipsum esse illum, qui est, nonne absurdum est etiam de Verbo Dei sic cogitare, et consilium ei ac voluntatem anteponere? Satis enim est item de Verbo illud scire, et intelligere, nempe ipsum non ex consultatione et voluntate Deum esse, sed natura proprium esse Verbum Patris. Quod quidem Verbum cum sit, consilium et voluntas Patris ipsius, quomodo potest consilio et voluntate ejus gigni? nisi, ut ante dixi, Verbum gigni per seipsum aut per alterum Verbum asserant homines insani. Quod si confinxerint, et alterum illud gigni rursum per aliquod aliud Verbum necesse erit. Atque ita multiceps impiorum hæresis deprehendetur stulte in immensam deorum multitudinem incidere, dum Filium creatum et ex nihilo factum esse, novis utentes vocibus, eique consilium et voluntatem præponentes conantur ostendere. Nonne impium est, ea quæ rerum procreatarum sunt, in procuratorem transferre? Nonne detestabile et exsecrandum est dicere, consilium et voluntatem esse ante Verbum in Patre? Si enim voluntas in Patre præcedit, haud vera loquitur Filius, *Ego*, inquiens, *in Patre*, aut etiamsi ipse quoque in Patre est, posterior tamen existimabitur, cum voluntas in qua omnia facta sunt, antecedat, et ipse post, ut vos putatis, exsistat. Licet enim gloria præstet, tamen unum erit ex iis quæ voluntate facta sunt. At homines nefarii nolunt, Verbum et consilium vivens esse Filium, sed prudentiam et consilium et sapientiam, ut habitus quosdam, qui inesse abesseque possint, humano more Deo inhærere comminiscuntur, et omnia movent, et Valentini notionem et voluntatem ideo præponunt, ut Filium a Patre dividant, eumque non proprium Patris Verbum, sed creatum esse dicant. Apostolus autem non voluntatis, sed essentiæ paternæ proprium splendorem et figuram Dominum esse prædicat, *Qui cum sit*, inquiens, *splendor gloriæ*,

A εἰς ἑκάτερα τὴν ῥοπὴν ἔχει, καὶ λογικῆς φύσεώς ἐστι τὸ πάθος τοῦτο· εἰ δὲ διὰ τὸ ἐκ τούτων ἄτοπον οὐκ ἐκ βουλήσεως οἰκτίρμων καὶ ἀγαθός ἐστιν, ἀκουέτωσαν ἅπερ εἰρήκασιν αὐτοί· Οὐκοῦν ἀνάγκῃ, καὶ μὴ θέλων ἀγαθός ἐστι. Καὶ τίς ὁ τὴν ἀνάγκην ἐπιβαλὼν αὐτῷ; Εἰ δὲ ἄλογόν ἐστι λέγειν ἐπὶ Θεοῦ ἀνάγκην, καὶ διὰ τοῦτο φύσει ἀγαθός ἐστιν, εἴη ἂν πολλῷ μᾶλλον καὶ ἀληθέστερον τοῦ Υἱοῦ φύσει, καὶ οὐκ ἐκ βουλήσεως Πατήρ. Εἰπάτωσαν δὲ ἡμῖν καὶ τοῦτό πάλιν. Πρὸς γὰρ τὴν ἀναισχυντίαν αὐτῶν ἐρώτησιν αὐτοῖς ἐπάγειν ἔτι βούλομαι τολμηροτέραν μὲν, βλέπουσαν δὲ ὅμως εἰς εὐσέβειαν. Ἱλάσθητι, Δέσποτα. Ὁ Πατὴρ αὐτὸς βουλευσάμενος πρότερον, εἶτα θελήσας, οὕτως ὑπάρχει, ἢ καὶ πρὸ τοῦ βουλεύσασθαι; χρὴ γὰρ περὶ τοῦ Λόγου τοιαῦτα τολ- B μῶντας αὐτοὺς, τοιαῦτα καὶ περὶ τοῦ Πατρὸς ἀκούειν, ἵνα γνῶσιν, ὅτι ἡ τοιαύτη αὐτῶν προπέτεια καὶ εἰς αὐτὸν τὸν Πατέρα φθάνει. Ἐὰν μὲν οὖν εἴπωσιν, ὅτι καὶ αὐτὸς ἐκ βουλήσεως, τί ἦν πρὸ τοῦ βουλεύσασθαι, ἢ τί πλέον ἔσχεν, ὡς ὑμεῖς λέγετε, μετὰ τὸ βουλεύσασθαι; Εἰ δὲ ἄτοπος καὶ ἀσύστατός ἐστιν ἡ τοιαύτη ἐρώτησις, καὶ οὐ θέμις ὅλως τοιαῦτα λέγειν (ἀρκεῖ γὰρ καὶ μόνον ἀκούοντας ἡμᾶς περὶ Θεοῦ εἰδέναι, καὶ νοεῖν, ὅτι αὐτός ἐστιν ὁ ὤν), πῶς οὐκ ἄλογον ἂν εἴη καὶ περὶ τοῦ Θεοῦ Λόγου τοιαῦτα ἐνθυμεῖσθαι, καὶ βούλησιν καὶ θέλησιν προβάλλεσθαι; Ἀρκεῖ γὰρ περὶ τοῦ Λόγου εἰδέναι καὶ νοεῖν, ὅτι ὁ μὴ ἐκ βουλήσεως ὑπάρχων Θεὸς οὐ βουλήσει, ἀλλὰ φύσει τὸν ἴδιον ἔχει Λόγον. Πῶς οὖν C βουλὴ καὶ θέλημα τοῦ Πατρὸς ὑπάρχων ὁ Λόγος δύναται γίνεσθαι καὶ αὐτὸς βουλήματι καὶ θελήσει; ἐκτὸς εἰ μὴ, καθὰ προεῖπον, μανέντες πάλιν εἴπωσιν αὐτὸν δι' ἑαυτοῦ γεγονέναι, ἢ δι' ἑτέρου τινός. Ἀλλὰ κἂν πλάσσωνται, πάντως κἀκεῖνος διά τινος γίνεται. Καὶ λοιπὸν οὕτως ἐπιλογιζομένων ἡμῶν, καὶ ἀνακρινόντων τὴν ἀλήθειαν, εὑρίσκεται τῶν ἀθέων ἡ πολυκέφαλος αἵρεσις εἰς πολυθεότητα πίπτουσα καὶ ἄμετρον μανίαν, ἐν ᾗ κτίσμα καὶ ἐξ οὐκ ὄντων θέλοντες εἶναι τὸν Υἱὸν, ἑτέρως τὰ αὐτὰ σημαίνουσι, βούλησιν καὶ θέλησιν προβαλλόμενοι. Πῶς οὖν οὐκ ἀσεβὲς τὰ τῶν γενητῶν ἐπὶ τὸν Δημιουργὸν μεταφέρειν; Ἢ πῶς οὐ βλάσφημον λέγειν βούλησιν πρὸ τοῦ Λόγου εἶναι ἐν τῷ Πατρί; Εἰ γὰρ προηγεῖται βούλησις ἐν τῷ Πατρὶ, οὐκ ἀληθεύει λέγων ὁ Υἱός· D *Ἐγὼ ἐν τῷ Πατρί*. Ἢ εἰ καὶ αὐτὸς ἐν τῷ Πατρί ἐστιν, ἀλλὰ δεύτερον λογισθήσεται, οὔσης βουλήσεως πρὸ αὐτοῦ, ἐν ᾗ πάντα γέγονε, καὶ αὐτὸς ὑπέστη καθ' ὑμᾶς. Κἂν γὰρ τῇ δόξῃ διαφέρῃ, ἀλλ' οὐδὲν ἧττόν ἐστιν εἷς τῶν ἐκ βουλήσεως γινομένων. Ἀλλ' οἱ ἀσεβεῖς οὐ θέλουσι μὲν Λόγον καὶ βουλὴν ζῶσαν εἶναι τὸν Υἱὸν, περὶ δὲ τὸν Θεὸν φρόνησιν, καὶ βούλησιν, καὶ σοφίαν, ὡς ἕξιν συμβαίνουσαν, καὶ ἀποσυμβαίνουσαν ἀνθρωπίνως γίνεσθαι μυθολογοῦσι, καὶ πάντα κινοῦσι, καὶ τὴν Οὐαλεντίνου ἔννοιαν καὶ θέλησιν προβάλλονται, ἵνα μόνον διαστήσωσι τὸν Υἱὸν ἀπὸ τοῦ Πατρὸς, καὶ μὴ εἴπωσιν ἴδιον αὐτὸν τοῦ Πατρὸς εἶναι Λόγον, ἀλλὰ κτίσμα· καὶ γὰρ ὁ Ἀπόστολος οὐ βουλήσεως, ἀλλ' αὐτῆς τῆς οὐσίας τῆς πατρικῆς ἴδιον ἀπαύγασμα καὶ χαρακτῆρα τὸν

Χριστὸν κηρύττει λέγων, *Ὃς ὢν ἀπαύγασμα τῆς* A *δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ*. Εἰ δὲ, ὡς προεῖπον, οὐκ ἐκ βουλήσεώς ἐστιν ἡ πατρικὴ οὐσία, καὶ ὑπόστασις, εὔδηλον ὡς οὐδὲ τὸ ἴδιον τῆς πατρικῆς ὑποστάσεως ἐκ βουλήσεως ἂν εἴη. Ὁποία γὰρ ἂν ᾖ ἡ μακαρία ἐκείνη ὑπόστασις, τοιοῦτον εἶναι καὶ τὸ ἐξ αὐτῆς γέννημα δεῖ. Καὶ αὐτὸς γοῦν ὁ Πατὴρ οὐκ εἶπεν, Οὗτός ἐστιν ὁ βουλήσει μου γεγονὼς υἱὸς, οὐδὲ ὃν κατ' εὐδοκίαν ἔχω, ἀλλ' ἁπλῶς, *Υἱός μου*, καὶ μᾶλλον *ἐν ᾧ εὐδόκησα*, δεικνὺς ἐκ τούτων, ὅτι Φύσει μου οὗτός ἐστιν ὁ Υἱός. Ἐν αὐτῷ δὲ τῶν ἐμοὶ δοκούντων ἡ βούλησις ἀπόκειται. Ἆρ' οὖν ἐπεὶ φύσει, καὶ μὴ ἐκ βουλήσεώς ἐστιν ὁ Υἱὸς, ἤδη καὶ ἀθέλητός ἐστι τῷ Πατρὶ, καὶ μὴ βουλομένου τοῦ Πατρὸς, ἐστὶν ὁ Υἱός; Οὐμενοῦν, ἀλλὰ καὶ βουλόμενός ἐστιν ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς, καὶ, ὡς B αὐτός φησιν ὁ Πατὴρ, φιλεῖ τὸν Υἱὸν, καὶ πάντα δείκνυσιν αὐτῷ. Ὡς γὰρ τοῦ εἶναι ἀγαθὸς οὐκ ἐκ βουλήσεως μὲν ἤρξατο, οὐ μὴν ἀβουλήτως, καὶ ἀθελήτως ἐστὶν ἀγαθός· ὃ γάρ ἐστι, τοῦτο καὶ θελητὸν αὐτῷ ἐστιν· οὕτω καὶ τὸ εἶναι τὸν Υἱὸν, εἰ καὶ μὴ ἐκ βουλήσεως ἤρξατο, ἀλλ' οὐκ ἀθέλητον, οὐδὲ παρὰ γνώμην ἐστὶν αὐτῷ. Ὥσπερ γὰρ τῆς ὑποστάσεως τῆς ἰδίας ἐστὶ θελητὴς, οὕτω καὶ ὁ Υἱὸς ἴδιος ὢν αὐτοῦ τῆς οὐσίας οὐκ ἀθέλητός ἐστιν αὐτῷ. Θελέσθω, καὶ φιλείσθω τοίνυν ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς, καὶ οὕτω τὸ θέλειν, καὶ τὸ μὴ ἀβούλητον τοῦ Θεοῦ τις εὐσεβῶς λογιζέσθω. Καὶ γὰρ ὁ Υἱὸς τῇ θελήσει, ᾗ θέλεται παρὰ τοῦ Πατρὸς, ταύτῃ καὶ αὐτὸς ἀγαπᾷ, καὶ θέλει, καὶ τιμᾷ τὸν Πατέρα, καὶ ἕν ἐστι C θέλημα τὸ ἐκ τοῦ Πατρὸς ἐν Υἱῷ, ὡς καὶ ἐκ τούτου θεωρεῖσθαι τὸν Υἱὸν ἐν τῷ Πατρὶ, καὶ τὸν Πατέρα ἐν τῷ Υἱῷ. Μὴ μέντοι κατὰ Οὐαλεντῖνον προηγουμένην τὴν βούλησιν ἐπεισαγέτω. Μαίνοιτο γὰρ ἂν τις μεταξὺ τιθεὶς Πατρὸς καὶ Υἱοῦ βούλησιν, καὶ θέλησιν, καὶ σκέψιν. Καὶ γὰρ ἕτερόν ἐστι λέγειν βουλήσει γέγονεν, ἕτερον δὲ, ὅτι ἴδιον ὄντα φύσει τὸν Υἱὸν αὐτοῦ ἀγαπᾷ, καὶ θέλει αὐτόν. Τὸ μὲν γὰρ λέγειν, Ἐκ βουλήσεως γέγονε, πρῶτον μὲν τὸ μὴ εἶναί ποτε τοῦτον σημαίνει· ἔπειτα δὲ καὶ τὴν ἐπ' ἄμφω ῥοπὴν ἔχει, καθάπερ εἴρηται, ὥστε δύνασθαί τινα νοεῖν, ὅτι ἠδύνατο καὶ μὴ βούλεσθαι τὸν Υἱόν. Ἐπὶ τοῦ Υἱοῦ δὲ λέγειν, ὅτι ἠδύνατο καὶ μὴ εἶναι, δυσσεβές ἐστι, καὶ φθάνον εἰς τὴν τοῦ Πατρὸς οὐσίαν τὸ τόλμημα, εἴγε λέγοιτο, Ἠδύνατο μὴ εἶναι ἀγαθὸς ὁ Πατήρ. Ἀλλ' ὥσπερ ἀγαθὸς ἀεὶ καὶ τῇ φύσει, D οὕτως ἀεὶ καὶ τῇ φύσει γεννητικὸς ὁ Πατήρ. Τὸ δὲ Ὁ Πατὴρ θέλει τὸν Υἱὸν, καὶ ὁ Λόγος θέλει τὸν Πατέρα, οὐ βούλησιν προηγουμένην δείκνυσιν, ἀλλὰ φύσεως γνησιότητα, καὶ οὐσίας ἰδιότητα, καὶ ὁμοιώσεως γνώρισμα.

Ἐκ τῆς ἐπιστολῆς τῆς περὶ τῶν γενομένων ἐν τῇ Ἀριμήνῳ τῆς Ἰταλίας, καὶ ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας Συνόδου

Ἐπειδὴ δὲ οὕτως αὐτοὶ πρός τε ἑαυτοὺς, καὶ πρὸς τοὺς πρὸ ἑαυτῶν διετέθησαν, φέρε λοιπὸν ἡμεῖς, ἐξετάσαντες, μάθωμεν παρ' αὐτῶν, ποῖον ἄτοπον θεωρήσαντες, ἢ τίνα λέξιν αἰτιώμενοι τῶν ἐγγε-

et figura substantiæ ejus[1]. Quod si paterna essentia atque substantia, ut ante diximus, non est a voluntate, constat, ne id quidem, quod est paternæ substantiæ proprium, a voluntate esse. Qualis enim est beata illa substantia, tale esse oportet et proprium ipsius germen. Quamobrem et ipse Pater non dixit: Hic est voluntate genitus Filius, nec quem ex beneplacito Filium habui, sed simpliciter: *Filius meus, et in quo bene placui*[2]. Quibus verbis ostendit eum esse natura Filium, in quo voluntas eorum, quæ sibi probantur, sita sit. Num igitur quia natura Filius est, non autem ex voluntate, ideo Patri non est voluntarius? aut nolentis Patris est Filius? Minime vero, sed et volenti Patri Filius est, et Pater, ut ipse quidem ait, diligit Filium et omnia ostendit ei[3]. Quemadmodum enim ut bonus sit Deus non ex voluntate cœpit, nec tamen invitus et præter voluntatem est bonus. Quod enim illi est, voluntarium est, sicut ut Filius sit, quanquam a voluntate non est, non tamen contra voluntatem et sententiam ejus est. Ut enim propriam essentiam habet volens, sic et Filius, qui est ejus essentiæ proprius, ipsi volenti, non autem invito est. Velit igitur ac diligat Filium Pater, ita tamen, ut pie ipsum velle, et non invitum interpreteris. Nam qua voluntate Pater Filium vult, eadem voluntate Filius vult, et diligit, et colit Patrem. Et una est voluntas ex Patre in Filio. Ut ex hac item perspicuum sit, Filium in Patre esse, et Patrem in Filio. Cave tamen, ne ex Valentini sententia voluntatem putes antecedere. Insanit enim quisquis inter Patrem et Filium voluntatem, et consilium, et considerationem interponit. Aliud enim est dicere, voluntate genitus est, et aliud Pater Filium proprium suum natura exsistentem diligit, et vult. Nam illud quidem voluntate et consilio genitum esse primum significat eum aliquando non exstitisse. Deinde, quemadmodum dictum est, in utramque partem propensionem ostendit, ut aliquis dicere queat, Patrem potuisse Filium etiam nolle. Quæ quidem impia audacia cum Filium potuisse non esse dicat ad Patris essentiam pervenit, et idem de Patre constituit, non aliter ac si dicat, Patrem potuisse non esse bonum. Quemadmodum ergo semper et natura bonus Pater, ita semper et natura Filium gignit. Quod autem Pater Filium velit, et Verbum velit Patrem, hoc non antecedens consilium aut voluntatem ostendit, sed veram naturæ rationem, et essentiæ proprietatem similitudinemque significat.

Ex epistola, qua res in conciliis tum Arimini, quod est Italiæ oppidum, tum Seleuciæ, quod est oppidum Isauriæ celebratis, gestæ continentur.

Cæterum, quando ipsi erga se mutuo et erga majores suos sic affecti sunt, age jam sciscitemur illos, ut ediscamus quam in scriptis illis absurditatem aut quam vitiosam sententiam conspicati,

[1] Hebr. I, 3. [2] Matth. XVII, 5. [3] Joan. III, 35.

Patribus inobsequentes sunt, et adversus œcumenicam synodum decertant? Hæ voces, aiunt, « ex substantia, » et, « consubstantiale, » nobis minime placent, quibusdam enim offendiculo fuere, plurimos conturbarunt. Illi igitur scriptis suis ita sunt locuti. Verum sic quispiam illis occurrat: Si ergo hæc verba per se illis offensionis causa fuere, non solum quosdam offendi, ac plurimos turbari oportuit, sed et nos aliosque universos eodem affectos esse modo par fuit. Quod si universi has voces amplectuntur: si qui illa scripsere, non vulgares homines, sed ex toto orbe coacti sunt; si qui jam Ariminum convenere episcopi plus quadringentis ea testimonio suo comprobant; nonne qui adversus synodum hæc effutiunt hinc arguuntur, non verba quidem culpanda esse, sed eorum qui hæc prave interpretantur malitiam? Quam multi sunt, qui divinis Scripturis maligne lectis ac prave intellectis, sanctos hinc insimulant! cujusmodi fuere olim Judæi, qui Dominum non receperunt, et jam Manichæi qui in legem blasphemant; cujus sane rei, non Scripturæ, sed ipsorum perversitas causa fuit. Si itaque verborum pravitatem ostendere potestis, agite, demonstrandi ratio ineatur; nec objiciatis nobis hæc nonnullis offensioni esse, ne idem vobis, quod tunc Pharisæis, accidat. Etenim cum illi sese simularent de doctrina Domini offendi, ait Dominus illis: « Omnis plantatio quam non plantavit Pater meus cœlestis, eradicabitur [1]. » His autem verbis ostendit, non Patris verba a se « plantata, » sed pravam suam recte dictorum interpretationem, offendiculo illis fuisse. Nam ii qui olim Apostoli epistolas culpabant, non Pauli, sed ipsorum ignorantiam, et perversum animum palam fecere.

A γραμμένων, ἀπειθεῖς μὲν γονεῦσι γεγόνασι, διαμάχονται δὲ πρὸς οἰκουμενικὴν σύνοδον; Τὸ « ἐκ τῆς οὐσίας, » φησὶ, καὶ τὸ « ὁμοούσιον » οὐκ ἤρεσεν ἡμῖν. Ταῦτα γάρ τινας ἐσκανδάλισε καὶ πολλοὺς ἐθορύβησεν. Ἐκεῖνοι μὲν οὖν οὕτω γράφοντες εἰρήκασιν· ἀπαντήσειε δ' ἄν τις αὐτοῖς εὐλόγως οὕτως· Εἰ μὲν οὖν αὐτὰ τὰ ῥήματα καθ' ἑαυτὰ τυγχάνει ὄντα αἴτια τούτοις εἰς σκάνδαλον, ἔδει μή τινας σκανδαλίζεσθαι, μηδὲ πολλοὺς θορυβεῖσθαι, ἀλλὰ καὶ ἡμᾶς καὶ τοὺς ἄλλους πάντας ταυτὸν ἐκείνοις πάσχειν ἐξ αὐτῶν· εἰ δὲ οἱ μὲν πάντες ἀγαπῶσι τὰ ῥήματα, οἱ δὲ ταῦτα γράψαντες οὐχ οἱ τυχόντες, ἀλλ' οἱ ἐκ πάσης τῆς οἰκουμένης συνελθόντες εἰσὶ, καὶ τούτοις ἐπιμαρτυροῦσιν οἱ νῦν ἐν τῇ Ἀριμήνῳ συνελθόντες ἐπίσκοποι υ' καὶ πλείους· πῶς οὐκ ἄντικρυς B ἐλέγχει τοῦτο τοὺς κατὰ τῆς συνόδου λέγοντας, ὡς οὐ τὰ ῥήματά ἐστιν αἴτια, ἀλλ' ἡ κακόνοια τῶν παρεξηγουμένων τὰ τοιαῦτα; Πόσοι, κακῶς ἐντυγχάνοντες ταῖς θείαις Γραφαῖς καὶ παρανοοῦντες ταύτας, κατηγοροῦσι τῶν ἁγίων! οἷοι γεγόνασιν οἱ μὲν τότε Ἰουδαῖοι, μὴ δεξάμενοι τὸν Κύριον, οἱ δὲ νῦν Μανιχαῖοι βλασφημοῦντες τὸν νόμον· καὶ οὐχ αἱ Γραφαὶ γεγόνασιν αὐτοῖς αἴτιαι, ἀλλ' ἡ σφῶν αὐτῶν κακοφροσύνη. Εἰ μὲν οὖν ἀποδεῖξαι δύνασθε τὰ ῥήματα φαῦλα, τοῦτο ποιεῖτε, καὶ λόγος ἡγείσθω τῆς ἀποδείξεως· καὶ μὴ προφασίζεσθε τοὺς σκανδαλιζομένους, ἵνα μὴ ταυτὸν πάθητε τοῖς τότε Φαρισαίοις. Καὶ γὰρ κἀκείνων προφασιζομένων σκανδαλίζεσθαι ἐπὶ ταῖς τοῦ Κυρίου διδαχαῖς, ἔλεγεν αὐτοῖς ὁ Κύριος· « Πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ Πατήρ C μου ὁ οὐράνιος, ἐκριζωθήσεται. » Τοῦτο δὲ λέγων ἐδείκνυεν, ὡς οὐ τὰ τοῦ Πατρὸς δι' αὐτοῦ « φυτευόμενα » ῥήματα σκάνδαλον ἦσαν αὐτοῖς, ἀλλ' αὐτοὶ κακῶς ἐκδεχόμενοι τὰ καλῶς λεγόμενα ἐσκανδαλίζον ἑαυτούς. Ἐπεὶ καὶ οἱ αἰτιώμενοι τότε τὰς ἐπιστολὰς τοῦ Ἀποστόλου, οὐ τοῦ Παύλου, ἀλλὰ τῆς ἑαυτῶν ἀμαθίας καὶ στρεβλῆς διανοίας κατηγόρουν.

Sed jam respondete (operæ pretium enim fuerit hoc ab illis quærere) quinam sunt, quos de illis offendi atque turbari causamini? Certe nemo eorum qui pie de Christo sentiunt, quippe qui ea defendant asserantque. Quod si Ariani sunt qui hæc indigne ferunt, quid mirum si irascuntur iis qui eorum hæresin de medio tollunt? Non enim ea verba illis scandalo sunt, sed dolori, quod quasi in cippo insculpta suam hæresin traducant. Desinite igitur adversus Patres nostros hac de causa obmurmurare: alioqui restat, ut crucem quoque Dominicam vituperetis, quod ea Judæis sit scandalum, gentibus autem stultitia, ut dixit Apostolus. Verum quemadmodum crux mala non est, nobis enim qui credimus, « Christus est Dei virtus et Dei sapientia [2], » etiamsi Judæi insaniant; ita quoque Patrum verba non perversa, sed utilia sunt iis qui æquo animo ea legunt, ipsaque omnem omnino destruunt impietatem: quamvis Ariani multoties disrumpantur, quod sese ab illis damnatos videant. Demonstratum itaque est illam scandali quam af-

Ἐπεὶ (καλὸν γὰρ αὐτοὺς ἐρέσθαι τοῦτο,) εἴπατε, τίνες εἰσὶν, οὓς προφασίζεσθε σκανδαλίζεσθαι καὶ θορυβεῖσθαι ἐπὶ τούτοις; Τῶν μὲν γὰρ εὐσεβούντων εἰς τὸν Χριστὸν οὐδεὶς, αὐτὰ γὰρ πρεσβεύουσι καὶ ἐκδικοῦσιν. Εἰ δὲ τῶν Ἀρειανῶν εἰσιν οἱ τοῦτο πάσχοντες, τί θαυμαστὸν, εἰ ἐπὶ τοῖς ἀναιροῦσιν αὐτῶν τὴν αἵρεσιν ἄχθονται; Οὐ γάρ ἐστιν αὐτοῖς σκάνδαλον τὰ ῥήματα· ἀλλὰ λύπη, D ὅτι στηλογραφία κατὰ τῆς ἀσεβείας αὐτῶν ἐστιν. Οὐκοῦν παύσασθε γογγύζοντες κατὰ τῶν Πατέρων, καὶ τοιαῦτα προφασιζόμενοι· ἐπεὶ ὥρα ὑμᾶς καταμέμφεσθαι καὶ τῷ κυριακῷ σταυρῷ, ὅτι Ἰουδαίοις μὲν σκάνδαλόν ἐστιν, ἔθνεσι δὲ μωρία, ὡς εἶπεν ὁ Ἀπόστολος. Ἀλλ' ὥσπερ οὐ φαῦλος ὁ σταυρός· ἡμῖν γὰρ τοῖς πιστεύουσίν ἐστι « Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, » κἂν Ἰουδαῖοι μαίνωνται· οὕτως οὐ φαῦλα τὰ τῶν Πατέρων ῥήματα, ἀλλ' ὠφέλιμα τοῖς γνησίως ἐντυγχάνουσι, καὶ ἀναιρετικὰ πάσης ἀσεβείας ἐστὶ, κἂν οἱ Ἀρειανοὶ πολλάκις διαῤῥηγνύωνται, κατακρινόμενοι παρ' αὐτῶν. Ὅτε τοίνυν ἡ περὶ τῶν σκανδαλιζομένων ἀπίθανος δέδεικται πρόφα-

[1] Matth. XV, 13. [2] I Cor. I, 24.

σις, εἴπατε λοιπὸν ὑμεῖς, πῶς οὐκ ἀρέσκεσθε τῷ, « ἐκ τῆς οὐσίας, » ὀνόματι; Τοῦτο γὰρ πρῶτον ἀναγκαῖον ἀνακρῖναι· καίτοι καὶ ὑμεῖς ἐγράψατε ἐκ τοῦ Πατρὸς γεγεννῆσθαι τὸν Υἱόν; Εἰ μὲν οὖν τὸν Πατέρα ὀνομάζοντες, ἢ τὸ, « Θεὸς, » ὄνομα λέγοντες, οὐκ οὐσίαν σημαίνετε, οὐδὲ αὐτὸν τὸν ὄντα ὅπερ ἐστὶ κατ' οὐσίαν νοεῖτε, ἀλλ' ἕτερόν τι περὶ αὐτὸν, ἢ τὸ γοῦν χεῖρον, ἵνα μὴ παρ' ἐμοῦ λέγηται, διὰ τούτων σημαίνετε, ἔδει μὴ γράφειν ὑμᾶς ἐκ τοῦ Πατρὸς τὸν Υἱὸν, ἀλλ' ἐκ τῶν περὶ αὐτὸν ἢ τῶν ἐν αὐτῷ· ἵνα φεύγοντες λέγειν ἀληθῶς Πατέρα τὸν Θεὸν, σύνθετον δὲ τὸν ἁπλοῦν, καὶ σωματικῶς αὐτὸν ἐπινοοῦντες, καινοτέρας βλασφημίας ἐφευρεταὶ γένησθε. Οὕτω δὲ νοοῦντες, ἐξ ἀνάγκης καὶ τὸν Λόγον, καὶ τὸ Υἱὸς, οὐκ οὐσίαν, ἀλλ' ὄνομα μόνον νομίζετε, καὶ λοιπὸν ἄχρις ὀνομάτων ἔχετε τὴν ἑαυτῶν φαντασίαν· καὶ ἃ λέγετε, οὐκ εἶναι πιστεύετε, ἀλλὰ μὴ εἶναι φρονεῖτε.

Τοῦτο δὲ Σαδδουκαίων μᾶλλον καὶ τῶν παρ' Ἕλλησι λεχθέντων ἀθέων ἐστὶ τὸ τόλμημα. Διὸ οὐδὲ τὴν κτίσιν αὐτοῦ τοῦ ὄντος Θεοῦ δημιούργημα εἶναι φήσετε· εἴ γε τὸ Πατὴρ καὶ τὸ Θεὸς οὐκ αὐτὴν τὴν τοῦ ὄντος οὐσίαν σημαίνουσιν, ἀλλ' ἕτερόν τι, ὅπερ ὑμεῖς ἀναπλάττετε. Ἀλλὰ τοῦτο δυσσεβὲς καὶ λίαν ἀπρεπές ἐστι καὶ μόνον ἐνθυμεῖσθαι. Εἰ δὲ ὅταν ἀκούωμεν· « Ἐγώ εἰμι ὁ ὤν·[1] » καὶ, « Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν·[2] » καὶ, « Ἄκουε, Ἰσραὴλ, Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι·[3] » καὶ, « Τάδε λέγει Κύριος παντοκράτωρ·[4] » οὐχ ἕτερόν τι ἀλλ' αὐτὴν τὴν ἁπλῆν καὶ μακαρίαν καὶ ἀκατάληπτον τοῦ ὄντος οὐσίαν νοοῦμεν· κἂν γὰρ ἀδυνάτως ἔχωμεν καταλαβεῖν, ὅ τι ποτέ ἐστιν, ἀλλ' ἀκούοντες τὸ, Πατὴρ, καὶ τὸ, Θεὸς, καὶ τὸ, Παντοκράτωρ, οὐχ ἕτερόν τι, ἀλλ' αὐτὴν τὴν τοῦ ὄντος οὐσίαν σημαινομένην νοοῦμεν. Εἰρήκατε δὲ καὶ ὑμεῖς ἐκ τοῦ Θεοῦ τὸν Υἱὸν, δηλονότι ἐκ τῆς οὐσίας τοῦ Πατρὸς αὐτὸν εἰρήκατε. Ἐπειδὴ δὲ καὶ πρὸ ὑμῶν λέγουσιν αἱ Γραφαὶ τὸν Κύριον Υἱὸν τοῦ Πατρὸς, καὶ πρὸ αὐτῶν, αὐτὸς ὁ Πατὴρ εἴρηκεν· « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός·[5] » Υἱὸς δὲ οὐδὲν ἕτερόν ἐστιν ἢ τὸ ἐκ τοῦ Πατρὸς γέννημα· πῶς οὐ φαίνονται καλῶς εἰρηκότες οἱ Πατέρες ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱὸν, λογισάμενοι ταυτὸν εἶναι τὸ εἰπεῖν ὀρθῶς, ἐκ τοῦ Θεοῦ, καὶ τὸ εἰπεῖν, ἐκ τῆς οὐσίας; Τὰ μὲν γὰρ κτίσματα πάντα, κἂν ἐκ τοῦ Θεοῦ λέγηται γεγενῆσθαι, ἀλλ' οὐχ ὡς ὁ Υἱός εἰσιν ἐκ τοῦ Θεοῦ· οὐ γὰρ γεννήματα, ἀλλὰ ποιήματά εἰσι τὴν φύσιν. « Ἐν ἀρχῇ γοῦν ὁ Θεὸς » οὐκ ἐγέννησεν, ἀλλ' « ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πάντα τὰ ἐν αὐτοῖς,[6] » εἴρηται. Καὶ οὐχ ὁ γεννῶν, ἀλλ' « ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.[7] » Εἰ δὲ ὁ Ἀπόστολος εἴρηκεν, « Εἷς Θεὸς, ἐξ οὗ τὰ πάντα,[8] » ἀλλ' οὐ τὸν Υἱὸν συναριθμῶν τοῖς πᾶσι, τοῦτό φησιν· ἀλλ' ἐπειδὴ τῶν Ἑλλήνων

ferunt rationem nullius esse probabilitatis. Cæterum respondete nobis, cur vobis hoc dictum, « ex substantia, » minime placet? Id enim primo inquirendum est: atqui vos ipsi scripsistis ex Patre genitum Filium esse? Si igitur cum Patrem nominatis, aut hanc vocem, « Deus », pronuntiatis, non substantiam significatis, neque ipsum qui exsistit, ut est secundum substantiam intelligitis; sed aliud circa ipsum, aut aliquid pejus, quod a me dictum nolim, per hæc indicatis: vobis ergo scribendum non fuit, ex Patre Filium esse; sed ex iis quæ circa ipsum vel in ipso sunt: ut hinc vitantes Deum vere Patrem dicere, eumque qui vere simplex est, compositum corporeumque intelligentes, recentioris blasphemiæ inventores essetis. Cum porro sic intelligatis, necesse est ut Verbum et Filium, non substantiam sed merum nomen existimetis, ac demum nomine tenus, vestram retineatis opinionem: ac quæ dicitis nullo modo esse et nusquam exstare sentiatis.

Hæc Sadducæorum, imo potius eorum qui a Græcis athei vocantur, scelesta est opinio. Atque hinc reliquum est ut creaturas Dei veri opificium esse inficias eatis, siquidem hæc vocabula, Pater, et, Deus, non ipsam exsistentis substantiam significant, sed aliud quidpiam quod commenti vos estis. Sed hoc vel solum cogitare, impium prorsus atque turpissimum est. Sin autem cum audimus: « Ego sum qui sum[1]; » et, « In principio fecit Deus cœlum et terram[2]; » et, « Audi, Israel, Dominus Deus tuus Dominus unus est[3]; » et, « Hæc dicit Dominus omnipotens[4]; » non aliud nisi ipsam simplicem, beatam, incomprehensibilem ejus, qui est, substantiam intelligimus; quamvis enim quidnam ille sit comprehendere nequeamus, attamen cum has voces audimus, Pater, Deus, Omnipotens, nihil aliud quam ejus, qui est, substantiam indicari concipimus. Dixistis vos etiam ex Deo Filium esse, ac consequenter ex Patris substantia ipsum esse; cum ergo et ante vos Scripturæ dicant Dominum esse Patris Filium, et ante Scripturas Pater dixerit, « Hic est Filius meus dilectus[5]; » Filius autem nihil aliud sit quam Patris fetus; qua, quæso, ratione Patres non recte locuti videbuntur, ubi dixerint Filium esse ex substantia Patris, rati scilicet idem esse sincera mente dicere, ex Deo, ac dicere, ex substantia? Nam creaturæ omnes, quamvis ex Deo exstitisse dicantur, sed non quemadmodum Filius, ex Deo sunt illæ, non enim res genitæ, sed factæ, natura sua sunt. « In principio » igitur « Deus, » non genuit, sed « fecit cœlum et terram, et omnia quæ in eis sunt[6], » ut scriptum est. Nec vero dicitur, qui gignit, sed « qui facit angelos suos spiritus, et ministros suos flammam ignis[7]. » Quod si Apostolus dixit, « Unus Deus per quem omnia[8], » non eo sane illud dixit, quod Filium reliquis omni-

[1] Exod. III, 14. [2] Gen. I, 1. [3] Deut. VI, 4. [4] Gen. XVII, 1. [5] Matth. III, 17. [6] Gen. I, 1. [7] Psal. CIII, 4. [8] I Cor. VIII, 6.

bus annumeraret: sed quoniam multi ex Græcis existimant fortuito, et ex atomorum complicatione, ac ex similaribus partibus sponte rerum naturam coaluisse, neque auctorem habere. Alii autem ab aliqua causa nec tamen per Verbum eam conditam arbitrantur. Quisque autem ex hæreticis arbitratu suo res comminiscitur et de rerum natura fabulatur. Quapropter ex necessitate Apostolus dixit, « ex Deo [1], » ut factorem notum faceret, et omnium creationem ex ejus voluntate factam declararet. Statim ergo infert: « Et unus Dominus Jesus Christus, per quem omnia [2], » ut ex omnibus Filium exciperet; quæ enim Dei esse dicuntur, omnia per Filium facta sunt: nec fieri potest creatas res eamdem, quam creatorem, habere generationem; et ut doceret illud, « ex Deo, » quod hic dicitur, alia ratione de opificiis, alia de Filio intelligi. Nam hic proles, illa vero, opificia sunt. Ideoque Filius est proprius substantiæ fetus, illa autem, voluntatis creaturæ.

Hæc cum ipsa synodus animadverteret, ac perspectum haberet ejusdem vocabuli diversas esse significationes; ne quidam suspicarentur Filium Dei ex Deo dici perinde atque creaturas, clarius scripsere, Filium ex substantia Dei esse: hinc namque vere germanum Patris esse Filium indicatur. Ex eo autem quod simpliciter dicitur, « ex Deo, » voluntas creatoris in creando significatur. Sed, aiunt, hæc scripta non sunt, vocesque illas, quod in Scripturis non habeantur, rejicimus. Sed hanc illi cavillationem impudentissime proferunt. Si enim verba non scripta putant rejicienda, quare Ario non obsistunt, qui tot sententiolarum quæ in Scripturis non habentur colluviem excogitavit: quales sunt, Ex non exstantibus; et, Non erat Filius antequam gigneretur; et, Erat tempus quo Non erat; et, Mutabilis est; et, Ineffabilis et invisibilis est Pater Filio; et, Filius non novit suam substantiam, et quaslibet alias ejus sententias, quas in ridicula et impia Thalia sua evomuit; imo potius eas illi propugnant, quæ causa illis est ut cum Patribus etiam suis decertent. Aut cur, cum in Encæniis, ut vocant, verbis ex Scriptura non desumptis usi Acacius et Eusebius, dixerint primogenitum creaturæ esse sine dissimilitudine imaginem substantiæ, potentiæ, consilii et gloriæ, adversus Patres jam obmurmurant, quod verborum quæ in Scriptura non exstant mentionem fecerint, et substantiæ vocem usurparint? Par fuit enim eos aut contra se ipsos obmurmurare, aut nihil Patres criminari.

Si igitur quidam alii ex synodi verbis occasionem arriperent, suspicio esset eos vel ignorantia vel religione id facere; neque vero hic sermo habetur de Georgio Cappadoce, qui Alexandria exactus est, viro qui nec ex præterita vitæ ratione commendatur, nec ullo modo Christianus est: sed propter opportunitatem, Christiani nomen simulate

[1] I Cor. VIII, 6. [2] ibid.

A οἱ μὲν νομίζουσι κατὰ τύχην καὶ ἐξ ἀτόμων συμπλοκῆς, καὶ ὁμοιομερῶς ἐκ ταυτομάτου συνεστάναι τὴν κτίσιν, καὶ μὴ ἔχειν τὸν αἴτιον· οἱ δὲ ἐξ αἰτίου μὲν αὐτὴν γεγονέναι, οὐ μὴν καὶ διὰ τοῦ Λόγου· τῶν δὲ αἱρετικῶν ἕκαστος, ὡς ἠθέλησεν ἀνεπλάσατο, καὶ περὶ τῆς κτίσεως μυθολογεῖ· τούτου χάριν ὁ Ἀπόστολος ἀναγκαίως συνείρηκε τὸ, « ἐκ τοῦ Θεοῦ· » ἵνα καὶ τὸν ποιητὴν γνωρίσῃ, καὶ τὴν ἐκ τοῦ βουλήματος αὐτοῦ τῶν πάντων δημιουργίαν ἀποδείξῃ· εὐθὺς γοῦν ἐπιφέρει, « Καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, » ἵνα τῶν πάντων ἐξάρῃ τὸν Υἱόν· τὰ γὰρ τοῦ Θεοῦ λεγόμενα, πάντα ταῦτα δι' Υἱοῦ γέγονε· καὶ οὐχ οἷόν τε μίαν ἔχειν τὰ δημιουργούμενα τῷ δημιουργοῦντι τὴν γένεσιν· καὶ ἵνα τὸ, « ἐκ τοῦ Θεοῦ, » λεγόμενον ὧδε, ἄλλως ἐπὶ B τῶν ποιημάτων αὐτὸ σημαίνεσθαι διδάξῃ, ἢ ὡς ἐπὶ Υἱοῦ λεγόμενον νοεῖται. Ὁ μὲν γὰρ γέννημα, τὰ δὲ ποιήματά ἐστι. Διὸ καὶ ὁ μὲν Υἱὸς ἴδιον τῆς οὐσίας γέννημα, τὰ δὲ βουλήματος δημιουργήματα.

Ταῦτα καὶ ἡ σύνοδος συνορῶσα, καὶ εἰδυῖα τὴν ἐκ τῆς ὁμωνυμίας διαφορίαν, ὑπὲρ τοῦ μή τινας ὑπονοεῖν κατὰ τὴν κτίσιν οὕτω λέγεσθαι καὶ τὸν Υἱὸν ἐκ τοῦ Θεοῦ, λευκότερον ἔγραψαν ἐκ τῆς οὐσίας τὸν Υἱόν. Ἐκ μὲν γὰρ τούτου τὸ γνήσιον ἀληθῶς Υἱοῦ πρὸς τὸν Πατέρα γνωρίζεται· ἐκ δὲ τοῦ λέγεσθαι ἁπλῶς « ἐκ τοῦ Θεοῦ, » τὸ βούλημα τῆς δημιουργίας τοῦ κτίζοντος σημαίνεται. Ἀλλ' οὐ γέγραπται ταῦτα, φασὶν, καὶ ὡς ἀγράφους τὰς φωνὰς ἐκβάλλομεν. Ἀλλὰ καὶ τοῦτο πάλιν πρόφασίς ἐστιν C τοῖς ἀναίσχυντος. Εἰ γὰρ ἐκβλητέα νομίζουσι τὰ μὴ γεγραμμένα, διὰ τί τῶν περὶ Ἄρειον ἐξ ἀγράφων ἐπινοησάντων τοσοῦτον ῥηματίων συρφετὸν, τὸ, Ἐξ οὐκ ὄντων, καὶ τὸ, Οὐκ ἦν ὁ Υἱὸς πρὶν γεννηθῇ· καὶ, Ἦν ποτε, ὅτε οὐκ ἦν· καὶ, Τρεπτός ἐστι· καὶ, Ἄῤῥητος καὶ ἀόρατος ὁ Πατὴρ τῷ Υἱῷ· καὶ, Ὁ Υἱὸς οὐκ οἶδεν οὐδὲ τὴν ἑαυτοῦ οὐσίαν· καὶ ὅσα ἐν τῇ γελοίῳ καὶ ἀσεβεῖ Θαλίᾳ ἑαυτοῦ φρονῶν ἐξήμεσεν Ἄρειος οὐκ ἀντειρήκασιν, ἀλλὰ καὶ μᾶλλον ὑπὲρ αὐτῶν ἀγωνίζονται, καὶ διὰ ταῦτα πρὸς τοὺς Πατέρας ἑαυτῶν διαμάχονται. Ἢ πῶς ἐν τοῖς λεγομένοις Ἐγκαινίοις, ἀγράφοις χρησάμενοι λέξεσιν οἱ περὶ Ἀκάκιον καὶ Εὐσέβιον, καὶ εἰπόντες οὐσίας τε καὶ δυνάμεως, καὶ βουλῆς, καὶ δόξης ἀπαράλλακτον εἰκόνα τὸν πρωτότοκον τῆς κτίσεως, γογγύζουσι κατὰ D τῶν Πατέρων, ὡς ἀγράφων αὐτῶν μνημονευσάντων λέξεων, καὶ οὐσίας μνημονευσάντων; Ἔδει γὰρ αὐτοὺς ἢ καθ' ἑαυτῶν γογγύζειν, ἢ μηδὲν τοὺς Πατέρας αἰτιᾶσθαι.

Εἰ μὲν οὖν ἄλλοι τινὲς ἐπροφασίζοντο τὰς τῆς συνόδου λέξεις, ἠδύναντό πως ἢ ἀγνοίας ἢ εὐλαβείας ὑπόνοιαν ἔχειν· καὶ περὶ μὲν Γεωργίου τοῦ Καππάδοκος τοῦ ἐκβληθέντος ἀπὸ τῆς Ἀλεξανδρείας λόγος οὐδείς· ἀνθρώπου μήτε ἐκ προάγοντος βίου τὴν μαρτυρίαν ἔχοντος, μήτε ὅλως Χριστιανοῦ τυγχάνοντος, ἀλλὰ μόνον ὑποκριναμένου διὰ τὴν και-

ρὸν τὸ ὄνομα, καὶ πορισμὸν ἡγησαμένου τὴν εὐσέβειαν· διὸ οὐδὲ μέμψαιτο ἄν τις αὐτὸν εἰκότως, πταίοντα περὶ τὴν πίστιν, ἄνθρωπον μήτε εἰδότα περὶ ὧν λέγει, μήτε περὶ ὧν διαβεβαιοῦται, ἀλλὰ πᾶσι, κατὰ τὸ γεγραμμένον, ὡς κέπφον ἐπακολουθοῦντα· Ἀκάκιος δὲ καὶ Εὐδόξιος, καὶ Πατρόφιλος, ταῦτα λέγοντες, πῶς οὐκ ἄξιοι πάσης εἰσὶ καταγνώσεως; Γράφοντες γὰρ ἄγραφα καὶ αὐτοὶ, καὶ ἀποδεξάμενοι πολλάκις ὡς καλὸν τὸ τῆς οὐσίας ὄνομα, μάλιστα καὶ διὰ τὴν ἐπιστολὴν Εὐσεβίου, αἰτιῶνται νῦν τοὺς πρὸ αὐτῶν, ὡς τοιαύταις χρησαμένους λέξεσιν. Ἀλλὰ καὶ εἰπόντες αὐτοὶ Θεὸν ἐκ Θεοῦ, καὶ Λόγον ζῶντα, τῆς οὐσίας τοῦ Πατρὸς ἀπαράλλακτον εἰκόνα τὸν Υἱὸν, κατηγοροῦσι τῶν ἐν Νικαίᾳ εἰπόντων, ἐκ τῆς οὐσίας, καὶ ὁμοούσιον τὸν γεννηθέντα τῷ γεγεννηκότι. Τί δὲ θαυμαστὸν εἰ τοῖς πρὸ αὐτῶν καὶ τοῖς ἰδίοις πατράσι διαμάχονται, ὅπου γε καὶ αὐτοὶ ἑαυτοῖς ἐναντιούμενοι, τοῖς ἑαυτῶν προσκόπτουσιν; Ἐκθέμενοι γὰρ ἐν τοῖς λεγομένοις Ἐγκαινίοις ἐν Ἀντιοχείᾳ τῆς οὐσίας τοῦ Πατρὸς ἀπαράλλακτον εἰκόνα εἶναι τὸν Υἱὸν, ὀμόσαντές τε οὕτω φρονεῖν, καὶ ἀναθεματίσαντες τοὺς ἄλλως φρονοῦντας, ἀλλὰ γὰρ καὶ ἐν τῇ Ἰσαυρίᾳ γράψαντες· Οὐ φεύγομεν τὴν ἐκτεθεῖσαν αὐθεντικὴν πίστιν ἐν τοῖς Ἐγκαινίοις τοῖς κατὰ Ἀντιόχειαν (ἐν αὐτοῖς δὲ ἐγράφη τὸ τῆς οὐσίας ὄνομα), ὥσπερ ἐπιλαθόμενοι τούτων, μετ' ὀλίγον ἐν τῇ αὐτῇ Ἰσαυρίᾳ τἀναντία ἔγραψαν, λέγοντες· Τὸ ὁμοούσιον καὶ τὸ ὁμοιοούσιον ἐκβάλλομεν, ὡς ἀλλότριον τῶν Γραφῶν· καὶ τὸ τῆς οὐσίας ὄνομα περιαιροῦμεν, ὡς μὴ κείμενον ἐν ταῖς Γραφαῖς.

Τίς οὖν ἔτι τοὺς τοιούτους Χριστιανοὺς ἡγήσαιτο; Ἢ ποία πίστις παρὰ τούτοις, παρ' οἷς οὐ λόγος, οὐ γράμμα βέβαιον, ἀλλὰ πάντα κατὰ καιρὸν ἀλλάσσεται καὶ μεταβάλλεται; Εἰ γὰρ, ὦ Ἀκάκιε καὶ Εὐδόξιε, οὐ φεύγετε τὴν ἐκτεθεῖσαν ἐν τοῖς Ἐγκαινίοις πίστιν, ἐν αὐτῇ δὲ γέγραπται, Οὐσίας ἀπαράλλακτος εἰκὼν ὁ Υἱός· πῶς ἐν τῇ Ἰσαυρίᾳ γράφετε, Ἐκβάλλομεν τὸ ὁμοούσιον; Εἰ γὰρ οὐκ ἔστι κατ' οὐσίαν ὅμοιος ὁ Υἱὸς τῷ Πατρὶ, πῶς ἀπαράλλακτος τῆς οὐσίας εἰκών ἐστιν; Εἰ δὲ μετέγνωτε, γράψαντες τὸ, τῆς οὐσίας ἀπαράλλακτος εἰκών· πῶς ἀναθεματίζετε τοὺς ἀνόμοιον εἶναι λέγοντας τὸν Υἱόν; Εἰ γὰρ οὐχ ὅμοιος κατ' οὐσίαν, πάντως ἀνόμοιός ἐστι. Τὸ δὲ ἀνόμοιον οὐκ ἂν εἴη εἰκών. Εἰ δὲ οὕτω καθ' ὑμᾶς ἐστιν, οὐκ ἄρα ὁ τὸν Υἱὸν ἑωρακὼς ἑώρακε τὸν Πατέρα, πλείστης ὅσης οὔσης διαφορᾶς· μᾶλλον δὲ τὸ ὅλον ὄντος τούτου πρὸς ἐκεῖνον ἀνομοίου. Τὸ δὲ ἀνόμοιον οὐχ οἷόν τε ὅμοιον λέγεσθαι. Ποίᾳ τοίνυν μηχανῇ τὸ ἀνόμοιον ὅμοιον λέγετε, καὶ τὸ ὅμοιον ἀνόμοιον φρονεῖτε, καὶ ὑποκρίνεσθε λέγοντες εἰκόνα εἶναι τοῦ Πατρὸς τὸν Υἱόν; Εἰ γὰρ οὐκ ἔστι κατ' οὐσίαν ὅμοιος ὁ Υἱὸς τοῦ Πατρὸς, λείπει τι τῇ εἰκόνι, καὶ οὐκ ἔστι πλήρης εἰκὼν, οὐδὲ τέλειον ἀπαύγασμα. Πῶς οὖν ἀναγινώσκετε τὸ, « Ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς· » καὶ, « Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβο-

[1] Prov. VII, 22.

sumpsit, et pietatem quæstus loco habuit. Quapropter nemo eum jure arguerit, quod circa fidem labatur, hominem, qui neque novit quæ dicit, nec de quibus affirmat, sed omnes, uti scriptum est [1], veluti larus insequitur. Cum autem Acacius, Eudoxius et Patrophilus hæc dicant, quomodo non omni damnatione digni sunt? Nam, cum ipsi quoque ea scripserint quæ in Scripturis non habentur, et sæpe substantiæ nomen ut sanum, maxime propter Eusebii epistolam, receperint, majores suos nunc criminantur, quod hujusmodi sint usi verbis. Imo cum ipsi quoque dixerint Filium esse Deum ex Deo, ac Verbum vivens, substantiæ Patris imaginem per omnia similem, jam Nicænos Patres criminantur, quod dixerint, ex substantia, ac consubstantialem esse genitori genitum. Quid mirum autem si cum majoribus, et cum patribus suis pugnant, ubi ipsi secum concertant in seque ipsos impingunt? Cum enim Antiochiæ in Encæniis, ut vocant, declarassent Filium esse substantiæ Patris sine ulla dissimilitudine imaginem, jurassentque se ita sentire, ac eos qui aliter sentirent anathemate damnassent, imo in Isauria scripsissent: Non refugimus authenticam fidem in Encæniis Antiochiæ editam (illic autem substantiæ nomen scriptum est), veluti eorum immemores, paulo post in ipsa Isauria iis adversantia conscripsere, scilicet, ὁμοούσιον et ὁμοιοούσιον, hoc est, consubstantiale et substantia simile, utpote a Scripturis aliena, rejicimus, et substantiæ nomen de medio tollimus, quippe cum in Scripturis non reperiatur

Quis igitur viros hujusmodi ulterius Christianos existimabit? Aut quæ fides, apud quos nec verba, nec scripta firma sunt, sed omnia pro temporis ratione mutantur et invertuntur? Si enim, o Acaci et Eudoxi, non refugitis expositam in Encæniis fidem, in eaque scriptum est, Filium esse substantiæ Patris sine discrepantia imaginem, cur in Isauria scribitis, rejicimus ὁμοούσιον? Si namque Filius secundum substantiam Patri similis non est, qui substantiæ imago erit sine discrepantia? Quod si vos pœnituit scripsisse, eum esse sine discrepantia substantiæ imaginem, cur anathemate damnatis eos qui dicunt Filium esse Patri dissimilem? Si enim similis non est secundum substantiam, plane dissimilis est. Quod autem dissimile est, nunquam imago fuerit. Sin, uti vos dicitis, ita se res habet, verum ergo non est qui vidit Filium, Patrem vidisse, cum multa inter utrumque sit discrepantia, imo potius hic sit illi omnino dissimilis. Quod autem dissimile est, simile nunquam dicatur. Quo pacto igitur dissimile dicitis simile, et simile dissimile existimatis, ac simulatione usi dicitis, Filium esse Patris imaginem? Si enim Filius non est secundum substantiam Patris similis, aliquid sane imagini deficit, neque est plena imago, non perfectus splendor. Cur itaque hoc legitis: « In ipso in-

habitat omnis plenitudo divinitatis corporaliter [1], » et, « ex plenitudine ejus nos omnes accepimus [2]? » Cur Arianum Aetium ut hæreticum ejicitis, licet ea ipsa quæ ille loquamini? Tibi enim, Acaci, amicus est, Eudoxioque hujus magister impietatis fuit, in cujus gratiam eum Leontius episcopus diaconum ordinavit; ut, quasi ovis vestimento diaconatus nomine usus, blasphemiæ verba libere posset evomere.

Quid igitur vobis suasit, ut vobis ipsis adversemini, tantumque dedecoris referatis? Certe nihil rationi consentaneum vobis dicendum suppetit: hocque solum intelligendum relinquitur, vos nulla non simulatione, nullo non commento uti propter Constantii patrocinium, lucrumque quod hinc vobis evenit. Atque in promptu vobis est Patres incusare; temereque objicitis, non haberi ea verba in Scripturis sacris: et ut scriptum est, « crura divaricastis omni transeunti [3]; » ita ut toties sententiam commutetis, quoties velint ii qui vos mercede et præmio conducunt. Quanquam nihil interest, si quis non scriptas voces proferat, dum piam servet sententiam. Hæreticus autem vir, licet verbis e Scriptura depromptis utatur, nihilo tamen minus, suspectus ac mente corruptus cum sit, a Spiritu sancto audiet: « Quare tu enarras justitias meas, et assumis testamentum meum per os tuum [4]? » Quare diabolo licet ex Scripturis loquenti os a Salvatore obturatum est. Beatus autem Paulus, quamvis ex profanis loquatur: « Cretenses semper mendaces [5]; » et: « Ipsius enim genus sumus [6]; » et: « Corrumpunt mores bonos colloquia prava [7]; » attamen sanctus cum sit, piam retinet sententiam: et cum Christi mentem habeat, gentibus magister est fidei et veritatis, et cum pietate semper loquitur. Ecquidnam fide dignum inest Arianicis vocculis, quibus eruca et locusta Salvatori anteponitur, ipsique hæc convicia dicuntur: Aliquando non eras, et creatus es, alienusque es a Deo secundum substantiam: nullamque demum non proferunt blasphemiam? Propalam certe faciunt, se nulla alia de causa cum magna synodo pugnare, quam quod Arianam damnaverit hæresim. Ea etiam illis causa est consubstantialis vocem criminandi de qua ipsi prave sentiunt. Si namque recte crederent, Patrem vere Patrem confiterentur: Filium vero genuinum Filium, et natura verum crederent Verbum, et Sapientiam Patris. Quod autem dicitur ex Deo Filium esse, si non ut de creaturis dicitur, ita de illo affirmarent; sed illum substantiæ Patris propriam esse prolem intelligerent, quemadmodum splendor a luce ortum habet, nequaquam singuli eorum Patres incusassent, ac potius fidenter dixissent bene synodum scripsisse, et eam esse rectam de Domino nostro Jesu Christo fidem.

A μεν; » Πῶς τὸν Ἀρειανὸν Ἀέτιον ὡς αἱρετικὸν ἐκβάλλετε, καίτοι τὰ αὐτὰ ἐκείνῳ λέγοντες; Καὶ γὰρ σοῦ μὲν, ὦ Ἀκάκιε, ἑταῖρός ἐστιν, Εὐδοξίου δὲ διδάσκαλος εἰς τὴν τοιαύτην ἀσέβειαν γέγονεν, ἧς ἕνεκα καὶ Λεόντιος αὐτὸν ὁ ἐπίσκοπος διάκονον κατέστησεν· ἵνα, ὡς ἐνδύματι προβάτου τῷ ὀνόματι τῆς διακονίας χρώμενος, ἐπ' ἀδείας ἐξεμεῖν δύνηται τὰ τῆς βλασφημίας ῥήματα.

Τί οὖν ὑμᾶς ἄρα τοιοῦτον ἔπεισεν, ὥστε καὶ ἑαυτοῖς εἰς τὸ ἐναντίον περιπεσεῖν, καὶ τοσαύτην αἰσχύνην ἀπενέγκασθαι; ἀλλ' οὐδὲν εὔλογον ἂν εἴποιτε· τοῦτο δὲ μόνον περιλείπεται νοεῖν, ὅτι πάντα νῦν ὑποκρίνεσθε, καὶ πάντα προσποιούμενοι πλάττετε διὰ τὴν παρὰ Κωνσταντίου προστασίαν, καὶ τὸ B παρὰ τοῦ τοιούτου κέρδος. Καὶ κατηγορεῖτε μὲν εὐχερῶς τῶν Πατέρων, προφασίζεσθε δὲ ἁπλῶς τὰς λέξεις, ὡς ἀγράφους· καὶ κατὰ τὸ γεγραμμένον, « διετείνατε τὰ σκέλη παντὶ παρόδῳ· » ὥστε τοσαυτάκις ὑμᾶς μεταβάλλεσθαι, ὁσάκις ἂν ὑμᾶς οἱ μισθούμενοι καὶ χορηγοῦντες ὑμῖν βούλονται. Καίτοι κἂν ἀγράφους τις λαλῇ λέξεις, οὐδὲν διαφέρει, ἕως εὐσεβῆ τὴν διάνοιαν ἔχει. Ὁ δὲ αἱρετικὸς ἀνὴρ, κἂν τὰς ἐκ τῶν Γραφῶν χρήσηται λέξεις, οὐδὲν ἧττον ὕποπτος ὢν, καὶ τὸν νοῦν διεφθαρμένος, ἀκούσεται παρὰ τοῦ Πνεύματος· « Ἵνα τί σὺ διηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; » Οὕτως ὁ μὲν διάβολος, καίτοι λαλῶν ἐκ τῶν Γραφῶν, πεφίμωται παρὰ τοῦ Σωτῆρος· ὁ δὲ μακάριος Παῦλος, κἂν ἐκ τῶν ἔξωθεν λαλῇ· « Κρῆτες ἀεὶ ψεῦσται· » καὶ, « Τοῦ γὰρ καὶ γένος C ἐσμέν· » καὶ, « Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί· » ἀλλ' ὅμως, ἅγιος ὢν, ἔχει τὴν διάνοιαν εὐσεβῆ καὶ τοῦ Χριστοῦ νοῦν ἔχων, διδάσκαλός ἐστιν ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ· καὶ ἃ λαλεῖ, μετ' εὐσεβείας φθέγγεται. Ποία τοίνυν ἐν τοῖς Ἀρειανοῖς ῥηματίοις κἂν πιθανότης ἐστὶν, ἐν οἷς προτιμᾶται τοῦ Σωτῆρος ἡ κάμπη καὶ ἡ ἀκρὶς, καὶ λοιδορεῖται παρ' αὐτῶν· Οὐκ ἦς ποτε, καὶ ἐκτίσθης, ξένος τε κατ' οὐσίαν τοῦ Θεοῦ τυγχάνεις· καὶ ὅλως οὐδὲν δυσφημίας ἐν αὐτοῖς παραλέλειπται. Φανεροὺς οὖν ἑαυτοὺς πᾶσι καθιστῶσιν, ὅτι δι' οὐδὲν ἕτερον μάχονται πρὸς τὴν σύνοδον ἐκείνην τὴν μεγάλην, ἢ ὅτι τὴν Ἀρειανὴν αἵρεσιν κατέκρινε. Διὰ τοῦτο γὰρ καὶ τὴν τοῦ ὁμοουσίου λέξιν διαβάλλουσι, κακῶς αὐτοὶ φρονοῦντε; καὶ περὶ αὐτῆς. Εἰ γὰρ ἐπίστευον ὀρθῶς, καὶ τὸν D μὲν Πατέρα Πατέρα ἀληθῶς ὡμολόγουν, τὸν δὲ Υἱὸν γνήσιον Υἱὸν καὶ φύσει ἀληθινὸν Λόγον, καὶ Σοφίαν ἐπίστευον εἶναι τοῦ Πατρός· τό τε ἐκ τοῦ Θεοῦ λέγειν τὸν Υἱὸν, εἰ μὴ, ὥσπερ λέγεται περὶ τῶν κτισμάτων, οὕτως ἔλεγον καὶ περὶ αὐτοῦ, ἀλλὰ τῆς οὐσίας τοῦ Πατρὸς ἴδιον αὐτὸν ἐνόουν εἶναι γέννημα, ὡς ἔστι τὸ ἀπαύγασμα ἐκ τοῦ φωτός· οὐκ ἂν ἕκαστος αὐτῶν κατηγόρει τῶν Πατέρων· ἀλλ' ἐθάῤῥουν, ὅτι καλῶς ἔγραψεν ἡ σύνοδος· καὶ οὕτως ἐστὶν ἡ ὀρθὴ περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πίστις.

[1] Coloss. II, 9. [2] Joan. I, 16. [3] Ezech. XVI, 25. [4] Psal. XLIX, 16. [5] Tit. I, 12. [6] Act. XVII, 28. [7] I Cor. XV, 33.

A Ἀλλ' ἀσαφής, φασὶν, ἐστὶν ἡμῖν τῶν τοιούτων λέξεων ἡ διάνοια. Καὶ τοῦτο γὰρ προεφασίσαντο, λέγοντες, ὅτι, μὴ δυνάμενοι καταλαβεῖν τὴν ἑρμηνείαν αὐτῶν, ἐκβάλλομεν ταύτας τὰς λέξεις. Τοῦτο δὲ εἰ ἀληθῶς ἔλεγον, οὐκ ἔδει λέγειν αὐτοὺς, Ἐκβάλλομεν ταύτας· ἀλλ' ἠξίουν μαθεῖν παρὰ τῶν ἐπισταμένων, ἐπεὶ ὀφείλουσί γε, καὶ ἅπερ ἂν ἐν ταῖς θείαις Γραφαῖς μὴ νοήσωσιν ἐκβάλλειν, καὶ κατηγορεῖν τοὺς γράψαντας αὐτά. Ἀλλὰ τοῦτο μᾶλλον αἱρετικῶν, καὶ οὐχ ἡμῶν τῶν Χριστιανῶν τὸ τόλμημα. Ἃ γὰρ ἀγνοοῦμεν ἐν τοῖς λογίοις, οὐκ ἐκβάλλομεν, ἀλλὰ ζητοῦμεν οὓς ἀπεκάλυψεν ὁ Κύριος· καὶ παρ' αὐτῶν μανθάνειν ἀξιοῦμεν. Ἐπειδὴ δὲ καὶ οὕτω προφασίζονται τὴν ἀσάφειαν τῶν τοιούτων λέξεων, ὁμολογείτωσαν γοῦν τὰ εὐθὺς ἐπιφερόμενα, B καὶ ἀναθεματιζέτωσαν τοὺς φρονοῦντας, Ἐξ οὐκ ὄντων εἶναι τὸν Υἱὸν, καὶ, Οὐκ ἦν πρὶν γεννηθῇ, καὶ ὅτι κτίσμα καὶ ποίημά ἐστιν ὁ τοῦ Θεοῦ Λόγος· καὶ, Τρεπτός ἐστι τῇ φύσει· καὶ, Ἐξ ἑτέρας ὑποστάσεως· καὶ ὅλως ἀναθεματιζέτωσαν τὴν Ἀρειανὴν αἵρεσιν, τὴν ἐφευροῦσαν τὴν τοιαύτην ἀσέβειαν. Καὶ λοιπὸν μὴ λεγέτωσαν, Ἐκβάλλομεν τὰς λέξεις, ἀλλ' ὅτι Οὔπω νοοῦμεν αὐτάς· ἵνα οὕτω πιθανήν τινα πρόφασιν ἔχωσι τοῦ παραιτεῖσθαι ταύτας. Εὖ δὲ οἶδα καὶ πέπεισμαι, καὶ αὐτοὶ δὲ τοῦτο γινώσκουσιν, ὅτι ταῦτα ἐὰν ὁμολογήσωσι, καὶ ἀναθεματίσωσι τὴν Ἀρειανὴν αἵρεσιν, οὐκ ἀρνήσονται κἀκείνας τὰς τῆς συνόδου λέξεις. Διὰ τοῦτο γὰρ καὶ οἱ Πατέρες, εἰρηκότες ἐκ τῆς οὐσίας γεννητὸν τὸν Υἱὸν ὁμοούσιον τῷ Πατρὶ, εὐθὺς ἐπήγαγον· τοὺς δὲ λέγοντας τὰ προειρημένα, ἅπερ ἐστὶ τῆς Ἀρειανῆς αἱρέσεως, ἀναθεματίζομεν.

Sed, aiunt, obscura nobis est horum verborum sententia. Ea enim fuit futilis hominum excusatio : cum non possimus verborum interpretationem assequi, illa rejicimus. At si sincero loquerentur animo, non dictum oportuit, illa rejicimus ; sed sciscitaturi erant ut a peritis ediscerent : alioqui rejiciant quidquid in Scripturis divinis non intelligunt, eosque qui illa scripsere criminentur. Sed hæreticorum potius quam nostrum Christianorum fuerit audacia ejusmodi. Quæ enim in sacris eloquiis non intelligimus, non ideo rejicimus, sed ab iis quærimus, ab iis ediscere postulamus, quibus Dominus revelavit. Verum, quia eam verborum obscuritatem prætexunt, fateantur ergo quæ statim inferuntur, et anathemate damnent eos qui sentiunt, ex non exstantibus esse Filium, et non fuisse antequam gigneretur, et creaturam opificiumque esse Dei Verbum : natura mutabile esse, et ex alia substantia ; demumque Arianam damnent hæresim quæ hujusmodi impietatem excogitavit. Ne dicant deinceps, Ea verba rejjcimus ; sed, Nondum illa intelligimus ; ut sic verisimilem ea recusandi causam afferant. Probe scio autem ac exploratum habeo, quod ipsi quoque non ignorant, eos si ista confiteantur et Arianam hæresin anathemate damnent, synodi verba non negaturos. Idcirco enim Patres cum dixissent ex substantia Patris genitum Filium esse Patri consubstantialem, statim intulerunt : Eos autem qui prædicta illa Arianæ hæreseos verba dicunt, anathemate damnamus ; ut osten-

Ἐκ τῆς αὐτῆς.

C Πρὸς δὲ τοὺς ἀποδεχομένους τὰ μὲν ἄλλα πάντα τῶν ἐν Νικαίᾳ γραφέντων, περὶ δὲ μόνου τὸ ὁμοούσιον ἀμφιβάλλοντας, χρὴ μὴ ὡς πρὸς ἐχθροὺς διακεῖσθαι· καὶ γὰρ καὶ ἡμεῖς οὐχ ὡς πρὸς Ἀρειομανίτας, οὐδ' ὡς μαχομένους πρὸς τοὺς Πατέρας ἐνιστάμεθα, ἀλλ' ὡς ἀδελφοὶ πρὸς ἀδελφοὺς διαλεγόμεθα, τὴν αὐτὴν μὲν ἡμῖν διάνοιαν ἔχοντας, περὶ δὲ τὸ ὄνομα μόνον διστάζοντας. Καὶ γὰρ ὁμολογοῦντες ἐκ τῆς οὐσίας τοῦ Πατρὸς εἶναι, καὶ μὴ ἐξ ἑτέρας ὑποστάσεως τὸν Υἱὸν, κτίσμα τε μὴ εἶναι, μηδὲ ποίημα αὐτὸν, ἀλλὰ γνήσιον καὶ φύσει γέννημα ἀϊδίως τε αὐτὸν συνεῖναι τῷ Πατρὶ Λόγον ὄντα καὶ Σοφίαν, οὐ μακράν εἰσιν ἀποδέξασθαι καὶ τὴν τοῦ ὁμοουσίου λέξιν. Τοιοῦτος δέ ἐστι Βασίλειος ὁ ἀπὸ Ἀγκύρας, γράψας περὶ πίστεως. Τὸ μὲν γὰρ ὅμοιον μόνον λέγειν κατ' οὐσίαν D οὐ πάντως σημαίνει καὶ τὸ ἐκ τῆς οὐσίας, ἐξ οὗ μᾶλλον, ὡς καὶ αὐτοὶ εἰρήκασι, σημαίνεται τὸ γνήσιον τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα. Καὶ γὰρ κασσίτερος ὅμοιός ἐστι μόνον τῷ ἀργύρῳ, καὶ λύκος τῷ κυνὶ, καὶ χαλκὸς χρυσίζων τῷ ἀληθινῷ χρυσῷ, οὔτε δὲ κασσίτερος ἐκ τοῦ ἀργύρου τυγχάνει, οὔτε λύκος ὡς υἱὸς τοῦ κυνὸς ἂν νομισθείη. Ἐπειδὴ δὲ καὶ ἐκ τῆς οὐσίας καὶ ὁμοιοούσιον αὐτὸν εἰρήκασι, τί ἕτερον σημαίνουσιν ἐκ τούτων ἢ τὸ ὁμοούσιον; Καὶ γὰρ ὥσπερ ὁ λέγων μόνον ὁμοιοούσιον οὐ πάντως καὶ τὸ ἐκ τῆς οὐσίας γνωρίζει, οὕτως ὁ λέγων ὁμοούσιον ἀμφοτέρων, τοῦ τε ὁμοιοουσίου καὶ τοῦ ἐκ τῆς οὐ-

Ex eadem.

Viros autem qui alia quidem omnia Nicææ scripta recipiunt, de solo autem consubstantialis vocabulo ambigunt, non ut inimicos spectari par est. Neque enim velut Ariomanitas, aut Patrum adversarios, homines aggredimur ; sed disputamus veluti fratres cum fratribus, qui eadem qua nos sunt sententia, solo nomine in controversiam adducto. Cum enim confiteantur ex substantia Patris et non ex alia substantia esse Filium, nec creaturam vel opificium illum esse : sed genuinam naturalemque prolem, et ab æterno una cum Patre Verbum et Sapientiam exsistere, non longe absunt a recipienda consubstantialis voce. Talis est Basilius Ancyræ qui de fide scripsit. Nam, si similis tantum dicatur secundum substantiam, id non idem prorsus significat atque illud : ex substantia ; quo verbo magis, ut ipsi dixere, Patris germanum Filium ipsum esse significatur. Nam stannum est argento simile, canis lupo, aurichalcum vero auro, nec tamen stannum ex argento est, nec lupus canis filius haberi potest. Quandoquidem autem et ex substantia, et substantiæ similem eum esse dixerunt, quid aliud his significant quam eum esse consubstantialem? Etenim, sicut qui dicit tantum, substantiæ similem, non prorsus indicat eum ex substantia esse ; sic qui dicit, consubstantialem, utriusque dicti sententiam complectitur, et, substantiæ similis, et, ex

substantia. Iterumque illos aggressi qui dicunt Verbum esse creaturam, et negant genitum esse Filium, ex humanis exemplis filii ac patris sua adversum illos argumenta mutuati sunt, hac tamen exceptione, quod Deus non sit ut homo, neque humani partus similis sit Filii generatio, sed talis sit qualis Deo convenit, et a nobis intelligi debet. Nam et Patrem fontem sapientiæ dixere atque vitæ, Filium vero splendorem æternæ lucis, ipsumque esse fontis partum, qui ait: « Ego sum vita [1], » et, « Ego Sapientia habito in consilio [2]. » Porro lucis splendorem, fontis partum, Patris Filium, quomodo apte nominaveris, nisi, consubstantialem? Ergone, cum hominum proles ejusdem sit substantiæ, cavere oportet, ne is qui Filius dicitur, consubstantialis et ipse nominetur, ut hominum proles: absit! nequaquam se ita res habet. Sed hoc facile solvitur; Filius quippe Verbum et Sapientia est Patris, quibus Patris generationem impassibilem et indivisam esse significatur. Nam ne hominum quidem verbum pars eorum est, neque cum quadam passione ab illis procedit; nedum Dei Verbum, quod Filium esse suum Pater declaravit. Ne autem quispiam audiens duntaxat, Verbum, existimet ejusmodi illud esse quale est humanum, nempe sine substantia; sed quem audit, Filium, agnoscat esse Verbum vivens, et Sapientiam substantia præditam.

Deinde, quemadmodum ubi eum prolem dicimus, hoc non humano more intelligimus; et cum Patrem esse Deum agnoscimus, non corporalia de illo cogitamus: sed dum illa audimus exempla hujusmodique verba, ea tamen congruenti modo de Deo intelligimus, non enim Deus ut homo; sic cum consubstantialem audimus, omnem sensum transcendere debemus, et juxta Proverbium [3], spiritualiter intelligere quæ apponuntur nobis; ut cognoscamus, non voluntate, sed revera eum Filium ex Patre germanum esse, quasi ex fonte vitam, et ex luce splendorem. Alioqui cur illas voces, proles, filius, non corporaliter, consubstantiale autem quasi de corporibus, intelligimus: cum potissimum non de alio atque alio hæc dicantur, sed de quo, proles, de eodem, consubstantiale, dictum sit? Parque est eamdem sententiam utriusque dicti circa Salvatorem retinere, neque vocem illam, proles, recte; illam autem, consubstantialis, aliter interpretari; consequens enim est vos, cum ea mente dicitis Filium Patris Verbum et Sapientiam esse, diversam de his habere sententiam, et alio modo Verbum, alio Sapientiam intelligere. At sicut absurdum illud est: namque Filius est Verbum et Sapientia Patris, unusque est ex Patre fetus, et ejus substantiæ proprius; ita una eademque significatio est prolis et consubstantialis: et qui censet Filium esse fetum, is recte sentit eum esse consubstantialem.

[1] Joan. xiv, 6. [2] Prov. viii, 12. [3] Prov. xxiii, 1.

A σίας, σημαίνει τὴν διάνοιαν. Καὶ αὐτοὶ γοῦν ἐνιστάμενοι πάλιν πρὸς τοὺς κτίσμα λέγοντας εἶναι τὸν Λόγον, καὶ μὴ θέλοντας αὐτὸν γνήσιον Υἱὸν εἶναι, ἐξ ἀνθρωπίνων παραδειγμάτων υἱοῦ καὶ πατρὸς εἰλήφασι τὰς κατ' αὐτῶν ἀποδείξεις, ἐξαιρουμένου τούτου, ὅτι μὴ ὡς ἄνθρωπός ἐστιν ὁ Θεὸς, μηδὲ ὡς ἀνθρωπίνη γονὴ, οὕτως ἐστὶν ἡ τοῦ Υἱοῦ γέννησις, ἀλλ' ὡς ἡ Θεῷ πρέπουσα, καὶ ἡμᾶς ἁρμόζουσα νοεῖν. Καὶ γὰρ καὶ πηγὴν εἰρήκασι τὸν Πατέρα τῆς σοφίας καὶ τῆς ζωῆς, τὸν δὲ Υἱὸν ἀπαύγασμα φωτὸς ἀϊδίου, καὶ αὐτὸν εἶναι τὸ ἐκ τῆς πηγῆς γέννημα λέγοντα· « Ἐγώ εἰμι ἡ ζωὴ, » καὶ, « Ἐγὼ ἡ Σοφία κατεσκήνωσα βουλήν. » Τὸ δὲ ἐκ φωτὸς ἀπαύγασμα, καὶ ἐκ πηγῆς γέννημα, καὶ ἐκ Πατρὸς Υἱὸν, πῶς ἄν τις ἁρμοζόντως ὀνομάσειεν ἢ ὁμοούσιον; Ἆρ' οὖν μὴ, ἐπειδὴ τὰ ἐξ ἀνθρώπων γεννήματα ὁμοούσιά B ἐστιν, εὐλαβεῖσθαι δεῖ μὴ καὶ ὁ Υἱὸς, λεγόμενος ὁμοούσιος, νομισθείη καὶ αὐτὸς ὡς ἀνθρώπινον γέννημα; μὴ γένοιτο! οὐκ ἔστιν οὕτως. Ἀλλὰ καὶ ταχεῖαν ἔχει τὴν λύσιν τοῦτο· Λόγος γάρ ἐστι καὶ Σοφία τοῦ Πατρὸς ὁ Υἱός· ἐξ ὧν τὸ ἀπαθὲς καὶ τὸ ἀμέριστον τῆς ἐκ τοῦ Πατρὸς γεννήσεως γνωρίζεται. Λόγος γὰρ οὐδὲ ὁ τῶν ἀνθρώπων μέρος ἐστὶν, οὐδὲ κατὰ πάθος ἐξ αὐτῶν προέρχεται, μήτι γε ὁ τοῦ Θεοῦ, ὃν Υἱὸν εἶναι ἑαυτοῦ ὁ Πατὴρ ἐδήλωσεν· ἵνα μὴ πάλιν τις ἀκούων μόνον, Λόγον, νομίσῃ τοιοῦτον εἶναι, οἷος ἐστιν ὁ τῶν ἀνθρώπων, ἀνυπόστατος· ἀλλ' ἀκούων, ὅτι Υἱός ἐστι, γινώσκῃ τοῦτον εἶναι ζῶντα Λόγον, καὶ ἐνούσιον Σοφίαν.

C Ἔπειτα, ὥσπερ τὸ γέννημα λέγοντες, οὐκ ἀνθρωπίνως νοοῦμεν, καὶ Πατέρα τὸν Θεὸν εἰδότες, οὐ σωματικήν τινα περὶ αὐτοῦ λαμβάνομεν ἔννοιαν· ἀλλὰ τὰ μὲν παραδείγματα καὶ τὰς τοιαύτας λέξεις ἀκούομεν, ἁρμοζόντως δὲ περὶ Θεοῦ νοοῦμεν· οὐ γὰρ ὡς ἄνθρωπος ὁ Θεός· οὕτως ἄρα καὶ τὸ ὁμοούσιον ἀκούοντες, ὑπερβαίνειν ὀφείλομεν πᾶσαν αἴσθησιν, καὶ κατὰ τὴν Παροιμίαν, νοητῶς νοεῖν τὰ παρατιθέμενα ἡμῖν· ὥστε μέντοι γινώσκειν, ὅτι μὴ θελήσει, ἀλλὰ ἀληθῶς Υἱός ἐστιν ἐκ Πατρὸς γνήσιος, ὡς ἐκ πηγῆς ζωὴ, καὶ φωτὸς ἀπαύγασμα. Ἢ διὰ τί τὸ μὲν, γέννημα, καὶ τὸ, Υἱὸς, οὐ σωματικῶς, τὸ δὲ ὁμοούσιον, ὡς ἐπὶ σωμάτων διανοούμεθα, καὶ μάλιστα, ὅτι οὐ περὶ ἄλλου καὶ ἄλλου ἐστὶ τὰ λεγόμενα, ἀλλὰ περὶ οὗ τὸ γέννημα, περὶ τούτου καὶ τὸ ὁμοούσιον ἐλέχθη; Καὶ πρέπει τὴν αὐτὴν διάνοιαν ἀμφοτέρων D τῶν λέξεων ἐπὶ τοῦ Σωτῆρος διασώζειν, καὶ μὴ τὸ μὲν γέννημα καλῶς ἐξηγεῖσθαι, τὸ δὲ ὁμοούσιον ἄλλως· ἐπεὶ ἀκόλουθόν ἐστιν, οὕτω διακειμένους ὑμᾶς καὶ λέγοντας Λόγον καὶ Σοφίαν τοῦ Πατρὸς τὸν Υἱὸν, διάφορον ἔχειν καὶ περὶ τούτων τὴν διάνοιαν, καὶ ἄλλως μὲν τὸν Λόγον νοεῖν, ἑτέρως δὲ τὴν Σοφίαν. Ἀλλ' ὥσπερ ἄτοπον τοῦτο· Λόγος γὰρ καὶ Σοφία τοῦ Πατρός ἐστιν ὁ Υἱὸς, καὶ ἕν ἐστι τὸ ἐκ Πατρὸς γέννημα, καὶ ἴδιον τῆς οὐσίας αὐτοῦ· οὕτως εἷς ἐστιν ὁ νοῦς τοῦ γεννήματος καὶ τοῦ ὁμοουσίου· καὶ ὁ φρονῶν γέννημα τὸν Υἱὸν φρονεῖ τοῦτον ὀρθῶς καὶ ὁμοούσιον.

Αὐτάρκη μὲν οὖν ταῦτα δεῖξαι, τῶν ἀγαπητῶν A τὴν διάνοιαν μὴ ἀλλοτρίαν, μηδὲ μακρὰν οὖσαν τοῦ ὁμοουσίου. Ἐπειδὴ δὲ, ὡς αὐτοί φασι (τὴν γὰρ ἐπιστολὴν οὐκ ἔσχον ἐγὼ), οἱ τὸν Σαμοσατέα καταχρίναντες ἐπίσκοποι γράφοντες εἰρήκασι μὴ εἶναι ὁμοούσιον τὸν Υἱὸν τῷ Πατρὶ, καὶ λοιπὸν αὐτοὶ, διὰ τὴν πρὸς τοὺς εἰρηκότας εὐλάβειάν τε καὶ τιμὴν, οὕτω περὶ τὴν λέξιν διάκεινται· καλὸν μετ' αὐτῶν μετ' εὐλαβείας καὶ περὶ τούτου διασκέψασθαι. Συγκρούειν μὲν γὰρ τούτους πρὸς ἐκείνους ἀπρεπές· πάντες γάρ εἰσι Πατέρες· διακρίνειν δὲ πάλιν, ὡς οὗτοι μὲν καλῶς, ἐκεῖνοι δὲ τοὐναντίον εἰρήκασιν, οὐχ ὅσιον· οἱ πάντες γὰρ ἐκοιμήθησαν ἐν Χριστῷ. Οὐ χρὴ δὲ φιλονεικεῖν, οὐδὲ τῶν συνελθόντων τὸν ἀριθμὸν συμβάλλειν, ἵνα μὴ δοκῶσιν οἱ τριακόσιοι τοὺς ἐλάττονας ἐπικρύπτειν· οὐδ' ἂν πάλιν τὸν χρόνον B ἀναμετρεῖν, ἵνα μὴ δοκῶσιν οἱ προλαβόντες ἀφανίζειν τοὺς μετὰ ταῦτα γενομένους. Οἱ πάντες γάρ, καθὰ προείρηται, Πατέρες εἰσί· καὶ ὅμως οὐδὲ οἱ τ' νεώτερόν τι φρονήσαντες ἔγραψαν, οὐδὲ ἑαυτοῖς καταθαρσήσαντες, ἀγράφων προέστησαν λέξεων· ἀλλὰ ἐκ Πατέρων ὁρμώμενοι καὶ αὐτοὶ, τοῖς ἐκείνων ἐχρήσαντο ῥήμασι. Διονύσιοι γὰρ δύο γεγόνασιν ἔμπροσθεν πολὺ τῶν ἑβδομήκοντα τῶν καθελόντων τὸν Σαμοσατέα· τούτων ὁ μὲν τῆς Ῥώμης, ὁ δὲ τῆς Ἀλεξανδρείας ἦν ἐπίσκοπος. Ἀλλά τινων αἰτιασαμένων παρὰ τῷ ἐπισκόπῳ Ῥώμης τὸν τῆς Ἀλεξανδρείας ἐπίσκοπον, ὡς λέγοντα ποίημα, καὶ μὴ ὁμοούσιον τὸν Υἱὸν τῷ Πατρὶ, ἡ μὲν κατὰ Ῥώμην σύνοδος ἠγανάκτησεν· ὁ δὲ τῆς Ῥώμης ἐπίσκοπος τὴν πάντων γνώμην γράφει πρὸς τὸν ὁμώνυμον ἑαυτοῦ. Κἀκεῖνος C λοιπὸν, ἀπολογούμενος, τὸ μὲν βιβλίον ἐπιγράφει *Ἐλέγχου καὶ Ἀπολογίας*. Γράφει δὲ ταῦτα πρὸς ἐκεῖνον.

« Καὶ δι' ἄλλης ἐπιστολῆς ἔγραψα, ἐν οἷς ἤλεγξα καὶ ὃ προφέρουσιν ἔγκλημα κατ' ἐμοῦ, ψεῦδος ὄν, ὡς οὐ λέγοντος τὸν Χριστὸν ὁμοούσιον εἶναι τῷ Θεῷ. Εἰ γὰρ καὶ τὸ ὄνομα τοῦτό φημι μὴ εὑρηκέναι, μηδ' ἀνεγνωκέναι που τῶν ἁγίων Γραφῶν, ἀλλά γε τὰ ἐπιχειρήματά μου τὰ ἑξῆς, ἃ σεσιωπήκασι, τῆς διανοίας ταύτης οὐκ ἀπᾴδει. Καὶ γὰρ ἀνθρωπείαν γονὴν παρεθέμην, δῆλον ὡς οὖσαν ὁμογενῆ, φήσας πάντως τοὺς γονεῖς μόνον ἑτέρους εἶναι τῶν τέκνων, ὅτι μὴ αὐτοὶ εἶεν τὰ τέκνα· ἢ μήτε γονεῖς ἀναγκαῖον ὑπάρχειν εἶναι, μήτε τέκνα. Καὶ τὴν μὲν ἐπιστολὴν, ὡς προεῖπον, διὰ τὰς περιστάσεις οὐκ ἔχω προκομίσαι· εἰ δ' οὖν, αὐτά σοι τὰ τότε ῥήματα, μᾶλλον δὲ καὶ πάσης ἀνέπεμψα τὸ ἀντίγραφον· ὅπερ ἐὰν εὐπορήσω, ποιήσω. Οἶδα δὲ καὶ μέμνημαι πλείονα προσθεὶς τῶν συγγενῶν ὁμοιώματα. Καὶ γὰρ καὶ φυτὸν εἶπον, ἀπὸ σπέρματος ἢ ἀπὸ ῥίζης ἀνελθὸν, ἕτερον εἶναι τοῦ ὅθεν ἐβλάστησε, καὶ πάντως ἐκείνῳ καθέστηκεν ὁμοφυές· καὶ ποταμὸν ἀπὸ πηγῆς ῥέοντα, ἕτερον καὶ σχῆμα καὶ ὄνομα μετειληφέναι· μήτε γὰρ τὴν πηγὴν ποταμὸν, μήτε τὸν ποταμὸν πηγὴν λέγεσθαι, καὶ ἀμφότερα ὑπάρχειν· καὶ τὴν μὲν πηγὴν οἱονεὶ Πατέρα εἶναι, τὸν δὲ ποταμὸν εἶναι τὸ ἐκ τῆς πηγῆς γεννώμενον. » Εἴρηκεν ὁ ἐπίσκοπος.

Et satis quidem hæc sunt ad comprobandum dilectorum sententiam non alienam, neque longe esse a consubstantiali. Quoniam autem, ut ipsi dicunt (nam epistola penes me non fuit), qui Samosatensem damnarunt episcopi scripto tradidere Filium Dei non esse Patri consubstantialem, ac demum ipsi, pietatis honorisque causa erga viros qui hæc dixerunt, sic pro ea voce sunt affecti, operæ pretium fuerit pie cum ipsis ea de re disserere. Non decet quippe illos cum his committere: omnes enim Patres sunt; neque sanctum esset definire hos probe, illos male locutos esse: omnes quippe in Christo obdormierunt. Disceptandum porro non est, neque numerus conferendus virorum qui coacti sunt, ne videantur trecenti illi pauciores obscurare, neque tempora metienda sunt, ne qui præcessere subsequentes exauctorare putentur. Omnes enim, uti supra dictum est, Patres sunt; neque tamen trecenti illi aliquam novam scripsere sententiam; neque, sibi ipsis confisi, verbis non antea scriptis patrocinati sunt; sed exemplo Patrum incitati, eorum verba usurparunt. Diu namque ante illos septuaginta qui Samosatensem deposuerunt, duo Dionysii exstitere, quorum alter Romæ, alter Alexandriæ episcopus erat. Cum autem quidam ad Romanum episcopum, Alexandrinum detulissent, quod Filium rem factam et Patri non consubstantialem affirmaret, synodus Romæ coacta rem indigne tulit; Romanus autem episcopus omnium sententiam rescripsit ad gentilem suum. At ille sui purgandi causa librum edit hoc titulo, *Elenchus et Apologia*, et his verbis ad Romanum scripsit episcopum:

« In alia item epistola ea scripsi, quibus criminationem adversariorum repuli, mendacemque ostendi qua aiebant me Christum negare esse Deo consubstantialem. Tametsi enim fateor me hoc vocabulum nusquam Scripturarum sacrarum vel invenisse vel legisse, attamen argumenta mea quæ subsequuntur, quæque isti tacuerunt, ab hac sententia non discrepant. Etenim humanam prolem in exemplum attuli, quam patet ejusdem esse generis ac genitorem. Dixique revera in hoc solum parentes differre a filiis, quod ipsi non sint filii: alioqui necesse fore neque parentes exsistere, neque filios. Epistolam autem, ut ante dixi, ob præsentem rerum D conditionem penes me non habeo. Alioquin ipsa tibi quæ tunc scripsi verba, imo totius epistolæ exemplar misissem, mittamque si quando mihi ejus copia fuerit. Scio autem atque memini me plurimas ex rebus inter se cognatis similitudines conglobasse. Etenim plantam, sive ex semine, sive ex radice succrescentem, aliam esse dixi ab eo unde pullulavit, tametsi ejusdem prorsus est naturæ: fluviumque a fonte fluentem, aliam formam et nomen accipere: neque enim aut fontem fluvium, aut fluvium fontem dici, sed utrumque exsistere: ac fontem quidem quasi patrem esse, fluvium vero, aquam ex fonte manentem. » Hactenus episcopus ille.

Si quis igitur eos qui Nicææ convenerunt arguit, quod præter majorum decreta quædam protulerint, is jure septuaginta episcopos reprehendat, quod majorum suorum decreta non servarint. Prius quippe erant ambo Dionysii, atque ii qui tunc temporis Romæ convenerant episcopi. Sed neutros fas est culpare: omnes quippe res Christi curabant, omnes studia sua convertebant adversus hæreticos, et alii Samosatensem, alii Arianam damnarunt hæresin. Recte autem ac probe utrique scripsere, atque congruenter ad propositum argumentum. Etenim quemadmodum beatus Apostolus ad Romanos his verbis scripsit: « Lex spiritualis est [1]; » et « Lex sancta et mandatum sanctum, et justum et bonum [2]; » et paulo post, « Nam quod impossibile erat legi in quo infirmabatur [3]; » ad Hebræos autem, « Nullum perfecit lex [4]; » ad Galatas, « In lege nemo justificabitur [5]; » ad Timotheum autem, « Bona est lex, si quis ea legitime utatur [6]; » neque tamen quis sanctum virum criminatus fuerit quasi contraria et pugnantia scribat; sed potius admiratus fuerit, quod, ut singulis consentaneum erat, scriberet, ut Romani et alii ex littera ediscerent sese ad Spiritum convertere; Hebræi vero et Galatæ docerentur, non in legem, sed in Dominum qui legem dedit, spem habere: ita quoque etsi ambarum synodorum Patres diverse de consubstantiali mentionem fecerint, nullatenus tamen ab illis dissidere debemus, sed illorum perscrutari sententiam, et tunc ambas inter se synodos consentire deprehendemus. Qui enim Samosatensem deposuere, dixere Christum non esse consubstantialem: neque enim Filius ita se habet respectu Patris qualiter ille cogitabat. Qui autem Arianam hæresin anathemate damnarunt, cum Pauli calliditatem animadvertissent, et cogitarent non ita de incorporeis, et maxime de Deo, consubstantialitatem accipiendam esse, agnoscentesque Verbum non creaturam, sed prolem ex substantia esse; item Patris substantiam, Filii principium, radicem et fontem esse, cum item sibi faverent Dionysii exempla, fontis scilicet vox, et consubstantialis defensio, et ante ista vox Salvatoris index unitatis, « Ego et Pater unum sumus [7], » et, « Qui vidit me vidit et Patrem [8]: » ea, inquam, de causa, jure et ipsi Filium consubstantialem dixerunt. Et sicut, ut supra dixi, nemo Apostolum culpaverit quod de lege Romanis hoc modo, Hebræis alio scripserit, sic nec præsentis temporis homines priscos illo criminati fuerint, si eorum considerent interpretationem; neque prisci posteros reprehenderint si advertant qua sententia et quo usu ita de Domino scripserunt. Etenim utraque synodus ex legitima causa hoc modo alia, alio alia locuta est. Cum enim Samosatensis Filium sentiret non esse ante Mariam, sed ab illa initium exsistendi accepisse, idcirco episcopi tunc congregati illum de-

A Εἴπερ οὖν μέμφεταί τις τοῖς ἐν Νικαίᾳ συνελθοῦσιν, ὡς εἰρηκόσι παρὰ τὰ δόξαντα τοῖς πρὸ αὐτῶν, ὁ αὐτὸς μέμψαιτ' ἂν εἰκότως καὶ τοῖς ἑβδομήκοντα, ὅτι μὴ τὰ τῶν πρὸ αὐτῶν ἐφύλαξαν· πρὸ αὐτῶν δὲ ἦσαν οἱ Διονύσιοι, καὶ οἱ ἐν Ῥώμῃ τὸ τηνικαῦτα συνελθόντες ἐπίσκοποι. Ἀλλ' οὔτε τούτους, οὔτε ἐκείνους ὅσιον αἰτιάσασθαι· πάντες γὰρ ἐπρέσβευον τὰ Χριστοῦ, καὶ πάντες σπουδὴν ἐσχήκασι κατὰ τῶν αἱρετικῶν, καὶ οἱ μὲν τὸν Σαμοσατέα, οἱ δὲ τὴν Ἀρειανὴν αἵρεσιν κατέκριναν. Ὀρθῶς δὲ καὶ οὗτοι κἀκεῖνοι, καὶ καλῶς πρὸς τὴν ὑποκειμένην ὑπόθεσιν γεγράφασι. Καὶ ὥσπερ ὁ μακάριος Ἀπό-
B στολος, Ῥωμαίοις μὲν ἐπιστέλλων, ἔλεγεν· « Ὁ νόμος πνευματικός ἐστι· » καὶ, « Ὁ νόμος ἅγιος, » καὶ, « Ἡ ἐντολὴ ἁγία, καὶ δικαία, καὶ ἀγαθή· » καὶ μετ' ὀλίγον· « Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει· » Ἑβραίοις δὲ ἔγραφεν· « Ὁ νόμος οὐδένα τετελείωκε· » καὶ Γαλάταις μὲν, « Ἐν νόμῳ οὐδεὶς δικαιοῦται· » Τιμοθέῳ δὲ, ὅτι « Καλὸς ὁ νόμος, ἐάν τις αὐτῷ νομίμως χρῆται· » καὶ οὐκ ἄν τις αἰτιάσαιτο τὸν ἅγιον ὡς ἐναντία καὶ μαχόμενα γράφοντα, ἀλλὰ καὶ μᾶλλον θαυμάσειεν ἁρμοζόντως πρὸς ἑκάστους ἐπιστέλλοντα, ἵνα οἱ μὲν Ῥωμαῖοι καὶ οἱ ἄλλοι μάθωσιν ἀπὸ τοῦ γράμματος ἐπιστρέφειν εἰς τὸ Πνεῦμα· οἱ δὲ Ἑβραῖοι καὶ Γαλάται παιδευθῶσι μὴ εἰς τὸν νόμον, ἀλλ' εἰς τὸν Κύριον τὸν δεδωκότα τὸν νόμον ἔχειν τὰς ἐλπίδας· οὕτως εἰ ἀμφοτέρων
C τῶν συνόδων οἱ Πατέρες διαφόρως ἐμνημόνευσαν περὶ τοῦ ὁμοουσίου, οὐ χρὴ πάντως ἡμᾶς διαφέρεσθαι πρὸς αὐτοὺς, ἀλλὰ τὴν διάνοιαν αὐτῶν ἐρευνᾷν, καὶ πάντως εὑρήσομεν ἀμφοτέρων τῶν συνόδων τὴν ὁμόνοιαν. Οἱ μὲν γὰρ τὸν Σαμοσατέα καθελόντες εἰρήκασι μὴ εἶναι τὸν Χριστὸν ὁμοούσιον· οὐκ ἔστι γὰρ οὕτως ὁ Υἱὸς πρὸς τὸν Πατέρα, ὡς ἐκεῖνος ἐνόει· οἱ δὲ τὴν Ἀρειανὴν αἵρεσιν ἀναθεματίσαντες, θεωρήσαντες τὴν πανουργίαν τοῦ Παύλου, καὶ λογισάμενοι μὴ οὕτως καὶ ἐπὶ τῶν ἀσωμάτων, καὶ μάλιστα ἐπὶ Θεοῦ τὸ ὁμοούσιον σημαίνεσθαι, γινώσκοντές τε μὴ κτίσμα, ἀλλ' ἐκ τῆς οὐσίας γέννημα εἶναι τὸν Λόγον, καὶ τὴν οὐσίαν τοῦ Πατρὸς ἀρχὴν, καὶ ῥίζαν, καὶ πηγὴν εἶναι τοῦ Υἱοῦ, ἔχοντες δὲ καὶ τὰ τῶν περὶ Διονύσιον παραδείγματα, τὴν πηγὴν καὶ τὴν περὶ τοῦ
D ὁμοουσίου ἀπολογίαν, πρὸ δὲ τούτων τὴν τοῦ Σωτῆρος ἑνοειδῆ φωνήν· « Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· » καὶ, « Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα· » τούτου ἕνεκεν εἰκότως εἰρήκασι καὶ αὐτοὶ ὁμοούσιον τὸν Υἱόν. Καὶ ὥσπερ, καθὰ προεῖπον, οὐκ ἄν τις αἰτιάσαιτο τὸν Ἀπόστολον, εἰ περὶ τοῦ νόμου Ῥωμαίοις μὲν οὕτως, Ἑβραίοις δὲ οὕτως ἔγραψε· τὸν αὐτὸν τρόπον οὔτε οἱ νῦν τοῖς προτέροις ἐγκαλέσαιεν, βλέποντες αὐτῶν τὴν ἑρμηνείαν· οὔτε οἱ πρότεροι τοὺς μετ' αὐτοὺς μέμψαιντ' ἂν, ὁρῶντες τὴν ἑρμηνείαν αὐτῶν, καὶ τὴν χρείαν δι' ἣν οὕτως ἔγραψαν περὶ τοῦ Κυρίου. Καὶ γὰρ καὶ τὴν αἰτίαν ἑκάστη σύνοδος (14) εὔλογον ἔχει, δι' ἣν οἱ μὲν οὕτως, οἱ δὲ οὕτως εἰρήκασιν. Ἐπειδὴ γὰρ ὁ Σαμοσατεὺς ἐφρόνει

[1] Rom. VII, 14. [2] ibid. 12. [3] Rom. VIII, 3. [4] Hebr. VII, 19. [5] Galat. III, 1. [6] I Tim. I, 8. [7] Joan. X, 30. [8] Joan. XIV, 9.

μὴ εἶναι πρὸ Μαρίας τὸν Υἱὸν, ἀλλ' ἀπ' αὐτῆς ἀρχὴν ἐσχηκέναι τοῦ εἶναι, τούτου ἕνεκεν οἱ τότε συνελθόντες, καθεῖλον μὲν αὐτὸν καὶ αἱρετικὸν ἀπέφηναν· περὶ δὲ τῆς τοῦ Υἱοῦ θεότητος ἁπλούστερον γράφοντες, οὐ κατεγένοντο περὶ τὴν τοῦ ὁμοουσίου ἀκρίβειαν. Τὴν φροντίδα γὰρ εἶχον πᾶσαν, ὅπερ ἐπενόησεν ὁ Σαμοσατεὺς, ἀνελεῖν, καὶ δεῖξαι πρὸ πάντων εἶναι τὸν Υἱὸν, καὶ ὅτι οὐκ ἐξ ἀνθρώπων γέγονε Θεὸς, ἀλλὰ, Θεὸς ὤν, ἐνεδύσατο δούλου μορφὴν, καὶ Λόγος ὤν, γέγονε σὰρξ, ὡς εἶπεν ὁ Ἰωάννης· καὶ οὕτω μὲν κατὰ τῆς βλασφημίας Παύλου πέπρακται. Ἐπειδὴ δὲ καὶ οἱ περὶ Εὐσέβιον καὶ Ἄρειον πρὸ χρόνων μὲν εἶναι τὸν Υἱὸν ἔλεγον, πεποιῆσθαι μέντοι, καὶ ἕνα τῶν κτισμάτων αὐτὸν ἐδίδασκον, καὶ τὸ, ἐκ τοῦ Θεοῦ, οὐχ ὡς Υἱὸν ἐκ Πατρὸς γνήσιον, ἐπίστευον· ἀλλ' ὡς τὰ κτίσματα· οὕτ' οὕτω καὶ ἐπ' αὐτοῦ τὸ ἐκ τοῦ Θεοῦ εἶναι διεβεβαιοῦντο· τήν τε τῆς ὁμοιώσεως ἑνότητα τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα οὐκ ἔλεγον κατὰ τὴν οὐσίαν, οὐδὲ κατὰ τὴν φύσιν, ὡς ἔστιν υἱὸς ὅμοιος Πατρὶ, ἀλλὰ διὰ τὴν συμφωνίαν τῶν δογμάτων καὶ τῆς διδασκαλίας· ἀλλὰ γὰρ καὶ ἀπεσχοίνιζον καὶ ἀπεξενοῦντο παντελῶς τὴν οὐσίαν τοῦ Υἱοῦ ἀπὸ τοῦ Πατρὸς, ἑτέραν ἀρχὴν αὐτῷ τοῦ εἶναι παρὰ τὸν πατέρα ἐπινοοῦντες, καὶ εἰς τὰ κτίσματα καταφέροντες αὐτόν· τούτου χάριν οἱ ἐν Νικαίᾳ συνελθόντες, θεωρήσαντες τὴν πανουργίαν τῶν οὕτω φρονούντων, καὶ συναγαγόντες ἐκ τῶν Γραφῶν τὴν διάνοιαν, λευκότερον γράψαντες, εἰρήκασι τὸ ὁμοούσιον· ἵνα καὶ τὸ γνήσιον ἀληθῶς ἐκ τούτου γνωσθῇ τοῦ Υἱοῦ, καὶ μηδὲν κοινὸν ἔχῃ πρὸς τοῦτον τὰ γενητά. Ἡ γὰρ τῆς λέξεως ταύτης ἀκρίβεια τήν τε ὑπόκρισιν αὐτῶν, ἐὰν λέγωσι τὸ, ἐκ τοῦ Θεοῦ, ῥητὸν, διελέγχει, καὶ πάσας αὐτῶν τὰς πιθανότητας, ἐν αἷς ὑφαρπάζουσι τοὺς ἀκεραίους, ἐκβάλλει. Πάντα γοῦν δυνάμενοι σοφίζεσθαι καὶ μεταποιεῖν, ὡς θέλουσι, ταύτην μόνην τὴν λέξιν, ὡς διελέγχουσαν αὐτῶν τὴν αἵρεσιν, δεδίασιν· ἣν οἱ Πατέρες ὥσπερ ἐπιτείχισμα κατὰ πάσης ἀσεβοῦς ἐπινοίας αὐτῶν ἔγραψαν.

A posuerunt, et hæreticum declararunt: de Filii autem divinitate cum simplicius scriberent, ad accuratam consubstantialis interpretationem non devenerunt. Tota enim eorum cura in eo posita erat, ut quod Samosatensis commentus fuerat everterent, et ante omnia Filium esse declararent, eumque nequaquam ex homine Deum factum esse, sed Deus cum esset, formam servi induisse, et cum Verbum esset, factum carnem, ut ait Joannes, atque ita adversus Pauli blasphemiam actum est. Cum autem Eusebiani et Ariani, ante tempora quidem Filium fuisse dicerent, factum tamen fuisse, ac unam e creaturis eum esse docerent, et illud, ex Deo, non Filium ex Patre genuinum esse crederent; sed sicut creaturas, ita eum affirmarent ex Deo esse: unitatem B autem similitudinis Filii cum Patre dicerent non esse secundum substantiam, nec secundum naturam, quemadmodum filius est patri similis, sed ob solum dogmatum doctrinæque consensum: imo cum substantiam Filii a Patre omnino separarent et alienarent, diversum a Patre initium ipsum habere commenti, ad creaturasque eum deprimentes: ideo qui Nicææ congregati erant, eorum qui ita sentirent vafritiem conspicati, Scripturarumque mente collecta, liquidius scripsere consubstantialem eum esse; ut hinc vera et genuina Filii natura explorata esset, palamque foret opificia nihil cum eo commune habere. Accurata enim hujus vocis ratio, eorum coarguit simulationem qua hanc proferunt vocem, ex Deo, omnesque eorum ad simpli- C ciores seducendos argutias refellit. Certe cum omnia possint pro libidine sophismatibus eludere ac detorquere, hanc solam vocem, utpote quæ suam hæresin confutet, reformidant; quam Patres, quasi propugnaculum adversus impiam omnem eorum cogitationem, conscripsere.

Πεπαύσθω τοίνυν πᾶσα φιλονεικία, καὶ μηκέτι προσκόπτωμεν ἡμεῖς, εἰ διαφόρως ἐξειλήφασιν αἱ σύνοδοι τὴν τοῦ ὁμοουσίου λέξιν. Ἔχομεν γὰρ εἰς ἀπολογίαν εὐλόγους περὶ αὐτῶν αἰτίας, τὰς προειρημένας μὲν, καὶ ταύτην δέ· τὸ ἀγέννητον, εἰ καὶ μὴ παρὰ τῶν Γραφῶν μεμαθήκαμεν, οὐδαμοῦ γὰρ ἀγέννητον τὸν Θεὸν εἰρήκασιν αἱ Γραφαὶ, ὅμως ἐπειδὴ καὶ πολλοὶ τῶν δοκούντων ἐμνημόνευσαν τοῦ ὀνόματος, φιλοπευστήσαντες ἔγνωμεν ὅτι καὶ τοῦτο τὸ ὄνομα διάφορα ἔχει τὰ σημαινόμενα· καὶ οἱ μὲν τὸ ὂν μὲν, μήτε δὲ γεννηθὲν, μήτε ὅλως ἔχον τὸν αἴτιον, λέγουσιν ἀγέννητον· οἱ δὲ τὸ ἄκτιστον. Ὥσπερ οὖν τούτων οὕτω σημαινομένων, εἰ ὁ μέν τις ἀποβλέπων εἰς τὸ πρότερον σημαινόμενον, τὸ, μὴ ἔχον τὸν αἴτιον, ἔλεγε μὴ εἶναι ἀγέννητον τὸν Υἱὸν, οὐκ ἂν κατηγόρει βλέπων ἕτερον βλέποντα εἰς τὸ μὴ εἶναι ποίημα μηδὲ κτίσμα, ἀλλ' ἀΐδιον γέννημα, καὶ λέγοντα ἀγέννητον τὸν Υἱόν. Ἀμφότεροι γὰρ πρὸς τὸν ἴδιον σκοπὸν ὁρῶντες, καλῶς εἰρήκασιν· οὕτως εἰ καὶ τῶν Πατέρων οἱ μὲν οὕτως, οἱ δὲ οὕτως εἰρήκασι περὶ τοῦ ὁμοουσίου, μὴ φιλονεικῶμεν

Cesset ergo omnis contentio, nec ultra in nos mutuo impingamus; disceptemusque num variis modis synodi consubstantialis vocem acceperint. Ad defensionem enim legitimas causas pro iis afferendas habemus, cum supra dictas, tum etiam istam: nempe, licet hanc vocem, ingenitum, ex Scripturis non didicerimus, nusquam enim Scripturæ Deum ingenitum dixere; attamen cum mul- D ti præclari viri de illo nomine mentionem fecerint, accurate de illo sciscitati, agnovimus hoc nomen diversa significare: alii enim aiunt ingenitum esse id quod exsistit, nec tamen genitum est, neque omnino causam habet: alii vero, id quod creatum non est. Si quis igitur harum significationum priorem respiciens, qua intelligitur ingenitum esse quod nullam habet causam, diceret Filium non esse ingenitum; non ideo si quem conspicatus qui, juxta sententiam quæ ait ipsum nec opificium nec creaturam, sed æternam prolem esse, eum ingenitum diceret, illum propterea criminaretur. Uterque enim juxta proprium scopum probe locutus esset; ita

quoque si ex Patribus alii alio modo de consubstantiali locuti sunt, ne contendamus: sed pie eorum dicta excipiamus, dum maxime toto studio pietati operam dederunt.

Ignatius certe, qui post apostolos Antiochiæ episcopus constitutus est, ipseque martyr Christi fuit, de Domino scribens, dixit: « Unus medicus est carnalis et spiritualis, factus et non factus, in homine Deus, in morte vita vera, et ex Maria et ex Deo. » Quidam autem post Ignatium et ipsi ex magistris nostris scribunt: « Unum non factum est, scilicet Pater: et unus ex ipso Filius germanus, proles vera, Verbum et Sapientia Patris. » Si itaque illis etiam adversamur, sit nobis adversum synodos quoque certamen. Quod si gnari eorum in Christo fidei, persuasum habemus beatum etiam Ignatium recte scripsisse, cum illum carnis causa factum dixit (Christus enim caro factus est), et non-factum, quia non ex opificiis et rebus factis est, sed Filius ex Patre: nec ignoramus eos qui unum non-factum, scilicet Patrem dixere, non quasi Verbum sit res facta aut opificium ita scripsisse; sed quia nullam Pater habeat causam; imo potius, quia ipse quidem Pater sit Sapientiæ, opificia autem omnia in sapientia fecerit; cur non etiam Patres, cum eos qui Samosatensem deposuere, tum eos qui Arianam hæresim infamia notarunt, in unum pietatis tuendæ studium conjungimus, imo segregamus, et quare non potius de illis recte sentimus: quandoquidem, uti jam dixi, priores illi solum Samosatensis sophisma, et ejus interpretationem spectantes, scripsere non esse Christum consubstantialem: hi vero verba sane intelligentes, dixere Filium esse consubstantialem? Equidem cum tali de piis illis erga Christum viris sim sententia, hæc paucis conscripsi. Quod si epistolæ, quam illos scripsisse dicunt, mihi copia fuisset, existimo plures deprehensurum me fuisse causas, cur beati illi ita scribere coacti sint. Par est enim decetque nos ita sentire, probumque erga Patres animum servare, si tamen spurii non sumus, et si ab illis traditiones pietatisque doctrinam tenemus.

Talem igitur Patrum fuisse mentem dicamus, credamusque. Age vero rursum cum illis rem placide et bono animo inquiramus, deque supra dictis mentionem faciamus: annon revera demonstrari possit episcopos Nicææ congregatos recte sensisse? Si Verbum est res facta, et alienum a Patris substantia, ita ut a Patre segregetur, imo ea separatione quæ a diversitate naturæ proficiscatur, Patri certe consubstantiale nequaquam fuerit; sed potius ejusdem naturæ, cujus res factæ, etsi illis gratia antecellat. Quod si confiteamur eum non esse opificium, sed genuinam ex Patris substantia prolem, consequens sane fuerit eum inseparabilem esse a Patre, cum sit ejusdem naturæ, utpote ab illo genitus. Talis autem cum sit, jure consubstantialis dicatur.

A ἡμεῖς, ἀλλ' εὐσεβῶς τὰ παρ' αὐτῶν δεχώμεθα, ἕως μάλιστα τὴν σπουδὴν εἶχον εἰς εὐσέβειαν.

Ἰγνάτιος οὖν, ὁ μετὰ τοὺς ἀποστόλους ἐν Ἀντιοχείᾳ κατασταθεὶς ἐπίσκοπος, καὶ μάρτυς τοῦ Χριστοῦ γενόμενος, γράφων περὶ τοῦ Κυρίου, εἴρηκεν· « Εἷς ἰατρός ἐστι, σαρκικὸς καὶ πνευματικός, γενητὸς καὶ ἀγένητος, ἐν ἀνθρώπῳ Θεός, ἐν θανάτῳ ζωὴ ἀληθινή, καὶ ἐκ Μαρίας καὶ ἐκ Θεοῦ. » Τινὲς δὲ καὶ τῶν μετὰ Ἰγνάτιον διδάσκαλοι καὶ αὐτοὶ γράφουσιν· « Ἓν τὸ ἀγένητον ὁ Πατήρ, καὶ εἷς ὁ ἐξ αὐτοῦ Υἱὸς γνήσιος, γέννημα ἀληθινόν, Λόγος καὶ Σοφία τοῦ Πατρός. » Εἰ μὲν οὖν καὶ πρὸς τούτους ἐναντίως διακείμεθα, ἔστω καὶ πρὸς τὰς συνόδους B ἡμῖν ἡ μάχη. Εἰ δέ, τὴν ἐν Χριστῷ πίστιν αὐτῶν γινώσκοντες, πεπείσμεθα, ὅτι καὶ ὁ μακάριος Ἰγνάτιος ὀρθῶς ἔγραψε, γενητὸν αὐτὸν λέγων διὰ τὴν σάρκα (ὁ γὰρ Χριστὸς σὰρξ ἐγένετο)· ἀγένητον δέ, ὅτι μὴ τῶν ποιημάτων καὶ γενητῶν ἐστιν, ἀλλ' Υἱὸς ἐκ Πατρός. Οὐκ ἀγνοοῦμεν δέ, ὅτι καὶ οἱ εἰρηκότες ἓν τὸ ἀγένητον τὸν Πατέρα λέγοντες, οὐχ ὡς γενητοῦ καὶ ποιήματος ὄντος τοῦ Λόγου οὕτως ἔγραψαν, ἀλλ' ὅτι μὴ ἔχει τὸν αἴτιον· καὶ μᾶλλον αὐτὸς Πατὴρ μέν ἐστι τῆς Σοφίας, τὰ δὲ γενητὰ πάντα ἐν σοφίᾳ πεποίηκε· διὰ τί μὴ καὶ τοὺς Πατέρας, τούς τε τὸν Σαμοσατέα καθελόντας, καὶ τὴν Ἀρειανὴν αἵρεσιν στηλιτεύσαντας, εἰς εὐσέβειαν συνάγομεν, ἀλλὰ διαστέλλομεν ἀνὰ μέσον αὐτῶν, καὶ οὐ μᾶλλον ὀρθῶς περὶ αὐτῶν φρονοῦμεν; ὅτι κἀκεῖνοι, καθάπερ εἶπον, πρὸς τὸ σόφισμα τοῦ Σαμοσατέως, C καὶ τὴν ἑρμηνείαν αὐτοῦ τὴν διάνοιαν ἔχοντες, ἔγραψαν, Οὐκ ἔστιν ὁμοούσιος· καὶ οὗτοι δέ, καλῶς νοήσαντες, εἰρήκασιν ὁμοούσιον εἶναι τὸν Υἱόν. Καὶ γὰρ κἀγὼ τοιαῦτα μὲν νοῶν περὶ τῶν εὐσεβούντων εἰς τὸν Χριστὸν δι' ὀλίγων ἔγραψα· εἰ δὲ δυνατὸν ἦν εὐπορῆσαι καὶ τῆς ἐπιστολῆς, ἣν λέγουσιν ἐκείνους γεγραφέναι, ἡγοῦμαι πλείους εὑρεθήσεσθαι τὰς προφάσεις, δι' ἃς ἠναγκάσθησαν οὕτω γράψαι οἱ μακάριοι ἐκεῖνοι. Δεῖ γὰρ ἡμᾶς καὶ πρέπει τοιαῦτα φρονεῖν, τοιαύτην τε σώζειν ἀγαθὴν συνείδησιν πρὸς τοὺς Πατέρας, εἴγε μὴ νόθοι τυγχάνομεν, ἀλλ' ἐξ αὐτῶν ἔχομεν τὰς παραδόσεις, καὶ παρ' αὐτῶν τὴν τῆς εὐσεβείας διδασκαλίαν.

D Τοιαύτη μὲν οὖν ἡ διάνοια τῶν Πατέρων λεγέσθω καὶ πιστευέσθω. Φέρε δὲ καὶ μετ' αὐτῶν πάλιν ἐξετάσωμεν τὸ πρᾶγμα πράως, καὶ μετὰ συνειδήσεως ἀγαθῆς, μνημονεύσαντες καὶ τῶν προειρημένων· εἰ μὴ τῷ ὄντι δείκνυνται καλῶς φρονήσαντες οἱ ἐν τῇ Νικαίᾳ συνελθόντες ἐπίσκοποι. Εἰ μὲν ποίημά ἐστιν ὁ Λόγος, καὶ ἀλλότριος τῆς τοῦ Πατρὸς οὐσίας, ὥστε καὶ χωρίζεσθαι αὐτὸν ἀπὸ τοῦ Πατρὸς τῷ ἑτεροφυεῖ χωρισμῷ, οὐκ ἂν εἴη ὁμοούσιος τῷ Πατρί, ἀλλὰ μᾶλλον ὁμογενὴς τῇ φύσει τοῖς ποιήμασι, κἂν ὑπερβάλλῃ τῇ χάριτι· εἰ δὲ ὁμολογοῦμεν μὴ εἶναι αὐτὸν ποίημα, ἀλλὰ γνήσιον ἐκ τῆς οὐσίας τοῦ Πατρὸς γέννημα, ἀκόλουθον ἂν εἴη καὶ ἀχώριστον αὐτὸν εἶναι τοῦ Πατρός, ὁμοφυῆ ὄντα διὰ τὸ ἐξ αὐτοῦ γεγεννῆσθαι. Τοιοῦτος δὲ ὤν, εἰκότως

καὶ ὁμοούσιος ἂν λέγοιτο. Ἔπειτα εἰ μὴ ἐκ μετουσίας ἐστὶν ὁ Υἱός, ἀλλὰ τῇ οὐσίᾳ Λόγος ἐστὶ καὶ Σοφία τοῦ Πατρὸς, ἡ δὲ οὐσία αὕτη τῆς οὐσίας τῆς πατρικῆς ἐστι γέννημα καὶ ὁμοιότης αὐτῆς, ὥσπερ καὶ τὸ ἀπαύγασμα τοῦ φωτός· λέγει δὲ ὁ Υἱὸς, « Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, » καὶ, « Ὁ ἐμὲ ἑωρακὼς ἑώρακε τὸν Πατέρα· » πῶς δεῖ νοεῖν ταύτας τὰς φωνάς; ἢ πῶς αὐτὰς ἐκλαμβάνοντες, σώσομεν τὸ ἓν εἶναι τὸν Πατέρα καὶ τὸν Υἱόν; Εἰ μὲν οὖν τῇ συμφωνίᾳ τῶν δογμάτων, καὶ τῷ μὴ διαφωνεῖν πρὸς τὸν Πατέρα, ὡς οἱ Ἀρειανοὶ λέγουσι, φαῦλος ὁ τοιοῦτος νοῦς. Καὶ γὰρ καὶ οἱ ἅγιοι, καὶ μᾶλλόν γε ἄγγελοι καὶ ἀρχάγγελοι, τὴν τοιαύτην ἔχουσι πρὸς τὸν Θεὸν συμφωνίαν, καὶ οὐδεμία παρ' αὐτοῖς ἐστι διαφωνία. Ὁ γὰρ διαφωνήσας διάβολος ἐθεωρήθη πίπτων ἐκ τῶν οὐρανῶν, ὡς εἶπεν ὁ Κύριος. Οὐκοῦν εἰ διὰ τὴν συμφωνίαν ἕν ἐστιν ὁ Πατὴρ καὶ ὁ Υἱὸς, εἴη ἂν καὶ τῶν γενητῶν τὰ συμφωνοῦντα οὕτω πρὸς τὸν Θεὸν, καὶ εἴποι ἂν ἕκαστος· « Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν. » Εἰ δὲ τοῦτο ἄτοπον· ἄτοπον γάρ ἐστιν ἀληθῶς· ἀνάγκη λοιπὸν κατὰ τὴν οὐσίαν νοεῖν καὶ τὴν Υἱοῦ καὶ Πατρὸς ἑνότητα. Τὰ μὲν γὰρ γενητὰ κἂν συμφωνίαν ἔχῃ πρὸς τὸν πεποιηκότα, ἀλλ' ἐν κινήσει καὶ μετουσίᾳ καὶ νῷ ταύτην ἔχει, ἥνπερ ὁ μὴ φυλάξας ἐκβέβληται τῶν οὐρανῶν· Ὁ δὲ Υἱὸς ἐκ τῆς οὐσίας ὢν γέννημα, οὐσίᾳ ἕν ἐστιν αὐτὸς καὶ ὁ γεννήσας αὐτὸν Πατήρ.

Διὰ τοῦτο γὰρ καὶ τὸ ἰσάζον ἔχει πρὸς τὸν Πατέρα ταῖς ἑνοειδέσι φωναῖς, καὶ τὰ ἐπὶ τοῦ Πατρὸς λεγόμενα, ταῦτα καὶ ἐπὶ Υἱοῦ λέγουσιν αἱ Γραφαὶ, πλὴν μόνον τοῦ λέγεσθαι αὐτὸν Πατέρα. Αὐτὸς γὰρ εἶπεν ὁ Υἱός· « Πάντα, ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι· » τῷ τε Πατρὶ ἔλεγε· « Πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά· » οἷον τὸ, Θεός. « Θεὸς » γὰρ « ἦν ὁ Λόγος· » τὸ, Παντοκράτωρ· « Τάδε λέγει ὁ ὢν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος ὁ Παντοκράτωρ· » τὸ εἶναι φῶς· « Ἐγώ εἰμι, » φησί, « τὸ φῶς· » τὸ δημιουργικὸν αἴτιον· « Πάντα γὰρ δι' αὐτοῦ ἐγένετο· » καὶ, « Ἃ βλέπω τὸν Πατέρα ποιοῦντα, ταῦτα κἀγὼ ποιῶ· » τὸ εἶναι ἀΐδιον· « Ἥ τε » γὰρ « ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, » καὶ, « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, » καὶ, « Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· » τὸ εἶναι Κύριος· « Ἔβρεξε γὰρ Κύριος θεῖον καὶ πῦρ παρὰ Κυρίου· » καὶ ὁ μὲν Πατήρ φησιν· « Ἐγὼ Κύριος, » καὶ, « Τάδε λέγει Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ· » περὶ δὲ τοῦ Υἱοῦ ὁ Παῦλός φησιν· « Εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα. » Καὶ τῷ μὲν Πατρὶ λειτουργοῦσιν ἄγγελοι· ὁ δὲ Υἱὸς προσκυνεῖται παρ' αὐτῶν· « Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. » Λέγεται δὲ εἶναι καὶ Κύριος ἀγγέλων· « Διηκόνουν » γὰρ « αὐτῷ οἱ ἄγγελοι· » καὶ, « Ἀποστελεῖ ὁ Υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ· » τὸ τιμᾶσθαι ὡς τὸν Πατέρα· « Ἵνα » γὰρ, φησί, « τιμῶσι τὸν Υἱὸν, καθὼς τιμῶσι τὸν Πατέρα » τὸ εἶναι ἴσα Θεῷ· « Οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα

A Deinde si non ex participatione Filius est, sed substantia ipsa Verbum est et Sapientia Patris: hæc autem substantia, paternæ substantiæ fetus est et ejus similitudo, veluti splendor est similitudo lucis, Filiusque dicit: « Ego et Pater unum sumus [1]; » et: « Qui vidit me, vidit et Patrem [2]; » quomodo hæ voces intelligendæ sunt? aut qua mente eas accipientes, Patrem et Filium unum esse tuebimur? Nam si ob dogmatum consensum, et quod Pater a Filio non dissentiat, ut dicunt Ariani, prava sane est hæc intelligendi ratio. Etenim sancti, et multo magis angeli et archangeli, hujusmodi habent cum Deo consensum, nec ulla apud ipsos est dissensio; nam qui discors fuit diabolus, e cœlo cadere visus est, ut ait Dominus. Si ergo ob consensum Pater et Fi-
B lius unum sunt, etiam opificia quæ ita cum Deo consentient, unum cum eo fuerint, quorum quodque dicere possit: « Ego et Pater unum sumus. » Quod si absurdum hoc sit, ut revera est, necesse demum fuerit Filii et Patris unitatem secundum substantiam intelligere. Res factæ enim quantumvis cum opifice suo consensum habeant: motu tantum, participatione, et mente eum habent, quem cum ille non servasset, ejectus ex cœlo est. Filius autem cum sit ex substantia fetus, substantia quoque ipse et, qui genuit eum, Pater unum sunt.

Quamobrem vocibus unitatem indicantibus æqualitatem cum Patre habere dicitur, et hinc fit ut quæ de Patre dicuntur, eadem de Filio Scripturæ asserant: ea tamen exceptione quod ille
C Pater dicatur. Ipse enim Filius ait: « Omnia quæcunque habet Pater, mea sunt [3]; » Patrique dixit: « Omnia mea, tua sunt, et tua mea [4]. » Hujusmodi est illud, Deus: nam, « Deus erat Verbum [5]; » et illud, Omnipotens: « Hæc dicit qui est, et qui erat, et qui venturus est Omnipotens [6]; » et quod sit lux: « Ego sum, » inquit, « lux [7]; » quod sit creatrix causa, nam, « Omnia per ipsum facta sunt [8], » et, « Quæ video Patrem facientem, hæc et ego facio [9]; » quod sit æternus: « Sempiterna » enim « quoque ejus virtus et divinitas [10], » et, « In principio erat Verbum [11]; » et, « Erat lux vera quæ illuminat omnem hominem venientem in mundum [12]; » quod sit Dominus: « Pluit enim Dominus ignem et sulphur a Domino [13]; » et Pater quidem ait: « Ego Domi-
D nus [14], » et, « Hæc dicit Dominus Deus omnipotens [15]; » de Filio autem inquit Paulus: « Unus Dominus Jesus Christus, per quem omnia [16]. » Patri ministrant angeli, Filius autem ab ipsis adoratur: « Et adorent eum omnes angeli Dei [17]. » Dicitur etiam esse Dominus angelorum, nam, « Angeli ministrabant ei [18]; » et, « Mittet Filius hominis angelos suos [19]; » quod honoretur sicut Pater: « Ut », inquit, « honorificent Filium, sicut honorificant Patrem [20]. » Quod sit æqualis Deo: « Non

[1] Joan. x, 30. [2] Joan. xiv, 9. [3] Joan. xvi, 15. [4] Joan. xvii, 10. [5] Joan. i, 1. [6] Apoc. i, 8. [7] Joan. viii, 12. [8] Joan. i, 3. [9] Joan. v, 19. [10] Rom. i, 20. [11] Joan. i, 1. [12] ibid. 9. [13] Gen. xix, 24. [14] Malach. iii, 6. [15] Gen. xvii, ... xxiv, 31. [20] Joan. v, 23.

rapinam arbitratus est esse se æqualem Deo [1] : » quod sit ex vero veritas, ex vivente vita, ut qui revera ex Patris fonte emanaverit : quod Filius vivificet et suscitet mortuos sicut Pater, ita enim legitur in Evangelio. Et de Patre quidem scriptum est : « Dominus Deus tuus, unus Dominus est [2] ; » et : « Deus deorum Dominus locutus est, et vocavit terram [3] ; » de Filio autem, « Deus Dominus et illuxit nobis [4], » et, « Videbitur Deus deorum in Sion [5]. » Et rursum de Deo quidem ait Isaias : « Quis Deus, ut tu, tollens iniquitates, et superans injustitias [6] ? » Filius vero dicebat, quibus placuit ipsi : « Dimittuntur tibi peccata tua [7] : » quo tempore Judæis murmurantibus, opere illam remissionem comprobavit, dicens paralytico : « Surge, tolle grabatum tuum, et vade in domum tuam [8]. » De Deo quoque dixit Paulus : « Regi sæculorum [9] ; » de Filio autem David cecinit : « Attollite portas, principes, vestras, et elevamini, portæ æternales, et introibit Rex gloriæ [10] ; » Daniel vero hæc audivit : « Regnum ejus, regnum sempiternum [11], » et, « Regnum ejus non corrumpetur [12]. » Demum quæcunque de Patre dicta repereris, tot tantaque de Filio dicta deprehendes, ea solum exceptione, quod ipse non sit Pater, ut dictum superius est.

50. Si quis igitur aliud principium et alium Patrem excogitet, eo quod æqualia sint quæ dicuntur, insanum certe illud commentum. Si autem quia Filius ex Patre est, omnia quæ Patris sunt (ut in imagine et charactere) Filii sunt : æquo animo cogitemus, num substantia aliena a Patris substantia, istiusmodi rerum capax sit : et si, qui talis est, diversæ naturæ, et alienæ substantiæ sit, et non potius Patri consubstantialis. Cavendum enim, ne quæ Patris propria sunt transferentes ad illud, quod ei substantia dissimile est, et ne in eo qui dissimilis natura, et alienus substantia est, Patris divinitatem designantes, extraneam aliam inducamus substantiam, primæ substantiæ proprietatum capacem : pudoreque afficiamur ab ipso Deo dicente, « Gloriam meam alteri non dabo [13], » et deprehendamur alienum adorare, talesque habeamur, quales olim fuere Judæi, qui aiebant : « Quare tu, homo cum sis, facis teipsum Deum [14] ? » cum illi ea quæ Spiritus erant alio transferentes, blasphemarent his verbis : « In Beelzebulem ejicit dæmonia [15]. » Quod si illud indecorum est, certe non dissimilis substantiæ fuerit Filius, sed consubstantialis Patri. Etenim si quæ Patris sunt, naturaliter Filii sunt, ipseque Filius ex Patre est, et propter hujusmodi unitatem divinitatis et naturæ, ipse et Pater unum sunt, et qui vidit Filium vidit et Patrem, merito a Patribus dictus est consubstantialis : neque enim qui alterius esset substantiæ, talia habere posset.

Θεῷ· » τὸ εἶναι ἐξ ἀληθινοῦ ἀλήθειαν, καὶ ἐκ ζῶντος ζωὴν, ὡς ἀπὸ πηγῆς ὄντως τοῦ Πατρός, τὸ ζωοποιεῖν τὸν Υἱὸν καὶ ἐγείρειν τοὺς νεκροὺς ὥσπερ ὁ Πατήρ· οὕτω γὰρ ἐν τῷ Εὐαγγελίῳ γέγραπται. Καὶ περὶ μὲν τοῦ Πατρὸς γέγραπται· « Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι· » καὶ, « Θεὸς θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν· » περὶ δὲ τοῦ Υἱοῦ Θεὸς Κύριος, καὶ, « Ἐπέφανεν ἡμῖν, » καὶ, « Ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών· » πάλιν τε περὶ μὲν τοῦ Θεοῦ φησιν ὁ Ἡσαΐας· « Τίς Θεὸς, ὥσπερ σὺ, ἐξαίρων ἀνομίας, καὶ ὑπερβαίνων ἀδικίας; » ὁ δὲ Υἱὸς ἔλεγεν οἷς ἤθελεν· « Ἀφέωνταί σου αἱ ἁμαρτίαι· » ὅτε καὶ τῶν Ἰουδαίων γογγυζόντων, ἔργῳ τὴν ἄφεσιν ἐδείκνυε, λέγων τῷ παραλυτικῷ· « Ἔγειραι, ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. » Καὶ περὶ μὲν τοῦ Θεοῦ ἔλεγεν ὁ Παῦλος· « Τῷ δὲ βασιλεῖ τῶν αἰώνων· » περὶ δὲ τοῦ Υἱοῦ ὁ μὲν Δαβὶδ ἔψαλλεν· « Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης· » ὁ δὲ Δανιὴλ ἤκουσεν· « Ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, » καὶ, « Ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται. » Καὶ ὅλως ὅσα ἂν εὕροις περὶ τοῦ Πατρὸς λεγόμενα, τοσαῦτα ἂν εὕροις καὶ περὶ τοῦ Υἱοῦ λεγόμενα, χωρὶς μόνου τοῦ εἶναι αὐτὸν Πατέρα, καθάπερ εἴρηται.

50. Εἰ μὲν οὖν ἄλλην ἀρχὴν ἐνθυμεῖταί τις, καὶ ἄλλον Πατέρα διὰ τὸ ἰσάζον τῶν λεγομένων, μανικὸν τὸ ἐνθύμημα· εἰ δὲ διὰ τὸ ἐκ τοῦ Πατρὸς εἶναι τὸν Υἱὸν, πάντα τὰ τοῦ Πατρὸς, ὡς ἐν εἰκόνι καὶ χαρακτῆρι τοῦ Υἱοῦ ἐστι, λογισώμεθα εὐμενῶς, εἰ ξένη οὐσία τῆς τοῦ Πατρὸς οὐσίας δεκτικὴ τῶν τοιούτων ἐστί· καὶ εἰ ὁ τοιοῦτος ἑτεροφυὴς καὶ ἀλλοτριούσιός ἐστι, καὶ οὐχ ὁμοούσιος τῷ Πατρί. Εὐλαβητέον γὰρ μὴ τὰ τοῦ Πατρὸς ἴδια μεταφέροντες ἐπὶ τὸ ἀνομοιοούσιον αὐτῷ, καὶ ἐν ἀνομοιογενεῖ καὶ ἀλλοτριοουσίῳ χαρακτηρίζοντες τὴν τοῦ Πατρὸς θεότητα, ξένην μὲν ἄλλην εἰσάξωμεν οὐσίαν, δεκτικὴν τῶν τῆς πρώτης οὐσίας ἰδιωμάτων, ἐντραπῶμεν δὲ ὑπ' αὐτοῦ τοῦ Θεοῦ λέγοντος· « Τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω· » καὶ εὑρεθῶμεν προσκυνοῦντες τῷ ἀλλοτρίῳ, καὶ νομισθῶμεν εἶναι τοιοῦτοι, οἷοι ἦσαν οἱ τότε Ἰουδαῖοι λέγοντες· « Διὰ τί σὺ, ἄνθρωπος ὢν, ποιεῖς σεαυτὸν Θεόν; » ὅτε καὶ, τὰ τοῦ Πνεύματος μεταφέροντες, ἐβλασφήμουν λέγοντες, ὅτι « Ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια. » Εἰ δὲ τοῦτο ἀπρεπὲς, δῆλον, ὅτι οὐκ ἀνομοιοούσιος ἂν εἴη ὁ Υἱός, ἀλλὰ ὁμοούσιος τῷ Πατρί· καὶ γὰρ εἰ τὰ τοῦ Πατρὸς φυσικῶς τοῦ Υἱοῦ ἐστιν, αὐτός τε ὁ Υἱὸς ἐκ τοῦ Πατρός ἐστι, καὶ διὰ τὴν τοιαύτην ἑνότητα τῆς θεότητος καὶ τῆς φύσεως αὐτὸς καὶ ὁ Πατὴρ ἕν εἰσι, καὶ ὁ ἑωρακὼς τὸν Υἱὸν ἑώρακε τὸν Πατέρα, εἰκότως ἐλέχθη παρὰ τῶν Πατέρων ὁμοούσιος· οὐ γὰρ ἑτεροουσίου τὰ τοιαῦτα ἔχειν ἐστί.

[1] Philipp. II, 6. [2] Deut. VI, 4. [3] Psal. XLIX, 1. [4] Psal. CXVII, 27. [5] Psal. LXXXIII, 8. [6] Isa. XLIII, 25. [7] Matth. IX, 5. [8] Marc. II, 11. [9] I Tim. I, 17. [10] Psal. XXIII, 7. [11] Dan. III, 100. [12] Dan. VII, 14. [13] Isa. XLII, 8. [14] Joan. X, 33. [15] Luc. XI, 15.

Πάλιν τε εἰ, καθὰ προείπομεν, οὐκ ἐκ μετουσίας A ἐστὶν ὁ Υἱός· ἀλλὰ τὰ μὲν γενητὰ πάντα ἐκ μετουσίας ἔχει τὴν παρὰ Θεοῦ χάριν. αὐτὸς δὲ τοῦ Πατρὸς σοφία καὶ Λόγος ἐστὶν, οὗ μετέχει τὰ πάντα· δῆλον, ὅτι αὐτὸς ὢν τὸ θεοποιὸν καὶ φωτιστικὸν τοῦ Πατρὸς, ἐν ᾧ τὰ πάντα θεοποιεῖται καὶ ζωοποιεῖται, οὐκ ἀλλοτριοούσιός ἐστι τοῦ Πατρὸς, ἀλλ' ὁμοούσιος. Τούτου γὰρ μεταλαμβάνοντες, τοῦ Πατρὸς μετέχομεν, διὰ τὸ τοῦ Πατρὸς εἶναι ἴδιον τὸν Λόγον. Ὅθεν εἰ ἦν ἐκ μετουσίας καὶ αὐτὸς, καὶ μὴ ἐξ αὐτοῦ οὐσιώδης θεότης καὶ εἰκὼν τοῦ Πατρὸς, οὐκ ἂν ἐθεοποίησε θεοποιούμενος καὶ αὐτός. Καὶ τὴν αἰτίαν δὲ ὅμως, δι' ἣν τινὲς, ὡς λέγεται, παραιτοῦνται τὸ ὁμοούσιον, ἐξετάσωμεν ἀληθῶς, μὴ ἄρα μᾶλλον ἐκ ταύτης ὁμοούσιος δείκνυται ὁ Υἱὸς τῷ Πατρί. Φασὶ τοίνυν, ὡς ὑμεῖς ἐγράψατε, μὴ χρῆναι λέγειν ὁμοούσιον τὸν Υἱὸν τῷ Πατρὶ, ὅτι ὁ λέγων ὁμοούσιον τρία λέγει, οὐσίαν τινὰ B προϋποκειμένην, καὶ τοὺς ἐκ ταύτης γεννωμένους ὁμοουσίους εἶναι· καὶ ἐπιλέγουσιν· Ἐὰν οὖν ὁ Υἱὸς ὁμοούσιος ᾖ τῷ Πατρὶ, ἀνάγκη προϋποκεῖσθαι αὐτῶν οὐσίαν, ἐξ ἧς καὶ ἐγεννήθησαν, καὶ μὴ εἶναι τὸν μὲν Πατέρα, τὸν δὲ Υἱὸν, ἀλλ' ἀμφοτέρους ἀδελφούς. Ταῦτα εἰ καὶ Ἑλλήνων εἰσὶν ἑρμηνεῖαι, καὶ οὐκ ἀναγκαῖα ἡμῖν τὰ παρ' ἐκείνων· ἀλλ' ἴδωμεν τὰ εἰρημένα τὰ ὁμοούσια, τὰ ἐκ τῆς προνοουμένης οὐσίας ἀδελφὰ, πότερον ἑαυτῶν εἰσιν ὁμοούσια, ἢ τῆς οὐσίας ἐξ ἧς καὶ ἐγεννήθησαν· εἰ μὲν γὰρ ἑαυτῶν, ἑτεροούσια καὶ ἀνόμοια ἔσται πρὸς τὴν γεννήσασαν αὐτὰ οὐσίαν· ἀντίκειται γὰρ τῷ ὁμοουσίῳ τὸ ἑτεροούσιον· εἰ δὲ τῆς γεννησάσης αὐτὰ οὐσίας ἐστὶν ἕκαστον ὁμοούσιον, δῆλον, ὅτι τὸ ἔκ τινος γεννώμενον ὁμοούσιόν ἐστι τῷ γεννήσαντι· καὶ C οὐκέτι χρὴ ζητεῖν τρεῖς οὐσίας, ἀλλὰ μόνον ζητεῖν, εἰ τόδε ἀληθὲς ἐκ τοῦδέ ἐστι. Κἂν γὰρ συμβῇ μὴ εἶναι δύο ἀδελφοὺς, ἀλλὰ καὶ μόνον ἕνα ἐξ ἐκείνης τῆς οὐσίας γενέσθαι, οὐ διὰ τὸ μὴ εἶναι ἕτερον, ἀλλοτριοούσιος ἂν λεχθείη ὁ γεννηθείς· ἀλλὰ καὶ μόνος ὢν, εἴη ἂν καὶ αὐτὸς ὁμοούσιος τῷ γεννήσαντι. Ἐπεὶ τί ἂν εἴποιμεν περὶ τῆς θυγατρὸς τοῦ Ἰεφθάε, ὅτι μονογενὴς ἦν· « Καὶ οὐκ ἦν, » φησὶν, « ἄλλο τέκνον αὐτῷ, » καὶ περὶ τοῦ υἱοῦ δὲ τῆς χήρας, ὃν ἤγειρεν ἐκ νεκρῶν ὁ Κύριος, ὅτι καὶ αὐτὸς οὐκ εἶχεν ἀδελφὸν, ἀλλὰ μονογενὴς ἦν· ἄρα οὐκ ἦν ὁμοούσιος ἕκαστος αὐτῶν τῷ γεννήσαντι; καὶ μὴν ἦσαν, τέκνα γὰρ ἦσαν· καὶ τοῦτο τέκνων ἴδιόν ἐστι πρὸς γονέας. Οὕτω καὶ τὸν τοῦ Θεοῦ Υἱὸν ἐκ τῆς οὐσίας εἰπόντες οἱ Πατέρες, εἰκότως καὶ ὁμοούσιον D εἰρήκασι. Ἕπεται δὲ τούτοις μηδὲ τὴν κτίσιν ἐκ τοῦ μὴ ὄντος γεγονέναι. Οἱ γὰρ κατὰ πάθος γεννῶντες ἄνθρωποι, αὐτοὶ καὶ τὴν ὑποκειμένην ὕλην ἐργάζονται, καὶ ἄλλως οὐκ ἂν δύναιντο ποιεῖν· εἰ δὲ τὸ κτίζειν οὐκ ἀνθρωπίνως νοοῦμεν ἐπὶ Θεοῦ, πολλῷ μᾶλλον οὐδὲ τὸ γεννᾷν ἀνθρωπίνως πρέπει νοεῖν ἐπὶ Θεοῦ, οὐδὲ τὸ ὁμοούσιον σωματικῶς ἐκλαμβάνειν, ἀλλ' ἀναχωρεῖν δεῖ ἀπὸ τῶν γενητῶν, καὶ ἀποτιθέντας κάτω που τὰς ἀνθρωπίνας εἰκόνας καὶ πάσας ἁπλῶς τὰς αἰσθήσεις, ἀνιέναι ἐπὶ τὸν Πατέρα

Rursum si, prout supra diximus, non ex participatione sit Filius: sed opificia quidem omnia ex participatione Dei gratiam habeant, ipse vero Patris sapientia et Verbum sit, quicum communia habet omnia; certe cum sit ipse id quo Pater deificat et illuminat, in quo scilicet omnia deificantur et vivificantur, non alienæ a Patre substantiæ est, sed consubstantialis. Hujus enim participatione Patris participes efficimur, eo quod ipse proprium Patris sit Verbum. Unde si ipse quoque ex participatione esset, et non ex se substantialis divinitas et imago Patris, non deificaret alios, cum et ipse deificatus esset. Causam tamen cur quidam, ut fertur, consubstantiale respuant, sincere examinemus, an non magis ex illa ipsa Filius Patri consubstantialis ostendatur. Aiunt igitur, ut vos scripsistis, Filium Patri consubstantialem dici minime debere, quia qui dicit consubstantialem, tria dicit, substantiam aliquam, quæ prius subjaceat, et eos qui ex illa geniti sunt esse consubstantiales: atque hinc concludunt: Si ergo Filius sit Patri consubstantialis, necesse est prius subjacere eorum substantiam ex qua geniti sint, et non esse illum Patrem, hunc Filium, sed ambos fratres. Hæc tametsi ethnicorum sunt explicationes, nosque nihil eorum egemus ratiociniis: nihilominus videamus utrum illa consubstantialia, quæ cum ex prius intellecta substantia sint, fratres dicuntur, sibi mutuo, an substantiæ ex qua orta sunt, sint consubstantialia. Si enim sibi mutuo; diversæ ergo substantiæ, ac dissimilia erunt substantiæ a qua ortum duxerunt: opponitur enim consubstantiali, quod est ex diversa substantia. Quod si utrumque consubstantiale sit substantiæ a qua ortum duxit, nam id certe quod ex alio nascitur ei qui se genuit est consubstantiale; non ultra sunt quærendæ tres substantiæ: sed id solum investigandum, num hóc vere ex illo sit. Nam etsi contingat non esse duos fratres, sed unicum ex illa substantia ortum esse: eo quod alter non sit, nequaquam qui natus est, diversæ substantiæ dicatur; sed, licet solus sit, erit tamen et ipse ei qui se genuit consubstantialis. Alioqui quid dixerimus de filia Jephthe, quæ unigenita erat: « Et non habebat, » ait, « alios liberos [1]; » et de filio viduæ quem Dominus ex mortuis suscitavit, qui et ipse fratrem non habebat, sed unigenitus erat [2]: an uterque ei qui se genuerat consubstantialis non erat? Erant plane, nam liberi erant: idque proprium liberis est erga parentes suos. Sic cum Patres Dei Filium ex ejus substantia dixerint, merito et consubstantialem dixerunt. Hinc autem sequitur, neque creatas res ex non exsistente factas esse. Homines enim ipsi qui cum passione aliqua gignunt, in subjacente materia operantur, nec aliter quidquam facere potuerint. Quod si creandi modum in Deo non humano more intelligimus, multo minus gignendi in ipso intelli-

[1] Jud. XI, 34. [2] Luc. VII, 12.

gere humano more debemus, neque corporeo modo A consubstantiale accipere. Sed recedendum nobis est a rebus factis, ac depositis humanis imaginibus, omnibusque omnino sensibus, ad Patrem ascendere, ne inscii Filium a Patre auferamus, eumque rebus a se creatis adjungamus.

Rursum si Patrem et Filium confitentes, duo principia, aut duos Deos dicimus, quemadmodum Marcion et Valentinus; aut Filium, quemdam alium divinitatis modum habere, et non esse imaginem et figuram Patris, quod ex ipso genitus sit · esto dissimilis; nam alienæ inter se prorsus sunt istiusmodi substantiæ. Quod si unam agnoscimus et solam Patris divinitatem, hujusque Verbum et Sapientiam Filium esse, et hoc credentes, duos tamen Deos minime dicimus, unitatemque Filii cum Patre non doctrinæ similitudine, sed secundum B substantiam, et revera consistere sentimus, ita ut propterea non duos Deos, sed unum dicamus, cum una sit species divinitatis, ut est lux et splendor; illa enim patriarchæ Jacob visa est, aitque Scriptura: « Ortus est autem illi sol, postquam transivit species Dei [1]. » Hoc cum viderent sancti prophetæ, ac intelligerent cujusnam sit ille Filius et imago, aiebant: « Factum est Verbum Domini ad me [2]. » cumque Patrem in eo visum revelatumque cognoscerent, fidenter dicebant: « Visus est mihi Deus patrum nostrorum, Deus Abraam, et Isaac et Jacob [3]. » Cum igitur ita se res habeat, cur eum qui unus est cum Patre, et talis apparet qualis est Pater, secundum similitudinem atque unam divinitatem, veremur dicere consubstantialem? Si enim, quemadmodum sæpius dictum est, nullam habet ut Filius C proprietatem similitudinemve cum paterna substantia, ea voce uti recte veremur. Sin autem ille est Patris propria vis illuminatrix et creatrix, sine qua nec creat, nec cognoscitur (omnia enim per ipsum et in ipso consistunt), cur rem intelligentes, recusamus vocem id significantem proferre? Quid enim est ejusdem naturæ esse cujus Pater, nisi esse illi consubstantiale? Non enim alienum Deus veluti ministro egens Filium assumpsit; neque opificia Creatori sunt dignitate paria, ut perinde illa atque ipse honorentur, aut, ut putandum sit, ea et Patrem unum esse. Alioquin ausit quis hæc dividere, ac dicere solem et splendorem duo esse lumina, aut diversam aliquam substantiam, aut splendorem solis D accidens esse, et non simplicem ac purum solis partum; ita ut duo quidem sint sol et splendor, una tamen lux, eo quod ille a sole oriatur. Cum hujusmodi sit, imo magis inseparabilis natura Filii a Patre, et cum divinitas Filio non acciderit, sed paterna divinitas in Filio sit; ita ut qui videt Filium, in ipso Patrem videat, cur qui hujusmodi est, non dicatur consubstantialis?

Sat quidem hæc sunt, quæ vobis suadeant, ut non accusetis eos qui dixere Filium esse Patri consubstantialem. Attamen ipsam consubstantialis

μὴ λάθωμεν ἀφαιροῦντες τὸν Υἱὸν ἀπὸ τοῦ Πατρὸς, καὶ προστιθέντες τοῖς ἑαυτοῦ κτίσμασι.

Καὶ ἄλλως δὲ, εἰ μὲν Πατέρα καὶ Υἱὸν ὁμολογοῦντες, δύο τινὰς ἀρχὰς, ἢ δύο Θεοὺς, καθάπερ Μαρκίων καὶ Οὐαλεντῖνος, λέγομεν, ἢ ἕτερόν τινα τρόπον θεότητος ἔχειν τὸν Υἱὸν, καὶ μὴ εἰκόνα καὶ χαρακτῆρα τοῦ Πατρὸς εἶναι τὸν Υἱὸν, διὰ τὸ ἐξ αὐτοῦ πεφυκέναι· ἔστω ἀνόμοιος· ξέναι γάρ εἰσι παντάπασιν ἀλλήλων αἱ τοιαῦται οὐσίαι· εἰ δὲ μίαν οἴδαμεν καὶ μόνην θεότητα τὴν τοῦ Πατρὸς, τούτου τε Λόγον καὶ Σοφίαν εἶναι τὸν Υἱὸν, καὶ οὕτω πιστεύοντες οὐ λέγομεν δύο Θεοὺς, τήν τε ἑνότητα τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα οὐχ ὁμοιώσει διδασκαλίας, ἀλλὰ B κατὰ τὴν οὐσίαν καὶ ἀληθείᾳ φρονοῦμεν· ὥστε διὰ τοῦτο μὴ λέγειν δύο Θεοὺς, ἀλλ' ἕνα Θεὸν, ἑνὸς ὄντος εἴδους θεότητος, ὡς ἔστι τὸ φῶς καὶ τὸ ἀπαύγασμα· τοῦτο γὰρ ὤφθη τῷ πατριάρχῃ Ἰακὼβ, καί φησιν ἡ Γραφή· « Ἀνέτειλε δὲ αὐτῷ ὁ ἥλιος, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ Θεοῦ· » καὶ τοῦτο θεωροῦντες οἱ ἅγιοι προφῆται καὶ νοοῦντες, τίνος ἐστὶν Υἱὸς καὶ εἰκὼν, ἔλεγον· « Ἐγένετο Λόγος Κυρίου πρός μέ. » Γινώσκοντες τὸν ἐν αὐτῷ θεωρούμενον καὶ ἀποκαλυπτόμενον Πατέρα, ἐθάῤῥουν εἰπεῖν· « Ὤφθη μοι ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ Θεὸς Ἀβραὰμ, καὶ Ἰσαὰκ καὶ Ἰακώβ. » Τούτου δὲ οὕτως ὄντος, διὰ τί τὸν ἕνα ὄντα πρὸς τὸν Πατέρα καὶ φαινόμενον, ὡς ἔστιν ὁ Πατὴρ, κατὰ τὴν ὁμοιότητα καὶ μίαν θεότητα, εὐλαβούμεθα εἰπεῖν C ὁμοούσιον; Εἰ μὲν γὰρ, ὥσπερ εἴρηται πολλάκις, οὐκ ἔχει τὴν ἰδιότητα τῆς πατρικῆς οὐσίας, οὐδὲ τὴν ἐμφέρειαν ὡς Υἱὸς, καλῶς εὐλαβούμεθα· εἰ δὲ τοῦτό ἐστι τὸ φωτιστικὸν καὶ δημιουργικὸν τὸ ἰδιαίτατον τοῦ Πατρὸς, οὗ ἄνευ οὔτε δημιουργεῖ, οὔτε γινώσκεται (πάντα γὰρ δι' αὐτοῦ καὶ ἐν αὐτῷ συνέστηκε)· διὰ τί, τὸ πρᾶγμα νοοῦντες, παραιτούμεθα τὴν τοῦτο σημαίνουσαν λέξιν εἰπεῖν; Τί γάρ ἐστι τὸ οὕτως ὁμοφυὲς τῷ Πατρὶ ἢ ὁμοούσιον αὐτοῦ; Οὐ γὰρ ἀλλότριον ὡς ὑπουργοῦ δεόμενος προσελάβετο ὁ Θεὸς τὸν Υἱὸν, οὐδὲ τὰ ποιήματα ἰσάξια τοῦ κτίσαντος, ὥστε τιμᾶσθαι ταῦτα ὡς ἐκεῖνον, ἢ νομίζειν, ὅτι ταῦτα καὶ ὁ Πατὴρ ἕν εἰσιν. Ἢ τολμησάτω τις διελεῖν, καὶ εἰπεῖν, δύο φῶτα εἶναι τὸν ἥλιον καὶ τὸ ἀπαύγασμα, ἢ ἑτέραν τινὰ εἶναι οὐσίαν, ἢ ὅτι ἐπισυμβέβηκε τὸ D ἀπαύγασμα, καὶ μὴ ἁπλοῦν εἶναι καὶ καθαρὸν γέννημα ἐκ τοῦ ἡλίου τοῦτο· ὥστε δύο μὲν εἶναι ἥλιον καὶ ἀπαύγασμα, ἓν δὲ τὸ φῶς, διὰ τὸ ἐκ τοῦ ἡλίου εἶναι τοῦτο γέννημα. Τοιαύτης δὲ οὔσης καὶ μᾶλλον ἀδιαιρέτου τῆς φύσεως τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα, καὶ οὐκ ἐπισυμβάσης τῆς θεότητος τῷ Υἱῷ, ἀλλὰ τῆς πατρικῆς θεότητος οὔσης ἐν τῷ Υἱῷ, ὥστε τὸν ἑωρακότα τὸν Υἱὸν ὁρᾷν ἐν αὐτῷ τὸν Πατέρα, διὰ τί ὁ τοιοῦτος μὴ ἂν λέγοιτο ὁμοούσιος;

Ἔστι μὲν οὖν ἱκανὰ καὶ ταῦτα πεῖσαι ὑμᾶς, μὴ κατηγορεῖν τῶν εἰρηκότων, ὁμοούσιον εἶναι τὸν Υἱὸν τῷ Πατρί· καὶ αὐτὴν δὲ ὅμως τὴν τοῦ

[1] Gen. XXXII, 31. [2] Isa. XXXVIII, 4; Jer. I, 2. 4, 11, etc. [3] Exod. III, 19.

ὁμοουσίου λέξιν καθ' ἑαυτὴν ἐξετάσωμεν, ἵνα γνῶμεν εἰ χρὴ λέγειν ὅλως ὁμοούσιον, καὶ εἰ κυρία λέξις ἐστὶ, καὶ ἁρμοζόντως ἐστὶν αὕτη ἐπὶ Υἱοῦ λεγομένη. Οἴδατε γὰρ καὶ ὑμεῖς, καὶ οὐδ' ἄν τις ἀμφιβάλλοι, ὅτι τὸ ὅμοιον οὐκ ἐπὶ τῶν οὐσιῶν, ἀλλ' ἐπὶ σχημάτων καὶ ποιοτήτων λέγεται ὅμοιον· ἐπὶ γὰρ τῶν οὐσιῶν οὐχ ὁμοιότης, ἀλλὰ ταυτότης ἂν λεχθείη. Ἄνθρωπος γοῦν ἀνθρώπῳ ὅμοιος λέγεται, οὐ κατὰ τὴν οὐσίαν, ἀλλὰ κατὰ τὸ σχῆμα καὶ τὸν χαρακτῆρα· τῇ γὰρ οὐσίᾳ ὁμοφυεῖς εἰσι. Καὶ πάλιν ἄνθρωπος κυνὶ οὐχ ἀνόμοιος λέγεται, ἀλλ' ἑτεροφυής· οὐκοῦν τὸ μὲν ὁμοφυὲς καὶ ὁμοούσιον, τὸ δὲ ἑτεροφυὲς καὶ ἑτεροούσιον. Διὸ καὶ ὁ λέγων ὅμοιον κατ' οὐσίαν ἐκ μετουσίας τοῦτο λέγει ὅμοιον. Τὸ γὰρ ὅμοιον ποιότης ἐστὶν, ἥτις τῇ οὐσίᾳ προσγένοιτ' ἄν. Τοῦτο δὲ τῶν ποιημάτων ἴδιον ἂν εἴη· ταῦτα γὰρ ἐκ μετοχῆς ὁμοιοῦται τῷ Θεῷ. « Ὅταν » γὰρ, φησὶ, « φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα· » ὅμοιοι δηλονότι οὐ τῇ οὐσίᾳ, ἀλλὰ τῇ υἱότητι, ἧς μεταλαμβάνομεν παρ' αὐτοῦ. Εἰ μὲν οὖν καὶ τὸν Υἱὸν ἐκ μετουσίας λέγετε, λεγέσθω μὲν παρ' ὑμῶν ὁμοιοούσιος. Οὐκ ἔστι μέντοι λεγόμενος οὕτως ἀλήθεια, οὐδὲ ὅλως φῶς, οὐδὲ φύσει Θεός. Τὰ γὰρ ἐκ μετουσίας οὐκ ἀληθείᾳ, ἀλλ' ὁμοιώσει τῆς ἀληθείας λέγεται ὅμοια, ὥστε καὶ μεταπίπτειν, καὶ ἀφαιρεῖσθαι δύνασθαι ἀπὸ τῶν μετεχόντων τὴν μετάληψιν. Τοῦτο δὲ πάλιν ἴδιον τῶν κτισμάτων καὶ ποιημάτων ἐστίν. Οὐκοῦν εἰ τοῦτο ἄτοπον, οὐκ ἂν εἴη ἐκ μετουσίας, ἀλλὰ φύσει καὶ ἀληθείᾳ Υἱὸς, φῶς, σοφία, Θεός. Φύσει δὲ ὢν καὶ οὐ μετοχῇ, οὐκ ἂν κυρίως λεχθείη ὁμοιοούσιος, ἀλλ' ὁμοούσιος. Ὃ δὲ μηδὲ ἐπ' ἄλλων ἄν τις εἴποι· ἐδείχθη γὰρ τὸ ὅμοιον μὴ ἐπὶ τῶν οὐσιῶν λεγόμενον· πῶς οὐκ ἀνόητον μὲν, ἢ τάχα καὶ χαλεπὸν τοῦτο προφέρειν ἐπὶ Υἱοῦ, καὶ μὴ μᾶλλον τὸ ὁμοούσιον;

A vocem secundum se explanemus, ut comperiamus utrum hæc vox, consubstantialis, usurpanda sit, et si propria sit dictio, atque congruenter de Filio dicatur. Nam ipsi scitis, et nemo dubitaverit, simile non de substantiis, sed de figuris et qualitatibus dici. De substantiis enim, non similitudo, sed identitas dici debet. Homo igitur hominis similis dicitur, non secundum substantiam, sed secundum habitum et figuram : quod ad substantiam enim ejusdem naturæ sunt. Rursum homo cani nequaquam dissimilis dicitur, sed diversæ naturæ : ergo quod ejusdem naturæ est, etiam consubstantiale est ; et quod diversæ naturæ, diversæ etiam substantiæ. Quapropter qui dicit similem secundum substantiam, ex participatione similem dicit : si- B militudo enim est qualitas, quæ substantiæ accidere potest. Hoc autem opificiis proprium fuerit ; ea enim ex participatione Deo similia efficiuntur. Nam « cum, » ait, « apparuerit ille, similes ei erimus [1], » similes scilicet non substantia, sed filiorum adoptione, quam per eum participamus. Si igitur eum ex participatione Filium dicitis, dicatur a vobis substantia similis : sed si ita appellatur, nec veritas, nec lumen ullatenus, nec natura Deus erit. Nam quæ ex participatione sunt, non vere, sed similitudine veritatis similia dicuntur ; ita ut quod participatur, a participantibus decidere et tolli possit : hoc autem creatis rebus atque opificiis proprium est. Itaque si absurdum illud est, nequaquam erit ex participatione, sed ex natura et veritate, C Filius, lumen, sapientia, Deus : cum autem natura talis sit et non participatione, nunquam proprie substantia similis dici potuerit, sed consubstantialis. Quod autem de aliis nemo dixerit (demonstratum est enim, simile de substantiis non prædicari), qui, quæso, non stultum fuerit, et fortasse etiam gravissimum id de Filio proferre, et non potius eum consubstantialem appellare?

Διὰ τοῦτο γὰρ καὶ ἡ ἐν Νικαίᾳ σύνοδος καλῶς ἔγραψεν, ὅπερ ἔπρεπεν εἰπεῖν, γεννητὸν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱὸν ὁμοούσιον. Ταῦτα καὶ ἡμεῖς μαθόντες, μὴ σκιαμαχῶμεν, καὶ μάλιστα γινώσκοντες, ὅτι οἱ καὶ ταῦτα γράψαντες, οὐχ ὡς παρεξηγούμενοι τὴν ἀλήθειαν, ἀλλ' ἐκδικοῦντες μὲν τὴν ἀλήθειαν καὶ τὴν εἰς Χριστὸν εὐσέβειαν, καθαιροῦντες δὲ τὰς κατ' αὐτοῦ τῶν Ἀρειομανιτῶν βλασφημίας, οὕτως ὡμολόγησαν τὴν πίστιν. Σκεπτέον γὰρ καὶ κατανοητέον ἀκριβῶς, ὅτι λέγοντες μὲν ἀνομοούσιον καὶ ἑτεροούσιον, οὐ σημαίνομεν τὸν ἀληθινὸν Υἱὸν, ἀλλ' ἕν τι τῶν ποιημάτων καὶ τὸν εἰσποιητὸν καὶ θέσει Υἱὸν, ὅπερ τοῖς αἱρετικοῖς δοκεῖ· λέγοντες δὲ μὴ ἐριστικῶς τὸ ὁμοούσιον, Υἱὸν σημαίνομεν γνήσιον ἐκ τοῦ Πατρὸς πεφυκότα, κἂν ἐν τούτῳ διαῤῥηγνύωνται πολλάκις οἱ Χριστομάχοι. Ταῦτα μὲν, ἅπερ ἔγνων ἐγὼ, καὶ διαλεγομένων ἤκουσα φρονίμων, δι' ὀλίγων γέγραφα· ὑμεῖς δὲ, μένοντες ἐπὶ τὸν θεμέλιον τῶν ἀποστόλων, καὶ τὰς παραδόσεις τῶν Πατέρων κατέχοντες, εὔχεσθε ἵνα

Idcirco probe Nicæna synodus id scripsit quod consentaneum erat, Filium nempe ex substantia Patris genitum, esse consubstantialem. Hæc eadem nos cum didicerimus, ne cum umbris pugnemus : gnari maxime eos, qui hæc scripserunt, non studio prave explicandi veritatem, sed eam una cum pietate in Christum asserendi, et Ariomanitarum blasphemias damnandi, sic fidem pro- D mulgasse suam. Considerandum enim est, et accurate animadvertendum, cum eum dicimus substantia dissimilem, et diversæ substantiæ, nos haudquaquam verum Filium significare, sed unum ex opificiis, et ascitum adoptioneque Filium, quod hæretici sentiunt : quem si dicamus sine contentione consubstantialem, verum significamus Filium ex Patre natum : etiamsi hac de causa pluries disrumpantur Christi hostes. Hæc quidem, quæ nota mihi, et ex prudentium disputationibus explorata erant, paucis scripsi. Vos autem manentes super fundamentum apostolorum, Patrumque tradi-

[1] Joan. III, 2.

tiones retinentes, orate ut jam cesset omnis contentio et zelus, hæreticorumque insanæ quæstiones et una omnis verborum contentio damnentur, atque nefaria et sanguinaria Arianorum hæresis aboleatur, in omnium vero cordibus veritas eluceat ita ut omnes ubique idem dicant, idem sentiant: ac nulla deinceps relicta Ariana blasphemia, per universam Ecclesiam dicatur, atque in confesso habeatur illud: « Unus Dominus, una fides, unum baptisma [1], » in Christo Jesu Domino nostro, cui gloria et imperium in sæcula sæculorum. Amen.

Ejusdem adversus Arianos pro Dionysio episcopo Alexandriæ apologia.

Judæi olim, cum ex tam multis rebus admirandis, quas Dominus faciebat, agnoscerent ipsum esse Christum Filium Dei viventis, ab eo reprehensi, nec reprehensionibus illius valentes obsistere, eo confugiebant, ut dicerent habere se patrem Abraham, et ejus auctoritate improbitatem suam tegere conabantur. Verum quemadmodum ea re nihil illi proficiebant, sic isti nunc, qui tanquam Judæi ad Dionysium confugiunt, non evitabunt eamdem, in quam illi inciderunt, condemnationem. Nam et illos Dominus, ob ea quæ contra legem admittebant, reprehendit, *Hoc*, inquiens, *Abraham non fecit*. Et istos impios atque mendaces eadem rursus veritas reprehendet, Dionysius, inquiens, episcopus neque probavit sententiam Arii, neque veritatem ignoravit. Aiunt igitur veritatis inimici, beatum Dionysium in epistola quadam scripsisse Dei Filium factum, et creatum esse, neque natura esse proprium, sed a Paris essentia alienum, instar agricolæ, aut navium fabricatoris, si ille cum vite, hic cum navigio compararetur. Etenim, quia factus est, priusquam fieret, non fuisse. Hoc cum Dionysius intellexisset, sollicitudine enim afficiebatur, ut hanc, sic alias plurimas scripsit epistolas, quas quidem epistolas legere oportebat, ut ex omnibus, non autem ex una sola fides hominis agnosceretur. Nam et navium fabricatoris, qui triremes multas exædificavit, ars non ex una, sed ex omnibus perspicitur et judicatur. Si igitur eo consilio, ut fidem suam exponeret, quam isti dicunt, epistolam scripsit, aut solam hanc scripsit, hominem accusent, ut volunt; ejusmodi enim opinio vere est reprehendenda. Sin occasio temporis et personæ traxit ad illud scribendum, et alias rursum epistolas scripsit, quibus ejus criminis suspicionem diluebat, quid mirum videtur? Et agricola pro agri qualitate nunc hanc, nunc illam arborem curat, nec ob id cuiquam reprehendendus, sed potius ob artem multiplicem admirandus existimatur.

In superioris Libyæ Pentapoli tunc episcopi quidam opiniones Sabellii tuebantur, et fallaciis suis tantum effecerant, ut prope jam in ecclesiis Dei Filius amplius non prædicaretur. Quod cum Dionysius accepisset, quoniam et earum ecclesia-

[1] Ephes. IV, 5.

A ἤδη ποτὲ παύσηται πᾶσα λοιπὸν ἔρις καὶ ζῆλος, τῶν τε αἱρετικῶν αἱ μωραὶ ζητήσεις καταγνωσθῶσι, καὶ πᾶσα λογομαχία· καὶ ἡ μὲν δυσώνυμος καὶ ἀνθρωποκτόνος τῶν Ἀρειανῶν αἵρεσις ἐξαφανισθείη, ἀναλάμψειε δὲ πάντων ἐν ταῖς καρδίαις ἡ ἀλήθεια, ὥστε πάντας πανταχοῦ τὸ αὐτὸ λέγειν, καὶ τὸ αὐτὸ φρονεῖν· μηδεμιᾶς δὲ ἔτι περιλειπομένης Ἀρειανῆς βλασφημίας, καὶ λέγηται καὶ ὁμολογῆται κατὰ πᾶσαν Ἐκκλησίαν· «Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα,» ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ αὐτοῦ κατὰ Ἀρειανῶν ἀπολογία, ὑπὲρ Διονυσίου ἀρχιεπισκόπου Ἀλεξανδρείας.

Οἱ πάλαι Ἰουδαῖοι τοσαῦτα τοῦ Κυρίου πεποιηκότος ἔργα, δι' ὧν ἐγνώριζον αὐτὸν εἶναι τὸν Χρι- B στὸν τὸν Υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος, ἐλεγχόμενοι παρ' αὐτοῦ, καὶ μὴ δυνάμενοι πρὸς τοὺς ἐλέγχους ἀντιβλέπειν, εἰς τὸν πατριάρχην κατέδραμον λέγοντες· *Ἡμεῖς πατέρα ἔχομεν τὸν Ἀβραάμ*, νομίζοντες ἐν τούτῳ δύνασθαι τὴν ἀλογίαν ἑαυτῶν ἐπικαλύπτειν. Ἀλλ' οὔτε ἐκεῖνοι τοῦτο λέγοντες ὤνησάν τι, οὔτε οἱ νῦν Ἰουδαῖοι Διονύσιον ὀνομάζοντες, φεύγειν τὴν ὁμοίαν ἐκείνοις αἰτίαν δυνήσονται. Καὶ γὰρ κἀκείνους, ἐφ' οἷς παρηνόμουν, ἤλεγξεν ὁ Κύριος λέγων· *Τοῦτο Ἀβραὰμ οὐκ ἐποίησε*, καὶ τούτους ἀσεβοῦντας καὶ ψευδομένους ἡ αὐτὴ πάλιν ἀλήθεια διελέγχει, ὅτι τὰ Ἀρείου Διονύσιος ὁ ἐπίσκοπος οὔτε ἐφρόνησεν, οὔτε τὴν ἀλήθειαν ἠγνόησε. Φασὶν οὖν οἱ ἐχθροὶ τῆς ἀληθείας ἐν ἐπιστολῇ τὸν μακάριον Διονύσιον εἰρηκέναι ποίημα καὶ γέννημα εἶναι τὸν C Υἱὸν τοῦ Θεοῦ, μήτε δὲ φύσει ἴδιον, ἀλλὰ ξένον κατ' οὐσίαν αὐτὸν εἶναι τοῦ Πατρὸς, ὥσπερ ἐστὶν ὁ γεωργὸς πρὸς τὴν ἄμπελον, καὶ ὁ ναυπηγὸς πρὸς τὸ σκάφος. Καὶ γὰρ ὡς ποίημα πρὶν γένηται, ναὶ ἔγραψεν, ὁμολογοῦμεν καὶ ἡμεῖς εἶναι τοιαύτην ἐπιστολὴν αὐτοῦ. Ἀλλ' ὥσπερ ταύτην ἔγραψεν, οὕτω καὶ ἑτέρας πλείστας ἐπιστολὰς ἔγραψε, καὶ δεῖ καὶ ταύταις ἐντυχεῖν αὐτούς, ἵνα ἐκ πασῶν, καὶ μὴ μόνον ἐκ τῆς μιᾶς ἡ πίστις γνωρισθῇ τοῦ ἀνδρός. Καὶ γὰρ καὶ ναυπηγοῦ πολλὰς τριήρεις κατασκευάσαντος, οὐκ ἐκ μιᾶς, ἀλλ' ἐκ πασῶν ἡ τούτου τέχνη κρίνεται. Εἰ μὲν οὖν ἁπλῶς ὡς πίστιν ἐκτιθέμενος ἔγραψεν, ἣν λέγουσιν ἐπιστολὴν, εἰ μόνην ταύτην ἔγραψε, κατηγορείτωσαν ὡς βούλονται· κατηγορία γὰρ ἀλη- D θῶς τὸ τοιοῦτον φρόνημα. Εἰ δὲ καιροῦ καὶ προσώπου πρόφασις εἵλκυσεν αὐτὸν τοιαῦτα γράψαι, ἔγραψε δὲ πάλιν καὶ ἄλλας ἐπιστολὰς ἀπολογούμενος περὶ ὧν ὑπωπτεύθη, τί καινόν; Καὶ γὰρ καὶ γεωργὸς τῶν αὐτῶν δένδρων ἄλλοτε ἄλλως ἐπιμελεῖται διὰ τὴν ὑποκειμένην τῆς γῆς ποιότητα, καὶ οὐ διὰ τοῦτο μέμψαιτ' ἄν τις αὐτῷ, ἀλλὰ μᾶλλον μαθὼν τὴν αἰτίαν θαυμάσει τὸ ποικίλον τῆς αὐτοῦ ἐπιστήμης.

Ἐν Πενταπόλει τῆς ἄνω Λιβύης τηνικαῦτά τινες τῶν ἐπισκόπων ἐφρόνησαν τὰ Σαβελλίου, καὶ τοσοῦτον ἴσχυσαν ταῖς κακονοίαις, ὡς ὀλίγου δεῖν μηκέτι ἐν ταῖς ἐκκλησίαις κηρύττεσθαι τὸν Υἱὸν τοῦ Θεοῦ. Τοῦτο μαθὼν Διονύσιος, αὐτὸς γὰρ εἶχε τὴν μέρι-

μναν καὶ τῶν ἐκκλησιῶν ἐκείνων, πέμπει, καὶ συμβουλεύει τοῖς αἰτίοις παύσασθαι τῆς κακοδοξίας. Ὡς δ' οὐκ ἐπαύοντο, μᾶλλον δὲ ἀναιδέστερον διετέθησαν, ἠναγκάσθη πρὸς τὴν ἀναίδειαν ἐκείνων γράψαι τοιαύτην ἐπιστολήν, καὶ τὰ ἀνθρώπινα τοῦ Σωτῆρος ἐκ τῶν Εὐαγγελίων παραθέσθαι, ἵνα, ἐπειδὴ τολμηρότερον ἐκεῖνοι τὸν Υἱὸν ἠρνοῦντο, καὶ τὰ ἀνθρώπινα τῷ Πατρὶ ἀνετίθεσαν, οὕτος δείξας, ὅτι οὐχ ὁ Πατήρ, ἀλλ' ὁ Υἱός ἐστιν ὁ γενόμενος ὑπὲρ ἡμῶν ἄνθρωπος, πείσῃ τοὺς ἀμαθεῖς μὴ εἶναι τὸν Πατέρα Υἱόν, καὶ οὕτω λοιπὸν κατ' ὀλίγον ἐκείνους πρὸς τὴν ἀληθῆ ἐναγάγῃ θεότητα τοῦ Λόγου, καὶ τὴν γνῶσιν τὴν περὶ τοῦ Πατρός. Αὕτη τῆς ἐπιστολῆς ὑπόθεσις. Διὰ ταύτην τὴν αἰτίαν οὕτως ἔγραψε καὶ αὐτός, διὰ τοὺς οὕτως ἀναισχύντως θελήσαντας μεταθεῖναι τὴν τῆς ἀληθείας πίστιν.

Τί τοίνυν ὅμοιον ἡ Ἀρείου αἵρεσις, καὶ ἡ Διονυσίου διάνοια; Ἢ διατί Διονύσιος ὡς Ἀρειανὸς νομίζεται, πολλῆς οὔσης αὐτῶν τῆς διαφορᾶς; Ὁ μὲν γὰρ τῆς καθολικῆς Ἐκκλησίας διδάσκαλός ἐστιν, ὁ δὲ καινῆς αἱρέσεως ἐφευρετὴς γέγονε. Καὶ ὁ μὲν Ἄρειος τὴν ἰδίαν κακοδοξίαν ἐκτιθέμενος ἔγραψε λίαν ἐκτεθηλυμένοις καὶ γελοίοις ἤθεσι κατὰ τὸν Αἰγύπτιον Σωτάδην. Ὁ μέντοι Διονύσιος ἔγραψε καὶ ἄλλας ἐπιστολάς, ἀπελογήσατο δὲ καὶ περὶ ὧν ὑπωπτεύθη, καὶ ἐφάνη φρονῶν ὀρθῶς. Εἰ μὲν οὖν ἐναντία ἑαυτῷ γράφει, μὴ ἑλκέτωσαν αὐτὸν πρὸς ἑαυτούς· οὐ γὰρ ἀξιόπιστος κατὰ τοῦτο· εἰ δὲ γράψας τὴν πρὸς Ἀμμωνᾶν ἐπιστολὴν ὑπωπτεύθη, καὶ ἀπελογήσατο θεραπεύων τὰ πρῶτα, ἀπολογησάμενός τε οὐ μεταβέβληται, δῆλον ἂν εἴη, ὅτι καὶ τὰ ὑποπτευθέντα κατ' οἰκονομίαν ἔγραψεν. Οὐ δεῖ δὲ τὰ κατ' οἰκονομίαν γραφόμενα, καὶ γινόμενα, ταῦτα κακοτρόπως δέχεσθαι, καὶ εἰς τὴν ἰδίαν ἕλκειν ἕκαστον βούλησιν. Καὶ γὰρ καὶ ἰατρὸς πολλάκις τὰ δοκοῦντα εἶναί τισιν ἀκατάλληλα, ταῦτα τοῖς ὑποκειμένοις τραύμασιν, ὡς οἶδεν αὐτός, ἐπιτίθησιν, οὐδὲν ἕτερον ἢ πρὸς τὴν ὑγείαν ἔχων τὸν σκοπόν. Καὶ διδασκάλου δὲ φρονίμου τρόπος οὗτος πρὸς τὰ τῶν διδασκομένων ἤθη διατίθεσθαι, καὶ λαλεῖν, ἕως ἂν αὐτοὺς εἰς τὴν ὁδὸν τῆς τελειότητος μεταγάγῃ. Εἰ δ' ὅτι μόνον ἔγραψεν οὕτως ὁ μακαρίτης, αἰτιῶνται αὐτὸν (αἱ γὰρ τῶν Ἀρειανῶν ὑπὲρ αὐτοῦ προφάσεις αἰτίαι κατ' αὐτοῦ γεγόνασιν), ὥρα λοιπὸν αὐτοὺς ἀποθρασύνεσθαι καὶ λέγειν (οὐδὲν γὰρ αὐτοῖς ἀτόλμητον) ὅτι καὶ αὐτοὶ οἱ ἀπόστολοι τὰ Ἀρείου ἐφρόνουν. Ἄνθρωπον γὰρ ἀπὸ Ναζαρέτ, καὶ παθητὸν τὸν Χριστὸν καταγγέλλουσιν.

A rum curam gerebat, scripsit ad ejus factionis auctores, ut ab improba illa opinione desisterent. Illis autem non obtemperantibus, sed impudentius in illa permanentibus, ob impudentiam ipsorum coactus est, ejusmodi epistolam scribere, et ea quæ ad Christi pertinent humanitatem Evangeliorum testimoniis comprobare, ut, quoniam audacius illi negabant Filium, et humanitatem ejus ad Patrem referebant, ostenderet, non Patrem, sed Filium pro nobis factum esse hominem, atque ita imperitis hominibus Patrem non esse Filium persuaderet, et deinceps paulatim eos ad Filii divinitatem et Patris cognitionem adduceret. Hoc illi in ea epistola propositum fuit. Ob hanc ille causam in hanc sententiam scripsit, ut eos reprimeret, B qui tam impudenter fidei veritatem opprimere conabantur. Quid ergo Arii hæresis cum Dionysii sententia simile et conjunctum habet? Aut cur Dionysius Arianus existimatur, cum tanta sit inter eum et Arium differentia? Ille enim Ecclesiæ catholicæ doctor est, hic vanæ hæreseos inventor. Et Arius quidem improbam suam opinionem exponens vehementer effeminatis et ridiculis moribus, ut Sotales Ægyptius scripsit. Dionysius autem et alias scripsit epistolas, et a se depulit illius criminis suspicionem, et ostendit se recte sentire. Quamobrem cum ea scripserit, quæ ab ipsorum opinione sunt aliena, suorum gregi ne conentur illum ascribere. Neque enim fidem facient. Nam si C ad Ammonam scribens suspectus fuit, et se purgavit, et ejus defensio probata est, patet ea quoque, quæ suspecta videbantur, bono animo et consilio fuisse scripta. Quæ autem bono animo atque consilio scribuntur et fiunt, non debent in malam partem accipi, et ad cujusque sententiam accommodari. Medici enim proposita sibi ejus, quem curant, valetudine, tanquam aliquo signo, eo cogitationem intendunt, quamvis ea nonnunquam adhibeant vulneribus medicamenta, quæ alicui minus salutaria videantur. Quam quidem rationem observant etiam magistri prudentes, ut pro discipulorum moribus loquantur, et se affectos ostendant, ut eos in viam perfectionis reducant. Quod si beatum hunc virum, quia semel ita scripsit, accusandum existimant, est enim quoddam accusationis genus, D quo illum onerant Ariani, dum ejus auctoritate pravam opinionem suam defendunt, tempus jam est, ut quando nihil non audent, naviter sint impudentes, et dicunt eadem, quæ sensit Arius, apostolos ipsos sensisse, Christum enim hominem a Nazareth, et cruciatus mortemque perpessum esse pronuntiarunt.

Ἐκείνων τοίνυν τὰ τοιαῦτα φανταζομένων, ἄρ' ἐπεὶ τοῖς ῥήμασι τούτοις ἐχρήσαντο, μόνον ἄνθρωπον ᾔδεισαν τὸν Χριστὸν οἱ ἀπόστολοι, καὶ πλέον μηδέν; Μὴ γένοιτο. Ἀλλὰ καὶ τοῦτο ὡς ἀρχιτέκτονες σοφοί, καὶ οἰκονόμοι μυστηρίων Θεοῦ πεποιήκασι, καὶ τὴν αἰτίαν ἔχουσιν εὔλογον. Ἐπειδὴ γὰρ οἱ τότε Ἰουδαῖοι πλανηθέντες, καὶ πλανήσαντες Ἕλληνας, ἐνόμιζον τὸν Χριστὸν ψιλὸν ἄνθρωπον

Num igitur, ut isti opinantur, quia verbis ejusmodi usi sunt apostoli, ideo Christum tantummodo hominem, et nihil præterea aliud esse senserunt? Absit. Imo vero ut sapientes architecti et dispensatores mysteriorum Dei, se ratione et prudenter ita gesserunt. Nam Judæi tunc decepti, Græcosque decipientes, Messiam ex semine Davidis ut purum hominem venturum arbitrabantur, et ad aliorum

filiorum Davidis similitudinem fore, neque enim Deum ipsum, neque Verbum factum esse carnem credebant. Hac de causa sapienter admodum apostoli Judæis primum ea quæ ad Servatoris humanitatem pertinent explicaverunt, ut cum Messiam illis ex signis, quæ demonstrata factaque fuerant, venisse persuasissent, deinde eos ad ejus divinitatem admittendam adducerent, declarantes illius opera non esse hominis, sed Dei. Petrus certe, qui dixerat Christum hominem passum, statim subjecit : *Hic est princeps vitæ.* Et in Evangelio confitetur : *Tu es,* inquiens, *Christus Filius Dei viventis* [1]. In Epistola autem dicit ipsum esse episcopum animarum [2]; et Dominum suum, et angelorum, atque virtutum [3]. Paulus item, qui dixerat Christum hominem ex semine Davidis, ad Hebræos scribens : *Qui cum sit,* inquit, *splendor gloriæ, et figura substantiæ ejus* [3]; ad Philippenses autem [4] : *Qui cum in forma,* inquit, *Dei esset, non rapinam arbitratus est esse se æqualem Deo*. Verba illa, *vitæ princeps, Filius, splendor, figura, æqualis Deo, Dominus, et episcopus animarum,* quid aliud significant, nisi eum in corpore esse, cum sit Verbum, per quod omnia facta sunt, et a Patre, tanquam splendorem a luce, separari non posse?

Dionysius igitur apostolorum exemplum secutus est. Nam cum Sabellii hæresis vigeret, coactus est illam, ut diximus, epistolam scribere, et quæ abjecta et humana de ipso dicta fuerunt, hæreticis illis opponere, ut cum eos illa ratione ab ea opinione qua dicebant Filium esse Patrem, depulisset, facilius eis Filii divinitatem persuaderet, cum in aliis epistolis illum Verbum, sapientiam, virtutem, vaporem splendoremque Patris appellaret. Quibus enim epistolis sese defendit, in illis his utens vocibus se in fide, et pietate erga Christum constantem et strenuum facile declarat. Itaque sicut apostoli non reprehenduntur, quod ea verba, homini convenientia, de Domino pronuntiarint, quin etiam propter consilium et doctrinam tempori prudenter accommodatam videntur admiratione digni, sic Dionysius ad Euphranorem et Ammonam contra Sabellium scribens non est Arianus. Licet enim humilibus verbis et exemplis usus sit, ea tamen ex Evangeliis deprompsit, eo quidem consilio, ut Christi in carne adventum per hæc et alia his similia comprobaret. Etenim quemadmodum est Verbum Dei, sic etiam Verbum caro factum est, et habitavit in nobis. Et quod id principio erat Verbum, Virgo, completis jam sæculis, in utero gestavit, et Dominus homo factus est. Et unus ex utroque significatur. Verbum enim caro factum est et habitavit in nobis. Et quæ de ipsis tum divinitate, tum humanitate dicta sunt, ita propriam de illarum alterutra et de utraque conjunctam significationem habent, ut qui de Verbi scribit

A μόνον ἐκ σπέρματος Δαβὶδ ἔρχεσθαι, καθ' ὁμοιότητα τῶν ἐκ τοῦ Δαβὶδ ἄλλων γενομένων τέκνων, οὔτε γὰρ Θεὸν αὐτὸν, οὐδ' ὅτι ὁ Λόγος σὰρξ ἐγένετο ἐπίστευον· τούτου ἕνεκα μετὰ πολλῆς τῆς συνέσεως οἱ μακάριοι ἀπόστολοι τὰ ἀνθρώπινα πρῶτον τοῦ Σωτῆρος ἐξηγοῦντο τοῖς Ἰουδαίοις, ἵν' ὅλως πείσαντες αὐτοὺς ἐκ τῶν φαινομένων, καὶ γενομένων σημείων ἐληλυθέναι τὸν Χριστὸν, λοιπὸν καὶ εἰς τὴν τῆς θεότητος αὐτοῦ πίστιν ἐναγάγωσι δεικνύντες, ὅτι τὰ γενόμενα ἔργα οὐκ ἔστιν ἀνθρώπου, ἀλλὰ Θεοῦ. Ἀμέλει Πέτρος ὁ λέγων ἄνδρα παθητὸν τὸν Χριστὸν εὐθὺς συνῆπτεν· *Οὗτος ἀρχηγὸς τῆς ζωῆς ἐστιν.* Ἐν δὲ τῷ Εὐαγγελίῳ ὁμολογεῖ· *Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος*· ἐν δὲ τῇ Ἐπιστολῇ φησιν αὐτὸν *ἐπίσκοπον ψυχῶν,* καὶ *Κύ-* B *ριον ἑαυτοῦ τε, καὶ ἀγγέλων, καὶ δυνάμεων* εἶναι. Πάλιν τε ὁ Παῦλος ὁ λέγων ἄνδρα ἐκ σπέρματος Δαβὶδ εἶναι τὸν Χριστὸν, οὗτος ἐπέστελλεν Ἑβραίοις μέν· *Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ*· Φιλιππησίοις δέ· *Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ.* Τὸ δὲ λέγειν ἀρχηγὸν τῆς ζωῆς, καὶ Υἱὸν καὶ ἀπαύγασμα, καὶ χαρακτῆρα, καὶ ἴσον Θεῷ, καὶ Κύριον, καὶ ἐπίσκοπον ψυχῶν, τί ἕτερον ἂν εἴη, ἢ ὅτι ἐστὶ Λόγος ὢν Θεοῦ, δι' οὗ τὰ πάντα ἐγένετο, καὶ ἔστιν ἀδιαίρετος τοῦ Πατρὸς, ὡς ἔστι τὸ ἀπαύγασμα πρὸς τὸ φῶς;

Καὶ Διονύσιος τοίνυν παρὰ τῶν ἀποστόλων τοῦτο μαθὼν πεποίηκεν. Ἐπειδὴ γὰρ ἤκμαζεν ἡ Σαβελλίου C αἵρεσις, ἠναγκάσθη, καθὰ προεῖπον, τὴν τοιαύτην ἐπιστολὴν γράψαι, καὶ τὰ εὐτελῶς καὶ ἀνθρωπίνως εἰρημένα περὶ τοῦ Σωτῆρος κατ' αὐτῶν ῥίψαι, ἵνα, τοὺς τοιούτους ἀποσχοινίσας διὰ τὰ ἀνθρώπινα τοῦ μὴ λέγειν εἶναι Υἱὸν τὸν Πατέρα, εὐκολώτερον αὐτοῖς κατασκευάσῃ τὴν περὶ τῆς θεότητος τοῦ Υἱοῦ διδασκαλίαν, ὅταν αὐτὸν ἐν ταῖς ἄλλαις ἐπιστολαῖς ἀπὸ τῶν Γραφῶν λέγῃ Λόγον, σοφίαν, δύναμιν, ἀτμίδα, καὶ ἀπαύγασμα τοῦ Πατρός. Ἐν γὰρ ταῖς ἐπιστολαῖς τῆς ἀπολογίας τοιαῦτα λέγων παῤῥησιάζεται ἐν τῇ πίστει, καὶ τῇ εἰς Χριστὸν εὐσεβείᾳ. Ὥσπερ οὖν οἱ ἀπόστολοι οὐ κατηγοροῦνται διὰ τὰ ἀνθρώπινα ῥήματα περὶ τοῦ Κυρίου, ἀλλὰ μᾶλλον θαύματος ἄξιοί εἰσι διὰ τὴν οἰκονομίαν καὶ τὴν ἐν καιρῷ διδασκαλίαν, οὕτως οὐκ Ἀρειανὸς Διονύσιος πρὸς D Εὐφράνορα καὶ Ἀμμωνᾶν κατὰ Σαβελλίου ἐπιστολὴν γράφων. Εἰ γὰρ καὶ ταπεινοῖς ἐχρήσατο λόγοις, καὶ παραδείγμασιν, ἀλλ' ἐκ τῶν Εὐαγγελίων ἐστὶ, καὶ ταῦτα, καὶ πρόφασιν ἔχει τούτων τὴν τοῦ Σωτῆρος ἔνσαρκον παρουσίαν, δι' ἣν καὶ ταῦτα, καὶ τὰ ὅμοια γέγραπται. Καὶ γὰρ ὥσπερ Λόγος ἐστὶ τοῦ Θεοῦ, οὕτω μετὰ ταῦτα ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐν ἀρχῇ ἦν ὁ Λόγος. Ἡ δὲ Παρθένος ἐπὶ συντελείᾳ τῶν αἰώνων ἐν γαστρὶ ἔσχε, καὶ γέγονεν ἄνθρωπος ὁ Κύριος, καὶ εἷς μέν ἐστιν ἐξ ἀμφοτέρων σημαινόμενος. Ὁ γὰρ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· τὰ δὲ περὶ τῆς θεότητος αὐτοῦ, καὶ τῆς ἐνανθρωπήσεως εἰρημένα ῥήματα ἰδίαν καὶ κατάλληλον ἔχει πρὸς ἑκάτερον τοῦ

[1] Matth xvi, 16. [2] I Petr. ii, 25. [3] Hebr. i, 8. [4] Philipp. ii, 6.

λεγομένων σημασίαν, καὶ ὁ τὰ ἀνθρώπινα τοῦ Λόγου A γράφων, οἶδε καὶ τὰ περὶ τῆς θεότητος αὐτοῦ. Ὁ δὲ περὶ τῆς θεότητος ἐξηγούμενος οὐκ ἀγνοεῖ τὰ ἴδια τῆς ἐνσάρκου παρουσίας αὐτοῦ, ἀλλ' ἕκαστον ὡς ἐπιστήμων καὶ δόκιμος τραπεζίτης διακρίνων, τὴν εὐσέβειαν βαδιεῖται. Ὅταν γοῦν αὐτὸν κλαίοντα λέγῃ, οἶδεν, ὅτι ἄνθρωπος γενόμενος ὁ Κύριος, δείκνυσι τὸ μὲν κλαίειν ἀνθρώπου, ἐγείρει δὲ Λάζαρον ὡς Θεός. Καὶ πεινῶντα μὲν, καὶ διψῶντα οἶδε σωματικῶς, θεϊκῶς δὲ χορτάζοντα ἀπὸ πέντε ἄρτων πεντακισχιλίους. Καὶ κείμενον μὲν οἶδεν ἐν μνημείῳ, ὡς σῶμα ἀνθρώπινον, ἐγειρόμενον δὲ ὡς Θεοῦ σῶμα παρ' αὐτοῦ τοῦ Λόγου, οὗ καὶ γέγονεν σάρξ.

Ὁ μὲν γεωργὸς ξένος ἐστὶ κατ' οὐσίαν τῆς ἀμπέλου, τὰ δὲ κλήματα ὁμοούσια καὶ συγγενῆ, καὶ B ἀδιαίρετα τῆς ἀμπέλου τυγχάνουσι, καὶ μίαν ἔχουσι καὶ τὴν αὐτὴν γένεσιν αὐτά τε καὶ ἡ ἄμπελος. Ἔστι δὲ, ὡς εἶπεν ὁ Κύριος, αὐτὸς ἡ ἄμπελος, ἡμεῖς τὰ κλήματα. Εἰ μὲν οὖν ὁμοούσιος ἡμῖν ἐστιν ὁ Υἱὸς, καὶ τὴν αὐτὴν ἡμῖν ἔχει γένεσιν, ἔστω κατὰ τοῦτο καὶ ὁ Υἱὸς ἀλλότριος κατ' οὐσίαν τοῦ Πατρὸς, ὥσπερ καὶ ἡ ἄμπελος τοῦ γεωργοῦ· εἰ δὲ ἄλλο ἐστὶν ὁ Υἱὸς παρ' ὃ ἐσμεν ἡμεῖς, κἀκεῖνος μὲν Λόγος τοῦ Πατρὸς, ἡμεῖς δὲ ἐκ γῆς γεγόναμεν, καὶ τοῦ Ἀδὰμ ἐσμεν ἔκγονοι, οὐκ ὀφείλει τὸ ῥητὸν εἰς τὴν θεότητα ἀναφέρεσθαι τοῦ Χριστοῦ, ἀλλὰ λοιπὸν εἰς τὴν ἀνθρωπίνην αὐτοῦ παρουσίαν. Ἐπεὶ καὶ οὕτως εἴρηκεν ὁ Σωτήρ· *Ἐγὼ ἡ ἄμπελος, ἡμεῖς τὰ κλήματα, ὁ Πατὴρ ὁ γεωργός*. Ἡμεῖς γὰρ τοῦ Κυρίου κατὰ τὸ ἀνθρώπινον αὐτοῦ συγγενεῖς ἐσμεν, καὶ αὐτὸς διὰ C τοῦτο εἶπε· *διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου*. Ὁ δὲ Πατὴρ ὁ γεωργός· αὐτὸς γὰρ εἰργάσατο διὰ τοῦ Λόγου τὴν ἄμπελον, ἥτις ἐστὶ τὸ Κυριακὸν σῶμα. Ἆρ' οὖν ὡς οἱ χριστομάχοι θρυλλοῦσι Διονύσιος τὰ ἀνθρώπινα τοῦ Χριστοῦ γράφων, καὶ λέγων οὕτω, ποίημα αὐτὸν ἢ ἕνα τῶν ἀνθρώπων ἔλεγεν εἶναι; καὶ μὴν οὐχ οὕτως ἔγραψεν ἐν ταῖς ἄλλαις ἐπιστολαῖς, ἀλλὰ καὶ ὀρθῶς φρονῶν ἐν αὐταῖς φαίνεται, καὶ δύναται δι' αὐτῶν βοῆσαι κατὰ τούτων λέγων, Οὐκ εἰμὶ τῆς αὐτῆς δόξης, ὦ θεομάχοι, οὐ δὲ τὰ ἡμέτερα πρόφασιν Ἀρείῳ παρέσχεν εἰς ἀσέβειαν, ἀλλὰ πρὸς Ἀμμωνᾶν καὶ Εὐφράνορα διὰ τοὺς σαβελλίζοντας γράφων, ἐμνήσθην καὶ τοῦ γεωργοῦ, καὶ τῆς ἀμπέλου, καὶ τῶν τοιούτων ἄλλων ῥημάτων, ἵνα, τὰ ἀνθρώπινα τοῦ Χριστοῦ δείξας, πείσω μὴ λέγειν D ἐκείνους ὅτι ὁ Πατήρ ἐστιν ὁ γενόμενος ἄνθρωπος. Ὡς γὰρ ὁ γεωργὸς οὐκ ἔστιν ἐν τῇ ἀμπέλῳ, οὕτως οὐκ ἔστιν ἐν τῷ σώματι γενόμενος ὁ Πατὴρ, ἀλλ' ὁ Λόγος. Καὶ ὁ Λόγος ἐν τῇ ἀμπέλῳ γενόμενος ἄνθρωπος ἐκλήθη· ἄμπελος δὲ ἐκλήθη ὁ Υἱὸς διὰ τὴν πρὸς τὰ κλήματα, ἅπερ ἐσμὲν ἡμεῖς, σωματικὴν συγγένειαν. Ταύτῃ μὲν οὖν τῇ διανοίᾳ τὴν πρὸς Εὐφράνορα, καὶ Ἀμμωνᾶν ἔγραψα ἐπιστολὴν, πρὸς δὲ τὴν ὑμῶν ἀναίδειαν τὰς ἑτέρας ἐπιστολὰς τὰς παρ' ἐμοῦ γραφείσας ἀνατίθημι, ἵνα καὶ περὶ τῆς ἐπιστολῆς, ἧς θρυλλεῖτε, γνῶσιν οἱ φρόνιμοι τὴν ἐν αὐτοῖς ἀπολογίαν, καὶ τῆς ἐν Χριστῷ πίστεως τὴν ὀρθήν μου φρόνησιν.

humanitate ejus divinitatem non ignoret, et qui de hac disputat, ea quæ ipsius in carne adventus propria sunt, sciat, et in utroque tanquam peritus et probatus aliquis nummularius judicio suo germanam pietatem explorat et agnoscit. Quare cum illum flentem adducit, novit eum ut hominem flere, ut Deum tamen revocare Lazarum in vitam. Quem humanitate esurire sitireque animadvertit, eumdem divinitate videt quinque panibus quinque hominum millia saturare. Quod in monumento positum ut corpus humanum aspicit, id ut Dei corpus intelligit excitatum ab ipso Verbo, cujus est illa caro.

Agricola quidem a vite diversus est essentia; palmites autem eadem essentia cum vite conjuncti sunt, et ab ea separari non possunt, et eumdem habent ortum cum ipsa vite. Dominus, ut ipsemet ait, vitis est, nos autem palmites, si igitur ejusdem essentiæ nobiscum est Filius, et eumdem nobiscum ortum habet, sit ob id etiam Filius ab essentia Patris alienus, ut vitis ab agricola. Sin aliud est Filius, quam nos sumus, atque ille quidem Verbum est Patris, nos autem ut filii Adam e terra facti sumus, dictum illud ad Christi divinitatem referendum non est, sed ad ejus humanitatem, quo quidem et ipse Dominus spectans: *Ego sum*, inquit, *vitis et vos palmites, Pater autem agricola* [1]. Nos enim Domino propter humanitatem ejus cognatione conjuncti sumus. Quamobrem et ipse: *Narrabo*, inquit, *nomen tuum fratribus meis* [2]. Pater autem agricola est, qui per Verbum vitem, hoc est, Domini corpus fecit et coluit. Non igitur eo sensu, quo prædicant hostes Christi, Dionysius scribens ea quæ ad Domini pertinent humanitatem, dixit, tum esse factum, atque unum esse ex hominibus. Quod ex aliis ejus epistolis multo clarius potest intelligi, in quibus tam aperte declaravit, se recte sentire, ut adversus illos clara voce dicere videatur: Ego sententiam vestram non probo, Dei hostes, neque scripta nostra occasionem Ario, ut impie sentiret, præbuerunt. Sed ad Ammonam et Euphranorem scribens, ut eos qui Sabellii partibus favebant, impugnarem, agricolæ et vitis et similium verborum mentionem feci: quo demonstrata Christi humanitate persuaderem illis ne Patrem factum esse hominem, crederent. Quemadmodum enim agricola non est in vite, sic nec Pater est in corpore factus homo, sed Verbum. Quod quidem Verbum in vite factum homo vocatus est. Filius ergo vocatus est vitis propter corpoream cognationem, qua cum palmitibus, qui nos sumus, devinctus est. Sic ego sensi in epistola, quam ad Euphranorem et Ammonam scripsi. Nam quod ad impudentiam vestram attinet, cæteras meas proferam, ut ex iis, quomodo purgem me in eo quod contra me propter illam epistolam divulgastis, prudentes homines intelligant et rectam meam fidei in Christum sententiam agnoscant.

[1] Joan. xv, 5. [2] Psal. xx, 23.

Item adversus Arianos et Eunomianos. Magni Basilii, ex primo libro.

Rem expendentes invenimus, nos ingeniti notionem assequi non ex ea quæstione, qua quid sit, sed ex illa, qua quomodo sit, indagamus. Animus enim noster exquirens, utrum Deus, qui supra omnia est, aliquam supra se causam habeat, cum excogitare nullam possit, illud ipsius vitæ principium non habens ingenitum appellat. Ut enim cum de hominibus loquentes hunc ex illo natum dicimus, non quid ille sit, sed unde ortus sit, exponimus, sic cum ingenitum vocamus Deum, ex voce non quid Deus sit, sed eum a nullo esse declaramus. Sic autem id quod dico planius fiet. Lucas evangelista Dei et Servatoris nostri Jesu Christi genealogiam carnis exponens, et ab ultimis ad primos progrediens initium sumpsit a Joseph, et hunc Eli filium dicens, Eli autem filium Matthan, atque ita deinceps singulos recensens ad Adam narrationem deduxit. Sed cum ad supremos pervenisset, Seth, inquiens, ex Adam, Adam autem ex Deo, fecit numerandi finem. Neque vero in ea cujusque ortus explicatione naturas eorum quos recensuerat, ostendit, sed conjuncta principia, ex quo quisque natus esset exposuit. Quemadmodum igitur ille dixit, Adam ex Deo, ita nosmet si a nobis exquiramus, Deus autem ex quo? nonne in cujusque cogitatione promptum illud erit, ex nullo? Ex nullo autem quid aliud significat, nisi non habere principium, et non habere principium, quid aliud, nisi ingenitum esse? Ut igitur in hominibus, cum hic ex illo natus diceretur, non eorum essentia declarabatur, sic cum de omnium Deo ingenitum dicimus, quod perinde est ac si ex nullo diceretur, non ejus essentiam ostendimus; jam qui in *principio carere*, essentiam esse dicit, similiter facit, ut si quis interrogatus quænam sit Adam essentia atque natura, respondeat non ex hominis et feminæ commistione natum esse, sed manu divina formatum. Tunc enim ille, qui interrogavit: Non quæro, inquiet, quomodo exstiterit, sed quæ subjecta ipsius materia fuerit, quod multum abest, ut ex responsione tua colligere valeam. Idem nobis ex hac voce *ingenitus*, contingit. Ex ea namque quomodo sit potius, quam ejus naturam discimus. Video enim nos, quemadmodum si mentis aciem ad ventura sæcula dirigamus, vitam quæ nullo fine terminata sit, infinitam dicimus, ita si cogitatione ad superiora sæcula conscendamus, et infinitatem vitæ Dei tanquam immensum quoddam pelagus intuentes, nullum principium, ex quo esse cœperit, reperire possimus, sed Dei vitam ultra quam cogitari possit, semper excedentem animadvertamus, illud ipsius vitæ principio vacans ingenitum appellare. Ea enim ingeniti vis est, ut ex nullo significet habere principium exsistendi.

A ### *Ἔτι κατὰ Ἀρειανῶν τε καὶ Εὐνομιανῶν τοῦ μεγάλου Βασιλείου ἐκ τοῦ πρώτου λόγου τῶν πρὸς Εὐνόμιον ἀντιῤῥητικῶν.*

Εὑρίσκομεν λογιζόμενοι, ὅτι οὐχ ἐν τῇ τοῦ τί ἐστιν ἀνερευνήσει ἡ τοῦ ἀγεννήτου ἡμῖν ἔννοια ὑποπίπτει, ἀλλὰ μᾶλλον ἐν τῇ τοῦ ὅπερ ἐστίν. Ἐξετάζων γὰρ ἡμῶν ὁ νοῦς, εἰ ὁ ἐπὶ πάντων Θεὸς ἑαυτοῦ τινα αἰτίαν ὑπερκειμένην ἔχει, εἶτα οὐ δυνάμενος ἐπινοεῖν οὐδεμίαν, τὸ ἄναρχον τῆς αὐτοῦ ζωῆς ἀγέννητον προσηγόρευσεν. Ὡς γὰρ ἐν τοῖς περὶ τῶν ἀνθρώπων λόγοις, ὅταν λέγωμεν, ὅτι ὁ δεῖνα ἐκ τοῦδε γέγονεν, οὐ τὸ τί ἐστιν ἑκάστου, ἀλλὰ τὸ ὅθεν γέγονε διηγούμεθα, οὕτω καὶ ἐν τοῖς περὶ Θεοῦ ἡ ἀγέννητος φωνὴ οὐ τὸ τί, ἀλλὰ τὸ μηδαμόθεν αὐτοῦ σημαίνει. Οὑτωσὶ δ' ἂν σαφέστερον, ὃ λέγω, γένοιτο. Ὁ εὐαγγελιστὴς Λουκᾶς B τὴν κατὰ σάρκα γενεαλογίαν τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκτιθέμενος, καὶ ἀπὸ τῶν τελευταίων ἐπὶ τοὺς πρώτους ἀναποδίζων, ἤρξατο μὲν ἀπὸ τοῦ Ἰωσήφ, εἰπὼν δὲ τοῦτον μὲν τοῦ Ἠλί, τὸν δὲ τοῦ Ματθᾶν, καὶ οὕτω κατὰ ἀνάλυσιν πρὸς τὸν Ἀδὰμ τὴν ἐξήγησιν ἐπανάγων, εἶτα ἐλθὼν ἐπὶ τοὺς ἄνω, καὶ εἰπὼν, ὅτι ὁ Σὴθ ἐκ τοῦ Ἀδὰμ, ὁ δὲ Ἀδὰμ ἐκ τοῦ Θεοῦ, ἐνταῦθα τῆς ἀναβάσεως ἔληξεν, οὐχὶ τὰς οὐσίας τῶν ἀπηριθμημένων δηλῶν ἐν τῇ διηγήσει τῆς ἑκάστου γενέσεως, ἀλλὰ τὰς προσεχεῖς ἀρχὰς, ἀφ' ἧς ἕκαστος γέγονεν, ἐκτιθέμενος. Ὥσπερ οὖν ἐκεῖνος εἶπεν, ὅτι Ἀδὰμ ἐκ τοῦ Θεοῦ, οὕτως ἡμεῖς ἑαυτοὺς ἐρωτήσωμεν, Ὁ δὲ Θεὸς ἐκ τίνος; Ἆρα οὐχὶ πρόχειρόν ἐστιν ἐν τῇ ἑκάστου διανοίᾳ, ὅτι C ἐξ οὐδενός; Τὸ δὲ ἐξ οὐδενὸς τὸ ἄναρχόν ἐστι δηλονότι· τὸ δὲ ἄναρχον τὸ ἀγέννητον. Ὡς οὖν ἐπὶ ἀνθρώπων οὐκ ἦν οὐσία τὸ ἔκ τινος, οὕτως οὐδὲ ἐπὶ τοῦ Θεοῦ τῶν ὅλων οὐσίαν ἐστὶν εἰπεῖν τὸ ἀγέννητον, ὅπερ ἴσον ἐστὶ τῷ ἐξ οὐδενός. Ὁ δὲ τὸ ἄναρχον οὐσίαν εἶναι λέγων παραπλήσιον ποιεῖ, ὥσπερ ἂν εἴ τις ἐρωτώμενος τίς ἡ τοῦ Ἀδὰμ οὐσία, καὶ τίς ἡ φύσις αὐτῷ; Ὁ δὲ ἀποκρίνοιτο τὸ μὴ ἐκ συνδυασμοῦ ἀνδρὸς καὶ γυναικὸς, ἀλλ' ἐκ τῆς θείας χειρὸς διαπλασθῆναι. Ἀλλ' οὐχὶ τρόπον τῆς ὑποστάσεως ζητῶ, φήσειεν ἄν τις, ἀλλ' αὐτοῦ τοῦ ἀνθρώπου τὸ ὑλικὸν ὑποκείμενον, ὃ πολλοῦ δέω μανθάνειν διὰ τῆς ἀποκρίσεως. Τοῦτο δὲ καὶ ἡμῖν συμβαίνει ἐκ τῆς τοῦ ἀγεννήτου φωνῆς τὸ πῶς τοῦ Θεοῦ μᾶλλον ἢ αὐτὴν τὴν φύσιν διδασκομένοις. Ἐγὼ μὲν γὰρ ὁρῶ, ὅτι D ὥσπερ τοῖς ἐπερχομένοις αἰῶσι τὴν διάνοιαν ἐπεκτείνοντες, ἀτελεύτητον λέγομεν τὸν οὐδενὶ πέρατι τὴν ζωὴν ὁριζόμενον, οὕτω καὶ εἰς τὸ ἄνω τῶν αἰώνων τοῖς λογισμοῖς ἀναβαίνοντες, καὶ οἷον εἴς τι πέλαγος ἀχανὲς ἐπὶ τὸ ἄπειρον τῆς τοῦ Θεοῦ ζωῆς διακύπτοντες, οὐδὲ μιᾶς ἀρχῆς, ἀφ' ἧς γέγονε, λαβέσθαι δυνάμενοι, ἀλλὰ τοῦ νοουμένου ἐξωτέραν ἀεὶ, καὶ ὑπερεκπίπτουσαν τοῦ Θεοῦ τὴν ζωὴν ἐννοοῦντες, τοῦτο τὸ ἄναρχον τῆς ζωῆς ἀγέννητον προσειρήκαμεν. Αὕτη γὰρ τοῦ ἀγεννήτου ἡ ἔννοια, τὸ μὴ ἔχειν ἑτέρωθεν τὴν ἀρχὴν τοῦ εἶναι δηλοῖ.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἀλλ' ὁ Εὐνόμιος τὸ μὲν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ὄνομα σιωπᾷ, ἁπλῶς δὲ περὶ ἀγεννήτου καὶ γεννητοῦ διαλέγεται, καὶ τὰ τῆς σωτηρίου πίστεως ὀνόματα κρύπτων, ψιλὰ παραδίδωσι τῆς βλασφημίας τὰ δόγματα· ἵνα τῆς ἀσεβείας ἐν τοῖς πράγμασι γυμνωθείσης, εἶτα τῆς μεταβάσεως ἐπὶ τὰ πρόσωπα γενομένης, αὐτὸς μὲν μηδὲν δόξῃ δύσφημον εἰρηκέναι, τῇ δὲ τοῦ λόγου ἀκολουθίᾳ κατεσκευασμένην ἔχῃ τὴν βλασφημίαν. Ἀγέννητος δὲ ὤν, φησίν, ἐκφύγοι ἂν πᾶσαν σύγκρισιν καὶ κοινωνίαν τὴν πρὸς τὸ γεννητόν. Οὐχ εἶπεν, ὅτι Πατὴρ καὶ Υἱός· ἀλλ', Ἀγέννητος καὶ γεννητός. Ἓν μὲν δὴ αὐτοῦ τοῦτο τοιοῦτον κακούργημα· ἕτερον δὲ ποῖον, σκοπεῖτε. Ἀγέννητος δὲ ὤν, φησίν, οὐκ ἂν ποτε πρόσοιτο γέννησιν· καὶ ἐπάγει, ὥστε τῆς ἰδίας μεταδοῦναι τῷ γεννωμένῳ φύσεως. Τό, *οὐκ ἄν ποτε πρόσοιτο γέννησιν*, δύο σημαίνει· ἓν μέν, ὅτι τῇ ἰδίᾳ αὐτοῦ φύσει οὐκ ἐφαρμόζει γέννησις (ἀδύνατον γὰρ ὑπὸ γέννησιν ἐλθεῖν τὴν ἀγέννητον φύσιν)· ἕτερον δέ, ὅτι γεννῆσαι οὐ καταδέχεται. Οὗτος μὲν οὖν κατὰ τὸ δεύτερον σημαινόμενον ἐχρήσατο τῇ φωνῇ· συναρπάζει δὲ τοὺς πολλοὺς ἐκ τῆς προτέρας ἐννοίας. Ἐπεὶ ὅτι γε τοῦτό ἐστι τὸ κατασκευαζόμενον, σαφῶς τὸ ἐπιφερόμενον δείκνυσιν. Εἰπὼν γὰρ ὅτι, *Οὐκ ἂν ποτε πρόσοιτο γέννησιν*, ἐπήγαγεν· *ὥστε τῆς ἰδίας μεταδοῦναι τῷ γεννωμένῳ φύσεως*. Τῇ γὰρ δευτέρᾳ ἐννοίᾳ τοῦτό ἐστιν ἀκόλουθον· ὅτι οὐ καταδέχεται γενέσθαι Πατήρ, ἵνα μὴ μεταδῷ τῆς ἰδίας φύσεως τῷ γεννωμένῳ. Τίς ἂν γένοιτο τῆς ἀσεβείας ταύτης χαλεπωτέρα; τίς ἐλάλησε τοσαύτην ἀδικίαν εἰς τὸ ὕψος ποτέ;

Ἐγὼ μὲν γὰρ φοβοῦμαι, μὴ καὶ ἡμεῖς, ἐν τῷ τὰς ἀλλοτρίας ἀναλαμβάνειν βλασφημίας διὰ τοῦ στόματος, μολύνωμεν ἑαυτῶν τὴν διάνοιαν, καὶ τῆς κατακρίσεως αὐτοῖς κοινωνήσωμεν. Παραμυθεῖται δέ με τὸ ἐν τοῖς Εὐαγγελίοις, ὅτι καὶ τὸ Πνεῦμα τὸ ἅγιον τὴν τῶν Ἰουδαίων εἰς τὸν Κύριον βλασφημίαν ἔγγραφον τοῖς μετὰ ταῦτα παραδοῦναι οὐ παρῃτήσατο, ἐκείνων στηλιτεῦον εἰς ἅπαντα χρόνον τὴν βλασφημίαν, οὐχὶ τῇ ἀχράντῳ δόξῃ τοῦ Μονογενοῦς προστριβόμενόν τινα βλασφημίαν. Εἰ τοίνυν οὐκ ἂν ποτε πρόσοιτο γέννησιν, ὥστε τῆς ἰδίας μεταδοῦναι τῷ γεννωμένῳ φύσεως, οὐκ ἔστι μὲν Πατὴρ ὁ Θεός, οὐκ ἔστι δὲ · ἀλλ' ἄμεινον ἡμῖν ἀφεῖναι ἀτελὲς τὸ βλάσφημον. Ὁ μὲν γὰρ οὐ προσήκατο γέννησιν· ὁ δὲ οὐ μετέλαβε τῆς τοῦ γεννήσαντος φύσεως. Εἶτα ἐπαγωνίζεται αὐτὸς ἑαυτῷ καινὴν τῆς βλασφημίας τὴν παραμυθίαν ἐπινοῶν, οὐ τῷ εἰπεῖν τι μετανοίας ἐχόμενον, ἀλλὰ τοῖς δευτέροις φιλονεικῶν ἀποκρύψαι τὰ φθάσαντα. Τί γὰρ ὑπέμεινε φθέγξασθαι;

ΕΥΝ. Ἐκφύγοι τε ἂν πᾶσαν σύγκρισιν καὶ κοινωνίαν τὴν πρὸς τὸ γεννητόν.

ΒΑΣ. Εἰ δὲ μὴ σύγκρισίς ἐστι τῷ Υἱῷ πρὸς τὸν Πατέρα, μηδὲ κοινωνία πρὸς τὸν γεννήσαντα, ψευδεῖς μὲν οἱ ἀπόστολοι, ψευδῆ δὲ τὰ Εὐαγγέλια· αὐτή τε ἡ ἀλήθεια, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός.

Ex eodem libro.

Verum Eunomius Patris et Filii nomen silentio prætermittit, ac simpliciter de ingenito et genito disserit. Quin et occultatis salutiferæ fidei nominibus, blasphemiæ dogmata nuda tradit, ut, denudata in ipsis rebus impietate, ac deinde facto ad personas transitu, videatur ipse nihil dixisse blasphemi, sed orationis serie blasphemiam concinnatam habeat. Ingenitus autem cum si', inquit, effugit utique omnem comparationem ac communionem cum genito. Non dixit : Pater et Filius, sed, Ingenitus et genitus. Tale est igitur unum, quod ab eo excogitatum est : alterum vero quale sit considerate. Ingenitus vero cum sit, inquit, nunquam sane admiserit generationem : et subjungit, adeo ut suam ipsius naturam communicet cum genito. Illud, *nunquam sane admiserit generationem*, duo significat : unum, quod propriæ ipsius naturæ non congruit generatio (quippe fieri non potest ut natura ingenita generetur) : alterum, quod generare non sustinet. Hic quidem hac voce secundum posteriorem sensum usus est : sed ex priore sensu vulgus hominum in suam sententiam trahit. Etenim quod hoc sit quod astruitur, manifeste patet ex eo quod infertur. Nam posteaquam dixit : *Nunquam sane admiserit generationem*, subjunxit, *adeo ut suam ipsius naturam communicet cum genito*. Hoc namque sensui posteriori convenit, siquidem non sustinet Pater fieri, ut ne cum genito naturam propriam communicet. Impietate hac quæ possit esse perniciosior? quis unquam tantam iniquitatem locutus est in celsitudinem?

Ego equidem vereor, ne nos quoque dum alienas blasphemias ore repetimus, mentem nostram polluamus, atque condemnationis eorum fiamus participes. Sed consolatur me illud in Evangeliis proditum, quod Spiritus sanctus quoque Judæorum in Dominum blasphemiam scriptam posteris tradere non abstinuerit, illorum blasphemiam in omne tempus ita notans, ut nullam tamen incontaminatæ Unigeniti majestati blasphemiam affricet. Itaque si nunquam generationem admiserit, adeo ut propriæ naturæ participem faciat genitum, non est quidem Pater Deus, non est etiam; sed præstat ut blasphemiam imperfectam relinquamus. Alter quidem non admisit generationem : alter vero genitoris naturam non participavit. Deinde ipse secum certat, novam blasphemiæ mitigationem excogitans, non quod quidquam dicat quod ad pœnitentiam pertineat, sed quod posterioribus priora superare conetur. Quid enim proferre ausus est?

Eun. Effugeritque utique omnem comparationem ac communicationem cum genito.

Bas. At nisi comparatio sit Filii cum Patre, nisi sit communicatio cum genitore, mendaces sunt apostoli, mendacia Evangelia, ipsa etiam veritas, Dominus noster Jesus Christus. Sed ego iterum

horreo blasphemiam, quam cuique facile est intelligere. Nam si nullam habet comparationem cum Patre, quomodo dicebat Philippo : *Tanto tempore vobiscum sum, et non vidisti me, Philippe* [1] ? et, *Qui videt me, videt eum qui misit me* [2] ? Nam eum qui nec comparationem suscipit nec ullam cum Filio communionem habet, quomodo in seipso Filius ostendere potuisset? Nec enim per dissimile aut alienum comprehendi potest quod ignoratur : sed ex affini affine solet cognosci. Sic in sigillo inspicitur ejus qui se impressit effigies, et per imaginem exemplar cognoscitur, si videlicet comparemus nos eam quæ in utroque est identitatem.

Quare hac una blasphemia voces omnes quæ a Spiritu sancto ad glorificationem Unigeniti traditæ sunt, reprobantur. Et quidem Evangelium docet, quod *Hunc Pater signavit Deus* [3] : Apostolus vero ait : *Qui est imago Dei invisibilis* [4]. Imago, non inanimata, neque manu elaborata, neque artis aut industriæ opus : sed imago viva, imo vero, ipsa per se vita, non in figuræ similitudine, sed quæ in ipsa substantia similitudinem dissimilitudinis cujuscunque expertem semper retinet. Ego enim illud, *in forma Dei esse* [5], idem valere dico, quod hoc, *in substantia Dei esse*. Sicut enim illud, *formam assumpsisse servi* [6], significat Dominum nostrum in substantia humanæ naturæ natum esse : ita etiam hoc, *in forma Dei esse*, prorsus divinæ substantiæ proprietatem exhibet. *Qui vidit me*, inquit, *vidit Patrem* [7]. Hic autem alienum a Patre Unigenitum faciens, ac prorsus rescindens ab ejus societate, cognitionis ascensum qui per ipsum fit, quantum in ipso est, abscindit. *Quæcunque habet Pater, mea sunt*, inquit Dominus [8]. At Eunomius communionem nullam esse ait Patri cum eo qui ex ipso est. Et, *Sicut Pater in seipso vitam habet, sic dedit et Filio vitam habere in semetipso* [9]. Hoc sumus ab ipso Domino edocti : ab Eunomio vero quid? Nempe, nullam esse comparationem geniti cum genitore. Et uno verbo, ut imaginis rationem hac unica voce tollit, ita splendorem ac characterem esse substantiæ [10] negat. Neque enim fieri potest, ut imaginem intelligas ejus qui nullam habet comparationem, neque, ut splendor sit ejus qui nullam communionem secundum naturam habet. Cæterum in eodem artificii genere rursus persistit, dum ait non esse comparationem ingeniti cum genito : non Patris, cum eo qui ex ipso est, ut quam his vocibus inesse oppositionem ostenderit, eam in ipsam Patris et Filii substantiam transferat.

Ex eodem libro.

Ordine vero, inquit, et temporis prærogativa, ille primus est, hic secundus. Quid necesse est ea quorum communis est essentia, et ordini subjici, et esse tempore posteriora? Non

A Ἀλλ' ἐγὼ μὲν πάλιν φρίσσω τὴν βλασφημίαν· παντὶ δὲ συνιδεῖν ῥᾴδιον. Εἰ γὰρ μηδεμίαν σύγκρισιν ἔχει πρὸς τὸν Πατέρα, πῶς ἔλεγε τῷ Φιλίππῳ· *Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἑώρακάς με, Φίλιππε*; καὶ, *Ὁ θεωρῶν ἐμὲ θεωρεῖ τὸν πέμψαντά με*; Τὸν γὰρ μήτε σύγκρισιν ἐπιδεχόμενον, μήτε κοινωνίαν τινὰ πρὸς αὐτὸν κεκτημένον, πῶς ἂν ἔδειξεν ἐν ἑαυτῷ ὁ Υἱός; Οὐ γὰρ διὰ τοῦ ἀνομοίου καὶ ἀλλοτρίου καταληπτόν ἐστι τὸ ἀγνοούμενον· ἀλλὰ τῷ οἰκείῳ πέφυκε τὸ οἰκεῖον ἐπιγινώσκεσθαι. Οὕτως ἐν μὲν τῷ ἀποσφραγίσματι ὁ τοῦ τυπώσαντος χαρακτὴρ καθορᾶται· δι' εἰκόνος δὲ ἡ γνῶσις τοῦ ἀρχετύπου γίνεται, συγκρινόντων ἡμῶν δηλονότι τὴν ἐν ἑκατέρῳ ταυτότητα.

B Ὥστε διὰ μιᾶς ταύτης βλασφημίας πάσας ἀθετεῖσθαι τὰς φωνὰς τὰς παρὰ τοῦ ἁγίου Πνεύματος εἰς τὴν τοῦ Μονογενοῦς δοξολογίαν παραδοθείσας· τοῦ μὲν Εὐαγγελίου διδάσκοντος ὅτι, *Τοῦτον ὁ Πατὴρ ἐσφράγισεν ὁ Θεός*· τοῦ δὲ Ἀποστόλου· *Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου*. Εἰκὼν οὐκ ἄψυχος, οὐδὲ χειρόκμητος, οὐδὲ τέχνης ἔργον καὶ ἐπινοίας· ἀλλὰ εἰκὼν ζῶσα, μᾶλλον δὲ αὐτοοῦσα ζωὴ, οὐκ ἐν σχήματος ὁμοιότητι, ἀλλ' ἐν αὐτῇ τῇ οὐσίᾳ τὸ ἀπαράλλακτον ἀεὶ διασώζουσα. Ἐγὼ γὰρ καὶ τὸ, *ἐν μορφῇ Θεοῦ ὑπάρχειν*, ἴσον δύνασθαι τῷ, *ἐν οὐσίᾳ Θεοῦ ὑπάρχειν*, φημί. Ὡς γὰρ τὸ, *μορφὴν ἀνειληφέναι δούλου*, ἐν τῇ οὐσίᾳ τῆς ἀνθρωπότητος τὸν Κύριον ἡμῶν γεγεννῆσθαι σημαίνει· οὕτω C δὲ καὶ τὸ, *ἐν μορφῇ Θεοῦ ὑπάρχειν*, τῆς θείας οὐσίας παρίστησι πάντως τὴν ἰδιότητα. *Ὁ ἑωρακὼς ἐμὲ*, φησὶν, *ἑώρακε τὸν Πατέρα*. Οὗτος δὲ ἀλλοτριῶν τοῦ Πατρὸς τὸν Μονογενῆ, καὶ παντελῶς ἀποσχίζων τῆς πρὸς αὐτὸν κοινωνίας, τὴν δι' αὐτοῦ γενομένην τῆς γνώσεως ἄνοδον, τὸ ὅσον ἐπ' αὐτῷ, διακόπτει. *Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστιν*, ὁ Κύριός φησιν. Εὐνόμιος δὲ οὐδεμίαν λέγει κοινωνίαν εἶναι τῷ Πατρὶ πρὸς τὸν ἐξ αὐτοῦ. Καὶ, *Ὥσπερ ὁ Πατὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ*. Τοῦτο παρ' αὐτοῦ δεδιδάγμεθα τοῦ Κυρίου· παρὰ δὲ Εὐνομίου τί; Μηδεμίαν εἶναι σύγκρισιν τῷ γεννηθέντι πρὸς τὸν γεννήσαντα. Καὶ ἁπαξαπλῶς, διὰ μιᾶς ταύτης φωνῆς ἀναιρεῖ μὲν τὸν τῆς εἰκόνος λόγον, ἀθετεῖ δὲ τὸ ἀπαύγασμα εἶναι D καὶ χαρακτῆρα τῆς ὑποστάσεως. Οὔτε γὰρ εἰκόνα δυνατὸν τοῦ ἀσυγκρίτου νοεῖσθαι, οὔτε ἀπαύγασμα εἶναι τοῦ ἀκοινωνήτου κατὰ τὴν φύσιν. Τῷ δὲ αὐτῷ εἴδει πάλιν τοῦ τεχνάσματος ἐπιμένει, τῷ ἀγεννήτῳ λέγων μὴ εἶναι πρὸς τὸ γεννητὸν σύγκρισιν· οὐχὶ τῷ Πατρὶ πρὸς τὸν ἐξ αὐτοῦ, ἵνα ἥνπερ ἂν ταῖς φωναῖς ταύταις ὑπάρχουσαν ἀντίθεσιν ἐπιδείξῃ, ταύτην ἐπ' αὐτῆς τῆς οὐσίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ μετενέγκῃ.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Τάξει δὲ, φησὶ, καὶ τοῖς ἐκ χρόνου πρεσβείοις ὁ μέν ἐστι πρῶτος, ὁ δὲ δεύτερος. Τίς ἡ ἀνάγκη ἐφ' ὧν ἡ οὐσία κοινὴ, τάξει τε ὑποβεβλῆσθαι ταῦτα, καὶ χρόνου εἶναι δεύτερα; Οὐ γὰρ δυνατὸν τῇ ἑαυτοῦ εἰκόνι ἀχρό-

[1] Joan. xiv, 9. [2] Joan. xii, 45. [3] Joan. vi, 27. [4] Coloss. i, 15. [5] Philipp. ii, 6. [6] ibid. 7. [7] Joan. xiv, 9. [8] Joan. xvii, 10 [9] Joan. v, 26. [10] Hebr. i, 3.

νος ἀπαυγασθείσῃ τὸν Θεὸν τῶν ὅλων μὴ ἐξ ἀϊδίου A συνεῖναι, καὶ μὴ χρόνον μόνον, καὶ αἰώνων δὲ πάντων ἐπέκεινα τὴν συνάφειαν ἔχειν. Διὰ τοῦτο γὰρ ἀπαύγασμα εἴρηται, ἵνα τὸ συνημμένον νοήσωμεν, καὶ χαρακτὴρ τῆς ὑποστάσεως, ἵνα τὸ ὁμοούσιον ἐκμανθάνωμεν. Ἀλλὰ καὶ τάξις ἡ μὲν φυσική τίς ἐστιν, ἡ δὲ κατ' ἐπιτήδευσιν. Φυσικὴ μὲν, ὡς ἡ τῶν κτισμάτων κατὰ τοὺς δημιουργικοὺς λόγους διαταχθεῖσα, καὶ ὡς ἡ τῶν ἀριθμητῶν θέσις, καὶ ὡς ἡ τῶν αἰτίων πρὸς τὰ αἰτιατὰ σχέσις, ἐκείνου προδιωμολογημένου τοῦ καὶ τῆς φύσεως αὐτῆς ποιητὴν εἶναι καὶ δημιουργὸν τὸν Θεόν· ἐπιτετηδευμένη δὲ καὶ τεχνικὴ, ὡς ἡ ἐν τοῖς κατασκευάσμασι, καὶ μαθήμασι, καὶ ἀξιώμασι, καὶ ἀριθμῷ, καὶ τοῖς τοιούτοις. Τούτων τοίνυν τὸ πρότερον ἀποκρυψάμενος οὗ- B τος, τοῦ δευτέρου εἴδους τῆς τάξεως ἐπεμνήσθη, καί φησι, μὴ χρῆναι λέγειν ἐπὶ Θεοῦ τάξιν, ἐπείπερ ἡ τάξις δευτέρα ἐστὶ τοῦ τάττοντος. Ἐκεῖνο δὲ ἢ οὐ συνεῖδεν, ἢ ἑκὼν ἀπεκρύψατο, ὅτι ἔστι τι τάξεως εἶδος, οὐκ ἐκ τῆς παρ' ἡμῶν θέσεως συνιστάμενον, ἀλλ' αὐτῇ τῇ κατὰ φύσιν ἀκολουθίᾳ συμβαῖνον, ὡς τῷ πυρὶ πρὸς τὸ φως ἐστι τὸ ἐξ αὐτοῦ. Ἐν τούτοις γὰρ πρότερον τὸ αἴτιον λέγομεν, δεύτερον δὲ τὸ ἐξ αὐτοῦ· οὐ διαστήματι χωρίζοντες ἀπ' ἀλλήλων ταῦτα, ἀλλὰ τῷ λογισμῷ τοῦ αἰτιατοῦ προεπινοοῦντες τὸ αἴτιον. Πῶς οὖν εὔλογον ἀρνεῖσθαι τὴν τάξιν, ἐφ' ὧν ἐστι πρότερον καὶ δεύτερον, οὐ κατὰ τὴν ἡμετέραν θέσιν, ἀλλ' ἐκ τῆς κατὰ φύσιν αὐτοῖς ἐνυπαρχούσης ἀκολουθίας; Τίνος οὖν ἕνεκεν ἀθετεῖ τὴν τάξιν ἐπὶ Θεοῦ λαμβάνεσθαι; Ἡγεῖται, εἰ ἐπιδείξειε C μηδαμῶς ἄλλως τὸ πρότερον ἐπὶ Θεοῦ νοεῖσθαι, λειπόμενον ἕξειν, κατ' αὐτὴν τὴν οὐσίαν τὴν ὑπεροχὴν ἐπιδείκνυσθαι. Ἡμεῖς δὲ, κατὰ μὲν τὴν τῶν αἰτίων πρὸς τὰ ἐξ αὐτῶν σχέσιν, προτετάχθαι τοῦ Υἱοῦ τὸν Πατέρα φαμέν· κατὰ δὲ τὴν τῆς φύσεως διαφορὰν, οὐκέτι, οὐδὲ κατὰ τὴν τοῦ χρόνου ὑπεροχήν· ἢ οὕτω γε καὶ αὐτὸ, τὸ Πατέρα εἶναι τὸν Θεὸν, ἀθετήσομεν, τῆς κατὰ τὴν οὐσίαν ἀλλοτριότητος τὴν φυσικὴν συνάφειαν ἀθετούσης.

Ἐπεὶ μέντοι ἀφορίσασθαι ἡμῖν τοῦ χρόνου τὴν φύσιν ὁ σοφὸς τὰ πάντα προήχθη, καὶ ἐνταῦθα αὐτοῦ τὸ βέβαιον καὶ περιεσκεμμένον τῆς διανοίας ἴδωμεν. Χρόνον τοίνυν εἶναί φησι ποιάν τινα κίνησιν ἀστέρων· ἡλίου δηλονότι καὶ σελήνης καὶ τῶν λοι- D πῶν, ὅσοις καθ' ἑαυτὰ κινεῖσθαι δύναμίς ἐστι. Τὸ τοίνυν ἀπὸ γενέσεως οὐρανοῦ καὶ γῆς μέχρι τῆς ποιήσεως των ἀστέρων διάστημα τι ποτε ἄρα εἶναι ὁ δεινὸς τὰ μετέωρα οὗτος ἀποφανεῖται; Σαφῶς γὰρ ὁ τὴν κοσμογονίαν τῇ δυνάμει τοῦ Πνεύματος ἀναγράψας τῇ τετάρτῃ ἡμέρᾳ τοὺς μεγάλους φωστῆρας καὶ τοὺς λοιποὺς ἀστέρας γεγενῆσθαί φησι. Χρόνος οὖν οὐκ ἦν, ὡς ἔοικεν, ἐν ταῖς κατόπιν ἡμέραις· οὐ γὰρ ἐκινοῦντό πω οἱ ἀστέρες. Πῶς γὰρ, οἵ γε μηδ' ἐγεγόνεισαν τὴν ἀρχήν; Καὶ πάλιν, ὅτε ἐπολέμει τοῖς Γαβαωνίταις ὁ τοῦ Ναυῆ Ἰησοῦς, ἐπειδὴ ἀκίνητος ὁ ἥλιος ἔμεινε τῷ προσ-

enim fieri potest, ut universorum Deus cum sua ipsius imagine quæ citra temporis accessionem illustrata est, ab æterno non sit, et conjunctionem non habeat non solum ultra tempora, sed etiam ultra omnia sæcula. Nam idcirco splendor [1] dicitur, ut conjunctionem intelligamus : et figura substantiæ [2], ut consubstantialitatem perdiscamus. Sed et ordo alius naturalis est, alius artificialis. Naturalis quidem, ut creaturarum, qui ex creandi ratione dispositus est, et sicut numerabilium positio, et causarum ad producta habitus ; cum res confessa sit, Deum etiam ipsius naturæ conditorem esse et opificem. Excogitatus vero et artificialis, ut ille, qui deprehenditur in probationibus, in disciplinis, in dignitatibus, in numero et reliquis hujusmodi. Eunomius itaque horum priore occultato, de secundo ordinis genere fecit mentionem ; aitque non oportere dicere in Deo ordinem esse, quoniam ordo ordinante posterior est. Illud vero aut non intellexit, aut ultro occuluit, quoddam ordinis esse genus, non nostra constitutum ordinatione, sed ipsa necessitudine naturali contingens, quo se modo habent ignis et lux, quæ ex ipso est. Nam in iis causam priorem esse dicimus : posterius vero id quod ab ipsa est, non intervallo hæc a se invicem dirimentes, sed cogitatione causam ante effectum intelligentes. Quonam igitur pacto rationi consentaneum fuerit, ordinem in iis negare, in quibus est prius et posterius, non ex nostra dispositione, sed ex naturali quadam rerum consecutione? Cur igitur fastidit ordinem in Deo admittere? Arbitratur, si ostenderit non aliter prius in Deo intelligi, reliquum se habiturum, in ipsa scilicet substantia præstantiam demonstrari. Nos autem, pro habitu causarum ad ea quæ ex ipsis sunt, Patrem Filio præponi dicimus : at vero secundum naturæ diversitatem, non item, neque secundum temporis excessum: alioquin hoc pacto etiam Deum Patrem esse negabimus ; cum alienatio quæ in essentia reperitur, conjunctionem naturalem aboleat.

Sed quoniam huc ille in omnibus sapiens progressus est, nobis ut definiret temporis naturam, et hic quam firma, quam circumspecta sit mens ejus, videamus. Tempus ergo certum quemdam stellarum motum esse dicit, solis videlicet et lunæ ac reliquarum, quibus inest qua per se moveantur. Intervallum igitur quod ab origine cœli et terræ ad stellarum usque creationem intercessit, quidnam esse decernet eximius ille rerum sublimium speculator? Nam qui mundi creationem virtute Spiritus conscripsit, magna illa luminaria et reliquas stellas die quarta productas esse perspicue narrat [3]. Tempus igitur, ut liquet, in prioribus diebus nequaquam erat : siquidem nondum movebantur stellæ. Quomodo enim id fieri potuisset, cum ne conditæ quidem fuissent initio? Et iterum, cum Jesus Nave adversus Gabaonitas pugnaret, quoniam sol præcepto

[1] Hebr. I, 3. [2] Ibid. [3] Gen. I, 14-19.

ligatus manebat immobilis, ac luna in loco stabat [1], A tempus tunc non erat? Quodnam igitur nomen illi diei spatio imponemus? quam excogitabis appellationem? Etenim si temporis defecerat natura, ævum utique el successit. At ævum exiguam diei partem appellare, quem dementiæ modum non superat? Sed, quæ multa est ejus solertia, putare videtur, diem ae noctem fieri quapiam stellarum motione ad qualitatem pertinente, atque has esse temporis partes: unde tempus statuit quemdam esse stellarum motum qualitate præditum, ne id quidem quod dicit intelligens. Non enim motum qualitate præditum, sed quantitate donatum, si tamen ita loqui fas est, dicere magis conveniebat. Quis enim sic omnino puer est mente, ut ignoret dies, horas, menses, annos, temporis mensuras, non par- B tes esse? Tempus autem spatium est, quod æque extenditur atque ipsa mundi constitutio: quo motum omnem sive stellarum, sive animalium, sive cujuscunque rei quæ movetur, admetimur, prout dicimus aliud alio velocius aut tardius esse: velocius quidem, id quod minore tempore plus percurrit spatii; tardius vero, quod minus longiore tempore movetur. Eunomius vero quoniam in tempore stellæ moventur, temporis ipsas esse opifices pronuntiat. Proinde ex sapientissimi illius sententia, quoniam scarabei quoque in tempore moventur, constituamus tempus talem quamdam motionem esse scarabeorum: etenim quod dixit, id ab hoc nihil differt, nominum dignitate excepta.

C

Ex eodem libro.

Majus vel essentiæ ratione, vel virtutis excellentia, vel præstantia dignitatis, vel molis amplitudine dicitur. Amplitudine molis majus hic intelligi non potest. Quis enim ea quæ nulla magnitudine sunt circumscripta, vel potius quæ molem non habent omnino, et quantitate dimetiatur? Quis rursum eorum excellentiam agnoscat ullo modo, quæ nullam admittant dimensionem? Jam si Dei sedes dignitatis est nomen, sessio ad dexteram Patris Filio definita quid aliud significat, nisi parem et æqualem dignitatis statum? Denuntiatur enim et Dominus in gloria Patris esse venturus. Filium vero virtute minorem dicere, quam Pater sit, cum D Dei virtutem Paulus Christum appellet [2], plane puerile est, et eorum qui Domini vocem non exaudiant, dicentis: *Ego et Pater unum sumus* [3], sic *unum* accipientis, ut virtutis æqualitatem significet, quemadmodum ex ipsis Evangelii verbis ostendemus. Cum enim de iis qui in se crediderant, loquens dixisset: *Nemo rapiet illos e manu mea* [4]. Et: *Pater qui dedit mihi, major omnibus est* [5]. Et: *Nemo potest rapere e manu Patris mei* [6], subjicit: *Ego et Pater unum sumus.* Ex quo perspicuum est illud, *unum*, virtute et potentia parem significare. Reliquum est igitur, ut majus hic causæ rationem demonstret. Nam quoniam a Patre Filius princi-

[1] Jos. x, 12, 13. [2] II Cor. i, 24. [3] Joan. x, 30. [4] Ibid. 28. [5] Ibid. 29. [6] Ibid.

A τάγματι πεδηθεὶς, καὶ ἡ σελήνη κατὰ χώραν εἱστήκει, χρόνος οὐκ ἦν τηνικαῦτα; Τί ἐκεῖνο οὖν τὸ διάστημα τῆς ἡμέρας εἴπωμεν; τίνα προσηγορίαν ἐπινοήσεις; Εἰ γὰρ ἡ τοῦ χρόνου φύσις ἐπιλελοίπει, αἰὼν ἀντεισῆλθε δηλονότι. Αἰῶνα δὲ μικρὸν ἡμέρας μέρος προσαγορεύειν τίνα τῆς ἀνοίας ὑπερβολὴν ἀπολείπει; Ἀλλ' ἔοικεν ἐκ πολλῆς ἀγχινοίας ἡμέραν μὲν καὶ νύκτα ἐν τῇ ποιᾷ τῶν ἀστέρων κινήσει νομίζειν γίνεσθαι, ταῦτα δὲ εἶναι τοῦ χρόνου μέρη· ὅθεν τὸν χρόνον ποιάν τινα κίνησιν ἀστέρων ἀπεφήνατο, οὐδὲ αὐτὸ τοῦτο συνεὶς ὅ τι λέγει. Οὐ γὰρ ποιὰν, ἀλλ' εἴπερ ἄρα, ποσὴν, μᾶλλον ἦν εἰπεῖν οἰκειότερον. Ἀλλὰ τίς οὕτω παῖς παντελῶς τὴν διάνοιαν, ὥστε ἀγνοεῖν, ὅτι ἡμέραι μὲν, καὶ ὧραι, καὶ μῆνες, καὶ ἐνιαυτοὶ, μέτρα τοῦ χρόνου εἰσὶν, B οὐχὶ μέρη; Χρόνος δέ ἐστι τὸ συμπαρεκτεινόμενον τῇ συστάσει τοῦ κόσμου διάστημα· ᾧ πᾶσα παραμετρεῖται κίνησις, εἴτε ἀστέρων, εἴτε ζώων, εἴτε οὑτινοσοῦν τῶν κινουμένων, καθὸ λέγομεν ταχύτερον ἢ βραδύτερον ἕτερον ἑτέρου· ταχύτερον μὲν τὸ ἐν ἐλάττονι χρόνῳ πλεῖον διάστημα μεταβαῖνον, βραδύτερον δὲ τὸ ἔλαττον ἐν πλείονι χρόνῳ κινούμενον. Ὁ δὲ, ἐπειδὴ ἐν χρόνῳ οἱ ἀστέρες κινοῦνται, χρόνου αὐτοὺς εἶναι δημιουργοὺς ἀποφαίνεται. Οὐκοῦν κατὰ τὸν τοῦ σοφωτάτου λόγον, ἐπειδὴ καὶ κάνθαροι ἐν χρόνῳ κινοῦνται, ὁρισώμεθα τὸν χρόνον εἶναι ποιάν τινα κανθάρων κίνησιν· οὐδὲν γὰρ τούτου τὸ παρ' αὐτοῦ λεχθὲν διαφέρει, πλὴν τῆς σεμνότητος τῶν ὀνομάτων.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Τὸ μεῖζον ἢ κατὰ τὸν τῆς οὐσίας λόγον, ἢ κατὰ τὸν τῆς δυνάμεως πλεονασμὸν, ἢ κατὰ τὴν ὑπεροχὴν τοῦ ἀξιώματος, ἢ κατὰ τὴν τῶν ὄγκων περιουσίαν λέγεται. Κατὰ μὲν οὖν τὸ τῶν ὄγκων μέγεθος οὐκ ἂν ἐνταῦθα τὸ μεῖζον λέγοιτο. Τὰ γὰρ ἀπερίληπτα τῷ μεγέθει, μᾶλλον δὲ ἀμεγέθη, καὶ ἄποσα παντελῶς τίς ἂν ἀλλήλοις παραμετρήσειεν. Ὧν δὲ ἀμήχανος ἡ παράθεσις, τίνι ἂν τρόπῳ τὸ ὑπερβάλλον ἐν τούτοις ἐπιγνωσθείη; Ἀλλὰ μὴν εἴγε καὶ ὁ θρόνος τοῦ Θεοῦ ἀξιώματός ἐστιν ὄνομα, ἡ ἐκ δεξιῶν τοῦ Πατρὸς ἀφωρισμένη τῷ Υἱῷ καθέδρα τί ποτε ἕτερον, καὶ οὐχὶ τὸ ἰσότιμον τῆς ἀξίας ἀποσημαίνει; καὶ γὰρ καὶ ἥξειν ὁ Κύριος ἐπαγγέλλεται D ἐν τῇ δόξῃ τοῦ Πατρός. Ἀλλὰ καὶ τὸ λέγειν ἐλαττοῦσθαι δυνάμει τὸν Υἱὸν τοῦ Πατρὸς κομιδῇ νηπίων ἐστί. Χριστὸς γὰρ, φησὶ, Θεοῦ δύναμις. Καὶ οὐδὲ κατακουόντων τῆς φωνῆς Κυρίου λέγοντος· *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*, καὶ τὸ *ἓν* ἀντὶ τοῦ κατὰ τὴν δύναμιν ἴσου παραλαμβάνοντος, ὡς ἐξ αὐτῶν δείξομεν τῶν τοῦ Εὐαγγελίου ῥημάτων. Εἰπὼν γὰρ περὶ τῶν πιστευσάντων, ὅτι *Οὐ μή τις ἁρπάσῃ ἐκ τῆς χειρός μου*, καὶ ὅτι *Ὁ Πατὴρ ὃς δέδωκέ μοι μείζων πάντων ἐστὶ*, καὶ *Οὐδεὶς δύναται ἁρπάσαι ἐκ τῆς χειρὸς τοῦ Πατρός μου*, ἐπήγαγεν· *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*, σαφῶς τοῦ *ἓν ἐσμεν* ἀντὶ τοῦ ἴσου καὶ ταυτοῦ κατὰ δύναμιν παραλαμ-

A φαινομένου. Λείπεται τοίνυν κατὰ τὸν τῆς αἰτίας λόγον ἐνταῦθα τὸ μεῖζον λέγεσθαι. Ἐπειδὴ γὰρ παρὰ τοῦ Πατρὸς ἡ ἀρχὴ τῷ Υἱῷ, κατὰ τοῦτο μείζων ὁ Πατὴρ, ὡς αἴτιος, καὶ ἀρχή. Διὸ καὶ ὁ Κύριος οὕτως εἶπεν· *Ὁ Πατήρ μου μείζων μού ἐστι*, καθὸ Πατὴρ δηλονότι. Τὸ δὲ Πατὴρ τί ἄλλο σημαίνει, ἢ τὸ αἰτία εἶναι καὶ ἀρχὴ τοῦ ἐξ αὐτοῦ γεννηθέντος; Καίτοι εἰ κατὰ τὸν σὸν λόγον, ὦ Εὐνόμιε, τὸ ἀγέννητον οὐσία ἦν, ἐβούλετο δὲ τὴν κατ' οὐσίαν τοῦ Πατρὸς ὑπεροχὴν ἐπιδεῖξαι, εἶπεν ἂν, ὅτι Ὁ ἀγέννητος μείζων μού ἐστιν. Ὑμέτερος δέ ἐστι λόγος, ὅτι ἡ τοῦ Πατρὸς προσηγορία ἐνεργείας ἐστὶ, καὶ οὐχ οὐσίας σημαντική. Καὶ ἄλλως δὲ οὐσία οὐσίας κατὰ τὴν ὑμετέραν σοφίαν τὸ μεῖζον καὶ ἔλαττον οὐκ ἐπιδέχεται, ὥστε τὸ μεῖζον οὐ κατ' οὐσίαν ὁ προκείμενος ἐνέφηνε λόγος.

pium habet, idcirco Pater, ut causa et principium, major est. Et propterea Dominus ait : *Pater major me est* [1], nempe quatenus est Pater. Quid enim illa vox, *Pater*, aliud significat, nisi illum causam et principium esse, ex quo genitus ipse sit ? Quod si, quemadmodum ipse sentis, Eunomi, ingenitus essentia est, cum vellet Patrem essentia majorem indicare, dixisset ad hunc modum, Ingenitus major me est. Quid quo sapientia vestra docet, essentiam essentia majorem, aut minorem non dici ? Quamobrem hoc loco non de essentia majus dictum est.

B *Τοῦ αὐτοῦ ἐκ τοῦ β' λόγου τῶν Ἀντιῤῥητικῶν.*

Ἐπὶ μὲν τῆς κτίσεως εὕρομεν ἀπὸ τοῦ *Ἐποίησε* τὴν τοῦ ποιήματος προσηγορίαν καταληφθεῖσαν· ἐπὶ δὲ τοῦ Υἱοῦ τοῦ Θεοῦ οὐκ ἔτι· *Ἐν ἀρχῇ γὰρ*, φησὶν, *ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν*· καὶ πάλιν· *Ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων*· καὶ πάλιν· *Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται*. Οὕτως ἐφ' ὧν ἐστι χρήσιμον τὸ ὄνομα παραλαμβάνουσα ἡ Γραφὴ, ἐπὶ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὡς πρέπον τῷ μεγαλείῳ τῆς δόξης παρεσιώπησε. Νῦν δὲ ἀξίνην μὲν, καὶ λίθον ἀκρογωνιαῖον, καὶ λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου, καὶ τοιαῦτα ἕτερα, ἐν οἷς οὐ πολὺ δοκεῖ τὸ εὔφημον εἶναι τοῖς μὴ καθικνουμένοις C τῆς σημασίας τῶν ὀνομάτων, τὸν Κύριον τῆς δόξης προσαγορεύειν οὐκ ἐπαισχύνεται, ποίημα δὲ οὐδαμοῦ τὸ παράπαν ὠνόμασε. Καίτοι γε οὗτος παρ' αὐτῶν εἰληφέναι τῶν ἁγίων τὸ ὄνομα τοῦτό φησιν, ἵνα ταῖς συκοφαντίαις μὴ μόνον τοὺς κατ' αὐτὸν περιβάλλῃ, ἀλλὰ καὶ τοὺς πάλαι ποτὲ γενομένους ἁγίους. Ἄνευ δὲ τοῦ μὴ χρῆναι διὰ τὸ ἐπικίνδυνον τοῖς τοιούτοις ἐπιτολμᾷν, καὶ τὰ τοῦ Κυρίου ὀνόματα παρ' ἑαυτοῦ μεταπλάττειν, ἔτι οὐδὲ ἡ τοῦ Ἀποστόλου διάνοια τὴν πρὸ αἰώνων ὑπόστασιν τοῦ Μονογενοῦς ἡμῖν παρίστησι, περὶ ἧς ἡμῖν ὁ λόγος ἐν τῷ παρόντι. Οὐδὲ γὰρ περὶ τῆς οὐσίας αὐτῆς τοῦ Θεοῦ Λόγου τοῦ ἐν ἀρχῇ ὄντος πρὸς τὸν Θεὸν, ἀλλὰ περὶ τοῦ κενώσαντος ἑαυτὸν ἐν τῇ τοῦ δούλου μορφῇ, D καὶ γενομένου συμμόρφου τῷ σώματι τῆς ταπεινώσεως ἡμῶν, καὶ σταυρωθέντος ἐξ ἀσθενείας σαφῶς διαλέγεται. Καὶ τοῦτο παντὶ γνώριμον τῷ καὶ μικρὸν ἐπιστήσαντι τῆς ἀποστολικῆς λέξεως τῷ βουλήματι, ὅτι οὐχὶ θεολογίας ἡμῖν παραδίδωσι τρόπον, ἀλλὰ τοὺς τῆς οἰκονομίας λόγους παραδηλοῖ· *Κύριον γὰρ*, φησὶν, *αὐτὸν, καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε*, τῇ δεικτικῇ φωνῇ πρὸς τὸ ἀνθρώπινον αὐτοῦ, καὶ ὁρώμενον πᾶσι προδήλως ἐπερειδόμενος. Ὁ δὲ τὴν *ἐποίησε* φωνὴν εἰς τὴν ἀρχῆθεν γέννησιν τοῦ Μονογενοῦς μεταφέρει, καὶ οὐδὲ ἐκεῖνο αὐτὸν δυσωπεῖ, ὅτι τὸ Κύριος οὐχὶ οὐσίας ἐστὶν, ἀλλ' ἐξουσίας ὄνομα. Ὥστε ὁ εἰπὼν, *Κύριον αὐτὸν καὶ*

Ejusdem ex secundo libro adversus Eunomium.

Comperimus res procreatas a verbo *Fecit*, appellationem accipere, ut factæ dicantur, et opera vocentur, id quod non cadit in Filium Dei : *In principio enim*, inquit, *fecit Deus cœlum et terram* [2]. Et : *In operibus manuum tuarum meditabar* [3]. Et : *Invisibilia ipsius a creatura mundi per ea, quæ facta sunt intellecta conspiciuntur* [4]. Scriptura igitur hac voce utens, ubi erat utilis et necessaria, eam de Domino et Servatore nostro Jesu Christo loquens, ut ejus gloriæ magnitudini minus congruentem nunquam pronuntiavit. Cum tamen et securim, et lapidem angularem, et lapidem offensionis, et petram scandali, et aliis ejusmodi nominibus, in quibus non multum inesse laudis existimant illi qui ad intimam eorum significationem non perveniunt, appellare Dominum gloriæ non erubuerit. Eum vero nunquam omnino vocavit opus. Quod tamen nomen iste dicit se a sanctis hominibus accepisse, ut non suæ tantum ætatis, sed superiorum etiam viros sanctos calumniis involvat. Ac præterquam quod periculosa res audere ejusmodi vocabulis uti, et Domini nomina fingere arbitratu suo, ne Apostolo quidem propositum est, ut Unigeniti naturam, de qua in præsentia loquimur, nobis explicet. Non enim de Verbi essentia in principio apud Deum exsistentis verba facit, sed de illo, ut semetipsum exinanivit, ut servi formam accepit, ut corporis nostri similitudinem humilitatis induit, et ex infirmitate crucis mortem sustinuit, aperte disserit. Quod autem non divinæ illius naturæ rationem nobis tradat, sed dispositionis ejus consilium ostendat, perspicuum est omnibus qui parumper orationis apostolicæ sententiam norunt : *Dominum enim*, inquit, *ipsum et Christum Deus fecit, hunc Jesum, quem vos crucifixistis* [5]. In ea voce, quæ perspicuam ipsius humanitatem omnibus significat, immoratur. At iste verbum illud, *fecit*, ad ortum illum primum Unigeniti refert. Neque deterret eum ea vox, *Dominus*, quæ non essentiam indicat, sed potestatem. Quare Dominum, inquiens, ipsum et Christum Deus fecit, principatum potestatemque illi in omnes a Patre datam decla-

[1] Joan. xiv, 28. [2] Gen. i, 1. [3] Psal. cxxxxii, 5. [4] Rom. i, 20. [5] Act. ii, 36.

rat, non autem exsistendi facultatem exponit. Verum hæc paulo post demonstrabimus, cum ipsum contra Spiritus voluntatem abuti Scripturæ testimoniis ostendemus. Nunc in iis quæ instituto sermoni conjuncta sunt, progrediamur. Quid igitur sibi vult hoc vocabulum, aut cur omnium rerum effectorem iste factum conatur appellare? Falsó commento seipsum fallit, arbitraturque simul cum nominum diversitate essentiæ diversitatem apparere. Quis autem sapiens ad istam accedat sententiam, ut credat, quorum diversa sunt nomina, eorum item essentiam diversam esse necessario? Petri quidem et Pauli et aliorum nomina sunt diversa, essentia tamen est omnium una. Itaque cum rebus plurimis iidem inter nos sumus, proprietatibus solum, quæ in unoquoque perspiciuntur, inter nos alius ab alio distamus. Quare appellationes non essentias significant, sed proprietates, quibus tanquam notis quibusdam homines singuli ab aliis distinguuntur. Proinde cum Petrum audimus, non ex eo nomine essentiam ejus animo concipimus (essentiam nunc materiam subjectam appello, quæ nullo pacto nomine exprimitur), sed proprietates, quæ circa ipsum spectantur cogitamus. Statim enim ex hac voce Petrum illum Jona intelligimus, ex Bethsaida, fratrem Andreæ, qui ex piscatore ad munus apostolicum vocatus est, qui propter excellentiam fidei in seipso suscepit ædificationem Ecclesiæ, quorum nihil est essentia. Itaque nomen hoc Petri quidem figuram nobis effingit, essentiam vero neutiquam proponit. Pauli rursus audito nomine concursum aliarum proprietatum comprehendimus, nempe Tarsensem illum Hebræum, lege Pharisæum, Gamalielis discipulum, qui zelo incensus Ecclesias Dei persequebatur, qui terribili commotus viso pervenit ad veritatis cognitionem, et gentium Apostolus factus est. Hac una Pauli appellatione hæc omnia describuntur. Quod si verum esset, quorum nomina differunt, eos essentias habere differentes, Paulus, et Petrus, et cæteri homines inter se essentia differrent. Sed nullus est adeo imperitus, et naturæ communis ignarus, qui ad hoc asserendum adduci possit. Quare constat mendacem esse, qui ex nominum discrimine consequi affirmat essentiæ differentiam. Neque enim nomina sequitur rerum natura, sed rebus ipsis nomina sunt posteriora, alioquin eveniret, ut quorum eadem essent nomina, eamdem essentiam haberent. Et quoniam homines virtute perfecti, Dei nomine digni sunt habiti, cum omnium Deo forent ejusdem essentiæ. Verum ut hoc dicere plane insipientis est, sic illud asserere penitus insani. Quamobrem ex iis quæ dicta sunt, patet, nominibus non essentias, sed proprietates indicari. Quapropter orationi ex nominum diversitate contrarias essentias colligenti nullus est locus. Sic enim seipsam in primis evertit. Si enim facta et genita inter se differunt, erunt essentiæ Unigeniti differentes, quæ ex nominum differentia con-

A *Χριστὸν ὁ Θεὸς ἐποίησε*, τὴν κατὰ πάντων ἀρχὴν καὶ ἐξουσίαν λέγει, τὴν παρὰ τοῦ Πατρὸς ἐπιτραπεῖσαν αὐτῷ, οὐ τὴν εἰς τὸ εἶναι πάροδον αὐτῷ διηγεῖται. Ταῦτα μὲν οὖν μικρὸν ὕστερον ἐπιδείξομεν, ὅταν ἐλέγχωμεν αὐτὸν παρὰ τὸ βούλημα τοῦ Πνεύματος τὰς ἐκ τῆς Γραφῆς μαρτυρίας παρατιθέμενον· νυνὶ δὲ ἐπὶ τὰ συνεχῆ τοῦ λόγου προΐωμεν. Τί οὖν αὐτῷ βούλεται τὸ ὄνομα τοῦτο, καὶ τί δήποτε ποίημα προσαγορεύειν τὸν ποιητὴν τῶν ὅλων ἐπιχειρεῖ; Σοφίσματι κιβδήλῳ παρακρουσάμενος ἑαυτὸν οἴεται ταῖς τῶν ὀνομάτων διαφοραῖς καὶ τὴν τῆς οὐσίας παραλλαγὴν συνεκφαίνεσθαι. Καίτοι τίς ἂν τῷ λόγῳ τούτῳ σωφρονῶν προστίθοιτο; Ὅτι ὧν τὰ ὀνόματά ἐστι διάφορα, τούτων παρηλλάχθαι καὶ τὰς οὐσίας ἀνάγκη. Πέτρου γὰρ, καὶ Παύλου, καὶ B ἁπαξαπλῶς ἀνθρώπων πάντων προσηγορίαι μὲν διάφοροι, οὐσία δὲ πάντων μία. Διόπερ ἐν μὲν τοῖς πλείστοις οἱ αὐτοὶ ἀλλήλοις ἐσμὲν, τοῖς δὲ ἰδιώμασι μόνον τοῖς περὶ ἕκαστον θεωρουμένοις ἕτερος ἑτέρου διενηνόχαμεν. Ὅθεν καὶ αἱ προσηγορίαι οὐχὶ τῶν οὐσιῶν εἰσι σημαντικαὶ, ἀλλὰ τῶν ἰδιοτήτων, αἳ τὸν καθ' ἕνα χαρακτηρίζουσιν. Ὅταν γὰρ ἀκούσωμεν Πέτρον, οὐ τὴν οὐσίαν αὐτοῦ νοοῦμεν ἐκ τοῦ ὀνόματος, οὐσίαν δὲ λέγω νῦν τὸ ὑλικὸν ὑποκείμενον, ὅπερ οὐδαμῶς σημαίνει τοὔνομα, ἀλλὰ τῶν ἰδιωμάτων, ἃ περὶ αὐτὸν θεωρεῖται, τὴν ἔννοιαν ἐντυπούμεθα. Εὐθὺς γὰρ ἐκ τῆς φωνῆς ταύτης νοοῦμεν Πέτρον τὸν Ἰωνᾶ, τὸν ἐκ τῆς Βηθσαϊδὰ, τὸν ἀδελφὸν Ἀνδρέου, τὸν ἀπὸ ἁλιέων εἰς τὴν διακονίαν τῆς ἀποστολῆς προσκληθέντα, τὸν διὰ πίστεως ὑπεροχὴν ὑφ' ἑαυτῷ τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας δεξάμενον, ὧν οὐδέν ἐστιν οὐσία. Ὥστε τὸ C ὄνομα τὸν χαρακτῆρα μὲν ἡμῖν ἀφορίζει τοῦ Πέτρου, αὐτὴν δὲ οὐδαμοῦ παρίστησι τὴν οὐσίαν. Παῦλον ἀκούσαντες πάλιν, ἑτέρων ἰδιωμάτων συνδρομὴν ἐνοήσαμεν, τὸν Ταρσέα, τὸν Ἑβραῖον, τὸν κατὰ νόμον Φαρισαῖον, τὸν μαθητὴν τοῦ Γαμαλιὴλ, τὸν κατὰ ζῆλον διώκτην τῶν ἐκκλησιῶν τοῦ Θεοῦ, τὸν ἐκ τῆς φοβερᾶς ὀπτασίας εἰς τὴν ἐπίγνωσιν ἐναχθέντα, τὸν Ἀπόστολον τῶν ἐθνῶν. Ταῦτα γὰρ πάντα ἐκ μιᾶς φωνῆς τῆς Παῦλος περιορίζεται. Καίτοι γε εἰ ἀληθὲς ἦν, ὅτι ὧν τὰ ὀνόματα διενήνοχεν, ἐναντίως ἔχουσιν αἱ οὐσίαι, ἐχρῆν δήπου καὶ Παῦλον, καὶ Πέτρον, καὶ ἁπαξαπλῶς ἀνθρώπους ἅπαντας D ἑτεροουσίους ἀλλήλοις εἶναι. Ἐπεὶ δὲ τοῦτο οὐδεὶς οὕτως ἀμαθὴς, καὶ τῆς κοινῆς φύσεως ἀνεπίσκεπτος, ὥστ' ἂν εἰπεῖν προαχθῆναι, ψευδὴς ὁ τῇ διαφορᾷ τῶν ὀνομάτων τὸ τῆς οὐσίας διάφορον ἕπεσθαι σοφιζόμενος. Οὐ γὰρ τοῖς ὀνόμασιν ἡ τῶν πραγμάτων φύσις ἀκολουθεῖ, ἀλλ' ὕστερα τῶν πραγμάτων εὕρηται τὰ ὀνόματα. Εἰ γὰρ τοῦτο ἦν ἀληθὲς, ἔδει καὶ ὧν αἱ προσηγορίαι εἰσὶν αἱ αὐταὶ, μίαν καὶ τὴν αὐτὴν οὐσίαν εἶναι. Οὐκοῦν ἐπειδὴ οἱ κατ' ἀρετὴν τέλειοι τῆς τοῦ Θεοῦ προσηγορίας ἠξίωνται, ὁμοούσιοι ἂν εἶεν τῷ Θεῷ τῶν ὅλων οἱ ἄνθρωποι. Ἀλλ' ὥσπερ τοῦτο λέγειν μανία σαφὴς, οὕτω κἀκεῖνος ὁ λόγος τῆς ἴσης ἔχεται παρανοίας. Φανερὸν τοίνυν ἐκ τῶν εἰρημένων, ὅτι καὶ ἐπὶ Πατρὸς, καὶ Υἱοῦ οὐχὶ οὐσίαν παρίστησι τὰ ὀνόματα, ἀλλὰ τῶν ἰδιωμάτων

ἐστὶ δηλωτικὰ, ὥστε μηδεμίαν εἶναι χώραν τῷ λόγῳ, τῷ ἐκ τῆς τῶν ὀνομάτων παραλλαγῆς τὴν τῶν οὐσιῶν ἐναντίωσιν παρεισάγοντι. Οὕτω δ' ἂν πρὸ πάντων ἑαυτὸν καταβάλλοι. Εἰ γὰρ διαφέρει ποίημά τε καὶ γέννημα, διάφοροι ἔσονται τοῦ Μονογενοῦς οὐσίαι, τῇ διαφορᾷ τῶν ὀνομάτων ἑπόμεναι. Εἰ δὲ τοῦτο παραφρονούντων εἰπεῖν, οὐδὲ ἐκεῖνο καθεστηκότων. Ὁ δὲ προσποιεῖται μὲν μυρίας ἔχειν τὰς ἀποδείξεις τοῦ παρὰ τῶν ἁγίων ποίημα τὸν Ἰησοῦν προσειρῆσθαι, ὡς δὲ ἐφ' ἕτερά τινα προηγούμενα σπεύδων ὑπερτίθεται δῆθεν ἐν τῷ παρόντι τὴν μνήμην. Ἔστι δὲ καὶ τοῦτο τεχνικὸν τὸ κακούργημα ἐν οἷς ἀπορεῖ λόγων τὴν σιωπὴν προτιμᾷν. Εἰ γὰρ σκιὰν μαρτυρίας εἶχε τῆς τὸν Μονογενῆ λεγούσης ποίημα, κἂν ἐκεκώφωτο ἡμῶν ἤδη τὰ ὦτα περιθρυλλούμενα.

A sequentur. At quemadmodum qui hoc dicunt, delirant, sic insaniunt illi qui illud asserunt. Sed iste argumenta se fingit habere innumerabilia, quibus demonstrare possit, Filium a sanctis opus appellatum fuisse, sed ea se, quoniam ad majora quædam festinet, in præsentia non commemorare. Sed hoc item versuti hominis malitiam et artificium arguit, qui ea in quibus hæret, silentio transit. Nam si vel umbram haberet alicujus testimonii, quo Unigenitus factus, aut opus diceretur, jactatione ipsius aures nostræ jam obsurdescerent.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ταῦτα μὲν οὖν ὥσπερ προαγωνές τινες καὶ κατασκευαὶ τῆς βλασφημίας εἰσί· τὸ δὲ κεφάλαιον τοῦ κακοῦ ἐν τοῖς ἑξῆς ἐπιφέρει λέγων·

ΕΥΝ. Τὴν οὐσίαν τοῦ Υἱοῦ γεγεννῆσθαι μὲν οὐκ οὖσαν πρὸ τῆς ἰδίας συστάσεως, εἶναι δὲ γεννηθεῖσαν πρὸ πάντων γνώμῃ τοῦ Πατρός.

ΒΑΣ. Ἔτι τῶν αὐτῶν ἔχεται τεχνασμάτων. Περὶ τῆς οὐσίας ἡμῖν τοῦ Υἱοῦ διαλέγεται, ὡς δή τι ἕτερον λέγων παρ' αὐτὴν τὸν Υἱὸν, καὶ τούτῳ τῷ τρόπῳ προημεροῖ τῇ βλασφημίᾳ τὴν ἀκοήν· οὐκ ἐκ τοῦ προφανοῦς λέγων ἐκ μὴ ὄντων γεγεννῆσθαι τὸν Υἱὸν, ἀλλὰ τὴν οὐσίαν αὐτοῦ γεγεννῆσθαι οὐκ οὖσαν. Πρὸ τίνος οὐκ οὖσαν; εἰπέ. Θεωρεῖτε αὐτοῦ τὸ σόφισμα; Αὐτὴν ἑαυτῇ συγκρίνει, ἵνα πᾶσι δὴ ἀνεκτὰ δόξῃ λέγειν, οὐχὶ πρὸ τῶν αἰώνων λέγων αὐτὴν μὴ εἶναι, οὐδὲ ἁπλῶς μὴ εἶναι, ἀλλὰ πρὸ τῆς ἰδίας συστάσεως. Τὴν δὲ τοῦ Πατρὸς οὐσίαν, εἰπέ μοι, πρεσβυτέραν εἶναι σὺ φῂς τῆς ἰδίας συστάσεως; Εἰ μὲν γὰρ οὐχ ὑποβάλλει χρόνοις τοῦ Υἱοῦ τὴν οὐσίαν, οὐδὲ τὸ *πρότερον* κατὰ τοῦτον τὸν λόγον ἐπινοεῖ, μάταιος μὲν αὐτῷ καὶ ἀργὸς ὁ λόγος, διόπερ οὐδὲ ἀποκρίσεως ἄξιος. Οὐχ ἧττον μέντοι καὶ ἐπὶ τοῦ Θεοῦ τῶν ὅλων ὑπάρξει τοῖς βουλομένοις μετακομίζειν τὴν ματαιότητα. Τό τε γὰρ οὐκ εἶναι λέγειν τὸν Θεὸν πρὸ τῆς ἰδίας συστάσεως, καὶ τὸ εἶναι λέγειν πρὸ ἑαυτοῦ, τῆς αὐτῆς ἐστιν ἀφροσύνης. Εἰ δὲ χρονικῶς ἐπὶ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ *πρότερον* δέχεται, καὶ ἐκ μὴ ὄντων φήσει τὴν οὐσίαν αὐτοῦ γεγεννῆσθαι, μᾶλλον δὲ αὐτὸν τὸν Υἱόν· οὐδὲν γὰρ διαφέρει πρός γε αὐτὴν τὴν διάνοιαν οὕτως ἢ οὕτω λέγειν· πρῶτον μὲν χρόνον [χρόνων] δεύτερον τίθεται, εἰ δὲ βούλει, καὶ αἰώνων, τὸν ποιητὴν τῶν αἰώνων· ἔπειτα μέντοι ἀκολουθῶν ταῖς ἑαυτοῦ βλασφημίαις, καὶ τὸν Πατέρα φήσει, οὐκ ὄντα Πατέρα τὸ ἐξ ἀρχῆς, εἶτα ὕστερον γεγονέναι.

Καίτοι εἰ μὲν καλὸν καὶ πρέπον τῇ μακαριότητι τοῦ Θεοῦ τὸ εἶναι Πατέρα, πῶς οὐκ ἐξ ἀρχῆς τὸ πρέπον αὐτῷ παρῆν; Ἢ γὰρ ἀγνοίᾳ τοῦ βελτίονος, ἢ ἀδυναμίᾳ πάντως λογιοῦνται τὴν ἔλλειψιν· ἀγνοίᾳ μὲν, εἴπερ ὕστερον ἐξεῦρε τὸ βέλτιον, ἀδυναμίᾳ δὲ, εἴπερ εἰδὼς καὶ συνιεὶς ἀπετύγχανε τοῦ καλλίστου. Εἰ δὲ (ὃ μὴ θέμις εἰπεῖν) οὐ καλὸν αὐτῷ τὸ εἶναι Πατέρα, τίνος ἕνεκεν ἐκ μεταβολῆς τὸ χεῖρον προ-

B *Ex eodem libro.*

Sed hæc sunt quasi præludia quædam blasphemiæ atque apparatus; caput autem mali infert in sequentibus, ubi dicit:

Eun. Substantiam Filii genitam quidem esse cum non esset ante propriam constitutionem, genitam tamen esse ante omnia voluntate Patris.

Bas. Iisdem adhuc insistit artificiis. De substantia Filii nobis verba facit, quasi dicat Filium esse aliud quid præter ipsam, atque hoc modo aures ad blasphemiam audiendam demulcendo præparat, cum non aperte dicat genitum esse ex nihilo Filium; sed ejus substantiam cum non esset, genitam esse. Dic, ante quas res non erat? Videtis ejus cavillationem? Substantiam cum semetipsa comparat, C ut tolerabilia dicere omnibus videatur. Nimirum non dicit eam ante sæcula non fuisse, neque simpliciter non fuisse, sed ante suam ipsius constitutionem non fuisse. Sed, dic mihi, aisne tu Patris substantiam sua ipsius constitutione esse antiquiorem? Etenim si temporibus non subjicit Filii substantiam, neque *prius* hac ratione intelligit, inanis et vana est ejus oratio, quapropter ne responsione quidem digna est. Et quidem id ipsum non minus de Deo etiam universorum dici poterit, si quis in eum hanc inanitatem voluerit transferre. Nam et dicere Deum ante suam constitutionem non fuisse, et dicere eum ante seipsum fuisse, ejusdem dementiæ est. Quod si temporaliter vocem *prius* de Filii substantia accipit, dicetque genitam fuisse ex ni- D hilo substantiam ejus, imo Filium ipsum; nihil enim refert, quod ad sententiam attinet, sic vel sic dicere: primum quidem temporibus, atque, si ita vis, sæculis conditorem sæculorum constituit posteriorem: deinde vero blasphemiis suis insistens dicturus est etiam Patrem, cum Pater non esset ab initio, tum demum factum fuisse.

Atqui si honestum ac decorum est Dei beatitudini Patrem esse; qui fit ut id quod decebat, ei ab initio non adesset? Aut enim melioris ignorationi, aut omnino impotentiæ hunc defectum imputabunt: ignorationi quidem, si deinceps quod melius est excogitavit; impotentiæ vero, si sciens atque intelligens, quod optimum erat assequi non potuit. Quod si (quod fas non est dicere) non est

ei bonum Patrem esse, cujus rei gratia commutatus pejus elegit? Sed recidat in suos auctores blasphemia. Nam Deus universorum Pater est ex infinito, nec unquam Pater esse cœpit. Neque enim potentiæ defectu, ne expleret voluntatem, detinebatur: neque ullorum sæculorum circuitus exspectavit, ut sicut in hominibus ac reliquis animalibus, ei generandi facultate post completam ætatem accedente, quod volebat assequeretur. Insanientium enim est hæc et cogitare, et loqui. Sed, ut ita dicam, extentam habet cum sua æternitate paternitatem. Quamobrem et Filius cum ante sæcula sit, et semper sit, nunquam esse incœpit: sed ex quo Pater est, et Filius est, et statim una cum Patris notione, Filii quoque notio subrepit. Nam Pater, Filii utique est Pater. Patris igitur origo nulla: B origo vero Filii, Pater; inter hos nihil est medii. Quomodo igitur a principio non erat (nam illud, *ante suam constitutionem*, quod ab his per cavillationem profertur, hoc sibi vult,) is, qui nihil habet quod ante se intelligatur, nisi illum, a quo *esse* habet, non intervallo præcedentem, sed causæ dignitate præpositum? Proinde si Filii cum Patre et Deo conjunctio ostensa est æterna, cum nostra cogitatio a Filio ad Patrem per nullum medium deveniat, imo absque intervallo Patri Filium conjungat; is qui nullo medio sejungitur, quem jam aditum pravæ blasphemiæ relinquit eorum, qui eum dicunt ex non exsistente ad *esse* productum esse?

C Ad hæc ipsorum quoque dementiam mirari operæ pretium est, quod dum ex non exstantibus esse dicunt Filium, nequaquam intelligunt quod eum non Patre solum, sed ea etiam re per quam Unigenitum a Patre separant, posteriorem statuant. Nam necesse est, si quid sit inter Patrem et Filium, id Filii exsistentia antiquius esse. Quid igitur hoc esse poterit? Quidnam aliud nisi aut ævum aut tempus? Qui enim Patris vitam vita Unigeniti intelligit anteriorem, qua re alia quam sæculorum aut temporum quorumdam spatio admetiens, excessum invenisse se dixerit? quod si hoc verum est, falsa Scriptura est, quæ dicit facta esse per ipsum sæcula [1]; quæque docet facta esse per ipsum omnia [2], cum certe in omnium numero sæcula etiam comprehendantur. Si vero dicturi sunt se non negare D Filium ante sæcula genitum esse, sciant, quod verbis concedunt, id revera ab ipsis tolli. Interrogabimus enim eos, qui ex non exstantibus substantiam producunt Unigeniti: Quando non erat, ut dicitis, quid erat illud intervallum? quam ei appellationem excogitabitis? Nam communis consuetudo spatium omne aut temporibus aut sæculis subjicit. Nam quod in sensibilibus est tempus, hoc sæculi est natura in rebus mundo superioribus. Isti vero, si quid tertium pro sua sapientia comminiscuntur, dicant. Sed dum tacebunt, haud ignorent se Unigeniti substantiam sæculis posteriorem constituere. Etenim

[1] Hebr. I, 2. [2] Joan. I, 3.

A εἵλετο; Ἀλλὰ τρέποιτο μὲν εἰς τοὺς αἰτίους ἡ βλασφημία· ὁ δὲ Θεὸς τῶν ὅλων ἐξ ἀπείρου ἐστὶ Πατὴρ, οὐκ ἀρξάμενός ποτε τοῦ εἶναι Πατήρ. Οὔτε γὰρ τῇ τῆς δυνάμεως ἐνδείᾳ πρὸς τὴν ἐκπλήρωσιν τοῦ θελήματος ἐκωλύετο, οὔτε αἰώνων τινῶν περίοδος ἀνέμενεν, ἵνα, ὥσπερ ἐπὶ τῶν ἀνθρώπων καὶ τῶν λοιπῶν ζώων, μετὰ τὴν τῆς ἡλικίας συμπλήρωσιν τῆς εἰς τὸ γεννᾷν αὐτῷ δυνάμεως προσελθούσης, τὸ σπουδαζόμενον περιγένηται (μαινομένων γὰρ ταῦτα καὶ ἐννοῆσαι καὶ φθέγξασθαι), ἀλλὰ τῇ ἑαυτοῦ ἀϊδιότητι συμπαρεκτεινομένην ἔχει τὴν (ἵν' οὕτως ὀνομάσω) πατρότητα. Οὐκοῦν καὶ ὁ Υἱὸς, πρὸ αἰῶνος ὢν, καὶ ἀεὶ ὢν, οὐκ ἤρξατο τοῦ εἶναί ποτε, ἀλλ' ἀφ' οὗ Πατὴρ, καὶ Υἱὸς, καὶ εὐθὺς τῇ τοῦ Πατρὸς ἐννοίᾳ ἡ τοῦ Υἱοῦ συνεισέρχεται. Ὁ γὰρ Πα- B τὴρ Υἱοῦ Πατὴρ δηλονότι. Ἀρχὴ μὲν οὖν Πατρὸς οὐδεμία, ἀρχὴ δὲ τοῦ Υἱοῦ ὁ Πατήρ· μέσον δὲ τούτων οὐδέν. Πῶς οὖν οὐκ ἦν τὸ ἐξ ἀρχῆς (τοῦτο γάρ ἐστι τὸ, *πρὸ τῆς ἰδίας συστάσεως*, ἐν σοφίσμασι λεγόμενον παρὰ τούτων) ὁ μηδὲν ἔχων προεπινοούμενον ἑαυτοῦ, εἰ μὴ τὸν ἐξ οὗ ἔχει τὸ εἶναι, οὐ διαστήματι ὑπερέχοντα, ἀλλὰ τῇ αἰτίᾳ προτεταγμένον; Εἰ τοίνυν ἀΐδιος ἡ τοῦ Υἱοῦ κοινωνία πρὸς τὸν Θεὸν καὶ Πατέρα ἀναπέφανται, τῆς διανοίας ἡμῶν ἀπὸ τοῦ Υἱοῦ δι' οὐδενὸς κενοῦ πρὸς τὸν Πατέρα χωρούσης, ἀλλ' ἀδιαστάτως τὸν Υἱὸν τῷ Πατρὶ συναπτούσης, ὁ μηδενὶ μέσῳ διοριζόμενος τίνα ἔτι παρείσδυσιν καταλείπει τῇ πονηρᾷ βλασφημίᾳ τῶν λεγόντων, ἐκ τοῦ μὴ ὄντος αὐτὸν εἰς τὸ εἶναι παρῆχθαι;

C Ἔπειτα μέντοι καὶ τῆς ἀνοίας αὐτοὺς θαυμάσαι ἄξιον, οὐ συνιέντας, ὅτι, ἐκ μὴ ὄντων λέγοντες τὸν Υἱὸν, οὐ τοῦ Πατρὸς μόνον νεώτερον ἀποφαίνουσιν, ἀλλὰ καὶ τοῦ, ᾧ τὸν Μονογενῆ ἀπὸ τοῦ Πατρὸς διορίζουσιν. Ἀνάγκη γὰρ, εἴπερ τι εἴη μεταξὺ (76) Πατρὸς καὶ Υἱοῦ, πρεσβύτερον εἶναι τοῦτο τῆς ὑπάρξεως τοῦ Υἱοῦ. Τί οὖν ἂν εἴη τοῦτο; Τί ἄλλο γε ἢ αἰὼν πάντως ἢ χρόνος; Ὁ γάρ τοι περισσοτέραν τὴν τοῦ Πατρὸς ζωὴν τῆς τοῦ Μονογενοῦς ἐννοῶν, τίνι γε ἄλλῳ παραμετρῶν, εὑρηκέναι ἂν εἴποι τὸ περισσὸν, ἢ οὐχὶ αἰώνων ἢ χρόνων τινῶν διαστήματι; Εἰ δὲ τοῦτο ἀληθὲς, ψευδὴς ἡ λέγουσα Γραφὴ τοὺς αἰῶνας δι' αὐτοῦ γεγενῆσθαι, καὶ ἡ διδάσκουσα, ὅτι πάντα δι' αὐτοῦ ἐγένετο· τοῖς πᾶσι, δηλονότι, ἐμπεριειλημμένων καὶ τῶν αἰώνων. D Εἰ δὲ φήσουσι μὴ ἀπαρνεῖσθαι πρὸ τῶν αἰώνων τὸν Υἱὸν γεγεννῆσθαι, μὴ λανθανέτωσαν, ὃ τῷ λόγῳ συγχωροῦσι, κατὰ ἀλήθειαν ἀφαιρούμενοι. Ἐρωτήσωμεν γὰρ αὐτοὺς τοὺς ἐκ μὴ ὄντων παράγοντας τοῦ Μονογενοῦς τὴν οὐσίαν· Ὅτε οὐκ ἦν, ὥς φατε, τί ἦν ἐκεῖνο τὸ διάστημα; τίνα αὐτῷ προσηγορίαν ἐπινοήσετε; Ἡ μὲν γὰρ κοινὴ συνήθεια ἢ χρόνοις ἢ αἰῶσιν ἅπαν διάστημα ὑποβάλλει· ἐπειδὴ ὅπερ ἐν τοῖς αἰσθητοῖς ὁ χρόνος, τοῦτο ἐν τοῖς ὑπερκοσμίοις ἡ τοῦ αἰῶνος φύσις ἐστίν. Οὗτοι δὲ, εἴ τι τρίτον ἐκ τῆς ἑαυτῶν σοφίας ἐπινοοῦσι, λεγέτωσαν. Ἕως δ' ἂν σιωπῶσι, μὴ λανθανέτωσαν δευτέραν αἰώνων τὴν τοῦ Μονογενοῦς οὐσίαν τιθέμενοι. Εἰ γὰρ

A ἦν τι διάστημα πρεσβύτερον τοῦ Υἱοῦ, συμπαρεκτεινόμενον τῇ ζωῇ τοῦ Πατρὸς, ἕν τι τούτων ἦν δηλονότι. Ἀλλ' οὔτ' ἔστιν, οὔτε μὴ γένηται ἔννοια πρεσβυτέρα τῆς τοῦ Μονογενοῦς ὑποστάσεως. Παντὸς γὰρ τοῦ δυναμένου εἰς ἀρχαιότητος λόγον ἐπινοεῖσθαι ἀνωτέρα ἡ ὕπαρξις τοῦ Θεοῦ Λόγου τοῦ ἐν ἀρχῇ ὄντος πρὸς τὸν Θεὸν εὑρεθήσεται. Κἂν, μυρίαις φαντασίαις ἑαυτὸν ἐξαπατήσας ὁ νοῦς, καὶ τοῖς τῶν ἀνυπάρκτων ἀναπλασμοῖς ἐπιβάλλων, τὰ μὴ ὄντα περινοῇ, οὐδεμίαν τῶν πασῶν μηχανὴν ἐξευρήσει, δι' ἧς δυνήσεται τῆς ἀρχῆς τοῦ Μονογενοῦς ἑαυτὸν ὑπερθεῖναι· καὶ κατωτέραν τοῦ ἰδίου κινήματος τὴν ζωὴν καταλιπεῖν τῆς αὐτοζωῆς· καὶ τῷ ἰδίῳ λόγῳ τοῦ Θεοῦ Λόγου τὴν ἀρχὴν ὑπερβῆναι· καὶ αἰῶνας ἐποπτεῦσαι ἐρήμους τοῦ Θεοῦ τῶν αἰώνων. B

Ἐκ τοῦ αὐτοῦ λόγου.

ΕΥΝ. Ὄντα, φησὶν, ἐγέννησεν ὁ Θεὸς τὸν Υἱὸν, ἢ οὐκ ὄντα; Ἀλλ' εἰ μὲν οὐκ ὄντα, μηδείς μοι, φησὶ, τόλμαν ἐπεγκαλείτω· εἰ δὲ ὄντα, οὐχ ἀτοπίας μόνον καὶ βλασφημίας, ἀλλὰ καὶ πάσης εὐηθείας ὑπερβολὴν ὁ λόγος ἔχει. Τῷ γὰρ ὄντι οὐ δεῖ γεννήσεως.

ΒΑΣ. Τὸ μὲν οὖν πολυθρύλλητον σόφισμα τὸ πάλαι μὲν ἐξευρεθὲν παρ' ἑτέρων, τελείως δὲ νῦν ἐν ταῖς ἀπηρυθριασμέναις καὶ ἀναισχύντοις γλώσσαις τούτων ἐξεργασθὲν τοῦτό ἐστιν. Ἡμεῖς δὲ πρῶτον ἐκεῖνο τοὺς ἀκροατὰς ὑπομνήσομεν, ὅτι αὐτός ἐστιν ὁ διὰ τὴν τῶν πολλῶν ἄγνοιαν ἀνθρωπικῶς ἐξακούων τῆς γεννήσεως τοῦ Υἱοῦ, εἰς ἀνάγκην ἐληλυθὼς τῶν λόγων τούτων· οὗτος ὁ ἀπὸ τῶν σωματικῶν ἐννοιῶν ἐπὶ τὴν πνευματικὴν C θεωρίαν τὰς ἀπαιδεύτους ψυχὰς ἐπανάγων, ὃς ἐπειδὴ τὰ γεννώμενα ζῶα οὐκ ὄντα πρότερον, εἶτα γεννᾶται, καὶ ὁ σήμερον γεννηθεὶς χθὲς οὐχ ὑπῆρχε, ταύτην καὶ ἐπὶ τῆς τοῦ Μονογενοῦς ὑποστάσεως τὴν ἔννοιαν μεταφέρει. Καὶ ἐπειδὴ γεγέννηται, φησὶν, οὐχ ὑπῆρχε πρὸ τῆς γεννήσεως. Οὕτω μεγαλοφυῶς τὴν γέννησιν ἡμῖν τοῦ Μονογενοῦς θεολογεῖ, καὶ διὰ τοιούτων λόγων τὰ ἀῤῥωστήματα τῶν ἀδελφῶν ἐπανορθοῦται, ἄξιος ὢν εἴπερ τις ἀκοῦσαι τῆς παροιμίας, ὅτι *Ἰατρὲ, θεράπευσον σεαυτόν*. Τίνα μέντοι καὶ παραμυθίαν τῆς ἀτόπου ταύτης τῶν λογισμῶν νόσου προσενέγκωμεν; Ἢ τὰ παρὰ τοῦ Πνεύματος διὰ τοῦ μακαρίου Ἰωάννου λαληθέντα ἡμῖν, ὅτι *Ἐν ἀρχῇ ἦν ὁ Λόγος καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος*. D Οὔτε ἀρχῆς ἔστι τι ἐπινοῆσαι πρεσβύτερον· οὐ γὰρ ἂν ἔτι εἴη ἀρχὴ, εἴπερ τι ἑαυτῆς ἔχει ἐξωτέρω· οὔτε τὸ ἦν διαβάντας τῷ λογισμῷ εἰς τὸ ὅτε οὐκ ἦν δυνατὸν ὑπερκύψαι. Ἀθέτησις γάρ ἐστι τοῦ ἦν ἡ τοῦ ὅτε οὐκ ἦν ἐπίνοια. Εἰ μὲν γὰρ ἡ ἀρχὴ τῶν πρὸς ἕτερον λεγομένων ἦν, ὡς τὸ *ἀρχὴ σοφίας*, καὶ *ἀρχὴ ὁδοῦ ἀγαθῆς*, καὶ *Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς*, ἦν ἂν τυχὸν τοῦ ἐκ τοιαύτης ἀρχῆς ὑφεστῶτος δι' ἐνθυμήσεως ὑπερβῆναι τὴν γέννησιν· ἐπειδὴ δὲ τὸ σημαινόμενον τουτέστι τῆς ἀρχῆς ἀπολελυμένον καὶ ἄσχετον τὴν ἀνωτάτω φύσιν δηλοῖ, πῶς οὐ καταγέλαστος ὁ τὰ ἐξωτέρω ταύτης ἐπινοῶν, ἢ ἐπιχειρῶν αὐτὴν τοῖς λογισμοῖς ὑπερβάλλειν;

[1] Luc. IV, 23.

si quod spatium fuit Filio antiquius, quod videlicet se æque ac Patris vita extenderit, utique alterum ex his erat. Sed nec est, nec erit cogitatio Filii exstantia antiquior. Nam omni re, quæ ordine antiquitatis excogitari potest, anterior invenietur illa Dei Verbi quod apud Deum a principio erat, exsistentia. Etsi enim se ipsa decipiens mens innumeris imaginationibus, seque rerum non subsistentium commentis occupans, ea quæ non sunt excogitaverit; nullam omnino inveniet artem, qua seipsam possit ultra Unigeniti principium extendere, aut vitam ejus qui per se vita est, suo ipsius motu inferiorem relinquere, aut sua cogitatione originem Dei Verbi transcendere, aut sæcula Deo sæculorum destituta sibi fingere.

Ex eodem libro.

EUN. Exsistentemne, inquit, Filium genuit, an non exsistentem? Atqui si non exsistentem, nullus me accuset audaciæ. Si jam exsistentem, quid hac oratione non modo absurdius, sed magis exsecrandum, aut stultum dici potest? Quod enim est, cur gigni oportet?

BAS. Fallax hoc argumentum vulgarissimum ab aliis quidem inventum fuit, sed perfecte nunc in istorum inverecundis et impudentibus linguis est elaboratum. Nos autem auditores primum admonebimus, istum propter multitudinis ignorantiam humano more Filii ortum existimantis ad ejusmodi argumenta devenisse, et a corporeis notionibus ad spiritales contemplationes imperitorum animos traduxisse, qui quoniam animalia cum antea non sint, postea generantur, et quæ hodie sunt, heri non erant, hanc eamdem rationem ad Unigeniti naturam refert. Et quoniam, inquit, genitus est, non erat antequam gigneretur. Tam magnifice nobis ortum Unigeniti theologus iste declarat, et istiusmodi verbis fratrum morbos curat, dignus, si quisquam alius, in quem proverbium illud jactetur: *Medice, cura te ipsum* [1]. Quodnam medicamentum turpi isti mentis morbo adhibebimus, nisi aliud, quod a Spiritu sancto nobis per Joannem exhibitum est hisce verbis: *In principio erat Verbum, et Verbum erat apud Deum et Deus erat Verbum?* Neque principio quidquam est antiquius. Si quid enim supra se haberet non esset principium. Neque licet illud, *erat*, cogitatione transilire, et quando non erat, intueri. Dum enim cogitamus non erat, tollimus illud, *erat*. Nam si principium hoc esset ex eorum numero quæ cum aliquo conferuntur, ut illud: *Principium sapientiæ*, et, *principium viæ bonæ*, et, *In principio fecit Deus*, liceret fortasse ortum illius, qui ex tali principio constaret, cogitatione transcendere. Cum autem absoluta sit hic principii ratio, nec cum alia re conferatur, sed summam naturam indicet, nonne ridiculus est, qui supra principium hoc aliquid cogitat, aut conatur ipsum ratione superare? Illud autem, *Erat*, extenditur ex æquo cum hujus prin-

cipit vi, quæ nihil habet superius. Neque enim rationem temporis ostendit, ut eo loco: *Erat vir in regione Ausitide.* Et: *Erat vir ex Armathem:* Et: *Terra erat invisibilis et incomposita*; sed ipse nobis evangelista hujusce vocis, *erat*, significationem alibi ostendit: *Qui est*, inquiens, *et qui erat, et qui venturus est, omnipotens* [1], sicut enim hoc: *Quid est*, sic etiam illud: *Qui erat*, æternum et sine tempore declarat. Qui vero non exsistentem dicit eum, qui in principio est, neque principii vim tuetur, neque huic conjunctam essentiam Unigeniti. Nihil enim principio potest antiquius excogitari, a quo Dei Verbi natura sejungi nequit. Quare curiose quantumvis animo recurre, nunquam cogitatione tua illud *erat* transcendere, et extra ipsum esse poteris. Sed iste vicissim a nobis interrogetur, utrum in principio erat apud Deum Deus Verbum, an posterius fuerit. Si erat, coerce linguam tuam a malo, et a voce illa exsecranda qua dicis: Non erat. Sin, quod nefas est dicere, tuis ego adversum te verbis utar aptius, dicamque nihil oratione tua detestabilius aut stultius fieri posse, qui homo cum sis, eorum quæ a Spiritu sancto dicta sunt, rationem exigere, cumque te discipulum Evangelii profitearis, adversus ipsum velis consurgere: *In principio erat Verbum, et Verbum erat apud Deum et Deus erat Verbum* [2]. Æternam ipsius essentiam, ortum perturbationis expertem, naturalem cum Patre conjunctionem, naturæ præstantiam, omnia paucissimis verbis complectitur, et addens illud, *erat*, ad principium reducit, ut impiorum ora, Non erat, dicentium obstruat, et fallacibus ipsorum argumentis omnes aditus intercludat. Deinde per theologiam tanquam expressam Unigeniti naturæ picturam oculis jam intelligentium proponit: *Hoc*, inquiens, *erat apud Deum*. Hic rursum adjiciens, *erat*, ortum Unigeniti cum Patris æternitate conjungit. Item: *Vita*, inquit, *erat: et vita erat lux hominum*, et: *Erat lux vera* [3]. Attamen quamvis Verbum undique illa vocis, *erat*, adjunctione communiatur, iste omnia spiritus testimonia respuit, eumque nobis assidue, *erat*, inclamantis ne audiendum quidem existimat, sed cum non esset, inquit, genitus est; cum non esset, post ortus est. Si in principio non erat, ut dicitis, qua ratione valeat quisquam apertius ostendere, vos Evangelii vocibus, quibus credimus, adversari.

Ex eodem libro.

Sed si erat, inquit, genitus non est. Respondemus ergo, quod quoniam genitus est, erat, cum ingenitum esse non habeat, sed exsistat semper, et coexsistat Patri a quo etiam existendi habet causam. Quando igitur ad esse a Patre productus est? Ex quo Pater est? Sed ab æterno, inquit, Pater: ab æterno igitur et Filius, per generationem ingenitæ Patris naturæ conjunctus. Quod autem non nostra sit hæc oratio, ipsas sancti Spiritus voces eis ob oculos ponemus. Et

[1] Apoc. I, 4. [2] Joan. I, 1, 2. [3] ibid. 4, 9.

A Συμπαρεκτείνεται δὲ καὶ τὸ ἦν τῷ ἀνυπερθέτῳ τῆς ἀρχῆς ταύτης. Οὐ γὰρ τὴν ἀπὸ χρόνου ὕπαρξιν τὸ ἦν ὑποφαίνει, ὡς τὸ, *Ἄνθρωπος ἦν ἐν τῇ χώρᾳ τῇ Αὐσίτιδι*, καὶ *ἦν ἄνθρωπος ἐξ Ἀρμαθαίμ*, καὶ τὸ, *Ἡ δὲ γῆ ἦν ἀόρατος*. Ἀλλ' αὐτὸς ἡμῖν ὁ Εὐαγγελιστὴς τοῦ τοιούτου ὁποῖον ἦν τὸ σημαινόμενον ἐν ἑτέρῳ λόγῳ ἔδειξεν εἰπὼν, *ὁ ὢν, καὶ ὁ ἦν καὶ ὁ Παντοκράτωρ*. Οἷον γὰρ τὸ *ὢν*, τοιοῦτον καὶ τὸ *ἦν*, ἀΐδιον ὁμοίως καὶ ἄχρονον. Οὐκ ὄντα δὲ λέγειν τὸν ἐν ἀρχῇ ὄντα, οὔτε διασώζοντός ἐστι τὴν ἔννοιαν τῆς ἀρχῆς, οὔτε συνάπτοντος τὴν ὕπαρξιν τοῦ Μονογενοῦς. Ἀνεπινόητον μὲν γὰρ τῆς ἀρχῆς τὸ πρεσβύτερον, ἀχώριστον δὲ ταύτης τοῦ Θεοῦ Λόγου τὸ εἶναι, ὥστε ἐφ' ὅσον ἂν βουληθῇς ταῖς τοῦ νοῦ πολυπραγμοσύναις ἀναδραμεῖν, ὑπερβῆναι τὸ *ἦν*, καὶ ἔξω τούτου B γενέσθαι τοῖς λογισμοῖς οὐ δυνήσῃ. Ἀντερωτάσθω τοίνυν καὶ παρ' ἡμῶν πότερον, ἐν ἀρχῇ ἦν πρὸς τὸν Θεὸν ὁ Θεὸς Λόγος, ἢ ὕστερον προσεγένετο; Εἰ μὲν γὰρ ἦν, παῦσον τὴν γλωσσάν σου ἀπὸ κακοῦ τῆς ὅτι οὐκ ἦν βλασφημίας· εἰ δὲ, ὅπερ οὐδὲ θέμις εἰπεῖν, τοῖς σοῖς οἰκειότερον πρὸς σὲ χρήσομαι ῥήμασιν, ὅτι οὐ βλασφημίας μόνον, ἀλλὰ καὶ παρανοίας ὑπερβολὴν ὁ λόγος ἔχει, ἀνθρώπους ἀπαιτεῖν τῶν λόγων τοῦ Πνεύματος τὰς εὐθύνας, καὶ μαθητὴν μὲν εἶναι τῶν Εὐαγγελίων ὁμολογεῖν, αὐτῶν δὲ τούτων κατεξανίστασθαι. *Ἐν ἀρχῇ ἦν ὁ Λόγος καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος.* Τὴν ἐξ ἀϊδίου ὕπαρξιν, τὴν ἀπαθῆ γέννησιν, τὸ συμφυὲς τῷ Πατρὶ, τὸ μεγαλεῖον τῆς φύσεως πάντα ἐν τοῖς ὀλίγοις ῥήμασι συλλαβὼν, καὶ τῇ προσθήκῃ τοῦ ἦν ἀνάγων εἰς τὴν ἀρχὴν, C ὥσπερ ἀποφράττει τὰ στόματα ὅτι οὐκ ἦν βλασφημούντων, πόῤῥωθεν τὰς τῶν τοιούτων σοφισμάτων εἰσδύσεις ὑποτεμνόμενος. Εἶτα διὰ τῆς Θεολογίας, καὶ ὑπογραφήν τινα ἐναργῆ τῆς φύσεως τοῦ Μονογενοῦς ἐντυπώσας, ὡς ἤδη γνωρίζουσιν, ὑποδείκνυσι τῇ φωνῇ· *Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν*. Πάλιν ἐνταῦθα τῇ προσθήκῃ τοῦ ἦν, τῇ ἀϊδιότητι τοῦ Πατρὸς τοῦ Μονογενοῦς συνάπτει τὴν γέννησιν. Καὶ πάλιν· *Ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων*. Καί· *Ἦν τὸ φῶς τὸ ἀληθινόν*. Ἀλλ' ὅμως οὕτω πανταχόθεν τοῦ λόγου ταῖς τοῦ ἦν προσθήκαις ἠσφαλισμένου, πάσας παρωσάμενος τὰς μαρτυρίας τοῦ Πνεύματος, καὶ οὐδὲ ἀκούειν δοκῶν οὕτως ἡμῖν πυκνῶς ἐκβοῶντος τὸ ἦν, Οὐκ ὢν, φησὶν, ἐγεννήθη, οὐκ D ὢν ὕστερον προσγεγένηται, οὐ δὲ ἐν ἀρχῇ οὐκ ἦν, ὥς φατε. Τίνα περιφανεστέραν μάχην ἐπιδείξειέ τις πρὸς τὰς φωνὰς τῶν Εὐαγγελίων αἷς πεπιστεύκαμεν;

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἀλλ' εἰ ἦν, φησὶν, οὐ γεγέννηται. Ἀποκρινόμεθα τοίνυν, ὅτι ἐπειδὴ γεγέννηται, ἦν οὐκ ἀγέννητον ἔχων τὸ εἶναι, ὢν δὲ ἀεὶ, καὶ συνὼν τῷ Πατρὶ, παρ' οὗ καὶ τὴν αἰτίαν τῆς ὑπάρξεως ἔχει. Πότε οὖν εἰς τὸ εἶναι παρὰ τοῦ Πατρὸς προήχθη; Ἀφ' οὗ ἐστιν ὁ Πατήρ. Ἀλλ' ἐξ ἀϊδίου, φησὶν, ὁ Πατήρ. Ἐξ ἀϊδίου τοίνυν καὶ ὁ Υἱὸς, γεννητῶς τῇ ἀγεννησίᾳ τοῦ Πατρὸς συναπτόμενος. Ὅτι δὲ οὗτος οὐχ ἡμέτερος ὁ Λόγος, αὐτὰς τὰς τοῦ ἁγίου Πνεύματος φωνὰς αὐτοῖς παρεξόμεθα. Ἐκ μὲν

οὖν τοῦ Εὐαγγελίου λάβωμεν τὸ, *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*· ἐκ δὲ τοῦ ψαλμοῦ ὡς ἐκ προσώπου τοῦ Πατρὸς εἰρημένον τὸ, *Ἐκ γαστρὸς πρὸ ἑωσφόρου γεγέννηκά σε*· καὶ συνθέντες ἀμφότερα, εἴπωμεν, ὅτι καὶ ἦν καὶ γεγέννηται. Ἀλλὰ τὸ μὲν, *Γεγέννηκα*, τὴν αἰτίαν ἀφ' ἧς ἔχει τὴν ἀρχὴν τοῦ εἶναι σημαίνει· τὸ δὲ, *Ἦν*, τὴν ἄχρονον αὐτοῦ καὶ προαιώνιον ὕπαρξιν. Ὁ δὲ, ἐπαγωνιζόμενος τῇ ἑαυτοῦ ἀπάτῃ, εἰς ἄτοπον τὸν λόγον ἀπάγειν οἴεται.

ΕΥΝ. Εἰ γὰρ, φησὶ, πρὸ τῆς γεννήσεως ἦν τῆς ἑαυτοῦ ὁ Υἱὸς, ἀγέννητος ἦν.

ΒΑΣ. Ἀλλὰ τὸ *πρὸ τῆς γεννήσεως* τοῦτο, ὦ μάταιε, ἤτοι ἀνύπαρκτόν ἐστι παντελῶς, καὶ διανοίας ἀναπλασμὸς οὐδενὶ ἐρειδομένης ὑποκειμένῳ· καὶ τί δεῖ ἀντιλέγειν τοῖς ἀνοήτοις; παραπλήσιον γὰρ τοῦτο, ὥσπερ ἂν εἰ καὶ τῷ τὸν λογισμὸν ἐκ φρενίτιδος παρενεχθέντι διεμαχόμεθα· ἢ εἰ πρός τι τῶν ὄντων φέρεται, καὶ πρὸς τὴν τῶν αἰώνων ἔννοιαν ἐνεχθήσεται. Ἀλλ' εἴπερ αἰῶνες πάντες κάτω που τῆς γενέσεως τοῦ Μονογενοῦς νοοῦνται, αὐτοῦ ἐκείνου ὄντες ποιήματα, μάταιος ὁ ἐπιζητῶν τῆς ὑποστάσεως τοῦ Υἱοῦ τὰ πρεσβύτερα. Οὐδὲν γὰρ ἀλλοκότερον ἐρωτᾷ, ἢ εἰ καὶ περὶ τοῦ Πατρὸς ἐπυνθάνετο, πότερον ὑπῆρχε πρὸ τῆς ἰδίας συστάσεως, ἢ οὐχί. Ὡς γὰρ ἐκεῖ ἀνόητον τὸ ἐρώτημα, ἐπὶ τοῦ ἀνάρχου καὶ ἀγεννήτου ζητεῖν τὸ ἀνώτερον· οὕτω καὶ ἐνταῦθα, ἐπὶ τοῦ ἐξ ἀϊδίου τῷ Πατρὶ συνόντος, καὶ οὐδὲν ἔχοντος μέσον ἑαυτοῦ τε καὶ τοῦ γεννήσαντος, χρονικὰς ποιεῖσθαι τοῦ προτέρου τὰς ἐρωτήσεις, τῆς ἴσης ὄντως ἀνοίας. Παραπλήσιον γὰρ ἐρωτᾷν, τί ἔσται μετὰ τὴν τελευτὴν τοῦ ἀθανάτου, καὶ ἐπιζητεῖν τί ὑπῆρχε πρὸ τῆς γεννήσεως τοῦ ἀϊδίου. Οἱ δὲ, ἐπειδὴ τὸ ἄναρχον τοῦ Πατρὸς ἀΐδιον ὀνομάζεται, ταυτὸν τὸ ἀνάρχῳ τὸ ἀΐδιον ἀποφαίνουσι, καὶ ἐπειδὴ μὴ ἀγέννητος ὁ Υἱὸς, οὐδὲ ἀΐδιον εἶναι ὁμολογοῦσι. Πλεῖστον δὲ διαφέρει κατὰ τὴν ἔννοιαν. Ἀγέννητον μὲν γὰρ λέγεται τὸ μηδεμίαν ἀρχὴν ἑαυτοῦ, μηδὲ αἰτίαν ἔχον τοῦ εἶναι· ἀΐδιον δὲ τὸ χρόνου παντὸς καὶ αἰῶνος κατὰ τὸ εἶναι πρεσβύτερον. Ὅθεν καὶ ὁ Υἱὸς, καὶ οὐκ ἀγέννητος, καὶ ἀΐδιος. Ἤδη δὲ καὶ τοὺς αἰῶνας ἀξιοῦσί τινες τῆς τοῦ ἀϊδίου προσηγορίας, ὡς ἐκ τοῦ ἀεὶ εἶναι τῆς κλήσεως ταύτης τετυχηκότας. Ἡμεῖς δὲ τῆς αὐτῆς λογιζόμεθα παρανοίας καὶ τῇ κτίσει προσμαρτυρεῖν τὸ ἀΐδιον, καὶ τὸν Δεσπότην τῆς κτίσεως τῆς ὁμολογίας ταύτης ἀποστερεῖν.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Τὸν μονογενῆ Υἱὸν ὑπουργὸν προσηγόρευσε, τοῦτο αὐτῷ προστιθεὶς μέγα, ὅτι εὔθετος πρὸς τὴν διακονίαν τῶν ἐπιτασσομένων ἐστίν. Εἰ γὰρ οὐκ ἐν τῷ Θεῷ εἶναι τέλειος τὴν δόξαν κέκτηται, ἀλλ' ἐν τῷ ὑπουργὸς ἀκριβὴς, τί διοίσει τῶν λειτουργικῶν πνευμάτων ἀμέμπτως τὸ ἔργον τῆς διακονίας ἐπιτελούντων; Διὰ ταῦτα τῷ γεννηθεὶς τὸ κτισθεὶς συνῆψεν, ἵνα κἀντεῦθεν μηδεμίαν οὖσαν Υἱοῦ καὶ κτίσματος διαφορὰν ἐπιδείξῃ. Ἄξιον δὲ ἀκοῦσαι καὶ τῆς παραι-

A ex Evangelio quidem sumamus illud: *In principio erat Verbum* [1]; hoc vero ex Psalmo velut e persona Patris dictum: *Ab utero ante luciferum genui te* [2]; atque utrisque inter se compositis dicamus: Et erat, et genitus est. Verum vox *Genui* causam a qua principium habet *essendi*, significat: vox autem, *Erat*, indicat ejus exsistentiam tempore carentem ac sempiternam. Sed vero pro sua fraude decertans Eunomius, orationem ad absurdum adducere se putat.

EUN. Si enim, inquit, ante suam generationem Filius erat, ingenitus erat.

BAS. At illud, *ante generationem*, o vir vane, aut nullo modo subsistit, mentisque nulli subjecto inhærentis commentum est. Sed quid attinet stultis contradicere? hoc enim perinde est atque cum eo
B contendere, cui rationis usum phrenesis ademerit. Aut si ad quidpiam eorum quæ sunt tendit, ad sæculorum quoque notionem deducetur. Verum si sæcula omnia infra generationem Unigeniti intelliguntur, cum illius ipsius sint creaturæ, vanus est qui quid substantia Filii antiquius quærit. Nihil enim alienius quærit, quam si de Patre etiam percontaretur, utrum ante suam constitutionem fuerit, an non. Etenim ut illic hic quæstio stulta est, quærere videlicet in eo qui principio caret ac ingenitus est superius quiddam: ita hic quoque de eo qui ab æterno est cum Patre, nihilque habet medii inter se et genitorem, temporales facere de priore quæstiones; æqualis plane dementiæ est. Nam perinde erit, ac si quis interroget quid futurum sit post obitum ejus qui immortalis est, quæratque quid exstiterit ante
C generationem sempiterni. Illi autem, quia principii in Patre privatio æternitas nominatur, privationem principii decernunt idem esse atque æternitatem, et quoniam Filius non est ingenitus, ne æternum quidem esse profitentur. Sed tamen hæc differunt plurimum significatione. Nam ingenitum dicitur, quod neque principium sui ipsius, neque causam ut sit habet: æternum vero, quod tempore omni et ævo secundum *esse* antiquius est. Unde et Filius ut est non ingenitus, ita æternus est. Jam vero sæcula etiam æterni appellatione nonnulli dignantur, quasi ex eo quod semper sint, hoc nominis adepta sint. Nos autem et creaturis æternitatis testimonium præbere, et creaturarum Dominum hac confessione privare,
D ejusdem esse amentiæ arbitramur.

Ex eodem libro.

Unigenitum Filium ministrum appellavit, hoc ei magnum attribuens, quod ad eorum quæ præcipiuntur ministerium idoneus est. Si enim non in eo quod Deus perfectus sit, majestatem possidet, sed in eo quod sedulus sit minister, jam a ministratoriis spiritibus, qui inculpate ministerii opus perficiunt, qua in re differet? His de causis voci *genitus* vocem *creatus* conjunxit, ut etiam hinc nullam inter Filium et creaturam diversitatem esse ostendat. Jam

[1] Joan. I, 1. [2] Psal. CIX, 3.

vero operæ pretium fuerit illius quoque admonitionem audire. Non oportet, inquit, cum Patris ac Filii appellationem audimus, ejus generationem humanam intelligere: nec hominum generatione adductos, Deum communionis nominibus aut passionibus subjicere. Monet Filium Patri secundum substantiam similem intelligi non oportere. Hoc enim sibi vult illa participationis negatio, quasi substantia Patris cum substantia Filii non queat communionem ullam habere. Eo tendebant graves illæ, quarum nos turbam prætermisimus, nominum distinctiones, ut propter eos qui in terra patres nominantur, neget Deum Filii Patrem esse. Ego vero, cum multa sint quæ Christianismum a gentili errore ac Judaica ignorantia dirimant, nullum arbitror in nostræ salutis Evangelio inesse potius ac majus dogma, quam in Patrem et Filium fidem. Nam vel ii qui quocunque errore scissi sunt, Deum creatorem ac opificem esse confitentur. Qui vero falso appellat Patrem, et Filium nuda appellatione prædicat, nihilque differre arbitratur, vel Patrem vel creatorem profiteri, et aut Filium aut facturam dicere, ubi a nobis collocabitur, aut qua in secta numerabitur? Judæorumne an gentium? Nec enim Christianis se adjunget, qui pietatis robur et velut religionis nostræ characterem inficiatur. Non enim in opificem credidimus, et in facturam: sed in Patrem et Filium per baptismi gratiam obsignati sumus. Quamobrem qui has rejicere voces audet, omnem simul Evangeliorum vim facit irritam, cum nec Patrem generantem, nec Filium genitum prædicet. Sed hæc dico, inquit, ut passionis intelligentiam e Patris voce enascentem fugiam. Verum oportebat eum qui pie agere statuisset, absonum horum verborum sensum, si qui tamen inerat, respuere, non totam simul vocem reprobare; neque indecori obtentu, quidquid ab ea accedit utilitatis, id simul rejicere; sed, humili carnis intelligentia posthabita, puram de Deo sententiam tueri, et generationem sanctitati atque apathiæ Dei convenientem intelligere: adeo ut modum quidem quo Deus genuit, tanquam qui ineffabilis ac incomprehensibilis sit, prætermitteret, ad substantiæ vero similitudinem per generandi appellationem deduceretur. Quanquam perspicuum est reputanti, hæc nomina, Pater et Filius, corporalium affectionum cogitationem proprie ac primario parere non solere, sed cum per se sola dicuntur, solum habitum mutuum indicare. Pater enim est, qui alteri exsistendi principium secundum similem sibiipsi naturam contulit: illius vero, qui ex alio per generationem principium ut sit habuit. Itaque, cum audimus, hominem patrem esse, tunc incidit nobis affectus cogitatio: at vero cum Deum Patrem, tum ad impassibilem causam mente attollimur. Eunomius autem hanc appellationem de subjecta affectionibus natura accipere assuetus, quod rationis ejus captum superat, id ut impossibile pernegat. Non enim par erat eum, corrupti-

A νέσεως. Οὐ χρὴ, φησὶ, τῇ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ προσέχοντας προσηγορίᾳ, ἀνθρωπικὴν αὐτοῦ τὴν γέννησιν ἐννοεῖν, καὶ ἐκ τῶν ἐν ἀνθρώποις γενέσεων ἀναγομένους τοῖς τῆς μετουσίας ὀνόμασι καὶ πάθεσιν ὑπάγειν τὸν Θεόν. Ἡ μὲν παραίνεσις μὴ δεῖν τὴν κατ' οὐσίαν τοῦ Υἱοῦ καὶ Πατρὸς ὁμοιότητα ἐννοεῖν. Τοῦτο γὰρ αὐτῷ βούλεται ἡ τῆς μετουσίας ἀπαγόρευσις, ὡς ἀκοινωνήτου τῆς τοῦ Πατρὸς οὐσίας περὶ τὴν τοῦ Μονογενοῦς ὑπαρχούσης. Διὰ τοῦτο αἱ σεμναὶ ἐκεῖναι τῶν ὀνομάτων διαστολαὶ, ὧν τὸν ὄχλον ἡμεῖς ὑπερέβημεν, ἵνα τὸ Πατέρα εἶναι τοῦ Υἱοῦ τὸν Θεὸν διὰ τοὺς ἐπὶ γῆς πατέρας ὀνομαζομένους ἀφέληται. Ἐγὼ δὲ πολλῶν ὄντων, ἃ τὸν Χριστιανισμὸν ἀπὸ τῆς Ἑλληνικῆς πλάνης καὶ τῆς Ἰουδαϊκῆς ἀγνωσίας διϊστησιν, οὐδὲν ἡγοῦμαι κυριώτερον δόγμα τῆς B εἰς Πατέρα καὶ Υἱὸν πίστεως τῷ Εὐαγγελίῳ τῆς σωτηρίας ἡμῶν ἐνυπάρχον. Ἐπεὶ τῷ γε κτίστην καὶ δημιουργὸν εἶναι τὸν Θεὸν καὶ οἱ καθ' ὁποιανδήποτε πλάνην ἀπεσχισμένοι συντίθενται. Ὁ δὲ Πατέρα ψευδώνυμον, καὶ Υἱὸν μέχρι προσηγορίας ψιλῆς καταγγέλλων, καὶ οὐδὲν ἡγούμενος διαφέρειν ἢ Πατέρα ὁμολογεῖν, ἢ κτίστην, καὶ ἤτοι Υἱὸν λέγειν, ἢ ποίημα, ποῦ τετάξεται παρ' ἡμῶν; ἢ τῆς ποίας μερίδος ἀριθμηθήσεται; τῆς Ἰουδαίων, ἢ τῆς Ἑλλήνων; Οὐ γὰρ δὴ Χριστιανοῖς ἑαυτὸν εἰσποιήσει ὁ τὴν δύναμιν τῆς εὐσεβείας, καὶ τὸν οἱονεὶ χαρακτῆρα τῆς λατρείας ἡμῶν ἀρνούμενος. Οὐ γὰρ εἰς δημιουργὸν καὶ ποίημα ἐπιστεύσαμεν, ἀλλ' εἰς Πατέρα καὶ Υἱὸν διὰ τῆς ἐν τῷ βαπτίσματι χάριτος ἐσφραγίσθημεν. C Ὥστε ὁ ταύτας ἀθετῶν τὰς φωνὰς πᾶσαν ὁμοῦ τῶν Εὐαγγελίων παραγράφεται τὴν δύναμιν, Πατέρα μὴ γεννήσαντα, καὶ Υἱὸν μὴ γεννηθέντα κηρύσσων. Ἀλλὰ ταῦτα λέγων, φησὶ, τὴν τοῦ πάθους ἔννοιαν τὴν ἐκ τῆς τοῦ Πατρὸς φωνῆς ἐγγινομένην ἐκκλίνω. Ἐχρῆν δὲ δήπου τόν γε εὐσεβεῖν ἐγνωκότα τὸ ἀπεμφαῖνον τῆς ἐν τοῖς ῥήμασι τούτοις διανοίας, εἴ τι ἄρα καὶ ἐνυπῆρχε παραιτησάμενον, μὴ πᾶσαν ἀθρόως τὴν φωνὴν ἀθετεῖν, μηδὲ προφάσει τοῦ ἀπρεποῦς καὶ τὸ ὅσον ἀπ' αὐτῆς χρήσιμον συνεκβάλλειν, ἀλλ' ἀπὸ μὲν τῶν ταπεινῶν καὶ σαρκικῶν νοημάτων ἐν τοῖς περὶ Θεοῦ δόγμασι καθαρεύειν, γέννησιν δὲ τῇ ἁγιωσύνῃ τοῦ Θεοῦ, καὶ τῇ ἀπαθείᾳ πρέπουσαν ἐννοεῖν, τὸν μὲν τρόπον, καθ' ὃν ἐγέννησεν ὁ Θεὸς, ὡς ἄῤῥητον, καὶ ἀπερινόητον D ἀφιέντα, πρὸς δὲ τὴν κατ' οὐσίαν ὁμοιότητα ἐκ τῆς τοῦ γεννᾷν προσηγορίας ὁδηγούμενον. Καίτοι γε φανερὸν σκοπουμένῳ, ὅτι οὐ σωματικῶν παθῶν κυρίως καὶ πρώτως ἔννοιαν ἐμποιεῖν ταυτὶ πέφυκε τὰ ὀνόματα, ὁ Πατὴρ, λέγω, καὶ ὁ Υἱὸς, ἀλλὰ καθ' ἑαυτὰ λεγόμενα τὴν πρὸς ἄλληλα σχέσιν ἐνδείκνυται μόνην. Πατὴρ μὲν γάρ ἐστιν ὁ ἑτέρῳ τοῦ εἶναι κατὰ τὴν ὁμοίαν αὐτῷ φύσιν τὴν ἀρχὴν παρασχὼν, Υἱὸς δὲ ὁ ἐξ ἑτέρου τοῦ γεννητὸς εἶναι τὴν ἀρχὴν ἐσχηκώς. Ὅταν μὲν οὖν ἀκούσωμεν, ἄνθρωπος πατὴρ, τότε καὶ τὴν τοῦ πάθους ἔννοιαν προσλαμβάνομεν· ὅταν δὲ, ὅτι ὁ Θεὸς Πατὴρ, ἐπὶ τὴν ἀπαθῆ αἰτίαν τοῖς λογισμοῖς ἀνατρέχομεν. Ὁ δὲ ἐπὶ τῆς ἐμπαθοῦς φύσεως τῇ προσηγορίᾳ ταύτῃ συνετισθεὶς τὸ ὑπὲρ τὴν κατάληψιν τῶν ἑαυτοῦ λογισμῶν ὡς

ἀδύνατον ἀπαρνεῖται. Οὐ γὰρ τῷ πάθει τῶν φθαρτῶν προσέχοντα τῇ ἀπαθείᾳ τοῦ Θεοῦ ἀπιστεῖν προσῆκον, οὐδὲ τῇ ῥευστῇ φύσει, καὶ μυρίαις ὑποκειμένῃ μεταβολαῖς τὴν ἄτρεπτον καὶ ἀναλλοίωτον οὐσίαν παρατιθέναι. Μηδὲ ὅτι τὰ θνητὰ ζῶα διὰ πάθους γεννᾷ, καὶ τὸν Θεὸν ἐχρῆν οὕτως οἴεσθαι, ἀλλ' ἐντεῦθεν μᾶλλον ὁδηγεῖσθαι πρὸς τὴν ἀλήθειαν, ὅτι ἐπειδὴ τὰ φθαρτὰ οὕτως, ὁ ἄφθαρτος ἐναντίως. Καὶ μὴν οὐδὲ ἐκεῖνό γε ἂν εἴποιμι, ὡς κυρίως καὶ πρώτως ἐπὶ τῶν ἀνθρώπων τεταγμένων τῶν ὀνομάτων τούτων, καταχρηστικῶς ἡμεῖς ἐπιλέγομεν τῷ Θεῷ. Ὁ γάρ τοι Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς πρὸς τὴν πάντων ἀρχὴν καὶ τὴν ἀληθῆ τῶν ὄντων αἰτίαν ἐπανάγων ἡμᾶς, *Ὑμεῖς δὲ μὴ καλέσητε*, φησὶ, *πατέρα ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος*. Πῶς οὖν ὡς σαρκικῶν παθῶν προηγουμένως ἐνδεικτικὰς ταύτας ἡμᾶς ἀξιοῖ τὰς φωνὰς ἀποπέμπεσθαι, ἃς ὁ Κύριος ἡμῶν ὡς τῇ ἀπαθείᾳ τοῦ Θεοῦ πρεπούσας ἀπὸ τῶν ἀνθρώπων πρὸς ἑαυτὸν μετατίθησιν; Εἰ δὲ καὶ τῶν κτισμάτων Πατὴρ ὀνομάζεται, οὔπω τοῦτο τῷ λόγῳ τῷ ἡμετέρῳ μάχεται. Ὁ γὰρ τετοκὼς βώλους δρόσου, κατὰ τὸν τοῦ Ἰὼβ λόγον, οὐχ ὁμοίως τάς τε βώλους καὶ τὸν Υἱὸν ἐτεκνώσατο. Ἢ εἰ τοῦτο λέγειν τολμήσουσιν, ὥστε ἐν ἴσῃ τάξει καὶ τὴν οὐσίαν τῆς δρόσου Υἱὸν ὀνομάζειν, παντὸς ἡμᾶς τοῦ πρὸς αὐτοὺς ἀπαλλάξουσι λόγου εἰς περιφανεστάτην ἀναισχυντίαν τὴν βλασφημίαν προαγαγόντες. Οὐδὲ γὰρ ὅτε Πατὴρ ἡμῶν πάντων λέγεται ὁ Θεὸς, κατὰ τὸν αὐτὸν τρόπον ἡμῶν τε καὶ τοῦ Μονογενοῦς ἐστι Πατήρ. Εἰ δὲ, ὅτι πρωτότοκος πάσης κτίσεως, καὶ πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς ὁ Κύριος προσηγόρευται, τοῦτο αὐτοὺς παιδοτριβεῖ πρὸς ἀσέβειαν, διδασκέσθωσαν ἐκ τοῦ Εὐαγγελίου, ὅτι καὶ πατέρα αὐτοῦ καὶ ἀδελφοὺς ὁ Κύριος τοὺς ἐκ τῶν ἔργων τῆς ἀρετῆς οἰκειωθέντας προσαγορεύει. *Τίς γάρ ἐστι*, φησὶν, *ἡ μήτηρ μου, καὶ τίνες οἱ ἀδελφοί μου ἀλλ' ἢ οἱ ποιοῦντες τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς*; Ὥστε Πατὴρ ἡμῶν ὁ Θεὸς οὐ καταχρηστικῶς, οὐδὲ ἐκ μεταφορᾶς, ἀλλὰ κυρίως καὶ πρώτως καὶ ἀληθινῶς ὀνομάζεται, διὰ τῶν σωματικῶν γονέων εἰς τὸ εἶναι ἡμᾶς ἐκ τοῦ μὴ ὄντος παραγαγὼν, καὶ ταῖς κηδεμονίαις προσοικειούμενος. Εἰ δὲ ἡμῶν τῶν χάριτι τῆς υἱοθεσίας ἠξιωμένων ἀληθῶς κέκληται Πατὴρ ὁ Θεὸς, τίς ἀφαιρήσεται λόγος, τοῦ κατὰ φύσιν Υἱοῦ καὶ ἐκ τῆς οὐσίας αὐτοῦ προελθόντος, τὸ μὴ οὐχὶ πρεπόντως αὐτὸν Πατέρα προσαγορεύεσθαι;

A bilium affectionem attendentem, atque substantiam immutabilem ac inalterabilem naturæ fluxæ et innumeris mutationibus obnoxiæ comparantem, Deum non credere affectionibus immunem. Nec quoniam mortalia animalia per affectum generant, ita quoque de Deo sentire oportebat, sed hinc magis deduci ad veritatem, quod quoniam corruptibilia hoc modo, is qui incorruptibilis est, modo contrario generat. Neque vero illud dixerit, nomina hæc quæ proprie ac primario de hominibus usurpata sunt, de Deo a nobis dici per abusum. Etenim Dominus noster Jesus Christus, ad omnium principium et veram rerum causam nos reducens: *Vos autem nolite vocare*, inquit, *patrem vestrum in terra; unus enim est Pater vester cœlestis* [1].
B Quomodo igitur voces has, tanquam si præcipue carnales affectus significarent, repudiandas censet: quas Dominus noster velut Dei apathiam decentes ab hominibus ad ipsum transfert? Quod si et creaturarum nominatur Pater, id huic nostræ sententiæ nequaquam repugnat. Qui enim genuit glebas roris secundum verba Job [2], non eodem modo glebas et Filium genuit. Aut si hoc dicere audebunt, si ut roris etiam substantiam Filium pari ordine nominent, ab omni nos adversum ipsos oratione liberabunt, cum blasphemiam ad manifestissimam impudentiam provexerint. Neque enim cum Pater omnium nostrum dicitur Deus, eodem modo et noster et Unigeniti Pater est: si vero quod primogenitus totius crea-
C turæ [3], et primogenitus in multis fratribus [4], Dominus appellatus est, id eos ad impietatem erudit, discant ex Evangelio, quod Dominus eos qui sibi ex virtutis operibus conjuncti sunt, etiam matrem et fratres suos appellat. *Quæ enim est*, inquit, *mater mea, et qui fratres mei, nisi qui faciunt voluntatem Patris mei qui in cœlis est* [5]? Quare Pater noster Deus, neque abusu, neque translatione, sed proprie et primario et vere nominatur: quippe qui nos per corporeos parentes ex nihilo ad esse produxerit, nobisque sua in nos providentia conjungatur. Quod si nostrum, qui per gratiam adoptione digni effecti sumus, vere vocatum esse Patrem
D Deum dicimus, quæ ratio prohibebit ne ipse ejus, qui natura Filius est, et ex substantia ipsius provenit, Pater jure ac merito vocetur?

Ἐκ τοῦ αὐτοῦ λόγου.

ΕΥΝ. Πότερον ἄλλο τι σημαίνει, φησὶ, τὸ φῶς ἐπ' ἀγεννήτου παρὰ τὸ γεννητὸν, ἢ ταυτὸν ἑκάτερον; Εἰ μὲν γὰρ ἕτερόν τι καὶ ἕτερον, εὔδηλον, ὅτι καὶ σύνθετον τὸ ἐξ ἑτέρου καὶ ἑτέρου συγκείμενον· τὸ δὲ σύνθετον οὐκ ἀγέννητον· εἰ δὲ ταυτὸν, ὅσον παρήλλακται τὸ γεννητὸν πρὸς τὸ ἀγέννητον, τοσοῦτον ἀνάγκη παρηλλάχθαι τὸ φῶς πρὸς τὸ φῶς, καὶ τὴν ζωὴν πρὸς τὴν ζωὴν, καὶ τὴν δύναμιν πρὸς τὴν δύναμιν.

Ex eodem libro.

EUN. Utrum aliud quid significat, inquit, lux in ingenito præter genitum, an idem utrumque? Nam, si aliud atque aliud, palam est etiam compositum id esse, quod ex alio atque alio constat. Quod autem compositum est, ingenitum non est. Si vero idem, quantum diversum est genitum ab ingenito, tantum necesse est lucem a luce diversam esse, et vitam a vita, et potentiam a potentia.

[1] Matth. XXIII, 9. [2] Job XXXVIII, 28. [3] Coloss. I, 15. [4] Rom. VIII, 29. [5] Matth. XII, 48, 50.

BAS. Videte et intelligite horrendam impietatem. Quantum, inquit, ingenitum a genito differt, tantum differet lux a luce, et vita a vita, et potentia a potentia. Interrogemus igitur ipsum, Quanto intervallo ingenitum a genito sejunctum est? utrum parvo aliquo, et tali, ut queant tandem aliquando in idem inter se convenire? an hoc omnino impossibile, et magis, quam eumdem mortuum esse simul et vivere, quam sanum simul esse et ægrotare, quam vigilare simul et dormire? Talia namque sunt quæcunque sibi invicem summa oppositione adversantur, adeo ut præsente altero alterum abesse necesse sit: quæ ita comparata sunt, ut omnino nec simul esse, nec inter se conciliari possint.

Itaque cum ad hunc modum genito ingenitum opponatur, qui Patrem lucem nominat, lucem itidem Filium, quique hanc lucem ab illa luce tantum distare dicit, quantum genitum ab ingenito distat, ille quanquam humaniorem se verbo simulat, lucem scilicet Filium quoque nominans, nonne saltem vi verborum sententiam in contrarium aperte abducit? Considerate enim quid opponatur ingenito, aliudne ingenitum, an genitum? Genitum utique. Quid vero opponitur luci? luxne alia, an tenebræ? Tenebræ profecto. Itaque, si quantum differt genitum ab ingenito, tantum necesse est lucem a luce differre, cui ex omnibus impietas comperta non est, quod in appellatione lucis interserens quod luci oppositum est, Unigeniti substantiam naturæ lucis contrariam esse submonet? Aut ostendat nobis lucem quæ luci opponatur, quæque eum oppositionis modum habeat, qui genito cum ingenito intercedit. Quod si hæc nec est, nec ipse unquam excogitare poterit; ne ignoretur ars, qua blasphemiam alte adornat. Nam, quoniam putat ingenitum genito ex adverso opponi, eamdem luci cum luce oppositionem adaptat: ut Patris substantiam ostendat substantiæ Unigeniti per omnia contrariam esse atque adversam. Propterea nova hæc est dogmatum sanctio, qua dicit: Quantum diversum est genitum ab ingenito, tantum necesse est lucem a luce diversam esse. At ingenitum cum genito habet quamdam, positione verborum, non natura rerum, oppositionem, quod tamen hi affirmant: lucis autem cum luce nec secundum prolationem nec secundum intelligentiam contrarietas ulla excogitari potest. Sed videtur fucatis cavillationibus se ipsum decipere. Putat enim, quæ ex contrariis sequuntur, eamdem inter se pugnam habere, quam habent et principalia contraria, et cum contrarium inest alteri contrariorum, ex altero etiam contrarium necessario secuturum. Ut, si ex visu lux sequitur, ex cæcitate tenebræ: si ex vita sensus, ex morte privatio sensuum. Hæc autem observatio quam debilis sit, quamque evanida, cuilibet vel paululum attendenti perspicuum est. Nec enim quoniam ex vigiliis vita sequitur, necessario ex somno mors sequitur. Sed nec contrario modo se habet genitum cum ingenito. Et-

A ΒΑΣ. Ὁρᾶτε καὶ συνίετε τὸ τῆς ἀσεβείας φρικτόν. Ὅσον, φησὶ, τὸ ἀγέννητον τοῦ γεννητοῦ διενήνοχε, τοσοῦτον διοίσει τὸ φῶς πρὸς τὸ φῶς, καὶ ἡ ζωὴ πρὸς τὴν ζωὴν, καὶ ἡ δύναμις πρὸς τὴν δύναμιν. Ἐρωτήσωμεν τοίνυν αὐτόν· Τὸ δὲ ἀγέννητον τοῦ γεννητοῦ πόσῳ μέτρῳ διώρισται; ἆρα μικρῷ τινι, καὶ τοσούτῳ, ὥστε δύνασθαί ποτε καὶ εἰς ταυτὸν ἀλλήλοις συμβῆναι; ἢ τοῦτο παντελῶς ἀμήχανον, καὶ πλέον ἀδυνατώτερον τοῦ τὸν αὐτὸν ζῆν ἐν τῷ αὐτῷ καὶ τεθνάναι, καὶ ὑγιαίνειν κατὰ ταυτὸν καὶ νοσεῖν, καὶ ἐγρηγορέναι ὁμοῦ καὶ καθεύδειν; Τοιαῦτα γὰρ ὅσα κατὰ τὴν ἄκραν ἀντίθεσιν ἀλλήλοις ἀντικαθέστηκεν, ὥστε παρόντος τοῦ ἑτέρου ἀναγκαίως ἀπεῖναι θάτερον, ἃ καὶ ἀσυνύπαρκτα παντελῶς καὶ ἀσύμβατα εἶναι πέφυκε.

Κατὰ δὴ οὖν τοῦτον τὸν τρόπον πρὸς τὸ γεν- B νητὸν τῷ ἀγεννήτῳ τῆς ἀντιθέσεως οὔσης, ὁ τὸν Πατέρα φῶς ὀνομάζων, φῶς δὲ καὶ τὸν Υἱὸν, τοσοῦτον δὲ τοῦτο τὸ φῶς ἐκείνου τοῦ φωτὸς διωρίσθαι λέγων, ὅσον τὸ γεννητὸν ἀπὸ τοῦ ἀγεννήτου διώρισται, οὐχὶ δῆλός ἐστι, κἂν τῷ ῥήματι προσποιῆται φιλανθρωπεύεσθαι, φῶς ὀνομάζων δῆθεν καὶ τὸν Υἱὸν, ἀλλὰ τῇ γε δυνάμει τῶν λεγομένων πρὸς τὸ ἐναντίον ἀπάγων τὴν ἔννοιαν; Σκοπεῖτε γὰρ τί ἀντίκειται τῷ ἀγεννήτῳ, ἄλλο ἀγέννητον, ἢ τὸ γεννητόν; Τὸ γεννητὸν δηλονότι. Τί δὲ ἀντίκειται τῷ φωτί; φῶς ἕτερον, ἢ τὸ σκότος; Τὸ σκότος πάντως. Εἰ τοίνυν ὅσον παρήλλακται τὸ γεννητὸν πρὸς τὸ ἀγέννητον, τοσοῦτον ἀνάγκη παρηλλάχθαι τὸ φῶς πρὸς τὸ φῶς, τίνι τῶν ἁπάντων ἄδηλος ἡ ἀσέβεια, ὅτι, ἐν προσηγορίᾳ φωτὸς τὸ ἀντικείμενον τῷ φωτὶ παρεισάγων, ἐναν- C τίαν εἶναι τῇ τοῦ φωτὸς φύσει τὴν οὐσίαν τοῦ Μονογενοῦς ὑποβάλλει; Ἢ δεικνύτω ἡμῖν φῶς ἀντικείμενον τῷ φωτὶ, κἀκεῖνο τὸ μέτρον τῆς ἀντιθέσεως ἔχον, ὃ τῷ γεννητῷ πρὸς τὸ ἀγέννητόν ἐστιν. Εἰ δὲ τοῦτο οὔτε ἐστὶν, οὔτ᾽ ἂν αὐτὸς ἐπινοήσειε, μὴ ἀγνοείσθω ἡ τέχνη μεθ᾽ ἧς βαθέως κατασκευάζει τὸ βλάσφημον. Ἐπειδὴ γὰρ οἴεται τῷ ἀγεννήτῳ τὸ γεννητὸν κατ᾽ ἐναντίωσιν ἀντικεῖσθαι, τὴν αὐτὴν τῷ φωτὶ πρὸς τὸ φῶς ἀντίθεσιν ἐφαρμόζει, ἵνα διὰ πάντων τὴν τοῦ Πατρὸς οὐσίαν ἀντίπαλον καὶ πολεμίαν τῇ τοῦ Μονογενοῦς ἐπιδείξῃ. Διὰ ταῦτα ἡ καινὴ αὕτη τῶν δογμάτων νομοθεσία· Ὅσον παρήλλακται τὸ γεννητὸν τοῦ ἀγεννήτου, τοσοῦτον ἀνάγκη παρηλλάχθαι τὸ φῶς πρὸς τὸ φῶς. Καίτοι τῷ μὲν ἀγεν- D νήτῳ πρὸς τὸ γεννητόν ἐστί τις, κατὰ τὴν θέσιν τῶν ῥημάτων, εἰ καὶ μὴ κατὰ τὴν φύσιν τῶν πραγμάτων, ἀντίθεσις, ὅπερ οὗτοι κατασκευάζουσι· φωτὶ δὲ πρὸς τὸ φῶς οὔτε κατὰ τὴν προφορὰν οὔτε κατὰ τὴν ἔννοιαν ἐπινοῆσαί τινα δυνατὸν ἐναντίωσιν. Ἀλλὰ γὰρ ἔοικε σοφίσμασιν ἀπατηλοῖς ἑαυτὸν παρακρούεσθαι. Οἴεται γὰρ, ὅτι τὰ τοῖς ἐναντίοις ἑπόμενα τὴν αὐτὴν ἔχει πρὸς ἄλληλα μάχην, ἥνπερ ἂν ἔχει καὶ τὰ ἡγούμενα· καὶ ὅταν τῷ ἑτέρῳ τῶν ἐναντίων τὸ ἐναντίον ὑπάρχῃ, καὶ τῷ ἑτέρῳ πάντως τὸ ἐναντίον ἀκολουθήσει. Οἷον, εἰ τῇ ὁράσει τὸ φῶς ἕπεται, τῇ τυφλότητι τὸ σκότος· εἰ τῷ ζῆν τὸ αἰσθάνεσθαι, τῷ τεθνηκέναι τὸ ἀναισθητεῖν. Τοῦτο δὲ ὡς ἀσθενὲς καὶ διαπῖπτον τὸ παρατήρημα, παντὶ γνώριμον

τῷ καὶ μικρὸν ἐπιστήσαντι. Οὐ γὰρ ἐπειδὴ τῷ ἐγρηγορέναι τὸ ζῆν ἕπεται, τῷ καθεύδειν ἀκολουθεῖ πάντως τὸ τεθνάναι. Ἀλλ' οὔτε ἐναντίως ἔχει τὸ γεννητὸν πρὸς τὸ ἀγέννητον. Εἰ γὰρ ἐναντία καὶ φθαρτικὰ ἀλλήλων, ὅπερ εἰς κεφαλὴν τοῖς βλασφημοῦσι τρέποιτο, ἀλλ' οὔτε τῇ φύσει πολέμια, οὔτε μὴν τὰ ἑπόμενα τούτοις τὴν αὐτὴν ἀναγκαίως ἕξει διάστασιν, ἣν ἐδείκνυτο ἔχειν καὶ τὰ ἡγούμενα.

Ἢ τοίνυν ἀπάλειψόν σου τὰ ῥήματα, ἢ μὴ ἀρνοῦ τὴν ἀσέβειαν. Σὴ γάρ ἐστιν ἡ βλασφημία τοῦ εἰπόντος· Ὅσον παρήλλακται τοῦ γεννητοῦ τὸ ἀγέννητον, τοσοῦτον ἀνάγκη παρηλλάχθαι τὸ φῶς πρὸς τὸ φῶς. Οὐκοῦν ὡς οὐδέποτε μεθέξει τῆς ἀγεννησίας ὁ γεννητὸς, οὕτως οὐδέποτε αὐτῷ τοῦ φωτὸς μεταδώσεις. Καὶ ἔσται, κατὰ σὲ, ἡ οὐσία τοῦ Μονογενοῦς ἴσον ἀπέχουσα τοῦ γε ἀγέννητος εἶναι, καὶ τοῦ φῶς νοεῖσθαι καὶ ὀνομάζεσθαι. Ἀλλὰ Ἰωάννης μὲν τῇ μεγαλοφωνίᾳ τοῦ Πνεύματος ἐμβοᾷ σοι λέγων· *Ἦν τὸ φῶς τὸ ἀληθινόν*· σοὶ δὲ οὐκ ἔστιν ὦτα τοῦ ἀκούειν, οὐδὲ καρδία τοῦ συνιέναι· ἀλλὰ πρὸς τὴν ἀντίπαλον φύσιν, καὶ ἀσυνύπαρκτον τῷ φωτὶ τὴν οὐσίαν τοῦ Μονογενοῦς, τοῖς σοφίσμασιν ἀπελαύνεις. Οὐ γὰρ δὴ ἐκεῖνο ἰσχυρὸν ἐρεῖς, ὅτι καὶ ἐπὶ τοῦ Μονογενοῦς τὴν προσηγορίαν τοῦ φωτὸς οὐκ ἀφεῖλου. Οὐ γὰρ ἐν ψόφῳ ἀέρος, ἀλλ' ἐν τῇ δυνάμει τῶν σημαινομένων τὸ εὐσεβές. Ὁ δὲ οὐκ ἐπὶ τούτων ἔστη, ἀλλὰ καὶ τὴν ζωὴν καὶ τὴν δύναμιν τῷ αὐτῷ μέτρῳ τῆς εἰς ἐναντίον ἀποστάσεως συνεπάγει, εἰπών· Ὅσον παρήλλακται τὸ γεννητὸν πρὸς τὸ ἀγέννητον, τοσοῦτον ἀνάγκη παρηλλάχθαι τὸ φῶς πρὸς τὸ φῶς, καὶ τὴν ζωὴν πρὸς τὴν ζωὴν, καὶ τὴν δύναμιν πρὸς τὴν δύναμιν. Οὐκοῦν οὔτε ζωὴ, κατὰ σὲ, οὔτε δύναμις ὁ Μονογενής. Ἀλλὰ παραγράφῃ μὲν αὐτὸν τὸν Κύριον λέγοντα· *Ἐγώ εἰμι ἡ ζωή*· παραγράφῃ δὲ Παῦλον τὸν εἰπόντα· *Χριστὸς Θεοῦ δύναμις*. Ἃ γὰρ ἐν τοῖς κατόπιν ἐδείκνυτο, ταῦτα καὶ τοῖς νῦν ἐφαρμόσει. Οὔτε γὰρ ζωὴν οὔτε δύναμιν τῇ ζωῇ καὶ τῇ δυνάμει ἀντικεῖσθαι φαίη τις ἄν· ἀλλὰ θάνατον καὶ ἀδυναμίαν τὴν τελεωτάτην ἀντίθεσιν ἐκπληροῦν. Ἅπερ οὗτος, ἐν πανουργίᾳ δόλον τὸν λόγων ἀποκρυψάμενος, βαθέως καὶ περικεκαλυμμένως τὸ φρικτὸν τῆς ἀσεβείας κατασκευάζει, καὶ τοῖς τῶν λόγων τεχνάσμασι πρὸς τὸ ἐναντίον τῷ Πατρὶ τὴν φύσιν τοῦ Μονογενοῦς ἀποστήσας, μόνην καταλείπει τὴν εὐφημίαν τῶν ὀνομάτων. Τί οὖν ἡμεῖς; πῶς, καὶ ἀγέννητον τὸν Πατέρα καὶ γεννητὸν τὸν Υἱὸν ὁμολογοῦντες, τὴν κατ' αὐτὸ τὸ εἶναι διαφύγοιμεν ἐναντίωσιν; τί λέγοντες; Ὅτι ἀγαθοῦ μὲν Πατρὸς ἀγαθὸς ὁ Υἱός· φωτὸς δὲ τοῦ ἀγεννήτου φῶς ἐξέλαμψε τὸ ἀΐδιον, καὶ ἐκ τῆς ὄντως ζωῆς ἡ ζωοποιὸς προῆλθε πηγή, καὶ ἐκ τῆς αὐτοδυνάμεως ἡ τοῦ Θεοῦ δύναμις ἐξεφάνη· σκότος δὲ, καὶ θάνατος, καὶ ἀσθένεια τῷ ἄρχοντι τοῦ κόσμου τούτου, καὶ τοῖς κοσμοκράτορσι τοῦ σκότους, καὶ τοῖς πνευματικοῖς τῆς πονηρίας, καὶ πάσῃ τῇ ἐχθρᾷ τῆς θείας φύσεως δυνάμει συντέτακται, οὐδὲ τούτοις κατ' αὐτὴν τὴν οὐσίαν πρὸς τὸ ἀγαθὸν λαχοῦσι τὴν ἐναντίωσιν (οὕτω γὰρ ἂν ἡ μέμψις ἐπὶ τὸν

A enim si contraria sunt, jam mutuo se destruent (quod in caput blasphemantium vertatur), imo neque natura adversa sunt, neque quæ consequuntur, eamdem necessario habebunt distantiam, quam et principalia demonstrabantur habere.

Aut igitur tua ipsius verba expunge, aut noli impietatem negare. Est enim blasphemia tua, qui dixisti : Quantum differt genitum ab ingenito, tantum necesse est lucem a luce differre. Quare quemadmodum qui genitus est, nunquam ingenerationis erit particeps : sic eum lucis participem nunquam facies. Atque Unigeniti substantia ex tua sententia æque aberit ab eo ut ingenita sit, atque B abest ab eo ut lux esse intelligatur, et nominetur. At Joannes magna Spiritus voce inclamat tibi, dicens : *Erat lux vera* [1]. Tibi tamen aures non sunt ad audiendum, neque cor ad intelligendum. Imo tuis cavillationibus Unigeniti substantiam ad contrariam naturam, et quæ cum luce esse non possit, detrudis. Nec enim profecto validum illud dices, quod ab Unigenito appellationem lucis non abstuleris. Non enim in sono aeris, sed in vi rerum significatarum pietas est. Hic vero non in his quievit, sed simul et vitam et potentiam inter se eadem distantiæ mensura contrarias inducit, cum ait : Quantum differt genitum ab ingenito, tantum necesse est lucem a luce differre, et vitam a vita, et potentiam a potentia. Ergo Unigenitus secun- C dum te nec vita est, nec potentia. At spernis Dominum ipsum, qui dicit : *Ego sum vita* [2]; spernis itidem Paulum, qui dixit : *Christus Dei potentia* [3]. Nam quæcunque in superioribus demonstrata sunt, ea his quoque nunc accommodabuntur. Nam neque vitam, neque potentiam vitæ ac potentiæ opponi quisquam dixerit : sed mortem et impotentiam oppositionem integerrimam explere. Quibus hic iste, per verborum versutiam dolum occultans, alte ac tecte horrendam impietatem concinnat, atque eloquentiæ artibus Unigeniti naturam ad contrarium paternæ naturæ avocans, solam nominum commendationem relinquit. Quid igitur nos? quomodo et ingenitum Patrem et genitum Filium confitentes, secundum ipsum *esse* contrarietatem effu- D gerimus? quid dicturi sumus? Quod ut boni Patris bonus Filius, ita ex ingenita luce lux æterna effulsit, exque vera vita vivificans fons prodiit, et ex ipsa per se potentia Dei potentia emersit : tenebræ vero, mors et imbecillitas una cum hujus mundi principe tenebrarumque principibus, et spiritualibus pravitatis ministris et omni potestate divinæ naturæ inimica collocatæ sunt : quanquam ne quidem secundum ipsam substantiam sortiti sunt contrarietatem ad bonum ullam (sic enim reprehensio ad Creatorem rediret), sed sua ipsorum voluntate per boni privationem in vitium inciderunt. Neque enim in

[1] Joan. I, 9. [2] Joan. XIV, 6. [3] I Cor. I, 24.

essentia contrarium esse potest. Quid si quis, ut verum est, genitum et ingenitum sic acceperit, ut in essentia proprietates esse intelligat, quibus tanquam notis mens ad veram ac minime confusam Patris a Filio distinctionem cognoscendam perducatur, is et impietatis periculum evitabit, et rationis ordinem tuebitur. Proprietates enim sunt quædam veluti notæ atque formæ, quæ quod commune est, ita distinguunt, ut essentiæ naturam non dirimant. Commune Divinitas est. Proprietates sunt illæ, quibus Pater hic, ille Filius dicitur. Ex horum complexu, nempe ex eo quod commune et ex eo quod proprium est, cognitio veritatis in nobis innascitur, ut cum lucem ingenitam audimus, Patrem; cum lucem genitam, Filium intelligamus. Quatenus lux et lux, nihil in se contrarium admittunt; quatenus autem genitus et ingenitus, accipiunt distinctionem. Hæc est enim natura proprietatum, ut in eadem essentia diversitatem ostendant, et sæpe cum ipsæ inter se distinctæ sint, atque in contrarium tendant, essentiæ tamen non distrahant unitatem.

Δημιουργὸν ἐπονίοι), ἀλλ' ἐκ τῆς οἰκείας προαιρέσεως ἐν τῇ τοῦ καλοῦ στερήσει πρὸς τὴν κακίαν ἀποῤῥυεῖσιν ἀμήχανον ὑπάρχειν ἐν οὐσίᾳ τὴν ἐναντίωσιν. Εἰ δ', ὅπερ ἐστὶν ἀληθὲς, γνωριστικὰς ἰδιότητας ἐπιθεωρουμένας τῇ οὐσίᾳ δέχοιτό τις εἶναι τὸ γεννητὸν καὶ τὸ ἀγέννητον πρὸς τὴν τρανὴν καὶ ἀσύγχυτον Πατρὸς καὶ Υἱοῦ χειραγωγούσας ἔννοιαν, τόν τε τῆς ἀσεβείας διαφεύξεται κίνδυνον, καὶ τὸ ἐν τοῖς λογισμοῖς ἀκόλουθον διασώσει. Αἱ γάρ τοι ἰδιότητες ὡς χαρακτῆρές τινες, καὶ μορφαὶ ἐπιθεωρούμεναι τῇ οὐσίᾳ, διαιροῦσι μὲν τὸ κοινὸν τοῖς ἰδιάζουσι χαρακτῆρσι, τὸ δὲ ὁμοφυὲς τῆς οὐσίας οὐ διακόπτουσιν, οἷον κοινὸν μὲν θεότης, ἰδιώματα δὲ πατρότης καὶ υἱότης. Ἐκ δὲ τῆς ἑκατέρου συμπλοκῆς τοῦ τε κοινοῦ καὶ τοῦ ἰδίου ἡ κατάληψις ἡμῖν τῆς ἀληθείας ἐγγίνεται, ὥστε ἀγέννητον μὲν φῶς ἀκούσαντες τὸν Πατέρα νοεῖν, γεννητὸν δὲ φῶς τὴν Υἱοῦ λαμβάνειν ἔννοιαν· καθὸ μὲν φῶς, καὶ φῶς οὐδεμιᾶς αὐτῆς ἐναντιότητος ὑπαρχούσης, καθὸ δὲ γεννητὸν, καὶ ἀγέννητον ἐπιθεωρουμένης τῆς ἀντιθέσεως. Αὕτη γὰρ τῶν ἰδιωμάτων ἡ φύσις· ἐν τῇ τῆς οὐσίας ταυτότητι δεικνύει τὴν ἑτερότητα, καὶ αὐτὰ μὲν πρὸς ἄλληλα ἀντιδιαιρούμενα πολλάκις τὰ ἰδιώματα πρὸς τὸ ἐναντίον διίσταται, τήν γε μὴν ἑνότητα τῆς οὐσίας οὐ διασπᾷ.

Ex eodem libro.

Eun. Si quis enim, inquit, rem ex creaturis considerans, ope harum ad substantias perducatur, propterea quod ingeniti creaturam Filium inveniat, Unigeniti vero Paracletum, item propterea quod ex Unigeniti præstantia, operationis confirmet diversitatem, ejus etiam diversitatis quæ secundum substantiam est, argumentum certissimum accipit.

Bas. Primum igitur quomodo substantiæ ex creaturis æstimari possint, ego quidem non video. Enim vero potentiam, sapientiamque et artem, non substantiam ipsam indicant creaturæ. Imo ne ipsam quidem opificis potentiam totam necessario declarant; cum nonnunquam fieri possit, ut artifex non omnes vires suas in agendo exserat, sed sæpe remissiorem conatum in operibus artis adhibeat. Quod si totam etiam potentiam transmoverit in opus, ita demum futurum est, ut ejus vires operibus metiamur, non autem fiet ut substantiam, quæ tandem ea sit, intelligamus. Quod si, quoniam divina natura simplex est atque incomposita, substantiam existimet una cum potestate concurrere, et, propter innatam Deo bonitatem, dicat totam Patris potentiam ad generationem Filii commotam, atque iterum totam Unigeniti ad substantiam Spiritus sancti, adeo ut ex Spiritu quidem potentia Unigeniti conspiciatur, simulque etiam substantia: rursus vero ex Unigenito, Patris intelligatur et potentia et substantia, advertite quid hinc colligatur. Nam e quibus conatus est substantiæ dissimilitudinem ostendere, ex iis comperitur similitudinem astruere. Etenim si potestas nihil cum substantia habet commune, quomodo ex opificiis quæ effectus sunt potestatis, ad comprehensionem ipsius deductus est? contra, si idem est substantia et potestas: quod

Ἐκ τοῦ αὐτοῦ λόγου.

ΕΥΝ. Εἴτε γὰρ, φησὶν, ἐκ τῶν δημιουργημάτων σκοπούμενός τις, ἐκ τούτων ἐπὶ τὰς οὐσίας ἀνάγοιτο τοῦ μὲν ἀγεννήτου τὸν Υἱὸν εὑρίσκων ποίημα, τοῦ δὲ Μονογενοῦς τὸν Παράκλητον, κἀκ τῆς τοῦ Μονογενοῦς ὑπεροχῆς τὴν τῆς ἐνεργείας διαφορὰν πιστούμενος, ἀναμφισβήτητον λαμβάνει καὶ τῆς κατ' οὐσίαν παραλλαγῆς τὴν ἀπόδειξιν.

ΒΑΣ. Πρῶτον μὲν οὖν πῶς δυνατὸν ἐκ τῶν δημιουργημάτων τὰς οὐσίας ἀναλογίζεσθαι, ἐγὼ μὲν οὐχ ὁρῶ. Δυνάμεως γὰρ, καὶ σοφίας, καὶ τέχνης, οὐχὶ δὲ τῆς οὐσίας αὐτῆς ἐνδεικτικά ἐστι ποιήματα. Καὶ οὐδὲ αὐτὴν πᾶσαν τοῦ δημιουργοῦ τὴν δύναμιν ἀναγκαίως παρίστησιν, ἐνδεχομένου ποτὲ τὸν τεχνίτην μὴ πᾶσαν ἑαυτοῦ τὴν ἰσχὺν ἐναποθέσθαι ταῖς ἐνεργείαις, ἀλλ' ὑφειμένοις πολλάκις ἐπὶ τῶν ἔργων τῆς τέχνης τοῖς τόνοις χρήσασθαι. Εἰ δὲ καὶ ὅλην τὴν δύναμιν ἐπὶ τὸ ἔργον ἀνακινήσειε, καὶ οὕτως ἂν ὑπάρχοι τὴν ἰσχὺν αὐτοῦ διὰ τῶν ἔργων ἀναμετρεῖσθαι, οὐχὶ δὲ τὴν οὐσίαν, ἥτις ποτέ ἐστι, καταλαμβάνεσθαι. Εἰ δὲ διὰ τὸ ἁπλοῦν καὶ ἀσύνθετον τῆς θείας φύσεως τῇ μὲν δυνάμει σύνδρομον τίθεται τὴν οὐσίαν, καὶ διὰ τὴν προσοῦσαν ἀγαθότητα τῷ Θεῷ ὅλην μὲν κεκινῆσθαι λέγοι τὴν τοῦ Πατρὸς δύναμιν εἰς τὴν γέννησιν τοῦ Υἱοῦ, ὅλην δὲ πάλιν τὴν τοῦ Μονογενοῦς εἰς τὴν ὑπόστασιν τοῦ ἁγίου Πνεύματος, ὥστε ἐκ μὲν τοῦ Πνεύματος τὴν τοῦ Μονογενοῦς δύναμιν θεωρεῖσθαι, ὁμοῦ δὲ καὶ τὴν οὐσίαν, ἐκ δὲ τοῦ Μονογενοῦς πάλιν τὴν τοῦ Πατρὸς δύναμίν τε καὶ οὐσίαν καταλαμβάνεσθαι· σκοπεῖτε τὸ συναγόμενον. Ἐξ ὧν γὰρ ἐπεχείρησε τὸ ἀνόμοιον συστῆσαι τῆς οὐσίας, ἐκ τούτων ἐφάνη κατασκευάζων τὴν ὁμοιότητα. Εἰ μὲν γὰρ οὐδὲν ἔχει κοινὸν ἡ δύναμις πρὸς τὴν οὐσίαν, πῶς ἐκ τῶν δημιουργημάτων, ἅπερ δυνάμεώς ἐστιν ἀποτελέσματα, πρὸς τὴν κατάληψιν αὐτῆς

potestatem designat, id profecto substantiam etiam designabit. Proinde opificia non ad substantiæ dissimilitudinem, ut tu dicis, sed ad perfectam similitudinem ducunt. Rursus certe et hic conatus nostram magis quam ipsius sententiam stabilit. Aut enim non habet unde ea quæ dixit demonstret: aut, si e rebus humanis exempla mutuatur, inveniet non ex artificis operibus intelligi a nobis ejus essentiam, sed ex genito genitoris naturam cognosci. Nec enim fieri potest, ut ejus qui domum construxit essentia comprehendatur ex domo: at difficile non est ex genitura genitoris naturam intelligere. Quare si Unigenitus creatura est, Patris nobis essentiam non exhibet: si vero Patrem nobis notum per seipsum facit, non creatura est, sed Filius verus, Deique imago, et substantiæ character. Atque hæc quidem sunt hujusmodi.

Ejusdem ex eodem quarto libro.

Si unigenitum constituis non ex eo quod genitus est, sed ex eo quod nihil ei comparatur, et Pater, cui nihil comparari potest, erit unigenitus.

Ex eodem libro.

Si Filius non simpliciter est Unigenitus, sed Filius unigenitus, et a Patre unigenitus, est unigenitus Filius, non autem res creata unigenita.

Ex eodem libro.

Si communione concessuque Patris, non autem natura Filius est procreator, nihil est ab ipso natura procreatum. Quorum enim natura procreator ille non est, quomodo ea sint natura procreata?

Ex eodem libro.

Si Deus agit ratione singulari, ratione item gignit singulari; Deus enim nulla in re cum ullo comparari potest.

Ex eodem libro.

Quod fit, non ex natura facientis est. Quod autem gignitur, est ex gignentis essentia. Non igitur idem est facere, et gignere.

Ex eodem libro.

Quod in forma Dei est, est in essentia Dei. Non enim aliud est Dei forma, aliud ejus essentia. Alioquin esset compositus. Quamobrem qui forma æqualis est, et essentia est æqualis.

Ex eodem libro.

Si Pater ante Filium erat, alterius omnino erat Filii Pater. Nam sine Filio Pater non potuisset dici.

Ex eodem libro.

Si is qui Filium per essentiam novit, Patrem novit: *Si me enim, inquit, cognovissetis, et Patrem meum utique cognovissetis* [1], ejusdem prorsus essentiæ cum Patre Filius est. Nam ex dissimili essentia non posset agnosci.

Ex eodem libro.

Si is, qui credit Christum esse Filium Dei, vitam

[1] Joan. XIV, 7.

A ὡδηγήθη; εἰ δὲ ταυτὸν οὐσία τέ ἐστι καὶ δύναμις, τὸ τὴν δύναμιν χαρακτηρίζον χαρακτηρίσει πάντως καὶ τὴν οὐσίαν. Ὥστε τὰ δημιουργήματα, ὡς σὺ φῄς, οὐ πρὸς τὸ ἀνόμοιον τῆς οὐσίας, ἀλλὰ πρὸς τὴν ἀκρίβειαν τῆς ὁμοιότητος φέρει. Πάλιν μέντοι καὶ τοῦτο τὸ ἐγχείρημα τὸν ἡμέτερον μᾶλλον ἢ τὸν αὐτοῦ λόγον συνίστησιν. Ἢ γὰρ οὐδαμόθεν ἔχει παρασχέσθαι τῶν εἰρημένων τὰς ἀποδείξεις, ἢ εἴπερ ἐκ τῶν ἀνθρωπίνων τὰς εἰκόνας λαμβάνοι, εὑρήσει οὐκ ἐκ τῶν ἔργων τοῦ τεχνίτου ἐν περινοίᾳ τῆς οὐσίας αὐτοῦ γινομένους ἡμᾶς, ἀλλ' ἐκ τοῦ γεννηθέντος τὴν τοῦ γεγεννηκότος φύσιν ἐπιγινώσκοντας. Οὐ γὰρ ἐκ τῆς οἰκίας τὴν οὐσίαν τοῦ οἰκοδόμου καταλαβεῖν δυνατόν· ἐκ μέντοι τοῦ γεννήματος νοῆσαι ῥᾴδιον τοῦ γεγεννηκότος τὴν φύσιν. Ὥστε εἰ μὲν δημιούρ- B γημα ὁ Μονογενής, οὐ παρίστησιν ἡμῖν τοῦ Πατρὸς τὴν οὐσίαν· εἰ δὲ γνωρίζει ἡμῖν δι' ἑαυτοῦ τὸν Πατέρα, οὐχὶ δημιούργημα, ἀλλὰ Υἱὸς ἀληθής, καὶ εἰκὼν τοῦ Θεοῦ, καὶ ὑποστάσεως χαρακτήρ. Καὶ ταῦτα μὲν τοιαῦτα.

Τοῦ αὐτοῦ ἐκ τοῦ δ' Λόγου.

Εἰ μὴ γεννήσεως τὸ μονογενές, ἀλλὰ διὰ τὸ ἀσύγκριτον, μονογενὴς καὶ ὁ Πατήρ. Ἀσύγκριτος γάρ.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Εἰ ὁ Υἱὸς οὐχ ἁπλῶς Μονογενής ἐστιν, ἀλλ' Υἱὸς μονογενής, καὶ παρὰ Πατρὸς μονογενής, Υἱὸς μονογενής ἐστι, καὶ οὐ κτίσμα μονογενές.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Εἰ κατὰ μετάδοσιν καὶ συγχώρησιν τοῦ Πατρὸς, καὶ οὐ κατὰ φύσιν δημιουργὸς ὁ Υἱὸς, οὐδὲν ἂν εἴη ὑπ' αὐτοῦ δημιουργηθὲν κατὰ φύσιν· ὧν γὰρ ὁ δημιουργὸς οὐ κατὰ φύσιν, πῶς τὰ δημιουργηθέντα C κατὰ φύσιν;

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Εἰ ἐνεργεῖ ὁ Θεὸς, ὡς οὐδεὶς ἕτερος, καὶ γεννᾷ, ὡς οὐχ ἕτερος γεννήσει. Ἀσύγκριτος γὰρ πρὸς πάντα κατὰ πάντα ὁ Θεός.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Τὸ ποιούμενον οὐκ ἐκ τῆς οὐσίας τοῦ ποιοῦντος, τὸ δὲ γεννώμενον ἐκ τῆς αὐτῆς οὐσίας τοῦ γεννῶντος. Οὐ ταυτὸν ἄρα τὸ ποιεῖν καὶ τὸ γεννᾷν.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Τὸ ἐν μορφῇ Θεοῦ ἐν οὐσίᾳ Θεοῦ ἐστιν. Οὐ γὰρ ἄλλο μορφὴ, καὶ ἄλλο οὐσία Θεοῦ, ἵνα μὴ σύνθετος. Ὁ κατὰ μορφὴν οὖν ἴσος καὶ κατ' οὐσίαν ἐστὶν ἴσος.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

D Εἰ ὁ Πατὴρ πρὸ τοῦ Υἱοῦ ἦν, ἑτέρου τινὸς πάντως Πατὴρ ἦν· χωρὶς γὰρ Υἱοῦ Πατὴρ οὐκ ἂν λεχθείη.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Εἰ ὁ τὸν Υἱὸν γνοὺς κατ' οὐσίαν, ἔγνω καὶ τὸν Πατέρα· *Εἰ ἐμὲ γὰρ*, φησὶν, *ᾔδειτε, καὶ τὸν Πατέρα μου ᾔδειτε ἄν*· ὁμοούσιος πάντως τῷ Πατρὶ ὁ Υἱός. Οὐδὲν γὰρ ἐξ ἀνομοίου οὐσίας γνωρίζεσθαι δύναται.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Εἰ τὸ πιστεύειν τὸν Χριστὸν Υἱὸν εἶναι Θεοῦ, ζωὴν

æternam habet, necesse est ut qui non credit, mortem habeat æternam.

Ex eodem libro.

Quorum actiones eædem sunt, eorum una essentia. Actio autem Patris et Filii una est, ut ex illis verbis intelligitur : *Faciamus hominem* [1]; et ex illis: *Quæ Pater facit, eadem et Filius similiter facit* [2]. Una igitur est essentia Patris et Filii.

Ex eodem libro.

Si Patris Filiique cognitio vita æterna est, necesse est ut sint ejusdem essentiæ. Quæ enim essentia diversa sunt, nec eadem cognitione comprehenduntur, nec vitam possunt elargiri.

Ex eodem libro.

Si isti, qui Filium creatum dicunt, aliquam ex rebus, quæ creatæ sunt, esse negant, cur nobis eum genitum esse dicentibus, similem aliorum, qui geniti sunt, esse cogitant?

Ex eodem libro.

Si Deus non generat, ne fluxum sustineat, neque creat, ne subeat laborem. At si nulla perturbatione creat, multo magis gignit sine perturbatione.

Ex eodem libro.

Si omnis lucis splendor ab ipsa gignitur luce, nullo tamen certo spatio, sed sine tempore, et perpetuo simul cum ipsa est : non enim sine splendore lux est : et Filius, qui splendor est, nullo certo gignitur spatio, sed ab omni æternitate splendor est Dei et Patris, qui est lux. David enim *In luce*, inquit, *tua videbimus lucem* [3]; et Daniel : *Et lux*, inquit, *cum ipso est.*

Ex eodem libro.

Si Deus non gignit, id fit vel quia nequit vel quia non vult. Si nequit, præterquam quod imbecillus est, naturæ gignenti perfectæque cedit. Sin potest, sed non vult, quod natura habet, cohibet voluntate. Quare licet nunquam genuerit, gignet tamen aliquando, cum volet.

Ex eodem libro.

Quia nos exsistente Patre Filium dicimus exsistere necessario, isti, Quoniam igitur, inquiunt, et Filius semper est procreator, semper erit et procreatio, atque ita simul cum Patre et Filio erit æterna. Minime vero : nam qui procreatorem dicit, non continuo dicit etiam procreationem. Neque enim simul cum architecto ædificium exsistit, neque navis simul cum illo qui navium est ædificator.

A αἰώνιον ἔχει, τὸ ἀπιστεῖν ἐξ ἀνάγκης θάνατον.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ὧν αἱ αὐταὶ ἐνέργειαι, τούτων καὶ ἡ οὐσία μία. Ἐνέργεια δὲ Πατρὸς καὶ Υἱοῦ μία, ὡς τὸ, *Ποιήσωμεν ἄνθρωπον*, καὶ πάλιν· *Ἃ γὰρ ἂν ὁ Πατὴρ ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ*· ἄρα καὶ οὐσία μία Πατρὸς καὶ Υἱοῦ.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ ἡ γνῶσις Πατρὸς καὶ Υἱοῦ ζωὴ αἰώνιος, ἀνάγκη καὶ μιᾶς οὐσίας εἶναι. Τὰ γὰρ ἑτεροούσια οὐ μιᾷ γνώσει καταλαμβάνεται, οὔτε ὁμοίως ζωοποιεῖν δύναται.

B *Ἐκ τοῦ αὐτοῦ λόγου.*

Εἰ κτίσμα λέγοντες τὸν Υἱὸν, οὐχ ὡς ἓν τῶν κτισμάτων λέγουσι, διατί, γέννημα λεγόντων ἡμῶν, ὡς ἓν τῶν γεννημάτων νοοῦσιν;

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ οὐ γεννᾷ Θεὸς, ἵνα μὴ ῥεῦσιν ὑπομείνῃ, οὐδὲ κτίζει, ἵνα μὴ κάμῃ. Εἰ δὲ κτίζει ἀπαθῶς, πολλῷ μᾶλλον γεννᾷ ἀπαθῶς.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ ἀπαύγασμα παντὸς φωτὸς γεννᾶται μὲν ἐκ τοῦ φωτὸς, οὐ ποτὲ δὲ, ἀλλ' ἀχρόνως καὶ συναϊδίως ἐκείνῳ· οὐ γάρ ἐστι φῶς χωρὶς ἀπαυγάσματος· καὶ ὁ Υἱὸς ἀπαύγασμα τυγχάνων οὐ ποτὲ ἔσται, ἀλλὰ συναϊδίως, φωτὸς ὄντος τοῦ Θεοῦ καὶ Πατρὸς, ὡς
C Δαβίδ φησιν, *Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς*· καὶ Δανιὴλ, *Καὶ τὸ φῶς μετ' αὐτοῦ ἐστιν.*

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ Θεὸς οὐ γεννᾷ, ἢ διὰ τὸ μὴ δύνασθαι, ἢ διὰ τὸ μὴ βούλεσθαι. Ἀλλ' εἰ μὲν οὐ δύναται, ἥττων ἐστὶ γεννητικῆς καὶ τελείας φύσεως πρὸς τῷ καὶ ἀδυνατεῖν· εἰ δὲ δυνάμενος οὐκ ἠβουλήθη, ὃ φύσει ἔσχε, βουλήσει κατέσχεν, ὥστε, εἰ καὶ μήπω ἐγέννησε, βουληθεὶς ἄρα γεννήσει ποτέ.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἡμῶν λεγόντων, Τοῦ Πατρὸς ὄντος ἀεὶ, ἀνάγκη καὶ τὸν Υἱὸν ἀεὶ εἶναι, ἐκεῖνοί φασιν, Οὐκοῦν ἐπειδὴ καὶ ὁ Υἱὸς ἀεὶ δημιουργὸς, καὶ ἡ δημιουργία ἀεὶ ἔσται, καὶ οὕτως ἔσται καὶ ἡ δημιουργία συναΐδιος
D Πατρὶ καὶ Υἱῷ. Ἀλλ' ὁ εἰπὼν δημιουργὸν οὐχ ἅμα καὶ τὴν δημιουργίαν λέγει. Οὐ γὰρ τῷ οἰκοδόμῳ συνυπάρχει καὶ τὸ οἰκοδόμημα, οὐδὲ τῷ ναυπηγῷ τὸ σκάφος. Ἡ μὲν γὰρ δημιουργία ἐν τῷ δημιουργῷ, τὸ δὲ δημιουργούμενον μετὰ τὸν δημιουργόν. Πατέρα δὲ εἰπεῖν ἀδύνατον, μὴ ὄντος υἱοῦ. Καὶ ὁ εἰπὼν πατέρα οὐχ ἁπλῶς πατέρα, ἀλλὰ τινὸς λέγει πατέρα.

Ex eodem libro.

Rursum quærunt, utrum Filius exsistens, an non exsistens genitus sit. Quæ sane quæstio obscura et callida est. Cum enim pudeat eos quærere, utrum aliquando et in tempore genitus sit, dicunt utrum exsistens an non exsistens sit genitus. Tu igitur ab illis vicissim quære utrum Deus Pater exsistens, an

Ἐκ τοῦ αὐτοῦ λόγου.

Πάλιν ἐρωτῶσιν, Ὢν ἐγεννήθη ὁ Υἱὸς, ἢ μὴ ὤν; ἀσαφοῦς καὶ κακοτέχνου τῆς ἐρωτήσεως αὐτῶν οὔσης. Αἰσχυνόμενοι γὰρ τὸ ποτὲ καὶ ἐν χρόνῳ ἐρωτῆσαι, τὸ ὢν λέγουσιν. Ἀντερώτησον οὖν αὐτοὺς, Ὢν Πατὴρ ὁ Θεὸς τὸν Υἱὸν ἐγέννησεν, ἢ μὴ ὢν Πατήρ; Εἰ μὲν γὰρ ὢν Πατὴρ, ὄντα ἐγέννησεν· εἰ δὲ οὐχ

[1] Gen. I, 26. [2] Joan. V, 19. [3] Psal. XXXV, 10.

ὢν, γεννητὸς, καὶ οὐ φύσει Πατήρ. Πᾶσαν δὲ φιλονεικίαν αὐτῶν ἀποκλείουσιν αἱ θεῖαι Γραφαὶ, Μωσέως μὲν βοῶντος περὶ τοῦ Υἱοῦ, *Ὁ ὢν με ἀπέστειλε*, τοῦ δὲ εὐαγγελιστοῦ Ἰωάννου, *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*, καὶ οὐχ ἅπαξ τὸ *ἦν*, ἀλλὰ τέταρτον. Καὶ πάλιν ἀλλαχοῦ, *Ὁ ὢν ἐκ τοῦ Θεοῦ*, καὶ, *Ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρός*. Καὶ ἐν ἑτέροις, *Ὁ ὢν ἐν τῷ οὐρανῷ*· καὶ ἐν τῇ Ἀποκαλύψει, *Ὁ ὢν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος*. Καὶ ὁ Παῦλος, *Ὃς ὢν ἀπαύγασμα τῆς δόξης*, *καὶ ἐν μορφῇ Θεοῦ ὑπάρχων*. Καὶ πάλιν, *Ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητός*.

A non exsistens Pater Filium genuerit. Si enim exsistens Pater, exsistens exsistentem genuit. Si non exsistens, factus est, non autem natura Pater. Sed omnes istorum quæstiones excludunt divinæ Scripturæ, cum Moses de Filio clara voce testetur: *Qui est*, inquiens, *misit me*[1]. Joannes autem evangelista: *In principio*, dicat, *erat Verbum*[2]; quater illam vocem, *erat*, repetens. Et alibi: *Qui est ex Deo*[3]; et: *Qui est in sinu Patris*[4]; et alio loco: *Qui est in cælo*[5]. Et in Apocalypsi: *Qui est, qui erat, et qui venturus est*[6]. Et Paulus: *Qui cum sit splendor gloriæ*[7]; et: *Qui cum in forma Dei esset*[8]; et: *Qui est in omnibus Deus benedictus*[9].

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ τὸ αἴτιον τοῦ αἰτιατοῦ μεῖζον καὶ διάφορον κατ' οὐσίαν, πᾶς δὲ πατὴρ αἴτιος, καὶ πᾶς υἱὸς αἰτιατὸς, μείζους καὶ διάφοροι κατ' οὐσίαν οἱ πατέρες τῶν υἱῶν, καὶ οὐ μιᾶς οὐσίας. Ἀλλ' οὐχ ἀληθές.

Ex eodem libro.

Si causa major est eo, cujus est causa, et ab ipso B per essentiam differt, omnis pater cum filii causa sit, major est filio, et patres a filiis essentia diversi sunt, non autem ejusdem essentiæ; quod falsum est.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἐρωτῶσιν, εἰ γεννήσας ὁ Πατὴρ τὸν Υἱὸν ἐπαύσατο γεννᾷν αὐτόν; κἂν λάβωσιν, ὅτι ἐπαύσατο, ἐπάγουσιν, Οὐκοῦν καὶ ἤρξατο γεννᾷν. Πᾶν γὰρ τὸ τέλος ἔχον καὶ ἀρχὴν ἔχει. Οὐκ ἄρα ἦν ἀεὶ ὁ Υἱός. Ἐροῦμεν οὖν, Εἰ τὸ παυόμενον ἀνάγκη καὶ ἀρχὴν ἔχειν, καὶ τὸ ἀρχὴν ἔχον ἀνάγκη καὶ παύεσθαι, ἄγγελοι οὖν, καὶ πάντα τὰ ἀσώματα ἀρχὴν τοῦ εἶναι ἔχοντα, ἀναγκαίως καὶ τέλος τοῦ εἶναι ἕξει. Ἀλλ' ἄτοπον. Δυνατὸν οὖν καὶ ἀρξάμενον τοῦ εἶναι μὴ παύσασθαι, καὶ παυσάμενον μὴ ἦρχθαι. Εἰ δὲ μὴ, καὶ αὐτὸς ὁ Υἱὸς, εἰ ἀρχὴν τοῦ εἶναι ἔχει, καὶ τέλος ἐξ ἀνάγκης ἔχει κατ' αὐτούς. Ἐπειδὴ πᾶν τὸ ἀρχὴν ἔχον καὶ τέλος ἔχειν βούλονται. Καὶ πῶς οὐ βλάσφημον; Καὶ ἡ πρόγνωσις δὲ τοῦ Θεοῦ ἀρχὴν οὐκ ἔχουσα, μετὰ τὸ γενέσθαι τὰ περὶ ὧν προέγνω, τέλος ἔχει. Ὥστε οὐ τὸ τέλος ἔχον ἀνάγκη καὶ ἀρχὴν ἔχειν.

Ex eodem libro.

Quærunt an Pater qui Filium genuit, ipsum gignere desierit, et si desiisse concesserimus: Ergo, inquiunt, gignere etiam cœpit; quidquid enim habet finem, habet etiam principium. Filius igitur non fuit semper. Quæramus et nos, num quia id, quod desinit, principium habere necesse est, et quod principium habet, desinere, angeli et quæcunque sunt corporis expertia quoniam principium habent, finem quoque sint habitura necessario. Quod si absurdum est, constat, et quod cœpit esse, posse non desinere: et quod desinit, non cœpisse. Alioquin ex ipsorum sententia C necesse est, ut Filius etiam, si principium habet exsistendi, finem quoque habeat, siquidem omnia quæ habent principium, finem item habere volunt. Quod quidem dictu nefarium est. Dei certe præcognitio, quæ principium non habet, posteaquam advenerunt ea quæ ante cognoscebantur futura, desinit. Quamobrem patet, non esse necessarium, ut principium habeant omnia quæ finem habent.

Ἐκ τοῦ αὐτοῦ λόγου περὶ ἀγεννήτου.

Εἰ ὁ ἀγέννητος πρὸς τὸν γεννητὸν Υἱὸν ἀντιδιαστελλόμενος οὐσία ἐστὶ, καὶ ὁ ἄκτιστος πρὸς τὴν κτίσιν ἀντιδιαστελλόμενος οὐσία ἐστίν· ἔσται οὖν καὶ ὁ ἀγέννητος οὐσία, καὶ ὁ ἄκτιστος οὐσία. Δύο οὖν ὁ Θεὸς, καὶ οὐ μία οὐσία. Οὕτω δὲ καὶ τὸ ἄτρεπτον αὐτοῦ καὶ τὸ ἄναρχον καὶ πολλὰ ἕτερα οὐσία ἔσονται.

Ex eodem libro, De ingenito.

Si ingenitus, ut a genito distinguitur, essentia est; et increatus, ut a creato separatur, essentia est, et ingenitus erit essentia, et increatus essentia, atque ita non una erit essentia Deus, sed duæ. Itemque ut immutabilis, ut principium non habens, ut alia multa, multas habebit essentias.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ ἀγέννητον τὸν Πατέρα, καὶ γεννητὸν τὸν Υἱὸν εἰπών τις, τὰς οὐσίας ἐδήλωσε, τὸν τρόπον τῆς ὑπάρξεως αὐτῶν εἰπεῖν τις θελήσας, πῶς ἂν ἑτέρως εἰπεῖν δυνήσεται ἢ οὕτως; Ὑπάρξεως οὖν τρόπος τὸ ἀγέννητος, καὶ οὐκ οὐσίας ὄνομα. Εἰ δὲ τὰ διάφορον τὴν ὕπαρξιν τοῦ εἶναι ἔχοντα διάφορον ἔχει καὶ τὴν οὐσίαν, οὐδὲ οἱ ἄνθρωποι ὁμοούσιοι. Ἄλλη γὰρ ὕπαρξις Ἀδὰμ ἐκ γῆς πλασθέντος, ἄλλη δὲ Εὔας ἐκ πλευρᾶς γενομένης, ἄλλη δὲ Ἄβελ, ἐκ συνδυασμοῦ γάρ· ἄλλη δὲ τοῦ ἐκ Μαρίας, ἐκ παρθένου γὰρ μόνης. Ὡσαύτως δὲ καὶ ἐπὶ τῶν πτηνῶν τε καὶ τετραπόδων.

Ex eodem libro.

D Si is qui Patrem ingenitum, et Filium genitum dicit, essentias ostendit, is, qui eorum exsistendi modum volet declarare, quonam alio pacto loqui poterit? Ingenitus exsistendi rationem indicat, non autem est nomen essentiæ. Quod si ea quæ diversam exsistendi rationem habent, diversam obtinent etiam essentiam, nec homines ejusdem essentiæ sunt. Alia enim est exsistendi ratio Adæ ex terra conflati, alia Evæ ex costa formatæ, alia Abelis ex maris et feminæ conjunctione nati, alia Domini ex Maria Virgine orti. Idem etiam de volatilibus et quadrupedibus intellige.

[1] Exod. III, 14. [2] Joan. I, 1. [3] ibid. 13. [4] ibid. 18. [5] Joan. III, 13. [6] Apoc. I, 8. [7] Hebr. I, 3. [8] Philipp. II, 6. [9] Rom. IX, 5.

Ex eodem libro.

Si id, quod fieri nequit, ei, quod fieri potest, contrarium est, et insipiens insipienti, et quæcunque eodem pacto distinguuntur, inter se contraria sunt, ingenitum etiam genito contrarium erit, et Pater Filio. Quod quidem sequeretur, si ingenitum non exsistendi modum, sed essentiam significaret.

Ex eodem libro.

Si Filius creatus est, non autem genitus, et res item omnes creatæ sunt, frustra Pater vocatur ingenitus, cum genitus non adsit, quicum comparatus ingenitus appelletur. Itaque rectius increatus diceretur quam ingenitus. Si enim ingenitus nomen est, non essentia. Nomina enim essentias significant, non autem ipsa sunt essentiæ. Quod si ingenitum dicunt essentiam esse, ipsius afferant nomen. Non enim ex essentia, sed ex nomine actioneque res cognoscimus, eas præsertim quæ corporis sunt expertes.

Ex eodem.

Si ingenitus est nomen essentiæ Dei, aut essentiam cognoscens suam Deus essentiæ nomen ignoravit, aut nomen etiam sciens audientes decepit: *Dominus enim omnipotens*, inquit, *est nomen meum* [1]. Et Mosi quærenti nomen ipsius : *Ego*, inquit, *sum, qui sum* [2]. Et rursum : *Deus*, inquit, *Abraham, et Deus Isaac, et Deus Jacob, hoc mihi nomen æternum* [3]. Et David: *Dominus*, inquit, *est nomen ejus* [4]. Ingenitum autem esse nomen illius nec ipse dixit, nec ullus sanctorum hominum. Quod si neque decepit, neque ignoravit (id enim nefas est dicere), ingenitus non est nomen ejus.

Ex eodem.

Ingenitus aut essentia, aut accidens est, nihil enim aliud esse potest. Essentia non est, quando ne id quidem, quod ab eo distinctum ei ex altera parte respondet, nempe genitus, non est essentia. Genitus enim dicitur Filius, non quatenus essentia est, sed quatenus gignitur. Sin est accidens, aut natura conjunctum, aut ejusmodi, ut adesse possit et abesse. Si natura conjunctum, necesse est Deo, ut essentia, et accidens sit : necessario enim hæc accidunt illis quibus accidunt. Sin ejusmodi, ut adesse possit et abesse, erit et ingenitus aliquando, et genitus.

Ex eodem.

Si ingenitus non est nomen essentiæ, sed essentia, et Filius est essentia, ingenitus et Filius est, et omnis essentia est ingenita.

Ex eodem.

Si ingenitum esse est essentia Dei, et genitum esse est essentia Filii, essentia ejus non est esse creatum, nec factum. Filius enim est essentia una, non plures.

Ex eodem.

Qui hominem, aut lapidem, aut lignum dixit, essentiam aliquam significat. Qui autem genitum dicit, non significat essentiam simpliciter, quoniam

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ τὸ ἀδύνατον ἐναντίον τῷ δυνατῷ, καὶ τὸ ἄσοφον τῷ σοφῷ, καὶ πάντα τὰ ἀντιδιαστελλόμενα ἐναντία ἀλλήλοις, ἐναντίον καὶ τὸ ἀγέννητον τῷ γεννητῷ. Ἐναντίος οὖν ὁ Πατὴρ τῷ Υἱῷ κατ' οὐσίαν, εἴ γε μὴ τρόπος ὑπάρξεως τὸ ἀγέννητον, ἀλλ' οὐσία.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ κτίσμα, καὶ οὐ γέννημα ὁ Υἱὸς, καὶ πάντα δὲ τὰ ὄντα κτίσματα, μάτην ἀγέννητος ὁ Πατὴρ λέγεται, οὐκ ὄντος ὅλως γεννήματος, πρὸς ὃ καλεῖται ἀγέννητος. Δικαιότερον οὖν ἄκτιστος, ἢ ἀγέννητος λέγοιτο ἄν. Τὸ γὰρ ἀγέννητος εἰ ὄνομα, οὐκ οὐσία. Τῶν γὰρ οὐσιῶν σημαντικὰ τὰ ὀνόματα, οὐκ αὐτὰ οὐσίαι. Εἰ δὲ αὐτὸ οὐσία τὸ ἀγέννητος, λεγέτωσαν τὸ ὄνομα αὐτῆς. Οὐ γὰρ ἐκ τῶν οὐσιῶν, ἀλλ' ἐκ τῶν ὀνομάτων καὶ τῶν ἐνεργειῶν γνωρίζομεν, καὶ μάλιστα τὰ ἀσώματα.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ τὸ ἀγέννητος ὄνομα τῆς οὐσίας τοῦ Θεοῦ, ἢ τὴν οὐσίαν εἰδὼς τὴν ἰδίαν ὁ Θεὸς τὸ ὄνομα τῆς οὐσίας ἠγνόησεν, ἢ καὶ τὸ ὄνομα εἰδὼς τοὺς ἀκούοντας ἠπάτησε. *Κύριος γὰρ*, φησὶ, *παντοκράτωρ ὄνομά μου*. Καὶ παρὰ Μωσέως ἐρωτηθεὶς, τί ὄνομα αὐτῷ, φησὶν, *Ἐγώ εἰμι ὁ ὤν*. Καὶ πάλιν, *Ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακὼβ, τοῦτό μοι ὄνομα αἰώνιον*. Καὶ ὁ Δαβὶδ, *Κύριος ὄνομα αὐτῷ*. Ἀγέννητον δὲ ὄνομα οὔτε αὐτὸς ἑαυτῷ, οὔτε τις τῶν ἁγίων εἴρηκεν. Εἰ δὲ οὔτε ἠπάτησεν, οὔτε ἠγνόησεν, ἀσεβὲς γάρ τι τούτων εἰπεῖν, τὸ ἀγέννητος οὐκ ὄνομα αὐτοῦ.

Ἐκ τοῦ αὐτοῦ.

Τὸ ἀγέννητος ἢ οὐσία ἐστὶν, ἢ συμβεβηκός. Παρὰ ταῦτα γὰρ οὐκ ἂν εἴη. Ἀλλ οὐσία μὲν οὐκ ἔστιν· οὔτε γὰρ τὸ ἀντιδιαστελλόμενον αὐτῷ· γεννητὸς γὰρ ὁ Υἱὸς, οὐ καθὸ οὐσία, ἀλλὰ καθὸ ἐγεννήθη· εἰ δὲ συμβεβηκὸς, ἢ συμπέφυκεν, ἢ ἐνδέχεται ὑπάρχειν καὶ μὴ ὑπάρχειν. Ἀλλ' εἰ μὲν συμπέφυκεν, ἀνάγκη τῷ Θεῷ καὶ οὐσία, καὶ συμβεβηκὸς εἶναι· ἐξ ἀνάγκης γὰρ τὰ τοιαῦτα συμβαίνει οἷς συμβέβηκεν· εἰ δὲ ἐνδεχομένως, ἔσται καὶ ἀγέννητός ποτε καὶ γεννητός.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ τὸ ἀγέννητος οὐκ ὄνομα οὐσίας, ἀλλ' αὐτὸ οὐσία, οὐσία δὲ καὶ ὁ Υἱὸς, ἀγέννητος καὶ ὁ Υἱὸς, καὶ πᾶσα δὲ οὐσία ἀγέννητος.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ τὸ ἀγέννητον οὐσία τοῦ Θεοῦ, καὶ τὸ γέννημα οὐσία τοῦ Υἱοῦ, τὸ κτίσμα ἢ ποίημα οὐκ οὐσία αὐτοῦ. Μία γὰρ, καὶ οὐ πολλαὶ οὐσίαι ὁ Υἱός.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἄνθρωπόν τις εἰπὼν, ἢ λίθον, ἢ ξύλον, οὐσίαν τινὰ δηλοῖ. Γέννημα δὲ εἰπὼν οὐκ οὐσίαν ἁπλῶς δηλοῖ, ἐπεὶ πᾶν γέννημα οὐσία μία. Εἰ δὲ οὐκ οὐσίας

[1] Exod. xv, 3. [2] Exod. iii, 14. [3] Ibid. 15. [4] Psal. lxvii, 5.

τινὸς τὸ γέννημα σημαντικὸν, οὐδὲ τὸ ἀγέννητος A δηλονότι.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ φύσει ἀγέννητος ὁ Πατὴρ, φύσει γεννητὸς καὶ ὁ Υἱός. Εἰ δὲ φύσει γέννημα, οὐκ ἔστι κτίσμα. Ὄντος οὖν τοῦ φύσει γεννήματος, ἀνάγκη καὶ τὸν γεννήσαντα εἶναι. Γέννημα γὰρ χωρὶς γεννήσαντος οὐκ ἂν εἴη. Λεγέτωσαν οὖν τὸν γεννήσαντα, εἰ ὁ Πατὴρ οὐκ ἐγέννησεν.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ ὁμοούσιος, φασὶν, ὁ Υἱὸς τῷ Πατρὶ, ὁ Πατὴρ δὲ ἀγέννητος, ὁ δὲ Υἱὸς γεννητὸς, ἡ αὐτὴ ἄρα οὐσία ἀγέννητος καὶ γεννητή. Ἀλλ' οὐ μέρος φαμὲν τὸν Υἱὸν τοῦ Πατρὸς, ὡς διαιρουμένην τὴν οὐσίαν ἀγέννητον καὶ γεννητὸν εἶναι, ἀλλ' ὅλον ἐξ ὅλου, γεννητὸν B ἐξ ἀγεννήτου, τέλεια δύο καὶ οὐ δύο μέρη ἐξ ἑνός τινος.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ ἐφανέρωσεν ὁ Υἱὸς τὸ ὄνομα τοῦ Πατρὸς τοῖς ἀνθρώποις, ὡς αὐτός φησιν, *Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις*, κύριον δὲ τῆς οὐσίας αὐτοῦ ὄνομα τὸ ἀγέννητος, δειχνύτωσαν ποῦ ἀγέννητον αὐτὸν ὁ Σωτὴρ εἴρηκεν.

Ἐκ τοῦ αὐτοῦ.

Τὸ ἀγέννητος οὔτε ὅρος ἐστὶ Θεοῦ, οὔτε ἴδιον. Ταῦτα γὰρ ἀντιστρέφει ἐκείνοις ὧν ὅρος, ἢ ἴδιον τυγχάνουσιν. Ἄνθρωπος γὰρ ζῶον λογικὸν, θνητὸν, καὶ εἴ τι ζῶον λογικὸν, θνητὸν, ἄνθρωπος τοῦτο. Ἴδιον δὲ ἀνθρώπου τὸ γελαστικὸν, καὶ εἴ τι γελαστι- C κὸν, ἄνθρωπος. Τὸ δὲ ἀγέννητος, εἴ τις συγχωρήσει ἐπὶ μόνου Θεοῦ λέγεσθαι, οὐχ ἅμα καὶ εἴ τι Θεὸς, τοῦτο ἀγέννητον. Ὁ οὖν Υἱὸς Θεὸς ὢν, οὐκ ἀγέννητός ἐστιν. Οὔτε οὖν ὅρος, οὔτε ἴδιον τὸ ἀγέννητον. Οὐ γὰρ ἀντιστρέφει.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ κτίσμα Θεοῦ ὁ Υἱὸς, πᾶν δὲ κτίσμα δοῦλον τοῦ κτίστου, δοῦλος ἄρα ὁ Χριστὸς, καὶ οὐχ Υἱὸς Θεοῦ. Οὐκ ἔλαβεν οὖν μορφὴν δούλου Κύριος ὢν, ἀλλ' ἦν δοῦλος.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ τὰ ἐλάττονα ὑπὸ ἐλάττονος δημιουργεῖται, καὶ τὰ μείζονα δὲ ὑπὸ μείζονος, διὰ πολλῶν ἄρα ἡ κτί- D σις, ἐπεὶ οὐ πᾶσα ἴση.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ δημιουργικὸς ὁ Θεὸς φύσει, οὐχ ἑνὸς ἔσται, ἀλλὰ πολλῶν. Ἢ γὰρ ἀσθενείᾳ ἄλλο οὐ δημιουργεῖ, ἢ φθόνῳ καὶ βασκανίᾳ.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ τὴν δημιουργίαν τῆς οὔσης κτίσεως ἐπῃσχύνθη δι' ἑαυτοῦ ποιῆσαι ὁ Θεὸς, καὶ τὴν δοξολογίαν αὐτῆς οὐ προσίεται. Ἃ γὰρ ποιῆσαι ἐπῃσχύνετο, γενόμενα ἴδια νομισθῆναι οὐ θελήσει.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ ταυτὸν τὸ κτίζειν καὶ γεννᾷν τὸν Θεὸν, ἐπειδὴ

omne genitum est una essentia. Quod si certam aliquam essentiam genitus non significat, ne ingenitus quidem.

Ex eodem.

Si natura Pater ingenitus est, et Filius natura est genitus. Quod si natura genitus, non est creatus. Cum autem genitus sit natura, et genitorem esse necesse est. Nam sine genitore genitus esse non potest. Dicant igitur genitorem, si Pater non genuit.

Ex eodem.

Si Filius, inquiunt, est ejusdem essentiæ cum Patre, et Pater ingenitus est, Filius autem genitus, eadem essentia est ingenita et genita. Nos autem non dicimus Filium esse partem Patris, ut essentia divisa ingenitus genitusque proveniant, sed totum ex toto, genitum ex ingenito, ut duo perfecti sint, non autem duæ partes ex uno aliquo.

Ex eodem.

Si Filius nomen Patris hominibus patefecit, ipse enim, *Manifestavi*, inquit, *nomen tuum hominibus* [1], proprium autem ipsius essentiæ nomen ingenitus, ostendant, ubi ipsum ingenitum nominaverit.

Ex eodem.

Ingenitus neque definitio Dei est, neque proprium. Hæc enim cum illis, quorum sunt definitio et proprium, convertuntur, et eis ex æquo respondent. Homo enim animal est ratione præditum et mortale. Et si quod animal est ratione præditum ac mortale, illud est homo. Hominis autem proprium est, esse ad ridendum aptum. Quare si quid est ejusmodi, id est homo. At ingenitum si quis de solo Deo dici concesserit, non continuo si quid Deus est, id sit ingenitum. Filius enim cum Deus sit, non est ingenitus. Quamobrem ingenitus nec definitio, nec proprium est; non enim convertuntur.

Ex eodem.

Si Filius a Deo creatus est, et qui creatus est, servus est creatoris, servus utique est Christus, non autem Filius Dei. Non ergo servi formam assumpsit, cum esset Dominus, sed erat servus.

Ex eodem.

Si minora a minore creantur, et majora a majore, per multos universitas creata est, et non est æqualis.

Ex eodem.

Si natura Deus creator est, non unius est, sed multorum. Alioquin aut impotentia non creat aliud, aut invidentia.

Ex eodem.

Si rerum universitatem Deum per se condere puduisset, ne laudem quidem ejus admitteret. Quæ enim facere erubuisset, ea sibi ut propria nollet attribui.

Ex eodem

Si idem est Deum creare et gignere, quoniam

[1] Joan. xvii, 6.

simplex est, idem etiam est servare et perdere, vitam largiri atque interficere, atque ita idem erit salus et interitus, vita et mors.

Ex eodem.

Si Christus Dei virtus est, et sapientia, et hæ creatæ non sunt, sed æternæ simul cum Deo : nunquam enim sapientia virtuteque caruit : Christus creatus non est, et est simul æternus cum Deo. Quod si quatenus actiones sunt, dicitur virtus et sapientia, nos item Christi, ut ipse Dei, virtus sapientiaque dicemur, quod absurdum est.

Ex eodem.

Si Filius æternus Deus non est, recens est. Si verus non est, falsus. Si natura non est, hominum est instituto. Impium autem est deos novos, falsos, non naturales adorare : *Non erit*, inquit, *tibi deus recens* [1]. Et Paulus : *Sed tunc*, inquit, *ignorantes Deum, serviebatis illis qui natura dii non sunt* [2].

Ex eodem.

Si unigenitus est Filius, propterea quod solus a solo factus est, cur magis proprie unicreatus non dicitur ? Quando non vere creatum illum Eunomius affirmat, et falso genitum appellari ?

Ex eodem.

Si Patri similis est Filius, non natura tamen, figura igitur, aut actione. Figura similis dici non potest. Nam res quæ non habent corpus, figuram non habent. Sin actione, non est commutabilis. Talis enim illum egit, qualis ipse est. Siquidem a Patre factus est, non autem genitus. Quanquam etiam dictum est antea, id, quod est actione simile, essentia item esse simile.

Ex eodem.

Si Dei opera, ut David ait [3], in fide, non autem in demonstratione consistunt, quanto magis generatio Filii, quæ est ante sæcula, fide, non autem demonstratione percipitur ?

Ex eodem.

Si ex nihilo Deus Filium fecit, et Filius ex nihilo fecit omnia, eadem est virtus et actio eorum, qui quod volunt, ex nihilo creare queunt, cum nulla sit inter illa quæ creantur, differentia. Quandoquidem et in rerum universitate licet multiplex varietas sit, non varii tamen sunt conditores, sed unus, nempe Filius, per quem omnia facta sunt. At quorum una virtus et actio est, eorum, ut diximus, una est etiam essentia atque natura.

Ex eodem.

Si fides in Filium nostra est opus Dei : *Hoc enim*, inquit, *est opus Dei, ut credatis in eum, quem ille misit* [4], Filius esse non potest opus Dei. Neque enim idem est fides in Filium, et ipse Filius.

Ex eodem.

Si Filius, quatenus est Deus, subjicitur Patri, initio subjectus fuit, nimirum ex quo Deus est. Quod

ἁπλῶς ταυτὸν καὶ τὸ σώζειν αὐτὸν καὶ ἀπολλύειν, καὶ ζωογονεῖν, καὶ ἀποκτείνειν. Εἰ δὲ τοῦτο, ταυτὸν ἄρα σωτηρία καὶ ἀπώλεια, καὶ ζωὴ καὶ θάνατος.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ Χριστὸς Θεοῦ δύναμις, καὶ σοφία, ταῦτα δὲ ἄκτιστα, καὶ συναΐδια Θεῷ· οὐ γὰρ ἦν ποτε ἄσοφος καὶ ἀδύναμος· ἄκτιστος καὶ συναΐδιος ὁ Χριστὸς τῷ Θεῷ. Εἰ δὲ καθὸ ἐνέργεια, δύναμις καὶ σοφία Θεοῦ λέγεται, καὶ ἡμεῖς δύναμις καὶ σοφία Χριστοῦ λεγοίμεθα ἄν, ὡς αὐτὸς Θεοῦ. Ἀλλ' ἄτοπον.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ μὴ ἀΐδιος Θεὸς ὁ Υἱὸς, ἐξ ἀνάγκης πρόσφατος. Εἰ μὴ ἀληθινὸς, ψευδής. Εἰ μὴ φύσει, θέσει. Ἀπόδων δὲ προσφάτοις, καὶ ψευδέσι, καὶ μὴ φύσει λατρεύειν. *Οὐκ ἔσται γάρ σοι*, φησὶ, *Θεὸς πρόσφατος*. Καὶ ὁ Παῦλος, *Ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν ἐδουλεύσατε τοῖς μὴ φύσει οὖσι θεοῖς.*

Ἐκ τοῦ αὐτοῦ.

Εἰ μονογενὴς ὁ Υἱὸς διὰ τὸ μόνος ἐκ μόνου γεγεννῆσθαι, μονόκτιστος κυριώτερον ἂν λέγοιτο, κτίσμα μὴ ἀληθῶς κατ' Εὐνόμιον ὢν, γέννημα δὲ ψευδωνύμως καλούμενος.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ ὅμοιός ἐστιν ὁ Υἱὸς τῷ Πατρὶ, οὐ κατ' οὐσίαν δὲ, λείπεται ἢ κατὰ μορφὴν, ἢ κατ' ἐνέργειαν. Ἀλλὰ μορφὴν μὲν ἀδύνατον εἰπεῖν· οὐδὲν γὰρ ἀσώματον ἐν μορφῇ· εἰ δὲ κατ' ἐνέργειαν, οὐκ ἂν καὶ αὐτὸ ἀλλοῖόν τι, ἀλλὰ τοιοῦτον, οἷος αὐτός ἐστιν, ἐνήργησεν ἄν, εἴπερ ποίημα τοῦ Πατρὸς, καὶ οὐ γέννημα. Καὶ ἄλλως δὲ καὶ προείρηται τὸ κατ' ἐνέργειαν ὅμοιον ἐξ ἀνάγκης καὶ κατ' οὐσίαν ὅμοιον εἶναι.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ τὰ ἔργα τοῦ Θεοῦ ἐν πίστει, καὶ οὐκ ἐν ἀποδείξει κατὰ τὸν Δαβὶδ εἰπόντα, *Καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει*, πόσῳ μᾶλλον ἡ τοῦ Υἱοῦ πρὸ αἰώνων ἐκ Πατρὸς γέννησις ἐν πίστει, καὶ οὐκ ἐν ἀποδείξει;

Ἐκ τοῦ αὐτοῦ.

Εἰ ἐξ οὐκ ὄντων ὁ Θεὸς τὸν Υἱὸν ἐποίησε, καὶ ὁ Υἱὸς δὲ ἐξ οὐκ ὄντων τὰ πάντα, ἡ αὐτὴ δύναμις καὶ ἐνέργεια τῶν ἐξ οὐκ ὄντων ὃ βούλονται δημιουργεῖν δυναμένων, οὐδαμοῦ τῆς διαφορᾶς τῶν δημιουργουμένων σκοπουμένης. Ἐπεὶ καὶ τῆς κτίσεως ἐν πολλοῖς κατὰ πολλὰ διαφόρου τυγχανούσης, οὐ διάφοροι οἱ δημιουργοὶ, ἀλλ' εἷς Υἱὸς δι' οὗ τὰ πάντα ἐγένετο. Ὧν δὲ ἡ αὐτὴ ἐνέργεια καὶ δύναμις, τούτων, ὡς προείρηται, καὶ οὐσία καὶ φύσις ἡ αὐτή.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ ἡ πίστις ἡμῶν ἡ εἰς τὸν Υἱὸν ἔργον ἐστὶ τοῦ Θεοῦ· *Τοῦτο γάρ ἐστι*, φησὶ, *τὸ ἔργον τοῦ Θεοῦ, εἰς ὃν ἀπέστειλεν ἐκεῖνος, ἵνα πιστεύσητε*· αὐτὸς ἔργον οὐ δύναται εἶναι Θεοῦ. Οὐ ταυτὸν γὰρ ἡ εἰς αὐτὸν πίστις, καὶ αὐτός.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ θελκῶς ὁ Υἱὸς τῷ Πατρὶ ὑποταγήσεται, ἐξ ἀρχῆς ἂν ὑποτέτακτο, ἐξ οὗ καὶ Θεὸς ἦν. Εἰ δὲ οὐχ

[1] Psal. LXXX, 10. [2] Galat. IV, 6. [3] Psal. XXXII, 9. [4] Joan. VI, 29.

ὑποτέτακτο, ἀλλ' ὕστερον ὑποταγήσεται, ἀνθρωπί- A νως ὑπὲρ ἡμῶν, καὶ οὐ θεϊκῶς ὑπὲρ ἑαυτοῦ.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ μετὰ τὴν ἐνανθρώπησιν διὰ τὴν ὑπακοὴν τὸ ὑπὲρ πᾶν ὄνομα τῷ Υἱῷ Θεῷ ὄντι ὁ Πατὴρ ἐχαρίσατο, καὶ πᾶσα γλῶσσα ἐξωμολογήσατο Κύριον, πρὸ τῆς ἐνανθρωπήσεως οὔτε τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα εἶχεν, οὔτε παρὰ πάντων τὴν ὁμολογίαν τοῦ εἶναι Κύριος. Μείζων οὖν ἐγένετο μετὰ τὴν ἐνανθρώπησιν, ἢ πρὸ τῆς ἐνανθρωπήσεως, ὅπερ ἄτοπον. Τοιοῦτον δέ ἐστι καὶ τὸ, *Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς*. Εἰς τὴν ἐνανθρώπησιν οὖν, καὶ οὐκ εἰς τὴν θεότητα ταῦτα νοεῖν δεῖ.

Ἐκ τοῦ αὐτοῦ.

B Εἰ δημιουργὸς τῶν ὅλων ὁ Υἱὸς, τὸν δὲ χρόνον τῆς κρίσεως οὐκ οἶδεν, ὃ ἐδημιούργησεν οὐκ οἶδεν. Οὐ γὰρ τὴν κρίσιν εἶπεν ἀγνοεῖν, ἀλλὰ τὸν χρόνον· καὶ πῶς οὐκ ἄτοπον,

Ἐκ τοῦ αὐτοῦ.

Εἰ τὴν γνῶσιν πάντων ὧν ὁ Πατὴρ ἔχει, ὁ Υἱὸς οὐκ ἔχει, ἐψεύσατο εἰπὼν, *Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι*· καὶ, *Καθὼς ὁ Πατὴρ γινώσκει με, κἀγὼ γινώσκω τὸν Πατέρα*. Εἰ δ' ἕτερον τὸ τὸν Πατέρα εἰδέναι, καὶ ἕτερον τὸ τὰ τοῦ Πατρὸς, μεῖζον δὲ τὸ εἰδέναι τὸν Πατέρα τοῦ τὰ αὐτοῦ εἰδέναι, καθ' ὅσον ἕκαστος αὐτὸς τῶν ἑαυτοῦ μείζων, τὸ μεῖζον ὁ Υἱὸς εἰδὼς, *Οὐδεὶς γὰρ*, φησὶν, *εἶδε τὸν Πατέρα εἰ μὴ ὁ Υἱός*, τὸ ἔλαττον οὐκ ᾔδει, ὅπερ ἀδύνατον. Διὰ τὸ μὴ συμφέρον οὖν τοῖς ἀνθρώποις C εἰδέναι τὸν καιρὸν τῆς κρίσεως ἀπεσιώπησεν. Ἡ μὲν γὰρ ἀεὶ προσδοκία θερμοτέρους περὶ τὴν εὐσέβειαν ἀπεργάζεται· ἡ δὲ τοῦ πολὺν τὸν μεταξὺ χρόνον ἔσεσθαι γνῶσις ὀλιγωροτέρους ἂν ἐποίησεν ἐλπίδι τοῦ καὶ ὕστερον μεταβαλλομένους δυνηθῆναι εὐαρεστῆσαι. Ἐπεὶ πῶς ὁ πάντα μέχρι τῆς ὥρας ἐκείνης εἰδὼς οὐχὶ κἀκείνην τὴν ὥραν ᾔδει; Μάτην δὲ ὁ Ἀπόστολος ἔλεγεν, *Ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας, καὶ τῆς γνώσεως οἱ ἀπόκρυφοι.*

Ἐκ τοῦ αὐτοῦ.

Εἰ διὰ τὸν Πατέρα ὁ Υἱὸς ζῇ, δι' ἕτερον, καὶ οὐ δι' ἑαυτὸν ζῇ. Ὁ δὲ δι' ἕτερον ζῶν αὐτοζωὴ εἶναι οὐ δύναται. Οὐδὲ γὰρ ὁ κατὰ χάριν ἅγιος αὐτοάγιος. Ἐψεύσατο οὖν ὁ Υἱὸς εἰπὼν, *Ἐγώ εἰμι ἡ* D *ζωή*· καὶ πάλιν, *Οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ*. Εἰς τὴν ἐνανθρώπησιν οὖν, καὶ οὐκ εἰς τὴν θεότητα τὸ εἰρημένον δεῖ νοεῖν.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ ἄμπελος, φασὶν, ὁ Σωτὴρ, κλήματα δὲ ἡμεῖς, γεωργὸς δὲ ὁ Πατὴρ, τὰ δὲ κλήματα ὁμοφυῆ μὲν τῇ ἀμπέλῳ, ἡ δὲ ἄμπελος οὐχ ὁμοφυὴς τῷ γεωργῷ, ὁμοφυὴς μὲν ἡμῖν ὁ Υἱὸς, καὶ μέρος ἡμεῖς αὐτοῦ, οὐχ ὁμοφυὴς δὲ τῷ Πατρὶ, ἀλλὰ κατὰ πάντα ἀλλότριος. Πρὸς οὓς ἐροῦμεν· Οὐ τῆς θεότητος αὐτοῦ, ἀλλὰ τῆς σαρκὸς εἴρηκεν ἡμᾶς κλήματα. Κατὰ

si subjectus non fuit, sed subjicietur, ut homo subjicietur pro nobis, non autem ut Deus pro se.

Ex eodem.

Si Pater Filio Deo, posteaquam factus est homo, propter quod obediens fuit, donavit nomen super omne nomen, ut omnis lingua Dominum confiteretur, antequam homo fieret, non habebat nomen super omne nomen [1], neque illum omnes Dominum confitebantur. Major igitur evasit postquam homo factus est, quam erat priusquam homo fieret. Quod absurdum est. Idem argumentum sumi potest ex illis verbis : *Data est mihi omnis potestas in cœlo et in terra* [2]. Quamobrem hæc ad humanitatem ejus, non autem ad divinitatem referenda sunt.

Ex eodem.

Si mundi conditor est Filius, et tempus judicii ignorat, quod a se conditum est, ignorat. Neque enim negavit se judicium scire, sed tempus. Hoc absurdum est.

Ex eodem.

Si cognitionem omnium quæ Pater habet, non habet Filius, mentitus est, inquiens : *Omnia, quæ Pater habet, mea sunt* [3]. Et : *Quemadmodum cognoscit me Pater, sic ego cognosco Patrem* [4]. Sin aliud est, Patrem nosse, aliud nosse quæ Patris sunt, et majus est nosse Patrem, quam ea quæ sunt ipsius, cum unusquisque major ipse sit, quam ea quæ sunt ipsius : quod majus est noscens Filius, *Nullus* enim, inquit, *novit Patrem nisi Filius* [5], id quod minus est ignoravit. Hoc autem fieri non potest. Reticuit igitur, quoniam hominibus judicii tempus scire non expediebat. Nam assidua exspectatio illos ad pietatem excolendam promptiores reddit. Quod si longum temporis spatium intercessurum cognovissent, negligentiores effecti essent, sperantes fore, ut post etiam, si resipiscerent, placerent. Nam qui fieri potest, ut eum illa hora lateat, qui usque ad ipsam horam novit omnia? Frustra præterea dixisset Apostolus : *In quo sunt omnes thesauri sapientiæ et cognitionis reconditi* [6].

Ex eodem.

Si propter Patrem Filius vivit, per alium, non per se vivit. Qui autem per alium vivit, non est ipsa vita : nam et qui per alium sanctus est, non est ipsa sanctitas. Mentitus est igitur Filius, *Ego*, inquiens, *sum vita* [7]; et : *Sic et Filius quos vult, vivificat* [8]. Quare dictum illud non ad divinitatem pertinet, sed ad humanitatem.

Ex eodem.

Si vitis est, inquiunt, Servator, nos autem palmites, Pater autem agricola [9], palmites autem viti natura conjuncti sunt, vitis autem agricolæ naturaliter non est conjuncta, Filius natura nobiscum conjunctus est, non autem ejusdem est naturæ cum Patre, sed ab eo penitus alienus. Respondemus, Dominum non divinitatis, sed carnis suæ nos palmi-

[1] Philipp. II, 9. [2] Matth. XXV, 18. [3] Joan. XVI, 15. [4] Ibid. [5] Matth. X, 27. [6] Coloss. II, 3. [7] Joan. XIV, 6. [8] Joan. V, 21. [9] Joan. XV, 1, 5.

tes esse dixisse. Quemadmodum Apostolus : *Nos*, A inquit, *sumus corpus Christi, et membra ex parte* [1]. Et alibi : *Nescitis*, inquit, *corpora vestra esse Christi membra* [2]? Et alio loco : *Qualis*, inquit, *terrenus, tales et terreni; et qualis cœlestis, tales et cœlestes*. Et : *Sicut portavimus imaginem terreni, portemus et imaginem cœlestis* [3].

Ex eodem.

Si Filius de se ipso loquebatur, *Pater*, inquiens, *si fieri potest, transeat a me calix iste* [4], non modo timorem et imbecillitatem suam declarabat, sed aliquid etiam a Patre fieri non posse arbitrabatur. Nam illa verba : *Si fieri potest*, ambigentis sunt. Non igitur pro se ipso ita loquens postulabat, sed pro illis qui ipsum erant occisuri, ne tantum scelus B admitterent, pro quibus etiam in crucem sublatus orabat : *Pater*, inquiens, *dimitte illis* [5].

Ex eodem.

Si hominis caput est Christus, et Christi caput est Deus [6], homo autem non est ejusdem essentiæ cum Deo, neque enim Deus est, Christus autem est ejusdem essentiæ cum Deo, nempe Deus, non eodem modo caput hominis Christus est, quo Deus est Christi. Natura enim creata et divinitas in unum non concurrunt. Ergo Deus, ut Pater, est Christi caput, Christus autem, ut effector, caput est hominis.

Ex eodem.

Si ut Deus, non autem ut homo petebat : *Clarifi-* C *ca me*, inquiens, *Pater* [7], non habebat id quod postulabat. Et evangelista, qui, *Vidimus*, inquit, *gloriam ejus* [8], mentitur; et Apostolus, *Dominum*, inquiens, *gloriæ non crucifixissent* [9]; et David, *Et introibit*, inquiens, *Rex gloriæ* [10]. Non petebat igitur accessionem gloriæ, sed humanæ salutis consilium patefieri.

Ex eodem.

Si gloriam, quam habebat antequam mundus fieret, vere flagitabat a Patre, illam amissam flagitabat : neque enim id quod habebat, flagitasset. Quod si ita est, non gloriam solum, sed divinitatem amiserat. Gloria enim a divinitate sejungi non potest. Ergo, ut Photinus sentiebat, erat homo purus. Constat igitur hæc ad humanitatem ejus, non D autem ad divinitatem referri.

Ex eodem.

Si ex eo quod primogenitus creaturæ dictus est [11], colligitur eum primum creatum esse, Apostolus, qui dixit, per ipsum et in ipsum creata esse omnia, dicere debuit, et ipsum ante omnia creatum fuisse [12]. Nunc autem dixit : *Et ipse est ante omnia* [13]. Ex quo declaravit, et illum semper esse, et rerum universitatem esse factam. Illud enim est consonat illis verbis : *In principio erat Verbum.*

δὲ τὸν Ἀπόστολον εἰπόντα, *Ἡμεῖς δέ ἐσμεν σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους*. Καὶ πάλιν, *Οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ ἐστι;* καὶ ἐν ἄλλοις, *Οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί, καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. Καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου.*

Ἐκ τοῦ αὐτοῦ.

Εἰ περὶ ἑαυτοῦ ὁ Υἱὸς ἔλεγε, *Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο*, οὐ μόνον ἑαυτοῦ δειλίαν καὶ ἀσθένειαν κατηγορεῖ, ἀλλ' εἶναί τι καὶ ἀδύνατον τῷ Πατρὶ ἐνόμιζε. Τὸ γὰρ *εἰ δυνατὸν* ἀμφιβάλλοντος ἦν. Οὐχ ὑπὲρ ἑαυτοῦ οὖν ᾐτεῖτο τοῦτο λέγων, ἀλλ' ὑπὲρ τῶν μελλόντων ἀνελεῖν αὐτόν, ἵνα μὴ οὕτως ἁμάρτωσιν, ὑπὲρ ὧν αὖθις ᾐτεῖτο καὶ σταυρωθείς, *Πάτερ*, λέγων, *ἄφες αὐτοῖς*.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ ἀνδρὸς κεφαλὴ ὁ Χριστός, κεφαλὴ δὲ Χριστοῦ ὁ Θεός, ἄνθρωπος δὲ τῷ Θεῷ οὐχ ὁμοούσιος· οὐ γὰρ Θεός, Χριστὸς δὲ τῷ Θεῷ ὁμοούσιος· Θεὸς γάρ· οὐκ ἄρα ὡς ἀνδρὸς κεφαλὴ Χριστός, οὕτω καὶ Θεὸς Χριστοῦ. Ἡ γὰρ κτιστὴ φύσις καὶ ἡ ἄκτιστος θεότης εἰς ἓν καὶ ταυτὸν οὐ συμβαίνουσιν. Οὐκοῦν ὁ μὲν ὡς Πατὴρ κεφαλὴ Χριστοῦ, ὁ δὲ ὡς ποιητὴς κεφαλὴ ἡμῶν.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ δοξασθῆναι παρὰ τοῦ Πατρὸς αἰτῶν ὁ Υἱός, θεϊκῶς, καὶ οὐκ ἀνθρωπίνως ᾔτει, ὃ οὐκ εἶχεν ᾔτει, καὶ ψεύδεται ὁ Εὐαγγελιστὴς εἰπών, *Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ*· καὶ ὁ Ἀπόστολος, *Οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν*· καὶ ὁ Δαβίδ, *Καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης*. Οὐ προσθήκην οὖν δόξης αἰτεῖ, ἀλλὰ τῆς οἰκονομίας τὴν φανέρωσιν γενέσθαι.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ τὴν δόξαν ἣν εἶχε πρὸ τοῦ τὸν κόσμον γενέσθαι ἀληθῶς παρὰ τοῦ Πατρὸς ᾔτει, οὐκ ἂν ὃ εἶχε λαβεῖν ἐπεζήτει. Εἰ δὲ τοῦτο, οὐ τὴν δόξαν ἀποβεβλήκει μόνον, ἀλλὰ καὶ τὴν θεότητα. Ἀχώριστος γὰρ ἡ δόξα τῆς θεότητος. Ψιλὸς οὖν κατὰ Φωτεινὸν ἦν ἄνθρωπος ἄρα. Φαίνεται οὖν τὰ τοιαῦτα κατ' οἰκονομίαν τὴν τῆς ἀνθρωπότητος, οὐ κατ' ἔλλειψιν τῆς θεότητος εἰρηκώς.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ τὸ πρωτότοκον εἰρῆσθαι τῆς κτίσεως πρῶτον ἐκτίσθαι δείκνυσιν ὁ Ἀπόστολος εἰπών, *Πάντα δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται*, ὤφειλεν εἰπεῖν, Καὶ αὐτὸς ἐγένετο πρὸ πάντων. Εἰπὼν δέ, *Καὶ αὐτός ἐστι πρὸ πάντων*, ἔδειξε τὸν μὲν ἀεὶ ὄντα, τὴν δὲ κτίσιν γενομένην. Τὸ γὰρ ἔστι τῷ, *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*, συνᾴδει.

[1] I Cor. XII, 27. [2] Cor. VI, 15. [3] I Cor. XV, 48, 49. [4] Matth. XXVI, 39. [5] Luc. XXIII, 34. [6] I Cor. XI, 3. [7] Joan. XVII, 1. [8] Joan. I, 14. [9] I Cor. II, 8. [10] Psal. XXIII, 9. [11] Coloss. I, 15. [12] ibid. 16. [13] ibid. 17.

'Εκ τοῦ αὐτοῦ.

A Εἰ πρωτότοκος, φασὶν, ὁ Υἱὸς, οὐκ ἔστι μονογενής, ἀλλ' ὀφείλει καὶ ἄλλος εἶναι οὗ πρωτότοκος λέγεται. Καίτοι γε, ὦ σοφὲ, καὶ ἐκ Μαρίας τῆς παρθένου μόνος γεννηθεὶς πρωτότοκος αὐτῆς εἴρηται. *Ἕως οὗ γὰρ ἔτεκε*, φησὶ, *τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον*. Ὥστε οὐκ ἀνάγκη ἀδελφοῦ πρωτότοκον λέγεσθαι. Λεχθείη ἂν, ὅτι καὶ ὁ πρὸ πάσης γεννήσεως πρωτότοκος ἐλέγετο. Ἔτι δὲ καὶ πρὸς τοὺς διὰ υἱοθεσίας τοῦ ἁγίου Πνεύματος ἐκ Θεοῦ γεννωμένους, ὡς Παῦλός φησιν, ὅτι *Οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς.*

'Εκ τοῦ αὐτοῦ.

B Εἰ ὁ ἐν σαρκὶ φησιν, *Ἐγώ εἰμι ἡ ὁδὸς*, καὶ ὁ αὐτὸς, *Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ δι' ἐμοῦ*, αὐτός ἐστι καὶ ὁ εἰπὼν, *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ*· λέγεται δὲ καὶ ἐπὶ γεννήματος κτίσμα καὶ ποίημα, ὡς τὸ, *Ἐκτισάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ*· καὶ πάλιν, *Ἐποίησεν υἱοὺς καὶ θυγατέρας*· καὶ ὁ Δαβὶδ, *Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς*, οὐκ ἄλλην αἰτῶν, ἀλλὰ τὴν οὖσαν καθαρθῆναι δηλονότι. Εἴρηται δὲ καὶ καινὴ κτίσις, οὐχ ὡς ἄλλης κτίσεως γενομένης, ἀλλὰ τῶν φωτιζομένων ἐπὶ βελτίοσιν ἔργοις κατασκευαζομένων.

'Εκ τοῦ αὐτοῦ.

C Εἰς [*f.* εἰ εἰς] ἔργα τὸν Υἱὸν ὁ Πατὴρ ἔκτισε· τὸ δὲ δι' ἕτερον, καὶ οὐ δι' ἑαυτὸ γινόμενον ἢ μέρος ἐκείνου δι' ὃ ἐγένετο, ἢ ἧττον αὐτοῦ· ἔσται ἢ μέρος ὁ Σωτὴρ τῆς κτίσεως, ἢ ἥττων αὐτῆς. Ἀνάγκη οὖν εἰς τὴν ἀνθρωπότητα αὐτοῦ τοῦτο νοεῖν. Εἴποι δ' ἄν τις καὶ τὸν Σολομῶντα περὶ τῆς σοφίας ἐκείνης εἰρηκέναι, ἧς καὶ ὁ Παῦλος μέμνηται εἰπὼν, *Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεόν.* Ἄλλως τε καὶ οὐδὲ προφήτης ὁ εἰπὼν, ἀλλὰ παροιμιαστής· αἱ δὲ παροιμίαι εἰκόνες ἑτέρων, καὶ οὐκ αὐτὰ τὰ λεγόμενα.

'Εκ τοῦ αὐτοῦ.

D Εἰ ὁ Θεοῦ Υἱὸς ἦν ὁ λέγων, *Κύριος ἔκτισέ με*, μᾶλλον ἂν εἶπεν, Ὁ Πατὴρ ἔκτισέ με. Οὐδαμοῦ γὰρ αὐτὸν Κύριον ἑαυτοῦ, ἀεὶ δὲ Πατέρα ἐκάλει. Ληπτέον οὖν τὸ μὲν *ἐγέννησεν* ἐπὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τὸ δὲ *ἔκτισεν* ἐπὶ τῆς μορφῆς τοῦ δούλου. Ἐν πᾶσι δὲ τούτοις οὐ δύο λέγομεν, Θεὸν ἰδίᾳ, καὶ ἄνθρωπον ἰδίᾳ, εἷς γὰρ ἦν, ἀλλὰ κατ' ἐπίνοιαν τὴν ἑκάστου φύσιν λογιζόμενοι. Οὐδὲ γὰρ ὁ Πέτρος δύο ἐνόησεν εἰπὼν, *Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί.*

'Εκ τοῦ αὐτοῦ.

Εἰ γέννημα, φασὶν, ὁ Υἱός ἐστι, καὶ οὐ ποίημα, πῶς ἡ Γραφὴ λέγει, *Ἀσφαλῶς γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ, ὅτι Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε*; Ῥητέον οὖν καὶ ἐνταῦθα περὶ τοῦ ἐκ

Ex eodem.

Si primogenitus, inquiunt, Filius, non est unigenitus, sed est alius propter quem dicitur primogenitus. Atqui, o sapientes viri, cum solus etiam ex Maria genitus sit, dictus est ejus primogenitus. *Donec*, inquit, *peperit Filium suum primogenitum* [1]. Ex quo apparet, non esse fratrem necessarium, ut quis primogenitus dicatur. Responderi etiam potest, quod ante omnium ortum primogenitus dicebatur. Præterea primogenitus appellatus est propter eos qui per Spiritus sancti adoptionem ex Deo geniti sunt: *Quos*, ut ait Paulus, *præscivit, et prædestinavit, conformes fieri imaginis Filii sui, ut sit ipse primogenitus in multis fratribus* [2].

Ex eodem.

Si in carne degens dixit: *Ego sum via* [3], et: *Nemo venit ad Patrem nisi per me* [4], idem etiam dixit: *Dominus creavit me initium viarum suarum* [5]. Porro etiam de filio dicitur, creari et fieri, ut ibi: *Creavi hominem per Deum* [6]; et rursum: *Fecit filios et filias.* Et David: *Cor mundum*, inquit, *crea in me, Deus* [7], nil aliud petens, nisi ut quod jam erat, cor mundum purumque fieret. Dicta est etiam nova creatura, non quod alia facta esset creatura, sed habita eorum ratione, qui ad recte pieque vivendum illustrantur.

Ex eodem.

Si Filium ad opera creavit Pater: qui autem propter aliud, non autem propter se fit, aut pars est ejus, aut minor est eo, cujus causa fit: Filius aut creaturæ pars est, aut ea minor. Necesse est igitur, ut ad ejus humanitatem illa verba referamus. Dixerit aliquis, Salomonem eo loco sapientiam illam intellexisse, cujus mentionem fecit Paulus: *Quoniam*, inquiens, *in sapientia Dei non cognovit mundus per sapientiam Deum* [8]. Quanquam ne propheta quidem fuit, qui ita locutus est, sed proverbiorum scriptor. Proverbia autem sunt rerum imagines, non ipsæ res.

Ex eodem.

Si Dei Filius erat, qui dixit: *Dominus creavit me*, dixisset potius: Pater creavit me. Nunquam enim illum Dominum suum, sed Patrem semper appellat. Reliquum igitur est, ut de Filio dictum illud *genuit* accipiamus, de servi autem forma illud *creavit*. In omnibus autem ejusmodi Scripturæ locis non duo sic accipimus, ut Deum per se, et per se hominem intelligamus, unus enim est. Sed cogitatione separatam utriusque naturam colligimus. Etenim ne Petrus quidem duo intelligebat, cum diceret: *Christo igitur pro nobis passo carne* [9].

Ex eodem.

Si genitus, inquiunt, est Filius, non autem factus, cur scriptum est ad hunc modum: *Certissime sciat omnis domus Israel, quod et Dominum ipsum et Christum Deus fecit* [10]? Et hic igitur dicendum

[1] Matth. I, 25. [2] Rom. VIII, 29. [3] Joan. XIV, [4] ibid. [5] Prov. VIII, 32. [6] Gen. IV, 1. [7] Psal. L, 12. [8] I Cor. I, 21. [9] I Petr. IV, 1. [10] Act. II, 36.

est, hæc verba de illo intelligi, quatenus ex Maria natus est, et ad humanitatem illius pertinere. Quemadmodum et angelus pastoribus bonum illud nuntium ferens: *Natus est*, inquit, *vobis hodie Servator* [1], *qui est Christus Dominus*. Ea namque vox, *hodie*, ad eum, ut est ante sæcula, referri non potest. Hoc autem clarius patet ex verbis illis, quæ deinceps sequuntur: *Hunc ipsum, quem vos crucifixistis* [2].

Ex eodem.

Si cum natus est Filius, tunc sapientia factus est, falsum est illud: *Christus Dei virtus et Dei sapientia*. Nam Dei sapientia non est facta, sed semper fuit. Quanquam fieri de Patre etiam dicitur. David enim: *Fias*, inquit, *mihi in Deum protectorem* [3]. Et Paulus: *Fiat*, inquit, *Deus verax, omnis autem homo mendax* [4]. Sic etiam Dominus factus est nobis a Deo sapientia, et sanctitas, et redemptio. Si Pater igitur factus protector et verax, non est res creata aut facta, nec Filius, factus sapientia et sanctitas, res creata factave intelligitur.

Ex eodem.

Si verum est illud: *Unus Deus Pater* [5], verum est et illud: *Unus Dominus Jesus Christus Servator* [6]. Neque igitur, ut isti sentiunt, Servator est Deus, neque Pater est Dominus, ut frustra dictum sit: *Dixit Dominus Domino meo* [7], et id sit falsum: *Propterea unxit te Deus Deus tuus* [8], et illud: *Pluit Dominus a Domino* [9], et illud: *Fecit Deus hominem ad imaginem Dei* [10]. Et illud: *Ecquis Deus præter Dominum? Ecquis Deus præter Deum nostrum* [11]? et illud Joannis: *Et Verbum erat apud Deum, et Deus erat Verbum* [12]. Et illud Thomæ de Filio: *Dominus meus, et Deus meus* [13]. Quamobrem inter res procreatas, falsosque deos, et qui improprie dicuntur dii differentiæ sunt excogitandæ, non inter Patrem et Filium, qui verus dicitur, ut a falsis sejungatur. Cum illo autem nihil comparatur, quia ante omnia est, et omnibus antecellit.

Ejusdem ex Epistola ad Maximum philosophum.

Ego, si dicendum est quod sentio, vocem illam ὅμοιον, hoc est, *simile*, si ita accipiatur, ut nullam admittat diversitatem, probandam suscipiendamque censeo. In idem enim cum altera illa voce, ὁμοούσιον, si sana illius sententia capiatur, ut ejusdem essentiæ seu consubstantiale significet, concurrit, quemadmodum Patres Nicææ congregati lumen de lumine et Deum verum de Deo vero intelligentes ὁμοούσιον induxerunt. Neque igitur inter lumen et lumen neque inter veritatem et veritatem, neque inter Unigeniti et Patris essentiam, discrimen ullum cogitari potest. Si quis, inquam, hoc sensu vocem illam ὅμοιον, hoc est *similem*, accipiat, eam approbo. Si quis autem non omnem ab illa diversitatem abjungit, ut illi qui Constantinopoli coacti sunt, vocem suspectam existimo, utpote qua Uni-

A Μαρίας τὸ κατὰ σάρκα εἰρῆσθαι. Ὥσπερ οὖν καὶ ὁ ἄγγελος εὐαγγελιζόμενος τοὺς ποιμένας λέγει, ὅτι *Ἐτέχθη ὑμῖν σήμερον Σωτὴρ, ὅς ἐστι Χριστὸς Κύριος*. Τὸ γὰρ *σήμερον* οὐκ ἂν περὶ τοῦ πρὸ αἰώνων νομισθείη. Σαφέστερον δὲ τὸ ἑξῆς δείκνυσι λέγων, *Τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε.*

Ἐκ τοῦ αὐτοῦ.

Εἰ ὅτε ἐγεννήθη ὁ Υἱὸς, τότε σοφία ἐγένετο, ψευδὲς τὸ, *Χριστὸς Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία*. Ἡ γὰρ τοῦ Θεοῦ σοφία οὐκ ἐγένετο, ἀλλ' ἦν ἀεί. Τὸ γίνεσθαι οὖν καὶ ἐπὶ τοῦ Πατρὸς λεγόμενόν ἐστι παρὰ Δαβὶδ, *Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν*. Καὶ ὁ Παῦλος, *Γενέσθω δὲ ὁ Θεὸς ἀληθής· πᾶς*
B *δὲ ἄνθρωπος ψεύστης*. Οὕτω καὶ ὁ Κύριος ἐγενήθη ἡμῖν ἀπὸ Θεοῦ σοφία, καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις. Εἰ οὖν ὁ Πατὴρ γενόμενος ὑπερασπιστὴς καὶ ἀληθὴς, οὐ ποίημα, καὶ ὁ Υἱὸς, γενόμενος σοφία καὶ ἁγιασμὸς, οὐ ποίημα.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ ἀληθὲς τὸ, *Εἷς Θεὸς ὁ Πατὴρ*, ἀληθὲς δηλονότι καὶ τὸ *Εἷς Κύριος Ἰησοῦς Χριστὸς ὁ Σωτήρ*. Οὔτε οὖν Θεὸς ὁ Σωτὴρ κατ' αὐτοὺς, οὔτε ὁ Πατὴρ Κύριος, καὶ μάτην τὸ, *Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου*. Ψευδὲς δὲ καὶ τὸ, *Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου*, καὶ τὸ, *Ἔβρεξε Κύριος παρὰ Κυρίου*, καὶ τὸ *Ἐποίησεν ὁ Θεὸς κατ' εἰκόνα Θεοῦ τὸν ἄνθρωπον*, καὶ, *Τίς Θεὸς παρὲξ τοῦ Κυρίου;* καὶ, *Τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν;* Καὶ ὁ Ἰωάννης,
C *Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος*· καὶ ὁ Θωμᾶς ἐπὶ τοῦ Υἱοῦ, *Ὁ Κύριός μου, καὶ ὁ Θεός μου*. Πρὸς τὰ κτίσματα οὖν, καὶ τοὺς ψευδῶς θεοὺς καὶ οὐ κυρίως εἰρημένους νοεῖν τὰς ἀντιδιαστολὰς δεῖ, οὐχ εἰς τὸν Πατέρα καὶ τὸν Υἱόν. Ὁ ἀληθινὸς πρὸς τοὺς ψευδεῖς ἀντιδιαστελλόμενος λέγεται· ὁ δὲ ἀσύγκριτος πρὸς πάντα κατὰ πάντα ὑπερέχων.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Μάξιμον τὸν φιλόσοφον ἐπιστολῆς.

Ἐγὼ δὲ, εἰ χρὴ τοὐμὸν ἴδιον εἰπεῖν, τὸ ὅμοιον κατ' οὐσίαν, εἰ μὲν προσκείμενον ἔχει τὸ ἀπαραλλάκτως, δέχομαι τὴν φωνὴν, ὡς εἰς ταυτὸν τῷ ὁμοουσίῳ φέρουσαν, κατὰ τὴν ὑγιᾶ δηλονότι τοῦ ὁμοουσίου διάνοιαν, ὅπερ καὶ οἱ ἐν Νικαίᾳ νοήσαντες, φῶς ἐκ
D φωτὸς, καὶ Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, καὶ τὰ τοιαῦτα τὸν Μονογενῆ προσειπόντες, ἐπήγαγον ἀκολούθως τὸ ὁμοούσιον. Οὔτε οὖν φωτὸς πρὸς φῶς, οὔτε ἀληθείας πρὸς ἀλήθειάν ποτε, οὔτε τῆς τοῦ Μονογενοῦς οὐσίας πρὸς τὴν τοῦ Πατρὸς ἐπινοῆσαί τινα παραλλαγὴν δυνατόν. Εἴ τις οὖν οὕτως, ὡς εἶπον, ἐκδέχοιτο, προσίεμαι τὴν φωνήν. Εἰ δέ τις τοῦ ὁμοίου τὸ ἀπαράλλακτον ἀποτέμνει, ὅπερ οἱ κατὰ τὴν Κωνσταντινούπολιν πεποιήκασιν, ὑποπτεύω τὸ ῥῆμα, ὡς τοῦ Μονογενοῦς τὴν δόξαν κατασμικρῦνον. Καὶ γὰρ καὶ ἀμυδραῖς ἐμφερείαις, καὶ πλεῖστον τῶν

[1] Luc. II, 11. [2] Act. II, 36. [3] I Cor. I, 24. [4] Psal. XXX, 3. [5] Rom. III, 4. [6] I Cor. VIII, 6. [7] Psal. CX, 1. [8] Psal. XLIV, 8. [9] Gen. XIX, 24. [10] Gen. V, 1. [11] Psal. XVII, 32. [12] Joan. I, 1. [13] Joan. XX, 28.

ἀρχετύπων ἀποδεούσαις τὸ ὅμοιον πολλάκις ἐπιλέγειν εἰώθαμεν. Ἐπεὶ οὖν ἧττον οἶμαι κακουργεῖσθαι τὸ ὁμοούσιον, οὕτω καὶ αὐτὸς τίθεμαι.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς κανονικοὺς ἐπιστολῆς.

Ἐν ἀμφοτέροις ἡμῖν τὸ τῆς πίστεως φρόνημα, ἐπειδὴ καὶ τῶν αὐτῶν Πατέρων ἐσμὲν κληρονόμοι τῶν κατὰ τὴν Νίκαιάν ποτε τὸ μέγα τῆς εὐσεβείας ἐξαγγειλάντων κήρυγμα, οὗ τὰ μὲν ἄλλα παντάπασιν ἐστιν ἀσυκοφάντητα, τὴν δὲ τοῦ ὁμοουσίου φωνὴν κακῶς παρά τινων ἐκληφθεῖσάν εἰσί τινες οἱ μήπω παραδεξάμενοι, οὓς καὶ μέμψαιτ' ἄν τις δικαίως, καὶ πάλιν μέν τις συγγνώμης αὐτοὺς ἀξιώσειεν. Τὸ μὲν γὰρ Πατράσι μὴ ἀκολουθεῖν, καὶ τὴν ἐκείνων φωνὴν κυριωτέραν τίθε- B σθαι τῆς ἑαυτῶν γνώμης, ἐγκλήματος ἄξιον, ὡς αὐθαδείας γέμον· τὸ δὲ πάλιν ὑφ' ἑτέρων διαβληθεῖσαν αὐτὴν ὕποπτον ἔχειν, τοῦτό πως δοκεῖ τοῦ ἐγκλήματος αὐτοὺς μετρίως ἐλευθεροῦν. Καὶ γὰρ τῷ ὄντι, οἱ ἐπὶ Παύλῳ τῷ Σαμοσατεῖ συνελθόντες, διέβαλον τὴν λέξιν ὡς οὐκ εὔηχον. Ἔφασαν γὰρ ἐκεῖνοι τὴν τοῦ ὁμοουσίου φωνὴν παριστᾷν ἔννοιαν οὐσίας τε καὶ τῶν ἀπ' αὐτῆς· ὥστε καταμερισθεῖσαν τὴν οὐσίαν παρέχειν τοῦ ὁμοουσίου τὴν προσηγορίαν τοῖς εἰς ἃ διῃρέθη. Τοῦτο δὲ ἐπὶ χαλκοῦ μὲν καὶ τῶν ἀπ' αὐτοῦ νομισμάτων ἔχει τινὰ λόγον τὸ διανόημα· ἐπὶ δὲ Θεοῦ Πατρὸς καὶ Θεοῦ Υἱοῦ οὐκ οὐσία πρεσβυτέρα, οὐδ' ὑπερκειμένη ἀμφοῖν θεωρεῖται· ἀσεβείας γὰρ ἐπέκεινα τοῦτο καὶ νοῆσαι C καὶ φθέγξασθαι. Τί γὰρ ἂν γένοιτο τοῦ ἀγεννήτου πρεσβύτερον; Ἀναιρεῖται δὲ ἐκ τῆς βλασφημίας ταύτης καὶ ἡ εἰς τὸν Πατέρα καὶ Υἱὸν πίστις· ἀδελφὰ γὰρ ἀλλήλοις τὰ ἐξ ἑνὸς ὑφεστῶτα.

Καὶ ἐπειδὴ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παρῆχθαι τὸν Υἱὸν ἔτι τότε ἦσαν οἱ λέγοντες, ἵνα καὶ ταύτην ἐκτέμωσι τὴν ἀσέβειαν, τὸ ὁμοούσιον προσειρήκασιν. Ἄχρονος γὰρ καὶ ἀδιάστατος ἡ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα συνάφεια. Δηλοῖ δὲ καὶ τὰ προλαβόντα ῥήματα ταύτην εἶναι τῶν ἀνδρῶν τὴν διάνοιαν. Εἰπόντες γὰρ φῶς ἐκ φωτὸς, καὶ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱὸν γεγεννῆσθαι, οὐχὶ δὲ πεποιῆσθαι, ἐπήγαγον τούτοις τὸ ὁμοούσιον· παραδεικνύντες, ὅτι ὅνπερ ἄν τις ἀποδῷ φωτὸς λόγον ἐπὶ Πατρὸς, οὗτος ἁρμόσει καὶ ἐπὶ Υἱοῦ. Φῶς γὰρ ἀληθινὸν πρὸς φῶς ἀληθινὸν, κατ' αὐτὴν τοῦ φωτὸς τὴν ἔννοιαν, οὐδεμίαν ἕξει D παραλλαγήν. Ἐπεὶ οὖν ἐστιν ἄναρχον φῶς ὁ Πατὴρ, γεννητὸν δὲ φῶς ὁ Υἱὸς, φῶς δὲ καὶ φῶς ἑκάτερος, ὁμοούσιον εἶπαν δικαίως, ἵνα τὸ τῆς φύσεως ὁμότιμον παραστήσωσιν. Οὐ γὰρ τὰ ἀδελφὰ ἀλλήλοις ὁμοούσια λέγεται, ὅπερ τινὲς ὑπειλήφασιν· ἀλλ' ὅταν καὶ τὸ αἴτιον καὶ τὸ ἐκ τοῦ αἰτίου τὴν ὕπαρξιν ἔχον τῆς αὐτῆς ὑπάρχῃ φύσεως, ὁμοούσια λέγεται.

Αὕτη δὲ ἡ φωνὴ καὶ τὸ τοῦ Σαβελλίου κακὸν ἐπανορθοῦται· ἀναιρεῖ γὰρ τὴν ταυτότητα τῆς ὑποστάσεως, καὶ εἰσάγει τελείαν τῶν προσώπων τὴν ἔννοιαν. Οὐ γὰρ αὐτό τί ἐστιν ἑαυτῷ ὁμοούσιον, ἀλλ'

A geniti gloria imminuatur. Scimus enim verbum hoc, *similem*, solere in eas etiam res conferri, quæ tenuem et obscuram aliquam præ se ferunt similitudinem, licet ab exemplaribus plurimum distent. Quamobrem quoniam in hac voce, ὁμοούσιον, minus timenda fraus est, idcirco illam ego quoque magis amplector et probo.

Ejusdem ex epistola ad canonicos.

In utroque nobis de fide sententia: siquidem et eorumdem Patrum hæredes sumus, qui quondam Nicææ magnum pietatis præconium promulgarunt: cujus reliquæ quidem partes calumniæ nulli obnoxiæ sunt; sed vocem consubstantialis male a nonnullis acceptam, sunt qui nondum receperint: quos quis et jure reprehenderit, ac rursus venia dignos judicarit. Nam Patrum vestigiis non insistere, nec sua sententia vocem illorum potiorem ducere, res est reprehensione digna, ut plena arrogantiæ. Rursus autem vituperatam ab aliis vocem suspectam habere, videtur id quodam modo mediocrem illis excusationis veniam conciliare. Nam revera qui in Pauli Samosatensis causa convenerant, vocem hanc quasi male sonantem culparunt. Dixerunt enim consubstantialis voce exhiberi notionem substantiæ et eorum quæ ex substantia; adeo ut divisa substantia appellationem consubstantialis conciliet iis in quæ divisa est. Quæ quidem cogitatio locum aliquem habet in aere et in conflatis ex eo numismatibus: at in Deo Patre et in Deo Filio substantia non est antiquior, neque utrique superposita intelligitur: hoc enim cogitare, aut dicere, omnem impietatis modum excedit. Quid enim ingenito antiquius sit? Tollitur etiam hac blasphemia fides in Patrem et Filium: nam inter se fratrum rationem habent quæ ex uno subsistunt.

Et quia Filium ex nihilo productum adhuc tunc erant qui dicerent; ut hanc quoque præciderent impietatem, consubstantiale usurparunt. Nam sine tempore est et sine intervallo Filii cum Patre conjunctio. Demonstrant autem et superiora verba hanc illorum esse mentem. Postquam enim dixerunt lumen de lumine, atque Filium ex Patris substantia genitum esse, non vero factum; his consubstantiale subjunxerunt: indicantes, quam quis luminis rationem in Patre reddiderit, eam et Filio aptam et congruentem futuram: siquidem lumen verum cum vero lumine, secundum ipsam luminis notionem, dissimilitudinem nullam habebit. Cum igitur Pater lumen sit principii expers, Filius vero lumen genitum, ac uterque lumen et lumen, jure consubstantialem dixerunt, ut naturæ æqualem dignitatem demonstrarent. Non enim quæ fratrum inter se rationem habent, dicuntur consubstantialia, id quod quidam existimant; sed cum et causa, et id quod ex causa exsistentiam habet, ejusdem sunt naturæ, consubstantialia dicuntur.

Cæterum vox eadem Sabellii quoque pravitatem corrigit: tollit enim hypostasis identitatem, et perfectam personarum notionem inducit. Neque enim quidquam sibi ipsi consubstantiale est,

sed alterum alteri : quare præclare ac pie se habet illa vox, et hypostaseων proprietatem definiens, et naturæ sine ullo discrimine similitudinem demonstrans. Cum autem ex Patris substantia Filium esse dicimus, eumque genitum, non autem factum, ne prolabamur in corporales perpessionum cogitationes. Non enim divisa est substantia a Patre in Filium : neque fluendo dilapsa generavit, neque proferens, quemadmodum arbores fructus proferunt : sed inenarrabilis et indeprehensus cogitationibus hominum divinæ generationis modus. Humilis enim revera et carnalis est mentis, caducis ac temporalibus assimilare æterna, ac existimare, quemadmodum corporalia, ita et Deum generare.

Ejusdem ex epistola ad Eustathium Armenium, adversus quosdam, qui videbantur Arianorum opinionibus favere.

Oportet igitur ut aperte confiteantur se credere, quemadmodum verba a Patribus nostris Nicææ exposita præscribunt, si tamen sana ipsorum verborum sententia accipiatur. Sunt enim quidam in hac etiam fide, qui veritatis orationem depravant, et eorum verborum sensum ad opinionem suam confirmandam trahunt. Quandoquidem et Marcellus impie sentiens de persona Domini nostri Jesu Christi, eumque purum esse Verbum prædicans, ausus est dicere, se ut ita sentiret, adductum esse propter illam vocem ὁμοούσιον, cujus vim male intelligebat. Et qui Sabellii Libyci defendunt impietatem, personam et essentiam idem existimantes, ad eam confirmandam simulant se propterea compulsos esse, quod in ea fide ita scriptum sit : Si quis Filium ex alia essentia sive hypostasi esse dixerit, eum exsecratur et detestatur catholica et apostolica Ecclesia. Non autem Patres illi idem esse dixerunt essentiam et hypostasim : si enim hæ duæ voces unum et eumdem sensum haberent, utraque uti non erat opus. Cum igitur alii Filium esse negarent ex Patris essentia, alii ipsum non ex essentia, sed ex alia hypostasi constare dicerent, ut utramque istorum opinionem tanquam falsam reprobarent, ambas illas voces adhibuerunt. Nam ubi declararunt sententiam suam, Filium ex Patris essentia dixerunt, ibique alteram illam vocem hypostasim non addiderunt, quæ quidem ut ad pravam opinionem condemnandam adhibita est, sic ad Patrum sensum explicandum, essentiam solam pronuntiare satis fuit. Oportet igitur confiteri Filium ὁμοούσιον, id est, ejusdem essentiæ sive consubstantialem, ut scriptum est; confiteri præterea Patrem in propria persona, et Filium in propria et in propria Spiritum sanctum. Quemadmodum et ipsi Patres perspicue tradiderunt ; dicentes enim : «Lumen de lumine, satis aperte declararunt, sic aliud esse lumen gignens, et aliud esse lumen genitum, ut una tamen eademque sit essentiæ ratio.

Ejusdem ex capite sexto ad Amphilochium.

Non cum Patre, inquiunt, sed post Patrem est

A ἕτερον ἑτέρῳ· ὥστε καλῶς ἔχει καὶ εὐσεβῶς, τῶν τε ὑποστάσεων τὴν ἰδιότητα διορίζουσα, καὶ τῆς φύσεως τὸ ἀπαράλλακτον παριστῶσα (39). Ὅταν δὲ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱὸν εἶναι διδασκώμεθα, καὶ γεννηθέντα, ἀλλ' οὐχὶ ποιηθέντα, μὴ καταπίπτωμεν ἐπὶ τὰς σωματικὰς τῶν παθῶν ἐννοίας. Οὐ γὰρ ἐμερίσθη ἡ οὐσία ἀπὸ Πατρὸς εἰς Υἱόν· οὐδὲ ῥυεῖσα ἐγέννησεν, οὐδὲ προβαλοῦσα, ὡς τὰ φυτὰ τοὺς καρπούς, ἀλλ' ἄῤῥητος καὶ ἀνεπινόητος λογισμοῖς ἀνθρώπων τῆς θείας γεννήσεως ὁ τρόπος. Ταπεινῆς γὰρ τῷ ὄντι καὶ σαρκίνης ἐστὶ διανοίας τοῖς φθαρτοῖς καὶ προσκαίροις ἀφομοιοῦν τὰ ἀΐδια, καὶ οἴεσθαι, ὅτι, ὡς τὰ σωματικά, οὕτω γεννᾷ καὶ ὁ Θεός.

B *Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Εὐστάθιον τὸν Ἀρμένιον ἐπιστολῆς, κατά τινων ὑποπτευομένων ἀρειανίζειν.*

Προσήκει τοίνυν ἐναργῶς αὐτοὺς ὁμολογεῖν, ὅτι πιστεύουσι κατὰ τὰ ῥήματα τὰ ὑπὸ τῶν Πατέρων ἡμῶν ἐκτεθέντα ἐν τῇ Νικαίᾳ, καὶ κατὰ τὴν ὑγιῶς ὑπὸ τῶν ῥημάτων τούτων ἐμφαινομένην διάνοιαν. Εἰσὶ γάρ τινες οἱ καὶ ἐν ταύτῃ τῇ πίστει δηλοῦντες τὸν λόγον τῆς ἀληθείας, καὶ πρὸς τὸ ἑαυτῶν βούλημα τὸν νοῦν τῶν ἐν αὐτῇ ῥημάτων ἕλκοντες· ὅπου γε καὶ Μάρκελλος ἐτόλμησεν ἀσεβῶν εἰς τὴν ὑπόστασιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ψιλὸν αὐτὸν ἐξηγούμενος λόγον ἐκεῖθεν προφασίσασθαι τὰς ἀρχὰς εἰληφέναι τοῦ ὁμοουσίου, τὴν διάνοιαν κακῶς ἐξηγούμενος. Καί τινες τῶν ἀπὸ τῆς δυσσεβείας τοῦ Λίβυος Σαβελλίου, C ὑπόστασιν καὶ οὐσίαν ταυτὸν εἶναι ὑπολαμβάνοντες, ἐκεῖθεν ἕλκουσι τὰς ἀφορμὰς πρὸς τὴν κατασκευὴν τῆς ἑαυτῶν βλασφημίας, ἐκ τοῦ ἐγγεγράφθαι τῇ πίστει, ὅτι Ἐὰν δέ τις λέγῃ ἐξ ἑτέρας οὐσίας ἢ ὑποστάσεως τὸν Υἱόν, τοῦτον ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία. Οὐ γὰρ ταυτὸν εἶπον ἐκεῖ οὐσίαν καὶ ὑπόστασιν. Εἰ γὰρ μίαν καὶ τὴν αὐτὴν ἐδήλουν ἔννοιαν αἱ φωναί, τίς χρεία ἦν ἑκατέρων; Ἀλλὰ δῆλον ὡς τῶν μὲν ἀρνουμένων ἐκ τῆς οὐσίας εἶναι τοῦ Πατρός, τῶν δὲ λεγόντων οὐκ ἐκ τῆς οὐσίας, ἀλλ' ἐξ ἄλλης τινὸς ὑποστάσεως, οὕτως ἀμφότερα ὡς ἀλλότρια τοῦ ἐκκλησιαστικοῦ φρονήματος ἀπηγόρευσαν. Ἐπεὶ ὅπου γε τὸ ἑαυτῶν ἐδήλουν φρόνημα, εἶπον ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱόν, οὐκέτι προσθέντες καὶ τὸ ἐκ D τῆς ὑποστάσεως, ὥστε ἐκεῖνο μὲν ἐπ' ἀθετήσει κεῖται τοῦ πονηροῦ φρονήματος, τοῦτο δὲ φανέρωσιν ἔχει τοῦ πατρικοῦ δόγματος. Δεῖ τοίνυν ὁμολογεῖν ὁμοούσιον τῷ Πατρὶ τὸν Υἱόν, καθὼς γέγραπται· ὁμολογεῖν δὲ ἐν ἰδίᾳ μὲν ὑποστάσει τὸν Πατέρα, ἐν ἰδίᾳ δὲ τὸν Υἱόν, καὶ ἐν ἰδίᾳ δὲ τὸ Πνεῦμα τὸ ἅγιον, καθὰ καὶ αὐτοὶ σαφῶς ἐκδεδώκασιν. Αὐτάρκως γὰρ καὶ σαφῶς ἐνεδείξαντο εἰπόντες, «Φῶς ἐκ φωτός,» ὅτι ἕτερον μὲν τὸ γεννῆσαν φῶς, ἕτερον δὲ τὸ γεννηθέν, φῶς μέντοι, καὶ φῶς, ὥστε ἕνα καὶ τὸν αὐτὸν εἶναι τὸν τῆς οὐσίας λόγον.

Τοῦ αὐτοῦ ἀπὸ τοῦ ἕκτου κεφαλαίου τῶν πρὸς Ἀμφιλόχιον.

Οὐ μετὰ Πατρός, φησίν, ὁ Υἱός, ἀλλὰ μετὰ τὸν Πα-

τέρα. Διόπερ ἀκόλουθον δι' αὐτοῦ τὴν δόξαν τῷ Πατρὶ προσάγειν, ἀλλ' οὐχὶ μετ' αὐτοῦ. Τὸ μὲν γὰρ μετ' αὐτοῦ τὴν ἰσοτιμίαν δηλοῖ, τὸ δὲ δι' οὗ τὴν ὑπουργίαν παρίστησιν. Οὔτε μὴν σὺν τῷ Πατρὶ, φησὶ, καὶ τῷ Υἱῷ τὸ Πνεῦμα τακτέον, ἀλλ' ὑπὸ τὸν Υἱὸν, καὶ τὸν Πατέρα, οὐ συντεταγμένον, ἀλλ' ὑποτεταγμένον, οὐδὲ συναριθμούμενον, ἀλλ' ὑπαριθμούμενον. Καὶ τοιαύταις τισὶ τεχνολογίαις ῥημάτων τὸ ἁπλοῦν καὶ ἀκατάσκευον τῆς πίστεως ἐνδιαστρέφουσι. Πρὸς οὓς ἀπολογητέον, ὡς ἡμεῖς, ὅταν μὲν τὸ μεγαλεῖον τῆς φύσεως τοῦ Μονογενοῦς, καὶ τὴν τῆς ἀξίας ὑπεροχὴν θεωρῶμεν, μετὰ Πατρὸς καὶ σὺν Πατρὶ εἶναι αὐτῷ τὴν δόξαν μαρτυροῦμεν· ὅταν δὲ τὴν εἰς ἡμᾶς χορηγίαν τῶν ἀγαθῶν ἐννοήσωμεν, ἢ τὴν ἡμῶν αὐτῶν προσαγωγὴν καὶ οἰκείωσιν πρὸς τὸν Θεὸν, δι' αὐτοῦ καὶ ἐν αὐτῷ ἐνεργεῖσθαι τὴν χάριν ἡμῖν ταύτην ὁμολογοῦμεν.

A Filius. Quare consentaneum est, ut honor exhibeatur Patri per ipsum, non cum ipso. *Cum ipso* enim parem dignitatem signat; *per ipsum* autem ostendit ministerium. Nec vero cum Patre, inquiunt, et Filio Spiritus collocandus est, sed post Filium et Patrem constituendus, neque cum illis, sed sub illis numerandus. Istiusmodi verborum artificio puram fidei simplicitatem pervertunt. Quibus respondendum est, nos cum amplitudinem naturæ Unigeniti, et dignitatis ejus excellentiam contemplamur, gloriam illi simul cum Patre, et una cum Patre esse testari: at cum bonorum largitionem nobis factam et conciliationem, atque conjunctionem nostram cum Deo cogitamus, per ipsum et in ipso nos eam gratiam B assecutos conliteri.

Ἔτι κατὰ Ἀρειανῶν τε καὶ Εὐνομιανῶν τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ περὶ Υἱοῦ α' λόγου.

Item contra Arianos et Eunomianos. magni Gregorii Theologi ex oratione prima de Filio.

Πῶς οὖν οὐχ ἐμπαθὴς ἡ γέννησις; Ὅτι ἀσώματος. Εἰ γὰρ ἡ ἐνσώματος ἐμπαθὴς, ἀπαθὴς ἡ ἀσώματος. Ἐγὼ δέ σε ἀντερήσομαι· Πῶς Θεὸς, εἰ κτίσμα; Οὐ γὰρ Θεὸς τὸ κτιζόμενον· ἵνα μὴ λέγω, ὅτι κἀνταῦθα πάθος, ἂν σωματικῶς λαμβάνηται, οἷον χρόνος, ἔφεσις, ἀνατύπωσις, φροντὶς, ἐλπὶς, λύπη, κίνδυνος, ἀποτυχία, διόρθωσις· ἃ πάντα καὶ πλείω τούτων περὶ τὴν κτίσιν, ὡς πᾶσιν εὔδηλον. Θαυμάζω δὲ, ὅτι μὴ καὶ τοῦτο τολμᾷς, συνδυασμούς τινας ἐννοεῖν, καὶ χρόνους κυήσεως, καὶ κινδύνους ἀμβλώσεως, ὡς οὐδὲ γεννᾷν ἐγχωροῦν, εἰ μὴ οὕτω γεγέννηκεν· ἢ πάλιν πτηνῶν τινας, καὶ χερσαίων καὶ ἐνύδρων γεννήσεις ἀπαριθμούμενος, τούτων τινὶ τῶν γεννήσεων ὑπάγειν τὴν θείαν καὶ ἀνεκλάλητον, ἢ καὶ τὸν Υἱὸν ἀναιρεῖν ἐκ τῆς καινῆς σοῦ ὑποθέσεως. Καὶ οὐδ' ἐκεῖνο δύνασαι συνιδεῖν, ὅτι ᾧ διάφορος ἡ κατὰ σάρκα γέννησις (ποῦ γὰρ ἐν τοῖς σοῖς ἔγνως Θεοτόκον Παρθένον), τούτῳ καὶ ἡ πνευματικὴ γέννησις ἐξαλλάττουσα· μᾶλλον δὲ, ᾧ τὸ εἶναι μὴ ταυτὸν, τούτῳ καὶ τὸ γεννᾷν διάφορον.

Quomodo ergo a passione immunis est hæc generatio? Quia incorporea. Si enim corporea generatio passionem conjunctam habet, expers utique passionis erit incorporea generandi ratio. Atque ego ex te vicissim quæram: Quomodo Deus erit, si creatura est? Non enim Deus esse potest, quod creatur; ne dicam, quod hic quoque passio sit, si corporeo modo id accipiatur, hoc est, tempus, cupiditas, informatio, cura, spes, mœror, periculum, C spei frustratio, correctio: quæ omnia, atque his plura, circa creaturam accidere nemo est qui non facile perspiciat. Demiror autem, quin tu eo quoque audaciæ prorumpas, ut coitus quosdam, et prægnationis tempora, et abortus pericula cogites, perinde ac non aliter gignere potuerit Pater, si non ita genuerit: aut rursus avium quarumdam, aliorumque animalium, quæ vel in terra, vel in aquis degunt, generationes enumeres, ac cuipiam harum generationum divinam illam et ineffabilem subjicias, aut etiam Filium per hanc novam hypothesim de medio tollas. Ac ne illud quidem perspicere potes, cujus diversa sit carnalis generatio (alicubi enim apud homines Deiparam Virginem nosti), hujus diversam quoque atque ab aliis discrepantem esse spiritualem generationem: vel, ut rectius dicam, cujus esse ipsum minime idem sit, ejus diversam quoque esse generandi rationem.

Τίς οὖν ἐστι Πατὴρ οὐκ ἠργμένος; Ὅστις οὐδὲ τοῦ εἶναι ἤρξατο· ᾧ δὲ τὸ εἶναι ἤρξατο, τούτῳ καὶ τὸ εἶναι Πατρί. Οὐκοῦν Πατὴρ ὕστερον, οὐ γὰρ ἤρξατο· καὶ Πατὴρ κυρίως, ὅτι μὴ καὶ Υἱός· ὥσπερ καὶ Υἱὸς κυρίως, ὅτι μὴ καὶ Πατήρ. Τὰ γὰρ ἡμέτερα, οὐ κυρίως, ὅτι καὶ ἄμφω· οὐ γὰρ τόδε μᾶλλον, ἢ τόδε· καὶ ἐξ ἀμφοῖν ἡμεῖς, οὐχ ἑνὸς, ὥστε μερίζεσθαι, καὶ κατ' ὀλίγον ἄνθρωποι· καὶ ἴσως οὐδὲ ἄνθρωποι, καὶ οἷοι μὴ τεθελήμεθα, καὶ ἀφιέντες, καὶ ἀφιέμενοι, ὡς μόνας τὰς σχέσεις λείπεσθαι ὀρφανὰς τῶν πραγμάτων. Ἀλλὰ τὸ ἐγέννησε, φησὶν, αὐτὸ, καὶ τὸ γεγέννηται, τί ἄλλο ἢ ἀρχὴν εἰσάγει γεννήσεως; Τί οὖν ἂν μηδὲ τοῦτο λέγωμεν, ἀλλ' ἦν ἀπ' ἀρχῆς γεγεννημένος, ἵνα σου ῥᾳδίως φύγωμεν τὰς περιέργους ἐνστάσεις, καὶ φι-

D Quisnam ergo est Pater ille principii expers? Is nempe, cujus ne ulla quidem ipsius essentiæ origo reperiri potest. Qui autem aliquando esse cœpit, hic quoque paternitatis suæ principum habuit. Non igitur Pater postea exstitit, quandoquidem nec esse aliquando cœpit: et Pater proprie est, quia non etiam Filius: quemadmodum vicissim Filius proprie filius, quia non etiam Pater. Nam quod ad nos attinet, neutro nomine proprie appellari possumus, quoniam utrumque sumus; neque hoc potius, quam illud; nec ex uno, sed ex utroque parente nascimur, ac proinde dividimur, paulatimque homines efficimur; imo ne homines quidem fortasse, et quales noluimus, tum dimittentes, tum dimissi, adeo ut solæ relationes rebus ipsis

orbæ relinquantur. At, inquies, ipsum hoc, *genuit* et *genitus est*, quid aliud quam generationis principium inducit? Ego vero ita respondeo: Quid si ne hoc quidem dixerimus, sed, a principio genitus erat, ut curiosas ipsas ac temporis amicas objectiones nullo negotio fugiamus? An tu crimen nobis inferes, quasi Scripturæ ac veritatis aliquid adulteremur? Nonne cuivis perspicuum est, ac præsertim in Scripturæ usu positum, ut pleraque ex his, quæ temporaliter dicuntur, inversa temporum ratione proferantur, nec ea solum, quæ præteriti temporis sunt, aut præsentis, sed etiam quæ futuri significationem habent? Quo in genere illud est: *Quare fremuerunt gentes* [1]? (Nondum enim fremuerant.) Et, *In flumine pertransibunt pede* [2], id est, pertransierunt. Nimis longum foret omnes hujusmodi voces recensere, quæ a studiosis observatæ sunt.

A λοχρόνους; Ἆρα γραφὴν ἀποίσεις καθ' ἡμῶν, ὡς παραχαραττόντων τι τῆς Γραφῆς καὶ τῆς ἀληθείας; Ἢ πᾶσιν εὔδηλον ὅτι πολλὰ τῶν χρονικῶς λεγομένων, ἐνηλλαγμένως τοῖς χρόνοις προφέρεται, καὶ μάλιστα παρὰ τῇ συνηθείᾳ τῆς θείας Γραφῆς, οὐχ ὅσα τοῦ παρεληλυθότος χρόνου μόνον ἐστὶν, ἢ τοῦ παρόντος, ἀλλὰ καὶ ὅσα τοῦ μέλλοντος, ὡς τὸ, *Ἱνα τί ἐφρύαξαν ἔθνη*; οὔπω γὰρ ἐφρυάξαντο· καὶ, *Ἐν ποταμῷ διελεύσονται ποδί*· ὅπερ ἐστὶ, διαβεβήκασιν. Καὶ μακρὸν ἂν εἴη πάσας ἀπαριθμεῖν τὰς τοιαύτας φωνὰς, αἳ τοῖς φιλοπόνοις τετήρηνται.

Ex eadem oratione.

Atque ad hunc modum se habet hæc illorum objectio. Jam quale illud eorum est, cujusque rixandi libidinis et impudentiæ? Vel volens, inquiunt, Filium genuit, vel nolens. Ac deinde nexibus, ut quidem ipsi putant, utrinque adversarios illigant, non tamen firmis, sed perquam etiam imbecillis. Si enim nolens, inquiunt, vis ergo ei allata est. Et quisnam est qui vim intulit? Et rursus, quomodo, cui vis allata est, Deus esse potest? Si autem volens, ergo Filius, voluntatis est Filius. Quo igitur modo ex Patre progenitus est? Ita novam quamdam matrem, voluntatem, patris loco comminiscuntur. In hoc quidem argumento, primum hoc scitum ac lepidum est, quod a passione illa, quam tantopere urgebant, abscedentes, ad voluntatem confugiunt; non enim passio est voluntas. Deinde videamus, obsecro, quam vim habeat quod dicunt. Optimum autem fuerit, prius cum ipsis pedem propius conferre. Dic ergo ipse, quisquis es, qui temere, quidquid libido tua tulerit, effutis. Ex volente patre tuo procreatus es, an nolente? Si ex nolente, vis ergo ei allata est. O indignum facinus! Et quis tandem ei vim attulit? Non enim profecto naturam dixeris. Nam ei quoque sua constat castitas. Si autem ex volente patre, pater tibi propter paucas syllabas periit: voluntatis siquidem filius, ac non patris exstitisti. Sed ad Deum et creaturas transeo, ac tuammet quæstionem sapientiæ tuæ admoveo. Volensne Deus universam hanc rerum molem condidit, an nolens et coactus? Si coactus, hic quoque vis adhibita, et quidam qui vim adhibuit. Si autem volens, orbantur Deo, tum aliæ creaturæ, tum tu præ cæteris, qui tales ratiocinationes, talesque verborum captiones excogitas. Intermedia quippe voluntate a Creatore disjunguntur. Verum aliud, ni fallor, est volens, aliud voluntas: aliud gignens, aliud generatio: aliud qui loquitur, aliud sermo, nisi forte temulenti simus. Horum enim alterum est, is qui movet, alterum velut motus ipse. Non ergo voluntatis est, volitum (neque enim hoc prorsus sequitur); nec generationis, quod genitum est, nec locutionis, quod auditum est, sed volentis, et gignentis, et loquentis. At quæ in Deo considerantur, supra hæc quoque omnia

Ἐκ τοῦ αὐτοῦ λόγου.

B Τοῦτο μὲν δὴ τοιοῦτον. Οἷον δὲ αὐτῶν κἀκεῖνο, ὡς λίαν δύσερι καὶ ἀναίσχυντον; Βουληθεὶς, φασὶ, γεγέννηκε τὸν Υἱὸν, ἢ μὴ βουλόμενος. Εἶτα δεσμοῦσιν, ὡς οἴονται, ἀμφοτέρωθεν ἅμμασιν, οὐκ ἰσχυροῖς, ἀλλὰ καὶ λίαν σαθροῖς. Εἰ μὲν γὰρ οὐ θέλων, φασὶ, τετυράννηται. Καὶ τίς ὁ τυραννήσας; Καὶ πῶς ὁ τυραννηθεὶς, Θεός; Εἰ δὲ θέλων, θελήσεως Υἱὸς, ὁ Υἱός· πῶς οὖν ἐκ τοῦ Πατρός; Καὶ καινήν τινα μητέρα τὴν θέλησιν ἀντὶ τοῦ Πατρὸς ἀναπλάττουσιν. Ἓν μὲν οὖν τοῦτο χάριεν αὐτῶν, ἂν τοῦτο λέγωσιν, ὅτι τοῦ πάθους ἀποστάντες, ἐπὶ τὴν βούλησιν καταφεύγουσιν· οὐ γὰρ πάθος, ἡ βούλησις. Δεύτερον δὲ, ἴδωμεν τὸ ἰσχυρὸν αὐτῶν, ὅ τι λέγουσιν· ἄριστον δὲ αὐτοῖς συμπλακῆναι πρότερον ἐγγυτέρω. Σὺ δὲ αὐτὸς ὁ λέγων εὐχερῶς ὅ τι ἂν θέλῃς, ἐκ C θέλοντος ὑπέστης τοῦ σοῦ πατρὸς, ἢ μὴ θέλοντος; Εἰ μὲν γὰρ ἐξ οὐ θέλοντος, τετυράννηται. Τῆς βίας! Καὶ τίς ὁ τυραννήσας αὐτόν; Οὐ γὰρ δὴ τὴν φύσιν ἐρεῖς· ἐκείνη γὰρ ἔχει καὶ τὸ σωφρονεῖν. Εἰ δὲ θέλοντος, ἀπόλωλέ σοι δι' ὀλίγας συλλαβὰς ὁ πατήρ· θελήσεως γὰρ υἱὸς, ἀλλ' οὐ πατρὸς ἀναπέφηνας. Ἀλλ' ἐπὶ τὸν Θεὸν μέτειμι καὶ τὰ κτίσματα, καὶ τὸ σὸν ἐρώτημα προσάγω τῇ σῇ σοφίᾳ· Θέλων ὑπέστησεν ὁ Θεὸς τὰ πάντα, ἢ βιασθείς; Εἰ μὲν βιασθεὶς, κἀνταῦθα ἡ τυραννὶς καὶ ὁ τυραννήσας· εἰ δὲ βουλόμενος, ἐστέρηται τοῦ Θεοῦ, καὶ τὰ κτίσματα, καὶ σὺ μὲν πρὸ τῶν ἄλλων, ὁ τοιούτους ἀνευρίσκων λογισμοὺς, καὶ τοιαῦτα σοφιζόμενος· θελήσει γὰρ μέσῃ τοῦ κτίστου διατειχίζεται. Ἀλλ' ἕτερον, οἶμαι, θέλων ἐστὶ καὶ θέλησις, D γεννῶν καὶ γέννησις, λέγων καὶ λόγος, εἰ μὴ μεθύομεν· τὰ μὲν ὁ κινούμενος, τὰ δὲ οἷον ἡ κίνησις. Οὔκουν θελήσεως, τὸ θεληθὲν (οὐδὲ γὰρ ἕπεται πάντως)· οὐδὲ τὸ γεννηθὲν, γεννήσεως· οὐδὲ τὸ ἀκουσθὲν, ἐκφωνήσεως· ἀλλὰ τοῦ θέλοντος, καὶ τοῦ γεννῶντος, καὶ τοῦ λέγοντος. Τὰ τοῦ Θεοῦ δὲ καὶ ὑπὲρ ταῦτα πάντα, ᾧ γέννησίς ἐστιν ἴσως ἡ τοῦ γεννᾷν θέλησις· ἀλλ' οὐδὲν μέσον, εἴ γε καὶ τοῦτο δεξώμεθα ὅλως, ἀλλὰ μὴ καὶ θελήσεως κρείττων ἡ γέννησις.

[1] Psal. II, 1. [2] Psal. LXV, 6.

sunt, utpote cui generatio fortasse sit ipsa gignendi voluntas; verum nihil est intermedium, si modo hoc quoque omnino admittimus, ac non potius statuimus generationem hanc voluntate sublimiorem et præstantiorem esse.

Βούλει τι προσπαίξω καὶ τον Πατέρα; Παρὰ A σοῦ γὰρ ἔχω τὰ τοιαῦτα τολμᾷν· Θέλων Θεὸς ὁ Πατήρ, ἢ μὴ θέλων. Καὶ ὅπως ἀποφεύξῃ τὸ σὸν περιδέξιον. Εἰ μὲν δὴ θέλων, πότε τοῦ θέλειν ἠργμένος; Οὐ γὰρ πρὶν εἶναι· οὐδὲ γὰρ ἦν τι πρότερον. Ἢ τὸ μὲν αὐτοῦ θελῆσαν, τὸ δὲ θεληθέν; Μεριστὸς οὖν. Πῶς δὲ οὐ θελήσεως καὶ οὗτος, κατὰ σὲ, πρόβλημα; Εἰ δὲ οὐ θέλων, τί τὸ βιασάμενον εἰς τὸ εἶναι; Καὶ πῶς Θεὸς, εἰ βεβίασται, καὶ ταῦτα οὐκ ἄλλο τι, ἢ αὐτὸ τὸ εἶναι Θεός; Πῶς οὖν, φησὶ, γεγέννηται; Πῶς ἔκτισται, εἴπερ ἔκτισται κατὰ σέ; Καὶ γὰρ καὶ τοῦτο τῆς αὐτῆς ἀπορίας. Τάχα ἂν εἴποις, ὅτι βουλήσει καὶ λόγῳ. Ἀλλ' οὔπω λέγεις τὸ πᾶν. Πῶς γὰρ ἔργου δύναμιν ἔσχεν ἡ βούλησις καὶ ὁ λόγος; Ἔτι λείπεται λέγειν. Οὐ γὰρ οὕτως B ἄνθρωπος.

Visne in Patrem quoque ipsum cavillis nonnihil ludam? Tu mihi ansam talia audendi præbes. Pater itaque vel volens Deus est, vel nolens. Ac vide qua tandem ratione scitum illud tuum et acutum argumentum effugies. Si volens, quando velle cœpit? Non enim priusquam esset. Neque enim prius quidquam erat. An partim in eo quiddam fuit quod voluit, partim quiddam quod in voluntatem cecidit? Divisibilis igitur erit. Quid autem afferri poterit, quin juxta tuam argumentandi rationem, ipse quoque voluntatis fetus sit? Quod si nolens, quis eum coegit ut esset? Quo etiam modo Deus, si coactus est; et coactus quidem non ad aliud quidquam, quam ad hoc, ut Deus esset? Quomodo, inquis, Filius genitus est? Verum tu quoque responde, quomodo creatus est? siquidem, ut ipse asseris, creatus est. Nam id quoque eadem difficultate laborat. Dices fortasse, voluntate et sermone. At nondum rem totam expedis. Quomodo enim operis vim voluntas et sermo habuerint? Hoc explicandum adhuc tibi superest. Neque enim homo ita fabricatur.

Πῶς οὖν γεγεννηται; Οὐκ ἂν ἦν μεγάλη ἡ γέννησις, εἰ σοὶ κατελαμβάνετο, ὃς οὐδὲ τὴν ἰδίαν ἐπίστῃ γέννησιν, ἢ μικρόν τι ταύτης κατείληφας, καὶ ὅσον αἰσχύνῃ λέγειν· ἔπειτα οἴει τὸ πᾶν γινώσκειν; Πολλὰ ἂν κάμοις πρότερον, ἢ εὕροις λόγους συμπήξεως, μορφώσεως, φανερώσεως, ψυχῆς πρὸς σῶμα δεσμὸν, νοῦ πρὸς ψυχὴν, λόγου πρὸς νοῦν, κίνησιν, αὔξησιν, τροφῆς ἐξομοίωσιν, αἴσθησιν, μνήμην, ἀνάμνησιν, τἄλλα ἐξ ὧν συνέστηκας· καὶ τίνα μὲν τοῦ συναμφοτέρου, ψυχῆς, καὶ σώματος· τίνα δὲ τὰ μεμερισμένα, τίνα δὲ ἃ παρ' ἀλλήλων λαμβάνουσιν. Ὧν γὰρ ὕστερον ἡ τε- C λείωσις, τούτων οἱ λόγοι μετὰ τῆς γεννήσεως. Εἰπὲ τίνες· καὶ μηδὲ τότε φιλοσοφήσῃς Θεοῦ γέννησιν· οὐ γὰρ ἀσφαλές. Εἰ μὲν γὰρ τὴν σὴν γινώσκεις, οὐ πάντως καὶ τὴν τοῦ Θεοῦ· εἰ δὲ μηδὲ τὴν σὴν, πῶς τὴν τοῦ Θεοῦ; Ὅσῳ γὰρ Θεὸς ἀνθρώπου δυστεκμαρτότερος, τοσούτῳ καὶ τῆς σῆς γεννήσεως ἀληπτοτέρα ἡ ἄνω γέννησις. Εἰ δὲ ὅτι μὴ σοι κατείληπται, διὰ τοῦτο οὐδὲ γεγέννηται, ὥρα σοι πολλὰ διαγράφειν τῶν ὄντων, ἃ μὴ κατείληφας, καὶ πρό γε πάντων τὸν Θεὸν αὐτόν· οὐ γὰρ ὅ τί ποτέ ἐστιν εἰπεῖν ἔχεις, καὶ εἰ λίαν τολμηρὸς εἶ, καὶ τὰ περιττὰ μεγαλόψυχος. Κατάβαλέ σου τὰς ῥεύσεις, καὶ τὰς διαιρέσεις, καὶ τὰς τομὰς, καὶ τὸ ὡς περὶ σώματος διανοεῖσθαι τῆς ἀσωμάτου φύσεως· καὶ τάχα ἂν ἄξιόν τι διανοηθείης Θεοῦ γεννήσεως. D Πῶς γεγέννηται; Πάλιν γὰρ τὸ αὐτὸ φθέγξομαι δυσχεραίνων· Θεοῦ γέννησις σιωπῇ τιμάσθω. Μέγα σοι τὸ μαθεῖν, ὅτι γεγέννηται. Τὸ δὲ πῶς, οὐδὲ ἀγγέλοις, μὴ ὅτι γε σοὶ ἐννοεῖν συγχωρήσωμεν. Βούλει παραστήσω τὸ πῶς; Ὡς οἶδεν ὁ γεννήσας Πατὴρ, καὶ ὁ γεννηθεὶς Υἱός· τὸ δὲ ὑπὲρ ταῦτα, νέφει κρύπτεται, τὴν σὴν διαφεῦγον ἀμβλυωπίαν.

Quomodo ergo, inquies, genitus est? Haud magna esset hæc generatio, si a te percipi posset, quippe qui ne tuam quidem noris, aut certe exiguam quamdam partem percepisti, quantumque te dicere pudeat. Et postea eam plene tibi cognitam esse censes? Magnus tibi labor prius subeundus est, quam ut rationes eas invenias, quibus constitutus, formatus, ac manifestatus fueris, quibus etiam anima cum corpore, mens cum anima, ratio cum mente quasi vinculis quibusdam astringatur: tum quomodo corpus moveatur, et augeatur, atque alimentum ipsi assimiletur: ad hæc quæ sit sensuum ratio, quæ memoriæ, quæ reminiscentiæ, rerumque cæterarum, ex quibus constas: ac præterea quæ conjunctim utriusque partis sint, quæ divisa et separata, quæ rursus a se invicem accipiant. Quæ enim temporis progressu perfectionem suam consequuntur, eorum certe rationes ipsæ simul cum generatione exstiterunt. Dicas, velim, quæ sint hæ rationes; sed ne tum quidem de Dei generatione pertracta. Nec enim id periculo vacat. Si enim tuam cognoscis, non protinus sequitur, Dei quoque generationem tibi cognitam et exploratam esse. Si autem tua tibi ignota est, quo tandem modo Dei generatio tibi nota erit? Quanto enim difficilius est Dei naturam, quam hominis, indagare, tanto quoque difficilius percipi potest superna illa et divina generatio, quam tua. Quod si, quia eam cognitione assequi nequis, idcirco ne genitum quidem esse contendis, tempus jam tibi fuerit, multa, quæ tu minime percepisti, atque ante omnia Deum quoque ipsum, e rerum natura delere atque obliterare. Neque enim, quid tandem sit, explicare potes, quamlibet audax sis, atque in supervacaneis rebus strenuus et magnanimus. Tuas illas fluxiones, et divisiones, et sectiones prius abjice, ac de incorporea illa natura, quasi de corporea, disputare desine; atque ita fortasse dignum aliquid generatione divina concipere animo queas. Quomodo genitus est? Idem enim indignabundus repeto. Dei generatio silentii honore decoretur. Abunde

magnum tibi est scire, eum genitum esse. Quo autem modo genitus sit, ne ipsis quidem angelis, nedum tibi intelligere concesserim. Vis declarem quomodo? Ut scit Pater, qui genuit, et Filius qui genitus est. Quod supra hæc est, nube obtegitur, animique tui hebetudinem fugit.

Sed argutari pergunt. Exsistentem, vel non exsistentem genuit Pater. O futiles nugas! Hæc enim mihi ac tibi conveniunt, qui partim eramus, ut Levi ille, in lumbis Abrahæ [11], partim procreati sumus; ac proinde partim ex entibus, partim ex non entibus sumus: contra quam in primigena illa materia accidit, quæ haud dubie ex non ente procreata est, utcunque eam nonnulli æternam esse confingant. At hic generatio cum essentia ipsa concurrit, atque a principio exstitit. Ubi ergo anceps illud tuum, atque utrinque præceps argumentum pones? Quid enim eo, quod a principio erat, antiquius esse potest, ut illic tempus collocemus, vel quo erat Filius, vel quo non erat? Utroque enim modo illud, *a principio*, dissolvetur et evertetur, nisi forte tibi quoque Pater, percunctantibus rursus nobis, ex entibusne, an ex non entibus sit, bis esse periclitetur, alter nimirum præexsistens, alter exsistens; aut certe propter ludicras tuas interrogationes, atque ex arena constructas domos, quæ ne levibus quidem ventis resistere possunt, idem ei, quod Filio, accidat, hoc est, ex non ente sit. Ego quidem neutrum horum admitto, quæstionemque hanc tuam absurditatis multum, difficultatis nihil habere aio. Quod si tu juxta tuas dialecticas sententias in omni argumento alterutram disjunctionum veram esse oportere existimas, parvam quamdam interrogatiunculam a me accipe. Tempus estne in tempore, annon? Si in tempore, quo tandem? Quidque supra hoc exsistente? Ac quomodo hoc continente? Si autem non in tempore, quæ hæc eximia sapientia, tempus temporis expers inducere? Age, hujus sermonis, *Nunc ego mentior*, da alterum, aut duntaxat verum esse, aut falsum: non enim utrumque dabimus. Atqui nullo modo hoc fieri potest. Vel enim mentiens verum dicet, vel mentietur verum dicens. Ita prorsus necesse est. Quid igitur mirum, si quemadmodum hic contraria concurrunt, ita etiam illic utraque pars a vero aberret, atque ita scitum illud et eruditum tuum argumentum stultum atque ineptum appareat? Ac velim mihi hoc etiam ænigma solvas: Aderasne tibi cum gignereris? Adesne etiam nunc tibi? An neutrum horum? Si enim aderas, et ades, quisnam tandem, et cui? Et quomodo unus duo effectus es? Si autem neutrum horum quæ diximus, quomodo a teipso disjungeris? Et quæ disjunctionis hujusce causa? Sed ineptum est, inquies, cum de uno disputatur, adsitne sibi, necne, curiosius inquirere. Hæc enim de aliis, non de seipso dicuntur. Ineptius, mihi crede, est, id, quod a principio erat, utrum ante generationem erat, necne, in quæstionem vocare. Hæc enim disputatio iis demum convenit, quæ tempore dividi possunt.

A "Οντα οὖν γεγέννηκεν, ἢ οὐκ ὄντα. Τῶν ληρημάτων! Περὶ ἐμὲ καὶ σὲ ταῦτα, οἳ τὸ μέν τι ἦμεν, ὥσπερ ἐν τῇ ὀσφύϊ τοῦ Ἀβραὰμ, ὁ Λευΐ· τὸ δὲ γεγόναμεν. Ὥστε ἐξ ὄντων, τρόπον τινὰ τὸ ἡμέτερον, καὶ οὐκ ὄντων· ἐναντίως περὶ τὴν ἀρχέγονον ὕλην ὑποστᾶσαν σαφῶς ἐξ οὐκ ὄντων, κἂν τινες ἀγέννητον ἀναπλάττωσιν. Ἐνταῦθα δὲ σύνδρομον τῷ εἶναι τὸ γεγεννῆσθαι, καὶ ἀπ' ἀρχῆς. Ὥστε ποῦ θήσεις τὸ ἀμφίκρημνον τοῦτο ἐρώτημα; Τί γὰρ τοῦ ἀπ' ἀρχῆς πρεσβύτερον, ἵν' ἐκεῖ θῶμεν τὸ εἶναί ποτε τοῦ Υἱοῦ, ἢ τὸ μὴ εἶναι; Ἀμφοτέρως γὰρ τὸ, *ἀπ' ἀρχῆς*, λυθήσεται· εἰ μή σοι καὶ ὁ Πατὴρ, πάλιν ἐρωτώντων ἡμῶν, ἐξ ὄντων, ἢ ἐξ οὐκ ὄντων, κινδυνεύσειεν ἢ δὶς εἶναι, ὃ μὲν προὼν, ὃ δὲ ὢν, ἢ ταυτὸν B τῷ Υἱῷ παθεῖν, ἐξ οὐκ ὄντων εἶναι, διὰ τὰ σὰ τῶν ἐρωτημάτων παίγνια, καὶ τὰς ἐκ ψάμμων οἰκοδομὰς, αἳ μηδὲ αὔραις ἵστανται. Ἐγὼ μὲν οὖν οὐδέτερον τούτων δέχομαι, καὶ τὴν ἐρώτησίν φημι τὸ ἄτοπον ἔχειν, οὐχὶ τὸ ἄπορον τὴν ἀπάντησιν. Εἰ δὲ σοὶ φαίνεται ἀναγκαῖον εἶναι τὸ ἕτερον ἀληθεύειν ἐπὶ παντὸς, κατὰ τὰς σὰς διαλεκτικὰς ὑπολήψεις, δέξαι μού τι μικρὸν ἐρώτημα· Ὁ χρόνος ἐν χρόνῳ, ἢ οὐκ ἐν χρόνῳ; Εἰ μὲν οὖν ἐν χρόνῳ, τίνι τούτῳ; καὶ τί παρὰ τοῦτον ὄντι; καὶ πῶς περιέχοντι; Εἰ δὲ οὐκ ἐν χρόνῳ, τίς ἡ περιττὴ σοφία, χρόνον εἰσάγειν ἄχρονον; Τοῦ δὲ, *Νῦν ἐγὼ ψεύδομαι*, δὸς τὸ ἕτερον· ἢ ἀληθεύεσθαι μόνον, ἢ ψεύδεσθαι· οὐ γὰρ ἀμφότερα δώσομεν. Ἀλλ' οὐκ ἐνδέχεται. Ἢ γὰρ ψευδόμενος ἀληθεύσει, ἢ ἀληθεύων ψεύσεται· πᾶσα ἀνάγκη. Τί οὖν θαυμαστὸν, ὥσπερ ἐνταῦθα συμβαί- C νει τὰ ἐναντία, οὕτως ἐκεῖσε ἀμφότερα ψεύδεσθαι, καὶ οὕτω σοι τὸ σοφὸν ἠλίθιον ἀναφανήσεται; Ἓν ἔτι μοι λῦσον τῶν αἰνιγμάτων· Σεαυτῷ δὲ γεννωμένῳ παρῆς; πάρει δὲ νῦν; ἢ οὐδέτερον; Εἰ μὲν γὰρ καὶ παρῆς, καὶ πάρει, ὡς τίς, καὶ τίνι; καὶ πῶς ὁ εἷς ἄμφω γεγόνατε; Εἰ δὲ μηδέτερον τῶν εἰρημένων, πῶς σεαυτοῦ χωρίζῃ; καὶ τίς ἡ αἰτία τῆς διαζεύξεως; Ἀλλ' ἀπαίδευτον τὸ περὶ τοῦ ἑνὸς, εἰ ἑαυτῷ πάρεστιν, ἢ μὴ, πολυπραγμονεῖν. Ταῦτα γὰρ ἐπ' ἄλλων, οὐχ ἑαυτοῦ λέγεται. Ἀπαιδευτότερον, εὖ ἴσθι, τὸ ἀπ' ἀρχῆς γεγεννημένον, εἰ ἦν πρὸ τῆς γεννήσεως, ἢ οὐκ ἦν, διευθύνεσθαι. Οὗτος γὰρ περὶ τῶν χρόνῳ διαιρετῶν ὁ λόγος.

At enim, inquiunt, non idem sunt genitum et ingenitum; ac proinde, nec Filius cum Patre idem est. Quid opus est dicere, hoc argumento vel Patrem vel Filium a divinitate manifeste submoveri? Si enim ingenitum essentia Dei est, pro-

D Ἀλλ' οὐ ταυτὸν, φησὶ, τὸ ἀγέννητον καὶ τὸ γεννητόν. Εἰ δὲ τοῦτο, οὐδὲ ὁ Υἱὸς τῷ Πατρὶ ταυτόν. Ὅτι μὲν φανερῶς ὁ λόγος οὗτος ἐκβάλλει τὸν Υἱὸν τῆς θεότητος, ἢ τὸν Πατέρα, τί χρὴ λέγειν; Εἰ γὰρ τὸ ἀγέννητον οὐσία Θεοῦ, τὸ γεννητὸν οὐκ οὐσία·

[11] Hebr. VII, 10 sqq.

εἰ δὲ τοῦτο οὐκ ἐκεῖνο. Τίς ἀντερεῖ λόγος; Ἑλοῦ τοίνυν τῶν ἀσεβειῶν ὁποτέραν βούλει, ὦ καινὲ (80) θεολόγε, εἴπερ ἀσεβεῖν πάντως ἐσπούδακας. Ἔπειτα, πῶς οὐ ταυτὸν λέγεις τὸ ἀγέννητον καὶ τὸ γεννητόν; Εἰ μὲν τὸ μὴ ἐκτισμένον, καὶ ἐκτισμένον, κἀγὼ δέχομαι· οὐ γὰρ ταυτὸν τῇ φύσει τὸ ἄναρχον καὶ τὸ κτιζόμενον. Εἰ δὲ τὸ γεγεννηκὸς, καὶ τὸ γεγεννημένον, οὐ ταυτὸν λέγεις, οὐκ ὀρθῶς λέγεται. Ταυτὸν γὰρ εἶναι πᾶσα ἀνάγκη· αὕτη γὰρ φύσις γεννήτορος καὶ γεννήματος, ταυτὸν εἶναι τῷ γεγεννηκότι κατὰ τὴν φύσιν τὸ γέννημα. Ἢ οὕτω πάλιν· Πῶς λέγεις τὸ ἀγέννητον καὶ τὸ γεννητόν; Εἰ μὲν γὰρ τὴν ἀγεννησίαν αὐτὴν καὶ τὴν γέννησιν, οὐ ταυτόν· εἰ δὲ οἷς ὑπάρχει ταῦτα, πῶς οὐ ταυτόν; Ἐπεὶ καὶ τὸ ἄσοφον, καὶ τὸ σοφὸν, ἀλλήλοις μὲν οὐ ταυτὰ, περὶ ταυτὸν δὲ τὸν ἄνθρωπον· καὶ οὐκ οὐσίας τέμνει, περὶ δὲ τὴν αὐτὴν οὐσίαν τέμνεται. Ἢ καὶ τὸ ἀθάνατον, καὶ τὸ ἄκακον, καὶ τὸ ἀναλλοίωτον οὐσία Θεοῦ; Ἀλλ' εἰ τοῦτο, πολλαὶ οὐσίαι Θεοῦ, καὶ οὐ μία· ἢ σύνθετον ἐκ τούτων τὸ Θεῖον· οὐ γὰρ ἀσυνθέτως ταῦτα, εἴπερ οὐσίαι.

A fecto genitum essentia non erit: aut si hoc, procul dubio non illud. Quis enim est qui contrarium disputando tueri queat? Quamobrem, utram e duabus impietatibus malis, elige, o nove theologe, siquidem impiam doctrinam omnino amplecti tibi propositum est. Deinde, quomodo ingenitum et genitum non idem esse dicis? Si per hæc verba nihil aliud intelligis, quam id quod increatum et quod creatum, in eadem ipse quoque sum sententia. Neque enim natura idem est quod principio caret, et quod procreatum est. Sin autem his verbis eum, qui genuit, et eum, qui genitus est, accipis, haudquaquam recte id abs te dicitur. Idem enim omnino esse necesse est. Hæc quippe geniti natura est, ut idem, si naturam spectes, sit cum eo qui B genuit. Vel ad hunc rursus modum agamus: Quid per ingenitum ac genitum intelligis? Si ipsam ingeniti et geniti proprietatem, non idem sunt. Sin autem ea, quibus hæc insunt, quid vetat quominus idem sint? Quandoquidem quod insipiens est, et sapiens, inter se quidem non idem sunt; verum circa eumdem hominem considerantur: nec substantias scindunt, sed circa eamdem substantiam scinduntur. Quid? An etiam immortalitas, et innocentia, et immutabilitas, essentia Dei sunt? At si ita est, multæ Dei essentiæ erunt, non una: aut certe compositus ex his Deus erit. Neque enim hæc citra compositionem esse queunt, si modo essentiæ sunt.

Ταῦτα μὲν οὔ φασι· κοινὰ γὰρ καὶ ἄλλων. Ὃ δὲ μόνου Θεοῦ καὶ ἴδιον, τοῦτο οὐσία. Οὐκ ἂν μὲν συγχωρήσαιεν εἶναι μόνου Θεοῦ τὸ ἀγέννητον, οἱ καὶ τὴν ὕλην καὶ τὴν ἰδέαν συνεισάγοντες, ὡς ἀγέννητα. Τὸ γὰρ Μανιχαίων πορρωτέρω ῥίψωμεν σκότος. Πλὴν ἔστω μόνου Θεοῦ. Τί δὲ ὁ Ἀδάμ; οὐ μόνος πλάσμα Θεοῦ; Καὶ πάνυ, φήσεις. Ἆρ' οὖν καὶ μόνος ἄνθρωπος; Οὐδαμῶς. Τί δή ποτε; Ὅτι μὴ ἀνθρωπότης ἡ πλάσις· καὶ γὰρ τὸ γεννηθὲν, ἄνθρωπος. Οὕτως οὐδὲ τὸ ἀγέννητον μόνον Θεὸς, εἰ καὶ μόνου Πατρός. Ἀλλὰ δέξαι καὶ τὸ γεννητὸν εἶναι Θεόν· ἐκ Θεοῦ γὰρ, εἰ καὶ λίαν εἶ φιλαγέννητος. Ἔπειτα, πῶς οὐσίαν Θεοῦ λέγεις, οὐ τὴν τοῦ ὄντος θέσιν, ἀλλὰ τὴν τοῦ μὴ ὄντος ἀναίρεσιν; Τὸ γὰρ μὴ ὑπάρχειν αὐτῷ γέννησιν, ὁ λόγος δηλοῖ, οὐχ ὃ τὴν φύσιν ἐστὶ παρίστησιν, οὐδ' ὃ ὑπάρχει τὸ μὴ ἔχον γέννησιν. Τίς οὖν οὐσία Θεοῦ; Τῆς σῆς ἀπονοίας τοῦτο λέγειν, ὃς πολυπραγμονεῖς καὶ τὴν γέννησιν· ἡμῖν δὲ μέγα, κἂν εἴποτε καὶ εἰς ὕστερον τοῦτο μάθοιμεν, λυθέντος ἡμῖν τοῦ ζόφου καὶ τῆς παχύτητος, ὡς ἡ τοῦ ἀψευδοῦς ὑπόσχεσις. Τοῦτο μὲν οὖν καὶ νοείσθω, καὶ ἐλπιζέσθω τοῖς ἐπὶ τούτῳ καθαιρομένοις. Ἡμεῖς δὲ τοσοῦτον εἰπεῖν θαῤῥήσωμεν, ὅτι εἰ καὶ μέγα τῷ Πατρὶ, τὸ μηδαμόθεν ὡρμῆσθαι, οὐκ ἔλαττον τῷ Υἱῷ, τὸ ἐκ τοιούτου Πατρός. Τῆς τε γὰρ τοῦ ἀναιτίου δόξης μετέχοι ἂν, ὅτι ἐκ τοῦ ἀναιτίου, καὶ πρόσεστι τὸ τῆς γεννήσεως πρᾶγμα τοσοῦτον, καὶ οὕτω σεβάσμιον τοῖς μὴ πάντη χαμαιπετέσι καὶ ὑλικοῖς τὴν διάνοιαν.

Hæc quidem haud dicunt. Communia quippe aliorum quoque sunt. Quod autem solius Dei est, ipsique proprie convenit, hoc ipsi essentia est. Atqui solius Dei ingenitum esse, minime illi concesserint, qui materiam quoque et formam, ut ingenitas, induxerunt. Manichæorum enim tenebras C longius adhuc projiciamus. Sed sit sane solius Dei ingenitum. Quid Adam? Nonne solus a Deo effictus est? Maxime, inquies. Utrum ergo solus quoque homo? Minime. Quare? Quia effictio humanitas non est. Nam is quoque, qui progenitus est, homo est. Eodem modo nec ingenitum solum Deus est, etsi solius Patris. Verum admitto etiam eum qui genitus est, Deum esse. Ex Deo quippe est, quamlibet tu ingenito faveas. Ad hæc quomodo Dei essentiam dicis, non ejus, quod est, positionem, sed ejus, quod non est detractionem? Vox enim ingeniti significat, eum quidem generationis expertem esse, non autem declarat quidnam natura sua sit id quod generatione caret. Quænam ergo est Dei essentia? D Tuæ est dementiæ hoc dicere, qui generationem quoque ipsam anxie perscrutaris: nobis autem abunde magnum atque amplum fuerit, si in posterum quoque discamus, soluta videlicet hac caligine et crassitie [1], ut pollicitus est is, qui non mentitur [2]. Ergo hoc ab his, qui ad eam rem sese perpurgant, cogitetur, ac speretur. Nos autem hoc duntaxat dicere non dubitabimus, si magnum Patri est a nullo profectum esse, non minus illustre Filio esse, ex tali Patre prodiisse. Nam præterquam quod gloriæ illius, qui causam a nullo habet, particeps est, quia ex eo est, accedit etiam generationis decus, res tanta, tamque veneranda, iis utique, qui non omnino humi provoluti sunt, crassoque animo præditi.

[1] I Joan. III, 2. [2] Tit. I, 2.

A Sed si Filius, inquiunt, essentiæ ratione idem eum Patre est, profecto, cum ingenitus sit Pater, ingenitus quoque Filius erit. Recte, si ingenitum essentia Dei esset, ut sic nova quædam mistio esset genito-ingenitum. Cum autem hoc discrimen circa essentiam consideretur, quid tu hoc quasi firmum quiddam profers? An tu quoque patris pater es, ut nulla re a patre tuo supereris, quandoquidem essentia idem cum eo es? Nonne perspicuum est, proprietate fixa et stabili permanente, quærendum nobis esse quæ sit Dei essentia, si tamen ex ullo modo quærenda est? Quod autem ingenitum et Deus idem non sint, hinc fere intelliges. Si enim idem essent, prorsus oporteret, quoniam Deus quorumdam Deus est, quorumdam quoque ingenitum esse: aut contra, quoniam ingenitum nullius **B** est, nec Deum quoque quorumdam esse. Nam quæ omnino eadem sunt, similiter etiam efferuntur. At ingenitum non quorumdam est (quorum enim?), Deus vero quorumdam Deus est, omnium quippe. Quo ergo modo idem erunt Deus et ingenitum? Ac rursus, quoniam ingenitum et genitum inter se opponuntur, ut habitus et privatio, substantias quoque inter se oppositas induci necesse est, quod nemo concesserit. Aut rursus, quoniam habitus privationibus priores sunt, ac privationes habitus ipsos exstinguunt, non solum antiquior erit Filii essentia quam Patris, sed etiam, juxta hypotheses tuas, a Patre exstinguetur, ac de medio tolletur.

A Ἀλλ εἰ ταυτὸν, φασὶν, ὁ Υἱὸς τῷ Πατρὶ κατ' οὐσίαν, ἀγέννητος δὲ ὁ Πατὴρ, ἔσται τοῦτο καὶ ὁ Υἱός. Καλῶς, εἴπερ οὐσία Θεοῦ τὸ ἀγέννητον, ἵν' ᾗ τις καινὴ μίξις, γεννητοαγέννητον (98). Εἰ δὲ περὶ οὐσίαν ἡ διαφορὰ, τί τοῦτο, ὡς ἰσχυρὸν, λέγεις; ἢ καὶ σὺ πατὴρ τοῦ πατρὸς, ἵνα μηδενὶ λείπῃ τοῦ σοῦ πατρὸς, ἐπειδὴ ταυτὸν εἶ κατ' οὐσίαν; Ἢ δῆλον, ὅτι, τῆς ἰδιότητος ἀκινήτου μενούσης, ζητήσομεν οὐσίαν Θεοῦ, ἥτις ποτέ ἐστιν, εἴπερ ζητήσομεν; Ὅτι δὲ οὐ ταυτὸν ἀγέννητον καὶ Θεὸς, ὧδε ἂν μάθοις· Εἰ ταυτὸν ἦν, ἔδει πάντως, ἐπειδὴ τινῶν Θεὸς ὁ Θεὸς, τινῶν εἶναι καὶ τὸ ἀγέννητον· ἢ ἐπεὶ μηδενὸς τὸ ἀγέννητον, μηδὲ τὸν Θεὸν εἶναι τινῶν· τὰ γὰρ πάντη ταυτὰ, καὶ ὁμοίως ἐκφέρεται. Ἀλλὰ μὴν οὐ τινῶν τὸ ἀγέννητον, τίνων γάρ; καὶ τινῶν Θεὸς ὁ Θεὸς, πάντων γάρ. **B** Πῶς οὖν ἂν εἴη ταυτὸν Θεὸς καὶ ἀγέννηνον; Καὶ πάλιν, ἐπειδὴ τὸ ἀγέννητον, καὶ τὸ γεννητὸν ἀντίκειται ἀλλήλοις, ὡς ἕξις καὶ στέρησις, ἀνάγκῃ καὶ οὐσίας εἰσαχθῆναι ἀντικειμένας ἀλλήλαις, ὅπερ οὐ δέδοται. Ἢ, ἐπειδὴ πάλιν αἱ ἕξεις τῶν στερήσεων πρότεραι, καὶ ἀναιρετικαὶ τῶν ἕξεων αἱ στερήσεις, μὴ μόνον πρεσβυτέραν εἶναι τῆς τοῦ Πατρὸς οὐσίας τὴν τοῦ Υἱοῦ, ἀλλὰ καὶ ἀναιρουμένην ὑπὸ τοῦ Πατρὸς, ὅσον ἐπὶ ταῖς σαῖς ὑποθέσεσι.

Quid adhuc nunc superest ex ineluctabilibus ipsorum, ut putant, argumentis? Fortasse ad illud **C** postremum confugient: Si Deus gignendi finem non fecit, imperfecta est generatio. Et quando finem facturus est? Si autem gignere cessavit, omnino quoque cœpit. Sic rursus crassi et corporis rebus affixi homines corporeas ratiocinationes afferunt. Ego vero sic respondeo: Sempiternumne sit Filio nasci, necne, nondum dico, quoadusque illud Scripturæ: *Ante omnes colles gignit me* [1], accuratius expendero. Illud autem non video, quam necessarium sit hoc eorum argumentum. Si enim, ut ipsi aiunt, aliquando id cœpit, quod finem habiturum est, profecto id non cœpit, quod finem non est habiturum. Quid ergo de anima vel de angelica natura pronuntiabunt? Si principium habuit, finem quoque habebit: si autem fine carebit, secundum **D** eos utique principio quoque hanc caruisse constat. Atqui et principium habuit, nec unquam esse desinet. Falsum est itaque quod aiunt, id, quod finem habiturum est, principium quoque habuisse. Enimvero doctrina nostra hæc est: Ut equi, et bovis, et hominis, ac denique uniuscujusque earum rerum, quæ sub idem genus cadunt, eadem est definitio; ac quidquid definitionis hujusce particeps est, hoc etiam proprie dicitur; quidquid autem particeps non est, hoc vel non dicitur, vel certe improprie dicitur: eodem modo unam quoque Dei essentiam, et naturam, et appellationem esse, tametsi per cogitationes quasdam distinctas, nomina quoque simul distinguantur: et quod quidem proprie dicitur,

Τίς ἔτι λόγος αὐτοῖς τῶν ἀφύκτων; Τάχα ἂν **C** ἐπ' ἐκεῖνο καταφύγοιεν τελευταῖον, ὡς Εἰ μὲν οὐ πέπαυται τοῦ γεννᾷν ὁ Θεὸς, ἀτελὴς ἡ γέννησις. Καὶ πότε παύσεται; Εἰ δὲ πέπαυται, πάντως καὶ ἤρξατο. Πάλιν οἱ σωματικοὶ τὰ σωματικά. Ἐγὼ δὲ, εἰ μὲν ἀΐδιον αὐτῷ τὸ γεννᾶσθαι ἢ μὴ, οὔπω λέγω, ἕως ἂν τὸ, *Πρὸ πάντων βουνῶν γεννᾷ με*, ἀκριβέστερον ἐπισκέψωμαι. Οὐχ ὁρῶ δὲ, τίς ἡ ἀνάγκη τοῦ λόγου. Εἰ γὰρ ἦρκται κατ' αὐτοὺς τὸ παυσόμενον, οὐκ ἦρκται πάντως τὸ μὴ παυσόμενον. Τί τοίνυν ἀποφανοῦνται περὶ ψυχῆς, ἢ τῆς ἀγγελικῆς φύσεως; Εἰ μὲν ἦρκται, καὶ παύσεται· εἰ δὲ οὐ παύσεται, δῆλον, ὅτι κατ' αὐτοὺς οὐδὲ ἦρκται. Ἀλλὰ μὴν καὶ ἦρκται, καὶ οὐ παυσεται. Ουχ ἄρα ἦρκται κατ' αὐτοὺς τὸ παυσόμενον. Ὁ μὲν οὖν ἡμέτερος λόγος· Ὥσπερ ἵππου, καὶ βοὸς, καὶ ἀνθρώπου, καὶ ἑκάστου τῶν ὑπὸ **D** τὸ αὐτὸ εἶδος, εἷς λόγος ἐστίν· καὶ ὃ μὲν ἂν μετέχῃ τοῦ λόγου, τοῦτο καὶ κυρίως λέγεσθαι· ὃ δ' ἂν μὴ μετέχῃ, τοῦτο ἢ μὴ λέγεσθαι, ἢ μὴ κυρίως λέγεσθαι· οὕτω δὲ καὶ Θεοῦ μίαν οὐσίαν εἶναι καὶ φύσιν, καὶ κλῆσιν, κἂν ἐπινοίαις τισὶ διαιρουμέναις συνδιαιρῆται καὶ τὰ ὀνόματα· καὶ ὃ μὲν ἂν κυρίως λέγηται, τοῦτο καὶ εἶναι Θεόν· ὃ δ' ἂν ᾖ κατὰ φύσιν, τοῦτο καὶ ἀληθῶς ὀνομάζεσθαι· εἴπερ μὴ ἐν ὀνόμασιν, ἀλλ' ἐν πράγμασίν ἐστιν ἡμῖν ἡ ἀλήθεια. Οἱ δὲ, ὥσπερ δεδοικότες, μὴ πάντα κινεῖν κατὰ τῆς ἀληθείας, Θεὸν μὲν εἶναι τὸν Υἱὸν ὁμολογοῦσιν, ὅταν βιασθῶσι τῷ λόγῳ καὶ ταῖς μαρτυρίαις· ὁμώνυμον δὲ καὶ μόνης κοινωνοῦντα τῆς κλήσεως.

[1] Prov. VIII, 25.

id etiam Deum esse; et rursus quod natura sua sit, hoc quoque proprie nuncupari: siquidem non in nudis nominibus, sed in rebus nobis veritas sita est. At isti, perinde ac pertimescant ne quid adversus veritatem immotum relinquant, Deum quidem Filium esse fatentur, cum Scripturæ ac auctoritatum testimoniis opprimantur; sed æquivoce Deum dici, ac nominis solius participem esse contendunt.

Ὅταν δὲ ἀνθυποφέρωμεν αὐτοῖς, Τί οὖν; οὐ A κυρίως Θεὸς ὁ Υἱὸς, ὥσπερ οὐδὲ ζῶον τὸ γεγραμμένον; πῶς οὖν Θεὸς, εἰ μὴ κυρίως Θεός; Τί γὰρ κωλύει, φασὶ, καὶ ὁμώνυμα ταῦτα εἶναι, καὶ κυρίως ἀμφότερα λέγεσθαι; Καὶ προσοίσουσιν ἡμῖν τὸν κύνα, τὸν χερσαῖον, καὶ τὸν θαλάττιον, ὁμώνυμά τε ὄντα, καὶ κυρίως λεγόμενα (ἔστι γάρ τι καὶ τοιοῦτον εἶδος ἐν τοῖς ὁμωνύμοις· καὶ εἴτε τι ἄλλο τῇ αὐτῇ προσχρῆται προσηγορίᾳ, καὶ μετέχει ταύτης ἐπίσης, τῇ φύσει διεστηκός). Ἀλλ' ἐκεῖ μὲν, ὦ βέλτιστε, δύο φύσεις τιθεὶς ὑπὸ τὴν αὐτὴν προσηγορίαν, οὐδὲν ἀμείνω τὴν ἑτέραν τῆς ἑτέρας εἰσάγεις, οὐδὲ τὴν μὲν πρότερον, τὴν δὲ ὕστερον, οὐδὲ τὴν μὲν μᾶλλον, τὴν δὲ ἧττον οὖσαν τοῦθ' ὅπερ λέγεται. Οὐδὲ γάρ τι συνέζευκται τὸ ταύτην παρέχον αὐταῖς τὴν ἀνάγκην. Οὐ γὰρ ὁ μὲν μᾶλλον κύων, ὁ δὲ ἧττον τοῦ ἑτέρου κυνὸς, B οἷον ὁ θαλάττιος τοῦ χερσαίου, ἢ ὁ χερσαῖος ἔμπαλιν τοῦ θαλαττίου· διὰ τί γὰρ, ἢ κατὰ τίνα λόγον; Ἀλλ' ἐν ὁμοτίμοις πράγμασι καὶ διαφόροις, ἡ κοινωνία τῆς κλήσεως. Ἐνταῦθα δὲ τῷ Θεῷ παραζευγνὺς τὸ σεβάσμιον, καὶ τὸ ὑπὲρ πᾶσαν οὐσίαν εἶναι καὶ φύσιν, ὃ μόνου Θεοῦ καὶ οἱονεὶ φύσις θεότητος, εἶτα τῷ Πατρὶ μὲν τοῦτο διδοὺς, τὸν Υἱὸν δὲ ἀποστερῶν καὶ ὑποτιθεὶς, καὶ τὰ δεύτερα νέμων αὐτῷ τῆς τιμῆς καὶ τῆς προσκυνήσεως, κἂν ταῖς συλλαβαῖς χαρίζῃ τὸ ὅμοιον, τῷ πράγματι τὴν θεότητα περικόπτεις, καὶ μεταβαίνεις κακούργως ἀπὸ τῆς τὸ ἴσον ἐχούσης ὁμωνυμίας, ἐπὶ τὴν τὰ μὴ ἴσα συνδέουσαν. Ὥστε ὁ γραπτός σοι, καὶ ὁ ζῶν ἄνθρωπος μᾶλλον, ἢ οἱ τοῦ ὑποδείγματος κύνες τῇ θεότητι πλησιάζουσιν. Ἢ δὸς ἀμφοτέροις, ὥσπερ τὴν κοινωνίαν τῆς κλήσεως, οὕτω δὲ καὶ C τὴν ὁμοτιμίαν τῶν φύσεων, εἰ καὶ διαφόρους ταύτας εἰσάγεις· καὶ καταλέλυκάς σου τοὺς κύνας, οὓς ἐξεῦρες κατὰ τῆς ἀνισότητος. Τί γὰρ ὄφελος τῆς ὁμωνυμίας, εἰ τὸ ἰσότιμον μὴ ἔχοιεν οἱ παρὰ σοῦ διαιρούμενοι. Οὐ γὰρ ἵν' ἰσότιμα δείξῃς, ἀλλ' ἵνα ἀνισότιμα, πρὸς τὴν ὁμωνυμίαν, καὶ τοὺς κύνας κατέφυγες. Πῶς ἂν τις ἐλεγχθείη μᾶλλον, καὶ ἑαυτῷ μαχόμενος, καὶ θεότητι;

Cum autem hanc ipsis objectionem subjicimus: Quid ergo? non proprie Deus est Filius, quemadmodum id quod pictum est, non est animal? Quomodo ergo Deus, si Deus proprie non est? Respondent: Quid prohibet, quominus, et hæc æquivoca sint, et proprie utrumque dicatur? Ac nobis, et terrestrem, et marinum canem proferent, qui, cum sub eodem nomine diversam significationem habeant, proprie tamen dicuntur. (Est enim hujusmodi quoque species quædam inter æquivoca; et si quid aliud, quod eadem appellatione utatur, ejusque peræque particeps sit, cum interim naturæ ratione dissideat.) At, vir optime, cum illic duas naturas sub eadem appellatione collocas, neutram altera præstantiorem introducis; nec alteram priorem, alteram posteriorem; nec denique alteram quæ magis, alteram quæ minus sit id quod esse dicitur. Neque enim quidquam conjunctum est, quod hanc ipsis necessitatem afferat. Non enim hic canis magis canis est, quam ille canis, hoc est, marinus magis quam terrestris, vel contra, terrestris magis quam marinus; cur enim, aut qua ratione? Sed in rebus, diversis quidem illis, verum pari honore præditis, communis est appellatio. Hic vero, cum Deo venerationem adjungas, cumque supra omnem essentiam et naturam esse dicas (quod Dei solius est, et velut divinitatis natura), ac deinde Patri quidem hoc tribuas, Filium autem prives, atque subjicias, secundasque illi honoris et adorationis partes assignes, quamvis verborum syllabis æqualitatem ipsi largiaris, re ipsa tamen divinitatem ei amputas, ac veteratorie ab hoc homonymiæ genere, quod æqualitatem complectitur, ad genus illud transis, quod res æquales minime connectit. Ac proinde, ut quidem argumentari instituis, pictus ille ac vivus homo, ad divinitatem adumbrandam propius accedunt, quam canes, quos exempli causa proposuisti. Alioqui utrique, ut nomen commune, sic etiam parem naturæ dignitatem tribue, etiamsi diversas eas inducis; atque ita canes illos tuos deleveris, quos ad probandam Patris ac Filii inæqualitatem excogitasti. Quis enim homonymiæ fructus, si dignitate pares sint, qui a te dividuntur? Nec enim, ut eos honore æquales, sed ut dispares ostenderes, ad homonymiam illam, et canes confugisti. Quonam modo quispiam magis convinci queat, et secum ipse, et cum divinitate pugnare?

Ἐὰν δὲ λεγόντων ἡμῶν, ὅτι τῷ αἰτίῳ μείζων D ὁ Πατὴρ τοῦ Υἱοῦ, προσλαβόντες τὴν, Τὸ δὲ αἴτιον φύσει, πρότασιν· ἔπειτα, Τὸ μεῖζον τῇ φύσει, συνάγωσιν· οὐκ οἶδα πότερον ἑαυτοὺς παραλογίζονται, ἢ τοὺς πρὸς οὓς ὁ λόγος. Οὐ γὰρ ἁπλῶς, ὅσα κατά τινος λέγεται, ταῦτα καὶ κατὰ τοῦ ὑποκειμένου τούτῳ ῥηθήσεται· ἀλλὰ δῆλον κατὰ τίνος, καὶ τίνα. Ἐπεὶ τί κωλύει κἀμὲ ταύτην πρότασιν ποιησάμενον, τὴν, ὅτι Ὁ Πατὴρ μείζων τῇ φύσει, ἔπειτα προσλαβόντα τὸ, Φύσει δὲ οὐ πάντως μείζων οὐδὲ Πατήρ· ἐντεῦθεν συναγαγεῖν· Τὸ μεῖζον οὐ πάντως μεῖζον·

Jam si dicentibus nobis, Patrem, quantum ad causam, Filio majorem esse, ipsi hanc propositionem assumant: At causa natura; posteaque conclusionem hanc subnectant: Ergo major natura; haud scio, seipsosne potius, an eos, cum quibus disputant, captiosa hac argumentatione circumveniant. Neque enim simpliciter, quæcunque de aliquo dicuntur, etiam de eo, quod ipsi subjectum est, dicuntur; sed perspicuum est de quo, et quænam dicantur. Alioqui quid prohibet, quominus ipso quoque allata hac propositione: Pater major na-

tura est; ac deinde assumpta altera: Natura autem non omnino major, neque Pater; ita postremo concludam: Majus igitur non omnino majus; vel, Pater non omnino Pater. Aut si mavis, ad hunc modum agam: Deus est essentia: Essentia non omnino est Deus; quod sequitur ipse conclude: Ergo Deus non omnino Deus. Verum, ni fallor, ab eo, quod secundum rationem quamdam dicitur, ad id quod simpliciter dicitur, captiose progreditur hæc argumentatio, quod artis hujus studiosis usitatum est et familiare. Nam cum nos hanc vocem, *majus*, causæ naturæ tribuamus, inferunt ipsi, causam natura majorem esse. Quod perinde est, ac si dicentibus nobis: Hic mortuus homo; inferrent ipsi: Ergo homo.

A ἢ, Ὁ Πατὴρ οὐ πάντως Πατήρ. Εἰ βούλει δὲ οὕτως· Ὁ Θεὸς, οὐσία· Ἡ οὐσία δὲ, οὐ πάντως Θεός· τὸ ἑξῆς αὐτὸς συνάγαγε· Ὁ Θεὸς οὐ πάντως Θεός. Ἀλλ' οἶμαι, παρὰ τὸ πῆ καὶ ἁπλῶς ὁ παραλογισμὸς οὗτος, ὡς τοῖς περὶ ταῦτα τεχνολογεῖν σύνηθες. Ἡμῶν γὰρ τὸ *μεῖζον* τῇ τοῦ αἰτίου φύσει διδόντων, αὐτοὶ τὸ τῇ φύσει μεῖζον ἐπάγουσιν· ὥσπερ ἂν εἰ καὶ λεγόντων ἡμῶν, ὅτι ὁ δεῖνα νεκρὸς ἄνθρωπος, ἁπλῶς ἐπῆγον αὐτοὶ τὸν ἄνθρωπον.

Quomodo autem istud, quod certe non minori admiratione dignum est, quam quæ superius dicta sunt, prætermittemus? Pater, inquiunt, vel essentiæ, vel actionis nomen est: sic enim nos utrinque ita astrictos putant, ut nulla ratione ex eorum vinculis elabi possimus. Si enim essentiæ nomen esse dixerimus, assentiemur, ut existimant, Filium diversam a Patre essentiam habere: quandoquidem una sit Dei essentia, quam Pater, ut censent, jam ante occuparit. Sin autem actionis, creatum esse fatebimur, non genitum. Ubi enim est agens, illic quoque omnino id quod agitur esse necesse est. Ac mirari se dicent, quo pacto factum cum factore idem esse queat. Me quoque ipsum vehementer hæc distinctio vestra permoveret, si mihi duorum alterutrum necessario admittendum esset, ac non potius, utraque disjunctionis parte vitata, tertium aliquid verius dicere liceret. Nec enim essentiæ nomen est Pater, o viri acutissimi, nec actionis; sed relationem eam indicat, quam Pater erga Filium habet, vel Filius erga Patrem. Ut enim apud nos hæc nomina germanam quamdam conjunctionem et necessitudinem declarant: ad eumdem modum illic quoque genitorem ac genitum eamdem naturam habere significant. Sed sit sane, in vestri gratiam, Pater essentiæ nomen: Filium utique simul introducet, non autem removebit, et alienabit, ut et communes notiones ferunt, et ipsa horum nominum vis ac facultas. Sit etiam actionis, si ita videtur: nec sic quidem causam obtinebitis. Eodem enim modo dicemus hoc ipsum egisse Patrem, ut consubstantialis ipsi Filius esset; etsi alioqui absurditate non caret hujusmodi actionis opinio. Videsne quo pacto, quamlibet improbe ac maligne pugnare studeatis, captiones tamen vestras effugiamus? Quoniam autem invictum illud tuum in ratiocinationibus et argutiis robur cognovimus, videamus jam quam vim in divinis oraculis positam habeas, si modo hinc quoque nobis dogma tuum persuadere non grave ducas.

Ἐκεῖνο δὲ πῶς παραδράμωμεν, οὐδενὸς ἧττον B τῶν εἰρημένων ὂν ἀξιάγαστον; Ὁ Πατὴρ, φησὶν, οὐσίας, ἢ ἐνεργείας ὄνομα· ὡς ἀμφοτέρωθεν ἡμᾶς δήσοντες. Εἰ μὲν οὐσίας φήσομεν, συνθησομένους ἑτεροούσιον εἶναι τὸν Υἱόν· ἐπειδὴ μία μὲν οὐσία Θεοῦ, ταύτην δὲ, ὡς οὗτοι, προκατείληφεν ὁ Πατήρ· εἰ δὲ ἐνεργείας, ποίημα σαφῶς ὁμολογήσοντας, ἀλλ' οὐ γέννημα· οὗ γὰρ ὁ ἐνεργῶν, ἐκεῖ πάντως καὶ τὸ ἐνεργούμενον. Καὶ πῶς τῷ πεποιηκότι ταυτὸν τὸ πεποιημένον, θαυμάζειν φήσουσιν. Σφόδρα ἂν ἠδέσθην ὑμῶν καὶ αὐτὸς τὴν διαίρεσιν, εἰ τῶν δύο τὸ ἕτερον δέξασθαι ἦν ἀναγκαῖον, ἀλλὰ μὴ τὰ δύο διαφυγόντα, τρίτον εἰπεῖν ἀληθέστερον· ὅτι οὔτε οὐσίας ὄνομα ὁ Πατὴρ, ὦ σοφώτατοι, οὔτε ἐνεργείας· σχέσεως δὲ καὶ τοῦ πῶς ἔχει πρὸς τὸν Υἱὸν ὁ Πατὴρ, ἢ ὁ Υἱὸς πρὸς τὸν Πατέρα. Ὡς γὰρ παρ' ἡμῖν αἱ κλήσεις αὗται τὸ γνήσιον καὶ οἰκεῖον γνωρίζουσιν, οὕτω κἀκεῖ τὴν τοῦ γεγεννημένου C πρὸς τὸ γεγεννηκὸς ὁμοφυΐαν σημαίνουσιν. Ἔστω δὲ, ὑμῶν χάριν, καὶ οὐσίας τις ὁ Πατήρ· συνεισάξει τὸν Υἱὸν, οὐκ ἀλλοτριώσει, κατὰ τὰς κοινὰς ἐννοίας, καὶ τὴν τῶν κλήσεων τούτων δύναμιν. Ἔστω καὶ ἐνεργείας, εἰ τοῦτο δοκεῖ· οὐδὲ οὕτω ἡμᾶς αἱρήσετε. Αὐτὸ δὲ τοῦτο ἐνηργηκὼς ἂν εἴη τὸ ὁμοούσιον, ἢ καὶ ἄτοπος ἄλλως ἡ τῆς περὶ τοῦτο ἐνεργείας ὑπόληψις. Ὁρᾷς ὅπως ὑμῶν, καὶ κακομαχεῖν ἐθελόντων, τὰς στροφὰς διαφεύγομεν; Ἐπεὶ δέ σου τὸ ἐν τοῖς λογισμοῖς καὶ ταῖς στροφαῖς ἄμαχον ἔγνωμεν, ἴδωμέν σου καὶ τὴν ἐκ τῶν θείων λογίων ἰσχὺν, ἂν ἄρα δέξῃ κἀντεῦθεν πείθειν ἡμᾶς.

Nos quippe ex magnis et excelsis vocibus Filii divinitatem percepimus, ac prædicamus. Quibus tandem? His nimirum, Deus, Verbum, quod in principio erat, et cum principio, et principium: ut in his locis: *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum* [1]; et, *Tecum principium* [2]; et, *Qui vocat eam a generationibus principium* [3]. Ad hæc Filius unigenitus dicitur: *Unigenitus Filius, qui est in sinu Patris, ipse enarravit* [4]. Via, Veritas, Vita, Lux: *Ego sum via,*

D Ἡμεῖς μὲν γὰρ ἐκ μεγάλων καὶ ὑψηλῶν τῶν φωνῶν, τοῦ Υἱοῦ τὴν θεότητα καὶ κατειλήφαμεν, καὶ κηρύσσομεν. Τίνων τούτων; Τῆς Θεὸς, τῆς Λόγος, ὁ ἐν ἀρχῇ, ὁ μετὰ τῆς ἀρχῆς, ἡ ἀρχή· *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος*· καὶ, *Μετὰ σοῦ ἡ ἀρχή*· καὶ, *Ὁ καλῶν αὐτὴν ἀπὸ γενεῶν ἀρχήν*. Ἐπειδὴ Υἱὸς μονογενὴς, *Ὁ μονογενὴς Υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο*. Ὁδὸς, Ἀλήθεια, Ζωὴ, Φῶς· *Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλή-*

[1] Joan. I, 1. [2] Psal. CIX, 3. [3] Isa. XLI, 4. [4] Joan. I, 18.

θεια, καὶ ἡ ζωή· καὶ, Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. Σοφία, Δύναμις· Χριστὸς Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία. Ἀπαύγασμα, Χαρακτὴρ, Εἰκὼν, Σφραγίς· Ὃς ὢν ἀπαύγασμα τῆς δόξης· καὶ, Χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ· καὶ, Εἰκὼν τῆς ἀγαθότητος· καὶ, Τοῦτον γὰρ ὁ Πατὴρ ἐσφράγισεν ὁ Θεός. Κύριος, Βασιλεὺς, ὁ Ὢν, ὁ Παντοκράτωρ· Ἔβρεξε Κύριος πῦρ παρὰ Κυρίου· καὶ, Ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου· καὶ, Ὁ ὢν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος, καὶ ὁ παντοκράτωρ. Σαφῶς περὶ τοῦ Υἱοῦ λεγόμενα, καὶ ὅσα τῆς αὐτῆς τούτοις ἐστὶ δυνάμεως, ὧν οὐδὲν ἐπίκτητον, οὐδὲ ὕστερον τῷ Υἱῷ προσγενόμενον, ἢ τῷ Πνεύματι, ὥσπερ οὐδὲ αὐτῷ τῷ Πατρί· οὐ γὰρ ἐκ προσθήκης τὸ τέλειον. Οὐ γὰρ ἦν, ὅτε ἄλογος ἦν· οὐδὲ ἦν, ὅτε οὐ Πατήρ· οὐδὲ ἦν, ὅτε οὐκ ἀληθὴς, ἢ ἄσοφος, ἢ ἀδύνατος, ἢ ζωῆς ἐνδεὴς, ἢ λαμπρότητος, ἢ ἀγαθότητος.

Σὺ δέ μοι καταρίθμει πρὸς ταῦτα, τὰ τῆς ἀγνωμοσύνης ῥήματα, τὸ, Θεός μου, καὶ Θεὸς ὑμῶν, τὸ μείζων, τὸ ἔκτισε, τὸ ἐποίησε, τὸ ἡγίασεν. Εἰ βούλει δὲ, καὶ τὸ δοῦλον, καὶ τὸ ὑπήκοον· τὸ δέδωκε, τὸ ἔμαθε, τὸ ἐντέταλται, τὸ ἀπέσταλται, τὸ μὴ δύνασθαι ἀφ' ἑαυτοῦ τι ποιεῖν, ἢ λέγειν, ἢ κρίνειν, ἢ δωρεῖσθαι, ἢ βούλεσθαι. Ἔτι δὲ καὶ ταῦτα· τὴν ἄγνοιαν, τὴν ὑποταγὴν, τὴν εὐχὴν, τὴν ἐρώτησιν, τὴν προκοπὴν, τὴν τελείωσιν. Πρόσθες, εἰ βούλει, καὶ ὅσα τούτων ταπεινότερα, τὸ ὑπνοῦν, τὸ πεινῆν, τὸ κοπιᾶν, τὸ δακρύειν, τὸ ἀγωνιᾷν, τὸ ὑποδύεσθαι. Τάχα δ' ἂν ὀνειδίσαις καὶ τὸν σταυρὸν, καὶ τὸν θάνατον. Τὴν γὰρ ἔγερσιν, καὶ τὴν ἀνάληψιν παρήσειν μοι δοκεῖς, ἐπειδή τι καὶ πρὸς ἡμῶν ἐν τούτοις εὑρίσκεται. Πολλὰ δ' ἂν ἔτι πρὸς τούτοις σπερμολογήσαις, εἰ βούλοιο συντιθέναι τὸν ὁμώνυμόν σοι Θεὸν καὶ παρέγγραπτον, ἡμῖν δὲ ἀληθινὸν, καὶ ὁμότιμον τῷ Πατρί. Τούτων γὰρ ἕκαστον, οὐ χαλεπὸν μὲν, καὶ κατὰ μέρος ἐπεξιόντα ἐξηγεῖσθαί σοι πρὸς τὸ εὐσεβέστατον, καὶ ἀνακαθαίρειν τὸ ἐν τοῖς γράμμασι πρόσκομμα, εἴ γε προσπταίεις ὄντως, ἀλλὰ μὴ ἑκὼν κακουργεῖς. Ἑνὶ δὲ κεφαλαίῳ, τὰ μὲν ὑψηλότερα πρόσαγε τῇ θεότητι, καὶ τῇ κρείττονι φύσει παθῶν καὶ σώματος· τὰ δὲ ταπεινότερα τῷ συνθέτῳ, καὶ τῷ διὰ σὲ κενωθέντι καὶ σαρκωθέντι, οὐδὲν δὲ χεῖρον εἰπεῖν, καὶ ἀνθρωπισθέντι, εἶτα καὶ ὑψωθέντι, ἵνα σὺ τὸ τῶν δογμάτων σου σαρκικὸν καὶ χαμερπὲς καταλύσας, μάθῃς ὑψηλότερος εἶναι, καὶ συνανιέναι θεότητι, καὶ μὴ τοῖς ὁρωμένοις ἐναπομένοις, ἀλλὰ συνεπαίρῃ τοῖς νοουμένοις, καὶ γινώσκῃς, τίς μὲν φύσεως λόγος, τίς δὲ λόγος οἰκονομίας.

A veritas et vita [1]; et, *Ego sum lux mundi* [2]. Sapientia, Potentia; *Christus Dei potentia et Dei sapientia* [3]. Splendor, Character, Imago, Sigillum, ut in his verbis: *Qui cum sit splendor gloriæ* [4]; et, *Character substantiæ ipsius* [5]; et, *Imago bonitatis* [6]; et alio loco: *Quem Pater signavit Deus* [7]. Dominus, Rex, Ens, Omnipotens: *Pluit Dominus ignem a Domino* [8]; et, *Virga directionis virga regni tui* [9] et, *Qui erat, qui est, et qui venturus est omnipotens ille* [10]. Quæ perspicue de Filio dicuntur, sicut et alia plura, quæ eamdem vim habent, quorum nihil ascititium est, nec Filio, aut Spiritui sancto posterius accessit, quemadmodum nec Patri. Neque enim ex accessione perfectio ipsis comparata est. Non enim Pater Verbi unquam expers fuit; nec
B unquam fuit quin Pater esset; nec denique unquam veritate, sapientia, viribus, vita, splendore, aut bonitate caruit.

Tu mihi contra, illas ingrati animi tui voces enumera, has videlicet: Deus meus et Deus vester [11], major [12], creavit [13], fecit [14], sanctificavit [15]; servum [16] etiam, si ita lubet, et obedientem [17] adjunge; atque hæc etiam, dedit [18], didicit [19], mandatum est [20], missus est [21]: illud etiam, quod a seipso quidquam facere non possit [22] aut loqui [23], aut judicare [24], aut donare [25], aut velle [26]. Huc adde ignorationem, subjectionem, precem, interrogationem, profectum, consummationem. Adde etiam, si ita placet, quæ his adhuc abjectiora sunt: Dor-
C mire [27], esurire [28], fatigari [29], lacrymari [30], mortis pavore affici [31], ac dejecto animo esse. Fortasse etiam probri causa crucem quoque ipsam et mortem objicies. Resurrectionem enim, ipsiusque in cœlum ascensionem, consulto mihi prætermissurus videris: quoniam in his quidpiam, quod causæ nostræ faveat, reperitur. Multa etiam alia congerere queas, si componere velis æquivocum illum de tua sententia et ascriptitium Deum, ut autem ipsi statuimus, verum, Patrique honore æqualem. Horum enim unumquodque sigillatim persequi, pioque sensu explicare minime difficile est, atque offendiculum illud, quod in litteris exsistit, repurgare et eximere, si modo vere offendis, ac non potius de
D industria peccas. Ut autem rem summatim contraham, hoc tibi faciendum est, ut sublimiores voces divinitati, ac illi naturæ, passionibus et corpore præstantiori, attribuas: humiliores vero, composito, et tua causa inanito atque incarnato, imo etiam (non enim minus commode hoc a me dicetur) humanato, ac deinde exaltato, ut tu videlicet, abjecta hac dogmatum humilitate et crassitie, sublimior esse, simulque cum divinitate ascendere, non autem rebus in aspectum cadentibus inhærescere condiscas; imo potius cum intellectibilibus rebus assurgas, atque intelligas, quæ naturæ ratio, quæ ratio Incarnationis.

[1] Joan. XIV, 6. [2] Joan. VIII, 12. [3] I Cor. I, 24. [4] Hebr. I, 3. [5] Ibid. [6] Sap. VII, 26. [7] Joan. VI, 27. [8] Gen. XIX, 24. [9] Psal. XLIV, 7. [10] Apoc. I, 8. [11] Joan. XX, 17. [12] Joan. XIV, 28. [13] Prov. VIII, 22. [14] Act. II, 36. [15] Joan. X, 36. [16] Isa. XLII, 1. [17] Phil. II, 8. [18] Joan. XVIII, 9; Matth. XX, 23. [19] Joan. VI, 45. [20] I Cor. XV, 28 [21] Joan. IX, 4. [22] Joan. V, 19. [23] Joan. XII, 49. [24] Joan. VIII, 15. [25] Marc. X, 40. [26] Matth. XXVI, 39. [27] Matth. VIII, 24. [28] Matth. IV, 2. [29] Joan. IV, 6. [30] Joan. XI, 35 [31] Marc. XIV, 33.

A Hic enim, quem nunc aspernaris, quondam erat, et supra te erat: qui nunc homo est, compositionis expers erat. Quod erat, permansit: quod non erat, assumpsit. In principio sine causa erat. Quæ enim Dei causa afferri queat? At postea quoque certa de causa natus est. Ea autem erat, ut tu, insolens ac proterve, salutem consequereris, qui deitatem idcirco contemnis, quia crassitiem tuam suscepit, per intermediam mentem cum carne conjunctus, atque inferior hic homo Deus effectus, posteaquam cum Deo coaluit, præstantiorique parte superante, unus factus est, ut ipse quoque tantum deus efficiar, quantum ille homo.

Οὗτος γὰρ ὁ νῦν σοι καταφρονούμενος, ἦν ὅτε καὶ ὑπὲρ σὲ ἦν· ὁ νῦν ἄνθρωπος, καὶ ἀσύνθετος ἦν. Ὃ μὲν ἦν, διέμεινεν· ὃ δὲ οὐκ ἦν, προσέλαβεν. Ἐν ἀρχῇ ἦν ἀναιτίως· τίς γὰρ αἰτία Θεοῦ; ἀλλὰ καὶ ὕστερον γέγονε δι' αἰτίαν. Ἡ δὲ ἦν, τὸ σὲ σωθῆναι τὸν ὑβριστὴν, ὃς διὰ τοῦτο περιφρονεῖς θεότητα, ὅτι τὴν σὴν παχύτητα κατεδέξατο, διὰ μέσου νοὸς ὁμιλήσας σαρκὶ, καὶ γενόμενος ἄνθρωπος ὁ κάτω Θεὸς, ἐπειδὴ συνανεκράθη Θεῷ, καὶ γέγονεν εἷς τοῦ κρείττονος ἐκνικήσαντος, ἵνα γένωμαι τοσοῦτον θεὸς, ὅσον ἐκεῖνος ἄνθρωπος.

B *Ejusdem in eosdem. Ex II oratione de Filio.*

Illud quidem unum ipsis fere in promptu est: *Dominus creavit me principium viarum suarum ad opera sua* [1]. Cui argumento quo tandem modo occurremus? Num Salomonem accusabimus? Num pristina ipsius dicta ob postremum ipsius lapsum abrogabimus? Num ipsiusmet sapientiæ, ac velut scientiæ, artificisque rationis, secundum quam omnia condita sunt, hunc sermonem esse dicemus? Pleraque enim ex his, quæ anima carent, Scriptura per prosopopœiam loquentia inducere consuevit, juxta illud: *Mare hæc atque illa dixit* [2]; et, *Abyssus dixit: Non est in me* [3]; et, *Cœli enarrant gloriam Dei* [4]; et rursus, frameæ aliquid imperatur [5], et montes ac colles exsultationis [6] causam exposcuntur. Horum C nihil proferre libet, etiamsi alioqui a nonnullis eorum, qui ante nos exstiterunt, pro firmis et validis allata sunt. Sed demus hoc sane Salvatoris ipsius, hoc est, veræ Sapientiæ, hæc verba esse. Illud vero aliquantisper una consideremus. Quid est ex omnibus rebus quod causæ sit expers? Divinitas. Nemo enim est, qui Dei causam dicere queat: alioqui id Deo antiquius esset. Quæ autem humanitatis a Deo propter nos susceptæ causa exstitit? Profecto ut nobis salus pararetur. Quid enim aliud causæ afferri possit? Ergo quoniam hic aperte, et *creavit*, et *gignit me*, reperimus, hoc simpliciter dictum censeamus. Quod enim cum causa conjunctum invenimus, id humanitati assignandum est: D quod autem simplex causæque expers, divinitati ascribendum. Age igitur, annon illud, *creavit*, adnexam causam habet? *Creavit* enim *me*, inquit, *principium viarum suarum ad opera sua* [7]. Opera autem ipsius, veritas et judicium [8], quorum causa divinitate delibutus est. Hæc enim humanitatis unctio est. At illud, *gignit me*, causam non habet. Alioqui ostende quidnam ipsi adjunctum sit. Quis igitur inficias ibit, quin sapientia, secundum inferiorem quidem generationem creata, secundum autem primum illam magisque incomprehensibilem genita dicatur?

Τοῦ αὐτοῦ πρὸς τοὺς αὐτοὺς ἐκ τοῦ περὶ Υἱοῦ δευτέρου λόγου.

Ἔστι γὰρ ἓν μὲν αὐτοῖς ἐκεῖνο καὶ λίαν πρόχειρον τὸ, *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ*. Πρὸς ὃ πῶς ἀπαντησόμεθα; Οὐ Σολομῶντος κατηγορήσομεν; οὐ τὰ πρὶν ἀθετήσομεν, διὰ τὴν τελευταίαν παράπτωσιν; οὐχὶ τῆς σοφίας αὐτῆς ἐροῦμεν εἶναι τὸν λόγον, τῆς οἷον ἐπιστήμης καὶ τοῦ τεχνίτου λόγου, καθ' ὃν τὰ πάντα συνέστη; Πολλὰ γὰρ ἡ Γραφὴ προσωποποιεῖν οἶδε καὶ τῶν ἀψύχων, ὡς τὸ, *Ἡ θάλασσα εἶπε τάδε καὶ τάδε*. Καὶ, *Ἡ ἄβυσσος εἶπεν· Οὐκ ἔστιν ἐν ἐμοί*· καὶ, *Οἱ οὐρανοὶ διηγούμενοι δόξαν Θεοῦ*. Καὶ πάλιν ῥομφαίᾳ τι διακελεύεται, καὶ ὄρη καὶ βουνοὶ λόγους ἐρωτῶνται σκιρτήσεως. Τούτων οὐδέν φαμεν, εἰ καί τισι τῶν πρὸ ἡμῶν ὡς ἰσχυρὰ τέθειται. Ἀλλ' ἔστω τοῦ Σωτῆρος αὐτοῦ, τῆς ἀληθινῆς Σοφίας, ὁ λόγος. Μικρὸν δὲ συνδιασκεψώμεθα· Τί τῶν ὄντων ἀναίτιον; Θεότης. Οὐδεὶς γὰρ αἰτίαν εἰπεῖν ἔχει Θεοῦ· ἢ τοῦτο ἂν εἴη Θεοῦ πρεσβύτερον. Τίς δὲ τῆς ἀνθρωπότητος, ἣν δι' ἡμᾶς ὑπέστη Θεὸς, αἰτία; Τὸ σωθῆναι πάντως ἡμᾶς. Τί γὰρ ἕτερον; Ἐπειδὴ τοίνυν ἐνταῦθα, καὶ τὸ *ἔκτισε*, καὶ τὸ *γεννᾷ με*, σαφῶς εὑρίσκομεν, ἁπλοῦς ὁ λόγος. Ὃ μὲν ἂν μετὰ τῆς αἰτίας εὑρίσκωμεν, προσθῶμεν τῇ ἀνθρωπότητι· ὃ δὲ ἁπλοῦν καὶ ἀναίτιον, τῇ θεότητι λογισώμεθα. Ἆρ' οὖν οὐ τὸ μὲν *ἔκτισεν* εἴρηται μετὰ τῆς αἰτίας; *Ἔκτισε γάρ με*, φησὶν, *ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ*. Ἔργα δὲ χειρῶν αὐτοῦ, ἀλήθεια καὶ κρίσις, ὧν ἕνεκεν ἐχρίσθη θεότητι. Χρίσις γὰρ αὕτη τῆς ἀνθρωπότητος. Τὸ δὲ *γεννᾷ με*, χωρὶς αἰτίας ἢ δεῖξόν τι τούτῳ προσκείμενον. Τίς οὖν ἀντερεῖ λόγος, κτίσμα μὲν λέγεσθαι τὴν σοφίαν, κατὰ τὴν κάτω γέννησιν, γέννημα δὲ, κατὰ τὴν πρώτην καὶ πλέον ἄληπτον;

Huic velut consectarium est, quod etiam servus dicitur [9], et multis bene serviens [10]; illudque item, quod magnum atque amplum ipsi sit Filium Dei vocari [11]. Haud dubie quippe carni, et generationi, et affectionibus nostris, libertatis nostræ causa servivit, ac denique omnibus illis, per

Τούτῳ δὲ ἕπεται καὶ τὸ, δοῦλον ἀκούειν εὖ δουλεύοντα πολλοῖς. Καὶ τὸ, μέγα εἶναι αὐτῷ κληθῆναι Παῖδα Θεοῦ. Τῷ ὄντι γὰρ ἐδούλευσε σαρκὶ, καὶ γενέσει, καὶ πάθεσι τοῖς ἡμετέροις, διὰ τὴν ἡμετέραν ἐλευθερίαν, καὶ πᾶσιν οἷς σέσωκεν ὑπὸ τῆς ἁμαρτίας κατεχομένοις. Τί δὲ μεῖζον ἀνθρώπου

[1] Prov. VIII, 22. [2] Job XXVIII, 14. [3] ibid. [4] Psal. XVIII, 1. [5] Zach. XIII, 17. [6] Psal. CXIII, 4. [7] Prov. VIII, 22. [8] Psal. CX, 7. [9] Isa. XLIX, 6. [10] Isa. LIII, 11. [11] Luc. I, 35.

ταπεινότητι, ἢ Θεῷ πλακῆναι, καὶ γενέσθαι Θεὸν ἐκ τῆς μίξεως, καὶ τοσοῦτον ἐπισκεφθῆναι Ἀνατολῇ ἐξ ὕψους, ὥστε καὶ τὸ γεννώμενον ἅγιον Υἱὸν Ὑψίστου κληθῆναι, καὶ χαρισθῆναι αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα; Τοῦτο δὲ τί ποτε ἄλλο ἐστὶν ἢ *Θεός*; Καὶ τὸ, πᾶν γόνυ κάμψαι τῷ κενωθέντι δι' ἡμᾶς, καὶ τὴν θείαν εἰκόνα δουλικῇ μορφῇ συγκεράσαντι, *καὶ γνῶναι πάντα οἶκον Ἰσραὴλ, ὅτι καὶ Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησεν*. Γέγονε γὰρ ταῦτα ἐνεργείᾳ μὲν τοῦ γεννήματος, εὐδοκίᾳ δὲ τοῦ γεννήτορος.

quæ eos, qui a peccato detinebantur, in salutem asseruit. Quid autem majus et honorificentius hominis humilitati contingere queat, quam Deo copulari, atque ex illa mistione Deum effici, tantumque ab Oriente ex alto visitari [1], ut illud etiam sanctum, quod gignebatur, Altissimi Filius vocaretur [2], eoque nomine donaretur, quod est super omne nomen [3]? Quod porro aliud nomen illud est, quam *Deus*? Atque istud, omne genu ante eum flectatur [4], qui nostra causa exinanitus est, ac divinam imaginem servili formæ conjunxit, *sciatque omnis domus Israel, quia et Dominum eum et Christum fecit Deus* [5]. Hæc enim factus est, opera quidem ejus qui genitus est, bona autem voluntate genitoris.

Δεύτερον δὲ τί τῶν μεγίστων αὐτοῖς καὶ ἀμάχων; Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρι τοῦδε, καὶ ὑπ' οὐρανοῦ δεχθῆναι ἄχρι χρόνων ἀποκαταστάσεως, καὶ τὴν ἐκ δεξιῶν καθέδραν ἔχειν, ἕως τῆς τῶν ἐχθρῶν ἐπικρατήσεως. Τὸ μετὰ τοῦτο δὲ τί; Λῆξαι τῆς βασιλείας, ἢ τῶν οὐρανῶν ἀποστῆναι; Τίνος παύσοντος; ἢ δι' ἥντινα τὴν αἰτίαν; Ὡς τολμηρὸς ἐξηγητὴς σὺ, καὶ λίαν ἀβασίλευτος! Καὶ μὴν ἀκούεις τῆς βασιλείας αὐτοῦ μὴ εἶναι πέρας. Ἀλλὰ τοῦτο πάσχεις, παρὰ τὸ μὴ γινώσκειν, ὅτι τὸ, ἕως, οὐ πάντως ἀντιδιαιρεῖ τῷ μέλλοντι, ἀλλὰ τὸ μέχρι μὲν τοῦδε, τίθησι· τὸ ὑπὲρ τοῦτο δὲ, οὐκ ἀναίνεται. Ἢ πῶς νοήσεις, ἵνα μὴ τἄλλα λέγω, τό· *Ἔσομαι μεθ' ὑμῶν ἕως τῆς συντελείας τοῦ αἰῶνος*; Ἆρ' ὡς μετὰ τοῦτο οὐκ ἔτι ἐσομένου; Καὶ τίς ὁ λόγος; Οὐ μόνον δὲ, ἀλλὰ καὶ παρὰ τὸ μὴ διαιρεῖν τὰ σημαινόμενα. Βασιλεύειν γὰρ λέγεται, καθ' ἓν μὲν, ὡς Παντοκράτωρ, καὶ θελόντων, καὶ μὴ, βασιλεύς· καθ' ἕτερον δὲ, ὡς ἐνεργῶν τὴν ὑποταγὴν, καὶ ὑπὸ τὴν ἑαυτοῦ βασιλείαν τιθεὶς ἡμᾶς, ἑκόντας δεχομένους τὸ βασιλεύεσθαι. Τῆς μὲν οὖν ἐκείνως νοουμένης βασιλείας οὐκ ἔσται πέρας· τῆς δευτέρας δὲ, τί; Τὸ λαβεῖν ἡμᾶς ὑπὸ χεῖρα σωζομένους. Τί γὰρ δεῖ τὴν ὑποταγὴν ἐνεργεῖν ὑποτεταγμένων; Μεθ' ἣν ἀνίσταται κρίνων τὴν γῆν, καὶ διαιρῶν τὸ σωζόμενον, καὶ τὸ ἀπολλύμενον· μεθ' ἣν ἵσταται Θεὸς ἐν μέσῳ θεῶν, τῶν σωζομένων, διακρίνων καὶ διαστέλλων, τίνος ἕκαστος τιμῆς καὶ μονῆς ἄξιος.

Quid secundo loco, tanquam maximi atque invicti cujusdam roboris, opponunt? Oportet enim illum regnare [6] huc usque, et a cœlo suscipi usque ad restitutionis tempora [7], et a dextris sedere [8], donec hostes in potestatem redegerit. Quid vero postea? Regnandi finem facere, aut e cœlis expelli? Et quisnam, obsecro, eum e regno ejiciet? Aut quam ob causam? Quam audax enarrator es, nimiumque a regio jugo abhorrens! At regni illius nullum finem [9] fore audis. Verum hæc tibi erroris causa est, quod non intelligis hanc vocem, ἕως (id est, *usque*), non semper futuro tempori opponi, sed ita interjectum tempus statuere, ut interim sequens tempus non excludat. Nam nisi ita res se habeat, quonam modo illud, ut alia prætaream, intelliges: *Ero vobiscum usque ad consummationem sæculi* [10]? An quasi postea minime futurus sit? Et quæ hæc ratio esset? Nec vero hac solum de causa in errorem incidis, sed etiam quia significationes ipsas non distinguis. Regnare enim duplici modo dicitur, uno, ut Omnipotens, ac volentium nolentiumque Rex: altero, ut subjectionem in nobis gignens, et sub imperium suum ac ditionem nos redigens, utpote qui lubenter ipsius regno colla submittimus. Quod ergo ad priorem significationem attinet, regni ipsius finis nullus erit. Quod autem ad secundam, quis erit finis? Ut nos subjectos teneat, servetque. Quid enim opus erit subjectionem in nobis moliri, cum jam ipsi subjecti fuerimus? Quod postquam effecerit, surrecturus est ad judicium de terra ferendum, et secernendos eos qui salutem consequuntur, ab iis qui pereunt; stabitque Deus in medio deorum [11], hoc est, beatorum hominum, ut dijudicet ac distinguat, quo quisque honoris gradu, quaque mansione dignus sit.

Τούτῳ σύναπτε καὶ τὴν ὑποταγὴν, ἣν ὑποτάσσεις τῷ Πατρὶ τὸν Υἱόν. Τί λέγεις, ὡς νῦν οὐχ ὑποτεταγμένου; Δεῖται δὲ ὅλως ὑποταγῆναι Θεῷ Θεὸς ὤν; Ὡς περὶ λῃστοῦ τινος, ἢ ἀντιθέου, ποιῇ τὴν λόγον. Ἀλλ' οὕτω σκόπει· ὅτι ὥσπερ κατάρα ἤκουσε δι' ἐμὲ, ὁ τὴν ἐμὴν λύων κατάραν· καὶ ἁμαρτία, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· καὶ Ἀδὰμ ἀντὶ τοῦ παλαιοῦ γίνεται νέος· οὕτω καὶ τὸ ἐμὸν ἀνυπότακτον ἑαυτοῦ ποιεῖται, ὡς κεφαλὴ τοῦ παντὸς σώματος. Ἕως μὲν οὖν ἀνυπότακτος ἐγὼ καὶ στασιώδης, τῇ τε ἀρνήσει τοῦ Θεοῦ, καὶ τοῖς πάθε-

Huic subjectionem quoque istam adjunge, qua Filium Patri subjicis. Quid ais, quasi jam nunc subjectus non sit [12]? Aut etiam omnino opus est ut Deo subjiciatur, qui et ipse Deus est? Ergo quasi de latrone quodam, aut Dei hoste, verba facis. Verum ita rem expende. Quemadmodum salutis meæ causa maledictum vocatus est [13], qui maledictionem meam solvit; et peccatum, qui mundi peccatum delet [14]; ac pro veteri Adamo, novus Adamus efficitur [15]: ad eumdem quoque modum contumaciam et rebellionem meam sibi asciscit, ut totius corporis

[1] ibid. 78. [2] ibid. 32. [3] Philipp. II, 9. [4] ibid. 10. [5] Act. II, 36. [6] I Cor. xv, 25. [7] Act. III, 21. [8] Psal. cix, 1. [9] Luc. I, 32. [10] Matth. xxviii, 20. [11] Psal. lxxxi, 1. [12] I Cor. xv, 28. [13] Galat. III, 13. [14] II Cor. v, 21 [15] I Cor. xv, 45.

caput. Proinde quandiu inobediens ipse sum ac turbulentus, tum per Dei abnegationem, tum per vitiosas animi permotiones, tandiu inobediens quoque, quantum ad me attinet, Christus dicitur. Cum autem ei omnia subjecta fuerint (subjicientur autem, et per agnitionem, et per immutationem), tum ipse quoque subjectionem impleverit, adducens me, salutem consecutum. Nec enim quidquam aliud est, mea quidem sententia, Christi subjectio, quam paternæ voluntatis expletio. Subjicit autem, et Filius Patri, et vicissim Filio Pater : ille opera sua, hic beneplacito, quemadmodum ante a nobis dictum est. Atque ita eos, qui subjecti sunt, Deo sistit ac repræsentat is, qui subjecit, nostra videlicet sibi vindicans. Eodem in genere mihi illud quoque esse videtur : *Deus, Deus meus, respice in me, quare me dereliquisti* [1] ? Neque enim, quod quidam opinantur, ipse, vel a Patre, vel a sua divinitate, quasi passionem extimuisset, ac propterea sese a perpetiente corpore collegisset, derelictus est. (Quis enim eum, vel primum humanitus gigni, vel in crucem ascendere coegit ?) Verum in seipso, ut dictum est, nostra repræsentavit. Nos enim eramus derelicti illi prius atque contempti; nunc vero per impatibilis illius passiones, assumpti ac servati sumus; quemadmodum nostram quoque insipientiam ac peccatum sibi arrogavit, ut ea, quæ deinceps in psalmo sequuntur, pronuntiant. Siquidem vicesimus primus psalmus manifeste ad Christum refertur.

A σιν, ἀνυπότακτος τὸ κατ' ἐμὲ καὶ ὁ Χριστὸς λέγεται· ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, ὑποταγήσεται δὲ καὶ τῇ ἐπιγνώσει, καὶ τῇ μεταποιήσει, τότε καὶ αὐτὸς τὴν ὑποταγὴν πεπλήρωκε, προσάγων ἐμὲ τὸν σεσωσμένον. Τοῦτο γὰρ ἡ ὑποταγὴ Χριστοῦ, κατά γε τὸν ἐμὸν λόγον, ἡ τοῦ Πατρικοῦ θελήματος πλήρωσις. Ὑποτάσσει δὲ καὶ Υἱὸς Πατρὶ, καὶ Υἱῷ Πατήρ· ὁ μὲν ἐνεργῶν, ὁ δὲ εὐδοκῶν, ὃ καὶ πρότερον εἴπομεν· καὶ οὕτω τὸ ὑποτεταγμένον ὁ ὑποτάξας Θεῷ παρίστησιν, ἑαυτοῦ ποιούμενος τὸ ἡμέτερον. Τοιοῦτον εἶναί μοι φαίνεται καὶ τό· *Ὁ Θεὸς, ὁ Θεός μου, πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με;* Οὐ γὰρ αὐτὸς ἐγκαταλέλειπται, ἢ ὑπὸ τοῦ Πατρὸς, ἢ ὑπὸ τῆς ἑαυτοῦ θεότητος, ὃ δοκεῖ τισιν, ὡς ἂν φοβουμένης τὸ πάθος, καὶ διὰ τοῦτο συστελλομένης ἀπὸ τοῦ B πάσχοντος· (τίς γὰρ ἢ γεννηθῆναι κάτω τὴν ἀρχὴν, ἢ ἐπὶ τὸν σταυρὸν ἀνελθεῖν ἠνάγκασεν;) Ἐν ἑαυτῷ δὲ, ὅπερ εἶπον, τυποῖ τὸ ἡμέτερον. Ἡμεῖς γὰρ ἦμεν οἱ ἐγκαταλελειμμένοι καὶ παρεωραμένοι πρότερον, εἶτα νῦν προσειλημμένοι καὶ σεσωσμένοι τοῖς τοῦ ἀπαθοῦς πάθεσιν· ὥσπερ καὶ τὴν ἀφροσύνην ἡμῶν, καὶ τὸ πλημμελὲς οἰκειούμενος, τὰ ἑξῆς διὰ τοῦ ψαλμοῦ φησιν· ἐπειδὴ προδήλως εἰς Χριστὸν ὁ εἰκοστὸς πρῶτος ψαλμὸς ἀναφέρεται.

Ejusdem speculationis illud etiam est, quod ex his, quæ passus est, obedientiam didicit; quod cum clamore et lacrymis supplicarit; quod exauditus sit pro sua reverentia [2] ; quæ omnia nomine nostro mirabiliter efficiuntur et contexuntur. Nam, ut Verbum, nec obediens erat, nec inobediens. Hæc namque iis, qui aliorum imperio tenentur, quique secundæ classis sunt, conveniunt ; illud scilicet, probis atque honestis, istud vero, improbis ac supplicio dignis. Ut autem servi forma, ad conservos, imo ad servos sese demittit, atque alienam formam suscipit, totum me simul, cum iis quæ mea sunt, in seipso ferens, ut, quod deterius est, in seipso absumat, et conficiat, non secus ac ceram ignis, aut terræ vaporem solis radius, atque ipse ob hujusmodi conjunctionem bonorum illius particeps fiam. Quocirca re ipsa obedientiam honore afficit, eamque perpetiendis doloribus experitur ; neque enim sufficiebat animi affectio, quemadmodum nec nobis, nisi manum quoque operibus admoveamus : opus enim, affectionis animi declaratio est. Nec forte pejus fuerit existimare, quod obedientiam nostram exploret, passionibusque suis omnia metiatur, arte quadam humanitatis et benevolentiæ erga genus nostrum : ita ut ex suis nostra æstimare queat, quantumque et a nobis exigi et condonari debeat, expensa nimirum cum passionibus virium nostrarum imbecillitate. Addam illud quoque iis quæ dicta sunt, locum hunc mecum reputans : *In quo enim passus est, ipse tentatus, potest iis, qui tentantur, auxiliari* [3], quod perspicue ad eumdem sensum tendit.

Τῆς δὲ αὐτῆς ἔχεται θεωρίας, καὶ τὸ μαθεῖν αὐτὸν τὴν ὑπακοὴν ἐξ ὧν ἔπαθεν· ἥ τε κραυγὴ, καὶ τὰ δάκρυα, καὶ τὸ ἱκετεῦσαι, καὶ τὸ εἰσακουσθῆναι, καὶ τὸ εὐλαβές· ἃ δραματουργεῖται καὶ πλέκεται C θαυμασίως ὑπὲρ ἡμῶν. Ὡς μὲν γὰρ Λόγος, οὔτε ὑπήκοος ἦν, οὔτε ἀνήκοος. Τῶν γὰρ ὑπὸ χεῖρα ταῦτα, καὶ τῶν δευτέρων· τὸ μὲν τῶν εὐγνωμονεστέρων, τὸ δὲ τῶν ἀξίων κολάσεως. Ὡς δὲ δούλου μορφὴ, συγκαταβαίνει τοῖς ὁμοδούλοις καὶ δούλοις, καὶ μορφοῦται τὸ ἀλλότριον, ὅλον ἐν ἑαυτῷ ἐμὲ φέρων μετὰ τῶν ἐμῶν, ἵνα ἐν ἑαυτῷ δαπανήσῃ τὸ χεῖρον, ὡς κηρὸν πῦρ, ἢ ὡς ἀτμίδα γῆς ἥλιος, κἀγὼ μεταλάβω τῶν ἐκείνου διὰ τὴν σύγκρασιν. Διὰ τοῦτο ἔργῳ τιμᾷ τὴν ὑπακοὴν, καὶ πειρᾶται ταύτης, ἐκ τοῦ παθεῖν· οὐ γὰρ ἱκανὸν ἡ διάθεσις, ὥσπερ οὐδὲ ἡμῖν, εἰ μὴ καὶ διὰ τῶν πραγμάτων χωρήσαιμεν· ἔργον γὰρ, ἀπόδειξις διαθέσεως. Οὐ χεῖρον δὲ ἴσως κἀκεῖνο ὑπολαβεῖν, ὅτι δοκιμάζει τὴν ἡμετέραν D ὑπακοὴν, καὶ πάντα μετρεῖ τοῖς ἑαυτοῦ πάθεσι τέχνῃ φιλανθρωπίας· ὥστε ἔχειν εἰδέναι τοῖς ἑαυτοῦ τὰ ἡμέτερα, καὶ πόσον μὲν ἀπαιτούμεθα, πόσον δὲ συγχωρούμεθα, λογιζομένης μετὰ τοῦ πάσχειν καὶ τῆς ἀσθενείας. Ἔτι δὲ προσθήσω τοῖς εἰρημένοις ἐκεῖνο, ἐνθυμηθεὶς τὸ, *Ἐν ᾧ γὰρ πέπονθεν, αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι*, σαφῶς πρὸς τὴν αὐτὴν φέρον διάνοιαν.

[1] Psal. XXI, 1. [2] Hebr. V, 8, 7. [3] Hebr. II, 18.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἔσται δὲ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν, ἐν τῷ καιρῷ τῆς ἀποκαταστάσεως· οὐχ ὁ Πατὴρ, πάντως εἰς αὐτὸν ἀναλυθέντος τοῦ Υἱοῦ, ὥσπερ εἰς πυρὰν μεγάλην λαμπάδος πρὸς καιρὸν ἀποσπασθείσης, εἶτα συναφθείσης, μηδὲ γὰρ Σαβέλλιοι τῷ ῥητῷ τούτῳ παραφθειρέσθωσαν, ἀλλ' ὅλος Θεὸς, ὅταν μηκέτι πολλὰ ὦμεν, ὥσπερ νῦν τοῖς κινήμασι καὶ τοῖς πάθεσιν, οὐδὲν ὅλως Θεοῦ, ἢ ὀλίγον ἐν ἡμῖν αὐτοῖς φέροντες, ἀλλ' ὅλοι θεοειδεῖς, ὅλου Θεοῦ χωρητικοὶ καὶ μόνου· τοῦτο γὰρ ἡ τελείωσις, πρὸς ἣν σπεύδομεν· τεκμηριοῖ δὲ μάλιστα Παῦλος αὐτός· ὃ γὰρ ἐνταῦθα περὶ Θεοῦ φησιν ἀορίστως, ἀλλαχοῦ σαφῶς περιορίζει Χριστῷ. Τί λέγων; *Ὅπου οὐκ ἔνι Ἕλλην, οὐδὲ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος· ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι Χριστός.*

Τρίτον, ἀρίθμει τὸ, *μεῖζον*· τέταρτον τὸ, *Θεόν μου καὶ Θεὸν ὑμῶν*. Εἰ μὲν οὖν *μείζων* μὲν ἐλέγετο, μὴ ἴσος δὲ, τάχα ἂν ἦν τι τοῦτο αὐτοῖς· εἰ δὲ ἀμφότερα σαφῶς εὑρίσκομεν, τί φήσουσιν οἱ γεννάδαι; τί τὸ ἰσχυρὸν αὐτοῖς; πῶς συμβήσεται τὰ ἀσύμβατα; τὸ γὰρ αὐτὸ τοῦ αὐτοῦ ὁμοίως μεῖζον καὶ ἴσον εἶναι, τῶν ἀδυνάτων· ἢ δῆλον, ὅτι τὸ μεῖζον μέν ἐστι τῆς αἰτίας, τὸ δὲ ἴσον, τῆς φύσεως; καὶ τοῦτο ὑπὸ πολλῆς εὐγνωμοσύνης ὁμολογοῦμεν ἡμεῖς. Τάχα δ' ἂν εἴποι τις ἄλλος τῷ ἡμετέρῳ λόγῳ προσφιλονεικῶν, μὴ ἔλαττον εἶναι τὸ ἐκ τοιαύτης αἰτίας εἶναι τοῦ ἀναιτίου. Τῆς τε γὰρ τοῦ ἀνάρχου δόξης μετέχοι ἂν, ὅτι ἐκ τοῦ ἀνάρχου· καὶ πρόσεστιν ἡ γέννησις, πρᾶγμα τοσοῦτο, τοῖς γε νοῦν ἔχουσι, καὶ οὕτω σεβάσμιον. Τὸ γὰρ δὴ λέγειν, ὅτι τοῦ κατὰ τὸν ἄνθρωπον νοουμένου μείζων, ἀληθὲς μὲν, οὐ μέγα δέ· τί γὰρ θαυμαστὸν, εἰ μείζων ἀνθρώπου Θεός; Ταῦτα μὲν οὖν εἰρήσθω πρὸς τοὺς τὸ *μεῖζον* κομπάζοντας.

Θεὸς δὲ λέγοιτο ἂν, οὐ τοῦ Λόγου, τοῦ ὁρωμένου δέ· πῶς γὰρ ἂν εἴη τοῦ κυρίως Θεοῦ Θεός; Ὥσπερ καὶ Πατὴρ, οὐ τοῦ ὁρωμένου, τοῦ Λόγου δέ· καὶ γὰρ ἦν διπλοῦς· ὥστε τὸ μὲν κυρίως ἐπ' ἀμφοῖν, τὸ δὲ οὐ κυρίως, ἐναντίως ἢ ἐφ' ἡμῶν ἔχει. Ἡμῶν γὰρ κυρίως μὲν Θεὸς ὁ Θεὸς, οὐ κυρίως δὲ Πατήρ. Καὶ τοῦτό ἐστιν ὃ ποιεῖ τοῖς αἱρετικοῖς τὴν πλάνην, ἡ τῶν ὀνομάτων ἐπίζευξις, ἐπαλλαττομένων τῶν ὀνομάτων διὰ τὴν σύγκρασιν. Σημεῖον δὲ, ἡνίκα αἱ φύσεις διΐστανται ταῖς ἐπινοίαις, συνδιαιρεῖται καὶ τὰ ὀνόματα. Παύλου λέγοντος ἄκουσον· *Ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης*. Χριστοῦ μὲν Θεὸς, τῆς δὲ δόξης Πατήρ· εἰ γὰρ καὶ τὸ συναμφότερον ἓν, ἀλλ' οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ τούτων. Τί ἂν γένοιτο γνωριμώτερον;

Πέμπτον λεγέσθω τὸ, λαμβάνειν αὐτὸν ζωὴν,

Ex eadem oratione.

Sicut etiam: *Erit autem Deus omnia in omnibus*[1] illo restitutionis tempore; non utique Pater, resoluto videlicet in ipsum Filio, non secus ac si fax aliqua ad aliquod tempus ab ingenti rogo abstracta, in eum rursus (adjungatur neque enim Sabelliani his verbis abutantur), sed totus Deus; tum nempe, cum jam non multi erimus, sicut nunc sumus ratione motuum et affectionum, nihil omnino Dei gestantes in nobis, aut saltem parum, sed toti deiformes, totiusque ac solius Dei capaces: hæc enim ea perfectio est, ad quam omni celeritate properamus; quod quidem Paulus ipse maxime conjicit; quod enim hic de Deo indefinite ait, alio loco apertissimis verbis Christo sigillatim attribuit. Quibus verbis? *Ubi non est Græcus, non Judæus, circumcisio et præputium, barbarus et Scytha, servus et liber; sed omnia et in omnibus Christus*[2].

Tertio loco vocem hanc, *major*[3], numerant: quarto item, *Deum meum et Deum vestrum*[4]. Sane, si major quidem diceretur, non item æqualis, fortasse vim aliquam haberet quod afferunt. Cum autem utrumque inveniri liquido constet, quid tandem generosi homines dicent? Quid roboris habebunt? Quomodo convenient, quæ convenire nequeunt? Idem enim seipso majus, pariterque sibi ipsi æquale, fieri non potest. Nonne ergo perspicuum est majoris vocem ad causam, æqualis autem ad naturam referendam esse? Ac nos istud ingenue admodum et candide confitemur. Fortasse autem dixerit alius quispiam, sermonem nostrum acriori animi contentione prosequens, inferius habendum non esse, ab hujusmodi causa, causæ omnis experte, proficisci. Nam et quia ab eo, qui principio caret, originem trahit, ejus quoque gloriæ partem sibi vindicat: et accedit insuper generationis prærogativa, res tanta, tamque veneranda, iis quidem certe, qui mente præditi sunt. Nam, quod ratione humanitatis Pater Filio major intelligendus sit, vere quidem dici potest, sed non perinde honorifice: quid enim mirum, Deum homine majorem esse? Atque hæc mihi dicta sint adversus eos, qui *majoris* vocem insolentius jactant.

Quod autem ad alteram partem attinet, Deus dicitur, non ratione Verbi, sed partis quæ in oculorum sensum cadit (quo enim modo illius, qui proprie Deus est, Deus dici queat?). Quemadmodum Pater, non humanitatis, sed Verbi respectu; duplici quippe natura constabat; quo fit ut alterum de eo proprie dicatur, alterum improprie: contra quam in nobis se res habet. Deus enim proprie Deus noster est, non autem proprie Pater. Atque hoc est quod hæreticos in errorem inducit, nempe nominum horum conjunctio, permutatis videlicet inter se nominibus propter utriusque naturæ connexionem. Argumento est, quod cum naturæ animo et cogitatione distinguuntur, simul quoque nomina dividuntur. Audi Paulum his verbis loquentem, *Ut Deus Domini nostri Jesu Christi, Pater ille gloriæ*[5]. Vides quomodo Christi quidem Deus, gloriæ autem Pater dicatur: quamvis enim hæc duo unum efficiant, id tamen non natura fit, sed eorum coitione. Quid his apertius et manifestius esse queat?

Quintum numeretur, quod vitam[6], aut ju-

[1] I Cor. xv, 28. [2] Galat. iii, 28. [3] Joan. xiv, 28. [4] Joan. xx, 17. [5] Ephes. i, 17. [6] Joan. v, 26.

dicium [1], aut gentium hæreditatem [2], aut carnis omnis potestatem [3], aut gloriam [4], aut discipulos, cæteraque ejusdem generis, accipere dicitur; hoc quoque ad humanitatem spectat. Quanquam ut hæc etiam Deo tribuamus, nulla inde absurditas consequetur: non enim velut ascititia ei tribuemus, sed velut quæ a principio una cum ipso exstiterint, non ratione gratiæ, sed naturæ.

A ἢ κρίσιν, ἢ κληρονομίαν ἐθνῶν, ἢ ἐξουσίαν πάσης σαρκὸς, ἢ δόξαν, ἢ μαθητὰς, ἢ ὅσα λέγεται, καὶ τοῦτο τῆς ἀνθρωπότητος. Εἰ δὲ καὶ τῷ Θεῷ δοίης, οὐκ ἄτοπον· οὐ γὰρ ὡς ἐπίκτητα δώσεις, ἀλλ' ὡς ἀπ' ἀρχῆς συνυπάρχοντα, καὶ λόγῳ φύσεως, ἀλλ' οὐ χάριτος.

Sexto loco ponatur, quod *Non potest Filius a seipso facere quidquam, nisi id viderit Patrem facientem* [5]. Quæ verba ejusmodi sensu explicanda sunt: *Posse*, vel *non posse*, non uno modo dicitur; variam enim ac multiplicem significationem habet. Nonnunquam enim secundum virium defectum dicitur, et certi temporis ac personæ ratione habita: ut quod puer luctari non possit, aut catulus cernere, aut cum aliquo dimicare: luctabitur enim fortasse aliquando, et cernet, et cum hoc dimicabit, etiamsi cum altero nequeat. Interdum de eo dicitur, quod sæpenumero contingit, ut illud: *Non potest civitas abscondi supra montem posita* [6]. Fieri enim potest, ut quædam civitas abscondatur, majori nimirum aliquo monte ipsius aspectum impediente. Impossibile etiam dicitur, quod minime æquum est, rationique consentaneum; cujus generis est illud: *Non possunt filii sponsi jejunare, quandiu præsens est sponsus* [7]; sive eum intelligas, qui corporeis oculis cernitur (neque enim ærumnæ atque afflictionis tempus erat illud tempus, quo Christus cum discipulis versabatur), sive eum ut Verbum species: quid enim eos corporeo modo jejunare necesse est, qui a Verbo purgantur? Quarta significatione hoc fieri non posse dicitur, a quo nostra voluntas abhorret; cujusmodi est illud: *Non poterat illic signa facere propter incredulitatem eorum* [8], qui ea excipiebant: quoniam enim ad morborum depulsiones utrumque accedere necesse est, nempe ut et ægroti fidem, et medici vim et facultatem medendi afferant, idcirco alterum, deficiente altero, minime contingebat. Haud scio autem, an hoc quoque non adjungendum sit, ad id quod rationi consentaneum est: neque enim iis medicinam afferre conveniebat, quibus incredulitas detrimentum allatura erat. Quo etiam in ordine ponendum est illud: *Non potest mundus odisse vos* [9]; et, *Quomodo potestis bona loqui, cum sitis mali* [10]? Quo enim pacto quidquam horum impossibile est, nisi quia voluntas repugnat? Jam illud quoque impossibile dicitur, quod natura quidem impossibile est, Deo autem volenti possibile; quo in genere est illud: Eumdem hominem bis nasci non posse [11], nec acu camelum admitti [12]: quid enim prohibeat quominus hæc fiant, si Dei voluntas ita tulerit?

Ἕκτον τιθέσθω τὸ *μὴ δύνασθαι τὸν Υἱὸν ἀφ' ἑαυτοῦ ποιεῖν μηδὲν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα.* Τοῦτο δὲ τοιοῦτόν ἐστιν· οὐ τῶν καθ' ἕνα τρόπον λεγομένων, τὸ *δύνασθαι*, ἢ *μὴ δύνασθαι*· πολύσημον δέ. Τὸ μὲν γάρ τι λέγεται κατὰ δυνάμεως ἔλλειψιν, καὶ ποτὲ, καὶ πρός τι, ὡς τὸ, μὴ δύνασθαι τὸ παιδίον ἀθλεῖν, ἢ τὸ σκυλάκιον
B βλέπειν, ἢ πρὸς τόνδε διαγωνίζεσθαι· ἀθλήσει γὰρ ἴσως ποτὲ, καὶ ὄψεται, καὶ διαγωνιεῖται πρὸς τόνδε, κἂν πρὸς ἕτερον ἀδυνάτως ἔχῃ. Τὸ δὲ, ὡς ἐπὶ πλεῖστον, ὡς τό· *Οὐ δύναται πόλις κρυβῆναι ἐπ' ἄνω ὄρους κειμένη.* Τάχα γὰρ ἂν καὶ κρυφθείη τις, ἐπιπροσθοῦντος μείζονος. Τὸ δὲ, ὡς οὐκ εὔλογον, ὡς τό· *Οὐ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος νηστεύειν, ἐφ' ὅσον ἔνδημος ὁ νυμφίος*· εἴτε ὁ σωματικῶς ὁρώμενος (οὐ γὰρ κακοπαθείας, ἀλλ' εὐφροσύνης καιρὸς ὁ τῆς ἐπιδημίας), εἴτε ὡς ὁ Λόγος νοούμενος· τί γὰρ δεῖ νηστεύειν σωματικῶς τοὺς Λόγῳ καθαιρομένους; Τὸ δὲ, ὡς ἀβούλητον, ὡς τὸ, *Μὴ δύνασθαι ἐκεῖ σημεῖα ποιῆσαι, διὰ τὴν ἀπιστίαν τῶν δεχομένων*· ἐπειδὴ γὰρ τοῦ συναμφοτέρου χρεία πρὸς τὰς ἰάσεις, καὶ τῆς τῶν θεραπευομένων πίστεως, καὶ
C τῆς τοῦ θεραπευτοῦ δυνάμεως, οὐκ ἐνεδέχετο τὸ ἕτερον τοῦ συζύγου ἐλλείποντος. Οὐκ οἶδα δὲ, εἰ μὴ καὶ τοῦτο τῷ εὐλόγῳ προσθετέον· οὐ γὰρ εὔλογος ἴασις τοῖς βλαβησομένοις ἐξ ἀπιστίας. Τοῦ δὲ αὐτοῦ λόγου, καὶ τό· *Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς*· καὶ, *Πῶς δύνασθε ἀγαθὰ λαλεῖν, πονηροὶ ὄντες;* Πῶς γὰρ ἀδύνατόν τι τούτων, ἢ ὅτι ἀβούλητον; Ἔστι δέ τι καὶ τοιοῦτον ἐν τοῖς λεγομένοις, ὃ τῇ φύσει μὲν ἀδύνατον, Θεῷ δὲ δυνατὸν βουληθέντι, ὡς τὸ, μὴ δύνασθαι τὸν αὐτὸν γεννηθῆναι δεύτερον, καὶ ῥαφὶς οὐκ εἰσδεχομένη κάμηλον· τί γὰρ ἂν καὶ κωλύσειε γενέσθαι ταῦτα, Θεοῦ θελήσαντος;

Præter hos omnes modos impossibile dicitur quod nulla omnino ratione fieri potest, ut quod nunc exquirimus. Ut enim impossibile esse dicimus Deum malum esse, aut omnino non esse (hoc enim Dei impotentiam potius atque imbecillitatem, quam potentiam arguerit); aut ut sit, quod non est, aut ut bis duo simul et quatuor sint et decem: ita nec fieri ullo modo potest, ut Filius aliquid faciat, quod Pater non faciat. *Omnia enim quæ Pater habet, sunt Filii* [13]· quemad-

D Τούτων δὲ πάντων ἐκτὸς, τὸ παντελῶς ἀδύνατον καὶ ἀνεπίδεκτον, ὡς ὃ νῦν ἐξετάζομεν. Ὡς γὰρ ἀδύνατον εἶναι λέγομεν, πονηρὸν εἶναι Θεὸν, ἢ μὴ εἶναι· τοῦτο γὰρ ἀδυναμίας ἂν εἴη μᾶλλον Θεοῦ, ἤπερ δυνάμεως· ἢ τὸ μὴ ὂν εἶναι, ἢ τὰ δὶς δύο καὶ τέσσαρα εἶναι καὶ δέκα· οὕτως ἀδύνατον καὶ ἀνεγχώρητον ποιεῖν τι τὸν Υἱὸν, ὧν οὐ ποιεῖ ὁ Πατήρ. *Πάντα γὰρ ὅσα ἔχει ὁ Πατὴρ, τοῦ Υἱοῦ ἐστιν*· ὡς ἔμπαλιν τὰ τοῦ Υἱοῦ, τοῦ Πατρός. Οὐδὲν οὖν ἴδιον, ὅτι κοινά· ἐπεὶ καὶ αὐτὸ τὸ εἶναι κοινὸν καὶ ὁμότιμον, εἰ καὶ

[1] Joan. v, 27. [2] Psal. ii, 8. [3] Joan. xvii, 2. [4] Apoc. v, 12. [5] Joan. v, 23. [6] Matth. v, 14. [7] Matth. ix, 15. [8] Matth. xiii, 58. [9] Joan. vii, 7. [10] Matth. xii, 34. [11] Joan. iii, 4. [12] Matth. xix, 24. [13] Joan. xvi, 15.

τῷ Υἱῷ παρὰ τοῦ Πατρός. Καθ' ὃ καὶ λέγεται καὶ τό· *Ἐγὼ ζῶ διὰ τὸν Πατέρα*· οὐχ ὡς ἐκεῖθεν αὐτῷ τοῦ ζῆν, καὶ τοῦ εἶναι συνεχομένου, ἀλλ' ὡς ἐκεῖθεν ὑπάρχοντος ἀχρόνως καὶ ἀναιτίως. Βλέπει δὲ τὸν Πατέρα ποιοῦντα, πῶς, καὶ οὕτω ποιεῖ; ἆρα ὡς οἱ τὰς μορφὰς γράφοντες, καὶ τὰ γράμματα, διὰ τὸ μὴ εἶναι τῆς ἀληθείας ἄλλως ἐπιτυχεῖν, εἰ μὴ πρὸς τὸ ἀρχέτυπον βλέποντας, κἀκεῖθεν χειραγωγουμένους; Καὶ πῶς ἡ Σοφία δεῖται τοῦ διδάξοντος; ἢ οὐ ποιήσει τι μὴ διδασκομένη; Ποιεῖ δὲ πῶς ὁ Πατὴρ, ἢ πεποίηκεν; Ἆρα ἄλλον προϋπέστησε κόσμον ἀντὶ τοῦ παρόντος, καὶ ὑποστήσει τὸν μέλλοντα, καὶ πρὸς ἐκεῖνα βλέπων ὁ Υἱὸς, τὸν μὲν ὑπέστησε, τὸν δὲ ὑποστήσει; Τέσσαρες οὖν κόσμοι κατὰ τὸν λόγον τοῦτον, οἱ μὲν Πατρὸς, οἱ δὲ Υἱοῦ ποιήματα. Ὢ τῆς ἀλογίας! Καθαίρει δὲ λέπρας, καὶ δαιμόνων, καὶ νόσων ἀπαλλάττει, καὶ ζωοποιεῖ νεκρούς, καὶ ὑπὲρ θαλάσσης ὁδεύει, καὶ τἄλλα ποιεῖ ὅσα πεποίηκεν, ἐπὶ τίνος, ἢ πότε τοῦ Πατρὸς ταῦτα προενεργήσαντος; Ἢ δῆλον, ὅτι τῶν αὐτῶν πραγμάτων τοὺς τύπους ἐνσημαίνεται μὲν ὁ Πατὴρ, ἐπιτελεῖ δὲ ὁ Λόγος, οὐ δουλικῶς, οὐδὲ ἀμαθῶς, ἀλλ' ἐπιστημονικῶς τε καὶ δεσποτικῶς, καὶ οἰκειότερον εἰπεῖν, πατρικῶς; Οὕτω γὰρ ἐγὼ δέχομαι τὸ, *ἅπερ ὑπὸ τοῦ Πατρὸς γίνεται, ταῦτα καὶ τὸν Υἱὸν ὁμοίως ποιεῖν*· οὐ κατὰ τὴν τῶν γινομένων ὁμοίωσιν, ἀλλὰ κατὰ τὴν τῆς ἐξουσίας ὁμοτιμίαν· καὶ τοῦτο ἂν εἴη τὸ, ἕως ἄρτι καὶ τὸν Πατέρα ἐργάζεσθαι, καὶ τὸν Υἱόν· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὴν, ὧν πεποίηκεν, οἰκονομίαν τε καὶ συντήρησιν, ὡς δηλοῖ τὸ, *ποιεῖσθαι τοὺς ἀγγέλους αὐτοῦ πνεύματα*, καὶ, *θεμελιοῦσθαι τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς*· ἅπαξ ἡδρασμένα τε καὶ γενόμενα· καὶ στερεοῦσθαι βροντὴν, καὶ κτίζεσθαι πνεῦμα, ὧν ἅπαξ μὲν ὁ λόγος ὑπέστη, συνεχὴς δὲ καὶ νῦν ἡ ἐνέργεια.

A modum rursus omnia, quæ Filius, Patris. Nihil ergo peculiare, quia communia omnia, quandoquidem ipsum quoque esse, commune atque æquale est ipsi cum Patre, licet alioqui hoc a Patre Filius habeat. Quo etiam sensu dictum est: *Ego vivo propter Patrem* [1]; non quod ab illo ipsius vita atque essentia sustineatur, verum quod ex illo citra tempus ullum atque causam exsistat. Sed quomodo illud accipiendum, quod Patrem facientem videre dicitur, atque ita facere [2]? an ut qui formas ac litteras pingunt, eo quod veritatem aliter assequi nequeant, nisi exemplar suum intueantur, atque inde velut manu ducantur? Qui vero quadrat, ut Sapientia magistro opus habeat? nihilne efficiet, nisi edocta? B Quid, Paterne aliquid facit, aut fecit? Utrum tandem alium mundum ante hunc coagmentavit, atque alium rursus in posterum coagmentabit, quos Filius sibi ante oculos proponens, alterum quidem jam procreaverit, alterum autem procreaturus sit? Quatuor ergo hac ratione mundi erunt, duo a Patre, duo a Filio effecti? O supinam vecordiam! Age, cum lepras purgat, dæmones et morbos profligat, mortuos ad vitam revocat, mare pedibus peragrat, aliaque omnia facit, in quo tandem, aut quando Pater hæc ante fecit? Nonne perspicuum est, earumdem rerum formas a Patre quidem velut designari, a Filio autem peragi, non serviliter atque indocte, sed perite et heriliter, atque, ut aptius loquar, paterne? In hunc quippe sensum C verba hæc accipio: *Quæcunque Pater facit, eadem et Filius similiter facit* [3]; non quod similia sint utriusque opera, sed quod par sit utriusque potestas atque auctoritas; atque hoc fortasse esse queat, quod et Pater usque modo operari dicitur, et Filius [4]; non autem hoc duntaxat nomine, sed etiam ratione gubernationis et conservationis eorum, quæ facta sunt, ut indicat illud: *Qui facit angelos suos spiritus* [5]; et, *Qui fundat terram super stabilitatem* [6]: cum semel et hæc firmata atque stabilita sit, et illi procreati. Quo etiam pertinet: quod firmare tonitru dicitur [7], et ventum creare [8]: quorum ipsa quidem ratio semel condita est, cæterum nunc quoque perpetua vis est ac facultas.

Ἕβδομον λεγέσθω τὸ καταβεβηκέναι ἐκ τοῦ οὐρανοῦ τὸν Υἱὸν, οὐχ ἵνα ποιῇ τὸ θέλημα τὸ ἑαυτοῦ, ἀλλὰ τὸ τοῦ πέμψαντος. Εἰ μὲν οὖν μὴ παρὰ τοῦ κατεληλυθότος αὐτοῦ ταῦτα ἐλέγετο, εἴπομεν ἂν ὡς παρὰ τοῦ ἀνθρώπου τυποῦσθαι τὸν λόγον, οὐ τοῦ κατὰ τὸν Σωτῆρα νοουμένου (τὸ γὰρ ἐκείνου θέλειν οὐδὲ ὑπεναντίον Θεῷ, θεωθὲν ὅλον) ἀλλὰ τοῦ καθ' ἡμᾶς, ὡς τοῦ ἀνθρωπίνου θελήματος οὐ πάντως ἑπομένου τῷ θείῳ, ἀλλ' ἀντιπίπτοντος, ὡς τὰ πολλὰ, καὶ ἀντιπαλαίοντος. Καὶ γὰρ ἐκεῖνο οὕτως ἐνοήσαμεν τό· *Πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὃ ἐγὼ θέλω, ἀλλὰ τὸ σὸν ἰσχυέτω θέλημα*. Οὔτε γὰρ, εἰ δυνατὸν, ἢ μὴ, τοῦτο ἀγνοεῖν ἐκεῖνον εἰκὸς, οὔτε τῷ θελήματι ἀντεισφέρειν τὸ θέλημα. Ἐπεὶ δὲ, ὡς παρὰ τοῦ προσλαβόντος ὁ λόγος (τοῦτο γὰρ τὸ κατεληλυθὸς), οὐ τοῦ προσλήμματος, οὕτως ἀπαντησόμεθα· οὐχ ὡς ὄντος ἰδίου τοῦ Υἱοῦ θελήματος παρὰ

Septimum proferatur, quod Filius e cœlo descendisse dicitur, non ut voluntatem suam faciat, sed ejus a quo missus est [9]. Sane nisi ab illo ipso, qui descendit, hic sermo haberetur, dicere possemus, hæc verba velut ab homine exprimi, non D qui de Salvatore intelligatur (illius enim voluntas, cum tota deificata sit, Deo procul dubio non adversatur); sed qui nostræ conditionis sit. Humana quippe voluntas divinam non continuo sequitur, verum ut plurimum ei resistit atque obluctatur. Nam illud quoque eodem modo intelligimus: *Pater, si possibile est, transeat a me calix iste; verumtamen non mea, sed tua voluntas vincat* [10]. Neque enim possibile esset, necne ipsum ignorasse verisimile est, nec voluntati voluntatem opposuisse. Sed quoniam partis illius, quæ assumpsit (hoc enim est, quod descendit), non autem partis assumptæ, hic sermo est, ad hunc modum respondebimus: hæc non ita

[1] Joan. vi, 58. [2] Joan. v, 19. [3] Ibid. 33. [4] Ibid. 17. [5] Psal. ciii, 4. [6] Ibid. 5. [7] Job xxxviii, 25. Amos iv, 13. [9] Joan. vi, 38. [10] Matth. xxvi, 39.

dici, quasi propriam voluntatem Filius habeat, atque a Patris voluntate separatam, sed potius quod non habeat · ut, quod colligitur, sit hujusmodi : *Non ut faciam voluntatem meam* [1] : nec enim voluntas mea a tua disjuncta est, sed communis utriusque nostrum, quorum, ut una est deitas, ita una quoque voluntas. Permulta enim ex his, quæ ita dicuntur, a communi dicuntur, nec affirmationis modo, sed inficiationis, ut illud: *Non enim ad mensuram dat Deus Spiritum* [2]. Neque enim dat, nec mensura definitum : nec enim Deus Deum metitur. Ut item illud : *Neque iniquitas mea, neque peccatum meum* [3]. Non enim, quod in eo peccatum sit, hoc sermone utitur, sed quod non sit. Ac rursus: *Non propter justitias nostras, quas fecimus* [4]. Neque enim fecimus. Quod etiam perspicue colligi potest ex his quæ sequuntur. *Quæ est enim*, inquit, *voluntas Patris mei? Ut omnis qui credit in eum, salutem consequatur* [5], ac postremæ resurrectionis compos fiat. An igitur Patris quidem hæc est voluntas, Filii autem minime? an invitus Evangelium prædicat, fidemque apud homines nanciscitur? Quis vero hoc credat? quandoquidem illud quoque, quod ait Filius, sermonem, qui ab auditoribus excipiatur, suum non esse, sed Patris [6], eamdem omnino vim habet. Quomodo enim hoc cujusquam proprium, aut solius esse queat, quod commune est, licet diu, multumque mecum considerem, perspicere nequeo, ac ne alius quidem quisquam, nisi mea me opinio fallit. Si hoc modo voluntatem intelligis, recte intelligis pieque admodum et orthodoxe, ut quidem mea est sententia, imo etiam cujusvis, modo recto judicio præditus sit.

A τὸ τοῦ Πατρὸς, ἀλλ' ὡς οὐκ ὄντος ὁ λόγος· ἵν' ᾖ τε τοιοῦτον τὸ συναγόμενον· *Οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν* οὐδὲ γάρ ἐστι τὸ ἐμὸν τοῦ σοῦ κεχωρισμένον, ἀλλὰ τὸ κοινὸν ἐμοῦ τε καὶ σοῦ, ὧν ὡς μία θεότης, οὕτω καὶ βούλησις. Πολλὰ γὰρ τῶν οὕτω λεγομένων ἀπὸ κοινοῦ λέγεται, καὶ οὐ θετικῶς, ἀρνητικῶς δὲ, ὡς τό· *Οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα.* Οὔτε γὰρ δίδωσιν, οὔτε μεμετρημένον· οὐ γὰρ μετρεῖται παρὰ Θεοῦ Θεός. Καὶ τό· *Οὔτε ἡ ἁμαρτία μου, οὔτε ἡ ἀνομία μου.* Οὐ γὰρ ὡς οὔσης ὁ λόγος, ἀλλ' ὡς οὐκ οὔσης. Καὶ πάλιν τό· *Οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν, ἃς ἐποιήσαμεν·* οὐ γὰρ ἐποιήσαμεν. Δῆλον δὲ τοῦτο κἀν τοῖς ἑξῆς· *Τί γὰρ*, φησὶ, *τὸ θέλημα τοῦ Πατρός; ἵνα πᾶς ὁ πιστεύων εἰς τὸν Υἱὸν σώζηται*, καὶ τυγχάνῃ τῆς B τελευταίας ἀναστάσεως. Ἆρ' οὖν τοῦ Πατρὸς μὲν τοῦτο θέλημα, τοῦ Υἱοῦ δὲ οὐδαμῶς; ἢ ἄκων εὐαγγελίζεται καὶ πιστεύεται; Καὶ τίς ἂν τοῦτο πιστεύσειεν; ἐπεὶ καὶ τὸ, τὸν λόγον τὸν ἀκουόμενον μὴ εἶναι τοῦ Υἱοῦ, τοῦ Πατρὸς δὲ, τὴν αὐτὴν ἔχει δύναμιν. Πῶς γὰρ ἴδιόν τινος τὸ κοινὸν, ἢ μόνου, τοῦτο συνιδεῖν οὐκ ἔχω, πολλὰ σκοπῶν· οἶμαι δὲ, οὐδὲ ἄλλος τις. Ἂν οὕτω διανοῇς (29) περὶ τοῦ θέλειν, ὀρθῶς νοήσεις καὶ λίαν εὐσεβῶς, ὡς ὁ ἐμὸς λόγος, καὶ παντὸς τοῦ εὐγνώμονος.

Octavo illud afferunt : *Ut cognoscant te solum Deum verum, et quem misisti Jesum Christum* [7]; et, *Nemo bonus, nisi solus Deus* [8]. Cujus argumenti perfacilis mihi videtur esse solutio. Si enim hæc verba, *Solum verum*, Patri duntaxat tribueris, ubi tandem Veritatem ipsam collocabis? Etenim si illud, *Soli sapienti Deo* [9]; aut illud, *Soli immortalitatem habenti, lucemque inaccessibilem habitanti* [10]; aut illud denique, *Regi sæculorum immortali, invisibili, soli sapienti Deo* [11], ad hunc modum intellexeris, peribit utique tibi Filius, vel morte, vel tenebris multatus, vel in hoc condemnatus, ut nec sapiens sit, nec rex, nec invisibilis, imo nec omnino Deus, quod caput est eorum, quæ diximus. Quid autem afferri poterit, quin simul cum cæteris rebus, bonitatis quoque, quæ maxime solius Dei est, jacturam faciat? Verum hæc verba : *Ut cognoscant te solum verum Deum*, ad eorum, qui, quanquam falso, dii tamen appellantur, sublationem dici existimo: neque enim adjectum fuisset, *et quem misisti, Jesum Christum*, si, ad eum opposita distinctione submovendum, illa, *solum verum*, pertinuerent, ac non de communi utriusque divinitate sermo esset. Illa autem Christi verba, *Nemo bonus*, eo spectabant, ut tentatori legisperito, qui bonitatem ipsi, tanquam homini, tribuebat, occurreret. Summe enim bonum esse, inquit, solius Dei

C Ὄγδοόν ἐστιν αὐτοῖς τό· *Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν·* καὶ τό· *Οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός.* Τοῦτο δὲ καὶ πάντῃ ῥᾴστην ἔχειν τὴν λύσιν μοι φαίνεται. Εἰ γὰρ τὸ *μόνον ἀληθινὸν* ἐπὶ τοῦ Πατρὸς θήσεις, ποῦ θήσεις τὴν αὐτοαλήθειαν. Καὶ γὰρ εἰ τῷ *μόνῳ σοφῷ Θεῷ*, ἢ τῷ *μόνῳ ἔχοντι ἀθανασίαν, φῶς οἰκοῦντι ἀπρόσιτον*, ἢ *βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ, ἀοράτῳ*, καὶ *μόνῳ Θεῷ*, νοήσεις οὕτως, οἰχήσεταί σοι θάνατον καταχριθεὶς ὁ Υἱὸς, ἢ σκότος, ἢ τὸ μὴ σοφὸς εἶναι, μηδὲ βασιλεὺς, μηδὲ ἀόρατος, μηδὲ ὅλως Θεὸς, ὃ τῶν εἰρημένων κεφάλαιον. Πῶς δαὶ οὐκ ἀπολεῖ μετὰ τῶν ἄλλων καὶ τὴν ἀγαθότητα, ἣ μάλιστα μόνου Θεοῦ; Ἀλλ' οἶμαι τὸ μὲν, *Ἵνα γινώσκωσί σε τὸν μόνον* D *ἀληθινὸν Θεὸν*, ἐπ' ἀναιρέσει λέγεσθαι τῶν οὐκ ὄντων μὲν θεῶν, λεγομένων δέ· οὐ γὰρ ἂν προσέκειτο, *καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν*, εἰ πρὸς ἐκεῖνον ἀντιδιῄρητο τὸ, *μόνον ἀληθινὸν*, ἀλλὰ μὴ κατὰ κοινοῦ τῆς θεότητος ἦν ὁ λόγος. Τὸ δὲ, *Οὐδεὶς ἀγαθὸς*, ἀπάντησιν ἔχει πρὸς τὸν πειράζοντα νομικὸν, ὡς ἀνθρώπῳ, τὴν ἀγαθότητα μαρτυρήσαντα. Τὸ γὰρ ἄκρως ἀγαθὸν, φησὶ, μόνου Θεοῦ, κἂν τοῦτο καὶ ἄνθρωπος ὀνομάζηται, ὡς τὸ, *Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ προβάλλει τὸ ἀγαθόν·* καὶ, *Δώσω τὴν βασιλείαν τῷ ἀγαθῷ ὑπὲρ σέ*, τοῦ Θεοῦ λόγος πρὸς τὸν

[1] Joan. vi, 38. [2] Joan. iii, 34. [3] Psal. lviii, 5. [4] Dan. ix, 18. [5] Joan. vi, 40. [6] Joan. xiv, 24. [7] Joan. xvii, 3. [8] Luc. xviii, 19. [9] Joan. xvi, 27. [10] I Tim. vi, 16. [11] I Tim. i, 17.

Σαοὺλ περὶ τοῦ Δαβὶδ λέγοντος· καὶ τὸ, *Ἀγαθυνον, Κύριε, τοῖς ἀγαθοῖς*· καὶ ὅσα ἄλλα τοιαῦτα λέγεται περὶ τῶν ἐν ἡμῖν ἐπαινουμένων, ἐφ' οὓς ἡ ἀπόῤῥοια τοῦ πρώτου καλοῦ, καὶ κατὰ δεύτερον λόγον ἔφθασεν. Εἰ μὲν οὖν πείθοιμεν τοῦτο, ἄριστον· εἰ δὲ μὴ, τί φήσεις πρὸς τοὺς λέγοντας ἑτέρωθι, τὸν Υἱὸν μόνον εἰρῆσθαι Θεὸν, κατὰ τὰς σὰς ὑποθέσεις. Ἐν τίσι τοῖς ῥήμασιν; ἐν ἐκείνοις· *Οὗτός σου Θεὸς, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν*. Καὶ μετ' ὀλίγα· *Μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη*. Ὅτι μὲν γὰρ οὐ περὶ τοῦ Πατρὸς, ἀλλὰ τοῦ Υἱοῦ τὸ λεγόμενον, ἡ προσθήκη σαφῶς παρίστησιν. Οὗτος γάρ ἐστιν ὁ σωματικῶς ὁμιλήσας ἡμῖν, καὶ μετὰ τῶν κάτω γενόμενος. Εἰ δὲ νικήσειε, κατὰ τοῦ Πατρὸς λέγεσθαι τοῦτο, μὴ τῶν νομιζομένων θεῶν, ἡττήμεθα τὸν Πα- B τέρα, δι' ὧν τοῦ Υἱοῦ κατεσπουδάσαμεν. Καὶ τί ἂν τῆς νίκης ταύτης γένοιτο ἀθλιώτερον ἢ ζημιωδέστερον;

A est [1]: tametsi hoc quoque nomine homo nuncupetur, ut illud: *Bonus homo de bono thesauro profert bonum* [2], et Deus ad Saulem de Davide verba faciens: *Dabo regnum tuum meliori te* [3]. Tum illud: *Benefac, Domine, bonis* [4]; ac denique ea id genus omnia, quæ de his dicuntur, qui hominum laude ac prædicatione florent, ad quos primi illius boni rivus secundario cursu dimanavit. Hæc si tibi persuasimus, commodissime se res habet. Sin minus, quid dicturus es ad eos, qui ex altera parte, juxta id, quod pro causæ tuæ fundamento posuisti, Filium solum Deum dictum esse contendunt. In quibus autem verbis? in istis nimirum: *Hic Deus tuus, et non æstimabitur alius præter eum* [5]. Et paucis interjectis: *Post hæc in terra visus est, et cum hominibus conversatus est* [6]. Nam quod, non de Patre, sed de Filio, sermo habeatur, adjectio hæc aperte declarat. Hic enim est, qui corpoream nobiscum consuetudinem habuit, terrenisque rebus conjunctus est. Quod si illud obtineatur, hæc verba, *Et non æstimabitur alius*, adversus Patrem dici, non adversus eos, qui falsa mortalium opinione dii habentur, quod ad Patrem attinet, per ea utique victi sumus, quibus adversus Filium obnixe contendimus: Qua victoria quid calamitosius et perniciosius esse queat?

Ἔννατον ἐκεῖνο φήσουσι τὸ, *Πάντοτε ζῶν, εἰς τὸ ἐντυγχάνειν ὑπὲρ ἡμῶν*. Εὖ γε καὶ λίαν μυστικῶς τε καὶ φιλανθρώπως. Τὸ γὰρ *ἐντυγχάνειν*, οὐχ, ὡς ἡ τῶν πολλῶν συνήθεια, τὸ ζητεῖν ἐκδίκησιν ἔχει· τοῦτο γάρ πως καὶ ταπεινότητος· ἀλλὰ τὸ πρεσβεύειν ὑπὲρ ἡμῶν τῷ λόγῳ τῆς μεσιτείας· ὡς καὶ τὸ Πνεῦμα ὑπὲρ ἡμῶν ἐντυγχάνειν λέγεται. *Εἷς γὰρ Θεὸς, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησοῦς Χριστός*. Πρεσβεύει C γὰρ ἔτι καὶ νῦν, ὡς ἄνθρωπος, ὑπὲρ τῆς ἐμῆς σωτηρίας, ὅτι μετὰ τοῦ σώματός ἐστιν, οὗ προσέλαβεν, ἕως ἂν ἐμὲ ποιήσῃ Θεὸν τῇ δυνάμει τῆς ἐνανθρωπήσεως, κἂν μηκέτι κατὰ σάρκα γινώσκηται, τὰ σαρκικὰ λέγω πάθη, καὶ, χωρὶς τῆς ἁμαρτίας, ἡμέτερα. Οὕτω δὲ καὶ *παράκλητον ἔχομεν Ἰησοῦν Χριστὸν*, οὐχ ὡς ὑπὲρ ἡμῶν προκαλινδούμενον τοῦ Πατρὸς, καὶ προσπίπτοντα δουλικῶς. Ἄπαγε τὴν δούλην ὄντως ὑπόνοιαν, καὶ ἀναξίαν τοῦ Πνεύματος. Οὔτε γὰρ τοῦ Πατρὸς τοῦτο ἐπιζητεῖν, οὔτε τοῦ Υἱοῦ πάσχειν, ἢ ὡς περὶ Θεοῦ διανοεῖσθαι δίκαιον· ἀλλ' οἷς πέπονθεν, ὡς ἄνθρωπος, πείθει καρτερεῖν, ὡς Λόγος καὶ παραινέτης. Τοῦτο νοεῖταί μοι ἡ παράκλησις.

Nono illud producent: *Semper vivens ad interpellandum pro nobis* [7]. Optime sane ac perquam mystice et benigne. Interpellatio namque non, vulgi more, id sonat, quod est vindictam quærere (hoc enim humilitatis quodammodo esset); sed idem significat, quod pro nobis, mediationis ratione, supplicare; quemadmodum et Spiritus pro nobis intercedere dicitur. *Unus enim Deus unus etiam mediator Dei et hominum, homo Jesus Christus* [8]. Intercedit enim nunc quoque, ut homo, pro mea salute; quoniam cum eo corpore est, quod assumpsit, donec me, assumptæ humanitatis virtute, Deum effecerit, tametsi non jam secundum carnem cognoscatur, hoc est, secundum carnales affectiones, ac, citra peccatum, nostras. Eodem modo *advocatum* quoque *habemus Jesum Christum* [9], non ut nostra causa sese ad Patris pedes advolventem, servilique modo abjicientem. Procul sit ista servilis sane suspicio, Spirituque indigna. Neque enim Patris est hoc exposcere, aut Filii pati: nec de Deo hoc cogitare pium atque æquum est. Sed ex his, quæ humanitus perpessus est, ad tolerantiam me, ut Verbum et exhortator, inducit. Sic ego advocationem hanc intelligendam arbitror.

D

Δέκατον αὐτοῖς ἐστιν ἡ ἄγνοια, καὶ τὸ μηδένα γινώσκειν τὴν τελευταίαν ἡμέραν, ἢ ὥραν, μηδὲ τὸν Υἱὸν αὐτὸν, εἰ μὴ τὸν Πατέρα. Καίτοι πῶς ἀγνοεῖ τι τῶν ὄντων ἡ Σοφία, ὁ ποιητὴς τῶν αἰώνων, ὁ συντελεστὴς καὶ μεταποιητὴς, τὸ πέρας τῶν γενομένων, ὁ οὕτω τὰ τοῦ Θεοῦ γινώσκων, ὡς τὸ πνεῦμα τοῦ ἀνθρώπου τὰ ἐν αὐτῷ; Τί γὰρ ταύτης τῆς γνώσεως τελεώτερον; Πῶς δαὶ τὰ μὲν πρὸ τῆς ὥρας ἀκριβῶς ἐπίσταται, καὶ τὰ οἷον ἐν χρόνῳ τοῦ τέλους, αὐτὴν δὲ ἀγνοεῖ τὴν ὥραν; Αἰνίγματι γὰρ τὸ πρᾶγμα ὅμοιον, ὥσπερ ἂν εἴ τις

Decimo loco ignorantiam ponunt, illudque, quod extremum diem atque horam nemo cognoscat, ac ne Filius quidem ipse, sed solus Pater [10]. At qui fieri potest, ut Sapientia quidquam eorum, quæ sunt, ignoret, ille, inquam, sæculorum factor, ille consummator atque immutator, ille eorum quæ facta sunt finis, quique ea, quæ Dei sunt, perinde novit, ac spiritus hominis ea, quæ in ipso sunt [11]? Quid enim hac cognitione plenius ac perfectius? Qui vero constat, ipsum, ea quidem, quæ horam illam antecedunt, ac quæ velut in ipso finis

[1] Luc. XVIII, 19. [2] Matth. XII, 35. [3] I Reg. XV, 28. [4] Psal. CXXIV, 4. [5] Baruch III, 36. [6] Ibid. 38. [7] Hebr. VII, 25. [8] I Tim. II, 5. [9] I Joan. II, 1. [10] Marc. XIII, 32. [11] I Cor. II, 11.

articulo sunt, exactissime scire, ipsam autem horam ignorare? Ænigmati quippe res hæc similis est: perinde videlicet ac si quis ea, quæ ante murum sunt, certissime se nosse affirmet, murum autem ipsum ignorare se fateatur : aut diei finem probe sciens, noctis principium minime cognoscat : ubi alterius cognitio alterum necessario secum ducit. Eccui igitur dubium esse potest, quin horam quidem, ut Deus, cognitam habeat, ignoret autem ut homo, si quis partem aspectabilem ab ea disjungat, quæ mente sola perspici potest ? Nam quia absolute hoc loco ac sine relatione, Filii nomen ponitur, nec adjungitur, cujus, idcirco hinc nobis ansa porrigitur ita existimandi, ut ignorantiam hanc sensu maxime pio interpretemur, eamque humanitati, non divinitati ascribamus.

A τὰ μὲν πρὸ τοῦ τείχους ἀκριβῶς ἐπίστασθαι λέγοι, αὐτὸ δὲ ἀγνοεῖν τὸ τεῖχος· ἢ τὸ τῆς ἡμέρας τέλος εὖ ἐπιστάμενος, τὴν ἀρχὴν τῆς νυκτὸς μὴ γινώσκειν· ἔνθα ἡ τοῦ ἑτέρου γνῶσις, ἀναγκαίως συνεισάγει τὸ ἕτερον. Ἢ πᾶσιν εὔδηλον, ὅτι γινώσκει μὲν, ὡς Θεὸς, ἀγνοεῖν δέ φησιν, ὡς ἄνθρωπος, ἄν τις τὸ φαινόμενον χωρίσῃ τοῦ νοουμένου; Τὸ γὰρ ἀπόλυτον εἶναι τοῦ Υἱοῦ τὴν προσηγορίαν καὶ ἄσχετον, οὐ προσκειμένου τῷ Υἱῷ τοῦ τινὸς, ταύτην ἡμῖν δίδωσι τὴν ὑπόνοιαν, ὥστε τὴν ἄγνοιαν ὑπολαμβάνειν ἐπὶ τὸ εὐσεβέστερον, τῷ ἀνθρωπίνῳ, μὴ τῷ θείῳ ταύτην λογιζομένους.

Si igitur hæc ratio adversariis satisfacit, hic pedem figemus, nec quidquam amplius a nobis inquiratur. Sin secus, hanc secundam expositionem afferemus; quod quemadmodum singula alia, ita rerum quoque maximarum cognitio in Genitoris honorem ad causam ipsam referenda est. Quin ne exiguum quidem mihi intellecturus videtur, qui sic legerit, ut nostræ memoriæ vir quidam litterarum studiosus, nempe Filium non aliter diem illum vel horam nosse, quam ut Pater. Quid enim hinc colligitur? Quoniam Pater cognoscit, ideo etiam Filius : tanquam videlicet nemo hoc cognoscere ac percipere queat, præter principem illam naturam. Supererat jam de hoc verbo : Mandatum est, de eo etiam, quod Patris mandata servasse, et, quæ placita sunt ei, semper fecisse dicitur [1]; ac insuper de consummatione et exaltatione, ac de eo, quod ex his, quæ passus est, obedientiam didicisse scribitur [2], de sacerdotio [3] item, et oblatione [4], et traditione [5], et oratione ad eum qui a morte salvum eum facere poterat; ad hæc de agonia, et sanguineo sudore, atque oratione [6], et si quid aliud ejusdem est generis, pertractare : nisi cuivis exploratum esset, hujusmodi nomina perpetienti humanitati attribuenda esse, non autem immutabili illi naturæ, atque omni dolore et cruciatu sublimiori.

Εἰ μὲν οὖν οὗτος αὐτάρκης ὁ λόγος, ἐνταῦθα B στησόμεθα, καὶ μηδὲν πλέον ἐπιζητείσθω· εἰ δὲ μὴ, τό γε δεύτερον, ὥσπερ τῶν ἄλλων ἕκαστον, οὕτω δὴ καὶ ἡ γνῶσις τῶν μεγίστων, ἐπὶ τὴν αἰτίαν ἀναφερέσθω τιμῇ τοῦ γεννήτορος. Δοκεῖ δέ μοί τις, μηδ' ἂν ἐκείνως ἀναγνοὺς, ὡς τῶν καθ' ἡμᾶς φιλολόγων τις (56), μικρὸν ἐννοῆσαι, ὅτι οὐδὲ ὁ Υἱὸς ἄλλως οἶδε τὴν ἡμέραν, ἢ τὴν ὥραν, ἢ ὡς ὅτι ὁ Πατήρ. Τὸ γὰρ συναγόμενον, ὁποῖον; Ἐπειδὴ ὁ Πατὴρ γινώσκει, διὰ τοῦτο καὶ ὁ Υἱὸς, ὡς δῆλον ὅτι μηδενὶ γνωστὸν τοῦτο, μηδὲ ληπτὸν, πλὴν τῆς πρώτης φύσεως. Ἐλείπετο περὶ τοῦ ἐντετάλθαι, καὶ τετηρηκέναι τὰς ἐντολὰς, καὶ τὰ ἀρεστὰ αὐτῷ πάντοτε πεποιηκέναι, διαλαβεῖν ἡμᾶς· ἔτι δὲ τελειώσεως, καὶ ὑψώσεως, καὶ τοῦ μαθεῖν, ἐξ ὧν ἔπαθε, C τὴν ὑπακοὴν, καὶ ἀρχιερωσύνης τε καὶ προσφορᾶς καὶ παραδόσεως, καὶ δεήσεως τῆς πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου, καὶ ἀγωνίας, καὶ θρόμβων, καὶ προσευχῆς, καὶ εἴ τι ἄλλο τοιοῦτον· εἰ μὴ πᾶσι πρόδηλον ἦν, ὅτι περὶ τὸ πάσχον τὰ τοιαῦτα τῶν ὀνομάτων, οὐ περὶ τὴν ἄτρεπτον φύσιν, καὶ τοῦ πάσχειν ὑψηλοτέραν.

Ejusdem de dogmate et ordinatione episcoporum.

Pater quidem sine principio est, et principatus esse intelligitur ac dicitur; principium, inquam, ut causa et fons luminis sempiterni. Filius autem non est ille quidem omnino sine principio, sed tamen est rerum omnium principium; principium porro cum dico, ne tempus interjicias, nec inter genitorem et genitum medium aliquid constituas, nec per id, quod inter ea, quæ eamdem æternitatem habent, et conjuncta sunt, male interponis, naturam dividas. Nam si tempus Filio est antiquius, illius procul dubio primum Pater causa fuerit necesse est. Quod si ita est, quo tandem modo temporum factor erit [7], qui sub tempus cadit? Quo item modo Dominus omnium [8], si eum tempus præcesserit, eique dominetur? Principii igitur expers est Pater : nec enim aliunde, nec a se ipso esse habet. Filius autem, si quidem Patrem ut causam accipias, ne-

Ἐκ τοῦ αὐτοῦ λόγου τοῦ περὶ δόγματος καὶ καταστάσεως ἐπισκόπων.

Πατρὸς μὲν, καὶ ἀνάρχου, καὶ ἀρχῆς ἐπινοουμένου καὶ λεγομένου (ἀρχῆς δὲ, ὡς αἰτίου, καὶ ὡς πηγῆς, καὶ ὡς ἀϊδίου φωτός)· Υἱοῦ δὲ, ἀνάρχου μὲν D οὐδαμῶς, ἀρχῆς δὲ τῶν ὅλων· ἀρχὴν δὲ ὅταν εἴπῃς, μὴ χρόνον παρενθῇς, μηδὲ μέσον τι τάξῃς τοῦ γεγεννηκότος καὶ τοῦ γεννήματος, μηδὲ διέλῃς τὴν φύσιν τῷ κακῶς παρεντεθέντι τοῖς συναϊδίοις καὶ συνημμένοις. Εἰ γὰρ χρόνος Υἱοῦ πρεσβύτερος, ἐκείνου δηλαδὴ πρώτως ἂν εἴη αἴτιος ὁ Πατήρ. Καὶ πῶς ποιητὴς χρόνων ὁ ὑπὸ χρόνον; Πῶς δὲ καὶ Κύριος πάντων, εἰ ὑπὸ χρόνου προείληπταί τε καὶ κυριεύεται; Ἄναρχος οὖν ὁ Πατήρ· οὐ γὰρ ἑτέρωθεν αὐτῷ, οὐδὲ παρ' ἑαυτοῦ τὸ εἶναι. Ὁ δὲ Υἱὸς, ἐὰν μὲν ὡς αἴτιον τὸν Πατέρα λαμβάνῃς, οὐκ ἄναρχος· ἀρχὴ γὰρ Υἱοῦ Πατὴρ ὡς αἴτιος· ἐὰν δὲ τὴν ἀπὸ χρόνου νοῇς ἀρχὴν, καὶ ἄναρχος· οὐκ ἄρχεται γὰρ ὑπὸ χρόνου ὁ χρόνων Δεσπότης.

[1] Joan. x, 18; xv, 10; viii, 29. [2] Hebr. v, 9 et seqq. [3] Hebr. vii, 1 seqq. [4] Rom. iv, 25. [5] Galat. ii, 20. [6] Luc. xxii, 44 seq. [7] Hebr. i, 2. [8] Rom. x, 12.

nunquam principio caret; principium enim Filii Pater est, ut causa; sin de tempore principium intellexeris, principii quoque omnis est expers. Neque enim temporum Dominus tempori subjectus est.

Εἰ δὲ, ὅτι τὰ σώματα ὑπὸ χρόνον, διὰ τοῦτο A ἀξιώσεις κεῖσθαι καὶ τὸν Υἱὸν ὑπὸ χρόνον, περιθήσεις καὶ σῶμα τῷ ἀσωμάτῳ· καὶ εἰ ὅτι τὰ παρ' ἡμῖν γεννώμενα, οὐκ ὄντα ποτὲ, εἶτα γινόμενα, διὰ τοῦτο καὶ τὸν Υἱὸν ἀναγκάσεις ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παρεληλυθέναι, συγκρίνεις τὰ ἀσύγκριτα, Θεὸν καὶ ἄνθρωπον, σῶμα καὶ τὸ ἀσώματον· οὐκοῦν καὶ πείσεται καὶ λυθήσεται, ὅτι καὶ τὰ ἡμέτερα σώματα. Σὺ μὲν οὖν ἀξιοῖς διὰ τοῦτο οὕτω γεννᾶσθαι Θεὸν, διότι τὰ σώματα· ἐγὼ δὲ διὰ τοῦτο οὐχ οὕτως, ὅτι οὕτω τὰ σώματα. Ὧν γὰρ τὸ εἶναι οὐχ ὅμοιον, τούτων οὐδὲ τὸ γεννᾷν ὅμοιον· εἰ μὴ καὶ τἄλλα δουλεύσῃ ταῖς ὕλαις, οἷον πάσχων, καὶ λυπούμενος, καὶ πεινῶν, καὶ διψῶν, καὶ ὅσα ἢ σώματος, ἢ τοῦ συναμφοτέρου πάθη. Ἀλλὰ ταῦτα οὐ παραδέ- B χεταί σου ὁ νοῦς· περὶ Θεοῦ γὰρ ὁ λόγος. Μὴ τοίνυν μηδὲ τὴν γέννησιν ἄλλως, ἢ ὡς θεϊκὴν παραδέχου.

Quod si, quia corpora tempori subjacent, idcirco Filium quoque tempori subesse statuas, tunc rei incorporeæ corpus attribues; et si, quoniam ea quæ apud nos gignuntur, cum ante non essent, postea orta sunt, ideo Filium quoque necessario ex nihilo in rerum naturam prodiisse contendis, comparas ea, quæ comparationem omnem respuunt, Deum nempe et hominem, corpus, et id quod corpore vacat. Ergo et patietur, et dissolvetur, atque interibit, quemadmodum et nostra corpora. Tu quidem idcirco Deum ita generari censes, quod corpora ita generentur : ego vero ob id non ita gigni affirmo, quod ea sit corporum gignendorum ratio (quorum enim natura diversa est, horum dispar quoque generandi modus); nisi eum in omnibus aliis quoque rebus corporeæ materiæ servire contendas, hoc est, ut patiatur, et in mœrore versetur, et fame ac siti laboret, omnes denique eas affectiones, quibus, vel corporis, vel conjunctim utriusque partis natura subjecta est, experiatur. Hæc enim vero mens tua non admittit. De Deo quippe sermo est. Ne tu igitur generationem aliter quam ut divinam admitte.

Ἀλλ' εἰ γεγέννηται, πῶς γεγέννηται, φησίν; Ἀπόκριναί μοι, ὦ διαλεκτικὲ σὺ καὶ ἄφυκτε. Εἰ ἔκτισται, πῶς ἔκτισται; κἀμὲ ἀπαίτει τὸ, Πῶς γεγέννηται; Πάθος περὶ τὴν γέννησιν; Πάθος καὶ περὶ τὴν κτίσιν· ἢ γὰρ οὐ πάθος ἡ ἀνατύπωσις, καὶ ἡ φροντὶς, καὶ ἡ τοῦ νοηθέντος ἀθρόως εἰς τὸ κατὰ μέρος ἐξάπλωσις; Χρόνος περὶ τὴν γέννησιν; Ἐν χρόνῳ καὶ τὰ κτιζόμενα. Τόπος ἐνταῦθα; Τόπος C ἐκεῖ. Ἀποτυχία περὶ τὴν γέννησιν; Ἀποτυχία καὶ περὶ τὴν κτίσιν. Ταῦτα ἤκουσα φιλοσοφούντων ὑμῶν· ἃ γὰρ ὁ νοῦς ὑπέγραψε, πολλάκις ταῦτα ἡ χεὶρ οὐκ ἐτέλεσεν. Ἀλλὰ λόγῳ, φησὶ, τὸ πᾶν ὑπέστησε καὶ βουλήματι. *Αὐτὸς γὰρ εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.* Ὅταν εἴπῃς τῷ λόγῳ τοῦ Θεοῦ τὰ πάντα ἐκτίσθαι, οὐ τὴν ἀνθρωπίνην κτίσιν εἰσάγεις· οὐδεὶς γὰρ ἡμῶν λόγῳ πράττει τὰ γινόμενα. Οὐδὲν γὰρ ἂν ἦν ὑψηλότερον ἡμῶν, οὐδὲ ἀπονώτερον, εἰ τὸ λέγειν ἔργου συμπλήρωσις ἦν· ὥστε εἰ καὶ λόγῳ κτίζει Θεὸς τὰ κτιζόμενα, οὐκ ἀνθρώπινον αὐτῷ τὸ κτίζειν. Ἢ γὰρ δεῖξον καὶ ἄνθρωπον λόγῳ τι πράττοντα· ἢ δέξαι, ὅτι οὐχ ὡς ἄνθρωπος κτίζει Θεός. Ἐπεὶ διάγραψον βουλήματι πόλιν, καὶ παραστήτω πόλις· θέλησον γενέσθαι σοι υἱὸν, καὶ παραστήτω παῖς· θέλησον D ἄλλο τι τῶν πραττομένων, καὶ εἰς ἔργον ἡ βούλησις χωρησάτω. Εἰ δὲ τούτων οὐδὲν ἕπεται τῷ βούλεσθαι, Θεοῦ δὲ τὸ βούλεσθαι πρᾶξίς ἐστιν, ἄλλως μὲν ἄνθρωπος κτίζει, ἄλλως δὲ ὁ πάντων κτίστης Θεός. Πῶς οὖν κτίζει μὲν οὐκ ἀνθρωπικῶς, γεννᾷν δὲ ἀναγκάζεται ἀνθρωπικῶς; Σὺ μὲν οὐκ ὢν, ἔπειτα ἐγένου, εἶτα γεννᾷς· διὰ τοῦτο οὐκ ὄντα εἰς τὸ εἶναι παράγεις. Ἤ, ἵνα τι βαθύτερον εἴπω, τάχα οὐδὲ αὐτὸς ἐξ οὐκ ὄντων παράγεις· ἐπεὶ καὶ ὁ Λευῒ, φησὶν, ἔτι ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν, πρὶν εἰς τὸ εἶναι

Verum si generatus est, inquis, quomodo generatus est? Responde tu quoque mihi, o acute et invicte sophista. Si creatus est, quomodo creatus est? Ac postea ex me sciscitare, quomodo generatus sit? Passio est, inquies, circa generationem? Est et passio etiam, inquam ego, circa creationem. (An non enim passionis rationem habet informatio, et cura, et ejus rei, quæ tota simul ac repente cogitata est, in partes extensio?) Tempus, addes, circa generationem? In tempore etiam sunt quæ creantur. Locus illic? Hic quoque locus. Spei frustratio circa generationem? Creatio quoque interdum spem frustratur. Hæc a vobis disserentibus audivi; etenim quæ mens delineavit, ea plerumque manus perficere non potuit. At dices : verbo et voluntate omnia condidit : *Ipse enim dixit, et facta sunt : ipse mandavit, et creata sunt* [1]. Atqui, cum ais omnia Dei verbo creata fuisse, non humanam scilicet creationem inducis; nec enim quisquam nostrum, ea, quæ fiunt, verbo efficit. Nihil quippe nobis sublimius ac præstantius esset, minusque laboriosum, si sermone solo aliquid conficere possemus. Quamobrem, etsi Deus, ea, quæ creantur, verbo creat, non tamen humana est ejus creandi ratio. Aut enim hominem quoque sermone aliquid efficientem ostende : aut mihi concede Deum non humano more creare. Quod si secus existimas, age, voluntate civitatem describe, et statim civitas repræsentetur. Opta tibi filium nasci, et protinus tibi puer exsistat. Velis aliud quidpiam eorum, quæ manibus efficiuntur, et confestim voluntas in opus prodeat. Quod si quidem nihil horum voluntatem nostram sequatur, Dei vero voluntas actio sit; perspicuum utique est, alio quidem modo homi-

[1] Psal. CXLVIII, 5.

nem creare, alio autem rerum omnium creatorem Deum. Quæ igitur est hæc ratio, ut cum Deus alio quam humano more procreet, humano tamen more gignere cogatur? Tu quidem, cum prius non esses, deinde factus es, postea gignis; ac proinde, eum qui non erat, in rerum naturam producis. Aut, ut profundius aliquid dicam, fortasse ne ipse quidem ex nihilo producis; quandoquidem et Levi, ut ille ait, adhuc in lumbis patris erat, antequam in lucem prodiret [1]. Nec vero quisquam huic orationi calumniam conflet. Non enim Filium ita ex Patre exsistere dico, quasi in Patre prius quidem fuerit, postea autem in esse prodierit. Neque enim imperfectum prius, ac postea perfectum dico, quemadmodum fert lex nostræ generationis.

A παρελθεῖν. Καὶ μηδεὶς ἐπηρεαζέτω τῷ λόγῳ. Οὐ γὰρ οὕτως ἐκ τοῦ Πατρός φημι τὸν Υἱὸν ὑπάρχειν, ὡς ἐν τῷ Πατρὶ πρότερον ὄντα, μετὰ δὲ τοῦτο εἰς τὸ εἶναι ὁδεύσαντα· οὐδὲ γὰρ ἀτελῆ πρότερον, εἶτα τέλειον, ὥσπερ νόμος τῆς ἡμετέρας γεννήσεως.

Hæc sunt eorum, qui obtrectatione et calumniis gaudent: hæc eorum, qui adversus omnia quæ dicuntur prompte insiliunt. Nos autem non ita sentimus, non ita censemus: verum hoc docemus, et profitemur, quod simul atque Pater ingenito modo erat (semper autem erat, nec enim eum aliquando non fuisse concipit mens nostra, quantumvis se altissime efferat), et Filius quoque per generationem erat; ita ut Patris essentia concurrat cum Unigeniti generatione, qui ex ipso quidem est, non autem post ipsum, aut saltem sola principii cogitatione. Principium vero hic pro causa accipio. Identidem enim eadem verba repeto, ut animi tui hebetudini et crassitiei occurram.

Ταῦτα τῶν ἐπηρεαζόντων ἐστίν· ταῦτα τῶν ἐπιπηδώντων προχείρως πᾶσι τοῖς λεγομένοις. Ἡμεῖς δὲ οὐχ οὕτω φρονοῦμεν, οὐχ οὕτω δοξάζομεν· ἀλλ' ὁμοῦ τῷ τὸν Πατέρα εἶναι ἀγεννήτως (ἀεὶ δὲ ἦν, B οὐχ ὑπερπίπτει γὰρ εἰς τὸ μὴ εἶναί ποτε ὁ νοῦς), καὶ ὁ Υἱὸς ἦν γεννητῶς. Ὥστε συντρέχει τὸ εἶναι τοῦ Πατρὸς τῷ γεγεννῆσθαι τοῦ Μονογενοῦς, ἐξ αὐτοῦ τε ὑπάρχοντος, καὶ οὐ μετ' αὐτὸν, ἢ ἐπινοίᾳ μόνῃ τῇ τῆς ἀρχῆς· ἀρχῆς δὲ, ὡς αἰτίου. Πολλάκις γὰρ τὸν αὐτὸν ἀναστρέφω λόγον, τὸ παχύ σου καὶ ὑλικὸν τῆς διανοίας φοβούμενος.

Ejusdem ex oratione II de pace.

Magno tibi, atque adeo maximo honori ducis, quod filium habeas, eoque magis, si patris mores et effigiem ut vera imago omnibus exprimat, nec si detur optio, malis habere decem servorum millia, quam unius esse filii pater, et in Deo majus aliquid opinaberis, quam quod sit unius genitor Filii, qui gloriam illi non adimit, sed adjungit, quodque ab eo procedat Spiritus sanctus? Nonne animadvertis, te, dum rerum creatarum principium statuis, nempe Filii et Spiritus, quos creatos esse contendis, nec principium honorare, et ea quæ ex ipso exstant principio, afficere contumelia? Illud quidem, quoniam rerum, quæ parvæ, nec satis divina majestate sunt dignæ, principium asseris: illos vero, quoniam et parvos fingis, et non solum creatos, verum etiam rerum omnium, quæ creatæ sunt, abjectissimos? Si quidem et earum causa, et in tempore, tanquam instrumenta artifici ante res quas ex arte facturus est, cum prius non essent, ob id exstiterunt, ut per illa crearet et faceret, si quid vellet Deus, tanquam ad id præstandum voluntas ejus non esset satis. Quidquid enim alterius causa fit, eo cujus fit gratia, vilius et deterius est. Ego vero, qui divinitatis principium ita constituo, ut sine tempore sit, nec separari, aut ullo termino circumscribi queat, et principium, et ea quæ ex ipso exsistunt principio, pariter honore prosequor. Illud, quia talium principium sit; hæc quod ita sint, et talia, et ex tali, nec tempore, nec natura, nec majestate disjuncta, sed (quamvis hoc sit admirabile) ita unum, ut distincta sint:

Τοῦ αὐτοῦ ἐκ τοῦ β' εἰρηνικοῦ Λόγου.

Ἀλλὰ σοὶ μὲν εἰς τιμὴν μέγα καὶ μέγιστον ὁ σὸς υἱὸς, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ περ ἂν τὰ πάντα πατρώζῃ, καὶ χαρακτὴρ ᾖ γνήσιος τοῦ γεννήσαντος, καὶ οὐκ ἂν δέξαιο μυρίων ἀνδραπόδων εἶναι δεσπότης C μᾶλλον ἢ ἑνὸς γεννήτωρ παιδὸς, τῷ Θεῷ δὲ ἄλλο τι μεῖζον ἢ Υἱοῦ τυγχάνειν Πατέρα, ὃ προσθήκη δόξης ἐστὶν, οὐχ ὑφαίρεσις, ὡς δὲ καὶ προβολεὺς Πνεύματος; Ἢ ἀγνοεῖς, ὅτι σὺ μὲν κτισμάτων τιθεὶς ἀρχὴν, τὴν ἀρχὴν λέγω δὲ Υἱοῦ καὶ Πνεύματος, οὔτε τὴν ἀρχὴν τιμᾷς, καὶ ἀτιμάζεις τὰ ἐξ αὐτῆς· τὴν μὲν, ὅτι μικρῶν εἰσάγεις τὴν ἀρχὴν, καὶ ἀναξίαν θεότητος, τὰ δὲ ὅτι μικρὰ, καὶ μὴ κτίσματα μόνον, ἀλλὰ καὶ πάντων κτισμάτων ποιεῖς ἀτιμότερα, εἴγε τούτων ὑπέστη, καί ποτε, ὥσπερ ὄργανα τεχνίτῃ πρὸ τῶν τεχνιτῶν πρότερον οὐκ ὄντα, οὐδ' ἂν ἄλλως γενόμενα, εἰ μή τι κτίσαι δι' αὐτῶν ἠβουλήθη Θεὸς, ὡς οὐκ ἀρκοῦντος τοῦ βούλεσθαι; Πᾶν γὰρ ὃ τινὸς ἕνεκεν, ἀτιμότερον ἐκείνου, δι' ὃ γεγέννηται. Ἐγὼ δὲ θεότητος ἀρχὴν εἰσάγων ἄχρονον, καὶ ἀχώριστον, D καὶ ἀόριστον, τήν τε ἀρχὴν τιμῶ, καὶ τὰ ἐκ τῆς ἀρχῆς ἐπίσης· τὴν μὲν, ὅτι τοιούτων ἀρχὴ, τὰ δὲ, ὅτι οὕτω, καὶ τοιαῦτα, καὶ ἐκ τοιούτου, μήτε τῷ ποτὲ, μήτε τῇ φύσει, μήτε τῷ σεπτῷ διειργόμενα, ἓν ὄντα διῃρημένως, καὶ διαιρούμενα συνημμένως, εἰ καὶ παράδοξον τοῦτο εἰπεῖν, οὐχ ἧττον ἐπαινετὰ τῆς πρὸς ἄλληλα σχέσεως, ἢ καθ' ἑαυτὸ ἕκαστον νοούμενόν τε καὶ λαμβανόμενον, Τριάδα τελείαν ἐκ τελείων τριῶν, μονάδος μὲν κινηθείσης διὰ τὸ πλούσιον, δυάδος δὲ ὑπερβαθείσης· ὑπὲρ γὰρ τὴν ὕλην καὶ τὸ εἶδος ἐξ ὧν τὰ σώματα· Τριάδος δὲ ὁρισθείσης διὰ τὸ τέλειον. Πρώτη γὰρ ὑπερβαίνει δυάδος σύνθεσιν, ἵνα μήτε στενὴ μένῃ ἡ θεότης, μήτε εἰς

[1] Hebr. VII, 10.

ἄπειρον χέηται. Τὸ μὲν γὰρ ἀφιλότιμον, τὸ δὲ ἄτακτον· καὶ τὸ μὲν Ἰουδαϊκὸν παντελῶς, τὸ δὲ Ἑλληνικὸν καὶ πολύθεον. Σκοπῶ δὲ κἀκεῖνο, καὶ ἴσως οὐκ ἀπαιδεύτως, οὐδὲ ἀμαθῶς, ἀλλὰ καὶ λίαν ἐπεσκεμμένως, ὅτι σοὶ μὲν κίνδυνος οὐδὲ εἰς γεννητὸν εἰσάγοντι τὸν Υἱόν· οὐ γὰρ μὴ πάθῃ τι γεννῶν ὁ ἀγέννητος τῶν σωματικῶν τε καὶ ὑλικῶν, ὅτι μηδὲ σῶμα· καὶ τοῦτο αἱ κοιναὶ περὶ Θεοῦ παραχωροῦσιν ὑπολήψεις· ὥστε τί φοβούμεθα φόβον, οὗ μὴ ἔστι φόβος; καὶ ἀσεβοῦμεν διὰ κενῆς, ὃ δὴ λέγεται; Ἐμοὶ δὲ κίνδυνος ζημιωθῆναι θεότητα, εἰ τὸ κτίσμα παραδέξομαι· οὐ γὰρ Θεὸς τὸ κτιζόμενον, οὐδὲ δεσποτικὸν τὸ ὁμόδουλον, κἂν τὰ πρῶτα φέρηται δουλείας καὶ κτίσεως, καὶ τοῦτο μόνον φιλανθρωπεύηται ὑβριζόμενον. Ὁ γὰρ τῆς ὀφειλομένης ἀποστερῶν τιμῆς οὐ μᾶλλον τιμᾷ τῷ διδομένῳ, ἢ ἀτιμάζει τῷ ἀφαιρουμένῳ, κἂν προσποίησιν ἔχῃ τιμῆς τὸ γινόμενον. Καὶ εἰ σοὶ πλάττεται πάθη περὶ τὴν γέννησιν, κἀμοὶ περὶ τὴν κτίσιν. Οὐδὲ γὰρ τὸ κτιζόμενον ἀπαθῶς κτιζόμενον, εἰ καὶ μὴ γεγέννηται κατὰ σέ, μηδὲ ἔκτισται κατὰ τὸν ἀληθῆ λόγον. Δέξαι τοῦ λόγου σοι τὸ λειπόμενον ὁ μικροῦ τὸ ἴσον λέγειν τολμῶν διὰ τῆς προσηγορίας τοῦ κτίσαντος.

A ita distincta, ut unum sint, nec minus mutuo hoc inter se habitu simul omnia laudanda, quam unumquodque eorum per se, si sigillatim cogitatione atque animo comprehendantur. Trinitas perfecta ex tribus constat perfectis, ex unitate commota propter divitias bonitatis : ex binario supergrediente, propterea quod super materiam et formam ex quibus corpora consistunt, egreditur : ex ternario definito propter perfectionem (numerus enim ternarius binarii compositionem primus transcendit), ut neque angusta divinitas maneat, neque in infinitum diffundatur : id enim esset indecorum, hoc autem confusum ; illud Judæorum omnino, hoc Græcorum multiplicem deorum turbam contingentium. Ad hæc non inerudite fortasse, nec stulte, sed B valde considerate perpendo atque perspicio, tibi quidem, si Filium genitum admittas, nullum periculum imminere, ut qui generat, in earum quæ in corpora et materiam cadunt, affectionem aliquam incurrat, cum non sit corpus. Procul enim abscedant, cum de Deo loquimur, communes istæ suspiciones, ut timeamus ubi nullus est timor, et quod dici solet, frustra impii simus. Mihi vero, si creaturam admisero, illud instare periculum video, ut divinitatem offendam. Neque enim Deus est is qui creatus est, nec Dominus, qui conservus, licet in eorum qui creati et servi sunt numero primas ferat, et hac una re se contumelia affectum demulceat. Nam qui debito honore aliquem privat, non magis eum decorat, quod ei aliquid aliud impartiatur, quam ignominia afficit ex eo quod illi adimit, licet ea res, quam attribuit, honoris speciem præferat. Quod si tibi in generatione affectiones occurrunt, occurrunt etiam mihi in creatione, sine quibus nihil creatum animadverto, si tu non esse genitum affirmas ex opinione tua, et ego non esse creatum assero ex veritate. Sed jam reliquam orationis partem accipe tu, qui creatum appellans audes eum, qui parvus est, æqualem dicere.

C

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὸ Πάσχα β' λόγου.

Ταῦτα ἐγκαλεῖς Θεῷ; Διὰ ταῦτα ὑπολαμβάνεις χείρονα, ὅτι λεντίῳ διαζώννυται, καὶ νίπτει τοὺς πόδας τῶν μαθητῶν, καὶ δείκνυσιν ἀρίστην ὁδὸν ὑψώσεως τὴν ταπείνωσιν; Ὅτι διὰ τὴν συγκύπτουσαν χαμαὶ ψυχὴν ταπεινοῦται, ἵνα καὶ συνυψώσῃ τὸ κάτω νεῦον ὑπὸ τῆς ἁμαρτίας; Ἐκεῖνο δὲ πῶς οὐ κατηγορεῖς, ὅτι καὶ μετὰ τελωνῶν ἐσθίει, καὶ παρὰ τελώναις, καὶ μαθητεύει τελώνας, ἵνα καὶ αὐτός τι κερδάνῃ; Τί τοῦτο; Τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν· εἰ μὴ καὶ τὸν ἰατρὸν αἰτιῷτό τις, ὅτι συγκύπτει ἐπὶ τὰ πάθη, καὶ δυσωδίαν ἀνέχεται, ἵνα δῷ τὴν ὑγίειαν τοῖς κάμνουσι, καὶ τὸν ἐπικλινόμενον βόθρῳ διὰ φιλανθρωπίαν, ἵνα τὸ ἐμπεπτωκὸς κτῆνος κατὰ τὸν νόμον ἀνασώσηται. Ἀπεστάλη μέν, ἀλλ' ὡς ἄνθρωπος. Διπλοῦς γὰρ ἦν. Ἐπεὶ καὶ ἐκοπίασε, καὶ ἐπείνησε, καὶ ἐδίψησε, καὶ ἠγωνίασε, καὶ ἐδάκρυσε νόμῳ σώματος. Εἰ δὲ καὶ ὡς Θεός, τί τοῦτο; Τὴν εὐδοκίαν τοῦ Πατρὸς ἀποστολὴν εἶναι νόμισον, ἐφ' ἣν ἀναφέρει τὰ ἑαυτοῦ, καὶ ὡς ἀρχὴν τιμῶν ἄχρονον, καὶ τοῦ μὴ δοκεῖν εἶναι ἀντίθεος. Ἐπεὶ καὶ παραδεδόσθαι λέγεται, ἀλλὰ καὶ ἑαυτὸν παραδεδωκέναι γέγραπται, καὶ ἐγηγέρθαι παρὰ τοῦ Πατρός, καὶ ἀνειλῆφθαι, ἀλλὰ καὶ ἑαυτὸν ἀνεστηκέναι, καὶ ἀνεληλυθέναι πάλιν. Ἐκεῖνα τῆς εὐδοκίας, ταῦτα τῆς ἐξουσίας. Σὺ δὲ τὰ μὲν ἐλαττοῦντα λέγεις, τὰ ὑψοῦντα δὲ παρατρέχεις. Καὶ ὅτι μὲν ἔπαθε, λογίζῃ, ὅτι δὲ ἑκών, οὐ προστίθης· οἷα πάσχει καὶ νῦν ὁ

Ejusdem ex oratione II in Pascha.

Hæc objicis Deo? Propterea putas illum abjectiorem, quod linteo succingitur, et discipulorum pedes lavat, optimamque ad exaltationem et gloriam viam, humilitatem, demissionem esse declarat? quod propter animam humi dejectam deprimitur, ut id quod peccato afflictum deorsum tendebat, excitet atque extollat? Cur non ei simul etiam crimini vertis, quod cum publicanis et apud publicanos comedit, ut ipse quoque lucretur aliquid? Quidnam? Salutem peccatorum. Ut si quis medicum accuset, quod ad ægrotantium morbos et vulnera inspicienda sese demittit, fœtoremque perfert, ut eos curet. Aut si quis reprehendat eum qui humanitate compulsus in fossam descen- D dit, ut jumentum prolapsum, quemadmodum lex præcipit, excitet ac sublevet. Missus ille quidem est, sed ut homo. Duplex enim erat. Quamobrem et esurivit, et sitivit, et mœrore affectus est, et lacrymavit corporis lege. Quid si etiam ut Deus? Quid tum? Missionem ac legationem illam bonam Patris voluntatem interpretare, cui sua ille refert accepta, eumque tempore carentem colit, ut principium, ne ab ipso discrepare videatur. Quandoquidem et traditus dicitur, et se ipse tradidisse scribitur et suscitatus atque assumptus a Patre, et se ipse suscitasse, atque in cœlum ascendisse. Illa bonæ voluntatis sunt, hæc potestatis. Tu autem

quæ humilia et abjecta sunt commemoras; sublimia vero atque præclara prætermittis. Quod mortuus sit expendis, quod autem ultro mortem oppetierit, non consideras. Talia Verbum nunc etiam patitur, dum ab aliis ut Deus colitur atque confunditur, ab aliis ut caro despicitur et separatur. Utris magis irascatur, aut potius ignoscat? Illisne, a quibus male contrahitur, an illis, a quibus discinditur? Oportebat enim ut et illi personas numero distinguerent, et hi eas divinitate conjungerent. Carne ipsius offenderis? Id Judæis etiam accidebat. Num et Samaritanum (ut quod sequitur taceam) illum appellas? Tu Divinitati non credis. Quod ne dæmones quidem faciebant. O dæmonibus magis incredule, et Judæis magis ingrate! Hi Filii appellationem æqualis honoris vocem existimabant, illi eum, a quo ejiciebantur, Deum agnoscebant: ex iis enim quæ patiebantur, id sibi persuadebant. Tu autem nec æqualitatem suscipis, nec divinitatem confiteris.

A Λόγος, ὑπὸ μὲν τῶν ὡς Θεὸς τιμᾶται, καὶ συναλείφεται, ὑπὸ δὲ τῶν ὡς σὰρξ ἀτιμάζεται, καὶ χωρίζεται. Τίσιν ὀργισθῇ πλέον, μᾶλλον δὲ τίσιν ἀφῇ, τοῖς συναιροῦσι κακῶς, ἢ τοῖς τέμνουσι; Καὶ γὰρ κἀκείνους διαιρεῖν ἔδει, καὶ τούτους συνάπτειν· τοὺς μὲν τῷ ἀριθμῷ, τοὺς δὲ τῇ θεότητι. Προσκόπτεις τῇ σαρκί; Τοῦτο καὶ Ἰουδαῖοι. Ἢ καὶ Σαμαρείτην ἀποκαλεῖς; καὶ τὸ ἑξῆς σιωπήσομαι. Ἀπιστεῖς τῇ θεότητι; Τοῦτο οὐδὲ οἱ δαίμονες, ὦ καὶ δαιμόνων ἀπιστότερε σὺ, καὶ Ἰουδαίων ἀγνωμονέστερε! Ἐκεῖνοι τὴν τοῦ Υἱοῦ προσηγορίαν ὁμοτιμίας φωνὴν ἐνόμισαν, οὗτοι τὸν ἐλαύνοντα Θεὸν ᾔδεσαν. Ἐπείθοντο γὰρ ἐξ ὧν ἔπασχον. Σὺ δὲ οὐδὲ τὴν ἰσότητα δέχῃ, οὐδὲ ὁμολογεῖς τὴν θεότητα.

Item adversus Arianos et Eunomianos Gregorii Nyssæ pontificis ex oratione ad Simplicium scripta de Filio.

Deus per Prophetam præcipit ne ullum deum novum Deum esse existimemus, neque deum adoremus alienum [1]. Manifestum est autem quod novum dicitur id quod a sempiterno non est; ac rursus ex contrario, sempiternum dicitur quod novum non est. Igitur qui non ex sempiterno Unigenitum Deum ex Patre esse credit, novum eum esse non negat; quod enim non sempiternum, novum prorsus est; quodcunque autem novum est, Deus non est, quemadmodum dicit Scriptura: « Non erit in te Deus novus. [2] » Ergo qui dicit, quod aliquando Filius non erat, is negat ejus deitatem. Rursus alienum Deum vetat adorare, qui dicit: « Nunquam adorabis deum alienum [3]: » alienus autem collata cum nostro proprio Deo distinctione consideratur. Quis igitur noster proprius est Deus? Palam est quod verus Deus. Quis item alienus? prorsus is, qui a natura Dei veri alienus est. Si igitur proprius noster Deus, Deus verus est, si Unigenitus Deus ex natura veri Dei non sit, quemadmodum hæretici dicunt, alienus Deus est, et noster Deus non est. Evangelium autem dicit quod oves alieno non obediant [4]. Qui creatum eum esse dicit, alienum a veri Dei natura facit. Quid igitur faciunt qui dicunt, quod creatus sit? Adorabuntne eum, qui creatus sit, annon? Nam si non adorant, Judæos sequuntur, negantes adorationem Christi; sin autem adorant, idololatræ sunt, adorant enim eum, qui alienus sit a Deo vero. Atqui æque impium est vel non adorare Filium, vel adorare Deum alienum. Oportet ergo veri Patris verum Filium dicere, ut adoremus eum, et non condemnemur tanquam Deum alienum adorantes. Adversus eos autem qui dicunt illud ex Proverbio, « Dominus creavit me [5], » et per hoc putant, se aliquod firmum afferre argumentum ad probandum quod creatus sit omnium conditor et creator, hæc convenit dicere, quod multa pro-

B *Ἔτι κατὰ Ἀρειανῶν τε καὶ Εὐνομιανῶν, τοῦ Νύσσης ἐκ τοῦ β' λόγου τοῦ πρὸς Σιμπλίκιον περὶ Υἱοῦ.*

Κελεύει ὁ Θεὸς διὰ τοῦ Προφήτου μηδένα πρόσφατον θεὸν Θεὸν εἶναι νομίζειν, μηδὲ προσκυνεῖν ἀλλοτρίῳ θεῷ. Οὐκοῦν δῆλόν ἐστιν, ὅτι πρόσφατον λέγεται ὃ μὴ ἐξ ἀϊδίου ἐστί· καὶ ἐκ τοῦ ἐναντίου πάλιν ἀΐδιον λέγεται ὃ μὴ πρόσφατόν ἐστιν. Ὁ τοίνυν μὴ ἐξ ἀϊδίου τὸν Μονογενῆ Θεὸν ἐκ τοῦ Πατρὸς εἶναι πιστεύων, πρόσφατον αὐτὸν εἶναι οὐκ ἀρνεῖται· τὸ γὰρ μὴ ἀΐδιον, πρόσφατον πάντως· πᾶν δὲ τὸ πρόσφατον, Θεὸς οὐκ ἔστιν, καθὼς εἶπεν ἡ Γραφὴ, ὅτι « Οὐκ ἔσται ἐν σοὶ Θεὸς πρόσφατος. » Ἄρα ὁ λέγων, ὅτι ποτὲ οὐκ ἦν, οὗτος ἀρνεῖται αὐτοῦ τὴν θεότητα. Πάλιν ἀλλότριον Θεὸν προσκυνεῖν κωλύει ὁ λέγων, « Οὐδέποτε προσκυνήσεις θεῷ ἀλλοτρίῳ· » ὁ δὲ ἀλλότριος C τῇ πρὸς τὸν ἴδιον ἡμῶν Θεὸν ἀντιδιαστολῇ θεωρεῖται. Τίς οὖν ὁ ἴδιος ἡμῶν ἐστι Θεός; Δῆλον ὅτι ὁ ἀληθινὸς Θεός. Τίς δὲ ὁ ἀλλότριος; Πάντως ὁ τῆς τοῦ ἀληθινοῦ Θεοῦ φύσεως ἀλλοτρίως ἔχων. Εἰ οὖν ἴδιος ἡμῶν ἐστιν ὁ ἀληθινὸς Θεὸς, ἂν μὴ ᾖ τῆς τοῦ ἀληθινοῦ Θεοῦ φύσεως ὁ Μονογενὴς Θεὸς, καθὼς λέγουσιν οἱ αἱρετικοὶ, ἀλλότριος Θεός ἐστι, καὶ οὐχ ἡμέτερος. Λέγει δὲ τὸ Εὐαγγέλιον ὅτι τὰ πρόβατα ἀλλοτρίῳ οὐ μὴ ὑπακούσῃ. Ὁ λέγων κτιστὸν αὐτὸν εἶναι, ἀλλότριον τῆς τοῦ ἀληθινοῦ Θεοῦ φύσεως εἶναι κατασκευάσει. Τί οὖν ποιοῦσιν οἱ λέγοντες, ὅτι κτιστός ἐστι; Προσκυνοῦσι τὸν κτιστὸν αὐτὸν, ἢ οὐχί; Εἰ μὲν γὰρ οὐ προσκυνοῦσιν, Ἰουδαΐζουσιν, ἀρνούμενοι τοῦ Χριστοῦ D τὴν προσκύνησιν· εἰ δὲ προσκυνοῦσιν, εἰδωλολατροῦσι· τὸν γὰρ ἀλλότριον τοῦ ἀληθινοῦ Θεοῦ προσκυνοῦσιν. Ἀλλὰ μὴν ἐπίσης ἀσεβὲς, καὶ μὴ προσκυνεῖν τὸν Υἱὸν, καὶ προσκυνεῖν τὸν ἀλλότριον Θεόν. Χρὴ ἄρα τοῦ ἀληθινοῦ Πατρὸς ἀληθινὸν τὸν Υἱὸν λέγειν, ἵνα προσκυνῶμεν αὐτὸν, καὶ μὴ κατακριθῶμεν ὡς ἀλλότριον προσκυνοῦντες θεόν. Πρὸς δὲ τοὺς λέγοντας τὸ ἐκ τῆς Παροιμίας ὅτι « Κύριος ἔκτισέ με », καὶ διὰ τοῦτο νομίζοντας ἰσχυρόν τι λέγειν περὶ τοῦ κτιστὸν εἶναι τὸν πάντων κτίστην καὶ δημιουργὸν, ταῦτα προσήκει λέγειν, ὅτι πολλὰ δι' ἡμᾶς ἐγένετο ὁ Μονο-

[1] Psal. LXXX, 10. [2] Exod. XXXIV, 14. [3] Exod. XX, 5. [4] Joan. X, 27. [5] Prov. VIII, 22.

A γενὴς Θεός. Καὶ γὰρ καὶ Λόγος ὢν, σὰρξ ἐγένετο· καὶ Θεὸς ὢν, ἄνθρωπος ἐγένετο· καὶ ἀσώματος ὢν, σῶμα ἐγένετο· καὶ ἔτι πρὸς τούτοις καὶ ἁμαρτία, καὶ κατάρα, καὶ λίθος, καὶ ἀξίνη, καὶ ἄρτος, καὶ πρόβατον, καὶ ὁδὸς, καὶ θύρα, καὶ πέτρα, καὶ πολλὰ τοιαῦτα ἐγένετο, οὐδὲν τούτων τῇ φύσει ὢν, ἀλλὰ δι' ἡμᾶς κατ' οἰκονομίαν γενόμενος.

Ὥσπερ οὖν Λόγος ὢν, δι' ἡμᾶς ἐγένετο σάρξ· καὶ Θεὸς ὢν, ἄνθρωπος ἐγένετο· οὕτω καὶ κτίστης ὢν, δι' ἡμᾶς κτίσμα ἐγένετο, κτιστὴ γὰρ ἡ σάρξ. Ὡς οὖν εἶπεν διὰ τοῦ προφήτου, ὅτι « Οὕτως λέγει Κύριος, ὁ πλάσας με ἐκ κοιλίας δοῦλον αὐτοῦ, » οὕτως εἶπεν καὶ διὰ τοῦ Σολομῶντος, τὸ « Κύριος ἔκτισέ με ἀρ- B χὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ. » Οὐκοῦν καὶ ὁ ἐν τῇ κοιλίᾳ τῆς παρθένου πλασθεὶς κατὰ τὸν λόγον τοῦ προφήτου, ὁ δοῦλός ἐστιν, οὐχ ὁ Κύριος· τουτέστιν, ὁ κατὰ σάρκα ἄνθρωπος ἐν ᾧ ὁ Θεὸς ἐφανερώθη, καὶ ἐνταῦθα ὁ κτισθεὶς εἰς ἀρχὴν ὁδῶν αὐτοῦ, οὐχ ὁ Θεός ἐστιν, ἀλλ' ὁ ἄνθρωπος· ἐν ᾧ ἡμῖν ὁ Θεὸς ἐφανερώθη, ἐπὶ τὸ τὴν καταφθαρεῖσαν ὁδὸν τῆς ἀνθρωπίνης σωτηρίας πάλιν ἀνανεώσασθαι. Ὥστε ἐπειδὴ δύο περὶ τοῦ Χριστοῦ γινώσκομεν, τὸ μὲν θεῖον, τὸ δὲ ἀνθρώπινον, ἐν μὲν τῇ φύσει τὸ θεῖον, ἐν δὲ τῇ οἰκονομίᾳ τὸ κατὰ ἄνθρωπον, ἀκολούθως τὸ μὲν ἀΐδιον τῇ θεότητι προσμαρτυροῦμεν, τὸ δὲ κτιστὸν τῇ ἀνθρωπίνῃ λογιζόμεθα φύσει. Ὡς γὰρ κατὰ τὸν προφήτην ἐν τῇ κοιλίᾳ ἐπλάσθη δοῦλος, οὕτως καὶ κατὰ τὸν Σολομῶντα, διὰ τῆς δουλικῆς ταύτης κτίσεως ἐν σαρκὶ ἐφανερώθη. Ὅταν δὲ λέγωσιν· Εἰ ἦν, οὐκ ἐγεν- C νήθη· καὶ, Εἰ ἐγεννήθη, οὐκ ἦν, διδαχθήτωσαν ὅτι οὐ χρὴ τὰ τῆς σαρκικῆς γεννήσεως ἰδιώματα ἐφαρμόζειν τῇ θείᾳ φύσει. Σώματα μὲν γὰρ μὴ ὄντα γεννᾶται· ὁ δὲ Θεὸς τὰ μὴ ὄντα εἶναι ποιεῖ· οὐκ αὐτὸς ἐκ τοῦ μὴ ὄντος γίνεται. Διὸ καὶ ὁ Παῦλος ἀπαύγασμα δόξης αὐτὸν ὀνομάζει, ἵνα διδαχθῶμεν, ὅτι ὥσπερ τὸ ἐκ τοῦ λύχνου φῶς καὶ ἐκ τῆς φύσεώς ἐστι τοῦ ἀπαυγάζοντος, καὶ μετ' ἐκείνου ἐστὶν (ὁμοῦ τε γὰρ ἐξεφάνη ὁ λύχνος, καὶ τὸ φῶς τὸ ἐξ αὐτοῦ συνεξέλαμψεν), οὕτω κελεύει καὶ ἐνταῦθα νοεῖν ὁ Ἀπόστολος, ὅτι καὶ ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς, καὶ οὐδέποτε χωρὶς τοῦ Υἱοῦ ὁ Πατήρ· οὐκ ἐγχωρεῖ γὰρ ἀλαμπῆ εἶναι τὴν δόξαν, ὡς οὐκ ἐγχωρεῖ ἄνευ ἀπαυγάσματος εἶναι τὸν λύχνον. Δῆλον δὲ ὅτι ὥσπερ τὸ εἶναι ἀπαύ- D γασμα μαρτυρία ἐστὶ τοῦ κατὰ τὴν δόξαν εἶναι (μὴ γὰρ οὔσης τῆς δόξης οὐκ ἂν εἴη τὸ ἐκ ταύτης ἀπαυγαζόμενον), οὕτως τὸ λέγειν μὴ εἶναί τε ἀπαύγασμα, ἀπόδειξίς ἐστι τοῦ μηδὲ τὴν δόξαν εἶναι, ὅτε οὐκ ἦν τὸ ἀπαύγασμα· τὴν γὰρ δόξαν ἄνευ ἀπαυγάσματος εἶναι ἀμήχανον. Ὥσπερ οὖν οὐκ ἔστιν ἐπὶ τοῦ ἀπαυγάσματος λέγειν ὅτι, Εἰ ἦν, οὐκ ἐγένετο, καὶ, Εἰ ἐγένετο, οὐκ ἦν, οὕτως μάταιόν ἐστι περὶ τοῦ Υἱοῦ ταῦτα λέγειν. διότι ὁ Υἱός ἐστι τὸ ἀπαύγασμα.

pter nos factus sit Unigenitus Deus. Etenim cum Verbum sit, caro factus est, et cum Deus sit, homo factus est; et cum incorporalis esset, corpus factus est; atque his etiam amplius et peccatum, et maledictio, et lapis, et securis, et panis, et ovis, et via, et ostium, et petra, et ejusmodi multa factus est, cum natura nihil horum sit, sed propter nos per dispensationem et administrationem talis evaserit.

Quemadmodum igitur cum Verbum sit, propter nos caro factus est; et Deus cum sit, homo factus est: ita creator cum sit, propter nos creatura factus est, quippe cum caro res creata sit. Quemadmodum igitur per prophetam dixit: « Sic dicit Dominus, qui formavit me ex ventre servum suum [1], » ita etiam dixit illud per Salomonem: « Dominus creavit me principium viarum suarum ad opera [2]. » Omnis enim creatura servit, ut inquit Apostolus. Proinde et is qui in ventre virginis formatus est, secundum verbum prophetæ, servus est, non Dominus: hoc est, is qui secundum carnem homo est, in quo Deus manifestatus est, et is, qui illic creatus est in principium viarum ejus, non Deus est, sed homo: in quo nobis Deus manifestatus est, ut corrupta ac labefactata via salutis humanæ iterum renovaretur. Itaque quoniam res duas de Christo statuimus et sentimus, unum quidem divinum, alterum vero humanum, in natura quidem divinum, in administratione ac dispensatione id quod secundum hominem est: consequenter sempiternum deitati attestamur, creatum vero humanæ naturæ assignamus. Quemadmodum enim secundum prophetam in ventre formatus est servus, ita etiam secundum Salomonem, per hanc servilem creaturam in carne manifestatus est. Porro cum dicunt: Si erat, non est genitus; et, Si natus est, non erat: doceantur quod non oporteat carnalis nativitatis proprietates accommodare divinæ naturæ. Nam corpora quidem quæ non erant, gignuntur: Deus autem efficit ut ea quæ non sunt exsistant: non ipse ex eo quod non est exsistit. Idcirco Paulus quoque eum splendorem gloriæ nominat [3], ut doceamur, quod sicut lumen de lucerna et ex natura lumen edentis est, et una cum illa est (simul enim atque emicuit lucerna, lumen quoque quod ab ea exsistit pariter effulget), ita hic quoque jubet Apostolus intelligere quod et ex Patre sit Filius, et absque Filio nunquam sit Pater: nam fieri non potest, ut gloria sit absque splendore, quemadmodum fieri non potest, ut absque splendore lucerna sit. Manifestum est autem quod sicuti splendorem esse, testimonium est ejus quod in gloria est (si enim non sit gloria, non fuerit is qui ab hac editur splendor), ita si quis dicat quod nunquam erat splendor, demonstrat quod neque gloria esset, cum non esset splendor; fieri enim non potest, ut gloria sit absque splendore. Ut igitur de splendore dici non potest: Si erat, non editus est, et, Si editus est, non erat; ita vanum et absurdum est hæc de Filio dicere, quippe cum Filius sit splendor.

[1] Isa. XLIX, 5. [2] Prov. VIII, 22. [3] Hebr. I, 3.

A Cæterum qui minus et majus de Filio et Patre dicunt, discant a Paulo ne metiantur ea quæ nemo potest metiri [1]; nam Apostolus Filium dicit effigiem esse Patris substantiæ. Planum est igitur quod quanta fuerit substantia Patris, tanta est etiam effigies substantiæ: fieri enim non potest, ut minor sit effigies quam substantia quæ per eam consideratur. Quin etiam magnus Joannes eadem docet cum dicit, « In principio erat Verbum, et Verbum erat apud Deum [2]. » Ex eo namque quod dixit, quod in principio erat, et non post principium, ostendit quod nunquam absque Verbo principium erat. Ex eo vero quod ostendit, quod Verbum etiam erat apud Deum, significavit quod nihil desit Filio in comparatione Patris; cum toto namque B Deo totum simul consideratur Verbum. Nam si quid Verbo deesset in sua magnitudine, ut non posset apud totum esse Deum, prorsus necesse esset ut existimaremus absque Verbo esse eam Dei partem, qua Verbo superior ac major esset. Atqui cum tota Dei majestate Verbi majestas simul consideratur. Ergo in divinis doctrinis locum non habet, ut vel majus vel minus esse dicamus. Nam qui dicunt quod genitum non genito natura dissimile sit, et similitudine et exemplo Abelis et Adami discant haud stulte judicare. Etenim Adam quoque secundum naturalem hominum nativitatem non genitus fuit: Abel vero ex Adamo genitus est. Sed nihil prohibuit Adamum esse hominem, quod geni- C tus non erat; neque nativitas Abelem aliud ac diversum quiddam ab humana reddidit natura, sed tam hic quam ille homo fuit, etsi hic quidem natus erat, ille vero absque nativitate exstiterat.

Igitur in divinis quoque dogmatibus nullam naturæ differentiam efficit genitum vel non genitum esse, sed quemadmodum in Adamo et Abele una humanitas, sive natura humana, eodem modo in Patre quoque ac Filio deitas, seu divina natura una est.

Ejusdem ex oratione de Filii et Spiritus divinitate.

Eunomii discipuli, Filius, inquiunt, aliquando non erat. Si Filius non erat, ne Pater quidem omnino. Si splendor non erat, ne splendens quidem. Si figura non erat, ne substantia quidem. Si potentia non erat, si sapientia non erat, sine quibus non D est Deus, ne Deus quidem erat. Neque enim cogitare possumus gloriam sine splendore, aut substantiam sine figura, aut sine sapientia sapientem, aut sine potentia potentem, aut denique sine filio patrem. Ex his igitur, quæ dicta sunt, demonstratum est, eum qui Filium tollit, et Patrem tollere. Ubi autem Filius non colitur, nec Pater esse creditur, tota Divinitas aufertur. Porro Divinitatem auferre nullius est, nisi Epicurei. Patet ergo istius opinionis auctores esse Epicureos.

Ex eadem oratione.

Sententias quasdam abscindunt e Scriptura, quas imperitioribus objiciant. Dicunt enim, ipsum Do-

[1] Rom. XI, 34. [2] Joan. I, 1.

Οἱ δὲ τὸ μικρότερον καὶ τὸ μεῖζον ἐπὶ τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς λέγοντες, διδαχθήτωσαν παρὰ τοῦ Παύλου μὴ μετρεῖν τὰ ἀμέτρητα· ὁ γὰρ Ἀπόστολος τὸν Υἱὸν χαρακτῆρα λέγει τῆς τοῦ Πατρὸς ὑποστάσεως. Δῆλον οὖν ὅτι ὅση ἂν ἡ ὑπόστασις ᾖ τοῦ Πατρὸς, τοσοῦτος καὶ ὁ χαρακτήρ ἐστι τῆς ὑποστάσεως· οὐ γὰρ ἐνδέχεται εἶναι μικρότερον τὸν χαρακτῆρα τῆς θεωρουμένης ἐν αὐτῷ ὑποστάσεως. Ἀλλὰ καὶ ὁ μέγας Ἰωάννης ταῦτα διδάσκει λέγων, « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν. » Ἐκ γὰρ τοῦ εἰπεῖν, ὅτι « ἐν ἀρχῇ ἦν, » καὶ οὐ μετὰ τὴν ἀρχὴν, ἔδειξεν ὅτι οὐδέποτε ἄλογος ἦν ἡ ἀρχή. Ἐκ δὲ τοῦ ἀποδεῖξαι ὅτι καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, τὸ ἀνελλιπὲς τοῦ Υἱοῦ ὡς πρὸς τὸν Πατέρα ἐσήμανεν, ὅλῳ γὰρ τῷ Θεῷ ὅλως συνθεωρεῖται ὁ Λόγος. Εἰ γὰρ ἐλλιπὴς ἦν ἐν τῷ ἰδίῳ μεγέθει ὁ Λόγος, ὥστε μὴ δύνασθαι πρὸς ὅλον τὸν Θεὸν εἶναι, ἀνάγκη πᾶσα ἄλογον εἶναι τοῦ Θεοῦ νομίζειν τὸ ὑπερπῖπτον τοῦ Λόγου. Ἀλλὰ μὴν πάσῃ τοῦ Θεοῦ μεγαλειότητι ἡ τοῦ Λόγου μεγαλειότης συνθεωρεῖται. Ἄρα οὐκ ἔχει χώραν ἐπὶ τῶν θείων δογμάτων τὸ μεῖζον λέγειν καὶ τὸ μικρότερον. Οἱ δὲ λέγοντες τὸ γεννητὸν τῷ ἀγεννήτῳ εἶναι κατὰ τὴν φύσιν ἀνόμοιον, διδαχθήτωσαν μὴ μωραίνειν ἐκ τοῦ κατὰ τὸν Ἄβελ καὶ τὸν Ἀδὰμ ὑποδείγματος. Καὶ γὰρ καὶ ὁ Ἀδὰμ κατὰ τὴν φυσικὴν τῶν ἀνθρώπων γέννησιν οὐκ ἐγεννήθη· ὁ δὲ Ἄβελ ἐκ τοῦ Ἀδὰμ ἐγεννήθη. Οὐδὲν δὲ ἐκώλυσε τὸν Ἀδὰμ τὸ μὴ γεννηθῆναι πρὸς τὸ ἄνθρωπον εἶναι· οὐδὲ ἡ γέννησις τὸν Ἄβελ ἄλλο τι παρὰ τὴν ἀνθρωπίνην φύσιν ἐποίησεν, ἀλλὰ καὶ οὗτος ἄνθρωπος κἀκεῖνος, εἰ καὶ ὁ μὲν γεννηθεὶς ἦν, ὁ δὲ δίχα γεννήσεως.

Ἄρα καὶ ἐπὶ τῶν θείων δογμάτων τὸ μὴ γεννηθῆναι καὶ τὸ γεννηθῆναι διαφορὰν οὐκ ἐξεργάζεται φύσεως, ἀλλ' ὥσπερ ἐπὶ τοῦ Ἀδὰμ καὶ τοῦ Ἄβελ ἀνθρωπότης μία, οὕτω καὶ ἐπὶ τοῦ Πατρὸς καὶ ἐπὶ τοῦ Υἱοῦ θεότης μία.

Τοῦ αὐτοῦ ἐκ τοῦ λόγου τοῦ περὶ θεότητος Υἱοῦ καὶ Πνεύματος.

Λέγουσιν οἱ περὶ τὸν Εὐνόμιον, ὅτι ὁ Υἱός ποτε οὐκ ἦν. Εἰ οὐκ ἦν ὁ Υἱὸς, πάντως οὐδὲ ὁ Πατὴρ ἦν. Εἰ οὐκ ἦν ὁ χαρακτὴρ, οὐδὲ ἡ ὑπόστασις ἦν. Εἰ οὐκ ἦν τὸ ἀπαύγασμα, οὐδὲ τὸ ἀπαυγάζον ἦν. Εἰ οὐκ ἦν δύναμις, εἰ οὐκ ἦν σοφία, ὧν ἄνευ Θεὸς οὐκ ἔστιν, οὐδὲ Θεὸς ἦν. Οὐ γὰρ ἔστιν ἐννοῆσαι δόξαν ἀλαμπῆ, ἢ ὑπόστασιν ἀχαρακτήριστον, ἢ ἄνευ σοφίας σοφὸν, ἢ ἄνευ δυνάμεως δύναμιν, ἢ ἄπαιδα πατέρα. Οὐκοῦν ἀποδέδεικται διὰ τῶν εἰρημένων, ὅτι ὁ τὸν Υἱὸν ἀθετῶν συναθετεῖ καὶ τὸν Πατέρα. Ὅπου δὲ οὔτε ὁ Υἱὸς δοξάζεται, οὔτε ὁ Πατὴρ εἶναι πιστεύεται, καθόλου ἡ θεότης ἠθέωται. Τὸ δὲ ἀθετεῖν τὴν θεότητα οὐδενὸς ἄλλου ἢ Ἐπικούρου ἐστίν. Οὐκοῦν Ἐπικούρειοι οἱ νῦν δογματισταὶ τῆς ἀσεβείας ἀναπεφήνασιν.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Τινὰς ῥήσεις ἐκ τῆς Γραφῆς ἀποσπαράσσοντες τοῖς ἀνοήτοις προτείνονται, καί φασιν αὐτὸν ὁμολο-

γεῖν τὸν Κύριον, ὅτι ἐπέμφθη παρὰ τοῦ Πατρός. Εἶτα, ὅτι μὲν ἐπέμφθη, γινώσκεις, ὅτι δὲ ὁ πέμψας μετ' αὐτοῦ ἐστιν, οὐκ ἀκήκοας. Ὁ *πέμψας με* γάρ, φησί, *μετ' ἐμοῦ ἐστι*. Καὶ οὐκ ἐδιδάχθης διὰ τῶν εἰρημένων, ὅτι καὶ ἀποστέλλεται, καὶ οὐ χωρίζεται. Ἀποστέλλεται μὲν γὰρ διὰ φιλανθρωπίαν, οὐ χωρίζεται δὲ διὰ τὸ τῆς φύσεως ἄτμητον.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Φασὶ πάλιν διὰ τοῦ Μονογενοῦς ὁμολογεῖσθαι τὸ εἶναι μείζονα αὐτοῦ τὸν Πατέρα· *Ὁ Πατήρ μου* γάρ, φησί, *μείζων μού ἐστι*. Καὶ μὴν ὁ αὐτὸς τοῦτό φησιν· *Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί*. Εἰ μείζων ὁ Πατὴρ τοῦ Υἱοῦ, πῶς χωρεῖται τὸ μεῖζον ἐν τῷ ἐλάττονι; Εἰ ἐλάττων ὁ Υἱὸς τοῦ Πατρός, πῶς πληροῦται τὸ μεῖζον ὑπὸ τοῦ λείποντος; Ὅ τε γὰρ μείζων στενοχωρεῖται πάντως ἐν τῷ ἐλάττονι, καὶ ὁ ἐλάττων ἐπεκτανθῆναι πρὸς τὸ ὑπερβάλλον οὐ δύναται. Ὥστε ἀνάγκη ἐλλείπειν μὲν ἐν τῷ Πατρὶ τὸν Υἱόν, περισσεύειν δὲ ἐν τῷ Υἱῷ τὸν Πατέρα, καὶ ψεύδεται κατ' αὐτοὺς ὁ εἰπών, ὅτι *Ἐγὼ ἐν τῷ Πατρί*, δέον εἰπεῖν, εἴπερ ἐλάττων ἐστίν, ὅτι Ἐγὼ ἐν μέρει τοῦ Πατρός, καὶ μέρος τοῦ Πατρὸς ἐν ἐμοί. Εἰ δὲ ὅλος ὁ Πατὴρ ἐν ὅλῳ τῷ Υἱῷ, καὶ ὅλος ὁ Υἱὸς ἐν ὅλῳ τῷ Πατρί, ποῦ τὸ πλέον, καὶ ποῦ τὸ λεῖπον; Καὶ τί δεῖ τὰ πολλὰ λέγειν, δέον μιᾷ φωνῇ περιγράψαι πᾶσαν τὴν φλυαρίαν αὐτῶν, τῷ· *Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ*; Εἰπέ μοι, τὸ ἴσον ἀκούσας, τὸ μὴ ἴσον ἐνόησας; Ὢ κενῆς διδασκαλίας διὰ τοῦ ἴσου τὸ ἄνισον ἑρμηνευούσης! Εἴρηται τοίνυν, ὅτι *Ὁ πέμψας με μείζων μού ἐστιν*. Οὐκοῦν σκοπήσωμεν παρὰ τίνος ὁ λόγος, καὶ πῶς ἐπέμφθη ἐν μορφῇ Θεοῦ ὑπάρχων, ἢ μορφὴν δούλου λαβών, ἐν τῷ πληρώματι ὢν τῆς θεότητος, ἢ κενώσας ἑαυτὸν ἐν τῇ τοῦ δούλου μορφῇ; Παντὶ γάρ, οἶμαι, πρόδηλον, ὅτι ἡ θεία δύναμίς τε καὶ φύσις πανταχοῦ οὖσα, καὶ διὰ πάντων διήκουσα, καὶ τοῦ παντὸς περιδεδραγμένη οὐκ ἂν εἰκότως πέμπεσθαι λέγοιτο. Οὐ γάρ ἐστί τι κενὸν ἔξω αὐτῆς, ἐν ᾧ μὴ πρότερον οὖσα, ὅταν πεμφθῇ παραγίνεται, ἀλλὰ τῇ συντηρητικῇ δυνάμει διακρατοῦσα τὸ πᾶν, οὐκ ἔχει εἰς ὃ μεταχωρήσει, αὐτὴ τοῦ παντὸς οὖσα τὸ πλήρωμα. Ἡ τοίνυν πρὸς τὸ ἡμέτερον ταπεινόν τε καὶ ἀσθενὲς τοῦ Υἱοῦ κάθοδος καὶ συγκατάβασις, κατὰ γνώμην τοῦ Πατρὸς γεγενημένη, ἀποστολὴ λέγεται. Ἡ γὰρ ἐκ τῆς ἀκράτου φύσεως πρὸς τὴν ἡμετέραν ζωὴν μετάστασις οὐ τοπικὴν ποιεῖται τοῦ Κυρίου τὴν κίνησιν, ἀλλὰ καὶ τὴν ἀπὸ τοῦ ὕψους τῆς θεότητος πρὸς τὸ ταπεινὸν τῆς σαρκὸς ἐνδείκνυται κάθοδον. Κατέβη τοίνυν οὐ γυμνὸς Λόγος φανείς, ἀλλὰ σὰρξ γενόμενος. Ὅταν μὲν οὖν πρὸς τὸ ἀνθρώπινον ὁ λόγος βλέπῃ, μείζονα ὁμολογεῖ τοῦ διὰ σαρκὸς ὁρωμένου τὸν μὴ ὁρώμενον· ὅταν δὲ πρὸς τὸ θεῖον χειραγωγῇ τὴν διάνοιαν, ἀργεῖ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος ἡ συγκριτικὴ αὕτη ἀντιπαράθεσις, ἀντὶ δὲ τούτων ἑνότης κηρύσσεται· *Ἐγὼ γάρ*, φησί, *καὶ ὁ Πατὴρ ἕν ἐσμεν*.

A minum se missum esse confiteri. Tu ergo illum a Patre missum nosti, et eum a quo missus est, simul esse cum illo non accepisti? *Qui misit me*, inquit, *mecum est* [1]. Ex quibus verbis poteras intelligere illum ita mitti, ut non disjungatur. Mittitur enim pro sua in homines benevolentia. Non separatur, quia natura secari non potest.

Ex eadem oratione.

Aiunt rursus, Filium se Patri minorem confiteri. *Pater enim*, inquit, *major me est* [2]. Atqui idem ipse illud etiam dixit : *Ego in Patre, et Pater in me est* [3]. Si major est Filio Pater, quomodo quod majus est, a minore capitur? Si minor Filius Patre, quomodo ab eo quod minus est majus impletur? B Major enim in minore nimis anguste concluditur. Minor autem majorem ut compleat non assequitur. Ut necesse sit deficere Filium in Patre, et Patrem in Filio redundare, atque ita ex sententia istorum mentiri, qui, *Ego*, inquit, *in Patre, et Pater in me est*, cum deberet (si minor est), Ego in parte Patris, et pars Patris in me est. Sin totus Pater in toto Filio est, et totus Filius in toto Patre, ubinam est quod redundat? ubinam id quod deficit? Verum quid multis opus est, cum uno verbo possumus omnes ipsorum nugas confutare : *Qui cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo* [4]? Dic mihi. Tu æqualem audis, et cogitas inæqualem? O inanem doctrinam, quæ quod æquale est, inæquale interpretatur! Dixit igitur : C *Qui misit me, major me est*. Consideremus cujus sit hæc oratio et quomodo missus sit, in formane Dei manens, an servi formam accipiens; in plenitudine divinitatis, an in servi forma semetipsum exinaniens? Divina profecto virtus et natura, quæ ubique est, quæ per omnia commeat, quæ complectitur omnia, merito mitti non diceretur. Nihil enim ipsa vacuum est, ut si mittatur, alicubi esse possit, ubi antea non fuerit. Nam vi sua moderatrice conservatriceque cuncta comprehendens, non habet quo tanquam in vacuum transcendat, sed implet omnia. Quare Filii ex sententia Patris ad imbecillitatem infirmitatemque nostram descensus atque profectio missio dicitur. Transitus enim ab immortali natura ad mortalem hanc D vitam non Domini motum in loco, sed excelsæ divinitatis ad carnem abjectam atque humilem suscipiendam accessum indicat. Descendit igitur non Verbum nudum apparens, sed caro factum. Itaque humanitatis habita ratione majorem eum qui non cernitur, illo qui conspicitur, esse confitetur. At cum ad divinitatem cognoscendam nos ducit, ea majoris et minoris cessat comparatio. Et pro his unitas prædicatur : *Ego* enim, inquit, *et Pater unum sumus* [5].

[1] Joan. VIII, 29. [2] Joan. XIV, 28. [3] Ibid. 11. [4] Philip. II, 6. [5] Joan. X, 30.

Item contra Arianos. Magni Joannis Chrysostomi ex interpretatione illorum verborum, « Faciamus hominem [1]. »

Hic et Arii opinionem approbantibus lethale vulnus infligit. Non enim imperantis more dixit: *Facito*, tanquam minorem, aut essentia inferiorem alloqueretur, sed parem honoris gradum ostendens: *Faciamus*, inquit. Et quæ deinceps sequuntur magnam nobis essentiæ declarant similitudinem.

Ejusdem ex interpretatione illorum verborum: « Et assumpsit Deus hominem, quem formaverat [2]. »

In ipso statim principio duo posuit. Neque enim dixit: *Dominus*, et tacuit, sed adjecit: *Deus*, duobus hisce verbis: *Dominus Deus*, reconditum et arcanum quiddam nos docens, ut scire possimus, B sive Dominum, sive Deum audiverimus, inter hæc duo nomina nihil interesse. Ne igitur audiens Paulum ita dicentem: *Unus Deus Pater, ex quo omnia, et unus Dominus Jesus Christus, per quem omnia* [3], putes in his vocibus discrimen aliquod, et una quidem majus, altera minus indicari. Idcirco utraque promiscue et communiter utitur Scriptura, ne liceat hominibus pugnacibus rectam doctrinam contentionibus suis pervertere et conturbare.

Ejusdem ex interpretatione in illa verba: « In principio erat Verbum [4]. »

Illud: *In principio erat Verbum*, non significat, inquiunt, æternitatem: idem enim de cœlo et terra dictum est. O insignem impudentiam, et magnam temeritatem! Ego tibi de Deo loquor, et tu mihi terram et homines e terra conflatos in medium affers? Ergo quoniam homines filii Dei dicuntur et dii: *Ego enim*, inquit, *dixi, Dii estis, et filii Excelsi omnes* [5], Unigeniti divinitatem in dubium vocabis, eumque nihil amplius habere, quam te, dices? Minime vero, inquis. Atqui sic agis, licet verbis haud ita loquaris. Cum enim ipsum natura Filium neges, quid aliud moliris, nisi ut Filium esse per gratiam probes? Sed testimonia, quæ ab istis afferuntur, consideremus. *In principio*, inquit, *fecit Deus cælum et terram. Terra autem erat invisibilis et incomposita* [6]. Et, *Fuit vir de Ramathaimsobim* [7]. Hæc isti putant admodum firma et valida argumenta, et sunt illa sane firma et valida ad doctrinam nostram comprobandam. Nam ad confirmandam detestabilem ipsorum opinionem nihil potest infirmius cogitari. Dic enim, obsecro, quid commune habet illud, *Fecit*, cum hoc: *Erat?* Quid rursum Deus cum homine? cur commisces ea quæ misceri nequeunt? cur ea quæ sunt divisa confundis, et ea quæ superiora sunt, inferiora constituis? Hic enim non solum illud: *Erat*, indicat æternitatem, sed etiam illud: *Verbum erat*; et illud: *In principio erat*. Quemadmodum enim illud: *Qui est*, cum de homine dici-

A *Ἔτι κατὰ Ἀρειανῶν τοῦ μεγάλου Ἰωάννου τοῦ Χρυσοστόμου ἐκ τῆς ἑρμηνείας τῆς εἰς τό· « Ποιήσωμεν ἄνθρωπον. »*

Ἐνταῦθα καὶ τοῖς τὰ Ἀρείου φρονοῦσι καιρίαν δίδωσι τὴν πληγήν. Οὐδὲ γὰρ προστακτικῶς εἶπε· Ποίησον, ὡς ὑποδεεστέρῳ ἢ ἐλάττονι κατὰ τὴν οὐσίαν, ἀλλὰ μετὰ πολλῆς τῆς ἰσοτιμίας, *Ποιήσωμεν*. Καὶ τὸ ἑξῆς δὲ πολλὴν δείκνυσιν ἡμῖν τῆς οὐσίας τὴν ὁμοιότητα.

Ἐκ τῆς ἑρμηνείας τῆς εἰς τὸ, « Ἔλαβε Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον ὃν ἔπλασεν. »

Εὐθέως ἐκ προοιμίων τὰ δύο τέθεικεν. Οὐδὲ γὰρ εἶπε « Κύριος, » καὶ ἐσίγησεν, ἀλλὰ προσέθηκε « Κύριος ὁ Θεὸς, » λανθάνον τι καὶ κεκρυμμένον ἐντεῦθεν B διδάσκων ἡμᾶς, ἵνα εἰδέναι ἔχωμεν, ὅτι κἄν τε Κύριον ἀκούσωμεν, κἄν τε Θεὸν, οὐδεμία ἐν τοῖς ὀνόμασίν ἐστι διαφορά. Τούτου δὲ νῦν οὐχ ἁπλῶς ἐμνημόνευσα, ἀλλ' ἵνα, ὅταν ἀκούσῃς Παύλου λέγοντος· *Εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα*, μὴ νομίσῃς διαφορὰν εἶναι ἐν ταῖς λέξεσι, καὶ τὴν μὲν μεῖζόν τι δηλοῦν, τὴν δὲ ἔλαττον. Διὰ τοῦτο καὶ ἀδιαφόρως ἡ Γραφὴ τούτοις κέχρηται τοῖς ὀνόμασιν, ἵνα μὴ ἐξῇ τοῖς φιλονείκως διακειμένοις τὰ ἐξ οἰκείας ὑπονοίας ἐπεισφέρειν τῇ τῶν δογμάτων ὀρθότητι.

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τῆς εἰς τό· « Ἐν ἀρχῇ ἦν ὁ Λόγος. »

Τὸ, *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*, οὐ τὸ ἀΐδιον, φασὶ, δεί- C κνυσι. Καὶ γὰρ καὶ περὶ οὐρανοῦ τοῦτο ἐλέχθη καὶ περὶ γῆς. Ὢ τῆς ἀναισχυντίας καὶ τῆς ἀνευλαβείας τῆς πολλῆς! Περὶ Θεοῦ σοι διαλέγομαι, καὶ σύ μοι τὴν γῆν φέρεις εἰς μέσον, καὶ τοὺς ἀπὸ τῆς γῆς ἀνθρώπους; Οὐκοῦν ἐπειδὴ καὶ ὁ ἄνθρωπος υἱὸς Θεοῦ λέγεται, καὶ Θεὸς, *Ἐγὼ γὰρ*, φησὶν, *εἶπα, θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες*, φιλονεικήσεις τῷ Μονογενεῖ τῆς υἱότητος, καὶ οὐδὲν φήσεις αὐτὸν ἔχειν κατὰ τοῦτο σοῦ πλέον; Οὐδαμῶς, φῄς. Καὶ μὴν τοῦτο ποιεῖς, κἂν μὴ τῷ λόγῳ λέγῃς. Τῷ γὰρ μὴ φύσει εἶναι λέγειν αὐτὸν Υἱὸν οὐδὲν ἕτερον ἢ χάριτι εἶναι τοῦτον κατασκευάζεις. Πλὴν ἀλλ' ἴδωμεν καὶ τὰς μαρτυρίας, ἃς παράγουσιν ἡμῖν. *Ἐν ἀρχῇ*, φησὶν, *ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος*. Καί· *Ἦν ἄν-* D *θρωπος ἐξ Ἀρμαθαὶμ Σιφά*. Ταῦτά ἐστιν, ἃ νομίζουσιν ἰσχυρά. Καὶ ἰσχυρὰ, ἀλλ' εἰς τὸ δεῖξαι τὴν παρ' ἡμῶν ὀρθότητα τῶν δογμάτων ἀσθενέστερα ὄντα πάντων, πρὸς τὸ στῆσαι τὴν βλασφημίαν αὐτῶν. Τί γὰρ, εἰπέ μοι, κοινὸν ἔχει πρὸς τὸ *ἐποίησε* τὸ *ἦν*; Τί δὲ ὁ Θεὸς πρὸς τὸν ἄνθρωπον; Τί τὰ ἄμικτα μιγνύεις, καὶ συγχεῖς τὰ διαιρούμενα, καὶ τὰ ἄνω κάτω ποιεῖς; Ἐνταῦθα γὰρ οὐ τὸ *ἦν* δείκνυσι τὸ ἀΐδιον μόνον, ἀλλὰ καὶ τὸ, *Ἐν ἀρχῇ ἦν*. Ὥσπερ οὖν τὸ *ὢν* ὅταν μὲν περὶ ἀνθρώπου λέγηται, τὸν ἐνεστῶτα χρόνον δηλοῖ μόνον, ὅταν δὲ περὶ Θεοῦ, τὸ ἀΐδιον δείκνυσιν· οὕτω καὶ τὸ ἦν, περὶ μὲν τῆς ἡμετέρας λεγόμενον φύσεως, τὸν παρελθόντα χρόνον σημαίνει

[1] Gen. I, 26. [2] Gen. II, 15. [3] I Cor. VIII, 6. [7] I Reg. I, 1.

[4] Joan. I, 1. [5] Psal. LXXXI, 6. [6] Gen. I, 1, 2.

ἡμῖν, καὶ τοῦτον πεπερατωμένον· ὅταν δὲ περὶ Θεοῦ ῥηθείη, τὸ ἀΐδιον ἐμφαίνει.

A tur, instans duntaxat tempus significat, cum autem de Deo æternitatem declarat, sic et illud, *Erat*, si ad naturam nostram referatur, tempus præteritum idque terminatum ostendit, sin referatur ad Deum, æternitatem.

Ἐκ τῆς αὐτῆς ἀκολουθίας.

Ναί, φησίν, ἀλλ' ὁ Πέτρος εἶπε τοῦτο σαφῶς καὶ διαῤῥήδην. Ποῦ, καὶ πότε; Ὅταν Ἰουδαίοις διαλεγόμενος ἔλεγεν, ὅτι *Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε*. Τί οὖν καὶ τὸ ἑξῆς οὐ προσέθηκας, ὅτι *Τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε;* Ἢ ἀγνοεῖς, ὅτι τῶν λεγομένων τὰ μὲν τῆς ἀκηράτου φύσεως, τὰ δὲ τῆς οἰκονομίας ἐστίν; Εἰ δὲ μὴ ἔστιν, ἀλλὰ πάντα ἁπλῶς ἐπὶ τῆς θεότητος ἐκδέξῃ, καὶ παθητὸν εἰσάγεις τὸ Θεῖον. Εἰ δὲ μὴ παθητὸν, οὐδὲ ποιητόν. Εἰ μὲν γὰρ ἐκ τῆς θείας αὐτοῦ καὶ ἀῤῥήτου φύσεως τὸ αἷμα B ἐῤῥευσε, καὶ ἀντὶ τῆς σαρκὸς αὐτὴ τοῖς κατὰ τὸν σταυρὸν ἥλοις διῃρεῖτο καὶ ἐτέμνετο, λόγον ἂν εἶχέ σου κατὰ τοῦτο τὸ σόφισμα. Εἰ δὲ τοῦτο οὐδ' ἂν αὐτὸς ὁ διάβολος βλασφημήσειε, τίνος ἕνεκεν αὐτὸς ἀγνοεῖν προσποιῇ, ἀσύγγνωστον οὕτως ἄγνοιαν, καὶ ἣν οὐδ' ἂν οἱ δαίμονες ὑπεκρίναντο; Ἄλλως τε τὸ *Κύριος καὶ Χριστὸς* οὐκ ἔστιν οὐσίας, ἀλλ' ἀξιώματος. Τὸ μὲν γὰρ τῆς ἐξουσίας ἐστὶ, τὸ δὲ τοῦ χρισθῆναι. Τί οὖν ἂν εἴποις περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ; Εἰ γὰρ καὶ κτιστὸς ἦν καθ' ὑμᾶς, τοῦτο οὐκ ἂν ἔχοι χώραν. Οὐ γὰρ δὴ πρότερον ἐγένετο, καὶ τότε αὐτὸν ἐχειροτόνησεν ὁ Θεὸς, οὐδὲ ἐπίκτητον ἔχει τὴν ἀρχὴν, ἀλλὰ φύσει καὶ οὐσιωμένην. Ἐρωτηθεὶς γὰρ, εἰ βασιλεὺς εἴη, *Ἐγὼ εἰς τοῦτο γεγέννημαι*, φησίν. Ὁ C δὲ Πέτρος, ὡς περὶ τινος χειροτονηθέντος, οὕτω διαλέγεται. Περὶ γὰρ τῆς οἰκονομίας ὁ λόγος αὐτῷ πάσης. Καὶ τί θαυμάζεις εἰ τοῦτο ὁ Πέτρος φησίν; Ἀθηναίοις γὰρ διαλεγόμενος ὁ Παῦλος, ἄνδρα καλεῖ μόνον οὕτω λέγων· *Ἐν ἀνδρὶ ᾧ ὥρισε πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν*, καὶ οὐδὲν περὶ τῆς τοῦ Θεοῦ λέγει μορφῆς, οὐδὲ ὅτι ἴσος αὐτῷ, οὐδ' ὅτι ἀπαύγασμα τῆς δόξης αὐτοῦ, εἰκότως. Οὔπω γὰρ καιρὸς τούτων τῶν ῥημάτων ἦν. Ἀγαπητὸν δὲ ἦν αὐτοὺς παραδέξασθαι τέως, ὅτι ἄνθωπρός ἐστι, καὶ ὅτι ἀνέστη. Οὕτω καὶ αὐτὸς ὁ Χριστὸς ἐποίησε, παρ' οὗ καὶ Παῦλος μαθὼν, οὕτω τὰ πράγματα οἰκονομεῖ. Οὐ γὰρ εὐθέως ἡμῖν ἑαυτοῦ τὴν θεότητα ἐξεκάλυψεν, ἀλλὰ πρῶτον μὲν ἐνομίζετο προφήτης, καὶ Χριστὸς ἁπλῶς ἄνθρωπος· ὕστερον δὲ ἐφάνη διὰ τῶν ἔργων D καὶ τῶν ῥημάτων τοῦτο ὅπερ ἦν. Διὰ τοῦτο καὶ ὁ Πέτρος ἐν ἀρχῇ τούτῳ κέχρηται τῷ τρόπῳ. Καὶ γὰρ ταύτην πρώτην πρὸς Ἰουδαίους ἐδημηγόρει τὴν δημηγορίαν. Καὶ ἐπειδὴ οὐδὲν περὶ τῆς θεότητος αὐτοῦ σαφὲς μαθεῖν ἴσχυον, διὰ τοῦτο τοῖς περὶ τῆς οἰκονομίας ἐνδιατρίβει λόγοις, ἵνα τούτοις ἡ ἀκοὴ γυμνασθεῖσα τῇ λοιπῇ προοδοποιήσῃ διδασκαλίᾳ. Καὶ εἰ βούλοιτό τις τὴν δημηγορίαν πᾶσαν ἄνωθεν διελθεῖν, εὑρήσει τοῦτο ὃ λέγω σφόδρα διαλάμπον. Καὶ γὰρ ἄνδρα αὐτὸν καλεῖ καὶ αὐτὸς, καὶ τοῖς τοῦ πάθους καὶ τῆς ἀναστάσεως καὶ τοῖς κατὰ σάρκα γεννήσεως ἐνδιατρίβει λόγοις. Καὶ Παῦλος δὲ ὅταν λέγῃ, *Τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα*, οὐδὲν ἕτερον ἡμᾶς παιδεύει, ἀλλ' ἢ ὅτι τὸ ἐποίησεν ἐπὶ

Ex eodem loco.

Næ, ait, sed Petrus dixit hoc plane et palam. Ubi et quando? Cum Judæos alloquens: *Dominum ipsum*, inquit, *et Christum Deus fecit* [1]. Cur non et id, quod ordine statim sequitur addidisti, nempe, *Hunc Jesum quem vos crucifixistis* [2]? An ignoras ea quæ dicta sunt partim ad immortalem naturam, partim ad curandæ salutis humanæ consilium pertinere? Quæ si secus habent, et tu simpliciter omnia refers ad divinitatem, Deum etiam pati vis; sin pati illum negas, ne factum quidem esse concedis. Si enim ex divina illa natura, quæ verbis explicari non potest, sanguis fluxisset, et ipsa pro carne clavis in cruce dilaniata et conscissa esset, argumentum tuum hoc loco probabile videretur. Quod si hæc tam exsecranda ne diabolus quidem ipse diceret, cur istam tu nulla venia dignam fingis ignorantiam, quam ne dæmones quidem ipsi præ se ferrent? Quanquam verba illa: *Dominus* et *Christus*, non essentiæ sunt, sed dignitatis. Dominus enim potestatem, Christus unctionem significat. Quid igitur dices de Filio Dei? Si enim, quemadmodum vos sentitis, creatus esset, hoc non haberet locum. Non enim cum prius factus, elegit tunc Deus. Nec adventitium ille, sed per naturam et essentiam habet imperium. Interrogatus enim, an esset rex, *Ego*, inquit, *ad hoc natus sum* [3]. Petrus autem de illo tanquam electo et cooptato verba facit. Tota enim illius oratio ad explicandum divinum salutis humanæ consilium pertinet. Jam quid miraris Petrum ita loqui, cum Paulus alloquens Athenienses eum hominem solum appellet: *In viro, inquiens, quem statuerat, fidem omnibus præbens, cum illum a mortuis suscitarit* [4]. Nihil autem de forma Dei loquitur, nec eum ipsi æqualem, nec gloriæ splendorem ipsum esse dicit, ac merito id quidem facit. Neque enim tempus ejusmodi verba postulabat, cum satis tunc esset Paulo, si illis persuasisset, eum et hominem esse, et surrexisse. Sic egit et ipse Christus, a quo Paulus edoctus ita rem gerit. Neque enim statim divinitatem suam nobis patefecit; sed primo quidem putabatur esse propheta, et Christus simpliciter homo; deinde ex factis et verbis apparuit id quod erat. Idcirco et Petrus principio hac ratione utitur. Hanc enim primam ad Judæos concionem habuit. Et quia nihil de divinitate perspicuum discere poterant, ob id in eo commoratur, ut divinum humani generis servandi consilium explicet, quo sibi ad reliqua docenda aditum patefaciat. Ac si quis totam concionem ipsam a principio perlegat, reperiet id quod dicimus esse clarissimum. Nam et ipse virum eum vocat, et in ejus morte, et resurrectione, et humano ortu explican-

[1] Act. II, 36. [2] ibid. [3] Joan. XVIII, 37. [4] Act. XVII, 31.

dis immoratur. Et Paulus cum diceret eum factum ex semine David secundum carnem[1], nihil aliud nos docuit, nisi verbum illud, *Fecit*, ad humanitatem ejus esse referendum. Quod nos item confitemur. Sed filius tonitrui de natura illius quæ verbis explicari non potest, quæque est ante sæcula, nunc loquitur. Quamobrem verbum illud : *Fecit*, omittens, dixit : *Erat*.

τῆς οἰκονομίας παρείληπται, ὃ καὶ ἡμεῖς ὁμολογοῦμεν. Ἀλλ' ὁ τῆς βροντῆς υἱὸς περὶ τῆς ἀῤῥήτου καὶ προαιωνίου ὑπάρξεως διαλέγεται νῦν, διὰ τοῦτο τὸ *ἐποίησεν* ἀφεὶς, τὸ *ἦν* ἔθηκεν.

Ex eodem libro.

Audivi : *In principio erat Verbum*. Quid intelligis ex hoc principio? Nonne id plane, nempe ipsum esse ante res quæ mente solum comprehenduntur, et ante sæcula? Quod si aliquis dicat : Quomodo potest, si Filius est, non esse junior Patre? quod enim ex aliquo est, id illo, ex quo est, necessario posterius esse dicimus : hæc sunt hominum argumenta rebus humanis convenientia. Et qui hoc quærit, alia magis etiam absurda quæret. Itaque nos ne audisse quidem hæc oportebat. De Deo enim nunc nobis est sermo, non de hominum natura, quæ istiusmodi argumentorum ordini et necessitati obnoxia est. Verum ut infirmioribus satisfiat, ad hæc item respondebimus. Dic mihi : Splendor solis ex ipsane solis natura, an aliunde manat? Necesse prorsus est, nisi plane sensibus etiam cares, ut eum ex solis natura manare fatearis. Attamen cum ex solis natura splendor proveniat, non dicemus illum natura solis esse posteriorem. Nunquam enim sine splendore sol exstitisset. Quod si in corporibus istis quæ sensibus percipimus et intuemur, aliquid ex aliquo sic esse constat, ut eo, ex quo est, posterius non sit, non credis in ipsa natura, quæ nec cerni potest nec enarrari, idem esse, ea quidem ratione, quæ tali naturæ conveniat? Hac enim de causa et Paulus eum splendorem appellavit, ut illum et ex Patre et simul cum Patre æternum demonstraret. Quid? non sæcula per ipsum facta sunt omnia, et omne spatium? Necesse est te, nisi desipis, id confiteri. Nihil igitur medium inter Filium et Patrem. Quod si nihil inter eos medium intercedit, Filius non est posterior, sed æternus cum Patre. At illa verba, *ante* et *post*, temporum differentias indicant, et sine sæculo et tempore nulla sunt. Temporibus autem et sæculis superior est Deus. Jam si Filii principium ais omnino comprehensum esse, vide ne eadem ratione et argumento cogaris et Patrem sub principio antiquiore quidem, sed principio tamen constituere. Dic enim mihi, nonne terminum quemdam et principium ita præponis Filio, ut ab eo sursum progrediaris ad Patrem? Sic apparet. Dic igitur et illud mihi, quanto spatio Pater antecedat. Nam sive parvum sive magnum protuleris intervallum, sub principio Patrem collocabis. Perspicuum enim est te spatium in medio interjectum, seu magnum seu parvum sit, dimetiri. Quod fieri nequit, nisi ex utraque parte principium aliquod sit. Quamobrem et Patri, quantum in te est, principium dedisti. Ut jam per vos ne Pater quidem sine principio sit.

Ἐκ τῆς αὐτῆς ἀκολουθίας.

Ἤκουσα ὅτι *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*. Τί νοεῖς ἀπὸ τῆς ἀρχῆς ταύτης; Ἢ δῆλον, ὅτι τὸ πρὸ πάντων αὐτὸν εἶναι τῶν νοητῶν, καὶ πρὸ τῶν αἰώνων; Εἰ δὲ λέγοι τις, Καὶ πῶς ἐστιν Υἱὸν ὄντα μὴ νεώτερον εἶναι τοῦ Πατρός; τὸ γὰρ ἔκ τινος ὂν ἀνάγκη πᾶσα ὕστερον εἶναι τοῦ ἐξ οὗ ἐστιν· ἐροῦμεν, ὅτι μάλιστα μὲν ταῦτα λογισμῶν ἀνθρωπίνων ἐστὶ, καὶ ὁ τοῦτο ζητῶν καὶ ἕτερα τούτων ἀτοπώτερα ζητήσει, καίτοι οὐδὲ τῇ ἀκοῇ τὰ τοιαῦτα παραδέχεσθαι ἔδει. Περὶ Θεοῦ γὰρ νῦν ἡμῖν ὁ λόγος ἐστὶν, οὐ περὶ τῆς τῶν ἀνθρώπων φύσεως ὑποκειμένης τῇ τῶν λογισμῶν τούτων ἀκολουθίᾳ τε καὶ ἀνάγκῃ. Πλὴν ἀλλ' ὑπὲρ πληροφορίας τῶν ἀσθενεστέρων καὶ πρὸς ταῦτα ἐροῦμεν. Εἰπὲ γάρ μοι, τὸ ἀπαύγασμα τοῦ ἡλίου ἐξ αὐτῆς ἐκπηδᾷ τῆς τοῦ ἡλίου φύσεως, ἢ ἄλλοθέν ποθεν; Ἀνάγκη πᾶσα ὁμολογῆσαι τὸν μὴ καὶ τὰς αἰσθήσεις πεπηρωμένον, ὅτι ἐξ αὐτῆς. Ἀλλ' ὅμως καὶ ἐξ αὐτῆς ὂν τοῦ ἡλίου τὸ ἀπαύγασμα, οὐκ ἄν ποτε ὕστερον εἶναι φαίημεν τῆς ἡλιακῆς φύσεως, ἐπειδὴ μηδὲ χωρὶς ἀπαυγάσματος ἥλιος ἐφάνη ποτέ. Εἰ δὲ ἐπὶ τῶν σωμάτων τούτων τῶν αἰσθητῶν καὶ ὁρατῶν, καὶ ἔκ τινος ὂν, καὶ οὐχ ὕστερον τοῦ ἐξ οὗ ἐστιν ἐφάνη τι ὂν, τί ἀπιστεῖς, εἰ ἐπὶ τῆς ἀοράτου καὶ ἀῤῥήτου φύσεως τὸ αὐτὸ δὴ τοῦτό ἐστιν οὕτως, ὡς ἐκείνῃ τῇ οὐσίᾳ πρέπον ἦν; Διὰ γάρ τοι τοῦτο καὶ ὁ Παῦλος αὐτὸν οὕτως ἐκάλεσε, καὶ τὸ ἐξ αὐτοῦ, καὶ τὸ συναΐδιον παριστῶν. Τί δὲ, εἰπέ μοι, οὐχὶ οἱ αἰῶνες δι' αὐτοῦ γεγόνασι πάντες, καὶ διάστημα ἅπαν; Ἀνάγκη πᾶσα ὁμολογῆσαι τὸν μὴ παραπαίοντα. Οὐκοῦν οὐδὲν μέσον Υἱοῦ καὶ Πατρός· εἰ δὲ οὐδὲν, οὐχ ὕστερος, ἀλλὰ συναΐδιος. Τὸ γὰρ *πρὸ*, καὶ τὸ *μετὰ*, χρόνων εἰσὶν ἔννοιαι δηλωτικαί. Χωρὶς γὰρ αἰῶνος ἢ χρόνου οὐκ ἂν δυνηθείη τις ταῦτα νοῆσαι τὰ ῥήματα. Χρόνων δὲ καὶ αἰώνων ἀνώτερος ὁ Θεός. Εἰ δὲ ὅλως τοῦ Υἱοῦ φῂς ἀρχὴν κατειληφέναι, ὅρα μὴ καὶ τὸν Πατέρα ὑπὸ ἀρχὴν ἀναγκασθῇς ἀγαγεῖν κατὰ τοῦτον τὸν λόγον καὶ τὸν λογισμὸν, πρεσβυτέραν μὲν, ἀρχὴν δὲ ὅμως. Εἰπὲ γάρ μοι, οὐχ ὅρον τινὰ καὶ ἀρχὴν προτιθεὶς τοῦ Υἱοῦ, οὕτω προϊὼν ἀπ' αὐτῆς ἐπὶ τὸ ἄνω τὸν Πατέρα προϊέναι λέγεις; Εὔδηλον. Εἰπὲ οὖν μοι πάλιν, πόσον ὁ Πατὴρ προϋπάρχει; Ἄν τε γὰρ ὀλίγον, ἄν τε πολὺ διάστημα εἴποις, ὑπὸ ἀρχὴν τὸν Πατέρα ἤγαγες. Μετρήσας γὰρ, εὔδηλον, ὅτι τὸ μέσον οὕτως ὀλίγον ἐρεῖς, ἢ πολύ. Μετρῆσαι δὲ οὐκ ἂν γένοιτο, ἑκατέρωθεν οὔσης ἀρχῆς. Ὥστε καὶ τῷ Πατρὶ δέδωκας ἀρχὴν τό γε εἰς σὲ ἧκον, καὶ οὐκ ἔσται λοιπὸν οὐδὲ ὁ Πατὴρ ἄναρχος καθ' ὑμᾶς.

Ex eodem libro.

Libenter ab istis qui contradicunt et illud audirem

Ἐκ τῆς αὐτῆς ἀκολουθίας.

Ἡδέως δ' ἂν κἀκεῖνο ἐροίμην τοὺς ἀντιλέγοντας

[1] Rom. I, 3.

ἡμῖν· τί ποτέ ἐστι τὸ παρὰ τῷ προφήτῃ λεγόμενον, τὸ, *Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται;* Ἆρα ἀναιρήσετε καὶ αὐτὴν τοῦ Μονογενοῦς τὴν οὐσίαν; Ἀνάγκη γὰρ ἢ τοῦτο τολμᾷν, ἢ μίαν παραδέξασθαι τὴν θεότητα ἐν ἰδίαις ὑποστάσεσι Πατρὸς καὶ Υἱοῦ. Ποῦ δὲ ὅλως τό· *Πάντα δι' αὐτοῦ ἐγένετο*, ἀληθές; Εἰ γάρ ἐστιν αἰὼν αὐτοῦ πρεσβύτερος, πῶς ἂν ὁ πρὸ αὐτοῦ δι' αὐτοῦ γεγενημένος εἴη; Ὁρᾶτε εἰς ὅσην τόλμαν αὐτοὺς, ἅπαξ παρακινηθείσης τῆς ἀληθείας, ὁ λόγος ἐξήγαγε; Διατί γὰρ οὐκ εἶπεν ὁ εὐαγγελιστὴς, ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, καθάπερ περὶ πάντων ὁ Παῦλος ἀποφαίνεται λέγων οὕτως· *Ὁ καλέσας τὰ ὄντα ὡς μὴ ὄντα*, ἀλλ', *Ἐν ἀρχῇ ἦν*, φησί; Τοῦτο γὰρ ἐναντίον ἐκείνῳ, καὶ μάλα εἰκότως. Θεὸς γὰρ οὔτε γίνεται, οὔτε ἔχει τι πρεσβύτερον. Ἀλλὰ ταῦτα Ἑλλήνων ῥήματα. Εἰπὲ δή μοι κἀκεῖνο, τὸν κτίστην τῶν ἔργων ἀσυγκρίτως ὑπερέχειν εἴποις ἄν; Ὅταν οὖν αὐτοῖς ὅμοιον ᾖ τὸ ἐξ οὐκ ὄντων, ποῦ ἡ ἀσύγκριτος ὑπεροχή; Εἰ οὐκ ἔστι συναΐδιος τῷ Πατρὶ, πῶς ἄπειρον αὐτοῦ τὴν ζωὴν ἐρεῖς; Εἰ γὰρ ἀρχὴν ἄνωθεν ἔχει, κἂν ἀτελεύτητος ᾖ, ἄπειρος ὅμως οὐκ ἔστι. Τὸ γὰρ ἄπειρον ἑκατέρωθεν εἶναι χρή. Ὅπερ οὖν ὁ Παῦλος δηλῶν ἔλεγε· Μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων, τό τε ἄναρχον καὶ ἀτελεύτητον δηλῶν. Ὥσπερ γὰρ τοῦτο οὐκ ἔχει πέρας, οὕτως οὐδὲ ἐκεῖνο. Οὔτε γὰρ ἐνταῦθα τέλος, οὔτε ἐκεῖ ἀρχή. Πῶς δὲ ζωὴ ὢν, ἦν ὅτε οὐκ ἦν; Τὴν γὰρ ζωὴν ἀεί τε εἶναι, καὶ ἀνάρχως εἶναι, καὶ ἀτελευτήτως, πάντες ἂν ὁμολογήσαιεν, εἴ γε ὄντως εἴη ζωὴ, ὅπερ οὖν καὶ ἔστιν. Εἰ δὲ ἔστιν, ὅτε οὐκ ἔστι, πῶς ἂν εἴη ζωὴ τῶν ἄλλων αὐτὴ ποτὲ οὐκ οὖσα; Πῶς οὖν, φησὶν, ἀρχὴν ἔθηκεν ὁ εὐαγγελιστὴς εἰπών· *Ἐν ἀρχῇ ἦν;* Τὸ ἐν ἀρχῇ προσέσχες, καὶ τὸ *καὶ ὁ Λόγος ἦν* οὐκ ἐννοεῖς. Τί δὲ, ὅταν περὶ τοῦ Πατρὸς ὁ Προφήτης λέγῃ· *Ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ*, ἆρα ὅρους αὐτῷ τιθείς; οὕτω φησίν; Οὐδαμῶς, ἀλλὰ τὸ ἀΐδιον δηλῶν. Οὕτω τοίνυν καὶ ἐνταῦθα νόει. Οὐ γὰρ ὅρους τιθεὶς τοῦτο εἴρηκεν. Οὐδὲ γὰρ εἶπεν, Ἀρχὴν ἔσχεν, ἀλλ', Ἐν ἀρχῇ ἦν, παραπέμπων σε ἐπὶ τὸ ἄναρχον ἐννοεῖν τὸν Υἱόν. Ἀλλ' ἰδοὺ, φησὶν, ὁ Πατὴρ Θεὸς μετὰ τῆς τοῦ ἄρθρου προσθήκης εἴρηται, ὁ δὲ Υἱὸς χωρὶς ταύτης. Τί οὖν; ὅταν ὁ Ἀπόστολος λέγῃ· *Τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ·* καὶ πάλιν, *Ὁ ὢν ἐπὶ πάντων Θεός*. Ἰδοὺ γὰρ ἐνταῦθα οὐ χωρὶς τοῦ ἄρθρου τοῦ Υἱοῦ ἐμνημόνευσε. Ποιεῖ δὲ καὶ τοῦτο καὶ ἐπὶ τοῦ Πατρός. Τοιγαροῦν Φιλιππησίοις ἐπιστέλλων οὕτω φησίν· Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. Καὶ Ῥωμαίοις δὲ πάλιν· *Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.* Ἄλλως τε καὶ περιττὸν ἦν ἐνταῦθα αὐτὸ προστεθῆναι ἄνω συνεχῶς προστεθὲν τῷ λόγῳ. Ὥσπερ γὰρ περὶ τοῦ Πατρὸς λέγων φησί· *Πνεῦμα ὁ Θεὸς*, καὶ οὐκ ἐπειδὴ τῷ Πνεύματι τὸ ἄρθρον οὐ πρόσκειται, ἀθετοῦμεν διὰ τοῦτο τὸ ἀσώματον τοῦ

A quid sibi velint ea prophetæ verba : *Ante me non fuit alius Deus, nec erit post me* [1]. Num essentiam negabitis Unigeniti? Necesse enim est ut vel hoc audeatis, vel unam suscipiatis in personis propriis Patris et Filii divinitatem. Quo autem pacto verum illud : *Omnia per ipsum facta sunt* [2]? Nam si illo sæculum est antiquius, quomodo quod ante ipsum est, per eum fieri potuit? Videte ad quantam audaciam semel a veritatis ratione declinantes pervenerint. Cur enim evangelista non dixit, eum cum antea non esset, fuisse factum? id quod de omnibus pronuntiat Paulus: *Vocans*, inquiens, *ea quæ non sunt, tanquam sint* [3]? sed quod huic contrarium est : *In principio*, inquit, *erat?* Quia res ita poscebat. B Deus enim nec fit, nec habet quidquam antiquius. Sed hæc Græcorum sunt verba. Dic igitur et illud mihi : Nonne procreator rebus procreatis sic antecellit, ut cum illis nequeat comparari? Ubinam igitur erit hæc excellentia, si quod ex nihilo factum est, ei dicatur simile? Si Filius non est æternus cum Patre, quomodo infinitam esse dices vitam illius? Si enim a parte superiori principium habet, licet non habeat finem, non est infinitus. Infinitum enim utrinque termino careat, necesse est. Quod quidem Paulus declaravit, cum diceret : *Neque initium dierum neque vitæ finem habens* [4]. Sic enim infinitum, quod et principii et finis expers esset ostendit, cum neutra ex parte termino concludatur, quoniam ex altera fine, ex altera principio careat. Jam cum vita C sit, quomodo fuit unquam cum non esset? Vitam enim et semper esse, et principio ac fine carere omnes confitebuntur. Qui enim esset aliorum vita, si ipsa aliquando non esset? Cur igitur, inquis, principium statuit evangelista : *In principio erat*, dicens? Tu vocem illam : *In principio*, consideras, nec attendis quid sequatur. *In principio* enim, inquit, *erat Verbum*. Quid? cum de Patre Propheta dicit : *A sæculo usque in sæculum tu es* [5], num terminos illi statuens ita loquitur? Minime vero, sed æternum significat. Sic etiam hoc loco cogita. Nullos enim fines præscribens ita locutus est. Neque enim dixit : Habebat principium, sed : *In principio erat*, ducens te illuc, ut sine principio Filium cogites. Sed D ecce, inquis, cum Patrem dicit Deum, articulum addit, quem de Filio loquens prætermittit. Quid? cum Apostolus dicit, *magni Dei et Servatoris nostri Jesu Christi* [6]; et rursum : *Qui est in omnibus Deus*, nonne articulum adjungit de Filio loquens? Contra de Patre verba faciens illum omittit, ut cum ad Philippenses scribit ad hunc modum : *Qui cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo* [7]. Et ad Romanos : *Gratia vobis*, inquit, *et pax a Deo Patre nostro, et Domino Jesu Christo* [8]. Quanquam et supervacaneum erat, hic articulum apponere cum antea semper adjunctus sit verbo. Quemadmodum enim cum de Patre loquens dicit, *Spiritus est Deus*, quamvis ad illam vocem, *Spiri-*

[1] Isa. XLIII, 10. [2] Joan. I, 3. [3] Rom. IV, 17. [4] Hebr. VII, 3. [5] Psal. LXXXIX, 2. [6] Tit. II, 11. [7] Philipp. II, 6. [8] Rom. I, 7.

tus non addat articulum, Deum tamen non negamus corporis expertem esse, sic etiam hic, licet Filio non adhibeatur articulus, non propterea Filius non ostenditur Deus. Cum enim dicat Deum, et Deum, inter hanc divinitatem nihil medium nobis esse significat. Quin etiam cum antea dixisset: *Et Deus erat Verbum*, ne quis divinitatem Filii minorem existimaret, statim veræ divinitatis indicium ac notam effert etiam æternitatem: *Hoc* enim, inquit, *erat in principio apud Deum*, et procreatorem indicat esse, *Omnia per ipsum*, inquiens, *facta sunt, et sine ipso factum est ne unum quidem, quod factum est*. Quam quidem divinitatis et essentiæ suæ notam et Pater per prophetas ubique adhibet. Et hoc demonstrationis genere semper utuntur prophetæ non simpliciter, sed simulacrorum gloriam impugnantes: *Dii* enim, inquit, *qui cœlum et terram non fecerunt perdantur*[1]. Et rursum, *Ego*, inquit, *manu mea cœlum extendi*[2]. Et hoc divinitatis indicio passim utitur. At evangelista ne his quidem verbis contentus, Vitam prætorea, et Lucem ipsum appellavit. Quamobrem si semper cum Patre erat; si omnia ipse fabricatus est; si omnia procreavit, et omnia fovet, id enim per verbum illud, *vitam*, significatur: si omnia illustrat, quis adeo stultus est, ut dicat evangelistam his verbis voluisse minorem Filii divinitatem ostendere, quibus maxima potest æqualitas et similitudo demonstrari? Ne confundamus res procreatas cum ipsarum procreatore, alioquin illud item in nos usurpabitur: *Et coluerunt creaturam magis quam Creatorem*[3].

Ejusdem in illa verba: « Omnia per ipsum facta sunt. »

Si præpositionem illam, *per*, imminutionis notam existimas, audi Paulum dicentem: *Tu, Domine, in principio terram fundasti, et opera manuum tuarum sunt cœli*[4]. Quod igitur de Patre ut procreatore dictum est, id de Filio dicit item ut procreatore, non autem cuipiam subministrante. Porro dictum est hic illud, *per ipsum*, nulla alia de causa nisi ut ne Filium unigenitum esse suspiceris. Nam quod Filius non sit inferior Patre, quantum pertinet ad mundi procreationem, audi ipsum dicentem: *Quemadmodum Pater suscitat mortuos et vivificat, sic et Filius quos vult vivificat*[5]. Si igitur de Filio et in Veteri Testamento dictum putas: *Tu in principio, Domine, terram fundasti*[6], perspicua est ipsius dignitas procreationis. Quod si de Patre vis hæc Prophetam dixisse, cum ea Paulus Filio tribuat, idem conficitur. Neque enim illa Filio congruere Paulus statuisset, nisi communem illius dignitatis honorem existimasset. Summæ enim fuisset audaciæ quod naturæ illi, cui nihil comparari potest, convenit, id naturæ inferiori deteriorique tribuere. Verum inferior non est Filius, neque deterior Patre. Itaque non hæc solum Paulus ausus est dicere, sed alia his

A Θεοῦ· οὕτω καὶ ἐνταῦθα, κἂν μὴ προσκέηται τῷ Υἱῷ τὸ ἄρθρον, οὐ διὰ τοῦτο ἧττων Θεὸς ὁ Υἱός. Θεὸν γὰρ καὶ Θεὸν εἰπὼν, οὐκ ἐμφαίνει τι μέσον ἡμῖν τῆς θεότητος ταύτης, ἀλλὰ καὶ τοὐναντίον. Προειπὼν γὰρ, *Καὶ Θεὸς ἦν ὁ Λόγος*, ἵνα μὴ νομίσῃ τις ἐλάττονα εἶναι τὴν θεότητα τοῦ Υἱοῦ, εὐθέως αὐτοῦ καὶ τὰ γνωριστικὰ τῆς γνησίας τίθησι θεότητος, τό τε ἀΐδιον. *Οὗτος γὰρ ἦν*, φησὶν, *ἐν ἀρχῇ πρὸς τὸν Θεὸν*, καὶ τὸ δημιουργικὸν προστιθείς· *Πάντα γὰρ*, φησὶ, *δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν, ὃ γέγονεν*. Ὃ μάλιστα καὶ ὁ Πατὴρ αὐτοῦ διὰ τῶν προφητῶν ἁπανταχοῦ τῆς οὐσίας τῆς αὐτοῦ γνωριστικὸν εἶναί φησι. Καὶ συνεχῶς τοῦτο τῆς ἀποδείξεως τὸ εἶδος περιστρέφουσιν οἱ προφῆται, καὶ οὐχ ἁπλῶς, ἀλλὰ πρὸς τὴν τῶν B εἰδώλων ἀγωνιζόμενοι δόξαν· *Θεοὶ* γὰρ, φησὶν, *οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπωλέσθωσαν*. Καὶ πάλιν, *Ἐγὼ τῇ χειρί μου ἐξέτεινα τὸν οὐρανόν*. Καὶ δεικνὺς θεότητος εἶναι δηλωτικὸν πανταχοῦ αὐτὸ τίθησιν. Αὐτὸς δὲ ὁ εὐαγγελιστὴς οὐδὲ τούτοις ἠρκέσθη τοῖς ῥήμασιν, ἀλλὰ καὶ ζωὴν αὐτὸν ἐκάλεσε καὶ φῶς. Εἰ τοίνυν ἀεὶ μετὰ τοῦ Πατρὸς ἦν, εἰ πάντα αὐτὸς ἐδημιούργησεν, εἰ πάντα αὐτὸς παρήγαγε, καὶ συγκροτεῖ, τοῦτο γὰρ διὰ τῆς ζωῆς ᾐνίξατο, εἰ πάντα φωτίζει· τίς οὕτως ἀνόητος, ὡς εἰπεῖν τὸν εὐαγγελιστὴν διὰ τούτων ἐσπουδακέναι ἐλάττωσιν θεότητος εἰσηγήσασθαι, δι' ὧν μάλιστα ἰσότητα καὶ ἀπαραλλαξίαν ἐνδείξασθαι δυνατόν ἐστι; Μὴ συγχέωμεν τὴν κτίσιν μετὰ τοῦ κτίσαντος, C ἵνα μὴ καὶ ἡμεῖς ἀκούσωμεν, ὅτι *Ἐσεβάσθησαν τὴν κτίσιν παρὰ τὸν κτίσαντα*.

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τῆς εἰς τό· « Πάντα δι' αὐτοῦ ἐγένετο. »

Εἰ τὸ *διὰ* νομίζεις ἐλαττώσεως εἶναι, ἄκουσον Παύλου λέγοντος· *Σὺ κατ' ἀρχὰς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί*· ὃ περὶ τοῦ Πατρὸς ὡς δημιουργοῦ εἴρηται, τοῦτο περὶ τοῦ Υἱοῦ λέγει, οὐκ ἂν εἰπὼν, εἰ μὴ ὡς περὶ δημιουργοῦ, ἀλλ' οὐχ ὑπουργοῦντός τινι. Εἰ δὲ ἐνταῦθα τὸ δι' αὐτοῦ εἴρηται, δι' οὐδὲν ἕτερον τέθειται, ἀλλ' ἵνα μὴ ἀγέννητον ὑποπτεύσῃ τις τὸν Υἱόν. Ἐπεὶ, ὅταν κατὰ τὸ τῆς δημιουργίας ἀξίωμα οὐδὲν ἔλαττον ἔχῃ τοῦ Πατρὸς, ἄκουσον αὐτοῦ λέγοντος· *Ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς, καὶ ζωο-* D *ποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ*. Εἰ μὲν οὖν περὶ τοῦ Υἱοῦ καὶ ἐν τῇ παλαιᾷ τὸ κατ' ἀρχάς· *Σὺ τὴν γῆν ἐθεμελίωσας, Κύριε*, εἴρηται, σαφὲς τὸ τῆς δημιουργίας ἀξίωμα· εἰ δὲ περὶ τοῦ Πατρὸς τοῦτο τὸν προφήτην εἰρηκέναι λέγεις, τὸν δὲ Παῦλον τῷ Υἱῷ προσνενεμηκέναι τὸ περὶ ἐκείνου λεχθὲν, καὶ οὕτω τὸ αὐτὸ γίνεται πάλιν. Οὐδὲ γὰρ ἂν καὶ τῷ Υἱῷ πρέπειν αὐτὸ ὁ Παῦλος ἐνομοθέτησεν, εἰ μὴ σφόδρα ἐθάῤῥει, ὅτι τὰ τῆς ἀξίας ὁμότιμα ἦν. Καὶ γὰρ ἦν τόλμης ἐσχάτης τὰ τῇ ἀσυγκρίτῳ πρέποντα φύσει, ἐπὶ τὴν ἐλάττω καὶ ἀποδέουσαν ἐκείνης ἀγαγεῖν. Ἀλλ' οὔτε ἐλάττων ἐστὶν, οὔτε ἀποδέει τῆς τοῦ Πατρὸς οὐσίας ὁ Υἱός. Διόπερ οὐ ταῦτα μόνον ἐθάῤ-

[1] Jerem. x, 11. [2] Isa. XLIV, 24. [3] Rom. I, 25. [4] Psal. CI, 26; Hebr. I, 10. [5] Joan. v, 21. [6] Psal. C, 26.

ῥῆσιν εἰπεῖν ὁ Παῦλος περὶ αὐτοῦ, ἀλλὰ καὶ ἕτερα τοιαῦτα. Τὸ γὰρ *Ἐξ οὗ*, ῥῆμα, ὅπερ ὡς ἀξίαν τινὰ μόνον τῷ Πατρὶ ἀπονέμεις, καὶ κλῆρον, καὶ περὶ τοῦ Υἱοῦ φησιν οὕτω λέγων· *Ἐξ οὗ πᾶν τὸ σῶμα διὰ τῶν ἁφῶν καὶ συνδέσμων ἐπιχορηγούμενον, καὶ συμβιβαζόμενον αὔξει εἰς τὴν αὔξησιν τοῦ Θεοῦ*. Καὶ οὐκ ἀρκεῖται τοῦτο μόνον, ἀλλὰ καὶ ἑτέρωθεν ὑμῖν ἀποφράττει τὰ στόματα. Τὸ *Δι' οὗ* τοῦτο ὑπὲρ ἐλαττώσεως εἶναι λέγεις τῷ Πατρὶ προσνέμων· *Πιστὸς γὰρ ὁ Θεὸς*, φησὶ, *δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ*· καὶ πάλιν· *Διὰ τοῦ θελήματος αὐτοῦ*· καὶ ἀλλαχοῦ· *Ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα*. Καὶ οὐ τῷ Υἱῷ μόνῳ τὸ *Ἐξ οὗ*, ἀλλὰ καὶ τῷ Πνεύματι προσνενέμηται. Καὶ γὰρ τῷ Ἰωσὴφ ὁ ἄγγελος ἔλεγε· *Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου, τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου*. Ὥσπερ οὖν καὶ τὸ *ἐν ᾧ* τοῦ Πνεύματος ὂν, οὐκ ἀπαξιοῖ καὶ τῷ Θεῷ προσνέμειν ὁ προφήτης, οὕτω λέγων· *Ἐν τῷ Θεῷ ποιήσωμεν δύναμιν*. Καὶ ὁ Παῦλος δεόμενός φησιν· *Εἴ πως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ Θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς*. Ἐπὶ τοῦ Χριστοῦ δὲ πάλιν τοῦτο τίθησι λέγων, *Ἐν Χριστῷ Ἰησοῦ*. Καὶ ὅλως πολλάκις, καὶ συνεχέστερον εὕροιμεν ἂν μεθισταμένας ταύτας τὰς λέξεις. Ταῦτα δὲ οὐκ ἂν συνέβη, μὴ πανταχοῦ τῆς αὐτῆς οὐσίας ὑποκειμένης.

A similia. Nam illud : *Ex quo*, quod tu soli Patri quam dignitatem atque hæreditatem quamdam ascribis, ipse de Filio etiam dicit : *Ex quo*, inquiens, *totum corpus per nexus et conjunctiones subministratum crescit in augmentum Dei* [1]. Neque hoc illi satis est, sed alia quoque ratione obstruit ora vestra, cum illud : *Per quem*, quod tu diminutionem significare dicis, tribuit etiam Patri : *Fidelis*, inquiens, *Deus, per quem vocati estis in societatem Filii ejus* [2]. Et rursum : *Per voluntatem ejus* [3]. Et alibi : *Quoniam ex ipso, et per ipsum, et in ipsum omnia* [4]. Ac non Filio solum ascribitur illud, *Ex quo*, sed etiam Spiritui. Siquidem angelus ad Joseph : *Ne timeas*, inquit, *accipere Mariam conjugem tuam, quod enim in ipsa conceptum est, ex Spiritu sancto est* [5]. B Quemadmodum igitur illud : *In quo*, cum Spiritus sit, non alienum putat Propheta, ut tribuatur Deo, et propterea dicit : *In Deo faciemus virtutem* [6]. Et Paulus optans : *Si quo modo*, inquit, *jam aliquando prosperum iter habeam in voluntate Dei venire ad vos* [7]. Et de Christo item loquens eodem utitur verbo, *In Christo*, inquiens, *Jesu*. Denique hæc verba sæpe atque adeo assidue ab una in aliam personam translata comperies. Quod quidem non fieret, nisi in omnibus una atque eadem esset natura atque essentia.

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τῆς εἰς τὸ, « Ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρός. »

Ὁ Εὐαγγελιστὴς τοῦ κόλπου μέμνηται διὰ τοῦ ἑνὸς ῥήματος τούτου ἡμῖν ἐμφαίνων ὅτι πολλὴ τῆς οὐσίας ἡ συγγένεια καὶ ἐγγύτης· ὅτι ἀπαράλλακτος ἡ γνῶσις, ὅτι ἴση ἡ ἐξουσία. Οὐ γὰρ τὸν ἑτεροούσιον ἐν τοῖς κόλποις ἂν ἔσχεν ὁ Πατὴρ, ἀλλ' οὐδ' ἂν αὐτὸς ἐτόλμησε δοῦλος ὢν, καὶ τῶν πολλῶν εἷς ἐν τοῖς κόλποις στρέφεσθαι τοῦ Δεσπότου. Τοῦτο γὰρ Υἱοῦ γνησίου μόνου, καὶ πολλῇ παῤῥησίᾳ πρὸς τὸν γεγεννηκότα χρωμένου, καὶ οὐδὲν ἔλαττον ἔχοντος. Βούλει καὶ τὸ ἀΐδιον μαθεῖν; Ἄκουσον τί φησιν ὁ Μωϋσῆς περὶ τοῦ Πατρός. Ἐρωτήσας γὰρ εἰ ἐρωτηθείη παρὰ τῶν Ἰουδαίων τίς ὁ ἀπεσταλκὼς αὐτὸν εἴη, τί κελεύεται ἀποκρίνασθαι πρὸς αὐτοὺς, ἤκουσεν· *Εἰπὲ ὅτι ὁ ὢν ἀπέσταλκέ με*. Τὸ δὲ *Ὁ ὢν* τοῦ ἀεὶ σημαντικὸν, καὶ τοῦ ἀνάρχως εἶναι, καὶ τοῦ ὄντως εἶναι, καὶ κυρίως. Τοῦτο καὶ τὸ, *Ἐν ἀρχῇ ἦν*, ἐμφαίνει τοῦ ἀεὶ δηλωτικὸν ὄν. Τούτῳ δὴ καὶ ἐνταῦθα τῷ ῥητῷ κέχρηται ὁ Ἰωάννης, δεικνὺς ὅτι ἀνάρχως καὶ ἀϊδίως ἐν τῷ κόλπῳ τοῦ Πατρός ἐστιν ὁ Υἱός. Ἵνα γὰρ μὴ διὰ τὴν τοῦ ὀνόματος κοινωνίαν ἕνα τινὰ τῶν χάριτι γενομένων υἱῶν εἶναι νομίσῃς, πρῶτον μὲν πρόσκειται τὸ ἄρθρον, διαιροῦν αὐτὸν τῶν κατὰ χάριν. Εἰ δὲ μὴ τοῦτο ἀρκεῖ σοι, ἀλλ' ἔτι κάτω κύπτεις, τούτου κυριώτερον ὄνομα ἄκουε τὸ, *Μονογενής*. Εἰ δὲ καὶ μετὰ τοῦτο κάτω βλέπεις, Οὐ παραιτήσομαι, φησὶ, καὶ ἀνθρωπίνην τινὰ ῥῆσιν εἰ-

Ejusdem ex interpretatione illius sententiæ: « Qui est in sinu Patris [8]. »

C Evangelista de sinu mentionem facit, ut hoc uno verbo nobis ostendat, magnam essentiæ cognationem esse, et propinquitatem, similemque esse cognitionem et æqualem potestatem. Eum enim, si alterius esset essentiæ, non teneret in sinu Pater. Ac ne ipse quidem, si esset servus, et unus e multis, auderet in Domini sinu versari. Hoc enim germani solius Filii proprium est, qui magna fiducia in Patrem utitur, eoque nulla re minor est. Vis et æternitatem ejus intelligere? Audi quid Moses de Patre dicat. Quærens enim si a Judæis interrogaretur, ecquod esset nomen ipsius, quisnam esset ille qui se misisset, quid illis esset respondendum, audivit illud : *Dicito, Qui est, misit me* [9]. D *Qui est* autem nihil aliud significat, nisi qui semper est, qui sine principio est, qui vere et proprie est. Idem autem et verbis illis significatur : *In principio erat*. Eodem verbo et hic Joannes utitur : *Qui est*, inquiens, *in sinu Patris*, ut sine principio et ab omni æternitate demonstret esse. Ac ne ex nominis similitudine, aliquem ex iis qui gratia filii sunt intelligeres, primum adjunxit articulum, ut eum a filiis per gratiam adoptatis separaret. Deinde, ne forte id tibi deorsum intuenti non esset satis, nomen adhuc magis proprium addidit, hoc est, *Unigenitus*. Quod si post hoc oculos adhuc humi defixos

[1] Coloss. II, 19. [2] I Cor. I, 9. [3] Galat. I, 4. [4] Rom. XI, 36. [5] Matth. I, 20. [6] Psal. LIX, 14. [7] Rom. I, 10. [8] Joan. I, 18. [9] Exod. III, 14.

habes : Non gravabor, inquit, aliquod etiam verbum hominibus congruens usurpare, quamvis loquar de Deo. Attamen, ne quid humile abjectumque cogites, in sinu tantum dicam.

Item in Arianos, sancti Cyrilli Alexandrini. Ex commentariis ejus in Joannis Evangelium.

Quid ad hæc dicitis, qui novum nobis ac recentem inducitis Filium, ut ne omnino quidem jam amplius credatur Deus? « Non enim erit in te Deus recens, » ait Scriptura [1]. Quomodo autem non erit recens, si novissimis natus est temporibus? Quomodo vero non mentitus sit ad Judæos dicens: « Amen dico vobis, antequam Abraham fieret, ego sum [2] ? » Neminem enim fugit multis post beatum Abraham sæculis Christum ex sancta Virgine genitum. Quomodo denique illud, « In principio erat, » manebit incolume, et recte quadrabit, si in fine sæculorum natus est Unigenitus? Vide enim vel ex iis quæ sequuntur, quantæ sit absurditatis æternam Filii exsistentiam mutilare, et novissimis temporibus ipsum natum suspicari. Illud vero subtilius rursus explicandum nobis venit quod dixit beatus evangelista :

In principio erat Verbum.

Principio nihil est antiquius, si principii definitionem in se retineat. Principium enim principii nusquam fuerit : aut si quiddam aliud ante ipsum intelligatur oriaturve, vere principium esse desinet. Alioqui, si fieri potest ut aliquid ante illud quod vere principium est exsistat, in infinitum nostra de illo abitura est oratio, alio prius semper exoriente, et post se rejiciente illud quod quæretur. Itaque principium quidem principii non erit, si vere et exacte ratiocinari volumus, sed in infinitum et incomprehensibile procedet id quod de ipso dicetur. Cumque fine careat illa retro acta perpetuo conversio, et sæcula percurrat, non exsistere in tempore Filius, sed ab æterno potius esse cum Patre comperietur. Erat enim in principio. Quod si erat in principio, quæ mens, amabo, poterit vim illius verbi, *erat*, transvolare? Quando denique illud, *erat*, velut in fine consistet, cum prosequentem cogitationem semper antecedat, mentemque præcurrat? Quam ob rem attonitus propheta Isaias inquit : « Generationem ejus quis enarrabit? Quia tollitur a terra vita ejus [3]. » Tollitur enim profecto a terra generationis Unigeniti ratio, hoc est, omnium mortalium mentem excedit, omnemque rationem superat, adeo ut enarrari nequeat. Quod si mentem et rationem nostram excedit, quomodo creatus erit, cum et tempore et ratione circumscribere res creatas ingenii nostri vires non excedat?

Alia observatio, in illud, « In principio erat Verbum. »

Principium utique illud quod in tempore intel-

[1] Psal. LXXX, 10. [2] Joan. VIII, 58. [3] Isa. LIII, 8.

πεῖν περὶ τοῦ Θεοῦ, τὴν τοῦ κόλπου λέγω μόνον, ἵνα μηδὲν ὑποπτεύσῃς ταπεινόν.

Ἔτι κατὰ Ἀρειανῶν τε καὶ Εὐνομιανῶν τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας ἐκ τῶν εἰς Ἰωάννην Εὐαγγέλιον ἐξηγητικῶν.

Τί πρὸς τοῦτό φατε, οἱ νέον ἡμῖν καὶ πρόσφατον εἰσφέροντες τὸν Υἱὸν, ἵνα μηδὲ ὅλως ὑπάρχειν ἢ πιστεύηται Θεός; « Οὐ γὰρ ἔσται, » φησὶν, « ἐν σοὶ Θεὸς πρόσφατος, » ἡ θεία Γραφή. Πῶς οὖν οὐ πρόσφατος, εἰ ἐν ὑστέροις ἐγεννήθη καιροῖς; Πῶς δὲ οὐκ ἐψεύδετο λέγων πρὸς Ἰουδαίους· « Ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι· » πρόδηλον γὰρ δήπου καὶ πᾶσιν ὁμολογούμενον, ὡς πολλοῖς ὕστερον χρόνοις μετὰ τὸν μακάριον Ἀβραὰμ ἐγεννήθη Χριστὸς διὰ τῆς ἁγίας Παρθένου. Ποῦ δὲ ὅλως τὸ, « Ἐν ἀρχῇ ἦν, » σωθήσεται καὶ χωρήσει καλῶς, εἴπερ ἐπὶ τέλει τῶν αἰώνων γέγονεν ὁ Μονογενής; Ὅρα γάρ μοι καὶ διὰ τῶν ἐφεξῆς, ὅσην ἔχει τὴν ἀτοπίαν τὸ κολοβοῦν τοῦ Υἱοῦ τὴν ἀΐδιον ὕπαρξιν, καὶ ἐν ὑστέροις αὐτὸν γενέσθαι χρόνοις ὑπονοεῖν. Αὐτὸ δὲ δὴ πάλιν ἡμῖν εἰς λεπτοτέραν παρακαλεῖται βάσανον, ὅπερ ἔφη ὁ μακάριος εὐαγγελιστής·

Ἐν ἀρχῇ ἦν ὁ Λόγος.

Τῆς ἀρχῆς οὐδέν ἐστι τὸ πρεσβύτατον, εἴπερ ᾖ σωζόμενον ἐφ' ἑαυτῇ τὸν τῆς ἀρχῆς ὅρον. Ἀρχὴ γὰρ ἀρχῆς οὐκ ἂν εἴη ποτὲ, ἢ πάντως ἐκβήσεται τὸ εἶναι κατὰ ἀλήθειαν ἀρχὴ, προεπινοουμένου τινὸς ἑτέρου καὶ προανίσχοντος αὐτῆς· ἄλλως τε εἰ ἐνδέχεταί τι προϋπάρχειν τῆς ὄντως ἀρχῆς, ἐπ' ἄπειρον ἡμῖν ὁ περὶ αὐτῆς οἰχήσεται λόγος, ἀεὶ προανατελλούσης ἑτέρας, καὶ δευτέραν ἀποφαινούσης τὴν ἐφ' ἧπερ ἂν ἡ παρ' ἡμῶν γένοιτο ζήτησις. Οὐκοῦν ἀρχὴ μὲν ἀρχῆς οὐκ ἔσται, κατὰ τὸν ἀκριβῆ καὶ ἀληθῆ λογισμὸν, ἀλλ' εἰς ἀμήρυτον μέντοι καὶ ἀκατάληπτον ὁ περὶ αὐτῆς ἀποδημήσει λόγος. Τέως δὲ οὐκ ἐχούσης τῆς ἀεὶ πρὸς τὸ ἀνόπιν φυγῆς, καὶ τὸ τῶν αἰώνων ἀναφοιτώσης μέτρον, οὐκ ἐν χρόνῳ γεγονὼς ὁ Υἱὸς, ἀϊδίως δὲ μᾶλλον ὑπάρχων μετὰ Πατρὸς εὑρεθήσεται. Ἦν γὰρ ἐν ἀρχῇ. Εἰ δὲ ἦν ἐν ἀρχῇ, ποῖος, εἰπέ μοι, δυνήσεται νοῦς τὴν τοῦ ἦν ὑπερανίπτασθαι δύναμιν; Πότε δὲ ὅλως τὸ ἦν ὡς ἐν τέλει στήσεται, προανατρέχον ἀεὶ τοῦ διώκοντος λογισμοῦ, καὶ τῆς ἑπομένης αὐτῷ προαναπηδῶν ἐννοίας; Ἐπὶ τούτῳ δὴ ἄρα καταπεπληγμένος ὁ προφήτης φησὶν Ἡσαΐας· « Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. » Αἴρεται γὰρ ὄντως ἀπὸ τῆς γῆς ὁ περὶ τῆς γεννήσεως λόγος τοῦ Μονογενοῦς, τουτέστιν, ὑπὲρ πᾶσάν ἐστι διάνοιαν τῶν ὄντων ἐπὶ τῆς γῆς, καὶ ὑπὲρ πάντα λόγον, ὡς εἶναι λοιπὸν ἀνεξήγητον· εἰ δὲ ὑπὲρ νοῦν ἐστι καὶ λόγους τοὺς ἐν ἡμῖν, πῶς ἂν εἴη γενητὸς, οὐκ ἀτονούσης τῆς ἐνούσης ἡμῖν διανοίας, καὶ χρόνῳ καὶ λόγῳ περιορίζειν τὰ γενητά;

Ἑτέρως εἰς τὸ αὐτὸ θεωρητέον, « Ἐν ἀρχῇ ἦν ὁ Λόγος. »

Ἀρχὴν ὅλως τὴν ἐν χρόνῳ νοουμένην οὐκ ἔστι

λιδεῖν ἐπὶ τοῦ Μονογενοῦς. Ἐπεὶ γάρ ἐστι πρὸ A χρόνου παντὸς, καὶ προαιώνιον ἔχει τὴν ὕπαρξιν, ἔτι τε πρὸς τούτοις τὸ καταλήγειν εἰς τέλος ἡ θεία παραιτεῖται φύσις (ἕξει γὰρ ὡσαύτως ἀεὶ, κατὰ τὸ ἐν Ψαλμοῖς μελῳδούμενον, « Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν »)· ἀπὸ ποίας ἡμῖν ἀρχῆς τῆς ἐν χρόνῳ καὶ ποσῷ μετρουμένης ὁ Υἱὸς ἐκβήσεται, τρέχειν εἰς τέλος οὐκ ἀνεχόμενος, ἅτε δὴ καὶ κατὰ φύσιν ὑπάρχων Θεὸς, καὶ διὰ τοῦτο βοῶν· « Ἐγώ εἰμι ἡ ζωή; » Ἀρχὴ γὰρ αὐτὴ καθ' ἑαυτὴν οὐκ ἂν ὅλως ὑπάρχειν νοοῖτό ποτε, μὴ πρὸς τὸ οἰκεῖον βλέπουσα τέλος· ἐπείπερ ὡς πρὸς τέλος μὲν ἀρχὴ, τέλος δ' αὖ πάλιν ὡς πρὸς ἀρχὴν ὀνομάζεται. Ἀρχὴν δὲ πάλιν ἐν τούτοις τὴν κατὰ χρόνον, ἤτοι ποσότητα, σημαίνομεν. Οὐκοῦν ἐπειδήπερ καὶ αὐτῶν B ἐστι τῶν αἰώνων πρεσβύτερος ὁ Υἱὸς, τὸ μὲν ἐν χρόνῳ γεγενῆσθαι διαφεύξεται· ἦν δὲ καὶ διὰ παντὸς ὡς ἐν πηγῇ τῷ Πατρὶ, κατὰ τὸ παρ' αὐτοῦ λελεγμένον· « Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον, καὶ ἥκω. » Πηγῆς τοιγαροῦν νοουμένου τοῦ Πατρὸς, ἦν ὁ Λόγος ἐν αὐτῷ σοφία, καὶ δύναμις, καὶ χαρακτὴρ, καὶ ἀπαύγασμα, καὶ εἰκὼν ὑπάρχων αὐτοῦ. Καὶ εἰ χρόνος ἦν οὐδεὶς, ὅτε Λόγου χωρὶς, καὶ σοφίας, καὶ χαρακτῆρος, καὶ ἀπαυγάσματος ἦν ὁ Πατήρ· ἀνάγκη συνομολογεῖν ἀΐδιον ὑπάρχειν τὸν Υἱὸν, ὃς ταυτά ἐστι τῷ ἀϊδίῳ Πατρί. Πῶς γὰρ ὅλως ἐστὶ χαρακτὴρ, πῶς δὲ εἰκὼν ἀπαρεβὴς, εἰ μὴ πρὸς ἐκεῖνο μεμορφωμένος ὁρᾶται τὸ κάλλος, οὗ καὶ ἔστιν εἰκών, Ἀδικήσει δὲ ὅλως οὐδὲν, τὸ ὡς ἐν πηγῇ τῷ Πατρὶ τὸν Υἱὸν ὑπάρχειν ἐννοεῖν· μόνον γὰρ τὸ, ἐξ οὗ, τὸ τῆς πηγῆς ἐν τούτοις C ὄνομα σημαίνει. Ἔστι δὲ ὁ Υἱὸς ἐν Πατρὶ καὶ ἐκ Πατρὸς, οὐκ ἔξωθεν ἢ ἐν χρόνῳ γεγονὼς, ἀλλ' ἐν τῇ τοῦ Πατρὸς ὑπάρχων οὐσίᾳ, καὶ ἐξ αὐτῆς ἀναλάμψας, ὥσπερ ἐξ ἡλίου τυχὸν τὸ ἀπαύγασμα αὐτοῦ, ἢ καθάπερ ἐκ πυρὸς ἡ ἔμφυτος αὐτοῦ θερμότης. Ἐν γὰρ τοῖς τοιούτοις παραδείγμασιν, ἓν μὲν ἐξ ἑνὸς γεννώμενον ἔνεστιν ἰδεῖν, ἀεὶ δ' οὖν ὅμως συνυπάρχον, καὶ ἀχωρίστως προσὸν, ὡς δίχα τοῦ ἑτέρου μὴ εἶναι δύνασθαι καθ' ἑαυτὸ τὸ ἕτερον, καὶ διασώζειν ἀληθῆ τὸν τῆς οἰκείας φύσεως λόγον. Πῶς γὰρ ὅλως ἥλιος οὐκ ἔχων ἀπαύγασμα; ἢ πῶς ἀπαύγασμα μὴ ὄντος ἡλίου τοῦ ἀπαυγάζοντος αὐτό; Πῶς δὲ καὶ πῦρ, εἰ τὸ θερμαίνειν οὐκ ἔχει; πόθεν δὲ τὸ θερμὸν, εἰ μὴ ἐκ πυρὸς, ἢ παρά τινος ἑτέρου τυχὸν, τῆς τοῦ πυρὸς οὐσιώδους ποιότητος οὐ μακράν που κειμένου; D Ὥσπερ οὖν ἐν τούτοις, τὸ ἐνυπάρχειν τὰ ἐξ αὐτῶν, οὐκ ἀναιρεῖ τὴν συνύπαρξιν, ἀεὶ δὲ συντρέχοντα τοῖς γεννῶσι δεικνύει τὰ γεννώμενα, καὶ μίαν ὡς πρὸς αὐτὰ τὴν φύσιν κληρωσάμενα· οὕτω καὶ ἐφ' Υἱοῦ. Κἂν γὰρ ἐν Πατρὶ καὶ ἐκ Πατρὸς νοῆται καὶ λέγηται, οὐκ ἔκφυλος ἡμῖν καὶ ξένος, ἢ ὡς μετ' αὐτὸν δεύτερος εἰσβήσεται, ἀλλ' ὢν ἐν αὐτῷ, καὶ συνυπάρχων ἀεὶ, καὶ ἐξ αὐτοῦ πεφηνὼς, κατὰ τὸν ἄρρητον τῆς θείας γεννήσεως τρόπον. Ὅτι δὲ καὶ ὡς ἀρχὴ τοῦ Υἱοῦ κατὰ μόνον τὸ, ἐξ οὗ, λέγεται καὶ παρὰ τοῖς ἁγίοις ὁ Θεὸς καὶ Πατὴρ, ἄκουε τοῦ Ψαλμῳδοῦ τὴν δευτέραν τοῦ Σωτῆρος ἡμῶν ἐπιφάνειαν

igitur nullatenus capere licet de Unigenito. Nam cum sit ante omne tempus et sæculis priorem exsistentiam habeat, ac præterea finem attingere natura divina nesciat (eodem enim modo se semper habebit, juxta illud Psalmistæ: « Tu autem idem ipse es, et anni tui non deficient [1] »), quonam a principio tempore et quantitate definito Filius prodibit, qui ad finem tendere nescit, utpote secundum naturam exsistens Deus, ac propterea clamans: « Ego sum vita [2] ? » Principium enim in se neutiquam intelligetur esse, nec ad finem suum respicere, cum principium respectu ad finem, rursus autem finis respectu ad principium nuncupetur. Principium vero hic rursus temporis, sive quantitatem significamus. Cum igitur ipsis etiam sæculis antiquior sit Filius, in tempore genitus esse non poterit, sed erat semper in Patre velut in fonte, sicuti ab ipso dictum est: « Ego ex Patre exivi et veni [3]. » Cum ergo Pater fons intelligatur, erat Verbum in ipso, sapientia, et virtus, et character, et splendor, et imago ejus exsistens. Et si tempus nullum erat quando absque Verbo, et sapientia, et charactere, et splendore erat Pater, simul etiam fateri necesse est æternum esse Filium, qui eadem est cum æterno Patre. Quomodo enim, amabo, character est, aut quomodo exacta imago, nisi ad illam pulchritudinem expressus videatur cujus etiam est imago? Nihil obstabit porro, quod Filium in Patre tanquam in fonte esse intelligimus. Nomen fontis enim hic solum, id ex quo, significat. Est autem Filius in Patre, et ex Patre, non extrinsecus, aut in tempore genitus, sed in Patris exsistens substantia, et ex ipsa effulgens, velut ex sole splendor, aut tanquam ab igne innatus ei calor. In his enim exemplis unum quidem ex alio prognatum videre est, verumtamen semper coexsistens, et inseparabiliter insitum, ita ut absque altero alterum per se nequeat esse, et veram suæ naturæ rationem retinere. Quomodo enim demum sol erit, si splendore sit destitutus, aut quomodo splendor, si non sit sol a quo illustretur? Quomodo vero ignis, si calefaciendi virtute careat? Unde autem calor, nisi ex igne, aut ab alia quadam re quæ a substantiali qualitate ignis haud procul absit? Quemadmodum igitur in his, quod simul exsistant ea quæ sunt ex ipsis, eorum coexsistentia non tollitur, sed quod semper concurrant cum productoribus suis, palam fit esse producta et unam cum ipsis habere naturam: ita quoque in Filio; licet enim in Patre et ex Patre intelligatur ac dicatur, non alienus nobis aut externus, aut tanquam ab ipso secundus prodibit, sed exsistens in ipso, et semper coexsistens, et ex ipso effulgens secundum ineffabilem divinæ generationis modum. Quod autem etiam a sanctis Deus et Pater tanquam principium solum ex quo Filii dicatur, audi Psalmistam secundum

[1] Psal. CI, 28. [2] Joan. XIV, 6. [3] Joan. XVI, 28.

nostri Servatoris adventum prænuntiantem, et ad ipsum Filium dicentem : « Tecum principium in die virtutis tuæ, in splendore sanctorum tuorum [1]. » Dies enim virtutis Filii ea est, qua universum orbem judicaturus est, et unicuique mercedem secundum opera sua redditurus. Veniet autem omnino etiam ipse exsistens in Patre, et habens in seipso Patrem, suæ naturæ quodammodo principii expers principium, scilicet ex quo duntaxat, propterea quod est ex Patre.

In principio erat Verbum.

Principii de quo hic quærimus, multæ ac variæ significationes se nobis offerunt undique quæ utilia sint investigantibus, et canum instar veram divinorum dogmatum comprehensionem, et accuratam mysteriorum rationem indagantibus : « Scrutamini » enim « sanctas Scripturas, » alicubi Salvator ait, « quia vos putatis in ipsis vitam æternam habere : et illæ sunt quæ testimonium perhibent de me [2]. » Videtur itaque beatus evangelista principii nomine hic potestatem supra omnia positam significare, Patrem nimirum, ut et supra omnia collocata natura divina appareat, quæ quodcunque creatum est sub pedibus habet, et rebus a se in rerum naturam editis propemodum insidet. In hoc igitur principio quod est in omnes et supra omnes, erat Verbum, non cum omnibus sub pedibus ejus, sed extra omnia in ipso naturaliter, ceu fructus coæternus, locum, ut ita dicam, habens omnibus antiquiorem, Patris nimirum naturam. Idcirco etiam liber libero Patre genitus, universi imperium una cum ipso habet. Quænam ergo sit deinceps horum verborum structura, operæ pretium est animadvertere. Nonnulli audacter, ut antea diximus, Dei Verbum tum primum in rerum naturam editum asserebant, cum assumpto sanctæ Virginis templo propter nos factus est homo. Quid ergo demum erit, si aut creatus aut factus, et ejusdem cum aliis omnibus naturæ, de quibus et e nihilo creatio, et servitutis nomen et res ipsa jure dicuntur? Quid enim creatum cunctipotenti Deo servire impune detrectabit? Quid autem cunctipotenti principio, potestati, et dominationi non subjacebit, quam ipse alicubi quoque significat Salomon dicens : « Cum justitia enim præparatur solium potestatis [3]. » Paratus enim est præclare ad justitiam ille thronus ejus nimirum quæ supra omnes est potestatis. Et quis ille thronus sit, de quo hic loquimur, audi Deum per unum sanctorum dicentem : « Cœlum mihi thronus. » Itaque paratum est ad justitiam cœlum, hoc est, qui cœlos incolunt sancti spiritus. Quoniam ergo necesse erat confiteri una cum aliis creaturis subjici Deo ac Patri Filium, tanquam servili conditione præditum, et principii potestati perinde ac alia subditum, si, ut illi volunt, sero genitus, et eorum qui in tempore facti sunt unus est : necessario

A διὰ τοῦ ἁγίου Πνεύματος προκηρύττοντος, καὶ πρὸς αὐτὸν λέγοντος τὸν Υἱόν· « Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν τῇ λαμπρότητι τῶν ἁγίων σου. » Ἡμέρα γὰρ δυνάμεως τοῦ Υἱοῦ, καθ' ἣν ὅλην κρινεῖ τὴν οἰκουμένην, καὶ ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· ἥξει δὲ πάντως καὶ ἐν αὐτός τε ὢν ἐν Πατρὶ, καὶ ἔχων ἐν ἑαυτῷ τὸν Πατέρα, τὴν ἄναρχον τῆς οἰκείας φύσεως οἱονεὶ τις ἀρχὴν, κατὰ μόνον τὸ, ἐξ οὗ, διὰ τὸ ὑπάρχειν ἐκ Πατρός.

Ἐν ἀρχῇ ἦν ὁ Λόγος.

Εἰς πολλὰς ἡμῖν καὶ διαφόρους ἐννοίας ὁ περὶ τῆς ἐνθάδε σημαινομένης ἀρχῆς καταποικίλλεται λόγος, πανταχόθεν θηρᾶσθαι σπουδάζων τὰ εἰς ὠφέλειαν συντείνοντα, καὶ κατάληψιν ἀληθῆ τῶν θείων δογμάB των, καὶ τὴν ἐν τοῖς μυστηρίοις ἀκρίβειαν κυνὸς δίκην ἰχνηλατῶν· « Ἐρευνᾶτε γάρ που τὰς ἁγίας Γραφὰς, φησὶν ὁ Σωτήρ· ὅτι ἐν αὐταῖς ὑμεῖς δοκεῖτε ζωὴν αἰώνιον ἔχειν, καὶ αὐταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ. » Ἔοικε τοίνυν ὁ μακάριος εὐαγγελιστὴς ἀρχὴν ἐνθάδε, τὴν κατὰ πάντων ἐξουσίαν, τοῦτ' ἔστι, τὸν Πατέρα σημαίνειν· ἵνα δὴ καὶ ἐπάνω πάντων ἡ θεία φαίνηται φύσις, πᾶν ὑπερ ἐπὶ γενητὸν ὑπὸ πόδας ἔχουσα, μονονουχὶ καὶ ἐποχουμένη τοῖς δι' αὐτῆς εἰς τὸ εἶναι κεκλημένοις. Ἐν αὐτῇ τοιγαροῦν τῇ ἀρχῇ, τῇ κατὰ πάντων καὶ ἐπὶ πάντας, ἦν ὁ Λόγος, οὐ μετὰ πάντων ὑπὸ πόδας αὐτῆς, ἀλλ' ἔξω πάντων ἐν αὐτῇ φυσικῶς, ὡς καρπὸς συναΐδιος, τόπον ὥσπερ ἔχων τῶν ἁπάντων ἀρχαιότερον τὴν τοῦ γεννήσαντος φύσιν. Διὸ δὴ καὶ ἐλεύθερος ἐλευθέρου C Πατρὸς πεφυκὼς, τὴν κατὰ πάντων ἀρχὴν σὺν αὐτῷ κεκτήσεται. Τίς οὖν ἄρα καὶ νῦν ὁ τῆς ἐν τούτῳ κατασκευῆς γενήσεται λόγος, ἀκόλουθον συνιδεῖν. Ῥιψοκινδύνως τινὲς, καθάπερ ἔφημεν ἐν τοῖς ἀνωτέρω, τὸν τοῦ Θεοῦ Λόγον τότε δὴ πρῶτον εἰς τὸ εἶναι παρακλῆσθαι διισχυρίζοντο, ὅτε τὸν ἐκ τῆς ἁγίας Παρθένου ναὸν λαβὼν, ἄνθρωπος γέγονε δι' ἡμᾶς. Τί οὖν ἂν εἴη λοιπὸν, εἴπερ ᾖ γενητὸς καὶ πεποιημένος, καὶ τοῖς ἄλλοις ἅπασιν ὁμοφυὴς, οἷς ἐξ οὐκ ὄντων ἡ γένεσις, καὶ τὸ τῆς δουλείας ὄνομά τε καὶ πρᾶγμα δικαίως ἐπαληθεύεται; Τί γὰρ τῶν πεποιημένων τὴν ὑπὸ τῷ πάντων κρατοῦντι Θεῷ δουλείαν ἀκινδύνως παραιτήσεται; τί δὲ οὐχ ὑποκύψει τῇ κατὰ πάντων ἀρχῇ τε καὶ ἐξουσίᾳ, καὶ κυριότητι, ἣν καὶ αὐτός D που σημαίνει λέγων ὁ Σολομών· « Μετὰ γὰρ δικαιοσύνης ἑτοιμάζεται θρόνος ἀρχῆς; » Ἕτοιμος γὰρ καὶ πολὺ λίαν εὐπρεπὴς εἰς δικαιοσύνην ὁ τῆς ἀρχῆς θρόνος, τῆς ἐπὶ πάντας δηλαδή. Καὶ τίς ὁ θρόνος περὶ οὗ νῦν ὁ λόγος, ἄκουε λέγοντος τοῦ Θεοῦ δι' ἑνὸς τῶν ἁγίων· « Ὁ οὐρανός μοι θρόνος. » Οὐκοῦν ἕτοιμος εἰς δικαιοσύνην ὁ οὐρανὸς, τοῦτ' ἔστι, τὰ ἐν τοῖς οὐρανοῖς ἅγια πνεύματα. Ἐπειδὴ τοίνυν ἦν ἀνάγκη συνομολογεῖν, μετὰ τῶν ἄλλων ποιημάτων ὑποκεῖσθαι τῷ Θεῷ καὶ Πατρὶ τὸν Υἱὸν, ὡς οἰκετικὴν ἔχοντα τάξιν, καὶ ὑπὸ τὴν τῆς ἀρχῆς ἐξουσίαν ὁμοίως πίπτοντα τοῖς ἄλλοις, εἴπερ ἐστὶ κατ' ἐκείνους ὀψιγενὴς, καὶ τῶν ἐν χρόνῳ πεποιημένων εἷς· ἀναγκαίως

[1] Psal. CIX, 3. [2] Joan. V, 39. [3] Prov. XVI, 12.

μακάριος εὐαγγελιστὴς δριμύτερον τοῖς ἑτεροδιδασκαλοῦσιν ἐπιπηδᾷ· καὶ δουλείας μὲν ἁπάσης ἐξαιρεῖ τὸν Υἱόν· ἐκ δὲ τῆς ἐλευθέρας καὶ πάντων κρατούσης οὐσίας ἐκπεφηνότα δεικνύει, καὶ ἐν αὐτῇ φυσικῶς ὑπάρχειν ἰσχυρίζεται, λέγων· *Ἐν ἀρχῇ ἦν ὁ Λόγος.*

Ἐπιπλέκει δὲ τῷ τῆς *ἀρχῆς* ὀνόματι χρησίμως τὸ *ἦν*, ἵνα μὴ μόνον εὐκλεὴς, ἀλλὰ νοῆται καὶ προαιώνιος· τέθειται γὰρ ἐν τούτοις τὸ *ἦν*, εἰς βαθεῖάν τινα, καὶ ἀκατάληπτον, καὶ τὴν ἔξω χρόνων ἄῤῥητον γέννησιν ἀνατεῖνον τοῦ θεωροῦντος τὴν ἔννοιαν. Τὸ γὰρ *ἦν*, ἀδιορίστως ἐκφωνηθὲν, εἰς ποῖον ἡμῖν καταστήσει τόπον, ἀεὶ προελαύνειν τοῦ διώκοντος νοῦ πεφυκὸς, καὶ ἣν οἴηταί τις ἔχειν αὐτοῦ τὴν κατάπαυσιν, ταύτην τοῦ ἐπέκεινα δρόμου ποιούμενον ἀρχήν; «Ἦν οὖν ὁ Λόγος ἐν ἀρχῇ,» τοῦτ' ἔστιν, ὡς ἐν ἐξουσίᾳ τῇ ἐπὶ πάντα, καὶ ἐξ αὐτῆς ὑπάρχων φυσικῶς καὶ δεσποτικὸν ἔχων ἀξίωμα. Εἰ δὲ τοῦτο ἀληθὲς, πῶς ἔσται γενητὸς, ἢ πεποιημένος; Ὅπου δὲ ὅλως τὸ *ἦν*, κατὰ τίνα τρόπον τὸ *οὐκ ἦν* εἰσδήσεται; ἢ ποῖον ἕξει λοιπὸν τὸν κατὰ τοῦ Υἱοῦ τόπον;

A beatus evangelista acrius insultat hæreticis, et ab omni quidem servitute Filium vindicat, et ab omnipotente substantia manare ostendit, in eaque naturaliter ipsum exsistere asserit, dicens: *In principio erat Verbum.*

Principii autem vocabulo illud, *erat*, subjungit, ut non solum gloriosus, verum etiam ante sæcula genitus intelligatur. Illud enim, *erat*, hic positum est, quo contemplantis animus in profundam quamdam et incomprehensibilem, et ineffabilem quæ cuncta superat tempora generationem intendatur. «Erat» enim, indefinite prolatum, quonam in loco nos sistet, cum prosequentem mentem B natura sua semper antevertat, et quam illius quietem esse putaveris, hanc ulterioris cursus faciat initium? «Erat» igitur «Verbum in principio,» hoc est, in potestate quæ est supra omnia, et ex ipsa exsistens naturaliter, Dominique majestate præditum. Quod si ita est, quomodo creatus demum aut factus erit? Ubi denique illud *erat* aliquo modo *non erat*, inibit, aut quem tandem locum habebit in Filio?

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ Τριάδος λόγου.

Εἴπερ μὴ ἦν ποτε ὅτε οὐκ ἦν, φησὶν, ἀλλὰ ἀΐδιός ἐστιν ὁ Υἱὸς, καὶ συνυπάρχει τῷ Πατρὶ, οὐκ ἔτι Υἱὸν, ἀλλ' ἀδελφὸν λέγε τοῦτον, συναΐδιον εἶναι λέγοντες, καὶ Υἱὸν εἶναί φαμεν. Εἰ μὲν οὖν ἁπλῶς ἦν συναΐδιος, καὶ οὐχὶ Υἱὸς, χώραν εἶχεν ὑμῶν ἡ ὑπόνοια. Ἐπειδὴ δὲ πρὸς τῷ ἀϊδίῳ καὶ Υἱὸν ὁμολογοῦμεν, πῶς ὁ Υἱὸς ἀδελφός ἐστι τοῦ γεννήσαντος;

Ejusdem ex libro de Trinitate.

Si nunquam fuit, inquiunt, cum non esset, sed proprius est Filius, et simul exsistit cum Patre, cur Filius ac non frater potius appellatur? Eum cum Patre æternum dicentes, Filium etiam dicimus. Si æternum igitur simul cum Patre diceremus, non C autem Filium, locum haberet vestra suspicio. Cum autem pariter et æternum, et Filium fateamur, quomodo Filius genitoris frater esse queat?

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἴπερ ἡ πίστις ἡμῶν εἰς Πατέρα καὶ Υἱόν ἐστι, καὶ οὕτω βαπτιζόμεθα, ποία ἀδελφότης ἐν τούτῳ φαίνεται; ἢ πῶς ὁ Λόγος ἀδελφὸς εἶναι δύναται οὗ ἐστι Λόγος;

Et hæc ex eodem libro.

Si fides nostra in Patrem et Filium est, atque ita baptizamur, quænam hic fraternitas, ut ita dicam, apparet? Aut quomodo Verbum frater esse potest illius, cujus est Verbum?

Καὶ τοῦτο.

Οὐκ ἔκ τινος ἀρχῆς προϋπαρχούσης ἐγεννήθησαν ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ἵνα καὶ ἀδελφοὶ νομισθῶσιν, ἀλλ' ὁ Πατὴρ ἀρχὴ τοῦ Υἱοῦ, καὶ τίκτει τὸν Υἱὸν, καὶ μένει Πατὴρ, καὶ οὐχ Υἱός τινος λέγεται· καὶ ὁ Υἱὸς υἱός ἐστι, καὶ ὅπερ ἐστὶ μένει, καὶ οὐκ ἀδελφός τινος κατὰ φύσιν λέγεται, ποῖον οὖν ἕξει τόπον ἀδελφότης ἐν τούτοις;

Et hæc

Non ex ullo antecedente principio geniti sunt Pater et Filius, ut fratres etiam possint existimari. Sed Pater est Filii principium, et Filium parit, et manet Pater, nec ullius esse Filius dicitur. Filius item Filius est, et quod est manet, nec frater D cujusquam natura dicitur. Quis igitur in his fraternitati locus?

Καὶ τοῦτο.

Εἰ τέλειος ὁ Πατὴρ, τέλειον ἔσται καὶ τὸ ἐξ αὐτοῦ. Καὶ εἰ πρὸς τούτῳ τὸ ἀΐδιον ἔχει, ἀΐδιον ἔσται καὶ τὸ ἐξ ἀϊδίου Πατρὸς, οὐκ ἐπισυμβεβηκὸς τῇ τοῦ γεννήσαντος οὐσίᾳ, ἀλλ' ἀεὶ συνυπάρχον αὐτῇ, καὶ οὐκ ἀτελὲς διὰ τὸ ἐν χρόνῳ γενέσθαι κατά τινας, ἀλλὰ τέλειον διὰ τὸ πρὸ παντὸς εἶναι χρόνου.

Et hæc.

Si perfectus est Pater, perfectum erit et quod ex ipso est. Si æternus præterea est, æternum erit et id, quod ex Patre æterno est. Neque gignentis adjunctum essentiæ, sed cum ipsa simul exsistens, nec, ut quidam volunt, imperfectum erit, utpote factum in tempore sed perfectum, quod ante omne tempus exsistat.

Καὶ τοῦτο.

Ἀντίθεσις οὐκ ἀληθὴς ἀνατρέπειν δοκοῦσα τοῦ Υἱοῦ τὸ ἀΐδιον οὕτως. Εἰ τομὴν φησιν ἡ θεία φύσις οὐκ ἐπιδέχεται, διὰ τὸ μὴ εἶναι πάθους δεκτική. Οἷς γὰρ τὸ πάσχειν κατὰ φύσιν ὑπάρχει, τούτοις ἐστὶν

Et hæc.

Argumenta, quibus Filii conantur æternitatem evertere, falsa sunt. Si divina, inquiunt, natura secari non potest, quia in illam affectiones non cadunt. Quæ enim natura affectiones admittunt,

sectionem etiam suscipiunt, non debemus dicere, Filium esse ex Patris essentia, ne qua affectio, aut divisio in simplici illa natura appareat. Si enim quod ex alio est numero, diversum est ab illo, ex quo est, et provenit, sectio et partitio quædam in natura divina perspicietur. Sin extrinsecus est, adventitius accessit, et non est simul æternus cum Patre. Inepte atque imperite quæ corporum propria sunt, ea naturæ corporis experti quadrare volunt. Corpora enim affectiones, et sectiones, et divisiones suscipiunt, in naturam autem corporis expertem nihil cadit ejusmodi. Quare cum Deus corpore careat, sine partitione parit, gignit sine sectione. Quandoquidem et ignis ex se lucem parit, nec ullam tamen suscipit divisionem, licet cogitatione lux ab eo proveniens ab ipso sejuncta videatur. Quod si quis non potest, quod corpore vacat, contemplari, quin illud corporeis necessitatibus subjiciat, is propriæ mentis accuset imbecillitatem, qua impeditus naturæ corporis experti congruentia non potest intelligere. Et rursum, qui Filium æternum ex Patre æterno genitum nequeunt intelligere, et idcirco, quod corpore caret, corporum conditionibus subjiciunt, iidem Patrem etiam negent, quoniam quid natura sit, aut quantus sit invenire non possunt. Quod si ea, quæ supra nos sunt, fide comprehenduntur, supra nos autem est Filii generatio. *Generationem* enim *illius*, ut inquit Propheta, *quis enarrabit?* Fide item hæc percipiatur, cesseique illud: *Non erat*, quod promitur ex humanæ rationis infirmitate.

Et hæc.

Si lumen est Deus et Pater, in ipso erat splendor ipsius. Si figura substantiæ Patris est Filius, ut Paulus ait, qui de ipso audent affirmare illud, *Non erat*, dicant, quando sine figura Patris substantia fuerit. Simul enim cum substantia et figura ipsius exsistit. Si veritas et sapientia Filius est, quando non fuit cum Patre, in quo semper est veritas et sapientia?

Et hæc.

Si in Filio cernitur Pater, et Filius est Patris essentiæ imago certissima, et ideo: *Qui vidit me*, inquit, *vidit Patrem*, necessarium est ut natura habeat omnia quæ Pater habet. Sic enim imago erit absolutissima. Pater autem est immortalis, rex, procreator, omnipotens, Deus, effector, itidem et Filius. Alioquin si factus esset, aut aliquando non fuisset, id quod æternum, et semper est, in eo non cerneretur expressum. Imagines autem semper exemplaris similitudinem referunt.

Ejusdem ex secundo Thesauri libro, in ea verba: «Considerate Apostolum et Pontificem confessionis vestræ Jesum.»

Non naturam Verbi declarans Paulus hæc dixit,

[1] Isa. LIII, 8.

A οἰκεῖον καὶ τὸ τέμνεσθαι. Οὐ χρὴ λέγειν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς εἶναι τὸν Υἱὸν, ἵνα μή τι πάθος καὶ διαίρεσις περὶ τὴν ἁπλῆν φαίνηται φύσιν. Εἰ γὰρ τὸ ἔκ τινος προελθὸν ἕτερόν τι πάντως ἐστὶ τῷ ἀριθμῷ παρ' ἐκεῖνο ἐξ οὗ καὶ προῆλθε, μερισμός τις καὶ διακοπὴ περὶ τὴν θείαν ὁρᾶται φύσιν, εἰ μὴ ἔξωθεν, ἀλλ' ὄντως ἐξ αὐτῆς δοίημεν προελθεῖν τὸν Υἱόν. Εἰ δὲ ἔξωθέν ἐστιν, ἐπισυμβέβηκεν ἄρα, καὶ οὐκ ἔστι τῷ Πατρὶ συναΐδιος. Κακῶς καὶ ἀπαιδεύτως τὰ σωμάτων ἴδια, τῇ ἀσωμάτῳ τινὲς προσάπτουσιν οὐσίᾳ. Ἐπὶ σωμάτων μὲν γὰρ ἁρμόσει λέγειν πάθος γίνεσθαι, καὶ τομὴν καὶ διαίρεσιν· ἐπὶ δὲ τῆς ἀσωμάτου φύσεως οὐδέν ἐστι τῶν τοιούτων. Εἰ δὲ ἀσώματος ὁ Θεὸς, τίκτει μὴ μεριζόμενος, γεννᾷ μὴ τεμνόμενος. Ἐπειδὴ καὶ τὸ πῦρ ἐξ ἑαυτοῦ τίκτει τὸ
B φῶς οὐδὲ μίαν ὑπομένον διαίρεσιν, κἂν τῇ ἐπινοίᾳ δοκῇ, πῶς χωρίζεσθαι τούτου τὸ ἐξ αὐτοῦ προελθόν; Εἰ δέ τις ταῖς σωματικαῖς ἀνάγκαις ὑποβάλλει τὸ ἀσώματον, αἰτιάσθω τοῦ οἰκείου νοῦ τὴν ἀσθένειαν οὐ δυναμένου νοεῖν τὰ τῇ ἀσωμάτῳ πρέποντα φύσει. Καὶ πάλιν εἰ ἀσθενοῦσί τινες περὶ τὸ νοῆσαι τὴν ἐξ ἀϊδίου Πατρὸς ἀΐδιον τοῦ Υἱοῦ γέννησιν, διά τε τοῦτο ταῖς σωματικαῖς ἀκολουθίαις ὑποβάλλουσι τὸ ἀσώματον, ἐπειδὴ καὶ τί ἐστιν, ἢ ποταπὸς ὁ Πατὴρ κατὰ φύσιν οὐχ εὑρίσκουσιν, ἀρνείσθωσαν καὶ αὐτόν. Εἰ δὲ πίστει τὰ ὑπὲρ ἡμᾶς παραλαμβάνεται, ὑπὲρ ἡμᾶς δὲ ἡ τοῦ Υἱοῦ γέννησις, οὐδεὶς γὰρ αὐτοῦ τὴν γενεὰν διηγήσεται, καθώς φησιν ὁ προφήτης. Πίστει καὶ δεχέσθω καὶ τοῦτο, καὶ ἀργείτω τὸ οὐκ ἦν, ἐξ ἀνθρωπίνων λογισμῶν ἀσθενῶς εἰσφερόμενον.
C

Καὶ τοῦτο.

Εἰ φῶς ἐστιν ὁ Θεὸς καὶ Πατὴρ, ἐν αὐτῷ τὸ ἀπαύγασμα αὐτοῦ ἦν. Εἰ χαρακτήρ ἐστιν ὁ Υἱὸς τῆς τοῦ Πατρὸς ὑποστάσεως κατὰ τὴν τοῦ Παύλου φωνὴν, λεγέτωσαν οἱ ἐπ' αὐτοῦ τὸ *Οὐκ ἦν* τολμῶντες φέρειν, πότε χαρακτῆρος χωρὶς ἦν ἡ ὑπόστασις τοῦ Πατρός. Ὁμοῦ γὰρ τῇ ὑποστάσει καὶ ὁ ταύτης χαρακτὴρ συνεισάγεται. Εἰ ἀλήθεια καὶ σοφία ἐστὶν ὁ Υἱὸς, πότε οὐκ ἦν ἐν τῷ Πατρί; Ἀεὶ γὰρ ἡ ἀλήθεια καὶ σοφία ἐν Θεῷ καὶ Πατρί.

Καὶ ταῦτα.

Εἰ ἐν Υἱῷ θεωρεῖται ὁ Πατὴρ, καὶ εἰκών ἐστιν ἀπαράλλακτος τῆς τοῦ γεννήσαντος οὐσίας κατὰ τὸ
D λεγόμενον παρ' αὐτοῦ· *Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα*· προσεῖναι πάντως ἀναγκαῖον αὐτῷ κατὰ φύσιν, ὅσα καὶ τῷ Πατρί. Ἔσται γὰρ οὕτως ἀκριβὴς ὁ χαρακτὴρ, ἀΐδιος δὲ ὁ Πατὴρ, ἀθάνατος, βασιλεὺς, κτίστης, παντοκράτωρ, Θεὸς, ποιητὴς, ταυτὸ καὶ Υἱός. Ἐπεὶ πῶς ἐν τῷ γεννητῷ τὸ ἀΐδιον φαίνεται, ἢ ἐν τῷ ποτε μὴ ὄντι τὸ ἀεὶ ὂν, ἢ ἐν τῷ ποιήματι ὁ ποιητής; Αἱ γὰρ εἰκόνες ἀεὶ πρὸς τὰ ἀρχέτυπα τὴν ἐμφέρειαν ἔχουσιν.

Τοῦ αὐτοῦ ἐκ τοῦ δευτέρου βιβλίου τοῦ Θησαυροῦ εἰς τὸ, «Κατανοήσατε τὸν Ἀπόστολον, καὶ Ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Χριστὸν Ἰησοῦν.»

Οὐ τὴν τοῦ Λόγου φύσιν ἐξηγούμενος ὁ Ἀπόστολος,

τοιαῦτά φησιν, ἀλλὰ τὴν μετὰ σαρκὸς οἰκονομίαν. A Πότε γὰρ γέγονεν ἀρχιερεὺς τῆς ὁμολογίας ἡμῶν; Πότε δὲ ἀπόστολος; Πότε δὲ πιστὸς τῷ ποιήσαντι αὐτόν; Ἢ ὅτε δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν γέγονεν ἄνθρωπος, καὶ κατὰ τὴν Ἰωάννου φωνὴν, « Ὁ Λόγος σὰρξ ἐγένετο. » Τότε τῷ ποιήσαντι αὐτὸν, ὡς ἄνθρωπος, καὶ πιστὸς ἐγένετο πληρῶν αὐτοῦ τὸ ἔργον, καθάπερ αὐτὸς ἔλεγε· τότε γέγονεν ἀπόστολος ὑπὲρ ἡμῶν καὶ δι' ἡμᾶς ἀποσταλείς· τότε γέγονε τῆς ὁμολογίας ἡμῶν ἀρχιερεὺς, προσφέρων τῆς πίστεως ἡμῶν τὴν ὁμολογίαν τῷ Πατρὶ, καὶ τὸ ἴδιον σῶμα, καθάπερ τι θῦμα προσάγων ἄμωμον, ἵνα πάντας ἡμᾶς δι' αὐτοῦ καθαρίσῃ. Ἂν τοίνυν λέγηται περὶ Υἱοῦ ὅτι γέγονε πιστὸς, ὅτι γέγονεν ἀπόστολος, γέγονεν ἀρχιερεὺς, μὴ κατὰ τῆς οὐσίας αὐτοῦ φερέσθω τὸ B ῥῆμα, ἀλλὰ κατὰ τῆς τῶν πραγμάτων ποιότητος. Ἐπειδὴ καὶ Παῦλος, ἄνθρωπος ὢν καὶ ὑπάρχων ἤδη, γέγονεν ἀπόστολος, καὶ Μωσῆς ὡσαύτως γέγονε πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, καὶ Ἀαρὼν ὡσαύτως γέγονεν ἀρχιερεὺς ἐν ἑαυτῷ καὶ πάλαι τὸν Σωτῆρα μορφῶν. Ὅνπερ γὰρ τρόπον ὁ Ἀαρὼν οὐκ ἐγεννήθη μὲν ἀρχιερεὺς, πολλοῖς δὲ ὕστερον χρόνοις τοῦτο γέγονε, τὸν ποδήρη περιβαλόμενος, καὶ τὴν ἐπωμίδα, καὶ τὰ ἄλλα τῆς ἱερατικῆς ἐσθῆτος σχήματα, ἅπερ ἦν ἔργα γυναικῶν· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ Χριστοῦ. Ἦν μὲν γὰρ ὁ Λόγος ἐν ἀρχῇ, πολλῷ δὲ ὕστερον χρόνῳ γέγονεν ὑπὲρ ἡμῶν ἀρχιερεὺς, ὥσπερ τινὰ ποδήρη τὸν ἐκ γυναικὸς ἄνθρωπον ἤτοι παθητὸν ἀναλαβών· ἵνα τῷ ἰδίῳ αἵματι καθαρίσῃ τὸν C λαὸν, ἑαυτὸν προσενεγκὼν ὡς ἀμνὸν ἄμωμον τῷ Θεῷ· « Οὐ γὰρ ἐποίησεν ἁμαρτίαν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. »

Ἐκ τοῦ αὐτοῦ βιβλίου εἰς τὸ, « Κύριον καὶ Χριστὸν αὐτὸν ἐποίησεν ὁ Θεός. »

Κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησεν ὁ Θεὸς, οὐκ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγων· ἦν γὰρ ἀεὶ καὶ πρὸ τῆς σαρκώσεως ὁ τοῦ Θεοῦ Λόγος, καὶ οὐκ ἄν τις εὖ φρονῶν τὸ « ἐποίησεν » ἐνθάδε κατὰ τῆς οὐσίας ἐκλάβοι, ἵνα μὴ ἀσεβεῖν ἀναγκάζηται· τότε πρῶτον διδοὺς ὑπάρξαι τὸν τοῦ Θεοῦ Λόγον, ὅτε γέγονεν ἄνθρωπος· ἀλλὰ τὸ « ἐποίησεν, » ἀντὶ τοῦ, ἐπέδειξε, νοητέον. Οὕτω καὶ αὐτὸς ὁ Πέτρος τοῖς Ἰουδαίοις προσδιαλεγόμενος ἔφασκεν· « Ἰησοῦν τὸν Ναζωραῖον ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς D ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις, καθὼς αὐτοὶ οἴδατε. » Οὐκοῦν διὰ τῶν ἔργων δεικνύων ἐνυπάρχον αὐτῷ τοῦ Πατρὸς τὸ ἀξίωμα, Κύριος γίνεται τῶν πιστευσάντων εἰς αὐτόν· ἀναδείκνυται δὲ ὅτι καὶ αὐτός ἐστιν ὁ Χριστός. Διὰ γὰρ τοῦτο τοῖς Ἰουδαίοις ἀπειθοῦσιν ἔλεγε· « Κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις μου πιστεύσατε, ἵνα γνῶτε ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί· » καὶ πάλιν· « Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύετέ μοι. » Εἰ δὲ διὰ τοῦ δύνασθαι ποιεῖν τὰ ἔργα τοῦ Πατρὸς καὶ ἔχειν ἐν ἑαυτῷ τὸν Πατέρα, εἶναί τε ὁμοίως ἐν Πατρὶ, Θεὸς ὢν ἀληθινὸς ἀναδείκνυται, κατὰ τοῦτο

sed illius incarnationem. Quando enim factus est pontifex confessionis nostræ? quando apostolus? quando fidelis ei qui ipsum fecit? Nonne quando propter nos et pro nobis factus est homo, et ut Joannes scribit, « Verbum caro factum est [1]? » Tunc factori suo, ut homo, fidelis factus est, perficiens opus illius, sicut ipse testatur [2]: tunc etiam apostolus factus est, pro nobis et propter nos missus: tunc factus est pontifex confessionis nostræ, offerens confessionem fidei nostræ Patri, et corpus suum, veluti immaculatam quamdam hostiam adducens, ut omnes nos per ipsum mundaret. Si ergo de Filio dicitur, quod factus sit fidelis, quod factus sit apostolus, factus pontifex; non ad essentiam ipsius dictum referendum est, sed ad qualitatem rerum. Siquidem et Paulus homo cum esset, et jam exsisteret, factus est apostolus: et Moses eadem ratione factus est fidelis, in tota domo ejus [3]. Simili modo etiam Aaron factus est pontifex, Salvatoris typum jam olim in se referens. Quemadmodum enim Aaron non est natus pontifex, sed multis postea temporibus id factus est, talarem vestem indutus, et superhumerale, reliquaque pontificalis habitus ornamenta a mulieribus confecta: idem plane de Christo etiam censendum est. Erat enim Verbum in principio: multis vero postea temporibus factus est pro nobis pontifex, hominem ex muliere, veluti talarem vestem, passibilem assumens, ut proprio suo sanguine populum mundaret, ut seipsum veluti agnum immaculatum Deo offerret: « Neque enim fecit peccatum, neque inventus est dolus in ore ejus [4]. »

Ex eodem libro in ea verba: « Et Dominum ipsum et Christum fecit Deus. »

Deus ipsum fecit Dominum et unctum, non ex non exsistente ad esse traducens: erat enim semper, etiam ante incarnationem Dei Verbum, neque quisquam recte sentiens verbum illud, « fecit, » eo loco de essentia interpretetur, ne impium se declaret, qui tum primum Verbum Dei esse cœpisse dicat, quando factum est homo: sed « fecit » accipiendum est pro declaravit, vel ostendit. Ita et Petrus cum Judæis disserens dixit: « Jesum Nazarenum, qui declaratus est vir a Deo in vos virtutibus, et prodigiis, et signis quæ fecit, sicut ipsi scitis [5]. » Quocirca cum per opera ostendit dignitatem Patris sibi inexsistentem, Dominus fit credentium in ipsum: ostenditur vero quod ipse etiam sit Christus. Nam idcirco Judæis incredulis dixit: « Etiamsi mihi non credatis, operibus meis credite, ut cognoscatis quia ego in Patre, et Pater in me est [6-7]; » et rursum: « Si ego non facio opera Patris mei, non credatis mihi [8]. » Si ergo, quia potest facere opera Patris, et quia habet in se Patrem, ipseque vicissim est in Patre, verus Deus esse declaratur: hac ratione factus est Dominus credentium in ipsum, de-

[1] Joan. I, 14. [2] Joan. XVII, 4. [3] Num. XII, 7. [4] I Petr. II, 22. [5] Act. II, 22. [6-7] Joan. X, 38. [8] ibid. 37.

claratusque est etiam ipse esse Christus; si vero a A Deo factus esse Dominus dicitur, etiam hoc recte habet. Cognitus enim per opera esse verus Dei Filius, dominatur in eos qui olim non crediderunt, propria sua dignitate et Patris nobilitate ipsi testimonium perhibente ut Deo. Cum enim omnino cognitus sit esse Filius Dei, factus etiam est Dominus: non quod tunc primum exsistendi initium acceperit (semper enim erat et Deus et Dominus), sed quando a credentibus cognitus est, tum factus est eis Dominus.

Ex eodem libro in illa verba: « Clarifica Filium tuum. »

Servator alicubi ad Patrem suum ita ait: « Pater, venit hora, glorifica Filium tuum [1]. » Si ergo B exacte novit horam, quam venisse dicit, quid obstat quominus et illam norit, quam, ut homo, ignorare se inquit, quod id humanitati conveniat, norit autem omnino ut Deus? At non oportet ob hanc vocem Verbum Dei incusare, et ignorantiam temere illi objicere; sed potius mirari amorem quo erga humanum genus flagravit, quo impulsus non recusavit ad tantam humilitatem sese demittere, ut omnia nostra susciperet, quorum etiam unum est ignorantia.

Interrogandi sunt hostes Christi, quamobrem Servator cum angelos et Filium nominarit, Spiritus mentionem nusquam fecerit? Non enim dixit: C Non novit Spiritus, sed, « Non norunt angeli, neque novit Filius; » atque hoc quidem simpliciter: non enim adjecit, Dei. Manifestum igitur est quod angelos ignorasse dixerit, ut creaturas. Cum vero discipulis id dicere nollet, ob ineffabilem quamdam divinæ administrationis et consilii rationem: « Quis enim novit mentem Domini, aut quis consiliarius ejus fuit [2]? » ne videretur illos hoc celare velle eoque nomine illos mœrore afficere, dixit, ne Filium quidem hoc nosse; humano more de se loquens, ut homo: et omnium interim notitiam sibi servans, ut Deus. Idcirco enim non dixit, Spiritum ignorare. Nam si spiritus omnia scrutatur, etiam occulta Dei, ut scriptum est [3], novit profecto omnia quæ in ipso sunt. Quod si Spiritus qui omnia scit, omniaque D inquirere potest, a Filio accipit: « Ille enim, inquit, de meo accipiet [4], » quomodo Filius censebitur ignorare, qui Spiritui omnia scienti suppeditat?

Ex eodem libro in ea verba: « De illa autem die aut hora. »

Si omnia quæ habet Pater, sunt Filii, ut ipse testatur: at Pater ultimum illum diem et horam novit: certe etiam Filius norit. Ita enim vere dixerit: « Omnia quæ habet Pater, mea sunt. [5] »

Ex eodem libro in ea verba: « Et omnia dedit in manu ejus. »

Non ideo dicitur Filius a Patre accepisse, quod antea non habuerit. Habet enim naturaliter, cum sit

A γέγονε τῶν εἰς αὐτὸν πιστευσάντων Κύριος, ἐφάνη δὲ καὶ αὐτὸς ὢν ὁ Χριστός· εἰ δὲ παρὰ Θεοῦ πεποιῆσθαι Κύριος λέγεται, καὶ τοῦτο ἔχει καλῶς. Ἐπιγινωσκόμενος γὰρ διὰ τῶν ἔργων γνήσιόν τε καὶ ἀληθινὸν τοῦ Θεοῦ γέννημα, κυριεύει τῶν ἀπειθούντων πάλαι, τῷ τε οἰκείῳ ἀξιώματι καὶ τῇ ἐκ Πατρὸς εὐγενείᾳ μαρτυρούμενος ὡς Θεός. Ἐπειδὴ γὰρ ὅλως ἐγνώσθη Θεοῦ ὑπάρχων Υἱὸς, γέγονε καὶ Κύριος, οὐ τότε πρῶτον τοῦ εἶναι Κύριος ἀρξάμενος (ἦν γὰρ ἀεὶ καὶ Θεὸς καὶ Κύριος), ἀλλ' ὅτε παρὰ τοῖς πεπιστευκόσιν ἐγνώσθη, τότε γεγονὼς καὶ ἐπ' αὐτοὺς Κύριος.

Ἐκ τοῦ αὐτοῦ βιβλίου εἰς τό· « Δόξασόν σου τὸν Υἱόν. »

B Λέγει που πρὸς τὸν ἑαυτοῦ Πατέρα διαλεγόμενος· « Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν Υἱόν. » Εἰ τοίνυν οἶδεν ἀκριβῶς τὴν ὥραν, ἣν ἐληλυθέναι λέγει, τί τὸ κωλῦον εἰδέναι κἀκείνην, ἣν ὡς ἄνθρωπος ἀγνοεῖν μέν φησι διὰ τὸ τῇ ἀνθρωπότητι πρέπον, οἶδε δὲ πάντως ὡς Θεός; Χρὴ δὲ οὐ διὰ τὴν τοιαύτην φωνὴν κατηγορεῖν τοῦ Θεοῦ Λόγου, καὶ ῥιψοκινδύνως ἄγνοιαν αὐτῷ προσάπτειν τινά· ἀλλὰ μᾶλλον θαυμάζειν αὐτοῦ τὴν φιλανθρωπίαν, οὐ παραιτησαμένου διὰ τὴν εἰς ἡμᾶς ἀγάπησιν εἰς τοσαύτην ἑαυτὸν ταπείνωσιν καταγαγεῖν, ὡς πάντα φορέσαι τὰ ἡμῶν, ὧν ἓν ὑπάρχει καὶ ἡ ἄγνοια.

Ἐρωτητέον τοὺς χριστομάχους, ὅτου δὴ χάριν ὁ Σωτὴρ ἀγγέλους καὶ Υἱὸν ὀνομάσας, οὐδαμοῦ τοῦ C Πνεύματος ἐποιήσατο μνήμην; Οὐ γὰρ εἴρηκεν· Οὐκ οἶδε τὸ Πνεῦμα, ἀλλ' « Οὐκ ἴσασιν οἱ ἄγγελοι, οὐδ' οἶδεν ὁ Υἱός· » καὶ τοῦτο ἀπολελυμένως· οὐ γὰρ προστέθεικε, τοῦ Θεοῦ. Δῆλον οὖν ὅτι ἀγγέλους μὲν ἔφησεν ἀγνοεῖν ὡς κτίσματα. Εἰπεῖν δὲ τοῖς μαθηταῖς οὐ θελήσας, διά τινα λόγον οἰκονομίας ἀπόρρητον· « Τίς γὰρ ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; » ἵνα μὴ φαίνηται κρύπτων αὐτοὺς, καὶ διὰ τοῦτο λυπήσῃ, καὶ τὸν Υἱὸν ἔφησε μὴ εἰδέναι, ἀνθρωπινώτερον μὲν περὶ ἑαυτοῦ λέγων, ὥσπερ περὶ ἀνθρώπου· φυλάττων δὲ ἑαυτῷ τὸ εἰδέναι πάλιν πάντα ὡς Θεός. Διὰ γὰρ τοῦτο οὐδὲ τὸ Πνεῦμα ἔφησεν ἀγνοεῖν. Εἰ γὰρ τὸ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ, καθὰ γέγραπται, οἶδε δηλονότι πάντα τὰ ἐν αὐτῷ. Καὶ εἰ τὸ Πνεῦμα τὸ πάντα εἰδὸς, καὶ D τὰ πάντα περιεργάζεσθαι δυνάμενον, παρὰ τοῦ Υἱοῦ λαμβάνει· « Ἐκεῖνο γὰρ, φησὶν, ἐξ ἐμοῦ λήψεται· » πῶς ὁ Λόγος ἀγνοεῖ, ὁ τοῦ πάντα εἰδότος Πνεύματος χορηγός;

Ἐκ τοῦ αὐτοῦ βιβλίου εἰς τό· « Περὶ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας. »

Εἰ πάντα ὅσα ἔχει ὁ Πατὴρ τοῦ Υἱοῦ ἐστι, καθά φησιν αὐτὸς, ἔχει δὲ ὁ Πατὴρ τὴν γνῶσιν τῆς ἡμέρας καὶ τῆς ὥρας ἐκείνης, ἔχει δηλονότι ταύτην καὶ ὁ Υἱός. Οὕτω γὰρ ἀληθεύσει λέγων· « Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστιν. »

Τοῦ αὐτοῦ βιβλίου εἰς τό· « Καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. »

Οὐ διὰ τὸ μὴ ἔχειν ὁ Υἱὸς, εἰληφέναι λέγεται παρὰ τοῦ Πατρός. Ἔχει γὰρ φυσικῶς, ἴδιος ὢν αὐτοῦ

[1] Joan. XVII, 1. [2] Isa. XL, 13; Rom. XI, 34. [3] I Cor. II, 10. [4] Joan. XVI, 14. [5] ibid. 15.

Λόγος καὶ ἀπαύγασμα, πάντα τὰ αὐτοῦ, δίχα μόνου A τοῦ εἶναι καὶ λέγεσθαι Πατήρ. Λέγει δὲ εἰληφέναι παρὰ τοῦ Πατρὸς, προαναιρῶν ὡς Θεὸς τὰς τῶν αἱρετικῶν ὑπονοίας. Ἵνα γὰρ μή τις τὸν Υἱὸν θεωρῶν πάντα τὰ τοῦ Πατρὸς ἔχοντα ἐκ τῆς πολλῆς λίαν ὁμοιότητος καὶ ἀπαραλλάκτου ταυτότητος νομίσῃ τὸν αὐτὸν εἶναι Πατέρα καὶ Υἱὸν, καὶ εἰς τὴν Σαβελλίου πλάνην ἐκπέσῃ, ἀναγκαίως εἰληφέναι φησὶ παρὰ Πατρὸς, φυσικῶς τοῦτο ἔχων· ἵν' ὁ λόγος εἰσφέρων ἕνα μὲν τὸν διδόντα, δεύτερον δὲ τὸν δεχόμενον, ἐν ἰδιαζούσαις ὑποστάσεσι δυάδα δεικνύῃ οὐ μόνοις ὀνόμασι διαστελλομένην. Ἴδιος δὲ ὢν τοῦ Πατρὸς ὁ Λόγος, καὶ ἐκ τῆς οὐσίας αὐτοῦ προελθὼν, πάντα μὲν B τὰ τοῦ Πατρὸς ἀϊδίως ἔχει. Παρ' αὐτοῦ δέ φησιν εἰληφέναι διὰ τὸ ἐξ αὐτοῦ προελθεῖν, φυσικῶς ἔχων τὰ πάντα προσόντα αὐτῷ.

Καὶ τοῦτο.

Εὑρίσκεταί που λέγων ὁ Σωτήρ· « Ὥσπερ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω καὶ τῷ Υἱῷ δέδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ· » ὅπερ ἀκόλουθον οὕτω νοεῖν. Διὰ μὲν γὰρ τοῦ λέγειν, « Δέδωκε, » τὸ ἐκ Πατρὸς ἔχειν φυσικῶς σημαίνει, καὶ καθ' ὑπόστασιν ἕτερον ἑαυτὸν πρὸς τὸν δεδωκότα δεικνύει· ἕτερον δὲ λέγω μόνον τῷ ἀριθμῷ. Διὰ δὲ τοῦ λέγειν, « Ὥσπερ ἔχει ὁ Πατὴρ, οὕτως ἔχει καὶ ὁ Υἱὸς, » δῆλός ἐστιν ἐκεῖνο διδάσκων, ὅτι ὥσπερ ἀϊδίως ἔχει ὁ Πατὴρ ἐν ἑαυτῷ τὴν ζωὴν, οὕτω καὶ ὁ Υἱὸς ἀϊδίως ἔχει ζωὴν ἐν ἑαυτῷ. C

Καὶ τοῦτο.

Εἴ τις τῷ ἐν τοῦ φωτὸς ἀπαυγάσματι περιθείη φωνὴν, εἶτα τοῦτο λέγοι· Πάντα μοι δέδωκε τὸ φῶς τὰ ἑαυτοῦ, φωτίζω γὰρ ὥσπερ ἐκεῖνο· ἆρ' εὐλόγως ἂν εἴποι μὴ ἐσχηκέναι ποτὲ τὸ ἀπαύγασμα τοῦ φωτίζειν τὴν δύναμιν; καὶ πῶς ἀπαύγασμα ἦν; Εἰ δὲ καὶ φωτίζειν δυνάμενον διὰ τὸ πάντα τὰ τοῦ φωτὸς ἔχειν, καὶ γεννᾶσθαι πάλιν ἐξ ἑαυτοῦ, εἰληφέναι λέγει παρ' αὐτοῦ, πῶς οὐκ ἄτοπον μὴ καὶ πλέον τι τοῦ παραδείγματος νοεῖν ἐπὶ τοῦ Θεοῦ Λόγου; Πάντα γὰρ ἔχων φυσικῶς ἐκ Πατρὸς, εἰληφέναι φησὶν ἐξ αὐτοῦ διὰ τὸ ἐξ αὐτοῦ γεγεννῆσθαι, μετὰ πάντων ὧν ἔχει.

D *Ἐκ τοῦ αὐτοῦ βιβλίου ἀντίθεσις Ἀρειανῶν εἰς τό· « Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν. »*

Ἰδοὺ, φασὶν, αὐτὸς ὁ Υἱὸς μόνον εἶναι Θεὸν ἀληθινὸν ὁμολογεῖ τὸν Πατέρα. Καὶ αὐτὸς δὲ εὑρίσκεται ὁ Πατὴρ λέγων· *Ἐγὼ Θεὸς πρῶτος, ἐγὼ καὶ μετὰ ταῦτα, καὶ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ.* Πῶς οὖν εἰσάγετε τῷ πρώτῳ καὶ μόνῳ καὶ κατὰ ἀλήθειαν ὄντι Θεῷ καὶ Πατρὶ τὸν Υἱὸν ὡς ὄντα καὶ αὐτὸν κατὰ φύσιν Θεόν; Εἰδέναι χρὴ πρῶτον, ὅτιπερ οὐκ εἰς ἀναίρεσιν τοῦ Υἱοῦ τὰ τοιαῦτά φησιν ὁ Πατήρ. Τί γὰρ ἦν τὸ εἰς ταῦτα ἐλθεῖν παροτρῦνον αὐτόν; Εἰ μὲν γὰρ ὡς ἄνθρωπος τῷ ἐξ αὐτοῦ προελθόντι φιλονεικεῖ, ὥσπερ ὁ Δαβὶδ πολεμούμενος ὑπὸ τῶν οἰ-

A proprium ejus Verbum et splendor, omnia quæ Patris: excepto eo quod neque sit, neque dicatur Pater. Dicit autem se accepisse a Patre, præoccupans et tollens, ut Deus, hæreticorum suspicionem. Nam ne quispiam, Filium contemplans habentem omnia quæ Pater, existimet ob summam hanc similitudinem et omnimodam identitatem ipsum esse Patrem simul et Filium, et in Sabellii errorem incidat, utiliter admodum se a Patre accepisse dicit, cum naturaliter id habeat, ut ratio ipsa inferens unum quidem esse qui dat, alterum qui suscipit, dualitatem personarum manifeste ostendat non solis nominibus B distinctam. Cum vero sit proprium Patris Verbum, et ex essentia ipsius procedat, certe omnia quæ Patris sunt, ab æterno habet. Dicit autem se ab illo accepisse, quia ex ipso procedit; cum alioqui naturaliter habeat omnia quæ Patri insunt.

Et hæc.

Servator alicubi inquit, « Sicut Pater habet vitam in seipso, sic dedit et Filio habere vitam in seipso [1]: » quod sic intelligi par est. Nam cum dicit, « dedit, » quod ex Patre naturaliter habeat significat, et hypostatice ab eo qui dedit alium esse: alium, inquam, numero solum. Cum vero dicit, « Sicut habet Pater, ita habet et Filius, » manifeste hoc significat, quod, quemadmodum Pater habet in se vitam ab æterno, ita et Filius vitam ab æterno in se habet. C

Et hæc.

Si quis splendori luminis sermonem tribuat, et dicat: Lumen mihi dedit omnia quæ habet: illumino enim perinde atque illud; anne recte quispiam dixerit splendorem illum aliquando non habuisse illuminandi facultatem? et quomodo splendor erat? Si vero cum semper illuminandi facultatem habeat, quia omnia quæ in lumine sunt, habet, et qui gignitur ex ipso, accepisse ab ipso dicitur: quomodo non absurdum fuerit nolle amplius aliquid de Verbo Dei, quam de hoc exemplo intelligere? Cum enim omnia naturaliter habeat ex Patre, accepisse se ex ipso dicit, quia ex ipso genitus est, cum omnibus quæ habet.

D *Ex eodem libro adversus Arianos responsio ex istis verbis: « Ut cognoscant te solum verum Deum [2]. »*

Ecce, inquit, Filius ipse solum esse verum Deum Patrem ipsum confitetur. Quin etiam Pater ipse ita locutus reperitur: *Ego Deus primus; ego et post hæc, et non est Deus præter me* [3]. Quomodo igitur vos primo, et soli, et vero Deo, et Patri, Filium, tanquam et ipse sit Deus, adjungitis? Illud primum sciendum est, Patrem non ideo ita locutum esse, ut Filium tolleret. Qua enim ratione queat ad hoc incitari? Nisi forte hominum more cum Filio pugnat, ut David cum filiis suis. Tunc enim ejusmodi indignatio probabilis videatur. Quod si nulla in natura

[1] Joan. v, 26. [2] Joan. xvii, 3. [3] Isa. xlvii, 10.

divina seditio, nulla pugna esse potest, sed potius apparet, Filium semper tribuere gloriam Patri, quæ ratio est, ut Patrem, quo Filium tolleret, ea verba dixisse suspicemur, ac non potius, ut falsos deos everteret ita locutum esse fateamur? Quid? Quod Servator, cum dixisset: *Ut cognoscant te verum Deum*, de se statim subjicit: *Et quem misisti, Jesum Christum*, ut qui non sit a Patris essentia separatus, quantum ad divinitatis rationem attinet, sed semper cum Patre conjunctus?

Ex eodem libro in illa verba: « Jesus autem proficiebat. »

Quod in aliqua re proficit, ab illa diversum est. Quare si in sapientia proficere dicitur, non ipsa crescebat sapientia, sed in ea crescebat ejus humanitas. Cum enim quotidie magis in ipso divinitas pateficeret et declararetur, ipse semper admirabilior spectantibus videbatur. Hoc autem significant illa verba: *Proficiebat in sapientia* [1].

In eadem verba.

In sapientia oficiebat humanitas hoc modo: Sapientia (id est Dei Verbum) hominis naturam induta factis et operibus admirandis templum a se delectum, et assumptum oculis intuentium divinum reddens, proficere faciebat. Atque ita humanitas divina per sapientiam effecta proficiebat.

Et hæc.

Quoniam crescere carnis est proprium, in ipsa dicitur crescere, cujus affectiones proprias acceperat; nullius enim, nisi ipsius Verbi, erat caro. Quamobrem ut ipsum dicimus carne passum, licet caro sola passa sit, quia quanquam uti Deus passum non est, caro tamen, quæ passa est, ipsius fuit; sic etiam dicitur crescere, nullum uti Deus accipiens incrementum, sed quoniam in ipso proprium crescit corpus ipsius.

Ex eodem libro, in ea verba, « Pater, clarifica me. »

At quo pacto, inquiunt, non sit absurdum dicere Filium secundum essentiam similem esse Patri, cum ipse gloriam a Patre petat? Dicit enim: « Pater, glorifica me ea gloria quam habebam apud te antequam mundus esset [2]. » Nam si habens petit, temere ac supervacanee id facere videtur; si vero non habens, manifeste hoc ipso declarat se non tantum esse atque est largitor ille a quo sibi dari petit

Qui nominum vim accurate inquirunt, et uniuscujusque significationem diligenter excutiunt, δόξης nomen dupliciter accipiunt. Aliquando enim id pro honore accipi debere censent, aliquando pro opinione sive notitia: ut si quis roget quid aliquis δοξάσαι, hoc est, opinetur ac sentiat de sole, aut alio quodam elemento, utrum creata hæc sint necne, dicet profecto, qui recte opinatur ac sentit, esse creata. Ergo

[1] Luc. II, 52.

κείων παίδων, ἔχει τινὰ λόγον ἴσως ὁ τοιοῦτος θυμός· εἰ δὲ στασιάζειν καθ' ἑαυτῆς ἡ θεία φύσις οὐκ οἶδε, φαίνεται δὲ μᾶλλον ὁ Υἱὸς ἀεὶ τῷ Πατρὶ τὴν δόξαν ἀποδιδοὺς, ποῖον ἔχει λόγον τὸ εἰς ἀναίρεσιν αὐτοῦ τοιαῦτα φάναι τὸν Πατέρα; Οὐκοῦν πρὸς ἀνατροπὴν μᾶλλον τῶν ψευδωνύμων θεῶν εἰρῆσθαι τὰ τοιαῦτα δώσομεν. Εἶτα πρὸς τούτοις λέγων ὁ Σωτὴρ, *Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν*, ἑαυτὸν εὐθὺς συνάπτει, *Καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν*, ὡς τῆς τοῦ Πατρὸς οὐσίας ἀδιαίρετος ὢν, ὅσον ἧκεν εἰς θεότητος λόγον, καὶ πάντως μετὰ Πατρὸς νοούμενος.

Τοῦ αὐτοῦ βιβλίου εἰς τό· « Ἰησοῦς προέκοπτε. »

Τὸ ἔν τινι προκόπτον ἕτερόν ἐστι παρ' ἐκεῖνο, ἐν ᾧ προκόπτειν λέγεται. Εἰ τοίνυν ἐν σοφίᾳ προκόπτειν εἴρηται, οὐχ ἡ σοφία προέκοπτεν, ἀλλ' ἐν αὐτῇ τὸ ἀνθρώπινον. Ἀποκαλυπτομένης γὰρ καὶ φανερουμένης ὁσημέραι τῆς θεότητος ἐν αὐτῷ, ἀεὶ θαυμαστότερος παρὰ τοῖς ὁρῶσιν ἐγίνετο. Καὶ τοῦτό ἐστι τὸ *Προέκοπτεν ἐν σοφίᾳ*.

Εἰς τὸ αὐτό.

Ἐν σοφίᾳ προέκοπτε τὸ ἀνθρώπινον κατὰ τόνδε τὸν τρόπον. Τὴν τοῦ ἀνθρώπου φύσιν ἐνδυσαμένη ἡ σοφία, τουτέστιν ὁ τοῦ Θεοῦ Λόγος, κατὰ βραχὺ διὰ τῶν ἔργων καὶ τῶν παραδόξων ἀποτελεσμάτων θεοποιοῦσα παρὰ τοῖς ὁρῶσι τὸν ἀναληφθέντα ναὸν, προκόπτειν αὐτὸν ἐποίει. Κατὰ τοῦτο οὖν ἐν σοφίᾳ προέκοπτεν ἡ ἀνθρωπότης θεοποιουμένη δι' αὐτῆς.

Καὶ τοῦτο.

Ἐπειδὴ τῇ σαρκὶ τὸ προκόπτειν ὀφείλεται, λέγεται προκόπτειν ὡς ἐν αὐτῇ γενόμενος, καὶ τὰ αὐτῆς ἰδιοποιούμενος πάθη. Οὐ γὰρ ἑτέρου τινὸς ἦν ἡ σάρξ, ἀλλ' αὐτοῦ τοῦ Λόγου. Καὶ ὥσπερ λέγομεν αὐτὸν πεπονθέναι σαρκὶ, καίτοι μόνης παθούσης τῆς σαρκὸς, ἐπειδήπερ καὶ εἰ μὴ πέπονθεν ὡς Θεὸς, ἀλλ' ἴδιον ἦν αὐτοῦ τὸ πάσχον σῶμα, οὕτω, κἂν προκόπτειν λέγηται προκοπὴν οὐδεμίαν ἐπιδεχόμενος ὡς Θεὸς, διὰ τὸ προκόπτειν ἐν αὐτῷ τὴν ἰδίαν σάρκα προκόπτειν λέγεται.

Τοῦ αὐτοῦ βιβλίου εἰς τό· « Πάτερ, δόξασόν με. »

Καὶ πῶς, φασὶν, οὐκ ἄτοπον ὅμοιον εἶναι λέγειν κατ' οὐσίαν τὸν Υἱὸν τῷ Πατρὶ, ὅς γε δόξαν αἰτῶν εὑρίσκεται παρ' αὐτοῦ; Λέγει γάρ· « Πάτερ, δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. » Εἰ μὲν γὰρ ἔχων αἰτεῖ, περιττῶς τοῦτο φανεῖται ποιῶν· εἰ δὲ μὴ ἔχων, δῆλος ἐντεῦθέν ἐστιν, οὐκ ὢν τοσοῦτος ὅσος ὁ χορηγὸς ὧν ἐζήτει λαβεῖν.

Οἱ τῶν ὀνομάτων ἀκριβεῖς ἐξετασταὶ, καὶ τὸ ἐξ ἑκάστου σημαινόμενον σαφῶς δοκιμάζοντες, τὸ τῆς δόξης ὄνομα νοοῦσι διχῶς. Πῇ μὲν γὰρ ἐπὶ τιμῆς αὐτὸ λαμβάνειν ὑπειλήφασι δεῖν, πῇ δὲ πάλιν ἐπὶ τῆς γνώσεως τάττουσιν· ὥσπερ ἂν εἴ τις λέγοι, τί ἄν τις δοξάσαι περὶ τοῦ ἡλίου τυχὸν, ἢ περί τινος ἑτέρου στοιχείου, πότερον γενητὰ ταῦτα ἢ ἀγένητα; ἐρεῖ γοῦν πάντως ὁ δοξάζων ὀρθῶς, ὡς εἴη γενητά. Οὐκ-

οὖν καὶ ἡ περί τ: τῶν ὄντων γνῶσις, δόξα καλεῖται A παρὰ τοῖς ταῦτα σοφοῖς. Ὅταν οὖν εὑρίσκηται λέγων ὁ Υἱός· «Πάτερ, δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί, » νοεῖν ἀκόλουθον τοιῶσδε τὸ λεγόμενον· ἐπειδήπερ, φησὶν, ὦ Πάτερ, ἄνθρωπος δι' οἰκονομίαν γεγονὼς, αὐτὸ δὴ τοῦτο νομίζομαι μόνον ὅπερ ὁρῶμαι, καὶ οὐ πολλοῖς προαιώνιος ὢν Υἱὸς γινώσκομαι, δόξασόν με, ἀντὶ τοῦ, Φανέρωσόν με, τοιαύτην ἐνθεὶς περὶ ἐμοῦ γνῶσιν τοῖς ἀνθρώποις, ὁποίαν ἂν δέχοιντο περὶ ἐμοῦ, καὶ πρὶν γενέσθαι τὸν κόσμον ὑπάρχειν ἀκούοντες, Θεὸν δηλαδὴ κατὰ φύσιν, φῶς ἐκ φωτὸς, ἀλήθειαν ἐξ ἀληθινοῦ προελθόντα Πατρός. Γνωσόμεθα δὲ τοῦτο μάλιστα διὰ τῆς ἐπαγωγῆς. « Δόξασόν με » γὰρ, φησὶν, ἀντὶ τοῦ, Φανερόν με κατάστησον, ἐπειδή σου κἀγὼ τὸ ὄνομα πεφανέρωκα τοῖς ἀνθρώποις. Εἰ τοίνυν ὅπερ πεποίηκε γενέσθαι B βούλεται, ἐδόξασε δὲ τὸν Πατέρα φανερώσας αὐτὸν τοῖς ἀνθρώποις, δοξάζεσθαι βούλεται καὶ αὐτὸς, φανερὸς ὑπὸ τοῦ Πατρὸς τοῖς ἀνθρώποις γινόμενος. Καὶ περιττὸς τῶν χριστομάχων ὁ λόγος, τιμῆς ἤτοι δόξης ἐνδεᾶ τὸν Υἱὸν εἰσφέρων.

Τοῦ αὐτοῦ βιβλίου ἐκλογαὶ ῥητῶν ἀποστόλων ιϛ', συλλογιζόμεναι ὅτι Θεὸς κατὰ φύσιν ὁ Υἱὸς, οὐ ποίημα, οὐδὲ κτίσμα.

Πρὸς τοὺς ἐπὶ τοῖς οἰκείοις πταίσμασιν οὐκ εἰδότας μετανοεῖν, ἄῤῥηκτον δὲ ὥσπερ ἐπιθέντας ἑαυτοῖς τῆς φαυλότητος τὸν δεσμὸν, ὁ Παῦλός φησι· « Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀπο- C καλύψεως δικαιοκρισίας τοῦ Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. » Εἶτα πάλιν ἑτέροις· « Τοὺς γὰρ πάντας ἡμᾶς δεῖ φανερωθῆναι ἐνώπιον τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον. » Οὐκοῦν εἰ παραστησόμεθα πάντες τῷ βήματι τοῦ Χριστοῦ (« Οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ), » καὶ αὐτὸς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· πῶς οὐκ ἔσται φύσει Θεὸς, τοῦ Παύλου λέγοντος ἀποκάλυψιν ἔσεσθαι δικαιοκρισίας Θεοῦ, τὴν ἐφ' ἑκάστῳ τῶν κρινομένων παρ' αὐτοῦ τιθεμένην ψῆφον δηλαδὴ, ὡς τοῖς μὲν φαύλοις εἰπεῖν· « Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον· » τοῖς δὲ τῆς εἰς αὐ- D τὸν εὐσεβείας ἐργάταις· « Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, » καὶ τὰ ἑξῆς.

Τοῖς δικαιουμένοις διὰ τῆς πίστεως τῆς εἰς Χριστὸν συναγορεύων Παῦλός φησι· « Λογιζόμεθα γὰρ δικαιοῦσθαι ἄνθρωπον χωρὶς ἔργων νόμου· ἢ Ἰουδαίων ὁ Θεὸς μόνων, οὐχὶ καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν. Εἴπερ εἷς Θεὸς ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως. » Τοῦτο ποιοῦντα Χριστὸν εὑρίσκομεν. Δικαιοῦν γὰρ ὑπισχνούμενος τοὺς πιστεύοντας εἰς αὐτὸν, « Ἀμὴν, φησὶ, λέγω ὑμῖν· ὁ πιστεύων εἰς ἐμὲ, οὐ κρίνεται, ἀλλ' ἔχει ζωὴν αἰώνιον. » Εἰ δὲ πρέπει μόνῳ τὸ δικαιοῦν τῷ Θεῷ, δι-

et cognitio alicujus rei, ab iis qui nominum proprietates ac significationes tenent, δόξα vocatur. Quando igitur Filius dicit : « Πάτερ, δόξασόν με τῇ δόξῃ quam habui apud te ante constitutionem mundi [1], » dictum hoc ita intelligendum est : Quoniam, inquit, o Pater, homo per incarnationem factus, id solum esse existimor quod appareo, multique me non ut Filium tuum ab æterno exsistentem agnoscunt, δόξασόν με, hoc est, manifesta me, talem hominibus opinionem atque notitiam de me indens, qualem haberent de me audientes me etiam ante constitutionem mundi esse, nimirum natura Deum, lumen ex lumine, veritatem ex vero Patre procedentem. Ita vero intelligendum esse ex sequentium serie facile constabit. Inquit enim δόξασόν με, « glorifica me, » pro, manifesta me, siquidem et ego nomen tuum manifestavi hominibus. Si ergo id quod ipse fecit, fieri sibi cupit, glorificavit autem Patrem manifestans cum hominibus, glorificari etiam ipsi cupit, nimirum a Patre hominibus manifestatus. Atque ita inanis ac vanus est hæreticorum cavillus, qui honore sive gloria indiguisse Filium censent.

Ex eodem libro, Apostolorum sententiæ sexdecim, quibus Filium natura Deum, non autem factum aut creatum esse demonstrat.

De iis qui nullam de peccatis suis pœnitentiam agunt, sed indissolubili quodam vinculo vitiis suis annexi sunt, Paulus ita loquitur : « Secundum autem duritiem tuam, et cor tuum impœnitens, iram tibi thesaurizas in die iræ et revelationis justi judicii Dei, qui retribuet singulis secundum opera ipsorum [2]. » Rursum aliis : « Omnes nos oportet manifestari coram Christo, ut unusquisque accipiat propria corporis, prout gessit, sive bonum, sive malum [3]. » Si ergo omnes sistemur ante tribunal Christi, « Neque enim Pater judicat quemquam, sed omne judicium dedit Filio, et ipse retribuet unicuique secundum opera ipsorum [4]; » quomodo non erit naturaliter Deus, cum Paulus dicat revelationem justi judicii Dei futuram, sententiam nimirum quam ipse de singulorum factis est laturus : ita ut malis quidem sit dicturus : « Discedite a me, maledicti, in ignem æternum [5]; » pietatis vero cultoribus : « Venite, benedicti Patris mei [6], » etc.

Præterea Paulus iis qui per fidem in Christum justificati sunt patrocinans : « Putamus, inquit, fide justificari hominem sine operibus legis : an Judæorum solum est Deus, non autem etiam gentium? certe et gentium. Siquidem unus Deus qui justificabit circumcisionem ex fide, et præputium per fidem [7]. » Hoc Christum præstare invenimus. Promittens enim se justificaturum credentes in se, inquit. « Amen dico vobis, qui credit in me non judicatur, sed habet vitam æternam [8]. » Si vero justi-

[1] Joan. XVII, 5. [2] Rom. II, 5, 6. [3] II Cor. V, 10. [4] Joan. V, 22. [5] Matth. XXV, 41. [6] ibid. 34. [7] Rom. III, 28-30. [8] Joan. III, 18; VI, 47.

fic re soli Deo convenit, justificat autem Christus, quomodo non erit natura Deus? At, si hoc est, quomodo non sit creatura?

Paulus alicubi de parente nostro Abraham ita dicit: « Qui est pater omnium nostrum, ut scribitur [1]: quia Patrem multarum gentium posui te coram Deo qui vivificat mortuos [2]. » Cum igitur Deus dicatur vivificare mortuos, cumque Filius dicat: « Ego sum vita [3] » et, « Qui credit in me, habet vitam æternam, et ego resuscitabo eum in novissimo die [4]; » et rursum: « Ego sum resurrectio et vita [5]; » quis non confiteatur, modo sanæ mentis sit, ipsum ex essentia Patris esse, proprium ac verum ipsius Filium, omnes Patris proprietates naturaliter in se gestantem? Quod si verum est, ergo Deus ex Deo est, non vero opus vel creatura.

Paulus divinorum arcanorum administratorem ac ministrum seipsum esse declarans: « Audacius, inquit, scripsi vobis ex parte in memoriam vos reducens per gratiam datam mihi a Deo, ut essem minister Jesu Christi ad gentes, ministrans Evangelium Dei, ut fiat oblatio gentium acceptabilis, sanctificata in Spiritu sancto [6]. » Ecce etiam hic manifeste se per gratiam affirmat a Deo accepisse quod sit minister Jesu Christi. Deinde sacri sui ministerii rationem declarans, « in Evangelium, inquit, Dei [7]. » Atqui Christum Jesum prædicans atque evangelizans, ita novit Filium naturaliter Deum esse. Neque enim nominasset Deum, qui id ex natura sua non esset; neque hac de re tantopere gloriaretur dicens: « Beneplacitum fuit Deo revelare Filium suum per me [8], » si creatura et opus fuisset.

Si enim cognovissent, inquit, *nunquam Dominum gloriæ crucifixissent* [9]; si gloriæ Dominus esse, qui cruci suffixus fuit pro nobis, quomodo non et natura Deus est? Aut quomodo creatus, aut factus est ille, quem Seraphim decantant, et celebrant, dicentes plenum esse cœlum, et terram gloria ejus, eumque Dominum Sabaoth appellantes [10]. Nam quod hæc de ipso dicant, non est dubium, siquidem, ut Paulus ait, est gloriæ Dominus.

« Ita, inquit, nos existimet homo ut ministros Christi, et dispensatores mysteriorum Dei [11]. » Si ergo mysterium Filii, mysterium Dei Paulus vocat, quomodo non erit natura Deus, aut quomodo creaturis annumerabitur is cui apostoli ministrant? Quomodo autem non verum dicat, Dei mysterium appellans Evangelium Christi, quique magna animi fiducia dixit: « Ego enim non accepi ab homine, neque doctus sum, sed a Deo [12]? » Cum igitur a Deo edoctus, Filium Deum esse agnoscat, quis hæreticos audiat?

« Quocirca, inquit, nolite ante tempus aliquid judicare, donec veniat Dominus, qui et illuminabit

A καιοῖ δὲ Χριστὸς, πῶς οὐκ ἔστι φύσει Θεός; Εἰ δὲ τοῦτο, οὐ ποίημα;

Φησί που πάλιν ὁ Παῦλος περὶ τοῦ προπάτορος ἡμῶν Ἀβραάμ· « Ὅς ἐστι πατὴρ πάντων ἡμῶν, καθὼς γέγραπται, ὅτι Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε κατέναντι Θεοῦ τοῦ ζωοποιοῦντος τοὺς νεκρούς. » Θεοῦ τοιγαροῦν ζωογονεῖν τοὺς νεκροὺς λεγομένου, εἶτα τοῦ Υἱοῦ φάσκοντος· « Ἐγώ εἰμι ἡ ζωή· » πάλιν, « Ὁ πιστεύων εἰς ἐμὲ, ἔχει ζωὴν αἰώνιον, κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ· » καὶ πάλιν, « Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή· » τίς οὐκ ἂν ὁμολογήσειεν, εἴ γε νοῦν ἔχοι, τῆς οὐσίας αὐτὸν ὑπάρχειν τῆς τοῦ Πατρὸς γνήσιόν τε καὶ ἀληθέστατον γέννημα, πάντα φέρον ἐν ἑαυτῷ φυσικῶς τὰ τοῦ
B γεννήσαντος ἴδια; Εἰ δὲ τοῦτο, Θεὸς ἄρα τὸ ἐκ Θεοῦ, καὶ οὐ κτίσμα ἢ ποίημα.

Τῶν θείων μυστηρίων οἰκονόμον καὶ λειτουργὸν ἑαυτὸν ἀναδεικνύων ὁ Παῦλος, « Τολμηρότερον δὲ, φησὶν, ἔγραψα ὑμῖν ἀπὸ μέρους, ὡς ἐπαναμιμνήσκων ὑμᾶς διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ Θεοῦ, εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ, εἰς τὰ ἔθνη ἱερουργοῦντα τὸ Εὐαγγέλιον τοῦ Θεοῦ, ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος ἡγιασμένη ἐν Πνεύματι ἁγίῳ. » Ἰδοὺ πάλιν ἐνθάδε σαφῶς εἰληφέναι μὲν ἐν χάριτος μέρει παρὰ τοῦ Θεοῦ διισχυρίζεται τὸ εἶναι λειτουργὸς Ἰησοῦ Χριστοῦ. Εἶτα τῆς ἱερουργίας τὸν τρόπον ἐξηγούμενος, « εἰς τὸ Εὐαγγέλιον,
C φησὶ, τοῦ Θεοῦ. » Καίτοι Χριστὸν Ἰησοῦν κηρύσσων καὶ εὐαγγελιζόμενος, οὕτως οἶδε φύσει Θεὸν ὄντα τὸν Υἱόν. Οὐ γὰρ ἂν ὠνόμασε Θεὸν μὴ τοῦτο κατὰ φύσιν ὑπάρχοντα· οὐδ' ἂν ἐφ' ἑαυτῷ πολὺ λίαν ἐκαυχήσατο λέγων, « Εὐδόκησεν ὁ Θεὸς ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ δι' ἐμοῦ, » εἴπερ ἦν κτίσμα καὶ ποίημα.

Εἰ γὰρ ἔγνωσαν, φησὶν, *οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν*. Οὐκοῦν εἰ τῆς δόξης Κύριός ἐστιν ὁ τὸν σταυρὸν ὑπομείνας ὑπὲρ ἡμῶν Υἱὸς, πῶς οὐκ ἔστι φύσει Θεός; πῶς δὲ κτίσμα, ἢ ποίημα ὁ καὶ ὑπὸ τῶν Σεραφὶμ ὑμνούμενος; πλήρη γὰρ εἶναί φασι τόν τε οὐρανὸν, καὶ τὴν γῆν τῆς δόξης αὐτοῦ, καὶ Κύριον Σαβαὼθ ὀνομάζουσι. Δῆλον γὰρ, ὅτι περὶ αὐτοῦ τὰ τοιαῦτά φασιν, εἴπερ ἐστὶ τῆς δόξης Κύριος κατὰ τὴν τοῦ Παύλου φωνήν.

D « Οὕτω, φησὶν, ἡμᾶς λογιζέσθω ἄνθρωπος ὡς ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους μυστηρίων Θεοῦ. » Εἰ τοίνυν τὸ περὶ τοῦ Υἱοῦ μυστήριον, Θεοῦ μυστήριον ὁ Παῦλος ἀποκαλεῖ, πῶς οὐκ ἔσται φύσει Θεὸς, ἢ πῶς ἐν ποιήμασι τετάξεται ὁ διὰ τῶν ἀποστόλων ὑπηρετούμενος; Πῶς δὲ οὐκ ἀληθεύσει, Θεοῦ μυστήριον ὀνομάζων τὸ Εὐαγγέλιον Χριστοῦ, ὁ μετὰ πολλῆς παῤῥησίας εἰπών· « Οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτὸ, οὐδὲ ἐδιδάχθην, ἀλλ' ὑπὸ τοῦ Θεοῦ δηλαδή; » Ὅτε τοίνυν θεοδίδακτος ὢν, Θεὸν ὄντα τὸν Υἱὸν ἐπιγινώσκει, τίς τῶν ἕτερα διδασκόντων ἀνέξεται;

« Ὥστε, φησὶ, μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκό-

[1] Gen. XVII, 4. [2] Rom. IV, 16, 17. [3] Joan. XIV, 6. [4] Joan. VI, 40. [5] Joan. VI, 25. [6] Rom. XV, 15, 16. [7] Rom. I, 1. [8] Galat. I, 15-16. [9] I Cor. II, 8. [10] Heb. XII, 2; Isa. VI, 3. [11] I Cor. IV, 1. [12] Galat. I, 12.

τους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν, καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ Θεοῦ. » Ἐν δὲ τοῖς Εὐαγγελίοις, στήσειν μὲν ἐκ δεξιῶν τὰ πρόβατα, ἐξ εὐωνύμων δὲ τὰ ἐρίφια Χριστὸς ἐπαγγέλλεται, κατὰ τὸν καιρὸν τῆς δευτέρας αὐτοῦ παρουσίας· καὶ τοὺς μὲν τῆς ἀνομίας ἐργάτας ἐκπέμψειν εἰς τὸ πῦρ τὸ αἰώνιον, τοῖς δέ γε τὸν δεξιὸν ἐπέχουσι τόπον τοὺς ἐπαίνους ὁμοῦ τοῖς μισθοῖς ἀποδώσειν, λέγων τό, « Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. » Οὐκοῦν εἰ τὸν τῆς ἀρετῆς ἐργάτην καὶ ἐπιστήμονα ἐπαινέσειν μέλλοντος τοῦ Θεοῦ, Χριστός ἐστιν ὁ ἐπαινῶν, πῶς ἔσται ποίημα, καὶ οὐχὶ μᾶλλον Θεὸς ἐκ Θεοῦ, τῆς πατρῴας οὐσίας ὅλον ἔχων τὸ ἴδιον, καὶ ὢν διὰ τοῦτο φύσει Θεός, ὥσπερ καὶ ὁ γεννήσας αὐτόν;

A occulta tenebrarum, et manifestabit consilia cordium, et tunc unicuique laus fiet ab eo [1]. » In Evangeliis autem scribitur, quod in novissimo die Christus oves ab hædis separabit, atque oves quidem a dextris, hædos autem a sinistris collocabit: malos quidem missurus in ignem æternum; a dextra vero constitutis laudes una cum præmiis largiturus, dicens: « Venite, benedicti Patris mei, et possidete regnum quod paratum est vobis a constitutione mundi [2]. » Si ergo cum virtutis cultores laudibus affecturus est Deus, Christus est qui laudat, quomodo sit creatura, et non potius Deus ex Deo, universam paternæ essentiæ proprietatem in se habens atque idcirco Deus exsistens, perinde B atque ipse Pater?

« Οὐ γὰρ θέλομεν ὑμᾶς, φησὶν, ἀγνοεῖν, ἀδελφοί, ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ὑπὲρ δύναμιν ἐβαρήθημεν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν· ἀλλ' αὐτοὶ ἐν αὐτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς. » Ἰδοὺ πάλιν ἐνθάδε σαφῶς Θεὸν εἶναί φησι τὸν ἐγείροντα τοὺς νεκρούς. Τοῦτο δὲ Χριστὸς ἐργάζεται, λέγων, ποτὲ μέν· « Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή· » ποτὲ δὲ πάλιν· « Ὁ πιστεύων εἰς ἐμὲ, ἔχει ζωὴν αἰώνιον, κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. » Θεὸς οὖν ἄρα κατὰ φύσιν ὁ Υἱὸς, ἐνεργεῖν δυνάμενος, ἃ μόνῳ πρέπει Θεῷ. Οὐκοῦν οὐ ποίημα, οὐδὲ κτίσμα.

« Nolumus, inquit, vos ignorare, fratres, de tribulatione nostra facta in Asia, quoniam supra modum gravati sumus supra virtutem, ita ut tæderet etiam nos vivere: sed ipsi in nobismetipsis responsum mortis habuimus, ut non simus fidentes in nobis, sed in Deo qui suscitat mortuos [3]. » Ecce rursus hic aperte ait Deum esse qui suscitat mortuos. Id autem Christus facit, alicubi quidem dicens: « Ego sum resurrectio et vita [4]; » alicubi vero: « Qui credit in me, habet vitam æternam, et ego suscitabo eum in novissimo die [5]. » Filius itaque est natura Deus, quippe qui ea faciendi potestatem habet quæ soli Deo convenit. Non est ergo creatu- C ra, neque opus.

Τῷ δὲ Θεῷ χάρις τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν. Ὁ φανερούμενος διά τε τῶν ἀποστολικῶν καὶ εὐαγγελικῶν κηρυγμάτων τίς ἂν εἴη ἕτερος παρὰ Χριστόν; Αὐτὸς τοιγαροῦν ἐστιν ἡ ὀσμὴ τῆς γνώσεως τοῦ Θεοῦ καὶ Πατρὸς κατὰ τὸ εἰρημένον παρ' αὐτοῦ *Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ δι' ἐμοῦ.* Καὶ πάλιν, *Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα.* Ὀσμὴ τοιγαροῦν ὑπάρχων τοῦ Πατρὸς οὐ κἂν εἴη πρὸς αὐτὸν ἑτεροούσιος, ἀλλ' ὥσπερ ἡ ἐξ ἀνθέων εὐωδία φυσικῶς τε καὶ οὐσιωδῶς προεκχύπτουσα τοῦ γεννήσαντος αὐτὴν εἴδους ἐστὶν ἐκφαντική, οὕτω καὶ ὁ Υἱὸς ὀσμή τις ὥσπερ τῆς πατρῴας ὑπάρχων οὐσίας, ἀφ' ἧς ἐστιν, αὐτὸς τὸν γεννήσαντα D δηλοῖ. Οὐκοῦν οὐ ποίημα, οὐδὲ κτίσμα, ἐπεὶ μὴ τοῦτό ἐστιν ὁ Πατήρ.

Deo, inquit, *gratias qui semper triumphat nos in Christo Jesu, et odorem notitiæ suæ manifestat per nos* [6]. Qui apostolicis et evangelicis prædicationibus manifestatur, qui alius est, nisi Christus? ipse nimirum est odor notitiæ Dei, et Patris: *Nemo enim*, inquit, *venit ad Patrem, nisi per me* [7]. Et rursum: *Qui vidit me*, inquit, *vidit Patrem* [8]. Cum igitur sit odor Patris, non est essentia diversus ab eo, sed quemadmodum bonus odor florum naturaliter ab ipsis proveniens indicat floris genus, unde tanquam ex patre natus est, sic et Filius essentiæ paternæ ex qua ipse quidam veluti odor genitorem declarat suum. Non igitur factus, nec creatus, quando nec ejusmodi Pater est.

« Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ Εὐαγγέλιον τὸ εὐαγγελισθὲν ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον. Οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτὸ, οὐδὲ ἐδιδάχθην, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ. » Ἴδωμεν τοίνυν τί περὶ τοῦ Υἱοῦ φησιν ὁ παρ' αὐτοῦ τὸ περὶ αὐτοῦ μεμαθηκὼς μυστήριον· « Ἰησοῦς Χριστὸς, φησὶ, χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. » Ἰδοὺ σαφῶς τὸ ἐν ἀτρέπτῳ καὶ ἀμεταποιήτῳ φύσει κεῖσθαι τὸν Υἱὸν ὁμολογεῖ· ὅπερ ἴδιον μόνου Θεοῦ καὶ Πατρὸς, ἑτέρῳ δὲ πρόσεστι τῶν γενητῶν οὐδενί. Οὐκοῦν εἰ μόνος ἄτρε-

« Significo, inquit, vobis, fratres, quod Evangelium, quod a me vobis evangelizatum est, non est secundum hominem. Ego enim non accepi illud ab homine, sed per revelationem Jesu Christi [9]. » Videamus itaque quid de Filio dicat, qui a Christo mysterium Christi didicit: « Jesus, inquit, heri et hodie, ipse etiam in sæcula [10]. » Ecce quam aperte profitetur, Christum immutabilis naturæ esse; quod quidem soli Deo ac Patri proprium est, neque cuiquam creaturæ congruit. Quocirca, si solus Deus ac Pater est immutabilis, Filius autem ejus-

[1] I Cor. IV, 5. [2] Matth. XXV, 31 seqq. [3] I Thess. IV, 12. [4] Joan. XI, 25. [5] Joan. VI, 40. [6] II Cor. II, 14, 15. [7] Joan. XIV, 6. [8] Ibid. 9. [9] Galat. I, 11, 12. [10] Hebr. XIII, 8.

dem plane naturæ, quippe qui semper idipsum est quod Pater, quomodo possit esse creatura, qui solus ineffabilis essentiæ ratione Patri consimilis est, idemque secundum naturam suam est quod Pater, eo solo excepto quod non sit Pater?

« Fratres, obsecro vos, nihil me læsistis : scitis autem quoniam per infirmitatem carnis evangelizaverim vobis jampridem, et tentationem vestram in carne mea non sprevistis, neque respuistis : sed sicut angelum Dei recepistis me sicut Jesum Christum [1]. » Paulus exosculans, multumque admirans pietatem Galatarum erga Deum, et amorem erga se, cum dixisset, « Sicut angelum Dei recepistis me, » ad aliud longe majus conscendit, addendo, « sicut Jesum Christum. » Quomodo autem sit excellentior angelis Christus, ipsemet doceat dicens : « Quando primogenitum in orbem terrarum introduxit, dicit : Et adorent eum omnes angeli Dei [2]. » Et rursum : « Cui unquam angelorum dixit : Filius meus es tu, ego hodie genui te : et, Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum [3] ? » Scriptum etiam est de angelis : « Qui facit angelos suos spiritus, et ministros suos flammam ignis [4]. « Cum igitur tantum inter eos sit differentiæ, ut Filius quidem adoretur, angeli vero ei ministrent, atque ille instar regis et Filii ac Domini sedeat, hi vero ad ministeria allegentur, quomodo non erit Deus, qui etiam ab angelis naturaliter talis esse cognoscitur ? Nam si creatura est, juxta vesanam hæreticorum opinionem, opportune dici poterit non solum nos, sed etiam ipsas potestates cœlestes errasse, quippe quæ creaturam pro Creatore coluerunt [5]. At si hoc absurdum est (neque enim quisquam sanctos angelos errasse dicet, imo potius vera Dei cognitione præditi sunt, et adorant Filium tanquam natura Deum), non est igitur Filius creatura vel opus. Quod enim factum est, Deus natura esse non potest.

Quamobrem, fratres, non sumus ancillæ filii, sed liberæ, qua libertate Christus nos liberavit [6], *state*. Si Domini est liberare, Christus autem liberat nos, a jugo servitutis eximit, in adoptionem vocans, non est ipse servus sed Filius, et Dominus, et quod ipse per naturam est, id dignis per gratiam elargitur.

« Unus Dominus, una fides, unus baptismus, unus Deus et Pater omnium, qui est super omnia, et per omnia, et in omnibus [7]. » Cum unus sit Dominus Deus Pater, quomodo erit Filius Dominus si est creatura? Manifestum enim est creata omnia servilis esse naturæ. Quomodo autem, cum sit una fides, qui credit in Filium credit in Patrem, si, juxta quorumdam insaniam, a naturali cum Patre conjunctione sejunctus est? Atqui, cum Pater sit

A πατὸς ὁ Θεὸς καὶ Πατήρ, ἐν ταυτότητι δὲ φύσεως καὶ ὁ Υἱὸς, ἀεὶ τοῦτο ὢν ὅπερ ἐστὶν ὁ γεννήσας αὐτὸν, πῶς ἂν εἴη τῶν γενητῶν εἷς, ὁ μόνος τῷ φύσαντι κατὰ τὸν ἄφραστον τῆς οὐσίας λόγον ἁμιλλώμενος, καὶ τοῦτο ὢν κατὰ φύσιν, ὅπερ ἐστὶν ὁ Πατὴρ δίχα μόνου τοῦ εἶναι Πατήρ;

« Ἀδελφοὶ, δέομαι ὑμῶν, οὐδέν με ἠδικήσατε, οἴδατε δὲ ὅτι δι' ἀσθένειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν τὸ πρότερον, καὶ τὸν πειρασμὸν ὑμῶν τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε, οὐδὲ ἐξεπτύσατε, ἀλλ' ὡς ἄγγελον Θεοῦ ἐδέξασθέ με ὡς Χριστὸν Ἰησοῦν. » Ὑποδεξάμενος καὶ λίαν θαυμάσας τῶν ἐν Γαλατίᾳ τήν τε εἰς Θεὸν εὐλάβειαν, καὶ τὴν εἰς αὐτὸν ἀγάπησιν, εἰρηκώς τε, ὅτι « Ὡς ἄγγελον Θεοῦ ἐδέξασθέ με, » καὶ ἐπὶ πολὺ μεῖζον ἀναβαίνει, προσ-B θεὶς, « ὡς Χριστὸν Ἰησοῦν. » Τίς οὖν ὑπεροχὴ Χριστοῦ πρὸς ἀγγέλους, αὐτὸς διδασκέτω, λέγων· « Ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. » Καὶ πάλιν· « Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων· Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε· καὶ, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; » Γέγραπται δὲ πάλιν περὶ αὐτῶν· « Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. » Τοσαύτης τοιγαροῦν μεταξὺ κειμένης διαφορᾶς, ὡς τὸν μὲν Υἱὸν προσκυνεῖσθαι, λειτουργεῖν δὲ αὐτῷ τοὺς ἀγγέλους· καὶ τὸν μὲν ἐν τάξει βασιλέως καὶ Υἱοῦ καὶ Δεσπότου καθέζεσθαι, C τοὺς δὲ ἀποστέλλεσθαι εἰς διακονίαν· πῶς οὐκ ἔστι Θεὸς ὁ καὶ ὑπὸ τῶν ἀγγέλων ὡς τοῦτο ὢν κατὰ φύσιν γινωσκόμενος; Εἰ γὰρ ποίημά ἐστι, κατὰ τὴν τῶν ἑτεροδοξούντων ἀβουλίαν, ὥρα λέγειν οὐ μόνον ἡμᾶς, ἀλλὰ καὶ αὐτὰς τὰς ἐν οὐρανοῖς πεπλανῆσθαι δυνάμεις, ὡς λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα. Εἰ δὲ τοῦτο ἄτοπον (οὐ γὰρ ἄν τις πλανᾶσθαι φήσειε τοὺς ἁγίους ἀγγέλους, ἀληθὴς δὲ μᾶλλον ἐν αὐτοῖς ἡ περὶ τοῦ Θεοῦ γνῶσις, καὶ προσκυνοῦσιν ὡς τοῦτο κατὰ φύσιν ὄντα τὸν Υἱὸν), οὐκ ἄρα κτίσμα ἐστὶν, οὐδὲ ποίημα. Τὸ γὰρ ὅλως ποιηθὲν, οὐκ ἂν εἴη φύσει Θεός.

Διὸ ἀδελφοὶ οὐκ ἐσμὲν παιδίσκης τέκνα, ἀλλὰ τῆς ἐλευθέρας. Τῇ ἐλευθερίᾳ ᾗ Χριστὸς ἡμᾶς ἠλευ- D *θέρωσε στήκετε.* Εἰ Δεσπότου τὸ ἐλευθεροῦν, ἐλευθεροῖ δὲ ἡμᾶς ὁ Χριστὸς, καὶ τῶν ζυγῶν τῆς δουλείας ἠνίησιν, εἰς υἱότητα καλῶν, οὐκ ἄρα δοῦλος αὐτὸς, ἀλλ' Υἱὸς, καὶ Δεσπότης, ὅπερ ἐστὶ κατὰ φύσιν, τοῦτο τοῖς ἀξίοις κατὰ χάριν ἐπιτιθείς.

« Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς Θεὸς καὶ Πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν. » Ἑνὸς ὄντος Κυρίου τοῦ Θεοῦ καὶ Πατρὸς, πῶς ἔσται Κύριος ὁ Υἱὸς, εἴ γε ποίημα ἢ κτίσμα ἐστί; Πρόδηλον γὰρ ὅτι τὰ πεποιημένα δούλην ἔχει τὴν φύσιν. Πῶς δὲ καὶ πίστεως οὔσης μιᾶς ὁ πιστεύων εἰς τὸν Υἱὸν, εἰς τὸν Πατέρα πιστεύει, εἴ γε κατὰ τήν τινων ἀβουλίαν διακέκοπται τῆς πρὸς τὸν Πατέρα κοινωνίας φυσικῆς; Ἀλλ' ὄντος Κυρίου τοῦ

[1] Galat. IV, 13, 14. [2] Hebr. I, 6. [3] ibid. 6, 7, 13. [4] Psal. CIII, 4. [5] Rom. I, 25. [6] Galat. IV, 31. [7] Ephes. IV, 5, 6.

Θεοῦ καὶ Πατρὸς, Κύριός ἐστι καὶ ὁ Υἱὸς, καὶ ὁ πιστεύων εἰς αὐτὸν, εἰς τὸν Πατέρα πιστεύει. Ἐκ Πατρὸς γὰρ δηλονότι καὶ ἐν Πατρὶ φυσικῶς ὑπάρχων Υἱὸς, ἔχων τε αὖ πάλιν ἐν ἑαυτῷ τὸν Πατέρα, συνθεολογεῖται καὶ συνδοξάζεται. Καὶ οὕτως εἰς μίαν ἀναβαίνει θεότητα τῶν προσιόντων ἡ πίστις. Πῶς οὖν ἐν ποιήμασιν, ὁ πάντα ἔχων κοινὰ πρὸς τὸν Πατέρα, ὡς ἀληθὴς αὐτοῦ τῆς οὐσίας καρπὸς, καὶ οὐ καθάπερ ἡμεῖς θετοὶ πρὸς υἱότητα καὶ ἐγκεκεντρισμένα βλαστήματα;

A Dominus, Filius quoque est Dominus, et qui credit in ipsum, in Patrem credit. Ex Patre enim manifeste et in Patre naturaliter exsistens Filius, habensque vicissim in se Patrem, simul cum eo Deus dicitur, et simul glorificatur. Atque ita credentium fides in unam deitatem tendit. Quomodo igitur annumerabitur creaturis qui omnia habet communia cum Patre, ut verus essentiæ ipsius fructus, non autem sicut nos adoptitii filii atque inserti surculi?

« Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητὰ, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν. » Ὅρα δὴ πάλιν ὅπως Θεὸν οἶδέ τε καὶ ὀνομάζει Χριστόν. Εἰρηκὼς γὰρ δεῖν ἡμᾶς μιμητὰς γενέσθαι Θεοῦ, εὐθὺς παρατίθησιν αὐτὸν, καὶ ὅπως μιμεῖσθαι προσήκει, διδάσκει λέγων· « Καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ ἑαυτὸν ἔδωκεν ὑπὲρ ἡμῶν. » Θεοῦ τοιγαροῦν ὄντος τε φύσει καὶ ὀνομαζομένου Χριστοῦ, καὶ τοῦτο παρὰ τοῦ πεπιστευμένου τὸ Εὐαγγέλιον παρὰ Θεοῦ καὶ Πατρὸς, τίς τῶν ἕτερα λεγόντων ἀνέξεται; Ὁ δὲ φύσει Θεὸς, πῶς ἂν εἴη κτίσμα ἢ ποίημα;

« Sitis ergo, inquit, imitatores Dei, sicut filii dilecti, et ambulate in charitate, sicut et Christus dilexit nos, et tradidit seipsum pro nobis [1]. » Vide B rursus quomodo Christum Deum ac Dominum nominet. Cum enim dixisset debere nos fieri imitatores Dei, statim, Seipsum, adjungit, et quo pacto imitandus sit, docet dicens : « Sicut et Christus dilexit nos, et tradidit seipsum pro nobis [2]. » Cum itaque Christus sit revera et vocetur Deus, ab eo cui creditum est Deo ac Patre Evangelium, quis ferat eos qui contra sentiunt? Qui vero est natura Deus, quomodo sit opus vel creatura?

« Τοῦτο γὰρ ἴστε γινώσκοντες ὅτι πᾶς πόρνος, ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ. » Ἰδοὺ πάλιν Χριστὸν ὀνομάσας, εὐθὺς αὐτὸν εἰσφέρει καὶ Θεὸν, ὡς τοῦ Θεοῦ καὶ Πατρὸς ἐν αὐτῷ βασιλεύοντος, αὐτοῦ τε αὖ πάλιν ἐν τῷ Πατρὶ, κατὰ τὸ παρ' αὐτοῦ λεγόμενον ὡς πρὸς τὸν Πατέρα, ὅτι « Πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά. » Ἓν δὲ τῶν πάντων ἡ βασιλεία, κοινὴ μὲν Υἱῷ πρὸς Πατέρα, κοινὴ δὲ Πατρὶ πρὸς Υἱὸν, συμβασιλεύοντος δηλαδὴ τοῦ ἁγίου Πνεύματος· οὕτω γὰρ ἡ ἁγία καὶ προσκυνουμένη Τριὰς, εἰς τὴν μίαν τῆς θεότητος ἀναφέρεται φύσιν. Πῶς οὖν ποίημα ὁ βασιλεύων ἐν Πατρὶ καὶ μετὰ Πατρὸς Θεὸς Λόγος;

« Hoc enim, inquit, scitote, quod omnis fornicator, aut immundus, aut avarus, qui est idolorum cultor, non habet hæreditatem in regno Christi ac C Dei [3]. » Ecce rursus cum Christum nominavit, statim subjungit et Deum, utpote Deo et Patre in ipso regnante, ipseque rursum in Patre, juxta illud a se ad Patrem dictum : « Omnia mea tua sunt, et tua mea [4]. » Unum autem omnium est regnum : commune quidem Patri cum Filio, commune vero Filio cum Patre, conregnante nimirum et Spiritu sancto : ita enim sancta et adoranda Trinitas in unam deitatis naturam colligitur. Quomodo igitur sit creatura Deus Verbum in Patre et cum Patre regnans?

« Μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις. Διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. » Καὶ τίνες ἂν εἶεν οἱ τῆς ἀπειθείας υἱοὶ, εἰ μὴ πάντως οἱ διὰ τοῦ πλημμελεῖν τῶν τοῦ Σωτῆρος ἀποσκιρτήσαντες νόμων; Εἰ δὲ τούτοις ἐπάγων τὴν ὀργὴν, αὐτός ἐστιν ὁ Σωτὴρ διὰ τοῦ λέγειν· « Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον· » καὶ Θεὸν αὐτὸν ὁ μακάριος Παῦλος οἶδέ τε ὄντα, καὶ εἰσφέρει διὰ τούτων· τίς τῶν ποίημα λεγόντων ἀνέξεται;

« Nullus, inquit, vos inanibus decipiat verbis. Propter hæc enim venit ira Dei in filios inobedientiæ [5]. » Quinam vero sint filii inobedientiæ, nisi D qui per peccata a Servatoris nostri legibus resilierunt? Si vero is qui iram in illos immittit est ipse Christus, dicens : « Discedite a me, maledicti, in ignem æternum [6]; » et beatus Paulus Deum ipsum esse novit, talemque inducit, quisnam eos ferat qui ipsum creaturam esse dicunt?

Τοῦ αὐτοῦ ἐκ τῶν κατὰ Ἰωάννην Εὐαγγέλιον ἐξηγητικῶν πρὸς Ἀρειανοὺς λέγοντας ἕτερον εἶναι τὸν ἐνδιάθετον τοῦ Θεοῦ Λόγον, καὶ ἕτερον τὸν Υἱόν.

Ejusdem ex commentariis in Joannis Evangelium adversus Arianos dicentes diversum intimum Dei Verbum a Filio.

Ἕτερον, φασὶν, ὄντα τὸν Υἱὸν παρὰ τὸν ἐνδιάθετον λόγον εὑρίσκομεν, οὐ ταῖς ἑαυτῶν ἐννοίαις εἰς τοῦτο προσέχοντες, ἀλλὰ τοῖς ἀπὸ τῆς θείας Γραφῆς θεωρήμασιν. Ὅταν γὰρ ἀκούσωμεν τοῦ Υἱοῦ λέγον-

Alium, inquit, esse deprehendimus Filium, quam sit intimum Verbum. Idque non propriis nobis opinionibus, sed Scripturæ testimoniis adducti persuademus. Cum enim Filium audimus ita

[1] Ephes. v, 1, 2. [2] ibid. [3] ibid. 5. [4] Joan. xvii, 10. [5] Ephes. v, 6. [6] Matth. xxv. 41.

Patrem alloquentem : *Pater, clarifica Filium tuum*, Patremque vicissim ita respondentem : *Et clarificavi, et iterum clarificabo* [1], nonne in Verbo respondisse Patrem Filio concedimus? Quomodo igitur Verbum illud, quo Pater Filio respondet, non diversum sit ab ipso Filio? Quid istis miserius esse potest, si proprie, et vere fuisse Patris putant illam vocem quam non Servator solus, sed ipsa Judæorum multitudo, et discipulorum cœtus audivit? Æquius erat, præstantiora quædam, et Deo magis convenientia cogitare, quam ea quæ supra nos sunt, legibus nostris subjicere? Nam aures corporeas ictu suo vox corporea verberat ; consilium autem Patris, quod inexplicabili voce tacite et tanquam in mente versatur, solus Filius, qui in ipso naturaliter, utpote sapientia ipsius est, novit. Deum vero voce, quæ cum strepitu pronuntiatur, uti plane est incredibile, si tamen volumus, præstantissimam illam naturam rebus procreatis antecellere. Quanquam et ipse Dominus noster Jesus Christus non dixit, eam esse Dei et Patris, neque se, ut Patris consilium intelligeret, interpretis indigere. Itaque : *Non propter me*, inquit, *hæc vox facta est, sed propter vos* [2]. Alioquin debuisset dicere : Audivistis mecum vocem Patris? Nunc autem dicit, se illius vocis non eguisse, sed propter ipsos factam esse affirmat, non autem a Patre pronuntiatam. Quod si omnia per ipsum Deus, et Pater agit, per ipsum nimirum et illa facta est. Ipse enim erat vox non sibi Patris voluntatem explicans, quam uti Filius noverat, sed auribus circumstantium, ut crederent.

A τος πρὸς τὸν Πατέρα· *Δόξασόν σου τὸν Υἱόν*, τοῦ δὲ Πατρὸς αὖ πάλιν ἀποκρινομένου, καὶ λέγοντος· *Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω*· ἆρ' οὐχὶ πάντως ἐν λόγῳ δώσομεν ἀπολογεῖσθαι τῷ Υἱῷ τὸν Πατέρα; Πῶς οὖν οὐχ ἕτερος παρὰ τὸν Υἱὸν ὁ δι' οὗ πρὸς αὐτὸν ὁ Πατὴρ ἀντιφθέγγεται; Τί γένοιτ' ἂν τῶν τοιούτων ἀθλιώτερον, εἴ γε κυρίως τε καὶ ἀληθῶς ταύτην εἶναι τοῦ Πατρὸς ὑπετόπασαν τὴν φωνὴν, ἧς οὐ μόνος ὑπήκουσεν ὁ Σωτὴρ, ἀλλὰ καὶ αὐτὴ ἡ τῶν Ἰουδαίων περιεστῶσα πληθὺς, καὶ ὁ τῶν μαθητῶν χορός; Ἔδει γὰρ μᾶλλον αὐτοὺς τὰ θεοπρεπῆ φαντάζεσθαι πλεονεκτήματα, καὶ μὴ τοῖς καθ' ἡμᾶς νόμοις πειρᾶσθαι ὑπάγειν τὰ ὑπὲρ ἡμᾶς. Τὴν γὰρ τοῦ σώματος ἀκοὴν σωματικὴ προσαράσσει φωνὴ, τὴν δὲ ἐν ἀῤῥήτοις φωναῖς ἠρέμα καὶ οἱονεὶ κατὰ B νοῦν στρεφομένην βούλησιν τοῦ Πατρὸς μόνος οἶδεν ἐν αὐτῷ φυσικῶς ὑπάρχων ὁ Υἱὸς, ὡς σοφία αὐτοῦ. Φωνῇ δὲ τῇ διὰ κτύπου κεχρῆσθαι τὸν Θεὸν ὑπολαμβάνειν, παντελῶς ἀπίθανον, εἴπερ οἰόμεθα δεῖν ἀποσώζειν τῇ ὑπὲρ πάντα φύσει τὰ ὑπὲρ τὴν κτίσιν. Ἄλλως τε καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐκ ἔφησεν αὐτὴν εἶναι τοῦ Θεοῦ καὶ Πατρὸς, ἀλλ' οὐδὲ παρ' ἑτέρου δεόμενον ἑρμηνείας πρὸς τὸ δύνασθαι μαθεῖν τὴν τοῦ Πατρὸς βούλησιν ἑαυτὸν ἐπιδεικνύει λέγων· *Οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς*. Ἐχρῆν δὲ μᾶλλον εἰπεῖν, Ἠκούσατε μετ' ἐμοῦ τῆς φωνῆς τοῦ Πατρός. Νῦν δὲ οὐ φωνῆς αὐτὸν δεδεῆσθαι προσομολογεῖ, γεγενῆσθαι δὲ μᾶλλον αὐτὴν δι' ἐκείνους ἰσχυρίζεται, οὐκ ἐκπεφωνῆσθαι παρὰ τοῦ Πατρός. Καὶ εἰ πάντα δι' αὐτοῦ ὁ C Θεὸς καὶ Πατὴρ ἐργάζεται, δι' αὐτοῦ δὴ πάντως καὶ τοῦτο. Αὐτὸς γὰρ ἦν ἡ φωνὴ, οὐχ ἑαυτῷ τὴν τοῦ γεννήσαντος ἑρμηνεύων διάθεσιν, ᾔδει γὰρ ὡς Υἱὸς· ἀλλὰ ταῖς τῶν περιεστώτων ἀκοαῖς, ἵνα πιστεύσωσιν.

Et hæc.

Audi evangelistam dicentem : *Hoc erat in principio apud Deum* [3]. Sic enim ea quæ supra dixerat tanquam in summam quamdam redegit. Addens autem illud : *Hoc*, videtur quodam modo clamare : Quod est in principio, quod est apud Patrem Verbum, et Deus ex Deo, hoc illud est, de quo in præsentia scribere constituimus. Non frustra mihi videtur hæc verba addidisse : *Hoc erat in principio apud Deum*. Divino enim Spiritu ad eorum quæ futura erant, cognitionem percipiendam illustratus, non ignoravit, ut mihi quidem videtur, et ut vere licet loqui, quosdam fore perditionis operarios, diaboli laqueos, filios mortis, qui dicerent aliud esse intimum illud in Deo et Patre Verbum, cui similis admodum sit Filius, et Verbum hoc, per quod omnia Deus agit, ut verbi verbum, et imago imaginis, et splendoris splendor intelligatur. Proinde quasi jam tum impios istos homines audiret, exsecrandis ipsorum opinionibus scriptisque merito commotus beatus evangelista, cum definisset, et copiose, ut oportebat, declarasset, unum, et solum, et verum ex Deo, et in Deo, et apud Deum esse Verbum, terribili voce clamat : *Hoc*, inquiens, *in principio*

Καὶ τοῦτο.

Ἄκουε τοῦ Εὐαγγελιστοῦ λέγοντος· *Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν*. Ἀνακεφαλαίωσιν γὰρ ὥσπερ τινὰ τῶν ἤδη προειρημένων ἐν τούτοις ὁ Εὐαγγελιστὴς ἐποιήσατο. Προσθεὶς δὲ τὸ *Οὗτος*, μονονουχὶ βοήσας ὁρᾶται, Ὁ ὢν ἐν ἀρχῇ ὁ παρὰ τῷ Πατρὶ Λόγος, ὁ ὑπάρχων Θεὸς ἐκ Θεοῦ οὗτός ἐστι, καὶ οὐχ ἕτερος περὶ οὗ τὸ σεμνὸν ἡμῖν πρόκειται σύγγραμμα. Ἔοικε δὲ πάλιν οὐ μάτην τοῖς εἰρημένοις προσθεὶς τὸ *Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν*. Ὡς γὰρ ὑπὸ θείου Πνεύματος εἰς τὴν τῶν ἐσομένων γνῶσιν φωταγωγούD μενος οὐκ ἠγνόησεν, ὡς ἔμοιγε δοκεῖ, καὶ ὡς ἔστιν εἰπεῖν ἀληθεύοντας, ὅτιπερ ἀναφανοῦνταί τινες ἀπωλείας ἐργάται, διαβόλου θήρατρα, θανάτου παγίδες, λέγοντες ἕτερον μὲν εἶναι τὸν ἐνδιάθετον ἐν τῷ Θεῷ καὶ Πατρὶ Λόγον, ἕτερον δέ τινα τὸν τῷ ἐνδιαθέτῳ λίαν ἐμφερέστατόν τε καὶ ὁμοιότατον Υἱὸν καὶ Λόγον, δι' οὗ ὁ Θεὸς τὰ πάντα ἐργάζεται, ἵνα λόγος λόγου νοῆται, καὶ εἰκὼν εἰκόνος, καὶ ἀπαύγασμα ἀπαυγάσματος. Ὥσπερ οὖν ἤδη δυσφημούντων ἀκούσας αὐτῶν, καὶ πρὸς τὰς ἀτόπους ἀπονοίας τῶν παρ' αὐτοῖς συγγραμμάτων εὐλόγως κεκινημένος ὁ μακάριος Εὐαγγελιστὴς, ὁρισάμενος ἤδη, καὶ διὰ πολλῶν, ὡς ἔδει, κατασημάνας τὸν ἕνα καὶ μόνον καὶ ἀληθινὸν

[1] Joan. XII, 28. [2] Ibid. 30. [3] Joan. I, 2.

ἐκ Θεοῦ, καὶ ἐν Θεῷ, καὶ πρὸς Θεὸν ὄντα Λόγον, ἐπιφέρει γοργῶς, *Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν*, ὡς Υἱὸς δηλαδὴ πρὸς τὸν Πατέρα, ὡς ἔμφυτος, ὡς ἐκ τῆς οὐσίας αὐτοῦ ὁ Μονογενὴς οὗτος, οὐκ ὄντος δευτέρου.

A *erat apud Deum*, ut Filius nimirum apud Patrem, ut intimus, et ex ipsius essentia, ut Unigenitus. Hoc, inquam, cum Dei nullum sit aliud verbum.

Τοῦ αὐτοῦ ἐκ τοῦ ιδ' κεφαλαίου τοῦ α' βιβλίου τοῦ Θησαυροῦ εἰς τό, « Οὕτω καὶ τῷ Υἱῷ δέδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ. »

Ἀλλὰ πῶς ἂν δύναιτο κατ' οὐσίαν ὅμοιος εἶναι ὁ Υἱὸς τῷ Πατρί; ἢ πῶς οὐκ ἔσται μετ' αὐτὸν ἐξ αὐτοῦ δεχόμενός τι, καθά φησιν ὁ αὐτός· *Ὥσπερ γὰρ ὁ Πατὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτω καὶ τῷ Υἱῷ δέδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ.* Οὐδὲν, ὦ βέλτιστοι, τοῦ Λόγου τὴν οὐσίαν ἀδικήσει τὸ δέχεσθαί τι παρὰ τοῦ Πατρός. Οὐ γὰρ ἐν τῷ δέχεσθαι τὸ εἶναι ἔχει, ἀλλ' ὢν καὶ ὑπάρχων πρότερον, δέχεταί τι, καθὸ ἐκ Πατρὸς φυσικῶς γεγεννημένος ἐπάγεται πάντα τὰ ἴδια τοῦ Πατρὸς, ὥσπερ ἂν καὶ τὸ φῶς ἐξ ἡλίου προελθὸν, δέχεσθαί τι λέγοιτο παρ' αὐτοῦ, ἐπειδήπερ πᾶν ὅπερ ἐστὶν ἐν αὐτῷ, τοῦτο φαίνεται τοῦ τεκόντος ἡλίου, καὶ οὐδέν που τὸν ἥλιον πρὸ τοῦ ἀπαυγάσματος εἶναι καταναγκάσει τὸ τὴν ἐξ αὐτοῦ προελθοῦσαν ἔκλαμψιν ἀμερίστως, ὥσπερ παρ' αὐτοῦ λαμβάνουσαν φορεῖν τὸ ἴδιον αὐτοῦ, ἀλλ' ἦν ἀεὶ σὺν αὐτῷ, κἂν ὡς ἐξ αὐτοῦ προελθοῦσα τὰ αὐτῷ προσόντα φορῇ φυσικῶς. Οὐκοῦν οὐ τὸ λαβεῖν τι παρὰ τοῦ Πατρὸς ἀναγκάσει πάντως δεύτερον εἶναι τῷ χρόνῳ τὸν Υἱόν. Τῷ γὰρ ὄντι καὶ ὑφεστῶτι δώσει τις, οὐ τῷ μὴ ὄντι, καὶ μήπω γενομένῳ.

Ejusdem ex Thesauri libro primo in ea verba : « Sic dedit et Filio vitam habere in semetipso. »

Sed quomodo potest, inquiunt, Filius esse similis Patri, aut post ipsum non esse, cum ab eo aliquid accipiat? sic enim ipsemet loquitur : *Quemadmodum Pater vitam habet in semetipso, sic dedit et Filio vitam habere in semetipso* [1]. Essentiæ Verbi nihil officit, o viri optimi, quod a Patre aliquid accipiat. Neque enim in eo, quod accipit, habet B ut sit. Sed cum prius exsistat et sit, accipit. Ex Patre enim genitus accipit omnia quæ Patris sunt propria. Ut si lux e sole proveniens aliquid ab eo dicatur accipere, quoniam quidquid in ipsa est, id solis eam parientis esse constat. Neque solem ante splendorem esse concludent necessario, quoniam ipse ab illo sine ulla divisione progrediens quodammodo accipit, ut ipsius ferat proprietatem. Semper enim cum ipso erat lux, et ex ipso manans, quæ illi adsunt, naturaliter tulit. Non igitur ex eo quod accipit aliquid a Patre necessario sequitur, ut Patre sit Filius tempore posterior. Nam ei, qui est atque exsistit, dabit aliquis, non ei qui nondum exsistit, nec natus C est.

Εἰς τὸ αὐτό.

Εἰ μὴ ζωὴ κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, πῶς ἐπαληθεύσει λέγων· « Ὁ πιστεύων εἰς ἐμὲ, ἔχει ζωὴν αἰώνιον; » Καὶ πάλιν· « Τὰ πρόβατα τὰ ἐμὰ τῆς ἐμῆς ἀκούει φωνῆς. » — « Κἀγὼ δίδωμι αὐτοῖς ζωὴν αἰώνιον. » Καὶ πάλιν· « Ὁ πιστεύων εἰς ἐμὲ οὐ μὴ γεύσηται θανάτου εἰς τὸν αἰῶνα. » Ἔδει γὰρ λέγειν· Ὁ πιστεύων εἰς ἐμὲ λήψεται παρ' ἐμοῦ ζωὴν, ἣν δέδωκέ μοι ὁ Πατήρ. Καὶ πάλιν· Τὸν εἰς ἐμὲ πιστεύοντα οὐ συγχωρήσει ὁ Πατὴρ γεύσασθαι θανάτου. Εἰ δὲ τοῦτο μὲν εἰρηκὼς οὐ φαίνεται, ὡς δὲ φύσει προσοῦσαν ἑαυτῷ τὴν ζωὴν, καὶ ὡς οὐσιωδῶς ὑπάρχουσαν ἐν ἑαυτῷ, δώσειν τοῖς εἰς αὐτὸν πιστεύουσιν ἐπαγγέλλεται, πῶς ἐνδέχεται νοεῖν οὐκ ἔχοντα τὸν Υἱὸν εἰληφέναι ταύτην παρὰ τοῦ Πατρός; Καὶ γὰρ ἂν εἴη πάσης ἐπέκεινα δυσφημίας τοῦτό γε. Ἀλλ', ὥσπερ ἤδη προείρηται, προελθὼν ἐκ Πατρὸς, πάντα τὰ αὐτοῦ κατὰ φύσιν ἐπάγεται, καὶ ὡς εἰληφὼς, κατὰ τοῦτο νοεῖται, καὶ ἀπαύγασμα καὶ εἰκὼν ὑπάρχων αὐτοῦ. Ἓν δὲ τῶν προσόντων τῷ Πατρὶ καὶ ἡ ζωή.

In eadem verba.

Si Filius non est vita secundum naturam, quo pacto vere dicit : « Qui credit in me, habet vitam æternam [2] ? » Et rursus : « Oves meæ vocem meam audiunt [3] ; » et : « Ego do ipsis vitam æternam; » et rursus : « Qui credit in me, non gustabit mortem in æternum [4]. » Oportebat enim dicere : Qui credit in me, accipiet vitam, quam dedit mihi Pater. Item : Eum qui crediderit in me, non sinet Pater gustare mortem. Si vero id non dixisse cernitur, sed promittit se daturum iis qui credunt in ipsum vitam quæ naturaliter et essentialiter sibi ipsi inest, quomodo intelligi potest Filium vitam non habentem eam a Patre accepisse? Hoc D enim quavis blasphemia gravius est. Sed, ut modo dictum est, procedens ex Patre, omnia quæ illius sunt simul secundum naturam secum affert, et ea ratione qua accepit, dicitur splendor et imago ipsius. Unum autem eorum quæ Patri insunt etiam est vita.

Εἰς τὸ αὐτό.

Λέγων ὁ Υἱὸς τό, « Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω καὶ τῷ Υἱῷ δέδωκεν ἔχειν ζωὴν ἐν ἑαυτῷ, » τὴν ἀπαράλλακτον ὁμοιότητα δεικνύει σαφῶς, ἣν ἔχει πρὸς τὸν γεννήσαντα. Ἔχει γὰρ οὕτω τὴν ζωὴν, ὥσπερ καὶ ὁ Πατὴρ, φυσικὴν δηλον-

In eadem verba.

Cum Filius dicit, « Sicut enim Pater habet vitam in seipso, ita etiam Filio dedit habere vitam in seipso [5], » aperte omnimodam similitudinem ostendit, quam habet cum Patre. Habet enim ita vitam, sicut et Pater, naturalem nimirum et es-

[1] Joan. v, 26. [2] Joan. vi, 47. [3] Joan. x, 27. [4] Joan. viii, 52. [5] Joan. v, 26.

sentialem. Cum autem addit illud, *dedit*, naturalem A atque essentialem progressum significat. Non enim dedit Pater, tanquam aliquid ex iis quæ sibi insunt, adimens, et non habenti Filio adjiciens, quemadmodum in sectionibus ac distantiis corporeis fit, et localiter divisum aliquid ab alio in aliud transfertur: sed sicut planta in fructum, qui ex se procedit, naturalem suam qualitatem propagat, ita et Filius a Patre accepisse quæ ipsi insunt intelligitur, omnia exsistens quæ et Pater, præter id solum quod sit Pater.

In eadem verba.

Qui vidit me, inquit Christus, *vidit Patrem* [1]. Quamobrem si, quemadmodum colligis, per gratiam, non autem per essentiam habet, ut vita sit, B idem dicetur etiam de Patre. Quam quidem rationem si ut absurdum vis evitare, contrarium fatearis necesse est, nempe Filium vitam esse per naturam.

In eadem verba.

Si Filius non, ut Pater, per naturam est vita, quomodo eamdem, quam ipse Pater, actionem habet? Quodam enim loco Christus ait: *Sicut Pater, quos vult, vivificat, sic et Filius, quos vult, vivificat* [2]. Neque enim dicent aliter illos vivificari, qui a Patre vivificantur, quam eos qui idem accipiunt a Filio. Sic enim inquit Patrem vivificare, sicut Filius vivificat, quam Pater habet, eamdem habere se actionem significans. Non igitur ei qui se genuit, dissimilis est, sed ut Pater, sic et Filius C vita per naturam dicitur.

οὐκ ἀνόμοιος ἔσται πρὸς τὸν γεγεννηκότα, ἀλλ' ὥσπερ ὁ Υἱός.

In eadem verba.

Quæ Deo ac Patri insunt, naturales et essentiales proprietates vocans Paulus, alicubi ita ait: « Qui solus habet immortalitatem [3]. » Si vero quispiam dicens immortalitatem, nihil aliud per id intelligat quam vitam, vita autem est Filius dicens: Ego sum vita [4]; ergo Pater habet in seipso vitam, nimirum Filium: neque diversum quid a se. Ipse etiam similiter exsistens vita, dedit seipsum Filio; non tanquam corpus corpori committens, neque tanquam cedens Filio suam hypostasim, et deinceps esse suum in Filio habens; sed exsistens id quod semper est Pater ac Deus. Essentiæ vero identitate, et naturæ D unitate ineffabiliter cum Verbo quod ex se processit copulatus.

In eamdem sententiam.

Quæcunque naturaliter ac essentialiter Patri inesse dicuntur, illa omnia est Filius. Solus Pater verus Deus est, quia solus habet Filium dicentem: Ego sum veritas [5]. Sapiens ac potens similiter, quia Christus Dei potentia, et Dei sapientia. Solus dicitur inhabitare lucem inaccessibilem [6]: habet enim in seipso dicentem: Ego sum lux. Solus im-

A ὅτι καὶ οὐσιώδη. Τὸ δὲ, *δέδωκε*, προσθεὶς, τὴν ἐξ αὐτοῦ φυσικήν τε καὶ οὐσιώδη σημαίνει πρόοδον. Οὐ γὰρ δή που δέδωκεν ὁ Πατὴρ, ὥσπερ τι τῶν αὐτῷ προσόντων ἀφελόμενος, καὶ οὐκ ἔχοντι προστεθεικὼς τῷ Υἱῷ, κατὰ σωματικὴν ἀποτομὴν ἢ διάστασιν τὴν ἔκ τινος ἑτέρου πρὸς ἕτερον, ἢ τοπικῶς ἢ διαιρετικῶς νοουμένην. Ἀλλ' ὥσπερ δίδωσι τὸ φυτὸν τῷ ἐξ αὐτοῦ προελθόντι καρπῷ τὴν αὐτῷ κατὰ φύσιν προσοῦσαν ποιότητα φορεῖν, οὕτως ὁ Υἱὸς εἰληφέναι παρὰ Πατρὸς τὰ αὐτῷ προσόντα νοεῖται, πάντα ὢν ὅσα καὶ ὁ Πατὴρ, δίχα μόνου τοῦ εἶναι Πατήρ.

Καὶ τοῦτο.

Φησί που Χριστὸς, *Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα*. Εἰ τοίνυν ἐπείσακτον, ἤτοι κατὰ μετοχὴν, B καὶ οὐχὶ οὐσιωδῶς ἔχει τὸ εἶναι ἡ ζωὴ, ἔσται τοῦτο καὶ ὁ Πατήρ. Φυγὼν δὲ τοῦ λόγου τὴν ἀτοπίαν ἐξ ἀνάγκης ὁμολογήσεις τὸ ἕτερον. Ζωὴ γὰρ κατὰ φύσιν ὁ Υἱός.

Καὶ τοῦτο.

Εἰ ζωῆς ὄντος κατὰ φύσιν τοῦ Πατρὸς, οὐκ ἔστι τοῦτο κατ' οὐσίαν ὁ Υἱὸς, ὥσπερ τοῖς χριστομάχοις δοκεῖ, πῶς τὴν αὐτὴν ἐνέργειαν ἔχει τῷ Πατρί; Φησὶ γάρ που ὁ Χριστὸς, ὅτι *Ὥσπερ ὁ Πατὴρ οὓς θέλει ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ.* Οὐ γὰρ δὴ ζωοποιεῖσθαι μὲν ἑτέρως ἐροῦσι τοὺς ὅσοι παρὰ τοῦ Πατρὸς τοῦτο λαμβάνουσι, ζωοποιεῖσθαι δὲ πάλιν καθ' ἕτερον τρόπον τοὺς παρὰ τοῦ Υἱοῦ τοῦτο δεχομένους. Οὕτω γὰρ ἔφησε ζωοποιεῖν τὸν Πατέρα, C ὡς ἂν ζωοποιήσειεν ὁ Υἱὸς, πανταχοῦ τὴν αὐτὴν ἐνέργειαν τῷ Πατρὶ ἔχοντα ἑαυτὸν ὁριζόμενος. Οὐκοῦν ἐκεῖνος φύσει ζωὴ λέγεται καὶ ἔστιν, οὕτω καὶ

Καὶ τοῦτο.

Τὰ προσόντα τῷ Θεῷ καὶ Πατρὶ φυσικά τε καὶ οὐσιώδη λέγων ἰδιώματα, φησί που Παῦλος· « Ὁ μόνος ἔχων ἀθανασίαν. » Εἰ τοίνυν οὐδὲν ἕτερόν τις ὁρίζεται λέγων τὴν ἀθανασίαν παρὰ τὴν ζωὴν, αὕτη δέ ἐστιν ὁ Υἱὸς ὁ λέγων· Ἐγώ εἰμι ἡ ζωὴ, ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, τὸν Υἱὸν δηλονότι, καὶ οὐχ ἕτερόν τι παρ' αὐτόν. Αὐτός τε ὁμοίως ὑπάρχων ζωὴ, δέδωκεν ἑαυτὸν τῷ Υἱῷ· οὐχ ὡς σῶμα χωρήσας ἐν σώματι, οὐδ' ὡς τῷ Υἱῷ παραχωρήσας τὴν ἰδίαν ὑπόστασιν, καὶ ἐν αὐτῷ λοιπὸν τὸ εἶναι ἔχων· ἀλλ' ὑπάρχων μὲν τοῦθ' ὅπερ ἐστὶν ἀεὶ Πατὴρ καὶ Θεός. Τῇ D δὲ τῆς οὐσίας ταυτότητι καὶ τῇ τῆς φύσεως ἑνότητι πρὸς τὸν ἐξ αὐτοῦ προελθόντα Λόγον ἀποῤῥήτως συνδούμενος.

Καὶ τοῦτο.

Ὅσα προσεῖναι λέγεται τῷ Πατρὶ φυσικῶς τε καὶ οὐσιωδῶς, ταῦτα πάντα ἐστὶν ὁ Υἱός. Μόνος ἀληθινὸς λέγεται Θεὸς ὁ Πατὴρ, ἐπειδὴ μόνος ἔχει τὸν Υἱὸν τὸν λέγοντα· Ἐγώ εἰμι ἡ ἀλήθεια. Σοφὸς καὶ δυνατὸς ὁμοίως, ἐπεὶ Χριστὸς Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία. Μόνος λέγεται φῶς οἰκεῖν ἀπρόσιτον· ἔχει γὰρ ἐν ἑαυτῷ τὸν λέγοντα· Ἐγώ εἰμι τὸ φῶς. Μόνος

[1] Joan. xiv, 9 [2] Joan. v, 21. [3] I Timoth. vi, 16. [4] Joan. xiv, 6. [5] ibid. [6] I Timoth. vi, 16.

ἔχειν ἀθανασίαν λέγεται· ἔχει γὰρ ἐν ἑαυτῷ τὸν λέ- A γοντα Υἱόν· Ἐγώ εἰμι ἡ ζωή. Εἰ τοίνυν σύμπαν τὸ τοῦ Πατρὸς ἴδιον, τοῦτό ἐστιν ὁ Υἱὸς, ὅταν λέγηται ζωὴν ἔχειν ὁ Πατὴρ ἐν ἑαυτῷ, τὸν Υἱὸν σημαίνει, καὶ οὐχ ἕτερόν τι παρ' αὐτόν. Ὑπάρχων δὲ καὶ αὐτὸς ἐν Υἱῷ κατὰ τὸ τῆς οὐσίας ἀπαράλλακτον, καὶ ζωὴ κατὰ φύσιν ὢν, δέδωκεν ἑαυτὸν αὐτῷ.

Καὶ τοῦτο.

Ζωὴ κατὰ φύσιν ὑπάρχων ὁ Υἱὸς, δέχεσθαι παρὰ τοῦ Πατρὸς ταύτην φησὶν, οὐχ ᾗ Λόγος ἐστὶν ἢ ἀπαύγασμα φυσικῶς ἔχει τὰ τοῦ Πατρὸς ἴδια, ἀλλὰ καθὸ γέγονεν ἄνθρωπος, ᾧ πάντα θεόσδοτα. Καταστήσει δὲ τοῦτο σαφὲς ἐν τοῖς ἐφεξῆς, τοῦ δεδόσθαι τὴν αἰτίαν ἐξηγούμενος. Ἐξουσίαν γάρ, φησιν, ἔδω- B κεν αὐτῷ κρίσιν ποιεῖν, ὅτι Υἱὸς ἀνθρώπου ἐστίν. Εἰ δὲ ἐπειδήπερ Υἱὸς ἀνθρώπου ἐστὶ, τὴν ἐπὶ τῷ κρίνειν ἐξουσίαν εἰληφέναι λέγεται, τὸν αὐτὸν ἀνακυκλώσαντες λόγον ἐροῦμεν· Ἐπειδὴ Υἱὸς ἀνθρώπου γέγονε, τὴν ὁμοιότητα φορέσας τῶν παρὰ Θεοῦ δέχεσθαι τὰ πάντα πεφυκότων, καὶ ζωὴν εἰληφέναι λέγεται, μόνῃ καὶ γυμνῇ τῇ θείᾳ φύσει τηρῶν, καὶ τὸ μετοχῆς τινος ἀνεπίδεκτον καὶ τὸ δύνασθαι τοῖς πᾶσι τὰ πάντα χορηγεῖν.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τῆς ἁγίας Τριάδος λόγου.

Ὅτι δὲ τὰ αὐτὰ δύναται τῷ Πατρὶ καὶ [ὁ Υἱὸς], μαθεῖν ἔστιν ἑτέρωθεν· ποτὲ μὲν γάρ, « Ὁ Πατήρ μου, λέγει, ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι· » C ποτὲ δέ· « Ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ. » — « Οὓς θέλει » εἶπεν, οὐχ οὓς κελεύεται· οὓς βούλεται, οὐχ οὓς προστάσσεται· τὸ μὲν γὰρ δουλείας, τὸ δὲ δεσποτείας ἴδιον. Καὶ πάλιν ἑτέρωθεν· « Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ θέλητε πιστεύειν, τοῖς ἔργοις πιστεύετε, καὶ γινώσκετε ὅτι ὁ Πατὴρ ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ. » Ὁρᾶτε πάλιν κἀντεῦθεν Πατρὸς καὶ Υἱοῦ τὴν ἰσότητα· « Ὁ Πατὴρ γάρ, φησιν, ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ. » Ἐπὶ δὲ τοῦ μείζονος καὶ τοῦ μείονος τοῦτο εὑρεθῆναι ἀδύνατον· οἷόν τι λέγω· Πᾶσαν ὁμοῦ τὴν κτίσιν ὁρωμένην τε καὶ ἀόρατον ἐν ἑαυτῷ περιγράφει ὁ τῶν ὅλων Θεὸς, μᾶλλον δὲ ἐν τῇ χειρὶ κατέχει· « Ἐν D γὰρ τῇ χειρὶ αὐτοῦ, φησὶ, τὰ πέρατα τῆς γῆς. » Καὶ πάλιν· « Ὁ κατέχων τὸν γῦρον τῆς γῆς, καὶ τοὺς ἐνοικοῦντας ἐν αὐτῇ ὡσεὶ ἀκρίδας. » Καὶ ἀλλαχοῦ· « Τίς ἐμέτρησεν τῇ χειρὶ αὐτοῦ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί; » Πᾶσαν μὲν οὖν, ὡς ἔφην, τὴν κτίσιν ἐν τῇ χειρὶ κατέχει τῶν ὅλων ὁ ποιητής· αὐτὸν δὲ ὑπὸ τῆς κτίσεως περιληφθῆναι ἀδύνατον· οὐκοῦν ἀμήχανον ὑπ' ἀλλήλων τὰ ἄνισα χωρηθῆναι· εἰ δὲ τοῦτο ἀληθὲς, ὥσπερ καὶ ἀληθὲς, χωρεῖ δὲ ὁ Υἱὸς τὸν Πατέρα, ὥσπερ ὁ Πατὴρ τὸν Υἱὸν, εὔδηλον ὁ τῆς ἀνισότητος λόγος ἐκβέβληται, καὶ ἰσότης ἐν Πατρὶ καὶ Υἱῷ γνωρίζεται.

mortalitatem habere dicitur, quia habet in se Filium dicentem : Ego sum vita. Si ergo quidquid Patri proprium est, hoc ipsum et Filius : cum Pater dicatur habere vitam in seipso, Filium significat, non aliquid a se diversum. Exsistens vero etiam ipse in Filio propter omnimodam essentiæ similitudinem, cum etiam naturaliter sit vita, dedit illi seipsum.

In eamdem sententiam.

Filius vita naturaliter exsistens, eam se a Patre accipere dicit, non quatenus Verbum est, aut splendor naturaliter habens quæ Patris propria sunt, sed quatenus factus est homo, cui omnia a Deo data sunt. Quod ipsum in sequentibus aperte declarat, causam cur data sit explicans. Potestatem enim, inquit, dedit ei judicium facere, quia Filius hominis est [1]. Si vero quia Filius hominis est, potestatem judicandi accepisse dicitur, eodem modo repetentes dicemus Quia Filius hominis factus est, similitudinem gerens eorum qui quidquid habent, a Deo accipiunt, vitam quoque accepisse dicitur ; soli ac nudæ divinæ naturæ id reservans, quod nullius participationis capax sit, quodque omnia omnibus largiatur atque suppeditet.

Ejusdem ex libro de sancta Trinitate.

Quod tantumdem ac Pater Filius possit, aliunde discere licet. Nunc enim : « Pater meus, inquit, usque modo operatur, et ego operor [2] ; » nunc autem : « Sicuti Pater suscitat mortuos et vivificat, ita et Filius quos vult vivificat [3]. » — « Quos vult » dixit, non quos jubetur ; quos ipse deliberat, non quos mandatur ; namque illud servitutis est, hoc dominationis. Et rursus alibi : « Si non facio opera Patris mei, mihi non credite : sin facio, etiamsi mihi credere nolueritis, operibus credite, et scitote quod Pater in me sit, et ego in illo [4]. » Videte hinc denuo Patris ac Filii æqualitatem : nam « Pater, inquit, in me est, et ego in illo [5]. » Id autem in majore ac minore reperiri prorsus non potest. Idque jam demonstrabo. Universam simul creaturam visibilem atque invisibilem in se circumscribit universalis Deus, vel potius manu sua tenet : « Namque in manibus ejus sunt, inquit, omnes fines terræ [6]. » Et insuper : « Qui continet gyrum terræ, incolasque ejus sicut locustas [7]. » Et alibi : « Quis mensus est manu sua aquas, et cœlum palmo, et universam terram pugillo [8] ? » Universam itaque, ut dixi, creaturam manu continet universalis Creator ; ipsum autem a creatura contineri impossibile est : ergo fieri nequit ut inæqualia invicem contineant. Quod si verum est, ut reapse est, Filius autem continet Patrem, ut Pater Filium : inæqualitatis assertio evidenter exploditur, et æqualitas in Patre Filioque agnoscitur.

[1] Joan. v, 22. [2] Joan. v, 17. [3] ibid. 21. [4] Joan. x, 37. [5] ibid. 38. [6] Psal. xciv, 4. [7] Isa. xl, 22. [8] ibid. 12.

Ejusdem et hæc.

Quanto laborant insaniæ morbo, qui detestandæ Arii et Eunomii doctrinæ sunt hæredes? Magna præterea in eorum stupore atque insania viget impudentia. Missionem enim, seu legationem divinam humanamque commemorant, et eum qui misit, illo, qui missus est, honoratiorem esse contendunt. Tanta est ipsorum in Scripturis imperitia! Nec animadvertunt Jacob in Mesopotamiam ab Isaac quidem missum esse, nec tamen ob id, quantum ad naturam pertinet, minorem eo, a quo missus fuerat, exstitisse. Joseph rursum a Jacob ille quidem missus est, ut fratres inviseret, nec propterea tamen eum quisquam natura patre inferiorem dicet, quod patris mandato obediens, quo missus fuerat, profectus est.

At licet naturæ ratione mittentibus inferiores, inquient, non sint illi, quos fuisse missos dicis, paternæ tamen cedunt dignitati. Imo reperimus, o stulti, et dignitate præstantiores ab inferioribus mitti; neque tamen idcirco suam amittunt dignitatem. Jonathas enim regis filius a Davide missus est, is qui cum patre regnabat, ab eo qui ne servum quidem jam audebat se profiteri. Quoniam igitur hic quidem misit, ille autem missus est, nec qui missus est, adhuc erat rex, ut vos definitis, nec qui misit, adhuc erat exsul, sed missi dignitas ad mittentem se Davidem descendit, et mittentis calamitas descendit ad missum Jonatham. Sed quid oportet humana recensere, cum inveniamus Deum ab homine mitti? Qui enim cum Jacob luctabatur, *Dimitte me*, inquit, *quia crepusculum ascendit*. Jacob autem ad eum, *Non dimittam te*, respondit, *nisi benedixeris mihi* [1]. Quid ad hæc sapientes isti fidei artifices respondebunt? Quanquam ex Domini verbis animadvertimus, et Patrem ipsum qui miserat, simul esse cum Filio qui missus fuerat. *Solus enim*, inquit, *non sum, sed ego, et qui misit me Pater* [2]. Et: *Non dimisit me solum Pater meus* [3]. Et alio loco: *Pater in me manens ipse facit opera* [4]. Si igitur in ipso, et cum ipso erat, qui illum miserat, ubi est abjectior ejus, qui missus est, conditio? Unde autem, aut quo mittatur is qui implet omnia? Mitti enim significat loci mutationem. Quod si Pater et Filius omnia continent, nec Pater procul abest ab illis, ad quos missus est Filius, nec Filius ex uno in alium locum transcendit. Reliquum igitur est, ut per hanc legationem, seu missionem nihil aliud cogitemus, nisi humanitatem assumptam indicari.

Καὶ τοῦτο.

Βαβαὶ πόση τῶν αἱρετικῶν ἡ παραπληξία, πόσην νοσοῦσιν ἐμβροντησίαν οἱ τῆς Ἀρείου καὶ Εὐνομίου βλασφημίας κληρονόμοι. Πρὸς δὲ τῇ παραπληξίᾳ πολλήν ἐστιν ἰδεῖν ἐν αὐτοῖς ἐπανθοῦσαν ἀναισχυντίαν. Τῆς γὰρ ἀποστολῆς ἄνω καὶ κάτω μνημονεύουσι, καὶ τὸν ἀποστείλαντα τοῦ ἀποσταλέντος φασὶν εἶναι τιμιώτερον. Τοσαύτην ἔχουσι τῶν Γραφῶν ἀμαθίαν! Καὶ οὐ λογίζονται, ὡς ὑπὸ τοῦ Ἰσαὰκ ὁ Ἰακὼβ ἦν ἀπεσταλμένος εἰς τὴν Μεσοποταμίαν, οὐ μὴν διὰ τοῦτο ἐλάττων ἐστὶ τοῦ ἀποστείλαντος κατὰ τὸν τῆς φύσεως λόγον. Ὡσαύτως δὲ καὶ Ἰωσὴφ ἀπεστάλη μὲν ὑπὸ τοῦ Ἰακὼβ ἐπισκέψασθαι τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ οὐδεὶς ἂν φαίη τῆς τοῦ πατρὸς φύσεως αὐτὸν μὴ μετέχειν, ἐπειδὴ τῷ πατρὶ πειθόμενος κατεδέξατο τὴν ἀποστολήν.

Ἀλλ' ἴσως φασὶν, εἰ καὶ μὴ κατὰ τὸν τῆς φύσεως λόγον μείζους ἐνταῦθα τῶν ἀποστελλόντων οἱ ἀποσταλέντες, κατὰ γοῦν τὸ πατρικὸν ἀξίωμα ἔχουσι τῆς τιμῆς τὰ πρεσβεῖα. Ἀλλ' εὑρίσκομεν, ὦ ἀνόητοι, φαίην ἂν πρὸς αὐτοὺς, καὶ τοὺς μείζους ὑπὸ τῶν ἐλαττόνων ἀποσταλέντας, καὶ οὐχὶ διὰ τοῦτο τῆς οἰκείας τιμῆς τοὺς ἀποσταλέντας γυμνώσομεν. Ἀπεστάλη γὰρ ὑπὸ τοῦ Δαβὶδ Ἰωνάθαν, ὁ τοῦ βασιλέως υἱὸς ὑπὸ φυγάδος, ὁ τῷ πατρὶ συμβασιλεύων ὑπὸ τοῦ μηδὲ ἐν οἰκέτου τάξει φανῆναι τολμῶντος. Ἐπειδὴ τοίνυν ὁ μὲν ἀπεστάλη, οὐκ ἔτι μὲν βασιλεὺς ὁ πεμφθεὶς κατὰ τὸν ὑμέτερον ὅρον· οὐκ ἔτι δὲ φυγὰς ὁ ἀποστείλας, ἀλλὰ μεταβέβηκεν ἐπὶ τὸν ἀποστείλαντα Δαβὶδ τὸ τοῦ πεμφθέντος ἀξίωμα. Μεταβέβηκε δὲ ἐπὶ τὸν ἀποσταλέντα Ἰωνάθαν ἡ τοῦ πέμψαντος δυσκληρία. Ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχει. Καὶ τί δεῖ τὰ ἀνθρώπινα λέγειν; Εὑρίσκομεν γὰρ Θεὸν ἀποσταλέντα, καὶ ἄνθρωπον ἀποστείλαντα. Ὁ γὰρ τῷ Ἰακὼβ συμπαλαίσας φησὶν, *Ἀπόστειλόν με· ἀνέβη γὰρ ὁ ὄρθρος*. Πρὸς ὃν ἔφη ὁ Ἰακὼβ, *Οὐ μή σε ἀποστείλω, ἐὰν μή με εὐλογήσῃς*. Τί πρὸς ταῦτα λέγειν ἔχουσιν οἱ σοφοὶ τῆς πίστεως τεχνολόγοι; Ἄλλως δὲ εὑρίσκομεν ἐκ τῶν δεσποτικῶν ῥημάτων καὶ αὐτὸν τὸν πέμψαντα Πατέρα τῷ πεμφθέντι Υἱῷ συνόντα. *Μόνος γὰρ*, φησὶν, *οὐκ εἰμὶ, ἀλλ' ἐγὼ, καὶ ὁ πέμψας με Πατήρ*. Καὶ ἀλλαχοῦ, *Οὐκ ἀφῆκέ με μόνον ὁ Πατήρ μου*. Καὶ ἑτέρωθεν, *Ὁ Πατήρ μου ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα*. Εἰ τοίνυν ἐν αὐτῷ καὶ σὺν αὐτῷ ἦν ὁ πέμψας, ποῦ τοῦ πεμφθέντος ἡ εὐτέλεια; Ὁ δὲ τὰ πάντα πληρῶν ποῦ καὶ πόθεν ἀπεστάλη; Ἡ γὰρ ἀποστολὴ τόπων ἀλλαγὴν αἰνίττεται. Εἰ δὲ τὰ πάντα Πατὴρ καὶ Υἱὸς περιέχει, οὔτε ὁ Πατὴρ ὡς πόῤῥω τυγχάνων ἐκείνων, πρὸς οὓς ἀπέστειλεν, ἔπεμψε τὸν Υἱὸν, οὔτε ὁ Υἱὸς ἐξ ἑτέρου εἰς ἕτερον μεταβέβηκε τόπον. Οὐκοῦν λείπεται νοεῖν τῆς ἀναληφθείσης ἀνθρωπότητος τὴν ἀποστολὴν εἶναι.

Ejusdem et hæc

Pater, venit hora, clarifica Filium tuum, ut et Filius tuus clarificet te [5]. O singularem atque incredibilem hæreticorum stoliditatem! Major, inquiunt, est qui gloria afficit, quam ille qui afficitur gloria. Pater autem afficit, Filius afficitur, major

Καὶ τοῦτο.

Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν Υἱὸν, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε. Ὢ τῆς ὑπερβαλλούσης τῶν αἱρετικῶν ἀβελτηρίας! Μείζων, φησὶν, ὁ δοξάζων τοῦ δοξαζομένου, καὶ δοξάζει μὲν ὁ Πατὴρ, δοξάζεται δὲ ὁ Υἱός. Μείζων οὖν ἄρα τοῦ Υἱοῦ ὁ Πατήρ. Εἰ τοί-

[1] Gen. XXXII, 26, 27. [2] Joan. VIII, 16. [3] ibid. 29. [4] Joan. XIV, 10. [5] Joan. XVII, 1.

νον ὁ Υἱὸς οὐκ ἐδοξάσθη μόνον, ἀλλὰ καὶ ἐδόξασε τὸν δοξάσαντα, ποίαν σχοίη χώραν τὸ μεῖζον, καὶ τὸ ἔλαττον; Εἰ δὲ ἄρα κατὰ τὴν τῶν εἰρημένων ἀκολουθίαν πρὸς τὸν δοξάσαντα μεταβαίνει τὸ μεῖζον, εὑρεθήσεται ἐλάττων μὲν ὁ Υἱὸς, ἡνίκα ἂν δοξάζηται, μείζων δὲ, ἡνίκα ἂν δοξάζῃ. Ἀλλὰ τὸ ταῦτα λέγειν παραπληξίας καὶ μανίας ἐσχάτης. Οὐ γὰρ τὸ μεῖζον καὶ τὸ ἔλαττον ἐντεῦθεν, τὸ δὲ ἴσον Πατρὸς καὶ Υἱοῦ διδασκόμεθα. Ἀκούομεν γὰρ ὡς καὶ ὁ Πατὴρ δοξάζει τὸν Υἱὸν, καὶ δοξάζεται ὑπὸ τοῦ Υἱοῦ· καὶ ὁ Υἱὸς δοξάζεται ὑπὸ τοῦ Πατρὸς, καὶ δοξάζει τὸν Πατέρα. Ὅτι δὲ δοξαζόμενος οὐχ ὃ μὴ εἶχεν ἔλαβεν, ἀλλ' ὃ εἶχεν, ἐν αὐτῷ τῷ χωρίῳ τοῦτο διδάσκει. *Δόξασόν με* γὰρ, φησὶ, *Πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ, ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι, παρὰ σοί*. Εἰ δὲ πρὸ τοῦ τὸν κόσμον γενέσθαι ταύτην εἶχε τὴν δόξαν, πῶς αἰτεῖ λαβεῖν ὃ ἔχει ἀεί;

Καὶ τοῦτο.

Εἶτα δεικνὺς, ὡς οὐ δοξάζεται μόνον, ἀλλὰ καὶ δοξάζει, ἐπήγαγεν, *Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις*. Καὶ μετ' ὀλίγον τῶν αἱρετικῶν ἐμφράττων τὰ στόματα, *Τὰ ἐμὰ πάντα*, φησὶ, *σά ἐστι, καὶ τὰ σὰ ἐμά*, οὐ διαιρῶν τὴν κοινὴν δεσποτείαν, οὐδὲ ἕτερα μὲν τὰ αὐτῷ προσήκοντα, ἕτερα δὲ τὰ τῷ Πατρὶ διαφέροντα δεῖξαι βουλόμενος, ἀλλ' ἐπειδὴ οἱ πᾶσαν βλάσφημον κατὰ τοῦ Μονογενοῦς ἀφιέντες φωνὴν αὐτὸν μὲν λαμβάνειν, τὸν δὲ Πατέρα διδόναι φασὶ, δείκνυσιν, ὅτι τὴν αὐτὴν ἔχει τῷ Πατρὶ τῶν ἁπάντων δεσποτείαν. *Τὰ γὰρ ἐμὰ πάντα*, φησὶ, *σά ἐστι, καὶ τὰ σὰ ἐμά*, οὐ τὴν διαίρεσιν τῆς δεσποτείας, ἀλλὰ τὸ κοινὸν τῆς ἐξουσίας παιδεύων.

Τοῦ αὐτοῦ ἐκ τοῦ ς' κεφαλαίου τοῦ α' βιβλίου τοῦ Θησαυροῦ.

Οὐ πάντως τὸ τίκτειν πεφυκὸς ἐκ τοῦ μὴ τίκτειν εἰς τοῦτο πρόεισιν· οὐδὲ ἐπειδὴ τίκτειν οἶδε, καὶ καταπαύειν. Καὶ γοῦν γεννᾷ μὲν ἐξ ἑαυτοῦ τὸ πῦρ τήν τε κατὰ φύσιν προσοῦσαν αὐτῷ θερμότητα, καὶ τὸν φωτισμὸν, οὔτε δὲ ἐκ τοῦ μὴ εἶναι θερμὸν εἰς τοῦτο προῆλθεν, οὔτε παύσεται γεννᾷν τὸ κατὰ φύσιν αὐτῷ προσὸν, ἀλλ' ἅμα γέγονε πῦρ, καὶ ἦν ἐν αὐτῷ τὰ αὐτοῦ. Εἰ τοίνυν καὶ ἐπὶ τῶν πεποιημένων παρὰ Θεοῦ τοιοῦτος φαίνεται γεννήσεως τρόπος, πῶς οὐκ ἀσεβὲς μὴ τὰ μείζω παραχωρεῖν αὐτῷ, κἂν μὴ φθάνῃ πρὸς κατάληψιν τῆς μεγάλης αὐτοῦ φύσεως ὁ ἀνθρώπινος νοῦς;

Καὶ τοῦτο.

Εἰ μὴ συνῆν ὁ Υἱὸς τῷ Πατρὶ ἐξ αὐτοῦ τε ὢν κατὰ φύσιν, καὶ συναΐδιος ὢν, συμβέβηκε δὲ αὐτῷ τὸ εἶναι, συνέβη δηλονότι καὶ τῷ τεκόντι τὸ γενέσθαι Πατέρα, καὶ μεταβολή τις περὶ αὐτὸν καὶ ἀλλοίωσις φαίνεται γενόμενος. Εἰ γὰρ οὐκ ἦν, καθ' ὑμᾶς, τοῦτο γέγονεν ὕστερον. Τροπῆς δὲ πάσης καὶ ἀλλοιώσεως ἀνεπίδεκτος ἡ θεία φύσις. Οὐκ ἄρα συνέβη τῷ Θεῷ τὸ γενέσθαι Πατέρα, ἀλλ' ἦν αὐτῷ συναΐδιος ὁ ἐξ αὐτοῦ προελθὼν Λόγος, καθάπερ ἡ θερμότης ἐν πυρὶ γεννητικῶς ἐξ αὐτοῦ προϊοῦσα καὶ ἀεὶ συνυπάρχουσιν.

Καὶ τοῦτο.

Εἰ τέλειος, φησὶν, ἐστὶν ὁ Πατὴρ ἐν τῇ ἰδίᾳ μεγα-

igitur Filio Pater. Si Filius non solum afficitur est gloria, sed ipse vicissim gloria Patrem afficit, quomodo unus altero major dici potest? Nam si ex istorum sententia sequitur, ut qui gloria afficit, major sit, minor quidem est Filius, dum afficitur gloria, major autem dum Patrem afficit. Verum hæc dicere summi stuporis atque dementiæ est. Ex his enim verbis non Patrem Filio majorem esse discimus, aut contra, sed Patris et Filii æqualitatem intelligimus. Nam ut Pater gloria et afficit Filium, et afficitur a Filio, sic Filius gloria tum afficitur a Patre, tum Patrem afficit. Quod autem dum afficitur gloria, nihil accipiat, quod antea non haberet, docet hoc loco: *Clarifica me*, inquiens, *Pater, ea gloria, quam habui, antequam mundus fieret, apud te*[1]. Si autem antequam mundus fieret, hanc gloriam habuit, quomodo petit ut accipiat quod semper habuit?

Ejusdem et hæc.

Deinde se non solum gloria affici declarans, sed etiam Patrem afficere, *Manifestavi*, inquit, *nomen tuum hominibus*[2]. Et paulo post ora obstruens hæreticorum, *Omnia mea*, inquit, *tua sunt, et tua mea*. Communem non dividit principatum, nec alia Patri dicit convenire. Sed quoniam isti contumeliis exsecrandis Unigenitum afficientes dicunt ipsum quidem accipere, Patrem autem dare, demonstrat se una cum Patre rerum omnium imperium obtinere: *Omnia mea*, inquiens, *tua sunt, et tua mea*. Quibus verbis non regnum divisum, sed communem significat potestatem.

Ejusdem ex Thesauri cap. 6 libri primi.

Quod pariendi naturam habet, non assecutus est, cum aliquando non haberet, nec illam amittet, et desinet parere. Ignis quidem natura sibi insitam gignit caliditatem atque splendorem, neque ex non calido calidus efficitur, neque cessat gignere, quæ naturaliter ipsius sunt propria. Sed simul atque ignis est, et ea cum ipso sunt. Quod si in rebus procreatis a Deo talis perspicitur gignendi ratio, nonne impium est non ipsi Deo omnibus partibus majora tribuere?

Ejusdem et hæc.

Si Filius ex Patre nascens cum ipso per naturam æternus non erat, sed ei contigit, ut esset, et gignenti nimirum contigit, ut fieret Pater, atque ita in illo mutatio quædam apparet. Quod enim, secundum vos, non erat, id postea factus est. At natura divina nullam immutationem admittit. Non igitur Deo contigit, ut fieret Pater, sed Verbum ex ipso progrediens semper cum illo fuit, ut in igne caliditas, quæ ex igne proveniens cum illo semper exsistit.

Ejusdem et hæc.

Si Deus, inquiunt, in sua amplitudine perfectus

[1] Joan. XVII, 5. [2] Ibid. 6.

est, et nihil deest naturæ ipsius, supervacaneum est, Filium tanquam divinitatis ejus plenitudinem adjungere.

Ejusdem et hæc.

Perfectus quidem est Pater in amplitudine propria, nec ullus, qui sapiat, hoc negabit, sed perfectus est, non quia Deus solum est, sed etiam Pater. Quod si illi ademeris ut Pater sit, divinæ naturæ tolles fecunditatem, nec amplius perfectionem habebit, si desit illi gignendi vis; fecunditas ergo perfectionis indicium est, et Filius a Patre sine tempore genitus declarat ipsum esse perfectum.

Ejusdem et hæc.

Si Patris essentiæ natura non adest, ut Filium tanquam fructum arbor fecunda gignat, atque ut eum non gignat, perfecta tamen est, supervacaneum fuit hoc illi addere. Imo vero hoc illa indiguit. Quomodo autem perfectus sit, qui aliqua eget re? Aut quomodo absurdum non est, naturæ divinæ, quasi natura perfectionem non habeat, quidquam adjungere?

Ex capite sexto ejusdem libri.

Cogitationem tuam, vir optime, parumper a corporibus et corporum affectionibus revoca. De Deo enim nobis est sermo. Ne opineris Deum hominum more parientem fluxu diminui, nec posse parere sine detrimento, aut in Verbum ex se proveniens quodammodo dividi. Quid enim hac exsecranda ratione prohibebit in reliquis etiam, quæ ille habet, uti? Si enim ut homo cum fluxu parit, creabit etiam ut homo cum labore. Quod si absurdum est: neque enim ut homo creat: nec profecto gignit ut homo, sed in hoc etiam naturam hominis superat, sine divisione gignens ut Deus.

Ejusdem et hæc.

Pater Filium ex seipso absque divisione aut intervallo produxit, quemadmodum et sol splendorem ex se emissum. Quamvis splendor solis non habeat propriam hypostasim, neque perfecte ipse in seipso essentia sit: habet enim suum esse in solo; divinum vero genimen hoc tantum ex hoc exemplo habet quod ex Patre procedat citra divisionem ullam et absque spatio, propriamque habet hypostasim non separatam a Patre, sed in Patre et cum Patre intellectam atque exsistentem. Dicere autem sectionem et decisionem in divina generatione factam fuisse, immanis insaniæ est documentum. Cum enim divinitas loco non circumscribatur, ne id quidem quod ex eo procedit in loco erit. Quod vero neque in loco est, neque esse potest, quomodo separari potest? Quonam enim ibit quod sectum est? aut e quo in quem transferetur? hæc siquidem corporum sunt propria, ab incorporea vero natura prorsus aliena. Ne igitur impie in divina generatione defluxus, separationes, atque his similia comminiscantur. Suprema enim illa omnium natura nulli passioni, separationi aut sectioni est ob-

A λειότητι, καὶ οὐδὲν ἐλλείπει πρὸς τοῦτο τὸ φύσει. περιττῶς ὡς πλήρωμα τῆς θεότητος αὐτοῦ ὁ Υἱὸς ἐπεισφέρεται.

Καὶ τοῦτο.

Τέλειος μὲν ὁ Πατὴρ ἐν τῇ αὐτοῦ μεγαλειότητι, καὶ οὐκ ἄν τις τοῦτο τῶν εὖ φρονούντων ἐξαρνήσεται· τέλειος δὲ, οὐχ ὅτι μόνον ἐστὶ Θεὸς, ἀλλ' ὅτι καὶ Πατήρ. Εἰ γὰρ ἀφέλῃς τοῦ Θεοῦ τὸ εἶναι Πατέρα, ἀναιρήσεις τῆς μιᾶς φύσεως τὸ καρπογόνον, ἵνα μηκέτι τὸ τέλειον ἔχῃ, λείποντος αὐτῷ τοῦ γεννᾷν. Γνώρισμα τοίνυν τῆς τελειότητος ἡ καρπογονία, καὶ σφραγὶς τῷ Πατρὶ τοῦ εἶναι τέλειον ὁ ἐξ αὐτοῦ προϊὼν ἀχρόνως Υἱός.

Καὶ τοῦτο.

B Εἰ μὴ κατὰ φύσιν πρόσεστι τῇ τοῦ Πατρὸς οὐσίᾳ τὸ καρπογόνον, τέλειος δέ ἐστι καὶ δίχα τοῦ δύνασθαι γεννᾷν, περιττὸν ἄρα καὶ ἐπείσακτον αὐτῷ γέγονε τοῦτο, μᾶλλον δὲ ἐδεήθη τούτου. Καὶ πῶς ἐστι τέλειος ὁ δεηθείς τινος; Πῶς δὲ οὐκ ἄτοπον τὸ ἐπεισάγεσθαί τι τῇ θείᾳ φύσει, ὡς οὐκ ἐχούσῃ τὸ τέλειον ἐξ ἑαυτῆς φυσικῶς;

Ἀπὸ τοῦ ϛ' κεφαλαίου τοῦ αὐτοῦ βιβλίου.

Μικρὸν, ὦ βέλτιστε, σαυτὸν ἄνω σωμάτων ἔχε, καὶ τῶν περὶ τὰ σώματα παθῶν. Περὶ Θεοῦ γὰρ ὁ λόγος. Εἰ γὰρ οἴει καθάπερ ἄνθρωπον τίκτοντα Θεὸν ἐλαττοῦσθαί πως ταῖς ἀποῤῥοίαις, καὶ δίχα τινὸς ζημίας μὴ δύνασθαι τοῦτο ποιεῖν, μεριζόμενον ὥσπερ τὸν ἐξ αὐτοῦ προελθόντα Λόγον, τί κωλύσει τὴν C αὐτὴν ἐπαγαγεῖν βλασφημίαν καὶ τοῖς ἄλλοις ἅπασι τοῖς προσοῦσιν αὐτῷ; Εἰ γὰρ ὡς ἄνθρωπος τίκτει ῥευστῶς, δημιουργήσει καὶ ὡς ἄνθρωπος μετὰ πόνου. Εἰ δὲ τοῦτο ἄτοπον· οὐ γὰρ ὡς ἄνθρωπος δημιουργεῖ· οὐδὲ ὡς ἄνθρωπος ἄρα γεννήσει, ἀλλὰ τὴν ἀνθρώπου φύσιν κἀν τούτῳ πάλιν ὑπεραναβήσεται γεννῶν ἀμερίστως ὡς Θεός.

Καὶ τοῦτο.

Ὁ Πατὴρ ἐξέλαμψεν ἐξ ἑαυτοῦ τὸν Υἱὸν ἀμερίστως τε καὶ ἀδιαστάτως, ὥσπερ οὖν καὶ ὁ ἥλιος τὸ ἐξ αὐτοῦ πεμπόμενον ἀπαύγασμα. Ἀλλ' ἐκεῖνο μὲν οὐκ ἰδιοσύστατον οὐδὲ τὴν οὐσίαν ἐντελὲς αὐτὸ καθ' αὑτό· ἔχει γὰρ ἐν τῷ ἡλίῳ τὸ εἶναι· τὸ δὲ θεῖον γέννημα μόνον ἔχον ἐκ τοῦ παραδείγματος τὸ ἐκ D Πατρὸς προελθεῖν ἀμερίστως καὶ ἀδιαστάτως, ἰδίαν ἔχει τὴν ὕπαρξιν οὐ κεχωρισμένην τοῦ Πατρὸς, ἀλλ' ἐν Πατρὶ καὶ μετὰ Πατρὸς νοουμένην καὶ ὑπάρχουσαν. Τὸ δὲ λέγειν ὅτι τομὴ καὶ ἀποκοπὴ περὶ τὴν γέννησιν αὐτοῦ γέγονε, μανίας ἀμέτρου σημεῖόν ἐστιν. Ἐπειδὴ γὰρ οὐκ ἐν τόπῳ περιείληπται τὸ θεῖον, οὐδὲ ἐν τόπῳ τοιούτῳ τὸ ἐξ αὐτοῦ. Τὸ δὲ μὴ ὂν ἐν τόπῳ, ἢ καὶ μὴ εἶναι δυνάμενον, πῶς ἐπιδέχεται μερισμόν; Ποῖ γὰρ χωρήσει τὸ τεμνόμενον; ἢ ἐκ τίνος εἰς τί μετοικήσεται; ταῦτα γὰρ σωμάτων μὲν ἴδια, τῆς δὲ ἀσωμάτου φύσεως παντελῶς ἀλλότρια. Μὴ τοίνυν δυσσεβῶς ἀναπλάττωσάν τινες περὶ τὴν θείαν γέννησιν τάς τε καλουμένας ἀποῤῥοίας, καὶ μερισμοὺς, καὶ ὅσα πρὸς ταῦτα τὴν συγγένειαν ἔχει. Ἄνω γὰρ πάθους καὶ μερισμοῦ καὶ τομῆς, ἡ τῶν πάντων ὑπερκειμένη φύσις, καὶ οὐκ ἐπιδέξεται

τὰ σωμάτων ἴδια. Ἀλλ' ὥσπερ δημιουργεῖ παραδό- A
ξως, οὐ κατὰ τὸν τῆς κρατούσης παρ' ἡμῖν συνηθείας νόμον, οὕτω καὶ γεννήσει τὸ ἐξ αὐτῆς ἑτέρως ἢ καθ' ἡμῶν.

Καὶ τοῦτο.

Ὁ λόγος οὗτος ὁ προφορικὸς ᾧ κεχρήμεθα, εἰς νοῦν καὶ ἐκ νοῦ γεννᾶται, καὶ δοκεῖ μὲν ἕτερος εἶναι παρὰ τὸν ἐν καρδίᾳ στρεφόμενον, καθὸ ἔξω στόματος γίγνεται πεμπόμενος ὥσπερ ἐκ βάθους εἰς φῶς. Ἔστι δὲ πάλιν ἐν αὐτῷ, καὶ ὅμοιος αὐτῷ κατὰ πάντα. Ἔστι γὰρ ἰδεῖν ἐν αὐτῷ λόγῳ τὸν ἐν καρδίᾳ κληθέντα λογισμὸν, καὶ πάλιν ἐν τῷ νῷ τὸν λόγον ἔτι σιωπώμενον. Οὕτω καὶ ὁ Υἱὸς τοῦ Θεοῦ, ἀμερίστως ἐκ Πατρὸς προελθὼν, χαρακτήρ ἐστι καὶ ὁμοίωμα τῆς ἰδιότητος αὐτοῦ, Λόγος ὢν ἐνυπόστατος καὶ ζῶν B
ἐκ ζῶντος Πατρός.

Καὶ τοῦτο.

Οὕτως ἐγέννησεν ἐξ ἑαυτοῦ τὸν Υἱὸν ὁ Πατὴρ ἀμερίστως, ὡς ἂν εἰ σοφὸς ἀποτέκοι νόημα σοφὸν, μηχανικὴν τυχὸν, ἢ γεωμετρίαν, ἢ ἕτερόν τι τῶν τοιούτων. Δοκεῖ μὲν γάρ πως σοφίας εἶναι καρπὸς τὰ τοιαῦτα, καὶ οὕτως ἔχει τὴν φύσιν· ἀλλ' οὐ μεμέρισται τῆς σοφίας ἡ ἐξ αὐτῆς ἐπινοηθεῖσα τέχνη· ἀλλ' ἔστιν ἐξ αὐτῆς καὶ ἐν αὐτῇ τὴν τεκοῦσαν ἐξεικονίζουσα, καὶ ἀμερίστως ἕτερόν τι παρ' αὐτὴν εἶναι δοκοῦσα. Οὕτως ἡ Υἱοῦ γέννησις, ἀμερίστως οὖσα ἐκ Πατρὸς, ἐν ἰδίᾳ ὑποστάσει σώζεται, τὴν τοῦ παραδείγματος ὑπεραίρουσα δύναμιν.

Ἀπὸ τοῦ ζ' κεφαλαίου τοῦ αὐτοῦ βιβλίου.

Εἰ βουλήσει γεγεννῆσθαί φατε τὸν Υἱὸν, καὶ βιά- C
ζεσθε τὴν περὶ αὐτοῦ θέλησιν προϋπάρχειν τῆς γεννήσεως αὐτοῦ, τί μὴ ταὐτά φησιν ἡ Γραφὴ περὶ αὐτοῦ, ἃ δὴ καὶ περὶ τῶν ἄλλων ποιημάτων λέγουσα φαίνεται; Ἐπὶ μὲν γὰρ τῶν γεγονότων παρὰ Θεοῦ προηγεῖται θέλησις, ὡς ἐν τῷ, « Ποιήσωμεν ἄνθρωπον, » καὶ ἐν τῷ, « Πάντα ὅσα ἠθέλησεν ἐποίησεν. » Ἐπὶ δὲ τοῦ Θεοῦ Λόγου οὐδαμοῦ θέλησις ἤτοι βούλησις προηγουμένη φαίνεται, ἀλλ' ὅτι μόνον ἦν καὶ ἔστιν ἀκούομεν.

Καὶ τοῦτο.

Λέγει ὁ Παῦλος περὶ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι τε Θεοῦ δύναμις εἴη, καὶ Θεοῦ σοφία. Εἰ τοίνυν σοφία καὶ δύναμίς ἐστι τοῦ Πατρὸς ὁ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ ὑπάρχων Λόγος, αὐτός ἐστιν ἐν ᾧ D
βούλεται, καὶ δι' οὗ πάντα ἐργάζεται. Πῶς οὖν ἐν βουλήσει γέγονεν, ἐν ᾧπερ ἡ βούλησίς ἐστι τοῦ Πατρός; ἢ γὰρ ἑτέραν ἡμᾶς σοφίαν ἀναπλάττειν ἀνάγκη, ἐν ᾗ βουλευσάμενος πεποίηκε τὸν Υἱὸν, καθὼς ὑμεῖς φατε, ἢ εἰ ἑτέρα οὐκ ἔστιν, ἀλλ' ἔστι μόνος αὐτὸς ἡ σοφία τοῦ Πατρὸς, αὐτός ἐστιν ἄρα καὶ ἡ βούλησις. Ἐν γὰρ σοφίᾳ πάντως τὸ βούλεσθαι τοῦ Θεοῦ, καὶ μάταιος ὑμῖν ὁ λόγος, καὶ κενὸν ἐδείχθη τὸ ἐπιχείρημα.

Καὶ τοῦτο.

Εἰ τῶν ἐν βουλήσει γενομένων προηγεῖται χρόνος, καθ' ὃν ἡ περὶ αὐτὸν σκέψις ἐγένετο, καὶ εἰ μικρὸν

noxia, neque corporum proprietates recipit. Sed quemadmodum creat mirabiliter, longeque alio quam nostra consuetudo fert modo, ita etiam generat ex se alia ratione quam nos.

Ejusdem et hæc.

Sermo enuntiativus, quo utimur, in mente et ex mente gignitur, atque alius quidem videtur esse ab eo qui in corde agitatur, quatenus extra os veluti e tenebris in lucem emittitur; est autem rursus in eo, similisque ei est per omnia. In sermone enim videtur cogitatio cordis, et rursus in mente sermo nondum loquendo expressus. Ita etiam Filius Dei, absque separatione e Patre procedens, character est et expressa figura proprietatis suæ: Verbum enim est hypostatice exsistens et vivens ex vivo Patre.

Ejusdem et hæc.

Ita genuit ex se Pater Filium absque separatione, ac si sapiens aliquis gignat aliquod inventum, sive mechanicum, sive geometricum, sive ejusmodi aliquid. Videntur enim quodammodo sapientiæ fructus esse, atque ita natura se habent; atqui non est separata a sapientia ars quæ ex ea est excogitata: sed est ex ipsa et in ipsa genitricis suæ imaginem exprimens, et citra separationem aliud quidpiam esse videtur. Ita et generatio Filii, cum sit absque separatione ex Patre, in sua hypostasi servatur longe tamen hujus exempli sive similitudinis vim excedens.

Ex capite septimo ejusdem libri.

Si consilio dicitis Filium genitum, et voluntatem ortum ejus antecessisse contenditis, cur non hæc a Scriptura dici declaratis, quæ de aliis rebus omnibus procreatis dicuntur? In his enim voluntas præcedit, ut ex illis Scripturæ verbis colligi potest: *Faciamus hominem*: et: *Omnia, quæcunque voluit fecit*. In Dei autem Verbo nec voluntas, nec consilium præcessit. Itaque de illo non dicuntur ea, sed hæc potius: *Erat*, et *est*.

Ejusdem et hæc.

Paulus Servatorem nostrum Jesum Christum Dei virtutem et sapientiam appellat [1]. Si igitur sapientia et virtus est Patris Verbum ex ipso et in ipso exsistens, in eo nimirum et per illud ipse vult et facit omnia. Quomodo igitur consilio et voluntate factum est id, in quo Patris consilium voluntasque consistit. Aut enim aliam verbis sapientiam confingere necesse est, qua Pater consulens et volens Filium fecerit (quod tamen vos non pudet comminisci): aut si alia sapientia non est, sed ipse solus est Patris sapientia, ipse nimirum est etiam Patris voluntas atque consilium, in sapientia enim sita est voluntas Dei. Quamobrem rationes vestræ futiles sunt, et argumenta vestra inania stultaque ruunt.

Ejusdem et hæc.

Si ea, quæ voluntate fiunt, egent tempore, quo de illis consilium capiatur, licet spatium illud sit

[1] Cor. I, 24.

perquam exiguum, quomodo temporum effector Filius erit, cujus ortum voluntas et consilium antecedit? Sed temporum auctor est. Erat igitur, et ante ortum illius est nihil.

Ejusdem et hæc.

Si sapientia Patris est Filius, ut vere est, quomodo tempus esse potuit, cum in ipso non esset sapientia? Quod si ab omni æternitate in Patre est, semper enim sapiens est Pater, quomodo cogitari potest quidquam antiquius eo, quod semper est, aut quomodo voluntas intercedere, quæ Filium aliquando non exsistentem adducat, qui simul cum Genitore ipsius ut ejus sapientia æternus est? Non voluntate igitur, sed natura Filium gignit. Hoc enim illi magis congruit.

Ejusdem et hæc.

Si nulla voluntas in ullo est sine verbo, hoc est, sine ratione illa, quæ tacite in animo versatur, Filius autem est Verbum Patris, illius ergo voluntas est. Quomodo igitur voluntas in voluntate erit, aut Verbum in Verbo? Omnia ergo est Filius Patri, et Verbum, et voluntas, et sapientia, et nihil ante ipsum in Patre.

Ejusdem et hæc.

Quemadmodum non ex voluntate habemus nos ut patres simus eorum qui ex nobis sunt, sed ex natura; sic etiam Deus non voluntate, sed natura Pater est. Et quemadmodum filii ex nobis procreati nobis natura similes omnino sunt, sic etiam Filius non extrinsecus, sed ex essentia Patris genitus, similis est in omnibus Genitori. Et quemadmodum Pater non ex voluntate Pater est, ita nec Filius est ex voluntate, sed per naturam, cum sit splendor et figura illius [1], qui se genuit.

Ejusdem et hæc.

Vehementer absurdum et periculosum est dicere Filium voluntate genitum esse. Qui enim non voluntate Pater et Deus est, is nec voluntate habet ex essentia sua provenientem Verbum, sed naturaliter. Sic enim est figura ipsius, et imago non falsa.

Ex eodem libro, cap. 20.

David alicubi ita canit: « Sedes tua, Deus, in sæculum sæculi. » Deinde ait: « Propterea unxit te Deus, Deus tuus, oleo exsultationis præ participibus tuis [2]. » Atqui erat Verbum etiam ante unctionem regnans cum Patre. Quomodo igitur in regem ungitur et sanctificatur, qui semper regnat sanctusque exsistit? Quemadmodum igitur cum semper id sit, ultimis tamen temporibus regnasse dicitur: ita cum sit altissimus, exaltatus esse dicitur, propter incarnationem. Exaltatur autem, et ungitur, et sanctificatur propter nos, ut per ipsum gratia in omnes derivetur, ut jam naturæ collata totique generi largita. Sic enim Servator ipse in Evangelio Joannis ait: « Pro ipsis ego sanctifico meipsum, ut sint et

[1] Hebr. I, 3. [2] Psal. XLIV, 7, 8.

A τινα καὶ ἀκαριαῖον δοίημεν αὐτὸν, πῶς ἔσται χρόνων ποιητὴς ὁ Υἱὸς, εἰ βούλησις προηγεῖται τῆς γεννήσεως αὐτοῦ; Ἀλλ' ἔστι χρόνων ποιητής· ἦν ἄρα, καὶ οὐδέν ἐστι πρὸ τῆς γεννήσεως αὐτοῦ

Καὶ τοῦτο.

Εἰ σοφία τοῦ Πατρός ἐστιν ὁ Υἱὸς, ὥσπερ οὖν καὶ ἔστι, πῶς ἔστι χρόνος, ὅτε οὐκ ἦν ἐν αὐτῷ σοφία; Εἰ δέ ἐστιν ἀϊδίως ἐν τῷ Πατρὶ, ἀεὶ γὰρ σοφὸς ὁ Πατήρ· πῶς ἡγήσεταί τι τοῦ ἀεὶ ὄντος; Πῶς δὲ ἡ βούλησις χωρήσει μεταξὺ μὴ ὄντα ποτὲ τὸν Υἱὸν εἰσφέρουσα, τὸν τῷ γεννήσαντι συναΐδιον, ὡς σοφίαν αὐτοῦ; Οὐ βουλήσει ἄρα γεννᾷ τὸν Υἱὸν, ἀλλὰ φύσει. Πρέπει γὰρ τοῦτο μᾶλλον αὐτῷ.

B

Καὶ τοῦτο.

Εἰ πᾶσα βούλησις ἡ ἔν τισι γινομένη οὐ δίχα λόγου γίνεται, λόγος γάρ ἐστιν ἀφανῶς ἐν καρδίᾳ στρεφόμενος ἡ βούλησις, ἔστι δὲ ὁ Υἱὸς Λόγος τοῦ Πατρός· αὐτὸς ἄρα ἐστὶν ἡ βούλησις. Εἶτα πῶς ἡ βούλησις ἐν βουλήσει γίνεται; ἢ πῶς ὁ Λόγος ἐν Λόγῳ; Πάντα τοίνυν ἐστὶν ὁ Υἱὸς τῷ Πατρὶ, καὶ Λόγος, καὶ βουλὴ, καὶ σοφία, καὶ οὐδέν ἐστιν ἐν Πατρὶ πρὸ αὐτοῦ.

Καὶ τοῦτο.

Ὥσπερ οὐκ ἐκ βουλήσεως ἡμεῖς ἔχομεν τὸ εἶναι πατέρες τῶν ἐξ ἡμῶν, ἀλλὰ φυσικῶς, οὕτω καὶ ὁ Θεὸς καὶ Πατὴρ οὐκ ἐκ βουλήσεως Πατήρ ἐστιν, ἀλλὰ φυσικῶς. Καὶ ὥσπερ οἱ ἐξ ἡμῶν τικτόμενοι ὅμοιοι πάντως ἡμῖν κατ' οὐσίαν εἰσὶν, οὕτω καὶ ὁ C Υἱὸς οὐκ ἔξωθεν τῷ Πατρὶ προσγενόμενος, ἀλλ' ὄντως ἐκ τῆς οὐσίας αὐτοῦ προελθὼν, ὅμοιός ἐστι κατὰ πάντα τῷ γεγεννηκότι. Καὶ ὥσπερ ὁ Πατὴρ οὐκ ἐκ βουλήσεώς ἐστι Πατὴρ, οὕτω καὶ ὁ Υἱὸς οὐκ ἐκ βουλήσεώς ἐστιν Υἱὸς, ἀλλὰ κατὰ φύσιν ἀπαύγασμα καὶ χαρακτὴρ ὑπάρχων τοῦ γεννήσαντος αὐτόν.

Καὶ τοῦτο.

Ἄτοπον σφόδρα, καὶ ἐπικίνδυνον ἐφ' Υἱοῦ λέγειν τὸ, Βουλήσει ἄρα, ἢ παρὰ βούλησιν ἐγεννήθη. Ὁ γὰρ οὐκ ἐκ βουλήσεως ὑπάρχων Πατὴρ καὶ Θεὸς οὐδὲ ἐκ βουλήσεως ἔχει τὸν ἐκ τῆς οὐσίας αὐτοῦ προελθόντα Λόγον, ἀλλὰ φυσικῶς. Εἴη γὰρ ἂν καὶ οὕτως εἰκὼν αὐτοῦ, καὶ χαρακτὴρ οὐ διεψευσμένος.

Ἀπὸ κεφαλαίου κ' τοῦ αὐτοῦ βιβλίου.

D Ψάλλει που Δαβίδ· « Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. » Εἶτά φησι· « Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως. » Καὶ ἦν ὁ Λόγος καὶ πρὸ τῆς χρίσεως βασιλεύων μετὰ Πατρός. Πῶς οὖν εἰς βασιλέα χρίεται καὶ ἁγιάζεται ὁ ἀεὶ βασιλεύων καὶ ἅγιος ὤν; Ὥσπερ τοίνυν ἀεὶ τοῦτο ὢν, ἐν ἐσχάτοις καιροῖς βεβασιλευκέναι λέγεται· οὕτω καὶ ὕψιστος ὢν, ὑψοῦσθαι λέγεται διὰ τὴν ἔνσαρκον οἰκονομίαν. Ὑψοῦται δὲ καὶ χρίεται καὶ ἁγιάζεται δι' ἡμᾶς, ἵνα δι' αὐτοῦ τρέχῃ λοιπὸν εἰς πάντας ἡ χάρις, ὡς ἤδη δοθεῖσα τῇ φύσει, καὶ λοιπὸν ὅλῳ σωζομένη τῷ γένει. Οὕτω καὶ ὁ Σωτὴρ ἔλεγεν ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ· « Ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτὸν, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι. »

A Ὅσα γὰρ ἐν Χριστῷ, ταῦτα καὶ εἰς ἡμᾶς. Οὐχ ἑαυτῷ δεχομένου τὸν ἁγιασμὸν (αὐτὸς γὰρ ἦν ὁ ἁγιάζων), ἀλλ' ἵνα τοῦτον τῇ φύσει δι' ἑαυτοῦ προξενήσῃ, ὁδὸς ὥσπερ καὶ ἀρχὴ τῶν εἰς ἡμᾶς ἀγαθῶν γινόμενος. Διὸ δὴ καί φησιν· « Ἐγώ εἰμι ἡ ὁδός· » δι' ἧς ὥσπερ πρὸς ἡμᾶς ἡ θεία καταβέβηκε χάρις, ὑψοῦσα καὶ ἁγιάζουσα καὶ δοξάζουσα, καὶ θεοποιοῦσα τὴν φύσιν ἐν πρώτῳ Χριστῷ.

Ἐκ τοῦ β' βιβλίου τοῦ Θησαυροῦ, κεφάλαιον κθ'.

Πανταχόθεν ἀναισχυντοῦντες οἱ χριστομάχοι φανοῦνται, καὶ σκοπὸν ἔχοντες ἕνα τὸ μάτην διαλοιδορεῖσθαι τῷ Υἱῷ τοῦ Θεοῦ. Ἀκούοντες μὲν γὰρ λέγοντος αὐτοῦ, *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*, ἀπειθοῦσι, καὶ πειρῶνται τὸ εἰρημένον εἰς ἑτέρας παρέλκειν ἐννοίας, οὐκ ἀποδιδόντες τὸ ἓν εἶναι πρὸς τὸν Πατέρα, ἀλλὰ τὸ καλῶς τε καὶ ὀρθῶς εἰρημένον ἐπιχειροῦντες παραλύειν. Εὑρίσκοντες δὲ πάλιν ἐν τοῖς Εὐαγγελίοις ὅσα περ ἂν ὡς ἄνθρωπος ἢ πέπονθεν, ἢ εἰρηκὼς φαίνεται, ἢ ποιῶν, τὸ ἔκλαυσε, καὶ ἐλυπήθη, καὶ τὰ τούτοις ὅμοια, καὶ ὅσα περ ἀνθρωποπρεπῆ, οὐ φέρουσιν ἐπὶ τὴν ἀνθρωπότητα, ἀλλ' εὐθὺς τῷ Λόγῳ ταῦτα προσάπτοντες ἀπόδειξιν ποιοῦνται τοῦ μὴ εἶναι Θεὸν τὸν ταῦτα πεπονθότα, ὥστε καὶ αὐτὸν συναριθμεῖσθαι τῇ κτίσει τὸν ταύτης ὄντα ποιητήν. Ἢ τοίνυν ἀπόδος τῷ Υἱῷ τὸ ἓν εἶναι πρὸς τὸν Πατέρα, καὶ οὐχ εὑρήσεις τὸν ἐν ἰσότητι τοῦ Πατρὸς ὄντα Λόγον καθ' ἑαυτὸν, ᾗ Λόγος ἐστὶν, κλαίοντα, ἢ λυπούμενον, ἢ φόβῳ βαλλόμενον, ἢ εἰ μὴ πιστεύεις, καὶ οὕτως ἔσῃ μετὰ τῶν ἀπίστων Ἰουδαίων. Εἰ λέγοντι γὰρ αὐτῷ, ὅτι περ ἕν ἐστι πρὸς τὸν ἑαυτοῦ Πατέρα, μὴ πιστεύεις, μηδὲ ὅτι λελύπηται λέγοντι πιστεύσῃς. Οὕτως οὖν φανήσῃ, ὡς εἴρηται, μετ' ἐκείνων, οὐδὲν ὅλως τῶν παρὰ τοῦ Σωτῆρος εἰρημένων δεχόμενος.

Τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου, ὅτι οὐκ ἔστιν ὁ Υἱὸς ἐλάττων τοῦ Πατρός.

Εἰ ἐλάττων ἐστὶν ὁ Υἱὸς, μείζων δὲ ὁ Πατὴρ, διαφόρως δηλονότι καὶ ἀναλογούντως, οἷς ἑκάτερος ἔχει μέτροις ἐνεργήσουσι περὶ τὸν εἰς ἡμᾶς ἁγιασμόν. Καὶ ἁγιάσει μὲν μειζόνως ὁ Πατὴρ, ἔλαττον δὲ καὶ καθ' ἑαυτὸν ὁ Υἱός. Ἔσται τοιγαροῦν καὶ τὸ Πνεῦμα διπλοῦν, καὶ μεῖον μὲν ἐν Υἱῷ, μεῖζον δὲ ἐν Πατρί. Καὶ τελείως μὲν οἱ παρὰ Πατρὸς ἁγιασθήσονται, οὐ τελείως δὲ πάλιν οἱ δι' Υἱοῦ. Ἀλλὰ πολλή τις ἐστιν ἐν τούτοις ἡ τῶν λογισμῶν ἀτοπία. Ἓν γὰρ τὸ Πνεῦμα τὸ ἅγιόν ἐστιν, εἷς καὶ τέλειος ὁ ἁγιασμὸς παρὰ Πατρὸς, δι' οὗ φυσικῶς χορηγούμενος. Οὐκ ἄρα ἐλάττων ἐστὶν ὁ τὴν αὐτὴν ἐνέργειαν ἔχων τῷ τελείῳ Πατρὶ, καὶ τὸ τοῦ γεννήσαντος Πνεῦμα ἐν ἑαυτῷ ἔχων, ἀγαθὸν, ζῶν, καὶ ἐνυπόστατον, ὥσπερ οὖν ἀμέλει καὶ ὁ Πατήρ.

Καὶ τοῦτο.

Εἰ ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρὸς ὑπῆρχεν ὁ Υἱὸς, κατὰ τὴν τοῦ Παύλου φωνὴν, πῶς ἐλάττων αὐτοῦ ἐστιν; Οὐ γὰρ δήπου τῆς μετὰ σαρκὸς οἰκονο-

ipsi sanctificati [1]. » Quæcunque enim Christo insunt, eadem in nos derivantur. Quippe qui sanctificationem non sibiipsi accepit (ipse enim erat sanctificans), sed ut per se eam humanæ naturæ conciliaret : via quodammodo et principium bonorum quæ in nos fluxerunt effectus. Idcirco etiam ait : « Ego sum via [2], » per quam divina gratia quodammodo in nos descendit, exaltans et sanctificans et glorificans, atque adeo edificans naturam humanam in primo Christo.

Ex secundo Thesauri libro, cap. 29.

Undique impietatis occasionem arripiunt Christi adversarii, et unum illud sibi tanquam signum proponunt, ut temere convicia jactent in Filium Dei.
B Audientes enim ipsum dicentem : *Ego et Pater unum sumus* [3], non credunt, et conantur ea verba in alium sensum torquere, non concedentes, ut unum cum Patre sit, atque ita quod præclare recteque dictum est, demoliri student atque pervertere. Quæ vero in Evangeliis ab eo tanquam homine vel tolerata, vel dicta, vel facta repererint, ut flere, mœrore affici et reliqua ejusdem generis humanæ naturæ convenientia, ea non referunt ad humanitatem, sed Verbo statim tribuentes, ex his colligunt, eum non esse Deum, qui talia perpessus sit, atque ita in rerum quæ creatæ sunt, numero locant, earum effectorem. Aut igitur Filio concede, ut sit unum cum Patre, nec Verbum, quatenus per se Verbum est, ex inæqualitate cum Patre lugere aut pavere
C deprehendes, aut si non credis, te ad Judæorum numerum ascribe. Si enim non credis ei dicenti, se esse unum cum Patre, nec si mœrere se dixerit credes. Sic igitur, ut dictum est, in Judæorum numero deprehenderis, nihil eorum omnino, quæ a Servatore dicta sunt, suscipiens.

Ejusdem ex Commentariis in Evangelium Joannis, Filium Patre non esse minorem.

Si minor est Filius, major autem Pater, diversa ratione et pro sua uterque mensura sanctitatem in nobis efficiet. Et Pater quidem magis, Filius autem minus, et pro viribus suis nos sanctos reddet. Erit igitur et Spiritus duplex, minor in Filio, in Patre
D major. Et alii perfecte sancti reddentur a Patre, alii a Filio minus perfecte. Hæc et alia multa incommoda consequentur. Unus enim est Spiritus sanctus; una perfecta sanctitas, quæ a Patre per Filium naturaliter exhibetur. Non ergo minor, qui eamdem perfectam cum Patre perfecto actionem habet, eumdemque in seipso gignentis spiritum bonum, vivum, in sua subsistentem persona quem habet Pater.

Ejusdem et hæc.

Si in forma et æqualitate Patris erat Filius, ut Paulus ait [4], quomodo minor est? Neque enim humanæ carnis assumptio et exinanitio spoliat

[1] Joan. XVII, 19. [2] Joan. XIV, 6. [3] Joan. X, 30. [4] Philip. II, 6.

naturali Filium dignitate, cum illam secundo suo e coelis adventu sit habiturus. Veniet enim, ut ipsemet dixit, in gloria Patris sui [1]. Quomodo igitur Patre minor, qui in gloria est perfecti Patris?

A μίας ὁ λόγος, καὶ ἡ διὰ τοῦτο κένωσις τοῦ κατὰ φύσιν προσόντος ἀξιώματος ἀπογυμνῶσαι τὸν Υἱόν, λύσιν ἔχουσα τὴν δευτέραν ἐξ οὐρανοῦ παρουσίαν. Ἥξει γὰρ πάντως, ὡς ἠκούσαμεν λέγοντος, ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ. Πῶς οὖν ὅλως ἐν τῇ δόξῃ τοῦ τελείου Πατρὸς ὁ ἐλάττων αὐτοῦ;

Ejusdem et hæc.

Si Dominus est Pater, et Filius est Dominus, quomodo Patre Filius minor? Non erit perfecte liber, si minor est imperio, nec plenam in se obtinet dignitatem. Præterea si lux est Pater, et lux similiter est Filius, quomodo minor est Patre? Lux enim (si minor est) erit imperfecta, et parte aliqua a tenebris occupabitur. Et mendax erit evangelista, *Et tenebræ*, inquiens, *eam non comprehenderunt* [2]. Ad hæc si Pater est vita, et Filius item est vita, quomodo Patre minor est Filius? Sin imperfecte vita, et ideo minor, perfecta in nobis vita non erit, licet in interiori homine Christus inhabitet. Et aliqua parte quodammodo erunt mortui, qui in ipsum crediderunt. Quæ quidem quoniam a nobis, ut absurda, sunt procul rejicienda, perfectum esse dicimus Filium, et Patri perfecto æqualem propter essentiæ nulla in parte diversam similitudinem.

Καὶ τοῦτο.

Εἰ Κύριός ἐστιν ὁ Πατήρ, Κύριος δὲ ὁμοίως καὶ ὁ Υἱός, πῶς ἐλάττων αὐτοῦ ἐστιν; Ἔσται γὰρ οὐ τελείως ἐλεύθερος, εἴπερ ἐστὶν ἐλάττων ἐν κυριότητι, καὶ οὐ πλήρες ἔχων ἐν ἑαυτῷ τὸ ἀξίωμα. Καὶ εἰ φῶς ἐστιν ὁ Πατήρ, φῶς δὲ ὁμοίως καὶ ὁ Υἱός, πῶς ἐλάττων αὐτοῦ ἐστιν; Ἔσται γὰρ οὐ τελείως φῶς, καταληφθήσεται δὲ ἀπὸ μέρους ὑπὸ τῆς σκοτίας, καὶ ψεύσεται λέγων ὁ Εὐαγγελιστής, *Ἡ σκοτία αὐτὸ οὐ κατέλαβε.* B Καὶ εἰ ζωή ἐστιν ὁ Πατήρ, ζωὴ δὲ ὁμοίως καὶ ὁ Υἱός, πῶς ἐλάττων αὐτοῦ ἐστιν; Οὐ γὰρ ἔσται τελείως ἐν ἡμῖν ἡ ζωή, κἂν εἰς τὸν ἔσω ἄνθρωπον κατοικήσῃ ὁ Χριστός. Νεκροὶ δέ πως κατά τι μέρος οἱ πιστεύσαντες, εἴπερ ἐστὶν οὐ τελείως ζωὴ τὸ ἔλαττον ἔχων ὁ Υἱός. Ἐπειδὴ δὲ χρὴ τὴν ἐν τούτοις ἀτοπίαν ὡς πορρωτάτω ποιεῖσθαι, τέλειον εἶναί φαμεν τὸν Υἱὸν τὸν τῷ τελείῳ Πατρὶ παρισούμενον διὰ τὸ τῆς οὐσίας ἀπαράλλακτον.

Ejusdem et hæc.

Æqualem se Deo et Patri declarans Christus quodam loco discipulos suos sic alloquitur: *Qui vidit me vidit Patrem* [3]. Quomodo qui natura talis est ut ipse vera dicens affirmat, Patre minor erit, ut quidam temere opinantur? Si enim minor exsistens in seipso Patrem exprimit, cum nulla intercedat immutatio, illud ipsum in Patrem recidet, quippe qui in imagine, nempe in Filio cernatur expressus. Sed hoc absurdum est. Non igitur Filius minor, in quo Pater perfectus exprimitur.

Καὶ τοῦτο.

Ἴσον ἑαυτὸν ἐπιδεικνὺων τῷ Θεῷ καὶ Πατρί, φησί που Χριστὸς πρὸς τοὺς οἰκείους μαθητάς, *Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα.* Εἶτα πῶς ὁ κατὰ φύσιν τοιοῦτος, οὕτω τε ὑπάρχων, ὡς αὐτὸς ἀληθεύων διισχυρίζεται, τὸ ἔλαττον ἕξει κατὰ τήν τινων C ἀβουλίαν; Εἰ γὰρ ὑπάρχων ἐλάττων ἐν ἑαυτῷ δεικνύει τὸν Πατέρα, μηδεμιᾶς μεσολαβούσης παραλλαγῆς, ἐπὶ τὸν Πατέρα τὸ ἔλαττον ἀναβήσεται, ὡς ἐν ἀμεταποιήτῳ φαινόμενον εἰκόνι τῷ Υἱῷ. Ἀλλὰ τοῦτο ἄτοπον. Οὐκοῦν οὐκ ἐλάττων ὁ Υἱός, ἐν ᾧπερ ἐξεικονίζεται τέλειος ὁ Πατὴρ ὤν.

Ejusdem et hæc.

Quomodo Filius minor, quem ea quæ Patris sunt, habere constat? Vere enim dicit: *Omnia quæ Pater habet, mea sunt.* Et rursum Deum, et Patrem alloquens, *Omnia*, inquit, *mea tua sunt, et tua mea* [4]. Si enim, ut temere quidam sentiunt, minor est Filius, cum vero pronuntiet hic Patrem alloquens: *Omnia mea tua sunt, et tua mea*, cadet et in Patrem, ut minor sit, et in Filium, ut major, cum rerum ordo diversus non sit, et in utroque ea cernantur, quæ alterius sunt, et quod Patris est, id etiam Filii sit, et contra. Nihil igitur prohibebit et Patrem Filio minorem dicere, et Patre majorem Filium. Quæ quidem cum vel cogitare sit absurdissimum, sequitur ut æqualis Patri sit Filius, qui omnes cum Patre communes habet essentiæ dignitates.

Καὶ τοῦτο.

Καὶ πῶς ἂν τὸ ἔλαττον, ἐν οἷσπέρ ἐστιν ὁ Πατὴρ ὢν ὁ Υἱὸς ἐπιδέξηται, λέγων ἀνεγκλήτως, *Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι;* καὶ πάλιν ὡς πρὸς τὸν Θεὸν καὶ Πατέρα, ὅτι *Πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά.* Εἰ γὰρ ὄντως ἐστὶ κατὰ τήν τινων ἀβουλίαν ἐλάττων ὁ Υἱός, ἐπειδήπερ ἀληθεύει λέγων πρὸς τὸν Πατέρα, *Τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ* D *ἐμά*, χωρήσει καὶ ἐπὶ τὸν Πατέρα τὸ ἔλαττον, καὶ τὸ μεῖζον ὁμοίως ἐπὶ τὸν Υἱόν, ἀδιαφορούσης τῆς τῶν πραγμάτων τάξεως, εἴπερ ἐν ἑκατέρῳ τὰ ἑκατέρῳ προσόντα φαίνεται, καὶ ὅπερ ἂν εἴη τοῦ Πατρός, τοῦτό ἐστι καὶ τοῦ Υἱοῦ, καὶ πάλιν ὅπερ ἂν ὑπάρχον τοῦ Υἱοῦ ἴδιον φαίνηται, τοῦτό ἐστι καὶ τοῦ Πατρός. Οὐδὲν οὖν κωλύσει λέγειν ἐλάττονα τοῦ Υἱοῦ τὸν Πατέρα, καὶ μείζονα τοῦ Πατρὸς τὸν Υἱόν. Ἀλλ' ἔστι τῶν ἀτοπωτάτων καὶ μόνον ἐννοεῖν τι τοιοῦτον. Ἴσος ἄρα, καὶ οὐκ ἐλάττων ὁ κοινὰ πρὸς τὸν Πατέρα τὰ τῆς οὐσίας ἔχων πλεονεκτήματα.

Ejusdem et hæc.

Quodam loco Servator, sicut ipse in Patre est, sic Patrem in se esse dicit. Nullo autem pacto cogi-

Καὶ τοῦτο.

Οὕτω πού φησιν ὁ Σωτήρ, ὡς εἴη μὲν αὐτὸς ἐν Πατρί, καὶ ὁ Πατὴρ δὲ ὁμοίως ἐν αὐτῷ. Ἀλλ' ἔστι

[1] Matth. xvi, 27. [2] Joan. i, 5. [3] Joan. xiv, 9. [4] Joan. xvii, 10.

A παντί που δῆλον, ὡς οὐ προσήκει νοεῖν καθάπερ σῶμα ἐν σώματι, ἢ σκεῦος ἐν σκεύει, οὕτω χωρητὸν ἐν Υἱῷ τὸν Πατέρα, ἢ αὖ πάλιν τὸν Υἱὸν ἀντεμβιβάζεσθαι τρόπον τινὰ τῷ Πατρὶ, καὶ οὗτος δὲ ἐν ἐκείνῳ, κἀκεῖνος ἐν τούτῳ φαίνεται, ὡς ἐν ταυτότητι τῆς οὐσίας ἀπαραλλάκτῳ, καὶ τῇ κατὰ φύσιν ἑνότητί τε καὶ ὁμοιότητι· ὥσπερ ἂν εἴ τις καὶ ἐν εἰκόνι τὴν οἰκείαν καταθεώμενος μορφὴν, λέγοι πρός τινας ἀληθεύων, καὶ τὴν εἰς ἄκρον ἐξησκημένην ἐμφέρειαν τοῦ οἰκείου σχήματος ἀποθαυμάζοι βοῶν, Ἐγὼ ἐν τῇδε τῇ γραφῇ, καὶ ἡ γραφὴ δὲ ἐν ἐμοί· ἢ καὶ ὥσπερ πάλιν, εἰ ἡ ἐκ πυρὸς φυσικῶς ποιοῦσα θερμότης φωνὴν ἀφιεῖσα λέγοι, Ἐγὼ ἐν τῷ πυρὶ, καὶ τὸ πῦρ δὲ ἐν ἐμοί. Ἔστι μὲν γάρ πως τῶν εἰρημένων ἕκαστον ἐπινοίᾳ μεριστὸν, ἐν δὲ τῇ φύσει, καὶ ἓν ἐξ ἑνὸς ἀμερίστῳ τινὶ προόδῳ B προκύπτον, ὥσπερ καὶ χωρίζεσθαι δοκοῦν τοῦ ἐν ᾧπέρ ἐστιν· ὅμως δ' οὖν, εἰ καὶ τοῦτον ἔχει τὸν τύπον τῶν ἐπ' αὐτοῖς νοημάτων ἡ δύναμις, ἀλλ' ἓν ἐν ἑτέρῳ φαίνεται, καὶ ταυτόν εἰσιν ὅσον εἰς οὐσίαν ἀμφότερα. Εἴπερ οὖν διὰ τὸ τῆς οὐσίας ἀπαράλλακτον καὶ τὸ ἐν τῷ χαρακτῆρι παντελῶς ἀπαραποίητον ὁ Πατὴρ ἐν Υἱῷ ἐστι, πῶς ὁ μείζων ἐν ἐλάττονι κατ' ἐκείνους ὄντι τῷ Υἱῷ χωρήσει, καὶ ὀφθήσεται; Ἐπειδὴ δὲ ὅλως ἐστὶν ἐν αὐτῷ τέλειος, ἄρα πάντως ἐστὶν ὁ Υἱὸς ὁ τοῦ τελείου χωρητικὸς, καὶ χαρακτὴρ τοῦ μεγάλου Πατρός.

tandum est, ut corpus in corpore, aut vas in vase, sic Filium in Patre aut Patrem in Filio esse. Sic igitur Pater in Filio, et Filius in Patre est, ut in ejusdem essentiæ ejusdemque naturæ certissima similitudine. Ut si quis propriam in imagine similitudinem vere et singulariter expressam intuens admirationeque plenus aliquos alloqueretur: Hæc, inquiens, effigies in me est, et ego in illa. Aut si caliditas ex igne naturaliter proveniens vocem ad hunc modum emitteret: Ego in igne, et ignis in me est. Utrumque enim eorum quæ dicta sunt, cogitatione quidem dividi potest, natura tamen unum est, et unum ex altero sine ulla sectione proficiscitur. Quamvis enim animus ea vicissim distinguat, unum tamen atque idem utraque esse perspiciuntur, quantum ad essentiam pertinet. Si igitur propter ejusdem essentiæ perfectissimam atque immutabilem in imagine similitudinem Pater in Filio est, quomodo major Pater, ut isti putant, in minore Filio esse et perspici potest? Cum ergo Pater omnino sit in Filio, Filius plane perfectus est, qui perfectum capiens, figura et imago est magni Patris.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τῆς ἁγίας Τριάδος λόγου.

Ἵνα δὲ Πατρὸς καὶ Υἱοῦ τὴν ἰσότητα δείξωμεν, ἐπ' αὐτὴν ἔλθωμεν τὴν τοῦ Κυρίου διδασκαλίαν. *Οὐδεὶς*, φησὶν, *οἶδε τὸν Υἱὸν εἰ μὴ ὁ Πατὴρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἂν βούληται ὁ Υἱὸς ἀποκαλύψαι*. Τί τούτων C σαφέστερον τῶν ῥημάτων; Ἴση, φησὶν, ἡμῖν ἐστιν ἡ γνῶσις. Γινώσκω γὰρ τὸν Πατέρα γινωσκόμενος ὑπ' αὐτοῦ, καὶ γινώσκει με ὁ Πατὴρ γινωσκόμενος ὑπ' ἐμοῦ. Πᾶσα δὲ ἡ κτίσις τῆς ἡμετέρας ἐκβέβληται γνώσεως· πῶς γὰρ οἷόν τε τῆς φύσεως ἡμῶν οὐ κοινωνοῦσαν κοινωνῆσαι τῆς γνώσεως; Μεταλαγχάνουσι δ' ὅμως τινὲς βραχείας τινὸς θεωρίας. Ἀποκαλύπτω γὰρ ὡς οἷόν τε οἷς ἂν ἐθέλω τὴν περὶ τοῦ Πατρὸς γνῶσιν ὡς ἐν ἐσόπτρῳ καὶ αἰνίγματι. Ταῦτα ἐκ τῶν Δεσποτικῶν ἐμάθομεν διδαγμάτων. Ποίαν ἐνταῦθα χώραν ἔχει τὸ μεῖζον καὶ τὸ ἔλαττον;

Ejusdem ex libro de sancta Trinitate.

Verum ut Patris et Filii demonstremus æqualitatem, ad Domini doctrinam accedamus: *Nemo*, inquit, *novit Filium nisi Pater, neque Patrem novit quisquam nisi Filius, et cui voluerit Filius revelare*[1]. Quid hisce verbis clarius? Par, inquit, nobis cognitio est. Cognosco Patrem a Patre cognitus; cognoscit me Pater a me cognitus. Omnes autem res procreatæ ab hac arcentur cognitione. Quomodo enim quæ naturæ nostræ non sunt participes, cognitionis participes sint? Parvam tamen quidam notitiam assequuntur. Ego enim illis, quoad eorum natura capit, tanquam in speculo atque ænigmate Patris notitiam impertio. Hæc ex Domini doctrina didicimus. Quem igitur hic majus et minus locum habet?

Τοῦ αὐτοῦ ἐκ τοῦ ι' κεφαλαίου τοῦ α' βιβλίου τοῦ Θησαυροῦ.

D Λέγει που Χριστός· « Ὁ Πατὴρ ὁ πέμψας με, μείζων μού ἐστι. » Μαρτυρεῖ δὲ πάλιν ἡ θεία Γραφὴ περὶ αὐτοῦ ὅτι « Οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. » Πῶς οὖν ἔσται καὶ ἴσος, καὶ μείζονα ἕξει τὸν Πατέρα, ζητητέον ἀκριβῶς· ἐναντία γὰρ ἀλλήλοις τὰ τοιαῦτά ἐστιν. Ἐπειδὴ δὲ δοκιμάζειν εὐσεβῶς πρόκειται τὰ ῥητὰ, οὔτε τὸ ἴσον ἐκβαλοῦμεν διὰ τὸ μεῖζον, οὔτε μὴν τὸ μεῖζον διὰ τὸ ἴσον ἀναιρήσομεν· κρατήσει δ' ἀμφότερα θεωρίας εὐσεβῶς εἰσφερομένης ἐπ' αὐτοῖς. Οὐκοῦν ἁπλῆ τις οὖσα καὶ ἀσύνθετος ἡ τῆς θεότητος φύσις, οὐκ ἂν ἐτμήθη ποτὲ ταῖς ἐπινοίαις εἰς δυάδα Πατρὸς καὶ Υἱοῦ, εἰ μή τις εὐ-

Ejusdem ex Thesauri cap. 10 primi libri.

Christus alicubi ait: « Pater qui misit me, major me est[2]. » Divina etiam Scriptura hoc de eo testatur, quod « Non rapinam arbitratus est se esse æqualem Deo[3]. » Quonam igitur pacto futurus sit æqualis, et majorem se habiturus Patrem, accurate nobis inquirendum est: pugnare enim hæc inter se videntur. Cum autem nobis propositum sit pie hæc dicta examinare, neque æqualitate eum privabimus, eo quod major sit Pater; neque rursus majorem esse Patrem negabimus ob æqualitatem Filii. Utrumque enim locum habebit, si ea pie considerare intelligereque velimus. Simplex itaque et non com-

[1] Matth. xi, 27. [2] Joan. xiv, 28. [3] Philipp. ii, 6.

posita deitatis natura nunquam in dualitatem Patris et Filii secta fuisset, nisi prius aliqua differentia fuisse visa esset, non secundum essentiam, sed extrinsecus intellecta, per quam utriusque persona inducitur peculiari quidem hypostasi constans, sed in unitatem divinitatis per naturalem identitatem constricta; ne aliqua confusio fiat Patris et Filii, concurrente in solam unitatem hypostasi, cum magna quæ inter eos intercedit similitudo dualitatem apparere non sinat: adeo ut hinc nonnulli inter Patrem et Filium nullam plane dualitatem constituerint. Cum vero oporteret et generantem naturam, et eam quæ ex ea genita est cognoscere, sacra Scriptura Patris et Filii nomina constituit, ut lumen ex lumine intelligeretur, utrique propriam suam ac peculiarem hypostasim tribuens, servata tamen in utroque naturæ identitate. Nostræ vero consuetudini sese accommodans, Patri hoc tribuit ut major sit: ut nimirum undequaque dualitas personarum gignentis et genitæ significetur; tribuit autem æqualitatem, ne aliqua Patris a Filio essentiæ dissimilitudo intelligatur. Æqualis itaque essentiæ ratione exsistens cum Patre Filius, similisque per omnia, majorem illum vocat, tanquam principio carentem, ipse principium habens ea tantum ratione quod ex Patre est, tametsi exsistentiæ ratione cum eo conveniat.

A δόκει προκεῖσθαι διαφορά, οὐ κατὰ τὴν οὐσίαν φημί, ἀλλ' ἔξωθεν ἐπινοουμένη, δι' ἧς τὸ ἑκατέρου πρόσωπον εἰσφέρεται ἐν ἰδιαζούσῃ μὲν ὑποστάσει κείμενον, εἰς ἑνότητα δὲ θεότητος διὰ ταυτότητος φυσικῆς σφιγγόμενον, ἵνα μή τις ἀνάχυσις καὶ οἱονεὶ φυρμὸς γένηται Πατρὸς καὶ Υἱοῦ, εἰς μόνην ἑνάδα τρεχούσης τῆς ὑποστάσεως, τῆς πολλῆς λίαν ὁμοιότητος οὐκ ἐώσης φαίνεσθαι δυάδα· ὡς ἐντεῦθεν ἤδη καὶ τὸν αὐτὸν Πατέρα καὶ Υἱὸν ὑπονοεῖσθαι παρά τισιν εἰς δυάδα μηδαμόθεν χωριζομένους. Ἐπειδὴ δὲ ἐχρῆν εἰδέναι καὶ τὴν γεννήσασαν φύσιν καὶ τὴν γεννηθεῖσαν ἐξ αὐτῆς, τέθεικεν ἡ θεία Γραφὴ τὸ τοῦ Πατρὸς ὄνομα καὶ τὸ τοῦ Υἱοῦ, ἵνα φῶς ἐκ φωτὸς νοῆται, καὶ ἑκάτερον ἐν ἰδίᾳ ὑποστάσει σωζομένης ἐπ' ἀμφοῖν τῆς ταυτότητος πρὸς τὸν ἕτερον. Ἀκολουθοῦσα B δὲ πάλιν τῇ καθ' ἡμᾶς συνηθείᾳ, τὸ μείζονα ἀποδίδωσι τῷ Πατρί, ἵνα πανταχόθεν ἡ δυὰς καὶ τὸ ἐξ οὗ σημαίνηται· προσμαρτυρεῖ δὲ τὸ ἴσον, ἵνα μή τις περὶ τὴν οὐσίαν ἀνομοιότης νοῆται Πατρὸς καὶ Υἱοῦ. Ἴσος τοιγαροῦν κατὰ τὸν τῆς οὐσίας λόγον ὑπάρχων ὁ Υἱὸς τῷ Πατρὶ καὶ ὅμοιος κατὰ πάντα, μείζονα αὐτόν φησιν ὡς ἄναρχον, ἔχων ἀρχὴν κατὰ μόνον τὸ ἐξ οὗ, εἰ καὶ σύνδρομον αὐτῷ τὴν ὕπαρξιν ἔχει.

Ejusdem et hæc.

Quæ ejusdem substantiæ sunt et naturæ, magis etiam proprie inter se conferri possunt: quæ vero ita sese non habent, sed diversæ naturæ sunt, atque ea de causa diversitate quadam inter se distincta, comparari sibi invicem non possunt. Neque enim quisquam nisi judicii inops, hominis naturam inquirens dicat, bovem homine majorem esse, aut vicissim bovis naturam nosse volens, dicat hominem eo majorem esse. Quæ enim ejusdem naturæ ac speciei sunt, ut dictum est, ea commode apteque inter se conferuntur. Si itaque confertur, secundum vos, Filius cum Patre, ratione majoris et minoris, consubstantialis certe neque diversus ab eo erit. Consubstantiale autem non potest consubstantiali majus aut minus esse ratione substantiæ: neque enim homo homine major est, quatenus homo est. Æqualis igitur est et consubstantialis Patri Filius; ratione vero incarnationis credimus Patrem majorem a Filio vocatum. Quando enim humanitatem assumpsit, tum etiam ut homo hoc dixit.

Καὶ τοῦτο.

Τὰ τῆς αὐτῆς οὐσίας ὄντα καὶ φύσεως καὶ τὴν πρὸς ἄλληλα σύγκρισιν κυριωτέραν ἐπιδέχεται· τὰ δὲ μὴ οὕτως ἔχοντα, ἑτεροφυῆ δὲ ὄντα, καὶ διὰ τοῦτο C τεμνόμενα πρὸς ἀλλοτριότητα, οὐκ ἂν ἀλλήλοις συγκρίνοιτο· ἀπαιδευσία γὰρ τοῦτό γε. Οὐ γὰρ ἄν τις εἴποι νοῦν ἔχων, μείζονα τοῦ ἀνθρώπου τὸν βοῦν, τὴν ἀνθρώπου φύσιν ἐρευνῶν· οὐδ' αὖ πάλιν τὴν τοῦ βοὸς ἐκμαθεῖν βούλοιτο, μείζονα τούτου τὸν ἄνθρωπον λέγοι. Τὰ γὰρ ὁμοφυῆ τε καὶ ὁμοειδῆ, καθάπερ εἴρηται, τὴν πρὸς ἄλληλα σύγκρισιν ἀκόλουθόν τε καὶ πρέπουσαν ἔχει. Εἰ τοίνυν συγκρίνεται, καθ' ὑμᾶς, ὁ Υἱὸς τῷ Πατρὶ κατὰ τὸ μεῖζον καὶ ἔλαττον, ὁμοούσιος ἄρα καὶ οὐκ ἀλλότριος αὐτοῦ ἐστιν. Ὁμοούσιον δὲ ὁμοουσίου οὐκ ἂν γένοιτο μεῖζον καὶ ἔλαττον κατὰ τὸν τῆς οὐσίας λόγον· οὐ γὰρ μείζων ἄνθρωπος ἀνθρώπου, καθὸ ἄνθρωπος. Ἴσος ἄρα τῷ Πατρὶ καὶ ὁ Υἱὸς καὶ ὁμοούσιος· οἰκονομικῶς δὲ εἰρῆσθαι πιστεύομεν ἐπὶ τοῦ Πατρὸς τὸ μεῖζον. Ὅτε γὰρ D ἐνανθρωπήσας φαίνεται, τότε καὶ τοῦτό φησιν ὡς ἄνθρωπος.

Ex primo Thesauri libro cap. 9.

Quod ex causa aliqua est, vel genitum est, inquit, necessarium est ut sit secundum ab illo quod ei causa exsistentiæ fuit. Secundus itaque erit Filius a Patre, quippe qui Patrem ut causam habet: atque idcirco ne consubstantialis quidem ei erit. Aut si quis contentiosius urgeat, consubstantialem eum esse dicens, una certe deitas sectionem admittens in dualitatem divisa erit: neque enim aliter consubstantialis esse potest.

Τοῦ αὐτοῦ ἐκ τοῦ θ' κεφαλαίου τοῦ α' βιβλίου τοῦ Θησαυροῦ περὶ ὁμοουσίου.

Τὸ ἐξ αἰτίου τινὸς ὄν, ἢ γεγεννημένον, φησίν, ἀνάγκη δεύτερον εἶναι τούτου, ὃ δὴ καὶ γέγονεν αὐτῷ τοῦ εἶναι αἴτιον. Οὐκοῦν δεύτερος ἔσται τοῦ Πατρὸς ὁ Υἱὸς αἴτιον αὐτὸν ἔχων· καὶ διὰ τοῦτο οὐχ ὁμοούσιος. Ἢ ἀφιλονεικότερον ἐνστήσεταί τις ὁμοούσιον αὐτὸν εἶναι λέγων, ἡ μία θεότης, ἄρα, τομήν τινα χωρήσασα, γέγονεν εἰς δυάδα· οὐ γὰρ ἑτέρως ὁμοούσιος εἶναι δύναται.

Debacchatur rursum Christi hostis, temereque adversus divinam essentiam blaterat. Secari enim

Οὐκ αἰσθάνεται πάλιν μεθύων ὁ χριστομάχος, καὶ μάτην καταφλυαρῶν τῆς θείας οὐσίας. Τὸ μὲν γὰρ

τέμνεσθαι καὶ διάστασίν τινα μεταξὺ τὴν πρὸς ἄλληλα A δύνασθαι λαβεῖν, σωμάτων ἴδιον. Ἡ δὲ θεία τοῦ Πατρὸς οὐσία, ἀσώματος οὖσα, τομῆς τε καὶ διαιρέσεως ἀνεπιδεκτός ἐστιν· οὔτε δὲ ἐν τόπῳ μένουσα, οὔτε ὑπό τινος οὖσα χωρητή, ἀλλ' ἐν ἀρρήτῳ τινὶ καὶ ἀφράστῳ καταστάσει κειμένη, τὸν Υἱὸν ἐξ ἑαυτῆς ἀδιαστάτως ἐξέλαμψεν· οὐκ ἂν ἑτέρως ἔχειν τὸ εἶναι τελεία δυναμένη, εἰ μὴ ἐγέννησε τὸν Υἱὸν, καὶ ἀνεδείχθη καρπογόνος· καὶ πάλιν οὐκ ἂν ἑτέρως ἐσομένη δημιουργὸς, εἰ μὴ τέτοκεν ἐξ ἑαυτῆς ἀμερίστως τὸν Υἱὸν, δι' οὗ τὰ πάντα ἐργάζεται. Ἔστιν οὖν ὁ Υἱὸς γεννηθεὶς ἐκ Πατρὸς, οὐ κατά τινα τομὴν, ἢ ἀπόῤῥοιαν, καθάπερ ὑμεῖς φαντάζεσθε· ἀλλ' ὥσπερ ἐκ πυρὸς θερμότης, ἀμερίστως ἐκ τῆς τοῦ τεκόντος προελθὼν οὐσίας.

Καὶ τοῦτο. B

Εἰ ὁμοούσιός ἐστι, φησὶν, ὁ Υἱὸς τῷ Πατρὶ, τί μὴ καὶ αὐτός ἐστιν ἀγαθὸς οὕτως ὡς ὁ Πατήρ; Λέγει γάρ που πρός τινα ὁ Χριστός· « Τί με λέγεις ἀγαθόν; Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός. » Ἕνα δὲ εἰπὼν, ἑαυτὸν ἔξω τέθεικεν, ὡς ἀγαθὸν μὲν ὄντα καὶ αὐτὸν, οὐχ οὕτω δὲ ὥσπερ ἂν εἴη καὶ ὁ Πατήρ.

Κύριον ἀποκαλούσης τὸν Υἱὸν τῆς θείας Γραφῆς, δώσεις ἄρα καὶ αὐτὸν εἶναι Κύριον, καὶ τοῦτο κατὰ ἀλήθειαν, ἢ πρὸς τοῖς ἄλλοις ἀρνήσῃ καὶ τόδε. Εἰ μὲν γὰρ οὐκ εἶναι Κύριον ἐρεῖς, τἀναντία φρονεῖς ταῖς θείαις Γραφαῖς καὶ τῷ ταῦτα λαλήσαντι Πνεύματι. Συντιθέμενος δὲ καὶ φάσκων αὐτὸν εἶναι Κύριον, ἀσεβῶς ἐλεγχθήσῃ καὶ Κύριον λέγων καὶ προσκυνῶν ὃν οὐ φῂς ὁμοούσιον εἶναι τῷ Θεῷ καὶ Πατρὶ, καὶ C κτίσματι μᾶλλον ἢ Θεῷ κατὰ φύσιν λατρεύεις. Τὸ γὰρ ἑτέρας ὑπάρχον οὐσίας παρὰ τὸν ὄντα Θεὸν, οὐκ ἂν εἴη φύσει Θεός. Καὶ τούτου μάρτυς ἡ θεία λέγουσα Γραφή· « Κύριος ὁ Θεὸς ἡμῶν, Κύριος εἷς ἐστι· » μία γὰρ θεότητος φύσις. Καὶ ὅτι ταύτῃ μόνῃ δεῖ προσκυνεῖν, ἀκούσῃ πάλιν· « Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. » Εἰ τοίνυν διὰ τὸ μόνον ἀγαθὸν λέγεσθαι τὸν Θεὸν καὶ Πατέρα, ἐκπεσεῖται τοῦ εἶναι ἀγαθὸς ὁ Υἱὸς οὕτως ὡς ὁ Πατὴρ, καὶ διὰ τὸ ἕνα λέγεσθαι Κύριον καὶ Θεὸν τὸν Πατέρα, ἐκπεσεῖται τοῦ εἶναι Κύριος καὶ Θεὸς ὁ Υἱὸς, κατὰ τὴν τοῦ νοήματος ἀκολουθίαν· πῶς οὖν προσκυνεῖς τῷ μήτε Κυρίῳ μήτε Θεῷ; Εἰ δὲ Κυρίου καὶ Θεοῦ τοῦ Πατρὸς ὄντος, συνεπάγεται καὶ ὁ Υἱὸς τὴν ἐκεῖθεν ἰδιότητα ἔχων ὡς ἐξ αὐτοῦ κατὰ D φύσιν ὑπάρχων, καὶ ἔστι μετὰ Πατρὸς Κύριος καὶ Θεὸς, ἕξει πάντως καὶ τὸ εἶναι ἀγαθὸς ὡς ὁ Πατὴρ, τῆς πατρικῆς ἰδιότητος κἂν τούτῳ πάλιν ὑπαρχούσης ἐν αὐτῷ, καθάπερ καὶ ἐν ἐκείνῳ.

Καὶ τοῦτο.

Πολλὰ περί τε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ λέγουσιν αἱ θεῖαι Γραφαὶ, καὶ οὐ τὸ τῶν ὀνομάτων διάφορον διαστέλλει πάντως αὐτοῖς καὶ τῆς οὐσίας τὸν λόγον, ὡς ἀνομοιότητά τινα διὰ τούτων χωρῆσαι μεταξύ. Ἔστι γὰρ μία θεότης Πατρὸς καὶ Υἱοῦ, κἂν ἑκάτερος τῇ τῶν ὀνομάτων ποικιλίᾳ διαφόρως σημαίνηται, οὐχ ὡς ἴδιον ἔχων τι καὶ καθ' ἑαυτὸν, ὃ μὴ τῷ ἑτέρῳ πρόσεστιν, ἀλλ' ὡς ἐπ' ἀμφοῖν χωρεῖν δυναμένου παντὸς

[1] Deut. vi, 4. [2] Deut. x, 20; Matth. iv, 10.

A et divisionem aliquam recipere posse, corporum proprium est. Divina autem Patris essentia, cum sit incorporea, sectionis aut divisionis capax non est; neque in loco exsistit, neque a quoquam continetur; sed in arcano atque ineffabili statu consistens, Filium ex se immediate protulit; neque alia ratione perfecta esse potest, nisi Filium genuerit, et fecunda ostensa sit, neque rursum creatrix esse potest, nisi genuerit ex se indivulse Filium, per quem omnia operatur. Est igitur genitus ex Patre Filius, non sectione aut defluxu aliquo, sicut vos imaginamini; sed quemadmodum caliditas ex igne, indivulse ex essentia gignentis procedit.

B *Ejusdem et hæc.*

Si, inquit, Filius est consubstantialis Patri, cur non etiam ipse est bonus ita ut Pater? Christus enim alicubi ad quemdam ita ait : « Cur me dicis bonum? Nemo bonus nisi unus Deus. » Unum vero cum dixit, seipsum excepit, quippe qui bonus etiam ipse sit, non tamen ita bonus ut Pater.

Cum sacra Scriptura Filium Dominum vocet, fateberis profecto etiam ipsum Dominum esse, et quidem vere, aut una cum aliis etiam hoc negabis. At si negabis Dominum esse, contrarium plane sentis a Scripturis et a Spiritu hoc loquente. Si concesseris dixerisque Dominum esse, impie agere deprehenderis, quippe qui Dominum voces et adores C eum quem consubstantialem esse Deo ac Patri negas, et creaturam potius quam verum Deum colis. Quod enim alterius naturæ est ab eo qui vere est Deus, id natura Deus esse non potest. Quod etiam ipsa sacra Scriptura testatur, dicens : « Dominus Deus noster, Dominus unus est [1] : » una enim est deitatis natura. Quod vero hanc solam adorare oporteat, audies rursum : « Dominum Deum tuum adorabis, et ei soli servies [2]. » Si igitur quia Deus ac Pater solus dicitur bonus, Filius bonus esse non potest sicut Pater, eademque ratione cum unus Pater dicitur Dominus et Deus, sequitur etiam necessario ex eodem argumento Filium neque Dominum neque Deum esse : quo pacto igitur adoras eum qui nec Dominus, nec Deus est? Si vero, cum Pater sit D Dominus et Deus, simul etiam inducitur Filius, eamdem habens proprietatem, utpote ex ipso naturaliter procedens, et est cum Patre Dominus ac Deus, necessario etiam bonus erit, ut Pater, cum paterna proprietas etiam hac in parte in ipso exsistat, perinde atque in illo.

Ejusdem et hæc.

Multa de Patre et Filio sacra Scriptura prædicat, neque tamen differentia nominum essentiæ rationem in universum distinguit, ita ut inde dissimilitudo quædam eos separet. Una enim est deitas Patris et Filii, etiamsi uterque per varia nomina differenter significetur : non quod alteruter proprium aliquid in se habeat, quod alteri non insit, sed quod de utroque dici possit quidquid de

uno dicitur, excepta solummodo Patris et Filii appellatione ac re. Nam Pater semper est Pater, neque unquam fuerit Filius; Filius contra semper est Filius, neque unquam fuerit Pater. Si quis vero voluerit dicere non posse utrique convenire appellationem quæ uni tribuatur, in maximum malum incidet. Quid enim faciat, dicente Paulo: « Unus Deus Pater ex quo omnia, et unus Dominus Jesus Christus per quem omnia [1]? » Ecce quam aperte Patri tribuat Deum esse et unum esse, Filio autem Dominum esse et unum. Num igitur idcirco Filius non erit Deus, quia Pater vocatur Deus et unus? aut Pater non erit Dominus, quia Filius appellatus est Dominus et unus? Minime vero, absit! Cum enim Pater sit Deus, Filius etiam est Deus: et rursus, cum Dominus sit Filius, Dominus est et Pater. Atqui si quæ esset essentiæ differentia quæ illos in duo divideret, neque naturali identitate convenire permitteret, unius appellatio alteri proprie tribui non posset. Quocirca cum omnia quæ Patris sunt Filio insint, et contra, quæ Filii sunt, insint Patri, ita ut nulla ratio identitatem impedire possit, erit etiam ipse bonus, quemadmodum Pater, atque ideo etiam consubstantialis.

Et hæc.

Si discrimen aliquod naturale Filium arcet, eumque a Patre essentia alienum esse declarat, quomodo vel ea ipse quæ Patris propria sunt, vel Pater quæ Filii sunt, propria gerit? Vera enim dicit Filius Patrem alloquens ad hunc modum: *Omnia tua mea sunt et mea tua* [2]. Quod si omnia, et unum omnium est id, quod est summe bonum, Filius habebit etiam hoc, quod naturæ paternæ proprium est, ut qui ex ipso Patre exsistit. Qui autem ea, quæ essentiæ paternæ propria sunt, habet, is ejusdem est prorsus essentiæ.

Et hæc.

Si idcirco Filius non est secundum essentiam similis Patri neque consubstantialis, quia Pater ex nulla causa sive principio est, Filius vero Patrem principium habet, quid obstiterit quominus dicamus Cain etiam patri suo consubstantialem non fuisse? Si quidem Adam a nemine generatus fuit: primus enim hominum fuit. Cain vero ipsum auctorem et principium habuit, nam ex ipso genitus est. Atqui si hoc falsum est (consubstantialis enim Adamo est Cain), erit profecto consubstantialis Patri Filius, tametsi illum causam exsistendi habeat, procedens ex ipso absque tempore, et ab æterno cum ipso exsistens.

Et hæc.

Ardua scilicet hostium Christi objectio non efficiet ut Filius non sit consubstantialis Patri, ideo quia Pater ingenitus est, Filius vero genitus. Si enim differre in aliquo facit ut diversa sit in rebus natura, et genera a mutua inter se convenientia na-

[1] I Cor. VIII, 6. [2] Joan. XVII, 10.

A ὅπερ ἂν ἐφ' ἑνὸς λέγοιτο, δίχα μόνης τῆς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ προσηγορίας τε καὶ πράγματος. Ἔστι γὰρ ὁ Πατὴρ ἀεὶ Πατὴρ, καὶ Υἱὸς οὐκ ἂν γένοιτό ποτε· καὶ ἔστιν ὁ Υἱὸς ἀεὶ Υἱὸς, καὶ Πατὴρ οὐκ ἂν εἴη ποτέ. Εἰ δέ τις βούλοιτο φάσκειν μὴ δύνασθαι χωρεῖν ἐπ' ἀμφοῖν ὅπερ ἂν ἐφ' ἑνὸς φέροιτο πρόσρημα, μεγάλῳ περιπεσεῖται κακῷ. Τί γὰρ ἂν ποιήσαι, λέγοντος τοῦ Παύλου· « Εἷς ὁ Θεὸς ὁ Πατὴρ ἐξ οὗ τὰ πάντα· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα. » Ἰδοὺ γὰρ τῷ Πατρὶ τὸ εἶναι Θεὸν καὶ ἕνα δέδωκε· τῷ δὲ Υἱῷ τὸ εἶναι Κύριον καὶ ἕνα. Ἆρ' οὖν διὰ τοῦτο Θεὸς μὲν οὐκ ἔσται ὁ Υἱὸς, ἐπειδὴ Θεὸς καὶ εἷς ὁ Πατὴρ κατωνόμασται; Κύριος δὲ οὐκ ἔσται ὁ Πατὴρ, ἐπειδὴ Κύριος καὶ εἷς ὁ Υἱὸς ἐκλήθη; Ἀλλ' B οὐκ ἔστι τοῦτο, μὴ γένοιτο. Θεοῦ γὰρ ὄντος τοῦ Πατρὸς, Θεός ἐστι καὶ ὁ Υἱός· καὶ Κυρίου πάλιν ὄντος τοῦ Υἱοῦ, Κύριός ἐστιν ὁ Πατήρ. Ἀλλ' εἴπερ ἦν τις οὐσίας διαφορὰ τὴν δυάδα διατειχίζουσα, καὶ οὐκ ἐῶσα μίσγεσθαι φυσικῶς εἰς ταυτότητα, οὐκ ἂν, οἶμαι, κυρίως τὸ τοῦ ἑτέρου πρόσρημα τῷ ἑτέρῳ προσῆν. Ἐπειδὴ δὲ πάντα τὰ τοῦ Πατρὸς ἐν Υἱῷ φαίνεται, καὶ τὰ τοῦ Υἱοῦ πάλιν ἐν Πατρὶ, ὡς οὐδενὸς ἔτι τὸν τῆς ταυτότητος διείργοντος λόγον, ἔσται καὶ αὐτὸς ἀγαθὸς, ὡς ὁ Πατὴρ, καὶ διὰ τοῦτο ὁμοούσιος.

Καὶ τοῦτο.

Εἰ φυσική τις διάστασις εἴργει τὸν Υἱὸν, καὶ ἀλλότριον τῆς τοῦ Πατρὸς οὐσίας ὄντα δεικνύει, πῶς τὰ τοῦ Πατρὸς ἴδια φαίνεται φορῶν; Πῶς δὲ ὁ Πα- C τὴρ, εἴπερ ἀλλότριος κατὰ φύσιν τοῦ Υἱοῦ, τὰ αὐτοῦ ἴδια φορεῖ; Ἀληθεύει γὰρ λέγων ὁ Σωτὴρ ὡς πρὸς τὸν ἑαυτοῦ Πατέρα ὅτι *Πάντα τὰ σὰ ἐμά ἐστι, καὶ τὰ ἐμὰ σά.* Τοίνυν πάντα, ἓν δὲ τῶν πάντων ἐστὶ καὶ τὸ ἄκρως ἀγαθὸν, ἕξει τοῦτο καὶ ὁ Υἱὸς, ἰδίωμα φύσεως ὑπάρχων πατρικῆς· ὁ ἐξ αὐτοῦ προελθών. Ὁ δὲ τῆς πατρῴας οὐσίας ἔχων τὰ ἴδια εἴη πάντως ἂν καὶ ὁμοούσιος.

Καὶ τοῦτο.

Εἰ διὰ τοῦτο κατ' οὐσίαν ὁ Υἱὸς οὐκ ἔσται τῷ Πατρὶ προσεοικὼς οὐδὲ ὁμοούσιος, ἐπειδήπερ ὁ μὲν Πατὴρ οὐκ ἐξ αἰτίου τινός ἐστιν, ὁ δὲ Υἱὸς αἴτιον αὐτὸν ἔχει, τί κωλύσει λέγειν ὅτι καὶ ὁ Κάϊν οὐκ ἂν εἴη τῷ πατρὶ ὁμοούσιος; Ἐπειδήπερ ὁ μὲν Ἀδὰμ ὑπ' οὐ- D δενὸς ἐγεννήθη· πρῶτος γὰρ ἦν ἄνθρωπος. Ὁ δὲ Κάϊν αἴτιον ἔσχεν αὐτόν· ἐξ αὐτοῦ γὰρ γέγονεν. Εἰ δὲ ψεύσεται πάντως ὁ τοῦτο λέγων (ὁμοούσιος γὰρ τῷ Ἀδὰμ ὁ Κάϊν), ἔσται τῷ Πατρὶ πάντως ὁμοούσιος ὁ Υἱὸς, κἂν αἴτιον αὐτὸν ἔχῃ τοῦ εἶναι, ἐξ αὐτοῦ προελθὼν ἀχρόνως, καὶ ἀϊδίως ὢν σὺν αὐτῷ.

Καὶ τοῦτο.

Οὐκ ἀνατρέψει τὸ σοφὸν τῶν χριστομάχων πρόβλημα τὸ εἶναι τὸν Υἱὸν ὁμοούσιον τῷ Πατρὶ, ἐπειδήπερ ὁ μὲν Πατὴρ ἀγέννητός ἐστιν, Υἱὸς δὲ γεννητός. Εἰ γὰρ τὸ κατά τι διαφέρειν, πάντως καὶ διάφορον ἐν τοῖς οὖσι τὴν φύσιν ἀπεργάζεται, καὶ τῆς πρὸς ἄλληλα

κοινωνίας τε καὶ φυσικῆς ὁμοιότητος ἀποτέμνει τὰ γένη· διοριζέτωσαν, φέρε εἰπεῖν, καὶ τὸν Παῦλον ἀπὸ τοῦ Πέτρου κατὰ τὸν τῆς οὐσίας λόγον, ἐπειδήπερ τινὰ μερικὴν ἔχουσι καὶ ὡς ἐν ἀτόμῳ πρὸς ἀλλήλους τὴν διαφοράν, καθ' ἣν ὁ μὲν ἔστι Πέτρος, ὁ δὲ Παῦλος. Ὁρῶμεν δὲ ὅτι πολλάκις καὶ τὰ καθ' ἕτερόν τινα τρόπον τῆς ἀλλήλων ὁμοιότητος πολὺ διεστηκότα, κοινωνεῖ κατὰ τὸν τῆς οὐσίας λόγον. Ὁ μὲν γὰρ μέλας ἄνθρωπος τυχὸν ὡς πρὸς τὸν λευκὸν πολλὴν ἔχει τὴν διαφοράν, ἀλλ' οὐ τοῦτο τὴν οὐσίαν αὐτοῖς διατέμνει. Εἰ τοίνυν καὶ ἐφ' ἡμῶν αὐτῶν ἡ κατά τι διαφορὰ τὸ εἶναι τῆς αὐτῆς οὐσίας οὐκ ἀνατρέπει, ἧς ἂν εἶεν κἀκεῖνοι πρὸς οὓς ἂν διακρινοίμεθα· τί κωλύει καὶ τὸν Υἱὸν ὁμοούσιον εἶναι τῷ Πατρὶ, κατὰ τοῦτο διαφέροντα καθ' ὃ μὲν Πατὴρ ἀγέννητός ἐστιν, ὁ δὲ Υἱὸς γεννητός; Μία γὰρ ἐν αὐτοῖς ἡ θεότης, ἐκ Πατρὸς ἀγεννήτου τρέχουσα φυσικῶς ἐπὶ τὸ γέννημα.

Καὶ τοῦτο.

Εἰ ἤρξατο τοῦ γεννᾷν τὸν Υἱὸν ὁ Πατὴρ καὶ κατέπαυσε, κατὰ τὴν τῶν χριστομάχων μανίαν, ἀλλοίωσίς τις καὶ μεταβολὴ περὶ αὐτὸν γέγονεν. Ὃ γὰρ οὐκ ἦν πρὶν γεννῆσαι, γέγονε μετὰ τὸ γεννῆσαι. Εἰ δὲ τῶν τοιούτων ἀνωτέρω τὸ θεῖόν ἐστι τροπῆς τε καὶ ἀλλοιώσεως ἀνεπίδεκτον, οὐκ ἤρξατο τοῦ γεννᾷν, οὐδὲ κατέπαυσε, καθάπερ οὗτοί φασιν· ἀλλ' ἦν ἀχρόνως ἐν Πατρὶ ὁ τῶν αἰώνων καὶ χρόνων ποιητὴς Υἱός. Ἐπειδὴ δὲ συναΐδιος, διὰ τοῦτο καὶ ὁμοούσιος.

Καὶ τοῦτο.

Εἰ ἤρξατο τοῦ γεννᾷν ὁ Πατὴρ τὸν Υἱὸν, προσγέγονεν ἄρα τῇ οὐσίᾳ αὐτοῦ τοῦτο, καὶ ὅπερ οὐκ εἶχεν ἐν ἀρχῇ, προσέλαβεν ὕστερον. Τὸ δὲ προσθήκην ἐπιδεχόμενόν τινα, ἀτελὲς ἂν εἴη, καὶ οὐ τέλειον. Ἀλλὰ τοῦτο ἄτοπον· τελεία γὰρ ἡ τοῦ Πατρὸς οὐσία. Οὐκ ἄρα προσγέγονεν αὐτῇ τὸ γεννᾷν, ἀλλ' ἦν ἐν αὐτῇ τοῦτο οὐκ ἀρξάμενον. Εἰ δὲ οὐκ ἤρξατο γεννᾷν, συναΐδιος ἄρα ἐστὶ τῷ Πατρὶ ὁ ἐξ αὐτοῦ γεννηθεὶς Υἱός. Καὶ ὥσπερ εἰ ἀρχὴν ἔσχε τοῦ εἶναι, οὐκ ἂν ἦν ὁμοούσιος, οὕτως, ἐπεὶ μὴ ἔσχεν ἀρχὴν τὴν ἐν χρόνῳ, ἔσται πάντως ὁμοούσιος.

Καὶ τοῦτο.

Ὥσπερ οἱ τῇ ἀληθείᾳ μαχόμενοι, ἀρχὴν καὶ τέλος τῇ τοῦ Υἱοῦ γεννήσει περιτιθέντες, ἐκβάλλουσιν αὐτὸν τῆς ὁμοιότητος τῆς πρὸς τὸν Γεγεννηκότα· οὕτω καὶ ἡμεῖς οὔτε ἀρχὴν, οὔτε τέλος περὶ τὴν τοῦ Υἱοῦ γέννησιν παραδεχόμενοι, εἰσφέρομεν αὐτὸν εἰς ἀπαράλλακτον ὁμοιότητα τὴν πρὸς τὸν Πατέρα. Τὸ δὲ ὅμοιον κατὰ πάντα, καὶ ὁμοούσιον.

Καὶ τοῦτο.

Καὶ πῶς ἂν δύναιτο, φησὶ, ταυτότης οὐσίας ἐπί τε Πατρὸς καὶ Υἱοῦ σώζεσθαι, εἴ γε ὁ μὲν Πατὴρ ἀγέννητός ἐστι, γεννητὸς δὲ ὁ Υἱός; Ἀνάγκη γὰρ πᾶσα λέγειν ἐν οὐδενὶ παραλλάττειν τὸ ἀγέννητον πρὸς τὸ γεννητόν. Εἰ δὲ τοῦτο, οὐδὲν κωλύσει καὶ τὸν Πατέρα γεννητὸν εἶναι λέγειν καὶ τὸν Υἱὸν ἀγέννητον, καὶ συγκέχυται τὸ πᾶν.

A turalique similitudine separat, distinguant etiam Paulum a Petro ratione essentiæ, siquidem particularem quamdam habent ac veluti in individuo inter se differentiam, juxta quam hic quidem est Petrus, hic vero Paulus. Videmus autem sæpenumero etiam ea quæ alio modo a mutua inter se similitudine multum dissident, essentiæ ratione convenire. Nam homo niger multum differt ab albo, sed hæc differentia eorum substantiam non facit diversam. Si ergo etiam in nobis ipsis differentia secundum aliquid non immutat esse ipsum substantiæ, ex qua constant illi qui a nobis differunt, quid obstat quominus etiam Filius sit consubstantialis Patri, etiamsi in eo inter se differant quod Pater sit ingenitus, Filius autem genitus? Una enim in ipsis est deitas, ex Patre ingenito naturaliter in

B Filium procedens.

Et hæc.

Si cœpit generare Filium Pater et desiit, juxta insanam Christi hostium opinionem, alteratio quædam et mutatio ei accidit. Nam quod non erat antequam generaret, factus est postquam generavit. Atqui si divinitas nulli alterationi mutationive obnoxia est, non ergo cœpit generare, neque etiam desiit, quemadmodum isti opinantur, sed erat absque tempore in Patre, sæculorum et temporum omnium conditor Filius. Cum vero coæternus sit, necessario etiam consubstantialis.

Et hæc.

Si Pater cœpit generare Filium, accessit omnino hoc ad essentiam ipsius, et quod initio non habe-

C bat, postea accepit. Quod vero incrementi alicujus est capax, imperfectum censeri debet, non autem perfectum. Sed hoc absurdum est: perfecta enim est Patris essentia. Generare igitur non fuit in eo accessorium, sed infuit hoc ei ab æterno, neque unquam esse cœpit. Si autem non cœpit generare, coæternus ergo est Patri Filius ex ipso genitus. Et quemadmodum, si initium exsistendi habuisset, non esset consubstantialis Patri: ita, quia non habuit initium in tempore, consubstantialis omnino erit.

Et hæc.

Quemadmodum illi qui veritati repugnant, principium et finem generationi Filii ascribentes, ipsum

D ab similitudine cum Patre excludunt: ita nos, neque principium neque finem generationis Filii agnoscentes, omnimodam ei similitudinem cum Patre tribuimus. Quod vero per omnia simile est, consubstantiale etiam est.

Et hæc.

Quo pacto possit servari, inquit, identitas essentiæ in Patre et Filio, si Pater quidem ingenitus est, Filius autem genitus? Necessarium enim est plane fateri nulla ex parte similia esse ingenitum et genitum. At si similia sunt, nihil obstiterit quominus et Patrem genitum, et Filium ingenitum appellemus omniaque confundamus.

Et hæc.

Qui hæc ita imperite objicit, vicissim a nobis A audiet : Quo pacto non possit servari identitas essentiæ in Patre et Filio, si Filius est imago Patris, et in seipso ostendit Patrem? Manifestum enim est et ab omnibus admissum, neminem in alia natura aliam cernere ; neque quisquam dicere possit se, cum equum viderit, hominum aliquem vidisse. Nam in iis quæ ejusdem naturæ sunt similia etiam cernuntur, non in iis quæ inter se dissident, ratione modi quo exsistunt. Si ergo Philippo cupienti Patrem videre Christus seipsum ostendit, dicens : « Qui vidit me, vidit et Patrem[1] ; » necesse est omnino ut ejusdem essentiæ dicamus esse Filium cum Patre, ut omnimodam imaginem et characte- B rem suæ hypostaseos.

Et hæc.

Si, quemadmodum vos errantes, et in errorem alios adducentes opinamini, non ex essentia Patris Filius prodiit, sed extrinsecus, est autem ipse sapientia et potentia Patris, Pater natura nec sapiens, nec potens est, si quidem, ut erronee putatis, Filium extrinsecus produxit, qui est ejus sapientia et potentia. At Pater natura sapiens, et potens est, Filium igitur ex Patris essentia, et idcirco ejusdem etiam essentiæ cum illo esse, necesse est confiteri.

Et quatuor sequentia capita Filium esse demonstrant ejusdem essentiæ cum Patre

In lege, inquit, vestra scriptum est : *Duorum hominum testimonium esse verum.* Deinde subjicit : C *Ego sum, qui testimonium perhibeo de me ipso, et testimonium perhibet de me, qui misit me, Pater.* Imaginem igitur contuentes agnoscemus exemplar ejus. *Duorum*, inquit, *hominum testimonium verum est*, duorum autem hominum naturam esse unam omnes confitentur. Quare Patris et Filii essentiam esse unam omnes agnoscere possunt et confiteri. Sicut enim illic duo homines, ita hic Deus, et Deus, Pater et Filius, qui ipsis etiam hominibus eamdem naturam ostendunt. Neque enim verus Deus diversam a vero Deo naturam habeat, neque Filius ab illo differentem, cum Dei sit Filius. His auditis Judæi quæsiverunt : *Ubi est Pater tuus?* Quibus respondit Jesus : *Neque me nostis, neque Patrem* D *meum. Si me novissetis, et Patrem meum utique cognovissetis.*

Videte rursus quomodo hinc consubstantialitas demonstratur. Si me, inquit, sciretis, Patrem quoque meum sciretis. At vero ex eo quod diversum est natura, alterum item naturaliter diversum non dignoscitur. Namque aliena invicem et extranea invicem non demonstrant : sed naturæ communione conjuncta, ex alterutro noscuntur. Ex uno homine universam hominum naturam cognoscere licet; et ex una ove universum ovium genus : non tamen

[1] Joan. XIV, 9.

Καὶ τοῦτο.

Ὁ ταῦτα προτείνων ἀμαθῶς, ἀντακούσεται παρ' ἡμῶν· Καὶ πῶς ἂν δύναιτο ταυτότης οὐσίας μὴ σώζεσθαι ἐπί τε Πατρὸς καὶ Υἱοῦ, εἴ γε τοῦ Πατρὸς εἰκών ἐστιν ὁ Υἱὸς, καὶ ἐν ἑαυτῷ δείκνυσι τὸν Πατέρα; Εὔδηλον γὰρ δή πουθέν ἐστι καὶ πᾶσιν ὁμολογούμενον, ὡς οὐδεὶς ἐν ἑτέρᾳ φύσει τὴν ἑτέραν ὄψεται· οὐδ' ἄν τις ἔχοι λέγειν ἵππον ἑωρακὼς, ὅτι δή τινα τῶν ἀνθρώπων τεθέαται. Ἐν γὰρ τοῖς ὁμοφυέσιν ἡ τῶν ὁμοίων ἀπόδειξις, οὐκ ἐν τοῖς ἀλλήλων διεστηκόσι, κατὰ τὸν τοῦ πῶς εἶναι λόγον. Εἰ τοίνυν ζητοῦντι τῷ Φιλίππῳ τὸν Πατέρα ἰδεῖν, ἑαυτὸν ἐπιδεικνύει Χριστὸς, λέγων· « Ὁ ἑωρακώς ἐμὲ, ἑώρακε τὸν Πατέρα, » ἀνάγκη πᾶσα τῆς αὐτῆς οὐσίας εἶναι λέγειν τὸν Υἱὸν τῷ Πατρὶ, ὡς ἀπαράλλακτον εἰκόνα καὶ χαρακτῆρα τῆς ὑποστάσεως αὐτοῦ.

Καὶ τοῦτο.

Εἰ, καθάπερ ὑμεῖς οἴεσθε πλανῶντες καὶ πλανώμενοι, οὐκ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς προῆλθεν ὁ Υἱὸς, ὑπέστη δὲ ἔξωθεν, καὶ ἔστιν αὐτὸς ἡ σοφία καὶ δύναμις τοῦ Πατρὸς, οὔτε σοφὸς κατὰ φύσιν ἐστὶν ὁ Πατὴρ, οὔτε μὴν δυνατὸς, εἴ γε κατὰ τὴν ἀμαθεστάτην ὑμῶν πρότασιν ἔξωθεν ὑπέστησε τὸν Υἱὸν, ὅς ἐστιν αὐτῷ σοφία καὶ δύναμις. Ἀλλ' ἔστι κατὰ φύσιν σοφός τε καὶ δυνατός. Ἀνάγκη πᾶσα καὶ τὸν Υἱὸν ἐκ τῆς τοῦ Πατρὸς οὐσίας εἶναι λέγειν. Εἰ δὲ τοῦτο, καὶ ὁμοούσιος.

Καὶ τὰ ὑποτεταγμένα δ' κεφάλαια τοῖς ἄνω συμφθέγγονται περὶ τοῦ ὁμοουσίου.

Ἐν τῷ νόμῳ, φησὶ, τῷ ὑμετέρῳ γέγραπται, ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν. Εἶτα ἐπάγει, *Ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με Πατήρ.* Ἀποβλέψαντες τοίνυν εἰς τὴν εἰκόνα, νοήσωμεν τὸ ἀρχέτυπον. Δύο, φησὶν, ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστι. Τῶν δὲ δύο ἀνθρώπων ἡ φύσις μία δηλονότι παρὰ πᾶσιν ὡμολόγηται. Οὐκοῦν Πατρὸς καὶ Υἱοῦ ἡ οὐσία μία ἐκ τῆς εἰκόνος νοηθήσεταί τε καὶ ὁμολογηθήσεται. Ὥσπερ γὰρ ἐκεῖ δύο ἄνθρωποι, οὕτως ἐνταῦθα Θεὸς, καὶ Θεὸς, Πατὴρ, καὶ Υἱὸς, καὶ αὐτοῖς τοῖς ὀνόμασι δηλοῦντες τῆς φύσεως τὴν ταυτότητα. Οὔτε γὰρ ὁ ἀληθῶς Θεὸς ἑτέρας ἂν εἴη φύσεως παρὰ τὸν ἀληθῆ Θεὸν, οὔτε ὁ Υἱὸς ἄλλης παρ' ἐκεῖνον Θεοῦ ὑπάρχων Υἱός. Τούτων ἀκούσαντες οἱ Ἰουδαῖοι, ἠρώτησαν αὐτὸν, *Ποῦ ἐστιν ὁ Πατήρ σου;* ἀπεκρίθη τοίνυν ὁ Ἰησοῦς, *Οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν Πατέρα μου. Εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν Πατέρα μου ᾔδειτε ἄν.*

Ὁρᾶτε πάλιν πῶς ἐντεῦθεν τὸ ὁμοούσιον δείκνυται. Εἰ ἐμὲ γὰρ, φησὶν, ᾔδειτε, καὶ τὸν Πατέρα μου ᾔδειτε ἄν· ἐκ δὲ τοῦ ἑτεροουσίου τὸ ἑτεροούσιον οὐ γνωρίζεται· τὰ γὰρ ἀλλόφυλα καὶ ξένα, ἀλλήλων οὐκ εἰσὶ δηλωτικά· τὰ δὲ φύσεως κοινωνοῦντα, δι' ἀλλήλων γινώσκεται· δι' ἑνὸς μὲν ἀνθρώπου πᾶσαν τῶν ἀνθρώπων τὴν φύσιν ἰδεῖν ἔστι· καὶ δι' ἑνὸς προβάτου τῶν προβάτων ἅπαν τὸ γένος· οὐ μὴν διὰ προβάτων τοὺς λέοντας, οὐδὲ διὰ λεόντων τὰ πρόβατα, οὐδ' ἀγ-

γέλους διὰ ἀνθρώπων, οὐδὲ διὰ ἀγγέλων ἀνθρώπους· ζῶον γὰρ ἕκαστον τῆς οἰκείας δηλωτικόν ἐστι φύσεως. Εἰ τοίνυν ὁ μονογενὴς Λόγος τοῦ Θεοῦ κτίσμα, καὶ ἐξ οὐκ ὄντων, καὶ ἐξ ἑτέρας τινὸς γεγένηται φύσεως, πῶς ἐν αὐτῷ τὸν Πατέρα δείκνυσι πιστευόμενος; εἰ δὲ ὁ Πατὴρ διὰ τοῦ Υἱοῦ γινώσκεται, καὶ ὁ τὸν Υἱὸν γινώσκων, καὶ τὸν Πατέρα γινώσκει, πεδηθείη μὲν πᾶσα βλάσφημος γλῶσσα, καὶ τῷ λάρυγγι κατὰ τὸν προφήτην κολληθείη· ἡμεῖς δὲ οἱ τῆς Τριάδος προσκυνηταὶ ἀκριβῆ τοῦ ὁμοουσίου ἐντεῦθεν τὴν γνῶσιν λαμβάνομεν· λογιζόμενοι ὡς οὐκ ἂν ἑτέρως ἐν Υἱῷ Πατὴρ ἐγνωρίσθη, εἰ μὴ τῆς αὐτῆς οὐσίας ἐτύγχανε· καὶ προσκυνοῦμεν τὸν Σωτῆρα τὸν ἡμέτερον, τῆς προσκυνήσεως τὸν καρπὸν ἀναμένοντες, οὗ χορηγὸς αὐτὸς ὁ Πατὴρ τυγχάνει κατὰ τὴν τοῦ Κυρίου φωνήν· «Ἐάν τις γάρ, φησίν, ἐμοὶ διακονήσῃ, τιμήσει αὐτὸν ὁ Πατήρ μου·» καὶ ὁ θαυμάσιος δὲ Ἰωάννης ὁ θεολογῶν, «Ὁ πιστεύων εἰς τὸν Υἱὸν, φησὶν, ἔχει ζωὴν αἰώνιον· ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ, οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μενεῖ ἐπ' αὐτόν.»

Εἰ ὁμοούσιός ἐστιν ὁ Λόγος τῷ Πατρὶ, φησὶ, καὶ ὁ Πατὴρ τῷ Λόγῳ, οὐδὲν ἔτι τὸ κωλύον ὁρᾶται, Λόγον εἶναί τε καὶ καλεῖσθαι τὸν Πατέρα, ὡς ὁμοούσιον Λόγῳ. Οὐ πάντως τὰ τῆς αὐτῆς ὄντα φύσεως εἰς ἄλληλα μεταστήσεται. Οὐδὲ γὰρ ὁ Ἀδὰμ ὁμοούσιος ὢν τῷ υἱῷ αὐτοῦ Κάϊν, εἰς τὸν Κάϊν μεταστὰς, γέγονε Κάϊν. Ἀλλ' οὐδὲ ὁ Κάϊν εἰς τὸν Ἀδὰμ διὰ τὸ ὁμοούσιος αὐτῷ εἶναι μεταχωρήσας Ἀδὰμ ἐγένετο, ἀλλ' ἓν ὄντες τῇ φύσει διὰ τὴν ὁμοιότητα δύο μεμενήκασι πρόσωπα ἰδιοϋπόστατα. Διότι ὁ μὲν ἐγέννησεν, ὁ δὲ ἐγεννήθη καθ' ὑπόστασιν.

Τὸ, *Ζῶ ἐγὼ διὰ τὸν Πατέρα*, οὐ παρίστησιν ἑτεροούσιον τὸν Υἱὸν, εἰ μὴ μᾶλλον ὁμοούσιον. Ὥσπερ γὰρ εἴ τις υἱὸς ἀνθρώπου φήσει, Λογικός εἰμι διὰ τὸν πατέρα, ἤγουν διὰ τὸ εἶναι λογικὸν τὸν πατέρα μου, οὕτω καὶ ὁ Υἱὸς καὶ Θεὸς, *Ζῶ*, φησὶν, *ἐγὼ διὰ* τὸ εἶναι ζωὴν *τὸν Πατέρα*. Διὰ δὲ τοῦ τοιούτου λόγου τὸ πατρικὸν αἴτιον ὁ Υἱὸς καὶ Λόγος ἐδήλωσεν.

Πόθεν ὁ Υἱὸς ὠνομάσθη ὁμοούσιος τῷ Πατρὶ, φησὶν ὁ Ἀπόστολος, *Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ*. Μορφῆς οὖν Θεοῦ τῆς θείας φύσεως νοουμένης, προσκειμένης δὲ καὶ τῆς ἰσότητος, εὐλόγως ὁμοούσιος ὠνομάσθη. Ὁ γὰρ τῆς ἴσης τῷ Πατρὶ φύσεως, τῆς ἴσης ἄρα καὶ οὐσίας. Καὶ αὐτὸς δὲ ὁ Χριστὸς εἰρηκώς· *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*, τὸ ταυτὸν τῆς φύσεως, ἤγουν οὐσίας ἐνέφηνεν.

Τοῦ αὐτοῦ ἐκ τοῦ α' κεφαλαίου τοῦ α' βιβλίου τοῦ Θησαυροῦ περὶ ἀγεννήτου κεφαλαίου ὀγδόου.

α'. Κατὰ πολλὰ σημαινόμενα τὸ ἀγένητον ἐκλαμβάνεται. Ἀγένητόν ἐστι τὸ μήπω γενόμενον, ἐνδεχόμενον δὲ γενέσθαι, ὡς ἀπὸ ξύλου σκάφος, ἢ ἐκ

A ex ovibus leones, neque ex leonibus oves: neque angelos ex hominibus, neque ex angelis homines: nam unumquodque animal propriæ naturæ demonstrativum est. Si ergo unigenitum Verbum Dei creatura est, et ex non antea exstantibus, et ex alia quadam natura natum, quomodo in se Patrem demonstrat, si ei credatur? Jam si Pater per Filium agnoscitur, et qui Filium novit, novit et Patrem, impediatur sane quævis lingua blasphema, et, ut ait Propheta, faucibus adhæreat [1]. Nos autem Trinitatis adoratores accuratam hinc consubstantialitatis notionem adipiscamur; reputantes, non aliter Filium in Patre fore agnoscendum, nisi ejusdem esset substantiæ: adoremusque Servatorem nostrum, cultus nostri fructum præstolantes, cujus B dator Pater est, secundum Domini dictum: «Si quis enim, inquit, mihi ministraverit, honorificabit eum Pater meus. [2]» Itemque admirandus Joannes theologus: «Qui credit in Filium, inquit, habet vitam æternam; qui autem incredulus est Filio, vitam non videbit, sed ira Dei manebit super ipsum [3].»

Si ejusdem, inquiunt, essentiæ est Verbum cum Patre, quid prohibet Patrem, ut ejusdem essentiæ cum Verbo, Verbum esse? Quæ sunt ejusdem naturæ vicissim unum in aliud non commutantur. Neque enim Adam, quod ejusdem essentiæ sit cum Cain, ideo mutatur in Cain, nec rursus Cain in Adam transfertur, ut ex Cain evadat Adam, sed C cum unum sint propter ejusdem naturæ rationem, duæ tamen, in sua utraque hypostasi, manent personæ, secundum quam ille quidem genuit, hic autem est genitus.

Illud, *Vivo ego propter Patrem* [4], non diversæ Filium essentiæ, sed ejusdem potius indicat esse cum Patre. Ut enim si quis hominis filius diceret, Ego sum ratione præditus propter patrem, et patrem utique ratione præditum declararet, sic et Filius et Deus, *Vivo*, inquit, *ego propter Patrem*, qui vita nimirum est, quibus verbis Filius et Verbum Patrem causam indicavit.

Unde Filius dictus est ejusdem essentiæ cum Patre? Paulus ait: *Qui cum in forma Dei esset, non rapinam arbitratus est, esse se æqualem Deo* [5]. D Cum Dei forma, divina intelligatur natura, adjuncta etiam æqualitate, merito dictus est ejusdem essentiæ. Qui enim æqualem naturam habet, æqualem item habet essentiam. Et ipse Christus, *Ego*, inquiens, *et Pater unum sumus* [6], eamdem naturam, et ideo æqualem item essentiam ostendit.

Ejusdem ex Thesauri cap. 1, lib. 1, De ingenito cap. 8.

1. Ingenitum multis modis accipitur: significat enim et id, quod nondum factum est, sed tamen fieri potest, ut ex ligno navigium, aut ex ære statua;

[1] Psal. cxxxvi, 6. [2] Joan. xii, 26. [3] Joan. iii, 36. [4] Joan. vi, 58. [5] Philipp. ii, 6. [6] Joan. x, 30.

et id, quod nec factum est unquam, nec fieri potest. Exempli gratia, triangulum nunquam factum est quadrangulum, nec potest fieri. Simul enim et trianguli figura deletur, et aliud quiddam præter illud, quod erat, fit et appellatur. Et id quod cum sit, a nullo tamen genitum est.

2. Vox hæc, *ingenitum*, est ex earum numero quæ multiplici ratione pronuntiantur, et inter illa quæ sunt ambigua merito collocatur. Essentiarum autem definitiones non ex verbis ambiguis et multa significantibus conficiuntur. Neque enim ex his perspicuum, et certum, ac definitum quidquam esse potest. Proinde cum ingenitum, ut diximus, sit ejusmodi, non potest esse definitio.

3. Si definitio est, quæ quid quidque natura sit, non autem quid non sit explicat: hæc autem vox, *ingenitum*, non quid Deus sit, sed quid non sit aperit. Non enim quod non genitus est, ideo ingenitus est: non est igitur definitio.

4. Si vocabulum hoc *ingenitum* est definitio, definitionis formam, nempe mutuam cum definito conversionem suscipiat. Exempli gratia, si quis hominem definiat, esse animal ratione præditum mortique obnoxium, oratio ex altera parte commutata respondet hoc modo: si quod animal ratione præditum est, mortique obnoxium, id prorsus est homo. Si ingenitum igitur, ut diximus, est definitio, ne recuset mutuam hanc conversionem. Si enim ingenitum est essentia, quidquid est essentia, erit ingenitum. Quod non est verum. Neque enim omnis essentia ingenita, sed Deus solus hoc habet eximium. Non ergo ingenitum definitio, sed id tantum significat, nempe Deum non esse genitum.

5. Si ingenitum est essentia, essentiæ vero nihil contrarium, nihil ingenito contrarium. At contrarium ingenito genitum, essentiæ vero contrarium nihil, non ergo ingenitum essentia.

6. Si ingenitum essentia est, et genitum essentia erit necessario. Quod si utrumque essentia, non erit ingenito contrarium genitum, sed idem, essentia enim essentiæ non est contraria.

7. Si ingenitum, et immortale, et alia ejusmodi sunt essentia Dei, hæc autem vocibus diversa sunt, necesse est illam essentiam ex diversis illis vocibus ita componi, ut ipsæ de illa proprie dicantur. Aut si non componitur, sequitur ut voces hæ non essentiam ejus, sed quæ adsunt essentiæ, significent.

8. Si in Deo tantum, ut aiunt, ingenitum est essentia, illius erit etiam definitio, cujus solum est proprium ingenitum. At essentia Dei non potest definiri: non ergo Dei proprium nomen est illud, ingenitum.

Item contra Arianos Damasceni cap. 85 valde necessarium.

Sciendum est, Filium naturam ignorantem et servam assumpsisse. Hominis namque natura

A χαλκοῦ ἀνδριάς. Καὶ πάλιν ἀγένητον λέγεται τὸ μήτε γενόμενον πώποτε, μήτε μὴν γενέσθαι δυνάμενον, ὡς φέρε εἰπεῖν, τὸ τρίγωνον σχῆμα τετράγωνον. Οὔτε γὰρ γέγονέ ποτε τετράγωνον, οὔτε γενέσθαι δύναται. Ἅμα γὰρ ἀφανίζεται τοῦ τριγώνου τὸ σχῆμα, καὶ ἕτερόν τι παρ' ὅπερ ἦν λέγεταί τε καὶ γίνεται. Λέγεται πάλιν ἀγένητον τὸ ὑπάρχον μὲν καὶ ὑφεστηκὸς, οὐ μὴν γεγενημένον ὑπό τινος.

β'. Ἡ ἀγένητος φωνὴ τῶν πολλαχῶς λεγομένων νοοῖτ' ἂν κυρίως, καὶ ἐν τοῖς ὁμωνύμοις εὐλόγως ἂν κατατάττοιτο. Εἰ τοίνυν οἱ τῶν οὐσιῶν ὅροι οὐκ ἐκ τῶν ὁμωνύμων, οὐδὲ ἐκ τῶν πολλαχῶς νοουμένων λαμβάνονται· οὐδὲ γὰρ ἔσται σαφὲς τὸ ὁριζόμενον, εἰ ἐκ τούτων λαμβάνεται. Ἡ δὲ ἀγένητος φωνὴ, καθάπερ ἤδη προείπομεν, τῶν ὁμωνύμων ἐστίν. Οὐκ ἂν
B εἴη ὅρος τὸ ἀγένητον.

γ'. Εἰ πᾶς ὅρος τὸ τί ἐστι κατὰ φύσιν τῶν σημαινομένων ἕκαστον εἰσφέρει, καὶ οὐχὶ τί οὐκ ἔστιν, ἡ ἀγένητος φωνὴ οὐ τί ἐστιν ὁ Θεὸς, ἀλλὰ τί οὐκ ἔστι δηλοῖ. Ὅτι γὰρ οὐκ ἐγενήθη, διὰ τοῦτο ἀγένητος· οὐκ ἂν οὖν εἴη ὅρος τὸ ἀγένητος ὄνομα.

δ'. Εἰ ὅρος ἐστὶ τὸ ἀγένητος ὄνομα, ἤτοι φωνὴ, δέξαι δηλονότι καὶ τὸ τῶν ὅρων σχῆμα τὴν ἀντιστροφήν· ὥσπερ εἴ τις τὸν ἄνθρωπον ὁρίζων, ὡς εἴη ζῶον λογικὸν θνητὸν, ἀντιστρέφει πάλιν αὐτὸ λέγων, εἴ τι ζῶον λογικὸν θνητὸν τοῦτο πάντως καὶ ἄνθρωπος. Εἰ τοίνυν τὸ ἀγένητον, καθάπερ ἤδη προείπομεν, ὅρος ἐστὶ, μὴ παραιτείσθω τὴν ἀντιστροφήν. Εἰ γὰρ τὸ ἀγένητον οὐσία, πᾶν εἴ τί ἐστιν οὐσία, τοῦτο καὶ ἀγέννητον. Ἀλλ' οὐκ ἀντιστρέφει. Οὐ γὰρ πᾶσα
C οὐσία πάντως ἐστὶ καὶ ἀγένητος. Μόνῳ δὲ Θεῷ κατ' ἐξαίρετον τοῦτό ἐστιν. Ὅρος οὖν οὐκ ἂν εἴη τὸ ἀγένητον, ἀλλ' ὅτι μὴ γεγένηται μόνον σημαίνει.

ε'. Εἰ τὸ ἀγένητον οὐσία, τῇ δὲ οὐσίᾳ οὐδὲν ἐναντίον, οὐδὲν ἄρα τῷ ἀγενήτῳ ἔσται ἐναντίον. Εἰ δὲ ἐστιν ἐναντίον τῷ ἀγενήτῳ τὸ γενητὸν, τῇ δὲ οὐσίᾳ οὐδὲν ἐναντίον, τὸ ἀγένητον οὐκ ἔστιν οὐσία.

ϛ'. Εἰ τὸ ἀγένητον οὐσία, ἐξ ἀνάγκης ἔσται καὶ τὸ γενητὸν οὐσία. Εἰ δὲ οὐσία ἑκάτερα, οὐκ ἔστιν ἐναντίον τῷ ἀγενήτῳ τὸ γενητὸν, ἀλλὰ ταυτόν. Οὐ γὰρ ἐναντίον οὐσία πρὸς οὐσίαν.

ζ'. Εἰ τὸ ἀγένητον, καὶ τὸ ἀθάνατον, καὶ τὰ λοιπὰ
D οὐσία Θεοῦ, ἕτερα δέ εἰσι ταῦτα ταῖς φωναῖς, ἀνάγκη τὴν οὐσίαν ἐκείνην οὕτω συγκεῖσθαι κατὰ τὰς διαφόρους φωνὰς, ἵνα οἰκείως αἱ φωναὶ κατ' αὐτῆς λέγωνται, ἢ μὴ συγκειμένης αὐτῆς, ἀκόλουθον εἶναι ταῦτα τῶν προσόντων τῇ οὐσίᾳ σημαντικὰ, ἀλλ' οὐκ αὐτὰ οὐσίας.

η'. Εἰ ἐπὶ Θεοῦ μόνον τὸ ἀγένητον, ὥς φασιν, οὐσία ἐστὶν, εἴη ἂν αὐτῆς καὶ ὅρος, ἧς μόνον ἴδιον τὸ ἀγένητον. Εἰ δὲ μηδείς ἐστιν ὅρος, ᾧ ὑποβάλλεται οὐσία Θεοῦ, οὐδ' ὄνομα ἄρα κύριόν ἐστιν ἐπὶ Θεοῦ τὸ ἀγένητον.

Ἔτι κατὰ Ἀρειανῶν τοῦ Δαμασκηνοῦ. Κεφάλαιον πε' πάνυ ἀναγκαιότατον.

Δεῖ γινώσκειν, ὅτι τὴν μὲν ἀγνοοῦσαν καὶ δούλην ἀνέλαβε φύσιν. Καὶ γὰρ δούλη ἐστὶν ἡ ἀνθρώπου

φύσις τοῦ ποιήσαντος αὐτὴν Θεοῦ, καὶ οὐκ ἔχει τὴν A τῶν μελλόντων γνῶσιν. Ἐὰν γὰρ, κατὰ τὸν Θεολόγον Γρηγόριον, χωρίσῃς τὸ ὁρώμενον τοῦ νοουμένου, δούλη τε λέγεται καὶ ἀγνοοῦσα ἡ σάρξ. Διὰ δὲ τὴν τῆς ὑποστάσεως ταυτότητα, καὶ τὴν ἀδιάσπαστον ἕνωσιν κατεπλούτησεν ἡ τοῦ Κυρίου ψυχὴ καὶ τὴν τῶν μελλόντων γνῶσιν, ὡς καὶ τὰς λοιπὰς θεοσημείας. Ὥσπερ γὰρ ἡ σὰρξ τῶν ἀνθρώπων κατὰ τὴν οἰκείαν φύσιν οὐκ ἔστι ζωοποιὸς, ἡ δὲ τοῦ Κυρίου σὰρξ ἑνωθεῖσα καθ' ὑπόστασιν αὐτῷ τῷ Θεῷ Λόγῳ, τῆς μὲν κατὰ φύσιν θνητότητος οὐκ ἀπέστη, ζωοποιὸς δὲ γέγονε διὰ τὴν πρὸς τὸν Λόγον καθ' ὑπόστασιν ἕνωσιν, καὶ οὐ δυνάμεθα λέγειν, ὅτι οὐκ ἦν καὶ ἔστιν ἀεὶ ζωοποιός· οὕτως ἡ μὲν ἀνθρωπίνη φύσις οὐσιωδῶς οὐ κέκτηται τῶν μελλόντων τὴν γνῶσιν, ἡ B δὲ τοῦ Κυρίου ψυχὴ διὰ τὴν πρὸς αὐτὸν τὸν Θεὸν Λόγον ἕνωσιν καὶ ὑποστατικὴν ταυτότητα κατεπλούτησεν, ὡς ἔφην, μετὰ τῶν λοιπῶν θεοσημειῶν καὶ τὴν τῶν μελλόντων γνῶσιν. Ἰστέον δὲ, ὅτι οὔτε δοῦλον αὐτὸν λέγειν δυνάμεθα. Τὸ γὰρ τῆς δουλείας καὶ τῆς δεσποτείας ὄνομα οὐ φύσεώς εἰσι γνωρίσματα, καθάπερ οὐδὲ τὰ τῆς πατρότητος καὶ τῆς υἱότητος, ἀλλὰ τῶν πρός τι, ταῦτα δὲ οὐκ οὐσίας, ἀλλὰ σχέσεώς εἰσι δηλωτικά· ὥσπερ οὖν ἐπὶ τῆς ἀγνοίας εἴπομεν, ἐὰν ἰσχναῖς ἐπινοίαις, ἤτοι τοῦ νοῦ λεπταῖς φαντασίαις διέλῃς τὸ κτιστὸν ἐκ τοῦ ἀκτίστου, δούλη ἐστὶν ἡ σάρξ, εἰ μὴ ἥνωτο τῷ Θεῷ Λόγῳ, ἅπαξ δὲ ἑνωθεῖσα καθ' ὑπόστασιν, πῶς ἔσται δούλη; Εἷς γὰρ ὢν ὁ Χριστὸς οὐ δύναται δοῦλος ἑαυτοῦ εἶναι, καὶ Κύριος. Ταῦτα γὰρ οὐ τῶν ἁπλῶς λεγομένων ἐστὶν, ἀλλὰ τῶν πρὸς C ἕτερον. Τίνος οὖν ἔσται δοῦλος; Τοῦ Πατρός; Οὐκοῦν οὐ πάντα ὅσα ἔχει ὁ Πατὴρ καὶ τοῦ Υἱοῦ εἰσιν, εἴπερ τοῦ Πατρός ἐστι δοῦλος, ἑαυτοῦ δὲ οὐδαμῶς. Πῶς δὲ περὶ ἡμῶν λέγει ὁ Ἀπόστολος· *Ὥστε οὐκ ἔτι εἶ δοῦλος, ἀλλ' υἱός*, δι' αὐτοῦ υἱοθετηθέντων, εἴπερ αὐτὸς δοῦλός ἐστι; Προσηγορικῶς οὖν λέγεται δοῦλος, οὐκ αὐτὸς ὢν τοῦτο, δι' ἡμᾶς δὲ δούλου μορφὴν εἰληφὼς, καὶ δοῦλος μεθ' ἡμῶν κεκλημένος. Ἀπαθὴς γὰρ ὢν, δι' ἡμᾶς ἐδούλευσε πάθεσι, καὶ διάκονος τῆς ἡμῶν σωτηρίας γέγονεν. Οἱ δὲ λέγοντες αὐτὸν δοῦλον, διιστῶσι τὸν ἕνα Χριστὸν εἰς δύο, καθάπερ Νεστόριος. Ἡμεῖς δὲ δεσπότην αὐτόν φαμεν, καὶ Κύριον πάσης τῆς κτίσεως, τὸν ἕνα Χριστὸν, τὸν αὐτὸν Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, καὶ πάντα εἰδέναι. Ἐν αὐτῷ γάρ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας, D καὶ τῆς γνώσεως οἱ ἀπόκρυφοι (9).

ΤΙΤΛΟΣ ΙΒ'.

Περὶ τοῦ ἁγίου Πνεύματος, τοῦ μεγάλου Ἀθανασίου ἐκ τοῦ λόγου τοῦ περὶ τῆς ἐνσάρκου ἐπιφανείας τοῦ Χριστοῦ.

Ὅταν λέγῃ ὁ Κύριος ἐν τῷ Ἡσαΐᾳ· *Υἱοὺς ἐγέννησα καὶ ὕψωσα*, ἐν τῷ Εὐαγγελίῳ λέγει· *Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστι*. Καὶ

A serva est Dei effectoris sui, nec rerum futurarum notitiam habet. Quamobrem si (ut scribit Gregorius ille Theologus) cogitatione sejunxeris id, quod videtur, ab eo quod intelligitur, serva et ignara dicenda est illa caro. Attamen ob indissolubilem ejusdem personæ conjunctionem, anima Domini futurorum cognitionem lucrata est, quemadmodum et reliquas divinas dotes. Sicut enim hominum caro natura sua non vivificat, Domini autem caro ipsi Deo Verbo per personam copulata a naturali quidem non recessit mortalitate, sed tamen propter illam cum Verbo personæ conjunctionem vivificans reddita est, nec possumus negare illam et fuisse, et semper esse vivificam: sic humana natura per essentiam non habet ut futura cognoscat, sed anima B Domini cum Deo Verbo in eadem persona conjuncta futurorum, ut dixi, peritiam una cum reliquis divinis dotibus est consecuta. Neque tamen ignorandum est, non posse nos illum servum appellare. Hæc enim vocabula servus et dominus, ut pater et filius, eorum sunt propria, quæ cum altero conferuntur, nec essentiam, sed habitum significant. Nam (quemadmodum etiam de ignorantia diximus) si tenui ac subtili quadam animi cogitatione, quod creatum est ab eo quod creatum non est separaveris, servam invenies carnem, nisi cum Deo Verbo conjungatur. Semel autem ei in persona conjuncta, quomodo amplius serva sit? Unus enim est Christus, proptereaque non potest idem esse servus et domi- C nus. Hæc enim non simpliciter dici solent, sed habita alterius ratione, quocum conferuntur. Cujus ergo servus erit? Patrisne? Non igitur omnia quæ Pater habet, Filii sunt, si Patris est servus, sui autem ipsius minime. Quomodo autem de nobis dicit Apostolus: *Quare non amplius servus es, sed filius* [1], eorum nimirum unus, qui per illum adoptati sunt, si ipse servus est? Hac igitur servi appellatione nominatur, non quod ipse sit servus, sed quia propter nos servi formam suscepit, et nobiscum servus voluit appellari. Cum enim esset affectionum expers, illis factus est pro nobis obnoxius, et nostræ salutis minister fuit. Qui vero servum illum asserunt, Christum unum in duos dissecant, quemadmodum Nestorius fecit. Nos au- D tem Dominum ipsum, et rerum omnium principem, Christum unum, eumdem Deum simul atque hominem, omnia scientem (in eo enim sunt omnes thesauri sapientiæ et scientiæ [2]) confitemur.

TITULUS XII.

De Spiritu sancto, magni Anathasii, ex oratione de Christi adventu in carne.

Cum in Isaia dixisset Dominus: *Filios genui, et exaltavi, ipsi autem spreverunt me* [3], in Evangelio dicit: *Quod genitum est ex carne, caro est, quod genitum est ex spiritu, spiritus est* [4]: Et rursum,

[1] Galat. IV, 7. [2] Coloss. II, 3. [3] Isa. I, 2. [4] Joan. III, 6.

(9) Hic desinit codex Mosquensis n. 5. In ultimo folio est nota scribæ. χειρῶν πόνημα Παμφίλου Γεωργίου.

Spiritus ubi vult, spirat, et vocem ejus audis, sed ne scis unde veniat, aut quo vadat [1]. Sic est omnis, qui genitus est ex Spiritu. Et cum Scriptura Deum ignem vocet, *Deus* (inquiens) *noster ignis consumens est* [2], eadem loquens de Spiritu sancto : *Apparuerunt* (inquit) *dispertitæ linguæ tanquam ignis, sederuntque super singulos eorum, et repleti sunt omnes Spiritu sancto, et cœperunt loqui aliis linguis, prout Spiritus dabat illis eloqui* [3]. Ac Dominus quidem se, quatenus homo est, vocare bonum recusat, *Quid me*, inquiens, *bonum dicis? nemo bonus, nisi unus Deus* [4]. Scriptura autem non veretur bonum vocare Spiritum sanctum : *Spiritus*, inquiens, *tuus ille bonus deducet me in terra recta* [5]. Et Ezechiel propheta veterem populum accusans dicebat : *Contristaverunt me in omnibus his, dicit Dominus* [6]. Paulus autem ad novum populum scribens : *Nolite*, inquit, *contristare Spiritum sanctum, in quo signati estis* [7]. Et David de Judæis, *Irritaverunt*, inquit, *Deum in deserto* [8]. Isaias autem de eisdem loquens, *Non obedierunt*, inquit, *et irritaverunt Spiritum sanctum* [9]. Et Dominus de se loquens ad Satanam : *Non tentabis*, inquit, *Dominum Deum tuum* [10]. Petrus ad Saphiram : *Quid convenit*, inquit, *vobis tentare Spiritum Domini* [11]? Atque adeo, quo clarius intelligas Spiritum sanctum esse Deum, audi Petrum ita loquentem : *Anania, cur implevit Satanas cor tuum, ut mentireris Spiritui sancto, et fraudares de pretio agri? Non es mentitus hominibus, sed Deo* [12]. Si is, qui mentitur Spiritui sancto, mentitur Deo, Spiritus sanctus nimirum est Deus.

A πάλιν· *Τὸ Πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει*· οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος· καὶ ὅτι τὸν Θεὸν καλεῖ πῦρ ἡ Γραφὴ, ὡς τὸ, *Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον*· καὶ περὶ τοῦ ἁγίου Πνεύματος λέγει, ὅτι *Ὤφθησαν τοῖς ἀποστόλοις διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς, ἐκάθισάν τε ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες ἁγίου Πνεύματος, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι.* Καὶ ὁ μὲν Κύριος παραιτεῖται τὸ καλεῖσθαι ἀγαθὸς, καθὸ ἄνθρωπος γέγονε, λέγων· *Τί με λέγεις ἀγαθόν; Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός.* Ἡ δὲ Γραφὴ οὐ παραιτεῖται καλεῖν ἀγαθὸν τὸ Πνεῦμα τὸ ἅγιον· *Τὸ Πνεῦμα* B *γάρ σου*, φησὶν, *τὸ ἀγαθὸν ὁδηγήσει με ἐν τῇ εὐθείᾳ.* Καὶ ὁ μὲν προφήτης Ἰεζεκιὴλ αἰτιώμενος τὸν πάλαι λαὸν ἔλεγεν· *Ἐλύπησάν με ἐν ἅπασι τούτοις, λέγει Κύριος.* Ὁ δὲ Παῦλος γράφει τῷ νέῳ λαῷ· *Καὶ μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον, ἐν ᾧ ἐσφραγίσθητε.* Καὶ ὁ μὲν Δαβὶδ περὶ τῶν Ἰουδαίων φησί· *Παρώξυναν τὸν Θεὸν ἐν τῇ ἐρήμῳ*· ὁ δὲ Ἡσαΐας περὶ αὐτῶν· *Ἠπείθησαν, καὶ παρώξυναν τὸ Πνεῦμα τὸ ἅγιον.* Καὶ ὁ μὲν Κύριος τῷ Σατανᾷ λέγει περὶ ἑαυτοῦ· *Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου*· ὁ δὲ Πέτρος εἶπε πρὸς τὴν Σαπφείραν· *Τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ Πνεῦμα Κυρίου;* Ἐκδηλότερον δὲ, ὅτι Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον, ἄκουσον τοῦ Πέτρου λέγοντος· *Ἀνανία, διατί ὁ Σατανᾶς* C *ἐπλήρωσε τὴν καρδίαν σου ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαί σε ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ.* Εἰ δὲ ὁ ψευσάμενος τῷ ἁγίῳ Πνεύματι τῷ Θεῷ ψεύδεται, Θεὸς ἄρα τὸ Πνεῦμα τὸ ἅγιον.

Ejusdem Athanasii epistola ad Serapionem, episcopum Thermupolis, de Spiritu sancto.

Non sine dolore mihi significasti, dilecte vereque optatissime, quosdam impiam Arianorum in Dei Filium hæresin detestantes, ab illis quidem discessisse, sed eosdem de Spiritu sancto prave sentire, contendereque illum non tantum rem creatam, sed etiam unum ex administris spiritibus esse, soloque gradu ab angelis differre. Mira enim profecto videatur ipsorum amentia, quod scilicet ii qui Filium Dei rem creatam esse nolunt, (qua quidem in re recte sentiunt,) Spiritum Filii rem creatam esse vel etiam audire patiantur. Si enim propter Verbi cum Patre unitatem nolunt Filium esse e rebus factis; sed, quod quidem verum est, ipsum rerum factarum opificem esse sentiunt: quare Spiritum sanctum, qui eamdem habet cum Filio unitatem quam Filius cum Patre, rem creatam esse audent dicere? Cur ignorant quod quemadmodum Filium a Patre non dividendo, Dei unitatem servant, ita dividendo Spiritum a Verbo, non am-

Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Σεραπίωνα, ἐπίσκοπον Θερμουπόλεως, περὶ τοῦ ἁγίου Πνεύματος.

Ἔγραψας, ἀγαπητὲ καὶ ἀληθῶς ποθεινότατε, λυπούμενος καὶ αὐτὸς, ὡς ἐξελθόντων μέν τινων ἀπὸ τῶν Ἀρειανῶν διὰ τὴν κατὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ βλασφημίαν, φρονούντων δὲ κατὰ τοῦ ἁγίου Πνεύματος, καὶ λεγόντων αὐτὸ μὴ μόνον κτίσμα, ἀλλὰ καὶ τῶν λειτουργικῶν πνευμάτων ἓν αὐτὸ εἶναι, καὶ βαθμῷ μόνον αὐτὸ διαφέρειν τῶν ἀγγέλων. Τούτων γὰρ καὶ θαυμάσειεν ἄν τις τὴν ἄνοιαν, ὅτι τὸν Υἱὸν τοῦ Θεοῦ μὴ θέλοντες κτίσμα εἶναι, καὶ καλῶς γε κατὰ τοῦτο φρονοῦντες, πῶς τὸ Πνεῦμα τοῦ Υἱοῦ κτίσμα κἂν ἀκοῦσαι ἠνέσχοντο; Καὶ γὰρ εἰ διὰ τὴν πρὸς τὸν Πατέρα τοῦ Λόγου ἑνότητα, οὐ θέλουσιν εἶναι τῶν γενητῶν αὐτὸν τὸν Υἱὸν, ἀλλ', ὅπερ ἐστὶν ἀληθῶς, δημιουργὸν αὐτὸν εἶναι τῶν ποιημάτων φρονοῦσι· διὰ τί τὸ Πνεῦμα τὸ ἅγιον τὸ τὴν αὐτὴν ἔχον ἑνότητα πρὸς τὸν Υἱὸν, ἣν αὐτὸς ἔχει πρὸς τὸν Πατέρα, κτίσμα λέγουσι, καὶ ἠγνόησαν, ὅτι, ὥσπερ μὴ διαιροῦντες τὸν Υἱὸν ἀπὸ τοῦ Πατρὸς, σώζουσι τὸ ἕνα Θεὸν εἶναι, οὕτω, διαιροῦντες ἀπὸ τοῦ Λόγου τὸ Πνεῦμα, οὐκέτι μίαν τὴν ἐν Τριάδι θεότητα σώζουσι, σχίζοντες αὐτὴν

[1] Joan. III, 8. [2] Deut. IV, 24. [3] Act. II, 3, 4. [4] Matth. XIX, 17. [5] Psal. CXLII, 10. [6] Ezech. XX, 21. [7] Ephes. IV, 30. [8] Psal. V, 11. [9] Isa. LXIII, 10. [10] Matth. IV, 7. [11] Act. V, 9. [12] Ibid. 3, 4.

καὶ ἐπιμίσγοντες αὐτῇ ἀλλοτρίαν καὶ ἑτεροειδῆ φύσιν, A καὶ τοῖς κτίσμασι συνεξισοῦντες αὐτήν; Τοῦτο δὲ πάλιν οὐκέτι ἓν εἶναι δείκνυσι τὴν Τριάδα, ἀλλὰ ἐκ δύο καὶ διαφόρων φύσεων συγκειμένην αὐτήν, διὰ τὸ ἑτεροούσιον τοῦ Πνεύματος, ὡς αὐτοὶ ἑαυτοῖς ἀνεπλάσαντο. Ποία οὖν αὕτη θεολογία ἐκ δημιουργοῦ καὶ κτίσματος συγκειμένη; Ἢ γὰρ οὐ Τριάς ἐστιν, ἀλλὰ δυάς, καὶ λοιπὸν ἡ κτίσις, ἤ, εἰ Τριάς ἐστιν, ὥσπερ οὖν καὶ ἔστι, πῶς τοῖς μετὰ τὴν Τριάδα κτίσμασι συντάττουσι τὸ τῆς Τριάδος Πνεῦμα; Τοῦτο γάρ ἐστι πάλιν διαιρεῖν καὶ διαλύειν τὴν Τριάδα. Οὐκοῦν, κακῶς φρονοῦντες περὶ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐδὲ περὶ τοῦ Υἱοῦ καλῶς φρονοῦσιν. Εἰ γὰρ ἐφρόνουν ὀρθῶς περὶ τοῦ Λόγου, ἐφρόνουν ὑγιῶς καὶ περὶ τοῦ Πνεύματος, ὃ παρὰ τοῦ Πατρὸς B ἐκπορεύεται, καὶ τοῦ Υἱοῦ ἴδιον ὄν, παρ' αὐτοῦ δίδοται τοῖς μαθηταῖς καὶ πᾶσι τοῖς πιστεύουσιν εἰς αὐτόν. Οὕτω δὲ πλανώμενοι, οὐδὲ περὶ τοῦ Πατρὸς ὑγιῆ τὴν πίστιν ἔχουσιν. Οἱ γὰρ ἀντικείμενοι τῷ Πνεύματι, ὡς εἶπεν ὁ μέγας μάρτυς Στέφανος, οὗτοι καὶ τὸν Υἱὸν ἀρνοῦνται. Τὸν δὲ Υἱὸν ἀρνούμενοι, οὐδὲ τὸν Πατέρα ἔχουσι.

Πόθεν τοίνυν ὑμῖν, ὦ οὗτοι, τῆς τοσαύτης τόλμης ἡ πρόφασις, ὥστε μὴ φοβηθῆναι τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον· «Ὃς δ' ἂν βλασφημήσῃ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἔχει ἄφεσιν οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι;» Οἱ μὲν γὰρ Ἀρειανοί, καίτοι τὴν ἔνσαρκον παρουσίαν τοῦ Λόγου καὶ τὰ δι' C αὐτὴν εἰρημένα μὴ νοήσαντες, ὅμως ἐξ αὐτῶν πρόφασιν λαβόντες εἰς τὴν ἑαυτῶν αἵρεσιν, καὶ οὕτως ἠλέγχθησαν θεομάχοι καὶ ὡς ἀληθῶς ἀπὸ γῆς κενολογοῦντες. Ὑμεῖς δὲ πόθεν ἠπατήθητε; παρὰ τίνων ἀκούσαντες, ἢ τίς ὁ τρόπος τῆς τοιαύτης ὑμῶν πλάνης; Ἀνέγνωμεν, φασίν, ἐν τῷ προφήτῃ Ἀμώς, λέγοντος τοῦ Θεοῦ, «Ὅτι Ἰδοὺ ἐγὼ στερεῶν βροντήν, καὶ κτίζων πνεῦμα, καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ· ποιῶν ὄρθρον καὶ ὁμίχλην, καὶ ἐπιβαίνων ἐπὶ τὰ ὑψηλὰ τῆς γῆς, Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ ὄνομα αὐτῷ.» Καὶ ἔνθεν ἐπείσθημεν τοῖς Ἀρειανοῖς λέγουσι κτίσμα εἶναι τὸ Πνεῦμα τὸ ἅγιον. Εἶτα τὸ μὲν παρὰ τῷ Ἀμὼς ἀνέγνωτε· τὸ δὲ ἐν ταῖς Παροιμίαις λεγόμενον, «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐ- D τοῦ,» οὐκ ἀνέγνωτε, ἢ ἀνέγνωτε; Καὶ τοῦτο μέν, ὡς ἔχει ἀληθείας, ἑρμηνεύετε, ἵνα μὴ εἴπητε κτίσμα τὸν Λόγον· τὸ δὲ ἐν τῷ προφήτῃ οὐχ ἑρμηνεύετε, ἀλλὰ ἁπλῶς ἀκούοντες «πνεῦμα,» ἐνομίσατε λέγεσθαι κτίσμα τὸ Πνεῦμα τὸ ἅγιον; Καίτοι ἐν μὲν ταῖς Παροιμίαις φανερῶς ἡ Σοφία λέγουσά ἐστι τό, «Ἔκτισέ με·» καὶ ὅμως καλῶς γε ποιοῦντες, ἑρμηνεύετε τὸ ῥητόν, ἵνα μὴ τὴν δημιουργὸν Σοφίαν ἐν τοῖς κτίσμασι συναριθμῆτε. Τὸ δὲ ἐν τῷ προφήτῃ ῥητὸν οὐκ ἔχει γνώρισμα περὶ τοῦ ἁγίου Πνεύματος, ἀλλ' ἁπλῶς εἴρηται περὶ πνεύματος. Πῶς οὖν, καίτοι πλείστης οὔσης διαφορᾶς ἐν ταῖς Γραφαῖς περὶ πνευμάτων, καὶ δυναμένου τοῦ ῥητοῦ τὴν

plius unam in Trinitate servant divinitatem, quam nempe diffindunt, et cui alienam ac diversam naturam admiscent, quam denique inter res creatas collocant? Id sane probat non jam rem unam esse Trinitatem, sed ipsam ex duabus ac diversis naturis constare, ob diversam videlicet Spiritus substantiam, quam illi sibi ipsis commenti sunt. Quænam ergo ista tandem est theologia ex creatore et re creata conflata? Vel enim non est Trinitas sed dualitas, ac deinde res creata : vel si Trinitas est, uti vere est, quomodo cum rebus creatis quæ post Trinitatem exsistunt, Trinitatis Spiritum audent collocare? Id enim rursus est dividere ac dissolvere Trinitatem. Itaque si male de Spiritu sancto sentiant, bene de Filio sentire non queunt. Nam si recte de Verbo sentirent, recte quoque de Spiritu sancto qui a Patre procedit sentirent, qui cum Filii sit proprius, ab illo discipulis omnibusque in eum credentibus datur. Quinetiam qui in hujusmodi errore versantur, neque in Patrem sanam fidem habere possint. Nam qui Spiritui resistunt, uti insignis martyr Stephanus dixit [1], iidem et Filium negant. Filium autem negantes, neque Patrem profecto habuerint [2].

Undenam ergo tantæ vobis temeritatis causa, ut nec illud a Salvatore dictum vereamini: «Qui blasphemaverit in Spiritum sanctum, non habebit remissionem neque in hoc sæculo neque in futuro [3]?» Ariani quidem, etsi corpoream Verbi præsentiam, et quæ ejus causa dicta sunt, non intelligerent, ex his tamen occasionem suæ comminiscendæ hæresis improbissime nacti, Dei hostes esse et vere de terra [4] inania loqui convicti sunt. Vos vero undenam, quæso, in errorem inducti estis? Quis vos ita docuit, vel quis tandem modus vestri erroris? Legimus, inquiunt, in propheta Amos hæc Dei verba : «Quia ecce ego firmans tonitru, et creans spiritum, et annuntians ad homines Christum ejus, faciens diluculum et nebulam, et gradiens super excelsa terræ: Dominus Deus omnipotens, nomen ipsi [5].» Inde adducti fuimus ut Arianis, qui Spiritum sanctum rem creatam esse docent, assentiremur. An ergo quod apud Amos exstat legistis : quod autem in Proverbiis dicitur : «Dominus creavit me initium viarum suarum in opera sua [6],» an legistis necne? Ergone istud Proverbiorum ex veritate interpretamini, ne videlicet Verbum rem creatam dicatis : illud autem prophetæ nulla interpretatione explicatis, sed voce «spiritus» tantummodo audita, Spiritum sanctum rem creatam dici existimatis? Atqui in Proverbiis Sapientia aperte dicit : «Creavit me.» Verumtamen recte vos dictum illud ita excipitis, ut non creatricem Sapientiam rebus creatis annumeretis. Sic igitur vox illa prophetæ non Spiritum sanctum denotat, sed tantum de spiritu dicitur. Cum ergo multa sit in Scripturis spirituum differentia, rectumque sensum habere possit iste Scripturæ locus, cur vos velut

[1] Act. vii, 51. [2] I Joan. ii, 23. [3] Matth. xii, 32; Marc. iii, 29. [4] Joan. iii, 31. [5] Amos iv, 13. [6] Prov. viii, 22.

litigiosi aut serpentis Ariani morsu ulcerati, de Spiritu sancto prophetam Amos loqui arbitramini, ne scilicet credere desistatis Spiritum sanctum rem creatam esse?

Dicite, amabo, an in aliquo divinæ Scripturæ loco Spiritum sanctum simpliciter spiritum dici reperiatis, sine addita voce vel Dei, vel Patris, vel mei, vel ipsius Christi et Filii, vel a me, quod est a Deo, vel nisi cum articulo, ita ut non spiritus solum dicatur, sed vel ille Spiritus, vel Spiritus sanctus, vel Paracletus, vel veritatis, id est Filii dicentis scilicet : « Ego sum veritas [1]; » ut vos, nuda voce « spiritus » audita, sanctum Spiritum esse suspicaremini? Ex hac tamen regula eos velim excipi, qui cum Spiritum sanctum jam accepissent, de iisdem fit postea iterum mentio, vel qui cum prius quid de Spiritu sancto credendum sit didicerint, deinde repetitionis et commonitionis ergo mera voce « spiritus » prolata, quis ille intelligendus sit non ignorant, maxime quia sic etiam cum articulo exprimatur. Denique sine articulo vel prædicto additamento nunquam Spiritum sanctum significari inveneritis. Hujusmodi sunt ea quæ Paulus ad Galatas scribit : « Hoc solum a vobis volo discere : Ex operibus legis Spiritum accepistis, an ex auditu fidei [2]? » Quem vero alium acceperant, quam Spiritum sanctum qui credentibus et per regenerationis lavacrum renascentibus datur? Ad Thessalonicenses autem scribit : « Spiritum nolite exstinguere [3]. » Nempe eos, qui utique noverant quem acceperant Spiritum, admonebat, ne accensam in ipsis Spiritus gratiam ex negligentia exstinguerent. Quod si evangelistæ in Evangeliis de Salvatore humano more, propter carnem ab eo assumptam hæc habent : « Jesus autem plenus Spiritu regressus a Jordane [4]; » et : « Tunc Jesus ductus est in desertum a Spiritu [5]; » idem quoque sensus hic observandus est. Siquidem prius a Luca dictum fuerat : « Factum est autem cum baptizaretur omnis populus, et Jesu baptizato et orante, apertum est cœlum : et descendit Spiritus sanctus corporali specie sicut columba in ipsum [6]. » Quocirca patet ipsum Spiritum sanctum, Spiritus vocabulo illic significari. Similiter apud quos est Spiritus sanctus, licet sine additamento Spiritus tantum dicatur, non dubitandum tamen est quin Spiritus sanctus denotetur, præsertim si adsit articulus.

Vos autem ostendite quod vobis proposuimus, si nempe alicubi in Scriptura divina Spiritum sanctum invenistis tantummodo Spiritum appellari sine prædicto additamento et observatione cujus meminimus. Id certe nunquam præstare potueritis ; siquidem nunquam ita scriptum vobis occurret. Nam et ipsius quoque hominis spiritus dicitur, uti canit David ; « Nocte cum corde meo meditabar, et tristis erat spiritus meus [7]. »

A ἰδίαν διάνοιαν ἔχειν ὀρθὴν, ὑμεῖς, ὡς φιλονεικοῦντες ἢ ὡς ὑπὸ δήγματος τοῦ Ἀρειανοῦ ὄφεως βλαβέντες, τὸ Πνεῦμα τὸ ἅγιον εἰρῆσθαι παρὰ τοῦ Ἀμὼς νομίζετε, ἵνα μόνον τοῦ φρονεῖν κτίσμα μὴ ἐκλάθησθε;

Εἴπατε γοῦν εἴ που τῆς θείας Γραφῆς εὑρίσκετε τὸ Πνεῦμα τὸ ἅγιον ἁπλῶς εἰρημένον πνεῦμα, χωρὶς προσθήκης τοῦ λέγεσθαι ἢ τοῦ Θεοῦ, ἢ τοῦ Πατρὸς, ἢ ὅτι ἐμοῦ, ἢ αὐτοῦ τοῦ Χριστοῦ καὶ τοῦ Υἱοῦ, ἢ παρ' ἐμοῦ, ὅ ἐστι παρὰ τοῦ Θεοῦ, ἢ μετὰ τοῦ ἄρθρου, ἵνα μὴ ἁπλῶς λέγηται πνεῦμα, ἀλλὰ τὸ Πνεῦμα· ἢ αὐτὸ τοῦτο τὸ Πνεῦμα τὸ ἅγιον, ἢ Παράκλητον, ἢ ἀληθείας, ὅ ἐστι τοῦ Υἱοῦ, τοῦ λέγοντος. « Ἐγώ εἰμι ἡ ἀλήθεια· » ἵνα, ἀκούσαντες B ἁπλῶς « πνεῦμα, » ὑπονοήσητε εἶναι τὸ Πνεῦμα τὸ ἅγιον; Ἐξῃρήσθωσαν δὲ τοῦ Λόγου νῦν οἵτινες ἤδη λαβόντες, πάλιν ὀνομάζονται, καὶ ὅσοι, προμαθόντες περὶ τοῦ ἁγίου Πνεύματος, ὕστερον ὡς ἐν ἐπαναλήψει καὶ ὑπομνήσει, καὶ μόνον λεγομένου « τοῦ πνεύματος, » οὐκ ἀγνοοῦσι περὶ τίνος ἀκούουσι· καὶ μάλιστα, ὅτι καὶ οὕτω μετὰ τοῦ ἄρθρου λέγεται. Καὶ ὅλως ἄνευ τοῦ ἄρθρου, ἢ τῆς προειρημένης προσθήκης, οὐκ ἂν εἴη σημαινόμενον τὸ Πνεῦμα τὸ ἅγιον· οἷά ἐστιν ἃ γράφει Παῦλος τοῖς Γαλάταις· « Τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν, ἐξ ἔργων νόμου τὸ Πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως; » Ποῖον δὲ ἦσαν λαβόντες ἢ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ διδόμενον τοῖς πιστεύουσι καὶ ἀναγεννωμένοις διὰ λουτροῦ παλιγγενεσίας; Καὶ Θεσσαλονικεῦσι δὲ γράφων· « Τὸ C Πνεῦμα μὴ σβέννυτε· » εἰδόσι καὶ αὐτοῖς ὅπερ ἔλαβον ἔλεγεν, ἵνα μὴ σβέσωσιν ἐξ ἀμελείας τὴν ἐν αὐτοῖς ἀναφθεῖσαν τοῦ Πνεύματος χάριν. Ἐν δὲ τοῖς Εὐαγγελίοις περὶ τοῦ Σωτῆρος ἀνθρωπίνως διὰ τὴν σάρκα ἣν προσέλαβεν, ἐὰν λέγωσιν οἱ εὐαγγελισταί, « Ἰησοῦς δὲ, πλήρης (6) Πνεύματος ὢν, ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου· » καὶ τὸ, « Τότε ὁ Ἰησοῦς ἀνήχθη ὑπὸ τοῦ Πνεύματος εἰς τὴν ἔρημον· » τὸν αὐτὸν ἔχει νοῦν. Προείρητο γὰρ ὑπὸ τοῦ Λουκᾶ· « Ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν λαὸν, καὶ Ἰησοῦ βαπτισθέντος, καὶ προσευχομένου, ἀνεωθῆναι τὸν οὐρανὸν, καὶ καταβῆναι τὸ Πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει, ὡσεὶ περιστερὰν, ἐπ' αὐτόν. » Καὶ δῆλον ἦν, ὅτι, λεγομένου τοῦ Πνεύματος, τὸ Πνεῦμα τὸ ἅγιον ἦν σημαινόμενον. Οὕτω μὲν οὖν παρ' οἷς ἐστι τὸ Πνεῦ- D μα τὸ ἅγιον κἂν μόνον τὸ Πνεῦμα λέγηται χωρὶς τῆς ἐπ' αὐτῷ προσθήκης, οὐκ ἀμφίβολον, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον σημαίνεται, ἔχον μάλιστα τὸ ἄρθρον.

Ὑμεῖς δὲ εἴπατε τὸ προταθὲν ὑμῖν, εἰ εὑρήκατέ που τῆς θείας Γραφῆς τὸ Πνεῦμα τὸ ἅγιον λεγόμενον ἁπλῶς Πνεῦμα, χωρὶς τῆς προειρημένης ἐπ' αὐτῷ προσθήκης, καὶ πλὴν τῆς παρατηρήσεως ἧς γε ἐμνημονεύσαμεν. Ἀλλ' οὐκ ἂν εἴποιτε· οὐ γὰρ εὑρήσετε γεγραμμένον. Λέγεται γὰρ καὶ ἀνθρώπου πνεῦμα, ὡς ψάλλει Δαβίδ· « Νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν, καὶ ἤσχαλλε τὸ πνεῦμά μου. »

[1] Joan. XIV, 6. [2] Galat. III, 2. [3] I Thess. V, 19. [4] Luc. IV, 1. [5] Matth. IV, 1. [6] Luc. III, 21, 22. [7] Psal. LXXVI, 7.

Λέγεται δὲ καὶ ἀνέμων πνεύματα. A

Ἐντυγχάνοντες δὲ καὶ ὑμεῖς ταῖς ἁγίαις (58) Γραφαῖς, εὑρήσετε λεγόμενον πνεῦμα καὶ τὸν ἐν αὐτοῖς τοῖς θείοις λόγοις νοῦν, γράφοντος τοῦ Παύλου· « Ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους Καινῆς Διαθήκης, οὐ γράμματος, ἀλλὰ πνεύματος. Τὸ γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ. » Τὸ μὲν γὰρ ῥητὸν γράμματι κεχάρακται· ὁ δὲ νοῦς ὁ ἐν αὐτῷ πνεῦμα λέγεται. Οὕτως καὶ « ὁ νόμος πνευματικός ἐστιν, » ἵν' ὡς πάλιν εἴρηκε, μὴ δουλεύωμεν ἐν παλαιότητι γράμματος, ἀλλ' ἐν καινότητι πνεύματος. Καὶ αὐτὸς μὲν εὐχαριστῶν ἔλεγεν· « Ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω νόμῳ Θεοῦ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας· οὐδὲν νῦν ἄρα κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ. Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς B ἁμαρτίας· » ὁ δὲ Φίλιππος, τὸν εὐνοῦχον ἀπὸ τοῦ γράμματος εἰς τὸ πνεῦμα θέλων ἐπιστρέφειν, ἔλεγεν· « Ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις; » τοιοῦτον ἐσχηκὼς μαρτυρεῖται καὶ ὁ Χάλεβ ἐν τοῖς Ἀριθμοῖς, τοῦ Θεοῦ λέγοντος· « Ὁ δὲ παῖς μου Χάλεβ, ὅτι ἐγενήθη ἕτερον πνεῦμα ἐν αὐτῷ, καὶ ἐπηκολούθησέ μοι· εἰσάξω αὐτὸν εἰς τὴν γῆν εἰς ἣν εἰσῆλθεν ἐκεῖ. » Ἄλλῃ γὰρ διανοίᾳ παρὰ τὴν ἐκείνων αὐτὸς λαλήσας, εὐάρεστος τῷ Θεῷ γέγονε. Τοιαύτην ἔχειν προέτρεψεν ὁ Θεὸς τὸν λαὸν καρδίαν διὰ Ἰεζεκιὴλ λέγων· « Ποιήσατε ἑαυτοῖς καρδίαν καινὴν καὶ πνεῦμα καινόν. » Τούτων τοίνυν οὕτως ὄντων, καὶ τοσαύτης διαφορᾶς περὶ τῶν πνευμάτων δεικνυμένης, βέλτιους ἂν ἦτε, εἰ, περὶ κτιζομένου πνεύματος C ἀκούοντες, περὶ ἑνὸς τῶν προειρημένων ἐφρονεῖτε, οἷον ἦν περὶ οὗ ἐν Ἡσαΐᾳ γέγραπται· « Συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραῒμ, καὶ ἐξέστη ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ. » Τοιοῦτον δὲ ἦν καὶ, « Ὁ ἐξήγειρε Κύριος πνεῦμα ἐπὶ τὴν θάλασσαν » διὰ τὸν Ἰωνᾶν. Ἀκολουθεῖ γὰρ τῇ βροντῇ καὶ τὰ τῶν ἀνέμων πνεύματα, ὡς ἐπὶ τοῦ ὑετοῦ τοῦ κατὰ τὸν Ἀχαὰβ, ὡς γέγραπται· « Καὶ ἐγένετο ὧδε, καὶ ἕως ὧδε, καὶ ὁ οὐρανὸς συνεσκότασε νεφέλαις καὶ πνεύματι. »

Ἀλλ' ἐπείπερ Χριστοῦ, φησὶ, μνημονεύει τὸ Λόγιον, ἀκολούθως καὶ τὸ λεγόμενον πνεῦμα οὐδὲν ἕτερον ἢ τὸ Πνεῦμα τὸ ἅγιον χρὴ νοεῖν. Εἶτα τὸ μὲν συνονομάζεσθαι τῷ Χριστῷ τὸ Πνεῦμα τὸ ἅγιον ἐθεωρήσατε· τὸ δὲ διαιρεῖν αὐτὸ τῇ φύσει, καὶ ἀπο- D ξενίζειν ἀπὸ τοῦ Υἱοῦ, ποῦ κατενοήσατε, ὅτι τὸν μὲν Χριστὸν λέγετε μὴ εἶναι κτίσμα, τὸ δὲ ἅγιον Πνεῦμα κτίσμα λέγετε; Καὶ ἄτοπόν ἐστι τὰ ἀνόμοια τῇ φύσει συνονομάζειν, καὶ συνδοξάζειν. Ποία γὰρ κοινωνία, ἢ ποία ὁμοιότης τῷ κτίσματι πρὸς τὸν κτίστην; Ἐπεὶ ὥρα ὑμᾶς καὶ τῷ Υἱῷ συναριθμεῖν καὶ συνάπτειν τὰ δι' αὐτοῦ γενόμενα κτίσματα. Ἤρκει μὲν οὖν περὶ πνεύματος ἀνέμων νοεῖν τὸ γεγραμμένον, ὥσπερ εἴρηται· ἐπειδὴ δὲ προφασίζεσθε τὴν ἐν τῷ ῥητῷ περὶ τοῦ Χριστοῦ μνήμην, ἀναγκαῖον ἰδεῖν ἀκριβῶς τὸ λεγόμενον, μὴ ἄρα καὶ περὶ τοῦ λε-

Dicitur etiam ventorum spiritus.

Quin etiam si vobis sanctas Litteras legere lubeat, ipsum divinorum verborum sensum, spiritum quoque appellari reperietis. Sic enim Paulus scribit : « Qui et idoneos nos fecit ministros Novi Testamenti, non litteræ, sed spiritus. Littera enim occidit, spiritus autem vivificat [1]. » Siquidem dictum, littera exaratum est : sensus vero quem continet, spiritus dicitur. Ita et « lex spiritualis est [2], » ut, quemadmodum idem dixit, non serviamus in vetustate litteræ, sed in novitate spiritus. Idem quoque gratias agens dicebat [3] : « Igitur ego ipse mente servio legi Dei : carne autem, legi peccati. Nihil ergo nunc damnationis est iis qui sunt in Christo Jesu. Lex enim spiritus vitæ in Christo Jesu liberavit me a lege peccati [4]. » Philippus etiam eunuchum a littera ad spiritum convertere volens aiebat : « Intelligis quæ legis [5] ? » Talem quoque spiritum Caleb habuisse ex Numeris constat, Deo dicente : « Servus meus Caleb, quia factus est alius spiritus in eo, et secutus est me, inducam ipsum in terram in quam illic ingressus est [6]. » Nempe quia ille alia ab illis mente locutus sit, Deo fuit acceptus. Tale item cor populum habere jussit Deus per Ezechielem : « Facite vobis cor novum et spiritum novum [7]. » Quæ cum ita sint, et tanta sit, ut ostendimus, spirituum differentia, æquius profecto ageretis, si, ubi de creato spiritu mentio facta fuerit, id de aliquo prædictorum spirituum intelligeretis. Hujusmodi ille est de quo apud Isaiam legitur : « Consensit Aram cum Ephraim, et obstupuit anima ejus, et anima populi ejus, quemadmodum in silva arbor a spiritu concutitur [8]. » Idem item his verbis indicatur : « Excitavit Dominus spiritum in mare [9], » propter Jonam. Tonitru siquidem sequuntur spiritus ventorum, uti contigit in pluvia quæ contra Achab cecidit, quemadmodum scriptum est : « Et factus est usque huc et usque huc, et cœli obscurati sunt nubibus et spiritu [10]. »

Verum quia Christi, inquiunt, meminit Scriptura, hinc fit ut spiritus de quo hic est quæstio, nullus alius intelligendus sit præter Spiritum sanctum. Itane ergo Spiritum sanctum una quidem cum Christo nominari attendistis ? at ubinam illum natura a Filio dividi et separari intellexistis, qui Christum quidem rem creatam non esse, sed Spiritum sanctum rem creatam esse audetis dicere? Absurdum sane fuerit ea quæ natura dissimilia sunt simul nominare eademque gloria celebrare. Quæ enim communio vel quæ similitudo rei creatæ cum Creatore? Profecto si ita est, nihil aliud superest quam ut Filio res quas ipse creavit annumeretis et conjungatis. Itaque satis quidem esse videbatur quod apud prophetam scriptum est de spiritu ventorum, ut jam dictum est, intelligere.

[1] II Cor. III, 6. [2] Rom. VII, 14. [3] ibid. 6. [4] ibid. 25; VIII, 1, 2. [5] Act. VIII, 30. [6] Num. XIV, 24. [7] Ezech. XVIII, 31. [8] Isa. VII, 2. [9] Jon. I, 4. [10] III Reg. XVIII, 45.

Verum quandoquidem factam ibidem de Christo mentionem objicitis, accurate res est nobis explicanda, si forte quid melius de isto spiritu, qui creari dicitur, ostendere possimus. Quid est igitur annuntiare inter homines Christum ejus [1], quam ipsum hominem fieri, idemque esse ac illud: « Ecce virgo in utero habebit, et pariet filium, et vocabunt nomen ejus Emmanuel [2], » et alia quæ de ejus adventu scripta sunt? Cum igitur eo loci Verbi in carnem adventus annuntietur, qualem creatum spiritum intelligere debemus, præter hominum spiritum qui efficitur et renovatur, quemadmodum Deus per Ezechielem pollicitus est, dicens: « Et dabo vobis cor novum, et spiritum novum dabo vobis: et auferam cor lapideum de carne vestra, et dabo vobis cor carneum, et Spiritum meum dabo in vobis [3]. » Quando ergo id impletum est, nisi cum advenit Dominus, et sua gratia omnia renovavit? Porro hoc etiam in loco spirituum differentia ostenditur. Nam spiritus noster, is est qui renovatur: sed Spiritum sanctum, non simpliciter spiritum, sed suum esse Spiritum Deus declarat, in quo scilicet spiritus noster renovatur, uti Psalmista psalmo centesimo tertio luculenter docet: « Auferes spiritum eorum et deficient, et in pulverem suum revertentur. Emittes Spiritum tuum et creabuntur, et renovabis faciem terræ [4]. » Quod si in Spiritu Dei renovamur: non ergo Spiritus sanctus is est qui creari dicitur, sed noster spiritus. Si item quia omnia per Verbum facta sunt, recte sentitis Filium non esse rem creatam: an non itidem impium est vos Spiritum sanctum, in quo Pater per Verbum omnia perficit et renovat, contendere rem esse creatam? Si igitur quod simpliciter scriptum sit spiritum creari, illum idcirco Spiritum sanctum esse sibi ipsis finxere: jam persuasum illis esse debet, non Spiritum sanctum illum esse qui creatur, sed nostrum esse qui in eo renovatur; qua de re et ipse David hoc modo precabatur: « Cor mundum crea in me, Deus, et spiritum rectum innova in visceribus meis [5]. »

Cum igitur ita sentiendum sit de illo spiritu qui creatur, congruenter quoque intelligi potest tonitru, quod firmari ibidem dicitur, fidelis sermo et immobilis lex spiritus: cujus cum Jacobum et Joannem ministros esse vellet Dominus, illos Boanerges nominavit, quod est, filii tonitrui [6]. Hinc Joannes vere e cœlis clamat: « In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum [7]. » Lex quippe prius umbram futurorum bonorum habuit. Cum autem Christus hominibus annuntiatus est; et ipse adfuit dicens: « Ipse qui loquor adsum [8]; tunc, » ut dixit Paulus, « ejus vox terram concussit, cum id prius pollicitus esset: Adhuc semel ego movebo non solum terram, sed et cœlum. Quod autem adhuc semel dicit, declarat mobilium translationem, ut maneant

A γομένου κτίζεσθαι πνεύματος οἰκειοτέραν εὕρωμεν τὴν διάνοιαν. Τί τοίνυν ἐστὶ τὸ ἀπαγγέλλειν εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ, ἢ τὸ γίνεσθαι αὐτὸν ἄνθρωπον, καὶ ἴσον εἶναι τοῦτο τῷ φάναι· « Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν· καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· » καὶ τὰ ἄλλα, ὅσα περὶ τῆς ἐπιδημίας αὐτοῦ γέγραπται; τῆς δὲ ἐνσάρκου παρουσίας ἀπαγγελλομένης περὶ τοῦ Λόγου, ποῖον χρὴ πνεῦμα κτιζόμενον νοεῖν, εἰ μὴ τὸ ἀνακτιζόμενον τῶν ἀνθρώπων καὶ ἀνακαινιζόμενον πνεῦμα; Τοῦτο γὰρ καὶ διὰ Ἰεζεκιὴλ ἐπηγγείλατο ὁ Θεὸς λέγων· « Καὶ δώσω ὑμῖν καρδίαν καινὴν, καὶ πνεῦμα καινὸν δώσω ὑμῖν· καὶ ἀφελῶ τὴν καρδίαν τὴν λιθίνην ἐκ τῆς σαρκὸς ὑμῶν· καὶ δώσω ὑμῖν καρδίαν σαρκίνην· καὶ τὸ Πνεῦμά μου δώσω ἐν ὑμῖν. »
B Πότε δὴ τοῦτο πεπλήρωται, εἰ μὴ ὅτε παραγενόμενος ὁ Κύριος ἀνεκαίνισε τὰ πάντα τῇ χάριτι; Ἰδοὺ γὰρ καὶ ἐν τῷ ῥητῷ τούτῳ ἡ διαφορὰ τῶν πνευμάτων δείκνυται· καὶ τὸ μὲν πνεῦμα τὸ ἡμῶν ἀνακαινιζόμενόν ἐστι· τὸ δὲ Πνεῦμα τὸ ἅγιον οὐχ ἁπλῶς πνεῦμα, ἀλλ' ἑαυτοῦ φησιν αὐτὸ εἶναι ὁ Θεὸς, ἐν ᾧ καὶ τὰ ἡμῶν ἀνακαινίζεται· ὡς καὶ ὁ ψάλλων ἐν τῷ ἑκατοστῷ καὶ τρίτῳ ψαλμῷ λέγει· « Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. » Εἰ δὲ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἀνακαινιζόμεθα· οὐκ ἄρα τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι τὸ νῦν λεγόμενον πνεῦμα κτίζεσθαι, ἀλλὰ τὸ ἡμέτερον. Καὶ εἴπερ,
C διὰ τὸ πάντα γενέσθαι διὰ τοῦ Λόγου, φρονεῖτε καλῶς μὴ εἶναι κτίσμα τὸν Υἱόν· πῶς οὐ βλάσφημόν ἐστι λέγειν ὑμᾶς κτίσμα τὸ Πνεῦμα, ἐν ᾧ τὰ πάντα ὁ Πατὴρ διὰ τοῦ Λόγου τελειοῖ καὶ ἀνακαινίζει; Καὶ εἰ, διὰ τὸ γεγράφθαι ἁπλῶς πνεῦμα κτίζεσθαι, ἀνεπλάσαντο ἑαυτοῖς εἶναι τοῦτο τὸ Πνεῦμα τὸ ἅγιον· πεισθῆναι λοιπὸν ὀφείλουσιν, ὅτι μὴ τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι τὸ κτιζόμενον, ἀλλὰ τὸ ἡμέτερόν ἐστι τὸ ἐν αὐτῷ ἀνακαινιζόμενον· περὶ οὗ καὶ ὁ Δαβὶδ ηὔχετο ψάλλων· « Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. »

Οὐκοῦν τοῦ κτιζομένου πνεύματος τοιαύτην ἔχοντος τὴν διάνοιαν, πρεπόντως ἂν νοηθείη καὶ ἡ
D στερεουμένη βροντὴ ὁ πιστὸς λόγος, καὶ ἀσάλευτος τοῦ πνεύματος ὁ νόμος. Τούτου γὰρ ὑπηρέτας εἶναι θέλων τὸν Ἰακὼβ καὶ τὸν Ἰωάννην, ἐκάλεσεν ὁ Κύριος Βοανεργὲς, ὅ ἐστιν, υἱοὶ βροντῆς· ὅ γ' οὖν Ἰωάννης ἀληθῶς ἀπ' οὐρανοῦ βοᾷ· « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος. » Πρότερον μὲν γὰρ σκιὰν εἶχεν ὁ νόμος τῶν μελλόντων ἀγαθῶν· ὅτε δὲ ὁ Χριστὸς ἀπηγγέλη τοῖς ἀνθρώποις καὶ παρεγένετο λέγων· « Αὐτὸς ὁ λαλῶν πάρειμι· τότε, » ὡς εἶπεν ὁ Παῦλος, « ἡ τούτου φωνὴ τὴν γῆν ἐσάλευσεν, ἐπαγγειλαμένου πρότερον· Ἔτι ἅπαξ ἐγὼ σείσω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν. Τὸ δὲ ἔτι ἅπαξ δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν, ἵνα μείνῃ τὰ μὴ σαλευόμενα. Διὸ βασι-

[1] Amos IV, 13. [2] Isa VII, 14. [3] Ezech. XXXVI, 26. [4] Psa. CIII, 29, 30. [5] Psal. L, 12. [6] Marc. III, 17. [7] Joan. I, 1. [8] Joan. IV, 26.

λείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχομεν χάριν, δι' A ἧς λατρεύομεν εὐαρέστως τῷ Θεῷ.» Ἣν δὲ λέγει βασιλείαν οὗτος ἀσάλευτον, ταύτην στερεωθεῖσαν ψάλλει Δαβίδ· «Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.» Τὸ ἄρα παρὰ τῷ προφήτῃ ῥητὸν τὴν ἐπιδημίαν τοῦ Σωτῆρος σημαίνει, ἐν ᾗ καὶ ἡμεῖς ἀνεκαινίσθημεν, καὶ ὁ νόμος τοῦ πνεύματος ἀσάλευτος διαμένει. Ἀλλ' οἱ τῷ ὄντι τροπικοὶ, συνθέμενοι τοῖς Ἀρειανοῖς, καὶ μερισάμενοι μετ' αὐτῶν τὴν εἰς τὴν θεότητα βλασφημίαν, ἵνα ἐκεῖνοι μὲν τὸν Υἱὸν, οὗτοι δὲ τὸ Πνεῦμα κτίσμα λέγωσιν· ἐτόλμησαν, ὡς αὐτοί φασι, τρόπους πάλιν ἑαυτοῖς ἐφευρεῖν καὶ παρεξηγεῖσθαι καὶ τὸ τοῦ Ἀποστόλου ῥητὸν, ὃ καλῶς μὲν αὐτὸς ἔγραφε Τιμοθέῳ λέγων· «Δια- B μαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ καὶ Ἰησοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος, μηδὲν ποιῶν κατὰ πρόσκλησιν.» Ἐκεῖνοι δὲ φάσκουσιν, ἐπειδὴ τὸν Θεὸν καὶ τὸν Χριστὸν ὠνόμασεν, εἶτα τοὺς ἀγγέλους, ἀνάγκη τοῖς ἀγγέλοις συναριθμεῖσθαι τὸ Πνεῦμα, τῆς τε αὐτῶν εἶναι συστοιχίας καὶ αὐτὸ, καὶ ἄγγελον εἶναι μείζονα τῶν ἄλλων. Πρῶτον μὲν οὖν τῆς ἀσεβείας ἐστὶν Οὐαλεντίνου τοῦτο τὸ εὕρημα· καὶ οὐκ ἔλαθον οὗτοι τὰ ἐκείνου φθεγγόμενοι. Ἐκεῖνος γὰρ ἔφησεν, ὅτι, πεμφθέντος τοῦ Παρακλήτου, συναπεστάλησαν αὐτῷ οἱ ἡλικιῶται αὐτοῦ ἄγγελοι· ἔπειτα δὲ τὸ Πνεῦμα κατάγοντες εἰς τοὺς ἀγγέλους εἰς τὴν Τριάδα συντάσσοντες. Εἰ γὰρ μετὰ Πατέρα καὶ Υἱὸν κατ' αὐτοὺς οἱ ἄγγελοι, δηλονότι τῆς Τριάδος εἰσὶν C οἱ ἄγγελοι, καὶ οὐκ ἔτι «λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενοι,» οὐδὲ ἁγιαζόμενοι, ἀλλ' αὐτοὶ μᾶλλον ἁγιάζοντες ἄλλους ἂν εἶεν.

Τίς οὖν ἡ τοσαύτη τούτων ἀπόνοια; Ποῦ τῶν Γραφῶν πάλιν εὗρον ἄγγελον τὸ Πνεῦμα λεγόμενον; Τὰ αὐτὰ δέ μοι τοῖς προειρημένοις εἰπεῖν ἀνάγκη. Παράκλητος ἐλέχθη καὶ πνεῦμα υἱοθεσίας, καὶ πνεῦμα ἁγιασμοῦ, καὶ πνεῦμα Θεοῦ, καὶ πνεῦμα Χριστοῦ ἐλέχθη· οὐδαμοῦ δὲ ἄγγελος, οὐδὲ ἀρχάγγελος, οὐδὲ πνεῦμα διακονίας, οἷοί εἰσιν οἱ ἄγγελοι· ἀλλὰ μᾶλλον σὺν τῷ Υἱῷ καὶ αὐτὸ διακονεῖται παρὰ τοῦ Γαβριὴλ λέγοντος τῇ Μαρίᾳ· «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ· καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.» Τῶν δὲ Γραφῶν μὴ λεγουσῶν ἄγγελον τὸ Πνεῦμα, ποία τούτοις ἀπολογία γένοιτ' ἂν τῆς τοσαύτης ἀλογίστου τόλμης; ὅπου γε καὶ ὁ τὴν τοι- D αύτην αὐτοῖς κακόνοιαν ἐπισπείρας Οὐαλεντῖνος τὸ μὲν Παράκλητον, τοὺς δὲ ἀγγέλους ὠνόμασεν· εἰ καὶ ἐν τῷ ἰσοχρόνῳ, ἡλικιώτην τοῖς ἀγγέλοις συντάσσει καὶ αὐτὸς τὸ Πνεῦμα ὁ ἀφρονέστατος. Ἀλλ' ἰδοὺ, φασὶν, ἐν τῷ προφήτῃ Ζαχαρίᾳ γέγραπται· «Τάδε λέγει ὁ ἄγγελος, ὁ λαλῶν ἐν ἐμοί.» Καὶ δῆλόν ἐστιν, ὅτι ἄγγελον εἶναι τὸ Πνεῦμα σημαίνει τὸν ἐν αὐτῷ λαλοῦντα. Τοῦτο δὲ οὐκ ἂν εἶπον, εἰ τῇ ἀναγνώσει προσέχοντες ἦσαν. Αὐτὸς γὰρ ὁ Ζαχαρίας, ἡνίκα τὴν ὀπτασίαν περὶ τῆς λυχνίας ἑώρακε, φησί· «Καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, καὶ εἶπεν·

ea quæ sunt immobilia. Itaque regnum immobile suscipientes, habemus gratiam, per quam servimus placentes Deo [1].» Quod autem hic immobile regnum dicit, idem firmatum canit David: «Dominus regnavit, decorem induit, induit Dominus fortitudinem et ea præcinxit se. Etenim firmavit orbem terræ, qui non commovebitur [2].» Itaque quod a propheta dictum est, Salvatoris adventum significat, in quo et nos renovati sumus, et lex spiritus immobilis perseverat. Sed illi vere tropici seu versatiles fœdere cum Arianis inito, ac inter se impietate adversus Divinitatem divisa, ut videlicet illi Filium, ipsi Spiritum rem creatam esse pugnent; tropos, ut iidem loquuntur, effingere, atque illud etiam quod recte ad Timotheum scripsit Apostolus, male interpretari ausi sunt: «Testor,» inquit Paulus, «coram Deo et Christo Jesu, et electis angelis, ut hæc custodias sine præjudicio, nihil faciens ex invitatione [3].» Ex quibus illi concludunt, quod cum Deum et Christum nominaverit, deindeque angelos, necesse est spiritum inter angelos annumerari, eumque ex illorum esse ordine, atque angelum aliis majorem essę. Primo, hoc impii Valentini inventum est, neque latet ipsos eadem ac illum loqui. Ille siquidem dixit, quod misso Paracleto, una cum illo coævi ejus angeli missi fuerint. Deinde, dum Spiritum ad angelorum naturam deducunt, non advertunt se angelos in Trinitate collocare. Nam si secundum illos post Patrem et Filium sequuntur angeli: certe e Trinitate sunt angeli, nec jam sunt «administratores spiritus in ministerium missi [4],» nec ipsi sancti efficiuntur, sed potius alios sanctos efficiunt.

Quænam tandem hæc tam absurda illorum dementia est? Quo in loco rursus Scripturæ sacræ invenerunt Spiritum angelum dici? Eadem enim quæ jam dixi, mihi repetere necesse est. Paracletus dictus est et spiritus adoptionis, spiritus sanctimoniæ, et Christi spiritus. At nunquam vel angelus aut archangelus, aut spiritus ministerii quales sunt angeli, appellatus est. Quin imo eidem et Filio ministrat Gabriel cum Mariæ ait: «Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi [5].» Cum igitur Scripturæ Spiritum angelum non appellent, quid excusationis habere possint in tanta tamque absurda temeritate, maxime cum ipse Valentinus, qui impiam hanc mentem illis inseruit, illum quidem, Paracletum, hos vero, angelos nominaverit, licet idem stultissimus Spiritum angelis coætaneum eodemque duntaxat tempore ac illos exstitisse senserit. Sed ecce, inquiunt, apud prophetam Zachariam scriptum est: «Hæc dicit angelus qui loquitur in me [6].» Atqui perspicuum est hic spiritus nomine angelum in ipso loquentem significari. Verum id minime dicerent, si quod legunt vellent attendere. Nam Zacharias in candelabri visione ait: «Et respondit angelus qui loque-

[1] Agg. II, 7; Hebr. XII, 26-28. [2] Psal. XCII, 1. [3] I Timoth. V, 21. [4] Hebr. I, 14. [5] Luc. I, 35. [6] Zach. IV, 5.

batur in me, et dixit; Numquid nescis quid sunt hæc? Et dixi: Non, Domine. Et respondit, et ait ad me, dicens; Hoc est verbum Domini ad Zorobabel, dicens: Non in virtute magna, nec in robore, sed in Spiritu meo, dicit Dominus omnipotens [1]. » Ex quibus liquet angelum qui prophetæ loquebatur, non fuisse Spiritum sanctum, sed illum quidem esse angelum, hunc autem esse Spiritum Dei omnipotentis, cui et angelus ministrat, quique a divinitate dividi nequit, ac verbi proprius est. Quod si Apostoli verba nobis opposuerint, qui scilicet post Christum electos angelos nominavit; dicant quinam ex illis omnibus Trinitati adjungendus sit? Nec enim omnes unus sunt numero. Aut quis illorum in columbæ specie in Jordanem descendit? Nam millia millium et decies millies dena millia ministrant ei [2]. Vel quare cœlis apertis non dictum est, Et descendit aliquis ex electis angelis, sed, Spiritus sanctus? Vel quare ipse Dominus de fine temporum cum discipulis disserens, distincte ait: « Mittet Filius hominis angelos suos [3]? » Item et antea dictum fuerat: « Angeli ministrabant ei [4]. » Iterum quoque dixit: « Exibunt angeli [5]. » Cum vero discipulis sanctum Spiritum daret, ait: « Accipite Spiritum sanctum [6]. » Rursus et cum eosdem ad prædicandum misit: « Euntes, inquit, docete omnes gentes, baptizantes eos in nomine Patris et Filii et Spiritus sancti [7]. » Nec enim angelum cum divinitate copulavit, neque nos sibi ipsi et Patri in re creata conjunxit, sed in Spiritu sancto, quem cum promitteret, non ait se angelum mittere, sed « Spiritum veritatis qui a Patre procedit, [8] » qui idem ex ipso accipit et datur.

Moyses quoque qui angelos quidem res creatas esse, Spiritum autem sanctum Filio et Patri conjunctum noverat, Deo ipsi dicente: « Vade, ascende de loco isto tu et populus tuus quem eduxisti de terra Ægypti, in terram quam juravi Abraham, Isaac et Jacob, dicens: Semini vestro dabo eam: et mittam ante faciem tuam angelum meum, et ejiciet Chananæum [9]; » id recusavit, ita respondens: « Nisi ipse proficiscaris nobiscum, ne me ex isto loco educas [10]. » Nolebat nempe populum a re creata duci, ne rei creatæ potius quam Deo omnium Creatori servire discerent. Certe idem ille qui angelum ducem habere renuerat, Deum ipsum ut sui dux esset rogavit. Quod cum Deus pollicitus ipsi responderit: « Et istud verbum tuum, quod locutus es, faciam: invenisti enim gratiam coram me, et novi te præ omnibus [11]: » cum item inde in Isaia scriptum legamus: « Qui e terra eduxit pastorem ovium: ubi est qui posuit in ipsis Spiritum sanctum, qui Moysen dextera deduxit [12]? » et paulo post: « Descendit Spiritus a

A Οὐ γινώσκεις τί ἐστι ταῦτα; Καὶ εἶπον· Οὐχὶ, Κύριε. Καὶ ἀπεκρίθη, καὶ εἶπε πρὸς μὲ λέγων· Οὗτος ὁ λόγος Κυρίου πρὸς Ζοροβάβελ, λέγων· Οὐκ ἐν δυνάμει μεγάλῃ, οὐδὲ ἐν ἰσχύϊ, ἀλλ' ἐν Πνεύματί μου, λέγει Κύριος παντοκράτωρ. » Εὔδηλον οὖν, ὡς ὁ λαλῶν ἄγγελος τῷ προφήτῃ οὐκ ἦν τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' αὐτὸς μὲν ἄγγελος, τὸ δὲ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐστι τοῦ παντοκράτορος· καὶ διακονεῖται μὲν παρ' ἀγγέλου, ἀδιαίρετον δὲ τῆς θεότητός ἐστι, καὶ ἴδιον τοῦ λόγου. Ἐπεὶ εἰ τὸ ἀποστολικὸν προφασίζονται ῥητὸν, διὰ τὸ εἰρῆσθαι μετὰ τὸν Χριστὸν τοὺς ἐκλεκτοὺς ἀγγέλους, εἰπάτωσαν τίς ἐκ πάντων τούτων ἐστὶν ὁ τῇ Τριάδι συντασσόμενος; Οὐ γὰρ δὴ πάντες εἷς εἰσι τῷ ἀριθμῷ· ἢ τίς αὐτῶν ἐστιν ὁ κατελθὼν εἰς τὸν Ἰορδάνην ἐν εἴδει B περιστερᾶς; Χίλιαι γὰρ χιλιάδες εἰσὶ καὶ μύριαι μυριάδες οἱ λειτουργοῦντες. Ἢ διὰ τί, ἀνοιγομένων τῶν οὐρανῶν, οὐκ εἴρηται, Καὶ κατῆλθεν ἐκ τῶν ἐκλεκτῶν ἀγγέλων, ἀλλὰ, τὸ Πνεῦμα τὸ ἅγιον; Ἢ διὰ τί αὐτὸς ὁ Κύριος περὶ μὲν τῆς συντελείας διαλεγόμενος τοῖς μαθηταῖς, διαστέλλων μὲν ἔλεγεν· « Ἀποστελεῖ ὁ Υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ; » Καὶ πρὸ τούτων εἴρητο· « Οἱ ἄγγελοι διηκόνουν αὐτῷ. » Καὶ πάλιν αὐτὸς λέγει· « Ἐξελεύσονται οἱ ἄγγελοι. » Τοῖς δὲ μαθηταῖς διδοὺς ἔλεγε « Λάβετε Πνεῦμα ἅγιον· » ἀποστέλλων τε αὐτοὺς ἔλεγε· « Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. » Οὐ γὰρ ἄγγελον συνέτασσε C τῇ θεότητι, οὐδὲ ἐν κτίσματι συνῆπτεν ἡμᾶς ἑαυτῷ τε καὶ τῷ Πατρὶ, ἀλλ' ἐν τῷ Πνεύματι τῷ ἁγίῳ, ὅπερ αὐτὸς ἐπαγγελλόμενος οὐκ εἴρηκεν ἄγγελον ἀποστέλλειν, ἀλλὰ « τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, » καὶ ἐκ τοῦ αὐτοῦ λαμβάνει καὶ δίδοται.

Καὶ Μωσῆς γ' οὖν, γινώσκων τοὺς μὲν ἀγγέλους κτίσματα, τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἡνωμένον τῷ Υἱῷ καὶ τῷ Πατρὶ, λέγοντος αὐτῷ τοῦ Θεοῦ· « Πορεύου, ἀνάβηθι ἐντεῦθεν σὺ καὶ ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου εἰς τὴν γῆν, ἣν ὤμοσα τῷ Ἀβραὰμ, καὶ τῷ Ἰσαὰκ, καὶ τῷ Ἰακὼβ λέγων· Τῷ σπέρματι ὑμῶν δώσω αὐτήν· καὶ συναποστελῶ πρὸ προσώπου σου τὸν ἄγγελόν μου, καὶ ἐκβαλεῖ τὸν Χαναναῖον· » παραιτεῖται λέγων· « Εἰ μὴ αὐτὸς D συμπορεύῃ μεθ' ἡμῶν, μή με ἀναγάγῃς ἐντεῦθεν. » Οὐκ ἐβούλετο γὰρ κτίσμα προηγεῖσθαι τοῦ λαοῦ, ἵνα μὴ μάθωσι λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα τὰ πάντα Θεόν. Ἀμέλει, τὸν ἄγγελον παραιτησάμενος, παρεκάλει αὐτὸν τὸν Θεὸν καθηγεῖσθαι αὐτῶν. Τοῦ δὲ Θεοῦ ἐπαγγειλαμένου καὶ εἰπόντος πρὸς αὐτόν· « Καὶ τοῦτόν σου τὸν λόγον, ὃν εἴρηκας, ποιήσω· εὕρηκας γὰρ χάριν ἐνώπιόν μου, καὶ οἶδά σε παρὰ πάντας· » γέγραπται ἐν τῷ Ἡσαΐᾳ· « Ὁ ἀναβιβάσας ἐκ τῆς γῆς τὸν ποιμένα τῶν προβάτων· ποῦ ἐστιν ὁ θεὶς ἐν αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, ὁ ἀναγαγὼν τῇ δεξιᾷ Μωσῆν; » καὶ μετ' ὀλίγα φησί·

[1] Zachar. IV, 5, 6. [2] Dan. VII, 10. [3] Matth. XIII, 41. [4] Matth. IV, 11. [5] Matth. XIII, 49. [6] Joan. XX, 22. [7] Matth. XXVIII, 19. [8] Joan. XV, 26; XVI, 14. [9] Exod. XXXIII, 1, 2. [10] ibid. 15. [11] ibid. 17, 18. [12] Isa. LXIII, 11, 12.

« Κατέβη Πνεῦμα παρὰ Κυρίου καὶ ὡδήγησεν αὐτούς. Οὕτως ἤγαγες τὸν λαόν σου ποιῆσας σεαυτῷ ὄνομα δόξης · » τίς ἐκ τούτων οὐ συνορᾷ τὴν ἀλήθειαν; Τοῦ γὰρ Θεοῦ ἐπαγγειλαμένου καθηγεῖσθαι, ἰδοὺ οὐκ ἔτι ἄγγελον ἐπαγγέλλεται πέμπειν, ἀλλὰ τὸ Πνεῦμα αὐτοῦ, ὅ ἐστιν ὑπὲρ τοὺς ἀγγέλους, καὶ αὐτὸ καθηγούμενόν ἐστι τοῦ λαοῦ. Καὶ δείκνυται, ὅτι οὐ τῶν κτισμάτων, οὐδὲ ἄγγελός ἐστι τὸ Πνεῦμα, ἀλλὰ ἄνω τῆς κτίσεώς ἐστιν, ἡνωμένον τῇ θεότητι τοῦ Πατρός. Αὐτὸς γὰρ ὁ Θεὸς διὰ τοῦ Λόγου ἐν Πνεύματι καθηγεῖτο τοῦ λαοῦ · ὅθεν καὶ διὰ πάσης τῆς Γραφῆς φησιν · « Ἐγὼ ἀνήγαγον ὑμᾶς ἐκ γῆς Αἰγύπτου · μάρτυρες ὑμεῖς ἐστε, εἰ Θεὸς ἦν ἀλλότριος ἐν ὑμῖν πλὴν ἐμοῦ. » Καὶ οἱ ἅγιοι δὲ προσφωνοῦσι τῷ Θεῷ · « Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου · » καί, « Ὡδήγησεν αὐτοὺς Κύριος ἐπ' ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν. » Τούτῳ καὶ τὸν ὕμνον ἀνατιθέασι λέγοντες · « Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. » Ὁ δὲ μέγας Μωσῆς συνεχῶς διηγεῖται · « Κύριος ὁ Θεὸς ὁ προπορευόμενος πρὸ προσώπου ὑμῶν. » Τὸ ἄρα τοῦ Θεοῦ Πνεῦμα οὐκ ἂν εἴη ἄγγελος, οὐδὲ κτίσμα, ἀλλ' ἴδιον τῆς θεότητος αὐτοῦ. Τοῦ γὰρ Πνεύματος ὄντος ἐν τῷ λαῷ, ὁ Θεὸς δι' Υἱοῦ ἐν Πνεύματι ἦν ἐν αὐτοῖς.

Ἀλλ' ἔστω ταῦτα, φασὶ καὶ αὐτοί · διὰ τί οὖν ὁ Ἀπόστολος μετὰ τὸν Χριστὸν οὐκ ὠνόμασε τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ τοὺς ἐκλεκτοὺς ἀγγέλους; Τὸ αὐτὸ δ' ἄν τις αὐτοὺς ἐρωτήσειε · Διὰ τί μὴ ἀρχαγγέλους, μηδὲ χερουβίμ, μηδὲ σεραφίμ, μηδὲ κυριότητας, μηδὲ θρόνους, μηδὲ ἕτερόν τι, ἀλλ' ἐκλεκτοὺς μόνους ἀγγέλους ὠνόμασεν ὁ Παῦλος; Ἆρ' οὖν, ἐπεὶ μὴ οὕτως ὠνόμασεν, οἱ ἄγγελοι ἀρχάγγελοί εἰσιν, ἢ μόνοι ἄγγελοί εἰσι, καὶ οὔτε σεραφίμ, ἢ χερουβίμ, οὐκ ἀρχάγγελοι, οὐδὲ κυριότητες, οὐ θρόνοι, οὐκ ἀρχαί, οὐχ ἕτερόν τι ἐστίν; Ἀλλὰ τοῦτό ἐστιν ἀνάγκην μὲν ἐπιβάλλειν τῷ Ἀποστόλῳ, διὰ τί μὴ οὕτως, ἀλλ' οὕτως ἔγραψεν, ἀγνοεῖν δὲ τὰς θείας Γραφάς, καὶ διὰ τοῦτο πλανᾶσθαι περὶ τὴν ἀλήθειαν. Ἰδοὺ γὰρ παρὰ μὲν τῷ Ἡσαΐᾳ γέγραπται · « Προσαγάγετε πρός με, καὶ ἀκούσατε ταῦτα · Οὐκ ἀπ' ἀρχῆς ἐν κρυφῇ λελάληκα · ἡνίκα ἐγένετο, ἐκεῖ ἤμην · καὶ νῦν Κύριος ἀπέσταλκέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ · » παρὰ δὲ τῷ Ἀγγαίῳ · « Καὶ νῦν κατίσχυε Ζοροβάβελ, λέγει Κύριος, καὶ κατίσχυε Ἰησοῦ ὁ τοῦ Ἰωσεδέκ, ὁ ἱερεὺς ὁ μέγας, λέγει Κύριος. Καὶ κατισχυέτω πᾶς ὁ λαὸς τῆς γῆς, λέγει Κύριος · καὶ ποιεῖτε, διότι μεθ' ὑμῶν ἐγώ εἰμι, λέγει Κύριος παντοκράτωρ, καὶ τὸ Πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν. » Καὶ παρ' ἀμφοτέροις τοῖς προφήταις περὶ μόνου τοῦ Κυρίου καὶ τοῦ Πνεύματος μνήμη γέγονε. Τί τοίνυν καὶ περὶ τούτου φήσουσιν; Εἰ γάρ, ἐπειδὴ τοῦ Χριστοῦ μνημονεύσας ὁ Παῦλος περὶ μὲν τοῦ Πνεύματος ἐσιώπησε, τῶν δὲ ἐκλεκτῶν ἀγγέλων ἐμνημόνευσε, διὰ τοῦτο ἐν ἀγγέλοις τὸ Πνεῦμα συντάττουσιν · ὥρα, καὶ τοῖς προφητικοῖς τούτοις ἐντυγχάνοντας, τολμηρότερον αὐτοὺς διαλογίζεσθαι καὶ περὶ τοῦ σεσιωπημέ-

A Domino et ductor illorum fuit. Sic duxisti populum tuum, ut faceres tibi nomen gloriæ [1] : » quis ex his veritatem non perspicit? Nam cum Deus se ducem populi fore esset pollicitus, ecce non jam angelum, sed suum Spiritum, qui angelis superior est, ductorem populi se missurum promittit. Quare patet Spiritum non ex rebus creatis neque angelum esse, sed rebus omnibus creatis superiorem et Patris divinitati conjunctum esse. Namque ipse Deus per Verbum in Spiritu populum ducebat; unde per totam Scripturam testatur : « Ego eduxi vos de terra Ægypti : testes vos estis, si Deus alienus erat in vobis præter me [2]. » Sancti quoque ita B Deo loquuntur : « Deduxisti sicut oves populum tuum [3]. » Et : « Deduxit eos Dominus in spe, et non timuerunt [4]. » Huic eidem hymnum offerunt qui aiunt : « Qui traduxit populum suum per desertum, quoniam in sæculum misericordia ejus [5]. » Magnus vero Moyses identidem repetit : « Dominus Deus qui præit ante faciem vestram [6]. » Itaque Dei Spiritus non est angelus neque res creata, sed ejus divinitatis est proprius. Nam cum Spiritus in populo esset, Deus per Filium in Spiritu in iisdem erat.

Verum hæc ita sint, inquiunt illi : cur igitur Apostolus post Christum, non Spiritum sanctum, sed electos angelos nominavit? Atqui idem ab C illis merito quis sciscitetur : Quare non archangelos, neque cherubim, neque seraphin, neque dominationes, neque thronos, neque quid aliud, sed solos electos angelos Paulus nominavit? Num ergo, quia non ita nominavit, angeli sunt archangeli, aut soli angeli exsistunt, nullique sunt seraphim aut cherubim, nulli archangeli et dominationes, nulli throni et principatus, nihil denique aliud exsistit? Verum id inquirere nihil aliud est, quam Apostolo necessitatem hoc vel illo modo scribendi imponere, nec non divinas Scripturas ignorare, ac proinde a veritate aberrare. Ecce enim apud Isaiam scriptum legimus : « Accedite ad me et audite hæc : Non ab initio in abscondito locutus sum; cum fieret, ibi D eram : et nunc Dominus misit me et Spiritus ejus [7]. » Et apud Aggæum : « Et nunc confortare, Zorobabel, dicit Dominus, et confortare, Jesu fili Josedec, sacerdos magne, et confortetur omnis populus terræ, dicit Dominus, et facite, quoniam ego vobiscum sum, dicit Dominus omnipotens. Et Spiritus meus stetit in medio vestri [8]. » Hic apud utrumque prophetam, solius Domini et Spiritus fit mentio : quid igitur ad id dicturi sunt? Nam si eo quod Paulus Christi mentionem faciens, de Spiritu tacuerit, et electorum angelorum meminerit; si, inquam, eam ob causam Spiritum inter angelos collocare nihil verentur : restat ut ex his propheticis verbis, iidem de illo qui ibi silentio omittitur audacius disputent. Nam si dicant Domi-

[1] Isa. LXIII, 14. [2] Levit. XI, 45; Deut. XXXII, 39; Isa. XLV, 21; Ose. XIII, 4. [3] Psal. LXXVI, 21. [4] Psal. LXXVII, 53. [5] Psal. CXXXV, 16. [6] Deut. I, 30, 33. [7] Isa. XLVIII, 16. [8] Agg. II, 5, 6.

num esse, idem esse ac Filium esse : quid de Patre dicturi sunt? Si vero illud de Patre intelligant, quid dicturi sunt de Filio? Procul autem absit vel a sola cogitatione, ea quæ ex illorum sententia consequitur impietas. Nempe illos respondere necesse est, vel nullum illum esse, vel, quod silentio prætermissus sit, eum inter res creatas annumerare.

Quid item dicturi sunt, si ipsum etiam Dominum dicentem audierint : « Judex quidam erat in quadam civitate, qui Deum non timebat, et hominem non reverebatur [1]. » Nunquid quia post Deum hominem nominavit, ille homo est Filius quem injustus judex non reveretur? An forte quia post Deum, hominem subdiderit, tertius est Filius post hominem, et quartus Spiritus sanctus? Quid, si Apostolum eadem Epistola rursus dicentem audiant « Præcipio tibi coram Deo, qui vivificat omnia, et Christo Jesu, qui testimonium reddidit sub Pontio Pilato bonam confessionem, ut serves mandatum sine macula, irreprehensibile [2] » ? Num quia hic de angelis et Spiritu siluit, de Spiritu et de angelis utrum sint dubitant? Ita sane dubitaverint, quandiu hæc adeo impia contra Spiritum meditabuntur. Si præterea ad hæc libri Exodi verba attendant, « Timuit autem populus Dominum, et crediderunt Deo et Moysi servo ejus [3], » an Moysem Deo annumeraturi sunt, neque post Deum, Filium sed solum Moysem sunt intellecturi? Quid si etiam patriarcham Jacob Josepho his verbis benedicere meminerint « Deus, qui pascit me ab adolescentia mea usque in præsentem diem ; angelus, qui eruit me de cunctis malis, benedicat pueris istis [4] » ? Num quia post Deum angelum nominavit, prior est angelus Filio, aut Filius inter angelos annumeratur? Ita profecto senserint, quippe quibus cor corruptum sit. Verum non hæc est apostolica fides, neque ea ferre licet Christiano. Nam sancta et beata Trinitas individua atque ipsa secum unita est, ita ut ubi Patris mentio fiat, ejusdem statim Verbum, ac in Filio Spiritus debeat intelligi. Quod si Filius nominetur, similiter in Filio est Pater, nec extra Verbum est Spiritus sanctus. Siquidem una est Patris gratia quæ per Filium in Spiritu sancto completur. Una pariter divinitas et unus Deus est qui est super omnia, et per omnia, atque in omnibus. Namque ipse etiam Paulus cujus hæc sunt verba, « Testificor coram Deo et Jesu Christo [5], » Spiritum a Filio neutiquam dividi, sed ipsum in Christo esse, quemadmodum Filius in Patre est, optime noverat. Convenienter tamen electos angelos una adjunxit, ut, quoniam hæc ad discipulum scribebat, ille cui minime latebat ea quæ a Deo dicta sunt per Christum in Spiritu dicta esse, et angelos res nostras administrare, singulorumque actus speculari, magistri exhortationes custodiret, ut cui persuasum esset omnium quæ diceret ipsos angelos speculatores testes habere.

νου. Ἄν τε γὰρ τὸν Κύριον εἶναι, φήσουσιν εἶναι τὸν Υἱὸν, τί ἂν εἴποιεν περὶ τοῦ Πατρός; ἄν τε τὸν Πατέρα εἴπωσι, τί ἂν εἴποιεν περὶ τοῦ Υἱοῦ; Τὴν γὰρ ἀκολουθοῦσαν κατ' ἐκείνους δυσφημίαν μηδὲ λογίσασθαί τινα γένοιτο· ἀνάγκη γὰρ αὐτοὺς εἰπεῖν, ἢ ὅτι οὐκ ἔστιν, ἢ τοῖς ποιήμασι συναριθμεῖν τὸ σεσιωπημένον.

Τί δ' ἂν εἴποιεν, ἐὰν ἀκούσουσι καὶ τοῦ Κυρίου λέγοντος· « Κριτής τις ἦν ἔν τινι χώρᾳ, τὸν Θεὸν μὴ φοβούμενος, καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος. » Ἄρα, ἐπειδὴ μετὰ τὸν Θεὸν ὠνόμασεν ἄνθρωπον, ὁ Υἱός ἐστιν οὗτος ὁ ἄνθρωπος, ὃν οὐκ ἐνετράπη ὁ ἄδικος κριτής; Ἢ ἐπειδὴ μετὰ τὸν Θεὸν ὠνόμασε τὸν ἄνθρωπον, τρίτος ἐστὶν ὁ Υἱὸς μετὰ τὸν ἄνθρωπον, καὶ τέταρτον τὸ Πνεῦμα τὸ ἅγιον; Τί δὲ ἄρα, ἐὰν καὶ τοῦ Ἀποστόλου ἐν τῇ αὐτῇ ἐπιστολῇ πάλιν λέγοντος ἀκούσωσι· « Παραγγέλλω σοι ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωογονοῦντος τὰ πάντα, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου, τὴν καλὴν ὁμολογίαν, τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον, ἀνεπίληπτον; » Ἄρα οὖν, ἐπειδὴ σεσιώπηκε νῦν περὶ ἀγγέλων καὶ Πνεύματος, ἀμφιβάλλουσι περὶ Πνεύματος, εἰ ἔστι, καὶ περὶ ἀγγέλων, εἴ εἰσι; Ναὶ ἀμφιβάλλουσιν ἕως τοιαῦτα δυσφημεῖν περὶ τοῦ Πνεύματος μεμελετήκασιν. Ἐὰν δὲ ἀκούσωσι τῆς Γραφῆς λεγούσης ἐν τῇ 'Fξόδῳ, « Ἐφοβήθη δὲ ὁ λαὸς τὸν Κύριον, καὶ ἐπίστευσαν τῷ Θεῷ, καὶ Μωσῇ, τῷ θεράποντι αὐτοῦ, » ἄρα συναριθμήσουσι τῷ Θεῷ τὸν Μωσῆν, καὶ μετὰ τὸν Θεὸν οὐ νοήσουσι τὸν Υἱὸν, ἀλλὰ μόνον τὸν Μιυσῆν; Τί δὲ, ἐὰν ἀκούσωσι καὶ τοῦ πατριάρχου Ἰακὼβ εὐλογοῦντος τὸν Ἰωσὴφ καὶ λέγοντος· « Ὁ Θεὸς ὁ τρέφων με ἐκ νεότητός μου ἕως τῆς ἡμέρας ταύτης· ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν εὐλογῆσαι τὰ παιδία ταῦτα »; Ἄρα, ἐπειδὴ μετὰ τὸν Θεὸν ὠνόμασεν ἄγγελον, πρῶτός ἐστιν ὁ ἄγγελος τοῦ Υἱοῦ, ἢ ἀγγέλοις συναριθμεῖται ὁ Υἱός; Ναὶ, πάλιν οὕτω νοήσουσι, διεφθαρμένην ἔχοντες τὴν καρδίαν. Ἀλλ' οὐχ ἡ ἀποστολικὴ πίστις ἐστὶ τοιαύτη, οὐδ' ὅλως Χριστιανὸς ἀνάσχοιτο ἂν τούτων. Ἡ γὰρ ἁγία καὶ μακαρία Τριὰς, ἀδιαίρετος καὶ ἡνωμένη πρὸς ἑαυτήν ἐστι· καὶ λεγομένου τοῦ Πατρὸς, πρόσεστι καὶ ὁ τούτου Λόγος καὶ τὸ ἐν τῷ Υἱῷ Πνεῦμα. Ἐὰν δὲ καὶ ὁ Υἱὸς ὀνομάζηται, ἐν τῷ Υἱῷ ἐστιν ὁ Πατὴρ, καὶ τὸ Πνεῦμα οὐκ ἔστιν ἐκτὸς τοῦ Λόγου. Μία γάρ ἐστιν ἐκ τοῦ Πατρὸς χάρις δι' Υἱοῦ ἐν Πνεύματι ἁγίῳ πληρουμένη· καὶ μία θεότης ἐστὶ, καὶ εἷς Θεός ἐστιν ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν. Οὕτω γὰρ καὶ ὁ Παῦλος, εἰρηκὼς, « Διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ καὶ Ἰησοῦ Χριστοῦ, » ἐγίνωσκεν, ὅτι οὐ διῃρεῖτο τοῦ Υἱοῦ τὸ Πνεῦμα, ἀλλ' ἐν Χριστῷ ἦν καὶ αὐτὸ, ὥσπερ ὁ Υἱὸς ἐν τῷ Πατρί· τοὺς δὲ ἐκλεκτοὺς ἀγγέλους συνεπήγαγεν εἰκότως, ἵνα, ἐπειδὴ διαμαρτυρία ἦν τῷ μαθητῇ λεγομένη, γινώσκων, ὡς τὰ μὲν λεγόμενα παρὰ Θεοῦ διὰ Χριστοῦ ἐν Πνεύματι λελάληται, οἱ δὲ ἄγγελοι διακονοῦσι τὰ παρ' ἡμῶν, ἐπισκοποῦντες τὰς ἑκάστου

[1] Luc. XVIII, 2. [2] I Tim. VI, 13. [3] Exod. XIV, 31. [4] Gen. XLVIII, 15. [5] II Timoth. IV, 1.

:πράξεις, φυλάξῃ τὰς τοῦ διδασκάλου παραινέσεις, ὡς ἔχων τοὺς ἐφορῶντας τῶν λεγομένων μάρτυρας. Ἢ τάχα καὶ διὰ τοὺς διὰ παντὸς θεωροῦντας τὸ πρόσωπον τοῦ Πατρὸς, τοῦ ἐν τοῖς οὐρανοῖς, διαμαρτύρεται νῦν ἀγγέλους, ἕνεκά γε τῶν ἐν τῇ Ἐκκλησίᾳ μικρῶν, ἵνα, γινώσκων ὁ μαθητὴς τοὺς κηδεμόνας τῶν λαῶν, μὴ ἀμελήσῃ τῶν παραινέσεων τοῦ Ἀποστόλου.

Τῶν μὲν οὖν θείων λογίων τοιοῦτος ὁ νοῦς ἐμοὶ φαίνεται, διελέγχων τὴν τῶν ἀλόγων κατὰ τοῦ Πνεύματος δυσφημίαν· αὐτοὶ δὲ τὴν φιλονεικίαν ἔμμονον ἔχοντες πρὸς τὴν ἀλήθειαν, ὡς γράφεις, οὐκέτι μὲν ἀπὸ τῶν Γραφῶν (οὐχ εὑρίσκουσι γὰρ), ἀπὸ δὲ τοῦ περισσεύματος τῆς καρδίας τῆς ἰδίας ἐρευγόμενοι, πάλιν φάσκουσιν· Εἰ μὴ κτίσμα ἐστὶ, μηδὲ τῶν ἀγγέλων εἷς ἐστιν, ἀλλ' ἐκ τοῦ Πατρὸς ἐκπορεύεται· οὐκοῦν Υἱός ἐστι καὶ αὐτὸ, καὶ δύο ἀδελφοί εἰσιν αὐτό τε καὶ ὁ Λόγος. Καὶ εἰ ἀδελφός ἐστι, πῶς μονογενὴς ὁ Λόγος, ἢ πῶς οὐκ ἴσοι, ἀλλ' ὁ μὲν μετὰ τὸν Πατέρα, τὸ δὲ μετὰ τὸν Υἱὸν ὀνομάζεται; Πῶς δὲ, εἰ ἐκ τοῦ Πατρός ἐστιν, οὐ λέγεται καὶ αὐτὸ γεγεννῆσθαι, ἢ ὅτι Υἱός ἐστιν, ἀλλ' ἁπλῶς Πνεῦμα ἅγιον; Εἰ δὲ τοῦ Υἱοῦ ἐστι τὸ Πνεῦμα, οὐκοῦν πάππος ἐστὶν ὁ Πατὴρ τοῦ Πνεύματος. Τοιαῦτα παίζουσιν οἱ ἄτιμοι, περιεργαζόμενοι καὶ θέλοντες ἐρευνᾷν τὰ βάθη τοῦ Θεοῦ, ἃ μηδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ δυσφημούμενον ὑπὸ τούτων. Ἔδει μὲν οὖν μηκέτι τούτοις ἀποκρίνασθαι, κατὰ δὲ τὴν ἀποστολικὴν παραγγελίαν, μετὰ τὴν ἐκ τῶν προειρημένων νουθεσίαν ὡς αἱρετικοὺς αὐτοὺς παραιτεῖσθαι, ἢ ἄξια ὧν ἐρωτῶσιν ἐρωτᾷν αὐτοὺς, καὶ ἀπαιτεῖν παρ' αὐτῶν ἀπόκρισιν, οἵαν αὐτοὶ παρ' ἡμῶν ἀπαιτοῦσιν. Εἰπάτωσαν τοίνυν· εἰ ὁ Πατὴρ ἐκ πατρός ἐστι, καὶ εἰ ἄλλος σὺν αὐτῷ γεγέννηται, καί εἰσιν ἀδελφοὶ ἐξ ἑνὸς, καὶ τί ὄνομα αὐτοῖς, καὶ τίς ὁ καὶ τούτων Πατὴρ καὶ πάππος, κἀκείνων οἱ πρόγονοι; Ἀλλ' οὐκ εἶναι φήσουσι. Πῶς οὖν Πατὴρ, λεγέτωσαν, αὐτὸς μὴ γενόμενος ἐκ Πατρός; Ἢ πῶς ἠδυνήθη Υἱὸν ἔχειν, μὴ πρότερον αὐτὸς Υἱὸς γεννηθείς; Οἶδα, ὅτι ἀσεβὴς ἡ ἐρώτησις· ἀλλὰ τοιαῦτα παίζοντας αὐτοὺς παίζειν δίκαιον, ἵνα κἂν ἐκ τῆς τοιαύτης ἀτοπίας καὶ ἀσεβοῦς ἐρωτήσεως αἰσθάνεσθαι τῆς ἰδίας ἀφροσύνης δύνωνται. Οὐκ ἔστι γὰρ ταῦτα· μὴ γένοιτο! οὐδ' οὕτως ἐρωτᾷν περὶ τῆς θεότητος πρέπει. Οὐκ ἔστι γὰρ ὡς ἄνθρωπος ὁ Θεὸς, ἵνα καὶ ἀνθρώπινα περὶ αὐτοῦ τις τολμήσῃ ἐρωτᾷν.

Σιωπᾷν μὲν οὖν, ὡς προεῖπον, ἐπὶ τούτοις, καὶ μὴ προσποιεῖσθαι τοὺς τοιούτους ἔδει· ἵνα δὲ μὴ ἡ ἡμῶν σιωπὴ πρόφασιν ἀναισχυντίας αὐτοῖς ἐμποιήσῃ, ἀκουέτωσαν· Ὥσπερ οὐκ ἔστιν ἐπὶ τοῦ Πατρὸς εἰπεῖν πατέρα, οὕτως οὐκ ἔστιν ἐπὶ τοῦ Υἱοῦ εἰπεῖν ἀδελφόν. Τοῦ μὲν γὰρ Πατρὸς, ὡς γέγραπται ἔμπροσθεν, ἄλλος Θεὸς οὐ γέγονεν· Υἱὸς δὲ οὐκ ἔστιν ἄλλος· μονογενὴς γάρ ἐστι· διὸ καὶ μόνος καὶ εἷς ὁ Πατὴρ, μόνου καὶ ἑνὸς Υἱοῦ Πατήρ ἐστι· καὶ ἐπὶ μόνης τῆς θεότητος τὸ Πατὴρ καὶ τὸ Υἱὸς ἕστηκεν ἀεὶ καὶ ἔστι. Τῶν μὲν γὰρ ἀνθρώπων εἰ πατὴρ λέγεταί τις, ἀλλ' ἑτέρου γέγονεν υἱός·

A An forte angelos qui semper vident faciem Patris, qui in cœlis est, propter Ecclesiæ pusillos, testes appellat, ut discipulus, cognitis populorum curatoribus, Apostoli admonitiones non negligeret.

Itaque is mihi videtur esse sensus Scripturæ sacræ, quo plane illorum adversus Spiritum impietas validissime refutatur. Verum iidem illi veritati adversari pergunt, ut scribis, non jam ex Scripturis, quippe qui nihil ibi inveniant, sed ex proprii cordis redundantia hæc rursus eructant: Si Spiritus res creata non est, neque unus ex angelis, sed ex Patre procedit: igitur Filius quoque ipse dicendus B est, proindeque duo sunt fratres, ipse scilicet et Verbum. Quod si frater est, qui fieri potest ut unigenitum sit Verbum, vel ut æquales non sint, sed hic post Patrem, ille post Filium nominetur? Si item ex Patre est, cur non et ipse genitus, aut Filius esse, sed simpliciter Spiritus sanctus dicitur? Denique, si Filii dicatur esse Spiritus: Pater ergo avus est Spiritus sancti. Hæc turpissimi homines cavillando effutiunt, qui curiosius profunda Dei scrutari conantur, quæ nemo novit nisi Spiritus Dei, de quo illi tam impie sentiunt, quibus nihil amplius respondere æquum sane esset; sed secundum Apostoli præceptum [1], post prædictam admonitionem, tanquam hæretici vitandi essent: vel certe ut nos interrogant, sic eos a nobis interrogari ope-C ræ pretium fuerit, idemque nos ab illis responsum efflagitare, quod illi a nobis exigunt. Respondeant igitur, utrum Pater ex patre sit, et num alius cum illo genitus fuerit, sintque ex uno fratres, qualeque nomen illis sit? Quis item eorum pater et avus, qui proavi? Atqui nullos esse respondebunt. Quare ergo Pater ab illis dicitur, qui idem ex Patre non sit ortus? Vel qui Filium habere potuit, qui ipse prius Filius non fuit genitus? Equidem non me fugit ista inquirere nefas omnino esse. Verum haud ab re fuerit ita illudentibus vicissim illudere, ut saltem ex hujusmodi absurda et impia interrogatione propriam insipientiam percipere valeant. Nec enim illa ullo modo sunt: absit! neque hæc de divinitate sciscitari decet. Siquidem non est D Deus similis hominum, ut ista humana de illo percontari quis audeat.

Itaque, ut jam monui, silentium in his quæstionibus servare, et hujusmodi illorum argutias dissimulare satius certe fuerit. Verumtamen ne nostrum silentium majoris ipsis fiat impudentiæ occasio, hæc illis reponere non gravabor. Nempe quemadmodum Patris patrem dicere non possumus, ita nec Filii fratrem. Namque Patris, ut antea dictum est, alius Deus nullus fuit: nec ullus similiter alius est filius: unigenitus enim est. Proinde et solus et unus Pater, solius et unius Filii est Pater, atque adeo in sola divinitate semper et est et fuit Pater ac Filius. Nam tametsi inter homines

[1] Tit. III, 10.

pater aliquis dicitur, tamen idem alterius filius fuit. A Tametsi similiter filius quis dicitur, tamen idem alterius est pater. Unde non proprie in hominibus patris et filii nomen servatur. Sic Abraham qui fuit filius Tharæ, idem fuit pater Isaac. Similiter Isaac qui filius erat Abrahæ, fuit pater Jacob, eaque est humanæ naturæ conditio. Nam sibi invicem sunt partes, et quisquis gignitur, patris partem habet, ut et ipse alterius fiat pater. At non ita se res habet in divinitate. Nec enim hominum similis est Deus, nec divisam habet naturam. Quapropter neque sui divisione filium generat, ut et ipse alterius pater fiat, cum neque ipse sit ex patre, neque Filius pars sit Patris. Itaque Filius non generat, ut ipse genitus est, sed totus est totius imago et splendor : atque in sola divinitate Pater proprie est Pater, et B Filius proprie est Filius : qui Pater semper fuit Pater, et Filius pariter semper fuit Filius. Quemadmodum item nunquam Pater futurus est Filius, sic nunquam Filius futurus est Pater. Et ut nunquam Pater desinet solus esse Pater : ita Filius nunquam desinet esse solus Filius. Nemo igitur nisi mente captus dixerit vel cogitaverit fratrem esse Filio, et nomen avi Patri convenire. Hinc enim nusquam in Scripturis sacris Spiritus filius dictus est, ne frater esse existimaretur : uti nec filius Filii, ne Pater avus crederetur. Sed Filius, Patris est filius;

καὶ εἰ υἱὸς λέγεται, ἀλλ' ἑτέρου γέγονε πατήρ· ὥστε ἐπ' ἀνθρώπων μὴ σώζεσθαι κυρίως τὸ πατρὸς καὶ υἱοῦ ὄνομα. Ἀβραὰμ γοῦν, υἱὸς ὢν τοῦ Θάῤῥου, πατὴρ γέγονε τοῦ Ἰσαάκ· καὶ Ἰσαάκ, υἱὸς ὢν τοῦ Ἀβραὰμ, πατὴρ γέγονε τοῦ Ἰακώβ· καὶ τοῦτον τὸν τρόπον ἡ φύσις τῶν ἀνθρώπων ἔχει· μέρη γάρ εἰσιν ἀλλήλων· καὶ ἕκαστος γεννώμενος ἔχει τοῦ πατρὸς μέρος, ἵνα καὶ αὐτὸς ἑτέρου γένηται πατήρ. Ἐπὶ δὲ τῆς θεότητος οὐχ ἔστιν οὕτως. Οὐ γὰρ ὡς ἄνθρωπος ὁ Θεὸς, οὐδὲ μεριζομένην ἔχει φύσιν· διὸ οὐδὲ γεννᾷ Υἱὸν μεριζόμενος, ἵνα καὶ αὐτὸς γένηται Πατὴρ ἑτέρου, ἐπεὶ μηδ' αὐτός ἐστιν ἐκ Πατρός· οὔτε ὁ Υἱὸς δὲ μέρος ἐστὶ τοῦ Πατρός· διὸ καὶ οὐδὲ γεννᾷ, ὥσπερ γεγέννηται αὐτὸς, ἀλλὰ ὅλος ἐστὶν ὅλου εἰκὼν καὶ ἀπαύγασμα· καὶ ἐπὶ τῆς θεότητος μόνης ὁ Πατὴρ κυρίως ἐστὶ Πατήρ· καὶ ὁ Υἱὸς, κυρίως Υἱός ἐστιν· καὶ ἐπὶ τούτων ἕστηκε τὸ Πατὴρ ἀεὶ Πατὴρ, καὶ τὸ Υἱὸς ἀεὶ Υἱός. Καὶ ὥσπερ οὐκ ἂν εἴη ποτὲ ὁ Πατὴρ Υἱὸς, οὕτως οὐκ ἂν ποτε γένοιτο ὁ Υἱὸς Πατήρ. Καὶ ὥσπερ οὐ παύσεταί ποτε ὁ Πατὴρ μόνος ὢν Πατὴρ, οὕτως οὐ παύσεταί ποτε ὁ Υἱὸς μόνος ὢν Υἱός. Μανία ἄρα κἂν ὅλως ἐνθυμεῖσθαι καὶ λέγειν ἐπὶ μὲν Υἱοῦ ἀδελφὸν, ἐπὶ δὲ Πατρὸς τὸ πάππου ὄνομα. Οὐδὲ γὰρ ὠνομάσθη ἐν ταῖς Γραφαῖς υἱὸς τὸ Πνεῦμα, ἵνα μὴ ἀδελφὸς νομισθῇ· οὐδὲ υἱὸς τοῦ Υἱοῦ, ἵνα μὴ πάππος νοοῖτο ὁ Πατήρ· ἀλλ' ὁ Υἱὸς, τοῦ Πατρὸς

Ex eadem epistola.

C Fons et lux dicitur Pater. *Me enim*, inquit, *reliquerunt fontem aquæ vivæ*[1]. Et rursum in Baruch, *Quid est*, inquit, *Israel, quod in terra inimicorum es? Reliquisti fontem sapientiæ*. Et Joannes, *Deus*, inquit, *noster lux est*[2]. Sed Filius etiam, quo fonti respondeat, fluvius dicitur. *Fluvius*, inquit, *Dei repletus est aquis*[3]. Splendor autem, quo respondeat luci. *Qui cum sit*, inquit Paulus, *splendor gloriæ, et figura substantiæ ejus*[4]. Cum igitur Pater sit lux, Filius autem splendor ipsius (eadem enim de his sæpius dicere non gravamur), licet etiam in Filio videre Spiritum, in quo illuminamur. *Ut det*, inquit, *vobis Spiritum sapientiæ, et revelationis in cognitione ipsius illuminatos oculos cordis*[5]. Porro D cum illuminamur Spiritu, Christus est, qui in ipso illuminat. *Erat* enim, inquit, *lux vera, quæ illuminat omnem hominem venientem in mundum*[6]. Præterea cum Pater sit fons, Filius autem fluvius dicatur, nos dicimur Spiritum bibere ; scriptum enim est : *Quoniam omnes nos uno Spiritu potati sumus*[7]. Cum autem potamur Spiritu, Christum bibimus. *Bibebant enim*, inquit, *ex consequenti eos petra, petra autem erat Christus*[8]. Ad hæc cum Christus verus sit Filius, nos Spiritum accipientes, efficimur filii. *Non enim accepistis*, inquit, *Spiritum servitutis in timorem, sed accepistis Spiritum adoptionis filiorum*[9]. Cum autem per Spiritum adoptemur, in

Ἐκ τῆς αὐτῆς ἐπιστολῆς.

Πηγὴ καὶ φῶς λέγεται ὁ Πατήρ. *Ἐμὲ γὰρ*, φησὶν, *ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος*. Καὶ πάλιν ἐν τῷ Βαρούχ· *Τί ἐστιν Ἰσραὴλ, ὅτι ἐν τῇ γῇ τῶν ἐχθρῶν εἶ; Ἐγκατέλιπες τὴν πηγὴν τῆς σοφίας*. Καὶ κατὰ τὸν Ἰωάννην, *Ὁ Θεὸς ἡμῶν φῶς ἐστι*. Λέγεται δὲ καὶ ὁ Υἱὸς, ὡς μὲν πρὸς τὴν πηγὴν ποταμός. *Ὁ ποταμὸς* γὰρ, φησὶ, *τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων*, πρὸς δὲ τὸ φῶς ἀπαύγασμα, λέγοντος τοῦ Παύλου, ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. Τοῦ τοίνυν Πατρὸς φωτὸς ὄντος, τοῦ δὲ Υἱοῦ ἀπαυγάσματος αὐτοῦ· τὰ αὐτὰ γὰρ περὶ τούτων οὐκ ὀκνητέον λέγειν πολλάκις· ἔξεστιν ὁρᾷν καὶ ἐν τῷ Υἱῷ τὸ Πνεῦμα, ἐν ᾧ φωτιζόμεθα. *Ἵνα γὰρ*, φησὶ, *δώῃ ὑμῖν Πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας*. Τῷ δὲ Πνεύματι φωτιζομένων ἡμῶν, ὁ Χριστός ἐστιν ὁ ἐν αὐτῷ φωτίζων. *Ἦν γὰρ*, φησὶ, *τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον*. Πάλιν τε τοῦ Πατρὸς ὄντος πηγῆς, τοῦ δὲ Υἱοῦ ποταμοῦ λεγομένου, πίνειν λεγόμεθα τὸ Πνεῦμα. Γέγραπται γὰρ, *Ὅτι ἡμεῖς πάντες ἓν Πνεῦμα ἐποτίσθημεν*, τὸ δὲ Πνεῦμα ποτιζόμενοι τὸν Χριστὸν πίνομεν. *Ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός*. Καὶ πάλιν τοῦ Χριστοῦ ὄντος ἀληθινοῦ Υἱοῦ, ἡμεῖς τὸ Πνεῦμα λαμβάνοντες υἱο-

[1] Jerem. II, 13. [2] Baruch III, 10, 12. [3] I Joan. I, 5. [4] Psal. LXIV, 10. [5] Hebr. I, 3. [6] Ephes. I, 17. [7] Joan. I, 9. [8] I Cor. XII, 13. [9] I Cor. X, 4.

ποιούμεθα. *Οὐ γὰρ ἐλάβετε*, φησὶ, *πνεῦμα δουλείας εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας.* Υἱοποιούμενοι δὲ τῷ Πνεύματι, δηλονότι ἐν Χριστῷ χρηματίζομεν τέκνα Θεοῦ. *Ὅσοι γὰρ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι.* Εἶτα τοῦ Πατρὸς, ὡς ὁ Παῦλος εἶπε, μόνου σοφοῦ ὄντος Θεοῦ, ὁ Υἱός ἐστιν ἡ σοφία αὐτοῦ. *Χριστὸς γὰρ Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία.* Τοῦ δὲ Υἱοῦ ὄντος τῆς σοφίας, ἡμεῖς Πνεῦμα σοφίας λαμβάνοντες τὸν Υἱὸν ἔχομεν, καὶ ἐν αὐτῷ σοφοὶ γινόμεθα. Οὕτω γὰρ καὶ γέγραπται ἐν τῷ ρμε' ψαλμῷ· *Κύριος λύει πεπεδημένους, Κύριος σοφοῖ τυφλούς.* Καὶ τοῦ Πνεύματος διδομένου εἰς ἡμᾶς, *Λάβετε Πνεῦμα ἅγιον* ἔλεγεν ὁ Σωτὴρ, ὁ Θεὸς ἐν ἡμῖν ἐστιν· οὕτω γὰρ, ὁ Ἰωάννης ἔγραψεν, *Ἐὰν* B *ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει. Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν.* Τοῦ δὲ Θεοῦ ὄντος ἐν ἡμῖν, ἔσται καὶ ὁ Υἱὸς ἐν ἡμῖν, λέγοντος αὐτοῦ τοῦ Υἱοῦ· *Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.* Ἔπειτα ζωῆς οὔσης τοῦ Υἱοῦ, *Ἐγὼ γὰρ*, φησὶν, *εἰμὶ ἡ ζωὴ*, ζωοποιεῖσθαι λεγόμεθα ἐν τῷ Πνεύματι. *Ὁ γὰρ ἐγείρας*, φησὶν, *Ἰησοῦν Χριστὸν ἐκ νεκρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ἡμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ἡμῖν.* Ζωοποιουμένων δὲ ἡμῶν ἐν τῷ Πνεύματι, ζῆν αὐτὸς ὁ Χριστὸς ἐν ἡμῖν λέγεται. *Ζῶ δὲ οὐκ ἔτι ἐγὼ*, φησὶ, *ζῇ δὲ ἐν ἐμοὶ Χριστός.* Καὶ πάλιν, ὥσπερ ὁ Υἱὸς ἅπερ ἐποίει ἔργα τὸν Πατέρα ἔλεγεν ἐργάζεσθαι. C *Ὁ Πατὴρ γὰρ*, φησὶν, *ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα. Πιστεύετέ μοι, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί· εἰ δὲ μὴ, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι.* Οὕτως ἅπερ ἐν δυνάμει Πνεύματος εἰργάζετο ὁ Παῦλος, ἔλεγε τοῦ Χριστοῦ εἶναι ἔργα· *Οὐ γὰρ τολμήσουσι*, φησὶ, *τι λαλεῖν, ὧν οὐ κατειργάσατο Χριστὸς ἐν ἐμοὶ εἰς ὑπακοὴν ἐθνῶν ἔργῳ καὶ λόγῳ ἐν δυνάμει Πνεύματος ἁγίου.* Τοιαύτης δὲ συστοιχίας, καὶ ἑνότητος τῆς ἐν τῇ Τριάδι οὔσης, τίς ἂν εἴη λοιπὸν τὸν Υἱὸν ἀπὸ τοῦ Πατρὸς, ἢ τὸ Πνεῦμα ἀπὸ τοῦ Υἱοῦ, ἢ αὐτοῦ τοῦ Πατρὸς χωρίζων; Ἢ τίς οὕτω τολμηρὸς, ὡς εἰπεῖν ἀνόμοιον, καὶ ἑτεροφυῆ τὴν Τριάδα πρὸς ἑαυτὴν, ἢ ἀλλοτριοούσιον τοῦ Πατρὸς τὸν Υἱὸν, ἢ ξένον D τὸ Πνεῦμα τοῦ Υἱοῦ;

A Christo nimirum declaramur filii Dei. *Quotquot enim acceperunt eum, potestatem dedit eis filios Dei fieri*[1]. Deinde cum Pater, ut Paulus ait, sit solus sapiens Deus, Filius est sapientia ipsius. *Christus enim Dei virtus et Dei sapientia*[2]. Jam cum Filius sapientia sit, nos sapientiæ Spiritum accipientes Filium habemus, et in ipso sapientes evadimus. Sic enim scriptum est in psalmo centesimo quadragesimo quinto : *Dominus solvit compeditos, Dominus sapientes efficit cæcos*[3]. Et cum Spiritus datus sit nobis (nam Servator, *Accipite*, inquit, *Spiritum sanctum*[4]), Deus in nobis est; sic enim Joannes scripsit : *Si diligimus invicem, Deus in nobis manet. In hoc cognoscimus, quod in ipso manemus, et ipse in nobis, quod ex Spiritu suo dedit nobis*[5]. Sed cum Deus in nobis sit, erit et Filius in nobis, dicente Filio : *Ego et Pater veniemus et mansionem apud eum faciemus*[6]. Præterea cum Filius sit vita, *Ego enim*, inquit, *sum vita*[7], vitam accipere dicimur in Spiritu. *Qui enim suscitavit*, inquit, *Jesum Christum a mortuis vivificabit et mortalia corpora vestra per inhabitantem ipsius Spiritum in vobis*[8]. At cum per Spiritum vivificemur, ipse Christus dicitur in nobis vivere. *Vivo autem*, inquit, *non amplius ego, sed vivit in me Christus*[9]. Et rursum, quemadmodum Filius quæ quidem faciebat opera, ea dicebat Patrem facere. *Pater enim*, inquit, *in me manens ipse facit opera. Credite mihi, quod ego in Patre, et Pater in me est, sin minus, propter ipsa opera mihi credite*[10]. Sic Paulus, quæ quidem in virtute Spiritus faciebat, ea dicebat esse Christi opera. *Non enim audebunt*, inquit, *aliquid loqui eorum, quæ operatus est Christus per me ad obedientiam gentium in opere, et sermone, in virtute signorum et prodigiorum, in virtute Spiritus sancti*[11]. Qui sane ordo atque conjunctio cum in Trinitate sit, ecquis posthac Filium a Patre, aut a Filio Patris Spiritum separabit? Aut quis erit tam audax ut Trinitatem sibi ipsi dissimilem naturaque diversam dicat? aut aliam habere Patrem essentiam, aliam Filium, aut a Filio Spiritum esse alienum?

Ἐκ τῆς αὐτῆς ἐπιστολῆς.

Ὥσπερ γέννημα μονογενὲς ὁ Υἱός ἐστιν, οὕτω τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ διδόμενον, καὶ πεμπόμενον, καὶ αὐτὸ ἓν καὶ οὐ πολλὰ, οὐδὲ ἐκ πολλῶν ἓν, ἀλλὰ μόνον αὐτὸ Πνεῦμα ἅγιον. Ἑνὸς γὰρ ὄντος τοῦ Υἱοῦ τοῦ ζῶντος Λόγου, μίαν εἶναι δεῖ τελείαν, καὶ πλήρη τὴν ἁγιαστικὴν καὶ φωτιστικὴν ζωὴν, οὖσαν ἐνέργειαν αὐτοῦ καὶ δωρεάν. Ἀμέλει ὁ μὲν Υἱὸς παρὰ τοῦ Πατρὸς ἀποστέλλεται, ὁ δὲ Υἱὸς τὸ Πνεῦμα ἀποστέλλει. *Ἐὰν γὰρ*, φησὶν, *Ἐγὼ*

Ex eadem epistola.

Sicut unigena proles est Filius, sic etiam Spiritus a Filio datus, et missus, est unus, ipse quoque non multi, neque e multis unus, sed solus ipse Spiritus sanctus. Nam cum unus sit Filius, Verbum vivens, oportet, una quoque sit vita, perfecta, et plena, sanctificans, et illustrans, quæ ipsius est actio atque munus. Filius quidem a Patre mittitur, sed ipse mittit Spiritum : *Si enim*, inquit, *ego abiero, mittam Paracletum*[12]. Ac Filius quidem clarificat

[1] Joan. I, 12. [2] I Cor. I, 24. [3] Psal. CXLV, 7. [4] Joan. XX, 22. [5] I Joan. IV, 12, 13. [6] Joan. XIV, 23. [7] ibid. 6. [8] Rom. VIII, 11. [9] Galat. II, 19, 20 [10] Joan. XIV, 10, 12. [11] Rom. XV, 18, 19. [12] Joan. XVI, 7.

Patrem. *Pater*, inquiens, *ego te clarificavi* [1], Spiritus autem Filium clarificat : *Ille enim*, inquit, *me clarificabit* [2]. Et Filius : *Quæ*, inquit, *audivi a Patre, illa etiam loquor in mundo* [3]. Spiritus autem a Filio accipit : *Ex me enim*, inquit, *accipiet, et annuntiabit vobis* [4]. Et Filius quidem venit in nomine Patris. De Spiritu sancto autem, *Quem mittet*, inquit, *Pater in nomine meo* [5]. Itaque cum talem habeat ordinem et naturam cum Filio Spiritus, qualem habet cum Patre Filius, qui fieri potest, ut qui Spiritum creatum dicit, non idem necessario de Filio sentiat? Nam si Filii Spiritus creatus est, sequitur ut Patris quoque Verbum creatum asserant. Quod si cum Ario quidem sentire se negant, de Spiritu autem talia dicunt, fugiant etiam ipsius verba, nec impie de Spiritu sentiant. Quemadmodum enim Filius in Patre exsistens, in quo est etiam Pater, creatus non est, sed proprius essentiæ Patris, id enim et vos dicere simulatis, sic item Spiritum in Filio exsistentem, in quo et Filius est, nefas est inter res procreatas numerare, a Filioque sejungere, atque in Trinitatem imperfectam constituere.

A ἀπέλθω, ἀποστέλλω τὸν Παράκλητον. Καὶ ὁ μὲν Υἱὸς τὸν Πατέρα δοξάζει λέγων, Πάτερ, ἐγώ σε ἐδόξασα, τὸ δὲ Πνεῦμα δοξάζει τὸν Υἱόν. Ἐκεῖνος γὰρ, φησὶν, ἐμὲ δοξάσει. Καὶ ὁ μὲν Υἱός φησιν, Ἃ ἤκουσα παρὰ τοῦ Πατρὸς, ἐκεῖνα καὶ λαλῶ εἰς τὸν κόσμον, τὸ δὲ Πνεῦμα ἐκ τοῦ Υἱοῦ λαμβάνει. Ἐκ τοῦ ἐμοῦ γὰρ, φησὶ, λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. Καὶ ὁ μὲν Υἱὸς ἐν τῷ ὀνόματι τοῦ Πατρὸς ἦλθε· περὶ δὲ τοῦ Πνεύματος τοῦ ἁγίου, φησὶν, Ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου. Τοιαύτην δὲ τάξιν καὶ φύσιν ἔχοντος τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν, οἵαν ὁ Υἱὸς ἔχει πρὸς τὸν Πατέρα, πῶς ὁ τοῦτο κτίσμα λέγων οὐ τὸ αὐτὸ καὶ περὶ τοῦ Υἱοῦ ἐξ ἀνάγκης φρονήσει; Εἰ γάρ ἐστι τὸ Πνεῦμα τοῦ Υἱοῦ κτίσμα, ἀκόλουθον ἂν εἴη λέγειν B αὐτοὺς καὶ τὸν Λόγον τοῦ Πατρὸς εἶναι κτίσμα. Οἱ δὲ τὰ Ἀρείου μὲν μὴ προσποιούμενοι φρονεῖν, περὶ δὲ τοῦ Πνεύματος τοιαῦτα λέγοντες· φευγέτωσαν καὶ τὰ ἐκείνου ῥήματα, καὶ μὴ ἀσεβήτωσαν εἰς τὸ Πνεῦμα. Ὥσπερ γὰρ ὁ Υἱὸς ἐν τῷ Πατρὶ ὢν, ἐν ᾧ καὶ ὁ Πατήρ ἐστι, οὐκ ἔστι κτίσμα, ἀλλ' ἴδιος τῆς τοῦ Πατρὸς οὐσίας. Τοῦτο γὰρ ὑμεῖς προσποιεῖσθε λέγειν. Οὕτω καὶ τὸ Πνεῦμα τὸ ἐν τῷ Υἱῷ, ἐν ᾧ καὶ ὁ Υἱός ἐστι, οὐ θέμις τοῖς κτίσμασι συντάσσειν, οὐδὲ διαιρεῖν αὐτὸ ἀπὸ τοῦ Λόγου, καὶ ἀτελῆ τὴν Τριάδα κατασκευάζειν.

Ex eadem epistola.

Spiritus vivificare dicitur : « Qui suscitavit, inquit, Jesum Christum a mortuis, vivificabit et mortalia corpora vestra per inhabitantem ejus Spiritum in vobis [6]. » Et Dominus quidem ipsa est vita et « auctor vitæ, » ut ait Petrus [7]. Idem tamen Dominus ait : « Aqua quam ego dabo ei, fiet in eo fons aquæ salientis in vitam æternam [8]. Hoc autem dixit de Spiritu quem accepturi erant credentes in eum [9]. » Res autem creatæ, uti dictum est, vitam per ipsum accipiunt. Qui igitur vitæ non fit particeps, sed ipse alios participes facit, et vitam rebus creatis impertit, qualem, quæso, cognationem cum rebus factis habere potest? Aut qua tandem ratione inter res creatas censendus sit, cum ipsæ in illo vitam a Verbo accipiant? Unctio quoque Spiritus dicitur, et est item sigillum; unde Joannes scribit : « Et vos unctionem quam accepistis ab eo manet in vobis. Et non necesse habetis, ut aliquis doceat vos : sed sicut unctio ejus, » nempe ejus Spiritus, « docet vos de omnibus [10]. » Et apud Isaiam prophetam legitur : « Spiritus Domini super me, cujus causa unxit me [11]. » Paulus etiam ait : « In quo et credentes signati estis in diem redemptionis [12]. » At res creatæ illo signantur et unguntur, ac de omnibus docentur. Si igitur Spiritus unctio sive unguentum et sigillum est, in quo omnia ungit et signat Verbum : quænam similitudo aut convenientia

Ἐκ τῆς αὐτῆς ἐπιστολῆς.

Τὸ Πνεῦμα ζωοποιοῦν λέγεται· « Ὁ ἐγείρας, » φησὶν, « Ἰησοῦν Χριστὸν ἐκ νεκρῶν, ζωοποιήσει καὶ τὰ C θνητὰ σώματα ἡμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ἡμῖν. » Καὶ ὁ μὲν Κύριός ἐστιν ἡ αὐτοζωὴ, καὶ « ἀρχηγὸς τῆς ζωῆς, » ὡς εἶπεν ὁ Πέτρος· ἔλεγε δὲ αὐτὸς ὁ Κύριος· « Τὸ ὕδωρ, ὃ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον. Τοῦτο δὲ ἔλεγε περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. » Τὰ δὲ κτίσματα, ὡς εἴρηται, ζωοποιούμενά ἐστι δι' αὐτοῦ. Τὸ δὲ μὴ μετέχον ζωῆς, ἀλλ' αὐτὸ μετεχόμενον καὶ ζωοποιοῦν τὰ κτίσματα, ποίαν ἔχει συγγένειαν πρὸς τὰ γενητά; Ἢ πῶς ὅλως ἂν εἴη τῶν κτισμάτων, ἅπερ ἐν ἐκείνῳ παρὰ τοῦ Λόγου ζωοποιεῖται; Χρίσμα λέγεται τὸ Πνεῦμα, καὶ ἔστι σφραγίς. Ὁ μὲν γὰρ Ἰωάννης γράφει· « Καὶ ὑμεῖς τὸ χρίσμα ὃ ἐλάβετε παρ' αὐτοῦ, μένει ἐν ὑμῖν. Καὶ οὐ χρείαν D ἔχετε, ἵνα τις διδάσκῃ ὑμᾶς· ἀλλ' ὡς τὸ αὐτοῦ χρίσμα, » τὸ Πνεῦμα αὐτοῦ, « διδάσκει ὑμᾶς περὶ πάντων. » Ἐν δὲ τῷ προφήτῃ Ἡσαΐᾳ γέγραπται· « Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με. » Ὁ δὲ Παῦλός φησιν· « Ἐν ᾧ καὶ πιστεύσαντες, ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. » Τὰ δὲ κτίσματα τούτῳ σφραγίζεται καὶ χρίεται, καὶ περὶ πάντων διδάσκεται. Εἰ δὲ τὸ Πνεῦμα χρίσμα καὶ σφραγίς ἐστιν, ἐν ᾧ χρίει καὶ σφραγίζει πάντα ὁ Λόγος· ποία ὁμοιότης ἢ ἰδιότης τοῦ χρίσματος καὶ

[1] Joan. XII, 28. [2] Joan. XVI, 14. [3] Joan. VIII, 2. [4] Joan. XVI, 14. [5] Joan. XIV, 26. [6] Rom. VIII, 11. [7] Act. III, 15. [8] Joan. IV, 14. [9] Joan. VII, 39. [10] I Joan. II, 27. [11] Isa. LXI, 1. [12] Ephes. I, 13.

τῆς σφραγῖδος πρὸς τὰ χριόμενα καὶ σφραγιζόμενα; Οὐκοῦν καὶ κατὰ τοῦτο οὐκ ἂν εἴη τῶν πάντων. Οὐ γὰρ ἂν εἴη ἡ σφραγὶς ἐκ τῶν σφραγιζομένων, οὐδὲ τὸ χρίσμα ἐκ τῶν χριομένων· ἀλλ' ἴδιόν ἐστι τοῦτο τοῦ χρίοντος καὶ σφραγίζοντος Λόγου. Τὸ μὲν γὰρ χρίσμα τὴν εὐωδίαν καὶ πνοὴν τοῦ χρίοντος ἔχει, καὶ οἱ χριόμενοι τούτου μεταλαμβάνοντες λέγουσι· « Χριστοῦ εὐωδία ἐσμέν· » ἡ δὲ σφραγὶς τὴν μορφὴν Χριστοῦ τοῦ σφραγίζοντος ἔχει, καὶ ταύτης οἱ σφραγιζόμενοι μετέχουσι, μορφούμενοι κατ' αὐτήν, λέγοντος τοῦ Ἀποστόλου· « Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. » Οὕτω δὲ σφραγιζόμενοι, εἰκότως καὶ κοινωνοὶ θείας φύσεως γινόμεθα, ὡς εἶπεν ὁ Πέτρος, καὶ οὕτω μετέχει πᾶσα ἡ κτίσις τοῦ Λόγου ἐν τῷ Πνεύματι [Πατρὶ *ed. Moldav.*]

Καὶ διὰ τοῦ Πνεύματος λεγόμεθα πάντες μέτοχοι τοῦ Θεοῦ· « Οὐκ οἴδατε, γάρ φησιν, ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐν ὑμῖν οἰκεῖ; Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός. Ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς. » Εἰ κτίσμα δὲ ἦν τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἄν τις ἐν αὐτῷ μετουσία τοῦ Θεοῦ γένοιτο ἡμῖν· ἀλλ' ἢ ἄρα κτίσματι μὲν συνηπτόμεθα, ἀλλότριοι δὲ τῆς θείας φύσεως ἐγινόμεθα, ὡς κατὰ μηδὲν αὐτῆς μετέχοντες. Νῦν δὲ, ὅτε λεγόμεθα μέτοχοι Χριστοῦ καὶ μέτοχοι Θεοῦ, δείκνυται τὸ ἐν ἡμῖν χρίσμα καὶ ἡ σφραγὶς μὴ οὖσα τῆς τῶν γενητῶν φύσεως, ἀλλὰ τῆς τοῦ Υἱοῦ, διὰ τοῦ ἐν αὐτῷ Πνεύματος συνάπτοντος ἡμᾶς τῷ Πατρί. Τοῦτο γὰρ ὁ Ἰωάννης, ὡς ἐν τοῖς ἔμπροσθεν εἴρηται, διδάσκων ἔγραφεν· « Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν τῷ Θεῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ αὐτὸς ἔδωκεν ἡμῖν. » Εἰ δὲ τῇ τοῦ Πνεύματος μετουσίᾳ γινόμεθα κοινωνοὶ θείας φύσεως, μαίνοιτ' ἄν τις λέγων τὸ Πνεῦμα τῆς κτιστῆς φύσεως, καὶ μὴ τῆς τοῦ Θεοῦ. Διὰ τοῦτο γὰρ καὶ ἐν οἷς γίνεται, οὗτοι θεοποιοῦνται· εἰ δὲ θεοποιεῖ, οὐκ ἀμφίβολον, ὅτι ἡ τούτου φύσις Θεοῦ ἐστι. Καὶ ἔτι δὲ φανερώτερον εἰς ἀναίρεσιν τῆς αἱρέσεως ταύτης ἐν τῷ ἑκατοστῷ τρίτῳ ψαλμῷ ᾄδεται, ὡς ἔμπροσθεν εἴπομεν· « Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. » Ὁ δὲ Παῦλος γράφει Τίτῳ· « Διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ. » Εἰ δὲ ὁ Πατὴρ διὰ τοῦ Λόγου ἐν Πνεύματι ἁγίῳ κτίζει τὰ πάντα, καὶ ἀνακαινίζει· ποία ὁμοιότης ἢ συγγένεια τῷ κτίζοντι πρὸς τὰ κτίσματα; Ἢ ὅλως πῶς ἂν εἴη, ἐν ᾧ κτίζεται τὰ πάντα, κτίσμα; Ἀκολουθεῖ γὰρ τῇ τοιαύτῃ δυσφημίᾳ καὶ ἡ εἰς τὸν Υἱὸν βλασφημία· ὥστε τοὺς λέγοντας τὸ Πνεῦμα κτίσμα εἰπεῖν, ὅτι καὶ ὁ Λόγος, δι' οὗ τὰ πάντα κτίζεται, κτίσμα ἐστίν. Εἰκὼν τοῦ Υἱοῦ λέγεται καὶ ἔστι τὸ Πνεῦμα· « Οὓς » γὰρ « προ-

A unguenti et sigilli esse potest cum his rebus quæ unguntur et signantur? Nequit proinde fieri ut ipse inter res omnes numeretur. Nec enim aliquis ex his qui signantur, sigillum ipse dicendus sit: nec similiter aliquis ex his qui unguntur, unguentum idem erit. Sed id proprium est ungentis et signantis Verbi. Unguentum quidem ungentis suavitatem et odorem retinet, cujus participes facti qui unguntur, dicunt: « Christi bonus odor sumus [1]. » Sigillum vero signantis Christi effigiem servat, cujus qui signantur participes effecti, ad eam conformantur, ut ait Apostolus: « Filioli mei, quos iterum parturio, donec formetur Christus in vobis [2]. » Hoc autem modo signati, convenienter divinæ naturæ consortes red-
B dimur, uti docet Petrus [3]: atque ita universæ res creatæ Verbi in Spiritu fiunt participes.

Omnes similiter per Spiritum Dei participes dicimur. « Nescitis, inquit, quia templum Dei estis, et Spiritus Dei habitat in vobis? Si quis templum Dei violaverit, disperdet illum Deus. Templum enim Dei sanctum est, quod estis vos [4]. » Sed si Spiritus sanctus res creata esset, nulla sane Dei communicatio nobis in ipso esset; sed rei creatæ conjungeremur, et divinæ naturæ alieni essemus, utpote nulla in parte ejus facti participes. Nunc vero cum Christi et Dei participes dicamur, utique constat unguentum et sigillum, quod in nobis est, non ad rerum factarum, sed ad Filii naturam pertinere, qui nos per Spiritum, qui in ipso est, Patri conjungit. Idipsum nos
C Joannes, uti supra dictum est, his verbis docet: « In hoc cognoscimus quia in Deo manemus, et ipse in nobis; quoniam de Spiritu suo dedit nobis [5]. » Si porro Spiritus communicatione divinæ naturæ consortes efficimur, nemo certe nisi insanus dixerit Spiritum non Dei, sed creatæ esse naturæ. Nec enim alia de causa hi in quibus ille est, dii efficiuntur. Quod si deos efficit, dubium non est, quin ejus natura Dei sit. Quod item centesimo tertio psalmo habetur, clarius adhuc argumentum ad hancce hæresim evertendam nobis suppeditat, ut jam monuimus: « Auferes spiritum eorum, et deficient, et in pulverem suum revertentur. Emittes Spiritum tuum, et creabuntur, et renovabis faciem terræ [6]. » Et Paulus hæc Tito scribit: « Per lavacrum regenerationis
D et renovationis Spiritus sancti, quem effudit in nos abunde per Jesum Christum [7]. » Si igitur Pater omnia per Verbum in Spiritu creat et renovat: quæ similitudo aut cognatio creantis cum rebus creatis? Vel qui omnino fieri queat ut ille res sit creata in quo omnia creantur? Sane cum impia hac sententia illa cohæret quæ Filii divinitatem impugnat, ita ut qui Spiritum rem creatam esse contenderint, eosdem fateri necesse sit Verbum, per quod omnia creantur, rem quoque creatam esse. Addam Spiritum imaginem Filii et dici et esse. Nam, « Quos præscivit et prædestinavit conformes fieri imaginis Filii

[1] II Cor. II, 15. [2] Galat. IV, 19. [3] II Petr. I, 4. [4] I Cor. III, 16, 17. [5] I Joan. IV, 13. [6] Psal. CIII, 29, 30. [7] Tit. III, 5.

sui [1].» Itaque cum ipsi fateantur Filium rem creatam non esse, nec etiam ejus imago res creata censenda est. Qualis enim fuerit imago, talem necesse est eum esse cujus imago fuerit. Unde quemadmodum jure merito ac convenienter Verbum res creata esse negatur, quia est imago Patris: ita qui Spiritum inter res creatas collocare non dubitaverit, non potest quin Filium cum iisdem annumeret: ac proinde ad ipsum Patrem refertur quidquid impie de hujus imagine senserit dixeritve.

Itaque manifestum est Spiritum alium omnino esse a rebus creatis, eumque ostendimus proprium Filii esse, non autem a Deo alienum. Namque quod ad hancce acutam illorum interrogationem spectat: Si Spiritus ex Deo est, quare non ipse quoque Filius dicitur? Hanc, inquam, quæstiunculam audacem et temerariam esse supra jam ostensum est; sed idem nihilominus rursus ostendere non gravabimur. Tametsi enim Spiritus in Scripturis Filius non dicitur, sed Spiritus Dei, tamen in ipso Deo, et ex ipso Deo esse dictus est, uti scripsit Apostolus [2]. Porro si Filius quia est ex Patre, proprius idcirco ejusdem substantiæ est; necesse est similiter Spiritum qui ex Deo esse dicitur, proprium quoque Filii esse secundam substantiam. Certe quemadmodum Dominus est Filius, ita ipse Spiritus spiritus adoptionis dictus est. « Non enim accepistis Spiritum servitutis iterum in timorem, sed accepistis Spiritum adoptionis [3]; » et iterum: « Misit Deus Spiritum Filii sui in corda vestra, clamantem: Abba, Pater. [4] » Petrus item scribit: « ei exprobramini in nomine Christi, beati, quoniam gloriæ et virtutis et Dei Spiritus super vos requievit [5], » Ipse autem Dominus Spiritum veritatis Spiritum et Paracletum esse aperte testatur [6]. Ex quibus patet perfectam in illo esse Trinitatem. In illo itaque Verbum res creatas glorificat, hominesque deos et filios efficiens Patri adducit. Atqui is qui res creatas cum Verbo conjungit, ipse certe res creata esse non potest. Qui item res creatas filios efficit, non potest a Filio alienus esse. Alioquin alium Spiritum quærere necesse esset, ut iste in illo cum Verbo conjungi posset. Verum id perabsurdum est. Quapropter fatendum est non ex rebus factis esse Spiritum, sed divinitatis Patris proprium esse, in quo et ipsum Verbum res factas divinæ naturæ consortes reddit. Atqui is in quo natura creata divinitatis fit particeps, extra Patris divinitatem ipse esse non potest.

Cæterum ex his quoque percipere licet Spiritum rebus creatis superiorem aliumque a rebus factis esse. Nempe immutabilis et varietatis expers est Spiritus sanctus: « Spiritus sanctus, inquit, disciplinæ fugiet dolum, et auferet se a cogitationibus quæ sunt sine intellectu [7].» Et Petrus ait: « In incorruptibilitate quieti et modesti Spiritus. [8]» Et iterum in Sapientia legitur: « Tuus enim incorruptus Spiritus est in omnibus [9].» Item si « nemo

ἔγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ. » Οὐκοῦν τοῦ Υἱοῦ καὶ κατ' ἐκείνους ὁμολογουμένου μὴ εἶναι κτίσματος, οὐκ ἂν εἴη οὐδὲ ἡ τούτου εἰκὼν κτίσμα. Ὁποία γὰρ ἂν εἴη ἡ εἰκών, τοιοῦτον ἀνάγκη καὶ τὸν, οὗ ἐστιν ἡ εἰκών, εἶναι. Ὅθεν εἰκότως καὶ πρεπόντως ὁ Λόγος ὁμολογεῖται μὴ ὢν κτίσμα, εἰκὼν τοῦ Πατρὸς ὑπάρχων· ὁ ἄρα τοῖς κτίσμασι συναριθμῶν τὸ Πνεῦμα πάντως που καὶ τὸν Υἱὸν ἐν τούτοις συναριθμήσει, δυσφημῶν ἐν τούτῳ καὶ τὸν Πατέρα διὰ τὴν εἰς τὴν εἰκόνα τούτου δυσφημίαν.

Ἄλλο ἄρα τῶν κτισμάτων ἐστὶ τὸ Πνεῦμα, καὶ δέδεικται μᾶλλον ἴδιον εἶναι τοῦ Υἱοῦ, καὶ οὐ ξένον τοῦ Θεοῦ. Καὶ γὰρ κἀκεῖνο τὸ σοφὸν αὐτῶν ἐρώτημα· Εἰ ἐκ τοῦ Θεοῦ ἐστι τὸ Πνεῦμα, διὰ τί μὴ λέγεται καὶ αὐτὸ Υἱός; Δέδεικται μὲν ἐν τοῖς ἔμπροσθεν ἤδη προπετὲς καὶ τολμηρὸν, δείκνυται δὲ καὶ νῦν οὐδὲν ἧττον. Εἰ γὰρ καὶ μὴ Υἱὸς ἐλέχθη ἐν ταῖς Γραφαῖς, ἀλλὰ Πνεῦμα τοῦ Θεοῦ, ἐν αὐτῷ τῷ Θεῷ καὶ ἐξ αὐτοῦ τοῦ Θεοῦ εἴρηται, ὡς ὁ Ἀπόστολος ἔγραψεν. Εἰ δὲ ὁ Υἱὸς, ἐπειδὴ ἐκ τοῦ Πατρός ἐστιν, ἴδιος τῆς οὐσίας αὐτοῦ ἐστιν, ἀνάγκη καὶ τὸ Πνεῦμα, ἐκ τοῦ Θεοῦ λεγόμενον, ἴδιον εἶναι κατ' οὐσίαν τοῦ Υἱοῦ. Ἀμέλει τοῦ Κυρίου ὄντος Υἱοῦ, αὐτὸ τὸ Πνεῦμα εἴρηται Πνεῦμα υἱοθεσίας. « Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον· ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας· » καὶ αὖθις· Ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον· Ἀββᾶ, ὁ Πατήρ. » Ὁ δὲ Πέτρος ἔγραφεν· « Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μακάριοι· ὅτι τὸ τῆς δόξης καὶ δυνάμεως καὶ τὸ τοῦ Θεοῦ Πνεῦμα ἐφ' ὑμᾶς ἀναπέπαυται.» Ὁ δὲ Κύριος εἴρηκε Πνεῦμα τῆς ἀληθείας καὶ Παράκλητον εἶναι τὸ Πνεῦμα· ἐξ οὗ δείκνυται τελείαν εἶναι ἐν τούτῳ τὴν Τριάδα. Ἐν τούτῳ γ' οὖν ὁ Λόγος τὴν κτίσιν δοξάζει, θεοποιῶν δὲ καὶ υἱοποιῶν προσάγει τῷ Πατρί. Τὸ δὲ συνάπτον τῷ Λόγῳ τὴν κτίσιν οὐκ ἂν εἴη αὐτὸ τῶν κτισμάτων· καὶ τὸ υἱοποιοῦν δὲ τὴν κτίσιν, οὐκ ἂν εἴη ξένον τοῦ Υἱοῦ· ἐπεὶ ζητεῖν ἕτερον ἀνάγκη Πνεῦμα, ἵνα καὶ τοῦτο ἐν ἐκείνῳ συναφθῇ τῷ Λόγῳ. Ἀλλ' ἄτοπον τοῦτο. Οὐκ ἄρα τῶν γενητῶν ἐστι τὸ Πνεῦμα, ἀλλ' ἴδιον τῆς τοῦ Πατρὸς θεότητος, ἐν ᾧ καὶ τὰ γενητὰ ὁ Λόγος θεοποιεῖ. Ἐν ᾧ δὲ θεοποιεῖται ἡ κτίσις, οὐκ ἂν εἴη ἐκτὸς αὐτὸ τῆς τοῦ Πατρὸς θεότητος.

Ὅτι δὲ ἄνω τῆς κτίσεώς ἐστι τὸ Πνεῦμα, καὶ ἄλλο μὲν παρὰ τὴν τῶν γενητῶν φύσιν, ἴδιον δὲ τῆς θεότητος, ἔξεστι καὶ ἐκ τούτου πάλιν συνιδεῖν. Ἄτρεπτον καὶ ἀναλλοίωτόν ἐστι τὸ Πνεῦμα τὸ ἅγιον· « Ἅγιον γάρ, φησί, Πνεῦμα παιδείας φεύξεται δόλον, καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων.» Καὶ ὁ μὲν Πέτρος φησίν· « Ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ ἡσυχίου Πνεύματος·» καὶ πάλιν ἐν τῇ Σοφίᾳ· « Τὸ γὰρ ἄφθαρτόν σου Πνεῦμά ἐστιν ἐν πᾶσι·» καὶ

[1] Rom. viii, 29. [2] I Cor. ii, 12. [3] Rom. viii, 15. [4] Galat. vi, 6. [5] I Petr. vi, 14. [6] Joan. xiv, 19. [7] Sap. i, 15. [8] I Petr. iii, 4. [9] Sap. xii, 1.

εἰ « οὐδεὶς οἶδε τὰ τοῦ Θεοῦ, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ἐν αὐτῷ· » οὐκ ἔστι δὲ παρὰ τῷ Θεῷ, ὡς εἶπεν ὁ Ἰάκωβος, « παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα· » ἐν τῷ Θεῷ ὂν τὸ Πνεῦμα τὸ ἅγιον, εἰκότως ἂν εἴη ἄτρεπτον καὶ ἀπαράλλακτον καὶ ἄφθαρτον. Ἡ δὲ τῶν γενητῶν καὶ τῶν κτιστῶν φύσις ἐστὶ τρεπτὴ, ἅτε δὴ ἔξωθεν οὖσα τῆς τοῦ Θεοῦ οὐσίας, καὶ ἐξ οὐκ ὄντων ὑποστᾶσα· « πᾶς » μὲν γὰρ « ἄνθρωπος, » φησὶ, « ψεύστης. » Καὶ, « πάντες ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ. Ἀγγέλους δὲ τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν, ἀλλ' ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν. » Ἐν δὲ τῷ Ἰώβ· « Εἰ κατὰ ἁγίων ἀγγέλων αὐτοῦ οὐ πιστεύει, κατὰ δὲ ἀγγέλων αὐτοῦ σκολιόν τι ἐπενόησεν· ἄστρα δὲ οὐ καθαρὰ ἐνώπιον αὐτοῦ· » ὁ δὲ Παῦλος γράφει· « Οὐκ οἴδατε, ὅτι ἀγγέλους κρινοῦμεν, μήτιγε βιωτικά; » Ἀλλὰ γὰρ καὶ ἠκούσαμεν, ὅτι ὁ διάβολος, ἐν μέσῳ τῶν χερουβὶμ ὤν, καὶ ἀποσφράγισμα ὁμοιώσεως γενόμενος, ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὡς ἀστραπή. Εἰ δὲ τὰ μὲν κτίσματα τοιαύτην ἔχει φύσιν, καὶ γέγραπται περὶ ἀγγέλων τοιαῦτα· τὸ δὲ Πνεῦμα τὸ αὐτό ἐστι καὶ ἀναλλοίωτον, καὶ τῆς τοῦ Υἱοῦ ἀτρεψίας ἐστὶ, μένον ἀεὶ σὺν αὐτῷ ἄτρεπτον· ποία ὁμοιότης τῷ ἀτρέπτῳ πρὸς τὰ τρεπόμενα; Δῆλον γὰρ ἂν εἴη, ὡς οὔτε κτίσμα ἐστὶν, οὔτε ὅλως τῆς τῶν ἀγγέλων οὐσίας ἐστὶ, διὰ τὸ ἐκείνους εἶναι τρεπτούς· ἀλλ' εἰκὼν τοῦ Λόγου, καὶ τοῦ Πατρὸς ἴδιόν ἐστι. Πάλιν τε τὸ μὲν Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην. Οὕτω γὰρ καὶ ὁ Δαβὶδ ψάλλει· « Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου; » Καὶ πάλιν ἐν τῇ Σοφίᾳ γέγραπται· « Τὸ γὰρ ἄφθαρτόν σου Πνεῦμά ἐστιν ἐν πᾶσι. » Τὰ δὲ γενητὰ πάντα ἐν μεμερισμένοις τόποις εἰσὶν, ἥλιος μὲν, καὶ σελήνη, καὶ ἀστέρες ἐν τῷ στερεώματι, νεφέλαι δὲ ἐν τῷ ἀέρι· καὶ τοῖς ἀνθρώποις ἔστησεν ὅρια ἐθνῶν· οἵ τε ἄγγελοι ἀποστέλλονται εἰς διακονίας· « Καὶ ἦλθον οἱ ἄγγελοι παραστῆναι ἐνώπιον τοῦ Κυρίου, » ὡς ἐν τῷ Ἰὼβ γέγραπται· καὶ, « ἐνυπνιάσθη δὲ Ἰακὼβ ὁ πατριάρχης· καὶ, ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανὸν, καὶ οἱ ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτῆς. » Εἰ δὲ τὸ μὲν Πνεῦμα πάντα πληροῖ, καὶ ἐν τῷ Λόγῳ πάρεστιν ἐν μέσῳ πάντων, οἱ δὲ ἄγγελοι ἐλαττοῦνται τούτῳ, καὶ ἔνθα ἀποστέλλονται, καὶ πάρεισιν· οὐκ ἀμφίβολον οὖν, ὅτι οὔτε τῶν γενητῶν, οὔτε ὅλως ἄγγελός ἐστιν, ὡς ὑμεῖς λέγετε, τὸ Πνεῦμα, ἀλλ' ἄνω τῆς τῶν ἀγγέλων φύσεώς ἐστιν.

Πάλιν γὰρ καὶ ἐκ τούτων ἄν τις ἴδοι τὸ Πνεῦμα τὸ ἅγιον, ὡς μεθεκτόν ἐστι καὶ οὐ μετέχον (τὰ αὐτὰ γὰρ λέγειν οὐκ ὀκνητέον). « Ἀδύνατον γὰρ, » φησὶ, « τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους Πνεύματος ἁγίου γενομένους, καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα, » καὶ τὰ ἑξῆς. Οἱ δὲ ἄγγελοι, καὶ τὰ ἄλλα κτίσματα μετέχοντά ἐστιν αὐτοῦ τοῦ Πνεύματος· διὰ τοῦτο γὰρ ταῦτα μὲν

A cognovit quæ sunt Dei, nisi Spiritus Dei, qui est in ipso [1]; » non est autem apud Deum, ut docet Jacobus, « transmutatio nec vicissitudinis obumbratio [2]: » jure ac merito Spiritus sanctus, qui in Deo est, immutabilis et incorruptus omnisque vicissitudinis expers esse censendus est. At rerum factarum et creatarum natura mutabilis est, utpote quæ sit extra Dei substantiam, et e nihilo exstiterit. Siquidem « omnis homo, inquit, mendax [3]. » Et, « omnes peccaverunt et egent gloria Dei [4]. Angelos vero qui non servaverunt suum principatum, sed dereliquerunt suum domicilium, in judicium magni diei, vinculis æternis sub caligine reservavit [5]. » Et apud Job: « Si sanctis angelis suis non fidit, sed contra B angelos pravum quid cogitavit [6]: stellæ vero non sunt mundæ in conspectu ejus [7]. » Paulus autem scribit: « Nescitis quoniam angelos judicabimus? quanto magis sæcularia [8]? » Quin etiam audivimus diabolum, qui in medio cherubim stabat, et signaculum similitudinis erat, e cœlo quasi fulgur cecidisse [9]. Si porro ea est rerum creatarum natura, et hæc de angelis scripta sunt; si contra Spiritus idem semper et omnis mutationis expers est, qui et Filii immutabilitatis particeps, cum ipso semper immutabilis manet: quænam, amabo, similitudo immutabilis cum mutabilibus? Hinc enim perspicuum est, neque rem creatam esse, neque ad angelorum, utpote qui mutabiles sint, naturam pertinere, sed Verbi imaginem et Patris proprium esse. Præterea Spiritus C Domini universum orbem replevit. Ita enim David cecinit: « Quo ibo a Spiritu tuo [10]? » Et in Sapientia scriptum est: « Tuus enim incorruptus Spiritus est in omnibus [11]. » Atqui universæ res factæ in divisis locis exsistunt, verbi gratia, sol, luna et astra, in firmamento, et nubes in aere. In hominibus quoque nationum terminos constituit [12]. Angeli similiter in ministeria mittuntur: « Et venerunt angeli Dei ut assisterent coram Domino, » uti in Job legimus [13]. Et, « somniavit Jacob patriarcha. Et ecce scala innixa in terra, cujus cacumen ad cœlum perveniebat: et angeli Dei ascendebant et descendebant per ipsam [14]. » Si igitur Spiritus omnia implet, et in Verbo præsens est in medio omnium; si contra angeli hac in re illi cedunt, atque illic tantum D adsunt quo mittuntur: dubium utique non est, quin Spiritus nec res facta nec angelus sit, uti contendere audetis, sed angelorum natura superior certe censendus est.

Enimvero rursus ex his quæ subjicimus Scripturæ verbis evidens fuerit Spiritum sanctum alios sui participes facere, non vero participem aliorum fieri (nam eadem repetere ne sit molestum). Nempe, « Impossibile est enim eos qui semel sunt illuminati, gustaverunt etiam donum cœleste et participes facti sunt Spiritus sancti, gustaveruntque bonum Dei verbum [15], » et cætera. At angeli et cæteræ res creatæ ipsius

[1] I Cor. II, 11. [2] Jac. I, 17. [3] Psal. CXV, 11. [4] Rom. III, 23. [5] Jud. 6. [6] Job IV, 18. [7] Job XXV, 5. [8] I Cor. VI, 3. [9] Ezech. XXVIII, 12. [10] Psal. CXXXVIII, 7. [11] Sap. XII, 1. [12] Act. XVII, 26. [13] Job I, 6. [14] Genes. XXVIII, 12. [15] Hebr. VI, 4.

Spiritus fiunt participes. Hæc enim ipsa est ratio cur ab eo cujus sunt participes possint excidere. Spiritus vero idem profecto semper est.

Ex eadem et hoc.

Euntes, inquit, *docete omnes gentes, baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti.* Apostoli autem profecti sic docuerunt. Et hæc in omnem terram, quæ sub cœlo est, promulgata est prædicatio. Itaque cum fidei fundamentum hoc habeat Ecclesia, dicant nobis rursum isti, atque respondeant, Estne Trinitas, an dualitas? si dualitas, cum rebus procreatis spiritus a vobis numeretur. Sin Trinitas est, ut vere est, ostensum autem est, hanc non esse distractam, neque dissimilem, necesse est, unam hujus esse sanctitatem, et unam hujus æternitatem, immutabilemque naturam. Quemadmodum enim fides, quæ in ipsam traditur, Deo conjungit. Qui vero subtrahit aliquid e Trinitate, et qui in solo patris nomine, aut in solo filii nomine, aut in patris, et filii nomine, remoto spiritu baptizatur, nihil accipit, sed inanis et imperfectus tum ipse, tum qui videtur tradere, permanet, siquidem in Trinitate perfectio est, ita qui Filium a Patre segregat, aut spiritum collocat inter res procreatas, is nec filium, nec patrem habet, sed impius est, et infideli deterior, et quidvis potius, quam Christianus, et jure in quidem. Sicut enim unum est baptisma in Patre, et Filio, et Spiritu sancto traditum, et una fides est in ipsam nimirum Trinitatem, ut ait Apostolus[1], sic sancta Trinitas quæ eadem in seipsa est, et secum ipsa conjuncta est, nihil in se rerum factarum habet; hæcque Trinitatis unitas individua est, unaque in eamdem fides est. Quod si uti vos, Tropici, commenti estis, non ita se res habet, sed, ut somniastis, Spiritus sanctus res creata a vobis dicitur: jam non una est fides vestra, non unum baptisma, sed duo: unum scilicet in Patrem et Filium, aliud in angelum qui res creata est; nihilque jam vobis firmum, nihil verum superfuerit. Quæ enim communio inter rem factam et ejus effectorem? Vel quæ societas inter res inferiores creatas et Verbum a quo productæ sunt? Certe beatus Paulus, qui ista minime ignorabat, non ut vos, Trinitatem dividit, sed ejus unitatem luculenter docet cum de spiritualibus rebus ad Corinthios scribit et omnia ad unum Deum Patrem tanquam ad caput hoc pacto reducit: « Divisiones vero gratiarum sunt, idem autem Spiritus: et divisiones ministrationum sunt, idem autem Dominus: et divisiones operationum sunt, idem vero Deus, qui operatur omnia in omnibus[2]. » Quæ enim Spiritus singulis distribuit, ea a Patre per Verbum dantur. Nam omnia quæ Patris sunt, sunt item Filii: unde ea quæ a Filio in Spiritu dantur, vera sunt Patris munera. Similiter cum Spiritus in nobis est, Verbum, a quo illum ac-

A ἐκπίπτειν οὗ μετέσχον δύναται· τὸ δὲ Πνεῦμα ἀεὶ τὸ αὐτό ἐστιν.

Ἐκ τῆς αὐτῆς καὶ τοῦτο.

Πορευθέντες, φησὶ, *μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.* Οἱ δὲ ἀπόστολοι πορευθέντες οὕτως ἐδίδαξαν, καὶ τοῦτό ἐστιν εἰς πᾶσαν τὴν ὑπ' οὐρανὸν τὸ κήρυγμα. Οὐκοῦν τοῦτον ἐχούσης τῆς Ἐκκλησίας τὸν θεμέλιον τῆς πίστεως, εἰπάτωσαν πάλιν ἡμῖν ἐκεῖνοι, καὶ ἀποκρινάσθωσαν, Τριάς ἐστιν, ἢ δυάς; Εἰ μὲν οὖν δυάς ἐστι, συναριθμείσθω παρ' ὑμῶν τοῖς κτίσμασι τὸ Πνεῦμα. Εἰ δὲ Τριάς ἐστιν, ὥσπερ οὖν καὶ ἔστι, δέδεικται δὲ ἀδιαίρετος οὖσα, καὶ οὐκ ἀνόμοιος, B ἀνάγκη μίαν εἶναι ταύτης τὴν ἁγιότητα, καὶ μίαν ταύτης τὴν ἀϊδιότητα, καὶ τὴν τῆς ἀτρεψίας φύσιν. Ὥσπερ γὰρ ἡ εἰς αὐτὴν παραδιδομένη πίστις συνάπτει Θεῷ, ὁ δὲ ὑφαιρούμενός τι τῆς Τριάδος, καὶ ἐν μόνῳ τῷ τοῦ Πατρὸς ὀνόματι βαπτιζόμενος, ἢ ἐν μόνῳ τῷ ὀνόματι τοῦ Υἱοῦ, ἢ χωρὶς τοῦ Πνεύματος ἐν Πατρὶ, καὶ Υἱῷ, οὐδὲν λαμβάνει, ἀλλὰ κενὸς, καὶ ἀτελὴς αὐτός τε, καὶ ὁ δοκῶν διδόναι διαμένει. Ἐν τῇ Τριάδι γὰρ ἡ τελείωσίς ἐστιν· οὕτως ὁ διαιρῶν τὸν Υἱὸν ἀπὸ τοῦ Πατρὸς, ἢ τὸ Πνεῦμα κατάγων εἰς τὰ κτίσματα, οὔτε τὸν Υἱὸν ἔχει, οὔτε τὸν Πατέρα, ἀλλ' ἔστιν ἄθεος, καὶ ἀπίστου χείρων, καὶ πάντα μᾶλλον, ἢ Χριστιανὸς, καὶ δικαίως τε. Καθάπερ γὰρ ἕν ἐστι τὸ βάπτισμα ἐν C Πατρὶ καὶ Υἱῷ καὶ Πνεύματι ἁγίῳ διδόμενον, καὶ μία πίστις ἐστὶν εἰς αὐτὴν, ὡς εἶπεν ὁ Ἀπόστολος, οὕτως ἡ ἁγία Τριὰς, ἡ αὐτὴ οὖσα ἑαυτῇ, καὶ ἡνωμένη πρὸς ἑαυτὴν, οὐδὲν ἔχει ἐν ἑαυτῇ τῶν γενητῶν· καὶ αὕτη τῆς Τριάδος ἡ ἀδιαίρετος ἑνότης, καὶ μία ἡ εἰς ταύτην πίστις ἐστίν. Εἰ δὲ κατὰ τὴν ὑμῶν τῶν Τροπικῶν ἐπεξεύρεσιν οὐχ οὕτως ἐστὶν, ἀλλ' ἐνυπνιάσθητε κτίσμα λέγειν τὸ Πνεῦμα τὸ ἅγιον· οὐκέτι μία πίστις ἐστὶν ὑμῶν, οὐδὲ ἓν βάπτισμα, ἀλλὰ δύο· ἓν μὲν εἰς Πατέρα καὶ Υἱόν· ἕτερον δὲ εἰς ἄγγελον κτίσμα ὄντα· καὶ οὐδὲν λοιπὸν ὑμῶν ἀσφαλὲς οὐδὲ ἀληθές. Ποία γὰρ κοινωνία γενητῷ καὶ δημιουργῷ; Ἢ ποία ἑνότης τοῖς κάτω κτίσμασι καὶ τῷ ταῦτα δημιουργήσαντι Λόγῳ; Τοῦτο εἰδὼς ὁ μακάριος Παῦλος, οὐ διαιρεῖ τὴν D Τριάδα, ὥσπερ ὑμεῖς, ἀλλὰ τὴν ἑνότητα ταύτης διδάσκων ἔγραψε Κορινθίοις περὶ τῶν πνευματικῶν, καὶ τὰ πάντα εἰς ἕνα Θεὸν τὸν Πατέρα ἀνακεφαλαιοῖ λέγων· « Διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. » Ἃ γὰρ τὸ Πνεῦμα ἑκάστῳ διαιρεῖ, ταῦτα παρὰ τοῦ Πατρὸς διὰ τοῦ Λόγου χορηγεῖται. Πάντα γὰρ τὰ τοῦ Πατρὸς, τοῦ Υἱοῦ ἐστι· διὸ καὶ τὰ παρὰ τοῦ Υἱοῦ ἐν Πνεύματι διδόμενα τοῦ Πατρός ἐστι χαρίσματα. Καὶ τοῦ Πνεύματος δὲ ὄντος ἐν ἡμῖν, καὶ ὁ Λόγος ὁ τοῦτο

[1] Ephes. IV, 5. [2] I Cor. XII, 4-6.

διδούς ἐστιν ἐν ἡμῖν, καὶ ἐν τῷ Λόγῳ ἐστὶν ὁ A Πατήρ· καὶ οὕτως ἐστὶ τὸ, « Ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατὴρ, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν, » καθάπερ εἴρηται. Ἔνθα γὰρ τὸ φῶς, ἐκεῖ καὶ τὸ ἀπαύγασμα· καὶ ἔνθα τὸ ἀπαύγασμα, ἐκεῖ καὶ ἡ τούτου ἐνέργεια καὶ αὐγοειδὴς χάρις. Καὶ τοῦτο πάλιν διδάσκων ὁ Παῦλος ἔγραφεν αὖθις Κορινθίοις καὶ ἐν τῇ δευτέρᾳ Ἐπιστολῇ λέγων· « Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, μετὰ πάντων ὑμῶν. » Ἡ γὰρ διδομένη χάρις καὶ δωρεὰ ἐν Τριάδι δίδοται παρὰ τοῦ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι ἁγίῳ. Ὥσπερ γὰρ ἐκ τοῦ Πατρός ἐστι δι' Υἱοῦ ἡ διδομένη χάρις, οὕτως οὐκ ἂν γένοιτο κοινωνία τῆς δόσεως ἐν ἡμῖν, εἰ μὴ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ. B Τούτου γὰρ μετέχοντες, ἔχομεν τοῦ Πατρὸς τὴν ἀγάπην, καὶ τοῦ Υἱοῦ τὴν χάριν, καὶ αὐτοῦ τοῦ Πνεύματος τὴν κοινωνίαν.

Μία ἄρα καὶ ἐκ τούτων ἡ τῆς Τριάδος ἐνέργεια δείκνυται. Οὐ γὰρ ὡς παρ' ἑκάστου διάφορα καὶ διῃρημένα τὰ διδόμενα σημαίνει ὁ Ἀπόστολος· ἀλλ' ὅτι τὰ διδόμενα ἐν Τριάδι δίδοται, καὶ τὰ πάντα ἐξ ἑνὸς Θεοῦ ἐστι. Τὸ τοίνυν μὴ ὂν κτίσμα, ἀλλ' ἡνωμένον τῷ Υἱῷ, ὡς ὁ Υἱὸς ἥνωται τῷ Πατρὶ, τὸ συνδοξαζόμενον Πατρὶ καὶ Υἱῷ, καὶ θεολογούμενον μετὰ τοῦ Λόγου, ἐνεργοῦν τε ἅπερ ὁ Πατὴρ διὰ τοῦ Υἱοῦ ἐργάζεται, πῶς ὁ λέγων κτίσμα οὐκ ἄντικρυς εἰς αὐτὸν τὸν Υἱὸν ἀσεβεῖ; Οὐδὲν γάρ ἐστιν ὃ μὴ διὰ τοῦ Λόγου ἐν τῷ Πνεύματι γίνεται καὶ ἐνεργεῖται. Τοῦτο καὶ ἐν Ψαλμοῖς ᾄδεται· « Τῷ Λόγῳ Κυρίου οἱ οὐρα- C νοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν· » καὶ ἐν τῷ ἑκατοστῷ τεσσαρακοστῷ ἑβδόμῳ ψαλμῷ· « Ἀποστελεῖ τὸν Λόγον αὐτοῦ, καὶ τήξει αὐτά· πνεύσει τὸ Πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα. » Καὶ ἐδικαιώθημεν δὲ, ὡς εἶπεν ὁ Ἀπόστολος, « ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν. » Ἀδιαίρετον γάρ ἐστι τοῦ Λόγου τὸ Πνεῦμα. Ἀμέλει λέγοντος τοῦ Κυρίου, « Ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατὴρ, » συνεισέρχεται τὸ Πνεῦμα οὐκ ἄλλως ἢ ὡς ὁ Υἱὸς ἐν ἡμῖν οἰκήσων, γράφοντος Ἐφεσίοις τοῦ Παύλου· « Ἵνα δῴη ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστόν. » Τοῦ δὲ Υἱοῦ ἐν ἡμῖν ὄντος, ἔτι D καὶ ὁ Πατὴρ, λέγοντος τοῦ Υἱοῦ· « Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί. » Διὸ καὶ, γινομένου τοῦ Λόγου ἐν τοῖς προφήταις, ἐν αὐτῷ τῷ Πνεύματι τῷ ἁγίῳ προφητεύουσι. Τῆς γοῦν Γραφῆς λεγούσης, « Καὶ ἐγένετο Λόγος Κυρίου » πρὸς τόνδε τὸν προφήτην, δείκνυται προφητεύων ἐν τῷ Πνεύματι τῷ ἁγίῳ. Ἐν μὲν γὰρ τῷ Ζαχαρίᾳ γέγραπται· « Πλὴν τοὺς λόγους μου καὶ τὰ νόμιμά μου δέχεσθε, ὅσα ἐγὼ ἐντέλλομαι ἐν Πνεύματί μου τοῖς δούλοις μου τοῖς προφήταις· » ὅτε καὶ μετ' ὀλίγα αἰτιώμενος τὸν λαὸν ἔλεγε· « Καὶ τὴν καρδίαν αὐτῶν ἔταξαν ἀπειθῆ,

A cipimus, in nobis etiam est, et in Verbo est quoque Pater, atque ita fit istud : « Veniemus ego et Pater, et mansionem apud eum faciemus [1], » uti jam dictum est. Ubi enim lux est, illic et splendor quoque est : ubi item splendor est, ibi similiter et ejus efficientia et splendida est gratia. Quod idem Paulus in secunda Epistola ad Corinthios his verbis docet : « Gratia Domini nostri Jesu Christi, et charitas Dei, et communicatio sancti Spiritus sit cum omnibus vobis [2]. » Gratia enim et donum quod in Trinitate datur, datur a Patre per Filium in Spiritu sancto. Nam quemadmodum ex Patre per Filium datur gratia, ita in nobis fieri non potest doni communicatio nisi in Spiritu sancto. Hujus siquidem partici- B pes effecti, Patris charitatem, Filii gratiam et ipsius Spiritus communicationem habemus.

Ex his igitur una Trinitatis efficientia esse ostenditur. Nec enim diversa et divisa dari a singulis significat Apostolus, sed ea quæ dantur, in Trinitate dari, omniaque ex uno Deo esse. Ille igitur qui res creata non est, sed cum Filio non secus conjunctus est, ac ipse Filius cum Patre : qui item cum Patre et Filio honoratur, et cum Verbo Deus agnoscitur, necnon ea ipsa agit quæ per Verbum Pater efficit ; qui res creata dici possit, nisi ab eo plane qui in Filium ipsum impius fuerit ? Siquidem nihil prorsus est, quod non per Verbum fiat et aga- C tur in Spiritu : quemadmodum etiam in Psalmis canitur : « Verbo Domini cœli firmati sunt, et Spiritu oris ejus omnis virtus eorum [3] ; » et in centesimo quadragesimo septimo psalmo : « Emittet Verbum suum, et liquefaciet ea ; flabit Spiritus ejus, et fluent aquæ [4]. » Et, ut ait Apostolus, « justificati sumus in nomine Domini nostri Jesu Christi et in Spiritu Dei nostri [5]. » Namque Spiritus a Verbo nequit dividi. Profecto cum Christus ait, « Veniemus ego et Pater [6], » una quoque intrat Spiritus non alio modo quam Filius in nobis habitaturus, ut Paulus ad Ephesios scribit : « Ut det vobis secundum divitias gloriæ suæ, virtute corroborari per Spiritum ejus in interiorem hominem, Christum habitare [7]. » Porro cum Filius in nobis est, Pater D quoque simul est, ut Filius ipse ita testatur : « Ego in Patre, et Pater in me [8]. » Hinc cum Verbum in prophetis adest, illi in ipso Spiritu sancto vaticinantur. Unde cum Scriptura dicit, « Et factum est Verbum » ad talem prophetam, illum in Spiritu sancto vaticinari significat. Nam in Zacharia scriptum est : « Verumtamen verba mea et legitima mea suscipite, quæ ego mando in Spiritu meo servis meis prophetis [9]. » Paulo post etiam populum his verbis objurgat : « Et cor suum obstinatum statuerunt, ne audirent legem meam, et verba quæ misit Dominus omnipotens in Spiritu suo in manibus pro-

[1] Joan. XIV, 23. [2] II Cor. XIII, 13. [3] Psal. XXXII, 6 [4] Psal. CXLVII, 18. [5] I Cor. VI, 11. [6] Joan. XIV, 23. [7] Ephes. V, 16. [8] Joan. XIV, 10. [9] Zach. I, 6.

phetarum ejus priorum. » Petrus item in Actis ita loquitur : « Viri fratres, oportebat impleri Scripturam quam prædixit Spiritus sanctus [1]. » At absurdæ Tropicorum fabulæ a Scripturis valde dissentiunt, consentiuntque omnino cum Arianorum hæresi : unde verisimile sit illos non alia de causa ita dissimulare, nisi quo facilius simplices deciperent. Sed gratiæ Domino habendæ, quod, ut scribis, fictam suam cum Arianis contentionem obtegere non potuerint. Siquidem et illorum odium in se ipsos concitaverunt, ut qui solum Spiritum, non autem Verbum rem creatam esse dicant : et ab aliis omnibus reprobantur, quod liqueat vere eos bellum contra sanctum Spiritum gerere, ac proinde brevi fore mortuos, utpote Spiritu vacuos et destitutos. Nempe quia sunt animales homines, non potuerunt, ut docet beatus Apostolus [2], percipere quæ sunt Spiritus Dei, utpote qui spiritualiter dijudicarentur. At qui ea quæ sunt veritatis sapiunt, omnia quidem dijudicant, ipsi vero a nemine dijudicantur, quandoquidem Dominum in seipsis habent, qui illis et seipsum et per seipsum Patrem in Spiritu patefacit. Sed ipse Dominus Jesus Christus per seipsum quidem Samaritanam, ac nos per illam deinde docuit, quam perfecta et absoluta sit sancta Trinitas, eamque individuam ac unam Divinitatem exsistere. Id, inquam, ipsa testatur veritas, ubi Samaritanæ ait : « Crede mihi, mulier, quia venit hora, et nunc est, cum veri adoratores adorabunt Patrem in Spiritu et veritate. Nam et Pater tales quærit qui adorent eum. Spiritus est Deus, et eos qui adorant eum, in Spiritu et veritate oportet adorare [3]. » Inde enim perspicuum est veritatem ipsum esse Filium, ut ipse ait, « Ego sum veritas [4], » quem et propheta David his verbis invocabat : « Emitte lucem tuam et veritatem tuam [5]. » Veri igitur adoratores Patrem quidem adorabunt, sed in Spiritu et veritate, Filium videlicet, et in Filio Spiritum confitendo. Nam a Filio separari non potest Spiritus, uti nec a Patre Filius, quemadmodum ipsa Veritas his verbis docet : « Mittam vobis Paracletum, Spiritum veritatis, qui a Patre procedit, quem mundus non potest accipere [6]. »

Item de Spiritu sancto, Basilii Magni ex oratione quarta, qua contra Eunomium disputavit.

Quemadmodum Filius Patre posterior est ordine : in enumeratione enim præpositus est Pater : *Baptizantes eos*, inquit, *in nomine Patris, et Filii, et Spiritus sancti* [7]; dignitate præterea, ex Patre enim Filius, non ex Filio Pater ; natura vero æqualis : *Ego* enim, inquit, *et Pater unum sumus* [8]: sic et Spiritus sanctus ordine quidem Filio posterior est, ut ex connumeratione declaratum est, dignitate etiam profecto. Spiritus enim Filii dicitur, ut qui per Filium præbetur : *Misit enim*, inquit, *Deus Spiritum Filii sui in corda nostra* [9]. Non autem Filius dicitur ipsius Spiritus. Natura tamen æqualis est Patri et Filio. Quibus enim eadem est actio, iis eadem est etiam natura. At Eunomius eum annumerationis ordini adjungens, tertiæ ipsum naturæ pronuntiavit.

A τοῦ μὴ εἰσακούειν τοὺς νόμους μου καὶ τοὺς λόγους, οὓς ἐξαπέστειλε Κύριος παντοκράτωρ ἐν Πνεύματι αὐτοῦ. Ὁ δὲ Πέτρος ἐν ταῖς Πράξεσιν ἔλεγεν, « Ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν Γραφὴν, ἣν προεῖπε τὸ Πνεῦμα τὸ ἅγιον. » Καὶ μετ' ὀλίγα· « Τῶν δὲ τροπικῶν ἡ ἀλλόπιστος μυθολογία διαφωνεῖ μὲν πρὸς τὰς Γραφὰς, συμφωνεῖ δὲ τῇ τῶν ἀρειομανιτῶν ἀλογίᾳ, καὶ εἰκὸς αὐτοὺς οὕτως ἀποκρίνεσθαι ἀπάτης ἕνεκεν τῶν ἀκεραιοτέρων. Ἀλλὰ χάρις τῷ Κυρίῳ, ὅτι, ὡς γράφεις, οὐκ ἔλαθον σκέποντες ἑαυτοὺς τῇ πρὸς τοὺς Ἀρειανοὺς προσποιήτῳ ἀντιλογίᾳ· καὶ γὰρ καὶ παρ' ἐκείνων ἐμισήθησαν, ὡς τῷ ὄντι πνευματομαχοῦντες. » Καὶ μετ' ὀλίγον, « Γινόμενοι νεκροὶ ἔρημοι καὶ κενοὶ τοῦ Πνεύματος ὄντες. » Κατὰ γὰρ τὸν μακάριον Ἀπόστολον ψυχικοὶ ἄνθρωποι ὄντες, οὐκ ἠδυνήθησαν δέξασθαι τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ,
B ὅτι πνευματικῶς ἀπεκρίνοντο. Οἱ δὲ τὰ τῆς ἀληθείας φρονοῦντες ἀνακρίνουσι μὲν πάντα, αὐτοὶ δὲ ὑπ' οὐδενὸς ἀνακρίνονται, ἔχοντες ἐν ἑαυτοῖς τὸν Κύριον ἀποκαλύπτοντα αὐτοῖς ἐν τῷ Πνεύματι ἑαυτόν τε, καὶ δι' ἑαυτοῦ τὸν Πατέρα. Αὐτὸς γὰρ ὁ Κύριος Ἰησοῦς Χριστὸς δι' ἑαυτοῦ ἐδίδασκε τὴν Σαμαρεῖτιν, καὶ δι' αὐτῆς ἡμᾶς, τὴν τῆς ἁγίας Τριάδος τελειότητα ἀδιαίρετον ὑπάρχουσαν, καὶ μίαν θεότητα λέγων, « Πίστευέ μοι, γύναι, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ Πατρὶ ἐν Πνεύματι καὶ ἀληθείᾳ. » Καὶ γὰρ ὁ Πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτὸν, ὅτι Πνεῦμα ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν Πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. Δέδεικται τοίνυν ἐντεῦθεν ὡς ἀλήθεια μὲν αὐτὸς ὁ Υἱός ἐστιν, ὡς αὐτός φησιν, « Ἐγώ εἰμι ἡ ἀλήθεια. » Περὶ οὗ
C καὶ ὁ προφήτης Δαβὶδ ἐπεκαλεῖτο λέγων, « Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου. » Οἱ δὲ ἀληθινοὶ προσκυνηταὶ προσκυνοῦσι μὲν τῷ Πατρὶ, ἀλλ' ἐν Πνεύματι καὶ ἀληθείᾳ ὁμολογοῦντες Υἱὸν, καὶ ἐν αὐτῷ τὸ Πνεῦμα. Ὡς ἀχώριστος ὁ Υἱὸς τοῦ Πατρὸς, αὐτὴ ἡ ἀλήθεια μαρτυρεῖ λέγουσα· « Πέμψω ὑμῖν τὸν Παράκλητον τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν. »

Ἔτι περὶ τοῦ ἁγίου Πνεύματος, τοῦ μεγάλου Βασιλείου ἐκ τοῦ δ' λόγου τῶν πρὸς Εὐνόμιον ἀντιῤῥητικῶν.

Ὥσπερ ὁ Υἱὸς τάξει μὲν δεύτερος τοῦ Πατρὸς, προτέτακται γὰρ ὁ Πατὴρ ἐν τῇ συναριθμήσει·
D *Βαπτίζοντες* γὰρ, φησὶν, *αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος*· ἔτι δὲ καὶ ἀξιώματι· ἐκ Πατρὸς γὰρ ὁ Υἱὸς, οὐκ ἐκ τοῦ Υἱοῦ ὁ Πατὴρ, φύσει δὲ ἴσος· *Ἐγὼ* γὰρ, φησὶ, *καὶ ὁ Πατὴρ ἕν ἐσμεν*· οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον τάξει μὲν δεύτερον τοῦ Υἱοῦ, καθὼς ἐν τῇ συναριθμήσει δεδήλωται, ναὶ μὴν καὶ ἀξιώματι. Πνεῦμα γὰρ Υἱοῦ λέγεται, ὡς διὰ τοῦ Υἱοῦ χορηγούμενον. *Ἐξαπέστειλε* γὰρ, φησὶν, *ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν*· οὐ μὴν ὁ Υἱὸς Πνεύματος. Φύσει δὲ ἴσον καὶ Πατρὶ καὶ Υἱῷ. Οἷς γὰρ ἡ αὐτὴ ἐνέργεια, τούτοις καὶ φύσις ἡ αὐτή. Εὐνόμιος δὲ τῇ τάξει προσσχὼν τῆς συναριθμήσεως, τρίτης αὐτὸ φύσεως ἀπεφήνατο.

[1] Act. I, 16. [2] I Cor. II, 14. [3] Joan. IV, 21, 22. [4] Joan. XIV, 6. — [5] Psal. XLII, 3. [6] Joan. XV, 26 ; XIV, 17. [7] Matth. XXVIII, 19. [8] Joan. X, 30. [9] Galat. IV, 6.

Ἐκ τοῦ αὐτοῦ.

A Τῶν γενητῶν τὰ μὲν οὐσίᾳ, τὰ δὲ γνώμῃ τροπῆς ἐστι δεκτικά. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον οὔτε κατ' οὐσίαν οὔτε κατ' ἐνέργειαν τροπῆς, ἢ ἀλλοιώσεώς ἐστι δεκτικόν. Οὐκ ἄρα κτίσμα τὸ Πνεῦμα.

Ἐκ τοῦ αὐτοῦ.

Πᾶν κτίσμα ἁγιαζόμενόν ἐστιν ἅγιον. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον οὐ τῶν ἁγιαζομένων, ἀλλὰ τῶν ἁγιαζόντων. Οὐκ ἄρα κτίσμα.

Ἐκ τοῦ αὐτοῦ.

Οὐδὲν κτιστὸν κατ' οὐσίαν ἅγιον. Τὸ γὰρ κατ' οὐσίαν ἅγιον οὐ δεῖται τοῦ ἔξωθεν ἁγιασμοῦ. Οὐ δεῖται δὲ ἁγιασμοῦ τὸ Πνεῦμα, ὅτι ἅγιον κατ' οὐσίαν. Οὐκ ἄρα κτίσμα.

Ἐκ τοῦ αὐτοῦ.

B Πᾶν κτίσμα δοῦλόν ἐστι τοῦ δημιουργοῦ, κατὰ τὸν λέγοντα τῷ Θεῷ Προφήτην· *Τὰ σύμπαντα δοῦλα σά.* Τὸ δὲ δοῦλον ἐλευθερίαν καὶ υἱοθεσίαν ἑτέρῳ ὀρέγειν οὐ δύναται, ἧς αὐτὸ οὐκ ἔτυχε κατ' οὐσίαν. Τὸ δὲ Πνεῦμα ἐλευθερίαν ὀρέγει καὶ υἱοθεσίαν. Τὸ γὰρ Πνεῦμα κράζει ἐν ταῖς καρδίαις ἡμῶν, *Ἀββᾶ ὁ Πατήρ.* Ὥστε οὐκ ἔτι εἶ δοῦλος, ἀλλὰ υἱός. Οὐκ ἄρα κτίσμα.

Ἐκ τοῦ αὐτοῦ.

Ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει, φησὶ, *τὸ στερέωμα.* Καὶ ἐν ἑτέρῳ· *Καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί.* Καὶ τίνες ἂν εἶεν Θεοῦ ἀσώματοι χεῖρες, αἱ τὸ στερέωμα καὶ τοὺς οὐρανοὺς δημιουργήσασαι, αὐτὸς ὁ Προφήτης ἑρμηνεύει λέγων· *Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.* Ἀλλ' ὥσπερ οὐ Προφορικὸς λόγος οὗτος ἐν τῷ Θεῷ, ἀλλὰ ζῶν, καὶ ὑφεστηκὼς, καὶ τῶν ὅλων δραστήριος, οὕτως ἐν Θεῷ οὐ πνεῦμα διαχεόμενον, οὐ διαλυόμενος ἀὴρ, ἀλλὰ δύναμις ἁγιαστικὴ ἐνούσιος, ἐνύπαρκτος, ἐνυπόστατος.

C

Ἐκ τοῦ αὐτοῦ.

Ὁ δάκτυλος τοῦ Θεοῦ, ὁ μεταβαλὼν ἐν Αἰγύπτῳ τὸν χοῦν εἰς ζῶα, τὴν ἀρχῆθεν τῶν ζώων ἀναδείξας γένεσιν, ὁ Παράκλητος ἦν, τὸ Πνεῦμα τῆς ἀληθείας. Τῶν γὰρ τριῶν εὐαγγελιστῶν φησάντων πρὸς Ἰουδαίους εἰρηκέναι τὸν Υἱὸν, *Εἰ δὲ ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ*, ὁ Λουκᾶς φησιν εἰρηκέναι αὐτόν· *Εἰ δὲ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τῶν οὐρανῶν.* Οὐκοῦν καὶ τὰ διὰ Μωσέως γενόμενα ἐν Αἰγύπτῳ σημεῖα δακτύλῳ Θεοῦ ἐγένετο, καὶ τὰ παράδοξα τοῦ Θεοῦ σημεῖα ἐτελεσιουργεῖτο σὺν τῷ Πνεύματι. Δάκτυλος δὲ Θεοῦ ἐν τούτοις τοῖς ὑπὸ Μωσέως, καὶ τοῖς τοῦ Κυρίου σημείοις εἴρηται τὸ Πνεῦμα, οὐχ ὅτι μικρά τίς ἐστι τῷ Θεῷ συνοῦσα δύναμις, καθάπερ σώματι δάκτυλος, ἀλλ' ἐπειδὴ ἕν τι τῶν κατὰ διαίρεσιν χαρισμάτων αὐτοῦ ἐστι τὸ χάρισμα τῶν σημείων καὶ ἰαμάτων, τὸ ἕν τι, καὶ οὐχὶ τὰ ὅλα χαρίσματα τοῦ Πνεύματος δάκτυλον καλεῖ. *Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα· ἄλλῳ δὲ χαρίσματα ἰαμάτων ἐν τῷ ἑνὶ Πνεύματι·*

D

Ex eadem oratione.

Quæ creata sunt, aut essentia, aut consilio mutationem admittunt. At Spiritus nec essentia, nec actione mutari vertive potest. Non igitur creatus est.

Ex eadem oratione.

Quæ creata sunt, ideo sunt sancta, quia sancta fiunt. At Spiritus-sanctus non est ex eorum numero, quæ sanctitatem accipiunt, sed ipse tribuit sanctitatem. Non igitur creatus est.

Ex eadem oratione.

Nihil creatum est, quod per essentiam sanctum sit. Quod enim essentia sanctum est, externa non eget sanctificatione. Hac autem non eget Spiritus, qui per essentiam sanctus est : non ergo creatus.

Ex eadem oratione.

Quæ creata sunt, creatoris sunt serva. Sic enim Propheta Deum alloquitur : *Omnia serviunt tibi* [1]. Porro qui servus est, libertatem alteri, et adoptionem quam ipse natura non habet, largiri non potest. At Spiritus sanctus libertatem et adoptionem elargitur. Quippe qui *clamat in cordibus nostris : Abba Pater* [2]. Quare non jam servus, sed liber, atque ideo creatus non est.

Ex eadem oratione.

Opus autem, inquit, *manuum ejus annuntiat firmamentum* [3]; et alio loco : *Opera manuum tuarum sunt cœli* [4]. Quæ vero sint Dei corpore carentis incorporeæ manus, quibus firmamentum cœlosque constituit, ipse Propheta declarat : *Verbo*, inquiens, *Domini cœli firmati sunt, et spiritu oris ejus omnis virtus eorum* [5]. Ac quemadmodum hoc in Deo Verbum non pronuntiatur, sed vivit atque subsistit, et omnia facit, sic etiam Spiritus in Deo non est aer, qui diffundatur et dissolvatur, sed virtus sanctificans, quæ inest, et exsistit, et in sua constat persona.

Ex eadem oratione.

Digitus ille Dei, qui in Ægypto pulverem in animalia commutavit, primam animalium declarans generationem, Paracletus erat, Spiritus ille veritatis. Cum enim tres evangelistæ scribant, Filium ad Judæos dixisse : *Si ego in Spiritu Dei ejicio dæmonia, profecto pervenit in vos regnum Dei* [6], Lucas refert eum dixisse : *Si ego in digito Dei ejicio dæmonia, profecto pervenit in vos regnum cœlorum* [7]. Itaque et quæ per Mosem in Ægypto facta sunt signa, digito facta sunt Dei, et admiranda Dei signa Spiritu perfecta sunt. Porro Dei digitus in his signis quæ a Mose et a Domino sunt confecta, dictus est Spiritus, non quod parva quædam virtus sit in Deo, ut in corpore digitus, sed quod in divisione gratiarum ejus, una quædam illarum est gratia signorum et curationum ; idcirco unam hanc, non autem universas Spiritus gratias appellat digitum Dei : *Alii enim per Spiritum datur sermo sapientiæ, alii sermo scientiæ secundum eumdem Spiritum; alii gratia curationum in uno Spiritu, alii prophetia, alii discretio spirituum, alii genera linguarum, alii interpretatio sermonum : hæc autem*

[1] Psal. CXVIII, 91. [2] Galat. IV, 6. [3] Psal. XVIII, 2. [4] Psal. CI, 26. [5] Psal. XXXII, 6. [6] Matth. XII, 28. [7] Luc. XI, 20.

omnia operatur unus et idem Spiritus, dividens singulis prout vult [1]. Dixerit aliquis has omnes, et alias, quæcunque sunt Spiritus gratiæ, esse tanquam corpus ipsius, singulas autem ipsarum digitum appellari. Atque hunc quidem hujusce verbi usum ne despexeris. Nam cum dixisset : *Hæc omnia Spiritus operatur, ut vult*, de Deo idem ait : *Divisiones operationum sunt, idem autem Deus, qui operatur omnia in omnibus* [2]. Quod si operatur omnia Deus ut vult, et hæc omnia operatur unus et idem Spiritus, dividens singulis prout vult, quomodo diversitas essentiæ sit, ubi eadem actionis vis ? Diversis enim essentiis ex Eunomii sententia diversas esse actiones oportebat. At eamdem Spiritui auctoritatem ac potestatem Servator esse testificans, *Spiritus*, inquit, *ubi vult, spirat* [3].

Ex eadem oratione.

Dei proprium est dimittere peccata, cum ipse dicat : *Ego sum, qui deleo peccata tua* [4]. Et : *Si fuerint peccata vestra uti vermiculus, dealbabuntur tanquam nix, sin fuerint ut coccinum, tanquam lana alba erunt* [5]. Dominus vero insufflans apostolis : *Accipite*, inquit, *Spiritum sanctum : quorum remiseritis peccata, remittuntur eis* [6]. Si nullius igitur est, remittere peccata, ut profecto non est, nisi solius Dei, Spiritus autem sanctus ea per apostolos dimittit : Spiritus sanctus nimirum est Deus, et eamdem, quam Pater et Filius, actionem habet.

Ex eadem oratione.

Vade Damascum, et ibi dicetur tibi, quoniam vas electionis mihi es [7]. Dominus igitur Paulo cum apparuisset, locutus est. At eidem Damascum ingresso Ananias ait : *Saule frater, respice, Deus patrum elegit te* [8]. Ac ne vox illa Deus de Christo intelligatur, subjicit : *Ut facias voluntatem ejus, et cognoscas justum ipsius Jesum*. Ipse vere vocationem et electionem scriptam relinquens : *Paulus*, inquit, *servus Jesu Christi, vocatus apostolus* [9]. Deinde vocationi aliud quiddam adjungit : *Segregatus*, inquiens, *in Evangelium Dei* [10]. Quod autem ille, a quo segregatus est, fuerit Spiritus sanctus, Actus apostolorum ostenderunt, ubi scriptum est : *Jejunantibus autem apostolis, et orantibus dixit Spiritus sanctus : Segregate mihi Paulum et Barnabam in opus, ad quod vocavi eos* [11]. Quod si Paulum elegit Dominus Deus patrum, quem autem hic elegit, hunc segregat Spiritus sanctus, naturæ utens auctoritate, quomodo essentiæ diversitas in Trinitate, in qua eadem actionis vis invenitur ?

Ex eadem oratione.

Isaias propheta : *Vidi*, inquit, *Dominum Sabaoth sedentem in solio alto, et sublimi, et seraphim stabant in circuitu ejus. Sex alæ uni, et sex alæ alteri* [12]. Et paulo post : *Et ait Dominus ad me : Vade, et dic populo huic : Aure audite, et nolite intelligere ; et videntes videte, et nolite cognoscere. Incrassatum enim est cor populi hujus*, et quæ se-

A *ἄλλῳ δὲ προφητεία· ἄλλῳ δὲ διάκρισις πνευμάτων, ἄλλῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν. Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.* Εἴποι οὖν τις ἂν, ὅτι ταῦτα πάντα, καὶ ὅσα ἄλλα χαρίσματά εἰσι τοῦ Πνεύματος, ὥσπερ τι σῶμα αὐτοῦ τυγχάνει, τὸ δὲ καθ' ἓν τῶν χαρισμάτων δάκτυλος. Καὶ τοῦτο δὲ τὸ χρήσιμον τῆς λέξεως μὴ παρίδῃς· *Πάντα* γὰρ, φήσας, *ταῦτα ἐνεργεῖ τὸ Πνεῦμα, καθὼς βούλεται*, καὶ περὶ Θεοῦ ὁ αὐτὸς ἔφη· *Καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν· ὁ δὲ αὐτὸς Θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν.* Εἰ δὲ πάντα ἐνεργεῖ ὁ Θεὸς, καθὼς βούλεται, πῶς ἑτερότης οὐσίας, ἔνθα ταυτότης ἐνεργείας γνωρίζεται; Παρηλλαγμένων γὰρ τῶν οὐσιῶν, παρηλλαγμένας εἶναι ἔδει καὶ τὰς ἐνεργείας κατὰ τὸν ἀσεβέστατον Εὐνόμιον. Τὴν B δὲ αὐτὴν αὐθεντίαν καὶ ἐξουσίαν μαρτυρῶν τῷ Πνεύματι ὁ Σωτὴρ, *Τὸ Πνεῦμα*, ἔφη, *ὅπου θέλει πνεῖ.*

Ἐκ τοῦ αὐτοῦ.

Ἴδιον Θεοῦ ἀφιέναι ἁμαρτίας, αὐτοῦ λέγοντος· *Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἁμαρτίας σου*, καί· *Ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ, ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ.* Ὁ δὲ Κύριος ἐμφυσῶν τοῖς ἀποστόλοις ἔφη· *Λάβετε Πνεῦμα ἅγιον. Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς.* Εἰ τοίνυν οὐδενός ἐστιν ἀφιέναι ἁμαρτίας, ὥσπερ οὐκ ἔστιν εἰ μὴ μόνου Θεοῦ, ἀφίησι δὲ τὸ Πνεῦμα τὸ ἅγιον διὰ τῶν ἀποστόλων, Θεὸς ἄρα τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τῆς αὐτῆς ἐνεργείας τῷ Πατρὶ καὶ τῷ Υἱῷ.

Ἐκ τοῦ αὐτοῦ.

C *Πορεύου εἰς Δαμασκὸν, κἀκεῖ σοι λαληθήσεται, ὅτι σκεῦος ἐκλογῆς μοι εἶ*, οὐρανόθεν ἐπιφανεὶς ὁ Κύριος τῷ Παύλῳ ἔφη. Εἰσιόντι δὲ εἰς Δαμασκὸν Ἀνανίας ἔφη· *Σαοὺλ ἀδελφὲ, ἀνάβλεψαι, ὁ Θεὸς τῶν πατέρων προεχειρίσατό σε.* Καὶ ἵνα μὴ περὶ Χριστοῦ νομισθῇ τὸ ῥῆμα, ἐπιλέγει· *Τοῦ ποιῆσαι τὸ θέλημα αὐτοῦ, καὶ γνῶναι τὸν δίκαιον αὐτοῦ Ἰησοῦν.* Ὃς δὴ τὴν κλῆσιν, καὶ τὴν προχείρισιν ἀνάγραπτον ποιούμενος ἔφη· *Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ κλητὸς ἀπόστολος.* Εἶτα καὶ ἄλλο τι πρὸς τῇ κλήσει λέγει· *Ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ.* Τὸ δὲ ἀφορίσαν τὸ Πνεῦμα τυγχάνειν αἱ Πράξεις τῶν ἀποστόλων ἐδίδαξαν· *Νηστευόντων* γὰρ, φησὶ, *τῶν ἀποστόλων, καὶ προσευχομένων*, εἶπε τὸ Πνεῦμα τὸ ἅγιον· *Ἀφορίσατε δή μοι τὸν Παῦλον, καὶ τὸν Βαρνάβαν εἰς* D *τὸ ἔργον, ὃ προσκέκλημαι αὐτούς.* Εἰ δὲ ἐκλέγεται μὲν αὐτὸν Κύριος ὁ Θεὸς τῶν πατέρων, ὃν δὲ οὗτος προεχειρίσατο, τὸν αὐτὸν ἀφορίζει τὸ Πνεῦμα, αὐθεντίᾳ φύσεως χρώμενον, πῶς ἑτερότης οὐσίας ἐν τῇ Τριάδι, ἐν ᾗ ταυτότης ἐνεργείας εὑρίσκεται;

Ἐκ τοῦ αὐτοῦ.

Ἡσαΐας ὁ προφήτης *Εἶδον*, ἔφη, *τὸν Κύριον Σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ, καὶ ἐπηρμένου, καὶ τὰ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνί.* Καὶ μετ' ὀλίγα φησί· *Καὶ εἶπε Κύριος πρός με, Πορεύου, καὶ εἰπὸν τῷ λαῷ τούτῳ· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες*

[1] I Cor. XII, 8-11. [2] Ibid. 6. [3] Joan. III, 8. [4] Isa. XLIII, 25. [5] Isa. V, 18. [6] Joan. XX, 23. [7] Act. IX, 15. [8] Ibid. [9] Rom. I, 1. [10] Ibid. [11] Act. XIII, 2. [12] Isa. VI, 1, 2.

βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρ- A *δία τοῦ λαοῦ τούτου*, καὶ τὰ ἑξῆς. Ὅσον μὲν οὖν κατὰ τὴν θέσιν καὶ ἀκολουθίαν τοῦ προφητικοῦ γράμματος, ὁ ἐπὶ πάντων ἐστὶ Πατὴρ, ὁ ὀφθεὶς, καὶ χρησμοδοτήσας τῷ προφήτῃ. Ὁ μέντοι τῆς βροντῆς υἱὸς ἐξαίσια φθεγξάμενος, καὶ βροντῆς φοβερώτερα, οὗ ἴδιον οὐχὶ τὸ *οὐκ ἦν*, ἀλλὰ τὸ *ἦν ὁ Λόγος*, Υἱὸν ἔφη τὸν ὀφθέντα, καὶ χρησμοδοτήσαντα τῷ προφήτῃ. Λέγει γὰρ ἐν τῷ ἰδίῳ συγγράμματι· *Διὰ τοῦτο οὐκ ἠδύναντο οἱ Ἰουδαῖοι πιστεύειν εἰς τὴν Ἰησοῦν, διότι εἶπεν Ἡσαΐας περὶ αὐτῶν, Τετύφλωνται αὐτῶν οἱ ὀφθαλμοὶ, καὶ πεπώρωται αὐτῶν ἡ καρδία, ὅπως μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ συνῶσι τῇ καρδίᾳ, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. Ταῦτα εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ.* Ὁ δὲ Παῦλος τοῦ Πνεύματος ἀπεφήνατο τὴν ὀπτασίαν εἶναι, καὶ τὴν χρησμῳδίαν, λέ- B γων, *Καλῶς ἔφη τὸ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ προφήτου Ἡσαΐου πρὸς τοὺς πατέρας ὑμῶν· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου.* Εἰ δὲ ταῦτα συνίεσαν, καὶ καλῶς ὑπήκουον οἱ καθ' ἑαυτῶν κακῶς σοφιζόμενοι, οὐκ ἂν τὸ Πνεῦμα τῆς θεότητος ἠλλοτρίουν.

quuntur [1]. Ex situ quidem atque ordine verborum prophetæ constat eum qui super omnia Pater est, illi apparuisse, et ipsum fuisse allocutum. At filius tonitrus, qui sublimia tonitruque terribiliora loquitur, cujus proprium est non illud : *Non erat*, sed illud : *In principio erat Verbum*, Filium dicit apparuisse et prophetam allocutum esse. Sic enim in Evangelio a se conscripto dicit : *Propterea non poterant Judæi credere in Jesum, quia de ipsis dixit Isaias : Excæcati sunt oculi eorum, et induratum est ipsorum cor, ne videant oculis, et corde intelligant, et convertantur, et sanem eos. Hæc dixit Isaias, quando vidit gloriam ejus* [2]. Paulus vero visionem hanc et vaticinium tribuit Spiritui sancto : *Bene*, inquiens, *Spiritus sanctus locutus est per Isaiam prophetam ad patres vestros : Aure audietis, et non intelligetis, et videntes videbitis, et non perspicietis. Incrassatum est enim cor populi hujus* [3]. Hæc si cognovissent, et recte intellexissent qui in perniciem suam sapientes sunt, Spiritum sanctum a divinitate non sejunxissent.

Ἐκ τοῦ αὐτοῦ.

Τὸ Πνεῦμα τὸ ἅγιον Χριστὸς καὶ Κύριος ὀνομάζεται, λέγοντος μὲν τοῦ Ἀποστόλου, *Εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ*· εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὴν τοῦ Πνεύματος ἐνοίκησιν ἀποφαίνοντος Χριστοῦ, λέγοντος δὲ πάλιν, *Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν, οὗ τὸ Πνεῦμα δὲ Κυρίου ἐλευθερία*· ὥστε τοῦ Κυρίου Πνεῦμα Κύριος· οὐκ ἄρα κτῆμα ἢ κτίσμα Κυρίου.

Ex eadem oratione.

Spiritus sanctus, Christus et Dominus appellatur, dicente Paulo apostolo : *Si quis autem Spiritum Christi non habet, hic non est ejus* [4]. Si autem Christus in vobis, Spiritus habitationem Christi demonstrat. Dicit autem rursum : *Dominus autem Spiritus est, ubi autem Spiritus Domini, ibi libertas* [5]. Quare Domini Spiritus Dominus, non igitur ser- C vus, nec creatus.

Ἐκ τοῦ αὐτοῦ.

Ἀλλὰ λέγεις, Εἰ Θεοῦ μὲν εἰκὼν ὁ Υἱὸς, Υἱοῦ δὲ εἰκὼν τὸ Πνεῦμα, διατί μὴ Υἱὸς τοῦ Υἱοῦ τὸ Πνεῦμα εἴρηται; Τούτῳ γὰρ ἰσχυροτάτῳ πρὸς τὴν ἀσέβειαν ἐχρήσω. Ἢ γὰρ Υἱὸν, ἢ κτίσμα κελεύεις νοεῖν. Καὶ ὅτι μὴ Υἱὸς ὠνόμασται, διὰ τοῦτο κτίσμα εἶναι βλασφημεῖς τὸ τῆς κτίσεως αἴτιον. Λέγομεν γοῦν, ὅτι τὸ εἰπεῖν Υἱὸν ἐξ Υἱοῦ τὴν Τριάδα τῆς θεότητος εἰς πλήθους ὑποψίαν προσῆγεν. Ἕτοιμον γὰρ ἦν ὑπολαβεῖν, ὡς εἴπερ Υἱὸς ἐξ Υἱοῦ γεγένηται, καὶ ἐκ τούτου πάλιν ἕτερος ἂν εἴη γεγεννημένος, καὶ πάλιν ἄλλος, καὶ ἐπὶ πλῆθος ἑξῆς. Διὰ δὴ τοῦτο τὸ μὲν ἐκ Θεοῦ τὸ Πνεῦμα εἶναι τρανῶς ἐκήρυξεν ὁ Ἀπόστολος λέγων, ὅτι *Τὸ Πνεῦμα τοῦ Θεοῦ ἐλάβομεν*, καὶ τὸ διὰ τοῦ Υἱοῦ πεφηνέναι σαφὲς πεποίηκεν, Υἱοῦ D Πνεῦμα ὀνομάσας αὐτὸ, καθάπερ καὶ Θεοῦ, καὶ νοῦν Χριστοῦ προσειπὼν, καθάπερ καὶ Θεοῦ Πνεῦμα. Υἱὸν δὲ τοῦ Υἱοῦ προσειπεῖν ἐφυλάξατο, ἵνα εἷς μὲν εἴη Πατὴρ ὁ Θεὸς, ἀεὶ Πατὴρ διαμένων, καὶ ὢν ἀϊδίως, ὅ ἐστιν· εἷς δὲ Υἱὸς ἀϊδίῳ γεννήσει γεγεννημένος, ὁ ἀνάρχως σὺν τῷ Πατρὶ Υἱὸς ἀληθινὸς Θεοῦ, ἀεὶ ὢν, ὅ ἐστι, Θεὸς Λόγος, καὶ Κύριος· ἓν δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἀληθῶς ἅγιον Πνεῦμα, κατὰ τὸ γεγραμμένον, τὸ μετὰ Πατρὸς καὶ Υἱοῦ συνδοξαζόμενον.

Ex eadem.

At si Dei quidem imago Filius est, inquiens, Spiritus autem imago Filii, cur non Filius Filii Spiritus dictus est? Hoc enim ut argumento firmissimo ad impietatem tuam confirmandam usus es. Vis enim ut aut Filius, aut creatus intelligatur. Et quoniam Filius non est appellatus, impie creatum asseris rerum procreatarum auctorem et procreatorem. Respondemus igitur, Si Filii Filius appellaretur, ea loquendi ratio trinitatem Divinitatis et suspicionem multitudinis pareret. Promptum enim esset suspicari, si Filius ex Filio genitus esset, alium rursus ex hoc, atque ita multos deinceps filios esse genitos. Idcirco Spiritum quidem ex Deo esse Paulus aperte pronuntiavit, dicens, *nos Spiritum qui ex Deo est accepisse*, et hunc fuisse per Filium declaratum, planum fecit, dum eum Filii Spiritum, quemadmodum et Patris appellavit, et Christi mentem, quemadmodum et Dei Spiritum. At Filii Filium nominare noluit, ut unus sit Pater Deus, qui semper maneat Pater, et semper exsistat id, quod est, unus item Filius æterna genitus generatione, qui sine principio cum Patre est, verus Dei Filius, semper id quod est manens, nempe Deus, Verbum, et Dominus, unus quoque Spiritus sanctus, vere Spiritus sanctus, ut scriptum est, qui cum Patre et Filio collaudatur.

Ἐκ τοῦ αὐτοῦ.

Ἀλλὰ ποιεῖ τὸ Πνεῦμα, φὴς, ὁ Θεὸς, καὶ ποιεῖ δι'

Ex eadem oratione.

At Spiritum, inquis, Deus facit, et facit per Filium,

[1] Isa. VI, 9, 10; Matth. XIV, 15. [2] Joan. XII, 39-41. [3] Act. XX, 25-27. [4] Rom. VIII, 9. [5] II Cor. III, 17.

et illis verbis : *Omnia per ipsum facta sunt* [1], Spiritus etiam tibi videtur contineri, atque ita Trinitas tibi redigitur ad dualitatem. Si enim cum aliis rebus Spiritus numeratur, quomodo cum Patre et Filio? aut quomodo Trinitas est Trinitas, nisi cum Patre et Filio Spiritus numeratur? Et quomodo per Trinitatem baptismus constituitur ex quo mundus sanctitatem suscipit universus? Quin etiam cum aqua numerari Spiritum asseris, quod ut aqua, sic ipse quoque creatus sit. Sic enim Dominum loqui : *Nisi quis renatus fuerit ex aqua et Spiritu* [2]. Et quasi hoc parum sit, tu Spiritum etiam cum gehennæ igne colloeas, propterea quod Joannes dixerit : *Ipse vos baptizabit in Spiritu sancto et igne* [3]. Si dignitatem aquæ Spiritui sancto tribuis, quoniam Spiritus adventu aqua efficitur sancta, quem impietati relinquis locum? Eodem enim numero habes id quod sanctificat, et quod sanctificatur. Et quoniam ad nostrorum corporum purgationem aquam adhibet, eodem quo aquam pretio Spiritum æstimandum putas. Medendi facultatem quamvis rebus ex materia constantibus utatur, non tamen iis æqualem ducis, sed earum dominam, et divinum Spiritum utentem aqua, ad peccatorum maculas expurgandas, in abjectam aquæ humilitatem deturbas? Et cum apostoli dicant : *Hæc dicit Spiritus sanctus*; prophetæ dicunt : *Hæc dicit Dominus*; et Domini tentationem appellant Spiritus tentationem : cum eos, qui tentabant, sic alloquitur Petrus : *Quid convenit vobis tentare Spiritum sanctum* [4]? et ad eosdem : *Non mentitus es*, inquit, *hominibus, sed Deo* [5]. Quod si rursus apostoli dicant : *Visum est Spiritui sancto, et nobis* [6], non auctoritatem Spiritus sibi arrogantes, sed ei sese subjicientes, ut qui ab ipso Spiritu acceperint auctoritatem, tu quasi unum judicium et sensum suum esse dixerint et Spiritus, atque unam auctoritatem, conaris Spiritum ipsum in rerum creatarum ordinem redigere, quod perinde est ac si Deum Mosi diceres æqualem esse, quoniam scriptum est : *Credidit populus Deo, et Mosi servo ejus* [7]. At magna est inter dominum et servum differentia. Quam quidem et scriptor indicavit subjiciens : *Mosi servo ejus*. Deus enim, ut Dominus est, et qui Mosem mittit : Moses vero ut servus, et qui mittitur, sic etiam Spiritui, tanquam Domino visum est, leges Ecclesiæ præscribere, apostolis vero tanquam servis ejus visum est, ea quæ pronuntiarunt, mandata dare. Non autem Spiritus servus, sed Dominus, inquit, est; et *ubi Spiritus Domini, ibi libertas* [8]. Ac præceptis quidem in servitutem redigitur Israel cum timore commonitus, Ecclesia vero Christianorum adoptatur, sancta per charitatem effecta. Ideo Paulus : *Non enim*, inquit, *accepistis spiritum servitutis iterum in timorem, sed accepistis Spiritum adoptionis, in quo clamamus : Abba Pater* [9]. Non is profecto, qui servum accipit, filius ipse e servo constituitur: nec quisquam ex eo quod servi particeps factus esset, Deum auderet Patrem appellare. Nec qui servus est, quæ Dei sunt, omnia facit ut vult. Nec Spiritus præsentiam, si servus et creatus esset, ad omnia pervenire diceret David, faciem ipsum ac Dei manum appellans : *Quo ibo a Spiritu tuo? et quo a facie tua fugiam? Si ascendero in cœlum, tu illic es,*

A Υἱοῦ, καὶ τὸ, *Πάντα δι' αὐτοῦ ἐγένετο* συμπεριειληφέναι σοι δοκεῖ καὶ τὸ Πνεῦμα. Οὐκοῦν σοι δυὰς ἡ Τριὰς ἀποδέδεικται. Εἰ γὰρ μετὰ πάντων τὸ Πνεῦμα, πῶς μετὰ Πατρὸς καὶ Υἱοῦ; Εἰ δὲ οὐ μετὰ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα, πῶς τριὰς ἡ Τριὰς, καὶ πῶς ἀπὸ τῆς Τριάδος τὸ βάπτισμα, τὸ κόσμου παντὸς ἁγιαστικόν; Ἀλλὰ καὶ τῷ ὕδατι συναριθμεῖσθαι αὐτὸ φῂς, ὡς τῆς κτίσεως ὂν, ὥσπερ καὶ τὸ ὕδωρ ἐστί. Λέγειν γὰρ τὸν Κύριον, *Ἐὰν μή τις ἀναγεννηθῇ ἐξ ὕδατος, καὶ Πνεύματος*· καὶ τοῦτο ἔτι μικρόν· σὺ δὲ καὶ τῷ πυρὶ τῆς γεέννης τὸ Πνεῦμα τὸ θεῖον συγκατατάττεις, διὰ τὸ λέγειν τὸν Ἰωάννην, *Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί*. Ταῦτα ποίαν ὑπερβολὴν ἀσεβείας καταλέλοιπεν; εἰ τὴν ὕδατος ἀξίαν τῷ ἁγίῳ Πνεύματι περιάπτεις, ἐπειδὴ Πνεύματος ἐφόδῳ τὸ ὕδωρ B ἁγιάζεται; ἰσάζειν γάρ σοι ἔδοξε τῷ ἁγιάζοντι τὸ ἁγιαζόμενον· ὅτι ὕδατι χρῆται πρὸς τὸν τῶν σωμάτων καθαρμὸν, διὰ τοῦτο τῆς τοῦ ὕδατος ἰσοτιμίας ἄξιον ἐλογίσω τὸ Πνεῦμα. Καὶ τὴν μὲν ἰατρικὴν ὕλαις χρωμένην οὐκ ἰσάξιον ταῖς ὕλαις λέγεις, ἀλλὰ κυριευτικὴν τῶν ὑλῶν, τὸ δὲ θεῖον Πνεῦμα χρώμενον ὕδατι πρὸς τὴν τῶν τῆς ἁμαρτίας ῥύπων κάθαρσιν, εἰς τὴν τοῦ ὕδατος ἀδοξίαν καὶ ταπεινότητα καταβέβληκας. Καὶ λεγόντων τῶν ἀποστόλων· *Τάδε λέγει τὸ Πνεῦμα τὸ ἅγιον*, ὡς οἱ προφῆται, *Τάδε λέγει Κύριος*, καὶ Κυρίου πεῖραν λεγόντων τὴν τοῦ Πνεύματος πεῖραν, ὅτε φησὶ πρὸς τοὺς πειράσαντας ὁ Πέτρος, *Τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ Πνεῦμα τὸ ἅγιον;* καὶ πρὸς τοὺς αὐτούς· *Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ*. ἐὰν πάλιν οἱ ἀπόστολοι λέγωσιν· *Ἔδοξε τῷ ἁγίῳ* C *Πνεύματι, καὶ ἡμῖν*, οὐ συντάττοντες ἑαυτοὺς τῇ τοῦ Πνεύματος ἐξουσίᾳ, ἀλλ' ὑποτάσσοντες, ὡς ὑπ' αὐτοῦ χορηγούμενοι τότε, καθάπερ μίαν γνῶσιν καὶ φρόνησιν λεγόντων ἑαυτῶν τε καὶ τοῦ Πνεύματος, καὶ μίαν ἐξουσίαν εἰς κτίσιν τὸ Πνεῦμα κατάγειν βιάζῃ, ὥσπερ εἰ καὶ τῷ Μωϋσῇ τὸν Θεὸν ἰσάζειν ἔφασκεν, ἀκούων ὅτι, *Ἐπίστευσεν ὁ λαὸς τῷ Θεῷ, καὶ Μωϋσῃ τῷ θεράποντι αὐτοῦ*. Ἀλλὰ πολλὴ διαφορὰ δεσπότου καὶ δούλου, ἥνπερ καὶ δεικνὺς ὁ γράφων εἴρηκε, *Μωϋσῇ τῷ θεράποντι αὐτοῦ*. Θεὸς μὲν γὰρ, ὡς Δεσπότης, καὶ ὡς ἀποστείλας Μωϋσέα πιστεύεται, Μωσῆς δὲ, ὡς θεράπων, καὶ ὡς ἀποσταλείς· οὕτω δὴ καὶ τῷ Πνεύματι μὲν ἔδοξε δεσποτικῶς τὰ τῆς Ἐκκλησίας δοθέντα νόμιμα, τοῖς δὲ ἀποστόλοις ὑπηρετικῶς τὰ δι' αὐτῶν ἐκφωνηθέντα προστάγματα· ἀλλ' οὐ τὸ Πνεῦμα δοῦλον, ὁ δὲ Κύριος, D φησὶ, τὸ Πνεῦμά ἐστι, *καὶ οὗ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία*. Καὶ δουλαγωγεῖται μὲν ἐπιτάγμασι τοῖς τοῦ Πνεύματος ὁ Ἰσραὴλ σὺν φόβῳ νουθετούμενος, υἱοθετεῖται δὲ ἡ Χριστιανῶν Ἐκκλησία δι' ἀγάπης ἁγιαζομένη. Διό φησιν ὁ Παῦλος· *Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ ὁ Πατήρ*. Οὐ δὴ ὁ τὸ δοῦλον εἰληφὼς Υἱὸς ἐκ δούλου καθίσταται, οὐδὲ διὰ τὴν τοῦ δούλου μετουσίαν Πατέρα τὸν Θεὸν παῤῥησιάζεται, οὐδὲ τὸ δοῦλον τὰ τοῦ Θεοῦ πάντα ἐνεργεῖ καθὼς βούλεται, οὐδ' ἂν τὴν τοῦ Πνεύματος παρουσίαν δούλου καὶ κτίσματος ὄντος ἐπὶ πάντων διήκειν ἔφασκεν ὁ Ὑμνῳδὸς, πρόσωπον αὐτὸ καὶ χεῖρα Θεοῦ προσαγορεύων· *Ποῦ*

[1] Joan. I, 3. [2] Joan. III, 5. [3] Matth. III, 11. [4] Act. V, 9. [5] Ibid. 4. [6] Act. XV, 28. [7] Exod. XIV, 31. [8] II Cor. III, 17. [9] Rom. VIII, 15.

πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ. Ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει. Ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης, καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου. Πνεῦμα γάρ ἐστι τὸ πεπληρωκὸς τὰ σύμπαντα, κατὰ τὸ γεγραμμένον· *Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην.*

Ἐκ τοῦ αὐτοῦ.

Ἀλλὰ διατί, φῄς, οὐχὶ προστέθεικε τῷ Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν, καὶ τὸ ἅγιον Πνεῦμα; οὐκ ἀφορίζων τὸ Πνεῦμα τῆς δυάδος, ἀλλὰ τοὐναντίον ἑνῶν, καὶ δηλῶν ἐν Πατρὶ καὶ Υἱῷ καὶ τὸ Πνεῦμα τὸ ἀχώριστον. Ἐπεὶ καὶ ὅτε φησὶν ὁ Παῦλος· *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε,* οὐ δήπου καὶ χωρὶς τοῦ Πατρὸς τὸν ἁγιασμὸν εἰσηγήσατο, ἀλλ' ἐν Υἱῷ καὶ τὸν Πατέρα δεδήλωκε· καὶ ὅτε φησίν· *Ἡμῖν γὰρ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πατρὸς αὐτοῦ,* οὐχ ὑπεξῄρηκε τὸν Υἱὸν τὸν λέγοντα, *Οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἂν ὁ Υἱὸς ἀποκαλύψῃ·* εἰ δὲ καὶ μὴ ὀνομάζων τὸν Πατέρα δηλοῖ μετὰ τῆς τοῦ Υἱοῦ προσηγορίας καὶ τὸν γεννήτορα, καὶ μὴ ὀνομάζων τὸν Υἱὸν δηλοῖ μετὰ τοῦ πατρῴου ὀνόματος καὶ τὸν γεγεννημένον· οὕτω καὶ ἔνθα τὸ Πνεῦμα μὴ ὀνομάζεται ἐν τῷ χορηγοῦντι αὐτὸ καὶ μεταδιδόντι Χριστῷ νοῆται· ἢ καὶ ὅτε φασὶν οἱ ἀπόστολοι· *Τάδε λέγει τὸ Πνεῦμα τὸ ἅγιον,* μόνον ὑποληψόμεθα τὸ Πνεῦμα νομοθετεῖν ἡμῖν, καὶ προαγορεύειν τὰ μέλλοντα, καὶ μὴ ἐκ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι τὴν νομοθεσίαν καὶ προφητείαν κατέρχεσθαι; καὶ ὅτι λέγεται τὸ παιδίον ἅγιον ἐκ Πνεύματος ἁγίου γεγεννῆσθαι, χωρὶς τοῦ Λόγου τὸ Πνεῦμα παραγεγονὸς εἰς τὴν τοῦ βρέφους ὑπόστασιν ὑποληψόμεθα; καίτοι γε λέγοντος τοῦ Ἰωάννου, ὅτι ὁ Λόγος σὰρξ ἐγένετο, καὶ τῷ Λόγῳ τῆς σαρκώσεως ἐπιγραφομένης. Ἀλλὰ διὰ πάντων δῆλον, ὅτι καὶ ἐν τῷ Λόγῳ τὸ Πνεῦμα, καὶ ὁ Λόγος ἐν τῷ Πνεύματι, τῆς ἑνώσεως τῆς κατὰ τὴν Θεότητα μὴ διαιρουμένης. Τριάδα μὲν γὰρ ἡ τῶν τριῶν ὀνομάτων παράληψις ἐξαριθμεῖ, καὶ παρίστησι· τῆς δὲ Τριάδος ἔχει τὴν ἕνωσιν ἡ καὶ καθ' ἓν ὄνομα δήλωσις, ὡς τὸ ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα, συνήγαγεν εἰς ἓν ὄνομα τό τε τοῦ Πατρὸς ἰδίωμα, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Εἷς γὰρ Θεὸς ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς, δι' οὗ πάντα, καὶ ἓν Πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα.

Ἐκ τοῦ αὐτοῦ.

Ἀλλὰ πνεῦμα, φησὶ, λέγεται ἀνθρώπου, ὡς τὸ, *Ἀνταναλεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι.* Πνεῦμα καὶ τὸ τοῦ Θεοῦ, ὡς τὸ, *Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις·* καὶ τὸ ἀνεμιαῖον, ὡς τὸ, *Πνεύσει τὸ Πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα,* καὶ ἕτερα πολλὰ εὕροι τις ἄν. Λέγομεν οὖν πρὸς τὴν τῶν ἐναντίων ἀντίθεσιν, ὅτι εἰ νομίσειέ τις ταυτότητα εἰσάγειν ἀπὸ τῶν ὁμωνύμων, τί ποιήσειεν ἄν, ὅτε ὄντα πολλὰ λέγεται, ἢ καλεῖται; ἑνὸς δέ ἐστι τοῦτο κυρίως τοῦ λέγοντος Κυρίου καὶ ἀληθῶς Θεοῦ· *Ἐγώ εἰμι ὁ ὤν;* Λέγονται δὲ καὶ πατέρες πολλοὶ, καὶ θεοὶ, καὶ σοφοὶ, καὶ δυνατοὶ, καὶ δημιουργοὶ, ἃ τῷ Θεῷ μόνῳ φύσει πρόσεστιν ἀεί. Καὶ ἀγέννητα ὡσαύτως λέγονται τὰ μηδέπω γεννηθέντα, μέλλοντα δὲ γεννᾶ-

si descendero in infernum, ades. Si sumpsero pennas meas diluculo, et habitavero in profundum maris, etenim illic manus tua deducet me, et deducet me dextera tua [1]. Spiritus enim est, qui replet universa, sicut scriptum est : *Spiritus Domini replevit orbem terrarum* [2].

Ex eadem.

Sed cur, inquis, cum dixisset : *Ut cognoscant te solum verum Deum, et quem misisti Jesum Christum* [3], non addidit : et Spiritum sanctum, non sejungens eum ab ipsis duobus, sed potius cum illis conjungens, ostendensque a Patre et Filio Spiritum non separari? Quoniam et quando Paulus ait : *Quicunque in Christum baptizati estis, Christum induistis* [4], nullo pacto sine Patre sanctitatem induxit, sed in Filio Patrem etiam indicavit. Et quando dixit : *Vobis enim revelavit Deus per Spiritum suum* [5], non subtraxit Filium dicentem : *Nec Patrem novit quisquam, nisi Filius, et cui Filius revelaverit* [6]. Quamvis autem Patrem non nominet, tamen in Filii appellatione Genitorem etiam indicat. Et quamvis non nomine Filium, eum tamen in Patris nomine demonstrat. Ita cum Spiritus non nominatur, in Christo, qui largitur ipsum atque impertit, intelligitur. An quando dicunt apostoli : *Hæc dicit Spiritus sanctus*, solum Spiritum sanctum nobis præcipere et futura prænuntiare existimamus, ac non ex Patre, per Filium, in Spiritu sancto decreta et vaticinia pervenire? Et cum legimus puerum ex Spiritu sancto natum, arbitramurne Spiritum sine Verbo ad pueri personam constituendam accessisse? Atqui Joannes dicit : *Verbum caro factum est*, et Verbo carnis assumptionem ascribit. Itaque ex his omnibus patet, et in Verbo Spiritum esse, et Verbum in Spiritu, cum Divinitatis unitas non distrahatur; Trinitatem enim trium nominum distinctio numerat atque constituit. Quamobrem illud, *Ex ipso, et per ipsum, et in ipsum omnia*, in uno nomine conjunxit, et Patris et Filii et Spiritus sancti proprietatem. *Unus enim Deus, ex quo omnia, et unus Dominus Jesus, per quem omnia, et unus Spiritus sanctus, in quo omnia* [7].

Ex eadem.

At spiritus, inquis, hominis dicitur, ut eo loco : *Auferes spiritum eorum, et deficient* [8], et Dei Spiritus dicitur, ut ibi : *Non permanebit Spiritus meus in hominibus istis* [9]. Et ventus dicitur spiritus, ut illud : *Flabit spiritus ejus, et fluent aquæ* [10]. Et alia multa reperies spiritum appellari. Ad hoc igitur, quod adversarii objicient, respondemus, non fieri nominum similitudine, ut res quoque idem sint. Multa enim sunt, quæ eodem nomine appellantur, quod tamen nomen uni proprie convenit. Exempli gratia, Dominus, et vere Deus est, qui dicit : *Ego sum qui sum* [11], multi tamen dicuntur dii et patres, et sapientes, et potentes, et effectores, quæ Deo soli natura semper adsunt. Ingenita item dicuntur, quæ nondum sunt genita, sed tamen futurum est, ut

[1] Psal. XXXVIII, 7. [2] Sap. I, 7. [3] Joan. XVII, 3. [4] Galat. III, 27. [5] I Cor. II, 10. [6] Matth. XI, 27. [7] I Cor. VIII, 6. [8] Psal. CIII, 21. [9] Gen. VI, 3. [10] Psal. CXLVII, 18. [11] Exod. III, 94

gignantur et sint. Ut mortuorum resurrectio nondum est, sed tamen est futura. Et annulus, qui ex ferro conficiendus est, nondum est. Ingenita rursus dicuntur, quæ nullo pacto sunt. Verba item multis accipiuntur modis, sed unum est Dei Verbum sempiternum, quod et Deus in Evangelio dicitur, per quod omnia facta sunt. Et Dei filii in Scriptura dicuntur multi, ut : *Filios genui, et educavi* [1]. Et : *Filius meus primogenitus Israel* [2], qui tamen adoptione et gratia per verum Filium dicuntur filii, non tamen veri naturaque filii ; ex natura enim et veritate res ipsæ censentur.

σθαι, ἢ γίνεσθαι, ὡς· ἡ τῶν νεκρῶν ἀνάστασις οὔπω γεγονυῖα ἀγένητος, μέλλουσα δὲ εἶναι, ἢ ὡς ὁ ἀπὸ σιδήρου δακτύλιος μέλλων γίνεσθαι, ἔτι ἀγένητός ἐστιν. Πάλιν ἀγένητον τὸ ἀνούσιον νοοῦμεν, τὸ μηδαμῇ μηδαμῶς ὄν. Ἀλλὰ μὲν οὖν καὶ λόγοι πολλοὶ προσαγορεύονται, εἷς δὲ ὁ τοῦ Θεοῦ ἀΐδιος, ὁ καὶ Θεὸς ἐν Εὐαγγελίῳ κηρυσσόμενος, δι' οὗ τὰ πάντα ἐγένετο. Καὶ υἱοὶ Θεοῦ λέγονται ἐν τῇ Γραφῇ πολλοί, κατὰ τὸ, *Υἱοὺς ἐγέννησα, καὶ ὕψωσα*· καὶ πάλιν, *Υἱὸς πρωτότοκός μου Ἰσραήλ*, θέσει μέντοι, καὶ χάριτί τινι υἱοθετούμενοι ἀπὸ τοῦ ἀληθινοῦ Θεοῦ, υἱοὶ θετοὶ καὶ μὴ ἀληθινοί. Ἀπὸ γὰρ φύσεως καὶ ἀληθείας ὁρμᾶται τὰ πράγματα.

Ex eadem.

Imago Filii dictus est, et digitus Dei, et Dei Spiritus, et Verbum, et bonus Spiritus, et rectus, et principalis, et Spiritus virtutis, et Dominus, et Deus dictus est Dei Spiritus, quemadmodum et Verbum. Si enim cum Deo et Verbo virtutes cœlorum firmat Spiritus, quomodo alienus, quem qui accipiunt, sunt Dei templum ? Qui et Spiritus oris Dei appellatur, et mundi creationis causa simul cum Verbo demonstratur, qui facit omnia tanquam Deus, quemadmodum vult, ut Apostolus ait [3]. Ille adoptionis Spiritus, ille libertatis auctor, qui ubi vult, spirat divinitatem, quem quidem et Spiritum veritatis aperte rerum omnium Dominus vocat. Qui in columbæ specie super ipsum e cœlo descendit. Qui Domini carnem sanctificavit cum virtute nunquam a Deo separatus. Qui novit, quæ Dei sunt omnia, ut spiritus qui in nobis est, quæ nostra sunt ; humanus, inquam, spiritus, qui in nobis est. Sic et, *Quæ Dei sunt*, inquit, *nemo novit, nisi Spiritus Dei* [4]. Et rursum Servator : *Nemo*, inquit, *novit Filium, nisi Pater, neque Patrem novit quisquam, nisi Filius et cui voluerit Filius revelare* [5]. Hoc illi simile est, et illud huic par : *Nobis* enim, inquit, *Deus per Spiritum suum revelavit*. Vide igitur, quomodo Pater aliquando revelat Filium, aliquando Filius Patrem, aliquando Spiritus Patrem simul et Filium.

Ἐκ τοῦ αὐτοῦ.

Εἰκὼν τοῦ Υἱοῦ εἴρηται, καὶ δάκτυλος Θεοῦ, καὶ Θεοῦ Πνεῦμα, καὶ ῥῆμα, καὶ ἀγαθὸν Πνεῦμα, καὶ εὐθὲς, καὶ ἡγεμονικὸν, καὶ Πνεῦμα δυνάμεως, καὶ Κύριος, καὶ Θεὸς εἴρηται τὸ τοῦ Θεοῦ Πνεῦμα, ὡς καὶ ὁ Λόγος. Εἰ γὰρ μετὰ τοῦ Θεοῦ καὶ Λόγου στερεοῖ τὰς δυνάμεις τῶν οὐρανῶν τὸ Πνεῦμα, πῶς ἀλλότριον, ὅπερ οἱ λαβόντες Θεοῦ ναός εἰσιν, ὃ δὴ καὶ Πνεῦμα στόματος Θεοῦ προσαγορεύεται, καὶ τῆς δημουργίας αἴτιον μετὰ τοῦ Λόγου δείκνυται, τὸ ἐνεργοῦν τὰ πάντα ὡς Θεὸς, καθὼς βούλεται, ὥς φησιν ὁ Ἀπόστολος, τὸ τῆς υἱοθεσίας Πνεῦμα, τὸ τῆς ἐλευθερίας αἴτιον, τὸ ὅπου θέλει πνέον θειότητα, ὃ δὴ καὶ Πνεῦμα τῆς ἀληθείας ὁ τῶν ὅλων Κύριος σαφῶς ὀνομάζει, τὸ ἐν εἴδει περιστερᾶς ἐπ' αὐτὸν ἐξ οὐρανοῦ καταβὰν, τὸ ἁγιάζον τὴν κυριακὴν σάρκα μετὰ τῆς δυνάμεως, τὸ τὴν οἰκουμένην πληροῦν, τὸ παντὶ παρὸν, ὡς Θεὸς, μετὰ τοῦ Θεοῦ ἀχωρίστως ὂν ἀεὶ, τὸ γινῶσκον τὰ τοῦ Θεοῦ πάντα. Ὡς τὸ πνεῦμα τὸ ἐν ἡμῖν τὰ ἡμῶν, τὸ ἀνθρώπινον λέγω πνεῦμα τὸ ἐν ἡμῖν, οὕτω, φησὶ, καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνωκεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ. Καὶ πάλιν φησὶν ὁ Σωτήρ· *Οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν, εἰ μὴ ὁ Πατὴρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἂν βούληται ὁ Υἱὸς ἀποκαλύψαι*. Τοῦτο ἐκείνῳ ὅμοιον, κἀκεῖνο τούτῳ ἰσοδύναμον· *Ἡμῖν γὰρ*, φησὶν, *ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ Πνεύματος αὐτοῦ*. Ὅρα τοιγαροῦν πῶς ποτὲ μὲν Πατὴρ Υἱὸν ἀποκαλύπτει, ποτὲ δὲ Υἱὸς Πατέρα, ποτὲ δὲ τὸ Πνεῦμα Υἱὸν, καὶ Πατέρα ὡσαύτως.

Ex eadem oratione.

In mundi procreatione perspicuum est, Patrem cum Filio et Spiritu colloqui, quemadmodum Moses humano more colloquentem ipsum inducit atque dicentem : *Faciamus hominem ad imaginem et similitudinem nostram* [6]. Cui enim dicit, *Faciamus*, nisi Verbo, et unigenito Filio, per quem omnia facta sunt, quemadmodum scribit evangelista, et Spiritui de quo scriptum est : *Spiritus divinus, qui fecit me* [7] ? Ac quamvis oratione non declaraverit, de quibus dicat, aut quos alloquatur, tamen quod de ipso solum non dicat, patet ex eo, quod, *Ecce*, inquit, *Adam ut unus e nobis factus est* [8]. Et rursum : *Venite*, inquit, *et descendentes confundamus linguas ipsorum* [9], ut et numerum eorum intelligas. Nemo enim audeat angelos cum Creatore et Domino collocare. Neque rursum Dei persona una potest intelligi, cum dicat : *Tanquam unus e nobis*, et : *Venite, et descendentes confundamus* [10]. Perspicuum et illud est quod de Sodomo-

Ἐκ τοῦ αὐτοῦ.

Κατὰ τὴν κοσμοποιίαν πρὸς τὸν Υἱὸν καὶ Πατέρα διαλεγόμενος δῆλός ἐστιν ὁ Θεὸς, ὡς ἀνθρωπικῷ τύπῳ παρέστησεν ὁ Μωϋσῆς, διαλεγόμενον αὐτὸν εἰσάγων, καὶ φάσκοντα· *Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν*. Τίνι γὰρ λέγει τὸ *ποιήσωμεν* ἢ τῷ Λόγῳ καὶ μονογενεῖ Υἱῷ, δι' οὗ τὰ πάντα ἐγένετο κατὰ τὸν Εὐαγγελιστὴν, καὶ τῷ Πνεύματι, περὶ οὗ γέγραπται, *Πνεῦμα θεῖον τὸ ποιῆσάν με*; Εἰ δὲ καὶ μὴ ῥητῶς δεδήλωκε, περὶ τίνων, ἢ πρὸς τίνας διαλέγεται, ὅμως μὴ περὶ ἑαυτοῦ μόνον λέγειν δῆλόν ἐστιν, ὅτε φησὶν, *Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν*· καὶ πάλιν· *Δεῦτε καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώσσας, ἵνα καὶ συναριθμουμένους νοήσῃς*. Οὔτε γὰρ εἰς ἰσοτιμίαν ἀγγέλους συντάξαι τολμήσει τις τῷ Δημιουργῷ, καὶ Δεσπότῃ, οὔτε Θεοῦ πάλιν ἓν πρόσωπον οἷόν τε νοεῖν τὸ λέγεσθαι, ὡς εἷς ἐξ ἡμῶν, καὶ, Δεῦτε καὶ καταβάντες συγχέωμεν. Ἐναργὲς δὲ

[1] Isa. I, 2. [2] Exod. IV 22. [3] Coloss. I, 16. [4] I Cor. II, 11. [5] Matth. XI, 27. [6] Gen. I, 26. [7] Joan. I, 3. [8] Job. XXXIII, 24. [9] Gen. III, 22. [10] Gen. XI, 7.

καὶ τὸ περὶ τῆς καταστροφῆς Σοδόμων λεγόμενον, τὸ Ἔβρεξε Κύριος παρὰ Κυρίου θεῖον καὶ πῦρ ἐκ τοῦ οὐρανοῦ. Καὶ τὸ ἐν προφήτῃ παραπλησίως τούτοις εἰρημένον ἐκ προσώπου τοῦ Θεοῦ, Κατέστρεψα αὐτούς, ὡς κατέστρεψεν ὁ Θεὸς Σόδομα καὶ Γόμοῤῥα. Καὶ ἑτέρως φιλανθρωπευόμενος λέγει ὁ Θεός, Σώσω αὐτοὺς ἐν Κυρίῳ τῷ Θεῷ αὐτῶν, ὅπερ οὐκ ἀπέοικε τῆς ἀποστολικῆς λέξεως, τῆς λεγούσης, Δῴη αὐτῷ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.

Τοῦ αὐτοῦ. Πρὸς τοὺς λέγοντας, ὅτι πολλάκις γέγραπται περὶ Υἱοῦ, καὶ Πατρός, περὶ δὲ τοῦ Πνεύματος ἐν τῷ βαπτίσματι μόνον.

Ἐὰν δὲ λέγῃ ὁ Πατήρ, Ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, τί εἴπωμεν περὶ τοῦ Υἱοῦ; Οὐ γέγραπται γὰρ ἐνταῦθα. Ἐὰν δὲ λέγῃ ὁ προφήτης· Ἐκεῖ συνήντησαν ἔλαφοι, καὶ εἶδον τὰ πρόσωπα ἀλλήλων· ἀριθμῷ παρῆλθον, καὶ μία αὐτῶν οὐχ ὑπελείφθη, διότι Κύριος ἐνετείλατο αὐταῖς, καὶ τὸ Πνεῦμα αὐτοῦ συνήγαγεν αὐτάς· ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ· Πνεῦμα παρ' ἐμοῦ ἐξελεύσεται, καὶ πνοὴν πᾶσαν ἐγὼ ἐποίησα· ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ ὁ Δαβίδ· Καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ· ποῦ ὁ Υἱός; Ἐὰν λέγῃ ὁ αὐτός· Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου· ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ ὁ αὐτὸς πάλιν· Καὶ τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ ὁ αὐτός· Καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με· ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ ὁ Ἰώβ· Πνεῦμα θεῖον τὸ ποιῆσάν με· ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ ὁ αὐτὸς Ἰώβ· Πνεῦμά ἐστιν ἐν βροτοῖς, πνοὴ δὲ παντοκράτορός ἐστιν ἡ διδάσκουσά με· ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ ὁ Δαβίδ· Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς· ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ· Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ· Οὐαὶ τέκνα ἀποστάται, τάδε λέγει Κύριος· Ἐποιήσατε βουλὴν οὐ δι' ἐμοῦ, καὶ συνθήκας οὐ διὰ τοῦ Πνεύματός μου· ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ· Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν Πνεῦμα σοφίας καὶ συνέσεως, Πνεῦμα βουλῆς καὶ ἰσχύος, Πνεῦμα γνώσεως καὶ εὐσεβείας, καὶ ἐμπλήσει αὐτὸν Πνεῦμα φόβου Θεοῦ· πῶς χωρίσω τὸ Πνεῦμα; Ἐὰν δὲ λέγῃ· Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν· πῶς χωρίσω τὸ Πνεῦμα; Καὶ ὅσα φιλοπόνως δυνατὸν ἀπὸ τῆς Γραφῆς τῆς τε Παλαιᾶς εὑρεῖν καὶ ἀπὸ τῆς Καινῆς τε Διαθήκης περὶ τοῦ Πνεύματος καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πατρός. Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· ἰδοὺ γὰρ συλλήψῃ ἐν γαστρί, καὶ τέξῃ υἱόν. Καὶ τῆς Μαρίας λεγούσης· Κατὰ τί γνώσομαι τοῦτο,

rum eversione dictum est : *Pluit Dominus a Domino ignem, et sulphur e cælo* [1]. Et quod his simile Propheta dixit e persona Dei : *Everti eos ut evertit Deus Sodomam et Gomorrham*. Et aliter humano more loquitur Deus : *Servabo eos in Domino Deo ipsorum*. Quod quidem non est dissimile verborum Apostoli, cum ait : *Det ipsi Dominus invenire gratiam a Domino in illa die* [2].

Ejusdem ad eos qui dicunt sæpe de Filio et Patre scriptum esse, de Spiritu autem in baptismo tantum.

Quod si Pater dixit : *In ultimis diebus effundam de Spiritu meo super omnem carnem* [3] ; quid de Filio sumus dicturi? Hic enim de eo scriptum non est. Si vero propheta dicit : *Ibi convenerunt cervæ, et viderunt facies altera alterius : transierunt numero, et una earum relicta non est, quoniam Dominus præcepit ipsis, et Spiritus ejus congregavit eas* [4] ; ubi Filius? Si itidem dicit : *Spiritus exibit a me, et flatum omnem ego feci* [5] ; ubi Filius? Si vero David dicit : *Et Spiritum tuum sanctum ne auferas a me* [6] ; ubi Filius? Item si ille ipse dicit : *Cor mundum crea in me, Deus, et Spiritum rectum innova in visceribus meis* [7] ; ubi Filius? Rursus si idem dicat : *Et Spiritus tuus bonus deducet me in terra recta* [8] ; ubi Filius? Si idem dicit : *Et Spiritu principali confirma me* [9] ; ubi Filius? Quod si Job dicit : *Spiritus divinus qui me fecit* [10], ubi Filius? Si rursus idem Job dicit : *Spiritus est in hominibus, flatus autem Omnipotentis est qui me docet* [11] ; ubi Filius? Quod si David dicit : *Emittes Spiritum tuum, et creabuntur, et renovabis faciem terræ* [12] ; ubi Filius? Item si dicit : *Quo ibo a Spiritu tuo, et quo a facie tua fugiam* [13]? ubi Filius? Quod si dicit : *Væ filii desertores, hæc dicit Dominus : Fecistis consilium non per me, et pactiones non per Spiritum meum* [14] ; ubi Filius? Rursus si dicit : *Et egredietur virga de radice Jesse, et flos de radice ascendet, et requiescet super eum Spiritus sapientiæ et intellectus, Spiritus consilii et fortitudinis, Spiritus cognitionis et pietatis, et replebit ipsum Spiritus timoris Dei* [15] : quomodo separabo Spiritum? Si itidem dicit : *Spiritus Domini super me, propter quod unxit me ; misit me ut pauperibus evangelizarem : ut prædicarem captivis remissionem, et cæcis visum* [16] : quomodo separabo Spiritum? Et quæcunque licet cum studio ac labore invenire tum e Veteri Scriptura, tum e Novo Testamento, de Spiritu et Filio et Patre. *Ave, gratia plena, Dominus tecum : ecce enim concipies in utero, et paries filium* [17]. Et cum Maria diceret : *Quomodo cognoscam istud, quandoquidem virum non cognosco?* dicit ei angelus : *Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi* [18]. Et rursus idem angelus ad Joseph dicit : *Ne timeas accipere Mariam conjugem tuam ; nam quod in ea conceptum est, a Spiritu sancto*

[1] Gen. XIX, 24. [2] II Tim. I, 18. [3] Joel. II, 28. [4] Isa. XXIV, 15, 16. [5] Isa. LVII, 16. [6] Psal. L, 13. [7] Ibid. 12. [8] Psal. CXLII, 10. [9] Psal. L, 14. [10] Job XXXIII, 4. [11] Job XXXII, 8. [12] Psal. CIII, 30. [13] Psal. CXXXVIII, 7. [14] Isa. XXX, 1. [15] Isa. XI, 1-3. [16] Isa. LXI, 1. [17] Luc. I, 28, 31. [18] ibid. 34, 35.

est [1]. Et rursus prophetæ verba exponens evangelista ait : *Ut adimpleretur quod scriptum est : Ecce Filius meus electus, dilectus meus, in quo bene complacitum est animæ meæ, ponam Spiritum meum super ipsum* [2]. Atque in Evangelio scriptum est : *Spiritus ubi vult, spirat, et vocem ejus audis : sed nescis unde veniat, aut quo vadat. Sic est omnis qui natus est e Spiritu* [3]. Et similiter in Evangelio : *Si vero ego in Spiritu Dei ejicio dæmonia, igitur pervenit in vos regnum Dei* [4]. Et rursus scriptum est : *Omne peccatum et blasphemia remittetur hominibus : at Spiritus blasphemia non habet remissionem* [5]. Et in baptismo descendit Spiritus sanctus, et mansit super eum [6]; angeli vero descendentes ministrabant ei [7]. Quo cognoscas angelos quidem descendentes ministrare, servitutem ut ostendant : Spiritum vero super ipsum mansisse, ut, mansione audita, naturæ ejus libertatem intelligas. Scriptum autem est : *Et Pater in me manens, ipse facit opera* [8]. Et rursus scriptum est : *Jesus autem plenus Spiritu sancto reversus est a Jordane, et actus est per Spiritum in desertum, diebus quadraginta tentatus a diabolo* [9]. Et iterum : *Accipite Spiritum sanctum. Quorumcunque remiseritis peccata, remittuntur; quorumcunque retinueritis, retenta sunt* [10]. Et rursus : *Veritatem vobis dico, expedit vobis ut ego vadam; etenim si ego non abiero, Paracletus non veniet ad vos. Spiritus veritatis, qui a Patre procedit* [11].

ἐπεὶ ἄνδρα οὐ γινώσκω; λέγει αὐτῇ ὁ ἄγγελος· *Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.* Καὶ πάλιν ὁ αὐτὸς ἄγγελος λέγων τῷ Ἰωσήφ· *Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου.* Καὶ πάλιν ὁ εὐαγγελιστὴς ἑρμηνεύων τὰ ἐν τῷ προφήτῃ λέγει· *Ἵνα πληρωθῇ τὸ γεγραμμένον· Ἰδοὺ ὁ Παῖς μου ὁ ἐκλεκτὸς, ὁ ἀγαπητός μου, εἰς ὃν ηὐδόκησεν ἡ ψυχή μου, θήσω τὸ Πνεῦμά μου ἐπ' αὐτόν.* Καὶ ἐν Εὐαγγελίῳ γέγραπται· *Τὸ Πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει. Οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος·* καὶ ὁμοίως ἐν τῷ Εὐαγγελίῳ· *Εἰ δὲ ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.* Καὶ πάλιν γέγραπται· *Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἔχει ἄφεσιν.* Καὶ ἐν τῷ βαπτίσματι κατῆλθε τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἔμεινεν ἐπ' αὐτόν· οἱ δὲ ἄγγελοι κατελθόντες διηκόνουν αὐτῷ. Ἵνα γνῷς, ὅτι οἱ ἄγγελοι κατελθόντες διακονοῦσιν, ἵνα τὴν δουλείαν δείξωσι· τὸ δὲ Πνεῦμα ἔμεινεν ἐπ' αὐτὸν, ἵνα τὴν μονὴν ἀκούσας, ἐλευθερίαν νοήσῃς τῆς φύσεως αὐτοῦ. Γέγραπται δέ· *Καὶ ὁ Πατὴρ ἐν ἐμοὶ μένων, ποιεῖ τὰ ἔργα αὐτός.* Καὶ πάλιν γέγραπται· *Ἰησοῦς δὲ πλήρης Πνεύματος ἁγίου ὑπέστρεψεν ἀπὸ Ἰορδάνου, καὶ ἤγετο ἐν τῷ Πνεύματι εἰς τὴν ἔρημον, ἡμέρας τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου·* καὶ πάλιν· *Λάβετε Πνεῦμα ἅγιον. Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται· ἄν τινων κρατῆτε, κεκράτηνται.* Καὶ πάλιν· *Τὴν ἀλήθειαν ὑμῖν λέγω, συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται.*

Quod si dicant : *Non loquitur a seipso Spiritus, sed quæcunque audierit loquetur* [12]; ipsis dicimus : Neque Filius a seipso loquitur : *Sed qui me misit Pater*, inquit, *ille mihi dixit quid dicam et quid loquar* [13] : omnia enim quæcunque Spiritus et Filius loquuntur, Dei sunt oracula. Et eam ob causam *Omnis Scriptura divinitus inspirata, etiam utilis est* [14], quippe quam locutus sit Spiritus. Hoc namque vere ostendit Spiritum non esse creaturam, quoniam rationalis omnis creatura modo a seipsa loquitur, modo ea quæ Dei sunt, ut cum dicit Paulus : *De virginibus autem præceptum Domini non habeo; consilium tamen do tanquam misericordiam consecutus a Domino* [15]. *At iis qui matrimonio juncti sunt præcipio non ego, sed Dominus* [16]. Et propheta : *O Domine, nihilominus judicia loquar ad te; quid est quod impii prospere agunt* [17]? Et rursus : *Heu me, mater ! qualem me peperisti* [18]! Nonnunquam autem ait : *Hæc dicit Dominus* [19]. Et aliquando Moyses : *Gracili voce et tarda lingua ego sum* [20]. Aliquando vero is ipse : *Hæc dicit Dominus : Emitte populum meum, ut mihi serviat* [21]. Spiritus autem non sic. Non enim modo sua, modo quæ Dei sunt

Ἐὰν δὲ λέγωσιν· *Οὐ λαλεῖ ἀφ' ἑαυτοῦ τὸ Πνεῦμα, ἀλλ' ὅσα ἂν ἀκούσῃ λαλήσει·* λέγομεν αὐτοῖς· Οὐδὲ ὁ Υἱὸς ἀφ' ἑαυτοῦ λαλεῖ· *Ἀλλ' ὁ πέμψας με*, φησὶ, *Πατὴρ, ἐκεῖνός μοι εἶπε τί εἴπω καὶ τί λαλήσω·* πάντα γὰρ ὅσα λαλεῖ τὸ Πνεῦμα καὶ ὁ Υἱὸς, τοῦ Θεοῦ εἰσι λόγια. Καὶ διὰ τοῦτο *Πᾶσα Γραφὴ θεόπνευστος καὶ ὠφέλιμός ἐστιν*, ἀπὸ τοῦ Πνεύματος λαληθεῖσα. Καὶ γὰρ ἀληθῶς τοῦτο δείκνυσι μὴ εἶναι τὸ Πνεῦμα κτίσμα, ἐπειδὴ πᾶσα ἡ λογικὴ κτίσις ποτὲ ἀφ' ἑαυτῆς λαλεῖ, ποτὲ τὰ τοῦ Θεοῦ, ὡς ὅταν λέγῃ Παῦλος· *Περὶ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι ὡς ἠλεημένος ὑπὸ Κυρίου. Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω οὐκ ἐγὼ, ἀλλ' ὁ Κύριος·* καὶ ὁ προφήτης· *Ὦ Κύριε, πλὴν κρίματα λαλήσω πρὸς σέ· τί ὅτι ἀσεβεῖς εὐοδοῦνται;* καὶ πάλιν· *Οἴμοι, μῆτερ, ὡς τίνα μ' ἔτεκες;* Ποτὲ δὲ λέγει· *Τάδε λέγει Κύριος.* Καὶ ποτὲ Μωσῆς· *Ἰσχνόφωνος καὶ βραδύγλωσσός εἰμι ἐγώ.* Ποτὲ δὲ ὁ αὐτός· *Τάδε λέγει Κύριος· Ἐξαπόστειλον τὸν λαόν μου, ἵνα μοι λατρεύσῃ.* Τὸ δὲ Πνεῦμα οὐχ οὕτως. Οὐ γὰρ ποτὲ τὰ ἑαυτοῦ λέγει, ποτὲ δὲ τὰ τοῦ Θεοῦ· τοῦτο γὰρ ἦν κτίσματος. Ἀλλὰ πάντα τὰ τοῦ Πνεύματος

[1] Matth. I, 20. [2] Matth. XII, 17; Isa. XLII, 1. [3] Joan. III, 8. [4] Matth. XII, 28. [5] ibid. 31. [6] Matth. III, 16. [7] Matth. IV, 11. [8] Joan. XIV, 10. [9] Luc. IV, 1, 2. [10] Joan. XX, 22, 23. [11] Joan. XVI, 7. [12] Joan. XVI, 13. [13] Joan. XII, 49. [14] II Tim. III, 16. [15] I Cor. VII, 25. [16] ibid. 10. [17] Jerem. XII, 1. [18] Jerem. XV, 10. [19] Jerem. XXX, 2. [20] Exod. IV, 10. [21] Exod. V, 1.

τοῦ Θεοῦ εἶσι λόγια· ὁμοίως καὶ τὰ τοῦ Υἱοῦ. Διὰ τοῦτο οὐδὲ ὁ Υἱὸς λαλεῖ ἀφ' ἑαυτοῦ. Ὁ *γὰρ πέμψας με*, φησὶ, *Πατὴρ, ἐκεῖνός μοι εἶπε τί εἴπω καὶ τί λαλήσω*·

loquitur; id namque pertinet ad creaturam. Verum omnia Spiritus verba, Dei oracula sunt: similiter et Filii dicta. Quapropter ne Filius quidem a seipso loquitur. *Qui enim misit me Pater* inquit, *ille mihi dixit quid dicam et quid loquar*.

Τοῦ αὐτοῦ ἐκ τῶν πρὸς Ἀμφιλόχιον τριάκοντα κεφαλαίων, κεφάλαιον θ'. Ἀφοριστικαὶ ἔννοιαι περὶ τοῦ Πνεύματος τῇ τῶν Γραφῶν ἀκολουθοῦσαι διδασκαλίᾳ.

Ejusdem ex triginta capitum ad Amphilochium capite 9. Separata de Spiritu sancto sententiæ, Scripturarum doctrinæ consentaneæ [1].

Ἤδη δὲ καὶ περὶ τοῦ Πνεύματος τὰς κοινὰς ἡμῶν ἐννοίας ὁποῖαί τινές εἰσιν ἐξετάσωμεν, τάς τε ἐκ τῶν Γραφῶν περὶ αὐτοῦ συναχθείσας ἡμῖν, καὶ ἃς ἐκ τῆς ἀγράφου παραδόσεως τῶν Πατέρων διεδεξάμεθα. Πρῶτον μὲν οὖν, τίς, ἀκούσας τῶν προσηγοριῶν τοῦ Πνεύματος, οὐ διανίσταται τῇ ψυχῇ, καὶ πρὸς τὴν ἀνωτάτω φύσιν τὴν ἔννοιαν ὑπεραίρει; Πνεῦμα γὰρ Θεοῦ εἴρηται, καὶ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται· Πνεῦμα εὐθὲς, Πνεῦμα ἡγεμονικόν. Πνεῦμα ἅγιον ἡ κυρία αὐτοῦ καὶ ἰδιάζουσα κλῆσις· ὅπερ δὴ μάλιστα παντὸς τοῦ ἀσωμάτου, καὶ καθαρῶς ἀΰλου τε καὶ ἀμεροῦς ὄνομά ἐστι. Διὸ καὶ ὁ Κύριος, τὴν ἐν τόπῳ προσκυνεῖσθαι τὸν Θεὸν ἡγουμένην διδάσκων, ὅτι ἀπερίληπτον τὸ ἀσώματον, *Πνεῦμα*, φησὶν, *ὁ Θεός*. Οὐ τοίνυν δυνατὸν, Πνεῦμα ἀκούσαντα, περιγεγραμμένην φύσιν ἐντυπῶσαι τῇ διανοίᾳ, ἢ τροπαῖς καὶ ἀλλοιώσεσιν ὑποκειμένην, ἢ ὅλως ὁμοίαν τῇ κτίσει· ἀλλὰ πρὸς τὸ ἀνωτάτω ταῖς ἐννοίαις χωροῦντα, νοερὰν οὐσίαν ἐπάναγκες ἐννοεῖν, ἄπειρον κατὰ δύναμιν, μεγέθει ἀπεριόριστον, χρόνοις ἢ αἰῶσιν ἀμέτρητον, ἄφθονον ὧν ἔχει καλῶν. Πρὸς ὃ πάντα ἐπέστραπται τὰ ἁγιασμοῦ προσδεόμενα· οὗ πάντα ἐφίεται τὰ κατ' ἀρετὴν ζῶντα, οἷον ἐπαρδόμενα τῇ ἐπιπνοίᾳ καὶ βοηθούμενα πρὸς τὸ οἰκεῖον ἑαυτοῖς καὶ κατὰ φύσιν τέλος. Τελειωτικὸν τῶν ἄλλων, αὐτὸ δὲ οὐδαμοῦ ἐλλεῖπον· οὐχ ἐπισκευαστῶς ζῶν, ἀλλὰ ζωῆς χορηγόν· οὐ προσθήκαις αὐξανόμενον, ἀλλὰ πλῆρες εὐθὺς, ἐν ἑαυτῷ ἱδρυμένον, καὶ πανταχοῦ ὄν. Ἁγιασμοῦ γένεσις, φῶς νοητὸν, πάσῃ δυνάμει λογικῇ πρὸς τὴν τῆς ἀληθείας εὕρεσιν οἷόν τινα καταφάνειαν δι' ἑαυτοῦ παρεχόμενον. Ἀπρόσιτον τῇ φύσει· χωρητὸν δι' ἀγαθότητα· πάντα μὲν πληροῦν τῇ δυνάμει, μόνοις δὲ ὂν μεθεκτὸν τοῖς ἀξίοις, οὐχ ἑνὶ μέτρῳ μετεχόμενον, ἀλλὰ κατ' ἀναλογίαν τῆς πίστεως διαιροῦν τὴν ἐνέργειαν. Ἁπλοῦν τῇ οὐσίᾳ, ποικίλον ταῖς δυνάμεσιν· ὅλον ἑκάστῳ παρὸν, καὶ ὅλον ἁπανταχοῦ ὄν. Ἀπαθῶς μεριζόμενον, καὶ ὁλοσχερῶς μετεχόμενον· κατὰ τὴν εἰκόνα τῆς ἡλιακῆς ἀκτῖνος, ἧς ἡ χάρις, τῷ ἀπολαύοντι ὡς μόνῳ παροῦσα, καὶ γῆν ἐπιλάμπει καὶ θάλασσαν, καὶ τῷ ἀέρι ἐγκέκραται. Οὕτω δὴ καὶ τὸ Πνεῦμα ἑκάστῳ τῶν δεκτικῶν, ὡς μόνῳ παρὸν, διαρκῆ τοῖς πᾶσι τὴν χάριν ὁλόκληρον ἐπαφίησιν· οὗ ἀπολαύει τὰ μετέχοντα, ὅσον αὐτὰ πέφυκεν, οὐχ ὅσον ἐκεῖνο δύναται.

Jam vero etiam de Spiritu communes nostræ notiones cujusmodi sint expendamus, tum eas quæ nobis de illo e Scripturis collectæ sunt, tum eas quas Patrum traditione non scripta accepimus. Primum igitur, quis, auditis Spiritus appellationibus, animo non erigitur, et ad supremam naturam cogitationem non attollit? Nam Spiritus Dei dictus est, et Spiritus veritatis, qui ex Patre procedit [2]: Spiritus rectus, Spiritus principalis [3]. Spiritus sanctus, propria est illius ac peculiaris appellatio: quod sane nomen omnium maxime rem incorpoream et ab omni materia puram et incompositam declarat. Quapropter et Dominus cum eam, quæ Deum in loco adorari existimabat, edoceret, rem incorpoream comprehendi non posse, *Spiritus*, inquit, *est Deus* [4]. Proinde fieri non potest, ut qui audit Spiritum, naturam loco circumscriptam, aut mutationibus et alterationibus obnoxiam, aut omnino creaturæ similem sibi animo fingat: sed ad id quod summum est cogitatione progrediens, intelligentem substantiam cogitet necesse est, virtute infinitam, magnitudine incircumscriptam, nec temporum nec sæculorum dimensionem recipientem, ea quæ habet bona large impartientem. Ad quem omnia convertuntur quæ egent sanctificatione: quem omnia appetunt juxta virtutem viventia, cujus afflatu velut irrigantur et adjuvantur, ut perveniant ad proprium suum naturalemque finem. Qui perficit cætera, ipse vero in nullo deficit: qui non vivit per instaurationem, sed vitam suppeditat; nec accessionibus augescit, sed statim plenus est: qui in seipso firmatur, et nusquam non adest. Origo sanctificationis, lux intelligibilis: universæ potentiæ rationali ad veritatis investigationem velut illustrationem quamdam ex sese præbens. Natura inaccessus, sed qui capi possit ob benignitatem; omnia quidem implens virtute, sed solis iis qui digni sunt communicabilis, quibus sese non eadem impertit mensura, sed juxta proportionem fidei dispertitur vim suam. Simplex essentia, varius potentiis; qui singulis totus adest, et totus ubique est. Qui sic dividitur ut ipse nihil patiatur; cujus sic omnes participes sunt, ut ipse maneat integer, radii solaris in morem, cujus beneficium fruenti tanquam uni adest, et tamen terram ac mare illustrat, miscetur que aeri. Sic et Spiritus sanctus, unicuique capacium cum adsit quasi soli, sufficientem omnibus gratiam ac integram infundit: quo fruuntur quæcunque de illo participant, quantum ipsis fas est natura, non quantum ille potest.

Οἰκείωσις δὲ Πνεύματος πρὸς ψυχὴν οὐχ ἡ διὰ τόπου προσεγγισμός (πῶς γὰρ ἂν πλησιάσαις τῷ

Spiritus autem cum anima conjunctio non fit loci propinquitate (nam qui fiat ut ad incorporeum

[1] Joan. XII, 49. [2] Joan. XV, 26. [3] Psal. L, 12, 13. [4] Joan. IV, 24

corporaliter accedas?), sed a cupiditatibus recessu, quæ post accesserunt animæ propter amicitiam erga carnem, et a Dei consortio alienarunt. Itaque, si quis ab eo, quod vitii labe contraxerat, probro purgetur, atque ad nativam pulchritudinem reversus velut regiæ imagini formam veterem per puritatem reddat, hoc uno demum modo potest ad Paracletum appropinquare. Ille autem, veluti sol, purum nactus oculum, ostendet tibi in seipso imaginem illius qui videri non potest. In beata autem hujus imaginis contemplatione videbis ineffabilem archetypi pulchritudinem. Per hunc corda sustolluntur in altum, manu ducuntur infirmi, proficientes perficiuntur. Hic eis qui ab omni sorde purgati sunt illucescens, per communionem quam cum ipso habent, spirituales reddit. Et quemadmodum corpora nitida, pellucidaque, contacta radio, fiunt et ipsa supra modum splendida, et alium fulgorem ex sese profundunt, ita animæ quæ Spiritum ferunt, illustranturque a Spiritu, fiunt et ipsæ spirituales, et in alios gratiam emittunt. Hinc futurorum præscientia, mysteriorum intelligentia, occultorum comprehensio, donorum distributiones, cœlestis conversatio, cum angelis chorea: hinc gaudium nunquam finiendum, hinc in Deo perseverantia, hinc similitudo cum Deo, et quo nihil sublimius expeti potest, hinc est ut deus fias.

Ejusdem adversus eos qui dicunt non oportere Patri et Filio adjungere Spiritum sanctum. Cap. 10.

Non oportet, inquiunt, Patri et Filio adjungere Spiritum sanctum: partim eo quod sit alienæ naturæ, partim quod dignitate sit inferior. Quibus æquum est ut apostolorum verbis respondeamus: *Deo oportet obedire magis quam hominibus* [1]. Nam si Dominus aperte in tradendo salutifero baptismate præcepit discipulis, ut baptizarent omnes gentes in nomine Patris et Filii et Spiritus sancti [2], haud dedignatus cum illo consortium: contra isti dicunt, non oportere Spiritum Patri Filioque conjungere; an non Dei præcepto palam adversantur? Etenim, si dicunt hujusmodi conjunctione non declarari ullam communionem aut consortium; dicant quidnam conveniat hoc existimare, et quam aliam efferant magis peculiarem consortii rationem? Et quidem si Dominus sibi et Patri non adjunxit Spiritum in baptismo, neque etiam nobis vitio vertant quod eos conjungimus. Nihil enim nos diversum neque sentimus, neque loquimur. Sin autem illic conjunctus est Patri et Filio Spiritus, nec quisquam est adeo impudens, ut aliud quidquam dicat, ne sic quidem nos in jus vocent, si Scripturas sequimur.

Sed belli adversum nos apparatus instructus est, omnisque cogitatio intenta est in nos, et linguæ maledicorum hic vehementius jaculantur quam ii, qui Christum occiderant, olim lapidibus impetierunt Stephanum. Verum ne consequantur, ut lateat

[1] Act. v, 29. [2] Matth. xxviii, 19.

A ἀσωμάτῳ σωματικῶς;), ἀλλ' ὁ χωρισμὸς τῶν παθῶν, ἅπερ, ἀπὸ τῆς πρὸς τὴν σάρκα φιλίας ὕστερον ἐπιγινόμενα τῇ ψυχῇ, τῆς ἀπὸ τοῦ Θεοῦ οἰκειότητος ἠλλοτρίωσε. Καθαρθέντα δὴ οὖν ἀπὸ τοῦ αἴσχους, ὃ ἀνεμάξατο διὰ τῆς κακίας, καὶ πρὸς τὸ ἐκ φύσεως κάλλος ἐπανελθόντα, καὶ οἷον εἰκόνι βασιλικῇ τὴν ἀρχαίαν μορφὴν διὰ καθαρότητος ἀποδόντα, οὕτως ἐστὶ μόνως προσεγγίσαι τῷ Παρακλήτῳ. Ὁ δ', ὥσπερ ἥλιος, κεκαθαρμένον ὄμμα παραλαβὼν, δείξει σοι ἐν ἑαυτῷ τὴν εἰκόνα τοῦ ἀοράτου. Ἐν δὲ τῷ μακαρίῳ τῆς εἰκόνος θεάματι τὸ ἄῤῥητον ὄψει τοῦ ἀρχετύπου κάλλος. Διὰ τούτου καρδιῶν ἀνάβασις, χειραγωγία τῶν ἀσθενούντων, τῶν προκοπτόντων τελείωσις. Τοῦτο, τοῖς ἀπὸ πάσης κηλῖδος κεκαθαρμένοις ἐλλάμπον, τῇ πρὸς ἑαυτὸ κοινωνίᾳ πνευματικοὺς ἀπο-
B δείκνυσι. Καὶ ὥσπερ τὰ λαμπρὰ καὶ διαφανῆ τῶν σωμάτων, ἀκτῖνος αὐτοῖς ἐμπεσούσης, αὐτά τε γίνεται περιλαμπῆ, καὶ ἑτέραν αὐγὴν ἀφ' ἑαυτῶν ἀποστίλβει· οὕτως αἱ πνευματοφόροι ψυχαὶ, ἐλλαμφθεῖσαι παρὰ τοῦ Πνεύματος, αὐταί τε ἀποτελοῦνται πνευματικαὶ, καὶ εἰς ἑτέρους τὴν χάριν ἐξαποστέλλουσιν. Ἐντεῦθεν μελλόντων πρόγνωσις, μυστηρίων σύνεσις, κεκρυμμένων κατάληψις, χαρισμάτων διανομαὶ, τὸ οὐράνιον πολίτευμα, ἡ μετὰ ἀγγέλων χορεία, ἡ ἀτελεύτητος εὐφροσύνη, ἡ ἐν Θεῷ διαμονὴ, ἡ πρὸς Θεὸν ὁμοίωσις, τὸ ἀκρότατον τῶν ὀρεκτῶν, θεὸν γενέσθαι.

Τοῦ αὐτοῦ πρὸς τοὺς λέγοντας μὴ χρῆναι συντάσσειν Πατρὶ καὶ Υἱῷ τὸ ἅγιον Πνεῦμα. Κεφαλ. ι'.

Οὐ χρὴ, φασὶ, Πατρὶ καὶ Υἱῷ συντετάχθαι τὸ
C ἅγιον Πνεῦμα, διά τε τὸ τῆς φύσεως ἀλλότριον, καὶ τὸ τῆς ἀξίας καταδεές. Πρὸς οὓς δίκαιον τὴν τῶν ἀποστόλων φωνὴν ἀποκρίνασθαι, ὅτι *Πειθαρχεῖν Θεῷ δεῖ μᾶλλον ἢ ἀνθρώποις*. Εἰ γὰρ ὁ μὲν Κύριος σαφῶς ἐν τῇ παραδόσει τοῦ σωτηρίου βαπτίσματος προσέταξε τοῖς μαθηταῖς βαπτίζειν πάντα τὰ ἔθνη εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, οὐκ ἀπαξιῶν τὴν πρὸς αὐτὸ κοινωνίαν, οὗτοι δὲ μὴ χρῆναι αὐτὸ Πατρὶ καὶ Υἱῷ συντάσσειν λέγουσι· πῶς οὐχὶ τῇ τοῦ Θεοῦ διαταγῇ προδήλως ἀνθίστανται; Εἰ μὲν γὰρ οὐκ εἶναί φασι τὴν τοιαύτην σύνταξιν κοινωνίας τινὸς καὶ συναφείας δηλωτικὴν, εἰπάτωσαν, τί μὲν νομίζειν τοῦτο προσήκει; τίνα δὲ ἕτερον συναφείας τρόπον οἰκειότερον ἔχουσι; Καίτοιγε εἰ μὴ συνῆψεν ὁ Κύριος ἑαυτῷ καὶ τῷ Πατρὶ τὸ Πνεῦμα
D κατὰ τὸ βάπτισμα, μηδὲ ἡμῖν τὴν συνάφειαν ἐγκαλείτωσαν. Οὐδὲν γὰρ ἡμεῖς ἀλλοιότερον οὔτε φρονοῦμεν, οὔτε φθεγγόμεθα. Εἰ δὲ συνῆπται ἐκεῖ τῷ Πατρὶ καὶ τῷ Υἱῷ, καὶ οὐδεὶς οὕτως ἀναιδὴς ὥστε ἄλλο τι φῆσαι, μηδ' οὕτως ἡμῖν ἐγκαλείτωσαν, εἰ τοῖς γεγραμμένοις ἀκολουθοῦμεν.

Ἀλλ' ἡ μὲν παρασκευὴ τοῦ καθ' ἡμῶν πολέμου ἐξήρτυται, καὶ πᾶσα διάνοια πρὸς ἡμᾶς τέταται, καὶ γλῶσσαι βλασφήμων ὧδε τοξεύουσι σφοδρότερον βάλλουσαι ἢ τὸν Στέφανον τότε τοῖς λίθοις οἱ χριστοφόνοι· μὴ λανθανέτωσαν δὲ, ὅτι πρόσχημα μὲν ἡμᾶς

ὁ πόλεμος ἔχει, ἡ δὲ ἀλήθεια τῶν γινομένων πρὸς τὸ A ὕψος βλέπει. Ὥστε ἐφ' ἡμᾶς μὲν δῆθεν τὰς μηχανὰς καὶ τὰς ἐνέδρας διασκευάζονται, καὶ ἀλλήλοις ἐγκελεύονται ἐπιβοηθεῖν, ὡς ἕκαστος ἔχει ἐμπειρίας ἢ ῥώμης. Πίστις δὲ ἐστι τὸ πολεμούμενον, καὶ κοινὸς σκοπὸς ἅπασι τοῖς ἐναντίοις καὶ ἐχθροῖς τῆς ὑγιαινούσης διδασκαλίας τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως κατασεῖσαι, ἐκ τοῦ τὴν ἀποστολικὴν παράδοσιν ἐδαφισθεῖσαν ἀφανισθῆναι. Διὰ τοῦτο, ὡς τῶν χρεωφειλετῶν οἱ δῆθεν εὐγνώμονες, τὰς ἐκ τῶν ἐγγράφων ἀποδείξεις ἐπιβοῶνται, τὴν ἄγραφον τῶν Πατέρων μαρτυρίαν ὡς οὐδενὸς ἀξίαν ἀποπεμπόμενοι. Ἀλλ' οὐ γὰρ ὑφησόμεθα τῆς ἀληθείας, οὐδὲ δειλίᾳ τὴν συμμαχίαν προδώσομεν. Εἰ γὰρ ὁ μὲν Κύριος ὡς ἀναγκαῖον καὶ σωτήριον δόγμα τὴν μετὰ D Πατρὸς σύνταξιν τοῦ ἁγίου Πνεύματος παραδέδωκε, τοῖς δὲ οὐχ οὕτω δοκεῖ, ἀλλὰ διαιρεῖν καὶ διασπᾷν καὶ ἐπὶ τὴν φύσιν τὴν λειτουργικὴν μετοικίζειν· πῶς οὐκ ἀληθὲς, ὅτι τὴν ἑαυτῶν βλασφημίαν κυριωτέραν ποιοῦνται τῆς τοῦ Δεσπότου νομοθεσίας; Φέρε δὴ οὖν, πᾶσαν φιλονεικίαν καταβαλόντες, οὕτω περὶ τῶν ἐν χερσὶ πρὸς ἀλλήλους διασκεψώμεθα.

Χριστιανοὶ πόθεν ἡμεῖς; Διὰ τῆς πίστεως, πᾶς τις ἂν εἴποι. Σωζόμεθα δὲ τίνα τρόπον; Ἀναγεννηθέντες δηλονότι διὰ τῆς ἐν τῷ βαπτίσματι χάριτος. Πόθεν γὰρ ἄλλοθεν; Εἶτα τὴν σωτηρίαν ταύτην διὰ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος βεβαιουμένην γνωρίσαντες, ὃν παρελάβομεν τύπον διδαχῆς προησόμεθα; Ἢ μεγάλων ἂν εἴη στεναγμῶν ἄξιον, εἴπερ C εὑρισκόμεθα νῦν μακρυνόμενοι μᾶλλον ἀπὸ τῆς σωτηρίας ἡμῶν, ἢ ὅτε ἐπιστεύσαμεν· εἴπερ ἃ τότε προσεδεξάμεθα, νῦν ἀπαρνούμεθα. Ἴση ἐστὶν ἡ ζημία ἢ ἄμοιρόν τινα τοῦ βαπτίσματος ἀπελθεῖν, ἢ ἔν τι τῶν ἐκ τῆς παραδόσεως ἐλλεῖπον δέξασθαι. Τήν τε ὁμολογίαν, ἣν ἐπὶ τῆς πρώτης εἰσαγωγῆς κατεθέμεθα, ὅτε, ῥυσθέντες ἀπὸ τῶν εἰδώλων, προσήλθομεν Θεῷ ζῶντι, ὁ μὴ ἐπὶ παντὸς φυλάσσων καιροῦ, καὶ διὰ πάσης ἑαυτοῦ τῆς ζωῆς ὡς ἀσφαλοῦς φυλακτηρίου περιεχόμενος, ξένον ἑαυτὸν καθίστησι τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ, τῷ ἰδίῳ χειρογράφῳ μαχόμενος, ὃ ἐπὶ τῆς κατὰ τὴν πίστιν ὁμολογίας κατέθετο. Εἰ γὰρ ἀρχή μοι ζωῆς τὸ βάπτισμα, καὶ πρώτη ἡμερῶν ἐκείνη ἡ τῆς παλιγγενεσίας ἡμέρα, δῆλον, ὅτι καὶ φωνὴ τιμιωτάτη πασῶν ἡ ἐν τῇ χάριτι τῆς υἱο- D θεσίας ἐκφωνηθεῖσα. Τὴν οὖν εἰσάγουσάν με εἰς τὸ φῶς, τὴν γνῶσιν (40) Θεοῦ μοι χαρισαμένην παράδοσιν, δι' ἧς τέκνον ἀπεδείχθην Θεοῦ, ὁ τέως διὰ τὴν ἁμαρτίαν ἐχθρὸς, ταύτην προδῶ, ταῖς τούτων πιθανολογίαις παρατραπείς; Ἀλλὰ καὶ ἐμαυτῷ συνεύχομαι μετὰ τῆς ὁμολογίας ταύτης ἀπελθεῖν πρὸς τὸν Κύριον, καὶ αὐτοῖς παραινῶ, ἄσυλον διατηρῆσαι τὴν πίστιν, εἰς ἡμέραν Χριστοῦ, καὶ ἀχώριστον ἀπὸ Πατρὸς καὶ Υἱοῦ φυλάξαι τὸ Πνεῦμα, τὴν ἐπὶ τοῦ βαπτίσματος διδασκαλίαν ἔν τε τῇ ὁμολογίᾳ τῆς πίστεως διατηροῦντας καὶ ἐν τῇ τῆς δόξης ἀποπληρώσει.

Τοῦ αὐτοῦ.

Τίνι οὐαί; τίνι θλίψις; τίνι ἀπορία καὶ σκότος; τίνι αἰωνία κατάκρισις; Οὐ τοῖς παραβάταις; οὐ τοῖς

nos quidem esse belli occasionem, sed quæ aguntur revera ad excelsum spectare. Itaque in nos quidem machinas et insidias instruunt, seque mutuo exhortantur ad ferendas suppetias, ut quisque peritia aut robore valet. Cæterum id quod oppugnantur, fides est, isque scopus communis est omnibus adversariis, et sanæ doctrinæ inimicis, ut soliditatem fidei in Christum concutiant, apostolicam traditionem solo æquatam abolendo. Eapropter, sicut solent qui bonæ fidei debitores sunt, probationes e Scriptura clamore exigunt, Patrum testimonium, quod scriptum non est, velut nullius momenti rejicientes. At de tuenda veritate nihil remittemus, neque ignavia a ferendis illi auxiliis desistemus. Etenim si Dominus nobis, ut necessarium ac salutare dogma, Spiritus cum Patre conjunctionem tradidit; his autem non ita videtur, sed dividere ac distrahere Spiritum et ad servilem naturam detrudere: an non verum est, apud illos blasphemiam ipsorum plus habere ponderis, quam Domini præscriptum? Agedum igitur omni contentione deposita, ita de iis quæ in manibus sunt, inter nos disceptemus.

Christiani unde nos? Per fidem, dicet quilibet. Salvi autem fimus, quo modo? Nimirum regenerati per gratiam quæ confertur in baptismo. Nam unde alioqui? Ergone postquam hanc salutem per Patrem et Filium et Spiritum sanctum ratam ac firmatam noverimus, traditam nobis doctrinæ formam abjiciemus? Id profecto multis dignum suspiriis fuerit, si comperiamur nunc longius abesse a salute nostra, quam tum cum credidimus; si quæ tunc recepimus, nunc abnegamus. Par et æquale damnum est, sive quis baptismatis expers decedat de vita sive recipiat baptisma, cui unum aliquod eorum quæ tradita sunt desit. Et quisquis professionem, quam in prima institutione deposuimus, cum liberati a simulacris accessimus ad Deum vivum, in omni tempore non servat, nec eam quasi tutissimum præsidium per totam suam vitam complectitur, seipsum alienum reddit a promissis Dei, suo ipsius chirographo repugnans, quod in professione fidei deposuit. Nam si mihi vitæ initium est baptismus, ad dierum omnium primus est dies regenerationis; perspicuum est et vocem illam omnium pretiosissimam esse, quæ in adoptionis gratia prolata est. Itane igitur traditionem, quæ me adducit ad lucem, quæ Dei cognitionem largita est, per quam factus sum filius Dei, qui prius propter peccatum eram hostis, deseram, seductus istorum speciosis sermonibus? Quin potius et illud mihi precor, ut cum hac professione contingat hinc decedere ad Dominum: et ipsos hortor, ut inviolatam servent fidem usque ad diem Christi, et indivulsum a Patre et Filio custodiant Spiritum: doctrinam baptismatis tum in fidei professione, tum in gloriæ persolutione servantes.

Ejusdem.

Cui væ? cui afflictio? cui angustiæ ac tenebræ? cui sempiterna condemnatio? Nonne præva-

ricatoribus? nonne iis qui fidem abnegarunt? Sed unde probantur abnegasse? Nonne hinc, quod suas ipsi professiones irritas fecerunt? Quid autem professi sunt, aut quando? Professi sunt credere se in Patrem et Filium et Spiritum sanctum, tum cum renuntiantes diabolo et angelis ejus salutiferam illam vocem ediderunt. Quod igitur istis dignum vocabulum excogitatum est a filiis lucis? Nonne perfugæ ac prævaricatores appellantur, ut qui salutis suæ pacta violarint? Quo igitur nomine eum qui Deum abnegavit, quo eum qui Christum abnegavit, appellem? Quonam alio, quam prævaricatoris ac desertoris? At ei qui negavit Spiritum, quod me vis nomen imponere? Nonne hoc idem, quippe qui pactum cum Deo initum violarit? Ergo cum et fidei in Spiritum professio beatitudinem pietatis nobis conciliet, et abnegatio crimini abnegati Dei faciat obnoxios: an non horrendum est ipsum nunc rejicere, non ignem, non gladium, non crucem, non flagella, non rotam, non tormenta metuentes, sed solis sophismatibus seductionibusque istorum, qui Spiritui rebelles sunt, deceptos? Testificor omni homini Christum profitenti, et Deum neganti, quod Christus nihil illi proderit; aut Deum invocanti, Filium vero spernenti, quod inanis est fides illius. Item ei qui Spiritum rejicit, testificor quod fides ejus qua profitetur Patrem et Filium, inanis erit: quam nec habere potest nisi simul adsit Spiritus. Non enim credit in Filium, qui non credit Spiritui; nec credit in Patrem, qui non credit Filio. *Nec enim potest dicere Dominum Jesum, nisi in Spiritu sancto* [1]; et, *Deum nemo vidit unquam, sed unigenitus Filius, qui est in sinu Patris, hic nobis enarravit* [2]. Insuper talis expers est veræ adorationis. Neque enim fieri potest, ut quis Filium adoret, nisi in Spiritu sancto, aut ut Patrem invocet, nisi in adoptionis Spiritu.

Ejusdem adversus eos qui dicunt sufficere baptisma tantum in nomine Domini. Cap. 12.

Neminem vero in fraudem inducat illud Apostoli, quod Patris et Spiritus sancti nomen in baptismo commemorationem frequenter omittit: neque ideo putet indifferentem esse nominum invocationem. *Quicunque*, inquit, *in Christum baptizati estis, Christum induistis* [3]; et rursus: *Quicunque in Christo baptizati estis, in mortem illius baptizati estis* [4]. Nam Christi appellatio, totius est professio: declarat siquidem et Deum qui unxit, et Filium qui unctus est, et Spiritum sanctum qui est unctio: quemadmodum a Petro in Actis didicimus, *Jesum Nazarenum, quem unxit Deus Spiritu sancto* [5]. Item in Isaia, *Spiritus Domini super me, eo quod unxit me* [6]: et Psalmicus ille cantor; *Propterea unxit te Deus Deus tuus oleo exsultationis præ consortibus tuis* [7]. Videtur tamen interdum Apostolus etiam

A τὴν πίστιν ἀρνησαμένοις; Τίς δὲ τῆς ἀρνήσεως ἔλεγχος; Οὐχ ὅτι τὰς οἰκείας ὁμολογίας ἠθέτησαν; Ὡμολόγησαν δὲ τί, ἢ πότε; Πιστεύειν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, ὅτε, ἀποταξάμενοι τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, τὴν σωτήριον ἐκείνην ἀφῆκαν φωνήν. Τίς οὖν πρέπουσα τούτοις προσηγορία παρὰ τῶν τέκνων τοῦ φωτὸς ἐξευρέθη; Οὐχὶ παραβάται προσαγορεύονται, ὡς εἰς τὰς τῆς σωτηρίας αὐτῶν συνθήκας παρασπονδήσαντες; Τί οὖν εἴπω τὸν ἀρνησίθεον; τί δὲ τὸν ἀρνησίχριστον; Τί ἄλλο γε ἢ παραβάτην; Τῷ δὲ τὸ Πνεῦμα ἀρνησαμένῳ τίνα με βούλει προσηγορίαν θέσθαι; Οὐ τὴν αὐτὴν ταύτην, ὡς τὰς πρὸς Θεὸν παραβάντι συνθήκας; Οὐκοῦν ὁπότε καὶ ἡ ὁμολογία τῆς εἰς αὐτὸ πίστεως τὸν τῆς εὐσεβείας μακαρισμὸν προξενεῖ, καὶ ἡ ἄρνησις τῇ B κατακρίσει τῆς ἀθεότητος ὑποβάλλει, πῶς οὐ φοβερὸν τοῦτο νῦν ἀθετῆσαι, οὐ πῦρ, οὐ ξίφος, οὐ σταυρὸν, οὐ μάστιγας, οὐ τροχὸν, οὐ στρεβλωτήρια φοβηθέντας, ἀλλὰ σοφίσμασι μόνοις καὶ παραγωγαῖς τῶν πνευματομάχων παρακρουσθέντας; Μαρτύρομαι παντὶ ἀνθρώπῳ ὁμολογοῦντι Χριστὸν, καὶ τὸν Θεὸν ἀρνουμένῳ, ὅτι Χριστὸς αὐτὸν οὐδὲν ὠφελήσει· ἢ Θεὸν ἐπικαλουμένῳ, τὸν δὲ Υἱὸν ἀθετοῦντι, ὅτι ματαία ἐστὶν ἡ πίστις αὐτοῦ· καὶ τῷ τὸ Πνεῦμα παραιτουμένῳ, ὅτι ἡ εἰς Πατέρα καὶ Υἱὸν πίστις αὐτῷ εἰς κενὸν ἀποβήσεται, ἣν οὐδὲ ἔχειν δύναται, μὴ συμπαρόντος τοῦ Πνεύματος. Οὐ πιστεύει μὲν γὰρ εἰς Υἱὸν ὁ μὴ πιστεύων τῷ Πνεύματι· οὐ πιστεύει δὲ εἰς Πατέρα ὁ μὴ πιστεύσας τῷ Υἱῷ. *Οὔτε γὰρ* C *δύναται εἰπεῖν Κύριον Ἰησοῦν εἰ μὴ ἐν Πνεύματι ἁγίῳ*· καὶ, *Θεὸν οὐδεὶς ἑώρακε πώποτε, ἀλλ' ὁ μονογενὴς Υἱὸς, ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρὸς, οὗτος ἡμῖν ἐξηγήσατο.* Ἄμοιρός ἐστι καὶ τῆς ἀληθινῆς προσκυνήσεως ὁ τοιοῦτος. Οὔτε γὰρ Υἱὸν προσκυνῆσαι δυνατὸν εἰ μὴ ἐν Πνεύματι ἁγίῳ, οὔτε ἐπικαλέσασθαι δυνατὸν τὸν Πατέρα εἰ μὴ ἐν τῷ τῆς υἱοθεσίας Πνεύματι.

Τοῦ αὐτοῦ πρὸς τοὺς λέγοντας ἐξαρκεῖν καὶ μόνον τὸ εἰς τὸν Κύριον βάπτισμα. Κεφάλ. ιβ'.

Καὶ μηδένα παρακρουέσθω τὸ τοῦ Ἀποστόλου, ὡς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος ἐπὶ τῆς τοῦ βαπτίσματος μνήμης πολλάκις παραλιμπάνοντος, μηδὲ διὰ τοῦτο ἀπαρατήρητον D οἰέσθω τὴν ἐπίκλησιν εἶναι τῶν ὀνομάτων. *Ὅσοι*, φησὶν, *εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε*· καὶ πάλιν· *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθητε.* Ἡ γὰρ τοῦ Χριστοῦ προσηγορία τοῦ παντός ἐστιν ὁμολογία· δηλοῖ γὰρ τόν τε χρίσαντα Θεὸν, καὶ τὸν χρισθέντα Υἱὸν, καὶ τὸ χρίσμα τὸ Πνεῦμα, ὡς παρὰ Πέτρου ἐν ταῖς Πράξεσι μεμαθήκαμεν, *Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, ὃν ἔχρισεν ὁ Θεὸς τῷ Πνεύματι τῷ ἁγίῳ*· καὶ ἐν τῷ Ἡσαΐᾳ, *Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με*· καὶ ὁ Ψαλμῳδός· *Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως*

[1] I Cor. xii, 3. [2] Joan. i, 18. [3] Gal. iii, 27. [4] Rom. vi, 3. [5] Act. x, 38. [6] Isa lxi, 1. [7] Psal xliv, 8.

παρὰ τοὺς μετόχους σου. Φαίνεται μέντοι [Ἀπόστολός] ποτε καὶ μόνου τοῦ Πνεύματος ἐπὶ τοῦ βαπτίσματος μνημονεύσας. *Πάντες* γὰρ, φησὶν, *ἐν ἑνὶ σώματι εἰς ἓν Πνεῦμα ἐβαπτίσθημεν*. Συμφωνεῖ δὲ τούτῳ καὶ τὸ, *Ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ*· καὶ τὸ, *Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ*. Ἀλλ' οὐ παρὰ τοῦτο τέλειον ἄν τις εἴποι βάπτισμα, ᾧ μόνον τὸ ὄνομα τοῦ Πνεύματος ἐπεκλήθη. Χρὴ γὰρ ἀπαράβατον μένειν ἀεὶ τὴν ἐν τῇ ζωοποιῷ χάριτι δεδομένην παράδοσιν. Ὁ γὰρ λυτρωσάμενος ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν ἔδωκε δύναμιν ἡμῖν ἀνακαινώσεως, ἄῤῥητον μὲν ἔχουσαν τὴν αἰτίαν καὶ ἐν μυστηρίῳ κατεχομένην, μεγάλην δὲ ταῖς ψυχαῖς τὴν σωτηρίαν φέρουσαν· ὥστε τὸ προσθεῖναί τι ἢ ἀφελεῖν ζωῆς ἐστι τῆς ἀϊδίου προδήλως ἔκπτωσις. Εἰ τοίνυν ἐν τῷ βαπτίσματι ὁ χωρισμὸς τοῦ Πνεύματος ἀπὸ Πατρὸς καὶ Υἱοῦ ἐπικίνδυνος μὲν τῷ βαπτίζοντι, ἀνωφελὴς δὲ τῷ δεχομένῳ, πῶς ἡμῖν ἀσφαλὲς ἀπὸ Πατρὸς καὶ Υἱοῦ διασπᾷν τὸ Πνεῦμα; Πίστις δὲ καὶ βάπτισμα δύο τρόποι τῆς σωτηρίας, συμφυεῖς ἀλλήλοις καὶ ἀδιαίρετοι. Πίστις μὲν γὰρ τελειοῦται διὰ βαπτίσματος, βάπτισμα δὲ θεμελιοῦται διὰ τῆς πίστεως, καὶ διὰ τῶν αὐτῶν ὀνομάτων ἑκάτερα πληροῦται. Ὡς γὰρ πιστεύομεν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, οὕτω καὶ βαπτιζόμεθα εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ προάγει μὲν ἡ ὁμολογία πρὸς τὴν σωτηρίαν εἰσάγουσα· ἐπακολουθεῖ δὲ τὸ βάπτισμα ἐπισφραγίζον ἡμῶν τὴν συγκατάθεσιν.

Αἰτίας ἀπόδοσις διὰ τί οἱ ἄγγελοι Πατρὶ καὶ Υἱῷ παρὰ τῷ Παύλῳ συμπαρελήφθησαν. Κεφάλ. ιγ'.

Ἀλλὰ καὶ ἕτερα, φησὶ, συναριθμούμενα Πατρὶ καὶ Υἱῷ, οὐχὶ καὶ συνδοξάζεται πάντως. Ὡς ὁ Ἀπόστολος ἀγγέλους συμπαρελάβετο, εἰς τὴν διαμαρτυρίαν τὴν ἐπὶ Τιμοθέου λέγων· *Διαμαρτύρομαί σοι ἐνώπιον τοῦ Θεοῦ καὶ Χριστοῦ Ἰησοῦ, καὶ τῶν ἐκλεκτῶν αὐτοῦ ἀγγέλων*· οὓς οὔτε ἀλλοτριοῦμεν τῆς λοιπῆς κτίσεως, οὔτε Πατρὶ καὶ Υἱῷ συναριθμεῖν ἀνεχόμεθα. Ἐγὼ δὲ, εἰ καὶ μηδεμιᾶς ἀποκρίσεως ἄξιος ὁ λόγος, οὕτω πρόχειρον τὴν ἀτοπίαν ἔχων, ὅμως ἐκεῖνο λέγω, ὅτι μάρτυρα μὲν καὶ ὁμόδουλον ἄν τις τυχὸν παραστήσαιτο πρᾴῳ κριτῇ καὶ ἡμέρῳ, καὶ μάλιστα δὴ ἐν τῇ πρὸς τοὺς κρινομένους ἐπιεικείᾳ τὸ ἀναντίῤῥητον τῆς τῶν κριμάτων δικαιοσύνης ἐπιδεικνύντι. Ἐλεύθερος δὲ εἶναι ἀπὸ δούλου, καὶ Υἱὸς κληθῆναι Θεοῦ, καὶ ζωοποιηθῆναι ἀπὸ θανάτου, παρ' οὐδενὸς ἑτέρου δύναται ἢ παρὰ τοῦ τὴν κατὰ φύσιν οἰκειότητα κεκτημένου, καὶ τῆς δουλικῆς ἀξίας ἀπηλλαγμένου. Πῶς γὰρ οἰκειώσει Θεῷ ὁ ἀλλότριος; πῶς δὲ ἐλευθερώσει, αὐτὸς ἔνοχος ὢν τῷ ζυγῷ τῆς δουλείας; Ὥστε οὐχ ἐφ' ὁμοίοις Πνεύματός ἐστι καὶ ἀγγέλων ἡ μνήμη, ἀλλὰ τὸ μὲν Πνεῦμα, ὡς ζωῆς κύριον, οἱ δ' ἄγγελοι ὡς βοηθοὶ τῶν ὁμοδούλων, καὶ πιστοὶ μάρτυρες τῆς ἀληθείας παραλαμβάνονται. Ἔθος γὰρ τοῖς ἁγίοις, τὰς ἐντολὰς τοῦ Θεοῦ ἐπὶ μαρτύρων διδόναι· ὡς καὶ αὐτὸς οὗτός φησι Τιμοθέῳ· *Ἃ παρέλαβες παρ' ἐμοῦ ἐπὶ*

solius Spiritus fecisse mentionem in baptismate. *Omnes* enim, inquit, *in uno corpore in unum Spiritum baptizati sumus*[1]. His et illud consonat, *Vos autem baptizabimini in Spiritu sancto*[2]; et, *Ipse vos baptizabit in Spiritu sancto*[3]. At non ideo quis dixerit perfectum esse baptisma, in quo solum Spiritus nomen invocatum est. Oportet enim inviolabilem semper manere traditionem, quæ in vivifica gratia data est. Nam vitam nostram de corruptione qui liberavit, potestatem nobis renovationis dedit: quæ potestas causam habet ineffabilem, et in mysterio reconditam, sed magnam animabus salutem conferentem, ut quidquam addere aut detrahere plane sit ab æterna vita excidere. Proinde si in baptismo separare Spiritum a Patre et Filio, ut periculosum est baptizanti, ita baptismum accipienti inutile; quomodo nobis tutum fuerit a Patre et Filio distrahere Spiritum? Fides autem et baptisma duo sunt modi parandæ salutis, inter se cognati et inseparabiles. Nam fides perficitur per baptismum, baptismus vero fundatur per fidem, et utraque res per eadem nomina impletur. Sicut enim credimus in Patrem, et Filium et Spiritum sanctum, sic et baptizamur in nomine Patris et Filii et Spiritus sancti. Ac præcedit quidem professio ad salutem perducens; sequitur autem baptisma consignans assensum nostrum.

Quare apud Paulum angeli simul cum Patre et Filio adjunguntur. Cap. 13.

Atqui et alia sunt, inquiunt, quæ simul Patri et Filio annumerantur, nec tamen continuo simul cum illis glorificantur. Veluti cum Apostolus obtestans Timotheum, angelos simul adducit, dicens: *Obtestor te in conspectu Dei, et Christi Jesu, et electorum ejus angelorum*[4]: quos tamen non minime separamus a reliquis creaturis, neque sustinemus eos Patri et Filio annumerare. Ego vero, tametsi hic sermo nulla dignus est responsione, tam manifestam præferens absurditatem, tamen illud dico, quod conservum etiam testem forte aliquis adducat apud mansuetum ac placabilem judicem, quique maxime sua in eos qui judicentur lenitate minime dubiam et controversam judiciorum æquitatem demonstrat. Cæterum ut aliquis fiat liber e servo, atque vocetur Filius Dei, et a morte revocetur ad vitam, a nullo alio potest dari, nisi ab eo qui naturalem habet societatem et a servili conditione est alienus. Quomodo enim sociabit Deo, qui ipse est alienus? quomodo liberos reddet, qui ipse est jugo servitutis obnoxius? Itaque non ob eadem fit Spiritus et angelorum mentio: sed Spiritus commemoratur tanquam auctor ac Dominus vitæ, angeli vero tanquam conservorum adjutores, fidelesque veritatis testes adhibentur. Siquidem mos est sanctis, Dei præcepta testibus

[1] I Cor. XII, 13. [2] Act. I, 5. [3] Luc. III, 16 [4] I Tim. V, 21.

adhibitis tradere; sicut etiam hic ipse ad Timotheum loquitur: *Quæ accepisti a me coram multis testibus, ea depone apud fideles homines* [1]. Et nunc angelos attestatur, sciens angelos pariter affuturos judici, cum venerit in gloria Patris, ut judicet orbem terrarum in justitia. *Quisquis enim*, inquit, *confessus fuerit me coram hominibus, et Filius hominis confitebitur eum coram angelis Dei: qui vero abnegaverit me coram hominibus, abnegabitur in conspectu angelorum Dei* [2]. Et Paulus alibi dicit, *In revelatione Domini Jesu de cælo cum angelis* [3]. Hanc ob causam hic jam contestatur coram angelis, eximias sibi præparans probationes ad magnum illud tribunal.

Caput 14.

Verum, inquiunt, tametsi baptizamur in Spiritu, non inde par est ut Spiritus cum Deo numeretur, quando et in Moysen nonnulli baptizati sunt in nube et in mari [4]. Similiter autem et in confesso est jam fuisse etiam in homines fidem. *Credidit enim populus Deo et Moysi famulo ejus* [5]. Quid igitur, inquiunt, ex fide ac baptismo Spiritum sanctum usque adeo attollis ac magnificas supra creaturam, cum eadem jam Scripturarum testimoniis tribuantur etiam hominibus. Quid igitur dicemus? Nimirum illud, quod in Spiritum quidem fides est æque atque in Patrem et Filium; similiter etiam baptisma. Quod si et in Moysen et nubem, velut in umbram et figuram. Neque vero, quoniam divina rebus humilibus et humanis præfigurantur, ideo et divinorum humilis est natura, quam figurarum adumbratio sæpe præsignificavit. Est enim figura rerum, quæ exspectantur, declaratio per imitationem, quod futurum est indicando præmonstrans. Velut Adam figura futuri [6], et petra figurate Christus [7]: et aqua promanans e petra [8], figura vivificæ potentiæ Verbi. *Si quis enim*, inquit, *sitit, veniat ad me, et bibat* [9]. Et manna typus vivi panis, qui de cœlo descendit [10]: et serpens super vexillo positus, salutiferæ passionis per crucem consummatæ, coque qui respiciebant ad illum, servabantur [11]. Similiter et quæ de eductis Israelitis scripta, ad significationem eorum qui baptismo salvi fiunt, narrata sunt [12]. Servata sunt enim Israelitarum primogenita, quemadmodum et baptizatorum corpora, cum gratia datur iis qui sanguine signati fuerunt. Sanguis enim pecudis, figura sanguinis Christi; primogenita vero typus hominis, qui primus conditus est; qui quoniam necessario in nobis est, dum successionis serie usque ad finem transmittitur, ideo in Adam omnes morimur [13], et regnavit mors usque ad legis consummationem, et Christi adventum. Con-

A *πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις.* Καὶ νῦν τοὺς ἀγγέλους ἐπιμαρτύρεται· οἶδε γὰρ, ὅτι συμπαρέσονται ἄγγελοι τῷ κριτῇ, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. *Ὃς γὰρ ἂν*, φησὶν, *ὁμολογήσῃ* (57) *ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ· ὁ δὲ ἀπαρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ.* Καὶ Παῦλος ἑτέρωθί φησιν· *Ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ* (59) *μετ' ἀγγέλων.* Τούτου χάριν ἐντεῦθεν ἤδη διαμαρτύρεται ἐπὶ τῶν ἀγγέλων, εἰς τὸ μέγα κριτήριον εὐπρεπεῖς ἑαυτῷ τὰς ἀποδείξεις πα-
B ρασκευάζων.

Κεφάλ. ιδ'.

Ἀλλ' οὐδὲ εἰ βαπτιζόμεθα, φησὶν, εἰς αὐτὸ, οὐδ' οὕτω δίκαιον μετὰ Θεοῦ τετάχθαι. Καὶ γὰρ καὶ εἰς τὸν Μωϋσῆν τινες ἐβαπτίσθησαν, ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ. Ὁμοίως δὲ καὶ ἡ πίστις ὁμολογεῖται ἤδη καὶ εἰς ἀνθρώπους γεγενῆσθαι. *Ἐπίστευσε γὰρ ὁ λαὸς τῷ Θεῷ καὶ Μωϋσεῖ τῷ θεράποντι αὐτοῦ.* Τί οὖν, φησὶν, ἐκ τῆς πίστεως καὶ τοῦ βαπτίσματος τὸ ἅγιον Πνεῦμα τοσοῦτον ἀνυψοῖς καὶ μεγαλύνεις ὑπὲρ τὴν κτίσιν, ὁπότε τὰ αὐτὰ καὶ ἀνθρώποις ἤδη προσμεμαρτύρηται; Τί οὖν ἐροῦμεν; Ὅτι εἰς μὲν τὸ Πνεῦμα ἡ πίστις ὡς εἰς τὸν Πατέρα καὶ εἰς τὸν Υἱόν· ὁμοίως δὲ καὶ τὸ βάπτι-
C σμα· εἰ δὲ εἰς τὸν Μωϋσῆν, καὶ τὴν νεφέλην, ὡς εἰς σκιὰν καὶ τύπον. Οὐ δήπου δὲ, ἐπειδὴ μικροῖς καὶ ἀνθρωπίνοις προδιαμορφοῦται τὰ θεῖα, μικρά τίς ἐστι καὶ ἡ τῶν θείων φύσις, ἣν ἡ τῶν τύπων σκιαγραφία πολλάκις προαπεσήμηνεν. Ἔστι γὰρ ὁ τύπος προσδοκωμένων δήλωσις διὰ μιμήσεως, ἐνδεικτικῶς τὸ μέλλον προϋποφαίνων. Ὡς ὁ Ἀδὰμ τύπος τοῦ μέλλοντος, καὶ ἡ πέτρα τυπικῶς ὁ Χριστός· καὶ τὸ τῆς πέτρας ὕδωρ τῆς ζωτικῆς τοῦ Λόγου δυνάμεως. *Εἴ τις γὰρ*, φησὶ, *διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω.* Καὶ τὸ μάννα τοῦ ζῶντος ἄρτου, τοῦ ἐκ τοῦ οὐρανοῦ καταβάντος· καὶ ὁ ἐπὶ σημείου κείμενος ὄφις τοῦ σωτηρίου πάθους τοῦ διὰ τοῦ σταυροῦ τελεσθέντος· διὸ καὶ οἱ ἀποβλέπον-
D τες εἰς αὐτὸν διεσώζοντο. Οὕτω δὴ καὶ τὰ περὶ τῆς ἐξαγωγῆς τοῦ Ἰσραὴλ εἰς ἔνδειξιν τῶν διὰ τοῦ βαπτίσματος σωζομένων ἱστόρηται. Διεσώθη γὰρ τῶν Ἰσραηλιτῶν τὰ πρωτότοκα, ὡς καὶ τῶν βαπτιζομένων τὰ σώματα, διδομένης τῆς χάριτος τοῖς σημειωθεῖσιν ὑπὸ τοῦ αἵματος. Τὸ μὲν γὰρ αἷμα τοῦ προβάτου τύπος τοῦ αἵματος τοῦ Χριστοῦ· τὰ δὲ πρωτότοκα τύπος τοῦ πρωτοπλάστου· ὃς ἐπειδὴ ἀναγκαίως ἡμῖν ἐνυπάρχει τῇ ἀκολουθίᾳ τῆς διαδοχῆς μέχρι τέλους παραπεμπόμενος, διὰ τοῦτο ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκομεν, καὶ ἐβασίλευσεν ὁ θάνατος μέχρι τῆς τοῦ νόμου πληρώσεως, καὶ

[1] II Tim. II, 2. [2] Luc. XII, 8, 9. [3] II Thess. I, 7. [4] I Cor. X, 2. [5] Exod. XIV, 31. [6] Rom. V, 14. [7] I Cor. X, 4. [8] Exod. XVII, 6. [9] Joan. VII, 37. [10] Deut. VIII, 3; Joan VI, 41. [11] Num. XXI, 9. [12] Exod. XII, 13. [13] I Cor. XV, 22.

τῆς τοῦ Χριστοῦ παρουσίας. Διετηρήθη δὲ ὑπὸ A τοῦ Θεοῦ τὰ πρωτότοκα, τοῦ μὴ θίγειν τὸν ὀλοθρεύοντα, εἰς ἔνδειξιν τοῦ μηκέτι ἡμᾶς ἀποθνήσκειν ἐν τῷ Ἀδὰμ, τοὺς ζωοποιηθέντας ἐν τῷ Χριστῷ. Ἡ δὲ θάλασσα καὶ ἡ νεφέλη πρὸς μὲν τὸ παρὸν εἰς πίστιν ἐνῆγε διὰ τῆς καταπλήξεως· πρὸς δὲ τὸ μέλλον ὡς τύπος τὴν ἐσομένην χάριν προϋπεσήμαινε. *Τίς σοφὸς, καὶ συνήσει ταῦτα;* πῶς ἡ θάλασσα βάπτισμα τυπικῶς, χωρισμὸν ποιοῦσα τοῦ Φαραὼ, ὡς καὶ τὸ λουτρὸν τοῦτο τῆς τυραννίδος τοῦ διαβόλου. Ἀπέκτεινεν ἐκείνη ἐν ἑαυτῇ τὸν ἐχθρόν· ἀποθνήσκει καὶ ὧδε ἡ ἔχθρα ἡμῶν ἡ εἰς Θεόν. Ἐξῆλθεν ἀπ' ἐκείνης ἀπαθὴς ὁ λαός· ἀναβαίνομεν καὶ ἡμεῖς ὡς ἐκ νεκρῶν ζῶντες ἀπὸ τοῦ ὕδατος, χάριτι σωθέντες τῇ τοῦ καλέσαντος ἡμᾶς. Ἡ δὲ B νεφέλη σκιὰ τῆς ἐκ τοῦ Πνεύματος δωρεᾶς, τοῦ τὴν φλόγα τῶν παθῶν διὰ τῆς νεκρώσεως τῶν μελῶν καταψύχοντος.

Τί οὖν; ἐπειδὴ τυπικῶς εἰς Μωϋσῆν ἐβαπτίσθησαν, διὰ τοῦτο μικρὰ (74) ἡ τοῦ βαπτίσματος χάρις; Οὕτω μὲν οὖν οὐδ' ἂν ἄλλο τι μέγα εἴη τῶν ἡμετέρων, εἴπερ τὸ ἐν ἑκάστῳ σεμνὸν τοῖς τύποις προδιαβάλλοιμεν. Οὔτε γὰρ ἡ εἰς ἀνθρώπους τοῦ Θεοῦ ἀγάπη μέγα τι καὶ ὑπερφυὲς, ὃς τὸν μονογενῆ Υἱὸν ἔδωκεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν· ἐπειδὴ καὶ Ἀβραὰμ τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο· οὐδὲ τὸ πάθος τοῦ Κυρίου ἔνδοξον· ἐπειδὴ πρόβατον ἀντὶ Ἰσαὰκ τὸν τύπον ἐπλήρου τῆς προσφορᾶς· οὔτε ἡ εἰς ᾅδου κάθοδος φοβερά· ἐπειδὴ Ἰωνᾶς ἐν τρισὶν ἡμέραις καὶ τοσαύταις νυξὶ τοῦ θανάτου τὸν τύπον προεξε- C πλήρου. Ταὐτὸν τοίνυν ποιεῖ καὶ ἐπὶ τοῦ βαπτίσματος ὁ τῇ σκιᾷ συγκρίνων τὴν ἀλήθειαν, καὶ τοῖς τύποις παραβάλλων τὰ παρ' αὐτῶν σημαινόμενα, καὶ διὰ Μωϋσέως καὶ τῆς θαλάσσης πᾶσαν ὁμοῦ διασύρειν τὴν εὐαγγελικὴν οἰκονομίαν ἐπιχειρῶν. Ποία γὰρ ἄφεσις παραπτωμάτων; ποία ζωῆς ἀνανέωσις ἐν θαλάσσῃ; ποῖον χάρισμα πνευματικὸν διὰ Μωϋσέως; ποία νέκρωσις ἁμαρτίας ἐκεῖ; Οὐ συναπέθανον ἐκεῖνοι Χριστῷ· διόπερ οὐδὲ συνηγέρθησαν. Οὐκ ἐφόρησαν τὴν εἰκόνα τοῦ ἐπουρανίου, οὐ τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιήνεγκαν, οὐκ ἀπεδύσαντο τὸν παλαιὸν ἄνθρωπον, οὐκ ἐνεδύσαντο τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν, κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν. Τί οὖν συγκρίνεις τὰ βαπτίσματα, ὧν ἡ προσηγορία μόνη D κοινὴ, ἡ δὲ τῶν πραγμάτων διαφορὰ τοσαύτη, ὅση ἂν γένοιτο ὀνείρου πρὸς τὴν ἀλήθειαν, καὶ σκιᾶς καὶ εἰκόνων πρὸς τὰ κατ' οὐσίαν ὑφεστηκότα;

Ἀλλὰ καὶ ἡ εἰς τὸν Μωϋσέα πίστις οὐ τὴν εἰς τὸ Πνεῦμα πίστιν ὀλίγου τινὸς ἀξίαν δεικνυσιν· ἀλλὰ κατὰ τὸν τούτων λόγον, μᾶλλον τὴν εἰς τὸν Θεὸν τῶν ὅλων ὁμολογίαν κατασμικρύνει. *Ἐπίστευσε γὰρ*, φησὶν, *ὁ λαὸς τῷ Θεῷ, καὶ Μωϋσεῖ τῷ θεράποντι αὐτοῦ.* Θεῷ τοίνυν συνέζευκται, οὐχὶ τῷ Πνεύματι· καὶ τύπος ἦν οὐχὶ τοῦ Πνεύματος, ἀλλὰ τοῦ Χριστοῦ. Τὸν γὰρ μεσίτην Θεοῦ καὶ ἀνθρώπων δι' ἑαυτοῦ τότε προαπετύπου ἐν τῇ τοῦ νόμου

servata autem sunt a Deo primogenita, ne ea tangeret exstinctor, ut ostenderetur, nos jam non amplius mori in Adam, qui in Christo vivificati sumus. Cæterum mare et nebula, in præsenti quidem, inducebat ad fidem per admirationem; in futurum autem, tanquam typus gratiam venturam præsignabat. *Quis sapiens, et intelliget hæc* [1]? quomodo mare, per figuram baptisma, separans a Pharaone, quemadmodum et lavacrum hoc a diaboli tyrannide. Illud occidit hostem in sese, moritur et hic inimicitia, quæ nobis fuit cum Deo. Ab illo populus exiit illæsus; ascendimus et nos ab aquis tanquam ex mortuis vivi, servati per gratiam ejus qui vocavit nos. Nubes autem umbra doni Spiritus, qui libidinum flammam mortificando membra refrigerat.

Quid igitur? num quia typice in Moysen baptizati sunt, ideo exigua est gratia baptismatis? Sane hoc pacto nec aliud quidquam in nostris mysteriis fuerit magnum, si quod in singulis augustum est, per præcedentes figuras deprimamus. Ac ne Dei quidem erga homines charitas magnum quiddam et eximium, qui unigenitum Filium dedit pro peccatis nostris: quandoquidem et Abraham filio suo non pepercit [2]. Nec Domini passio gloriosa; siquidem aries loco Isaac victimæ figuram explevit [3]. Neque descensus ad inferos horribilis; quando quidem Jonas tribus diebus, ac totidem noctibus, mortis figuram prius explevit [4]. Idem ergo facit et de baptismate, qui veritatem cum umbra comparat, et cum figuris confert ea quæ figuris significantur, ac per Moysen et mare totam simul evangelicam dispensationem elevare aggreditur. Nam quæ peccatorum remissio, quæ vitæ renovatio in mari, quod donum spirituale per Moysen? quæ illic peccati interemptio? Non illi Christo commortui sunt, eoque nec cum illo resuscitati sunt [5]. Non portabant imaginem illius cœlestis [6], non mortificationem Jesu in corpore circumferebant [7], non exuerunt veterem hominem, non induerunt novum, qui renovatur in agnitionem secundum imaginem illius qui eum condidit [8]. Quid igitur confers baptismata, quorum sola communis appellatio; rerum autem tanta differentia, quanta somnii a veritate, ac umbræ et imaginum, ab his quæ revera subsistunt.

Sed et ipsa fides in Moysen non fidem in Spiritum parvæ esse dignitatis ostendit; sed secundum istorum ratiocinationem, ea potius, quæ de Deo universorum profitemur, extenuat. *Credidit enim, inquit, populus Deo, et Moysi famulo ejus* [9]. Deo itaque copulatus est Moyses, non Spiritui; eratque typus, non Spiritus, sed Christi. Nam Dei et hominum mediatorem [10] per se ipsum tunc in ministerio legis præfigurabat. Neque enim Spiritus

[1] Ose. XIV, 10. [2] Gen. XXII, 16. [3] ibid. 13. [4] Jon. II, 1. [5] Rom. VI, 8. [6] I Cor. XV, 49. [7] II Cor. IV, 10. [8] Coloss. III, 9, 10. [9] Exod. XIV, 31. [10] I Tim. II, 5.

figura erat Moyses, inter Deum et populum intercedens. Data est enim lex disposita per angelos, in manu mediatoris [1] (videlicet Moysis), secundum provocationem populi dicentis: *Loquere tu nobis, et non loquatur nobis Deus* [2]. Itaque fides in Moysen ad Dominum refertur, mediatorem inter Deum et homines, qui dixit: *Si crederetis Moysi, crederetis utique mihi* [3]. An igitur parvi momenti fides in Dominum, quia per Moysen præsignata est? Sic si quis in Moysen baptizatus est, non idcirco exigua Spiritus gratia in baptismate. Quanquam alioqui possum dicere consuetudinem esse Scripturæ, Moysis nomine etiam significare legem, velut illud: *Habent Moysen et prophetas* [4]. Itaque de legali baptismate loquens, Baptizati sunt, inquit, in Moyse [5]. Cur igitur gloriationem nostræ spei, et dives illud B Dei ac Servatoris nostri donum, qui per regenerationem renovat, velut aquilæ, juventutem nostram, contemptibile reddere conantur ii, qui ex umbra et figuris calumniantur veritatem? Profecto animi omnino infantilis est, puerique cui revera lacte est opus, ignorare magnum illud mysterium nostræ salutis: quod quemadmodum ad disciplinas discendas introduci solemus, ita in exercitatione pietatis, dum ad perfectionem inducimur, primum rebus quæ facilius percipiuntur, et quarum cognitio nobis congruit, ceu primis quibusdam elementis instituti sumus; Deo qui nostra gubernat, quasi oculos in tenebris enutritos, ad magnum veritatis lumen, paulatim assuefaciendo, subve- C hente. Dum enim infirmitati nostræ parcit, in profunda sapientiæ suæ opulentia, inque imperscrutabilibus intelligentiæ suæ judiciis placidam hanc nobisque accommodam adhibuit institutionem, prius corporum umbras intueri, et in aquis solem cernere consuefaciens, ne protinus spectaculo puræ lucis offensi caligaremus. Ad consimilem enim rationem tum lex umbram habens futurorum [6], tum per prophetas facta olim delineatio, quæ est veritatis ænigma, exercitamenta oculorum cordis excogitata sunt: quod videlicet ab his futurus erat nobis transitus facilis ad reconditam in mysterio sapientiam.

D

Ejusdem quod in omni notione Spiritus sanctus inseparabilis est a Patre et Filio, sive in creatione intelligibilium creaturarum, sive in humanarum rerum dispensatione, sive in judicio quod exspectatur. Cap. 16.

Ad id igitur quod initio institutum est redeamus, quod videlicet in omnibus Spiritus sanctus inseparabilis et prorsus indistractus sit a Patre et Filio. Paulus Corinthiis scribens eo in loco in quo de dono linguarum tractat, ait: *Si omnes prophetis, ingrediatur autem aliquis infidelis, aut idiota, arguitur ab omnibus, dijudicatur*

A διακονίᾳ. Οὐ γὰρ τοῦ Πνεύματος τύπος ἦν Μωϋσῆς, τὰ πρὸς τὸν Θεὸν τῷ λαῷ μεσιτεύων. Ἐδόθη γὰρ νόμος διαταγεὶς δι' ἀγγέλων, ἐν χειρὶ μεσίτου (δηλαδὴ τοῦ Μωϋσέως), κατὰ τὴν πρόκλησιν τοῦ λαοῦ λέγοντος· *Λάλησον σὺ*, φησὶ, *πρὸς ἡμᾶς, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ Θεός*. Ὥστε ἡ εἰς αὐτὸν πίστις ἐπὶ τὸν Κύριον ἀναφέρεται, τὸν μεσίτην Θεοῦ καὶ ἀνθρώπων, τὸν εἰπόντα· *Εἰ ἐπιστεύετε Μωϋσῇ, ἐπιστεύετε ἂν ἐμοί*. Ἆρα οὖν μικρὸν ἡ εἰς τὸν Κύριον πίστις, ἐπειδὴ διὰ Μωϋσέως προεσημάνθη; Οὕτως οὐδὲ εἴ τις εἰς Μωϋσῆν ἐβαπτίσθη, μικρὰ ἡ ἀπὸ τοῦ Πνεύματος ἐπὶ τὸ βάπτισμα χάρις. Καίτοιγε ἔχω λέγειν, ὅτι Μωϋσῆν καὶ τὸν νόμον τῇ Γραφῇ λέγειν σύνηθες· ὡς τὸ, *Ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας*. Τὸ οὖν νομικὸν βάπτισμα λέ- B γων, Ἐβαπτίσθησαν, εἶπεν, εἰς τὸν Μωϋσῆν. Τί οὖν τὸ καύχημα τῆς ἐλπίδος ἡμῶν, καὶ τὴν πλουσίαν τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν δωρεὰν, τοῦ διὰ τῆς παλιγγενεσίας ἀνακαινίζοντος ἡμῶν, ὡς ἀετοῦ, τὴν νεότητα, εὐκαταφρόνητον δεικνύουσιν οἱ ἀπὸ τῆς σκιᾶς καὶ τῶν τύπων τὴν ἀλήθειαν διαβάλλοντες; Ἤπου νηπίας φρενὸς παντελῶς τοῦτο, καὶ παιδός τινος ὡς ἀληθῶς γάλακτος δεομένου, ἀγνοεῖν τὸ μέγα τῆς σωτηρίας ἡμῶν μυστήριον, ὅτι κατὰ τὸν εἰσαγωγικὸν τῆς διδασκαλίας τρόπον, ἐν τῇ κατὰ τὴν εὐσέβειαν γυμνασίᾳ πρὸς τὴν τελείωσιν ἐναγόμενοι, τοῖς εὐληπτοτέροις πρῶτον καὶ συμμέτροις ἡμῖν κατὰ τὴν γνῶσιν ἐστοιχειώθημεν· τοῦ οἰκονομοῦντος τὰ ἡμέτερα, ὥσπερ ὀφθαλμοὺς ἐν C σκότῳ τραφέντας, τῷ κατ' ὀλίγον ἐθισμῷ πρὸς τὸ μέγα φῶς τῆς ἀληθείας ἀνάγοντος. Φειδοῖ γὰρ τῆς ἀσθενείας ἡμῶν, ἐν τῷ βάθει τοῦ πλούτου τῆς σοφίας αὐτοῦ, καὶ τοῖς ἀνεξιχνιάστοις κρίμασι τῆς συνέσεως τὴν προσηνῆ ταύτην καὶ εὐάρμοστον ἡμῖν ὑπέδειξεν ἀγωγὴν, τὰς σκιὰς πρότερον ὁρᾷν τῶν σωμάτων, καὶ ἐν ὕδατι βλέπειν τὸν ἥλιον προσεθίζων, ὡς μὴ εὐθὺς τῇ θέᾳ τοῦ ἀκράτου φωτὸς προσβαλόντας ἀμαυρωθῆναι. Κατὰ γὰρ τὸν ἴσον λόγον ὅ τε νόμος, σκιὰν ἔχων τῶν μελλόντων, καὶ ἡ διὰ τῶν προφητῶν προτύπωσις αἴνιγμα οὖσα τῆς ἀληθείας, γυμναστήρια τῶν ὀφθαλμῶν τῆς καρδίας ἐπινενόηται· ὡς ἀπὸ τούτων ῥᾳδίας τῆς μεταβάσεως ἡμῖν πρὸς τὴν ἀποκεκρυμμένην ἐν μυστηρίῳ σοφίαν γενησομένης.

D

Τοῦ αὐτοῦ ὅτι ἀχώριστον ἐπὶ πάσης ἐννοίας Πατρὸς καὶ Υἱοῦ τὸ ἅγιον Πνεῦμα, ἔκ τε τῆς τῶν νοητῶν δημιουργίας, καὶ ἐπὶ τῆς τῶν ἀνθρώπων οἰκονομίας, καὶ ἐπὶ τῆς προσδοκωμένης κρίσεως. Κεφάλ. ιϛ'.

Ἐπὶ οὖν τὸ ἐξ ἀρχῆς ἐπανίωμεν, ὅπως ἐν πᾶσιν ἀχώριστόν ἐστι καὶ ἀδιάστατον παντελῶς Πατρὸς καὶ Υἱοῦ τὸ ἅγιον Πνεῦμα. Ἐν τῷ περὶ τοῦ χαρίσματος τῶν γλωσσῶν τόπῳ, Κορινθίοις ἐπιστέλλων ὁ Παῦλος· *Ἐὰν πάντες*, φησὶ, *προφητεύητε, εἰσέλθη δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων*, τὰ κρυ-

[1] Gal. III, 19. [2] Exod. XX, 19. [3] Joan. V, 46. [4] Luc. XVI, 29. [5] I Cor. X, 2. [6] Hebr. X, 1.

κτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται· καὶ οὕτω πεσὼν ἐπὶ πρόσωπον, προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων, ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν ἐστιν. Εἰ τοίνυν ἐκ τῆς προφητείας, τῆς κατὰ τὴν διαίρεσιν τῶν χαρισμάτων τοῦ Πνεύματος ἐνεργουμένης, ἐπιγινώσκεται ὁ Θεὸς ἐν τοῖς προφήταις εἶναι, βουλευσάσθωσαν οὗτοι ποίαν χώραν ἀποδώσουσι τῷ Πνεύματι τῷ ἁγίῳ· πότερον μετὰ Θεοῦ τάσσειν, ἢ πρὸς τὴν κτίσιν ἐξωθεῖν δικαιότερον. Καὶ τὸ πρὸς Σάπφειραν ὑπὸ Πέτρου· *Τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ Πνεῦμα τὸ ἅγιον; οὐκ ἐψεύσασθε ἀνθρώποις, ἀλλὰ Θεῷ·* δείκνυσιν, ὅτι τὰ αὐτὰ εἰς τὸ Πνεῦμα τὸ ἅγιον καὶ εἰς Θεόν ἐστι τὰ ἁμαρτήματα. Καὶ οὕτω δ' ἂν τὸ συναφὲς καὶ ἀδιαίρετον κατὰ πᾶσαν ἐνέργειαν ἀπὸ Πατρὸς καὶ Υἱοῦ τοῦ Πνεύματος διδαχθείης. Ἐνεργοῦντος τοῦ Θεοῦ τὰς διαιρέσεις τῶν ἐνεργημάτων, καὶ τοῦ Κυρίου τὰς διαιρέσεις τῶν διακονιῶν, συμπάρεστι τὸ ἅγιον Πνεῦμα, τὴν διανομὴν τῶν χαρισμάτων πρὸς τὴν ἀξίαν ἑκάστου αὐτεξουσίως οἰκονομοῦν. *Διαιρέσεις γάρ,* φησί, *χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ Πνεῦμα. Καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος. Καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτὸς Θεός, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι. Ταῦτα δὲ πάντα,* φησίν, *ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται.* Οὐ μὴν ἐπειδὴ πρῶτον ἐνταῦθα τοῦ Πνεύματος ὁ Ἀπόστολος ἐπεμνήσθη, καὶ δεύτερον τοῦ Υἱοῦ, καὶ τρίτον τοῦ Θεοῦ καὶ Πατρός, ἤδη χρὴ καθόλου νομίζειν ἀντεστράφθαι τὴν τάξιν. Ἀπὸ γὰρ τῆς ἡμετέρας σχέσεως τὴν ἀρχὴν ἔλαβεν· ἐπειδὴ ὑποδεχόμενοι τὰ δῶρα, πρῶτον ἐντυγχάνομεν τῷ διανέμοντι· εἶτα ἐννοοῦμεν τὸν ἀποστείλαντα· εἶτα ἀνάγομεν τὴν ἐνθύμησιν ἐπὶ τὴν πηγὴν καὶ αἰτίαν τῶν ἀγαθῶν.

Μάθοις δ' ἂν τὴν πρὸς Πατέρα καὶ Υἱὸν τοῦ Πνεύματος κοινωνίαν καὶ ἐκ τῶν δημιουργημάτων τῶν ἐξ ἀρχῆς. Αἱ γὰρ καθαραὶ καὶ νοεραὶ καὶ ὑπερκόσμιοι δυνάμεις ἅγιαι καί εἰσι καὶ ὀνομάζονται, ἐκ τῆς παρὰ τοῦ ἁγίου Πνεύματος ἐνδοθείσης χάριτος τὸν ἁγιασμὸν κεκτημέναι. Ὥστε ἀποσεσιώπηται μὲν ὁ τρόπος τῆς κτίσεως τῶν οὐρανίων δυνάμεων· ἀπὸ γὰρ τῶν αἰσθητῶν μόνον τὸν Δημιουργὸν ἡμῖν ὁ τὴν κοσμογονίαν συγγραψάμενος ἀπεκάλυψε. Σὺ δέ, ἔχων δύναμιν ἐκ τῶν ὁρατῶν ἀναλογίζεσθαι τὰ ἀόρατα, δόξαζε τὸν Ποιητὴν ἐν ᾧ ἐκτίσθη τὰ πάντα, εἴτε ὁρατά, εἴτε ἀόρατα, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι, εἴτε δυνάμεις, εἴτε θρόνοι, εἴτε κυριότητες, καὶ εἴ τινές εἰσιν ἕτεραι λογικαὶ φύσεις, ἀκατονόμαστοι (5). Ἐν δὲ τῇ τούτων κτίσει ἐννόησόν μοι τὴν προκαταρκτικὴν αἰτίαν τῶν γινομένων, τὸν Πατέρα· τὴν δημιουργικήν, τὸν Υἱόν· τὴν τελειωτικήν, τὸ Πνεῦμα· ὥστε βουλήματι μὲν τοῦ Πατρὸς τὰ λειτουργικὰ πνεύματα ὑπάρχειν, ἐνεργείᾳ δὲ Υἱοῦ εἰς τὸ εἶναι παράγεσθαι, παρουσίᾳ δὲ τοῦ Πνεύματος τελειοῦσθαι. Τελείωσις δὲ ἀγγέλων ἁγιασμός, καὶ ἡ ἐν τούτῳ διαμονή. Καὶ μηδεὶς οἰέσθω με ἢ τρεῖς εἶναι λέγειν ἀρχικὰς ὑποστάσεις, ἢ ἀτελῆ φάσκειν τοῦ Υἱοῦ τὴν ἐνέργειαν. Ἀρχὴ γὰρ τῶν ὄντων μία,

A *ab omnibus: occulta cordis ejus manifesta fiunt, atque ita procidens in faciem, adorabit Deum, renuntians quod Deus sit vere in vobis* [1]. Itaque, si ex prophetia, quæ juxta distributionem donorum Spiritus editur, agnoscitur Deus in prophetis esse, consultent isti quem locum attributuri sint Spiritui sancto: utrum æquius sit illum cum Deo jungere, an ad creaturarum ordinem extrudere. Quin et ista Petri ad Sapphiram verba, *Quid est quod convenit inter vos tentare Spiritum sanctum? non mentiti estis hominibus, sed Deo* [2]; ostendunt eadem in Spiritum sanctum, et in Deum esse peccata. Atque hoc etiam pacto discere poteris, Spiritum sanctum in omni operatione conjunctum et
B inseparabilem esse a Patre et Filio. Cum Deus efficit distributiones operationum, ac Dominus divisiones ministrationum, simul adest Spiritus sanctus, partitionem donorum pro cujusque dignitate proprio arbitrio dispensans. *Nam,* inquit, *divisiones donorum sunt, idem autem Spiritus. Et divisiones administrationum sunt, idem autem Dominus. Et divisiones operationum sunt, idem autem Deus, qui operatur omnia in omnibus. Hæc autem omnia,* inquit, *operatur unus et idem Spiritus, dividens seorsim cuique, prout vult* [3]. Attamen non quoniam Apostolus primo loco meminit Spiritus, secundo Filii, tertio Dei et Patris, protinus oportet suspicari ordinem omnino inversum esse. A nostra siquidem habitudine sumpsit exordium. Nam cum
C dona accipimus; nobis is qui distribuit, occurrit primum; mox cogitamus eum qui misit; postremo cogitationem perducimus ad fontem auctoremque bonorum.

Jam etiam ex rebus initio conditis discas licet Spiritus cum Patre et Filio communionem. Nam puræ et intelligentes et supermundanæ virtutes, sanctæ tum sunt, tum nominantur, ex gratia a Spiritu sancto infusa sanctimoniam consecutæ. Quare silentio prætermissus est modus creationis cœlestium virtutum; nam ex sensibilibus tantum creatorem nobis aperuit is qui conditi orbis conscripsit historiam. Tu vero, qui facultatem habes ex visibilibus invisibilia depre-
D hendendi, glorifica Conditorem in quo condita sunt omnia, sive visibilia, sive invisibilia, sive principatus, sive potestates, sive virtutes, sive throni, sive dominationes [4], et si quæ aliæ sunt rationales naturæ, quæ nominari non possunt. In horum autem creatione cogita mihi primariam causam eorum quæ fiunt, Patrem; conditricem, Filium; perfectricem, Spiritum sanctum: ut voluntate quidem Patris sint administratorii spiritus, Filii vero operatione perducantur ut sint, Spiritus autem præsentia perficiantur. Porro angelorum perfectio est sanctificatio, et in hac perseverantia. Ac nemo me credat tres originales hypostases ponere, aut Filii operationem dicere

[1] I Cor. xiv, 21, 25. [2] Act. v, 9, 4. [3] I Cor. xii, 4-11. [4] Col. i, 16.

imperfectam. Principium enim eorum quæ sunt, A unum est, per Filium condens et perficiens in Spiritu. Ac nec Pater, qui operatur omnia in omnibus, imperfectam habeat operationem: neque Filius inconsummatam creationem, nisi a Spiritu perficiatur. Hoc enim pacto nec Pater opus habebit Filio, sola voluntate creans; attamen vult creare per Filium. Neque Filius egebit auxilio, juxta Patris similitudinem operans, sed et Filius vult per Spiritum perficere: nam *Verbo Domini cœli firmati sunt, et Spiritu oris ejus omnis virtus eorum* [1]. Itaque nec Verbum est significativa aeris percussio per vocis instrumenta prolata: nec Spiritus oris halitus partibus respiratoriis efflatus: sed Verbum est quod in principio erat B apud Deum, et Deus erat [2]. Spiritus autem oris Dei, Spiritus est veritatis, qui a Patre procedit [3]. Itaque tria intelligis, mandantem Dominum, creans Verbum, et confirmantem Spiritum. Quæ porro alia possit esse confirmatio, quam in sanctimonia perfectio; confirmationis voce significante constantiam, immutabilitatem et soliditatem in bono? Sanctificatio autem non est absque Spiritu. Neque enim cœlorum virtutes suapte natura sanctæ sunt; alioquin nihil differrent a Spiritu sancto; sed juxta proportionem qua se invicem superant, a Spiritu habent sanctificationis mensuram. Quemadmodum enim cauterium non sine igne intelligitur, cum aliud sit subjecta materia, et aliud ignis: itidem et in cœlestibus virtutibus, C substantia quidem earum, puta spiritus est aerius, aut ignis immaterialis, juxta id quod scriptum est, *Qui facit angelos suos spiritus, et ministros suos flammam ignis* [4]; quapropter et in loco sunt, et fiunt visibiles, dum iis qui digni sunt, apparent in specie propriorum corporum. Sed sanctificatio, quæ est extra substantiam illorum, perfectionem illis affert per communionem Spiritus. Conservant autem dignitatem per perseverantiam in bono, habentes quidem in eligendo liberum arbitrium, nunquam tamen ab ejus qui vere bonus est consortio excidentes: ita ut si subduxeris ratione Spiritum, perierint angelorum choreæ, sublatæ sint quoque archangelorum præfecturæ, atque confusa fuerint omnia: vita D ipsorum nulli legi, nulli ordini, nulli regulæ subjaceat. Quomodo enim dicent angeli: *Gloria in excelsis Deo* [5], nisi a Spiritu accepta potestate? *Nemo siquidem potest dicere Dominum Jesum, nisi in Spiritu sancto, et nullus in Spiritu Dei loquens dixit Jesum anathema* [6]; quod sane dixerint pravi et adversarii spiritus, quorum lapsus comprobat quod dicimus, virtutes invisibiles esse sui arbitrii, æque ad virtutem atque ad vitium vertibiles, et ob id opus habentes auxilio Spiritus. Ego vero ipsum Gabrielem haud alio modo arbitror prædicere futura [7], quam præ-

δι' Υἱοῦ δημιουργοῦσα, καὶ τελειοῦσα ἐν Πνεύματι. Καὶ οὔτε Πατὴρ, ὁ τὰ πάντα ἐν πᾶσιν ἐνεργῶν, ἀτελῆ ἔχει τὴν ἐνέργειαν· οὔτε Υἱὸς ἐλλιπῆ τὴν δημιουργίαν, μὴ τελειουμένην παρὰ τοῦ Πνεύματος. Οὕτω γὰρ ἂν οὔτε Πατὴρ προσδεηθείη Υἱοῦ, μόνῳ τῷ θέλειν δημιουργῶν, ἀλλ' ὅμως θέλει διὰ Υἱοῦ· οὔτ' ἂν συνεργίας προσδεηθείη, καθ' ὁμοιότητα τοῦ Πατρὸς ἐνεργῶν· ἀλλὰ καὶ Υἱὸς θέλει διὰ τοῦ Πνεύματος τελειοῦν· *Τῷ Λόγῳ γὰρ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.* Οὔτε οὖν Λόγος ἀέρος τύπωσις σημαντικὴ, διὰ φωνητικῶν ὀργάνων ἐκφερομένη· οὔτε Πνεῦμα στόματος ἀτμὸς, ἐκ τῶν ἀναπνευστικῶν μερῶν ἐξωθούμενος· ἀλλὰ Λόγος B μὲν ὁ πρὸς Θεὸν ὢν ἐν ἀρχῇ, καὶ Θεὸς ὤν· Πνεῦμα δὲ στόματος Θεοῦ τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. Τρία τοίνυν νοεῖς, τὸν προστάσσοντα Κύριον, τὸν δημιουργοῦντα Λόγον, τὸ στερεοῦν τὸ Πνεῦμα. Τί δ' ἂν ἄλλο εἴη στερέωσις ἢ ἡ κατὰ τὸν ἁγιασμὸν τελείωσις, τὸ ἀνένδοτον καὶ ἄτρεπτον καὶ παγίως ἐρηρεισμένον ἐν ἀγαθῷ τῆς στερεώσεως ἐμφαινούσης; Ἁγιασμὸς δὲ οὐκ ἄνευ Πνεύματος. Οὐ γὰρ φύσει ἅγιαι αἱ τῶν οὐρανῶν δυνάμεις· ἢ οὕτω γ' ἂν οὐδεμίαν πρὸς τὸ ἅγιον Πνεῦμα τὴν διαφορὰν ἔχοιεν· ἀλλὰ κατὰ ἀναλογίαν τῆς πρὸς ἀλλήλας ὑπεροχῆς, τοῦ ἁγιασμοῦ τὸ μέτρον παρὰ τοῦ Πνεύματος ἔχουσαι. Ὡς γὰρ ὁ καυτὴρ μετὰ τοῦ πυρὸς νοεῖται, καὶ ἄλλο μέντοι ἡ ὑποκειμένη ὕλη, καὶ ἄλλο τὸ πῦρ· οὕτω καὶ ἐπὶ τῶν C οὐρανίων δυνάμεων, ἡ μὲν οὐσία αὐτῶν, ἀέριον πνεῦμα, εἰ τύχοι, ἢ πῦρ ἄϋλον, κατὰ τὸ γεγραμμένον· *Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα·* διὸ καὶ ἐν τόπῳ εἰσὶ, καὶ ὁρατοὶ γίνονται, ἐν τῷ εἴδει τῶν οἰκείων αὐτῶν σωμάτων τοῖς ἀξίοις ἐμφανιζόμενοι. Ὁ μέντοι ἁγιασμὸς, ἔξωθεν ὢν τῆς οὐσίας, τὴν τελείωσιν αὐτοῖς ἐπάγει διὰ τῆς κοινωνίας τοῦ Πνεύματος. Φυλάσσουσι δὲ τὴν ἀξίαν τῇ ἐπιμονῇ τοῦ καλοῦ, ἔχουσαι μὲν ἐν προαιρέσει τὸ αὐτεξούσιον, οὐδέποτε δὲ ἐκ τῆς τοῦ ὄντως ἀγαθοῦ προσεδρείας ἐκπίπτουσαι· ὡς ἐὰν ὑφέλῃς τῷ λόγῳ τὸ Πνεῦμα, λέλυνται μὲν ἀγγέλων χορεῖαι, ἀνῄρηνται δὲ ἀρχαγγέλων ἐπιστασίαι, συγκέχυται δὲ τὰ πάντα· ἀνομοθέτητος, ἄτακτος, ἀόριστος αὐτῶν D ἡ ζωή. Πῶς μὲν γὰρ εἴπωσιν ἄγγελοι· *Δόξα ἐν ὑψίστοις Θεῷ,* μὴ δυναμωθέντες ὑπὸ τοῦ Πνεύματος; *Οὐδεὶς γὰρ δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ, καὶ οὐδεὶς ἐν Πνεύματι Θεοῦ λαλῶν λέγει ἀνάθεμα Ἰησοῦν·* ὅπερ εἴποι ἂν τὰ πονηρὰ καὶ ἀντικείμενα πνεύματα, ὧν ἡ ἀπόπτωσις συνίστησι τὸν λόγον, τοῦ αὐτεξουσίους εἶναι τὰς ἀοράτους δυνάμεις, ἰσοῤῥόπως ἐχούσας πρὸς ἀρετὴν καὶ κακίαν, καὶ διὰ τοῦτο δεομένας τῆς τοῦ Πνεύματος βοηθείας. Ἐγὼ καὶ τὸν Γαβριὴλ προλέγειν τὰ μέλλοντα οὐδαμῶς ἄλλως φημὶ ἢ τῇ προγνώσει τοῦ Πνεύματος. Διότι ἓν τῶν ἐκ τῆς διαιρέσεως τοῦ Πνεύματος χαρισμάτων ἐστὶν ἡ προ-

[1] Psal. xxxii, 6. [2] Joan. i, 1. [3] Joan. xv, 25. [4] Psal. ciii, 4. [5] Luc. ii, 14. [6] I Cor. xii, 3. [7] Luc. i, 26.

φητεία. Ὁ δὲ τὰ μυστήρια τῆς ὀπτασίας τῷ ἀνδρὶ τῶν ἐπιθυμιῶν ἐπιταχθεὶς διαγγεῖλαι, πόθεν σοφισθεὶς εἶχε διδάσκειν τὰ κεκρυμμένα, εἰ μὴ τῷ Πνεύματι τῷ ἁγίῳ; τῆς ἀποκαλύψεως τῶν μυστηρίων ἰδίως τῷ Πνεύματι προσηκούσης, κατὰ τὸ γεγραμμένον, ὅτι *Ἡμῖν ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος*. Θρόνοι δὲ καὶ κυριότητες, καὶ ἀρχαὶ καὶ ἐξουσίαι, πῶς ἂν τὴν μακαρίαν διεξῆγον ζωὴν, εἰ μὴ διὰ παντὸς ἔβλεπον τὸ πρόσωπον τοῦ Πατρὸς τοῦ ἐν οὐρανοῖς; Τὸ δὲ βλέπειν οὐκ ἄνευ τοῦ Πνεύματος. Ὥσπερ γὰρ ἐν νυκτὶ, ἐὰν ὑφέλῃς τὸ φῶς ἀπὸ τῆς οἰκίας, τυφλαὶ μὲν αἱ ὄψεις, ἀνενέργητοι δὲ καταλείπονται αἱ δυνάμεις, ἀνεπίγνωστοι δὲ αἱ ἀξίαι, καὶ χρυσοῦ καὶ σιδήρου ὁμοίως πατουμένων διὰ τὴν ἄγνοιαν· οὕτως ἐπὶ τῆς νοητῆς διακοσμήσεως, ἀμήχανον τὴν ἔνθεσμον ἐκείνην διαμεῖναι ζωὴν ἄνευ τοῦ Πνεύματος· οὐ μᾶλλόν γε ἢ στρατοπέδου τὴν εὐταξίαν, τοῦ ταξιάρχου μὴ παρόντος· ἢ χοροῦ τὴν συμφωνίαν, τοῦ κορυφαίου μὴ συναρμόζοντος. Πῶς [ἂν] εἴπῃ τὰ σεραφὶμ, *Ἅγιος, ἅγιος, ἅγιος*, μὴ διδαχθέντα παρὰ τοῦ Πνεύματος, ποσάκις ἐστὶν εὐσεβὲς τὴν δοξολογίαν ταύτην ἀναφωνεῖν; Εἴτε οὖν αἰνοῦσι τὸν Θεὸν πάντες οἱ ἄγγελοι αὐτοῦ, καὶ αἰνοῦσιν αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ, διὰ τῆς τοῦ Πνεύματος συνεργείας· εἴτε παρεστήκασι χίλιαι χιλιάδες ἀγγέλων, καὶ μύριαι μυριάδες λειτουργούντων, ἐν τῇ δυνάμει τοῦ Πνεύματος τὸ οἰκεῖον ἔργον ἀμώμως ἐπιτελοῦσι. Πᾶσαν οὖν τὴν ὑπερουράνιον ἐκείνην καὶ ἄῤῥητον ἁρμονίαν, ἔν τε τῇ λειτουργίᾳ Θεοῦ καὶ τῇ πρὸς ἀλλήλας τῶν ὑπερκοσμίων δυνάμεων συμφωνίᾳ, ἀδύνατον φυλαχθῆναι [εἰ] μὴ τῇ ἐπιστασίᾳ τοῦ Πνεύματος. Οὕτω μὲν οὖν ἐν δημιουργίᾳ πάρεστι τὸ Πνεῦμα τὸ ἅγιον τοῖς οὐκ ἐκ προκοπῆς τελειουμένοις, ἀλλ' ἀπ' αὐτῆς τῆς κτίσεως εὐθὺς τελείοις, εἰς τὸν ἀπαρτισμὸν καὶ συμπλήρωσιν τῆς ὑποστάσεως αὐτῶν τὴν παρ' ἑαυτοῦ χάριν συνεισφερόμενον.

Τὰς δὲ περὶ τὸν ἄνθρωπον οἰκονομίας, τὰς ὑπὸ τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ τὴν ἀγαθότητα τοῦ Θεοῦ γενομένας, τίς ἀντερεῖ μὴ οὐχὶ διὰ τῆς τοῦ Πνεύματος χάριτος πεπληροῦσθαι; Εἴτε βούλει τὰ παλαιὰ σκοπεῖν· τὰς τῶν πατριαρχῶν εὐλογίας, τὴν ἐκ τῆς νομοθεσίας δεδομένην βοήθειαν, τοὺς τύπους, τὰς προφητείας, τὰ ἐν πολέμοις ἀνδραγαθήματα, τὰ διὰ τῶν δικαίων σημεῖα· εἴτε τὰ περὶ τὴν ἔνσαρκον τοῦ Κυρίου παρουσίαν οἰκονομηθέντα· διὰ τοῦ Πνεύματος. Πρῶτον μὲν γὰρ αὐτῇ τῇ σαρκὶ τοῦ Κυρίου συνῆν, χρίσμα γενόμενον, καὶ ἀχωρίστως παρὸν κατὰ τὸ γεγραμμένον· *Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός*· καὶ, *Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, ὃν ἔχρισεν ὁ Θεὸς τῷ Πνεύματι τῷ ἁγίῳ*. Ἔπειτα πᾶσα ἐνέργεια συμπαρόντος τοῦ Πνεύματος ἐνηργεῖτο. Τοῦτο καὶ ὑπὸ τοῦ διαβόλου πειραζομένῳ παρῆν. *Ἀνήχθη* γάρ, φησιν, *ὁ Ἰησοῦς ὑπὸ τοῦ Πνεύματος εἰς τὴν ἔρημον τοῦ πειρασθῆναι.*

scientia Spiritus, eo quod unum ex divisione donorum Spiritus sit prophetia. Porro qui mysteria visionis viro desideriorum jussus erat annuntiare [1], unde nactus erat sapientiam, ut posset docere arcana, nisi per Spiritum sanctum? cum patefactio mysteriorum peculiariter ad Spiritum sanctum pertineat, juxta id quod scriptum est: *Nobis reseravit Deus per Spiritum* [2]. Throni vero et dominationes, principatus et potestates, quomodo beatam traducerent vitam, nisi semper viderent vultum Patris qui in cœlis est [3]? At visio non est absque Spiritu. Quemadmodum enim si in nocte tollas lucernam e domo, cæci sunt oculi, facultates relinquuntur inertes, nec agnoscitur rerum dignitas, sed per ignorantiam aurum perinde ac ferrum conculcatur: sic in spirituali ordine, impossibile est piam illam ac sanctam vitam permanere citra Spiritum: nihilo profecto magis quam exercitus in recto ordine manere potest absente duce, aut chorus in consonantia, nisi chori præfectus temperet harmoniam. Qui possent dicere seraphim, *Sanctus, sanctus, sanctus* [4], nisi docti per Spiritum, quoties pium fuerit hujus glorificationis verba canere? Sive igitur laudant Deum omnes angeli ejus ac omnes virtutes ejus, fit Spiritus ope. Sive astant millies mille angeli, ac centies centum millia ministrantium, officium suum citra reprehensionem in virtute Spiritus perficiunt. Itaque tota illa supercœlestis et ineffabilis harmonia, tum in cultu Dei, tum in ultramundanarum virtutum inter ipsas consonantia nequaquam servari posset, nisi præesset Spiritus. Sic igitur in creatione iis, quæ non proficiendo perveniunt ad perfectionem, sed ab ipsa protinus creatione perfecta sunt, adest Spiritus sanctus; in hoc, ut perficiatur compleaturque illorum substantia, gratiam suam conferens.

Cæterum dispensationes circa hominem quæ factæ sunt a magno Deo, et Servatore nostro Jesu Christo juxta bonitatem Dei, quis negabit per Spiritus gratiam esse adimpletas? Sive velis prisca spectare, patriarcharum benedictiones, auxilium per legem datum, figuras, prophetias, fortiter in bellis gesta, miracula per sanctos edita: sive quæ circa Domini in carne adventum dispensata sunt: per Spiritum gesta sunt. Primo enim adfuit ipsi carni Domini, dum factus unctio, et inseparabiliter conjunctus, sicut scriptum est: *Super quem videris Spiritum descendentem, et manentem super eum, hic est Filius meus dilectus* [5]; et, *Jesum a Nazareth, quem unxit Deus Spiritu sancto* [6]. Deinceps omnis actio præsente Spiritu peragebatur. Hic præsens aderat cum et a diabolo tentaretur. *Deductus est* enim, inquit, *Jesus a Spiritu in desertum, ut tentaretur* [7]. Tum edenti miracula indivulse aderat. *Si enim ego*, inquit, *in Spiritu Dei ejicio dæmonia* [8].

[1] Dan. x, 10. [2] I Cor. ii, 10. [3] Matth. xviii, 10. [4] Isa. vi, 3. [5] Joan. i, 33. [6] Act. x, 38. [7] Matth. iv, 1. [8] Matth. xii, 28

Nec deseruit excitatum a mortuis. Dominus enim renovans hominem, eique iterum reddens gratiam, quam ex afflatu Dei acceptam amiserat, cum inspirasset in faciem discipulorum, quid ait? *Accipite Spiritum sanctum. Quorumcunque remiseritis peccata, remittuntur; et quorumcunque retinueritis, retenta sunt* [1]. Jam vero Ecclesiæ ordo et gubernatio nonne palam et citra contradictionem per Spiritum sanctum peragitur? *Ipse enim*, inquit, *dedit Ecclesiæ primum apostolos, deinde prophetas, tertio doctores: ad hæc virtutes, præterea dona sanationum, subsidia, gubernationes, genera linguarum* [2]. Hic enim ordo juxta distributionem donorum Spiritus digestus est.

Quin, si quis accuratius perpendat, comperiet, ne in tempore quidem illo, quo exspectata Domini apparitio fiet de cœlo, otiosum fore Spiritum sanctum, ut quidam arbitrantur: sed simul aderit in illo etiam die revelationis illius, quo judicaturus est orbem terrarum in justitia ille beatus et solus potens. Quis enim adeo ignarus est bonorum, quæ Deus præparavit dignis, ut nesciat justorum coronam esse Spiritus gratiam, quæ largius tunc perfectiusque dabitur, spirituali gloria cuique pro recte gestis distributa: In splendoribus enim sanctorum mansiones multæ sunt apud Patrem [3], hoc est, dignitatis discrimina. *Sicut enim stella a stella differt in claritate, ita et resurrectio mortuorum* [4]. Itaque qui consignati sunt Spiritu sancto in diem redemptionis, quique Spiritus primitias, quas accepere, puras et integras servaverint, ii sunt qui audient: *Euge, serve bone et fidelis, super pauca fuisti fidelis, super multa te constituam* [5]. Similiter et qui contristaverint Spiritum sanctum pravitate studiorum suorum, aut qui non fecerint lucrum e sorte data, ab iis auferetur id quod acceperunt, beneficio in alios translato: aut, secundum aliquem ex evangelistis [6], etiam penitus discindentur: dissectio siquidem intelligenda est in hoc, quod prorsus a Spiritu sancto alienabuntur. Neque enim corpus dividitur, ut una pars tradatur supplicio, altera absolvatur. Nam id quidem fabulosum, neque justo dignum judice, cum totum peccaverit, dimidium addici pœnæ. Nec anima in duas partes secatur, cum tota per totum habuerit peccandi affectum, simulque cum corpore malum operetur. Sed dissectio, ut dixi, perpetua est animæ a Spiritu alienatio. Nunc enim, tametsi non admiscetur indignis, attamen aliquo pacto videtur adesse semel baptizatis, exspectans ut salutem per conversionem consequantur; tum vero in totum ab anima, quæ gratiam ipsius profanaverit, resecabitur. Eoque non est in inferno qui confitea-

A Καὶ ἐνεργοῦντι τὰς δυνάμεις ἀχωρίστως συνῆν. Εἰ γὰρ ἐγὼ, φησὶν, *ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια*· καὶ ἐκ νεκρῶν ἀναστάντος οὐκ ἀπελείπετο. Ἀνακαινίζων γὰρ τὸν ἄνθρωπον ὁ Κύριος, καὶ ἣν ἀπώλεσε χάριν ἐκ τοῦ ἐμφυσήματος τοῦ Θεοῦ, ταύτην πάλιν ἀποδιδοὺς, ἐμφυσήσας εἰς τὸ πρόσωπον τῶν μαθητῶν, τί φησι; *Λάβετε Πνεῦμα ἅγιον. Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται· καὶ ἄν τινων κρατῆτε, κεκράτηνται.* Ἡ δὲ τῆς Ἐκκλησίας διακόσμησις οὐχὶ σαφῶς καὶ ἀναντιῤῥήτως διὰ τοῦ Πνεύματος ἐνεργεῖται; *Αὐτὸς* γὰρ *ἔδωκε*, φησὶ, *τῇ Ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, ἔπειτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν.* Αὕτη γὰρ ἡ
B τάξις κατὰ τὴν διαίρεσιν τῶν ἐκ τοῦ Πνεύματος δωρεῶν διατέτακται.

Εὕροι δὲ ἄν τις, ἀκριβῶς λογιζόμενος, καὶ ἐπὶ τοῦ καιροῦ τῆς προσδοκωμένης ἐπιφανείας τῆς ἐξ οὐρανῶν τοῦ Κυρίου μὴ ἀσυντελὲς τὸ Πνεῦμα τὸ ἅγιον, ὥς τινες οἴονται· ἀλλὰ συμπαρέσται καὶ ἐν τῇ ἡμέρᾳ τῆς ἀποκαλύψεως αὐτοῦ, καθ' ἣν κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ ὁ μακάριος καὶ μόνος δυνάστης. Τίς γὰρ οὕτως ἀνήκοος τῶν ἡτοιμασμένων παρὰ Θεοῦ ἀγαθῶν τοῖς ἀξίοις, ὡς ἀγνοεῖν, ὅτι καὶ τῶν δικαίων ὁ στέφανος ἡ τοῦ Πνεύματός ἐστι χάρις, δαψιλεστέρα τότε καὶ τελειοτέρα παρεχομένη, κατὰ τὴν ἀναλογίαν τῶν ἀνδραγαθημάτων τῆς πνευματικῆς δόξης διανεμομένης ἑκάστῳ; Ἐν γὰρ ταῖς λαμπρό-
C τησι τῶν ἁγίων μοναὶ πολλαὶ παρὰ τῷ Πατρί· τουτέστιν, ἀξιωμάτων διαφοραί. *Ὡς γὰρ ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ, οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν.* Οἱ τοίνυν σφραγισθέντες τῷ Πνεύματι τῷ ἁγίῳ εἰς ἡμέραν ἀπολυτρώσεως, καὶ ἣν ἔλαβον ἀπαρχὴν τοῦ Πνεύματος ἀκέραιον καὶ ἀμείωτον διασώσαντες, οὗτοί εἰσιν οἱ ἀκούσοντες· *Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἧς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω.* Ὁμοίως δὲ καὶ οἱ λυπήσαντες τὸ Πνεῦμα τὸ ἅγιον τῇ πονηρίᾳ τῶν ἐπιτηδευμάτων αὐτῶν, ἢ οἱ μὴ ἐπεργασάμενοι τῷ δοθέντι, ἀφαιρεθήσονται ὃ εἰλήφασιν, εἰς ἑτέρους μετατιθεμένης τῆς χάριτος· ἢ, κατά τινα τῶν εὐαγγελιστῶν, καὶ διχοτομηθήσονται παντελῶς· τῆς διχοτομίας νοουμένης κατὰ τὴν εἰς τὸ παντελὲς ἀπὸ τοῦ Πνεύματος ἀλλοτρίωσιν.
D Οὔτε γὰρ σῶμα διαιρεῖται, ὡς τὸ μὲν παραδίδοσθαι τῇ κολάσει, τὸ δὲ ἀφίεσθαι· μυθικὸν γὰρ τοῦτό γε, καὶ οὐ κατὰ δίκαιον κριτὴν, ὅλου ἡμαρτηκότος, ἐξ ἡμισείας εἶναι τὴν κόλασιν· οὔτε ψυχὴ διχῇ τέμνεται, ὅλη δι' ὅλου τὸ ἁμαρτωλὸν φρόνημα κεκτημένη, καὶ συγκατεργαζομένη τῷ σώματι τὸ κακόν. Ἀλλὰ διχοτομία, ὥσπερ ἔφην, ἡ ἀπὸ τοῦ Πνεύματος εἰς τὸ διηνεκὲς τῆς ψυχῆς ἀλλοτρίωσις. Νῦν μὲν γὰρ, εἰ καὶ μὴ ἀνακέκραται τοῖς αναξίοις, ἀλλ' οὖν παρεῖναι δοκεῖ πως τοῖς ἅπαξ ἐσφραγισμένοις, τὴν ἐκ τῆς ἐπιστροφῆς σωτηρίαν αὐτῶν ἀναμένον· τότε δὲ ἐξ ὅλου τῆς βεβηλωσάσης αὐτοῦ τὴν χάριν ψυχῆς

[1] Joan. xx, 22, 23. [2] I Cor. xii, 28. [3] Joan. xiv, 2. [4] I Cor. xv, 41, 42. [5] Matth. xxv, 21. [6] Matth. xxiv, 51.

ἀποτμηθήσεται. Διὰ τοῦτο οὐκ ἔστιν ἐν τῷ ᾅδῃ ὁ ἐξομολογούμενος, οὐδὲ ἐν τῷ θανάτῳ ὁ μνημονεύων Θεοῦ, οὐκέτι τῆς βοηθείας τοῦ Πνεύματος συμπαρούσης. Πῶς οὖν δυνατὸν νοῆσαι χωρὶς τοῦ ἁγίου Πνεύματος ἐπιτελεῖσθαι τὴν κρίσιν, ὅπου γε ὁ λόγος δείκνυσιν, ὅτι αὐτό ἐστι καὶ τὸ τῶν δικαίων βραβεῖον, ὅταν ἀντὶ τοῦ ἀῤῥαβῶνος παρασχεθῇ τὸ τέλειον· καὶ ἡ πρώτη τῶν ἁμαρτωλῶν καταδίκη, ὅταν καὶ ὃ δοκοῦσιν ἔχειν ἀφαιρεθῶσι; Τὸ δὲ μέγιστον τεκμήριον τῆς πρὸς Πατέρα καὶ Υἱὸν τοῦ Πνεύματος συναφείας, ὅτι οὕτως ἔχειν λέγεται πρὸς Θεὸν, ὡς πρὸς ἕκαστον ἔχει τὸ πνεῦμα τὸ ἐν ἡμῖν. *Τίς γὰρ οἶδε*, φησὶν, *ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τὸ ἐν αὐτῷ; Οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνωκεν, εἰ μὴ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ.*

Κεφάλ. ιθ'.

Ἔστω ταῦτα, φησὶν, ἀλλ' οὐχὶ καὶ δόξα πάντως ὀφειλομένη ἐστὶ τῷ Πνεύματι, ὥστε δοξολογίαις ἀνυψοῦσθαι παρ' ἡμῶν. Πόθεν ἂν οὖν τῆς ὑπερεχούσης πάντα νοῦν ἀξίας τοῦ Πνεύματος τὰς ἀποδείξεις λάβοιμεν, εἴπερ ἡ Πατρὸς καὶ Υἱοῦ κοινωνία μὴ ἀξιόπιστος αὐτοῖς πρὸς μαρτυρίαν ἀξιώματος ἐνομίσθη; Ἔξεστί γε μὴν πρός τε τὰ ἐκ τῶν ὀνομάτων ἀποβλέψαντας σημαινόμενα, καὶ πρὸς τὰ τῶν ἐνεργειῶν αὐτοῦ μεγέθη, καὶ πρὸς τὰς εἰς ἡμᾶς, μᾶλλον δὲ εἰς πᾶσαν τὴν κτίσιν χορηγουμένας εὐεργεσίας, τῆς μεγαλοφυΐας αὐτοῦ καὶ τῆς ἀνεφίκτου δυνάμεως ἐπὶ ποσὸν γοῦν ἐν περινοίᾳ γενέσθαι. Πνεῦμα ὠνόμασται· ὡς, *Πνεῦμα ὁ Θεός*· καὶ, *Πνεῦμα τοῦ προσώπου ἡμῶν, Χριστὸς Κύριος*. Ἅγιον· ὡς ἅγιος ὁ Πατὴρ, καὶ ἅγιος ὁ Υἱός. Τῇ μὲν γὰρ κτίσει ἑτέρωθεν ἐπεισήχθη ὁ ἁγιασμός· τῷ δὲ Πνεύματι συμπληρωτικὴ τῆς φύσεώς ἐστιν ἡ ἁγιότης. Διόπερ οὐχὶ ἁγιαζόμενόν ἐστιν, ἀλλ' ἁγιάζον. Ἀγαθόν· ὡς ἀγαθὸς ὁ Πατὴρ, καὶ ἀγαθὸς ὁ ἐκ τοῦ ἀγαθοῦ γεννηθείς· οὐσίαν ἔχον τὴν ἀγαθότητα. Εὐθές· ὡς εὐθὴς Κύριος ὁ Θεός· τῷ εἶναι αὐτοαλήθεια, καὶ αὐτοδικαιοσύνη, παρεκτροπὰς ἐπὶ θάτερα καὶ ἐκκλίσεις οὐκ ἔχον, διὰ τὸ ἄτρεπτον τῆς οὐσίας. Παράκλητος· ὡς ὁ Μονογενής· καθὼς αὐτός φησιν, ὅτι *Ἐγὼ ἐρωτήσω τὸν Πατέρα μου, καὶ δώσει ὑμῖν ἄλλον Παράκλητον*. Οὕτω κοινὰ τὰ ὀνόματα πρὸς Πατέρα καὶ Υἱὸν τῷ Πνεύματι, ἐκ τῆς κατὰ τὴν φύσιν οἰκειότητος τῶν προσηγοριῶν τούτων τυχόντι. Πόθεν γὰρ ἄλλοθεν; Πάλιν ἡγεμονικὸν, καὶ Πνεῦμα τῆς ἀληθείας, καὶ Πνεῦμα σοφίας ὠνόμασται. *Πνεῦμα θεῖον τὸ ποιῆσάν με.* Καὶ, *Τὸν Βεσελεὴλ δὲ*, φησὶν, *ἐνέπλησεν ὁ Θεὸς Πνεῦμα θεῖον σοφίας καὶ συνέσεως καὶ ἐπιστήμης*. Τὰ μὲν οὖν ὀνόματα τοιαῦτα ὑπερφυῆ καὶ μεγάλα· οὐμενουν ἔχοντά τινα εἰς δόξαν ὑπερβολήν.

Αἱ δὲ ἐνέργειαι τίνες; Ἄῤῥητοι μὲν διὰ τὸ μέγεθος, ἀνεξαρίθμητοι δὲ διὰ τὸ πλῆθος. Πῶς μὲν γὰρ νοήσομεν τὰ τῶν αἰώνων ἐπέκεινα; τίνες ἦσαν αὐτοῦ πρὸ τῆς νοητῆς κτίσεως αἱ ἐνέργειαι; πόσαι δ' ἀπ' αὐτοῦ περὶ τὴν κτίσιν χάριτες; τίς δὲ ἡ πρὸς τοὺς αἰῶνας τοὺς ἐπερχομένους δύναμις; Ἦν

A tur, neque in morte qui memor sit Dei [1], cum jam non adsit sancti Spiritus adjutorium. Quomodo igitur intelligi potest absque Spiritu sancto fieri judicium, cum Scriptura declaret ipsum esse et justorum præmium [2], quando pro arrhabone exhibebitur quod perfectum est; et primam peccatorum condemnationem, cum eo etiam quod habere videntur, spoliati fuerint? Porro maximum argumentum conjunctionis illius, quam Spiritus cum Patre et Filio habet, illud est, quod eodem modo dicitur habere se erga Deum, quo erga unumquemque nostrum se habet spiritus, qui est in nobis. *Quis enim*, inquit, *hominum novit ea quæ sunt hominis, nisi spiritus qui est in ipso? Sic et quæ Dei sunt,* B *nemo novit, nisi Spiritus qui ex Deo est* [3].

Caput 19.

Sit ita, inquiunt, at ea gloria nullo pacto debetur Spiritui, ut a nobis glorificationibus sit extollendus. Unde igitur probaturi sumus Spiritus dignitatem intellectum omnem superantem, si Patris et Filii communio visa est istis minime sufficiens ad id testificandum? Sane possumus et ad ea quæ nominibus significantur respicientes, et ad operationum ejus magnitudinem, et ad beneficia quæ in nos, imo quæ in omnem creaturam confert, pro modulo nostro naturæ illius sublimitatem ac potentiam incomprehensibilem percipere. Spiritus vocatus est, ut est illud, *Spiritus Deus* [4]; et, *Spiritus vultus nostri, Christus Dominus* [5]. Sanctus C dicitur, quemadmodum sanctus Pater, et sanctus Filius. Creaturæ siquidem inducta est aliunde sanctimonia; Spiritui vero sanctitas completiva est naturæ. Ideoque non sanctificatur, sed sanctificat. Bonus item dicitur sicut Pater bonus est, et sicut bonus est is qui ex bono natus est: cui bonitas est ipsa essentia. Rectus vocatur, ut rectus Dominus Deus [6], eo quod per se sit ipsa veritas, et ipsa justitia, nec in hanc nec in illam partem se vertens aut flectens, propter naturæ immutabilitatem. Paracletus nuncupatur velut Unigenitus: sicut ipse ait, *Ego rogabo Patrem meum, et dabit vobis alium Paracletum* [7]. Hoc pacto communia sunt nomina Patri, Filio et Spiritui sancto, qui has appellationes ex naturæ consortio habet. Unde enim aliunde? D Rursum Spiritus principalis, et Spiritus veritatis, et Spiritus sapientiæ dictus est. *Spiritus divinus qui me fecit* [8]; et, *Beseleel*, inquit, *implevit Deus Spiritu divino sapientiæ et intellectus et scientiæ* [9]. Talia igitur nomina eximia illa quidem et magna, nec tamen, quod ad gloriam attinet, exaggerationem ullam habentia.

At operationes quales sunt? Ineffabiles quidem ob magnitudinem, innumerabiles vero ob multitudinem. Nam quo pacto intelligemus ea quæ fuerunt ante sæcula? quæ erant illius operationes ante creaturam intelligibilem? quanta autem ab illo beneficia in creaturam? ad hæc, quæ potestas ad

[1] Psal. vi, 6. [2] I Petr. i, 12. [3] I Cor. ii, 11. [4] Joan. iv, 24. [5] Thren. iv, 20. [6] Psal. xci, 16. [7] Joan. xiv, 16. [8] Job xxxiii, 4. [9] Exod. xxxi, 3.

ventura sæcula? Erat enim, et ante erat, et simul aderat cum Patre et Filio ante sæcula. Quare etiamsi quid cogitaris ante sæcula, hoc tamen reperias Spiritu esse posterius. Quod si creationem reputes, consolidatæ sunt cœlorum virtutes a Spiritu, ita ut consolidationem intelligas firmitatem, quæ non facile bonorum habitu excidat. Etenim quod Deo conjunctæ sunt, quodque ad malitiam verti non queunt, quodque in beatitudine perpetuo perseverant virtutes, id illis a Spiritu accedit. Christi adventus; Spiritus præcurrit. In carne adventus, et Spiritus inseparabilis. Operationes virtutum, dona sanationum; sed per Spiritum sanctum. Dæmones expulsi in Spiritu Dei. Diabolus spoliatus est imperio simul præsente Spiritu. Peccatorum facta remissio, sed in gratia Spiritus. *Abluti enim estis et sanctificati in nomine Domini nostri Jesu Christi, et in Spiritu sancto* [1]. Conjunctio cum Deo fit per Spiritum. *Misit enim Deus Spiritum Filii sui in corda nostra, clamantem, Abba Pater* [2]. Resurrectio a mortuis, Spiritus virtute. *Emittes siquidem Spiritum tuum, et creabuntur, et renovabis faciem terræ* [3]. Sive quis creationem accipiat de exstinctorum reviviscentia; an non magna Spiritus operatio, qui nobis suppeditat vitam ex resurrectione, et ad spiritualem illam vitam animas nostras adaptat? Sive creatio dicatur esse eorum, qui hic per peccatum lapsi sunt, in meliorem statum mutatio (nam ita quoque nonnunquam usurpatur juxta Scripturæ consuetudinem, velut cum Paulus dicit, *Si qua in Christo nova creatura* [4]), renovatio quæ hic fit, et a vita terrestri ac turbulentis affectibus obnoxia ad cœlestem conversationem transmutatio, quæ fit in nobis per Spiritum, ad summam admirationem deducit animos nostros. In his utrum metuere debemus, ne dignitatem immodicis honoribus transgrediamur? an contra, ne illius notionem ad humilia deprimamus, etiamsi videamur maxima de eo loqui, quæ quidem humana mente concipi, humanaque lingua proferri possunt? Hæc dicit Spiritus sanctus, sicut hæc dicit Dominus: *Descende, et perge cum illis, nihil hæsitans, quoniam ego misi illos* [5]. Num hæc sunt abjecti ac metu consternati verba? *Separate mihi Barnabam et Saulum in opus ad quod accersivi illos* [6]. Num servus ita loquitur? Et Isaias: *Dominus misit me, et Spiritus ejus* [7]; et, *Descendit Spiritus a Domino, et deduxit illos* [8]. At ne rursus mihi deductionem accipias pro humili ministerio. Nam hoc opus etiam Dei esse testatur Scriptura. *Deduxisti*, inquit, *sicut oves populum tuum* [9]; et, *Qui deducis velut ovem Joseph* [10]; et, *Deduxit eos in spe, et non timuerunt* [11]. Proinde cum audieris, *Cum venerit Paracletus, ille vobis suggeret, ac vos ducet in omnem veritatem* [12]: cogita deductionem, sicuti doctus es; ne calumnieris cogitatum.

A μὲν γὰρ καὶ προῆν, καὶ συμπαρῆν τῷ Πατρὶ καὶ τῷ Υἱῷ πρὸ τῶν αἰώνων. Ὥστε, κἂν τι νοήσῃς τῶν αἰώνων ἐπέκεινα, τοῦτο εὑρήσεις τοῦ Πνεύματος κατωτέρω. Ἐάν τε τὴν κτίσιν ἐνθυμηθῇς, ἐστερεώθησαν αἱ τῶν οὐρανῶν δυνάμεις παρὰ τοῦ Πνεύματος· τῆς στερεώσεως δηλονότι ἐπὶ τὸ δυσμετάπτωτον τῆς ἀπὸ τῶν ἀγαθῶν ἕξεως νοουμένης. Ἡ γὰρ πρὸς Θεὸν οἰκείωσις, καὶ τὸ πρὸς κακίαν ἄτρεπτον, καὶ τὸ ἐν μακαριότητι διαρκὲς, παρὰ τοῦ Πνεύματος ταῖς δυνάμεσι. Χριστοῦ ἐπιδημία· καὶ τὸ Πνεῦμα προτρέχει. Ἔνσαρκος παρουσία· καὶ τὸ Πνεῦμα ἀχώριστον. Ἐνεργήματα δυνάμεων, χαρίσματα ἰαμάτων, διὰ τοῦ Πνεύματος τοῦ ἁγίου. Δαίμονες ἀπηλαύνοντο ἐν τῷ Πνεύματι τοῦ Θεοῦ. Διάβολος κατηργεῖτο συμπαρόντος τοῦ Πνεύματος.
B Ἁμαρτιῶν ἀπολύτρωσις ἐν τῇ χάριτι τοῦ Πνεύματος. *Ἀπελούσασθε γὰρ καὶ ἡγιάσθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ.* Οἰκείωσις πρὸς Θεὸν διὰ τοῦ Πνεύματος. *Ἐξαπέστειλε γὰρ ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ ἐν ταῖς καρδίαις ἡμῶν, κρᾶζον· Ἀββᾶ ὁ Πατήρ.* Ἡ ἐκ νεκρῶν ἐξανάστασις, τῇ ἐνεργείᾳ τοῦ Πνεύματος. *Ἐξαποστελεῖς γὰρ τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.* Εἴτε τὴν κτίσιν τις ἐκλαμβάνοι ἐπὶ τῆς τῶν διαλυθέντων ἀναβιώσεως, πῶς οὐ μεγάλη τοῦ Πνεύματος ἡ ἐνέργεια, τοῦ οἰκονομοῦντος ἡμῖν τὸν ἐξ ἀναστάσεως βίον, καὶ πρὸς τὴν πνευματικὴν ἐκείνην ζωὴν τὰς ψυχὰς ἡμῶν μεταρυθμίζοντος; Εἴτε λέγοιτο κτίσις ἡ ἐνταῦθα τῶν ἐξ
C ἁμαρτίας διαπεπτωκότων ἐπὶ τὸ βέλτιον μετακόσμησις (λέγεται γὰρ καὶ οὕτω κατὰ τὴν συνήθειαν τῆς Γραφῆς, ὡς ὅταν Παῦλος λέγῃ· *Εἴ τις ἐν Χριστῷ καινὴ κτίσις*), καὶ ὁ ἐνταῦθα τοίνυν ἀνακαινισμὸς, καὶ ἡ ἀπὸ τῆς γηΐνης καὶ ἐμπαθοῦς ζωῆς ἐπὶ τὴν οὐράνιον πολιτείαν μεταβολὴ, διὰ τοῦ Πνεύματος ἡμῖν γινομένη, ἐπὶ πᾶσαν ὑπερβολὴν θαύματος τὰς ψυχὰς ἡμῶν ἀνάγει. Ἐπὶ τούτοις πότερον φοβηθῶμεν μὴ τὴν ἀξίαν ὑπερβῶμεν ταῖς ὑπερβολαῖς τῶν τιμῶν· ἢ τὸ ἐναντίον, μὴ εἰς ταπεινὸν καταγάγωμεν τὴν περὶ αὐτοῦ ἔννοιαν, κἂν τὰ μέγιστα δόξωμεν ἐπ' αὐτῷ τῶν ἐξ ἀνθρωπίνης διανοίας καὶ γλώττης προφερομένων φθέγγεσθαι; Τάδε λέγει τὸ Πνεῦμα τὸ ἅγιον, ὡς τάδε λέγει Κύριος· *Κατάβηθι,*
D *καὶ πορεύου σὺν αὐτοῖς, μηδὲν διακρινόμενος, διότι ἐγὼ αὐτοὺς ἀπέσταλκα.* Μὴ ταπεινοῦ ταῦτα καὶ κατεπτηχότος τὰ ῥήματα; *Ἀφορίσατε δή μοι Βαρνάβαν καὶ τὸν Σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς.* Μὴ δοῦλος οὕτω φθέγγεται; Καὶ ὁ Ἡσαΐας· *Κύριος ἀπέσταλκέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ·* καὶ, *Κατέβη Πνεῦμα παρὰ Κυρίου, καὶ ὡδήγησεν αὐτούς.* Καὶ μή μοι τὴν ὁδηγίαν πάλιν εἰς ταπεινὴν διακονίαν ἐκλάβῃς. Τοῦτο γὰρ καὶ Θεοῦ ἔργον εἶναι ὁ λόγος διαμαρτύρεται. *Ὡδήγησας*, φησὶν, *ὡς πρόβατα τὸν λαόν σου·* καὶ, *Ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ·* καὶ *Ὡδήγησεν αὐτοὺς ἐπ' ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν.* Ὥστε ὅταν

[1] I Cor. VI, 11. [2] Galat. IV, 6. [3] Psal. CIII, 30. [4] II Cor. V, 17. [5] Act. X, 20. [6] Act. XIII, 2. [7] Isa. XLVIII, 16. [8] Isa. LXIII, 14. [9] Psal. LXXVI, 21. [10] Psal. LXXIX, 1. [11] Psal. LXXVII, 53. [12] Joan. XIV, 26; XVI, 13.

ἀκούσῃς, ὅτι *Ὅταν ἔλθῃ ὁ Παράκλητος, ἐκεῖνος ὑμᾶς ἀναμνήσει καὶ ὁδηγήσει πρὸς πᾶσαν τὴν ἀλήθειαν*, τὴν ὁδηγίαν, ὡς ἐδιδάχθης, νόει· μὴ συκοφάντει τὴν ἔννοιαν.

Ἀλλὰ *Καὶ ἐντυγχάνει*, φησὶν, *ὑπὲρ ἡμῶν*· A Ὥστε ὅσον ἱκέτης τοῦ εὐεργέτου λείπεται, τοσοῦτον τὸ Πνεῦμα κατὰ τὴν ἀξίαν ἀποπέπτωκε τοῦ Θεοῦ. Σὺ δὲ οὔπω ἤκουσας περὶ τοῦ Μονογενοῦς, ὅτι ἐστὶν ἐν δεξιᾷ τοῦ Θεοῦ, καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν; Μὴ οὖν ὅτι τὸ Πνεῦμα ἐν σοὶ (εἴπερ δὴ ὅλως ἐν σοὶ), μηδ' ὅτι ἀποτυφλωθέντας ἡμᾶς πρὸς τὴν ἐκλογὴν τοῦ συμφέροντος διδάσκει, καὶ ὁδηγεῖ, τούτου ἕνεκεν τὴν εὐσεβῆ καὶ ὁσίαν περὶ αὐτοῦ δόξαν ζημιωθῇς. Ὑπερβολὴ γὰρ ἀγνωμοσύνης τοῦτό γε, τὴν φιλανθρωπίαν τοῦ εὐεργέτου ἀφορμὴν ἀχαριστίας ποιεῖσθαι. Μὴ οὖν λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον. Ἀκούσατε τί φησιν ἡ ἀπαρχὴ τῶν μαρτύρων Στέφανος, τὸ δυσπειθὲς καὶ ἀνυπότακτον τῷ λαῷ ὀνειδίζων. *Ὑμεῖς*, φησὶν, *ἀεὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε*. Καὶ πάλιν ὁ Ἡσαΐας· *Παρώξυναν τὸ* B *Πνεῦμα τὸ ἅγιον, καὶ ἐστράφη αὐτοῖς εἰς ἔχθραν*· καὶ ἑτέρωθι· *Ὁ οἶκος τοῦ Ἰακὼβ παρώργισε τὸ Πνεῦμα Κυρίου*· εἰ μὴ ἐξουσιαστικῆς δυνάμεως παραστατικὰ τὰ τοιαῦτα; Τῇ τῶν ἐντυγχανόντων κρίσει παρίημι.

Κεφάλ. κ'.

Οὔτε δοῦλόν φησιν, οὔτε δεσπότην, ἀλλ' ἐλεύθερον. Ὢ τῆς δεινῆς ἀναλγησίας, ὢ τῆς ἐλεεινῆς ἀφροσύνης τῶν ταῦτα λεγόντων! Τί πλέον αὐτῶν ὀδύρωμαι; τὸ ἀμαθὲς, ἢ τὸ βλάσφημον; οἵ γε τὰ τῆς θεολογίας δόγματα ἀνθρωπίνοις παραδείγμασι καθυβρίζουσι, καὶ τὴν ὧδε συνήθειαν, παρηλλαγμένην ἔχουσαν τῶν ἀξιωμάτων τὴν διαφορὰν, τῇ θείᾳ καὶ ἀῤῥήτῳ φύσει προσαρμόζειν ἐπιχειροῦσιν· οὐκ ἐννοοῦντες, ὅτι παρὰ μὲν ἀνθρώποις τῇ φύσει δοῦλος οὐδείς. Ἢ γὰρ καταδυναστευθέντες C ὑπὸ ζυγὸν δουλείας ἤχθησαν, ὡς ἐν αἰχμαλωσίαις· ἢ διὰ πενίαν κατεδουλώθησαν, ὡς οἱ Αἰγύπτιοι τῷ Φαραώ· ἢ κατά τινα σοφὴν καὶ ἀπόῤῥητον οἰκονομίαν οἱ χείρους τῶν παίδων ἐκ τῆς τῶν πατέρων φωνῆς τοῖς φρονιμωτέροις καὶ βελτίοσι δουλεύειν κατεδικάσθησαν· ἣν οὐδὲ καταδίκην, ἀλλ' εὐεργεσίαν εἴποι τις ἂν δίκαιος τῶν γινομένων ἐξεταστής. Τὸν γὰρ δι' ἔνδειαν τοῦ φρονεῖν οὐκ ἔχοντα ἐν ἑαυτῷ τὸ κατὰ φύσιν ἄρχον, τοῦτον ἑτέρου κτῆμα γενέσθαι λυσιτελέστερον, ἵνα, τῷ τοῦ κρατοῦντος λογισμῷ διευθυνόμενος, ὅμοιος ᾖ ἅρματι ἡνίοχον ἀναλαβόντι, καὶ πλοίῳ κυβερνήτην ἔχοντι ἐπὶ οἰάκων καθήμενον. Διὰ τοῦτο Ἰακὼβ κύριος τοῦ Ἡσαῦ ἐκ τῆς εὐλογίας τοῦ πατρὸς, ἵνα καὶ μὴ βουλόμενος παρὰ τοῦ φρονί- D μου εὐεργετῆται ὁ ἄφρων, οὐκ ἔχων τὸν οἰκεῖον κηδεμόνα τὸν νοῦν. Καὶ Χαναὰν παῖς οἰκέτης ἔσται τοῖς ἀδελφοῖς, ἐπειδὴ ἀδίδακτος ἦν τῆς ἀρετῆς, ἀσύνετον ἔχων τὸν ἑαυτοῦ πατέρα τὸν Χάμ. Ὧδε μὲν οὖν οὕτως οἱ δοῦλοι· ἐλεύθεροι δὲ, οἱ διαφυγόντες πενίαν ἢ πόλεμον, ἢ τῆς ἑτέρων κηδεμονίας ἀπροσδεεῖς. Ὥστε κἂν ὁ μὲν δεσπότης, ὁ δὲ οἰκέτης λέγηται, ἀλλ' οὖν πάντες καὶ κατὰ τὴν πρὸς ἀλλήλους ὁμοτιμίαν, καὶ ὡς κτήματα (76) τοῦ πεποιηκότος ἡμᾶς, ὁμόδουλοι. Ἐκεῖ

At, inquies, *Etiam interpellat pro nobis* [1]; proinde quantum is qui supplex est, beneficii auctore inferior est, tantum quoque Spiritus ratione dignitatis a Deo remotus. At tu nondum audisti de Unigenito, quod is est in dextera Dei, et interpellat pro nobis [2]? Itaque quia Spiritus in te est, si tamen omnino in te est, et quia nos excæcatos ad eligendum quod utile est, docet, deducitque, ne eam ob causam piam ac sanctam de eo opinionem amittas. Nam profecto summus fuerit ingrati animi gradus, benefacientis humanitatem ad ingrati animi occasionem vertere. Nolite igitur contristare Spiritum sanctum [3]. Audite quid dicat martyrum primitiæ Stephanus, inobedientiam ac rebellionem exprobrans populo. *Vos*, inquit, *semper Spiritui sancto resistitis* [4]. Et rursum Isaias: *Exacerbaverunt Spiritum sanctum, et versus est illis in inimicitiam* [5]. Et alibi, *Domus Jacob irritavit Spiritum Domini* [6]. Audita, inquam, an non hæc summam potentiam declarent? Judicio legentium permitto,

Caput 20.

Neque servus, inquit, neque dominus, sed liber. O mirum stuporem, o miserandam audaciam ista loquentium! Quid amplius deplorem: utrum inscitiam, an blasphemiam istorum? qui quidem de Deo dogmata humanis exemplis dedecorant; ac hominum consuetudinem, per quam dispar est dignitatum excellentia, ad divinam et ineffabilem naturam accommodare nituntur: haud reputantes apud homines quidem nullum esse natura servum. Aut enim potentia oppressi, sub jugum servitutis inducti sunt, velut in bello capti: aut ob paupertatem in servitutem adacti sunt, velut Ægyptii Pharaoni: aut juxta sapientem quamdam et arcanam dispensationem, qui inter filios deteriores sunt, parentum voce, sapientioribus ac melioribus in servitutem addicti sunt; quam haudquaquam condemnationem, sed beneficium potius dixerit æquus rerum æstimator. Nam qui ob sensus inopiam, non habet in sese id quod natura imperat, huic utilius est alterius fieri mancipium, ut dum dominantis prudentia dirigitur, similis sit currui qui aurigam recepit, aut navi quæ nauclerum habet clavo assidentem. Hanc ob causam Jacob dominus Esau ex benedictione patris [7], ut stultus a sapiente vel invitus beneficio afficeretur, quippe non habens proprium curatorem, videlicet mentem. Et Chanaan filius servus erit fratribus suis [8], quoniam indocilis erat ad virtutem, imprudentem habens patrem, videlicet Cham. Ad hunc igitur modum hic fiunt servi; liberi vero sunt, qui effugerunt paupertatem, aut bellum, aut qui aliorum cura non egent. Itaque quamvis hic herus, ille servus appelletur, omnes tamen et qua-

[1] Rom. VIII, 34. [2] ibid. [3] Ephes. IV, 30. [4] Act. VII, 51. [5] Isa. LXIII, 10. [6] Psal. CV, 32. [7] Gen. XXVII, 37. [8] Gen. IX, 25.

tenus sumus ejusdem inter nos conditionis, et tanquam illius qui nos condidit mancipia, conservi sumus. Illic porro quid potes e servitute eximere? Nam statim ac condita sunt, simul cum eis condita servitus. Sibi enim invicem non imperant, eo quod cœlestia plus habendi non tenentur desiderio. Deo autem subjecta omnia, ac tanquam domino debitum timorem, ac tanquam conditori debitam gloriam persolvunt. *Filius enim gloria afficit patrem, et servus dominum suum* [1]. Et ex his duobus alterum omnino Deus requirit. *Nam si Pater*, inquit, *sum ego, ubi est gloria mea? Si Dominus sum ego, ubi est timor meus* [2] ? Alioqui vita custodiæ ac inspectioni Domini non subdita, omnium maxime miserabilis foret. Cujusmodi sunt virtutes desertrices, quæ quod cervicem erexerunt adversus Deum omnipotentem, servitutem detrectant, non quod aliter natura comparatæ sint, sed quod subditæ esse nolint Creatori. Quem igitur appellas liberum? Eum qui sine rege est? qui neque imperandi alteri potestatem habet, neque alterius imperium admittit? At nec est istiusmodi natura in rebus conditis, et hoc de Spiritu cogitare aperta impietas est. Quare si Spiritus creatus est, profecto servit cum omnibus. *Omnia enim*, inquit, *serviunt tibi* [3]; sin supra creaturam est, regni quoque consors est.

Testimonia ex Scripturis Spiritum appellari Dominum. Caput 21.

Sed quid opus est ex rebus humilibus pugnantes, doctrinæ turpiter parare victoriam, cum liceat illustriorum appositione, gloriæ excellentiam, cui contradici non possit, demonstrare? Quod si proferemus ea quæ nos Scriptura docuit, forsitan magno vehementique clamore vociferabuntur, et auribus obturatis Pneumatomachi tollentes lapides, aut quidquid forte occurrerit, in arma quisque vertentes, in nos irruent. Sed non est nobis incolumitas anteponenda veritati. Invenimus igitur apud Apostolum : *Dominus autem dirigat corda vestra in dilectionem Dei, et in patientiam Christi pro tribulationibus* [4]. Quis est Dominus dirigens in dilectionem Dei, et in patientiam Christi pro tribulationibus? Respondeant nobis, qui Spiritum in servitutem adigunt. Sive enim de Deo et Patre fuisset sermo, omnino dixisset : *Dominus vos dirigat in dilectionem sui :* sive de Filio, addidisset, *in suam ipsius patientiam*. Quærant igitur quænam sit alia persona, quam Domini vocabulo deceat honorari. Huic affine est et illud, quod alibi positum est : *Dominus vos impleat et abundare faciat charitate, in vos invicem et in omnes, quemadmodum et nos in vos, ad confirmandum corda vestra irreprehensibilia in sanctificatione, coram Deo et Patre nostro, in adventu Domini nostri Jesu Christi cum omnibus sanctis suis* [5]. Quem Dominum precatur, coram Deo et Patre nostro in adventu Domini nostri irreprehensibilia fidelium Thessalonicensium corda, confirmata in sanctitate constabilire? Respondeant no-

δὲ τί δύνασαι τῆς δουλείας ὑπεξαγαγεῖν; Ὁμοῦ τε γὰρ ἐκτίσθη, καὶ τὸ δοῦλον εἶναι συγκατεσκεύασται. Ἀλλήλων μὲν γὰρ οὐ κατάρχουσιν, ἐπειδὴ πλεονεξίας ἄμοιρα τὰ οὐράνια· Θεῷ δὲ πάντα ὑποκύπτει, καὶ ὡς δεσπότῃ τὸν ὀφειλόμενον φόβον, καὶ ὡς δημιουργῷ τὴν ἐπιβάλλουσαν δόξαν ἀποδιδόντα. *Υἱὸς γὰρ δοξάζει πατέρα, καὶ δοῦλος τὸν κύριον αὐτοῦ.* Καὶ ἀπαιτεῖ πάντως τῶν δύο τὸ ἕτερον ὁ Θεός. *Εἰ γὰρ Πατήρ εἰμι ἐγὼ, ποῦ ἐστι*, φησὶν, *ἡ δόξα μου; καὶ εἰ Κύριός εἰμι ἐγὼ, ποῦ ἐστιν ὁ φόβος μου;* Ἦ πάντων ἂν εἴη ἐλεεινοτάτη ζωὴ, μὴ ὑπὸ τὴν ἐπισκοπὴν τοῦ Δεσπότου κειμένη. Ὁποῖαί εἰσιν αἱ ἀποστατικαὶ δυνάμεις, αἱ διὰ τὸ τραχηλιάσαι κατὰ Θεοῦ παντοκράτορος; ἀφηνιάζουσαι τῆς δουλείας· οὐ τῷ ἑτέρως πεφυκέναι, ἀλλὰ τῷ ἀνυποτάκτως ἔχειν πρὸς τὸν ποιήσαντα. Τίνα οὖν λέγεις ἐλεύθερον; Τὸν ἀβασίλευτον; τὸν μήτε ἄρχειν ἑτέρου δύναμιν ἔχοντα, μήτε ἄρχεσθαι καταδεχόμενον; Ἀλλ' οὔτε ἔστι τις τοιαύτη φύσις ἐν τοῖς οὖσι, καὶ τοῦτο ἐννοῆσαι κατὰ τοῦ Πνεύματος ἀσέβεια περιφανής. Ὥστε εἰ μὲν ἔκτισται, δουλεύει δηλαδὴ μετὰ πάντων· *Τὰ γὰρ σύμπαντα*, φησὶ, *δοῦλα σά*· εἰ δὲ ὑπὲρ τὴν κτίσιν ἐστὶ, τῆς βασιλείας ἐστὶ κοινωνόν.

Μαρτυρίαι ἐκ τῶν Γραφῶν τοῦ κυριολογεῖσθαι τὸ Πνεῦμα. Κεφ. κα'.

Καὶ τί δεῖ, ἐκ τῶν ταπεινῶν ἀπομαχομένους, αἰσχρῶς τὴν νίκην κατακτᾶσθαι τῷ λόγῳ, ἐξὸν τῇ παραθέσει τῶν σεμνοτέρων ἀναντίῤῥητον τὴν ὑπερβολὴν τῆς δόξης ἐπιδεικνύναι; Εἰ δὲ λέγοιμεν ἃ παρὰ τῆς Γραφῆς ἐδιδάχθημεν, τάχα που μέγα καὶ σφοδρὸν ἀνακράξονται, καὶ συσχόντες τὰ ὦτα, ἀράμενοι λίθους, ἢ ὅ τι ἂν τύχοι παραφανὲν, τοῦτο τῶν Πνευματομάχων ἕκαστος ὅπλον ποιησάμενος, ἐφ' ἡμᾶς ἥξουσιν. Οὐ μὴν πρό γε τῆς ἀληθείας τιμητέα ἡμῖν ἡ ἀσφάλεια. Εὕρομεν τοίνυν παρὰ τῷ Ἀποστόλῳ· *Ὁ δὲ Κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ ὑπὲρ τῶν θλίψεων.* Τίς ὁ κατευθύνων Κύριος εἰς τὴν τοῦ Θεοῦ ἀγάπην, καὶ εἰς τὴν ὑπὲρ τῶν θλίψεων τοῦ Χριστοῦ ὑπομονήν; Ἀποκρινάσθωσαν ἡμῖν οἱ τὸ Πνεῦμα καταδουλούμενοι. Εἴτε γὰρ περὶ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ λόγος, πάντως ἂν εἴρητο· *Ὁ δὲ Κύριος ὑμᾶς κατευθύναι εἰς τὴν ἑαυτοῦ ἀγάπην*· εἴτε περὶ τοῦ Υἱοῦ, προσέκειτο ἂν, *εἰς τὴν ἑαυτοῦ ὑπομονήν*. Ζητείτωσαν οὖν τί ἐστιν ἄλλο πρόσωπον, ὃ τῇ προσηγορίᾳ τοῦ Κυρίου τιμᾶσθαι ἄξιον. Παραπλήσιον δὲ τούτῳ καὶ τὸ ἑτέρωθι κείμενον, τό· *Ὑμᾶς δὲ ὁ Κύριος πλεονάσαι καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς, εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.* Ποῖον Κύριον εὔχεται ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν ἐν τῇ

[1] Malach. I, 6. [2] Ibid. [3] Psal. CXVI, 91. [4] II Thess. III, 5. [5] I Thess. III, 12, 13.

παρουσίᾳ τοῦ Κυρίου ἡμῶν ἀμέμπτους τὰς καρδίας ἐστηριγμένας ἐν ἁγιωσύνῃ τῶν ἐν Θεσσαλονίκῃ πιστῶν στηρίξαι; Ἀποκρινάσθωσαν ἡμῖν οἱ μετὰ τῶν λειτουργικῶν πνευμάτων τῶν πρὸς διακονίαν ἀποστελλομένων τὸ ἅγιον Πνεῦμα τιθέντες. Ἀλλ' οὐκ ἔχουσι. Διόπερ ἀκουέτωσαν καὶ ἑτέρας μαρτυρίας διαῤῥήδην καὶ αὐτῆς κυριολογούσης τὸ Πνεῦμα. *Ὁ δὲ Κύριος*, φησὶ, *τὸ Πνεῦμά ἐστι*· καὶ πάλιν· *Καθάπερ ἀπὸ Κυρίου Πνεύματος*. Ὥστε δὲ μηδεμίαν ἀντιλογίας ἀφορμὴν καταλιπεῖν, αὐτὴν παραθήσομαι τοῦ Ἀποστόλου τὴν λέξιν· *Ἄχρι γὰρ τῆς σήμερον τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς Παλαιᾶς Διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον, ὅ τι ἐν Χριστῷ καταργεῖται. Ὅταν δὲ ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα. Ὁ Κύριος τὸ Πνεῦμά ἐστι.* Τί τοῦτο λέγων; Ὅτι ὁ ψιλῇ τῇ διανοίᾳ τοῦ γράμματος προσκαθήμενος, καὶ αὐτοῦ που περὶ τὰ νομικὰ παρατηρήματα διατρίβων, οἷόν τινι παραπετάσματι τῇ Ἰουδαϊκῇ τοῦ γράμματος ἐκδοχῇ τὴν καρδίαν ἑαυτοῦ συγκεκάλυπται· καὶ τοῦτο πάσχει παρὰ τὸ ἀγνοεῖν, ὅτι ἡ σωματικὴ τοῦ νόμου τήρησις ἐν τῇ ἐπιδημίᾳ τοῦ Χριστοῦ καταργεῖται, τῶν τύπων λοιπὸν μεταληφθέντων εἰς τὴν ἀλήθειαν. Ἀργοῦσι γὰρ λύχνοι τῇ τοῦ ἡλίου παρουσίᾳ· καὶ σχολάζει ὁ νόμος, καὶ προφητεῖαι κατασιγάζονται, τῆς ἀληθείας ἀναφανείσης. Ὁ μέντοι δυνηθεὶς ἐπὶ τὸ βάθος διακύψαι τῆς νομικῆς ἐννοίας, καὶ τὴν ἐκ τοῦ γράμματος ἀσάφειαν, οἷόν τι καταπέτασμα, διασχὼν, εἴσω γενέσθαι τῶν ἀποῤῥήτων, οὗτος ἐμιμήσατο τὸν Μωϋσῆν ἐν τῷ διαλέγεσθαι τῷ Θεῷ περιαιροῦντα τὸ κάλυμμα, ἐπιστρέφων καὶ αὐτὸς ἀπὸ τοῦ γράμματος πρὸς τὸ πνεῦμα. Ὥστε ἀναλογεῖν τῷ μὲν ἐπὶ τοῦ προσώπου Μωϋσέως καλύμματι τὴν τῶν νομικῶν διδαγμάτων ἀσάφειαν, τῇ δὲ ἐπιστροφῇ τῇ πρὸς τὸν Κύριον τὴν πνευματικὴν θεωρίαν. Ὁ οὖν ἐν τῇ ἀναγνώσει τοῦ νόμου περιελὼν τὸ γράμμα ἐπιστρέφει πρὸς τὸν Κύριον (ὁ δὲ Κύριος νῦν τὸ Πνεῦμα λέγεται), καὶ ὅμοιος γίνεται Μωϋσεῖ ἐκ τῆς ἐπιφανείας τοῦ Θεοῦ τὸ πρόσωπον δεδοξασμένον ἔχοντι. Ὡς γὰρ τὰ τοῖς ἀνθηροῖς χρώμασι παρακείμενα ἐκ τῆς περιῤῥεούσης αὐγῆς καὶ αὐτὰ καταχρώννυται· οὕτως ὁ ἐναργῶς ἐνατενίσας τῷ Πνεύματι ἐκ τῆς ἐκείνου δόξης μεταμορφοῦταί πως πρὸς τὸ φανότερον, οἷόν τινι φωτὶ, τῇ ἐκ τοῦ Πνεύματος ἀληθείᾳ τὴν καρδίαν καταλαμπόμενος. Καὶ τοῦτό ἐστι τὸ, μεταμορφοῦται ἀπὸ τῆς δόξης τοῦ Πνεύματος εἰς τὴν οἰκείαν δόξαν, οὐ μικρολόγως, οὐδὲ ἀμυδρῶς, ἀλλ' ἐπὶ τοσοῦτον, ἐφ' ὅσον ἐστὶν εἰκὸς τὸν ἀπὸ τοῦ Πνεύματος φωτιζόμενον. Οὐ δυσωπῇ, ἄνθρωπε, τὸν Ἀπόστολον λέγοντα, ὅτι *Ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν*; Ἆρα τὸ δουλικὸν οἰκητήριον κατεδέξατο ἄν ποτε τῇ τοῦ ναοῦ προσηγορίᾳ τιμῆσαι; Τί δὲ ὁ θεόπνευστον τὴν Γραφὴν ὀνομάζων, διὰ τῆς ἐπιπνοίας τοῦ ἁγίου Πνεύματος συγγραφεῖσαν, μὴ τοῖς τοῦ καθυβρίζοντος καὶ κατασμικρύνοντος αὐτὸ προσρήμασι κέχρηται;

A bis, qui cum ministratoriis spiritibus, qui mittuntur ad ministerium, collocant Spiritum sanctum. At non habent quod respondeant. Quapropter audiant et aliud testimonium, evidenter Spiritum sanctum appellans Dominum. *Dominus*, inquit, *Spiritus est* [1]; et rursum: *Tanquam a Domino Spiritu* [2]. Ne vero ulla relinquatur occasio contradicendi, ipsa Apostoli verba proferam in medium: *Usque ad hodiernum enim diem idem velamen in lectione Veteris Testamenti manet, non revelatum, quod in Christo abrogatur. Cum autem conversus fuerit ad Dominum, tolletur velamen. Dominus autem Spiritus est* [3]. Cur hoc dicit? Quoniam qui nudo intellectui litteræ assidet, et illic circa legales observationes occupatus est, Judaica litteræ interpretatione quasi velo te- B ctum habet cor: atque id illi accidit, eo quod ignoret corporalem legis observationem in adventu Christi abolitam esse, jam figuris ad veritatem translatis. Sunt enim supervacaneæ lucernæ solis adventu; et cessat lex, et prophetiæ silent, simul ut illuxit veritas. At qui potuit ad profunda legalis sensus penetrare, ac discussa legis obscuritate, ceu velamento, introire ad arcana, hic Mosen imitatus est, velamen, dum loquitur cum Deo, tollentem [4]; ipse se etiam convertens a littera ad spiritum. Quare velamini quod impositum est super faciem Mosi, respondet legalium documentorum obscuritas; conversioni autem ad Dominum respondet spiritualis intelligentia. Ergo qui in lectione C legis aufert litteram, convertit sese ad Dominum (Dominus autem nunc Spiritus dicitur), ac similis redditur Mosi, ex apparitione Dei faciem glorificatam habenti. Sicut enim quæ juxta floridos colores posita sunt, e splendore promanante colorantur et ipsa: sic qui evidenter intendit oculos in Spiritum, ex illius gloria quodammodo transformatur ut fiat illustrior, dum veritate a Spiritu promanante, ceu luce quadam, corde illuminatur. Et hoc est transformari a gloria Spiritus ad propriam gloriam, haud parce, neque tenuiter, sed in tantum, quantum par est illustrari eum qui a Spiritu illuminatur. Non vereris, o homo, Apostolum dicentem [5]: *Templum Dei estis, et Spiritus Dei habitat in vobis* [6]? Num potuisset unquam servile domicilium appella- D tione templi honorare? Quid qui Scripturam divinitus inspiratam appellat, eo quod afflatu Spiritus scripta sit, num contumeliosis et Spiritum attenuantibus verbis utitur?

Τοῦ αὐτοῦ σύστασις κατὰ τὴν φύσιν κοινωνίας τοῦ Πνεύματος, ἐκ τοῦ ὁμοίως εἶναι Πατρὶ καὶ Υἱῷ πρὸς θεωρίαν δυσέφικτον. Κεφάλ. κβ'.

Οὐ μόνον δὲ ἐξ ὧν τὰς αὐτὰς προσηγορίας

Ejusdem confirmatio naturalis communionis Spiritus, eo quod æque ac Pater et Filius incomprehensibilis est. Caput 22.

Non solum autem ex hoc quod easdem ha-

[1] II Cor. III, 17. [2] ibid. 18. [3] ibid. 14, 16, 17. [4] Exod. XXXIV, 34. [5] I Cor. III, 16. [6] II Tim. III, 16.

A bet appellationes, et in operationibus consors est Patri et Filio, dilucet naturæ illius excellentia; verum etiam ex eo quod pariter incomprehensibilis est intellectu. Quæ enim de Patre loquitur, quod sit supra cogitationem humanam, quæque de Filio, eadem Dominus et de Spiritu sancto dicit: *Pater juste, et mundus te non cognovit* [1]; mundum appellans hic non globum e cœlo et terra constantem, sed caducam hanc innumerisque mutationibus obnoxiam vitam. Ac de seipso loquens, *Adhuc modicum*, inquit, *et mundus me jam non videt, vos autem videtis me* [2]. Rursus hic eos qui materiali carnalique vita devincti sunt, et oculis tantum expendunt veritatem, mundum appellans, qui non amplius oculis cordis visuri erant Dominum nostrum, eo quod resurrectionem non B crederent. Hæc autem eadem dixit et de Spiritu: *Spiritum*, inquit, *veritatis, quem mundus non potest accipere, quod non videat illum, neque cognoscat eum: vos autem cognoscitis illum, quod apud vos manet* [3]. Carnalis siquidem homo mentem habens ad contemplationem haud exercitatam, imo vero totam in affectu carnis velut in cœno defossam gerens, non potest ad spirituale lumen veritatis attollere oculos. Quapropter mundus, hoc est, carnis cupiditatibus addicta vita, velut oculus imbecillis non ferens radii solaris lumen, Spiritus gratiam non recipit. At Dominus cum hoc discipulis testimonium dedisset, quod mundæ essent vitæ ob doctrinam ipsius, dat etiam, ut jam ad speculationem contemplationemque Spiritus sint C idonei. *Jam enim*, inquit, *vos mundi estis propter sermonem quem locutus sum vobis* [4]. *Unde mundus quidem non potest illum accipere, quandoquidem non videt illum: vos autem novistis eum, quoniam apud vos manet* [5]. Eadem dicit et Isaias: *Qui stabilivit terram, et quæ in ea sunt, deditque spirationem populo, qui est super illam, et Spiritum calcantibus eam* [6]. Nam qui conculcant terrena, iisque superiores evaserunt, digni prædicati sunt dono Spiritus sancti. Quem ergo mundus capere non potest, quique a solis sanctis per cordis puritatem videri potest, qualem esse existimandum est, aut quales illi honores competere?

D Et reliquæ quidem virtutes singulæ in loco circumscripto esse creduntur. Nam angelus qui astabat Cornelio [7], non in eodem momento astabat et Philippo [8]; neque qui locutus est Zachariæ ab altari [9], per idem tempus etiam in cœlo suam implebat stationem. At Spiritus creditur simul [10] et in Abacuc et in Daniele in Babylonia operari; et cum Jeremia in catarrhacta [11], et cum Ezechiele super Chobar versari [12]. *Spiritus enim Domini replevit orbem terrarum* [13]; et, *Quo ibo a Spiritu tuo, et a facie tua quo fugiam* [14]? Et propheta, *Quoniam ego vobiscum sum, dicit Dominus: et Spiritus*

ἔχει, καὶ κοινωνόν ἐστι τῶν ἐνεργειῶν Πατρὶ καὶ Υἱῷ, τὸ ὑπερέχον αὐτοῦ τῆς φύσεως γνώριμον, ἀλλὰ καὶ ἐξ ὧν ὁμοίως ἐστὶ πρὸς θεωρίαν ἀνέφικτον. Ἃ γὰρ περὶ τοῦ Πατρός φησιν, ὡς ἐπέκεινα ὄντος ἀνθρωπίνης ἐννοίας, καὶ ἃ περὶ τοῦ Υἱοῦ, ταῦτα ὁ Κύριος καὶ περὶ τοῦ ἁγίου Πνεύματος λέγει· *Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω·* τὸν κόσμον λέγων νῦν οὐχὶ τὸ ἐξ οὐρανοῦ καὶ γῆς σύστημα, ἀλλὰ τὴν ἐπίκηρον ταύτην καὶ μυρίαις μεταβολαῖς ὑποκειμένην ζωήν. Καὶ περὶ ἑαυτοῦ διαλεγόμενος, *Ἔτι μικρὸν*, φησὶ, *καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ, ὑμεῖς δὲ θεωρεῖτέ με.* Πάλιν ἐνταῦθα τοὺς τῇ ὑλικῇ καὶ σαρκικῇ προσδεδεμένους ζωῇ, καὶ μόνοις ὀφθαλμοῖς τὴν ἀλήθειαν ἐπιτρέποντας, κόσμον προσαγορεύων, οἳ τῇ ἀπιστίᾳ τῆς ἀναστάσεως οὐκέτι ἔμελλον τοῖς ὀφθαλμοῖς τῆς καρδίας τὸν Κύριον ἡμῶν ὄψεσθαι. Τὰ δὲ αὐτὰ καὶ περὶ τοῦ Πνεύματος εἶπε· *Τὸ Πνεῦμα*, φησὶ, *τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ, οὐδὲ γινώσκει αὐτό. Ὑμεῖς δὲ γινώσκετε αὐτὸ, ὅτι παρ' ὑμῖν μένει.* Ὁ μὲν γὰρ σάρκινος ἄνθρωπος, ἀγύμναστον ἔχων πρὸς θεωρίαν τὸν νοῦν, μᾶλλον δὲ ὅλον, ὥσπερ ἐν βορβόρῳ, τῷ φρονήματι τῆς σαρκὸς κατορωρυγμένον φέρων (97), ἀδυνατεῖ πρὸς τὸ πνευματικὸν φῶς τῆς ἀληθείας ἀναβλέψαι. Διὸ ὁ κόσμος, τουτέστιν, ἡ τοῖς πάθεσι τῆς σαρκὸς δεδουλωμένη ζωὴ, οἷον ὀφθαλμὸς ἀσθενὴς φῶς ἡλιακῆς ἀκτῖνος, τὴν τοῦ Πνεύματος χάριν οὐχ ὑποδέχεται. Τοῖς μέντοι μαθηταῖς ἑαυτοῦ καθαρότητα ζωῆς ἐκ τῶν διδαγμάτων αὐτοῦ μαρτυρήσας ὁ Κύριος, τὸ καὶ ἐποπτικοῖς ἤδη εἶναι καὶ θεωρητικοῖς τοῦ Πνεύματος ἀποδίδωσιν. *Ἤδη γὰρ*, φησὶν, *ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν. Ὅθεν ὁ μὲν κόσμος οὐ δύναται λαβεῖν· οὐ γὰρ θεωρεῖ αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτὸ, ὅτι παρ' ὑμῖν μένει.* Ταυτὰ λέγει καὶ Ἡσαΐας· *Ὁ στερεώσας τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς, καὶ Πνεῦμα τοῖς πατοῦσιν αὐτήν.* Οἱ γὰρ καταπατοῦντες τὰ γήϊνα καὶ ὑπεράνω αὐτῶν γενόμενοι, ἄξιοι τῆς δωρεᾶς τοῦ ἁγίου Πνεύματος μεμαρτύρηνται. Τὸ οὖν ἀχώρητον μὲν τῷ κόσμῳ, τοῖς ἁγίοις δὲ μόνοις διὰ καθαρότητα τῆς καρδίας θεωρητὸν, τί χρὴ νομίζεσθαι, ἢ ποταπὰς τιμὰς συμμέτρους ὑπάρχειν αὐτῷ;

Τῶν μὲν οὖν ἄλλων ἑκάστη δυνάμεων ἐν περιγράπτῳ τόπῳ τυγχάνειν πεπίστευται. Ὁ γὰρ τῷ Κορνηλίῳ ἐπιστὰς ἄγγελος οὐκ ἦν ἐν ταυτῷ καὶ παρὰ τῷ Φιλίππῳ, οὐδὲ ὁ ἀπὸ τοῦ θυσιαστηρίου τῷ Ζαχαρίᾳ διαλεγόμενος κατὰ τὸν αὐτὸν καιρὸν καὶ ἐν οὐρανῷ τὴν οἰκείαν στάσιν ἐπλήρου. Τὸ μέντοι Πνεῦμα ὁμοῦ τε ἐν Ἀββακοὺμ ἐνεργεῖν καὶ ἐν Δανιὴλ ἐπὶ τῆς Βαβυλωνίας πεπίστευται· καὶ ἐν τῷ καταρράκτῃ εἶναι μετὰ Ἱερεμίου, καὶ μετὰ Ἰεζεκιὴλ ἐπὶ τοῦ Χοβάρ. *Πνεῦμα γὰρ Κυρίου πεπλήρωκε τὴν οἰκουμένην·* καὶ, *Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ*

[1] Joan. XVII, 25. [2] Joan. XIV, 19. [3] ibid. 17. [4] Joan. XV, 3. [5] Joan. XIV, 17. [6] Isa. XLII, 5. [7] Act. X, 3. [8] Act. VIII, 26. [9] Luc. I, 14. [10] Dan. XIV, 33. [11] Jerem. XX, 2, apud LXX. [12] Ezech. V, 1. [13] Sap. I, 7. [14] Psal. CXXXVIII, 7.

φύτῳ; καὶ ὁ προφήτης· *Διότι ἐγὼ μεθ' ὑμῶν εἰμι, λέγει Κύριος· καὶ τὸ Πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν.* Τὸ δὲ πανταχοῦ ὂν, καὶ Θεῷ συμπαρὸν, τῆς ποίας προσήκει νομίζειν φύσεως; τῆς πάντα περιεχούσης, ἢ τῆς μερικοῖς ἐμπεριειλημμένης χωρίοις, ὁποίαν τὴν τῶν ἀγγέλων ὁ λόγος ἔδειξεν; Ἀλλ' οὐκ ἄν τις εἴποι. Τὸ οὖν θεῖον τῇ φύσει, τὸ ἀχώρητον τῷ μεγέθει, τὸ δυνατὸν ἐν ταῖς ἐνεργείαις, τὸ ἀγαθὸν ἐν ταῖς εὐεργεσίαις μὴ ὑπερυψώσομεν; μὴ δοξάσομεν;

Ὅτι δοξολογία Πνεύματός ἐστιν ἡ τῶν προσόντων αὐτῷ ἀπαρίθμησις. Κεφάλ. κγ'.

Ἐγὼ δὲ οὐδὲ ἄλλο τι τὴν δόξαν τίθεμαι, ἢ τῶν προσόντων αὐτῷ θαυμάτων τὴν ἐξαρίθμησιν. Ὥστε ἢ οὐδὲ μεμνῆσθαι ἡμᾶς τῶν παρ' αὐτοῦ ἀγαθῶν ἐπιτάξουσιν οὗτοι, ἢ πάντως ἡ τῶν προσόντων διέξοδος B τῆς μεγίστης ἐστὶ δοξολογίας πλήρωσις. Οὐδὲ γὰρ τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὸν μονογενῆ αὐτοῦ Υἱὸν ἄλλως δοξάζειν ἔχομεν, ἢ τὸ κατὰ τὴν ἡμετέραν δύναμιν διεξιέναι αὐτοῦ τὰ θαύματα.

Τοῦ αὐτοῦ. Ἔλεγχος τῆς ἀτοπίας τῶν μὴ δοξαζόντων· τὸ Πνεῦμα ἐκ τῆς πρὸς τὰ ἐν τῇ κτίσει δοξαστὰ παραθέσεως. Κεφάλ. κδ'.

Εἶτα δόξῃ μὲν καὶ τιμῇ ἐστεφάνωται ὁ κοινὸς ἄνθρωπος (8), καὶ δόξα καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ποιοῦντι τὸ ἀγαθὸν ἐν ἐπαγγελίαις ἀπόκειται. C Ἔστι δέ τις καὶ ἰδίως τοῦ Ἰσραὴλ δόξα· ὧν ἡ υἱοθεσία, φησὶ, καὶ ἡ δόξα, καὶ ἡ λατρεία. Καὶ ἑαυτοῦ τινα δόξαν ὁ Ψαλμῳδὸς λέγει· *Ὅταν ψάλῃ σοι ἡ δόξα μου·* καὶ πάλιν· *Ἐξεγέρθητι, ἡ δόξα μου.* Ἔστι δέ τις δόξα ἡλίου, καὶ σελήνης, καὶ ἀστέρων· κατὰ δὲ τὸν Ἀπόστολον καὶ ἡ διακονία τῆς κατακρίσεως διὰ δόξης. Τοσούτων οὖν δοξαζομένων, τὸ Πνεῦμα μόνον τῶν πάντων ἀδόξαστον εἶναι βούλει; Καίτοιγε *Ἡ διακονία τοῦ Πνεύματος*, φησὶν, *ἐστὶν ἐν δόξῃ.* Πῶς οὖν αὐτὸ ἀνάξιον τοῦ δοξάζεσθαι; Καὶ μεγάλη μὲν ἡ δόξα τοῦ δικαίου, κατὰ τὸν Ψαλμῳδόν· δόξα δὲ τοῦ Πνεύματος, κατὰ σὲ, οὐδεμία. Πῶς οὖν οὐ πρόδηλος ὁ κίνδυνος ἐκ τῶν τοιούτων λόγων τὴν ἄφυκτον ἁμαρτίαν ἐφ' ἑαυτοὺς ἐπισπᾶσθαι; Εἰ ὁ σωζόμενος ἐκ τῶν D τῆς δικαιοσύνης ἔργων ἄνθρωπος, καὶ τοὺς φοβουμένους τὸν Κύριον δοξάζει, τοσούτου ἂν δέοι τὸ Πνεῦμα τῆς ὀφειλομένης δόξης ἀποστερεῖν. Ἔστω, φησὶ, δοξαστὸν, ἀλλ' οὐχὶ μετὰ Πατρὸς καὶ Υἱοῦ. Καὶ τίνα ἔχει λόγον ἑτέραν χώραν ἐπινοεῖν τῷ Πνεύματι, τὴν παρὰ τοῦ Κυρίου τεταγμένην καταλιπόντας, καὶ τῆς κατὰ τὴν δόξαν κοινωνίας ἀποστερεῖν τὸ πανταχοῦ συναναληφθὲν τῇ θεότητι, ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως, ἐν τῷ βαπτίσματι τῆς ἀπολυτρώσεως, ἐν τῇ ἐνεργείᾳ τῶν δυνάμεων, ἐν τῇ ἐνοικήσει τῶν ἁγίων, ἐν ταῖς εἰς τὸ ὑπήκοον χάρισιν; Οὐδὲ γάρ ἐστιν ὅλως δωρεά τις ἄνευ τοῦ ἁγίου Πνεύματος εἰς τὴν κτίσιν ἀφικνουμένη· ὅπου

A *meus stat in medio vestri* [1]. Eum vero qui ubique est, ac una cum Deo adest, cujus esse naturæ credere oportet? utrum omnia complectentis, an particularibus arctatæ locis, qualem esse naturam angelorum patet ex dictis? Verum hoc dixerit nemo. Igitur qui natura divinus est, qui magnitudine incomprehensus, qui potens in operationibus, qui bonus in beneficentiis, hunc non supra modum efferemus? non supra modum glorificabimus?

Ejusdem. Gloriam Spiritus esse enumerationem eorum quæ ipsi adsunt. Caput 23.

Ego vero nihil aliud esse gloriam censeo, nisi rerum, quæ ipsi adsunt, admirabilium enumerationem. Quamobrem isti aut non permittent, ut bonorum, quæ ab ipso proficiscuntur, meminerimus, aut eorum plane quæ illi adsunt, enumeratio maximæ gloriæ est absolutio. Quandoquidem nec Deum et Patrem Domini nostri Jesu Christi, et unigenitum illius Filium, aliter possumus glorificare, nisi pro viribus operam demus, ut ejus miracula recenseamus.

Ejusdem. Redargutio absurditatis eorum qui non glorificant Spiritum, ex collatione eorum quæ in creaturis gloria afficiuntur. Caput 24.

Deinde vero gloria et honore coronatus est quilibet homo, et gloria et honor et pax cuivis facienti bonum [2] in promissis reposita sunt. Est autem et peculiaris quædam Israelitici populi gloria, quorum, inquit, est adoptio et gloria et cultura [3]: et suam ipsius gloriam quamdam commemorat Psalmorum cantor: *Dum cantaverit tibi gloria mea* [4]; et rursus, *Exsurge, gloria mea* [5]. Est autem quædam gloria solis, lunæ et stellarum [6]. Ac juxta Apostolum fit etiam administratio damnationis cum gloria [7]. Itaque cum tam multa sint quæ gloria potiuntur, vis Spiritum unum ex omnibus inglorium esse? Et tamen *Ministratio*, inquit, *Spiritus est in gloria* [8]. Qui fit igitur ut ille indignus sit qui glorificetur? Et magna quidem est gloria justi juxta Psalmorum cantorem [9]. At gloria Spiritus juxta tuam opinionem nulla est. Annon igitur evidens periculum est ne talibus dictis inevitabile crimen in nosmetipsos accersamus? Si homo qui salvus fit ex operibus justitiæ, etiam timentes Dominum glorificat, multo minus Spiritum debita gloria fraudabit. Sit, inquiunt, glorificandus, sed non cum Patre et Filio. Et qui consentaneum est rationi, alium locum imaginatione designare Spiritui, eo relicto, quem statuit Dominus; et gloriæ consortio spoliare eum qui ubique conjunctus est divinitati, in professione fidei, in baptismate redemptionis, in operatione virtutum, in inhabitatione sanctorum, in beneficiis in subditos conferendis? Neque enim est ullum omnino donum absque sancto Spiritu ad creaturam perveniens; quando ne

[1] Agg. II, 5, 6. [2] Rom. II, 10. [3] Rom. IX, 4. [4] Psal. XXIX, 13. [5] Psal. CVII, 2. [6] I Cor. XV, 41. [7] II Cor. III, 9. [8] ibid. 8. [9] Psal. XX, 6.

simplex quidem verbum in defensionibus pro Christo quis possit dicere, nisi adjuvante Spiritu, quemadmodum in Evangeliis a Domino et Servatore nostro didicimus [1]. Porro ut his omnibus neglectis, atque ea communione, quam in omnibus habet, oblivioni tradita, a Patre et Filio ipsum avellamus, nescio an quisquam sancti Spiritus particeps assensurus sit. In quo igitur ordine illum collocabimus? creaturarum? At universa creatura servit: Spiritus autem liberum reddit: *Ubi enim Spiritus Domini, ibi libertas* [2]. Atque cum multa sint quæ possim hic commemorare, quam non conveniat Spiritum sanctum annumerare rebus creatis, de his dicere nunc supersedebo. Nam si incipiam pro argumenti dignitate, et quæ pro nobis faciunt, probationes adducere, et quæ ab adversariis objiciuntur, diluere, prolixo sermone erit opus, loquacitateque voluminis deterrebimus lectores. Idcirco, hoc alteri proprio tractatui reservato, propositis adhæreamus.

Consideremus igitur singulatim. Natura bonus est, ut bonus Pater, et bonus Filius. Creatura vero per electionem ejus quod bonum est, particeps est bonitatis. Profunda Dei novit: sed creatura per Spiritum accipit arcanorum reserationem. Vivificat cum Deo qui vivificat omnia, cum Filio qui dat vitam. *Qui enim excitavit*, inquit, *Christum a mortuis, vivificabit et mortalia corpora vestra, per ipsius Spiritum qui inhabitat in vobis* [3]; atque iterum: *Oves meæ vocem meam audiunt, et ego vitam æternam do illis* [4]. Sed Spiritus quoque vivificat, inquit [5]. Ac rursum: *Spiritus autem*, inquit, *vita propter justitiam* [6]. Quin et Dominus testatur Spiritum esse qui vivificat. *Caro non prodest quidquam* [7]. Quomodo igitur Spiritum a vivificandi potestate submoventes eum naturæ conjungemus, quæ ipsa vita egeat? Quis adeo contentiosus, quis adeo exsors doni cœlestis, et absque gustu bonorum Dei verborum, quis adeo spei æternæ expers, ut Spiritum a Deitate distractum creaturæ copulet?

In nobis, inquiunt, Spiritus est tanquam donum a Deo. At donum nequaquam iisdem honoribus afficitur, quibus is qui dedit. Donum quidem Dei Spiritus est, sed donum vitæ. *Lex enim*, inquit, *Spiritus vitæ liberavit nos* [8]. Et donum potentiæ: *Accipietis enim virtutem Spiritus sancti supervenientis in vos* [9]. Num igitur ob id contemnendus est? Annon et Filium dedit hominibus? *Qui*, inquit, *proprio Filio non pepercit, sed pro nobis omnibus tradidit illum, quomodo etiam non una cum eo omnia nobis donabit* [10]? Et alibi: *Ut sciamus quæ a Deo nobis donata sunt* [11], de mysterio assumpti hominis loquens. Itaque qui ista loquuntur, annon Judæorum ingratum animum amentiamque superant, qui scilicet excellentiam divinæ bonitatis

A γε οὐδὲ ῥῆμα ψιλὸν ἐν ταῖς ὑπὲρ Χριστοῦ ἀπολογίαις δυνατὸν λαλῆσαι μὴ συνεργουμένους παρὰ τοῦ Πνεύματος, ὡς ἐν Εὐαγγελίοις παρὰ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν μεμαθήκαμεν. Ἅπαντα δὲ ταῦτα παριδόντας, καὶ τῆς ἐν πᾶσι κοινωνίας ἐπιλαθομένους, ἀπὸ Πατρὸς καὶ Υἱοῦ διασπᾶν, οὐκ οἶδα εἴ τις μέτοχος Πνεύματος ἁγίου συνθήσεται. Ποῦ τοίνυν φέροντες αὐτὸ τάξομεν; μετὰ τῆς κτίσεως; Ἀλλ' ἡ κτίσις πᾶσα δουλεύει· τὸ δὲ Πνεῦμα ἐλευθεροῖ. *Οὗ γὰρ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία.* Καὶ πολλῶν ἐνόντων εἰπεῖν, ὅπως οὐ προσήκει τῇ κτιστῇ φύσει τὸ Πνεῦμα τὸ ἅγιον συγκαταριθμεῖν, τὸν περὶ τούτων νῦν ὑπερθήσομαι λόγον. Εἰ γὰρ μέλλοιμεν πρὸς ἀξίαν τοῦ προβλήματος τάς
B τε παρ' ἑαυτῶν κατασκευὰς ἐπάγειν, καὶ τὰ παρὰ τῶν ἐναντίων προβαλλόμενα διαλύειν, πολλῶν ἡμῖν δεήσει λόγων, καὶ ἀποκναίσαιμεν τῇ πολυφωνίᾳ τῆς βίβλου τοὺς ἐντυγχάνοντας. Διόπερ ἰδίᾳ πραγματείᾳ ἐκεῖνο ταμιευσάμενοι, τῶν προκειμένων ἐχώμεθα.

Σκεψώμεθα οὖν τὰ καθέκαστον. Φύσει ἐστὶν ἀγαθὸν, ὡς ἀγαθὸς ὁ Πατὴρ, καὶ ἀγαθὸς ὁ Υἱός. Ἡ κτίσις δὲ ἐν τῇ ἐκλογῇ τοῦ ἀγαθοῦ μέτοχός ἐστι τῆς ἀγαθότητος. Οἶδε τὰ βάθη τοῦ Θεοῦ· ἡ κτίσις δὲ λαμβάνει τὴν φανέρωσιν τῶν ἀπορρήτων διὰ τοῦ Πνεύματος. Ζωοποιεῖ μετὰ τοῦ Θεοῦ τοῦ τὰ πάντα ζωογονοῦντος, μετὰ τοῦ Υἱοῦ τοῦ διδόντος ζωήν. *Ὁ γὰρ ἐγείρας Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει*, φησὶ, *καὶ τὰ θνητὰ ὑμῶν σώματα*
C *διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν*· καὶ πάλιν· *Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς.* Ἀλλὰ καὶ τὸ Πνεῦμα, φησὶ, ζωοποιεῖ. Καὶ πάλιν· *Τὸ δὲ Πνεῦμα*, φησὶ, *ζωὴ διὰ δικαιοσύνην.* Καὶ ὁ Κύριος μαρτυρεῖ τὸ Πνεῦμα εἶναι τὸ ζωοποιοῦν· *Ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν.* Πῶς οὖν, τῆς ζωοποιοῦ δυνάμεως ἀποξενώσαντες τὸ Πνεῦμα, τῇ ἐπιδεομένῃ τῆς ζωῆς φύσει προσοικειώσομεν; Τίς οὕτω δύσερις, τίς οὕτω δωρεᾶς ἐπουρανίου ἀμέτοχος, καὶ τῶν καλῶν τοῦ Θεοῦ ῥημάτων ἄγευστος, τίς οὕτως ἐλπίδων αἰωνίων ἄμοιρος, ὡς τῇ κτίσει συντάξαι τὸ Πνεῦμα, τῆς Θεότητος ἀποστήσας;

Ἐν ἡμῖν, φησὶ, τὸ Πνεῦμα, ὡς δῶρόν ἐστι παρὰ τοῦ Θεοῦ. Οὐ δήπου δὲ τὸ δῶρον ταῖς ἴσαις τι-
D μαῖς τῷ δεδωκότι σεμνύνεται. Δῶρον μὲν οὖν Θεοῦ τὸ Πνεῦμα, ἀλλὰ δῶρον ζωῆς. *Ὁ γὰρ νόμος*, φησὶ, *τοῦ Πνεύματος τῆς ζωῆς ἠλευθέρωσεν ἡμᾶς.* Καὶ δῶρον δυνάμεως· *Λήψεσθε γὰρ δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς.* Ἆρ' οὖν διὰ τοῦτο εὐκαταφρόνητον; ἢ οὐχὶ καὶ τὸν Υἱὸν ἐχαρίσατο τοῖς ἀνθρώποις; *Ὅς γε*, φησὶ, *τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;* Καὶ ἑτέρωθι· *Ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν*· περὶ τοῦ μυστηρίου τῆς ἐνανθρωπήσεως λέγων. Ὥστε πῶς οἱ ταῦτα λέγοντες οὐχὶ τὴν Ἰουδαϊκὴν ἀγνωμοσύνην παρελη-

[1] Matth. x, 19. [2] II Cor. iii, 17. [3] Rom. viii, 11. [4] Joan. x, 27. [5] Joan. vi, 64. [6] Rom. viii, 10. [7] Joan. vi, 64. [8] Rom. viii, 2. [9] Act. i, 8. [10] Rom. viii, 32. [11] I Cor. ii, 12.

λύθασι τὴν ὑπερβολὴν τῆς χρηστότητος ἐφόδιον εἰς βλασφημίαν λαμβάνοντες; Ἐγκαλοῦσι γὰρ τῷ Πνεύματι, ὅτι παῤῥησίαν ἡμῖν δίδωσι καλεῖν πατέρα ἑαυτῶν τὸν Θεόν. *Ἐξαπέστειλε γὰρ ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν, κρᾶζον, Ἀββᾶ ὁ Πατήρ*, ἵνα ἡ ἐκείνου φωνὴ τῶν δεξαμένων ἰδία γένηται.

Ὅτι τῇ « ἐν » συλλαβῇ ἀντὶ τῆς « σὺν » ἡ Γραφὴ κέχρηται· ἐν ᾧ καὶ ὅτι ἡ « καὶ » ἰσοδυναμεῖ τῇ « σύν. » Κεφάλ. κϛ'.

Πῶς οὖν, φησὶν, ἡ Γραφὴ οὐδαμοῦ συνδοξαζόμενον Πατρὶ καὶ Υἱῷ τὸ Πνεῦμα παρέδωκεν, ἀλλὰ πεφυλαγμένως ἐξέκλινε τὸ, *σὺν τῷ Πνεύματι*, εἰπεῖν; πανταχοῦ δὲ τὸ ἐν αὐτῷ δοξάζειν ὡς ἁρμοδιώτερον προετίμησεν; Ἐγὼ δὲ οὐδ' ἂν αὐτὸς φαίην ἀτιμοτέρας εἶναι διανοίας παραστατικὴν τὴν *ἐν* συλλαβὴν, ἀλλ' ὑγιῶς ἐκλαμβανομένην πρὸς τὸ μέγιστον ὕψος ἀνάγειν τὰς διανοίας· ὅπου γε καὶ ἀντὶ τῆς *σὺν* πολλαχοῦ κειμένην αὐτὴν τετηρήκαμεν. Ὡς τὸ, *Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν*· ἀντὶ τοῦ, *μετὰ ὁλοκαυτωμάτων*. *Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ*, τουτέστι, *μετὰ ἀργυρίου καὶ χρυσίου*· καὶ τὸ, *Οὐκ ἐξελεύσῃ ἐν ταῖς δυνάμεσιν ἡμῶν*, ἀντὶ τοῦ, *σὺν ταῖς δυνάμεσιν ἡμῶν*, καὶ μυρία τοιαῦτα. Ὅλως δὲ ἡδέως ἂν μάθοιμι παρὰ τῆς νέας σοφίας, ποίαν δοξολογίαν ὁ Ἀπόστολος διὰ τοῦ, *ἐν*, ῥήματος ἀπεπλήρωσε, κατὰ τὸν τύπον ὃν οὗτοι νῦν ὡς ἐκ τῆς Γραφῆς ἀναφέρουσιν. Οὐδαμοῦ γὰρ εὗρον λεγόμενον τὸ, Σοὶ τῷ Πατρὶ ἡ τιμὴ καὶ ἡ δόξα διὰ τοῦ μονογενοῦς σου Υἱοῦ ἐν τῷ ἁγίῳ Πνεύματι· ὅπερ τούτοις ἐστὶ νῦν καὶ αὐτῆς, ὡς εἰπεῖν, τῆς ἀναπνοῆς συνηθέστερον. Διεσπασμένως μὲν γὰρ τούτων ἕκαστον ἔστιν εὑρεῖν· συνημμένως δὲ ἐν τῇ συντάξει ταύτῃ οὐδαμοῦ δεικνύειν ἕξουσιν. Ὥστε εἰ μὲν ἀκριβολογοῦνται περὶ τὰ ἔγγραφα, δειξάτωσαν πόθεν λέγουσιν· εἰ δὲ συγχωροῦσι τῇ συνηθείᾳ, μηδὲ ἡμᾶς ἐξειργέτωσαν.

Ἡμεῖς γὰρ, ἀμφοτέρας ἐν τῇ τῶν πιστῶν χρήσει καταλαμβάνοντες τὰς ῥήσεις, ἀμφοτέραις κεχρήμεθα· τὴν μὲν δόξαν τῷ Πνεύματι ὁμοίως ἀφ' ἑκατέρας πληροῦσθαι πεπιστευκότες, τοὺς δὲ κακουργοῦντας τὴν ἀλήθειαν ἐπιστομίζεσθαι μᾶλλον διὰ τῆς προκειμένης λέξεως, ἥτις, τὴν δύναμιν τῶν Γραφῶν παραπλησίαν ἔχουσα, οὐκέτι ἐστὶν ὁμοίως τοῖς ἐναντίοις εὐεπιχείρητος (ἔστι δὲ αὕτη ἡ ἀντιλεγομένη νῦν παρὰ τούτων) ἀντὶ τοῦ *καὶ* συνδέσμου παρειλημμένη. Ἴσον γάρ ἐστιν εἰπεῖν· *Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος*, καὶ, Παῦλος σὺν Τιμοθέῳ καὶ Σιλουανῷ. Ἡ γὰρ συμπλοκὴ τῶν ὀνομάτων δι' ἑκατέρας ὁμοίως τῆς ἐκφωνήσεως σώζεται. Εἰ τοίνυν, τοῦ Κυρίου εἰπόντος Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, αὐτὸς εἴποιμι Πατέρα καὶ Υἱὸν σὺν τῷ ἁγίῳ Πνεύματι, ἄλλο τι εἰρηκὼς κατὰ τὴν δύναμιν ἔσομαι; Τῆς δὲ διὰ τοῦ *καὶ* συνδέσμου συμπλοκῆς τῶν ὀνομάτων πολλὰ τὰ μαρτύρια. *Ἡ χάρις*

A vertant in occasionem blasphemiæ? Accusant enim Spiritum, quod nobis dat fiduciam Deum appellandi patrem nostrum. *Emisit enim Deus Spiritum Filii sui in corda nostra clamantem, Abba, Pater* [1], ut illius vox propria fiat eorum qui ipsum acceperunt.

Quod Scriptura hac syllaba « in » pro « cum » utatur: ubi etiam probatur « et » idem pollere quod « cum. » Caput 25.

Qui fit igitur, inquiunt, ut Scriptura nusquam tradat Spiritum glorificari cum Patre et Filio, sed studiose vitet ne dicat, *cum Spiritu*, ac ubique malit glorificare in ipso, quasi hoc con-B gruentius judicet? At ego nequaquam dixerim hanc syllabam *in* exhibere sensum minus honorificum, imo potius, si sane accipiatur, ad maximam celsitudinem erigere mentem, quandoquidem observavimus hanc frequenter usurpari pro *cum*. Quod genus est illud, *Ingrediar domum tuam in holocautomatibus* [2]: pro his vocibus, *cum holocautomatibus*. *Et eduxit eos in argento et auro* [3], hoc est, *cum argento et auro*. Item illud, *Non egredieris in virtutibus nostris* [4], pro, *cum virtutibus nostris*, aliaque hujus generis innumerabilia. Omnino lubens ab ista nova sapientia didicero, qualem glorificationem Apostolus absolverit per hanc dictionem *in*, juxta formam quam isti nunc tanquam e Scriptura proferunt. Nusquam enim inveni dictum: C Tibi Patri honor et gloria per unigenitum Filium tuum in Spiritu sancto: qui sermo nunc istis usitatior est ipsa, ut ita loquar, respiratione. Horum quidem singula separatim invenire licet, conjunctim vero posita in hac constructione nusquam poterunt ostendere. Itaque si exacte urgent ea quæ in Scripturis habentur, ostendant unde ista dicant. Quod si concedunt consuetudini, neque nos ab ea excludant.

Nos enim ambas dictiones in fidelium usu deprehendentes, ambabus utimur: gloriam quidem Spiritui ex æquo per utramque persolvi rati, eis vero qui depravant veritatem, credimus magis os obturari per eam præpositionem, quæ cum sensum in Scripturis similem habeat, non ita facile D ab adversariis expugnari potest (est autem ipsa illa cui nunc ab istis contradicitur) utpote quæ pro *et* conjunctione sumatur. Nam idem est dicere, *Paulus et Silvanus, et Timotheus* [5], atque, Paulus cum Timotheo et Silvano. Nominum enim connexio, utraque pronuntiatione similiter servatur. Itaque si cum Dominus dixerit Patrem et Filium et sanctum Spiritum, ipse dicam, Patrem et Filium cum Spiritu sancto; aliudne, quod ad sententiæ vim attinet, dixero? Porro per conjunctionem *et* connecti nomina, multis testimoniis probari potest. *Gratia enim*, inquit, *Domini*

[1] Galat. IV, 6. [2] Psal. LXV, 13. [3] Psal. CIV, 37. [4] Psal. XLIII, 10. [5] I Thess. I, 1.

A *nostri Jesu Christi, et charitas Dei, et communic Spiritus sancti* [1]; ac rursus, *Obsecro autem vos per Dominum nostrum Jesum Christum, et per charitatem Spiritus* [2]. Itaque si pro conjunctione *et* voluerimus uti præpositione *cum*, quid fecerimus diversi? Ego sane non video, nisi quis ob frigidas grammaticæ regulas conjunctionem tanquam copulativam, ac majorem unionem facientem præferens, præpositionem rejiciat, quasi non obtineat parem vim. Sed si de his a nobis ratio exposceretur, forte multis verbis non opus esset nobis ad respondendum. Nunc vero neque de syllabis, neque hoc aut illo dictionis sono disputant, sed de rebus juxta vim ac veritatem maximo inter se discrimine dissidentibus. B Qua de causa, cum indifferens sit syllabarum usus, isti has quidem admittere, illas vero ab Ecclesia submovere moliuntur. Ego vero etsi primo statim auditu præpositio evidentem utilitatem habet, attamen etiam rationem reddam, juxta quam patres nostri non otiose illius quoque usum amplexi sint. Nam præterquam quod hæc idem valet quod *et*, ad refellendam Sabellii malitiam, similiterque atque illa conjunctio hypostaseon proprietatem declarat, velut, *Ego et Pater veniemus* [3], et: *Ego et Pater unum sumus* [4]; præterea eximium habet sempiternæ communionis ac perpetuæ conjunctionis testimonium. Nam qui dixit, cum Patre Filium esse, simul et hypostaseon proprietatem et inseparabile consortium expressit. C Quod idem etiam in rebus humanis videre est, in quibus *et* conjunctio declarat communem operationem: et præpositio *cum* quodammodo etiam significat communionem. Quod genus est, Navigarunt in Macedoniam Paulus et Timotheus, sed et Tychicus et Onesimus missi sunt Colossensibus: ex his discimus illos rem eamdem fecisse. Sed si audierimus, connavigarunt, et simul missi sunt, etiam illud addiscimus, alterum cum altero actionem absolvisse. Ita Sabellii errorem destruens hæc vox ut non alia æque, addit illis et eos qui directe opposito impietatis genere insaniunt. De his loquor, qui temporalibus intervallis Filium a Patre, et Spiritum sanctum a Filio distrahunt.

D Cæterum a syllaba *in* eo maxime differt, quod præpositio *cum* mutuam conjunctionem eorum qui communiter aliquid agunt exhibet, velut connavigantium, aut cohabitantium, aut quidvis aliud communiter perficientium: at præpositio *in* declarat relationem ad id in quo sunt operantes. Siquidem cum audimus, *innavigant*, aut *inhabitant*; protinus cogitamus scapham aut domum. Itaque juxta communem usum, harum syllabarum talis est inter ipsas differentia, majorque inveniri poterit a studiosis. Neque enim mihi vacat de ratione syllabarum exquirere. Quo-

γάρ, φησί, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος· καὶ πάλιν· *Παρακαλῶ δὲ ὑμᾶς διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ διὰ τῆς ἀγάπης τοῦ Πνεύματος.* Εἰ τοίνυν ἀντὶ τῆς *καὶ* τῇ *σὺν* ἐθελήσαιμεν χρήσασθαι, τί διάφορον πεποιηκότες ἐσόμεθα; Ἐγὼ μὲν οὐχ ὁρῶ, πλὴν εἰ μὴ ψυχραῖς γραμματικαῖς τις τὸν μὲν σύνδεσμον ὡς συμπλεκτικὸν καὶ πλείονα ποιοῦντα τὴν ἕνωσιν προτιμῶν, τὴν δὲ πρόθεσιν, ὡς οὐκ ἔχουσαν τὴν ἴσην δύναμιν, ἀποπέμποιτο. Ἀλλ' εἴ γε περὶ τούτων τὰς εὐθύνας ὑπείχομεν, ἴσως οὐκ ἂν πολλοῦ λόγου πρὸς τὴν ἀπολογίαν ἐπεδεήθημεν. Νῦν δὲ οὐ περὶ συλλαβῶν, οὐδὲ περὶ τοιοῦδε ἢ τοιοῦδε φωνῆς ἤχου ὁ λόγος αὐτοῖς, ἀλλὰ περὶ πραγμάτων ἐν δυνάμει καὶ ἀληθείᾳ μεγίστην ἐχόντων διαφοράν. Ὧν ἕνεκεν, ἀπαρατηρήτου τῆς χρήσεως τῶν συλλαβῶν οὔσης, οὗτοι τὰς μὲν ἐγγράφειν, τὰς δὲ ἀποδιώκειν τῆς Ἐκκλησίας ἐπιχειροῦσιν. Ἐγὼ δὲ, εἰ καὶ ἐκ τῆς πρώτης ἀκοῆς ἐναργὲς ἔχει τὸ χρήσιμον, ἀλλ' οὖν καὶ τὸν λόγον παρέξομαι καθ' ὃν οἱ πατέρες ἡμῶν οὐκ ἀργῶς συμπαρέλαβον τὴν χρῆσιν τῆς προθέσεως ταύτης. Πρὸς γὰρ τῷ τὸ τοῦ Σαβελλίου κακὸν ἰσοσθενῶς τῇ *καὶ* συλλαβῇ διελέγχειν, καὶ παραπλησίως ἐκείνῃ τὸ τῶν ὑποστάσεων ἴδιον παριστᾷν, ὡς τό· *Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα·* καὶ τό· *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν·* ἐξαίρετον ἔχει τῆς ἀϊδίου κοινωνίας καὶ ἀπαύστου συναφείας τὸ μαρτύριον. Ὁ γὰρ εἰπὼν σὺν τῷ Πατρὶ τὸν Υἱὸν εἶναι ὁμοῦ τήν τε τῶν ὑποστάσεων ἰδιότητα καὶ τὸ ἀχώριστον τῆς κοινωνίας ἔδειξεν. Ὅπερ καὶ ἐπὶ τῶν ἀνθρωπίνων ἔστιν ἰδεῖν· ὁ μὲν *καὶ* σύνδεσμος τὸ κοινὸν τῆς ἐνεργείας παρίστησιν· ἡ δὲ *σὺν* πρόθεσις τὴν κοινωνίαν πως συνενδείκνυται. Οἷον, Ἔπλευσαν εἰς Μακεδονίαν Παῦλος καὶ Τιμόθεος· ἀλλὰ καὶ Τυχικὸς καὶ Ὀνήσιμος ἀπεστάλησαν Κολοσσαεῦσιν· ἐκ τούτων, ὅτι μὲν ταυτὸν ἐνήργησαν, μεμαθήκαμεν· ἐὰν δὲ ἀκούσωμεν, ὅτι συνέπλευσαν καὶ συναπεστάλησαν, ὅτι καὶ μετ' ἀλλήλων τὴν πρᾶξιν ἐπλήρωσαν προσεδιδάχθημεν. Οὕτω τὸ τοῦ Σαβελλίου κακὸν, ὡς οὐδεμία τῶν ἄλλων φωνῶν καταλύουσα, προστίθησιν ἐκείνοις καὶ τοὺς κατὰ διάμετρον ἀσεβοῦντας. Λέγω δὴ τούτους οἱ χρονικοῖς διαστήμασι τοῦ μὲν Πατρὸς τὸν Υἱὸν, τοῦ δὲ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον διαιροῦσι.

Πρὸς δὲ τὴν *ἐν* συλλαβὴν ἐκεῖνο μάλιστα τὸ διάφορον ἔχει, ὅτι ἡ μὲν *σὺν* τὴν πρὸς ἀλλήλους συνάφειαν τῶν κοινωνούντων παρίστησιν, οἷον τῶν συμπλεόντων, ἢ συνοικούντων, ἢ ὁτιοῦν τῶν πάντων κοινῶς ἐκτελούντων· ἡ δὲ *ἐν* τὴν σχέσιν τὴν πρὸς τὸ ἐν ᾧ τυγχάνουσιν ἐνεργοῦντες δηλοῖ. *Ἐμπλέουσι* γὰρ καὶ *ἐνοικοῦσιν* ἀκούσαντες, τὸ σκάφος καὶ τὴν οἰκίαν εὐθὺς ἐννοήσαμεν. Κατὰ μὲν οὖν τὴν κοινὴν χρῆσιν, ἡ πρὸς ἀλλήλας αὐτῶν διαφορὰ τοιαύτη, καὶ ἐπὶ πλεῖον ἂν εὑρεθείη παρὰ τῶν φιλοπόνων. Οὐ γὰρ ἐμοὶ σχολὴ τὰ περὶ τῶν συλλαβῶν ἐξετάζειν. Ἐπεὶ οὖν δέδεικται ἡ *σὺν* εὐσημότατα ἀποδιδοῦσα

[1] II Cor. XIII, 13. [2] Rom. XV, 30. [3] Joan. XIV, 23. [4] Joan. X, 30.

τῆς συναφείας τὴν ἔννοιαν, γενέσθω ὑμῖν ἔνσπονδος, εἰ δοκεῖ, καὶ παύσασθε τοῦ χαλεποῦ πρὸς αὐτὴν καὶ ἀκηρύκτου πολέμου. Ὅμως μέντοι οὕτως εὐσήμου τῆς φωνῆς ὑπαρχούσης, εἴ τῳ φίλον ἐν δοξολογίαις ἐν Εὐαγγελίοις ἐπὶ τοῦ βαπτίσματος μεμαθήκαμεν, Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα· καὶ οὕτω γινέσθω, οὐδεὶς ἀντερεῖ. Ἐπὶ τούτοις, εἰ δοκεῖ, καταθώμεθα. Ἀλλὰ τὰς γλώσσας ἂν πρόοιντο μᾶλλον, ἢ τὴν φωνὴν ταύτην δέξαιντο. Τοῦτο μὲν οὖν ἐστιν, ὃ τὸν ἀκήρυκτον ἡμῖν καὶ ἄσπονδον πόλεμον ἐπεγείρει. Ἐν τῷ Πνεύματι, φησί, τῷ ἁγίῳ τὴν δοξολογίαν ἀποδοτέον τῷ Θεῷ, οὐχὶ δὲ καὶ τῷ Πνεύματι· καὶ ἐκθυμότατα τῆς φωνῆς ταύτης ὡς ταπεινωτικῆς τοῦ Πνεύματος περιέχονται. Περὶ ἧς οὐκ ἄχρηστον καὶ διὰ μακροτέρων εἰπεῖν. Ὧν ἀκούσαντες οὗτοι, θαυμάσαιμεν ἄν, εἰ μὴ ὡς προδότιν αὐτήν, καὶ πρὸς τὴν τοῦ Πνεύματος δόξαν αὐτομολοῦσαν ἀποκηρύξωσιν.

A ...niam igitur demonstratum est præpositionem *cum* significantissime reddere conjunctionis intelligentiam, inducias a vobis, si videtur, impetret, ac desistite atrox et implacabile bellum cum illa gerere. Sed tamen quamvis hæc vox tam apta sit ad significandum, si cui cordi fuerit in glorificationibus per syllabam *et* nomina connectere et glorificare, quemadmodum in Evangeliis, ubi de baptismate, didicimus, Patrem et Filium et Spiritum sanctum; etiam ita fiat, nemo contradicturus est. Hac conditione, si videtur, inter nos consentiamus. Sed isti citius abjecerint linguas, quam hanc vocem recipiant. Hoc igitur est, quod nobis acerrimum ac irreconciliabile bellum excitat. B In Spiritu sancto, inquiunt, danda est gloria Deo, non autem et Spiritui: atque acerrime huic voci tanquam Spiritum deprimenti adhærescunt. De qua non inutile fuerit prolixius dicere. Quæ cum audierint isti, demirabor, si non eam ut proditricem et ad Spiritus gloriam ultro transfugam repudiabunt.

Τοῦ αὐτοῦ. Ὅτι ὁσαχῶς λέγεται τὸ « ἐν » τοσαυταχῶς καὶ ἐπὶ τοῦ Πνεύματος λαμβάνεται. Κεφάλ. κϛʹ.

Ejusdem, Quot modis dicitur «in,» totidem modis de Spiritu accipi. Caput 26.

Ὁσαχῶς λέγεται τὸ *ἐν*, τοσαυταχῶς εὑρίσκομεν ταῖς περὶ τοῦ Πνεύματος ἐννοίαις ὑπηρετούμενον. Λέγεται μὲν οὖν τὸ εἶδος ἐν τῇ ὕλῃ εἶναι, καὶ ἡ δύναμις ἐν τῷ δεκτικῷ, καὶ ἡ ἕξις ἐν τῷ κατ' αὐτὴν διακειμένῳ, καὶ πολλὰ τοιαῦτα. Οὐκοῦν, καθὸ μὲν τελειωτικὸν τὸ ἅγιον Πνεῦμα τῶν λογικῶν, ἀπαρτίζον αὐτῶν τὴν ἀκρότητα, τὸν τοῦ εἴδους λόγον ἐπέχει. Ὁ γὰρ μηκέτι κατὰ σάρκα ζῶν, ἀλλὰ Πνεύματι Θεοῦ ἀγόμενος, καὶ υἱὸς Θεοῦ χρηματίζων, καὶ σύμμορφος τῆς εἰκόνος τοῦ Υἱοῦ τοῦ Θεοῦ γενόμενος, πνευματικὸς ὀνομάζεται. Καὶ ὡς ἡ δύναμις τοῦ ὁρᾷν ἐν τῷ ὑγιαίνοντι ὀφθαλμῷ, οὕτως ἡ ἐνέργεια τοῦ Πνεύματος ἐν τῇ κεκαθαρμένῃ ψυχῇ. Διὸ καὶ Παῦλος εὔχεται Ἐφεσίοις, πεφωτισμένους ὀφθαλμοὺς αὐτῶν εἶναι ἐν τῷ Πνεύματι τῆς σοφίας. Καὶ ὡς ἡ τέχνη ἐν τῷ ἀναλαβόντι αὐτήν, οὕτως ἡ χάρις τοῦ Πνεύματος ἐν τῷ ὑποδεξαμένῳ, ἀεὶ μὲν συμπαροῦσα, οὐχὶ δὲ καὶ ἐνεργοῦσα διηνεκῶς. Ἐπεὶ καὶ ἡ τέχνη δυνάμει μὲν ἐν τῷ τεχνίτῃ ἐστίν· ἐνεργείᾳ δὲ τότε, ὅταν κατ' αὐτὴν ἐνεργῇ. Οὕτω καὶ τὸ Πνεῦμα ἀεὶ μὲν συμπάρεστι τοῖς ἀξίοις, ἐνεργεῖ δὲ κατὰ τὴν χρείαν, ἢ ἐν προφητείαις, ἢ ἐν ἰάμασιν, ἢ ἐν ἄλλοις τισὶ δυνάμεων ἐνεργήμασιν. Ἔτι ὡς ἐν σώμασιν ὑγίεια, ἢ θερμότης, ἢ ὅλως αἱ εὐκίνητοι διαθέσεις· οὕτω καὶ ἐν ψυχῇ πολλάκις ὑπάρχει τὸ Πνεῦμα, τοῖς διὰ τὸ τῆς γνώμης ἀνίδρυτον εὐκόλως, ἣν ἐδέξαντο χάριν ἀπωθουμένοις, μὴ παραμένον (39), οἷος ἦν ὁ Σαούλ, καὶ οἱ ἑβδομήκοντα πρεσβύτεροι τῶν υἱῶν Ἰσραήλ, πλὴν τοῦ Ἐλδὰδ καὶ Μωδὰδ (τούτοις γὰρ μόνοις ἐκ πάντων φαίνεται παραμεῖναν τὸ Πνεῦμα), καὶ ὅλως εἴ τις τούτοις τὴν προαίρεσιν παραπλήσιος. Καὶ ὡς ὁ λόγος δὲ ἐν ψυχῇ, ποτὲ μὲν ὡς τὸ ἐγκάρδιον

Quot modis dicitur *in*, totidem modis invenimus eam syllabam conceptibus de Spiritu subservire. Nam forma dicitur esse in materia, et potentia in eo quod ejus capax est, et habitus in eo qui secundum illum affectus est, aliaque hujus generis multa. C Itaque quatenus Spiritus sanctus vim habet perficiendi creaturam rationalem, absolvens illius fastigium, formæ rationem obtinet. Nam qui jam non vivit secundum carnem, sed Spiritu Dei agitur, ac Filius Dei nominatur, et conformis imagini Filii Dei factus est, spiritualis dicitur. Et sicut cernendi vis est in oculo sano, sic operatio Spiritus in anima purgata. Eoque Paulus optat Ephesiis, ut oculos habeant illuminatos in Spiritu sapientiæ [1]. Et quemadmodum ars est in eo qui illam adeptus est, ita gratia Spiritus in eo qui recepit eam, semper quidem præsens, at non perpetuo operans. Nam et ars potentia quidem est in artifice; actu vero tum, cum secundum illam operatur: itidem Spiritus D semper quidem adest dignis, sed operatur prout opus est, aut in prophetiis, aut in sanationibus, aut in aliis miraculorum operationibus. Præterea sicut in corporibus est sanitas, aut calor, aut in genere affectiones, facile mobiles; sic et in anima frequenter est Spiritus, in iis qui propter mentis instabilitatem facile gratiam acceptam expellunt, nequaquam permanens: qualis erat Saul, et septuaginta seniores filiorum Israel, præter Eldad et Modad [2] (nam apud hos solos ex omnibus Spiritum mansisse apparet), et in genere, si quis est istis animi proposito consimilis. Item quem-

[1] Ephes. I, 17, 18. [2] Num. XI, 25, 26.

admodum verbum est in animo, interdum ut in corde cogitatum, interdum ut lingua prolatum : sic et Spiritus sanctus, vel cum testimonium præbet spiritui nostro, et clamat in cordibus nostris, *Abba, Pater* [1], vel cum loquitur pro nobis, juxta id quod dictum est, *Non vos estis qui loquimini, sed Spiritus Patris, qui loquitur in vobis* [2]. Jam vero et ut totum in partibus, Spiritus intelligitur juxta donorum distributionem. Omnes enim invicem sumus membra, sed habentes dona secundum Dei gratiam nobis datam diversa. Ea propter *Non potest dicere oculus manui : Non opus habeo te; aut rursus caput pedibus: Non est mihi vobis opus* [3]. Sed omnia quidem simul complent corpus Christi in unitate Spiritus; necessariam autem utilitatem sibi invicem reddunt ex donis. Deus enim posuit membra in corpore, unumquodque illorum ut voluit. Membra autem eamdem habent pro se mutuo sollicitudinem, juxta spiritualem mutuæ affectionis ipsis insitæ communionem. Eoque *Sive patitur unum membrum, una cum eo patiuntur omnia membra : sive glorificatur unum membrum, simul gaudent omnia membra* [4]. Rursus quemadmodum partes sunt in toto, ita singuli sumus in Spiritu, eo quod omnes in uno corpore in unum Spiritum baptizati sumus.

Porro quod mirum dictu videbitur, nihilo tamen minus verum est; etiam veluti locus eorum qui sanctificantur, sæpenumero dicitur Spiritus. Et constabit ne hoc quidem loquendi genere diminui Spiritum, sed glorificari potius. Nam nomina corporalia etiam ad spirituales intelligentias, evidentiæ gratia, frequenter Scriptura transfert. Observavimus igitur et Psalmodum de Deo loquentem, *Esto mihi in Deum protectorem, et in locum munitum, ut salvum me facias* [5]. De Spiritu vero, *Ecce locus*, inquit, *apud me, et sta super petram* [6] : quid aliud appellans locum, nisi visionem in Spiritu, in qua cum esset Moyses, potuit videre Deum evidenter ipsi apparentem? Hic est locus veræ adorationis proprius. *Attende enim*, inquit, *ne offeras holocautomata tua in quovis loco, sed in loco quemcunque elegerit Dominus Deus tuus* [7]. Quod igitur est holocautoma spirituale? Sacrificium laudis [8]. Quo in loco hoc offeremus, nisi in Spiritu sancto? Ubi hoc didicimus? Ab ipso Domino dicente, *Veri adoratores adorabunt Patrem in Spiritu et veritate* [9]. Hunc locum cum vidisset Jacob dixit : *Dominus est in loco hoc* [10]. Itaque Spiritus vere locus est sanctorum. Sanctus itidem, locus est Spiritui proprius, ac præbet seipsum ut inhabitet cum Deo, ac templum illius vocatur. Sicut enim in Christo loquitur Paulus, *Coram Deo*, inquit, *in Christo loquimur* [11] : et Christus in Paulo, velut ipse ait, *An experimentum*

A νόημα, ποτὲ δὲ ὡς ὁ προφερόμενος διὰ γλώσσης, οὕτω τὸ Πνεῦμα τὸ ἅγιον· νῦν μὲν ὅταν συμμαρτυρῇ τῷ Πνεύματι, καὶ ὅταν κράζῃ ἐν ταῖς καρδίαις ἡμῶν· *Ἀββᾶ ὁ Πατήρ*· νῦν δὲ ὅταν λαλῇ ὑπὲρ ἡμῶν, κατὰ τὸ εἰρημένον, ὅτι *Οὐχ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς τὸ λαλοῦν ἐν ὑμῖν.* Ἤδη δὲ καὶ ὡς ὅλον ἐν μέρεσι, νοεῖται τὸ Πνεῦμα κατὰ τὴν τῶν χαρισμάτων διανομήν. Πάντες γὰρ ἀλλήλων ἐσμὲν μέλη, ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσαν ἡμῖν διάφορα. Διὰ τοῦτο *Οὐ δύναται ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρὶ, Χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσὶ, Χρείαν ὑμῶν οὐκ ἔχω.* Ἀλλὰ πάντα μὲν ὁμοῦ συμπληροῖ τὸ σῶμα τοῦ Χριστοῦ ἐν τῇ ἑνότητι τοῦ Πνεύματος· ἀλλήλοις δὲ ἀναγκαίαν τὴν ἐκ τῶν χαρισμά-
B των ἀντιδίδωσιν ὠφέλειαν. Ὁ μὲν γὰρ Θεὸς ἔθετο τὰ μέλη ἐν τῷ σώματι, ἓν ἕκαστον αὐτῶν καθὼς ἠθέλησε. Τὰ μέντοι μέλη τὸ αὐτὸ μεριμνῶσιν ὑπὲρ ἀλλήλων, κατὰ τὴν πνευματικὴν κοινωνίαν τῆς συμπαθείας αὐτοῖς ὑπαρχούσης. Διόπερ *Εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη.* Καὶ ὡς μέρη δὲ ἐν ὅλῳ, οἱ καθ' ἕνα ἐσμὲν ἐν τῷ Πνεύματι· ὅτι οἱ πάντες ἐν ἑνὶ σώματι, εἰς ἓν Πνεῦμα ἐβαπτίσθημεν.

Ὃ δὲ παράδοξον μὲν εἰπεῖν, ἀληθὲς δὲ οὐδενὸς ἔλαττον, ὅτι καὶ ὡς χώρα τῶν ἁγιαζομένων πολλάκις τὸ Πνεῦμα λέγεται. Καὶ φανήσεται οὐδὲ οὗτος
C ὁ τρόπος κατασμικρύνων τὸ Πνεῦμα, ἀλλὰ μᾶλλον δοξάζων. Τὰ γάρ τοι σωματικὰ τῶν ὀνομάτων καὶ ἐπὶ τὰς πνευματικὰς ἐννοίας ἐναργείας ἕνεκεν πολλάκις ὁ λόγος μετακομίζει. Τετηρήκαμεν οὖν καὶ ἐπὶ τοῦ Θεοῦ τὸν Ψαλμῳδὸν λέγοντα· *Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν, καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με.* Περὶ δὲ τοῦ Πνεύματος, *Ἰδοὺ τόπος*, φησὶ, *παρ' ἐμοὶ, καὶ στῆθι ἐπὶ τῆς πέτρας*· τί ἄλλο λέγων τὸν τόπον ἢ τὴν ἐν Πνεύματι θεωρίαν, ἐν ᾗ γενόμενος, ἐδύνατο ἰδεῖν γνωστῶς ἐμφανιζόμενον αὐτῷ τὸν Θεὸν ὁ Μωϋσῆς; Οὗτός ἐστιν ὁ τόπος ὁ τῆς ἀληθινῆς λατρείας ἴδιος. *Πρόσεχε γὰρ*, φησὶ, *μὴ ἀνενέγκῃς τὰ ὁλοκαυτώματά σου ἐν παντὶ τόπῳ, ἀλλ' ἐν τῷ τόπῳ, ᾧ ἂν ἐκλέξηται*
D *Κύριος ὁ Θεός σου.* Ποῖον οὖν ἐστιν ὁλοκαύτωμα πνευματικόν; Ἡ θυσία τῆς αἰνέσεως. Ἐν ποίῳ δὲ τόπῳ ταύτην προσφέρομεν, ἢ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ; Ποῦ τοῦτο μεμαθήκαμεν; Παρ' αὐτοῦ τοῦ Κυρίου λέγοντος, ὅτι *Οἱ ἀληθινοὶ προσκυνηταὶ ἐν Πνεύματι καὶ ἀληθείᾳ προσκυνήσουσι τῷ Πατρί.* Τοῦτον τὸν τόπον ἰδὼν ὁ Ἰακὼβ, ἔφη, ὅτι *Κύριος ἐν τῷ τόπῳ τούτῳ.* Ὥστε τὸ Πνεῦμα τόπος ἀληθῶς τῶν ἁγίων. Καὶ ὁ ἅγιος τόπος οἰκεῖος τῷ Πνεύματι ἐμπαρέχων ἑαυτὸν πρὸς ἐνοίκησιν τὴν μετὰ Θεοῦ, καὶ ναὸς αὐτοῦ χρηματίζων. Ὡς γὰρ ἐν Χριστῷ λαλεῖ Παῦλος· *Κατενώπιον γὰρ*, φησὶ, *Θεοῦ ἐν Χριστῷ λαλοῦμεν*· καὶ Χριστὸς ἐν Παύλῳ, ὡς

[1] Rom. VIII, 16, 15. [2] Matth. x, 20. [3] I Cor XII, 21. [4] ibid. 26. [5] Psal. xxx, 3. [6] Exod, XXXIII, 21. [7] Deut. XII, 13. [8] Psal. XLIX, 14. [9] Joan. IV, 23. [10] Gen. XXVIII, 16. [11] II Cor. II, 17.

αὐτὸς λέγει· *Ἢ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ;* οὕτω καὶ ἐν Πνεύματι λαλεῖ τὰ μυστήρια, καὶ τὸ Πνεῦμα πάλιν λαλεῖ ἐν αὐτῷ.

Ἐν μὲν οὖν τοῖς γεννητοῖς οὕτω πολυμερῶς καὶ πολυτρόπως ἐνεῖναι λέγεται τὸ Πνεῦμα· Πατρὶ δὲ καὶ Υἱῷ οὐχὶ ἐνεῖναι μᾶλλον, ἀλλὰ συνεῖναι εἰπεῖν εὐσεβέστερον. Ἡ μὲν γὰρ παρ' αὐτοῦ χάρις οἰκοῦντος ἐν τοῖς ἀξίοις, καὶ ἐνεργοῦντος τὰ ἑαυτοῦ, καλῶς ἐνυπάρχειν τοῖς δεκτικοῖς αὐτοῦ λέγεται· ἡ δὲ προαιώνιος ὕπαρξις, καὶ ἄπαυστος διαμονὴ, μεθ' Υἱοῦ καὶ Πατρὸς θεωρουμένη, τὰς τῆς ἀϊδίου συναφείας προσηγορίας ἐπιζητεῖ. Τὸ γὰρ κυρίως καὶ ἀληθῶς *συνυπάρχειν* ἐπὶ τῶν ἀχωρίστως ἀλλήλοις συνόντων λέγεται. Τὴν γὰρ θερμότητα τῷ μὲν πυρακτωθέντι σιδήρῳ ἐνυπάρχειν φαμέν· αὐτῷ δὲ τῷ πυρὶ συνυπάρχειν. Καὶ τὴν μὲν ὑγίειαν τῷ σώματι ἐνυπάρχειν, τὴν δὲ ζωὴν τῇ ψυχῇ συνυπάρχειν. Ὥστε ὅπου μὲν οἰκεία καὶ συμφυὴς καὶ ἀχώριστος ἡ κοινωνία, σημαντικωτέρα φωνὴ ἡ *σὺν*, τῆς ἀχωρίστου κοινωνίας τὴν διάνοιαν ὑποβάλλουσα· ὅπου δὲ προσγίνεσθαι ἡ ἀπ' αὐτοῦ χάρις καὶ πάλιν ἀπογίνεσθαι πέφυκεν, οἰκείως καὶ ἀληθῶς τὸ ἐνυπάρχειν λέγεται, κἂν τοῖς δεξαμένοις πολλάκις διὰ τὸ ἑδραῖον τῆς περὶ τὸ καλὸν διαθέσεως ἡ ἀπ' αὐτοῦ χάρις διαρκὴς παραμένῃ. Ὥστε ὅταν μὲν τὴν οἰκείαν ἀξίαν τοῦ Πνεύματος ἐννοῶμεν, μετὰ Πατρὸς καὶ Υἱοῦ αὐτὸ θεωροῦμεν· ὅταν δὲ τὴν εἰς τοὺς μετόχους ἐνεργουμένην χάριν ἐνθυμηθῶμεν, ἐν ἡμῖν εἶναι τὸ Πνεῦμα λέγομεν. Καὶ ἥ γε προσαγομένη δοξολογία παρ' ἡμῶν ἐν τῷ Πνεύματι οὐχὶ τῆς ἐκείνου ἀξίας ὁμολογίαν ἔχει, ἀλλὰ τῆς ἡμετέρας αὐτῶν ἀσθενείας ἐξομολόγησιν· δεικνύντων, ὅτι οὔτε δοξάσαι ἀφ' ἑαυτῶν ἱκανοί ἐσμεν, ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐν τῷ Πνεύματι τῷ ἁγίῳ, ἐν ᾧ δυναμωθέντες, τὴν ὑπὲρ ὧν εὐηργετήθημεν, τῷ Θεῷ ἡμῶν εὐχαριστίαν ἀποπληροῦμεν· κατὰ τὸ μέτρον τῆς ἀπὸ κακίας καθαρότητος, ἕτερος ἑτέρου πλέον ἢ ἔλαττον τῆς ἐκ τοῦ Πνεύματος βοηθείας μεταλαμβάνοντες, εἰς τὸ προσφέρειν τὰς θυσίας τῆς αἰνέσεως τῷ Θεῷ. Καθ' ἕνα μὲν οὖν τρόπον οὕτως εὐσεβῶς ἐν Πνεύματι τὴν εὐχαριστίαν ἀποπληροῦμεν. Καίτοι καὶ τοῦτο οὐκ ἀβαρὲς, αὐτόν τινα ἑαυτῷ μαρτυρεῖν, ὅτι Πνεῦμα Θεοῦ ἐν ἐμοὶ, καὶ διὰ τῆς ἀπ' αὐτοῦ χάριτος σοφισθεὶς ἀναφέρω τὴν δόξαν. Παύλῳ γὰρ πρέπουσα ἡ φωνή· *Δοκῶ γὰρ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν*· καὶ πάλιν· *Τὴν καλὴν παρακαταθήκην φύλαξον διὰ Πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν*· καὶ περὶ τοῦ Δανιήλ· ὅτι Πνεῦμα Θεοῦ ἅγιον ἐν αὐτῷ· καὶ εἴ τις ἐκείνοις τὴν ἀρετὴν παραπλήσιος.

Δεύτερος δὲ νοῦς, οὐδὲ αὐτὸς ἀπόβλητος· ὅτι ὥσπερ ἐν τῷ Υἱῷ ὁρᾶται ὁ Πατὴρ, οὕτως ὁ Υἱὸς ἐν τῷ Πνεύματι. Ἡ τοίνυν ἐν τῷ Πνεύματι προσκύνησις τὴν ὡς ἐν φωτὶ γινομένην τῆς διανοίας ἡμῶν ἐνέργειαν ὑποβάλλει, ὡς ἐκ τῶν πρὸς τὴν Σαμαρεῖτιν εἰρημένων ἂν μάθοις. Ἐν τόπῳ γὰρ εἶναι τὴν προσκύνησιν ἐκ τῆς ἐγχωρίου συνηθείας ἠπατημένην ὁ

A *quæritis qui loquitur in me Christi* [1]? sic et in Spiritu loquitur mysteria, ac Spiritus rursum loquitur in eo.

In rebus ergo conditis ad hunc modum multifariam variisque rationibus dicitur Spiritus inesse : verum magis pium est dicere, eum esse cum Patre et Filio, quam illis inesse. Nam gratia ab eo manans, habitante in iis qui digni sunt, ac suas operationes in illis exercente, recte dicitur inesse iis qui sunt illius capaces. At illius subsistentia quæ fuit ante sæcula, ac perpetuitas nunquam desitura cum Filio et Patre considerata, sempiternæ conjunctionis requirit appellationes. Nam *coesse* proprie ac vere dicitur de iis, quæ sibi invicem inseparabiliter adsunt. Nam calorem ferro
B quidem ignito inesse dicimus : at una simul cum ipso igne esse. Item corpori sanitatem inesse dicimus, vitam autem simul cum anima esse. Quare ubi propria et connaturalis atque inseparabilis communio est, hæc vox *cum* significantior est, ut quæ inseparabilis conjunctionis cogitationem suggerat intellectui. Ubi autem gratia ab ipso proficiscens, accedere ac rursus decedere potest, proprie et vere inesse dicitur; etiamsi illius gratia in iis qui receperunt, sæpenumero propter affectus in bono perseverantiam perpetua permaneat. Proinde quoties propriam Spiritus dignitatem intelligimus, cum Patre et Filio ipsum contemplamur : ubi vero gratiam in eos, qui illius sunt participes, operantem reputamus, in nobis esse Spiritum dicimus.
C Et quæ a nobis defertur glorificatio in Spiritu, non habet professionem dignitatis illius, sed nostræ ipsorum imbecillitatis confessionem, dum ostendimus nos ex nobis ipsis ad glorificandum sufficientes non esse, sed sufficientiam nostram esse in Spiritu sancto, in quo corroborati, pro beneficiis acceptis Deo nostro gratias absolvimus : juxta quod a malitia purgati sumus; quippe alius alio plus aut minus, auxilio Spiritus adjuti ad offerendum hostias laudis Deo. Secundum unum igitur modum sic pie gratiarum actionem in Spiritu persolvimus. Quanquam et hoc invidia non caret, ut aliquis de seipso testificetur, dicatque : Spiritus Dei in me est, et per gratiam illius sapiens factus re-
D fero gloriam. Nam hæc vox Paulum decet : *Videor et mihi Spiritum Dei habere* [2]; et rursus, *Egregium depositum serva per Spiritum sanctum qui habitat in nobis* [3]. Item de Daniele legimus [4], quod Spiritus Dei sanctus fuerit in eo; et si quis illis assimilis sit virtute.

Alter autem intellectus est, nec ipse rejiciendus, quod sicut in Filio cernitur Pater, sic Filius cernitur in Spiritu. Itaque adoratio quæ sit in Spiritu, mentis nostræ operationem ut in luce factam indicat, ut discere licet ex iis quæ Samaritanæ dicta sunt. Nam cum illa consuetudine regionis decepta existimaret in loco esse adorationem;

[1] II Cor. xiii, 3. [2] I Cor. vii, 40. [3] II Tim. i, 14. [4] Dan. v, 11.

Dominus eam dedocens dixit in Spiritu et veritate adorare oportere [1]: nimirum seipsum appellans veritatem. Quemadmodum igitur in Filio dicimus adorationem, velut in imagine Dei ac Patris: sic et in Spiritu tanquam in seipso Domini divinitatem exprimente. Unde et in adoratione inseparabilis est a Patre et Filio Spiritus sanctus. Nam si sis extra illum, nullo pacto es adoraturus: contra, si in illo fueris, nullo modo eum separabis a Deo, nihilo profecto magis quam lumen separabis ab iis quæ visui patent: impossibile siquidem est cernere imaginem Dei invisibilis, nisi in lumine Spiritus. Et qui intuetur imaginem, hunc impossibile est lumen ab imagine separare. Quod enim ut videas in causa est, id necesse est, ut simul cum iis quæ cernuntur, videatur. Itaque proprie et congruenter per illuminationem Spiritus conspicimus splendorem gloriæ Dei; per characterem autem ad eum, cujus est character et æquale sigillum, subvehimur.

Quam igitur ob causam, inquiunt, cum proprie conveniat hæc syllaba, *in*, Spiritui, ac nobis ad exprimendum quemvis de Spiritu intellectum sufficiat, vos novam istam syllabam induxistis, qui dicitis, *Cum Spiritu*, non, *In Spiritu sancto;* alioquin nec necessariis, nec ab Ecclesia probatis vocibus utentes?

Unde initium habet syllaba, «cum,» et quam vim habeat; ubi et de Ecclesiæ legibus nullo scripto proditis. Caput 27.

Quod igitur hæc syllaba, *in*, Spiritui sancto non in sortem proprie cessit, sed Patris Filiique communis est, in superioribus dictum est. Arbitror autem et illud satis demonstratum, quod *in* non solum nihil detrahit dignitati Spiritus, verum etiam ad summam celsitudinem erigit cogitationes eorum, qui non prorsus mente corrupti sunt. Superest autem disserere de syllaba *cum*, unde cœperit, et quam vim habeat, et quomodo Scripturæ concordet.

Ex asservatis in Ecclesia dogmatibus et prædicationibus, alia quidem habemus e doctrina scripto prodita; alia vero nobis in mysterio tradita recepimus ex traditione apostolorum: quorum utraque vim eamdem habent ad pietatem; nec iis quisquam contradicet: nullus certe, qui vel tenui experientia noverit quæ sint Ecclesiæ instituta. Nam si consuetudines quæ scripto proditæ non sunt, tanquam haud multum habentes momenti aggrediamur rejicere, imprudentes Evangelium in ipsis rebus præcipuis lædemus, imo potius prædicationem ad nudum nomen contrahemus. Verbi gratia, ut ejus quod primum est et vulgatissimum primo loco commemorem: ut signo crucis eos qui spem collocant in Christo signemus, quis scripto docuit? Ut ad orientem versi precemur, quæ nos

A Κύριος ἡμῶν μεταδιδάσκων, ἐν Πνεύματι καὶ ἀληθείᾳ χρῆναι προσκυνεῖν ἔφησεν, ἑαυτὸν λέγων δηλαδὴ τὴν ἀλήθειαν. Ὥσπερ οὖν ἐν τῷ Υἱῷ προσκύνησιν λέγομεν, τὴν ὡς ἐν εἰκόνι τοῦ Θεοῦ καὶ Πατρὸς, οὕτω καὶ ἐν τῷ Πνεύματι, ὡς ἐν ἑαυτῷ δεικνύντι τὴν τοῦ Κυρίου θεότητα. Διὸ καὶ ἐν τῇ προσκυνήσει ἀχώριστον ἀπὸ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον. Ἔξω μὲν γὰρ ὑπάρχων αὐτοῦ, οὐδὲ προσκυνήσεις τὸ παράπαν· ἐν αὐτῷ δὲ γενόμενος οὐδενὶ τρόπῳ ἀποχωρίσεις ἀπὸ Θεοῦ· οὐ μᾶλλόν γε, ἢ τῶν ὁρατῶν ἀποστήσεις τὸ φῶς· ἀδύνατον γὰρ ἰδεῖν τὴν εἰκόνα τοῦ Θεοῦ τοῦ ἀοράτου, μὴ ἐν τῷ φωτισμῷ τοῦ Πνεύματος. Καὶ τὸν ἐνατενίζοντα τῇ εἰκόνι ἀμήχανον τῆς εἰκόνος ἀποχωρίσαι τὸ φῶς. Τὸ γὰρ τοῦ ὁρᾷν αἴτιον ἐξ ἀνάγκης συγκαθορᾶται τοῖς ὁρατοῖς. Ὥστε οἰκείως B καὶ ἀκολούθως διὰ μὲν τοῦ φωτισμοῦ τοῦ Πνεύματος τὸ ἀπαύγασμα τῆς δόξης τοῦ Θεοῦ καθορῶμεν· διὰ δὲ τοῦ χαρακτῆρος ἐπὶ τὴν οὗ ἐστιν ὁ χαρακτὴρ καὶ ἡ ἰσότυπος σφραγὶς ἀναγόμεθα.

Τίνος οὖν ἕνεκεν, φασὶν, ἰδίως προσηκούσης τῷ Πνεύματι τῆς *ἐν* συλλαβῆς, καὶ εἰς πᾶσαν ἡμῖν τὴν περὶ αὐτοῦ ἔννοιαν ἐξαρκούσης τὴν καινὴν ταύτην ὑμεῖς συλλαβὴν ἐπεισηγάγετε, *σὺν τῷ Πνεύματι* λέγοντες, καὶ οὐχ, *ἐν τῷ Πνεύματι τῷ ἁγίῳ*, οὔτε ἄλλως ἀναγκαῖα, οὔτε νενομισμένα ταῖς Ἐκκλησίαις φθεγγόμενοι;

Τοῦ αὐτοῦ. Πόθεν ἡ «σὺν» ἤρξατο συλλαβὴ, καὶ ποίαν δύναμιν ἔχει· ἐν ᾧ καὶ τὰ περὶ τῶν C *ἀγράφων τῆς Ἐκκλησίας νομίμων. Κεφάλ. κζ'.*

Ὡς μὲν οὖν οὐχὶ ἀποκληρωτικῶς τῷ ἁγίῳ Πνεύματι ἡ *ἐν* συλλαβὴ διενήνοχεν, ἀλλὰ κοινὴ Πατρός ἐστι καὶ Υἱοῦ, ἐν τοῖς κατόπιν εἴρηται. Οἶμαι δὲ κἀκεῖνο ἀρκούντως εἰρῆσθαι, ὅτι οὐ μόνον οὐκ ἀφαιρεῖταί τι τῆς ἀξίας τοῦ Πνεύματος, ἀλλὰ καὶ πρὸς τὸ μέγιστον ὕψος τῶν μὴ πάντη ἐνδιαστρόφων τοὺς λογισμοὺς ἐπανάγει. Λειπόμενον δέ ἐστι περὶ τῆς *σὺν*, ὁπόθεν ἤρξατο, καὶ τίνα δύναμιν ἔχει, καὶ ὅπως σύμφωνός ἐστι τῇ Γραφῇ, διηγήσασθαι.

Τῶν ἐν τῇ Ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων καὶ κηρυγμάτων τὰ μὲν ἐκ τῆς ἐγγράφου διδασκαλίας ἔχομεν, τὰ δὲ ἐκ τῆς τῶν ἀποστόλων παραδόσεως διαδοθέντα ἡμῖν ἐν μυστηρίῳ παρεδεξάμεθα· D ἅπερ ἀμφότερα τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς τὴν εὐσέβειαν. Καὶ τούτοις οὐδεὶς ἀντερεῖ, οὔκουν ὅστις γε κατὰ μικρὸν γοῦν θεσμῶν ἐκκλησιαστικῶν πεπείραται. Εἰ γὰρ ἐπιχειρήσαιμεν τὰ ἄγραφα τῶν ἐθῶν ὡς μὴ μεγάλην ἔχοντα τὴν δύναμιν παραιτεῖσθαι, λάθοιμεν ἂν εἰς αὐτὰ τὰ καίρια ζημιοῦντες τὸ Εὐαγγέλιον· μᾶλλον δὲ εἰς ὄνομα ψιλὸν περιιστῶντες τὸ κήρυγμα. Οἷον, ἵνα τοῦ πρώτου καὶ κοινοτάτου πρῶτον μνησθῶ, τῷ τύπῳ τοῦ σταυροῦ τοὺς εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἠλπικότας κατασημαίνεσθαι τίς ὁ διὰ γράμματος διδάξας; Τὸ πρὸς ἀνατολὰς τετράφθαι κατὰ τὴν προσευχὴν ποῖον

[1] Joan. IV, 24.

ἐδίδαξεν ἡμᾶς γράμμα; Τὰ τῆς ἐπικλήσεως ῥήματα ἐπὶ τῇ ἀναδείξει τοῦ ἄρτου τῆς Εὐχαριστίας καὶ τοῦ ποτηρίου τῆς εὐλογίας τίς τῶν ἁγίων ἐγγράφως ἡμῖν καταλέλοιπεν; Οὐ γὰρ δὴ τούτοις ἀρκούμεθα, ὧν ὁ Ἀπόστολος ἢ τὸ Εὐαγγέλιον ἐπεμνήσθη, ἀλλὰ καὶ προλέγομεν καὶ ἐπιλέγομεν ἕτερα, ὡς μεγάλην ἔχοντα πρὸς τὸ μυστήριον τὴν ἰσχὺν, ἐκ τῆς ἀγράφου διδασκαλίας παραλαβόντες. Εὐλογοῦμεν δὲ τό τε ὕδωρ τοῦ βαπτίσματος, καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ προσέτι αὐτὸν τὸν βαπτιζόμενον. Ἀπὸ ποίων ἐγγράφων; Οὐχ ἀπὸ τῆς σιωπωμένης καὶ μυστικῆς παραδόσεως; Τί δέ; αὐτὴν τοῦ ἐλαίου τὴν χρίσιν τίς λόγος γεγραμμένος ἐδίδαξε· Τὸ δὲ τρὶς βαπτίζεσθαι τὸν ἄνθρωπον πόθεν; Ἄλλα δὲ ὅσα περὶ τὸ βάπτισμα, ἀποτάσσεσθαι τῷ Σατανᾷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἐκ ποίας ἐστὶ γραφῆς; Οὐχ ἐκ τῆς ἀδημοσιεύτου ταύτης καὶ ἀποῤῥήτου διδασκαλίας, ἣν ἐν ἀπολυπραγμονήτῳ καὶ ἀπεριεργάστῳ σιγῇ οἱ πατέρες ἡμῶν ἐφύλαξαν, καλῶς ἐκεῖνο δεδιδαγμένοι, τῶν μυστηρίων τὸ σεμνὸν σιωπῇ διασώζεσθαι; Ἃ γὰρ οὐδὲ ἐποπτεύειν ἔξεστι τοῖς ἀμυήτοις, τούτων πῶς ἂν ἦν εἰκὸς τὴν διδασκαλίαν ἐκθριαμβεύειν ἐν γράμμασιν; ἢ τίποτε βουλόμενος ὁ μέγας Μωϋσῆς, οὐ πᾶσι βάσιμα εἶναι τὰ τοῦ ἱεροῦ πάντα πεποίηκεν; ἀλλ' ἔξω μὲν ἁγίων ἔστησε περιβόλων τοὺς βεβήλους, τὰς δὲ πρώτας αὐλὰς τοῖς καθαρωτέροις ἀνεὶς, τοὺς Λευΐτας μόνους ἀξίους ἔκρινε τοῦ θείου θεραπευτάς· σφάγια δὲ, καὶ ὁλοκαυτώσεις, καὶ τὴν λοιπὴν ἱερουργίαν τοῖς ἱερεῦσιν ἀποκληρώσας, ἕνα τῶν πάντων ἔκκριτον εἰς τὰ ἄδυτα παραδέχεται· καὶ οὐδὲ τοῦτον διὰ παντὸς, ἀλλὰ κατὰ μίαν μόνην τοῦ ἐνιαυτοῦ ἡμέραν, καὶ ταύτης ὥραν τακτὴν εἰσιτητὸν αὐτῷ καταστήσας, ὥστε διὰ τὸ ἀπεξενωμένον καὶ ἀήθες θαμβούμενον ἐποπτεύειν τὰ Ἅγια τῶν ἁγίων· εὖ εἰδὼς ὑπὸ σοφίας τῷ μὲν πεπατημένῳ καὶ αὐτόθεν ληπτῷ πρόχειρον οὖσαν τὴν καταφρόνησιν, τῷ δὲ ἀνακεχωρηκότι καὶ σπανίῳ φυσικῶς πως παρεζευγμένον τὸ περισπούδαστον. Κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ οἱ τὰ περὶ τὰς Ἐκκλησίας ἐξ ἀρχῆς διαθεσμοθετήσαντες ἀπόστολοι καὶ Πατέρες ἐν τῷ κεκρυμμένῳ καὶ ἀφθέγκτῳ τὸ σεμνὸν τοῖς μυστηρίοις ἐφύλασσον. Οὐδὲ γὰρ ὅλως μυστήριον τὸ εἰς τὴν δημώδη καὶ εἰκαίαν ἀκοὴν ἐκφερον. Οὗτος ὁ λόγος τῆς τῶν ἀγράφων παραδόσεως, ὡς μὴ καταμεληθεῖσαν τῶν δογμάτων τὴν γνῶσιν εὐκαταφρόνητον τοῖς πολλοῖς γενέσθαι διὰ συνήθειαν. Ἄλλο γὰρ δόγμα, καὶ ἄλλο κήρυγμα. Τὸ μὲν γὰρ σιωπᾶται, τὰ δὲ κηρύγματα δημοσιεύεται. Σιωπῆς δὲ εἶδος καὶ ἡ ἀσάφεια, ᾗ κέχρηται ἡ Γραφὴ, δυσθεώρητον κατασκευάζουσα τῶν δογμάτων τὸν νοῦν πρὸς τὸ τῶν ἐντυγχανόντων λυσιτελές. Τούτου χάριν πάντες μὲν ὁρῶμεν κατ' ἀνατολὰς ἐπὶ τῶν προσευχῶν· ὀλίγοι δὲ ἴσμεν, ὅτι τὴν ἀρχαίαν ἐπιζητοῦμεν πατρίδα, τὸν παράδεισον, ὃν ἐφύτευσεν ὁ Θεὸς ἐν Ἐδὲμ κατ' ἀνατολάς. Ὀρθοὶ μὲν πληροῦμεν τὰς εὐχὰς ἐν τῇ μιᾷ τοῦ Σαββάτου· τὸν δὲ λόγον οὐ πάντες οἴδαμεν. Οὐ γὰρ μόνον ὡς συναναστάντες Χριστῷ, καὶ τὰ ἄνω ζητεῖν ὀφείλοντες,

docuit Scriptura? Invocationis verba cum conficitur panis Eucharistiæ et poculum benedictionis, quis sanctorum in scripto nobis reliquit? Nec enim his contenti sumus, quæ commemorat Apostolus aut Evangelium, verum alia quoque et ante et post dicimus, tanquam multum habentia momenti ad mysterium, quæ ex traditione non scripta accepimus. Benedicimus autem et aquam baptismatis, et oleum unctionis, imo ipsum etiam qui baptismum accipit. Ex quibus scriptis? Nonne a tacita secretaque traditione? Ipsam vero olei unctionem, quis sermo scripto proditus docuit? Jam ter immergi hominem, unde haustum? Reliqua autem quæ fiunt in baptismo, veluti renuntiare Satanæ et angelis ejus, ex qua scriptura habemus? Nonne ex minime publicata et arcana hac doctrina, quam patres nostri silentio quieto minimeque curioso servarunt? Quippe illud probe didicerant, mysteriorum reverentiam silentio conservari. Nam quæ nec intueri fas est non initiatis, qui conveniebat horum doctrinam scriptis vulgari? aut quid tandem sibi voluit magnus ille Moyses, qui non omnia quæ erant in templo passus sit omnibus esse pervia [1]? sed profanos extra sacros cancellos statuit; ac priora quidem atria purioribus permittens, Levitas solos dignos censuit numinis ministerio [2]: mactationes autem holocautomatumque oblationes, et reliqua quæ ad rem sacram pertinent sacerdotibus assignavit [3]; atque unum ex omnibus selectum in adyta admisit [4], et ne hunc quidem semper, sed uno tantum die quotannis: quin et hujus diei certam horam qua fas esset ingredi, præstituit, quo propter novitatem et insolentiam, cum stupore intueretur Sancta sanctorum [5]; probe sciens pro sua sapientia, res usu tritas et ex se obvias, expositas esse contemptui: rebus vero quæ sepositæ sunt ac raræ quodammodo naturaliter conjunctam esse summam admirationem ac studium. Ad eumdem profecto modum, et qui initio certos Ecclesiæ ritus præscripserunt apostoli et Patres, in occulto silentioque mysteriis suam servavere dignitatem. Neque enim omnino mysterium est, quod ad populares ac vulgares aures effertur. Hæc est ratio, cur quædam citra scriptum tradita sint, ne dogmatum notitia neglecta, propter assuetudinem vulgo veniret in contemptum. Aliud utique est dogma, aliud prædicatio. Nam dogmata silentur, prædicationes vero publicantur. Est autem silentii species etiam obscuritas qua utitur Scriptura, intellectu difficilem reddens dogmatum sententiam, idque ad legentium utilitatem. Hanc ob causam omnes spectamus ad orientem, cum precamur, pauci tamen novimus, quod id facientes antiquam requirimus patriam, videlicet paradisum, quem plantavit Deus in Eden ad orientem [6]. Erecti itidem perficimus deprecationes in una Sabbati, sed rationem non omnes novimus.

[1] Num. IV, 20. [2] Num. XVIII, 21, 22. [3] Ibid. 7. [4] Exod. XXX, 10. [5] Levit. XVI, 2. [6] Gen. II, 8.

Non enim solum quod veluti simul cum Christo resuscitati, quæ sursum sunt quærere debeamus, in die resurrectionis datæ nobis gratiæ stando precantes nosmetipsos commonefacimus, sed quod is dies videatur aliquo modo imago venturi sæculi. Eoque cum sit principium dierum, non primus a Moyse, sed unus appellatus est. *Facta est enim*, inquit, *vespera, et factum est mane, dies unus* [1] : tanquam qui sæpe recurrat. Igitur unus est idem et octavus, unum illum singularem ac verum octavum, cujus et Psalmista in quibusdam Psalmorum inscriptionibus meminit [2], per se significans, statum videlicet hoc tempus secuturum, diem non desiturum, vesperæ nescium, successoris expertem, ævum illud nunquam finiendum nec unquam senescens. Necessario igitur in hoc die Ecclesia suos alumnos docet, preces suas stando absolvere, ut assidua commonitione vitæ illius nunquam desituræ, non negligamus ad eam demigrationem parare viaticum. Quin et totum illud quinquaginta dierum tempus admonitio est resurrectionis, quam in altero sæculo exspectamus. Nam unus ille et primus dies septies multiplicatus, septem sacræ Pentecostes hebdomadas absolvit. A primo enim incipiens, in eumdem desinit, per similes, qui in medio intercedunt, dies quinquagies evolutus. Unde et æternitatem similitudine refert, dum velut in motu circulari, ab iisdem orsus signis in eadem desinit. Quo in die, corporis erecto habitu precari potius nos Ecclesiæ ritus docuerunt, nimirum per evidentem commonitionem quasi transferentes mentem nostram a præsentibus ad futura. Insuper et quoties genua flectimus, et rursus erigimur, ipso facto ostendimus, quod ob peccatum in terram delapsi sumus, et per humanitatem ejus qui creavit nos in cœlum revocati sumus.

Deficiet me dies, si Ecclesiæ mysteria citra scriptum tradita pergam recensere. Omitto cætera : ipsam fidei professionem in Patrem et Filium et Spiritum sanctum, è quibus habemus scriptis? Etenim si quoniam ex baptismi traditione, juxta pietatis consecutionem, ut baptizamur, ita et credere debemus, similem baptismo professionem exhibemus : concedant etiam nobis, ut juxta eamdem consequentiam glorificationem fidei consimilem persolvamus. Quod si glorificandi modum veluti scripto non traditum rejiciunt, proferant nobis et professionis fidei et cæterorum quæ commemoravimus probationem e Scripturis. Adhæc cum tam multa sint quæ scripto prodita non sunt, et tantum habent momenti ad pietatis mysterium, unicam dictiunculam quæ a majoribus ad nos devenit, non concedent, quam nos ex inaffectata consuetudine in Ecclesiis, quæ perversæ et corruptæ non sunt, permanentem invenimus, haud mediocrem rationem habentem, neque mediocre adjumentum ad mysterii vim afferentem?

[1] Gen. I, 5. [2] Psal. VI et XII.

ἐν τῇ ἀναστασίμῳ ἡμέρᾳ τῆς δεδομένης ἡμῖν χάριτος διὰ τῆς κατὰ τὴν προσευχὴν στάσεως ἑαυτοὺς ὑπομιμνήσκομεν· ἀλλ' ὅτι δοκεῖ πως τοῦ προσδοκωμένου αἰῶνος εἶναι εἰκών. Διὸ καὶ ἀρχὴ οὖσα ἡμερῶν, οὐχὶ πρώτη παρὰ Μωϋσέως, ἀλλὰ μία ὠνόμασται. *Ἐγένετο γὰρ*, φησὶν, *ἑσπέρα, καὶ ἐγένετο πρωῒ, ἡμέρα μία*· ὡς τῆς αὐτῆς ἀνακυκλουμένης πολλάκις. Καὶ μία τοίνυν ἡ αὐτὴ, καὶ ὀγδόη, τὴν μίαν ὄντως ἐκείνην καὶ ἀληθινὴν ὀγδόην, ἧς καὶ ὁ Ψαλμῳδὸς ἔν τισιν ἐπιγραφαῖς τῶν ψαλμῶν ἐπεμνήσθη, δι' ἑαυτῆς ἐμφανίζουσα, τὴν μετὰ τὸν χρόνον τοῦτον κατάστασιν, τὴν ἄπαυστον ἡμέραν, τὴν ἀνέσπερον, τὴν ἀδιάδοχον, τὸν ἄληκτον ἐκεῖνον καὶ ἀγήρω αἰῶνα. Ἀναγκαίως οὖν τὰς ἐν αὐτῇ προσευχὰς ἑστῶτας ἀποπληροῦν τοὺς ἑαυτῆς τροφίμους ἡ Ἐκκλησία παιδεύει, ἵνα τῇ συνεχεῖ ὑπομνήσει τῆς ἀτελευτήτου ζωῆς τῶν πρὸς τὴν μετάστασιν ἐκείνην ἐφοδίων μὴ ἀμελῶμεν. Καὶ πᾶσα δὲ ἡ πεντηκοστὴ τῆς ἐν τῷ αἰῶνι προσδοκωμένης ἀναστάσεώς ἐστιν ὑπόμνημα. Ἡ γὰρ μία ἐκείνη καὶ πρώτη ἡμέρα, ἑπτάκις ἑπταπλασιασθεῖσα, τὰς ἑπτὰ τῆς ἱερᾶς πεντηκοστῆς ἑβδομάδας ἀποτελεῖ. Ἐκ πρώτης γὰρ ἀρχομένη, εἰς τὴν αὐτὴν καταλήγει, δι' ὁμοίων τῶν ἐν τῷ μέσῳ ἐξελιττομένη πεντηκοντάκις. Διὸ καὶ αἰῶνα μιμεῖται τῇ ὁμοιότητι, ὥσπερ ἐν κυκλικῇ κινήσει ἀπὸ τῶν αὐτῶν ἀρχομένη σημείων, καὶ εἰς τὰ αὐτὰ καταλήγουσα. Ἐν ᾗ τὸ ὄρθιον σχῆμα τῆς προσευχῆς προτιμᾶν οἱ θεσμοὶ τῆς Ἐκκλησίας ἡμᾶς ἐξεπαίδευσαν, ἐκ τῆς ἐναργοῦς ὑπομνήσεως οἱονεὶ μετοικίζοντες ἡμῶν τὸν νοῦν ἀπὸ τῶν παρόντων ἐπὶ τὰ μέλλοντα. Καὶ καθ' ἑκάστην δὲ γονυκλισίαν καὶ διανάστασιν ἔργῳ δείκνυμεν, ὅτι διὰ διὰ τῆς ἁμαρτίας εἰς γῆν κατερρύημεν, καὶ διὰ τῆς φιλανθρωπίας τοῦ κτίσαντος ἡμᾶς εἰς οὐρανὸν ἀνεκλήθημεν.

Ἐπιλείψει με ἡ ἡμέρα, τὰ ἄγραφα τῆς Ἐκκλησίας μυστήρια διηγούμενον. Ἐῶ τἄλλα· αὐτὴν δὲ τὴν ὁμολογίαν τῆς πίστεως εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ἐκ ποίων γραμμάτων ἔχομεν; Εἰ μὲν γὰρ ἐκ τῆς τοῦ βαπτίσματος παραδόσεως, κατὰ τὸ τῆς εὐσεβείας ἀκόλουθον, ὡς βαπτιζόμεθα οὕτω καὶ πιστεύειν ὀφείλοντες, οὐσίαν τῷ βαπτίσματι τὴν ὁμολογίαν κατατιθέμεθα, συγχωρησάτωσαν καὶ ἡμῖν ἐκ τῆς αὐτῆς ἀκολουθίας ὁμοίαν τῇ πίστει τὴν δόξαν ἀποδιδόναι· εἰ δὲ τὸν τρόπον τῆς δοξολογίας ὡς ἄγραφον παραιτοῦνται, δότωσαν ἡμῖν τῆς τε κατὰ τὴν πίστιν ὁμολογίας καὶ τῶν λοιπῶν, ὧν ἀπηριθμησάμεθα, ἐγγράφους τὰς ἀποδείξεις. Εἶτα τοσούτων ὄντων ἀγράφων, καὶ τοσαύτην ἐχόντων τὴν ἰσχὺν εἰς τὸ τῆς εὐσεβείας μυστήριον, μίαν λέξιν ἡμῖν ἐκ πατέρων εἰς ἡμᾶς ἐλθοῦσαν οὐ συγχωρήσουσιν, ἣν ἡμεῖς ἐκ τῆς ἀνεπιτηδεύτου συνηθείας ταῖς ἀδιαστρόφοις τῶν Ἐκκλησιῶν ἐναπομείνασαν εὕρομεν, οὐ μικρὸν τὸν λόγον ἔχουσαν, οὐδὲ βραχεῖαν συντέλειαν εἰς τὴν τοῦ μυστηρίου δύναμιν εἰσφερομένην;

Εἴρηται μὲν οὖν, ὅτι ταυτόν ἐστι πρὸς διάνοιαν εἰπεῖν, Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι· καὶ Δόξα Πατρὶ καὶ Υἱῷ σὺν τῷ ἁγίῳ Πνεύματι. Οὔτε οὖν τὴν *καὶ* συλλαβὴν ἐξ αὐτῆς τοῦ Κυρίου φωνῆς προελθοῦσαν ἀθετῆσαί τινι ἢ διαγράφειν οἷόν τε, καὶ τὴν ἰσοδυναμοῦσαν αὐτῇ οὐδὲν τὸ κωλῦον καταδεχθῆναι· ἣν ὅπως ἔχει πρὸς ἐκείνην διαφορᾶς τε καὶ ὁμοιότητος, ἐν] τοῖς κατόπιν ἐδείξαμεν. Βεβαιοῖ δὲ ἡμῖν τὸν λόγον καὶ ὁ Ἀπόστολος ἀδιαφόρως ἑκατέρᾳ τῇ φωνῇ κεχρημένος, νῦν μὲν λέγων, *Ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν*· πάλιν δὲ, *Συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ Πνεύματος σὺν τῇ δυνάμει τοῦ Κυρίου Ἰησοῦ*· οὐδὲν διαφέρειν ἡγούμενος, τῷ συνδέσμῳ ἢ τῇ προσθέσει πρὸς τὴν τῶν ὀνομάτων συμπλοκὴν ἀποφρήσασθαι.

Τοῦ αὐτοῦ. Ὅτι ἃ περὶ τῶν ἀνθρώπων λέγει ἡ Γραφὴ ὡς συμβασιλευόντων Χριστῷ, ταῦτα περὶ τοῦ Πνεύματος οὐ συγχωροῦσιν οἱ ἀντιλέγοντες. Κεφάλ. κθ'.

Ἴδωμεν δὲ καὶ εἴ τινα ἀπολογίαν τοῖς πατράσιν ἡμῶν τῆς χρήσεως ταύτης ἐπινοήσομεν. Οἱ γὰρ τὴν ἀρχὴν παρασχόντες τῷ λόγῳ μᾶλλον ἡμῶν ὑπόκεινται τοῖς ἐγκλήμασι. Παῦλος τοίνυν Κολοσσαεῦσι γράφων· *Καὶ ὑμᾶς*, φησί, *νεκροὺς ὄντας τοῖς παραπτώμασι καὶ τῇ ἀκροβυστίᾳ, συνεζωοποίησε τῷ Χριστῷ*. Ἆρα οὖν λαῷ μὲν ὅλῳ καὶ Ἐκκλησίᾳ ἐχαρίσατο ὁ Θεὸς τὴν σὺν Χριστῷ ζωήν, τῷ δὲ ἁγίῳ Πνεύματι οὐχὶ σὺν Χριστῷ ἡ ζωή; Εἰ δὲ τοῦτο καὶ διανοίᾳ λαβεῖν ἀσεβὲς, πῶς οὐχ ὅσιον, ὡς ἔχει φύσεως, οὕτω καὶ τὴν ὁμολογίαν συνημμένως ἀποδιδόναι; Εἶτα, πῶς οὐ τῆς ἐσχάτης ἀναλγησίας τοὺς μὲν ἁγίους ὁμολογεῖν σὺν Χριστῷ εἶναι (εἴπερ δὴ Παῦλος ἐκδημήσας ἀπὸ τοῦ σώματος ἐνδημεῖ πρὸς τὸν Κύριον, καὶ ἀναλύσας σὺν Χριστῷ ἐστιν ἤδη), τῷ δὲ Πνεύματι τούτους μηδὲ τοῖς ἀνθρώποις ἐξίσου μετὰ Χριστοῦ εἶναι, τόγε εἰς αὐτοὺς ἧκον, μεταδιδόναι; Καὶ Παῦλος Θεοῦ μὲν συνεργὸν ἑαυτὸν ἐν τῇ οἰκονομίᾳ τοῦ Εὐαγγελίου καλεῖ· τὸ δὲ Πνεῦμα τὸ ἅγιον, δι' οὗ ἐν πάσῃ κτίσει τῇ ὑπὸ τὸν οὐρανὸν καρποφορεῖται τὸ Εὐαγγέλιον, ἐὰν συνεργὸν εἴπωμεν, κἀνταῦθα ἀσεβείας γραφὴν καθ' ἡμῶν ἀπενέγκαιντο; Καὶ ὡς ἔοικεν, ἡ μὲν ζωὴ τῶν ἠλπικότων ἐπὶ Κύριον κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ· καὶ ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ αὐτοὶ σὺν αὐτῷ φανερωθήσονται ἐν δόξῃ· αὐτὸ δὲ τὸ Πνεῦμα τῆς ζωῆς, τὸ ἐλευθερῶσαν ἡμᾶς ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας, οὐδαμῶς ἐστι σὺν Χριστῷ, οὔτε ἐν λανθανούσῃ καὶ κεκρυμμένῃ σὺν αὐτῷ ζωῇ, οὔτε ἐν τῇ φανερώσει τῆς δόξης, ἣν ἡμεῖς ἐπὶ τοῖς ἁγίοις ἐκφανήσεσθαι προσδοκῶμεν; Κληρονόμοι Θεοῦ, καὶ συγκληρονόμοι Χριστοῦ ἡμεῖς· τὸ δὲ Πνεῦμα ἀπόκληρον καὶ ἄμοιρον τῆς κοινωνίας τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ; Καὶ αὐτὸ μὲν τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ· ἡμεῖς δὲ τῷ Πνεύματι οὐδὲ ἣν παρὰ τοῦ Κυρίου με-

Dictum est quidem nihil referre ad sensum, sive dicas, Gloria Patri et Filio et Spiritui sancto, sive dicas, Gloria Patri et Filio cum sancto Spiritu. Non igitur fas est cuiquam syllabam *et*, ex ore Domini profectam, rejicere aut expungere: nec quidquam vetat alteram quæ idem pollet, recipere; quæ quomodo cum illa vel conveniat vel discrepet, superius demonstravimus. Confirmat autem sententiam nobis et Apostolus, indifferenter utraque voce utens interdum ita loquens: *In nomine Domini Jesu Christi, et in Spiritu Dei nostri* [1]; ac rursus, *Congregatis vobis et meo Spiritu cum virtute Domini Jesu* [2]; nihil interesse ratus, sive conjunctione, sive præpositione ad nominum conjunctionem utaris.

Ejusdem. Quod quæ de hominibus dicit Scriptura tanquam una cum Christo regnantibus, ea de Spiritu dici non concedunt adversarii. Caput 28.

Videamus porro an defensionem aliquam patribus nostris super hujusmodi usu possimus excogitare. Nam qui nobis ita loquendi fuerunt auctores, magis quam nos hærent in crimine. Paulus igitur Colossensibus scribens: *Et vos*, inquit, *cum essetis mortui delictis ac præputio, vivificavit simul cum Christo* [3]. Num igitur toti populo et Ecclesiæ donavit Deus vitam quæ est cum Christo, sancto autem Spiritui non est vita cum Christo? Quod si istud vel animo concipere impium est, annon pium fuerit, ut habet natura, ita etiam professionem conjunctim persolvere? Adhæc, annon extremi stuporis est, fateri sanctos esse cum Christo (siquidem Paulus peregrinans a corpore præsens est apud Dominum [4]; et ubi emigravit, jam cum Christo est): hos vero Spiritui, quantum quidem in ipsis est, neque hoc tribuere, ut æque saltem atque homines cum Christo sit? Quin et Paulus seipsum Dei cooperatorem appellat in administratione Evangelii: sed Spiritum sanctum, per quem in omni creatura quæ sub cœlo est, fructificat Evangelium, si cooperatorem appellemus, hic quoque impietatis nos reos peragent? Et ut videtur, vita sperantium in Domino abscondita est cum Christo in Deo, cumque Christus apparuerit vita nostra, tum et ipsi cum eo apparebunt in gloria [5]: ipse autem Spiritus vitæ, qui liberavit nos a lege peccati [6], nequaquam est cum Christo, neque in vita latente et abscondita cum illo, neque in manifestatione gloriæ, quam nos in sanctis patefaciendam esse exspectamus? Hæredes Dei et cohæredes Christi nos sumus [7]: Spiritus vero exhæres est, et exsors communionis Dei et Christi ejus? Et ipse quidem Spiritus testimonium perhibet spiritui nostro, quod simus filii Dei [8]: nos vero Spiritui, ne ejus quidem societatis, quam

[1] I Cor. vi, 11. [2] I Cor. v, 4. [3] Coloss. ii, 13. [4] II Cor. v, 8. [5] Coloss. iii, 3, 4. [6] Rom. viii, 2. [7] Rom. viii, 17. [8] ibid. 16.

illi cum Deo esse a Domino didicimus, testimonium A præbemus? Porro quod est amentiæ caput, nos per fidem in Christum quæ est in Spiritu, resurrecturos cum illo et simul cum illo sessuros esse in supercœlestibus speramus, cum transformaverit corpus humilitatis nostræ ab animali ad spirituale; Spiritui vero non consessum, non gloriam, non aliud quidquam eorum quæ ab ipso habemus, impertimus? sed quibus nos ipsos esse dignos, ex ejus qui promisit non mendaci munere, credimus, horum nihil Spiritui sancto, quasi superent illius dignitatem concedimus? Et tibi quidem pro merito licet semper esse cum Domino : et exspectas, ut raptus in nubibus in occursum in aerem, semper sis cum Domino [1] : Spiritum autem nunc esse cum Christo B negas? Qui scilicet eum, qui ipsum cum Patre ac Filio numerat ac locat, expellis et ejicis, velut qui impietatem non ferendam admiserit.

Pudet reliqua adjungere; quod tu quidem exspectas fore, ut cum Christo glorificeris : siquidem simul affligimur, ut simul quoque glorificemur [2] : Spiritum autem sanctificationis non glorificas simul cum Christo, quasi ne pari quidem tecum honore dignum. Et tu quidem speras te cum eo regnaturum, Spiritum vero gratiæ afficis contumelia, servi famulique locum illi assignans. Atque hæc dico, non ut duntaxat ostendam tantumdem honoris deberi Spiritui in glorificatione, sed ut illorum dementiam redarguam, qui ne hoc quidem illi concedunt, sed velut impietatem horrent, Spiritus cum Patre C et Filio in gloria consortium. Quis potest hæc absque gemitu commemorare? Annon manifestum est, ita ut vel puer intelligat, ea quæ nunc fiunt prooemia esse defectionis fidei, quam minatus est Dominus? Quibus contradici fas non erat, ea facta sunt ambigua. Credimus in Spiritum, et nostris ipsorum professionibus repugnamus. Baptizamur, et rursum pugnamus. Ut vitæ auctorem invocamur, et ut conservum despicimus. Cum Patre et Filio Spiritum accepimus, et eum ut creaturæ partem contemptui habemus. Isti autem, quid orare debeant nescientes [3], si eo adducuntur, ut aliquid etiam magnifice loquantur de Spiritu, perinde quasi dignitatem ipsius assequantur; quod in dictis mo- D dum excedit, reprimunt. Quos suam infirmitatem deplorare oportebat : quoniam idonei non sumus, qui pro beneficiis, quibus reipsa afficimur, verbis gratias agamus. Superat enim omnem intellectum ac sermonis naturam redarguit, cum ea ne minimam quidem dignitatis illius partem adæquet, juxta verba libri qui inscribitur Sapientia : *Exaltate enim*, inquit, *quantumcunque potueritis : superat enim et adhuc; et exaltantes eum multiplicate. Nolite laborare : non enim assequemini* [4]. Profecto terribiles vobis istiusmodi sermonum reddendæ rationes qui a Deo mentiri nescio audistis, irremissibilem esse blasphemiam in Spiritum sanctum [5].

Sane contra id quod dicunt, glorificationem

A μαθήκαμεν τῆς πρὸς Θεὸν κοινωνίας τὴν μαρτυρίαν κατατιθέμεθα; Τὸ δὲ κεφάλαιον τῆς ἀνοίας, ἡμεῖς μὲν διὰ τῆς εἰς Χριστὸν πίστεως τῆς ἐν Πνεύματι συνεγερθήσεσθαι αὐτῷ καὶ συγκαθεδεῖσθαι ἐν τοῖς ἐπουρανίοις ἐλπίζομεν, ὅταν μετασχηματίσῃ τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν ἀπὸ τοῦ ψυχικοῦ πρὸς τὸ πνευματικόν· τῷ δὲ Πνεύματι οὐ συνεδρίας, οὐ δόξης, οὐκ ἄλλου τινὸς, ὧν ἔχομεν παρ' αὐτοῦ, μεταδίδομεν; ἀλλ' ὧν ἑαυτοὺς ἀξίους εἶναι, κατὰ τὴν ἀψευδῆ τοῦ ἐπαγγειλαμένου δωρεὰν, πεπιστεύκαμεν, τούτων οὐδενὸς τῷ Πνεύματι τῷ ἁγίῳ ὡς ὑπερβαίνοντος αὐτοῦ τὴν ἀξίαν παραχωροῦμεν; Καὶ σοὶ μὲν κατὰ τὴν ἀξίαν ἐστὶ πάντοτε εἶναι σὺν τῷ Κυρίῳ, καὶ προσδοκᾷς, ἁρπαγεὶς ἐν νεφέλαις εἰς ἀπάντησιν εἰς ἀέρα, πάντοτε συνέσεσθαι τῷ Κυρίῳ· τὸ δὲ Πνεῦ- B μα νῦν ἀντιλέγεις εἶναι σὺν τῷ Χριστῷ; ὅς γε τὸν συναριθμοῦντα αὐτὸ καὶ συντάσσοντα Πατρὶ καὶ Υἱῷ ἐξόριστον τίθεσαι, ὡς ἀφόρητα δυσσεβοῦντα.

Αἰσχύνομαι ἐπαγαγεῖν τὰ λειπόμενα, ὅτι σὺ μὲν συνδοξασθήσεσθαι Χριστῷ προσδοκᾷς (εἴπερ γὰρ συμπάσχομεν ἵνα καὶ συνδοξασθῶμεν)· τὸ δὲ Πνεῦμα τῆς ἁγιωσύνης οὐ συνδοξάζεις Χριστῷ, ὡς οὐδὲ σοὶ τῶν ἴσων τυγχάνειν ἄξιον. Καὶ σὺ μὲν ἐλπίζεις συμβασιλεύειν· τὸ δὲ Πνεῦμα τῆς χάριτος ἐνυβρίζεις, τὴν δούλου αὐτῷ καὶ ὑπηρέτου τάξιν ἀποκληρῶν. Καὶ ταῦτα λέγω, οὐχ ἵνα τοσοῦτον δείξω ὀφειλόμενον εἶναι εἰς δοξολογίαν τῷ Πνεύματι· ἀλλ' ἵνα τὴν ἀγνωμοσύνην ἐλέγξω τῶν μηδὲ τοσοῦτον διδόντων, ἀλλ' ὡς ἀσέβειαν φευγόντων τὴν τοῦ Πνεύματος πρὸς C Υἱὸν καὶ Πατέρα κοινωνίαν τῆς δόξης. Τίς δύναται ταῦτα ἀστεναχτὶ παρελθεῖν; Ἢ γὰρ οὐχὶ πρόδηλον ὥστε κἂν παιδὶ γενέσθαι γνώριμον, τὴν ἀπειληθεῖσαν τῆς πίστεως ἔκλειψιν προοιμιάζονται τὰ παρόντα; Ἀμφίβολα γέγονε τὰ ἀναντίῤῥητα. Πιστεύομεν εἰς τὸ Πνεῦμα· καὶ ταῖς ἡμετέραις αὐτῶν ὁμολογίαις ζυγομαχοῦμεν. Βαπτιζόμεθα· καὶ πάλιν μαχόμεθα. Ὡς ἀρχηγὸν τῆς ζωῆς ἐπικαλούμεθα· καὶ ὡς ὁμοδούλου καταφρονοῦμεν. Μετὰ Πατρὸς καὶ Υἱοῦ παρελάβομεν· καὶ ὡς μέρος τῆς κτίσεως ἀτιμάζομεν. Οἱ δὲ, τί προσεύξονται μὴ εἰδότες, ἐάν τι καὶ φθέγξασθαι σεμνὸν περὶ τοῦ Πνεύματος προαχθῶσιν, ὡς ἐφικνούμενοι τῆς ἀξίας, κολάζουσι τοῦ λόγου τὸ ὑπερπῖπτον τὴν συμμετρίαν. Οὓς ἐχρῆν ὀδύρεσθαι τὴν D ἀσθένειαν· ὅτι ὧν ἔργῳ πάσχομεν, λόγοις ἀντιπληροῦν τὴν χάριν οὐκ ἐξαρκοῦμεν. Ὑπερέχει γὰρ πάντα νοῦν, καὶ λόγου φύσιν ἐλέγχει, οὐδὲ πολλοστῷ μέρει τῆς ἀξίας παρισουμένην κατὰ τὸν λόγον τῆς ἐπιγραφομένης Σοφίας· *Ὑψώσατε γὰρ*, φησὶ, *καθόσον ἂν δύνησθε· ὑπερέχει γὰρ καὶ ἔτι· καὶ ὑψοῦντες αὐτὸν πληθύνατε. Μὴ κοπιᾶτε· οὐ γὰρ μὴ ἐφίκησθε.* Ἦ που φοβεραὶ ὑμῖν αἱ ὑπὲρ τῶν τοιουτων λόγων εὐθῦναι τοῖς παρὰ τοῦ ἀψευδοῦς ἀκηκόσι Θεοῦ ἀσυγχώρητον εἶναι τὴν εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημίαν.

Πρός γε μὴν τὸ ἀμάρτυρον καὶ ἄγραφον εἶναι

[1] I Thess. IV, 16. [2] Rom. VIII, 17. [3] Rom. VIII, 26. [4] Eccli. XLIII, 33, 34. [5] Luc. XII, 10.

τὴν *σὺν τῷ Πνεύματι* δοξολογίαν ἐκεῖνο λέγομεν· ὅτι, εἰ μὲν μηδὲν ἕτερον ἄγραφον, μηδὲ τοῦτο παραδεχθήτω· εἰ δὲ τὰ πλεῖστα τῶν μυστικῶν ἀγράφως ἡμῖν ἐμπολιτεύεται, μετὰ πολλῶν τῶν ἑτέρων καὶ τοῦτο παραδεξόμεθα. Ἀποστολικὸν δὲ οἶμαι καὶ τὸ ταῖς ἀγράφοις παραδόσεσι παραμένειν. *Ἐπαινῶ γάρ*, φησὶν, *ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν, τὰς παραδόσεις κατέχετε*· καὶ τὸ, *Κρατεῖτε τὰς παραδόσεις ἃς παρελάβετε εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς*· ὧν μία ἐστὶ καὶ ἡ παροῦσα αὕτη, ἣν οἱ ἐξ ἀρχῆς διαταξάμενοι παραδιδόντες τοῖς ἐφεξῆς, συμπροϊούσης ἀεὶ τῷ χρόνῳ τῆς χρήσεως, διὰ μακρᾶς τῆς συνηθείας ταῖς Ἐκκλησίαις ἐγκατεῤῥίζωσαν. Ἆρ' οὖν εἰ, ὡς ἐν δικαστηρίῳ τῆς διὰ τῶν ἐγγράφων ἀποδείξεως ἀποροῦντες, μαρτύρων ὑμῖν πλῆθος παραστησαίμεθα, οὐκ ἂν τῆς ἀφιείσης παρ' ὑμῶν ψήφου τύχοιμεν; Ἐγὼ μὲν οὕτως οἶμαι· *Ἐπὶ στόματος γὰρ δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα*. Εἰ δὲ καὶ τὸν πολὺν χρόνον πρὸς ἡμῶν ὄντα ἐναργῶς ὑμῖν ἐπεδείκνυμεν, οὐκ ἂν ἐδόξαμεν ὑμῖν εἰκότα λέγειν, μὴ εἶναι καθ' ἡμῶν τὴν δίκην εἰσαγώγιμον ταύτην; Δυσωπητικὰ γάρ πως τὰ παλαιὰ τῶν δογμάτων, οἱονεὶ πολιᾷ τινι τῇ ἀρχαιότητι τὸ αἰδέσιμον ἔχοντα. Ἀπαριθμήσομαι οὖν ὑμῖν τοὺς προστάτας τοῦ λόγου (συμπαραμετρεῖται δὲ πάντως κατὰ τὸ σιωπώμενον καὶ ὁ

Τοῦ αὐτοῦ. Ἀπαρίθμησις τῶν ἐν τῇ Ἐκκλησίᾳ διαφανῶν, ὅσοι ἐχρήσαντο ἐν τοῖς συγγράμμασιν ἑαυτῶν τῇ φωνῇ «σύν.» Κεφάλ. κθ'.

Ἀπαριθμήσομαι οὖν ὑμῖν τοὺς προστάτας τοῦ λόγου (συμπαραμετρεῖται δὲ πάντως κατὰ τὸ σιωπώμενον καὶ ὁ χρόνος)· οὐ γὰρ ἐξ ἡμῶν ὥρμηται πρῶτον. Πόθεν; χθιζοί τινες ὄντως ἡμεῖς, κατὰ τὸν τοῦ Ἰὼβ λόγον, πρός γε τοσοῦτον χρόνον, τὸν τῆς συνηθείας ταύτης ἡλικιώτην. Ἐγὼ μὲν οὖν αὐτὸς, εἰ χρή με τοὐμὸν ἴδιον εἰπεῖν, ὥσπερ τινὰ κλῆρον πατρῷον τὴν φωνὴν ταύτην διαφυλάττω, παραλαβὼν παρὰ ἀνδρὸς μακρὸν ἐν τῇ λειτουργίᾳ τοῦ Θεοῦ διαζήσαντος χρόνον, δι' οὗ καὶ ἐβαπτίσθην, καὶ τῇ ὑπηρεσίᾳ τῆς Ἐκκλησίας προσήχθην. Ἀναζητῶν δὲ κατ' ἐμαυτὸν εἴ τις ἄρα τῶν παλαιῶν καὶ μακαρίων ἀνδρῶν ἐχρήσατο ταύταις ταῖς νῦν ἀντιλεγομέναις φωναῖς, πολλοὺς εὗρον καὶ τῇ ἀρχαιότητι τὸ ἀξιόπιστον ἔχοντας, καὶ τῇ τῆς γνώσεως ἀκριβείᾳ οὐ κατὰ τοὺς νῦν ὄντας· ὧν οἱ μὲν τῇ προθέσει, οἱ δὲ τῷ συνδέσμῳ κατὰ τὴν δοξολογίαν τὸν λόγον ἑνώσαντες, οὐδὲν διάφορον δρᾷν, ὥς γε πρὸς τὴν ὀρθὴν τῆς εὐσεβείας ἔννοιαν, ἐνομίσθησαν.

Εἰρηναῖος ἐκεῖνος, καὶ Κλήμης ὁ Ῥωμαῖος καὶ Διονύσιος ὁ Ῥωμαῖος, καὶ ὁ Ἀλεξανδρεὺς Διονύσιος, ὃ καὶ παράδοξον ἀκοῦσαι, ἐν τῇ δευτέρᾳ πρὸς τὸν ὁμώνυμον ἑαυτοῦ ἐπιστολῇ *Περὶ ἐλέγχου καὶ ἀπολογίας* οὕτω τὸν λόγον ἀνέπαυσε. Γράψω δὲ ὑμῖν αὐτὰ τοῦ ἀνδρὸς τὰ ῥήματα. *Τούτοις*, φησὶ, *πᾶσιν ἀκολούθως καὶ ἡμεῖς, καὶ δὴ παρὰ τῶν*

A *cum Spiritu* carere testimonio, nec in Scripturis exstare, illud dicimus: si nihil aliud est receptum absque Scripturis, ne hoc quidem recipiatur; sin plurima arcana citra scriptum recepta sunt nobis, cum aliis pluribus et hoc recipiemus. Arbitror autem apostolicum esse, etiam non scriptis traditionibus inhærere. *Laudo enim*, inquit, *vos, quod omnia mea meministis, et quemadmodum tradidi vobis, traditiones tenetis* [1]. Et illud, *Tenete traditiones quas accepistis sive per sermonem sive per epistolam* [2]: quarum una est et hæc de qua nunc agimus, quam qui ab initio præscripserunt, tradideruntque posteris, usu semper simul cum tempore progrediente, ipsam longa consuetudine in Ecclesiis B irradicarunt. Ergo si velut in tribunali, probationibus e scripto destituti, multos vobis testes producamus, nonne sententiam absolventem a vobis consequemur? Ego quidem arbitror: *In ore siquidem duorum ac trium testium stabit omne verbum* [3]. Quod si etiam temporis diuturnitatem pro nobis facientem vobis evidenter ostendamus, annon videbimur vobis probabilia dicere, non posse litem istam jure nobis intendi? Veneranda enim sunt quodammodo vetusta dogmata, quæ ob antiquitatem, ceu canitiem quamdam, habent quiddam reverendum. Enumerabo itaque vobis hujus dictionis patro-

Ejusdem. Enumeratio virorum in Ecclesia illustrium, qui in scriptis suis usi sunt hac voce, « cum. » Caput 29.

Enumerabo itaque vobis hujus dictionis patro- C nos vindicesque (simul enim æstimatur in eo, quod tacetur, etiam tempus); neque enim ex nobis primum initium sumpsit. Qui potuit? Nimirum nos revera hesterni sumus, quemadmodum dicit Job [4], saltem si tam longi temporis, quod huic consuetudini æquale est, habeatur ratio. Equidem ipse, si modo par sit me quod mihi proprium est dicere, vocem hanc tanquam paternam quamdam hæreditatem conservo, acceptam a viro multum temporis in servitio Dei versato, per quem et baptizatus sum, et Ecclesiæ ministerio admotus. Cæterum cum apud me reputo, an quis veterum ac beatorum virorum his, quibus nunc reclamatur vocibus, usus sit; multos reperio, et ob antiquitatem fide dignos, et accuratis, non secundum hos homines, scientia ornatos; D quorum alii præpositione, alii conjunctione in glorificatione sermonem copulantes, nihil diversum sane quod ad rectam attinet pietatis intelligentiam, existimati sunt facere.

Irenæus ille, et Clemens Romanus, et Dionysius Romanus, et Alexandrinus Dionysius, id quod etiam auditu mirum est, in secunda ad sibi cognominem epistola *De accusatione ac defensione*, hunc in modum finivit sermonem. Transcribam autem vobis ipsa hominis verba. *His omnibus*, inquit, *congruenter et nos, forma etiam ac*

[1] I Cor. xi, 2. [2] II Thess. ii, 14. [3] Deut. xix, 15. [4] Job viii, 9.

regula a presbyteris, qui ante nos vixerunt, accepta, concordibus vocibus cum illis gratias agentes, tandem nunc vobis scribere desinimus. Deo autem Patri et Filio Domino nostro Jesu Christo cum sancto Spiritu gloria et imperium in sæcula sæculorum, amen. Nec quisquam dicere possit hæc correcta fuisse ac immutata. Neque enim ita sermonem confirmasset, dicens videlicet accepisse se formam ac regulam, si *in Spiritu* dixisset : hujus enim vocis usus creber est. At illud erat, quod egebat defensione. Qui quidem et in medio scripti, sic loquitur adversus Sabellianos : *Si eo quod tres sunt hypostases, divisas esse dicunt, tres sunt etiamsi nolint : aut divinam Trinitatem prorsus e medio tollant.* Ac rursum, *Divinissima enim ob id etiam post unitatem Trinitas est.* Sed et Clemens simplicius, *Vivit*, inquit, *Deus et Dominus Jesus Christus et Spiritus sanctus.* Irenæus autem, qui vicinus fuit apostolorum temporibus, quomodo faciat mentionem Spiritus, disputans adversus hæreses, audiamus. *Eos vero*, inquit, *qui effrenes sunt, et feruntur ad suas concupiscentias, nullum habentes divini Spiritus desiderium, merito Apostolus carnales vocat* [1]. Et alibi dicit idem . *Ne expertes facti divini Spiritus, frustremur regno cœlorum, inclamat Apostolus* [2], *quod caro non possit hæreditatem capere regni cœlorum.* Quod si cui et Eusebius Palæstinus propter multiplicem experientiam idoneus videtur, cui habeamur fides; et ex illo voces easdem ostendimus in dubitationibus de priscorum multiplici conjugio. Loquitur enim hunc in modum, se ad dicendum excitans : *Sanctum prophetarum Deum lucis auctorem per Salvatorem nostrum Jesum Christum cum sancto Spiritu invocantes.*

am vero et Origenem in multis Psalmorum expositionibus deprehendimus, cum sancto Spiritu gloriam deferentem Deo, virum qui non omnino sanas habet in omnibus de Spiritu opiniones; nihilominus et hic multis in locis reveritus consuetudinis robur, pias voces emisit de Spiritu : qui quidem in sexto, ni fallor, libro *Enarrationum in Evangelium Joannis*, etiam adorandum Spiritum evidenter pronuntiat, ita scribens ad verbum : *Quoniam aquæ lavacrum significat purgationem animæ ab omnibus malitiæ sordibus ablutæ, nihilo tamen minus et per seipsum ei qui seipsum præbet divinitati adorandæ Trinitatis, per virtutem invocationum, donorum principium ac fontem habet.* Ac rursus in commentariis, quibus exponit Epistolam ad Romanos, *Sacræ*, inquit, *virtutes capaces sunt Unigeniti et sancti Spiritus deitatis.* Ad hunc modum, opinor, traditionis vis sæpe compulit homines etiam suis ipsorum dogmatibus contradicere. At nec Africanum historicum talis glorificandi forma præteriit. Siquidem constat in quinto libro

[1] I Cor. III, 3. [2] I Cor. XV, 50.

A *πρὸ ἡμῶν πρεσβυτέρων τύπον καὶ κανόνα παρειληφότες, ὁμοφώνως αὐτοῖς προσευχαριστοῦντες· καὶ δὴ καὶ νῦν ὑμῖν ἐπιστέλλοντες καταπαύομεν. Τῷ δὲ Θεῷ Πατρὶ καὶ Υἱῷ τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ σὺν τῷ ἁγίῳ Πνεύματι δόξα καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.* Καὶ ταῦτα οὐκ ἄν τις εἴποι μεταγεγράφθαι. Οὐ γὰρ ἂν οὕτω διετείνατο, τύπον καὶ κανόνα παρειληφέναι λέγων, εἴπερ *ἐν τῷ Πνεύματι* εἰρηκὼς ἦν· ταύτης γὰρ τῆς φωνῆς ἡ χρῆσις πολλή. Ἀλλ' ἐκεῖνο ἦν τὸ τῆς ἀπολογίας δεόμενον. Ὅς γε καὶ κατὰ μέσον που τῆς γραφῆς, οὕτως εἴρηκε πρὸς τοὺς Σαβελλιανούς· *Εἰ, τῷ τρεῖς εἶναι τὰς ὑποστάσεις, μεμερισμένας εἶναι λέγουσι, τρεῖς εἰσι, κἂν μὴ θέλωσιν· ἢ τὴν θείαν Τριάδα παντελῶς ἀνελέτωσαν·* καὶ B πάλιν· *Θειοτάτη γὰρ διὰ τοῦτο μετὰ τὴν μονάδα καὶ ἡ Τριάς.* Ἀλλὰ καὶ ὁ Κλήμης ἀρχαϊκώτερον, *Ζῇ*, φησίν, *ὁ Θεός, καὶ ὁ Κύριος Ἰησοῦς Χριστός, καὶ τὸ Πνεῦμα τὸ ἅγιον.* Εἰρηναῖος δὲ, ὁ ἐγγὺς τῶν ἀποστόλων γενόμενος, πῶς ἐμνήσθη τοῦ Πνεύματος ἐν τῷ πρὸς τὰς αἱρέσεις λόγῳ, ἀκούσωμεν. *Τοὺς δὲ ἀχαλιναγωγήτους*, φησί, *καὶ καταφερομένους εἰς τὰς ἑαυτῶν ἐπιθυμίας, μηδεμίαν ἔχοντας ἐπιθυμίαν θείου Πνεύματος, δικαίως ὁ Ἀπόστολος σαρκικοὺς καλεῖ.* Καὶ ἐν ἄλλοις ὁ αὐτός φησιν· *Ἵνα μὴ, ἄμοιροι θείου Πνεύματος γενόμενοι, ἀποτύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν, ἐπεβόησεν ὁ Ἀπόστολος, μὴ δύνασθαι τὴν σάρκα βασιλείαν οὐρανῶν κληρονομῆσαι.* Εἰ δέ τῳ καὶ C ὁ Παλαιστινὸς Εὐσέβιος ἀξιόπιστος διὰ πολυπειρίαν, κἀκείνου τὰς αὐτὰς φωνὰς ἐπιδείκνυμεν ἐν τοῖς ἐπαπορήμασι περὶ τῆς τῶν ἀρχαίων πολυγαμίας. Λέγει γὰρ οὕτω παρορμῶν ἑαυτὸν ἐπὶ τὸν λόγον· *Τὸν τῶν προφητῶν ἅγιον Θεὸν φωταγωγὸν διὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ σὺν ἁγίῳ Πνεύματι καλέσαντες.*

Ἤδη δὲ καὶ Ὠριγένην ἐν πολλαῖς τῶν εἰς τοὺς Ψαλμοὺς διαλέξεων εὕρομεν σὺν τῷ ἁγίῳ Πνεύματι τὴν δόξαν ἀποδιδόντα, ἄνδρα οὐδὲ πάνυ τι ὑγιεῖς περὶ τοῦ Πνεύματος τὰς ὑπολήψεις ἐν πᾶσιν ἔχοντα· πλὴν ἀλλὰ πολλαχοῦ καὶ αὐτὸς, τῆς συνηθείας τὸ ἰσχυρὸν δυσωπούμενος, τὰς εὐσεβεῖς φωνὰς ἀφῆκε περὶ τοῦ Πνεύματος. Ὅς γε, κατὰ τὸ ἕκτον, οἶμαι, τῶν εἰς τὸ *κατὰ Ἰωάννην Εὐαγγέλιον Ἐξηγητι*D*κῶν*, καὶ προσκυνητὸν αὐτὸ φανερῶς ἀπεφήνατο, οὑτωσὶ γράφων κατὰ λέξιν· *Ὅτι τὸ τοῦ ὕδατος λουτρὸν σύμβολον τυγχάνει καθαρσίου ψυχῆς, πάντα ῥύπον τὸν ἀπὸ κακίας ἀποπλυνομένης· οὐδὲν δὲ ἧττον καὶ καθ' ἑαυτὸ τῷ ἐμπαρέχοντι ἑαυτὸν τῇ θεότητι τῆς προσκυνητῆς Τριάδος διὰ τῆς δυνάμεως τῶν ἐπικλήσεων χαρισμάτων ἀρχὴν ἔχει καὶ πηγήν.* Καὶ πάλιν ἐν τοῖς εἰς τὴν πρὸς Ῥωμαίους Ἐπιστολὴν ἐξηγητικοῖς, *Αἱ ἱεραί*, φησί, *δυνάμεις χωρητικαὶ τοῦ Μονογενοῦς καὶ τῆς τοῦ ἁγίου Πνεύματος θεότητος.* Οὕτως, οἶμαι, τὸ τῆς παραδόσεως ἰσχυρὸν ἐνῆγε πολλάκις τοὺς ἄνδρας καὶ τοῖς οἰκείοις αὐτῶν δόγμασιν ἀντιλέ-

γειν. Ἀλλ' οὐδὲ Ἀφρικανὸν τὸν ἱστοριογράφον τὸ τοιοῦτον εἶδος τῆς δοξολογίας παρέλαθε. Φαίνεται γὰρ ἐν τῷ πέμπτῳ τῆς *τῶν χρόνων Ἐπιτομῆς* οὕτω καὶ αὐτὸς λέγων· *Ἡμεῖς γὰρ οἱ κἀκείνων τῶν ῥημάτων τὸ μέτρον ἐπιστάμενοι, καὶ τῆς πίστεως οὐκ ἀγνοοῦντες τὴν χάριν, εὐχαριστοῦμεν τῷ παρασχομένῳ τοῖς ἰδίοις ἡμῖν Πατρὶ τὸν τῶν ὅλων Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ᾧ ἡ δόξα, μεγαλωσύνη σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας.* Τὰ μὲν οὖν ἄλλα τυχὸν καὶ ἀπιστηθῆναι δύναται, ἢ καὶ μεταγραφέντα δυσφώρατον ἔχειν τὴν κακουργίαν, ἐν μιᾷ συλλαβῇ τῆς διαφορᾶς ὑπαρχούσης· ἃ δὲ διὰ μακροτέρας τῆς λέξεως παρεθέμεθα, καὶ τὴν ἐπιβουλὴν διαφεύγει, καὶ τὴν μαρτυρίαν ἀπ' αὐτῶν τῶν συγγραμμάτων εὐαπόδεικτον ἔχει. Ὃ δὲ ἄλλως μὲν ἴσως μικροπρεπὲς ἦν εἰς μέσον ἄγεσθαι, τῷ δὲ καινοτομίαν ἐγκαλουμένῳ ἀναγκαῖον εἰς μαρτυρίαν διὰ τοῦ χρόνου τὴν ἀρχαιότητα, τοῦτο δὴ καὶ προσθήσω. Ἔδοξε τοῖς πατράσιν ἡμῶν μὴ σιωπῇ τὴν χάριν τοῦ ἑσπερινοῦ φωτὸς δέχεσθαι, ἀλλ' εὐθὺς φανέντος εὐχαριστεῖν. Καὶ ὅστις μὲν ὁ πατὴρ τῶν ῥημάτων ἐκείνων τῆς ἐπιλυχνίου εὐχαριστίας, εἰπεῖν οὐκ ἔχομεν· ὁ μέντοι λαὸς ἀρχαίαν ἀφίησι τὴν φωνήν, καὶ οὐδενὶ πώποτε ἀσεβεῖν ἐνομίσθησαν οἱ λέγοντες· *Αἰνοῦμεν Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα Θεοῦ.* Εἰ δέ τις καὶ τὸν ὕμνον Ἀθηνογένους ἔγνω, ὃν ὥσπερ τι ἀλεξητήριον τοῖς συνοῦσιν αὐτῷ καταλέλοιπεν, ὁρμῶν ἤδη πρὸς τὴν διὰ πυρὸς τελείωσιν, οἶδε καὶ τὴν τῶν μαρτύρων γνώμην ὅπως εἶχον περὶ τοῦ Πνεύματος. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον.

Γρηγόριον δὲ τὸν Μέγαν, καὶ τὰς ἐκείνου φωνὰς ποῦ θήσομεν; ἆρ' οὐχὶ μετὰ τῶν ἀποστόλων καὶ προφητῶν; ἄνδρα τῷ αὐτῷ Πνεύματι ἐκείνοις περιπατήσαντα, καὶ τοῖς τῶν ἁγίων ἴχνεσι διὰ παντὸς τοῦ βίου στοιχήσαντα, καὶ τῆς εὐαγγελικῆς πολιτείας τὸ ἀκριβὲς διὰ πάσης αὐτοῦ τῆς ζωῆς κατορθώσαντα. Ἐγὼ μὲν τοῦτό φημι· Ἦ ἀδικήσομεν τὴν ἀλήθειαν, μὴ τοῖς ᾠκειωμένοις Θεῷ τὴν ψυχὴν ἐκείνην συναριθμοῦντες, οἷόν τινα λαμπτῆρα περιφανῆ μέγαν ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ διαλάμψαντα· ὃς φοβερὸν μὲν εἶχεν ἐκ τῆς τοῦ Πνεύματος συνεργίας κατὰ δαιμόνων τὸ κράτος· τοσαύτην δὲ ἔλαβε τοῦ λόγου τὴν χάριν εἰς ὑπακοὴν πίστεως ἐν τοῖς ἔθνεσιν, ὥστε, ἑπτακαίδεκα μόνους Χριστιανοὺς παραλαβὼν, ὅλον τὸν λαὸν τόν τε ἀστικὸν καὶ τὸν χωριτικὸν διὰ τῆς ἐπιγνώσεως προσήγαγε τῷ Θεῷ. Ἐκεῖνος καὶ ποταμῶν ῥεῖθρα μετέστησεν, ἐπιτάξας αὐτοῖς ἐν τῷ ὀνόματι τῷ μεγάλῳ τοῦ Χριστοῦ· καὶ λίμνην ἐξήρανεν ὑπόθεσιν πολέμου φέρουσαν ἀδελφοῖς πλεονέκταις. Αἱ δὲ τῶν μελλόντων προαγορεύσεις τοιαῦται, ὡς μηδὲν τῶν ἄλλων ἀποδεῖν προφητῶν. Καὶ ὅλως μακρὸν ἂν εἴη τοῦ ἀνδρὸς διηγεῖσθαι τὰ θαύματα, ὃς τῇ ὑπερβολῇ τῶν ἐν αὐτῷ χαρισμάτων, τῶν ἐνεργουμένων ὑπὸ τοῦ Πνεύματος ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασι, δεύτερος Μωϋσῆς παρ' αὐτῶν τῶν ἐχθρῶν τῆς ἀληθείας ἀνηγορεύετο (7). Οὕτως αὐτῷ ἐν παντὶ λόγῳ καὶ ἔργῳ τῶν ἐπιτελουμένων διὰ τῆς χάριτος οἷόν τι φῶς ἐπέλαμπε, μήνυμα τῆς οὐρανίου δυνάμεως, τῆς ἐκ τοῦ

A *de temporibus Epitomes*, et ipsum ad hunc loqui modum : *Nos enim qui et illorum verborum modum didicimus, nec ignoramus fidei gratiam, gratias agimus Patri, qui nobis suis creaturis præbuit universorum Salvatorem ac Dominum nostrum Jesum Christum, cui gloria, majestas cum sancto Spiritu in sæcula.* At de cæteris fortassis dubitari possit, aut credi possint immutata eam rationem habere, ut fraus ægre deprehendi possit, cum in unica syllaba positum sit discrimen. Verum quæ pluribus verbis dicta citavimus, ea nec insidias admittunt, et ab ipsis libris paratum habent testimonium. Porro quod alioqui fortassis humilius foret, quam ut in medium adducatur, sed ei tamen qui de novitate accusatur, perutile propter temporis antiquitatem, B hoc quoque nunc adjicimus. Visum est patribus nostris, vespertini luminis gratiam haudquaquam silentio accipere, sed mox ut apparuit agere gratias. Quis autem fuerit auctor illorum verborum, quæ dicuntur in gratiarum actione ad lucernas, dicere non possumus. Populus tamen antiquam profert vocem, neque cuiquam unquam visi sunt impietatem committere, qui dicunt, *Laudamus Patrem et Filium et Spiritum sanctum Dei.* Quod si quis etiam novit Athenogenis hymnum, quem tanquam aliquod amuletum discipulis suis reliquit, festinans jam ad consummationem per ignem; is novit et martyrum sententiam de Spiritu. Et hæc quidem hactenus.

C Cæterum Gregorium Magnum, et illius voces quo loco ponam? annon cum apostolis et prophetis? virum qui eodem Spiritu quo illi versatus, quique sanctorum vestigiis per omnem vitam inhæsit, quique evangelicæ conversationis vigorem, quandiu vixit, præstitit. Equidem hoc dixerim : Injuria affecerimus veritatem, si non animam illam annumeremus iis qui Deo juncti sunt, qui velut insignis magnaque lucerna in Ecclesia Dei resplenduit, qui e Spiritus ope tremendam habuit adversus dæmones potestatem ; tantam vero sermonis gratiam acceperat ad obedientiam fidei inter gentes, ut acceptis non plus septemdecim Christianis universum populum et urbanum et rusticanum per agnitionem adjunxerit Deo. Ille et fluminum aquas D in diversum vertit, præcipiens illis in magno nomine Christi, et paludem exsiccavit, belli causam præbentem fratribus avaris. Cæterum prædictiones de futuris ejusmodi sunt, ut nihilo sit inferior cæteris prophetis. Sed omnino perlongum fuerit viri percensere miracula : qui propter donorum excellentiam quæ in ipso operabatur Spiritus in omni virtute et signis ac prodigiis, ab ipsis veritatis hostibus alter Moses appellabatur. In tantum in illo in omnibus tum dictis tum factis, quæ per gratiam peragebantur, veluti lumen quoddam refulgebat, cœlestis virtutis indicium, quæ ex occulto assectabatur illum. Hujus adhuc etiamnum magna est apud ejus regionis homines admiratio, novaque

ac semper recens memoria sic inflxa est Ecclesiis, ut nullo tempore obsolescat. Itaque non factum aliquod, non dictum, non ritum ullum mysticum, ultra quam ille reliquit, Ecclesiæ adjecerunt. Quapropter etiam multa ex his quæ apud illos aguntur, imperfecta esse videntur, propter institutionis antiquitatem. Nam qui in Ecclesiarum administrationem successerant, nihil ex his quæ post illum excogitata sunt, loco additamenti voluerunt recipere. Unum itaque ex Gregorii institutis est, etiam ille ipse glorificationis modus, cui nunc contradicitur, ex illius traditione in Ecclesia custoditus. Nec multum fuerit negotii, ei, qui iter breve susceperit, super his certitudinem accipere. Hanc fidem et Firmiliano nostro fuisse, testantur libri quos reliquit. Insuper et Meletium illum admirandum in eadem fuisse sententia, narrant qui cum illo vixerunt. Sed quid opus est vetera commemorare? sed et nunc in Oriente, nonne hoc uno potissimum eos qui pie sentiunt agnoscunt, hac voce veluti quodam signo suos ab alienis dijudicantes? Ut autem ego e quodam Mesopotamio audivi, viro et linguæ perito, et sententia incorrupto, ne fieri quidem potest ut aliter lingua vernacula loquantur, etiamsi velint: sed necesse illis est ut per syllabam *et*, vel potius per voces quæ idem pollent quod illa, juxta proprietatem linguæ regionis illius glorificationem proferant. Quin et Cappadoces sic juxta regionis morem loquimur, jam tum in linguarum divisione, dictionum utilitatem providente Spiritu. Quid porro Occidens totus, propemodum ab Illyrico usque ad fines nostri orbis? nonne hanc vocem tuetur?

Qui fit igitur, ut ego sim innovator, et recentiorum verborum architectus? cum totas nationes, civitates, et consuetudinem omni hominum memoria vetustiorem, insuper et viros Ecclesiæ columnas, omni scientia ac virtute Spiritus claros, duces ac patronos hujus vocis exhibeam?

Ejusdem, ex Epistola ad Eustathium Armenium.

Exsecrari oportet eos qui Spiritum sanctum creatum esse dicunt, quique sicut natura sanctus est Pater, et natura sanctus est Filius, non item ipsum natura sanctum esse confitentur, sed a divina beataque natura alienum asserunt. Recte autem sentientis indicium est, si ipsum a Patre Filioque non separes. Oportet enim nos ita baptizari, sicut instituti sumus, sic autem credere, ut baptizamur; atque ita glorificare, sicut credimus Patrem et Filium et Spiritum sanctum. Ab illis vero qui Spiritum creatum asserunt, ut ab hominibus aperte maledicentibus abhorrere, illo confesso. Necessaria enim est notatio propter calumniatores, quod nec ingenitum dicimus Spiritum sanctum. Unum enim ingenitum novimus et unum rerum principium Patrem Domini nostri Jesu Christi. Neque genitum. Unum enim in fidei institutione Unigeni-

A ἀφανοῦς παρεπομένης αὐτῷ. Τούτου μέγα ἔτι καὶ νῦν τοῖς ἐγχωρίοις τὸ θαῦμα, καὶ νεαρὰ καὶ ἀεὶ πρόσφατος ἡ μνήμη ταῖς Ἐκκλησίαις ἐνίδρυται, οὐδενὶ χρόνῳ ἀμαυρουμένη. Οὐκοῦν οὐ πρᾶξίν τινα, οὐ λόγον, οὐ τύπον τινὰ μυστικὸν, παρ' ὃν ἐκεῖνος κατέλιπε, τῇ Ἐκκλησίᾳ προσέθηκαν. Ταύτῃ τοι καὶ πολλὰ τῶν παρ' αὐτοῖς τελουμένων ἐλλειπῶς ἔχειν δοκεῖ διὰ τὸ τῆς καταστάσεως ἀρχαιότροπον. Οὐδὲν γὰρ ἠνέσχοντο οἱ κατὰ διαδοχὴν τὰς Ἐκκλησίας οἰκονομήσαντες τῶν μετ' ἐκεῖνον ἐφευρεθέντων παραδέξασθαι εἰς προσθήκην. Ἓν τοίνυν τῶν Γρηγορίου καὶ ὁ νῦν ἀντιλεγόμενος τρόπος τῆς δοξολογίας ἐστὶν, ἐκ τῆς ἐκείνου παραδόσεως τῇ Ἐκκλησίᾳ πεφυλαγμένος.
B Καὶ οὐ πολὺς ὁ πόνος μικρὸν κινηθέντι τὴν ἐπὶ τούτοις πληροφορίαν λαβεῖν. Ταύτην καὶ Φιρμιλιανῷ τῷ ἡμετέρῳ μαρτυροῦσι τὴν πίστιν οἱ λόγοι οὓς κατέλιπε. Καὶ Μελέτιον τὸν πάνυ ἐπὶ ταύτης εἶναι τῆς γνώμης οἱ συγγεγονότες φασί. Καὶ τί δεῖ τὰ παλαιὰ λέγειν; ἀλλὰ νῦν ἐπὶ τῆς ἑῴας οὐχ ἑνὶ μάλιστα τούτῳ τοὺς εὐσεβοῦντας γνωρίζουσιν, οἱόν τινι σημείῳ τῇ φωνῇ ταύτῃ φιλοκρινοῦντες; Ὡς δὲ ἐγώ τινος τῶν ἐκ Μεσοποταμίας ἤκουσα, ἀνδρὸς καὶ τῆς γλώσσης ἐμπείρως ἔχοντος, καὶ ἀδιαστρόφου τὴν γνώμην, οὐδὲ δυνατὸν ἑτέρως εἰπεῖν τῇ ἐγχωρίῳ φωνῇ, κἂν ἐθέλωσιν, ἀλλὰ διὰ τῆς, καὶ, συλλαβῆς, μᾶλλον δὲ τῶν ἰσοδυναμουσῶν αὐτῇ φωνῶν, κατά τι ἰδίωμα πάτριον, ἀνάγκην αὐτοῖς εἶναι τὴν δοξολογίαν προφέρειν. Καὶ Καππαδόκαι δὲ οὕτω λέ-
C γομεν ἐγχωρίως, ἔτι τότε ἐν τῇ τῶν γλωσσῶν διαιρέσει τὸ ἐκ τῆς λέξεως χρήσιμον προβλεψαμένου τοῦ Πνεύματος. Τί δὲ ἡ δύσις ἅπασα, μικροῦ δεῖν, ἀπὸ τοῦ Ἰλλυρικοῦ μέχρι τῶν ὅρων τῆς καθ' ἡμᾶς οἰκουμένης; οὐχὶ τὴν φωνὴν ταύτην πρεσβεύει;

Πῶς οὖν καινοτόμος ἐγὼ, καὶ νεωτέρων ῥημάτων δημιουργὸς, ἔθνη ὅλα καὶ πόλεις, καὶ ἔθος πάσης μνήμης ἀνθρωπίνης πρεσβύτερον, καὶ ἄνδρας στύλους τῆς Ἐκκλησίας, ἐν πάσῃ γνώσει καὶ δυνάμει Πνεύματος διαπρεπεῖς, ἀρχηγοὺς καὶ προστάτας τῆς φωνῆς παρεχόμενος;

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Εὐστάθιον τὸν Ἀρμένιον ἐπιστολῆς.

Ἀναθεματίζεσθαι χρὴ τούς τε λέγοντας κτίσμα τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τοὺς μὴ ὁμολογοῦντας αὐτὸ
D φύσει ἅγιον εἶναι, ὡς ἔστι φύσει ἅγιος ὁ Πατὴρ, καὶ φύσει ἅγιος ὁ Υἱὸς, ἀλλ' ἀποξενοῦντας αὐτὸ τῆς θείας καὶ μακαρίας φύσεως. Ἀπόδειξις δὲ τοῦ ὀρθοῦ φρονήματος τὸ μὴ χωρίζειν αὐτὸ Πατρὸς καὶ Υἱοῦ. Δεῖ γὰρ ἡμᾶς βαπτίζεσθαι μὲν, ὡς παρελάβομεν, πιστεύειν δὲ, ὡς βαπτιζόμεθα, δοξάζειν δὲ, ὡς πεπιστεύκαμεν Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, ἀφίστασθαι δὲ τῆς κοινωνίας τῶν κτίσμα λεγόντων, ὡς φανερῶς βλασφημούντων, ἐκείνου διωμολογημένου. Ἀναγκαία γὰρ ἡ ἐπισημείωσις διὰ τοὺς συκοφάντας· ὅτι οὔτε ἀγέννητον λέγομεν τὸ Πνεῦμα τὸ ἅγιον· ἕνα γὰρ οἴδαμεν ἀγέννητον καὶ μίαν τῶν ὄντων ἀρχὴν τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· οὔτε γεννητόν. Ἕνα γὰρ Μονογενῆ ἐν τῇ παραδόσει τῆς πίστεως δεδιδάγμεθα, τὸ δὲ Πνεῦμα τῆς

ἀληθείας ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι διδαχθέντες· A ἐκ τοῦ Θεοῦ εἶναι ὁμολογοῦμεν ἀκτίστως. Ἀναθεματίζειν δὲ χρὴ καὶ τοὺς λειτουργικὸν λέγοντας τὸ Πνεῦμα τὸ ἅγιον, ὡς διὰ τῆς φωνῆς ταύτης εἰς τὴν τοῦ κτίσματος καταγαγόντας τάξιν. Τὰ γὰρ λειτουργικὰ πνεύματα κτίσματα ἡμῖν ἡ Γραφὴ παρέδωκεν εἰποῦσα, ὅτι πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα. Διὰ δὲ τοὺς πάντα φύροντας, καὶ μὴ φυλάσσοντας τὴν ἐν τοῖς Εὐαγγελίοις διδασκαλίαν ἀναγκαῖόν ἐστι καὶ τοῦτο προδιαστείλασθαι, ὅτι φεύγειν δεῖ καὶ τοὺς τὴν ἀκολουθίαν, ἣν παρέδωκεν ἡμῖν ὁ Κύριος, ἐναμείβοντας, ὡς φανερῶς μαχομένους τῇ εὐσεβείᾳ, καὶ Υἱὸν μὲν προτάσσοντας τοῦ Πατρὸς, Υἱοῦ δὲ τὸ Πνεῦμα τὸ ἅγιον προτιθέντας. Ἀκίνητον γὰρ, καὶ ἀπαρεγχείρητον φυλάσσειν τὴν ἀκολουθίαν· B ἣν ἐξ αὐτῆς τῆς φωνῆς τοῦ Κυρίου παρελάβομεν, εἰπόντος, *Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.*

tum didicimus. Porro cum Spiritum veritatis a Patre procedere didicerimus, ex Deo quidem esse, non tamen creationis ratione confitemur. Exsecrari etiam oportet eos qui Spiritum sanctum dicunt esse ministratorium, ut eum hoc verbo in rerum procreatarum ordinem redigant. Ministratorios enim spiritus creatos esse Scriptura nos docuit [1], omnes, inquiens, esse ministratorios spiritus in ministerium missos. Ac propter eos qui omnia miscent, nec Evangelii doctrinam observant, necessarium est et illud explicare. Fugiendos nimirum etiam illos qui seriem quam Dominus tradidit, immutant, cum perspicue veritatem oppugnent, et Filium quidem ante Patrem constituant, Filio vero Spiritum anteponant. Firmum enim et inviolatum observare debemus ordinem, quem ex ipso Domini ore percepimus dicentis : *Euntes baptizate omnes gentes in nomine Patris et Filii et Spiritus sancti* [2].

Τοῦ αὐτοῦ ἐκ τοῦ γ' πρὸς Εὐνόμιον ἀντιῤῥητικοῦ λόγου.

Ejusdem ex tertia adversus Eunomium oratione.

Δύο λεγομένων πραγμάτων, θεότητός τε καὶ κτίσεως, καὶ δεσποτείας καὶ δουλείας, καὶ ἁγιαστικῆς δυνάμεως, καὶ τῆς ἁγιαζομένης, τῆς τε ἐκ φύσεως ἐχούσης τὴν ἀρετὴν καὶ τῆς ἐκ προαιρέσεως κατορθούσης, ἐν ποίᾳ μερίδι τὸ Πνεῦμα τάξομεν; Ἐν τοῖς ἁγιαζομένοις; ἀλλ' αὐτό ἐστιν ἁγιασμός. Ἀλλ' ἐν τοῖς ἐξ ἀνδραγαθημάτων τὴν ἀρετὴν κτωμένοις; C ἀλλὰ φύσει ἐστὶν ἀγαθόν. Ἀλλ' ἐν τοῖς λειτουργικοῖς; ἀλλ' ἕτερά εἰσι λειτουργικὰ πνεύματα πρὸς διακονίαν ἀποστελλόμενα. Οὐ τοίνυν ὁμόδουλον ἡμῖν λέγειν αὐτὸ θεμιτὸν, τὸ ἡγεμονικὸν τῇ φύσει, οὔτε τῇ κτίσει συναριθμεῖν, τὸ τῇ θείᾳ καὶ μακαρίᾳ Τριάδι συναριθμούμενον. Ἀρχαὶ μὲν γὰρ, καὶ ἐξουσίαι, καὶ πᾶσα ἡ τοιαύτη κτίσις, ἐκ προσοχῆς καὶ ἐπιμελείας τὸν ἁγιασμὸν ἔχουσαι, οὐκ ἂν εἰκότως φύσει ἅγιαι εἶναι λέγοιντο. Ἐπορεγόμεναι γὰρ τοῦ καλοῦ, κατὰ τὴν ἀναλογίαν τῆς πρὸς τὸν Θεὸν ἀγάπης, καὶ τοῦ μέτρου τῆς ἁγιωσύνης μεταλαμβάνουσι. Καὶ ὥσπερ ὁ σίδηρος, ἐν μέσῳ τῷ πυρὶ κείμενος, τὸ μὲν σίδηρος εἶναι οὐκ ἀποβέβληκε, τῇ δὲ σφοδροτάτῃ πρὸς τὸ πῦρ ὁμιλίᾳ ἐκπυρακτωθεὶς, καὶ πᾶσαν εἰς ἑαυτὸν τὴν τοῦ πυρὸς φύσιν D ὑποδεξάμενος, καὶ χρώματι καὶ ἐνεργείᾳ πρὸς τὸ πῦρ μεταβέβηκεν· οὕτω καὶ αἱ ἅγιαι δυνάμεις ἐκ τῆς πρὸς τὸ φύσει ἅγιον κοινωνίας δι' ὅλης τῆς ἑαυτῶν ὑποστάσεως κεχωρηκότα ἤδη καὶ συμπεφυσιωμένον τὸν ἁγιασμὸν ἔχουσι. Διαφορὰ δὲ αὐταῖς πρὸς τὸ Πνεῦμα τὸ ἅγιον αὕτη, ὅτι τῷ μὲν φύσις ἡ ἁγιωσύνη, ταῖς δὲ ἐκ μετουσίας ὑπάρχει τὸ ἁγιάζεσθαι. Οἷς δὲ ἐπισκευαστὸν καὶ ἑτέρωθεν ἐπιδεδομένον ὑπάρχει τὸ ἀγαθὸν, τῆς μεταπτωτῆς εἰσι φύσεως. Οὐ γὰρ ἂν ἐξέπεσεν ὁ Ἑωσφόρος ὁ πρωῒ ἀνατέλλων, οὔτε συνετρίβη ἐπὶ τῆς γῆς, εἰ φύσει ὑπῆρχε τοῦ χείρονος ἀνεπίδεκτος. Πῶς οὖν εὐσεβὲς τῇ

Cum res duæ dicantur, deitas et creatura, dominium et servitus, potentia sanctificans, et quæ sanctificatur, potentia possidens suapte natura virtutem, et quæ eam ex arbitrio comparat; qua in parte Spiritum locabimus? Inter eos qui sanctificantur? at ipse est sanctificatio. An inter eos qui præclaris ac egregiis facinoribus virtutem adepti sunt? at bonus natura est. An inter eos qui ministrant? at alii sunt spiritus ministratorii, qui ad ministerium mittuntur [3]. Non ergo principalem natura Spiritum, fas est nobis conservum dicere, neque una cum creaturis numerare eum, qui in divina et beata Trinitate pariter numeratur. Principatus enim et potestates, ac reliquæ ejusmodi creaturæ, quæ ex attentione ac studio sanctificationem habent, dici natura sanctæ jure non possunt. Ita enim bonum appetunt, ut pro ratione amoris in Deum sui, sanctitatis mensuram accipiant. Et sicuti ferrum in medio igne positum, ferrum quidem esse non desinit, sed ob vehementissimam cum igne conjunctionem ignitum factum, omnemque ignis naturam in se ipsum recipiens, tum colore, tum efficacia in ignem transit : sic et sanctæ potestates ex communicatione quam habent cum eo qui natura sanctus est, ejusmodi sanctimoniam habent quæ jam pervaserit per totam earum substantiam, in eaque coaluerit. Ipsæ autem in eo a sancto Spiritu differunt, quod hujus natura sanctitas est : illis vero ex participatione inest sanctimonia. Quibus autem inest bonum instauratitium et aliunde collatum, ea sunt mutabilis naturæ. Non enim excidisset Lucifer, qui mane oritur [4], nec esset in terra contritus, si deterioris conditionis recipiendæ non fuisset capax natura. Quomodo igitur pium est in-

[1] Hebr. II, 14. [2] Matth. XXVIII, 19. [3] Hebr. I, 14. [4] Isa. XIV, 12.

ter creaturas Spiritum collocare, qui intervallo tanto a creaturis separatus est? Creatura enim ita comparata est, ut si progressum aliquem fecerit, placueritque Deo, pro mercede sanctificationem accipiat, quandoquidem libero utitur arbitrio, potestque in utramque partem inclinari, ad boni ac mali electionem; Spiritus autem sanctus fons est sanctificationis. Et quemadmodum natura sanctus est Pater, natura itidem sanctus est Filius: ita quoque Spiritus ille veritatis natura sanctus est; ob idque donatus est etiam sancti appellatione, eaque peculiari ac propria.

Itaque, si sanctitas ei natura est, sicuti Patri et Filio, quomodo tertiæ ac alienæ naturæ est? Ob id enim, opinor, et apud Isaiam etiam scriptum est Seraphim ter *sanctus* exclamare [1], quod naturalis sanctitas tribus in hypostasibus perspicitur. Nec vero hoc sanctitatis nomen ei solum commune est cum Patre et Filio, sed ipsa est etiam spiritus appellatio. *Deus enim est spiritus; et eos qui ipsum adorant, in spiritu et veritate adorare oportet* [2]. Et propheta ait: *Spiritus ante faciem nostram Christus Dominus, ubi diximus: In umbra alarum ipsius vivemus* [3]. Quin et Apostolus appellationem spiritus in Dominum transfert, cum dicit: *Dominus autem spiritus est* [4]. Ex his autem cuilibet compertum est ac perspectum, non naturæ alienationem, sed conjunctionem cum Patre et Filio per nominum communicationem commonstrari. Et Deus dictus est bonus, et est: bonus autem est et Spiritus sanctus, bonitatem habens non adventitiam, sed natura sibi innatam. Alioqui fuerit omnium absurdissimum, si quis dicat eum qui natura sanctus est, bonitatem natura non habere, sed quamdam deinceps supervenientem, eique forinsecus accedentem. Quin etiam cum Dominus dixit: *Ego rogabo Patrem, et alium Paracletum dabit vobis* [5], et ipse Paracletus noster esse ostenditur. Quare paracleti quoque appellatio non parum ad demonstrandam Spiritus sancti majestatem confert.

Et nomina quidem quæ majestatem naturæ indicant, sunt ejusmodi: operationes vero Spiritus sancti quales? *Verbo Domini*, inquit, *cœli firmati sunt, et Spiritu oris ejus omnis virtus eorum* [6]. Ut igitur Deus Verbum creator est cœlorum, ita et Spiritus sanctus stabilem ac firmam virtutem potestatibus cœlestibus impertit. Et rursus Job: *Spiritus Domini, qui fecit me* [7]: non de creatione, ut arbitror, sed de humanæ virtutis perfectione disserens. Quin etiam loquens Isaias ex Domini persona, videlicet secundum ejus humanitatem: *Dominus*, inquit, *misit me, et Spiritus ejus* [8]. Et rursum Spiritus virtutem universa pervasisse declarans psalmus: *Quo ibo*, inquit, *a Spiritu tuo, et quo a facie tua fugiam* [9]? Beneficentiæ autem quæ ab eo

A κτίσει αὐτὸ συντάττειν, τοσούτῳ μέτρῳ διωρισμένον τῆς κτίσεως; Ἡ μὲν γὰρ κτίσις πέφυκεν ἆθλον προκοπῆς καὶ τῆς πρὸς Θεὸν εὐαρεστήσεως τὸν ἁγιασμὸν ἔχουσα, φύσει δὲ χρωμένη αὐτεξουσίῳ, καὶ μεταῤῥέπειν ἐφ' ἑκάτερα δυναμένη, πρὸς ἐκλογὴν τοῦ ἀγαθοῦ καὶ τοῦ χείρονος· τὸ δὲ Πνεῦμα τὸ ἅγιον πηγὴ ἁγιασμοῦ. Καὶ ὥσπερ φύσει ἅγιος ὁ Πατὴρ, καὶ φύσει ἅγιος ὁ Υἱὸς, οὕτω φύσει ἅγιον καὶ τὸ Πνεῦμα τὸ τῆς ἀληθείας· διὸ καὶ ἐξαιρέτου καὶ ἰδιαζούσης τῆς τοῦ ἁγίου προσηγορίας ἠξίωται.

Εἰ οὖν φύσις αὐτῷ ὁ ἁγιασμός ἐστιν, ὥσπερ Πατρὶ καὶ Υἱῷ, πῶς τρίτης ἐστὶ καὶ ἀλλοτρίας
B φύσεως; Διὰ τοῦτο γὰρ, οἶμαι, καὶ παρὰ τῷ Ἡσαΐᾳ τὰ Σεραφὶμ τρίτον ἐκβοῶντα τὸ *ἅγιος* ἀναγέγραπται, ὅτι ἐν τρισὶ ταῖς ὑποστάσεσιν ὁ κατὰ φύσιν ἁγιασμὸς θεωρεῖται. Οὐ τοῦτο δὲ μόνον αὐτῷ κοινὸν πρὸς Πατέρα καὶ Υἱὸν τὸ τῆς ἁγιωσύνης ὄνομα, ἀλλὰ καὶ αὐτὴ ἡ τοῦ πνεύματος προσηγορία. *Πνεῦμα* γὰρ *ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν*. Καὶ ὁ προφήτης φησί· *Πνεῦμα πρὸ προσώπου ἡμῶν Χριστὸς Κύριος, οὗ εἴπαμεν· Ἐν τῇ σκιᾷ τῶν πτερύγων αὐτοῦ ζησόμεθα*. Καὶ ὁ Ἀπόστολος τὴν τοῦ πνεύματος προσηγορίαν ἐπὶ τὸν Κύριον ἀναφέρει λέγων· *Ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστιν*. Ἐκ δὲ τούτων παντὶ δῆλον, ὅτι οὐχὶ ἀλλοτρίωσιν τῆς φύσεως, ἀλλ' οἰκείωσιν πρὸς τὸν Πατέρα καὶ Υἱὸν ἡ κοινωνία τῶν
C ὀνομάτων παρίστησι. Καὶ ἀγαθὸς ὁ Θεὸς εἴρηται, καὶ ἔστιν· ἀγαθὸν δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἐπισκευαστὴν ἔχον τὴν ἀγαθότητα, ἀλλ' ἐκ φύσεως αὐτῷ συνυπάρχουσαν. Ἢ πάντων ἂν εἴη ἀλογώτατον τὸ φύσει ἅγιον μὴ φύσει λέγειν τὴν ἀγαθότητα ἔχειν, ἀλλ' ἐπιγεννηματικὴν καὶ ἔξωθεν προσγεγενημένην αὐτῷ. Ἐν ᾧ δὲ εἶπεν ὁ Κύριος ὅτι, *Ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν*, καὶ αὐτὸς εἶναι Παράκλητος ἡμῶν ἐνδείκνυται. Ὥστε καὶ ἡ τοῦ παρακλήτου προσηγορία οὐ μικρὸν πρὸς ἀπόδειξιν τῆς δόξης τοῦ ἁγίου Πνεύματος συντελεῖ.

Καὶ τὰ μὲν ὀνόματα τοιαῦτα τοῦ μεγαλείου τῆς φύσεως ἐνδεικτικά· αἱ δὲ ἐνέργειαι τοῦ ἁγίου Πνεύματος οἷαι; *Τῷ Λόγῳ τοῦ Κυρίου*, φησὶν, *οἱ οὐ-*
D *ρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν*. Ὡς τοίνυν ὁ Θεὸς Λόγος δημιουργός ἐστι τῶν οὐρανῶν, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον τὸ στερεὸν καὶ πάγιον τῆς ἀρετῆς παρέχεται ταῖς οὐρανίαις δυνάμεσι. Καὶ πάλιν ὁ Ἰώβ· *Πνεῦμα Κυρίου τὸ ποιῆσάν με*· οὐκ ἐπὶ τῆς δημιουργίας, ὡς οἶμαι, ἀλλ' ἐπὶ τῆς κατὰ τὴν ἀνθρωπείαν ἀρετὴν τελειώσεως λέγων. Ὁ δὲ Ἡσαΐας ἐκ προσώπου Κυρίου διαλεγόμενος, κατὰ τὸ ἀνθρώπινον αὐτοῦ δηλονότι, *Κύριος ἀπέσταλκέ με*, φησὶ, *καὶ τὸ Πνεῦμα αὐτοῦ*. Καὶ πάλιν ὁ ψαλμὸς, δι' ὅλων κεχωρηκέναι δύναμιν τοῦ Πνεύματος παρ-

[1] Isa. VI, 3. [2] Joan. IV, 24. [3] Thren. IV, 20. [4] II Cor. III, 17. [5] Joan. XIV, 16. [6] Psal. XXXII, 6. [7] Job XXXIII, 4. [8] Isa. XLVIII, 16. [9] Psal. CXXXVIII, 7.

ιστάς, *Ποῦ πορευθῶ*, φησὶ, *καὶ ἀπὸ τοῦ Πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;* Αἱ δὲ εἰς ἡμᾶς ἀπ' αὐτοῦ φθάνουσαι εὐεργεσίαι ὁποῖαί τινές εἰσι καὶ ἡλίκαι; Ὥσπερ αὐτὸς ὁ Κύριος ἔδωκεν ἐξουσίαν τοῖς δεξαμένοις αὐτὸν τέκνα Θεοῦ γενέσθαι, οὕτω καὶ τὸ Πνεῦμα ἅγιον Πνεῦμα υἱοθεσίας ἐστί. Καὶ ὥσπερ διδάσκαλός ἐστιν ἀληθινὸς ὁ Κύριος ἡμῶν κατὰ τὸ εἰρημένον· *Ὑμεῖς δὲ μὴ καλέσατε διδάσκαλον ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γὰρ καθηγητὴς ὑμῶν ἐστιν ὁ Χριστός·* οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον διδάσκειν πάντας τοὺς εἰς τὸ ὄνομα τοῦ Κυρίου πεπιστευκότας, ὑπ' αὐτοῦ τοῦ Κυρίου μεμαρτύρηται, εἰπόντος· *Ὁ δὲ Παράκλητος τὸ Πνεῦμα τὸ ἅγιον ὃ πέμψει ὁ Πατὴρ, ἐκεῖνος ὑμᾶς διδάξει πάντα.* Καὶ ὥσπερ διαιρεῖν τὰ ἐνεργήματα εἰς τοὺς ἀξίους τῆς ὑποδοχῆς τῶν ἐνεργημάτων ὁ Πατὴρ λέγεται, καὶ διαιρεῖν τὰς διακονίας ὁ Υἱὸς ἐν τοῖς τῆς διακονίας ἀξιώμασιν· οὕτω διαιρεῖν καὶ τὰ χαρίσματα τὸ Πνεῦμα τὸ ἅγιον εἰς τοὺς ἀξίους τῆς τῶν χαρισμάτων ὑποδοχῆς μαρτυρεῖται. *Διαιρέσεις γὰρ χαρισμάτων εἰσὶν, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς Θεός ἐστιν ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν.* Ὁρᾷς πῶς καὶ ἐνταῦθα ἡ τοῦ ἁγίου Πνεύματος ἐνέργεια συντεταγμένη ἐστὶ τῇ Πατρὸς καὶ Υἱοῦ ἐνεργείᾳ; Εἶτα καὶ ἐκ τοῦ ἐπηγμένου μειζόνως τὸ θεῖον τῆς φύσεως τοῦ ἁγίου Πνεύματος φανεροῦται. Τί γάρ φησι; *Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται.* Οὐδὲν ἕτερον ἢ αὐθεντικὴν καὶ δεσποτικὴν ἐξουσίαν αὐτῷ μαρτυρεῖ. Διόπερ ἐν τῇ Καινῇ Διαθήκῃ οἱ προφῆται κεκράγασι· *Τάδε λέγει τὸ Πνεῦμα τὸ ἅγιον.* Τὸ δὲ ἐρευνᾷν τὰ βάθη τοῦ Θεοῦ, πόθεν τῷ Πνεύματι πρόσεστιν; *Ὥσπερ*, φησὶν, *οὐδεὶς οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ· οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνωκεν εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ.* Ὡς γὰρ οὐδεὶς ἀλλότριος οὐδὲ ξένος τοὺς ἔνδον λογισμοὺς ἐποπτεύειν δύναται τῆς ψυχῆς, οὕτω δηλονότι, καὶ εἴ τι τῶν ἀπορρήτων κοινωνεῖ τῷ Θεῷ, οὐχ ἀλλότριον αὐτοῦ, οὐδὲ ξένον, διερευνᾷν τὰ βάθη τῶν κριμάτων τοῦ Θεοῦ δύναται. Εἶτα καὶ ἡ ζωὴ ἡμῖν ἀπὸ τοῦ Θεοῦ διὰ Χριστοῦ ἐν ἁγίῳ Πνεύματι χορηγεῖται. Ζωοποιεῖ μὲν γὰρ ὁ Θεὸς, ὥς φησι Παῦλος· *Παραγγέλλω σοι ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα·* ζωὴν δὲ δίδωσιν ὁ Χριστός· *Τὰ πρόβατα γάρ*, φησὶ, *τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούουσι, καὶ ἐγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς.* Ζωοποιούμεθα δὲ διὰ Πνεύματος, ὥς φησι Παῦλος· *Ὁ ἐγείρας Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν.*

Ἀλλ' ὁ πάντα τολμηρὸς οὗτος, καὶ μὴ ὑποπτήσας τὸν ἐπηρτημένον κίνδυνον τοῖς τολμῶσι βλάσφημόν τι ῥῆμα εἰς τὸ Πνεῦμα τὸ ἅγιον ἀπορρῖψαι, ἀμέτοχον αὐτὸ θεότητος ἀποφαίνεται, γράφων οὕτω περὶ τοῦ Πνεύματος·

ad nos deveniunt, quales sunt et quantæ? Sicut Dominus ipse iis qui ipsum suscepere, istuc dedit ut liceret filios Dei fieri [1], sic et Spiritus sanctus Spiritus et adoptionis [2]. Et quemadmodum Dominus noster magister verus est, juxta id quod dictum est: *Vos autem nolite vocare magistrum vestrum in terra; unus enim magister vester est Christus* [3]; sic et Spiritum sanctum omnes, quotquot in nomine Domini crediderint, docere testatus est Dominus ipse, cum dixit: *Paracletus autem Spiritus sanctus quem Pater mittet, ille vos docebit omnia* [4]. Et sicut Pater operationes in eos qui operationibus suscipiendis digni sunt, dicitur dividere, itemque dividere Filius administrationes in dignitatibus ministerii: sic dividere etiam dona in eos qui donis excipiendis digni sunt, perhibetur Spiritus sanctus. *Divisiones enim donorum sunt, sed idem Spiritus: et divisiones ministeriorum sunt, sed idem Dominus: et divisiones operationum sunt, sed idem est Deus, efficiens omnia in omnibus* [5]. Vides quomodo hic quoque Spiritus sancti operatio operationi Patris ac Filii conjuncta sit? Deinde ex eo etiam quod sequitur, divinitas naturæ sancti Spiritus amplius declaratur. Quid enim ait? *Sed omnia hæc efficit unus et idem Spiritus, dividens privatim unicuique, sicuti vult* [6]. Nihil aliud ei ascribit, nisi auctoritati ac dominio adjunctam potestatem. Quapropter in Novo Testamento prophetæ clamarunt: *Hæc dicit Spiritus sanctus* [7]. Unde autem scrutatio profunditatum Dei adest Spiritui? *Quemadmodum*, inquit, *nemo hominum novit ea quæ hominis sunt, nisi spiritus hominis qui est in eo: sic et ea quæ sunt Dei, nemo cognovit, nisi Spiritus Dei* [8]. Ut enim nullus alienus aut peregrinus internas animæ cogitationes potest inspicere: sic profecto si arcani aliquid cum Deo commune habet Spiritus, cum ab eo neque alienus sit, neque peregrinus, profunda judiciorum Dei perscrutari potest. Præterea et vita nobis a Deo per Christum in sancto Spiritu suppeditatur. Vivificat enim Deus, ut ait Paulus: *Præcipio tibi coram Deo, qui vivificat omnia* [9]. Vitam autem largitur Christus: *Oves enim meæ*, inquit, *vocem meam audiunt, et ego vitam æternam do illis* [10]. Vivificamur itidem per Spiritum, quemadmodum ait Paulus: *Qui excitavit Christum e mortuis, vivificabit etiam mortalia corpora vestra, per ipsius Spiritum inhabitantem in vobis* [11].

Verum hic iste cum audeat omnia, neque periculum, quod cuilibet blasphemum aliquod verbum in Spiritum sanctum emittere audenti impendet, timeat, expertem eum deitatis pronuntiat, sic de Spiritu scribens:

[1] Joan. I, 12. [2] Rom. VIII, 15. [3] Matth. XXIII, 10. [4] Joan. XIV, 26. [5] I Cor. XII, 4-5. [6] ibid. 11. [7] Act. XXI, 11. [8] I Cor. II, 10, 11. [9] I Tim. VI, 13. [10] Joan. X, 27. [11] Rom. VIII, 11.

EUN. Tertius ordine et natura, Patris quidem A præcepto, operatione vero Filii factus, tertio loco honoratus, tanquam qui sit primum, omniumque maximum, et solum hujusmodi opificium Unigeniti, deitate ac creandi potentia carens.

BAS. Hoc qui dicit, nec deitatem habitare in nobis videtur credere, etsi de Deo Joannes dicit: *Ex hoc scimus, quod in nobis est, ex Spiritu, quem nobis dedit* [1]; et Apostolus: *Nescitis quod templum Dei estis, et Spiritus Dei habitat in vobis* [2]? et rursus: *In quo omnis ædificatio coagmentata crescit in templum sanctum in Domino, in quo et vos coædificamini in habitaculum Dei in Spiritu* [3]. Itaque, si Deus in nobis per Spiritum habitare dicitur, nonne manifesta impietas est, ipsum Spiritum dicere deitatis exsortem? Et, si eos qui virtute perfecti sunt, B deos nominamus, perfectio autem est per Spiritum; quomodo qui alios efficit deos, ille ipse destitutus deitate est? Nec vero pium fuerit dicere, ut in hominibus, ita et in Spiritu deitatem quæ participatione acquisita sit, honorari, non autem natura ei competere. Qui enim dono efficitur Deus, mutabilis est naturæ, quæ nonnunquam per negligentiam a bonitate excidat. Id autem aperte salutaris baptismi repugnat traditioni. *Euntes*, inquit, *baptizate in nomine Patris, et Filii, et Spiritus sancti* [4]. Est enim baptisma sigillum fidei, fides vero assensus est deitati. Nam credere prius oportet, deinde baptismate obsignari. Est autem noster baptismus ex Domini traditione, in nomen Patris, et Filii, et Spiritus sancti, nulla creatura, neque servo C Patri ac Filio conjuncto, cum deitas in Trinitate compleatur. Nam quidquid extra hos est, id omne conservum est, etiamsi maxime ob dignitatum præstantiam alia aliis anteponantur.

ΕΥΝ. Τρίτον τάξει καὶ φύσει, προστάγματι μὲν τοῦ Πατρὸς, ἐνεργείᾳ δὲ τοῦ Υἱοῦ γενόμενον, τρίτῃ χώρᾳ τιμώμενον, ὡς πρῶτον καὶ μεῖζον ἁπάντων, καὶ μόνον τοιοῦτον τοῦ Μονογενοῦς ποίημα, θεότητος καὶ δημιουργικῆς δυνάμεως ἀπολειπόμενον.

ΒΑΣ. Ὁ δὲ τοῦτο λέγων ἔοικε μηδὲ τὴν θεότητα πεπιστευκέναι ἐν ἡμῖν οἰκεῖν, τοῦ Ἰωάννου λέγοντος περὶ Θεοῦ· *Ἐκ τούτου γινώσκομεν, ὅτι ἐν ἡμῖν ἐστιν, ἐκ τοῦ Πνεύματος οὗ ἡμῖν ἔδωκε·* καὶ τοῦ Ἀποστόλου· *Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν;* καὶ πάλιν· *Ἐν ᾧ ἡ πᾶσα οἰκοδομὴ συναρμολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ, ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν Πνεύματι.* Εἰ τοίνυν ἐν ἡμῖν ὁ Θεὸς ἐνοικεῖν λέγεται διὰ τοῦ Πνεύματος, πῶς οὐχὶ φανερᾶς ἀσεβείας ἐστὶν αὐτὸ τὸ Πνεῦμα λέγειν ἀμέτοχον τῆς θεότητος; Καὶ, εἰ θεοὺς ὀνομάζομεν τοὺς κατ' ἀρετὴν τελείους, ἡ δὲ τελείωσις διὰ τοῦ Πνεύματος, πῶς τὸ ἑτέρους θεοποιοῦν αὐτὸ τῆς θεότητος ἀπολείπεται; Ἀλλὰ μὴν οὐδὲ εὐσεβὲς, ὥσπερ ἐπὶ τῶν ἀνθρώπων, οὕτω καὶ ἐπὶ τοῦ Πνεύματος, μεθεκτὴν λέγειν αὐτοῦ τὴν θεότητα τετιμῆσθαι, καὶ οὐχὶ φύσει αὐτῷ συνυπάρχειν. Ὁ γὰρ χάριτι θεοποιούμενος τῆς μεταπτωτικῆς ἐστι φύσεως, ἐξ ἀπροσεξίας ποτὲ καὶ ἀποῤῥεούσης τοῦ κρείττονος. Τοῦτο δὲ σαφῶς μάχεται τῇ παραδόσει τοῦ σωτηρίου βαπτίσματος. *Πορευθέντες*, φησὶ, *βαπτίζετε εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.* Ἔστι γὰρ τὸ βάπτισμα σφραγὶς τῆς πίστεως, ἡ δὲ πίστις θεότητος συγκατάθεσις. Πιστεῦσαι γὰρ δεῖ πρότερον, εἶτα τῷ βαπτίσματι ἐπισφραγίσασθαι. Τὸ δὲ βάπτισμα ἡμῶν ἐστι κατὰ τὴν τοῦ Κυρίου παράδοσιν, εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος· οὐδενὸς κτίσματος, οὐδὲ δούλου Πατρὶ καὶ Υἱῷ συντεταγμένου, ὡς τῆς θεότητος ἐν Τριάδι συμπληρουμένης. Τὸ δὲ ἔξω τούτων ὁμόδουλον ἅπαν ἐστὶ, κἂν τὰ μάλιστα ὑπερβολαῖς ἀξιωμάτων ἄλλα ἄλλων προτετιμημένα τυγχάνῃ

Nec mihi rursus sapientia illa verba objicias:

EUN. Si creatura non est, igitur genitura aut ingenitus. Unus autem Deus est principio carens atque ingenitus. Neque vero genitura est. Restat ergo ut ipse creatura facturaque nominetur.

BAS. Ego vero, si cuncta judicarem cognitione nostra comprehendi posse, me fortasse puderet ignorantiam confiteri. Nunc autem innumera, non solum ex iis quæ nobis in futuro sæculo recondun- D tur, et ex iis quæ nunc in cœlis sunt, latent nos: sed neque ea quæ in nostro corpore insunt, clare ac evidenter comprehendimus. Exempli causa de visu, utrum, dum rerum visibilium susceptis imaginibus, ita demum objecta percipiamus: et quomodo maximorum montium, immensæque terræ, et infiniti maris, ac cœli ipsius imago in exigua nostræ pupillæ mensura contineatur: an cum a nobis quidpiam emittimus, idque ad visibilia accedit, sic cadant sub sensum: et quid id sit et quantum; adeo ut expansum sufficiat terræ marique, ac

Καὶ μή μοι πάλιν τὰ σοφὰ ταῦτα·

ΕΥΝ. Ἐὰν μὴ κτίσμα ἐστὶν, οὐκοῦν γέννημα, ἢ ἀγέννητον. Εἷς δὲ ἄναρχος Θεὸς καὶ ἀγέννητος. Οὔτε μὴν γέννημα. Λείπεται οὖν κτίσμα καὶ ποίημα αὐτὸ ὀνομάζεσθαι.

ΒΑΣ. Ἐγὼ δὲ, εἰ μὲν πάντα διωριζόμην καταληπτὰ ἡμῶν εἶναι τῇ γνώσει, ᾐσχύνθην ἂν ἴσως ὁμολογῆσαι τὴν ἄγνοιαν· νῦν δὲ μυρία οὐ τῶν ἐν τῷ μέλλοντι αἰῶνι ἀποκειμένων ἡμῖν μόνον, οὔτε τῶν νῦν ὄντων ἐν τοῖς οὐρανοῖς ἀποκέκρυπται, ἀλλ' οὔτε τῶν ὑπαρχόντων ἡμῖν ἐν τῷ σώματι τρανὴ καὶ ἀναντίῤῥητός ἐστιν ἡ κατάληψις. Οἷον ἀμέλει περὶ τῆς ὄψεως, πότερον εἰσδεχόμενοι τὰς εἰκόνας τῶν ὁρατῶν, οὕτω τὰς ἀντιλήψεις ποιούμεθα· καὶ πῶς ὀρῶν τε παμμεγεθῶν, γῆς τε ἀπλέτου, καὶ ἀπείρου θαλάσσης, ἔτι δὲ καὶ αὐτοῦ τοῦ οὐρανοῦ ἡ εἰκὼν τῷ βραχεῖ μέτρῳ τῆς κόρης ἡμῶν περιέχεται· ἢ ἐκπεμπόντων τι παρ' ἑαυτῶν, καὶ προσπελάζοντος τούτου τοῖς ὁρατοῖς, οὕτως αὐτῶν τὴν αἴσθησιν ἔχομεν, καὶ τί ἐστι τοῦτο καὶ πόσον, ὥστε γῇ καὶ θαλάσσῃ ἐξαρκεῖν

[1] I Joan. III, 24. [2] I Cor. III, 16. [3] Ephes. II, 21, 22. [4] Matth. XXVIII, 19.

ἐφαπλούμενον, καὶ περᾷν μὲν τὸν μεταξὺ γῆς καὶ οὐρανοῦ τόπον, αὐτῷ τε προσβάλλειν τῷ οὐρανῷ τοσούτῳ τάχει κινούμενον, ὥστε ἐν ἴσῳ χρόνῳ τό τε περικείμενον σῶμα, καὶ τοὺς ἐν οὐρανῷ ἀστέρας καταμανθάνεσθαι. Καὶ τί δεῖ τἄλλα λέγειν; Ἀλλὰ αὐτὰ τὰ τοῦ νοῦ κινήματα, πότερον κτίζειν ἢ γεννᾷν πέφυκεν ἡ ψυχὴ, τίς ἂν ἀκριβῶς εἴποι; Τί οὖν θαυμαστὸν καὶ περὶ τοῦ ἁγίου Πνεύματος ἀνεπαισχύντως ἡμᾶς τὴν ἄγνοιαν ὁμολογεῖν; τὴν μέντοι ἀναντιῤῥήτως αὐτῷ προσμαρτυρουμένην δοξολογίαν ἀποδιδόναι; Ὅτι μὲν γὰρ ὑπὲρ τὴν κτίσιν ἐστὶν, ἱκανῶς ἡμῖν παρίστησι τὰ διὰ τῶν Γραφῶν παραδιδόμενα, ἐπειδή γε ἀδύνατον τῆς αὐτῆς εἶναι φύσεως τό τε ἁγιάζον καὶ τὰ ἁγιαζόμενα, τὸ διδάσκον καὶ τὰ διδασκόμενα, τὸ ἀποκαλύπτον καὶ τὰ τῆς ἀποκαλύψεως προσδεόμενα. Ἀγέννητον δὲ οὐδεὶς οὕτως ἔξω παντελῶς ἐστι τοῦ φρονεῖν, ὥστε τολμῆσαι ἕτερον πλὴν τοῦ Θεοῦ τῶν ὅλων προσαγορεῦσαι, ἀλλὰ μὴν οὐδὲ Υἱὸν, τῷ ἕνα εἶναι τὸν Μονογενῆ. Τί οὖν αὐτὸ χρὴ καλεῖν; Πνεῦμα ἅγιον, καὶ Πνεῦμα Θεοῦ, καὶ Πνεῦμα ἀληθείας, ἀποστελλόμενον παρὰ Θεοῦ, διὰ Υἱοῦ χορηγούμενον, οὐ δοῦλον, ἀλλ' ἅγιον, ἀγαθὸν, ἡγεμονικόν· Πνεῦμα ζωοποιοῦν, Πνεῦμα υἱοθεσίας, ἐπιστάμενον πάντα τὰ τοῦ Θεοῦ. Οὕτω δὴ καὶ ἐν τῇ Τριάδι ὁ τῆς μονάδος διασωθήσεται λόγος, ἕνα μὲν Πατέρα ὁμολογούντων, καὶ ἕνα Υἱὸν, καὶ ἓν Πνεῦμα ἅγιον.

Κομίζουσι δὲ ἀποδείξεις, πρὸς τὸ κτίσμα εἰρῆσθαι τὸ Πνεῦμα τὸ ἅγιον, μίαν μὲν ἐκ τοῦ προφήτου λέγοντος· *Ὁ στερεῶν βροντὴν, καὶ κτίζων πνεῦμα·* ἑτέραν δὲ τὴν ἐκ τοῦ Εὐαγγελίου ὅτι, *Πάντα δι' αὐτοῦ ἐγένετο.* Ἡμεῖς δὲ τὸν προφητικὸν λόγον οὐκ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' εἰς τὴν κοινὴν ταύτην πνοὴν, τὸ τοῦ ἀέρος πνεῦμα, πεπείσμεθα φέρειν. Δῆλον δὲ ἐκεῖθεν. Οὐ γὰρ εἶπεν, Ὁ κτίσας πνεῦμα, ἀλλ' *Ὁ κτίζων πνεῦμα.* Ὡς γὰρ ἡ βροντὴ οὐκ ἐν ὑποστάσει τινί ἐστι σωματικῇ ἅπαξ κτισθεῖσα, ἀλλ' ἀεὶ πρὸς τὸ τοῦ Θεοῦ βούλημα ἐπὶ φόβῳ τῶν ἀνθρώπων ἐνεργουμένη γίνεσθαι καὶ διαλύεσθαι πέφυκεν, οὕτω καὶ τὸ πνεῦμα· νῦν μὲν γίνεται δίκην ποταμοῦ ῥέοντος τοῦ ἀέρος· πάλιν δὲ παύεται ἀτρεμοῦντος τοῦ πρότερον κινουμένου, κατὰ τὸ βούλημα τοῦ τὰ πάντα ἐπὶ σωτηρίᾳ καὶ συστάσει τῶν ὅλων οἰκονομοῦντος· ὥστε διὰ πάσης τῆς κτίσεως, ἔκ τε βροντῶν καὶ ἀνέμων καὶ τῆς λοιπῆς δημιουργίας τὸν δημιουργὸν ἀναγγέλλεσθαι. Διόπερ μετὰ τὸ εἰπεῖν· *Ὁ στερεῶν βροντὴν, καὶ κτίζων πνεῦμα,* φησίν· *Καὶ ἀπαγγέλλων τοῖς ἀνθρώποις τὸν Χριστὸν αὐτοῦ.* Ὡς γὰρ οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ τοῖς δυναμένοις ἐξ αὐτῶν τὴν τοῦ δημιουργοῦ τέχνην ἀναλογίζεσθαι, οὕτω καὶ βροντῆς ἦχοι, καὶ πνευμάτων κινήσεις, τὸν δημιουργὸν αὐτῶν ἀνακηρύττουσι. Τάχα δ' ἂν τοῦτο καὶ προφητεία εἴη, πρὸς τὴν ἐνανθρώπησιν τοῦ Κυρίου φέρουσα· ὅτε ἡ μὲν φωνὴ, ἡ γενομένη ἐξ οὐρανοῦ, βροντὴ ἐδόκει τοῖς ἀκούσασιν εἶναι, ἥντινα ἀφῆκεν ὁ Θεὸς καὶ Πατὴρ, ὥστε δι' αὐτῆς ἀναγγεῖλαι

A locum inter terram et cœlum intercedentem penetret, imo ad ipsum cœlum perveniat, tantaque moveatur celeritate, ut æquali tempore et corpus circumpositum, et stellæ quæ in cœlo sunt, cognoscantur. Et quid attinet reliqua dicere? Imo ipsos mentis motus creare an generare soleat anima, quis certo dicat? Quid igitur miri fuerit, si quoque de Spiritu sancto citra ruborem ignorantiam confiteamur, et tamen glorificationem, quæ ei testimonio invicto tribuitur, persolvamus? Etenim quæ per Scripturas traduntur, ea ipsum supra creaturam esse satis nobis demonstrant, quandoquidem fieri non potest, ut id quod sanctificat, et ea quæ sanctificantur, id quod docet, et ea quæ docentur, id quod revelat, et ea quæ revelatione indigent, B ejusdem sint naturæ. Nemo autem sic prorsus demens est, ut alium præter Deum universorum audeat ingenitum appellare, at neque Filium, quod unus sit Unigenitus. Quomodo igitur eum vocari oportet? Spiritum sanctum, Spiritum Dei, Spiritum veritatis, qui mittitur a Deo, suppeditatur per Filium: non servum, sed sanctum, bonum, principalem, Spiritum vivificantem, Spiritum adoptionis, omnium quæ Dei sunt gnarum. Sic profecto in Trinitate conservabitur unitatis ratio, si unum Patrem, unum Filium, unum Spiritum sanctum confiteamur.

Jamvero afferunt argumenta, quibus demonstrent Spiritum sanctum dictum fuisse creaturam: unum quidem ex propheta dicente: *Qui firmat tonitruum, et creat spiritum* [1]: alterum vero ex C Evangelio: *Omnia per ipsum facta sunt* [2]. At propheticum dictum non ad sanctum Spiritum, sed ad communem hunc flatum, aeris videlicet spiritum, credimus pertinere. Quod inde patet. Non enim dixit, Qui creavit spiritum, sed, *Qui creat spiritum.* Quemadmodum enim tonitruum ubi semel est creatum, in substantia quadam corporali non est; sed semper voluntate Dei ad terrendos homines productum, fieri ac dissolvi solet: ita et spiritus nunc quidem fit, fluente instar fluminis aere: rursus vero cessat tum, cum quod prius movebatur quiescit, secundum voluntatem ejus, qui ad universorum incolumitatem conservationemque gubernat omnia, ut per omnem creaturam et tonitruis et ventis et D reliquis operibus conditor annuntietur. Quapropter postquam dixit: *Qui firmat tonitruum et creat spiritum* [3], ait: *Et qui annuntiat hominibus Christum suum* [4]. Sicut enim cœli enarrant gloriam Dei iis [5] qui ex ipsis possunt conditoris artem æstimare: sic etiam tonitrui fragor ac spirituum motus conditorem suum prædicant. Fortasse autem hoc ipsum prophetia est, quæ ad Domini incarnationem spectat; siquidem vox quæ de cœlo facta est, tonitruum esse videbatur audientibus [6]: quam Deus et Pater emisit, ut per eam Christum hominibus annuntiaret. Spiritus autem qui excitati sunt, et mare conturba-

[1] Amos iv, 13. [2] Joan. i, 3. [3] Amos iv, 13. [4] ibid. [5] Psal xviii, 2. [6] Joan. xii, 29.

runt, sed postmodum quieverunt jussu Domini, vel ipsi ejus Christum hominibus palam annuntiabant [1]. At vero illud, *Omnia per ipsum facta sunt* [2], nequaquam creatum esse Spiritum sanctum nobis ostendit, quasi Spiritus una cum omnibus numeretur. Etenim si unus est Spiritus sanctus et solus, quomodo qui singularis cujusdam naturæ est, una cum omnibus comprehendi potest? Et nemo putet hypostasim aboleri, si Spiritum creaturam esse negemus. Nam piæ mentis est, quæ a Scripturis sanctis reticentur, ea vereri de Spiritu sancto dicere: credere vero notitiam ejus, atque accuratam comprehensionem in futurum sæculum nobis reservari, cum, tempore hoc, in quo veritas per speculum et ænigma videtur [3], transacto, eam contemplationem quæ ad faciem est fuerimus consecuti.

A τὸν Χριστὸν τοῖς ἀνθρώποις· τὰ δὲ πνεύματα τὰ κινούμενα, καὶ τὴν θάλασσαν συνταράσσοντα, εἶτα κοπάσαντα τῷ προστάγματι τοῦ Κυρίου, σαφῶς καὶ αὐτὰ ἀνήγγειλε τοῖς ἀνθρώποις τὸν Χριστὸν αὐτοῦ. Τὸ δὲ, *Πάντα δι' αὐτοῦ ἐγένετο*, οὐδαμῶς ἡμῖν κτιστὸν εἶναι τὸ Πνεῦμα τὸ ἅγιον παρίστησιν, ὡς συναριθμουμένου τοῖς πᾶσι τοῦ Πνεύματος. Εἰ γὰρ ἓν Πνεῦμα ἅγιον καὶ μόνον, πῶς ὁ τῆς μοναδικῆς ἐστι φύσεως, τοῖς πᾶσι συμπαραλαμβάνεσθαι δύναται; Καὶ μηδεὶς οἰέσθω ἀθέτησιν εἶναι τῆς ὑποστάσεως τὴν ἄρνησιν τοῦ κτίσμα εἶναι τὸ Πνεῦμα. Εὐσεβοῦς γάρ ἐστι διανοίας τὰ ἀποσιωπηθέντα ἐν ταῖς ἁγίαις Γραφαῖς εὐλαβεῖσθαι ἐπιφημίζειν τῷ ἁγίῳ Πνεύματι, πεπεῖσθαι δὲ τὴν ἐμπειρίαν αὐτοῦ καὶ ἀκριβῆ κατάληψιν εἰς τὸν ὕστερον ἡμῖν ἀποκεῖσθαι αἰῶνα, B ὅταν, διαβάντες τὸ δι' ἐσόπτρου καὶ αἰνίγματος ὁρᾷν τὴν ἀλήθειαν, τῆς πρὸς πρόσωπον θεωρίας ἀξιωθῶμεν.

Item de Spiritu sancto contra Pneumatomachos, S. Gregorii Theologi ex oratione de Spiritu sancto.

Ἔτι περὶ τοῦ ἁγίου Πνεύματος κατὰ τῶν Πνευματομάχων, τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ περὶ τοῦ ἁγίου Πνεύματος λόγου.

Si fuit tempus cum non esset Pater, fuit quoque cum non esset Filius. Si fuit tempus cum non esset Filius, fuit quoque cum ne Spiritus quidem esset. Si unum a principio erat, utique et tria. Si unum dejicis, audax hoc dicam, ne duo quidem superiore loco colloces. Quæ enim imperfectæ deitatis utilitas? imo quæ deitas, si imperfecta? Perfecta autem [quomodo] erit, in qua ad perfectionem aliquid desideretur? Desideratur enim, si C sanctitate careat. Hanc porro quomodo habere queat ni Spiritum habeat? Si enim alia quædam præter illum sanctitas est, quæ tandem illa intelligenda sit dicat quispiam: aut, si quidem eadem hæc est, quid afferri potest, quamobrem non jam inde a principio fuerit? Quasi vero præstiterit Deo, aliquando imperfectum exstitisse, ac Spiritus expertem. Si a principio non erat, meæ classis atque ordinis est, etiamsi me nonnihil antecedat. Temporis enim interstitio a Deo dirimimur. Porro si ejusdem mecum classis est, quo pacto me deum efficit? aut quo pacto cum deitate conjungit?

Εἰ ἦν ὅτε οὐκ ἦν ὁ Πατὴρ, ἦν ὅτε οὐκ ἦν ὁ Υἱός. Εἰ ἦν ὅτε οὐκ ἦν ὁ Υἱὸς, ἦν ὅτε οὐδὲ τὸ Πνεῦμα τὸ ἅγιον. Εἰ τὸ ἓν ἦν ἀπ' ἀρχῆς, καὶ τὰ τρία ἦν. Εἰ τὸ ἓν κάτω βάλλεις, τολμῶ, καὶ λέγω, μηδὲ τὰ δύο θῇς ἄνω. Τίς γὰρ ἀτελοῦς θεότητος ὄνησις; Μᾶλλον δὲ τίς θεότης, εἰ μὴ τελεία; Τελεία δὲ πῶς, ᾗ λείπει τι πρὸς τελείωσιν; Λείπει δέ πως, μὴ ἐχούσῃ τὸ ἅγιον. Ἔχοι δ' ἂν πῶς, μὴ τοῦτο ἔχουσα; Εἰ γὰρ ἄλλη τις παρὰ τοῦτο ἡ ἁγιότης, καὶ ἥτις αὕτη νοεῖται, λεγέτω τις· ἢ εἴπερ ἡ αὐτὴ, πῶς οὐκ ἀπ' ἀρχῆς; ὥσπερ ἄμεινον ὂν τῷ Θεῷ, εἶναί ποτε ἀτελεῖ, καὶ δίχα τοῦ Πνεύματος. Εἰ μὴ ἀπ' ἀρχῆς ἦν, μετ' ἐμοῦ τέτακται, καὶ εἰ μικρὸν πρὸ ἐμοῦ· χρόνῳ γὰρ ἀπὸ Θεοῦ τεμνόμεθα. Εἰ τέτακται μετ' ἐμοῦ, πῶς ἐμὲ ποιεῖ θεόν; ἢ πῶς συνάπτει θεότητι;

Ex eadem oratione.

Spiritum sanctum Sadducæi penitus non esse censuerunt; quemadmodum nec angelos, nec resur- D rectionem: quibus haud scio quid acciderit, ut tot ac tanta de eo in Instrumento Veteri testimonia pro nihilo haberent. Qui autem apud ethnicos theologiæ laude magis excelluerunt, propiusque ad nos accesserunt, per imaginem quamdam ipsum, meo quidem judicio, conceperunt, tametsi in nomine dissenserint, Universitatis nempe mentem, et extrinsecam mentem, aliisque id genus nominibus eum appellantes. Nostrates vero sapientes, partim vim quamdam et facultatem ipsum existimarunt, partim creaturam, partim Deum, partim, utro potius nomine vocandus esset, minime certum

Ἐκ τοῦ αὐτοῦ λόγου.

Τὸ Πνεῦμα τὸ ἅγιον Σαδδουκαῖοι μὲν οὐδὲ εἶναι τὸ παράπαν ἐνόμισαν· οὐδὲ γὰρ ἀγγέλους, οὐδὲ ἀνάστασιν· οὐκ οἶδ' ὅθεν τὰς τοσαύτας περὶ αὐτοῦ μαρτυρίας ἐν τῇ Παλαιᾷ διαπτύσαντες. Ἑλλήνων δὲ οἱ θεολογικώτεροι, καὶ μᾶλλον ἡμῖν προσεγγίσαντες, ἐφαντάσθησαν μὲν, ὡς ἐμοὶ δοκεῖ· περὶ δὲ τὴν κλῆσιν διηνέχθησαν, νοῦν τοῦ παντὸς, καὶ τὸν θύραθεν νοῦν, καὶ τὰ τοιαῦτα προσαγορεύσαντες. Τῶν δὲ καθ' ἡμᾶς σοφῶν, οἱ μὲν ἐνέργειαν τοῦτο ὑπέλαβον, οἱ δὲ κτίσμα, οἱ δὲ Θεὸν, οἱ δὲ οὐκ ἔγνωσαν ὁπότερον τούτων, αἰδοῖ τῆς Γραφῆς ὥς φασιν, ὡς οὐδὲν ἕτερον σαφῶς δηλωσάσης. Καὶ διὰ τοῦτο, οὔτε σέβουσιν, οὔτε ἀτιμάζουσι, μέσως πως περὶ αὐτοῦ διακείμενοι, μᾶλλον δὲ καὶ λίαν ἀθλίως. Καὶ τῶν Θεὸν ὑπειληφότων, οἱ μὲν ἄχρι

[1] Matth. VIII, 24, 27. [2] Joan. I, 3. [3] I Cor. XIII, 12.

διανοίας εἰσὶν εὐσεβεῖς, οἱ δὲ τολμῶσιν εὐσεβεῖν καὶ A τοῖς χείλεσιν. Ἄλλων δὲ ἤκουσα μετρούντων θεότητα σοφωτέρων, οἳ τρία μὲν εἶναι καθ' ἡμᾶς ὁμολογοῦσι τὰ νοούμενα, τοσοῦτον δὲ ἀλλήλων διέστησαν, ὡς τὸ μὲν, καὶ οὐσίᾳ καὶ δυνάμει ποιεῖν ἀόριστον· τὸ δὲ, δυνάμει μὲν, οὐκ οὐσίᾳ δέ· τὸ δὲ ἀμφοτέροις περιγραπτόν· ἄλλον τρόπον μιμούμενοι, τοὺς δημιουργὸν, καὶ συνεργὸν, καὶ λειτουργὸν ὀνομάζοντας, καὶ τὴν ἐν τοῖς ὀνόμασι τάξιν καὶ χάριν, τῶν πραγμάτων ἀκολουθίαν εἶναι νομίζοντας.

et exploratum habuerunt, ea, ut aiunt, ratione ducti, quod Scriptura neutrum horum plane aperteque demonstrasset. Ac proinde nec ipsum venerantur, nec contemnunt, sed medio quodam modo, vel potius misere perditeque erga eum afficiuntur. Ex his porro qui Deum ipsum credunt, alii animo tenus pii atque orthodoxi sunt; alii labiis quoque ipsis pietatem profiteri non verentur. Alios etiam quosdam sapientiores audivi, qui divinitatem metiuntur, ac tria quidem, perinde ac nos, intelligi confitentur, sed ea ita inter se disjungunt, ut unum eorum et essentia et potestate, infinitum statuant, alterum potestate, non item essentia, postremum utroque circumscriptum. Sic alio quodam modo eos imitantur, qui opificem, et cooperarium, et ministrum nominant, atque ordinem et gratiam, quæ nominibus inest, rerum quoque seriem esse arbitrantur.

Ἡμῖν δὲ πρὸς μὲν τοὺς οὐδὲ εἶναι ὑπειληφό- B τας, οὐδεὶς λόγος, ἢ τοὺς ληροῦντας ἐν Ἕλλησιν. Μηδὲ γὰρ ἁμαρτωλῶν ἐλαίῳ πιανθείημεν εἰς τὸν λόγον. Πρὸς δὲ τοὺς ἄλλους οὕτω διαλεξόμεθα· τὸ Πνεῦμα τὸ ἅγιον, ἢ τῶν καθ' ἑαυτὸ ὑφεστηκότων, πάντως ὑποθετέον, ἢ τῶν ἐν ἑτέρῳ θεωρουμένων· ὧν τὸ μὲν, οὐσίαν καλοῦσιν οἱ περὶ ταῦτα δεινοὶ, τὸ δὲ, συμβεβηκός. Εἰ μὲν οὖν συμβέβηκεν, ἐνέργεια τοῦτο ἂν εἴη Θεοῦ. Τί γὰρ ἕτερον, ἢ τίνος; τοῦτο γάρ πως μᾶλλον, καὶ φεύγει σύνθεσιν. Καὶ εἰ ἐνέργεια, ἐνεργηθήσεται δηλονότι, οὐκ ἐνεργήσει, καὶ ὁμοῦ τῷ ἐνεργηθῆναι, παύσεται. Τοιοῦτον γὰρ ἡ ἐνέργεια. Πῶς οὖν ἐνεργεῖ, καὶ τάδε λέγει, καὶ ἀφορίζει, καὶ λυπεῖται, καὶ παροξύνεται, καὶ ὅσα κινουμένου σαφῶς ἐστιν, οὐ κινήσεως; Εἰ δὲ οὐσία τις, οὐ τῶν περὶ τὴν C οὐσίαν, ἤτοι κτίσμα ὑποληφθήσεται, ἢ Θεός· μέσον γάρ τι τούτων, ἤτοι μηδετέρου μετέχον, ἢ ἐξ ἀμφοῖν σύνθετον, οὐδ' ἂν οἱ τοὺς τραγελάφους πλάττοντες ἐννοήσαιεν. Ἀλλ' εἰ μὲν κτίσμα, πῶς εἰς αὐτὸ πιστεύομεν, ἢ ἐν αὐτῷ τελειούμεθα; οὐ γὰρ ταυτόν ἐστι πιστεύειν εἴς τι, καὶ περὶ αὐτοῦ πιστεύειν. Τὸ μὲν γὰρ ἐστι θεότητος, τὸ δὲ παντὸς πράγματος. Εἰ δὲ Θεὸς, ἀλλ' οὐ κτίσμα, οὐδὲ ποίημα, οὐδὲ σύνδουλον, οὐδ' ὅλως τι τῶν ταπεινῶν ὀνομάτων.

Nos vero, nec cum iis qui ne Spiritum quidem esse censent, nec cum nugatoribus ethnicis verba illa commutabimus. Absit enim ut peccatorum oleo sermonem nostrum impinguemus [1]. Cum cæteris autem ad hunc modum disputabimus: Spiritus sanctus, vel ex eorum numero, quæ per se subsistunt, omnino statuendus est, vel inter ea collocandus, quæ in alio considerantur; quorum alterum substantiam, alterum accidens vocant, qui harum rerum scientiam callent. Ac si quidem accidens, vis utique et facultas quædam Dei fuerit. Quid enim aliud, aut cujus? Hoc profecto magis consentaneum, compositionisque expers. Si vis et facultas, agetur haud dubie, non aget: simulque, ut actus fuerit, desinet. Ejusmodi quippe est actus natura. Qui fit ergo, ut agat ipse, atque hæc et illa dicat, et segreget [2], et contristetur [3], et ad iram incitetur, et quæcunque rei motu agitatæ perspicue sunt, non autem motionis ipsius? Sin autem substantia est, non accidens, vel creatura censebitur, vel Deus. Medium enim aliquid inter hæc, aut quod neutrius particeps sit, aut ex utroque compositum atque conflatum, ne ii quidem, qui tragelaphos confinxerunt, intelligere queant. Si creatura, quomodo in eum credimus, aut in eo perficimur? Neque enim idem est, credere in aliquid, et credere de aliquo. Illud enim divinitati convenit, hoc cuilibet rei. Si autem Deus, certe nec creatura est, nec factura, nec conservus, nec denique ullum aliud humile atque abjectum nomen.

Ἐνταῦθα σὸς ὁ λόγος, αἱ σφενδόναι πεμπέσθωσαν, οἱ συλλογισμοὶ πλεκέσθωσαν. Ἢ ἀγέννητον πάντως, ἢ γεννητόν. Καὶ εἰ μὲν ἀγέννητον, δύο τὰ D ἄναρχα. Εἰ δὲ γεννητὸν, ὑποδιαιρεῖ πάλιν· ἢ ἐκ τοῦ Πατρὸς τοῦτο, ἢ ἐκ τοῦ Υἱοῦ. Καὶ εἰ μὲν ἐκ τοῦ Πατρὸς, Υἱοὶ δύο καὶ ἀδελφοί. Σὺ δέ μοι πλάττε καὶ διδύμους, εἰ βούλει, ἢ τὸν μὲν πρεσβύτερον, τὸν δὲ νεώτερον· ἐπειδὴ λίαν εἶ φιλοσώματος. Εἰ δὲ ἐκ τοῦ Υἱοῦ, πέφηνε, φησὶ, καὶ υἱωνὸς ἡμῖν Θεός· οὗ τί ἂν γένοιτο παραδοξότερον; ταῦτα μὲν οὖν οἱ σοφοὶ τοῦ κακοποιῆσαι, τὰ δὲ ἀγαθὰ γράφειν οὐ θέλοντες. Ἐγὼ δὲ εἰ μὲν ἑώρων ἀναγκαίαν τὴν διαίρεσιν, ἐδεξάμην ἂν τὰ πράγματα, οὐ φοβηθεὶς τὰ ὀνόματα. Οὐ γὰρ, ἐπειδὴ κατά τινα σχέσιν ὑψηλοτέραν Υἱὸς ὁ Υἱὸς, οὐ δυνηθέντων ἡμῶν ἄλλως, ἢ οὕτως ἐνδείξασθαι τὸ ἐκ

Jam lingua tua ad disputandum prosiliat, fundæ jactentur, argumenta nectantur. Aut ingenitus omnino est, inquis, aut genitus. Si ingenitus, ergo duo erunt principii expertes. Si autem genitus, rursus subdividis: aut ex Patre genitus est, aut ex Filio. Si ex Patre, duo igitur sunt Filii ac fratres. Gemellos etiam finge, si lubet, aut alterum natu majorem, alterum minorem; cum ita corporeis rebus immersus es. Si autem ex Filio, jam nobis, inquies, nepos Deus exstitit. Quo quid absurdius fingi possit? Hæc homines ad malefaciendum sapientes [4] et ingeniosi, bona autem scribere recusantes. Ego vero, si divisionem hanc necessariam viderem, res ipsas profecto excepissem, nomina nihil veritus. Non enim, quia secundum excelsio-

[1] Psal. CXL, 5. [2] Act. XIII, 2. [3] Ephes. IV, 30. [4] Jerem. IV, 22.

rem quamdam relationem Filius est Filius (quod A videlicet aliter, quam hoc modo, indicare nequeamus id quod ex Deo est, essentiaque idem cum ipso), idcirco terrena quoque omnia cognationisque nostræ nomina ad Deum necessario transferenda esse putandum est. Alioqui, quid impedit, quominus eadem ratione masculum, Deum nostrum existimes, quoniam Deus et Pater nominatur? Ac fœmineum quiddam, Deitatem, quantum quidem ex vocis genere æstimari potest? Et denique Spiritum, neutrum, quoniam nihil gignit? Quod si juxta veteres fabulas et nugas hoc quoque modo luseris, ut dicas, Deum cum voluntate sua congressum Filium genuisse, Marcionis quidem ac Valentini, qui novos æonas commentus est, hermaphroditum quemdam Deum induxeris.

τοῦ Θεοῦ καὶ ὁμοούσιον, ἤδη καὶ πάσας οἰκείων ἀναγκαῖον εἶναι τὰς κάτω κλήσεις, καὶ τῆς ἡμετέρας συγγενείας, μεταφέρειν ἐπὶ τὸ θεῖον. Ἢ τάχα ἂν σύ γε καὶ ἄῤῥενα τὸν Θεὸν ἡμῖν ὑπολάβοις, κατὰ τὸν λόγον τοῦτον, ὅτι Θεὸς ὀνομάζεται, καὶ Πατήρ; καὶ θῆλύ τι τὴν θεότητα, ὅσον ἐπὶ ταῖς κλήσεσι, καὶ τὸ Πνεῦμα οὐδέτερον, ὅτι μὴ γεννητικόν; εἰ δέ σοι καὶ τοῦτο παιχθείη, τῇ ἑαυτοῦ θελήσει τὸν Θεὸν συγγενόμενον, κατὰ τοὺς παλαιοὺς λήρους καὶ μύθους, γεννήσασθαι τὸν Υἱὸν, εἰσήχθη τις ἡμῖν καὶ Μαρκίωνος, καὶ Βαλεντίνου Θεὸς ἀῤῥενόθηλυς, τοῦ τοὺς καινοὺς αἰῶνας ἀνατυπώσαντος.

Quoniam porro divisionem tuam primam, B qua inter ingenitum et genitum nihil medium esse arbitraris, haudquaquam admittimus, protinus tibi cum præclara tua divisione fratres illi et nepotes peribunt, ut qui, primo illo disputationis tuæ capite, quasi multiplicis cujusdam nexus initio primo soluto, simul quoque soluti ac dilapsi sint, atque a divinitatis doctrina sese subduxerint. Ubi enim, quæso, pones id, quod procedit, quod quidem inter duas divisionis tuæ partes interjectum esse constat, atque a theologo, multo te præstantiori, nimirum a Salvatore nostro, introducitur? Nisi forte, propter tertium tuum Testamentum, vocem illam ex Evangeliis sustuleris, *Spiritus sanctus, qui a Patre procedit* [1]; qui, quatenus ab illo procedit, creatura non est: quatenus rursus genitus non est, C Filius non est: quatenus autem inter ingenitum et genitum medius est, Deus est. Atque ita vitatis syllogismorum tuorum laqueis, Deus manifeste apparuit, divisionibus tuis firmior et valentior. Quæ ergo est hæc processio? inquies. Dic tu quæ Patris ingenitura sit, et ego Filii generationem, et Spiritus processionem explicare aggrediar, quo fiet ut ambo deliremus, in Dei mysteria oculos injicientes: idque qui tandem? Nempe qui ne ea quidem, quæ ante pedes sunt, scire, nec arenam maris, aut pluviæ guttas, et dies sæculi enumerare possumus, nedum in Dei profunda penetrare, naturæque adeo arcanæ, atque omnem rationis facultatem usque adeo superantis rationes reddere.

Ἐπεὶ δέ σου τὴν πρώτην διαίρεσιν οὐ δεχόμεθα, τὴν μηδὲν ἀγεννήτου καὶ γεννητοῦ μέσον ὑπολαμβάνουσαν, αὐτίκα οἰχήσονταί σοι μετὰ τῆς σεμνῆς διαιρέσεως οἱ ἀδελφοὶ καὶ οἱ υἱωνοὶ, ὥσπερ τινὸς δεσμοῦ πολυπλόκου τῆς πρώτης ἀρχῆς διαλυθείσης, συνδιαλυθέντες, καὶ τῆς θεολογίας ὑποχωρήσαντες. Ποῦ γὰρ θήσεις τὸ ἐκπορευτὸν, εἰπέ μοι, μέσον ἀναφανὲν τῆς σῆς διαιρέσεως, καὶ παρὰ κρείσσονος ἢ κατὰ σὲ θεολόγου, τοῦ Σωτῆρος ἡμῶν, εἰσαγόμενον; Εἰ μὴ τὴν φωνὴν ἐκείνην τῶν σῶν ἐξεῖλες Εὐαγγελίων, διὰ τὴν τρίτην σου Διαθήκην, *τὸ Πνεῦμα τὸ ἅγιον, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται*· ὃ καθ' ὅσον μὲν ἐκεῖθεν ἐκπορεύεται, οὐ κτίσμα· καθ' ὅσον δὲ οὐ γεννητὸν, οὐχ Υἱός· καθ' ὅσον δὲ ἀγεννήτου καὶ γεννητοῦ μέσον, Θεός. Καὶ οὕτω σου τὰς τῶν συλλογισμῶν ἄρκυς διαφυγὼν, Θεὸς ἀναπέφηνε, τῶν σῶν διαιρέσεων ἰσχυρότερος. Τίς οὖν ἡ ἐκπόρευσις; Εἰπὲ σὺ τὴν ἀγεννησίαν τοῦ Πατρὸς, κἀγὼ τὴν γέννησιν τοῦ Υἱοῦ φυσιολογήσω, καὶ τὴν ἐκπόρευσιν τοῦ Πνεύματος, καὶ παραπληκτίσομεν ἄμφω εἰς Θεοῦ μυστήρια παρακύπτοντες· καὶ ταῦτα τίνες; Οἱ μηδὲ τὰ ἐν ποσὶν εἰδέναι δυνάμενοι, μηδὲ ψάμμον θαλασσῶν, καὶ σταγόνας ὑετοῦ, καὶ ἡμέρας αἰῶνος ἐξαριθμεῖσθαι, μή ὅτι γε Θεοῦ βάθεσιν ἐμβατεύειν, καὶ λόγον ὑπέχειν τῆς οὕτως ἀῤῥήτου καὶ ὑπὲρ λόγον φύσεως.

Ex eadem oratione.

Quid ergo est, inquiunt, quod Spiritui deest, ad D hoc ut sit Filius? Nisi enim aliquid deesset, Filius esset. Deesse nihil dicimus. Non enim Deo quidquam deest. Verum manifestationis, ut ita dicam, mutuæque eorum relationis differentia, diversa quoque ipsis nomina procreavit. Neque enim Filio aliquid deest, ad hoc ut sit Pater (nec enim defectus est filiatio), nec propterea tamen Pater est. Alioqui eadem ratione Patri aliquid deerit, ad hoc ut sit Filius. Nec enim Pater Filius est. Sed hæc defectum procul dubio undequaque non arguunt, nec essentiæ submissionem: quin potius ex his verbis: *Quod genitus non sit*, et *quod genitus*, et *quod procedat*, hoc

Ἐκ τοῦ αὐτοῦ λόγου.

Τί οὖν ἐστι, φησὶν, ὃ λείπει τῷ Πνεύματι, πρὸς τὸ εἶναι Υἱόν; Εἰ γὰρ μὴ λεῖπόν τι ἦν, Υἱὸς ἂν ἦν. Οὐ λείπειν φαμέν· οὐδὲ γὰρ ἐλλειπὴς Θεός· τὸ δὲ τῆς ἐκφάνσεως, ἵν' οὕτως εἴπω, ἢ τῆς πρὸς ἄλληλα σχέσεως διάφορον, διάφορον αὐτῶν καὶ τὴν κλῆσιν πεποίηκεν. Οὐδὲ γὰρ τῷ Υἱῷ λείπει τι πρὸς τὸ εἶναι Πατέρα (οὐδὲ γὰρ ἔλλειψις ἡ υἱότης), ἀλλ' οὐ παρὰ τοῦτο Πατήρ. Ἢ οὕτω γε καὶ τῷ Πατρὶ λείπει τι πρὸς τὸ εἶναι Υἱόν· οὐ γὰρ Υἱὸς ὁ Πατήρ. Ἀλλ' οὐκ ἐλλείψεως ταῦτά ποθεν, οὐδὲ τῆς κατὰ τὴν οὐσίαν ὑφέσεως· αὐτὸ δὲ τὸ, *Μὴ γεγεννῆσθαι*, καὶ τὸ *γεγεννῆσθαι*, καὶ τὸ *ἐκπορεύεσθαι*, τὸν μὲν Πατέρα, τὸν δὲ Υἱὸν, τὸ

[1] Joan. xv, 26.

δὲ, τοῦθ' ὅπερ λέγεται, Πνεῦμα ἅγιον προσ- A ηγόρευσεν, ἵνα τὸ ἀσύγχυτον σώζηται τῶν τριῶν ὑποστάσεων ἐν τῇ μιᾷ φύσει τε καὶ ἀξίᾳ τῆς θεότητος. Οὔτε γὰρ ὁ Υἱὸς Πατὴρ (εἷς γὰρ Πατὴρ), ἀλλ' ὅπερ ὁ Πατήρ· οὔτε τὸ Πνεῦμα Υἱὸς, ὅτι ἐκ τοῦ Θεοῦ (εἷς γὰρ ὁ Μονογενής), ἀλλ' ὅπερ ὁ Υἱός· ἓν τὰ τρία τῇ θεότητι, καὶ τὸ ἓν τρία ταῖς ἰδιότησιν· ἵνα μήτε τὸ ἓν Σαβέλλιον ᾖ, μήτε τὰ τρία τῆς πονηρᾶς νῦν διαιρέσεως.

effectum est, ut alius Pater, alius Filius, alius Spiritus sanctus appelletur, atque ita inconfusa trium personarum distinctio in una divinitatis natura et dignitate conservetur. Neque enim Filius est Pater (unus enim est Pater), sed est id quod Pater: nec Spiritus est Filius, quia ex Deo est (unus enim Unigenitus), sed est id quod Filius: tria hæc unum, si divinitatem species, et unum tria, si proprietatum rationem habeas; ut nec unum Sabellio faveat, nec tria pestiferæ divisioni, quæ hac tempestate viget.

Τί οὖν; Θεὸς τὸ Πνεῦμα; Πάνυ γε. Τί οὖν, ὁμοούσιον; Εἴπερ Θεός. Δὸς οὖν μοι, φησὶν, ἐκ τοῦ αὐτοῦ, τὸ μὲν Υἱὸν, τὸ δὲ οὐχ Υἱὸν, εἶτα ὁμοούσια, καὶ δέχομαι Θεὸν, καὶ Θεόν. Δός μοι καὶ σὺ ἄλλον Θεὸν, καὶ φύσιν Θεοῦ, καὶ δώσω σοι τὴν B αὐτὴν Τριάδα μετὰ τῶν αὐτῶν ὀνομάτων τε καὶ πραγμάτων. Εἰ δὲ εἷς ὁ Θεός τε καὶ μία φύσις ἡ ἀνωτάτω, πόθεν παραστήσω σοι τὴν ὁμοίωσιν; Ἢ ζητεῖς πάλιν ἐκ τῶν κάτω καὶ τῶν περὶ σέ; Λίαν μὲν αἰσχρὸν, καὶ οὐκ αἰσχρὸν μόνον, ἀλλὰ καὶ μάταιον ἐπιεικῶς, ἐκ τῶν κάτω τῶν ἄνω τὴν εἰκασίαν λαμβάνειν, καὶ τῶν ἀκινήτων ἐκ τῆς ῥευστῆς φύσεως, καὶ, ὅ φησιν Ἡσαΐας, ἐκζητεῖσθαι τὰ ζῶντα ἐν τοῖς νεκροῖς. Ὅμως δὲ πειράσομαι, σὴν χάριν, κἀντεῦθεν δοῦναί τινα τῷ λόγῳ βοήθειαν. Τὰ μὲν οὖν ἄλλα παρήσειν μοι δοκῶ, πολλὰ ἂν ἔχων ἐκ τῆς περὶ ζώων ἱστορίας εἰπεῖν, τὰ μὲν ἡμῖν γνώριμα, τὰ δὲ τοῖς ὀλίγοις· ὅσα περὶ τὰς τῶν ζώων γενέσεις ἡ φύσις ἐφιλοτεχνήσατο. Γεννᾶσθαι γὰρ λέγεται, οὐκ ἐκ τῶν αὐτῶν τὰ αὐτὰ C μόνον, οὐδὲ ἐξ ἑτέρων ἕτερα, ἀλλὰ καὶ ἐξ ἑτέρων τὰ αὐτὰ, καὶ ἐκ τῶν αὐτῶν ἕτερα. Εἰ δέ τῳ πιστὸς ὁ λόγος, καὶ ἄλλος ἐστὶ τρόπος γεννήσεως, αὐτό τι ὑφ' ἑαυτοῦ δαπανώμενον καὶ τικτόμενον. Ἔστι δὲ ἃ καὶ ἐξίσταταί πως ἑαυτῶν, ἐξ ἄλλων ζώων εἰς ἄλλα μεθιστάμενά τε καὶ μεταποιούμενα, φιλοτιμίᾳ φύσεως. Ἤδη δὲ καὶ τοῦ αὐτοῦ, τὸ μὲν οὐ γέννημα, τὸ δὲ γέννημα, πλὴν ὁμοούσια· ὃ καὶ τῷ παρόντι πως μᾶλλον προσέοικεν. Ἓν δέ τι τῶν ἡμετέρων εἰπὼν, ὃ καὶ πᾶσι γνώριμον, ἐφ' ἕτερον μεταβήσομαι λόγον.

Quid ergo? Spiritus sanctus est Deus? Maxime. Consubstantialis igitur? Prorsus, siquidem Deus. Da igitur mihi, inquis, ex eodem aliud esse Filium, aliud, quod Filius non sit, et tamen ejusdem cum illo substantiæ, ac Deum, et Deum admittam. Da tu quoque mihi Deum alium, Deique naturam, et tibi eamdem Trinitatem cum iisdem nominibus ac rebus dabo. Cum vero Deus unus, atque una suprema natura sit, unde tandem similitudinem tibi repræsentabo? An rursus postulas ex terrenis et humanis eam duci? Valde profecto turpe est, nec turpe modo, sed etiam valde stultum et inane, ex humilibus rebus, superarum cœlestiumque simulacrum sumere, rerumque certarum atque constantium ex fluxa fragilique natura, quodque Isaias ait viventia in mortuis requirere [1]. Et tamen adnitar, quando ita vis, hinc quoque nonnullam orationi nostræ opem afferre. Atque alia quidem prætermittenda duco, etsi multa de animalium historia commemorare queam, partim nobis nota, partim paucis cognita, quæ circa animantium ortus ac generationes natura miro artificio edidit. Gigni etenim dicuntur, non modo ex iisdem eadem, atque ex diversis diversa; sed etiam eadem ex diversis, ac diversa ex iisdem. Quod si etiam cuiquam fidem facit hic sermo, alius est generationis modus, ut idem animal a seipso consumatur et procreetur. Sunt etiam quæ, velut quadam naturæ magnificentia, a seipsis quodammodo desciscant, atque ex aliis animalibus in alia transeant atque immutentur. Quinetiam idem animal, partim non genitum, partim genitum, et tamen ejusdem substantiæ reperire est: quod quidem ad præsentis quæstionis similitudinem propius accedit. Unum quiddam ex nostris ubi commemoravero, quod etiam nemini ignotum est, alio postea transibit oratio.

Ὁ Ἀδὰμ τί ποτε ἦν; Πλάσμα Θεοῦ. Τί δαὶ D ἡ Εὔα; Τμῆμα τοῦ πλάσματος. Τί δαὶ ὁ Σήθ; Ἀμφοτέρων γέννημα. Ἆρ' οὖν ταυτόν σοι φαίνεται πλάσμα, καὶ τμῆμα, καὶ γέννημα; Πῶς οὔ; Ὁμοούσια δὲ ταῦτα, ἢ τί; Πῶς δ' οὔ; Ὡμολόγηται οὖν καὶ τὰ διαφόρως ὑποστάντα τῆς αὐτῆς εἶναι οὐσίας ἐνδέχεσθαι. Λέγω δὲ ταῦτα, οὐχ ἐπὶ τὴν θεότητα φέρων τὴν πλάσιν, ἢ τὴν τομὴν, ἤ τι τῶν ὅσα σώματος (μή μοί τις ἐπιφυέσθω πάλιν τῶν λογομάχων), ἐπεὶ δὲ τούτων θεωρῶν, ὡς ἐπὶ σκηνῆς, τὰ νοούμενα. Οὐδὲ γὰρ οἷόν τε τῶν εἰκαζομένων οὐδὲν πρὸς πᾶσαν ἐξικνεῖσθαι καθαρῶς τὴν ἀλήθειαν. Καὶ

Quid tandem Adamus erat? Dei figmentum. Quid Eva? Figmenti segmentum. Quid Seth? Utriusque soboles. Idemne porro tibi esse videntur, figmentum, segmentum, et soboles? Quidni? Age, ejusdemne hæc essentiæ inter se sunt, an diversæ? Ejusdem. In confesso igitur est, ut, quæ varie exsistunt, eamdem tamen essentiam habeant. Nec vero hæc eo a me dicuntur, quod fictionem, aut sectionem, aut aliquid aliud ex his, quæ corporis natura fert, in divinitatem conferam (nec enim mihi rursus pugnax quispiam argutator insidiose immineat), sed ut in his rebus ea, velut in scena, spe-

[1] Isa. VIII, 19.

ctem, quæ non nisi intellectu percipiuntur. Neque enim fieri potest, ut imago ulla et similitudo, rei veritatem plane perfecteque assequatur. Sed dicunt, quorsum hæc? Nec enim unius ejusdemque, alter Filius, alter aliud quidquam. Quid igitur? Eva et Seth, nonne ex eodem Adamo sunt? Ex quo enim alio? Utrum autem ambo ex eo geniti sunt? Minime. Quid ergo? Altera segmentum est, alter filius: atqui ambo inter se idem sunt: homines enim: nemo est qui inficietur. Desinesne igitur adversus Spiritum dimicare, quasi videlicet aut genitus omnino sit, aut consubstantialis non sit, nec Deus, præsertim cum ex humana quoque similitudine sententiam nostram haudquaquam impossibilem esse intellexeris?

[A] τί ταῦτα, φασίν; Οὐ γὰρ τοῦ ἑνὸς, τὸ μὲν γέννημα, τὸ δὲ ἄλλο τι. Τί οὖν; Ἡ Εὔα καὶ ὁ Σὴθ, οὐχὶ τοῦ αὐτοῦ τοῦ Ἀδάμ; Τίνος γὰρ ἄλλου; Ἦ καὶ ἀμφότεροι γεννήματα; Οὐδαμῶς. Ἀλλὰ τί; Τὸ μὲν τμῆμα, τὸ δὲ γέννημα· καὶ μὴν ἀμφότεροι ταυτὸν ἀλλήλοις· ἄνθρωποι γάρ· οὐδεὶς ἀντερεῖ. Παύσῃ οὖν ἀπομαχόμενος πρὸς τὸ Πνεῦμα, ὡς ἢ γέννημα πάντως, ἢ μὴ ὁμοούσιον, μηδὲ Θεὸν, καὶ ἐκ τῶν ἀνθρωπίνων τὸ δυνατὸν λαβὼν τῆς ἡμετέρας ὑπολήψεως;

Ex eadem oratione.

Sed quis, inquies, Spiritum adoravit? Quis, vel veterum, vel recentium? Quis eum oravit? Quo Scripturæ loco eum adorandum aut orandum esse proditum est? Unde hoc hausisti? Nos hujus rei pleniorem causam postea reddemus, cum de non scriptis dogmatibus disseremus. Nunc vero hoc dicere sufficiet. Spiritus est, in quo adoramus, et per quem oramus. *Spiritus enim*, inquit, *est Deus: atque eos, qui ipsum adorant, in Spiritu et veritate oportet adorare* [1]. Ac rursus, *Quid enim oremus, quemadmodum oportet, nescimus. Sed Spiritus ipse interpellat pro nobis gemitibus inenarrabilibus* [2]. Et alio loco: *Orabo Spiritu, orabo et mente* [3], id est, in mente et Spiritu. Ergo Spiritu adorare, vel orare, mihi nihil aliud esse videtur, quam ipsum sibiipsi orationem vel adorationem offerre. Eamque sententiam quis est qui non comprobaturus sit, de magnis ac divinis viris loquor, quique probe norunt, unius adorationem trium adorationem esse, propter æqualem trium personarum dignitatem ac divinitatem? Sed ne illud quidem extimescam, quod omnia per Filium facta esse dicuntur [4], tanquam in rerum universitatem Spiritus quoque sanctus aggregandus sit. Omnia enim, quæcunque facta sunt, dicit dicit evangelista [5], non omnia simpliciter. Nam ne ipse quidem Pater, nec omnia ea, quæ facta non sunt. Proba ergo Spiritum factum ac procreatum esse, ac tum Filio eum da, et in creaturarum numero colloca. Quandiu autem id probare atque ostendere nequiveris, nihil tibi ad impietatem adjumenti complexio illa allatura est. Si enim factus est, per Christum utique: ne ipse quidem inficias iveró. Si autem factus non est, quomodo, aut rerum universarum numero includetur, aut per Christum factus erit? Proinde desine, at Patrem, in Filii contumeliam male honorare (malus enim honor est, Patrem Filio privare, utcunque eum præstantiorem creaturam esse concesseris), et Filium in Spiritus sancti ignominiam. Non enim conservi opifex est, sed cum eo, qui pari dignitate est, glorificatur. Nihil Trinitati ex teipso tribue, ne a Trinitate excidas. Nullo modo unam illam naturam ac peræque vene-

[B] *Ἐκ τοῦ αὐτοῦ λόγου.*

Ἀλλά τίς προσεκύνησε τῷ Πνεύματι, φησίν; τίς ἢ τῶν παλαιῶν, ἢ τῶν νέων; τίς δὲ προσηύξατο; ποῦ δαὶ τὸ χρῆναι προσκυνεῖν ἢ προσεύχεσθαι γέγραπται; καὶ πόθεν τοῦτο λαβὼν ἔχεις; Τὴν μὲν τελεωτέραν αἰτίαν ἀποδώσομεν ὕστερον, ἡνίκα ἂν περὶ τοῦ ἀγράφου διαλεγώμεθα· νῦν δὲ τοσοῦτον εἰπεῖν ἐξαρκέσει· Τὸ Πνεῦμά ἐστιν ἐν ᾧ προσκυνοῦμεν, καὶ δι' οὗ προσευχόμεθα. *Πνεῦμα γὰρ*, φησὶν, *ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν Πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν*· καὶ πάλιν· *Τὸ γὰρ τί προσευξόμεθα, καθ' ὃ δεῖ, οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις*· [C] καὶ, *Προσεύξομαι τῷ Πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ*· τοῦτ' ἔστιν, ἐν νοῒ καὶ Πνεύματι. Τὸ οὖν προσκυνεῖν τῷ Πνεύματι, ἢ προσεύχεσθαι, οὐδὲν ἄλλο εἶναί μοι φαίνεται, ἢ αὐτὸ ἑαυτῷ τὴν εὐχὴν προσάγειν καὶ τὴν προσκύνησιν. Ὃ τίς οὐκ ἂν ἐπαινέσειε τῶν ἐνθέων, καὶ τῶν εὖ εἰδότων, ὅτι καὶ ἡ τοῦ ἑνὸς προσκύνησις, τῶν τριῶν ἐστι προσκύνησις, διὰ τὸ ἐν τοῖς τρισὶν ὁμότιμον τῆς ἀξίας, καὶ τῆς θεότητος; Καὶ μὴν οὐδὲ ἐκεῖνο φοβηθήσομαι, τὸ πάντα διὰ τοῦ Υἱοῦ γεγονέναι λέγεσθαι, ὡς ἑνὸς τῶν πάντων ὄντος καὶ τοῦ ἁγίου Πνεύματος. Πάντα γὰρ ὅσα γέγονεν, εἴρηται, οὐχ ἁπλῶς ἅπαντα· οὐδὲ γὰρ ὁ Πατὴρ, οὐδ' ὅσα μὴ γέγονεν. Δεῖξον οὖν, ὅτι γέγονε, καὶ τότε τῷ Υἱῷ δὸς, καὶ τοῖς κτίσμασι [D] συναρίθμησον. Ἕως δ' ἂν μὴ τοῦτο δεικνύῃς, οὐδὲν τῷ περιληπτικῷ βοηθῇ πρὸς ἀσέβειαν. Εἰ μὲν γὰρ γέγονε, διὰ Χριστοῦ πάντως· οὐδὲ αὐτὸς ἀρνήσωμαι. Εἰ δὲ οὐ γέγονε, πῶς ἢ τῶν πάντων ἕν, ἢ διὰ Χριστοῦ; Παῦσαι οὖν καὶ τὸν Πατέρα κακῶς τιμῶν κατὰ τοῦ Μονογενοῦς (κακὴ δὲ τιμὴ κτίσμα διδόντα τὸ τιμιώτερον ἀποστερεῖν Υἱὸν), καὶ τὸν Υἱὸν κατὰ τοῦ Πνεύματος. Οὐ γὰρ ὁμοδούλου δημιουργὸς, ἀλλ' ὁμοτίμῳ συνδοξαζόμενος. Μηδὲν μετὰ σεαυτοῦ θῇς τῆς Τριάδος, μὴ τῆς Τριάδος ἐκπέσῃς. Μηδενὶ περικόψῃς τὴν μίαν ὁμοίως σεβάσμιον. Ὡς ὅτι ἂν τῶν τριῶν καθέλῃς, τὸ πᾶν ἔσῃ καθῃρηκὼς, μᾶλλον δὲ τοῦ παντὸς ἐκπεπτωκώς. Βέλτιον μικρὰν τῆς ἑνώσεως φαντασίαν λαβεῖν, ἢ παντελῆ τολμῆσαι δυσσέβειαν.

[1] Joan. IV, 24. [2] Rom VIII, 26. [3] I Cor. XIV, 15. [4] Joan. I, 3. [5] ibid.

randam trunca. Alioqui si quid ex tribus everteris, totum everteris, imo a toto excideris. Præstat exiguum quoddam unionis illius simulacrum capere, quam profligata quadam audacia in omnem impietatem prorumpere.

A Ἥκει δὲ ἡμῖν ὁ λόγος ἐπ' αὐτὸ τὸ κεφάλαιον· καὶ στένω μὲν, ὅτι πάλαι τεθνηκὸς ζήτημα, καὶ τῇ πίστει παραχωρῆσαν, νῦν ἀνακαινίζεται· στῆναι δὲ ὅμως ἀναγκαῖον πρὸς τοὺς λογολέσχας, καὶ μὴ ἐρήμην ἁλῶναι, Λόγον ἔχοντας, καὶ συνηγοροῦντας Πνεύματι. Εἰ Θεὸς, φασὶ, καὶ Θεὸς, καὶ Θεὸς, πῶς οὐχὶ τρεῖς θεοί; ἢ πῶς οὐ πολυαρχία τὸ δοξαζόμενον; Ταῦτα τίνες; Οἱ τελεώτεροι τὴν ἀσέβειαν, ἢ καὶ οἱ τῆς δευτέρας μερίδος, λέγω δὲ τοὺς περὶ τὸν Υἱὸν πως εὐγνώμονας. Ὁ μὲν γὰρ κοινός μοι πρὸς ἀμφοτέρους λόγος, ὁ δὲ πρὸς τούτους ἴδιος. Ὁ μὲν οὖν πρὸς τούτους, τοιοῦτος. Τί φατε τοῖς τριθεΐταις ἡμῖν, οἱ τὸν Υἱὸν σέβοντες, εἰ καὶ τοῦ Πνεύματος ἀφεστήκατε; Ὑμεῖς δὲ οὐ διθεῖται; Εἰ μὲν γὰρ ἀρνεῖσθε καὶ τοῦ Μονογενοῦς τὴν προσκύνησιν, σαφῶς τέταχθε μετὰ τῶν B ἐναντίων· καὶ τί φιλανθρωπευόμεθα πρὸς ὑμᾶς, ὡς οὐ πάντῃ νενεκρωμένους; Εἰ δὲ σέβεσθε, καὶ μέχρι τούτου διάκεισθε σωτηρίως, ὑμᾶς ἐρωτήσομεν· Τίς ὁ λόγος τῆς διθεΐας ὑμῖν, ἂν τοῦτο ἐγκαλῆσθε; Εἰ ἔστι λόγος συνέσεως, ἀποκρίθητε, δότε καὶ ἡμῖν ὁδὸν ἀποκρίσεως. Οἷς γὰρ ἂν ὑμεῖς τὴν διθεΐαν ἀποκρούσησθε λόγοις, οὗτοι καὶ ἡμῖν κατὰ τῆς τριθεΐας ἀρκέσουσιν· καὶ οὕτω νικῶμεν, ὑμῖν τοῖς κατηγόροις, συνηγόροις χρώμενοι· οὗ τί γενναιότερον;

Venit jam ad præcipuum disputationis caput oratio; ac quæstionem quidem, quæ jampridem oppressa est et exstincta, atque fidei cessit, hoc tempore renovari doleo et ingemisco: adversus rabulas tamen stare necesse est, ac providere, ne velut deserta causa vincamur, qui Verbum habemus, Spiritusque patrocinium suscipimus. Si Deus, inquiunt, et Deus, et Deus, quid causæ esse potest, quin tres sint dii, aut quin plurium deorum principatum colamus? Quinam hæc? Hi nempe, qui perfectiores in impietate sunt, aut etiam qui secundas partes tenent, hoc est, qui de Filio rectius sentiunt. Sermo enim mihi, partim adversus ambos communis est, partim adversus hos proprius et peculiaris. Ac cum his quidem ad hunc modum agemus. Quid trideitis nobis dicitis, qui Filium colitis, etsi a Spiritu descivistis? Vos autem non bideitæ? Nam si Unigeniti quoque cultum et adorationem abjuratis, haud dubie ab adversariorum partibus statis: ac proinde quid est, quamobrem lenius humaniusque vobiscum agamus, tanquam non omnino mortuis et exstinctis? Si autem colitis, atque hactenus saltem salubriter affecti estis, ex vobis quæremus, qua ratione a bideitatis crimine vosmet vindicare queatis, si quis eam vobis objiciat? Si est vobis sermo prudentiæ, respondete, nobisque etiam respondendi ansam præbete. Illæ enim rationes, quibus bideitatis crimen propulsabitis, eædem quoque nobis ad trideitatis crimen propellendum sufficient. Atque ita causam obtinebimus, vos, qui accusatores estis, patronos habituri. Quo quid fortius et generosius?

Ὁ δὲ κοινὸς ἡμῖν πρὸς ἀμφοτέρους τίς ἀγών τε καὶ λόγος; Ἡμῖν εἷς Θεὸς, ὅτι μία θεότης· καὶ πρὸς ἓν τὰ ἐξ αὐτοῦ τὴν ἀναφορὰν ἔχει, κἂν τρία πιστεύηται. Οὐ γὰρ, τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον Θεός· οὐδὲ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον· οὐδὲ βουλήσει τέμνεται, οὐδὲ δυνάμει μερίζεται, οὐδέ τι τῶν ὅσα τοῖς μεριστοῖς ὑπάρχει, κἀνταῦθα λαβεῖν ἔστιν· ἀλλ' ἀμέριστος ἐν μεμερισμένοις, εἰ δεῖ συντόμως εἰπεῖν, ἡ θεότης· καὶ οἷον ἐν ἡλίοις τρισὶν ἐχομένοις ἀλλήλων, μία τοῦ φωτὸς σύγκρασις. Ὅταν μὲν οὖν πρὸς τὴν θεότητα βλέψωμεν, καὶ τὴν πρώτην αἰτίαν, καὶ τὴν μοναρχίαν, ἓν ἡμῖν τὸ φανταζόμενον· ὅταν δὲ πρὸς τὰ ἐν οἷς ἡ θεότης, καὶ τὰ ἐκ τῆς πρώτης αἰτίας ἀχρόνως ἐκεῖθεν ὄντα καὶ ὁμοδόξως, τρία τὰ προσκυνούμενα.

C At vero quodnam nobis est cum utrisque certamen, et quænam oratio? Nobis Deus unus est, A quoniam una deitas; atque ad unum, ea quæ ex eo sunt, referuntur, etiamsi tres personas credamus. Neque enim hoc magis, illud minus est Deus, nec hoc prius, illud posterius. Nec voluntate scinduntur, nec potentia dividuntur, nec denique quidquam eorum, quæ dividuis rebus contingunt, hic quoque reperitur. Sed individua in dividuis, ut uno verbo dicam, est divinitas, ac velut in tribus solibus inter se cohærentibus una lucis commistio et temperatio. Cum ergo ad divinitatem, primamque illam causam, uniusque principatum et imperium respexerimus, unum est quod mentis nostræ oculis obversatur. Cum rursus ad D ea, in quibus est divinitas, et quæ ex prima illa causa, citra ullam temporis intercapedinem, ac pari gloria sunt, tria sunt quæ adorantur.

Τί δαί; οὐχὶ καὶ παρ' Ἕλλησι, φαῖεν ἄν, μία θεότης, ὡς οἱ τὰ τελεώτερα παρ' ἐκείνοις φιλοσοφοῦντες, καὶ παρ' ἡμῖν ἀνθρωπότης μία, τὸ γένος ἅπαν; Ἀλλ' ὅμως θεοὶ πολλοὶ, καὶ οὐχ εἷς, ὡς δὴ καὶ ἄνθρωποι; Ἀλλ' ἐκεῖ μὲν ἡ κοινότης τὸ ἓν ἔχει μόνον ἐπινοίᾳ θεωρητόν· τὰ δὲ καθ' ἕκαστον πλεῖστον ἀλλήλων, καὶ τῷ χρόνῳ, καὶ τοῖς πάθεσι, καὶ τῇ δυνάμει μεμερισμένα. Ἡμεῖς τε γὰρ οὐ σύνθετοι μόνον, ἀλλὰ καὶ ἀντίθετοι, καὶ ἀλλήλοις, καὶ ἡμῖν αὐτοῖς, οὐδὲ ἐπὶ μιᾶς ἡμέρας οἱ αὐτοὶ καθαρῶς

Quid autem, dixerint fortasse, nonne apud ethnicos quoque deitas una est, ut docent qui plenius apud illos perfectiusque philosophantur, atque apud nos genus universum, humanitas una? Et tamen plures sunt dii, et non unus, sicut etiam multi homines? At illic communitas unitatem habet, quæ cogitatione sola considerari possit: singularia autem, et tempore, et affectionibus, atque adeo potentia et facultate plurimum inter se divisa sunt. Nam nos, non solum compositi sumus, sed

etiam, tum inter nos mutuo, tum nobis etiam ipsis oppositi; ut qui ne unius quidem diei spatio, nedum totum vitæ curriculo, plane iidem maneamus, verum et corporibus, et animis, perpetuo diffluamus et immutemur. Atque haud scio, num idem quoque in angelis locum habeat, ac in omni illa cœlesti natura, et Trinitati proxima; tametsi alioqui simplici quadam natura præditi sint, atque ob vicinitatem eam, quam ad summum bonum habent, in bonum firmius defixi.

A μένοντες, μὴ ὅτι τὸν ἅπαντα βίον· ἀλλὰ καὶ σώματι καὶ ψυχαῖς ἀεὶ ῥέοντές τε καὶ μεταπίπτοντες. Οὐκ οἶδα δὲ, εἰ μὴ καὶ ἄγγελοι, καὶ πᾶσα φύσις ἡ ἄνω, καὶ μετὰ τὴν Τριάδα, κἂν ἁπλοῖ τινες ὦσι, καὶ πρὸς τὸ καλὸν παγιώτεροι, τῇ πρὸς τὸ ἄκρον καλὸν ἐγγύτητι.

Jam deos illos, quos ethnici colunt, ac dæmones, ut ipsimet vocant, nihil a nobis accusari necesse est, cum a suismet theologis convincantur, quam fœdis affectibus obnoxii, quam turbulenti sint, quot malis scateant, quot mutationes subeant, atque non mutuo solum inter se, sed etiam primis illis causis adversentur, quos Oceanos, et Tethidas, et Phanetas, et nescio quo alio nomine appellant; ac postremo Deum quemdam ob principatus amorem liberis suis infestum, atque alios omnes præ inexplebili cupiditate devorantem, ut et hominum omnium Pater sit, et deorum, quos misere comederit, et evomuerit. Quod si hæc ipsi, ut sermonis turpitudinem fugiant, fabulosa, atque allegorico sensu interpretanda esse contenderint, quid tandem ad illud dicent, *trifariam omnia divisa esse* [1], aliumque alii cuipiam orbis parti præesse, atque et materiis et dignitatibus distinctos esse? At nostræ doctrinæ non eadem est ratio; nec pars hæc Jacob, ut inquit meus theologus [2]. Sed horum quodlibet unitatem habet, non minus ejus, cum quo conjungitur, quam suiipsius respectu, propter essentiæ et potentiæ identitatem. Atque hæc unionis hujus ratio est, quantum quidem ipsi percipimus. Ac si quidem firma est hæc ratio, Deo ob hujus contemplationis gratiam; sin minus, firmiorem quæramus.

Οἵ τε παρ' Ἑλλήνων σεβόμενοι θεοί τε καὶ δαίμονες, ὡς αὐτοὶ λέγουσιν, οὐδὲν ἡμῶν δέονται κατηγόρων, ἀλλὰ τοῖς σφῶν αὐτῶν ἁλίσκονται θεολόγοις ὡς μὲν ἐμπαθεῖς, ὡς δὲ στασιώδεις, ὅσων δὲ κακῶν γέμοντες, καὶ μεταβολῶν· καὶ οὐ πρὸς ἀλλήλους μόνον, ἀλλὰ καὶ πρὸς τὰς πρώτας αἰτίας ἀντιθέτως ἔχοντες· οὓς δὴ καὶ Ὠκεανούς, καὶ B Τηθύας, καὶ Φάνητας, καὶ οὐκ οἶδα οὕστινας ὀνομάζουσι· καὶ τελευταῖόν τινα θεὸν μισότεκνον διὰ φιλαρχίαν, πάντας καταπίνοντα τοὺς ἄλλους ἐξ ἀπληστίας, ἵνα γένηται πάντων ἀνδρῶν τε θεῶν τε πατὴρ, δυστυχῶς ἐσθιομένων καὶ ἐμουμένων. Εἰ δὲ ταῦτα μῦθοι, καὶ ὑπόνοιαί τινες, ὡς αὐτοί φασι, τὸ αἰσχρὸν τοῦ λόγου διαδιδράσκοντες, τί φήσουσι πρὸς τὸ, *Τριχθὰ δὲ πάντα δέδασται*, καὶ τὸ ἄλλον ἄλλῳ τινὶ τῶν ὄντων ἐπιστατεῖν, διῃρημένους καὶ ταῖς ὕλαις, καὶ τοῖς ἀξιώμασι; Τὸ δὲ ἡμέτερον, οὐ τοιοῦτον· *Οὐδὲ αὕτη μερὶς τῷ Ἰακώβ* (99), φησὶν ὁ ἐμὸς θεολόγος· ἀλλὰ τὸ ἓν ἕκαστον αὐτῶν ἔχει πρὸς τὸ συγκείμενον, οὐχ ἧττον ἢ πρὸς ἑαυτὸ, τῷ ταυτῷ τῆς οὐσίας καὶ τῆς δυνάμεως. Καὶ οὗτος ὁ C τῆς ἑνώσεως λόγος, ὅσον ἐφ' οἷς ἡμεῖς κατειλήφαμεν. Εἰ μὲν οὖν ἰσχυρὸς οὗτος ὁ λόγος, τῷ Θεῷ χάρις τῆς θεωρίας· εἰ δὲ μὴ, ζητῶμεν τὸν ἰσχυρότερον.

Ex eadem oratione.

Quodnam enim est hoc argumentum? Ea, quæ ejusdem essentiæ sunt, connumerantur, inquis (connumerationem videlicet appellans in numerum unum contractionem), quæ autem disparem substantiam habent, minime connumerantur. Unde vos quidem ex eo elabi non potestis, quin juxta hanc rationem, tres deos asseratis. Nobis autem nullum tale periculum imminet. Non enim ea consubstantialia esse profitemur. Respondeo: Unica voce teipsum negotio ac molestia liberasti, malamque victoriam adeptus es: idemque tibi accidit, quod iis, qui mortis metu, sibiipsis laqueo vitam adimunt. Etenim, ne in defendendo unius principatu desudes, deitatem negasti, hostibusque id, quod quærebant, prodidisti. Ego vero, etiam si quid laboris subeundum sit, non tamen prodam id quod adoratur. Quanquam ne hic quidem video, quis labor suscipiendus sit.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Τίς γὰρ δὴ καὶ ὁ λόγος; Τὰ ὁμοούσια συναριθμεῖται, φὴς (συναρίθμησιν λέγων τὴν εἰς ἀριθμὸν ἕνα συναίρεσιν)· οὐ συναριθμεῖται δὲ τὰ μὴ ὁμοούσια. Ὥστε ὑμεῖς μὲν οὐ φεύξεσθε τὸ λέγειν τρεῖς θεοὺς κατὰ τὸν λόγον τοῦτον· ἡμῖν δὲ οὐδεὶς κίνδυνος· οὐ γὰρ ὁμοούσια λέγομεν. Σὺ μὲν οὖν ἀπήλλαξας σεαυτὸν πραγμάτων μιᾷ φωνῇ, καὶ τὴν κακὴν νίκην νενίκηκας· ὅμοιόν τι ποιήσας τοῖς διὰ θανάτου φόβον ἀπαγχομένοις. D Ἵνα γὰρ μὴ κάμῃς τῇ μοναρχίᾳ συνιστάμενος, ἠρνήσω θεότητα, καὶ προδέδωκας τοῖς ἐχθροῖς τὸ ζητούμενον. Ἐγὼ δὲ κἂν τι δέῃ καμεῖν, οὐ προήσομαι τὸ προσκυνούμενον. Ἐνταῦθα δὲ, οὐδὲ ὁρῶ τίς ὁ πόνος.

Connumerantur, inquis, ea, quæ eamdem substantiam habent: quæ autem substantia inter se differunt, singularem indicationem habent. Unde hoc, et a quibus doctoribus aut fabulatoribus accepisti? Illudne te fugit, numerum omnem hanc vim habere, ut subjectorum quantitatem, non item rerum naturam, explicet? Ego vero ita simplex,

Συναριθμεῖται, φὴς, τὰ ὁμοούσια· τὰ δὲ οὐχ οὕτως ἔχοντα, μοναδικὴν ἔχει τὴν δήλωσιν. Πόθεν σοι τοῦτο, καὶ παρὰ τίνων δογματιστῶν καὶ μυθολόγων; Ἢ ἀγνοεῖς, ὅτι πᾶς ἀριθμὸς, τῆς ποσότητος τῶν ὑποκειμένων ἐστὶ δηλωτικὸς, οὐ τῆς φύσεως τῶν πραγμάτων; Ἐγὼ δὲ οὕτως ἀρχαίως ἔχω, μᾶλλον δὲ ἀμαθῶς, ὥστε τρία μὲν ὀνομάζω τὰ τοσαῦτα τῷ

[1] *Homer. Iliad.* xiv, *vers.* 189. [2] Jer. x, 16.

ἀριθμῷ, κἂν διέστηκε τὴν φύσιν ἓν δὲ, καὶ ἓν, καὶ ἓν, ἄλλως τὰς τοσαύτας μονάδας, κἂν τῇ οὐσίᾳ συνάπτωνται, οὐ πρὸς τὰ πράγματα μᾶλλον ἀφορῶν, ἢ τὸ ποσὸν τῶν πραγμάτων, καθ' ὃν ἡ ἀρίθμησις. Ἐπεὶ δὲ λίαν περιέχῃ τοῦ γράμματος, καίτοιγε πολεμῶν τῷ γράμματι, ἐκεῖθέν μοι λάβε τὰς ἀποδείξεις· *Τρία ἐν ταῖς* Παροιμίαις *ἐστὶν, ἃ εὐόδως πορεύεται· λέων, καὶ τράγος, καὶ ἀλεκτρυών·* καὶ, *βασιλεὺς δημηγορῶν ἐν ἔθνει*, τὸ τέταρτον· ἵνα μὴ λέγω τὰς ἄλλας ἐκεῖ τετράδας ἀριθμουμένας, τῇ δὲ φύσει διῃρημένας. Καὶ δύο τῷ Μωσεῖ χερουβὶμ εὑρίσκω μοναδικῶς ἀριθμούμενα. Πῶς οὖν, ἢ ἐκεῖνα τρία, κατὰ τὴν σὴν τεχνολογίαν, τοσοῦτον ἀλλήλων ἀπερρηγμένα ταῖς φύσεσιν; ἢ ταῦτα μοναδικὰ, τοσοῦτον ἀλλήλοις ὁμοφυῆ καὶ συγκείμενα; Εἰ γὰρ λέγοιμι Θεὸν καὶ Μαμωνᾶν, δύο B κυρίους εἰς ἓν ἀριθμουμένους, τοσούτῳ μακρὰν ὄντας ἀλλήλων, τάχα ἂν καὶ μᾶλλον γελασθείην τῆς συναριθμήσεως.

A vel imperitus potius sum, ut tria quidem ea nominem, quæ totidem numero sunt, etiamsi substantia differant : unum autem, et unum, et unum, totidem unitates, etiamsi substantia conjungantur, non magis videlicet res ipsas intuens, quam rerum quantitatem, juxta quam enumeratio ipsa sit. Quoniam autem mordicus litteram retines, etsi alioqui litteræ bellum inferens, illinc mihi probationes hasce accipe. *Tria* in Proverbiis *sunt, quæ recte incedunt, leo, hircus, et gallus;* et quarto loco, *rex apud populares suos concionem habens* [1]; ut reliquas illas natura distinctas quaternitates, quæ illic recensentur, silentio prætercam. Duos etiam cherubim apud Moysem invenio, qui separatim numerantur [2]. Quomodo ergo, vel illa tria sunt, sicut ars tua præscribit, cum natura atque substantia adeo inter se discrepent : aut hæc singularia, quæ natura inter se adeo æqualia sunt, et copulata? Nam si dominos illos duos Deum et mammonam [3] commemorare velim, qui numero uno efferuntur, cum usqueadeo inter se disjuncti sint, magis quoque fortasse me ob hanc connumerationem ridendum propinarem.

Ἀλλ' ἐμοὶ, φησὶν, ἐκεῖνα συναριθμούμενα λέγεται, καὶ τῆς αὐτῆς οὐσίας, οἷς συνεκφωνεῖται καταλλήλως, καὶ τὰ ὀνόματα· οἷον, ἄνθρωποι τρεῖς, καὶ θεοὶ τρεῖς, οὐχὶ τρία τάδε, καὶ τάδε. Τίς γὰρ ἡ ἀντίδοσις; τοῦτο νομοθετοῦντός ἐστι τοῖς ὀνόμασιν, οὐκ ἀληθεύοντος. Ἐπεὶ κἀμοὶ Πέτρος, καὶ Παῦλος, καὶ Ἰωάννης, οὐ τρεῖς, οὐδὲ ὁμοούσιοι, ἕως ἂν μὴ τρεῖς Πέτροι, καὶ τρεῖς Παῦλοι, καὶ Ἰωάνναι τοσοῦτοι λέγονται. C Ὃ γὰρ σὺ τετήρηκας ἐπὶ τῶν γενικωτέρων ὀνομάτων, τοῦτο καὶ ἡμεῖς ἀπαιτήσομεν ἐπὶ τῶν εἰδικωτέρων κατὰ τὴν σὴν ἀνάπλασιν· ἢ ἀδικήσεις, μὴ διδοὺς ὅπερ εἴληφας. Τί δαὶ ὁ Ἰωάννης; Τρεῖς εἶναι τοὺς μαρτυροῦντας λέγων ἐν ταῖς Καθολικαῖς, τὸ Πνεῦμα, τὸ ὕδωρ, τὸ αἷμα, ἆρά σοι ληρεῖν φαίνεται; Πρῶτον μὲν, ὅτι τὰ μὴ ὁμοούσια συναριθμῆσαι τετόλμηκεν, ὃ τοῖς ὁμοουσίοις σὺ δίδως. (Τίς γὰρ ἂν εἴποι ταῦτα μιᾶς οὐσίας;) Δεύτερον δὲ, ὅτι μὴ καταλλήλως ἔχων ἀπήντησεν· ἀλλὰ τὸ τρεῖς ἀῤῥενικῶς προθεὶς, τὰ τρία οὐδετέρως ἐπήνεγκε, παρὰ τοὺς σοὺς, καὶ τῆς σῆς γραμματικῆς ὅρους καὶ νόμους. Καίτοι τί διαφέρει, ἢ τρεῖς προθέντα, ἓν, καὶ ἓν, καὶ ἓν ἐπενεγκεῖν, ἢ ἕνα, καὶ ἕνα, καὶ ἕνα λέγοντα, μὴ τρεῖς, ἀλλὰ τρία προσαγορεύειν; D ὅπερ αὐτὸς ἀπαξιοῖς ἐπὶ τῆς θεότητος. Τί δαί σοι ὁ καρκίνος, τό τε ζῶον, τό τε ὄργανον, ὅ τε ἀστήρ; τί δαὶ ὁ κύων, ὅ τε χερσαῖος, καὶ ὁ ἔνυδρος, καὶ ὁ οὐράνιος; οὐ τρεῖς λέγεσθαί σοι δοκοῦσι καρκῖνοι καὶ κύνες; Πάντως γε. Ἆρα οὖν παρὰ τοῦτο καὶ ὁμοούσιοι; Τίς φήσει τῶν νοῦν ἐχόντων; Ὁρᾷς, ὅπως σοι διαπέπτωκεν ὁ περὶ τῆς συναριθμήσεως λόγος, τοσούτοις ἐληλεγμένος; Εἰ γὰρ μήτε τὰ ὁμοούσια πάντως συναριθμεῖται, καὶ συναριθμεῖται τὰ μὴ ὁμοούσια, ἥ τε τῶν ὀνομάτων συνεκφώνησις ἐπ' ἀμφοῖν, τί σοι πλέον ὧν ἐδογμάτισας.

At, inquis, ea connumerari dicuntur, ejusdemque essentiæ esse, quibus nomina ipsa respondent, cum efferuntur : ut homines tres, et dii tres, non autem tria hæc, aut illa. Quæ enim est hæc relata responsio? Nimirum hoc jam hominis est legem nominibus præscribentis, non verum dicere instituentis. Alioqui mihi quoque pari eadem ratione Petrus, et Paulus, et Joannes non tres erunt, nec consubstantiales, quandiu non tres Petri, aut tres Pauli, aut totidem Joannes non dicentur. Quod enim tu in generalibus nominibus retinuisti, hoc nos quoque juxta commentum tuum in specialibus postulamus. Injuste enim feceris, nisi, quod accepisti, dederis. Quid Joannes? Cum in Catholicis epistolis suis tres esse ait [4], qui testimonium dant, Spiritum, aquam, et sanguinem, videturne tibi delirare? Primum, quia res substantia diversas connumerare ausus est, quod tu consubstantialibus tantum tribuis. Quis enim hæc unius ejusdemque substantiæ esse dixerit? Alterum, quia modo minime congruenti voces sequentes subjunxerit; sed cum tres masculino genere proposuisset, tria neutro genere subjunxit, contra quam tuæ, atque ipsius etiam grammaticæ leges ferant. Verum quid interest, aut cum tres masculino genere præposueris, unum, et unum, et unum subjicere : aut cum unum, et unum, et unum dixeris, non tres, sed tria appellare? Id quod tu in deitate admittere gravaris. Jam, quid tibi cancer, qui et animal est, et organum, et sidus? Quid canis, qui terrestris est, et marinus, et cœlestis? Nonne tres cancri, aut canes tibi dici videntur? Ita profecto. An ergo proinde quoque consubstantiales sunt? Quis sanus hoc dixerit? Videsne quomodo tibi hoc connumerationis argumentum, tot tantisque rationibus confutatum, corruerit? Nam cum nec consubstantialia semper connumerentur, et quæ disparis essentiæ sunt, interdum connumerentur, et tamen in utrisque nomina simul efferri perspiciamus, ex tuis dogmatibus quid tibi accessit?

[1] Prov. xxx, 29, 30. [2] Exod. xxxvii, 7. seqq. [3] Matth. vi, 24. [4] I Joan. v, 8.

Quin illud etiam expendo, nec fortasse temere atque absurde. Unum et unum, nonne composita duo constituunt? Duo rursus, nonne in unum et unum resolvuntur? Ita sane. Si ergo consubstantialia quidem sunt, quæ componuntur, ut ipse arguiaris, diversæ autem substantiæ sunt, quæ secantur, quid ex eo consequetur? Nimirum res easdem, et ejusdem, et diversæ essentiæ esse. Nec vero facere possum, quin tuas prænumerationes ac subnumerationes rideam, quibus tu perinde gloriaris, ac si res ipsæ in vocabulorum ordine sitæ sint. Nam si ita est, quid impedit, quominus eadem ratione, quoniam eadem, propter æqualem naturæ præstantiam, in sacra Scriptura nunc priori, nunc posteriori loco numerantur, sint quoque ipsa seipsis, tum excellentiora, tum abjectiora? Quod idem dicendum etiam habeo de his vocibus, *Deus* et *Dominus;* atque insuper de his præpositionibus, *ex quo*, *per quem*, et *in quo* [1], quibus tu divinum illud nomen ad artis præscriptum exigis, primam scilicet Patri, alteram Filio, tertiam Spiritui sancto assignans. Quid enim fecisses, si quælibet ex his præpositionibus unicuique personæ constanter tribueretur; cum, tametsi omnes cum omnibus promiscue construantur, ut studiosis et accuratis lectoribus perspicuum est, tantam ipse per eas, et dignitatis, et naturæ diversitatem inducas? Sufficiunt hæc quidem hominibus non nimis iniquis ac præposteris.

Σκοπῶ δὲ κἀκεῖνο, καὶ ἴσως οὐκ ἔξω λόγου. Τὸ ἕν, καὶ τὸ ἕν, οὐκ εἰς δύο συντίθεται; τὰ δύο δὲ, οὐκ εἰς ἕν, καὶ ἕν, ἀναλύεται; Δῆλον ὅτι. Εἰ οὖν ὁμοούσια μὲν τὰ συντιθέμενα κατὰ τὸν σὸν λόγον, ἑτερούσια δὲ τὰ τεμνόμενα, τί συμβαίνει; Τὰ αὐτὰ ὁμοούσιά τε εἶναι καὶ ἑτεροούσια. Γελῶ σου καὶ τὰς προαριθμήσεις, καὶ τὰς ὑπαριθμήσεις, αἷς σὺ μέγα φρονεῖς, ὥσπερ ἐν τῇ τάξει τῶν ὀνομάτων, κειμένων τῶν πραγμάτων. Εἰ γὰρ τοῦτο, τί κωλύει κατὰ τὸν αὐτὸν λόγον, ἐπειδὴ τὰ αὐτὰ καὶ προαριθμεῖται, καὶ ὑπαριθμεῖται παρὰ τῇ θείᾳ Γραφῇ, διὰ τὴν ἰσοτιμίαν τῆς φύσεως, αὐτὰ ἑαυτῶν εἶναι τιμιώτερά τε καὶ ἀτιμότερα; Ὁ δὲ αὐτός μοι, καὶ περὶ τῆς *Θεὸς* φωνῆς καὶ *Κύριος*, λόγος· ὅτι δὲ τῶν προθέσεων, τῆς *ἐξ οὗ*, καὶ *δι' οὗ*, καὶ *ἐν ᾧ*, αἷς σὺ κατατεχνολογεῖς ἡμῖν τὸ θεῖον, τὴν μὲν τῷ Πατρὶ διδοὺς, τὴν δὲ τῷ Υἱῷ, τὴν δὲ τῷ ἁγίῳ Πνεύματι. Τί γὰρ ἂν ἐποίησας, παγίως ἑκάστου τούτων ἑκάστῳ νενεμημένου· ὁπότε πάντων πᾶσι συντεταγμένων, ὡς δῆλον τοῖς φιλοπόνοις, τοσαύτην σὺ διὰ τούτων εἰσάγεις καὶ τῆς ἀξίας, καὶ τῆς φύσεως ἀνισότητα; Ἀπόχρη καὶ ταῦτα τοῖς μὴ λίαν ἀγνώμοσιν. Ἐπειδὴ

Ex eadem oratione.

Quod si, quia non admodum dilucide in Scriptura, nec sæpe nominatim Deus appelletur, quemadmodum Pater prius, et postea Filius, blasphemiæ ac supervacaneæ hujus loquacitatis et impietatis ansam præbet, nos tibi hoc incommodum depellemus, posteaquam de rebus et nominibus, ac potissimum de Scripturæ more atque usu nonnihil dixerimus.

Rerum ergo aliæ non sunt, sed dicuntur; aliæ cum sint, minime dicuntur; aliæ nec sunt, nec dicuntur; aliæ denique et sunt et dicuntur. Horum probationes a me exposcis? Impiger exhibebo. Dormit [2] in Scriptura Deus, et vigilat [3], et irascitur [4], et proficiscitur [5], et pro throno cherubinos [6] habet. Quid audio? Fuitne unquam ille affectionibus obnoxius? Quando Deum esse corpus audisti? Ergo hoc, cum non sit, effictum est. Ex nostris enim rebus ea, quæ Dei sunt, ut potuimus, nominavimus. Cum seorsim quidem a nobis quiescit, ac velut nostri curam, ob eas, quas ipse perspectas habet, causas, abjicit, dormire dicitur. Nam nos quoque, dum dormimus, omni agendi facultate caremus. Idem, cum repentina mutatione beneficiis nos afficit, vigilare dicitur. Somni enim depulsio est vigilia, quemadmodum aversationis visitatio. Jam cum in aliquem animadvertit, irasci eum finximus. Sic enim nos ira ad puniendum incitamur. Quod autem nunc hic, nunc illic operatur, incedere dicitur. Ab alio enim ad aliud transitus, profectio est. Quod vero in sanctis illis et cœlestibus mentibus conquiescat, ac velut

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Εἰ δὲ τὸ μὴ λίαν σαφῶς γεγράφθαι Θεὸν, μηδὲ πολλάκις ὀνομαστὶ, ὥσπερ τὸν Πατέρα πρότερον, καὶ τὸν Υἱὸν ὕστερον, αἴτιόν σοι γίνεται βλασφημίας, καὶ τῆς περιττῆς ταύτης γλωσσαλγίας καὶ ἀσεβείας· ἡμεῖς σοι λύσομεν ταύτην τὴν βλάβην, μικρὰ περὶ πραγμάτων καὶ ὀνομάτων, καὶ μάλιστα παρὰ τῇ τῆς Γραφῆς συνηθείᾳ φιλοσοφήσαντες.

Τῶν πραγμάτων, τὰ μὲν οὐκ ἔστι, λέγεται δέ· τὰ δὲ ὄντα, οὐ λέγεται· τὰ δὲ οὔτε ἔστιν, οὔτε λέγεται· τὰ δὲ ἄμφω, καὶ ἔστι, καὶ λέγεται. Τούτων ἀπαιτεῖς με τὰς ἀποδείξεις; παρασχεῖν ἕτοιμος. Ὑπνοῖ τῇ Γραφῇ Θεὸς, καὶ γρηγορεῖ, καὶ ὀργίζεται, καὶ βαδίζει, καὶ θρόνον ἔχει τὰ χερουβίμ· καίτοι πότε γέγονεν ἐμπαθής; πότε δὲ σῶμα Θεὸν ἀκήκοας; Τοῦτο οὐκ ὂν ἀνεπλάσθη. Ὠνομάσαμεν γὰρ, ὡς ἡμῖν ἐφικτὸν, ἐκ τῶν ἡμετέρων τὰ τοῦ Θεοῦ. Τὸ μὲν ἠρεμεῖν αὐτὸν ἀφ' ἡμῶν, καὶ οἷον ἀμελεῖν, δι' ἃς αὐτὸς οἶδεν αἰτίας, ὑπνοῦν. Τὸ γὰρ ἡμέτερον ὑπνοῦν τοιοῦτον, ἀνενέργητόν τε καὶ ἄπρακτον. Τὸ δὲ ἀθρόως εὖ ποιεῖν ἐκ μεταβολῆς, γρηγορεῖν. Ὕπνου γὰρ λύσις, ἐγρήγορσις, ὥσπερ ἀποστροφῆς, ἐπίσκεψις. Τὸ δὲ κολάζειν, ὀργίζεσθαι πεποιήκαμεν· οὕτω γὰρ ἡμῖν ἐξ ὀργῆς ἡ κόλασις. Τὸ δὲ νῦν μὲν τῇδε, νῦν δὲ τῇδε ἐνεργεῖν, βαδίζειν. Ἡ γὰρ ἀπ' ἄλλου πρὸς ἄλλο μετάβασις, βαδισμός. Τὸ δὲ ἀναπαύεσθαι ταῖς ἁγίαις δυνάμεσι, καὶ οἷον ἐμφιλοχωρεῖν, καθέζεσθαι καὶ θρονίζεσθαι, καὶ τοῦτο ἡμέτερον. Οὐδενὶ γὰρ οὕτως, ὡς τοῖς ἁγίοις τὸ θεῖον ἐναναπαύεται. Τὸ δὲ ὀξυκίνητον, πτῆσιν· τὴν δὲ ἐπισκοπὴν, πρόσωπον· τὸ δ.δόναι δὲ καὶ προσίεσθαι, χεῖρα· καὶ ἄλλη τις

[1] Rom. xi, 36. [2] Psal. lxxvii, 65. [3] Dan. ix, 14. [4] Isa. v. 25. [5] Gen xi, 5. [6] Isa. xxxvii, 16.

ὅλως τῶν τοῦ Θεοῦ δυνάμεων ἢ ἐνεργειῶν· ἄλλο τι τῶν σωματικῶν ἡμῖν ἀνεζωγράφησεν.

libenter immoretur, sedere atque in throno esse nuncupavimus; quod ipsum quoque nostrum est. Deus enim nulla in re perinde ut in sanctis, acquiescit. Jam levitatem ejus motusque celeritatem, volatum appellat Scriptura; visitationem, vultum, largitionem etiam et acceptionem, manum; atque, ut in summa dicam, alia quædam Dei vis et facultas, aliud quidpiam rerum corporearum nobis depinxit.

Πάλιν σὺ πόθεν τὸ ἀγέννητον λαβὼν ἔχεις, ἢ τὸ ἄναρχον, τὰς σὰς ἀκροπόλεις, ἢ καὶ ἡμεῖς, τὸ ἀθάνατον; Δεῖξον ταῦτα ὀνομαστὶ, ἢ ἀθετήσομεν, ἐπειδὴ οὐ γέγραπται, ἢ διαγράψομεν. Καὶ τέθνηκας ἐκ τῶν σῶν ὑποθέσεων, καθαιρεθέντων σοι τῶν ὀνομάτων, καὶ τοῦ τείχους τῆς καταφυγῆς ἐφ' ᾧ ἐπεποίθεις. Ἢ δῆλον, ὅτι ἐκ τῶν ταῦτα συναγόντων, κἂν μὴ ταῦτα λέγηται; Τίνων τούτων; *Ἐγὼ εἰμι πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα·* καὶ, *Πρὸ ἐμοῦ οὐκ ἔστιν ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται.* Ὅλον γὰρ τὸ *ἔστιν*, ἐμόν· οὔτε ἠργμένον, οὔτε παυσόμενον. Ταῦτα λαβὼν, τὸ μὲν, μὴ εἶναί τι πρὸ αὐτοῦ, μηδὲ πρεσβυτέραν αἰτίαν ἔχειν, ἄναρχον προσηγόρευσας, καὶ ἀγέννητον; τὸ δὲ, μὴ στήσεσθαι τοῦ εἶναι, ἀθάνατον καὶ ἀνώλεθρον. Αἱ μὲν δὴ πρῶται συζυγίαι, τοιαῦται, καὶ οὕτως ἔχουσαι. Τίνα δὲ οὔτε ἔστιν, οὔτε λέγεται; Πονηρὸν τὸ θεῖον, ἡ σφαῖρα τετράγωνος, τὸ παρελθὸν ἐνέστηκεν· οὐ σύνθετον ὁ ἄνθρωπος· Τίνα γὰρ εἰς τοσοῦτον ἐμπληξίας ποτὲ ἀφικόμενον ἔγνως, ὥστε τι τοιοῦτον, ἢ ἐννοῆσαι τολμῆσαι, ἢ ἀποφήνασθαι; Λείπεται δεῖξαι τίνα καὶ ἔστι, καὶ λέγεται· Θεὸς, ἄνθρωπος, ἄγγελος, κρίσις, ματαιότης, οἱ τοιοῦτοι συλλογισμοὶ, καὶ τῆς πίστεως ἀνατροπὴ, καὶ τοῦ μυστηρίου κένωσις.

Rursum undenam tu arces illas tuas, ingenitum aut anarchum (hoc est principii expers), accepisti, aut nos etiam immortalis vocem? Hæc nominatim et expresse ostende, ea vel rejiciemus, quia in Scriptura non exstant, vel expungemus. Atque ita tuismet ipse principiis oppressus interibis, eversis nimirum tibi vocabulis illis, perfugiique mœnibus, in quibus confidebas. Nonne perspicuum est, hæc de iis sumpta esse, ex quibus colliguntur, tametsi minime dicantur? Quibus tandem? *Ego sum primus, et ego post hæc* [1]. Et, *Ante me non est alius Deus, et post me non erit* [2]. Totum enim illud *est*, meum est; nec principium habens, nec finem habiturum. His a Scriptura acceptis, illud quidem, quod ante eum nihil sit, nec antiquiorem ullam ipse causam habeat, anarchum et ingenitum appellasti: quod autem nunquam esse desiturus sit, immortale, atque interitus expers. Ac duo prima rerum genera ad hunc modum se habent. Quænam autem, nec sunt, nec dicuntur? Improbus Deus, quadrata sphæra, præteritum tempus præsens est, homo compositus non est. Ecquem enim unquam eo stuporis progressum cognovisti, ut aliquid tale vel cogitare vel pronuntiare ausus sit? Reliquum est ut ostendam quæ sint ea quæ et sunt et dicuntur. Deus, homo, angelus, judicium, vanitas, qua hujusmodi argumenta conficiuntur, fideique subversio, et mysterii evacuatio.

Τοσαύτης οὖν οὔσης διαφορᾶς ἐν τοῖς ὀνόμασι καὶ τοῖς πράγμασι, πῶς οὕτω σὺ λίαν δουλεύεις τῷ γράμματι, καὶ γίνῃ μετὰ τῆς Ἰουδαϊκῆς σοφίας, καὶ συλλαβαῖς ἀκολουθεῖς, ἀφεὶς τὰ πράγματα; Εἰ δὲ σοῦ τὰ δὶς πέντε λέγοντος, ἢ τὰ δὶς ἑπτὰ, τὰ δέκα συνῆγον, ἢ τέσσαρες καὶ δέκα ἐκ τῶν λεγομένων· ἢ ἐκ τοῦ, ζῶον λογικὸν, θνητὸν, τὸν ἄνθρωπον, ἆρα ἄν σοι ληρεῖν ἐνομίσθην; καὶ πῶς, τὰ σὰ λέγων; Οὐ γὰρ τοῦ λέγοντος μᾶλλον οἱ λόγοι, ἢ τοῦ λέγειν συναναγκάζοντος. Ὥσπερ οὖν ἐνταῦθα οὐκ ἂν τὰ λεγόμενα μᾶλλον ἐσκόπουν, ἢ τὰ νοούμενα· οὕτως οὐδὲ εἴ τι ἄλλο τῶν μὴ λεγομένων, ἢ μὴ σαφῶς ἐκ τῆς Γραφῆς νοούμενον εὕρισκον, ἔφυγον ἂν τὴν ἐκφώνησιν, φοβούμενος σὲ τὸν συκοφάντην τῶν ὀνομάτων.

Cum ergo in nominibus et rebus tantum discrimen reperiatur, quid causæ est cur litteræ tantopere servias, Judaicæque sapientiæ teipsum adjungas, relictisque rebus syllabas consecteris? Quod si te bis quinque, aut bis septem dicente, decem aut quatuordecim ex verbis tuis colligerem; aut ex eo, quod animal ratione præditum et mortale diceres, hominem esse concluderem, an tibi nugari viderer? Et quo pacto id fieri posset, cum tua dicam? Neque enim verba magis sunt ejus qui loquitur, quam illius qui loquendi necessitatem affert. Quemadmodum igitur hic, non ea magis quæ dicuntur, quam quæ intelliguntur, respicerem; eodem modo nec, si quid aliud eorum quæ vel nullo modo, vel certe non satis aperte dicuntur, ex Scriptura tamen intelligi colligique reperirem, adeo te vocabulorum sycophantam pertimescerem, ut ab enuntiatione ipsa refugerem.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἐκήρυσσε φανερῶς ἡ Παλαιὰ τὸν Πατέρα, τὸν Υἱὸν ἀμυδρότερον. Ἐφανέρωσεν ἡ Καινὴ τὸν Υἱὸν, ὑπέδειξε τοῦ Πνεύματος τὴν θεότητα· ἐμπολιτεύεται νῦν τὸ Πνεῦμα σαφεστέραν ἡμῖν παρέχον τὴν ἑαυτοῦ δήλωσιν. Οὐ γὰρ ἦν ἀσφαλὲς, μήπω τῆς τοῦ Πατρὸς θεότητος ὁμολογηθείσης, τὸν Υἱὸν ἐκδήλως κηρύττεσθαι, μηδὲ τῆς τοῦ Υἱοῦ παραδεχθείσης, τὸ Πνεῦμα τὸ ἅγιον, ἵν' εἴπω τι καὶ τολμηρότερον, ἐπιφορτίζε-

Ex eadem oratione.

Vetus Testamentum Patrem aperte, Filium obscurius prædicavit. Novum autem cum Filium manifeste ostenderit, Spiritus divinitatem subindicavit. At nunc Spiritus nobiscum versans clariorem sui ipsius demonstrationem præbet. Neque enim tutum erat, cum Patris divinitas nondum recepta esset, Filium aperte prædicari, neque Spiritus sancti onus, ut audacius etiam aliquid dicam,

[1] Isa. XLI, 4. [2] Isa. XLIII, 10.

imponi, divinitate Filii nondum approbata, ne tanquam cibo gravius, quam ferre possent onerati, aut imbecillam oculorum aciem solis admoventes splendori, illud etiam, quod haberent virtutis, in periculum adducerent, sed paulatim per accessiones, et gradus, ut ait David, et ex gloria in gloriam progredientes et proficientes, splendidam Trinitatis lucem illustriores admitterent. Hanc ob causam, ut arbitror, et ad discipulos per partes accedit, sese pro suscipientium facultate dimetiens, in Evangelii principio, post mortem, post ascensionem, dum virtutes operatur, dum insufflatur, dum in linguis igneis apparet, et a Jesu paulatim declaratur, ut ipse quoque, si diligentius attenderis, intelliges: *Rogabo*, inquit, *Patrem, et alium Paracletum mittet vobis, Spiritum veritatis* [1], ne aliquis Dei adversarius esset, aut ab aliqua alia potestate verba facere videretur. Deinde, Mittet quidem, sed in nomine meo. *Rogabo* omittens, illud *mittet* servavit. Tum, *mittam*, inquit, ut dignitatem suam ostenderet. Mox ait, *veniet*, quo quidem verbo ipsius Spiritus potestas indicatur. Cernis gradatim nobis illucentes splendores? et ordinem theologiæ? quem nos item expedit observare, ut neque statim cunctam patefaciamus, neque perpetuo celemus; illud enim imperiti, hoc impii est; illud alienos terrere potest, hoc nostros etiam alienare. Ilis quæ dicta sunt adjiciam quod aliis etiam fortasse in mentem venit, ego autem cogitationis meæ fructum existimo. Habebat Servator quædam, quæ a discipulis, licet multis essent doctrinis imbuti, dicebat non posse portari, ob eas fortasse causas, quas dixi, et idcirco illa celabat. Præterea cum fore dixisset, ut a Spiritu, cum venisset, omnia doceremur, eorum unum esse puto et ipsam Spiritus divinitatem, quæ postea esset perspicua futura, cum post Servatoris resurrectionem ejus cognitio tempestiva jam esset, et percipi posset, et propter miraculum non amplius fidem superaret. Quid enim hac re majus aut ille pollicitus est, aut Spiritus docuit? siquidem magnum aliquid putandum est, et Dei magnificentia dignum id, quod unus promisit, et alter edocuit. Sic ego de his sentio, et sentiam, et quicunque mihi amicus est, ita sentiet, colendum Deum Patrem, Deum Filium, Deum Spiritum sanctum, tres proprietates, sed Divinitatem unam, quæ nec gloria, nec honore, nec essentia, nec regno dividatur, ut vir quidam divinus paulo ante disseruit. Qui aliter sentit, quive tempori serviens alias alius fit, et maximis de rebus putide consulit, is luciferum exorientem nec videat, ut ait Scriptura, nec splendoris ab illo provenientis decus. Nam si adorandus non est, quomodo per baptismum me divinum reddit? Sin adorandus est, cur non et colendus? Quod si colendus, cur non et Deus? Unum enim ex alio pendet, tanquam aurea quædam catena et salutaris; ac per Spiritum

[1] Joan. XIV, 16.

A σθαι, μὴ καθάπερ τροφῇ τῇ ὑπὲρ δύναμιν βαρηθέντες, καὶ ἡλιακῷ φωτὶ σαθροτέραν ἔτι προσβαλόντες τὴν ὄψιν, καὶ εἰς τὸ κατὰ δύναμιν κινδυνεύσωσι· ταῖς δὲ κατὰ μέρος προσθήκαις καὶ, ὡς εἶπε Δαβὶδ, ἀναβάσεσι, καὶ ἐκ δόξης εἰς δόξαν προόδοις, καὶ προκοπαῖς τὸ τῆς Τριάδος φῶς ἐκλάμψαι τοῖς λαμπροτέροις. Διὰ ταύτην οἶμαι τὴν αἰτίαν καὶ τοῖς μαθηταῖς κατὰ μέρος ἐπιδημεῖ τῇ τῶν δεχομένων δυνάμει παραμετρούμενον, ἐν ἀρχῇ τοῦ Εὐαγγελίου, μετὰ τὸ πάθος, μετὰ τὴν ἄνοδον, τὰς δυνάμεις ἐπιτελοῦν, ἐμφυσώμενον, ἐν γλώσσαις πυρίναις φαινόμενον, καὶ ὑπὸ Ἰησοῦ κατ' ὀλίγον ἐκφαίνεται, ὡς ἐπιστήσεις καὶ αὐτὸς ἐντυγχάνων ἐπιμελέστερον· Ἐρωτήσω, φησὶ, *τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον πέμψει ὑμῖν, τὸ Πνεῦμα τῆς ἀληθείας*, B ἵνα μὴ ἀντίθεος εἶναι δόξῃ τις, καὶ ὡς ἀπὸ ἄλλης τινὸς ἐξουσίας ποιεῖσθαι τοὺς λόγους. Εἶτα, Πέμψει μὲν, ἐν δὲ τῷ ὀνόματί μου. Τὸ ἐρωτήσω παρεὶς, τὸ πέμψει τετήρηκεν. Εἶτα πέμψω, τὸ οἰκεῖον ἀξίωμα. Εἶτα ἥξει, ἡ τοῦ Πνεύματος ἐξουσία. Ὁρᾷς φωτισμοὺς κατὰ μέρος ἡμῖν ἐλλάμποντας, καὶ τάξιν θεολογίας, ἣν καὶ ἡμᾶς τηρεῖν ἄμεινον, μήτε ἀθρόως ἐκφαίνοντας, μήτε εἰς τέλος κρύπτοντας; τὸ μὲν γὰρ ἄτεχνον, τὸ δὲ ἄθεον· καὶ τὸ μὲν τοὺς ἀλλοτρίους πλῆξαι δυνάμενον, τὸ δὲ ἀλλοτριῶσαι τοὺς ἡμετέρους. Ὃ δὲ ἴσως μέν τισιν ἦλθεν ἤδη ἐπὶ νοῦν καὶ τῶν ἄλλων, ἐγὼ δὲ τῆς ἐμαυτοῦ διανοίας ὑπολαμβάνω καρπὸν, προσθήσω τοῖς εἰρημένοις. Ἦν τινα τῷ Σωτῆρι, καὶ εἰ πολλῶν ἐνεπίμπλαντο μαθημάτων, ἃ μὴ δύνασθαι τότε βασταχθῆναι τοῖς μα- C θηταῖς ἐλέγετο, δι' ἃς εἶπον ἴσως αἰτίας, καὶ διὰ τοῦτο παρεκαλύπτετο. Καὶ πάλιν, πάντα διδαχθήσεσθαι ἡμᾶς ὑπὸ τοῦ Πνεύματος ἐνδημήσαντος, τούτων ἓν εἶναι νομίζω καὶ αὐτὴν τοῦ Πνεύματος τὴν θεότητα τρανουμένην εἰς ὕστερον, ὡς τηνικαῦτα ὡρίμου, καὶ χωρητῆς ἤδη τυγχανούσης τῆς γνώσεως, μετὰ τὴν τοῦ Σωτῆρος ἀποκατάστασιν οὐκέτι ἀπιστουμένου τῷ θαύματι· τί γὰρ ἂν τούτου μεῖζον, ἢ ἐκεῖνος ὑπέσχετο, ἢ τὸ Πνεῦμα ἐδίδαξεν; εἴπερ τι μέγα οἴεσθαι χρὴ καὶ Θεοῦ μεγαλοπρεπείας ἄξιον τὸ ὑπισχνούμενον, ἢ τὸ διδασκόμενον. Ἔχω μὲν οὕτω περὶ τούτων, καὶ ἔχοιμεν, καὶ ὅστις ἐμοὶ φίλος σέβειν Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱὸν, Θεὸν τὸ Πνεῦμα τὸ ἅγιον, τρεῖς ἰδιότητας, Θεότητα μίαν, D δόξῃ καὶ τιμῇ καὶ οὐσίᾳ καὶ βασιλείᾳ μὴ μεριζομένην, ὥς τις τῶν μικρῷ πρόσθεν θεοφόρων ἐφιλοσόφησεν. Ἢ μὴ ἴδοι Ἑωσφόρον ἀνατέλλοντα, ὥς φησιν ἡ Γραφὴ, μηδὲ δόξαν τῆς ἐκεῖθεν λαμπρότητος, ὅστις μὴ οὕτως ἔχει, ἢ συμφέρεται τοῖς καιροῖς ἄλλοτε ἄλλος γινόμενος, καὶ περὶ τῶν μεγίστων σαθρῶς βουλευόμενος. Εἰ μὲν γὰρ οὐ προσκυνητὸν, πῶς ἐμὲ θεοῖ διὰ τοῦ βαπτίσματος; εἰ δὲ προσκυνητὸν, πῶς οὐ σεπτόν; εἰ δὲ σεπτὸν, πῶς οὐ Θεός; Ἓν ἤρτηται τοῦ ἑνὸς, ἡ χρυσῆ τις ὄντως σειρὰ, καὶ σωτήριος. Καὶ παρὰ μὲν τοῦ Πνεύματος ἡμῖν ἡ ἀναγέννησις, παρὰ δὲ τῆς ἀναγεννήσεως ἡ ἀνάπλασις, παρὰ δὲ τῆς ἀναπλάσεως ἡ ἐπίγνωσις τῆς

ἀξίας τοῦ ἀναπλάσαντος. Ταῦτα μὲν οὖν εἴποι τις ἂν τὸ ἄγραφον ὑποθέμενος. Ἤδη δὲ ἥξει σοι καὶ ὁ τῶν μαρτυριῶν ἑσμὸς, ἐξ ὧν ὅτι καὶ λίαν ἔγγραφος ἡ τοῦ Πνεύματος θεότης ἐπιδειχθήσεται τοῖς· μὴ λίαν σκαιοῖς, μηδ' ἀλλοτρίοις τοῦ Πνεύματος. Σκόπει δὲ οὕτως· Γεννᾶται Χριστὸς, προτρέχει· βαπτίζεται, μαρτυρεῖ· πειράζεται, ἀνάγει· δυνάμεις ἐπιτελεῖ, συμπαρομαρτεῖ· ἀνέρχεται, διαδέχεται. Τί γὰρ οὐ δύναται τῶν μεγάλων, καὶ ὢν Θεός; Τί δὲ οὐ προσαγορεύεται, ὢν Θεός; πλὴν ἀγεννησίας, καὶ τῆς γεννήσεως. Ἔδει γὰρ τὰς ἰδιότητας μεῖναι Πατρὶ, καὶ Υἱῷ, ἵνα μὴ σύγχυσις ᾖ παρὰ θεότητι, τῇ καὶ τὰ ἄλλα εἰς τάξιν ἀγούσῃ καὶ εὐκοσμίαν.

A quidem nobis est regeneratio, per regenerationem autem reformatio, per reformationem vero ipsius, qui reformat cognitio dignitatis. Hæc diceret aliquis, qui nihil de Spiritus divinitate scriptum esse concederet. Verum jam aderit testimoniorum examen ex quibus ii qui non omnino crassi erunt, et ab ipso Spiritu alieni, admodum celebrem Spiritus divinitatem in Scripturis intelligent. Sic autem esse ita considera. Nascitur Christus, ille præcurrit. Baptizatur, ille testimonium affert. Tentatur, ille ducit. Virtutes operatur, ille contestatur. Ascendit ad Patrem, ille succedit. Quid enim eorum quæ magna sunt, non possit, cum sit Deus? Aut cum sit Deus, quo non appelletur nomine, præter id quod nec ingenitus, nec genitus dicitur? Oportebat enim ut proprietates Patri Filioque permanerent, ne apud Divinitatem, quæ rebus aliis ordinem ornatumque tribuit, esset confusio. B

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Ἐγὼ μὲν φρίττω, τὸν πλοῦτον ἐννοῶν τῶν κλήσεων, καὶ καθ' ὅσων ὀνομάτων ἀναισχυντοῦσιν οἱ τῷ Πνεύματι ἀντιπίπτοντες. « Πνεῦμα Θεοῦ λέγεται, Πνεῦμα Χριστοῦ, νοῦς Χριστοῦ, Πνεῦμα Κυρίου, αὐτοκύριος, Πνεῦμα υἱοθεσίας, ἀληθείας, ἐλευθερίας, Πνεῦμα σοφίας, συνέσεως, βουλῆς, ἰσχύος, γνώσεως, εὐσεβείας, φόβου Θεοῦ, » Καὶ γὰρ ποιητικὸν τούτων ἁπάντων, πάντα τῇ οὐσίᾳ πληροῦν, πάντα συνέχον, πληρωτικὸν κόσμου κατὰ τὴν οὐσίαν, ἀχώρητον κόσμῳ κατὰ τὴν δύναμιν· ἀγαθὸν, εὐθὲς, ἡγεμονικὸν, φύσει, οὐ θέσει· ἁγιάζον, C οὐχ ἁγιαζόμενον· μετροῦν, οὐ μετρούμενον· μετεχόμενον, οὐ μετέχον· πληροῦν, οὐ πληρούμενον· συνέχον, οὐ συνεχόμενον· κληρονομούμενον, δοξαζόμενον, συναριθμούμενον, ἐπαπειλούμενον· δάκτυλος Θεοῦ· πῦρ, ὡς Θεὸς, εἰς ἔμφασιν οἶμαι τοῦ ὁμοουσίου· Πνεῦμα τὸ ποιῆσαν, τὸ ἀνακτίζον διὰ τοῦ βαπτίσματος, δι' ἀναστάσεως· Πνεῦμα τὸ γινῶσκον ἅπαντα, τὸ διδάσκον, τὸ πνέον ὅπου θέλει καὶ ὅσον· ὁδηγοῦν, λαλοῦν, ἀποστέλλον, ἀφορίζον, παροξυνόμενον, πειραζόμενον, ἀποκαλυπτικὸν, φωτιστικὸν, ζωτικὸν, μᾶλλον δὲ αὐτοφῶς καὶ ζωή· ναοποιοῦν, θεοποιοῦν, τελειοῦν, ὥστε καὶ προλαμβάνειν τὸ βάπτισμα, καὶ ἐπιζητεῖσθαι μετὰ τὸ βάπτισμα· ἐνεργοῦν ὅσα Θεός· μεριζόμενον ἐν γλώσσαις πυρίναις, διαιροῦν χαρίσματα, ποιοῦν ἀποστόλους, προφήτας, εὐαγγελιστὰς, ποιμένας καὶ διδασκάλους· νοερὸν, πολυμερὲς, σαφὲς, τρανὸν, ἀκώλυτον, ἀμόλυντον, ὅπερ ἴσον δύναται σοφώτατον, D καὶ πολύτροπον ταῖς ἐνεργείαις, καὶ σαφηνιστικὸν πάντων, καὶ τρανωτικὸν, καὶ αὐτεξούσιον, καὶ ἀναλλοίωτον, παντοδύναμον, παντεπίσκοπον, διὰ πάντων χωροῦν πνευμάτων, νοερῶν, καθαρῶν, λεπτοτάτων, ἀγγελικῶν οἶμαι δυνάμεων, ὥσπερ καὶ προφητικῶν, καὶ ἀποστολικῶν, κατὰ ταυτὸν, καὶ οὐχ ἐν τοῖς αὐτοῖς τόποις. Ἄλλων δὲ ἀλλαχοῦ νενεμημένων, ᾧ δηλοῦται τὸ ἀπερίγραπτον, οἱ ταῦτα λέγοντες, καὶ διδάσκοντες, καὶ πρός γε ἄλλον Παράκλητον, οἷον

Ex eadem oratione.

Ego quidem obtupesco, dum appellationum divitias considero, et quibus nominibus confundantur, qui Spiritui adversantur. *Spiritus Dei* dicitur, *Spiritus Christi, Spiritus Domini, ipse Dominus, Spiritus adoptionis, veritatis, libertatis, Spiritus sapientiæ, intellectus, consilii, fortitudinis, scientiæ, pietatis, timoris Domini.* Etenim horum est omnium auctor. Qui omnia complet essentia sua, omnia continet, cujus essentia replet orbem terrarum, cujus potentiam mundus non capit, qui bonus est, rectus, princeps natura, non gratia, sanctificat, non sanctificatur, metitur, sed cum nulla comprehendit mensura, se aliis communicat, sed nihil a quoque accipit, implet, non impletur, continet, non continetur; hæreditate percipitur, glorificatur, connumeratur, comminatur, est digitus Dei, ignis, quemadmodum et Deus, quo significantius, ut arbitror, ejusdem essentiæ declaretur: Spiritus qui facit, qui per baptismum recreat, per resurrectionem: Spiritus qui novit omnia, qui docet, qui spirat ubi et quantum vult. Qui dirigit, qui loquitur, qui mittit, qui segregat, qui irritatur, qui tentatur, qui revelat, qui illuminat, qui vivificat, imo qui ipse lux est et vita. Qui homines Dei domicilia facit, divinosque reddit, qui initiat, ut et baptismum præoccupet, et post baptismum requiratur. Qui facit omnia quæ Deus. Qui in linguis igneis dispertitur. Qui munera dilargitur, facit apostolos, prophetas, evangelistas, pastores et doctores. Intelligibilis, multiplex, sapiens, manifestus, qui nullo potest impedimento prohiberi, nullo inquinamento maculari. Quod perinde est, ac si dicas, sapientissimus, et actionibus varius, omnia illustrans et patefaciens, sui juris, immutabilis, omnipotens, cuncta perspiciens, per omnes spiritus intelligibiles, puros et subtilissimos permeans, nempe angelicos et propheticos, atque apostolicos, idque eodem tempore, et aliis alibi distributis; quo per plenum fit, ipsum

nusquam comprehendi nec circumscribi. Qui hæc loquuntur, et docent, eumque Paracletum alium, tanquam alium Deum appellant, qui blasphemiam in ipsum solam non remitti sciunt, qui Ananiam et Saphiram, quod Spiritui sancto, Deo nimirum, non autem homini, mentiti essent, tam horrendo reprehensionis et infamiæ genere confixerunt, ut mortui conciderent, iine tibi Spiritum sanctum, ut Deum, an ui aliud quidpiam videntur prædicare? Næ tu valde rudis es, et ab ipso Spiritu remotissimus, si hac de re dubitas, atque indiges præceptore. Tam multæ igitur sunt, atque ita spirantes appellationes. Quid enim opus est verborum testimonia proferre? Cæterum quæ hic dicuntur humiliora, ut *dari, mitti, dispertiri, donum, munus, insufflatio, promissio, intercessio*, et (ne singula enumerem) si quid aliud ejusmodi est, ea ad primam causam sunt referenda, ut illud, ex quo est, ostendatur, et ne tria divisa principia, et multiplex deorum numerus suscipiatur; par enim impietas est, vel cum Sabellio personas confundere, vel cum Ario naturas dividere.

A ἄλλον Θεὸν ὀνομάζοντες, οἱ τὴν εἰς αὐτὸ βλασφημίαν μόνην εἰδότες ἀσυγχώρητον, οἱ τὸν Ἀνανίαν καὶ τὴν Σάπφειραν οὕτω φοβερῶς στηλιτεύσαντες, ἐπειδὴ ἐψεύσαντο τὸ Πνεῦμα τὸ ἅγιον ὡς Θεὸν ψευσαμένους, οὐκ ἄνθρωπον· οὗτοι τί σοι δοκοῦσι, πότερον Θεὸν τὸ Πνεῦμα κηρύσσειν, ἢ ἄλλο τι; Ὡς λίαν ὄντως παχύς τις εἶ, καὶ πόῤῥω τοῦ Πνεύματος, εἰ τοῦτο ἀπορεῖς, καὶ δέῃ τοῦ διδάξοντος. Αἱ μὲν οὖν κλήσεις τοσαῦται, καὶ οὕτως ἔμψυχοι. Τί γὰρ δεῖ σοι τὰς ἐπὶ τῶν ῥημάτων μαρτυρίας παρατίθεσθαι; Ὅσα δὲ κἀνταῦθα λέγεται ταπεινότερον, τὸ δίδοσθαι, τὸ ἀποστέλλεσθαι, τὸ μερίζεσθαι, τὸ χάρισμα, τὸ δώρημα, τὸ ἐμφύσημα, ἡ ἐπαγγελία, ἡ ὑπερέντευξις, εἴ τέ τι ἄλλο τοιοῦτον, ἵνα μὴ καθ' ἕκαστον λέγω, ἐπὶ τὴν πρώτην αἰτίαν ἀνενεκτέον, ἵνα τὸ ἐξ οὗ δειχθῇ, καὶ μὴ τρεῖς ἀρχαὶ B μεμερισμέναι πολυθέως παραδεχθῶσιν. Ἴσον γὰρ εἰς ἀσέβειαν καὶ Σαβελλίως συνάψαι, καὶ Ἀρειανῶς διαστῆσαι, τὸ μὲν τῷ προσώπῳ, τὸ δὲ ταῖς φύσεσιν.

Ejusdem ex oratione in Epiphaniam.

Quod si magnitudine et gradibus Divinitatem metiris, et idcirco Spiritum parvum existimas, quod in columbæ specie se conspicuum præbuit, o pusille maximis de rebus disputator, potes eadem ratione regnum cœlorum etiam contemnere et aspernari, quoniam sinapis granulo comparatum est, et Jesu amplitudini adversarium anteferre, quod hic quidem mons magnus, et Leviathan, et eorum quæ in aquis sunt, rex appelletur, ille vero agnus, et margarita, et gutta, et aliis ejusmodi nominibus parvis vocetur.

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὰ Φῶτα λόγου.

Εἰ δὲ ὄγκοις, καὶ σταθμοῖς κρίνεις Θεότητα, καὶ διὰ τοῦτο μικρόν σοι τὸ Πνεῦμα, ὅτι ἐν εἴδει περιστερᾶς, ὦ μικρολόγε περὶ τὰ μέγιστα, ὥρα σοι καὶ βασιλείαν οὐρανῶν ἀτιμάζειν, ὅτι κόκκῳ σινάπεως ἀπεικάζεται, καὶ τῆς Ἰησοῦ μεγαλειότητος ὑπεραίρειν τὸν ἀντικείμενον, ὅτι ὁ μὲν ὄρος μέγα καλεῖται, καὶ Λευϊαθὰν, καὶ βασιλεὺς τῶν ἐν τοῖς ὕδασιν, ὁ δὲ ἀμνὸς, καὶ μαργαρίτης, καὶ σταγὼν, καὶ τὰ C τοιαῦτα προσαγορεύεται.

Ejusdem ex oratione in Pentecosten.

Qui Spiritum sanctum in rerum creatarum ordinem dejiciunt, contumeliosi sunt et mali servi, atque adeo malorum pessimi. Malorum enim servorum est, imperium rejicere, et adversus dominationem insurgere, atque id, quod liberum est, in eamdem secum servitutis classem redigere. Qui autem Deum eum censent, divini profecto viri sunt, ac splendido animo præditi. Qui vero etiam appellant, si quidem apud viros probos, sublimes et excelsi sunt: sin autem apud abjectos et humi provolutos, haud satis prudenter agunt; utpote qui luto margaritam, et imbecillæ auri tonitrui sonum, et solem infirmis oculis, et lacte adhuc utentibus solidum cibum committant; cum eos paulatim ad ulteriora promovere, atque ad sublimiora provehere conveniat, lumini lumen largiendo, ac veritati veritatem conciliando. Quocirca nos quoque, perfectiori interim sermone misso facto (nondum enim tempus id postulat), ad hunc modum cum ipsis disseremus.

Τοῦ αὐτοῦ ἐκ τοῦ λόγου τοῦ εἰς τὴν Πεντηκοστήν.

Τὸ Πνεῦμα τὸ ἅγιον οἱ μὲν εἰς κτίσμα κατάγοντες, ὑβρισταὶ, καὶ δοῦλοι κακοὶ, καὶ κακῶν κάκιστοι. Δούλων γὰρ κακῶν, ἀθετεῖν δεσποτείαν, καὶ ἐπανίστασθαι κυριότητι, καὶ ὁμόδουλον ποιεῖν ἑαυτοῖς τὸ ἐλεύθερον. Οἱ δὲ Θεὸν νομίζοντες, ἔνθεοι καὶ λαμπροὶ τὴν διάνοιαν. Οἱ δὲ καὶ ὀνομάζοντες, εἰ μὲν εὐγνώμοσιν, ὑψηλοί· εἰ δὲ ταπεινοῖς, οὐκ οἰκονομικοί· πηλῷ μαργαρίτην πιστεύοντες, καὶ ἀκοῇ σαθρᾷ βροντῆς ἦχον, καὶ ὀφθαλμοῖς ἀσθενεστέροις ἥλιον, καὶ τροφὴν στερεὰν τοῖς ἔτι γάλα ποτιζομένοις· D δέον κατὰ μικρὸν προάγειν αὐτοὺς εἰς τὸ ἔμπροσθεν, καὶ προβιβάζειν τοῖς ὑψηλοτέροις, φωτὶ φῶς χαριζομένους, καὶ ἀληθείᾳ προξενοῦντας ἀλήθειαν· διὸ καὶ ἡμεῖς τὸν τελεώτερον τέως ἀφέντες λόγον (οὔπω γὰρ καιρὸς), οὕτως αὐτοῖς διαλεξόμεθα.

Si quidem, o viri, nec increatum, nec temporis expertem Spiritum sanctum creditis, spiritu adversario haud dubie afflamini: dabitis enim veniam, si zelo commotus, asperius aliquod verbum extulero. Quod si hactenus saltem recte sentitis, ac belle valetis, ut manifestam impietatem fugiatis, atque eum, qui nos quoque liberos efficit, a servili

Εἰ μὲν οὐδὲ ἄκτιστον, ὦ οὗτοι, ὁμολογεῖτε τὸ Πνεῦμα τὸ ἅγιον, οὐδὲ ἄχρονον, τοῦ ἐναντίου πνεύματος σαφῶς ἡ ἐνέργεια· δότε γὰρ τῷ ζήλῳ τι καὶ παρατολμῆσαι μικρόν. Εἰ δὲ τοσοῦτον γοῦν ὑγιαίνετε, ὥστε τὴν πρόδηλον φεύγειν ἀσέβειαν, καὶ τῆς δουλείας ἔξω τιθέναι τὸ καὶ ἡμᾶς ποιοῦν ἐλευθέρους, τὸ ἑξῆς αὐτοὶ σκέψασθε, μετὰ τοῦ ἁγίου Πνεύ-

ματος, καὶ ἡμῶν. Πείθομαι γὰρ πῶς τούτου μετ- A έχειν ὑμᾶς, καὶ ὡς οἰκείοις ἤδη συνδιασκέψομαι. Ἢ δότε μοι τὸ μέσον τῆς δουλείας, καὶ τῆς δεσποτείας, ἵν' ἐκεῖ θῶ τὴν ἀξίαν τοῦ Πνεύματος· ἢ τὴν δουλείαν φεύγοντες, οὐκ ἄδηλον, ὅποι τάξετε τὸ ζητούμενον. Ἀλλὰ ταῖς συλλαβαῖς δυσχεραίνετε, καὶ προσπταίετε τῇ φωνῇ, καὶ λίθος προσκόμματος ὑμῖν τοῦτο γίνεται, καὶ πέτρα σκανδάλου, ἐπεὶ καὶ Χριστὸς τισίν. Ἀνθρώπινον τὸ πάθος. Συμβῶμεν ἀλλήλοις πνευματικῶς. Γενώμεθα φιλάδελφοι μᾶλλον, ἢ φίλαυτοι. Δότε τὴν δύναμιν τῆς θεότητος, καὶ δώσομεν ὑμῖν, τῆς φωνῆς τὴν συγχώρησιν· ὁμολογήσατε τὴν φύσιν ἐν ἄλλαις φωναῖς, αἷς αἰδεῖσθε μᾶλλον· καὶ ὡς ἀσθενεῖς ὑμᾶς ἰατρεύσομεν· ἔστιν ἃ καὶ τῶν πρὸς ἡδονὴν παρακλέψαντες. Αἰσχρὸν B μὲν γὰρ, αἰσχρὸν, καὶ ἱκανῶς ἄλογον, κατὰ ψυχὴν ἐῤῥωμένους, μικρολογεῖσθαι περὶ τὸν ἦχον, καὶ κρύπτειν τὸν θησαυρὸν, ὥσπερ ἄλλοις βασκαίνοντας, ἢ μὴ καὶ τὴν γλῶσσαν ἁγιάσητε δεδοικότας· αἴσχιον δὲ ἡμῖν ὃ ἐγκαλοῦμεν παθεῖν, καὶ μικρολογίαν καταγινώσκοντας, αὐτοὺς μικρολογεῖσθαι περὶ τὰ γράμματα.

ordine eximatis, quod sequitur, una cum Spiritu sancto ac nobis, expendite. Vos quippe quadamtenus ipsius participes esse confido, ac jam velut cum nostris simul rem considerabo. Aut mihi aliquid, quod inter servitutem et dominationem interjectum sit, date, ut illic Spiritus dignitatem collocem : aut, cum servitutis nomen fugiatis, non obscurum erit, quo loco atque ordine id, quod exquiritur, ponetis. At syllabas moleste fertis, atque ad vocem impingitis, lapisque offensionis et petra scandali hoc vobis efficitur [1], nec mirum, cum Christus quoque nonnullis scandalo fuerit. Humanus is quidem affectus. Verum spiritualiter inter nos hanc controversiam transigamus : fraternæ potius charitatis studium, quam nostri amorem præ nobis feramus. Vim divinitatis ac potentiam nobis date, et nos vicissim divinitatis vocem vobis concedemus. Naturam aliis vocibus, quibus plus tribuitis, confiteamini; ac vos, ut infirmos curabimus, nonnulla vobis grata et jucunda suffurantes. Etenim turpe quidem illud est, turpe, inquam, ac perabsurdum, cum animo valeatis, circa vocis sonum jejunos et minutos vos præbere, ac thesaurum occultare, quasi aliis eum invidentes, aut metuentes, ne linguam quoque vestram sanctificetis; turpius autem nobis est, eodem vitio teneri, quod vobis objicimus, atque, cum vestram de minutis rebus contentionem damnemus, minute etiam de litteris disputare.

Μιᾶς Θεότητος, ὦ οὗτοι, τὴν Τριάδα ὁμολογήσατε, εἰ δὲ βούλεσθε, μιᾶς φύσεως· καὶ τὴν Θεὸς φωνὴν παρὰ τοῦ Πνεύματος ὑμῖν αἰτήσομεν. Δώσει γὰρ, εὖ οἶδα, ὁ τὸ πρῶτον δοὺς, καὶ τὸ δεύτερον, καὶ C μάλιστα, εἰ δειλία τις εἴη πνευματικὴ, καὶ μὴ ἔνστασις διαβολικὴ, τὸ μαχόμενον. Ἔτι σαφέστερον εἴπω καὶ συντομώτερον· Μήτε ὑμεῖς ἡμᾶς εὐθύνητε τῆς ὑψηλοτέρας φωνῆς (φθόνος γὰρ οὐδεὶς ἀναβάσεως), οὔτε ἡμεῖς τὴν ἐφικτὴν τέως ὑμῖν ἐγκαλέσομεν, ἕως ἂν καὶ δι' ἄλλης ὁδοῦ πρὸς τὸ αὐτὸ φέρησθε καταγώγιον. Οὐ γὰρ νικῆσαι ζητοῦμεν, ἀλλὰ προσλαβεῖν ἀδελφοὺς, ὧν τῷ χωρισμῷ σπαρασσόμεθα. Ταῦτα ὑμῖν, παρ' οἷς τι καὶ ζωτικὸν εὑρίσκομεν, τοῖς περὶ τὸν Υἱὸν ὑγιαίνουσιν· ὧν τὸν βίον θαυμάζοντες, οὐκ ἐπαινοῦμεν πάντη τὸν λόγον· οἱ τὰ τοῦ Πνεύματος ἔχοντες, καὶ τὸ Πνεῦμα προσλάβετε, ἵνα μὴ ἀθλῆτε μόνον, ἀλλὰ καὶ νομίμως, ἐξ οὗ καὶ ὁ στέφανος. Οὗτος ὑμῖν δοθείη τῆς πολιτείας μισθὸς, ὁμολογῆσαι τὸ Πνεῦμα τελείως, καὶ κηρύξαι D σὺν ἡμῖν τε καὶ πρὸ ἡμῶν ὅσον ἄξιον. Τολμῶ τι καὶ

Trinitatem, o viri, unius Deitatis esse fateamini, aut, si magis placet, unius naturæ; atque hanc vocem, *Deus*, a Spiritu vobis postulabimus. Dabit enim profecto secundum, qui primum dedit, idque potissimum, si id de quo pugnatur, spiritualis quædam timiditas fuerit, non autem diabolica contentio. Atque, ut apertius et compendiosius loquar, sic inter nos agamus, ut nec vos, sublimioris vocis causa, nos in crimen vocetis (nec enim invidia et reprehensione premi debet hujusmodi ascensus); nec nos vicissim eam vocem, cujus modo capaces estis, vobis objiciemus, quandiu alio itinere ad idem hospitium feremini. Non enim victoriam ambimus, sed, ut fratres, quorum disjunctione cruciamur, ad nos redeant, laboramus. Atque hæc ad vos dicta sint, apud quos vitale quidpiam reperimus, quippe qui sane atque integre de Filio sentiatis; quorum, cum vitam mirifice probemus, doctrinam tamen non omni ex parte laudamus; qui cum ea, quæ sunt Spiritus, habeatis, Spiritum quoque insuper assumite, ut non solum certetis, sed etiam legitime, eum hinc quoque coronæ decus comparetur. Hoc vobis morum et vitæ præmium detur, ut Spiritum plene perfecteque confiteamini, ac nobiscum, imo etiam ante nos, quantum æquum est, prædicetis.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Τὸ Πνεῦμα τὸ ἅγιον ἦν μὲν ἀεὶ, καὶ ἔστι, καὶ ἔσται, οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, ἀλλ' ἀεὶ Πατρὶ καὶ Υἱῷ συντεταγμένον, καὶ συναριθμούμενον· οὐδὲ γὰρ ἔπρεπεν ἐλλείπειν ποτὲ, ἢ Υἱὸν Πατρὶ, ἢ Πνεῦμα Υἱῷ. Τῷ μεγίστῳ γὰρ ἂν ἦν ἄδοξος ἡ θεότης, ὥσπερ ἐκ μεταμελείας ἐλθοῦσα εἰς συμπλήρωσιν τελειότητος. Ἦν οὖν ἀεὶ μεταληπτὸν, οὐ

Ex eadem oratione.

Spiritus sanctus semper quidem erat et est, et erit, nec ullo ortu generatus, nec finem habiturus, sed semper cum Patre et Filio conjunctus, atque connumeratus : nec enim conveniebat ut vel Pater Filio, vel Filius Spiritu sancto unquam careret. Nam alioqui maximum divinitati dedecus conflaretur, ut quæ ad perfectionem tanquam ex pœniten-

[1] Isa. viii, 14; Rom. ix, 33.

tia venisset. Erat igitur semper perceptibilis, non particeps; perficiens, non ab alio perfectus; explens, non expletus; sanctificans, non sanctificatus; deificans, non deificatus: ipse semper, et secum, et cum iis, quibus adjunctus est, idem et æqualis; invisibilis, temporis expers, nullo loco inclusus, immutabilis; qualitate, quantitate, forma et tactu carens, seipsum movens, ac sempiternum motum habens, arbitrii liber, per se potens, omnipotens (tametsi ad primam causam, ut omnis ea quæ Unigeniti sunt, ita etiam quæ Spiritus sancti sunt, referantur); vita, et vivificans; lux, et lucis largitor; bonitas ipsa, et fons bonitatis; Spiritus rectus, principalis, dominus, mittens, segregans, templum sibi exstruens, viam præmonstrans, arbitratu suo operans, gratiasque dividens; Spiritus adoptionis, veritatis, sapientiæ, intellectus, scientiæ, pietatis, consilii, fortitudinis [1], timoris, quemadmodum numerantur; per quem Pater cognoscitur, et Filius glorificatur, et a quibus solis ipse cognoscitur, una classis, unus cultus, una adoratio, potentia, perfectio, sanctitas. Quid pluribus verbis opus est? Omnia, quæcunque Pater habet, sunt Filii, præterquam quod ingenitus non est. Omnia quæcunque Filius, Spiritus sancti sunt, si generationem exceperis. Hæc porro substantiam non secernunt, ut quidem ipse sentio, verum circa substantiam secernuntur.

μεταληπτικόν· τελειοῦν, οὐ τελειούμενον· πληροῦν, οὐ πληρούμενον· ἁγιάζον, οὐχ ἁγιαζόμενον· θεοῦν, οὐ θεούμενον· αὐτὸ ἑαυτῷ ταυτὸν ἀεί, καὶ οἷς συντέτακται· ἀόρατον, ἄχρονον, ἀχώρητον, ἀναλλοίωτον, ἄποιον, ἄποσον, ἀνείδεον, ἀναφές, αὐτοκίνητον, ἀεικίνητον, αὐτεξούσιον, αὐτοδύναμον, παντοδύναμον (εἰ καὶ πρὸς τὴν πρώτην αἰτίαν, ὥσπερ τὰ τοῦ Μονογενοῦς ἅπαντα, οὕτω δὴ καὶ τὰ τοῦ Πνεύματος ἀναπέμπεται)· ζωή, καὶ ζωοποιόν· φῶς, καὶ χορηγὸν φωτός· αὐτοαγαθόν, καὶ πηγὴ ἀγαθότητος· Πνεῦμα εὐθές, ἡγεμονικόν, κύριον, ἀποστέλλον, ἀφορίζον, ναοποιοῦν ἑαυτῷ, ὁδηγοῦν, ἐνεργοῦν ὡς βούλεται, διαιροῦν χαρίσματα· Πνεῦμα υἱοθεσίας, ἀληθείας, σοφίας, συνέσεως, γνώσεως, εὐσεβείας, βουλῆς, ἰσχύος, φόβου, τῶν ἀπηριθμημένων· δι' οὗ Πατὴρ γινώσκεται, καὶ Υἱὸς δοξάζεται, καὶ παρ' ὧν μόνων γινώσκεται, μία σύνταξις, λατρεία μία, προσκύνησις, δύναμις, τελειότης, ἁγιασμός. Τί μοι μακρολογεῖν; Πάντα ὅσα ὁ Πατήρ, τοῦ Υἱοῦ, πλὴν τῆς ἀγεννησίας. Πάντα ὅσα ὁ Υἱός, τοῦ Πνεύματος, πλὴν τῆς γεννήσεως. Ταῦτα δὲ οὐκ οὐσίας ἀφορίζει, κατά γε τὸν ἐμὸν λόγον, περὶ οὐσίαν δὲ ἀφορίζεται.

Ex eadem oratione.

Primum igitur Spiritus sanctus in angelicis, et cœlestibus virtutibus, iisque, quæ post Deum primæ sunt, eumque circumstant, vim suam exercebat. Neque enim aliunde perfectionem et splendorem habent, idque præterea, ut ad malum ægre, vel nullo prorsus modo moveri queant, quam a Spiritu sancto. Deinde in Patribus et prophetis, quorum alii Deum per imaginem viderunt, aut cognoverunt, alii autem etiam res futuras præsciverunt, impressam nimirum per Spiritum sanctum principem animi partem habentes, et cum futuris tanquam cum præsentibus versantes. Hujusmodi quippe Spiritus vis ac potentia est. Tum in Christi discipulis (Christum enim prætermitto, cui aderat, non ut operans, sed ut æqualem comitans); iisque trifariam, prout ipsorum captus ferebat, tribusque temporibus: nempe, antequam Christus per Passionem glorificatus esset: postquam per Resurrectionem glorificatus fuit: ac denique post ejus ad cœlos Ascensionem, sive restitutionem, sive quocunque alio nomine res ea sit appellanda. Hoc autem perspicue ostendit, tum prima illa morborum spirituumque depulsio, quæ scilicet non absque Spiritus numine fiebat; tum illa post confectum salutis nostræ negotium insufflatio, quæ divinioris proculdubio inspirationis specimen habebat; tum postremo præsens hæc ignearum linguarum divisio, quam etiam solemni festo celebramus. Verum primo quidem, obscure; deinde, expressius; nunc vero, perfectius, utpote qui non jam operatione sola præsens sit, ut prius, sed essentiali, ut sic lo-

Ἐκ τοῦ αὐτοῦ λόγου.

Τοῦτο ἐνήργει, πρότερον μὲν ἐν ταῖς ἀγγελικαῖς καὶ οὐρανίοις δυνάμεσι, καὶ ὅσαι πρῶται μετὰ Θεόν, καὶ περὶ Θεόν. Οὐ γὰρ ἄλλοθεν αὐταῖς ἡ τελείωσις καὶ ἡ ἔλλαμψις, καὶ τὸ πρὸς κακίαν δυσκίνητον, ἢ ἀκίνητον, ἢ παρὰ τοῦ ἁγίου Πνεύματος. Ἔπειτα ἐν τοῖς Πατράσι, καὶ ἐν τοῖς προφήταις, ὧν οἱ μὲν ἐφαντάσθησαν Θεόν, ἢ ἔγνωσαν, οἱ δὲ καὶ τὸ μέλλον προέγνωσαν τυπούμενοι τῷ Πνεύματι τὸ ἡγεμονικόν, καὶ ὡς παροῦσι συνόντες τοῖς ἐσομένοις. Τοιαύτη γὰρ ἡ τοῦ Πνεύματος δύναμις. Ἔπειτα ἐν τοῖς Χριστοῦ μαθηταῖς (ἐῶ γὰρ Χριστὸν εἰπεῖν, ᾧ παρῆν, οὐχ ὡς ἐνεργοῦν, ἀλλ' ὡς ὁμοτίμῳ συμπαρομαρτοῦν)· καὶ τούτοις τρισσῶς, καθ' ὅσον οἷοί τε ἦσαν χωρεῖν, καὶ κατὰ καιροὺς τρεῖς· πρὶν δοξασθῆναι Χριστὸν τῷ Πάθει· μετὰ τὸ δοξασθῆναι τῇ Ἀναστάσει· μετὰ τὴν εἰς οὐρανοὺς Ἀνάβασιν, ἢ ἀποκατάστασιν, ἢ ὅ τι χρὴ λέγειν. Δηλοῖ δὲ ἡ πρώτη τῶν νόσων, καὶ ἡ τῶν πνευμάτων κάθαρσις, οὐκ ἄνευ Πνεύματος δηλαδὴ γενομένη· καὶ τὸ μετὰ τὴν οἰκονομίαν ἐμφύσημα, σαφῶς ὂν ἔμπνευσις θειοτέρα· καὶ ὁ νῦν μερισμὸς τῶν πυρίνων γλωσσῶν, ὃ καὶ πανηγυρίζομεν. Ἀλλὰ τὸ μὲν πρῶτον, ἀμυδρῶς· τὸ δὲ δεύτερον, ἐκτυπώτερον· τὸ δὲ νῦν, τελεώτερον, οὐκ ἔτι ἐνεργείᾳ παρόν, ὡς πρότερον, οὐσιωδῶς δέ, ὡς ἂν εἴποι τις, συγγινόμενόν τε καὶ συμπολιτευόμενον. Ἔπρεπε γάρ, Υἱοῦ σωματικῶς ἡμῖν ὁμιλήσαντος, καὶ αὐτὸ φανῆναι σωματικῶς· καὶ Χριστοῦ πρὸς ἑαυτὸν ἐπανελθόντος, ἐκεῖνο πρὸς ἡμᾶς κατελθεῖν· ἐρχόμενον μὲν ὡς Κύριον, πεμπόμενον δὲ ὡς οὐκ ἀντίθεον. Αἱ γὰρ τοιαῦται φωναὶ οὐχ ἧττον τὴν ὁμόνοιαν δηλοῦσιν, ἢ φύσεις χωρίζουσιν.

[1] Isa. xi, 12.

quæ, modo adsit, simulque versetur. Nam cum Filius corpoream nobiscum consuetudinem habuisset, Spiritum quoque corporeo modo cerni conveniebat; et cum Christum ad sese reversus esset, eum ad nos descendere et quidem ita, ut et, tanquam Dominus, veniret, et, tanquam Deo nequaquam oppositus, mitteretur. Etenim hujusmodi voces non minus concordiam declarant, quam naturam distrahunt.

Διὰ τοῦτο, μετὰ Χριστὸν μὲν, ἵνα Παράκλητος ἡμῖν μὴ λείπῃ· Ἄλλος δὲ, ἵνα σὺ τὴν ὁμοτιμίαν ἐνθυμηθῇς. Τὸ γὰρ, *ἄλλος*, ἄλλος οἷος ἐγὼ, καθίσταται. Τοῦτο δὲ συνδεσποτείας, ἀλλ' οὐκ ἀτιμίας ὄνομα. Τὸ γὰρ, *ἄλλος*, οὐκ ἐπὶ τῶν ἀλλοτρίων, ἀλλ' ἐπὶ τῶν ὁμοουσίων οἶδα λεγόμενον.

Idcirco, post Christum quidem accedit, ne Paracletus nobis desit: *Alius* autem, ut tu honoris æqualitatem cogites. Quod enim ait, *alius*, alium, qualis ego sum, constituit. Hoc porro nomen parem imperii gradum indicat, non ignominiam. Vox enim, *alius*, non de alienis, sed de iis, quorum eadem substantia est, usurpatur.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Κληδόνιον λογοειδοῦς β' ἐπιστολῆς.

B Ἡμεῖς τῆς κατὰ Νίκαιαν πίστεως τῶν ἁγίων Πατέρων, τῶν ἐκεῖσε συνελθόντων ἐπὶ καθαιρέσει τῆς Ἀρειανῆς α!ρέσεως οὐδὲν οὔτε προετιμήσαμεν πώποτε, οὔτε προτιμᾷν δυνάμεθα, ἀλλ' ἐκείνης ἐσμὲν τῆς πίστεως, καὶ ἐσόμεθα, σὺν Θεῷ, προσδιαρθροῦντες τὸ ἐλλειπῶς εἰρημένον ἐκείνοις περὶ τοῦ ἁγίου Πνεύματος, διὰ τὸ μὴ κεκινῆσθαι τὸ τηνικαῦτα τουτὶ τὸ ζήτημα, ὅτι μιᾶς Θεότητος εἰδέναι χρὴ τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, Θεὸν καὶ τὸ Πνεῦμα γινώσκοντας.

Ejusdem ex altera ad Cledonium epistola, quæ præ longitudine instar est libri.

Nos fidei, quæ in concilio Nicæno a sanctis Patribus, illic ad evertendam hæresim Arianam congregatis, declarata est, nihil unquam anteposuimus, nec anteponere possumus: sed ex illa sumus fide, atque erimus, Deoque auxiliante quod ab illis audita absolute de Spiritu sancto, propterea quod hæc quæstio tunc non tractabatur, dictum est, explicabimus. Cum enim decrevissent, oportere credere unius esse divinitatis Patrem, et Filium, Spiritum sanctum Deum utique et Spiritum sanctum agnoscebant.

Ἔτι κατὰ τῶν Πνευματομάχων τοῦ Νύσσης ἐκ τοῦ Λόγου τοῦ πρὸς Σιμπλίκιον.

Περὶ δὲ τοῦ Πνεύματος τοῦ ἁγίου οἱ βλασφημοῦντες τὸ αὐτὸ λέγουσιν, ὃ καὶ περὶ τοῦ Κυρίου, ὅτι ἐστὶ καὶ τοῦτο κτιστόν. C Ἡ δὲ Ἐκκλησία ἐπίσης, ὡς περὶ τοῦ Υἱοῦ, οὕτω καὶ περὶ του ἁγίου Πνεύματος πιστεύει, ὅτι ἐστὶν ἄκτιστον, καὶ ὅτι πᾶσα ἡ κτίσις ἐκ τῆς τοῦ ὑπερκειμένου ἀγαθοῦ μετουσίας γίνεται ἀγαθή. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἀπροσδεές ἐστι τοῦ ἀγαθύνοντος. Ἀγαθὸν γὰρ φύσει ἐστὶ, καθὼς ἡ Γραφὴ μαρτυρεῖ. Καὶ ὅτι ἡ κτίσις ὁδηγεῖται παρὰ τοῦ Πνεύματος, τὸ δὲ Πνεῦμα τὴν ὁδηγίαν χαρίζεται. Ἡ κτίσις ἡγεμονεύεται, τὸ δὲ Πνεῦμα ἡγεμονεύει. Ἡ κτίσις παρακαλεῖται, τὸ δὲ Πνεῦμα παρακαλεῖ. Ἡ κτίσις δουλεύει, τὸ δὲ Πνεῦμα ἐλευθεροῖ. Ἡ κτίσις σοφίζεται, τὸ δὲ Πνεῦμα τὴν τῆς σοφίας δίδωσι χάριν. Ἡ κτίσις μεταλαμβάνει τῶν χαρισμάτων, τὸ δὲ Πνεῦμα κατ' ἐξουσίαν χαρίζεται. Πάντα γὰρ ἐνεργεῖ ταῦτα τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. D Καὶ μυρίας ἄλλας ἐκ τῶν Γραφῶν ἔστιν ἀποδείξεις εὑρεῖν, ὅτι πάντα τὰ ὑψηλὰ καὶ θεοπρεπῆ νοήματα, ὅσα παρὰ τῆς Γραφῆς τῷ Πατρὶ καὶ Υἱῷ ἐφαρμόζεται, ταῦτα καὶ περὶ τὸ ἅγιον θεωρεῖται Πνεῦμα, ἡ ἀφθορία, ἡ μακαριότης, τὸ ἀγαθὸν, τὸ σοφὸν, τὸ δυνατὸν, τὸ δίκαιον, ἡ ἁγιότης, πᾶν τίμιον ὄνομα οὕτω λέγεται ἐπὶ τοῦ ἁγίου Πνεύματος, ὡς καὶ ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ λέγεται, πλὴν τούτων, δι' ὧν αἱ ὑποστάσεις τρανῶς τε καὶ ἀσυγχύτως ἀπ' ἀλλήλων διαχωρίζονται. Λέγω δὲ, ὅτι οὔτε Πατὴρ λέγεται τὸ Πνεῦμα τὸ ἅγιον, οὔτε Υἱός, τὰ δὲ ἄλλα, ὅσα ὁ Πατὴρ καὶ ὁ Υἱὸς ὀνομάζεται, ταῦτα καὶ τῷ ἁγίῳ Πνεύματι παρὰ τῆς Γραφῆς ἐφαρμόζεται. Διὰ τούτων οὖν καταλαμβάνομεν, ὅτι ἄνω τῆς κτίσεώς ἐστι

Item adversum Spiritus oppugnatores, Gregorii Nyssæ pontificis ex oratione ad Simpliclum.

Quod autem de Domino, idem de Spiritu sancto contumeliosi homines dicunt, nempe ipsum quoque creatum esse. Ecclesia vero ut de Filio, sic etiam de Spiritu sancto pariter credit, creatum non esse; et res omnes creatas ex supremi boni communione fieri bonas, Spiritum sanctum autem nemine, a quo bonus fiat, indigere: natura enim esse bonum, ut Scriptura testatur. Res creatas a Spiritu sancto dirigi, ipsum eis directionem largiri; res procreatas duci, Spiritum esse ductorem; res creatas consolationem accipere, Spiritum esse consolatorem; res creatas esse servas, Spiritum eas in libertatem vindicare; res creatas sapientes fieri, Spiritum sapientiæ gratiam elargiri; res creatas munerum participes effici, Spiritum munera tribuere; hæc enim omnia agit unus et idem Spiritus, dividens sigillatim unicuique, uti vult. Innumerabilia possunt alia ex Scripturis testimonia depromi, quibus perspicuum fit, omnia sublimia divinaque nomina, quæ Patri Filioque tribuuntur, ad Spiritum sanctum etiam pertinere, cujusmodi sunt immortalitas, beatitudo, bonitas, sapientia, potentia, justitia, sanctitas, quidquid denique præclarum de Patre et Filio dicitur, id item de Spiritu sancto, exceptis iis quibus vere et sine confusione distinguuntur ipsæ personæ. Exempli gratia, nec Pater dicitur, nec Filius. Reliqua vero nomina, quibus Pater Filiusque vocantur, a Scriptura in Spiritum sanctum etiam conferuntur. Ex his ergo colligimus, Spiritum sanctum rebus creatis esse præstantiorem. Quapropter ubi Pater et Filius intelligitur, illic etiam intelligitur Spiritus sanctus. Porro re

bus creatis præstantior est Pater et Filius, ex quo sequitur ut præstantior item sit Spiritus sanctus. Itaque qui rebus creatis Spiritum sanctum anteponit, is rectam et sanam doctrinam complexus est. Unam enim naturam increatam in Patre, et Filio, et Spiritu sancto confitebitur. Verum quoniam, ut probent Spiritum sanctum esse creatum, afferunt verba Prophetæ dicentis : *Qui firmat tonitruum, et creat spiritum, et enuntiat ad homines Christum suum* [1], sciendum est, alium a Propheta dici spiritum in tonitruo firmando creari, non autem Spiritum sanctum. Mystica enim ratione per tonitruum intelligitur Evangelium. In quibus igitur firma gignitur et immobilis in Evangelium fides, ii per fidem ex eo, quod caro sunt, spiritus fiunt. Nam, ut Dominus ait *Quod natum est ex carne, caro est : et quod natum est ex Spiritu, spiritus est.* Deus igitur est, qui vocem evangelicam credentibus confirmans, eum, qui credit, spiritum efficit. Qui autem ex Spiritu natus est, per ejusmodi vocem effectus est spiritus, Christum enuntiat : quoniam, inquit Apostolus, *nemo potest dicere Dominum Jesum, nisi in Spiritu sancto* [2].

A τὸ Πνεῦμα τὸ ἅγιον. Οὐκοῦν ὅπου Πατὴρ, καὶ ὅπου Υἱὸς νοεῖται, ἐκεῖ νοεῖται καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ἄνω γὰρ τῆς κτίσεως ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ὅπερ καὶ τῷ ἁγίῳ Πνεύματι ἡ ἀκολουθία τοῦ λόγου προσεμαρτύρησεν. Ὁ τοίνυν ὑπερτιθεὶς τῆς κτίσεως τὸ Πνεῦμα τὸ ἅγιον ἀκολούθως τὸν ὀρθόν τε καὶ ὑγιῆ παρεδέξατο λόγον. Μίαν γὰρ ὁμολογήσει τὴν ἄκτιστον φύσιν, τὴν ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι θεωρουμένην. Ἐπεὶ δὲ εἰς ἀπόδειξιν, ὡς οἴονται, τοῦ κτιστὸν εἶναι τὸ Πνεῦμα τὸ ἅγιον τὴν τοῦ Προφήτου φωνὴν ἡμῖν προφέρουσι, τὴν λέγουσαν· *Ὁ στερεῶν βροντὴν, καὶ κτίζων πνεῦμα, καὶ ἀπαγγέλλων ἀνθρώποις τὸν Χριστὸν αὐτοῦ*, τοῦτο προσήκει νοῆσαι, ὅτι ἄλλο κτίζεσθαι πνεῦμα ἐν τῇ στερεότητι τῆς βροντῆς ὁ Προφήτης λέγει, καὶ B οὐχὶ τὸ ἅγιον Πνεῦμα. Βροντὴν γὰρ ὁ μυστικὸς ὀνομάζει λόγος τὸ Εὐαγγέλιον. Ἐν οἷς οὖν γίνεται βεβαία καὶ ἀμετάθετος ἡ εἰς τὸ Εὐαγγέλιον πίστις, οὗτοι διὰ τῆς πίστεως μεταβαίνουσιν ἀπὸ τοῦ εἶναι σάρκες εἰς τὸ γίνεσθαι πνεῦμα, καθὼς λέγει ὁ Κύριος, ὅτι τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστι. Θεὸς οὖν ὁ διὰ τοῦ στερεοποιεῖν τὴν εὐαγγελικὴν φωνὴν τοῖς πιστεύουσι πνεῦμα ποιῶν τὸν πιστεύοντα. Ὁ δὲ ἐκ τοῦ Πνεύματος γεννηθεὶς, καὶ πνεῦμα διὰ τῆς τοιαύτης βροντῆς γενόμενος ἀπαγγέλλει τὸν Χριστὸν, καθὼς ὁ Ἀπόστολος λέγει, *Οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν εἰ μὴ ἐν Πνεύματι ἁγίῳ.*

Ejusdem ex oratione de Filii et Spiritus divinitate.

C Spiritus oppugnatores eum in Scriptura Deum appellatum negant, aiuntque divinitatis vocabulo naturam significari. Quod quidem cum Spiritui tributum non sit, colligunt ejusdem non esse naturæ cum Patre et Filio Spiritum sanctum. Sed stulti maledicti sui serpentem accusatorem accipiant. Ostendit enim divinitatis vocabulo non naturam divinam, sed spectandi vim significari, cum primis parentibus consulens, ut arborem vetitam attingerent: *Aperientur*, inquit, *oculi vestri, et eritis sicut dii* [3]. Divinitatis ergo vocabulum non naturam, sed videndi indicat facultatem. Negabunt igitur videri Spiritum sanctum et hac de re decertabunt? Si igitur videt reipsa nominatus est Deus. Quod si id quærunt ex Scriptura intelligere, quis Ananiæ sacrilegium vidit, quod in occulto cum conjuge solus D commisit? Quis illud Petro denuntiavit? nonne Spiritus sanctus? Qui et in Petro erat, et Ananiæ aderat? Idcirco Petrus : *Ad quid*, inquit, *implevit Satanas cor tuum ut mentireris Spiritui sancto? Non es mentitus hominibus, sed Deo* [4]. Quemadmodum igitur, qui ratione præditum contumelia afficit, hominem afficit contumelia, et non in duos illam confert; ad unam enim personam duobus nominibus definitam id refertur : sic et Petrus cum et Spiritui et Deo diceret Ananiam esse mentitum, unum, non duos pie sentientibus demonstravit.

Τοῦ αὐτοῦ ἐκ τοῦ λόγου τοῦ περὶ θεότητος Υἱοῦ καὶ Πνεύματος.

Φασὶν οἱ Πνευματομάχοι μήτε προσειρῆσθαι Κύριον τὸ Πνεῦμα παρὰ τῆς ἁγίας Γραφῆς, ὡς αὐτοὶ νομίζουσι, καί φασι φύσεως μὲν σημαντικὴν εἶναι τὴν θεότητα, τοῦ δὲ ὀνόματος τούτου μὴ ἐπικειμένου τῷ Πνεύματι, τὸ μὴ τῆς αὐτῆς φύσεως εἶναι τῷ Πατρὶ καὶ τῷ Υἱῷ τὸ Πνεῦμα κατασκευάζουσι. Λαβέτωσαν δὲ τῆς ἀνοήτου αὐτῶν βλασφημίας τὸν ὄφιν κατήγορον. Δεικνὺς γὰρ, ὅτι τὸ τῆς θεότητος ὄνομα τῆς ὁρατικῆς ἐνεργείας ἔχει τὴν σημασίαν, ἀλλ' οὐ τῆς θείας ἐστὶ δηλωτικὸν φύσεως, συμβουλεύων ἅψασθαι τοῦ ἀπηγορευμένου φυτοῦ τοῖς πρωτοπλάστοις εἴρηκεν, ὅτι *Ἀνοιγήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς θεοί.* Οὐκοῦν οὐ τὴν θείαν φύσιν, ἀλλὰ τὴν θεατικὴν δύναμιν ἡ τῆς θεότητος προσηγορία παρέστησεν. Ἆρ' οὖν οὐχ ὁμολογοῦσι θεᾶσθαι τὸ Πνεῦμα τὸ ἅγιον, ἢ καὶ περὶ τούτου ζυγομαχήσουσιν; Εἰ μὲν οὖν τεθέαται τῇ ἐνεργείᾳ, πάντως ἐπονομάζεται· εἰ δὲ καὶ τοῦτο ζητοῦσι λόγῳ μαθεῖν, τίς Ἀνανίου τὴν ἱεροσυλίαν τεθέαται, ἣν ἐν παραβύστῳ μετὰ τῆς ὁμοζύγου μόνος εἰργάσατο; Τίς αὐτὴν ἀνήγγειλε τῷ Πέτρῳ; οὐχὶ τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐν Πέτρῳ ἦν, καὶ τῷ Ἀνανίᾳ παρῆν; Διὰ τοῦτό φησιν ὁ Πέτρος· *Εἰς τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον; Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ.* Ὥσπερ τοίνυν ὁ λέγων, ὅτι ὁ τὸ λογικὸν ὑβρίσας τὸν ἄνθρωπον ὕβρισεν, οὐκ εἰς δύο τινὰς φέρει τὴν ὕβριν, ἀλλὰ πρὸς ἓν πρόσωπόν ἐστιν ἡ ἀναφορὰ, διαφόροις ὀνόμασι γνωριζομένη· οὕτω καὶ ὁ Πέτρος, καὶ Πνεῦμα, καὶ Θεὸν εἰπὼν παρὰ τοῦ Ἀνανίου διεψευσμένον, ταυτὸ τὰ δύο τοῖς νοοῦσιν εὐσεβῶς ἀποδείκνυσιν.

[1] Psal. CXXXI, 17. [2] I Cor. XII, 3. [3] Gen. III, 5. [4] Act. V, 3, 4.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ προσευχῆς τρίτου λόγου.

A

Ὁ μὲν εὐαγγελιστὴς Ματθαῖος, *Ἐλθέτω ἡ βασιλεία σου*, φησίν· ὁ δὲ Λουκᾶς ἀντὶ τοῦ, « Ἐλθέτω ἡ βασιλεία σου, » *Ἐλθέτω τὸ ἅγιόν σου Πνεῦμα ἐφ' ἡμᾶς, καὶ καθαρισάτω ἡμᾶς*, εἴρηκε. Τί ἐροῦσι πρὸς ταῦτα οἱ θρασυστομοῦντες κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου; Ποίᾳ διανοίᾳ τὸ τῆς βασιλείας ὕψος εἰς ταπεινότητα δουλείας μετασκευάζουσι; Βασιλεία τὸ Πνεῦμα τὸ ἅγιόν ἐστιν, ὡς ὁ εὐαγγελιστὴς Λουκᾶς βοᾷ διαῤῥήδην. Ἡ δὲ βασιλεία βασιλεύει πάντως, οὐ βασιλεύεται. Εἰ οὖν βασιλεύει τὸ Πνεῦμα, πῶς τῇ δουλευούσῃ φύσει τοῦτο συναριθμοῦσιν οἱ ματαιόφρονες;

Ἐκ τοῦ αὐτοῦ λόγου.

B

Ἐλθέτω τὸ ἅγιόν σου Πνεῦμα ἐφ' ἡμᾶς, καὶ καθαρισάτω ἡμᾶς, φησὶν ὁ Λουκᾶς. Εἰ οὖν τὸ ἀφιέναι ἁμαρτίας μόνου τοῦ Θεοῦ ἐστιν, ὡς καὶ αὐτοὶ ἔλεγον οἱ ἄπιστοι Ἰουδαῖοι, ὁ τὴν δύναμιν τῆς ἀφέσεως τῶν ἁμαρτιῶν τῷ ἁγίῳ Πνεύματι προσμαρτυρήσας συνεμαρτύρησε πάντως αὐτῷ καὶ τὴν θεότητα. Ἀλλὰ μὴν αὐτὸ τοῦτο καὶ τῷ Μονογενεῖ προσμαρτυρεῖ ὁ Ἀπόστολος. *Καθαρισμὸν γάρ*, φησί, *τῶν ἁμαρτιῶν ἡμῶν ποιησάμενος, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης τοῦ Πατρός*. Οὐκοῦν ἓν ἑκατέρων τὸ ἔργον, τοῦ τε καθαρίζοντος τὰς ἁμαρτίας Πνεύματος, καὶ τοῦ τὸν καθαρισμὸν πεποιηκότος Χριστοῦ. Ὧν δὲ ἡ ἐνέργεια μία, τούτων καὶ ἡ δύναμις πάντως ἡ αὐτή. Πᾶσα γὰρ ἐνέργεια δυνάμεώς ἐστιν ἀποτέλεσμα. Εἰ οὖν καὶ ἐνέργεια, καὶ δύναμις μία, C πῶς ἔστιν ἑτερότητα φύσεως νοῆσαι, ἐν οἷς οὐδεμίαν κατὰ τὴν δύναμίν τε καὶ ἐνέργειαν διαφορὰν ἐξευρίσκομεν;

Ἐκ τοῦ αὐτοῦ λόγου.

Τὸ μὲν ἅγιον Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ ὂν καὶ Χριστοῦ Πνεῦμά ἐστι καὶ λέγεται, ὁ δὲ Υἱὸς ἐκ τοῦ Θεοῦ ὤν, οὐκέτι καὶ τοῦ Πνεύματος ἐστιν, οὐδὲ λέγεται, οὐδὲ ἀντιστρέφει ἡ σχετικὴ αὕτη ἀκολουθία, ὡς δύνασθαι κατὰ τὸ ἴσον δι' ἀναλύσεως ἀντιστραφῆναι τὸν λόγον, καὶ ὥσπερ Χριστοῦ τὸ Πνεῦμα λέγομεν, οὕτω καὶ τοῦ Πνεύματος Χριστὸν ὀνομάζειν.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ βαπτίσματος λόγου.

Βαπτίζοντες αὐτούς, φησί, *εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος*. Πῶς D εἰς τὸ ὄνομα τοῦ Πατρός; Ἐπειδὴ ἀρχὴ τῶν πάντων. Πῶς εἰς τὸ τοῦ Υἱοῦ; Ἐπειδὴ δημιουργὸς τῆς κτίσεως. Πῶς εἰς τὸ τοῦ ἁγίου Πνεύματος; Ἐπειδὴ τελειωτικὸν τῶν πάντων. Διατί τὰς τρεῖς ὑποστάσεις κατακερματίζεις εἰς διαφόρους φύσεις, καὶ τρεῖς ἐργάζῃ θεοὺς ἀνομοίους ἀλλήλων, μίαν παρὰ πάντων καὶ τὴν αὐτὴν χάριν δεχόμενος;

Ἐκ τοῦ αὐτοῦ λόγου.

Φησὶ τὸ ἅγιον Πνεῦμα διὰ τοῦ Δαβίδ· *Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνετε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπεί-*

Ejusdem ex oratione tertia de precatione.

Adveniat, Matthæus inquit [1], *regnum tuum*. Quorum verborum loco: *Adveniat*, inquit Lucas, *Spiritus sanctus tuus in nos, et nos expurget*. Quid ad hæc respondebunt qui ore impudenti audent Spiritum sanctum impugnare? Qua mente regni sublimitatem in servitutis transferent humilitatem? Regnum est, ut Lucas aperte clamat, Spiritus sanctus, quod quidem regnum omnibus imperat, non autem imperio subjectum est. Quod si Spiritus imperat, quomodo illum dementes isti cum natura serviente connumerant?

Ex eadem oratione.

Adveniat, inquit Lucas, *Spiritus sanctus tuus in nos, et nos emundet*. Quod si solius est Dei peccata dimittere, id quod ipsi quoque Judæi increduli dixerunt, qui testimonio suo tribuit Spiritui sancto remittendi peccata facultatem, is eidem etiam divinitatem attribuit. Atqui eamdem facultatem Apostolus tribuit Unigenito: *Purgationem*, inquiens, *peccatorum nostrorum faciens sedit in dextera magnitudinis Dei* [2]. Unum igitur est opus utriusque, tum Spiritus peccata expurgantis, tum Christi purgationem facientis. Quorum autem una est actio, eorum et vis eadem omnino. Omnis enim actio facultatis perfectio est. Quamobrem si actio et vis est eadem, quomodo naturæ diversitas intelligi potest in illis, in quibus nullum facultatis actionisque discrimen deprehendimus?

Ex eadem oratione.

Spiritus sanctus et ex Deo est, et Christi Spiritus est atque dicitur. Filius autem cum ex Deo sit, non Spiritus etiam est, neque dicitur. Hæc enim ordinis series non sequitur, ut ex æquo per resolutionem sibi vicissim ratio respondeat, et quemadmodum Christi Spiritum dicimus, sic etiam ipsius Spiritus Christum appellemus.

Ejusdem ex oratione de baptismo.

Baptizantes, inquit, *eos in nomine Patris et Filii et Spiritus sancti* [3]. Cur in nomine Patris? Quia rerum est omnium principium. Cur in nomine Filii? Quia est rerum omnium procreatarum effector. Cur in nomine Spiritus sancti? Quia res perficit universas. Quid igitur tu, cum unam ab omnibus eamdemque gratiam accipias, has tres personas in naturas diversas dividis, tresque inter se dissimiles deos facis?

Ex eadem oratione.

Spiritus sanctus per Davidem: *Hodie*, inquit, *si vocem ejus audieritis, nolite obdurare corda vestra, sicut in exacerbatione, secundum diem tentationis in deserto, ubi tentaverunt me patres vestri* [4]. Hæc

[1] Matth. vi, 10. [2] Hebr. i, 3. [3] Matth. xxviii, 19. [4] Psal. xciv, 8, 9.

divus Apostolus commemorans : *Sic dicit*, inquit, *Spiritus sanctus*, atque ita verba hæc recitat, tribuens ea Spiritui sancto [1]. Quis igitur est ille, quem tentaverunt patres ipsorum in deserto, quem irritaverunt? Accipe ab ipso Propheta dicente : *Deum altissimum tentaverunt* [2]. Atqui Apostolus cum Spiritus sancti personam ante nominasset, illi verba hæc tribuit : *Quapropter*, inquiens, *sicut dicit Spiritus sanctus : Secundum diem tentationis in deserto, ubi tentaverunt me patres vestri.* Quare quem Deum altissimum appellavit Propheta, hunc D. Apostolus Spiritum sanctum esse dicit. Itaque si Spiritus sanctus, *Tentaverunt*, inquit, *me patres vestri in deserto;* Propheta vero eum, qui tentatus est in deserto, Deum altissimum esse testatur, obstruuntur ora Spiritum oppugnantium, et loquentium iniqua, cum aperte tum Apostolus, tum Propheta, ex iis quæ dicta sunt, Spiritus prædicent divinitatem.

Ejusdem ex oratione ad Eustathium, scripta in eos qui Spiritum sanctum impugnant.

Cum apostolis de baptismo Dominus mandata daret, Patri et Filio conjunxit Spiritum. Proinde qui in ea facultate, qua vita tribuitur, et per quam natura nostra ex corrupta redditur incorrupta, conjungitur, in omnibus habebit cum Patre et Filio conjunctionem.

Ex eadem oratione.

Si diversas inter se viderimus actiones, quæ a Patre, et Filio, et Spiritu sancto proficiscuntur, diversas item agentium naturas ex actionum diversitate conjiciamus. Neque enim fieri potest, ut quæ naturæ differunt ratione, actionum genere copulentur. Sin unam Patris et Filii et Spiritus sancti actionem esse cognoverimus, necessario ex eadem actionum vi naturæ conjunctionem colligemus. Sanctos efficit, consolatur, vitam præbet, et alia ejusdem generis sine ullo discrimine præstat tum Pater, tum Filius, tum Spiritus sanctus. Itaque quorum una atque eadem est actio, eorum item una est eademque natura.

Ex eadem oratione.

Si is, qui ungit, est Pater, et ille, qui ungitur, Filius, et ipsa unctio Spiritus sanctus, regni porro signum et nota est unctio, ne a regia quidem actione Spiritus sejunctus est.

Item adversum Spiritus oppugnatores sancti Cyrilli dictorum Scripturæ diversis ex libris collectio, ex quibus Spiritus sanctus Deus esse demonstratur. Ex Thesauro autem collectio hæc deprompta est, sed sparsim, et per epilogum.

Ex Epistola ad Corinthios.

Qui Domino conjungitur, unus Spiritus est. Ecce perspicue hic Spiritum dicit Dominum. Planius autem id facit, dum loquitur de Judæis : *Ad hunc us-*

A *ρασάν με οἱ πατέρες ὑμῶν.* Τούτων μεμνημένος ὁ θεῖος ἀπόστολός φησι· *Διὸ, καθὼς λέγει τὸ Πνεῦμα τὸ ἅγιον.* Καὶ τοῦτο εἰπὼν, ταύτας τοῦ προφήτου τὰς ῥήσεις ἐπήγαγεν, ἐφαρμόζων αὐτὰς τῷ προσώπῳ τοῦ Πνεύματος. Τίς οὖν ἐστιν ὃν ἐπείρασαν οἱ πατέρες αὐτῶν ἐν τῇ ἐρήμῳ; τίς ὃν παρώργισαν; Μάθε παρ' αὐτοῦ τοῦ Προφήτου λέγοντος, ὅτι « Ἐπείρασαν τὸν Θεὸν τὸν ὕψιστον. » Ἀλλὰ μὴν ὁ Ἀπόστολος προτάξας τὸ πρόσωπον τοῦ ἁγίου Πνεύματος, ἐκείνῳ ταύτας τὰς φωνὰς ἀνατίθησι λέγων· *Διὸ, καθὼς λέγει τὸ Πνεῦμα τὸ ἅγιον, ὅτι κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν.* Οὐκοῦν ὃν ὁ Προφήτης Ὕψιστον κατωνόμασε, τοῦτον ὁ θεῖος Ἀπόστολος τὸ Πνεῦμα τὸ ἅγιον εἶναι λέγει. Εἰ οὖν τὸ Πνεῦμα τὸ B ἅγιον λέγει, ὅτι *Ἐπείρασάν με οἱ πατέρες ὑμῶν ἐν τῇ ἐρήμῳ*, ὁ δὲ Προφήτης διαμαρτύρεται, ὅτι ἐν τῇ ἐρήμῳ πειρασθεὶς ὕψιστός ἐστι Θεὸς, ἐμφράττονται τὰ στόματα τῶν Πνευματομάχων τῶν λαλούντων κατὰ τοῦ Κυρίου ἀδικίαν, σαφῶς τοῦ τε Ἀποστόλου καὶ τοῦ Προφήτου διὰ τῶν εἰρημένων τὴν θεότητα τοῦ Πνεύματος κηρυσσόντων.

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Εὐστάθιον κατὰ τῶν Πνευματομάχων λόγου.

Ἐντελλόμενος ὁ Κύριος τοῖς μαθηταῖς περὶ τοῦ θείου βαπτίσματος, τῷ Πατρὶ καὶ τῷ Υἱῷ συνῆψε καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Τὸ οὖν συνημμένον ἐν τῇ ζωοποιῷ δυνάμει, καθ' ἣν ἐκ φθορᾶς εἰς ἀφθαρσίαν ἡ φύσις ἡμῶν μετασκευάζεται, διὰ πάντων ἕξει C πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν τὴν συνάφειαν.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἐὰν ἴδωμεν διαφερούσας ἀλλήλων τὰς ἐνεργείας τὰς παρὰ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος ἐνεργουμένας, διαφόρους εἶναι καὶ τὰς ἐνεργούσας φύσεις ἐκ τῆς ἑτερότητος τῶν ἐνεργειῶν στοχασόμεθα. Οὐ γὰρ ἐνδέχεται τὰ διεστῶτα κατὰ τὸν τῆς φύσεως λόγον πρὸς τὸ τῶν ἐνεργειῶν εἶδος ἀλλήλοις συνενεχθῆναι. Ἐὰν δὲ μίαν νοήσωμεν ἐνέργειαν Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, ἀνάγκη τῇ ταυτότητι τῆς ἐνεργείας τὸ ἡνωμένον τῆς φύσεως συλλογίζεσθαι. Ἁγιάζει καὶ παρακαλεῖ, καὶ ζωοποιεῖ, καὶ πάντα τὰ τοιαῦτα κατὰ τὸ ἀπαράλλακτον καὶ ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ὧν οὖν ἡ ἐνέργεια μία καὶ ἡ αὐτὴ, τούτων D καὶ ἡ φύσις ὡσαύτως.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ χρίστης μὲν ὁ Πατὴρ, χριστὸς δὲ ὁ Υἱὸς, χρίσμα δὲ τὸ Πνεῦμα τὸ ἅγιον, βασιλείας δὲ σύμβολον τὸ χρίσμα, οὐδὲ τῆς βασιλικῆς ἐνεργείας τὸ Πνεῦμα τὸ ἅγιον ἀπεξένωται.

Ἔτι κατὰ Πνευματομάχων τοῦ ἁγίου Κυρίλλου συλλογὴ ῥητῶν ἐκ τῶν ἁγίων Γραφῶν, δι' ὧν ἀποδείκνυται Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον. Ἐκ τοῦ Θησαυροῦ δὲ αὕτη μετεγράφη, πλὴν σποράδην καὶ κατ' ἐπιλογήν.

Ἐκ τῆς πρὸς Κορινθίους Ἐπιστολῆς.

Ὁ κολλώμενος τῷ Κυρίῳ ἓν Πνεῦμά ἐστιν. Ἰδὸ σαφῶς ἐνθάδε τὸ Πνεῦμα λέγει Κύριον. Σαφέστερον δὲ τοῦτο ποιῶν ἐπιστέλλει περὶ τῶν Ἰουδαίων·

[1] Hebr. IV, 7, 8. [2] Psal. LXXVII, 40.

Ἄχρι γὰρ τῆς σήμερον ἡμέρας τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς Παλαιᾶς Διαθήκης μένει μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται. Ἀλλ' ἕως σήμερον ἡνίκα ἂν ἀναγινώσκηται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται. Ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα. Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν. Οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία. Καὶ πάλιν, Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος.

A *que diem*, inquiens, *idem velamen in lectione Veteris Testamenti manet, non revelatum, quoniam in Christo destruitur. Sed ad hunc usque diem quando legitur Moses, velamen super cor ipsorum positum est. Ubi vero se converterint ad Dominum, velamen auferetur. Dominus autem Spiritus est. Ubi autem Spiritus Domini, ibi libertas* [1]. Et rursum : *Nos autem omnes revelata facie gloriam Domini contemplantes secundum eamdem imaginem transformamur de gloria in gloriam, tanquam a Domini Spiritu* [2].

Ἐκ τῆς αὐτῆς

Ὁ Παῦλος ἐπιστέλλων περὶ αὐτοῦ φησιν ἐν ἀρχῇ τῆς Ἐπιστολῆς· *Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ*. Ἰδοὺ σαφῶς ἐνθάδε τὸ τῆς ἀποστολῆς ὄνομα καὶ πρᾶγμα παρὰ Χριστοῦ, καὶ δι' Υἱοῦ διισχυρίζεται λαμβάνειν. Ἐν δὲ ταῖς Πράξεσι τῶν ἁγίων ἀποστόλων γέγραπταί τι τοιοῦτον· *Λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ, καὶ νηστευόντων, εἶπε τὸ Πνεῦμα τὸ ἅγιον· Ἀφορίσατε δή μοι τὸν Παῦλον, καὶ τὸν Βαρνάβαν εἰς τὸ ἔργον, ὃ προσκέκλημαι αὐτούς.* Εἰ τοίνυν κεκληκότος αὐτὸν εἰς ἀποστολὴν τοῦ Πνεύματος παρὰ Ἰησοῦ Χριστοῦ κεκλῆσθαί φησι, δείκνυσι σαφῶς οὐκ ἀλλότριον τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον.

Ex eadem.

Paulus de se ipso scribens in principio Epistolæ : *Paulus*, inquit, *apostolus Jesu Christi* [3]. B Aperte vides hic Apostoli nomen et munus a Christo, et per Filium se illud affirmat accipere. In Actibus autem sanctorum apostolorum ita scriptum est : *Sacrificantibus illis Domino et jejunantibus dixit Spiritus sanctus : Segregate mihi Paulum et Barnabam in opus, ad quod advocavi eos* [4]. Si igitur cum a Spiritu vocatus sit, a Christo se vocatum dicit, perspicue demonstrat non alienum ab essentia Filii Spiritum sanctum.

Ἐκ τῆς αὐτῆς.

Τίς γὰρ οἶδεν ἀνθρώπων εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; Οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνωκεν εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ. Ἡμῖν γὰρ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος αὐτοῦ. Τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ. Εἰ τὸ πνεῦμα τοῦ ἀνθρώπου οὐκ ἐξ ἀποκαλύψεώς τινος οἶδεν ἑτέρου τὰ ἐν αὐτῷ, ἀλλ' ὡς φυσικῶς καὶ κυρίως ὑπάρχον αὐτῷ, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οὕτω πάντα ἐρευνᾷ, καὶ γινώσκει καὶ τὰ βάθη τοῦ Θεοῦ· ἄρα ἐν Θεῷ καὶ Πατρὶ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τῆς φύσεως τῆς θείας ἔσται, καθάπερ καὶ τῆς τοῦ ἀνθρώπου τὸ ἀνθρώπινον.

Ex eadem.

Quis enim *hominum novit ea quæ sunt hominis, nisi spiritus hominis, qui in ipso est? Sic et quæ* C *sunt Dei, nemo novit, nisi Spiritus Dei* [5]. *Nobis enim revelavit Deus per Spiritum suum, Spiritus enim omnia scrutatur, etiam profunda Dei* [6]. Si spiritus hominis nemine patefaciente novit, quæ sunt in homine, cum naturalis sit, et proprius ipsius, et Spiritus Dei sic omnia scrutatur, et novit etiam profunda Dei, in Deo nimirum et Patre est Spiritus sanctus; et naturæ divinæ est, quemadmodum hominis spiritus est naturæ humanæ.

Ἐκ τῆς αὐτῆς.

Ἐκ Θεοῦ τὸ Πνεῦμα τὸ ἅγιον εἶναί φαμεν, καὶ οὕτω πεπιστεύκαμεν. Ἀλλ' οἱ πρὸς μόνον τὸ δύσφημον ἑτοιμότατοι καὶ τὰ ἄλλα πάντα ἐκ Θεοῦ γενέσθαι φασὶ, τοῦ Παύλου γράφοντος· *Εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα.* Εἶτα νομίζουσιν ἀνατρέπειν τὸ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα, διὰ τὸ φέρεσθαι καὶ κατὰ τῶν ποιημάτων τὸ ἐξ οὗ, ὅπερ ἐπὶ τῷ Πνεύματι κείμενον ἐκ τῆς οὐσίας αὐτοῦ φυσικῶς ὑπάρχον ἀποδεικνύει. Ἀλλ' ἔστι πρὸς τοῦτο λέγειν, ὅτι καὶ ἐφ' Υἱῷ κυρίως μὲν κεῖται τὸ Υἱὸς ὄνομα, κεῖται δὲ καὶ ἐπ' ἀνθρώπων καταχρηστικῶς, καὶ οὐ δήπου τὸ θέσει τισὶ, καὶ κατὰ χάριν προσκείμενον ἀνατρέψει τὸν ἔχοντα φυσικῶς· Οὕτω καὶ τὸ ἐξ οὗ τῶν ποιημάτων κατηγορούμενον οὐκ ἐποίσει πρὸς τὴν οἰκείαν ταπείνωσίν τε καὶ ὁμοουσιότητα τοῦ Πνεύματος τὸ ὑψηλόν τι καὶ θεϊκὸν, ἀλλὰ μενεῖ μὲν αὐτῷ κυρίως τὸ ἐξ

Ex eadem.

Ex Deo Spiritum sanctum esse dicimus, atque ita credimus. At isti qui ad calumniandum tantummodo sunt paratissimi, etiam alia omnia ex Deo esse dicunt, cum Paulus scribat : D *Unus Deus Pater, ex quo omnia* [7]. Atque ita probare se putant, ex Patris essentia non esse Spiritum sanctum, quod illa vox : *ex quo*, ad res etiam procreatas referatur. Quæ quidem vox cum de Spiritu sancto dicitur, eum ex ipsius essentia esse declarat. Verum sic istis possumus respondere, de Filio item proprie nomen hoc Filius dici, quod tamen improprie de hominibus etiam dicatur. Nec si concessu et gratia aliquibus tribuatur, propterea tollitur, quominus sit ipsius naturale. Sic etiam illud, *ex quo*, licet rebus quoque procreatis ascribatur, idcirco tamen sublimis et divina Spiritus dignitas non aufertur, nec ea re fit, quominus sit ejusdem essentiæ. Sed cum

[1] II Cor. III, 14-17. [2] Ibid. 15. [3] I Cor. I, 1. [4] Act. XIII, 2. [5] I Cor. II, 11. [6] Ibid. 10. [7] I Cor. VIII, 6.

ipsi Spiritui proprie congruat illud *ex quo*, quoniam est ex Patris essentia, refertur tamen etiam ad res procreatas, quoniam cum non essent, ex Deo habuerint ut sint, per Filium utique.

Ex eadem.

Rursum scribit ad Corinthios Paulus: *Nos*, inquiens, *sumus templum Dei viventis, quemadmodum dixit Deus: Quoniam inhabitabo in ipsis, et inambulabo, et erunt mihi in populum, et ego ero ipsis in Deum* [1]. Et rursum post hæc: *Nolite contristare Spiritum sanctum Dei inhabitantem in vobis* [2]. Et rursum: *Si quis templum Dei corrumpit, corrumpet hunc Deus. Templum enim Dei sanctum est, quod estis vos* [3]. Si igitur Spiritum accipientes, et templum et domicilium Dei declaramur, quippe qui Deum habemus in nobis ipsis inhabitantem et inambulantem, ut scriptum est, quomodo non est Deus Spiritus sanctus, etiam si nollint, qui contra sentiunt?

Ex Epistola ad Romanos.

Scribit quibusdam Paulus recte admodum sentiens et loquens: *Quicunque Spiritu Dei aguntur, hi sunt filii Dei. Non enim accepistis spiritum servitutis iterum in timorem, sed accepistis Spiritum adoptionis, in quo clamamus: Abba Pater* [4]. Si igitur Spiritus sanctus eos Dei filios esse demonstrat, in quibus inhabitat, et divinæ naturæ participes facit, adeo, ut qui propterea conjuncti sunt Deo super omnes exsistenti, cum fiducia clament: *Abba Pater*, non inter servos, neque inter res procreatas collocandus est, sed illi potius divinæ essentiæ dignitas tribuenda, cum et ex ipsa sit, et ab ipsa sanctis per Filium præbeatur, atque ita deos faciat et filios Dei illos in quibus est.

Ex Actibus apostolorum.

Princeps apostolorum, cui divinum mysterium, ut Servator ait, *non caro, et sanguis revelavit, sed Pater, qui in cœlis est* [5], Ananiam afferentem agri pretium, ex quo partem sibi reservarat, sic alloquitur: *Anania, cur implevit Satanas cor tuum, ut mentireris Spiritui sancto, et auferres ex pretio agri* [6]? Ac, deinde subjicit: *Non es mentitus hominibus sed Deo* [7]. Itaque si Spiritui sancto mentiens, Deo mentitur, Deus nimirum est Spiritus sanctus, et in Deo naturaliter.

Ex eodem libro.

Quæ ex Servatoris nostri adventu promulgata sunt bona, ea quodam in loco de ovibus suis loquens Deus ita commemorat: *Suscitabo illis pastores secundum cor meum, et pascent eas, pascentes cum scientia* [8]. Paulus autem veritatis præco seniores Ephesiorum alloquens: *Attendite*, inquit, *vobis ipsis, et universo gregi, in quo vos Spiritus sanctus posuit episcopos* [9]. Quando igitur quæ se facturum pollicitus est Deus, cum potestate Spiritus perficit, et pastores constituit, ut in prophetis promissum est, ab essentia divina non est alienus, sed tan-

ου, διὰ τὸ ἐκ τῆς οὐσίας εἶναι τοῦ Πατρός. Χωρήσει δὲ καὶ ἐπ' ἐκεῖνα, διὰ τὸ ἐκ Θεοῦ πρὸς τὸ εἶναι τὰ οὐκ ὄντα δραμεῖν δι' Υἱοῦ δηλονότι.

Ἐκ τῆς αὐτῆς.

Ἐπιστέλλει πάλιν Κορινθίοις ὁ Παῦλος· *Ἡμεῖς γὰρ ναὸς Θεοῦ ἐσμεν ζῶντος, καθὼς εἶπεν ὁ Θεὸς ὅτι Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσονταί μοι εἰς λαὸν, κἀγὼ αὐτοῖς ἔσομαι εἰς Θεόν.* Καὶ πάλιν· *Ἐπὶ τούτοις μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ τὸ ἐνοικοῦν ὑμῖν.* Καὶ πάλιν· *Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός. Ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς.* Οὐκοῦν εἰ τὸ Πνεῦμα λαβόντες, καὶ ναὸς καὶ οἶκος τοῦ Θεοῦ χρηματίζομεν, ὡς Θεὸν ἔχοντες ἐν αὐτοῖς οἰκοῦντα καὶ ἐμπεριπατοῦντα, καθὼς γέγραπται, πῶς οὐ Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον, κἂν μὴ βούληται ὁ δι' ἐναντίας;

Ἐκ τῆς πρὸς Ῥωμαίους Ἐπιστολῆς.

Ἐπιστέλλει τισὶν ὁ Παῦλος, καὶ μάλα δὴ φρονῶν τε καὶ λέγων ὀρθῶς· *Ὅσοι γὰρ ἐν Πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ. Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας εἰς φόβον, ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ ὁ Πατήρ.* Οὐκοῦν εἰ τὸ Πνεῦμα τὸ ἅγιον υἱοὺς ἀποδεικνύει Θεοῦ τοὺς ἐν οἷς κατοικεῖ, καὶ θείας ἐργάζεται φύσεως κοινωνοὺς, ὡς ἐντεῦθεν ἡνωμένους τῷ ὑπὲρ πάντα ὄντι Θεῷ μετὰ παῤῥησίας ἀναβοᾷν, « Ἀββᾶ ὁ Πατήρ, » οὐκ ἐν δούλοις, οὐδὲ ἐν τοῖς ποιήμασι τετάξεται, φορέσει δὲ μᾶλλον φυσικῶς τὸ τῆς θείας οὐσίας ἀξίωμα ἐξ αὐτῆς τε ὑπάρχον, καὶ παρ' αὐτῆς τοῖς ἁγίοις δι' Υἱοῦ χορηγούμενον, διά τε τοῦτο θεοποιοῦν, καὶ εἰς υἱότητα καλοῦν ἐν οἷς ἂν γένοιτο.

Ἐκ τῶν Πράξεων τῶν ἀποστόλων.

Ὁ τῶν ἀποστόλων πρόκριτος ᾧ τὸ θεῖον μυστήριον, καθά φησιν ὁ Σωτὴρ, *σὰρξ, καὶ αἷμα οὐκ ἀπεκάλυψεν, ἀλλ' ὁ Πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς*, λέγει πρὸς Ἀνανίαν, προσάγοντα μὲν τὴν τοῦ χωρίου τιμὴν, ἀπονοσφισάμενον δέ τι μέρος ἀπ' αὐτῆς· *Ἀνανία, διατί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου ψεύσασθαι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς του χωρίου;* Εἶτα συνάπτει τούτοις τὸ, *Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ.* Οὐκοῦν εἰ ὁ τῷ ἁγίῳ Πνεύματι ψευδόμενος, τῷ Θεῷ ψεύδεται, Θεὸς ἄρα τὸ Πνεῦμα, καὶ ἐν Θεῷ φυσικῶς.

Ἐκ τῶν αὐτῶν.

Τὰ ἐκ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας εὐαγγελιζόμενος ἀγαθά φησί που ὁ Θεὸς περὶ τῶν ἑαυτοῦ ποιμνίων, ὅτι *Ἀναστήσω αὐτοῖς ποιμένας κατὰ τὴν καρδίαν μου καὶ ποιμανοῦσιν αὐτὰ ποιμαίνοντες μετ' ἐπιστήμης.* Παῦλος δὲ ὁ τῆς ἀληθείας κῆρυξ τοῖς Ἐφεσίων πρεσβυτέροις προσομιλῶν, *Προσέχετε*, φησὶν, *ἑαυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους.* Ὅτε τοίνυν ἅπερ ὑπέσχετο δρᾷν ὁ Θεὸς μετ' ἐξουσίας, τὸ Πνεῦμα πληροῖ, καὶ ποιμένας ἐγείρει κατὰ τὴν ἐν προφήταις ἐπαγγελίαν, οὐκ ἀλλότριον ἄρα τῆς θείας οὐσίας ἐστὶν,

[1] I Cor. VI, 16. [2] Ephes. IV, 30. [3] I Cor. III, 16, 17. [4] Rom. VIII, 14, 15. [5] Matth. XVI, 17. [6] Act. V, 3. [7] Ibid. 4. [8] Jerem. XXIII, 4. [9] Act. XX, 28.

ὡς ἐνέργεια φυσική τε καὶ οὐσιώδης, καὶ ἐνυπόστατος ἐξ αὐτῆς προϊοῦσα, καὶ ἐν αὐτῇ μένουσα, πάντα ἐργάζεται τὰ τοῦ Θεοῦ.

A

Ἐκ τῶν αὐτῶν.

Ἀθηναίοις ὁ Παῦλος τὰ πρὸς εὐσέβειαν διαλεγόμενος, καὶ τὸν ἀληθῆ καταγγέλλων Θεὸν ἔφασκεν, *Ἐν αὐτῷ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν.* Ὁ δέ γε Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν τοιαύτην ἐνέργειαν τὴν γεγομένην παρὰ τοῦ Θεοῦ τῷ ἁγίῳ Πνεύματι περιτίθησι λέγων· *Τὸ Πνεῦμά ἐστι τὸ ζωοποιοῦν.* Θεὸς ἄρα τὸ Πνεῦμα τὸ ἐν ᾧ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμὲν, κατὰ τὴν τοῦ Παύλου φωνὴν, καὶ τὴν τοῦ Σωτῆρος ἡμῶν μαρτυρίαν.

Ἐκ τῶν Ψαλμῶν.

Λέγει που ψάλλων ὁ μακάριος Δαβὶδ, καὶ τοὺς λόγους ἀνατείνων πρὸς Θεόν· *Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ. Ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει. Ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης. Καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου.* Ὅτε τοίνυν τὸ Πνεῦμα καὶ πρόσωπον ἀποκαλεῖται τοῦ Πατρὸς, ὡς ἐξεικονίζον διὰ τῆς θεοπρεποῦς ἐνεργείας τὴν ἐξ ἧς ἐστιν οὐσίαν, ἀποκαλεῖ δὴ καὶ χεῖρα διὰ τὴν ἐνυπάρχουσαν αὐτῷ δημιουργὸν δύναμιν, πῶς οὐχ ἂν εἴη Θεὸς, καὶ κατ' οὐσίαν τῷ Πατρὶ συνημμένον, ἐξ αὐτοῦ τε ὂν, καὶ ἐν αὐτῷ; ὥσπερ οὖν καὶ ἡ χεὶρ τοῦ ἀνθρωπείου σώματος οὐ κεχώρισται, δέδεται δὲ μᾶλλον ἐν αὐτῷ, καὶ ἐῤῥίζωται φυσικῶς.

B

C

Ἐκ τῆς πρὸς Κορινθίους.

Ἐπιστέλλει ὁ Παῦλος τοιῶσδε· *Γνωρίζω δὲ ὑμῖν, ὅτι οὐδεὶς ἐν Πνεύματι Θεοῦ λαλῶν λέγει ἀνάθεμα Ἰησοῦν.* Καὶ, *Οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ.* Πρόδηλον οὖν, ὅτι ὁ μετέχων τοῦ ἁγίου Πνεύματος οἶδεν ὄντα Κύριον Ἰησοῦν. Ὥσπερ οἱ μέλιτος ἀπογευσάμενοι διὰ τῆς ἐξ αὐτοῦ ποιότητος οἴδασιν, ὅτι γλυκὺ τὸ μέλι, οὕτω καὶ ὁ τοῦ Πνεύματος μέτοχος. Οὐκοῦν ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα ποιότης τις, ἵνα οὕτως εἴπωμεν, ἄρχον τοῦ κυριεύοντος ἁπάντων Θεοῦ. Εἰ δὲ τοῦτό, Θεὸς ἄρα, καὶ οὐ γενητὸν, ὥσπερ τοῖς ἑτεροδόξοις δοκεῖ.

quam vis naturalis, et ex essentia constans, atque subsistens, et ex ipsa proveniens, et in ipsa manens omnia facit, quæ Dei sunt.

Ex eodem libro.

Paulus ad Athenienses de religione verba faciens: *Quoniam in ipso*, inquit, *vivimus, et movemur, et sumus* [1]. At Dominus noster Jesus Christus hanc vim, quæ nobis a Deo est, ascribit Spiritui sancto: *Spiritus*, inquiens, *est, qui vivificat* [2]. Deus ergo Spiritus ille, in quo vivimus, movemur, et sumus, ut Paulus dicit, et Servator noster testatur.

Ex Psalmis.

Canens quodam loco beatus David, verbaque sua ad Deum dirigens: *Quo*, inquit, *ibo a Spiritu tuo, et quo a facie tua fugiam? Si ascendero in cœlum, tu illic es. Si descendero in infernum, ades. Si sumpsero pennas meas diluculo, et habitavero in extremis maris. Etenim illuc manus tua deducet me, et tenebit dextera tua* [3]. Cum igitur Spiritum et faciem Patris nominet, tanquam exprimentem per divinam actionem essentiam, ex qua est, nominet etiam manum propter rerum omnium effectricem, quæ in ipso est, potestatem, quomodo Deus non est, et Patri per essentiam conjunctus, cum ex ipso, et in ipso sit, quemadmodum et manus ab humano corpore non est sejuncta, sed in ipso potius vincta, et naturaliter inhæret?

Ex Epistola ad Corinthios.

Scribit Paulus ad hunc modum: *Notum facio vobis quod nemo in Spiritu Dei loquens dicit anathema Jesum.* Et: *Nemo potest dicere Dominum Jesum, nisi in Spiritu sancto* [4]. Quibus ex verbis facile constat, eum, qui particeps sit Spiritus sancti, nosse Dominum Jesum; qui autem sancti Spiritus expers sit, eum ignorare. Quomodo igitur, qui Spiritum assecutus est, novit Dominum esse Jesum? Quemadmodum qui mel degustarunt, propter qualitatem ipsius, cognoscunt mel esse dulce, sic etiam qui Spiritus participes facti sunt. Ex essentia igitur Filii Spiritus qualitas quædam, ut ita dicam, exsistit Dei, qui omnibus dominatur. Quod si ita est, Deus est, non autem factus, ut aliter sentientibus videtur.

D

Ἐκ τῆς αὐτῆς.

Τὰς τῶν θείων χαρισμάτων διανομὰς ὁ μακάριος Παῦλος τῇ τοῦ ἁγίου Πνεύματος ἀνατιθεὶς ἐνεργείᾳ, γράφει πάλιν· *Ὧ μὲν διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ᾧ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα, ἄλλῳ δὲ πίστις ἐν τῷ αὐτῷ Πνεύματι· ἄλλῳ δὲ χαρίσματα ἰαμάτων ἐν τῷ ἑνὶ Πνεύματι· ἄλλῳ δὲ γένη γλωσσῶν. Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται.* Ἀλλ' εἰδὼς, ὅτι τὸ Πνεῦμα Θεός ἐστιν, ἐν τῇ αὐτῇ πάλιν Ἐπιστολῇ φησιν· *Καὶ οὓς μὲν*

Ex eadem.

Divinorum munerum distributiones beatus Paulus sancti Spiritus ascribens actioni: *Alii*, inquit, *per Spiritum datur sermo sapientiæ, alii autem sermo scientiæ secundum eumdem Spiritum; alii fides in eodem Spiritu; alii gratia sanitatum in uno Spiritu; alii genera linguarum. Hæc autem omnia operatur unus atque idem Spiritus, dividens sigillatim unicuique, prout vult* [5]. Idem Apostolus cum sciret Spiritum esse Deum, in eadem Epistola: *Et alios quidem*, inquit, *Deus in Ecclesia constituit, primum*

[1] Act. xvii, 28. [2] Joan. vi, 64. [3] Psal. cxxxviii, 7-10. [4] I Cor. xii, 3. [5] ibid. 8-11.

apostolos, deinde prophetas, tertio doctores, deinde virtutes, postea gratias curationum, opitulationes, gubernationes, genera linguarum [1]. Quid igitur dubitant, an Spiritus sit Deus per essentiam, qui solum ad calumniandum sunt paratissimi, cùm Paulus apertissime dicat, Spiritum esse qui gratiarum genera dividat, quemadmodum vult, deinde vero subjiciat Deum esse, qui in ecclesiis hæc ipsa distribuat? Nonne autem absurdum est, eos qui recte volunt sentire, non Pauli verbis, sed stultis aliorum dictis attendere? Deus ergo Spiritus est, licet amentes homines nolint.

Ex eadem.

Scribit rursus idem Apostolus: *Si nos*, inquiens, *vobis spiritualia seminavimus, magnum est, si carnalia vestra metamus* [2]? spiritualia nimirum appellat divina, sicut carnalia, quæ ad carnem pertinent. Quamobrem si divina, hoc est, Dei mysteria recte appellavit spiritualia, Deus profecto Spiritus est, cujus mysteria vocavit spiritualia.

Ex Joannis Evangelio.

Quodam loco de seipso loquens in Evangeliis Servator: *Ego*, inquit, *sum veritas* [3]. Beatus autem Joannes, ex Patris essentia atque Filii Spiritum esse demonstrans, *Spiritum*, inquit, *veritatis, qui a Patre procedit* [4]. In Epistola autem: *Spiritus*, inquit, *est veritas* [5]. Quomodo igitur, cum ex Patre procedat, et Spiritus veritatis sit propter similitudinem et ejusdem essentiæ naturam, adeo, ut ipse quoque veritas appelletur, factus et creatus sit? Absurdum id quidem est. Itaque Deus est Spiritus, siquidem veritas est, et a Patre procedit.

Ex eodem.

Beatus Joannes de Verbo Dei loquens ipsum esse dixit lucem veram, quæ illuminat omnem hominem venientem in hunc mundum [6]. At sapientissimus Paulus Spiritum sanctum splendere in cordibus nostris affirmavit ad illustrationem gloriæ Dei in persona Christi [7]. Proinde cum Verbum sit lux vera, splendeat autem Spiritus sanctus, necessario fatendum est, e sentiæ Verbi esse etiam Spiritum sanctum, per quem illuminat omnem hominem, cum Spiritus sancti splendorem tanquam essentiæ propriæ radium quemdam emittat.

Objectio hæreticorum.

Si sanctorum, inquiunt, animos Spiritu sancto Deum ungere affirmatis, unguenti locum et ordinem Spiritus obtinebit. Porro qui fieri potest, ut ejusdem essentiæ sit unguentum, et ille qui ungit, cum consuetudo nostra id non patiatur? o omni stultitia ebrii, et omnium turpissimæ pleni temerita-

A *ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, εἶτα δυνάμεις, ἔπειτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν.* Τί τοίνυν ἀμφιβάλλουσιν, εἰ Θεὸς τὸ Πνεῦμα ὑπάρχει κατ' οὐσίαν, οἱ πρὸς μόνον τὸ δυσφημεῖν ἑτοιμότατοι, Παύλου σαφέστατα διειπόντος μὲν, ὡς τὸ Πνεῦμά ἐστι τὸ διαιροῦν, καθὼς ἂν αὐτὸ βούληται, τὰ τῶν χαρισμάτων εἴδη, εἶτα πάλιν Θεὸν εἶναι φάσκοντος τὸν ἐν ταῖς ἐκκλησίαις τὰ τοιαῦτα χορηγοῦντα τοῖς ἁγίοις; Πῶς δὲ οὐκ ἄτοπον τοὺς ὀρθῶς ἐθέλοντας φρονεῖν μὴ ταῖς τοῦ Παύλου φωναῖς, ἀλλὰ ταῖς ἄλλων προσέχειν ἀβουλίαις; Θεὸς οὖν τὸ Πνεῦμα, κἂν οἱ ἀμαθεῖς μὴ βούλωνται.

Ἐκ τῆς αὐτῆς.

B Ἐπιστέλλει πάλιν ὁ Παῦλός τισιν· *Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν;* Ἀλλ' ἔστι δῆλον, ὅτι πνευματικὰ τὰ θεῖα πάντα εἶναί φησιν, ὥσπερ οὖν καὶ τὰ σαρκικὰ τὰ τῆς σαρκός. Εἰ τοίνυν τὰ θεῖα, τουτέστι τὰ περὶ Θεοῦ μυστήρια, καλῶς δὴ μάλα ποιῶν ἀποκέκληκε πνευματικὰ, Θεὸς ἂν εἴη τὸ Πνεῦμα, οὗ καὶ μυστήρια κέκληκε πνευματικά.

Ἐκ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου.

Ἐν τοῖς Εὐαγγελίοις πού φησιν ὁ Σωτὴρ περὶ ἑαυτοῦ, « Ἐγώ εἰμι ἡ ἀλήθεια. » Ὁ δὲ μακάριος Ἰωάννης ἔκ τε τῆς τοῦ Πατρὸς οὐσίας καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα δεικνύων, ἐν μὲν τοῖς Εὐαγγελίοις φησί· *Τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς* C *ἐκπορεύεται·* ἐν δὲ τῇ ἐπιστολῇ· *Τὸ Πνεῦμά ἐστιν ἡ ἀλήθεια.* Πῶς οὖν τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, καὶ Πνεῦμα τῆς ἀληθείας ὑπάρχον διὰ τὴν ἐμφέρειαν, καὶ τὴν τῆς οὐσίας ταυτότητα, ὡς ἀλήθειαν καλεῖσθαι, καὶ αὐτὸ γένητὸν ἂν εἴη καὶ πεποιημένον; Ἀλλὰ τοῦτο ἄτοπον. Οὐκοῦν τὸ Πνεῦμα Θεὸς, εἴπερ ὄντως ἀλήθεια, καὶ ἐκ Πατρὸς ἐκπορεύεται.

Ἐκ τοῦ αὐτοῦ.

Ὁ μακάριος Ἰωάννης περὶ τοῦ Θεοῦ Λόγου διαλαμβάνων, αὐτὸν εἶναί φησι τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ὁ δὲ σοφώτατος Παῦλος τὸ Πνεῦμα τὸ ἅγιον ἐλλάμπειν ἐν ταῖς καρδίαις ἡμῶν διισχυρίσατο πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξεως τοῦ Θεοῦ ἐν D προσώπῳ Ἰησοῦ Χριστοῦ. Ὅτου τοίνυν ὁ Λόγος μὲν ἔστι τὸ φῶς τὸ ἀληθινὸν, ἐλλάμπει δὲ τὸ Πνεῦμα τὸ ἅγιον, ἀνάγκη πᾶσα τῆς οὐσίας τοῦ Λόγου καὶ τὸ Πνεῦμα συνομολογεῖν, δι' οὗ φωτίζει πάντα ἄνθρωπον, ὥσπερ τινὰ τῆς οἰκείας φύσεως ἀκτῖνα προτείνων τὴν διὰ Πνεύματος ἔλλαμψιν.

Ἀντίθεσις αἱρετικῶν.

Εἰ τὰς τῶν ἁγίων, φησὶν, ψυχὰς καταχρίεσθαί φατε παρὰ Θεοῦ τῷ ἁγίῳ Πνεύματι, ἐν τάξει μύρου τὸ Πνεῦμα κείσεται. Καὶ πῶς ἂν εἴη τῆς αὐτῆς οὐσίας τῷ χρίοντι τὸ μύρον, μηδὲ τῆς καθ' ἡμᾶς συνηθείας τὸ τοιοῦτον ἐπιδεχόμενον; ὢ πάσῃ μεθύοντες ἀνοίᾳ, καὶ τῆς ἁπασῶν αἰσχίστης ἀβουλίας ἀνάπλεῳ!

[1] Ephes. IV, 11. [2] I Cor. IX, 11. [3] Joan. XIV, 6. [4] Joan. XV, 26. [5] I Joan. V, 6. [6] Joan. I, 9. [7] II Cor. IV, 6.

Οὐ βραχὺ διανήψαντες, καὶ τὰς περὶ σωμάτων ἀφέντες ἐννοίας, ἀνελεύσεσθε πρὸς τὰ μεγάλα τῆς θεολογίας ὑψώματα, καὶ θεοπρεπῶς τὰ περὶ τῆς θείας φύσεως λαλούμενα διαλήψεσθε, κἂν ἀνθρωπίνοις προφέρηται ῥήμασι, καὶ τῆς πρὸς ἡμᾶς συνηθείας οὐχ ὑπερβαίνῃ τὸ σχῆμα, διὰ τὸ μόλις οὕτω δύνασθαι νοεῖν τοὺς ἀκροωμένους; Ἵνα δέ τι ταῖς ὑμῶν εὐηθείαις εἴπωμεν συγγενὲς, εἰ ἐν τάξει μύρου τὸ Πνεῦμα κείσεται καθ' ὑμᾶς, ἐπειδὴ τὸ χρίσμα τοῦ χρίοντος δεῖ πάντως εἶναι ἑτεροούσιον, ἀνάγκη λέγειν, ἐπειδὴ τὸ μύρον ἐκ πολλῶν συντέθειται παρὰ τῶν εἰς τοῦτο σοφῶν, ἀνάγκη καὶ τὸ Πνεῦμα τὸ ἅγιον διὰ πολλῶν ἡμῖν καὶ ποικίλων συγκεῖσθαι μερῶν. Καὶ πάλιν ἐπειδὴ τὸ μύρον ἄλογον, ἄλογον ἔστω καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ἡ μὲν ἐπὶ τούτῳ δυσφημία δραμεῖται πάντως εἰς τὰς ἐκείνων κεφαλάς· ἡμεῖς δὲ αὐτοῖς ἀντεπαγάγωμεν, Εἰ ἑτεροούσιον τὸ Πνεῦμα τὸ ἅγιον τοῦ ἐν αὐτῷ χρίοντος τοὺς ἁγίους Θεοῦ, πῶς, τοῦ Πνεύματος οἰκοῦντος ἐν ἡμῖν, Χριστὸς οἰκῶν ἀποδείκνυται ὁ τῷ Πατρὶ κατ' οὐσίαν οὐχ ἕτερον ὤν; Ὅπερ εἰδὼς καὶ ὁ Παῦλος ἐπιστέλλει· *Ἵνα δῴη ἡμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ, εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ἡμῶν*. Ὅτε τοίνυν διὰ τοῦ Πνεύματος εἰς τὸν ἔσω ἄνθρωπον ὁ Χριστὸς κατοικεῖ, πρόδηλον δήπουθεν, ὡς οὐκ ἀλλότριόν ἐστι τῆς οὐσίας αὐτοῦ τὸ δι' οὗ τοῖς ἁγίοις ἐνοικῶν φαίνεται.

Ἐκ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τιμὴν ἀποσώζων τῇ θείᾳ φύσει, ἀφεθήσεσθαι μὲν διισχυρίζεται τῷ εἰπόντι λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, τῷ δὲ εἰς τὸ ἅγιον Πνεῦμα δυσφημήσαντι οὐκ ἀφεθήσεται οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι. Ἀλλ' εἴπερ ἦν ποίημα τὸ Πνεῦμα τὸ ἅγιον, καὶ μὴ τῆς θείας οὐσίας ὑπῆρχε Πατρὶ συνθεολογούμενον, πῶς ἡ εἰς αὐτὸ δυσφημία τοσαύτην ἔχει τὴν κόλασιν, ὅση κατὰ τῶν εἰς Θεὸν δυσφημούντων ὁρίζεται; Ἀλλ' ἔστι δῆλον, ὅτι Θεὸς ἐκ Θεοῦ, καὶ ἐν Θεῷ τὸ Πνεῦμα, τὸ ὡς Θεὸς τιμώμενον παρὰ ταῖς θείαις Γραφαῖς, καὶ οὕτως ὑπάρχον τῇ φύσει.

Ἐκ τοῦ αὐτοῦ.

Εἰ, καθάπερ φησὶν ὁ Σωτὴρ, « Ὁ γεννώμενος ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστιν· » ὁ δὲ τοιοῦτος οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἢ γυναικὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθη· Θεὸς ἄρα τὸ Πνεῦμά ἐστι κατὰ φύσιν τὸ τοὺς υἱοὺς ἀναγεννῶν εἰς ἑνότητα τὴν πρὸς Θεὸν διὰ τὸ κατοικεῖν ἐν αὐτοῖς, καὶ τῆς ἰδίας φύσεως ἐργάζεσθαι κοινωνούς.

Εἰ θεοποιεῖ τὸ Πνεῦμα τοὺς ἐν οἷς ἂν γένοιτο, καὶ μετόχους θείας ἐργάζεται φύσεως, ἄρα ἐστὶ καὶ ἐκ τῆς θείας οὐσίας φυσικῶς δι' Υἱοῦ τῇ κτίσει χορηγούμενον, καὶ ἀναμορφοῦν αὐτὴν, ὡς πρὸς ἑαυτό. Ὥσπερ γὰρ φωτὸς οἰκεῖον ἔργον ἐστὶ τὸ φωτίζειν, καὶ οὐκ ἄν τι δύναιτο φωτίζειν, εἰ μὴ ὑπάρχει φῶς· οὕτω καὶ τοῦ θείου Πνεύματος ἔργον τὸ θείους ἐργάζεσθαι τοὺς δεξαμένους αὐτὸ, καὶ οὐδ' ἂν φύσεως

A te! Nonne parumper resipiscetis, et corporeas cogitationes omittentes, ad sublimem theologiæ magnitudinem conscendetis, et quæ de natura divina dicta sunt, licet humanis verbis enuntientur, nostræque consuetudinis rationem, quod vix ita possint ab audientibus percipi, non superant, ratione tamen Deo conveniente intelligetis? Verum stultitiæ vestræ congruens aliquid respondeamus. Si per vos unguenti locum atque ordinem Spiritus obtinebit, quoniam unguentum ab eo qui ungit, diversam habere naturam necesse est, num etiam quoniam unguentum ab artificibus ex multis conficitur, necesse erit vobis et Spiritum sanctum multis ex partibus esse compositum? Præterea cum unguentum rationis sit expers, rationis expers sit etiam Spiritus sanctus. B Quod hoc in re male dictum est, in eorum capita omnino decurret. Nos autem contra sic objiciemus: Si diversa Spiritus essentia est a Deo, qui sanctos ungit ipso Spiritu, cur Spiritu in nobis habitante Christus habitare demonstratur, qui non est essentia diversus a Patre? Quod quidem Paulus intelligens: *Ut det*, inquit, *nobis secundum divitias gloriæ suæ virtute corroborari per Spiritum suum, in interiore homine, habitare Christum per fidem in cordibus nostris* [1]. Cum igitur Christus per Spiritum habitet in homine interiore, perspicuum est, ipsum essentia non differre ab eo per quem in sanctis videtur habitare.

Ex Joannis Evangelio.

C Dominus noster Jesus Christus, divinæ naturæ honorem servans, ei qui verbum adversus Filium hominis dixerit, veniam affirmat datum iri. At qui in Spiritum sanctum maledicta conjecerit, ei neque in hoc sæculo ignotum iri, neque in futuro [2]. Quod si creatus est Spiritus sanctus, cui maledicta in ipsum conjicienti tantum proponitur supplicium, quantum Deo maledicentibus est definitum? Constat igitur Deum ex Deo esse Spiritum sanctum, qui ut Deus honoratur in Scripturis divinis, atque ita natura est Deus.

Ex eodem.

D Si, quemadmodum Servator ait: *Qui natus est ex Spiritu, spiritus est* [3], hujusmodi autem non ex sanguinibus neque ex voluntate viri, aut feminæ, sed ex voluntate Dei natus est [4], Deus utique natura est Spiritus sanctus, qui filios regenerat, ut cum Deo conjungantur, quod quidem præstat, dum in illis habitat, naturæque suæ participes facit.

Si Spiritus eos in quibus est deos reddit, divinæque naturæ participes facit, ex divina nimirum essentia est naturaliter, et rebus procreatis per Filium datus, eas tanquam sibi ipsi similes efficit. Quemadmodum proprium lucis opus est illustrare, nec posset quidquam illustrare, nisi esset lux, ita sancti Spiritus opus est divinos efficere, a quibus ipse suscipitur, nec eos, qui ipsum habent, divi-

[1] Ephes. III, 16, 17. [2] Matth. XII, 32. [3] Joan. III, 6. [4] Joan. I, 13.

næ naturæ participes demonstraret, nisi divinæ ipse esset naturæ.

A

Objectio hæreticorum.

Spiritum, inquiunt, sanctificare, vos quoque confitebimini. Verum id facit non per se, quod natura sit ejusmodi, sed ut instrumentum ex ferro aliave confectum materia ab igne sumpta caliditate ignis munere fungitur, sic ipse accepta a Deo sanctitate rebus etiam procreatis impertitur. Quod quidem de illius, qui mentiri non potest, testimonio comprobatur, nempe Servatoris nostri : *Qui de meo*, inquit, *accipiet* [1].

Non, De meo, inquit, accipiet, et sanctificabit vos (quod tamen si dictum esset, nihil inde offensionis auditores perciperent), sed : *De meo*, Servator inquit, *accipiet, et annuntiabit vobis*. Quippe qui nihil a se loquetur, sed quæ audierit, loquetur. Quoniam peracto in carne humani generis redimendi consilio ad Patrem erat ascensurus, et discipulis suis se Paracletum esse missurum promiserat, ne quis Spiritum sanctum aliquid præter sententiam ipsius instituturum suspicaretur, aperte demonstrat, eum, cum Spiritus suus sit, ex se item verba nuntiaturum : *A se*, inquiens, *non loquetur, sed quæcunque audiet, loquetur, quoniam de meo accipiet* [2]. Non aliter, quam si mel de naturali sua dulcedine loquens, diceret : Nihil a se ipsa gustantibus injiciet, sed de meo accipiet : cum naturaliter qualitas ex essentiis, ut ita dicam, in ea quæ ex ipsis sunt, progrediatur, ut dulcedo, quemadmodum diximus, ex melle, aut ex igne calid tas, aut ex aqua frigiditas. Non igitur Spiritui sanctitas impertitur, sed illi est naturalis et per essentiam.

Cui sanctitas communicatur, eam tanquam vas suscipit, cum antea in propria natura consisteret, cujusmodi sunt tum homo, tum angelus, aut si qua sit alia natura ratione prædita. Dicant igitur nobis, qui Spiritum ita sanctum audent affirmare, ut ei sanctitas a Patre et Filio fuerit impertita, quidnam ipse per se privatim sit. At nihil aliud ipsum esse ex divinis Scripturis dicimus. Non igitur ex communione, neque ex compositione sanctus est; sed est essentia naturaque sanctificans, et Dei ac Patris, ut ita dicam, qualitas, quemadmodum dulcedo mellis, et floris suavitas.

Quod ex communione cuipiam accedit ut donum, auferri etiam potest. Ea namque sola, quæ per essentiam inhærent, nequeunt separari. Quamobrem, si accessione, et accidente dicunt inesse Spiritui sanctitatem, cur non eadem ratione et sine sanctitate Spiritum affirmant esse posse? At impium id sit. Non igitur ex communione sanctus est Spiritus, sed ut ex Deo naturaliter.

[1] Joan. xvi, 14. [2] ibid. 13.

θείας ἐδείκνυε κοινωνοὺς τοὺς ἔχοντας αὐτό, εἰ τῆς θείας οὐσίας ὑπῆρχεν αὐτό.

Ἀντίθεσις αἱρετικῶν.

Ἁγιαστικόν φασιν εἶναι τὸ Πνεῦμα, καὶ ὑ συνομολογήσετε, οὐχ αὐτὸ καθ' ἑαυτὸ φύσει τοιοῦ ὑπάρχον, ἀλλ' ὥσπερ τι σκεῦος, ἐκ σιδήρου τυχ καὶ ἑτέρας ὕλης τῆς, ἐκ πυρὸς μετασχὸν θερμότη τὰ τοῦ πυρὸς ἐξεργάζεται, οὕτω καὶ αὐτὸ τῆς π Θεοῦ πληρούμενον ἁγιότητος μεταδίδωσι τῇ κτ τοῦ ἁγιασμοῦ, καὶ ἐπὶ τούτοις ἡμῖν ἀψευδὴς μάρ αὐτὸς ὁ Σωτὴρ γενήσεται λέγων περὶ αὐτοῦ, *Ἐκ τοῦ ἐμοῦ λήψεται.*

B

Οὐχ, Ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἁγιάσει ὑμᾶς, φ σὶν ὁ Σωτὴρ (εἰ καὶ ὅτι μάλιστα καὶ εἰ κατὰ τοῦ εἴρητο τὸν τρόπον, οὐδεμίαν τοῖς ἀκροωμένοις ἐπ θεν ἂν τὴν ζημίαν)· πλὴν, *Ἐκ τοῦ ἐμοῦ λήψετ* φησὶν ὁ Σωτὴρ, *καὶ ἀναγγελεῖ ἡμῖν*, ὅτι *οὐ λα σει ἀφ' ἑαυτοῦ οὐδὲν, ἀλλὰ ἃ ἀκούσει, λαλή* Ἐπειδὴ γὰρ ἔμελλε τὴν μετὰ σαρκὸς ἀποπληρώ οἰκονομίαν ἀναβαίνειν πρὸς τὸν Πατέρα, πέμψειν ὑπέσχετο τὸν Παράκλητον τοῖς ἑαυτοῦ μαθηταῖς, μή τις ὑπολάβῃ τὰ μὴ κατὰ γνώμην αὐτῷ διατί σθαι τὸ Πνεῦμα τὸ ἅγιον, δεικνύει σαφῶς ὅτι Πνεῦ αὐτοῦ ὑπάρχον τὰ ἐξ αὐτοῦ πάλιν διακονήσει ματα· *Οὐ λαλήσει*, φησὶν, *ἀφ' ἑαυτοῦ, ἀλλ' ὅ ἀκούει, λαλήσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται.* Ὅμ γάρ, ὡς εἰ καὶ τὸ μέλι περὶ τῆς ἐνούσης αὐτῷ π τητος φυσικῆς λέγει, Οὐκ ἐνθήσει τι ἀφ' ἑαυτῆς ἀπογευομένοις, ἀλλ' ἐκ τοῦ ἐμοῦ λήψεται, φυσι διαβαινούσης, ἵν' οὕτως εἴπω, τῆς ἐκ τῶν οὐσι ποιότητος ἐπὶ τὰ ἐξ αὐτῶν ἀμερίστως προερχόμ οἷον, καθάπερ ἤδη προείπομεν, ἐκ μέλιτος ἡ γλυκ της, ἐκ πυρὸς ἡ θερμότης, ἐξ ὕδατος ἡ ψ

C

Οὐκοῦν οὐ μετοχικῶς ἅγιον τὸ Πνεῦμα κατὰ τὸν ἐκείνων λόγον, φυσικῶς δὲ μᾶλλον καὶ σιωδῶς

Τὸ ἐκ μετοχῆς ἅγιον, δοχεῖον ὥσπερ ὑπάρχον προγεγονότος ἁγιασμοῦ, αὐτὸ καθ' ἑαυτὸ πρότερον ἰδίᾳ φύσει κείσεται, ὥσπερ οὖν καὶ ὁ ἄνθρωπος καὶ ἄγγελος τυχὸν, ἢ καὶ τις ἑτέρα φύσις λογ Λεγέτωσαν τοίνυν ἡμῖν οἱ ἐκ μετοχῆς τῆς τοῦ Θ καὶ Πατρὸς τὸ Πνεῦμα τολμῶντες λέγειν ἅγιον εἶν καὶ οὐ φυσικῶς, τί ποτε ἄρα αὐτὸ καθ' ἑαυτὸ ἰδιαζόντως ἐστίν; Ἀλλ' οὐδὲν ἕτερον ἠκούσαμεν ταῖς θείαις Γραφαῖς. Οὐκ ἄρα ἐκ μετοχῆς, οὐδὲ

D

συνθέσεως ἅγιον, ἀλλ' οὐσία καὶ φύσις ἁγιαστι καὶ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς, ἵν' οὕτως εἴπω, π τητος, ὥσπερ οὖν καὶ ὁ γλυκασμὸς τοῦ μέλιτος, ἡ ἐξ ἄνθους εὐωδία.

Τὸ ἐκ μετοχῆς προσγινόμενόν τισιν ὡς δοτὸν ἐσ καὶ ἀφαιρετόν. Μόνα γὰρ τὰ οὐσιωδῶς προσόντα ἔχουσιν ἀχωρίστως προσπεφυκότα φαίνονται. Εἰ νυν ἐν προσθήκης τάξει καὶ συμβεβηκότος εἶν φασιν ἐν τῷ Πνεύματι τὸν ἁγιασμὸν, ὁμολογήσ πάντως, ὅτι καὶ ἀποσυμβῆναι δυνήσεται. Ὥρα δὲ ἁγιότητος δίχα τὸ Πνεῦμα λέγειν εἶναι δύνασ ποτε, κατὰ τὸ ἐκείνων ἐπιχείρημα. Ἀλλὰ τοῦτο ὀ σεβές. Οὐκ ἄρα ἐκ μετοχῆς ἅγιον τὸ Πνεῦμα, ὡς ἐκ Θεοῦ φυσικῶς.

A

Ἐκ τῆς πρὸς Ῥωμαίους Ἐπιστολῆς.

Οἴδαμεν, φησὶν, ὅτι ὁ νόμος πνευματικός ἐστιν. Εἶτα βραχὺ ἐπιλέγει· *Συνήδομαι τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον*· καὶ πάλιν· *Ὁ γὰρ νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου.* Ἰδοὺ τὸν νόμον ὀνομάσας πνευματικὸν, τουτέστι τὸν διὰ τοῦ Πνεύματος, εὐθὺς αὐτὸν καὶ Θεοῦ νόμον ἀποκαλεῖ. Γυμνότερον δὲ διὰ τῶν ἐφεξῆς, ὅτι Θεὸς εἴη τὸ Πνεῦμα, δεικνύει βοῶν, «Ὁ νόμος τοῦ Πνεύματος τῆς ζωῆς,» ἵνα μὴ μόνον νομοθετοῦν εὑρίσκηται τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἤδη καὶ Πνεῦμα ὑπάρχον ζωῆς. Καὶ τίς ἡ ζωὴ, ἢ πάντω; ὁ λέγων Χριστός· *Ἐγώ εἰμι ἡ ἀλήθεια, καὶ ἡ ζωή;*

B

Ἐκ τῆς πρὸς Κορινθίους.

Ἀλλὰ ἀπελούσασθε, φησὶν, *ἀλλὰ ἡγιάσθητε, ἀλλὰ ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν.* Οὐκοῦν εἰ μόνῳ Θεῷ τὸ ἐξεῖναι συγχωρεῖν ἁμαρτίας δώσομεν, ἀφίησι δὲ καὶ δικαιοῖ καὶ τὸ Πνεῦμα, ἁγίους ἀποδεικνύον τοὺς ἐν οἷς ἂν γένοιτο, Θεὸς ἄρα τὸ τὴν θείαν ἐνέργειαν ἔχον ἐν ἑαυτῷ φυσικῶς.

Ἐκ τοῦ Εὐαγγελίου.

Ἀμὴν λέγω ὑμῖν, ὅτι, ἐὰν μὴ ὁ Υἱὸς ὑμᾶς ἐλευθερώσῃ, δοῦλοί ἐστε. Ποιήματι μὲν γὰρ τὸ δύνασθαι τοῦτο ποιεῖν οὐ πρόσεστι, μόνῳ δὲ ὡς Υἱῷ καὶ κληρονόμῳ τῷ ἐκ Θεοῦ Πατρὸς προελθόντι Λόγῳ. Εἰ τοίνυν μόνου πρὸς ἐλευθερίαν καλοῦντος ἡμᾶς τοῦ Υἱοῦ φαίνεται καὶ τὸ Πνεῦμα τοῦτο ποιοῦν, πῶς C οὐκ ἔσται τῆς οὐσίας αὐτοῦ τὸ ὡς αὐτὸς πάντα πράττον μετὰ δυνάμεως θεοπρεποῦς; Εἰ δὲ τοῦτο οὐ κτίσμα ἐστὶν, οὐδὲ ποίημα τὸ Πνεῦμα Κυρίου. Πολλὴν γὰρ ὁ λόγος τὴν ἀσέβειαν ἔχει.

Ἐκ τῆς Ἰακώβου Ἐπιστολῆς.

Μὴ πλανᾶσθε, ἀδελφοί μου ἀγαπητοί. Πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἐκ τοῦ Πατρὸς τῶν φώτων. Εἰ ἐκ τοῦ Πατρὸς τῶν φώτων ἡ ποικίλη τῶν θείων χαρισμάτων καταπέμπεται δόσις, φησὶ δὲ ὁ Παῦλος, *Ταῦτα πάντα ἐνεργεῖ τὸ Πνεῦμα διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται*· πῶς οὐ Θεὸς, καὶ ἐκ Θεοῦ, καὶ ἐν Θεῷ τὸ Πνεῦμα, τὸ τὰ πάντα ἐνεργοῦν τὰ τῷ Θεῷ πρέποντα, καὶ τοῦτο ἐξουσιαστικῶς; Οὔκουν κτίσμα, καθάπερ ἐκεῖνοι ληροῦντές φασιν.

D

Ἐκ τῆς Πέτρου Ἐπιστολῆς.

Σωφρονήσατε οὖν, καὶ νήψατε εἰς προσευχὰς, πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες, ὅτι ἡ ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν. Φιλόξενοι εἰς ἀλλήλους ἄνευ γογγυσμοῦ, ἕκαστος καθ' ὃ ἔλαβε χάρισμα, εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες, ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεοῦ. Ὅρα δή μοι πάλιν, ὅτι τοῦ ἁγίου Πνεύματος ἐξουσιαστικῶς, καθὼς ἂν βούληται, τὰ θεῖα χαρίσματα διανέμοντός τε καὶ ἑκάστῳ τῶν ἁγίων ἐπιμερίζοντος, ὁ θαυμάσιος Πέτρος ἐκ Θεοῦ τῆς τοιᾶσδε χάριτος τὴν

Ex Epistola ad Romanos.

Scimus, inquit, *legem esse spiritualem* [1]. Deinde paruniper progressus subjicit : *Consentio legi Dei secundum interiorem hominem* [2]. Et rursum : *Lex enim Spiritus vitæ in Christo Jesu liberavit me a lege peccati et mortis* [3]. Ecce, cum legem appellasset spiritualem, hoc est per Spiritum, statim ipsam et Dei legem appellat. Apertius autem ex iis quæ sequuntur, Deum esse Spiritum ostendit : *Lex*, inquiens, *Spiritus vitæ*, ut Spiritum sanctum non solum legislatorem, verum etiam vitæ Spiritum esse constet. Quæ porro est vita? Christus nimirum, qui dicit : *Ego sum veritas et vita* [4].

Ex Epistola ad Corinthios.

Sed abluti estis, inquit, *sed sanctificati estis, sed justificati estis, in nomine Domini nostri Jesu Christi, et in Spiritu Dei nostri* [5]. Itaque si soli Deo licere peccata dimittere concedemus, dimittit autem et justificat ipse Spiritus, sanctos declarans eos, in quibus est, Deus utique est, qui divinam actionem habet in se naturaliter.

Ex Evangelio.

Amen dico vobis, vos esse servos, nisi vos Filius liberaverit [6]. Hanc enim res procreatæ non habent facultatem, sed solum Verbum, ut Filius, et hæres, et a Deo Patre proveniens. Si igitur Filius solus nos ita vocat ad libertatem, ut et Spiritus idem efficiat, quomodo non erit essentiæ ipsius, qui ut ipsemet omnia facit cum potestate Deo conveniente? Quod si ita est, nec factus, nec creatus est Spiritus Domini. Id enim dicere valde impium est.

Ex Jacobi Epistola.

Nolite errare, fratres dilecti, omne datum bonum, et omne donum perfectum, e sursum est, descendens a Patre luminum [7]. Si varia divinarum gratiarum largitio a Patre demittitur : *Hæc autem omnia*, ut Paulus ait, *Spiritus agit, dividens sigillatim unicuique, ut vult* [8], quomodo Deus non est, et ex Deo, et in Deo Spiritus ipse, qui facit omnia quæ congruunt Deo, idque cum potestate? Non ergo creatus est, ut isti nugis suis affirmant.

Ex Petri Epistola.

Estote itaque prudentes, et vigilate in orationibus. Ante omnia autem mutuam in vobismetipsis charitatem continuam habentes, quia charitas operit multitudinem peccatorum. Hospitales invicem sine murmuratione : unusquisque sicut accepit gratiam, inter vos illam administrantes, ut boni dispensatores multiformis gratiæ Dei [9]. Hic mihi rursum animadvertite, cum Spiritus sanctus potestate sua, quemadmodum vult, divina munera largiatur, atque sanctis sigillatim distribuat, Petrum admirabilem affirma-

[1] Rom. VII, 14. [2] ibid. 22. [3] Rom. VIII, 2. [4] Joan. XIV, 6. [5] I Cor. VI, 11. [6] Joan. VIII, 36. [7] Jac. I, 17. [8] I Cor. XII, 11. [9] I Petr. IV, 7-10.

re variam hanc talis gratiæ largitionem a Deo proficisci, quippe qui sciret, Spiritum sanctum a natura divina non esse alienum. Cum igitur Petrus Deum Spiritum sanctum appellet, nonne impius et temerarius est, qui illum inter res collocans procreatas, manifestis sanctorum apostolorum testimoniis periculose audet adversari?

Ex Joannis Epistola.

Et qui servat mandata ejus in ipso manet, et ipse in illo, et in hoc cognoscimus, quod in nobis manet, ex Spiritu, quem dedit nobis [1]. Si Spiritu sancto in nobis habitante, Deus est qui in nobis habitat, quomodo non Deus ex Deo Spiritus, quem si quis habet, Deum inhabitantem gerit? qui etiam per Prophetam: *Inhabitabo*, inquit, *in eis, et inambulabo, et ero ipsorum Deus* [2]? Et si Deus ex Deo Spiritus est, quis enim temere creatum dicens supplicium evitet sempiternum?

Ex eadem.

Et Spiritus est, qui Deum Spiritum veritatem esse testatur. Quoniam tres sunt, qui testimonium afferunt in cœlo, Pater, Verbum et Spiritus, et hi tres unum sunt. Et tres sunt qui testimonium dant in terra, Spiritus, aqua, sanguis. Et hi tres unum sunt. Si testimonium hominum accipimus, testimonium Dei majus est [3]. Veritatis præco rursum, ut vides, et Deum et ex Deo naturaliter Spiritum vocat. Cum enim dixisset, Spiritum esse, qui testatur, paululum progrediens: *Testimonium*, inquit, *Dei majus est.* Quomodo igitur creatus est, qui una cum Patre rerum omnium Deus dicitur, et sanctam explet Trinitatem?

Ex Evangelio secundum Matthæum.

Jesu Christi autem generatio sic erat: Cum esset desponsata mater ipsius Maria Joseph, antequam convenirent, inventa est in utero habens de Spiritu sancto [4]. Si creandi facultas soli adest naturæ, et hoc ipsius est eximium, simul cum aliis dignitatibus divinis illi congruentibus, Spiritus autem in Virgine divinum templum creat, nonne si quis eum creatum dicit, is impius simul atque amens deprehendetur?

Ex Evangelio secundum Joannem.

Quotquot autem acceperunt eum, potestatem dedit eis ut filii Dei fierent, qui non ex sanguinibus, neque ex voluntate hominis, neque ex voluntate carnis, sed ex Deo nati sunt [5]. Si Spiritus est, qui per fidem in Christum regenerat nos ad salutem, adeo ut ejus gratia nos filii declaremur Dei, quomodo Spiritus non erit Deus? Quod autem nos, qui credimus, ex Spiritu simus, testatur Servator, sic alloquens Nicodemum: *Spiritus ubi vult spirat, et vocem ejus audis, sed nescis unde veniat, aut quo vadat. Sic erit omnis, qui natus est ex Spiritu* [6].

A ποικιλίαν τε καὶ δόσιν εἶναι διισχυρίζεται, οὐκ ἀλλότριον τῆς θείας φύσεως τὸ Πνεῦμα εἰδώς. Θεὸν οὖν τὸ Πνεῦμα καλοῦντος τοῦ Πέτρου, πῶς οὐ δυσσεβὴς καὶ παράφρων ὁ τοῖς ποιήμασιν ἐνάριθμον τοῦτο τιθεὶς, καὶ τοῖς τῶν ἁγίων ἀποστόλων κηρύγμασιν ἀντιφθέγγεσθαι ῥιψοκινδύνως κατατολμῶν;

Ἐκ τῆς Ἰωάννου Ἐπιστολῆς.

Καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ. Καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν ἡμῖν μένει, ἐκ τοῦ Πνεύματος οὗ ἔδωκεν ἡμῖν. Εἰ τοῦ ἁγίου Πνεύματος ἐν ἡμῖν οἰκοῦντος Θεός ἐστιν ὁ κατοικῶν, πῶς οὐ Θεὸς, καὶ ἐκ Θεοῦ τὸ Πνεῦμα; ὅπερ εἴ τις ἔχει, Θεὸν ἐνοικοῦντα φορεῖ, ὅς καὶ διὰ τοῦ προφήτου φησίν· *Ἐνοικήσω ἐν αὐτοῖς, καὶ*
B *περιπατήσω, καὶ ἔσομαι αὐτῶν Θεός.* Καὶ εἰ Θεὸς, καὶ ἐκ Θεοῦ τὸ Πνεῦμα, τίς αὐτὸ ῥιψοκινδύνως, ὅτι γενητὸν εἴη λέγων, τὴν αἰώνιον ἐκδήσεται κόλασιν;

Ἐκ τῆς αὐτῆς.

Καὶ τὸ Πνεῦμά ἐστι τὸ μαρτυροῦν, ὅτι τὸ Πνεῦμά ἐστιν ἡ ἀλήθεια. Ὅτι τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῷ οὐρανῷ, ὁ Πατὴρ, ὁ Λόγος, καὶ τὸ ἅγιον Πνεῦμα· καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσι. Καὶ τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῇ γῇ, τὸ Πνεῦμα, καὶ τὸ ὕδωρ, καὶ τὸ αἷμα· καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν. Εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν, ἡ μαρτυρία τοῦ Θεοῦ μείζων ἐστί. Θέα δὴ πάλιν, ὅτι τῆς ἀληθείας ὁ κῆρυξ Θεόν τε καὶ ἐκ Θεοῦ φυσικῶς τὸ Πνεῦμα καλεῖ. Εἰρηκὼς γὰρ, ὅτι τὸ Πνεῦμά ἐστι τοῦ
C Θεοῦ τὸ μαρτυροῦν, μικρόν τι προελθὼν ἐπιφέρει, «Ἡ μαρτυρία τοῦ Θεοῦ μείζων ἐστί.» Πῶς οὖν ἐστι ποίημα τὸ τῶν ὅλων Πατρὶ συνθεολογούμενον, καὶ τῆς ἁγίας Τριάδος συμπληρωτικόν;

Ἐκ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου.

Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν. Μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσὴφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου. Εἰ μόνῃ τὸ δύνασθαι κτίζειν τῇ θείᾳ πρόσεστι φύσει, καὶ τοῦτο αὐτῆς μετὰ τῶν ἄλλων αὐτῆς θεοπρεπῶν τὸ ἐξαίρετον, κτίζει δὲ τὸ Πνεῦμα τὸ θεῖον ἐν τῇ Παρθένῳ ναὸν, τίς αὐτὸ πεποιῆσθαι λέγων οὐχὶ δυσσεβής τε ὁμοῦ καὶ παράφρων εὑρεθήσεται;

Ἐκ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου.

D *Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, οὐδὲ ἐκ θελήματος σαρκὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν.* Εἰ τὸ Πνεῦμά ἐστι διὰ τῆς πίστεως τῆς εἰς Χριστὸν ἀναγεννῶν ἡμᾶς εἰς σωτηρίαν, ὡς αὐτοῦ δὴ τούτου χάριν γεννητοὺς ἡμᾶς χρηματίζειν Θεοῦ, πῶς οὐκ ἂν εἴη Θεὸς τὸ Πνεῦμα; Ὅτι δὲ γεννητοὶ Πνεύματος ἡμεῖς οἱ πιστεύσαντες, μαρτυρήσει λέγων ὁ Σωτὴρ πρὸς Νικόδημον· *Τὸ Πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται, ἢ ποῦ ὑπάγει.* Οὕτως ἔσται πᾶς ὁ γεννώμενος ἐκ τοῦ Πνεύματος.

[1] Joan. III, 24. [2] Levit. XXVI, 12; II Cor. VI, 16. [3] I Joan. V, 5-9 [4] Matth. I, 18. [5] Joan. I, 12, 13. [6] Joan. III, 8.

A

Ἐκ τοῦ αὐτοῦ.

Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. Εἰ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ὥσπερ τις καρπὸς τῆς οὐσίας αὐτοῦ ἐστιν, ἀγέννητος δὲ, καὶ ἄκτιστος ὁ Πατὴρ, πῶς ἂν εἴη γεννητὸν τὸ ἐξ αὐτοῦ προερχόμενον Πνεῦμα; Πῶς δὲ ναὸς Θεοῦ χρηματίζομεν ἡμεῖς τὸ Πνεῦμα λαβόντες, εἴπερ οὐκ ἔστι Θεὸς κατὰ τὴν τινῶν ἀβουλίαν;

Τοῦ αὐτοῦ.

Εἰ τὸ Πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ, εὔδηλον, ὡς οὐκ ἀλλόφυλον, οὐδὲ ἑτεροούσιον, ἀλλὰ τῆς θείας ἐστὶ φύσεως τὸ Πνεῦμα τὸ ἅγιον. B Διὸ καὶ τὰ βάθη τοῦ Θεοῦ γινώσκει, καὶ ἐπίσταται τὰ τοῦ Θεοῦ, ὡς ἡ ἡμετέρα ψυχὴ τὰ οἰκεῖα. Εἰ δέ τις ἄγνοιαν τὴν ἔρευναν νομίζει, τοῦτο καὶ ἐπὶ τοῦ Πατρὸς κείμενον εὑρήσει· *Ὁ γὰρ ἐρευνῶν*, φησὶ, *τὰς καρδίας οἶδε τί τὸ φρόνημα τοῦ Πνεύματος.* Εἰ δὲ ὁ τῶν ὅλων Θεὸς οὐκ ἀγνοῶν ἐρευνᾷ, ἀλλὰ σαφῶς ἐπίσταται πρὶν γενέσθαι τὰ πάντα, καὶ τὸ Πνεῦμα τὸ ἅγιον οὐ δι' ἄγνοιαν ἐρευνᾷ τοῦ Θεοῦ τὰ βάθη. Πῶς γὰρ ἂν ἁρμόσειε τῷ ἀγνοοῦντι τὸ *Ὡς οἶδε τὸ πνεῦμα τοῦ ἀνθρώπου τὰ ἐν αὐτῷ, οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ*; Ἐναντίον γὰρ τῇ ἐρεύνῃ ἡ εἴδησις. Ἡ δὲ ψυχὴ οὐκ ἐρευνᾷ τὰ ἑαυτῆς, ἀλλ' ἀκριβῶς ἐπίσταται. Οὐκοῦν τὸ Πνεῦμα τὸ ἅγιον ἀκριβῆ τὴν γνῶσιν τοῦ Θεοῦ ἔχει· καὶ *Ὥσπερ οὐδεὶς οἶδε τὸν* C *Πατέρα εἰ μὴ ὁ Υἱὸς, οὐδὲ τὸν Υἱὸν εἰ μὴ ὁ Πατὴρ, οὕτω*, φησὶν, *οὐδεὶς οἶδε τὰ τοῦ Θεοῦ εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ.* Ἐκ δὲ τῶν εἰρημένων τὸ κοινὸν τῆς φύσεως διδασκόμεθα. Ἐπειδὴ δὲ οἱ πᾶσαν ἀναισχυντίαν νοσοῦντες, οἱ τῆς Ἀρείου, φημὶ, καὶ Εὐνομίου μαθηταὶ βλασφημίας, αὐτόν φασιν εἶναι τὸν Θεὸν τὸ Πνεῦμα τοῦ Θεοῦ, ἀναγκαίως ὁ μακάριος Παῦλος δείκνυσι τὸ τοῦ Πνεύματος πρόσωπον· *Ἡμεῖς γὰρ*, φησὶν, *οὐ τὸ Πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ Θεοῦ, ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν, ἃ καὶ λαλοῦμεν οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς Πνεύματος ἁγίου, πνευματικοῖς πνευματικὰ συγκρίνοντες. Ψυχικὸς* D *δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος. Μωρία γὰρ αὐτῷ ἐστι, καὶ οὐ δύναται γνῶναι, ὅτι πνευματικῶς ἀνακρίνεται. Τίς γὰρ ἔγνω νοῦν Κυρίου, ὃς συμβιβάσει αὐτόν; Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν.* Οὐκοῦν τὸ εἰπεῖν, ὅτι οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, ἐδίδαξεν οὐχ ὁμογενὲς τῷ κόσμῳ, ἀλλὰ τῆς θείας ὑπάρχον οὐσίας τὸ Πνεῦμα τὸ ἅγιον· καὶ πρὸς τούτῳ ἐδίδαξεν, ὡς οὐ περὶ τοῦ Θεοῦ καὶ Πατρὸς ποιεῖται τὸν λόγον, ἀλλὰ περὶ τοῦ ἁγίου Πνεύματος, οὗ τὴν χάριν λαμβάνουσιν οἱ πιστεύοντες. Διὸ *τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ*, εἶπε διδάσκων, ὡς ἐκ τοῦ Πατρὸς ἔχει

Ejusdem.

Cum autem venerit Paracletus, quem ego mittam vobis a Patre, Spiritum veritatis, qui a Patre procedit, ille testimonium perhibebit de me [1]. Si a Deo et Patre procedit Spiritus sanctus, et tanquam fructus quidam essentiæ ipsius est, Pater autem non est factus nec creatus, quomodo creatus dicetur Spiritus, qui ab ipso procedit, aut quomodo nos Dei templa vocabimur, Spiritum accipientes, si non est Deus, ut temerarii quidam asserunt?

Ejusdem.

Si Spiritus omnia scrutatur etiam profunda Dei [2], perspicuum est, Spiritum sanctum non esse naturæ diversæ, neque diversæ essentiæ, sed naturæ divinæ. Ideo etiam profunda Dei cognoscit, et scit quæ Dei sunt, ut animus noster, quæ nostra sunt. Quod si scrutari ad ignorantiam refers, hoc etiam de Patre dici comperies: *Qui enim*, inquit, *corda scrutatur, novit quid spiritus sentiat* [3]. Quod si rerum omnium Deus non ex ignorantia scrutatur, sed plane scit omnia antequam fiant, nec Spiritus sanctus propter ignorantiam scrutatur profunda Dei. Alioquin quomodo ignoranti congruet illa comparatio: Quemadmodum novit spiritus hominis ea quæ in ipso sunt, sic et quæ sunt Dei nemo novit nisi Spiritus Dei? Nosse enim et scrutari contraria sunt. Animus autem non scrutatur quæ sua sunt, sed novit omnino. Quare Spiritus sanctus exquisitam habet cognitionem Dei. Et, *Quemadmodum nemo novit Patrem, nisi Filius, neque Filium nisi Pater* [4], *sic nemo*, inquit, *novit, quæ Dei sunt, nisi Spiritus Dei* [5]. Ex his quæ dicta sunt, quid naturæ commune sit, intelligimus. Verum quoniam, qui omni impudentiæ morbo laborant (istos maledicæ Arii et Eunomii doctrinæ discipulos dico) ipsum Deum esse dicunt Spiritum, non autem persona distinctum, necessario beatus Paulus personam Spiritus ostendit: *Nos enim*, inquiens, *non mundi spiritum accepimus, sed Spiritum, qui ex Deo est, ut sciamus, quæ a Deo donata sunt nobis, non in doctis humanæ sapientiæ verbis, sed in doctrina Spiritus sancti, spiritualibus spiritualia comparantes. Animalis autem homo non percipit, quæ sunt Spiritus, stultitia enim est illi, et non potest intelligere, quia spiritualiter judicatur. Quis enim novit sensum Domini, aut quis instruxit eum? Nos autem sensum Christi habemus* [6]. Cum igitur dicat, nos non mundi spiritum accepisse, sed Spiritum, qui ex Deo est, Spiritum sanctum non huic mundo conjunctum, sed essentiæ docet esse divinæ. Docet præterea, se non de Deo et Patre loqui, sed de Spiritu sancto, cujus gratiam credentes accipiunt. Itaque, *Spiritum, qui ex Deo est*, inquit, docens eum a Patre essentiam habere, et esse illius naturæ, non eo modo quo res factæ et procreatæ, sed ut

[1] Joan. xv, 26. [2] I Cor. ii, 10. [3] Rom. viii, 27. [4] Matth. xi, 27. [5] I Cor. ii, 11. [6] ibid. 12-14.

novit ille solus, qui Filium cognoscit, et solus ille, qui Patrem novit, et is solus qui Patrem et Filium novit. Hoc ex Deo didicimus, modum autem edoceti non sumus; sed contenti sumus ea cognitionis mensura quæ data est nobis, nec sollicite exquirimus ea quæ a nobis nequeunt comprehendi.

τὴν ὕπαρξιν, κἀκείνης ὑπάρχει τῆς φύσεως οὐ δημιουργικῶς, οὐδὲ γεννητικῶς, ἀλλ' ὡς οἶδεν ὁ μόνος τὸν Υἱὸν ἐπιστάμενος, καὶ ὁ μόνος τὸν Πατέρα γινώσκων, καὶ τὸ μόνον Πατέρα, καὶ Υἱὸν ἐπιστάμενον. Ἐκ Θεοῦ τοῦτο μεμαθήκαμεν, τὸν δὲ τρόπον οὐκ ἐδιδάχθημεν. Ἀρκούμεθα δὲ τοῖς δοθεῖσι μέτροις τῆς γνώσεως, καὶ οὐ πολυπραγμονοῦμεν ἀνοήτως τὰ ἀνέφικτα.

Ejusdem.

Cum dixisset Lucas in Actibus: *Sacrificantibus autem et jejunantibus fratribus Antiochiæ, dixit Spiritus sanctus: Segregate mihi Paulum et Barnabam in opus, ad quod vocari eos*; cumque subjecisset: *Missi a Spiritu sancto devenerunt Seleuciam* [1]; et: *Abeuntes Cyprum, et Lyciam et Lycaoniam, Pamphyliam, et Bithyniam, prædicaverunt Evangelium* [2], addidit: *Et inde navigantes Barnabas et Paulus Antiochiam, unde erant traditi gratiæ Dei in opus, quod compleverunt. Cum autem venissent, et congregassent Ecclesiam, retulerunt, quanta fecisset Deus cum illis* [3]. Cum antea mentionem fecisset de Spiritu, ut qui Paulum et Barnabam segregasset in opus, ad quod eos vocaverat, cum post reditum appellat Deum, et bis Dei nomen ponit. Primum, *Devenerunt*, inquiens, *Antiochiam, unde traditi erant gratiæ Dei in opus, quod impleverunt*; deinde, *Cum autem*, inquiens, *venissent, et congregassent Ecclesiam, retulerunt, quanta fecisset cum ipsis Deus.*

Τοῦ αὐτοῦ.

Εἰπὼν ὁ Λουκᾶς ἐν ταῖς Πράξεσιν, ὅτι *Λειτουργούντων τῷ Κυρίῳ, καὶ νηστευόντων τῶν ἀδελφῶν ἐν Ἀντιοχείᾳ, εἶπετο Πνεῦμα τὸ ἅγιον· Ἀφορίσατε δή μοι τὸν Παῦλον, καὶ τὸν Βαρνάβαν εἰς τὸ ἔργον, ὃ προσκέκλημαι αὐτούς*· καὶ ἐπαγαγὼν, ὅτι Ἐκπεμφθέντες ὑπὸ τοῦ ἁγίου Πνεύματος κατῆλθον εἰς τὴν Σελεύκειαν, καὶ διηγησάμενος ὅπως περινοστήσαντες τὴν Κύπρον, καὶ τὴν Λυκίαν, καὶ Λυκαονίαν, καὶ Παμφυλίαν, καὶ Βιθυνίαν ἐκήρυξαν τὸ Εὐαγγέλιον, ἐπιφέρει· *Κἀκεῖθεν ἀποπλεύσαντες εἰς Ἀντιόχειαν οἱ περὶ Βαρνάβαν, καὶ Παῦλον, ὅθεν ἦσαν παραδεδομένοι τῇ χάριτι τοῦ Θεοῦ εἰς τὸ ἔργον, ὃ ἐπλήρωσαν, παραγενόμενοι καὶ συναγαγόντες τὴν ἐκκλησίαν, ἀνήγγειλαν ὅσα ἐποίησε μετ' αὐτῶν ὁ Θεός.* Μνημονεύσας ἄνω τοῦ Πνεύματος ὡς ἀφορίσαντος τὸν Παῦλον, καὶ τὸν Βαρνάβαν εἰς ὃ προσεκέκλητο αὐτοὺς ἔργον, Θεὸν τοῦτο μετὰ τὴν ἄφοδον ἀποκαλεῖ, καὶ δὶς τὴν τοῦ Θεοῦ τίθησι προσηγορίαν· πρῶτον μὲν λέγων, ὅτι ἀπέπλευσαν εἰς Ἀντιόχειαν, ὅθεν ἦσαν παραδεδομένοι τῇ χάριτι τοῦ Θεοῦ εἰς τὸ ἔργον, ὃ ἐπλήρωσαν· δεύτερον δὲ, ὅτι συναγαγόντες τὴν ἐκκλησίαν, ἀνήγγειλαν ὅσα ἐποίησε μετ' αὐτῶν ὁ Θεός.

Ejusdem.

Digitum Dei Spiritum sanctum vocat divina Scriptura, quemadmodum et Christus ait: *Si ego*, inquiens, *in digito Dei ejicio dæmonia* [4]; quod alius evangelista *in Spiritu Dei* dixit [5]. Filium item dexteram et brachium appellat, ut eo loco: *Salvavit eos dextera ipsius, et brachium sanctum ejus* [6]. Quemadmodum igitur brachium ejusdem essentiæ cum illo est, cujus est brachium, sic et digitus cum illo, cujus est digitus. Ejusdem igitur essentiæ est Spiritus sanctus cum Patre et Filio: si autem ejusdem est essentiæ, et Deus est.

Τοῦ αὐτοῦ.

Δάκτυλον Θεοῦ καλεῖν οἶδεν ἡ θεία Γραφὴ τὸ ἅγιον Πνεῦμα, καθάπερ καὶ ὁ Χριστὸς εἰρήκει, *Εἰ ἐγὼ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ δαιμόνια*, ὅπερ ἄλλος εὐαγγελιστὴς *ἐν Πνεύματι Θεοῦ* εἶπεν· ὁμοίως δὲ καὶ δεξιὰν καὶ βραχίονα τὸν Υἱὸν, ὡς τὸ *Ἔσωσεν αὐτοὺς ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ*. Ὥσπερ οὖν ὁ βραχίων ὁμοούσιός ἐστι τῷ οὗ ἐστι βραχίων, οὕτω καὶ ὁ δάκτυλος τῷ οὗ ἐστι δάκτυλος. Ὁμοούσιον ἄρα τὸ ἅγιον Πνεῦμα τῷ Πατρὶ καὶ τῷ Υἱῷ. Εἰ δὲ ὁμοούσιον, καὶ Θεός.

TITULUS XIII.

Photii patriarchæ, contra Romæ asseclas: quod ex solo Patre procedit Spiritus sanctus, non autem et ex Filio.

ΤΙΤΛΟΣ ΙΓ'.

Φωτίου πατριάρχου κατὰ τῶν τῆς Ῥώμης, ὅτι ἐκ τοῦ Πατρὸς μόνου ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' οὐχὶ καὶ ἐκ τοῦ Υἱοῦ.

Hunc brevissimum tractatum theologicæ crisi subjectum nuper Græce et Latine recudit J. Hergenroether, in Universitate Wirceburgensi professor, post Photii librum *de Spiritus sancti mystagogia*, quem complectitur tomus noster CII. Vide ad col. 273 quæ præfatus est doctus editor, et col. 391 opusculi ipsius textum cum Latina interpretatione; nam satis superque est Photii hæretica placita semel exhibuisse. Edit. Patr.

TITULUS XIV.

Adversus Apollinarium. Magni Athanasii ex disputatione contra Macedonianum Apollinaristam habita.

ΤΙΤΛΟΣ ΙΔ'.

Κατὰ Ἀπολιναρίου, τοῦ μεγάλου Ἀθανασίου ἐκ τῆς πρὸς Μακεδονιανὸν τὸν Ἀπολιναριστὴν διαλέξεως.

MACEDONIANUS.

Non erratis tantum, quod consubstantialem Patri Filium esse dicatis: sed etiam quod Dominum

ΜΑΚΕΔΟΝΙΑΝΟΣ.

Οὐ μόνον σφάλλεσθε λέγοντες, ὅτι ὁμοούσιός ἐστιν ὁ Υἱὸς τῷ Πατρὶ, ἀλλ' ὅτι καὶ ψυχὴν εἶχε σαρκωθεὶς

[1] Act. XIII, 2-4. [2] ibid., 5 seqq. [3] Act. XIV, 20-25. [4] Luc. XI, 20. [5] Matth. XII, 28. [6] Psal. XCVII, 1.

ὁ Κύριος. ΟΡΘΟΔΟΞΟΣ. Οὐ μόνον εὐσεβοῦμεν λέγοντες, ὅτι ὁμοούσιός ἐστιν ὁ Υἱὸς τῷ Πατρὶ, ἀλλ' ὅτι καὶ ψυχὴν εἶχε σαρκωθείς. Οὐδὲν δὲ μέγα ποιεῖς ἀρνούμενος τὸ ὁμοούσιον, εἰ ψυχὴν αὐτὸν ἔχειν ἀρνῇ. Τοῦτο γάρ ἐστιν ἴδιον τῶν τὸ ἑτερούσιον καὶ τὸ ἀνόμοιον λεγόντων. Ἵνα γὰρ παθητὴν τὴν οὐσίαν τοῦ Μονογενοῦς εἴπωσιν, ἄψυχον λέγουσι, καὶ ἐκ τούτου κατασκευάζουσι τὸ ἀνόμοιον. *Μακεδ.* Ἀλλ' ἡμεῖς ἀνόμοιον μὲν οὐ λέγομεν, ἄψυχον δὲ λέγομεν. *Ὀρθ.* Ὁμολογεῖς, ὅτι παρὰ τῷ θανάτῳ ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν, ὡς ἐν τῷ κατὰ Ματθαῖον Εὐαγγελίῳ γέγραπται, καὶ ἐν τῷ κατὰ Μάρκον, Ἤρξατο θαμβεῖσθαι καὶ ἀδημονεῖν; *Μακεδ.* Ναί. *Ὀρθ.* Ἀδημονεῖ δὲ καὶ ἐκθαμβεῖται θεότης τὸν θάνατον, ἢ τὸ ἄψυχον σῶμα; *Μακεδ.* Δηλονότι ἡ θεότης σεσαρκωμένη. *Ὀρθ.* Ἀνόμοιος ἄρα ἡ τοῦ Υἱοῦ θεότης τῇ τοῦ Πατρὸς θεότητι; *Μακεδ.* Μὴ γένοιτο! *Ὀρθ.* Εἰ ἀδημονεῖ καὶ ἐκθαμβεῖται τὸν θάνατον, πῶς δύναται ὅμοιος εἶναι καὶ ἀπαράλλακτος τῷ μήτε ἀδημονοῦντι, μήτε λυπουμένῳ, μήτε ἐκθαμβουμένῳ; *Μακεδ.* Ἐπειδὴ σῶμα ἀνθρώπινον ἔσχεν, ἀδημονεῖ. *Ὀρθ.* Σῶμα δὲ ἄψυχον οὐκ ἀδημονεῖ, οὐκ ἐκθαμβεῖται, οὐ λυπεῖται. *Μακεδ.* Ἀλλ' εἶχε θεότητα ἀντὶ τῆς ψυχῆς. *Ὀρθ.* Τὸ σῶμα ἐποίει τὴν θεότητα ἐκθαμβεῖσθαι, ἢ ἡ θεότης τὸ σῶμα; *Μακεδ.* Διὰ τὸ σῶμα ἡ θεότης ἐξεθαμβεῖτο. *Ὀρθόδ.* Ἐθολοῦτο οὖν ἡ θεότης ὑπὸ σώματος, ὡς τὸ ἡγεμονικὸν ἡμῶν. *Μακεδ.* Μὴ γένοιτο εἰπεῖν! *Ὀρθ.* Ἀνάγκη οὖν δοῦναι ψυχὴν τὴν θολουμένην. *Μακεδ.* Μὴ γένοιτο! *Ὀρθ.* Πῶς οὖν ἀκούσῃ τοῦ ἀγγέλου λέγοντος τῷ Ἰωσήφ· « Παράλαβε τὴν μητέρα καὶ τὸ παιδίον, καὶ φεῦγε εἰς Αἴγυπτον· μέλλει γὰρ ὁ Ἡρώδης ζητεῖν τὴν ψυχὴν τοῦ παιδίου· » καὶ πάλιν· « Ἐγερθεὶς παράλαβε Μαριὰμ τὴν γυναῖκά σου, καὶ δεῦρο εἰς γῆν Ἰσραήλ· τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου· » καὶ αὐτὸς ὁ Κύριος λέγει· « Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· » καὶ πάλιν· « Ὅτε θέλω, τίθημι αὐτὴν, καὶ ὅτε θέλω, λαμβάνω αὐτήν; » *Μακεδ.* Ἐπειδὴ καὶ ὁ Πατὴρ λέγει, « Τὰς νεομηνίας ὑμῶν καὶ τὰ Σάββατα μισεῖ ἡ ψυχή μου, » ἄρα διὰ τοῦτο καὶ τὸν Πατέρα ψυχὴν ἔχειν λέξομεν; *Ὀρθ.* Πρῶτον ὃ παρήγαγες ῥητὸν οὐκ ἐνόησας. Οὐ γὰρ ἔχεις δεῖξαι, ὅτι Πατήρ ἐστιν ὁ λέγων. *Μακεδ.* Ἀλλὰ τίνος ἐστὶν ἡ φωνή; *Ὀρθ.* Τοῦ Υἱοῦ τοῦ Θεοῦ τοῦ εἰρηκότος· « Ἔγνω βοῦς τὸν κτησάμενον αὐτὸν, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός μου οὐ συνῆκε. » *Μακεδ.* Οὗτος οὖν ἐστιν ὁ λέγων· « Τὰς νεομηνίας ὑμῶν καὶ τὰ Σάββατα μισεῖ ἡ ψυχή μου; » *Ὀρθ.* Καὶ πάνυ. Τότε γὰρ αὐτὰ ἐμίσησεν, ὅτε ἐνηνθρώπησε, καὶ τὴν Καινὴν Διαθήκην διέθετο. *Μακεδ.* Καὶ εἶχε ψυχὴν, ὅτε ὤφθη τῷ Ἡσαΐᾳ; *Ὀρθ.* Ὥσπερ οὐκ εἶχε χεῖρας καὶ πόδας σωματικοὺς, οὔτε μὴν ἱμάτια σωματικὰ πρὸ τῆς ἐνανθρωπήσεως, ὅτε ἔλεγεν, « Ὤρυξαν χεῖράς μου καὶ πόδας μου, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλήρους, » ἀλλὰ τὰ

incarnatum animam quoque habuisse affirmetis. ORTHODOXUS. Non modo religiose sentimus, cum Patri consubstantialem esse Filium : sed et cum eum incarnatum animam habuisse confitemur. Neque vero magni quid feceris consubstantialitatem negans, si animam eum habere negaveris. Hoc enim eorum est proprium, qui substantiæ diversitatem et dissimilitudinem asserunt. Ut enim substantiam Unigeniti dicant esse patibilem, inanimatam eam dicunt, atque inde dissimilitudinem substantiæ comminiscuntur. *Maced.* Nos vero dissimilitudinem substantiæ non dicimus, sed anima carere dicimus. *Orth.* Faterisne Christum in mortis agone cœpisse contristari et mœstus esse, ut in Evangelio Matthæus habet, Cœpit contristari et mœstus esse, et ut Marcus, Cœpit pavere et tædere? *Maced.* Etiam. *Orth.* Utrum mœsta est et mortem pavet divinitas, an corpus animatum? *Maced.* Divinitas certe incarnata. *Orth.* Filii igitur divinitas dissimilis est deitati Patris? *Maced.* Absit! *Orth.* Si mœsta est et pavet mortem, quomodo similis per omnia erit ei qui nec angitur, nec contristatur, nec turbatur? *Maced.* Corpus habuit, et idcirco contristatur. *Orth.* At corpus sine anima non angitur, non turbatur, non tristatur? *Maced.* Sed loco animæ divinitatem habuit. *Orth.* An corpus divinitati pavorem incussit, aut divinitas corpori? *Maced.* Propter corpus divinitas expavescebat. *Orth.* Nimirum ut principatus animi nostri, ita et divinitas a corpore turbabatur. *Maced.* Absit ut hoc dicam! *Orth.* Concedas igitur oportet animam fuisse quæ turbata est. *Maced.* Absit! *Orth.* Quomodo ergo angelum audies Josepho dicentem : « Accipe puerum et matrem ejus, et fuge in Ægyptum : futurum est enim ut Herodes quærat animam pueri[1] ; » et iterum : « Surge et accipe Mariam conjugem tuam, et vade in terram Israel : defuncti sunt enim, qui quærebant animam pueri[2] ; » et Dominus ipse ait : « Ego sum pastor bonus : bonus pastor animam suam ponit pro ovibus[3] ; » et iterum : « Cum volo, pono eam, et cum volo, resumo eam[4]. » *Maced.* Quando vero et Patrem audimus loquentem, « Sabbata et neomenias vestras odit anima mea[5], » idcone et ipsum Patrem animam habere dicemus? *Orth.* Non considerasti eum, quem adduxisti locum. Neque enim demonstrare poteris Patrem esse, qui isthæc loquatur. *Maced.* Cujus ergo est vox ista? *Orth.* Filii Dei, qui dixit : « Cognovit bos possessorem suum, et asinus præsepe domini sui : Israel autem me non cognovit, et populus meus non intellexit[6]. » *Maced.* Hiccine est qui dicit : « Neomenias vestras et Sabbata odit anima mea? » *Orth.* Sane quidem. Tum enim odit ea, quando incarnatus est, et fœdus novum instituit. *Maced.* Atqui animam habuit, cum Isaiæ visus est? *Orth.* Quemadmodum nec manus, nec pedes corporeos, neque etiam vestimenta corporea habuit, ante incarnationem, quando dixit, « Foderunt manus meas et pedes meos : et super

[1] Matth. II, 13. [2] ibid. 20. [3] Joan. x, 11. [4] ibid. 18. [5] Isa. I, 13. [6] ibid. 3.

vestem meam miserunt sortem[1], » sed quæ futura erant pronuntiavit : sic et de anima loquens dixit : « Odit anima mea. » *Maced.* Sit sane Filii vox hæc : nunquid et tum Filius loquitur, cum dicit : « Ecce puer meus dilectus, in quem complacuit anima mea. ponam Spiritum meum super eum[2] ? » *Orth.* Patrem hic, non Filium, loqui in confesso est : attamen non quod animam habeat sic loquitur Pater, sed cujusque sancti animam, suam animam dicit. Quæcunque igitur anima sibi complacuerit in Filio, ista, inquit, est anima mea. Etenim ut homo justus, Dei homo dicitur ; ita anima justa, Dei anima nuncupatur et est. *Maced.* Quid igitur est beneplacitum ? *Orth.* Verbum *complacuit*, propheta Isaias interpretatur *suscepit*, ubi scribit : « Jacob servus meus, suscipiam eum : Israel electus meus, quem benigne suscepit anima mea. Posui Spiritum meum super eum. » Quæcunque igitur anima hunc, quem ostendo, servum meum suscepit, ea est mea anima. *Maced.* Nos improprie Patrem ista locutum fuisse dicimus. Neque enim quod animam habeat, dicit : « In quo sibi complacuit anima mea : » neque de anima hominum loquitur, ut tu quidem existimas. *Orth.* Improprie animam Patri tribui concedamus, nunquid et de Filio improprie ? *Maced.* Etiam. *Orth.* Quid si autem Pater homo dicatur, et si improprie Pater dicitur, num et Filius improprie homo dicetur ? *Maced.* Ubi scriptum est Patrem improprie esse hominem ? *Orth.* Filius ipse in Evangeliis hominem ipsum vocat. *Maced.* Locum lege, quo ipsum hominem vocat. *Orth.* Quando dicit, « Homo quidam fecit nuptias filio suo[3], » qualem hominem dicit ? Et quando dicit, « Homo quidam plantavit vineam, et locavit eam agricolis[4], » qualem intelligis hominem ? *Maced.* In parabola Patrem. *Orth.* Ergone igitur, cum in parabolis Patrem dicat hominem, et in eadem illa parabola seipsum dicat hominem post servos missum, Filium ipsum improprie hominem factum fuisse dixerimus ? *Maced.* Absit. *Orth.* Si ergo audierimus faciem Patris, quam puerorum angeli vident : si item audierimus faciem Filii, quæ in monte resplenduit, et quam minister Pontificis percussit : itane propria utrobique significatione faciem accipiemus, aut hanc quidem corporis faciem, illam improprie appellabimus faciem, quæ est hypostasis ? *Maced.* Omnium consensu aliter Patri, aliter Filio tribuitur. *Orth.* Non ergo si improprie anima Patri, continuo et Filio improprie tribuitur. Est hæc Manichæorum insania, docere Filium Dei non fuisse hominem factum. *Maced.* Hominem eum factum confitemur ; sed animam assumpsisse non item. *Orth.* Non hominem solum dic, sed et carnem factum. Neque enim homo factus est, si corpus animatum non assumpsit. *Maced.* Quid ita ? *Orth.* Quia corpus exanime, quod ab animæ rationalis communione sejunctum est, non est corpus

A μέλλοντα γίνεσθαι ἔλεγεν· οὕτω καὶ περὶ ψυχῆς λέγων εἶπε· « Μισεῖ ἡ ψυχή μου. » *Μακεδ.* Δῶμεν, ὅτι ἡ φωνὴ τοῦ Υἱοῦ ἐστι· μὴ καὶ ὅτε ἔλεγεν, « Ἰδοὺ ὁ Παῖς μου ὁ ἀγαπητός μου, εἰς ὃν ηὐδόκησεν ἡ ψυχή μου· θήσω τὸ Πνεῦμά μου ἐπ' αὐτὸν, » ὁ Υἱός ἐστιν ὁ λέγων; *Ὀρθ.* Οὐκ ἔστιν ὁ Υἱὸς ὁ λέγων, ἀλλ' ὁμολογουμένως ὁ Πατήρ. Οὐ μὴν ὡς αὐτὸς ψυχὴν ἔχων ταῦτα λαλεῖ· ἀλλὰ πᾶσαν ψυχὴν ἁγίαν, ἑαυτοῦ ψυχὴν λέγει. Ἥτις οὖν ψυχὴ εἰς τὸν Υἱὸν ηὐδόκησε, αὕτη μου, φησὶν, ἐστιν ἡ ψυχή. Ὡς γὰρ ὁ δίκαιος ἄνθρωπος, τοῦ Θεοῦ λέγεται ἄνθρωπος· οὕτω καὶ ἡ δικαία ψυχὴ τοῦ Θεοῦ λέγεται καὶ ἔστι ψυχή. *Μακεδ.* Τί οὖν ἐστιν εὐδοκία; *Ὀρθ.* Ὁ προφήτης Ἡσαΐας τὸ *ηὐδόκησε*, *προσεδέξατο*, εἶπε, λέγων· « Ἰακὼβ ὁ παῖς μου, ἀντελήψομαι αὐ- B τοῦ· Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου· ἔδωκα τὸ Πνεῦμά μου ἐπ' αὐτόν. » Ἥτις οὖν ψυχὴ τοῦτον, ὃν δείκνυμι ὑμῖν παῖδά μου, προσεδέξατο, αὕτη μου ἐστὶ ψυχή. *Μακεδ.* Ἡμεῖς καταχρηστικῶς τὸν Πατέρα λέγομεν εἰρηκέναι τὴν φωνήν. Οὔτε γὰρ ψυχὴν ἔχων ὁ Πατὴρ λέγει· « Εἰς ὃν ηὐδόκησεν ἡ ψυχή μου· » οὔτε, ὡς σὺ νενόηκας, περὶ τῆς τῶν ἀνθρώπων ψυχῆς λέγει. *Ὀρθ.* Δῶμεν, ὅτι καταχρηστικῶς εἴρηται περὶ τοῦ Πατρός· ἆρα καὶ περὶ τοῦ Υἱοῦ καταχρηστικῶς εἴρηται; *Μακεδ.* Ναί. *Ὀρθ.* Ἐὰν οὖν καὶ ἄνθρωπος λέγηται ὁ Πατὴρ, καταχρηστικῶς εἴρηται· καὶ εἰ περὶ τοῦ Πατρὸς, ἆρα καὶ τὸν Υἱὸν καταχρηστικῶς ἄνθρωπον λέξομεν; *Μακεδ.* Ποῦ γέγραπται καταχρηστικῶς ὁ C Πατὴρ ἄνθρωπος; *Ὀρθ.* Αὐτὸς ὁ Υἱὸς ἐν τοῖς Εὐαγγελίοις λέγει αὐτὸν ἄνθρωπον. *Μακεδ.* Ἀνάγνωθί μοι ποῦ αὐτὸν λέγει ἄνθρωπον. *Ὀρθ.* Ὅταν λέγῃ, « Ἄνθρωπός τις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ, » ποῖον λέγει ἄνθρωπον; Καὶ ὅταν λέγῃ· « Ἄνθρωπός τις ἐφύτευσεν ἀμπελῶνα, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, » ποῖον νοεῖς ἄνθρωπον; *Μακεδ.* Ἐν παραβολῇ τὸν Πατέρα. *Ὀρθ.* Ἆρα οὖν, ἐπειδὴ ἐν παραβολαῖς τὸν Πατέρα λέγει ἄνθρωπον, καὶ ἐν αὐτῇ τῇ παραβολῇ καὶ ἑαυτὸν Χριστὸν ἄνθρωπον μετὰ τοὺς δούλους ἀπεσταλμένον, εἴποιμεν ἂν καὶ αὐτὸν τὸν Υἱὸν καταχρηστικῶς ἐνηνθρωπηκέναι; *Μακεδ.* Μὴ γένοιτο! *Ὀρθ.* Ἐὰν δὲ ἀκούσωμεν πρόσωπον Πατρὸς, ὃ βλέπουσιν ἄγγελοι τῶν παιδίων, ὡς ἐν Εὐαγγελίοις γέγραπται· ἀκούσωμεν δὲ καὶ D πρόσωπον Υἱοῦ, ὃ ἔλαμψεν ἐν τῷ ὄρει, καὶ ἐῤῥάπισεν ὁ ὑπηρέτης· οὕτως ἀκούσομεν τῶν σημαινομένων; ἢ τὸ μὲν σώματος πρόσωπον, τὸ δὲ καταχρηστικῶς ὀνομάσομεν πρόσωπον, ὅ ἐστιν ὑπόστασις; *Μακεδ.* Ὁμολογουμένως ἄλλως ἐπὶ τοῦ Πατρὸς, καὶ ἄλλως ἐπὶ τοῦ Υἱοῦ. *Ὀρθ.* Οὐκ ἄρα, καὶ εἰ περὶ τοῦ Πατρὸς καταχρηστικῶς εἴρηται ψυχὴ, πάντως καὶ περὶ τοῦ Υἱοῦ· Μανιχαίων γὰρ αὕτη ἡ μανία, τὸ λέγειν μὴ ἐνηνθρωπηκέναι τὸν Υἱὸν τοῦ Θεοῦ. *Μακεδ.* Ἐνηνθρωπηκέναι λέγομεν· ἀλλ' οὐχὶ ψυχὴν εἰληφέναι. *Ὀρθ.* Μὴ λέγε ἐνηνθρωπηκέναι μόνον, ἀλλὰ καὶ σεσαρκῶσθαι. Εἰ γὰρ οὐκ ἔλαβεν ἔμψυχον σῶμα, οὐδὲ ἐνηνθρώπησε. *Μακεδ.* Διὰ τί; *Ὀρθ.*

[1] Psal. xxi, 17 19. [2] Isa. xlii, 1. [3] Matth. xxii, 2. [4] Matth. xxi, 33.

Ὅτι σῶμα ἄψυχον, τὸ μὴ κοινωνῆσαν ψυχῇ λογικῇ, οὐκ ἔστιν ἀνθρώπινον σῶμα. Πῶς δὲ ὡς « ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς, ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπᾴδοντος, » οὕτως ἀκούετε τοῦ Πέτρου λέγοντος ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων, ὅτι « Οὔτε ἡ ψυχὴ αὐτοῦ κατελείφθη εἰς ᾅδου, οὔτε ἡ σὰρξ αὐτοῦ οἶδε διαφθοράν; Καὶ ὁ προφήτης Ἡσαΐας βοᾷ· « Ἐὰν δῶτε περὶ ἁμαρτίας τὴν ψυχὴν ὑμῶν, ὄψεσθε σπέρμα μακρόβιον. » Καὶ βουλεύσεται Κύριος ἐν χειρὶ αὐτοῦ ἀφελεῖν τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς, καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς· καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει. Διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλούς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα. Ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε, καὶ διὰ τῆς ἀνομίας αὐτῶν παρεδόθη. » *Μακεδ.* Καὶ ἡμεῖς ἴσμεν, ὅτι πολλαχοῦ εἴρηται ἐν τῇ Γραφῇ, ὅτι ψυχὴν εἶχεν· ἀλλὰ καταχρηστικῶς εἴρηται, καὶ οὐκ ἀληθείᾳ. *Ὀρθ.* Πάντα οὖν ὅσα εἴρηται περὶ αὐτοῦ ἀνθρώπινα, οἷον ἀκοή, ὅρασις, ὄσφρησις, φωνή, γεῦσις, ἐπιθυμία, λύπη, θάμβος, ἀδημονία, περίπατος, καταχρηστικῶς εἴρηται, καὶ οὐκ ἀληθείᾳ; *Μακεδ.* Πάντα ταῦτα τὰ προειρημένα ἀληθῶς εἴρηται, ψυχὴ δὲ καταχρηστικῶς. *Ὀρθ.* Καὶ ὁ καταξιώσας κοπιῶντι τῷ σώματι, καὶ ἐξ ὀστέων, καὶ νεύρων, καὶ φλεβῶν, καὶ ἀρτηριῶν, καὶ ἄλλων μελῶν τοῦ σώματος καὶ μερῶν συμπαγέντι ἑνωθῆναι, οὐκ εἶχε ψυχήν; *Μακεδ.* Τί χρείαν εἶχε ψυχῆς ἡ Ζωή; *Ὀρθ.* Τί δὲ χρείαν εἶχε τῆς σαρκός, ὁ ἄνευ σαρκὸς ὀφθεὶς πρὸς τοὺς πατέρας ἡμῶν; *Μακεδ.* Εἰς τὸ σταυρωθῆναι χρείαν εἶχε σαρκός. *Ὀρθ.* Καὶ εἰς τὸ λυπηθῆναι, καὶ ἀδημονῆσαι, καὶ ἐκθαμβηθῆναι, καὶ ἐν ᾅδου γενέσθαι, χρείαν εἶχε ψυχῆς. Τοῦτο γάρ ἐστι τὸ *μορφὴν δούλου λαβών*, οὐ τὸ ἐν σώματι φανῆναι μόνον, ἀλλὰ καὶ τὸ τὰ πάθη τῆς δουλείας λαβεῖν. *Μακεδ.* Μορφὴν δούλου ἔλαβε, σάρκα λαβών. *Ὀρθ.* Ἡ μορφὴ τοῦ Θεοῦ τελεία ἐστὶ μορφὴ Θεοῦ; *Μακεδ.* Ναί. *Ὀρθ.* Καὶ ἡ μορφὴ ἄρα τοῦ δούλου τελεία μορφὴ τοῦ δούλου ἐστί. Διὰ τοῦτο γὰρ καὶ θάμβος, καὶ λύπη, καὶ ἀδημονία, διὰ τὸ τελείαν εἶναι τὴν τοῦ δούλου μορφήν. Καὶ τοῦτό ἐστι τὸ πρόβατον, ὃ ζητήσας καὶ εὑρών, ἐπὶ τῶν ὤμων φέρει, οὐκ ἀσκὸν ἄψυχον, ἀλλ' ἔμψυχον ζῶον, συγχωρῶν αὐτῷ ἔχειν τὰ πάθη, οὐ τὰ τῆς ἁμαρτίας, ἀλλὰ τὰ τῆς φύσεως· ἵνα μὴ φαντασία νομισθῇ, καὶ Μανιχαῖος μανῇ. *Μακεδ.* Δῶμεν, ὅτι περὶ ψυχῆς καλῶς λέγεις, διὰ τί καὶ ὁμοούσιον λέγετε τὸν Υἱὸν τῷ Πατρί; *Ὀρθ.* Ὅτι ὃν ἐὰν εἴπῃς λόγον τῆς οὐσίας τοῦ Πατρός, τοῦτον αὐτὸν τὸν λόγον εἶναι τιθέμεθα καὶ τῆς τοῦ Υἱοῦ οὐσίας. *Μακεδ.* Ἀλλὰ τοῦτο οὐκ ἔστιν ὁμοούσιον, ἀλλὰ ὁμοιοούσιον. *Ὀρθ.* Τὸ ὁμοιοούσιον, ἵν' οὕτως εἴπω, ἄγροικος σοφία ἐστίν· ὡς ἐὰν λέγῃ τις τὸν ὁμότροπον ὁμοιότροπον, ἢ τὸν ὁμογενῆ ὁμοιογενῆ, ἢ τὸν ὁμόδοξον ὁμοιόδοξον, ἢ τὸν ὁμόφρονα ὁμοιόφρονα. *Μακεδ.* Οὐχ· ἀλλὰ τὸ *ὁμοιοούσιον* ἐπὶ τῶν ἀσωμάτων· τὸ δὲ *ὁμοούσιον* ἐπὶ τῶν

humanum. Cur autem instar « aspidis surdæ et obturantis aures suas, quæ non exaudiet vocem incantantis [1], » ita vos et Petrum auditis, in Actis apostolorum dicentem : « Non derelictam esse apud inferos animam ejus, neque carnem ejus sensisse corruptionem[2] ? » et Isaiam clamantem : « Si dabitis pro peccato animam vestram, videbitis semen longævum. Et vult Dominus in manu ejus auferre dolorem animæ ejus, ostendere ei lucem, et formare intelligentiam, innocentem efficere justum, bene servientem multis ; et peccata eorum ipse portabit. Quapropter ipse possidebit multos, et fortium dividet spolia. Pro eo autem quod tradita est in mortem anima ejus, et inter iniquos reputatus est, et ipse peccata multorum tulit, et propter iniquitates eorum traditus est [3]. » *Maced.* Scimus sæpe in Scriptura dici, ipsum habere animam, sed improprie, non vere, dictum est. *Orth.* Quæcunque igitur humana de ipso sunt dicta, qualia sunt auditus, visus, olfactus, vox, gustus, concupiscentia, dolor, stupor, anxietas, obambulatio, figurate, non proprie, dicta fuerint ? *Maced.* Imo ea quæ modo recensita sunt, omnia proprie ipsi competunt : sed anima improprie. *Orth.* Nimirum qui illi laboranti, exque ossibus, nervis, venis, arteriis aliisque membris et partibus compacto corpori se unire dignatus est, is animam non habuit ? *Maced.* Quorsum Vita opus habuit anima ? *Orth.* Et quid carne illi opus fuit, qui patribus nostris etiam absque carne visus est ? *Maced.* Carne opus habuit, ut crucifigi posset. *Orth.* Sic anima opus habuit, ut dolere, contristari, ut expavescere, ut apud inferos esse posset. Hoc est enim, *formam servi accipiens*, non in corpore duntaxat apparere, sed servitutis etiam passiones assumere. *Maced.* Formam servi assumpsit, quando carnem assumpsit. *Orth.* Forma Dei estne perfecta Dei forma ? *Maced.* Etiam. *Orth.* Ergo et forma servi, perfecta servi forma est. Hinc enim et stupor et dolor et angor, quod forma servi perfecta sit. Atque hæc est ovis illa quam qui quærit et invenit, super humeros fert, non ut rem inanem, sed animal animatum, permittens illi ut passiones habeat, non illas quidem peccati, sed naturæ : ne phantasia esse existimetur, et insaniat Manichæus. *Maced.* Concedamus de anima pulchre te disserere ; sed quid causæ est cur consubstantialem Filium Patri dicatis ? *Orth.* Quia quam dixeris esse rationem substantiæ Patris, eam ipsam et substantiæ Filii esse statuimus. *Maced.* Sed illud non est consubstantiale, sed substantia simile. *Orth.* Simile substantia est, ut ita dicam, agrestis sapientia : ut si quis dixerit, quod idem sit unius moris et similis moris, idemque unius generis et similis generis, unius gloriæ et similis gloriæ, unius sententiæ et similis sententiæ. *Maced.* Nequaquam, sed *substantia simile* de incorporeis, *consubstantiale* de corporibus dicitur. *Orth.* Dixi agrestem esse sapientiam : potius quippe

[1] Psal. LVII, 5, 6. [2] Act. II, 31 ; Psal. XV, 10. [3] Isa. LIII, 10-12.

dicere vos oportuit *substantia simile* de corporibus in quæ cadit similitudo, *consubstantiale* vero de incorporeis dici, in quæ cadit identitas : nam *consubstantiale* est *ejusdem substantiæ*. *Maced.* At consubstantialia præjacentem habent substantiam. *Orth.* Nequaquam vere dicis : nam consubstantialis est Eva Adamo, neque tamen habent præjacentem hominum substantiam. *Maced.* Sed terram habent præjacentem. *Orth.* Nec tamen ideo sunt consubstantiales, quia ex terra sunt, sed quia eamdem admittunt substantiæ rationem. *Maced.* Verum ego idcirco consubstantiales esse dico, quia ex eadem plane sunt substantia, ex terra nempe. Dic igitur et canes, et serpentes et cuncta cætera animantia hominibus esse consubstantialia, neque solum bruta animantia, sed etiam plantas et si quid aliud ex terra ortum habet. Uno quippe nomine omnia terrena vocantur, sed non eamdem admittunt substantiæ rationem. *Maced.* Ego non sum sectator Aristotelis. *Orth.* Neque ego. *Maced.* Sed Aristoteles inquit, homonymorum, seu quorum commune nomen, diversam esse substantiæ rationem. *Orth.* At tu dicis eamdem esse rationem substantiæ hominum, asinorum, boum, equorum et aliorum animantium? *Maced.* Etiam. *Orth.* Eamdem ergo substantiæ rationem habes quam bruta animantia? *Maced.* Etiam. *Orth.* Ego quidem non Aristotelem, sed veritatem consectatus, non dico eorum quorum commune nomen, eamdem esse substantiæ rationem, neque eadem esse irrationabilia quæ rationabilia. Omnis autem hæreticus « comparatus est jumentis insipientibus, et similis factus est illis[1]. » *Maced.* Abstine a contumeliis inter disputandum. *Orth.* Ego contumeliose non ago, sed illud ex dictis tuis consequitur.

A σωμάτων. Ὀρθ. Εἶπον, ὅτι ἄγροικος σοφία ἐστί· μᾶλλον γὰρ τὸ *ὁμοιοούσιον* ἔδει λέγεσθαι παρ' ὑμῶν ἐπὶ τῶν σωμάτων, ἐφ' ὧν καὶ ὁμοιότης, τὸ δὲ *ὁμοούσιον* ἐπὶ τῶν ἀσωμάτων, ἐφ' ὧν ἡ ταυτότης· τὸ γὰρ *ὁμοούσιόν* ἐστι τὸ *ταυτοούσιον*. Μακεδ. Ἀλλὰ τὰ ὁμοούσια ἔχουσι προϋποκειμένην οὐσίαν. Ὀρθ. Οὐκ ἀληθῶς λέγεις· καὶ γὰρ ὁμοούσιός ἐστιν ἡ Εὔα τῷ Ἀδὰμ, καὶ οὐκ ἔχουσι προϋποκειμένην οὐσίαν ἀνθρώπων. Μακεδ. Ἀλλὰ τὴν γῆν ἔχουσι προϋποκειμένην. Ὀρθ. Ἀλλ' οὐ διὰ τοῦτό εἰσιν ὁμοούσιοι, ἐπειδὴ ἐκ τῆς γῆς εἰσιν, ἀλλ' ὅτι τὸν αὐτὸν ἐπιδέχονται λόγον τῆς οὐσίας. Μακεδ. Ἐγὼ δὲ διὰ τοῦτο λέγω ὁμοουσίους, ἐπειδὴ ἐκ τῆς αὐτῆς εἰσιν οὐσίας, ἐκ τῆς γῆς. Ὀρθ. Εἰπὲ οὖν καὶ τοὺς κύνας, καὶ τοὺς ὄφεις, καὶ πάντα τὰ ἄλλα B ζῶα, ὁμοούσια τοῖς ἀνθρώποις· καὶ οὐ μόνον τὰ ἄλογα ζῶα, ἀλλὰ καὶ τὰ φυτὰ, καὶ εἴ τι ἕτερόν ἐστιν ἐκ τῆς γῆς. Ὁμωνύμως γὰρ πάντα γήϊνα καλοῦνται· ἀλλ' οὐ τὸν αὐτὸν ἐπιδέχονται λόγον τῆς οὐσίας. Μακεδ. Ἐγὼ οὐκ ἀκολουθῶ Ἀριστοτέλει. Ὀρθ. Οὐδὲ γὰρ ἐγώ. Μακεδ. Ἀλλὰ Ἀριστοτέλης εἶπε τῶν ὁμωνύμων τὸν λόγον τῆς οὐσίας ἕτερον εἶναι. Ὀρθ. Σὺ δὲ τὸν αὐτὸν εἶναι λόγον λέγεις τῆς οὐσίας ἀνθρώπων καὶ ὄνων, καὶ βοῶν, καὶ ἵππων, καὶ τῶν ἄλλων ζώων; Μακεδ. Ναί. Ὀρθ. Τὸν αὐτὸν ἄρα λόγον ἔχεις τῆς οὐσίας τοῖς ἀλόγοις; Μακεδ. Ναί. Ἐκ τῆς γῆς γὰρ ἐγενόμεθα πάντες. Ὀρθ. Ἐγὼ μὲν οὐκ Ἀριστοτέλει ἀκολουθῶν, ἀλλ' αὐτῇ τῇ ἀληθείᾳ, τῶν ὁμωνύμων τὸν λόγον τῆς οὐσίας οὐ τὸν αὐτὸν λέγω, οὐδὲ ταυτὰ τοῖς ἀλόγοις τὰ λογικά. Πᾶς δὲ αἱρετικὸς « παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη C αὐτοῖς. » Μακεδ. Μὴ ὕβριζε διαλεγόμενος. Ὀρθ. Ἐγὼ οὐχ ὑβρίζω, ἀλλ' ἡ σὴ φωνὴ τοῦτο συνήγαγε.

Item adversus Apolinarium, magni Gregorii Theologi ex epistola prima ad Cledonium, quæ est libri instar.

Ne homines isti alios decipiant, vicissimque ipsi decipiantur, hominem Dominicum, ut ipsi loquuntur, vel potius Dominum nostrum et Deum, mentis expertem esse asserentes. Neque enim hominem a divinitate separamus, sed unum et eumdem profitemur, prius quidem non hominem, sed Deum et Filium unicum, ac sæculis omnibus antiquiorem, a corpore rebusque omnibus corporeis purum et secretum ; in fine autem etiam hominem, propter salutem nostram assumptum, carne passibilem, divinitate impassibilem, corpore circumscriptum, spiritu incircumscriptum, terrenum eumdem et cœlestem, visibilem et intelligibilem, comprehensibilem et incomprehensibilem, ut per eumdem, totum hominem simul ac Deum, totus homo in peccatum lapsus refingatur.

Si quis sanctam Mariam Deiparam non credit, extra divinitatem est. Si quis Christum per Virginem tanquam per carnalem fluxisse, non autem in ea divino simul et humano modo formatum esse

Ἔτι κατὰ Ἀπολιναρίου, τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου ἐκ τῆς πρὸς Κληδόνιον λογοειδοῦς πρώτης ἐπιστολῆς.

Μὴ ἀπατάτωσαν οἱ ἄνθρωποι, μηδὲ ἀπατάσθωσαν, ἄνθρωπον ἄνουν δεχόμενοι τὸν Κυριακὸν, ὡς αὐτοὶ λέγουσι, μᾶλλον δὲ τὸν Κύριον ἡμῶν καὶ Θεόν. Οὐδὲ γὰρ τὸν ἄνθρωπον χωρίζομεν τῆς θεότητος, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν δογματίζομεν, πρότερον μὲν οὐκ ἄνθρωπον, ἀλλὰ Θεὸν καὶ Υἱὸν μόνον προαιώνιον, ἀμιγῆ σώματος, καὶ τῶν ὅσα σώματος, ἐπὶ D τέλει δὲ καὶ ἄνθρωπον, προσληφθέντα ὑπὲρ τῆς σωτηρίας τῆς ἡμετέρας, παθητὸν σαρκὶ, ἀπαθῆ θεότητι, περιγραπτὸν σώματι, ἀπερίγραπτον πνεύματι, τὸν αὐτὸν ἐπίγειον καὶ οὐράνιον, ὁρώμενον καὶ νοούμενον, χωρητὸν καὶ ἀχώρητον, ἵν' ὅλῳ ἀνθρώπῳ τῷ αὐτῷ καὶ Θεῷ ὅλος ἄνθρωπος ἀναπλασθῇ πεσὼν ὑπὸ τὴν ἁμαρτίαν.

Εἴ τις οὐ Θεοτόκον τὴν ἁγίαν Μαρίαν ὑπολαμβάνει, χωρίς ἐστι τῆς θεότητος. Εἴ τις ὡς διὰ σωλῆνος τῆς Παρθένου δραμεῖν, ἀλλὰ μὴ ἐν αὐτῇ διαπεπλάσθαι λέγοι θεϊκῶς ἅμα καὶ ἀνθρω-

[1] Psal. XLVIII, 13.

πικῶς· θεϊκῶς μὲν, ὅτι χωρὶς ἀνδρός· ἀνθρωπι- A κῶς δὲ, ὅτι νόμῳ κυήσεως, ὁμοίως ἄθεος. Εἴ τις διαπεπλάσθαι τὸν ἄνθρωπον, εἶθ' ὑποδεδυκέναι λέγοι Θεὸν, κατάκριτος. Οὐ γὰρ γέννησις Θεοῦ τοῦτό ἐστιν, ἀλλὰ φυγὴ γεννήσεως. Εἴ τις εἰσάγει δύο Υἱοὺς, ἕνα μὲν τὸν ἐκ Θεοῦ καὶ Πατρὸς, δεύτερον δὲ τὸν ἐκ τῆς μητρὸς, ἀλλ' οὐχὶ ἕνα καὶ τὸν αὐτὸν, καὶ τῆς υἱοθεσίας ἐκπέσοι τῆς ἐπηγγελμένης τοῖς ὀρθῶς πιστεύουσι. Φύσεις μὲν γὰρ δύο Θεὸς καὶ ἄνθρωπος, ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα · υἱοὶ δὲ οὐ δύο, οὐδὲ Θεοί. Οὐδὲ γὰρ ἐνταῦθα δύο ἄνθρωποι, εἰ καὶ οὕτως ὁ Παῦλος τὸ ἐντὸς τοῦ ἀνθρώπου, καὶ τὸ ἐκτὸς προσηγόρευσε. Καὶ εἰ δεῖ συντόμως εἰπεῖν, ἄλλο μὲν καὶ ἄλλο τὰ ἐξ ὧν ὁ Σωτὴρ (εἴπερ μὴ ταυτὸν τὸ ἀόρατον τῷ ὁρατῷ, καὶ τὸ ἄχρονον τῷ ὑπὸ χρόνον), οὐκ ἄλλος δὲ καὶ ἄλλος· μὴ γένοιτο. Τὰ γὰρ B ἀμφότερα ἓν τῇ συγκράσει, Θεοῦ μὲν ἐνανθρωπήσαντος, ἀνθρώπου δὲ θεωθέντος, ἢ ὅπως ἄν τις ὀνομάσειε. Λέγω δὲ ἄλλο καὶ ἄλλο, ἔμπαλιν ἢ ἐπὶ τῆς Τριάδος ἔχει. Ἐκεῖ μὲν γὰρ ἄλλος καὶ ἄλλος, ἵνα μὴ τὰς ὑποστάσεις συγχέωμεν· οὐκ ἄλλο δὲ καὶ ἄλλο, ἓν γὰρ τὰ τρία καὶ ταυτὸν τῇ θεότητι.

Εἴ τις, ὡς ἐν προφήτῃ, λέγοι κατὰ χάριν ἐνηργηκέναι, ἀλλὰ μὴ κατ' οὐσίαν συνῆφθαί τε καὶ συνάπτεσθαι, εἴη κενὸς τῆς κρείττονος ἐνεργείας, μᾶλλον δὲ πλήρης τῆς ἐναντίας. Εἴ τις μὴ προσκυνεῖ τὸν ἐσταυρωμένον, ἀνάθεμα ἔστω, καὶ τετάχθω μετὰ τῶν θεοκτόνων. Εἴ τις ἐξ ἔργων τετελειωμένον, C ἢ μετὰ τὸ βάπτισμα, ἢ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν υἱοθεσίας ἠξιῶσθαι λέγοι, καθάπερ οὓς Ἕλληνες παρεγγράπτους εἰσάγουσιν, ἀνάθεμα ἔστω. Τὸ γὰρ ἠργμένον, ἢ προκόπτον, ἢ τελειούμενον, οὐ Θεὸς, κἂν διὰ τὴν κατὰ μικρὸν ἀνάδειξιν οὕτω λέγηται. Εἴ τις ἀποτεθεῖσθαι νῦν τὴν ἁγίαν σάρκα λέγοι, καὶ γυμνὴν εἶναι τὴν θεότητα τοῦ σώματος, ἀλλὰ μὴ μετὰ τοῦ προσλήμματος καὶ εἶναι, καὶ ἥξειν, μὴ ἴδοι τὴν δόξαν τῆς παρουσίας αὐτοῦ. Ποῦ γὰρ τὸ σῶμα νῦν, εἰ μὴ μετὰ τοῦ προσλαβόντος; οὐ γὰρ δὴ κατὰ τοὺς Μανιχαίων λήρους τῷ ἡλίῳ ἐναποτέθειται, ἵνα τιμηθῇ διὰ τῆς ἀτιμίας· ἢ εἰς τὸν ἀέρα ἐχέθη καὶ διελύθη, ὡς φωνῆς φύσις, καὶ ὀδμῆς ῥύσις, καὶ ἀστραπῆς δρόμος οὐχ ἱσταμέ- D νης. Ποῦ δὲ καὶ τὸ ψηλαφηθῆναι αὐτὸν μετὰ τὴν ἀνάστασιν, ἢ ὀφθήσεσθαί ποτε ὑπὸ τῶν ἐκκεντησάντων; θεότης γὰρ καθ' ἑαυτὴν ἀόρατος. Ἀλλ' ἥξει μὲν μετὰ τοῦ σώματος, ὡς ἐμὸς λόγος, τοιοῦτος δὲ οἷος ὤφθη τοῖς μαθηταῖς ἐν τῷ ὄρει, ἢ παρεδείχθη, ὑπερνικώσης τὸ σαρκίον τῆς θεότητος. Ὥσπερ δὲ ταῦτα λέγομεν ἀποσκευαζόμενοι τὴν ὑπόνοιαν, οὕτω κἀκεῖνα γράφομεν διορθούμενοι τὴν καινοτομίαν.

A dixerit, divino, quia absque viri opera; humano, quia humani conceptus lege, æque atheus est. Si quis formatum hominem fuisse, Deumque postea subiisse dicat, damnationi obnoxius est. Hoc enim non Dei generatio fuerit, sed generationis fuga. Si quis duos filios, alterum ex Deo et Patre, alterum ex matre, non autem unum atque eumdem induxerit, is ab ea quoque filiorum adoptione [1] excidat, quæ recte credentibus promissa est. Quamvis enim duæ naturæ sint Deus et homo, quippe qui animus sit et corpus, non tamen duo filii et dii : quemadmodum ne hic quidem duo homines, tametsi Paulus ad hunc modum internam et externam hominis partem appellaverit [2]. Atque, ut paucis rem complectar, aliud quidem atque aliud sunt ea, ex quibus Salvator, (quippe cum non idem sit quod cerni non potest, cum eo quod in aspectum cadit; et quod temporis expers est, cum eo quod tempori subest) : non tamen alius atque alius : absit. Ambo enim hæc connexione unum sunt, Deo nimirum humanitatem, atque homine divinitatem suscipiente, aut quocunque tandem nomine quispiam uti malit. Porro aliud et aliud dico, contra quam in Trinitate res habet. Illic enim alius atque alius, ne personas confundamus : non autem aliud atque aliud, quoniam tria quoad divinitatem unum et idem sunt.

Si quis divinitatem in eo, velut in propheta, per gratiam operatam fuisse, non autem secundum essentiam copulatam fuisse atque copulari dixerit, a præstantiori afflatu vacuus sit, imo contrario impleatur. Si quis crucifixum non adorat, anathema sit, atque in eorum qui Deum interemerunt numerum ascribatur. Si quis eum ex operibus perfectum fuisse, aut post baptismum, vel resurrectionem a mortuis, in filium adoptatum dixerit, quemadmodum quos Græci ascriptitios inducunt, anathema sit. Neque enim id, quod initium habuit, aut proficit, aut perficitur, Deus est : tametsi hæc de eo idcirco dicantur, quod paulatim sese patefecerit. Si quis sanctam carnem nunc depositam esse, nudamque ac corpore vacuam divinitatem esse, non autem cum assumpta carne, et esse, et venturam esse dixerit, adventus illius gloriam non cernat. Ubi enim nunc corpus fuerit, nisi cum ea natura, a qua assumptum est? Non enim scilicet juxta Manichæorum deliria soli impositum est, ut per dedecus honoretur : aut in aerem fusum et dissolutum est, ut vocis natura, et odoris fluxio, et fulguris cursus minime consistentis. Ubi etiam illud ponemus quod ipse post resurrectionem contactus fuisse scribitur [3], aut ab iis, a quibus confixus est [4], aliquando videbitur? Divinitas enim per se oculorum obtutum fugit. Verum cum corpore quidem, ut sentio, veniet; talis autem, qualis discipulis in monte apparuit, aut obiter ostensus est [5], divinitate carnem superante. Quemadmodum autem hæc amoliendæ suspicionis causa dicimus, sic illa quoque corrigendi novi erroris studio scribimus.

[1] Ephes. I, 5. [2] I Cor. XV, 45; II Cor. IV, 16; Ephes. III, 16. [3] Luc. XXIV, 39. [4] Zach. XII, 10. [5] Matth. XVII, 2.

Si quis carnem a cœlo descendisse, non autem hinc atque a nobis esse dixerit, etiamsi supra nos, anathema sit. Illud enim, *Secundus homo de cœlo* [1], et, *Qualis cœlestis, tales et cœlestes* [2]; et, *Nemo ascendit in cœlum, nisi qui descendit de cœlo Filius hominis* [3], et si quid aliud ejusdem generis, propter unionem cum cœlesti dici existimandum est: quemadmodum et illud, Per Christum omnia facta esse [4], et *Christum in cordibus vestris habitare* [5], non secundum id Dei, quod oculis cernitur, sed secundum id, quod intellectu percipitur, commistis videlicet, ut naturis, ita etiam nominibus, atque ob arctissimam conjunctionem inter se vicissim commeantibus.

Si quis in hominem mente carentem sperat, amens profecto est, nec dignus, cui omni ex parte salus afferatur. Nam quod assumptum non est, curationis est expers: quod autem Deo unitum est, hoc quoque salutem consequitur. Si dimidia tantum ex parte Adamus lapsus est, dimidiatum quoque sit quod assumptum est, et quod salutem accipit; si autem totus peccavit, toti quoque genito unitus est, atque omni ex parte salutem consequitur. Quocirca ne perfectam salutem isti nobis invideant, aut ossa solum, et nervos, atque hominis picturam Salvatori tribuant. Nam si ipse inanimatus homo est, hoc etiam Ariani aiunt, ut passionem divinitati tribuant, tanquam videlicet quod corpus movet, idem quoque patiatur. Si autem animatus quidem, verum mentis expers, quo tandem modo hominis nomen sustinebit? Neque enim homo animal est mente carens. Atque illud necesse est, ut species quidem et larva humana sit, anima autem equi cujuspiam, aut bovis, aut alius animalis mentem non habentis. Ac proinde illud quoque erit, cui salus afferatur: atque ego ab ipsa Veritate delusus sum, ut qui, alio honore affecto, ipse glorier, meque jactem. Si autem mentis particeps, non autem mente carens homo est, desipere vere ac mentis inopia laborare desinant.

At, inquit, divinitas mentis loco sufficiebat. Quid autem hoc ad me? Divinitas enim cum sola carne homo non est, imo nec cum sola anima, nec cum utraque, si mens absit, quæ etiam magis homo censeri debet. Quamobrem totum hominem retine, ac divinitatem adjunge, ut me plene ac perfecte beneficio afficias.

Ex eadem.

At, inquis, duo perfecta non capiebat. Non sane; si quidem corporeo modo rem expendas. Vas enim unius medii capax duos modios minime continebit, nec corporis unius locus duo aut plura corpora. Si autem ut intelligibilia et incorporea ea consideres, illud animadverte, quod idem ipse, et animam, et rationem, et mentem, et Spiritum sanctum continui, atque etiam ante me mundus hic (hoc est quod ex visibilibus et invisibilibus rebus constat), Patrem, Filium et Spiritum sanctum. Hæc enim eorum, quæ in intellectum cadunt, natura est, ut incorporeo atque invisibili modo, et inter se et cum corporibus misceantur, quandoquidem et plu-

[1] I Cor. xv, 47. [2] ibid. 48. [3] Joan. III, 13.

A Εἴ τις λέγοι τὴν σάρκα ἐξ οὐρανοῦ κατεληλυθέναι, ἀλλὰ μὴ ἐντεῦθεν εἶναι καὶ παρ' ἡμῶν, εἰ καὶ ὑπὲρ ἡμᾶς (45), ἀνάθεμα ἔστω. Τὸ γὰρ, *Ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ*, καὶ *Οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι*, καὶ, *Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ Υἱὸς τοῦ ἀνθρώπου*, καὶ εἴ τι ἄλλο τοιοῦτο, νομιστέον λέγεσθαι διὰ τὴν πρὸς τὸν οὐράνιον ἕνωσιν, ὥσπερ καὶ τὸ διὰ Χριστοῦ γεγονέναι τὰ πάντα, καὶ *κατοικεῖν Χριστὸν ἐν ταῖς καρδίαις ὑμῶν*, οὐ κατὰ τὸ φαινόμενον τοῦ Θεοῦ, ἀλλὰ κατὰ τὸ νοούμενον, κιρναμένων ὥσπερ τῶν φύσεων, οὕτω δὴ καὶ τῶν κλήσεων, καὶ περιχωρουσῶν εἰς ἀλλήλας τῷ λόγῳ τῆς συμφυΐας.

Εἴ τις εἰς ἄνουν ἄνθρωπον ἤλπικεν, ἀνόητος ὄντως B ἐστὶ, καὶ οὐκ ἄξιος ὅλως σώζεσθαι. Τὸ γὰρ ἀπρόσληπτον, ἀθεράπευτον· ὃ δὲ ἥνωται τῷ Θεῷ, τοῦτο καὶ σώζεται. Εἰ ἥμισυς ἔπταισεν ὁ Ἀδὰμ, ἥμισυ καὶ τὸ προσειλημμένον καὶ τὸ σωζόμενον. Εἰ δὲ ὅλος, ὅλῳ τῷ γεννηθέντι ἥνωται, καὶ ὅλως σώζεται. Μὴ τοίνυν βασκαινέτωσαν ἡμῖν τῆς παντελοῦς σωτηρίας, μηδὲ ὀστᾶ μόνον, καὶ νεῦρα καὶ ζωγραφίαν ἀνθρώπου τῷ Σωτῆρι περιτιθέτωσαν. Εἰ μὲν γὰρ ἄψυχος ὁ ἄνθρωπος, τοῦτο καὶ Ἀρειανοὶ λέγουσιν, ἵν' ἐπὶ τὴν θεότητα τὸ πάθος ἐνέγκωσιν, ὡς τοῦ κινοῦντος τὸ σῶμα, τούτου καὶ πάσχοντος. Εἰ δὲ ἔμψυχος, εἰ μὲν οὐ νοερὸς, πῶς καὶ ἄνθρωπος; οὐ γὰρ ἄνουν ζῶον ὁ ἄνθρωπος. Καὶ ἀνάγκη τὸ σχῆμα μὲν ἀνθρώπειον εἶναι καὶ τὴν σκηνὴν, τὴν δὲ ψυχὴν ἵππου τινὸς, ἢ βοὸς, ἢ ἄλλου τῶν ἀνοήτων. C Τοῦτο γοῦν ἔσται καὶ τὸ σωζόμενον· καὶ διεψεύσθην ἐγὼ παρὰ τῆς ἀληθείας, ἄλλου τιμηθέντος, ἄλλος μεγαλαυχούμενος. Εἰ δὲ νοερὸς, ἀλλ' οὐκ ἄνους ὁ ἄνθρωπος, παυσάσθωσαν ὄντως ἀνοηταίνοντες.

Ἀλλ' ἤρκει, φησὶν, ἡ θεότης ἀντὶ τοῦ νοῦ. Τί οὖν πρὸς ἐμὲ τοῦτο; Θεότης γὰρ μετὰ σαρκὸς μόνης οὐκ ἄνθρωπος, ἀλλ' οὐδὲ ψυχῆς μόνης, οὐδὲ ἀμφοτέρων χωρὶς τοῦ νοῦ, ὃ καὶ μᾶλλον ἄνθρωπος. Τήρει οὖν τὸν ἄνθρωπον ὅλον, καὶ μῖξον τὴν θεότητα, ἵνα με τελέως εὐεργετήσῃς.

Ἐκ τῆς αὐτῆς.

D Ἀλλ' οὐκ ἐχώρει, φησὶ, δύο τέλεια. Οὐδὲ γὰρ, εἴπερ σωματικῶς σκοπεῖς. Ἀγγεῖον γὰρ μεδιμναῖον οὐ χωρήσει διμέδιμνον, οὐδὲ σώματος ἑνὸς τόπος δύο ἢ πλείω σώματα· εἰ δὲ ὡς νοητὰ καὶ ἀσώματα, σκόπει ὅτι καὶ ψυχὴν, καὶ λόγον, καὶ νοῦν, καὶ Πνεῦμα ἅγιον ὁ αὐτὸς ἐχώρησα, καὶ πρὸ ἐμοῦ τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα, ὁ κόσμος οὗτος, τὸ ἐξ ὁρατῶν λέγω καὶ ἀοράτων σύστημα. Τοιαύτη γὰρ ἡ τῶν νοητῶν φύσις, ἀσωμάτως καὶ ἀμερίστως, καὶ ἀλλήλοις, καὶ σώμασι μίγνυσθαι. Ἐπεὶ καὶ φωναὶ πλείους ἀκοῇ μιᾷ χωρηταὶ, καὶ ὄψεις πολλῶν τοῖς αὐτοῖς ὁρατοῖς, καὶ ὀσφραντοῖς ὀσφρήσεις, οὔτε τῶν αἰσθήσεων στενοχωρουμένων ὑπ' ἀλλήλων, ἢ

[4] Joan. I, 3. [5] Ephes. III, 17.

ἐκθλιβομένων, οὔτε τῶν αἰσθητῶν ἐλαττουμένων τῷ A πλήθει τῆς ἀντιλήψεως.

rimum vocum auris una capax est, et multorum ora iisdem aspectari oculis possunt, odoresque olfactu eodem percipi, ita ut nec sensus mutuo comprimantur, vel extrudantur, nec res sensiles ob perceptionis copiam imminuantur.

Ποῦ δὲ καὶ τέλειος νοῦς ἀνθρώπου ἢ ἀγγέλου, συγκρίσει θεότητος, ἵνα τὸ ἕτερον ἐκθλιβῇ παρουσίᾳ τοῦ μείζονος; οὐδὲ γὰρ αὐγή τι πρὸς ἥλιον, οὐδὲ νοτὶς ὀλίγη πρὸς ποταμὸν, ἵνα τὰ μικρὰ προανέλωμεν, οἴκου μὲν αὐγὴν, γῆς δὲ νοτίδα, καὶ οὕτω χωρηθῇ τὰ μείζω καὶ τελεώτερα. Πῶς γὰρ χωρήσει δύο τέλεια, οἶκος μὲν αὐγὴν καὶ ἥλιον, γῆ δὲ νοτίδα καὶ ποταμὸν, τοῦτο διασκεψώμεθα· καὶ γὰρ πολλῆς ὄντως τὸ πρᾶγμα φροντίδος ἄξιον. Ἢ ἀγνοοῦσιν, ὅτι τὸ πρός τι τέλειον πρὸς ἕτερον ἀτελὲς, ὡς βουνὸς πρὸς ὄρος, καὶ κόκκος νάπυος πρὸς κύαμον, ἤ τι ἄλλο τῶν μειζόνων σπερμάτων, κἂν τῶν ὁμογενῶν μεῖζον λέγηται· εἰ δὲ βούλει, καὶ ἄγγελος πρὸς Θεὸν, καὶ πρὸς ἄγγελον ἄνθρωπος; Τέλειον οὖν ἡμέτερος νοῦς, καὶ ἡγεμονικὸν, ἀλλὰ ψυχῆς καὶ σώματος, οὐχ ἁπλῶς τέλειον, Θεοῦ δὲ δοῦλον καὶ ὑποχείριον, ἀλλ' B οὐ συνηγεμονικὸν, οὐδὲ ὁμότιμον. Ἐπεὶ καὶ Μωϋσῆς, Φαραὼ μὲν θεὸς, Θεοῦ δὲ θεράπων, ὡς ἀναγέγραπται· καὶ ἀστέρες νύκτα μὲν περιλάμπουσιν, ἡλίῳ δὲ κρύπτονται, ὡς, μηδ' ὅτι εἰσὶν, ἡμέρᾳ γνωρίζεσθαι· καὶ λαμπὰς ὀλίγη μεγάλῃ πυρκαϊᾷ προσχωρήσασα, οὔτε ἀπόλλυται, οὔτε φαίνεται, οὔτε χωρίζεται, ἀλλ' ὅλον ἐστὶ πυρκαϊὰ, τοῦ ὑπερέχοντος ἐκνικήσαντος.

Jam vero quonam pacto mens hominis, aut angeli, si cum divinitate comparetur, perfecta dici queat, ut alterum loco cedere cogatur majoris præsentia? Neque enim splendor aliquid, si cum sole conferatur, nec humor exiguus, si cum fluvio; ut quæ parva sunt prius submoveamus; e domo splendorem, e terra humorem, atque ita quæ majora sunt et perfectiora capiantur. Quonam enim modo duo perfecta continebunt, hinc nempe domus splendorem et solem, hinc rursum terra humorem et fluvium, hoc consideremus; magna enim profecto cura et animadversione res digna est. An illud eos fugit, quod res eadem, quæ cum aliqua collata perfecta est, alterius ratione imperfecta sit, ut collis cum monte collatus, et granum sinapis cum faba, aut alio quopiam majori semine, etiamsi iis, quæ ejusdem sunt generis, majus dicatur: angelus etiam si ita lubet, cum Deo, et homo cum angelo? Quocirca mens nostra, perfecta illa quidem est, et principatum tenet, verum in animam et corpus; non autem simpliciter perfecta; Dei vero serva et subdita est, non principatus socia, nec pari honore prædita. Quandoquidem etiam Moses, Pharaonis quidem deus [1], Dei autem famulus est [2], ut Litteris sacris proditum habetur; et stellæ noctem illustrant, a sole autem occultantur, ita ut interdiu ne eas quidem esse agnosci possit; et exigua lucerna magno accedens accenso rogo, nec exstinguitur, nec lucet, nec disjungitur, sed totum rogus est ac flamma, superante nimirum eo quod præstantius est.

Ἀλλὰ κατάκριτος, φησὶν, ὁ ἡμέτερος νοῦς. Τί δαὶ ἡ σάρξ; οὐ κατάκριτος; Ἢ καὶ ταύτην ἀπο- C σκεύασαι διὰ τὴν ἁμαρτίαν, ἢ κἀκεῖνον πρόσαγε διὰ τὴν σωτηρίαν. Εἰ τὸ χεῖρον προσείληπται, ἵν' ἁγιασθῇ διὰ τῆς σαρκώσεως, τὸ κρεῖττον οὐ προσληφθήσεται, ἵν' ἁγιασθῇ διὰ τῆς ἐνανθρωπήσεως; εἰ ὁ πηλὸς ἐζυμώθη καὶ νέον φύραμα γέγονεν, ὦ σοφοὶ, ἡ εἰκὼν οὐ ζυμωθήσεται, καὶ πρὸς Θεὸν ἀνακραθήσεται, θεωθεῖσα διὰ τῆς θεότητος; Κἀκεῖνο δὲ προσθήσομεν· εἰ διέπτυσται πάντως ὁ νοῦς ὡς ἁμαρτητικὸς καὶ κατάκριτος, καὶ διὰ τοῦτο σῶμα μὲν προσείληπται, νοῦς δὲ παραλέλειπται, συγγνώμη τοῖς πταίουσι περὶ νοῦν. Μαρτυρία γὰρ Θεοῦ κατὰ σὲ σαφῶς ἔδειξε τὸ τῆς θεραπείας ἀδύνατον. Εἴπω τὸ μεῖζον· σὺ μὲν διὰ τοῦτο ἀτιμάζεις, ὦ βέλτιστε, τὸν ἐμὸν νοῦν (ὡς σαρκο- D λάτρης, εἴπερ ἀνθρωπολάτρης ἐγὼ, ἵνα συνδήσῃς Θεὸν πρὸς σάρκα, ὡς οὐκ ἄλλως δεθῆναι δυνάμενον, καὶ διὰ τοῦτο ἐξαιρεῖς τὸ μεσότοιχον. Ὁ δὲ ἐμὸς λόγος τίς, τοῦ ἀφιλοσόφου καὶ ἀπαιδεύτου; ὁ νοῦς τῷ νοΐ μίγνυται, ὡς ἐγγυτέρῳ καὶ οἰκειοτέρῳ, καὶ διὰ τούτου σαρκὶ μεσιτεύοντος θεότητι καὶ παχύτητι.

At mens nostra, inquit, damnata est. Quid autem caro? annon damnata? Quare aut hanc quoque propter peccatum abjice, aut illam etiam propter salutem adjunge. Si quod deterius est, assumptum est, ut per incarnationem sanctificetur; annon, quod præstantius est, assumetur, ut per humanitatis susceptionem sanctitate afficiatur? Si lutum fermentatum est, o sapientes viri, ac nova conspersio exstitit [3], imago ipsa non fermentabitur, et cum Deo temperabitur, per divinitatem deificata? Quin hoc quoque adjiciemus: si mens, ut peccatrix et damnata, omnino spreta et rejecta est, ob eamque causam omissa mente corpus assumptum est, ignosci utique par est iis, qui circa mentem peccant. Dei enim testimonio, de tua sententia, aperte demonstratum est, eam nulla ratione curari posse. Dicamne quod majus est? Tu quidem, optime vir (tanquam sarcolatra, siquidem ego anthropolatra sum), idcirco mentem meam contemnis, ut Deum cum carne devincias perinde atque aliter astringi nequeat, ob idque intermedium parietem tollis [4]. Mea autem ratio, hoc est, hominis minime sapientis et eruditi, quænam est? Mens menti, ut propinquiori et conjunctiori, jungitur, ac per eam carni, divinitatem et carnis molem, intervenientem.

Τίς δὲ καὶ ὁ λόγος αὐτοῖς τῆς ἐνανθρωπήσεως,

Porro autem, quam humanitatis assumptæ, vel,

[1] Exod. vii, 1. [2] Jos. i, 15. [3] I Cor. v, 7. [4] Ephes. ii, 14.

ut ipsi loquuntur, incarnationis, causam afferant, A videamus. Siquidem ut Deus alioqui incomprehensibilis, comprehendatur, ac sub carne, quasi velo quodam, cum hominibus versetur, scita sane hæc ipsis larva est, et hypocrisis fabula: ut interim non dicam alio quoque modo fieri potuisse, ut nobiscum versaretur, quemadmodum prius in ignis rubo [1], et forma humana [2]. Si autem ut simili per simile sanctificato peccati damnationem solvat, profecto quemadmodum carne propter carnem damnatam, et anima propter animam opus habuit, ita etiam mente propter mentem, utpote quæ in Adamo non solum peccaverit, sed et prima affecta fuerit, quemadmodum medici in morbis loquuntur. Quod enim mandatum accepit, hoc mandato quoque minime paruit: quod autem minime paruit, hoc etiam eo audaciæ progressum est, ut illud violaret; quod autem violavit, hoc in primis quoque salute indigebat; quod autem salute indigebat, hoc etiam assumptum est; ita fit, ut mens assumpta sit.

ἴδωμεν, εἴτουν σαρκώσεως, ὥς αὐτοὶ λέγουσιν. Εἰ μὲν ἵνα χωρηθῇ Θεὸς, ἄλλως ἀχώρητος ὤν, καὶ ὡς ὑπὸ παραπετάσματι τῇ σαρκὶ τοῖς ἀνθρώποις προσομιλήσῃ, κομψὸν τὸ προσωπεῖον αὐτοῖς, καὶ τὸ δρᾶμα τῆς ὑποκρίσεως· ἵνα μὴ λέγω ὅτι καὶ ἄλλως ὁμιλῆσαι ἡμῖν οἷόν τε ἦν, ὥσπερ ἐν βάτῳ πυρὸς καὶ ἀνθρωπίνῳ εἴδει τὸ πρότερον. Εἰ δὲ ἵνα λύσῃ τὸ κατάκριμα τῆς ἁμαρτίας τῷ ὁμοίῳ τὸ ὅμοιον ἁγιάσας, ὥσπερ σαρκὸς ἐδέησε διὰ τὴν σάρκα κατακριθεῖσαν, καὶ ψυχῆς διὰ τὴν ψυχὴν, οὕτω καὶ νοῦ διὰ τὸν νοῦν, οὐ πταίσαντα μόνον ἐν τῷ Ἀδὰμ, ἀλλὰ καὶ πρωτοπαθήσαντα, ὥσπερ οἱ ἰατροὶ λέγουσιν ἐπὶ τῶν ἀῤῥωστημάτων. Ὃ γὰρ τὴν ἐντολὴν ἐδέξατο, τοῦτο καὶ τὴν ἐντολὴν οὐκ ἐφύλαξεν· ὃ δὲ οὐκ ἐφύ- B λαξε, τοῦτο καὶ τὴν παράβασιν ἐτόλμησεν· ὃ δὲ παρέβη, τοῦτο καὶ σωτηρίας ἐδεῖτο μάλιστα; ὃ δὲ τῆς σωτηρίας ἐδεῖτο, τοῦτο καὶ προσελήφθη· ὁ νοῦς ἄρα προσείληπται.

Hoc nunc, velint nolint, demonstratum est, geometricis, ut ipsi aiunt, ac necessariis demonstrationibus. Tu vero perinde facis, ac si, læso hominis oculo, ac pede insuper offenso, pedi quidem medicinam adhiberes, oculum autem incuratum relinqueres: aut, cum pictor aliquid minus recte pinxisset, picturam quidem immutares, pictorem autem, velut munere suo recte functum, præterires.

Τοῦτο νῦν ἀποδέδεικται, κἂν μὴ βούλωνται, γεωμετρικαῖς, ὥς φασιν αὐτοὶ, καὶ ἀναγκαίαις ἀποδείξεσι. Σὺ δὲ ποιεῖς παραπλήσιον, ὥσπερ ἂν εἰ ὀφθαλμοῦ ἀνθρώπου πταίσαντος καὶ ποδὸς προσπταίσαντος, τὸν πόδα μὲν ἐθεράπευες, τὸν δὲ ὀφθαλμὸν ἀθεράπευτον εἴας· ἢ ζωγράφου τι μὴ καλῶς γράψαντος, τὸ μὲν γραφὲν μετεποίεις, τὸν δὲ ζωγράφον ὡς κατορθοῦντα παρέτρεχες.

Ex eadem. C

Quod si, his rationibus prohibiti eo confugiunt, ut Deum, remota etiam mente, homini salutem afferre posse dicant, utique potuit etiam, remota carne per solam voluntatem, quemadmodum alia quoque omnia citra corporis operam operatus est, et operatur. Quare cum mente carnem quoque tolle, ut plena et perfecta tibi sit temeritas. Sed scilicet a littera decipiuntur, propter easque ad carnem accurrunt, Scripturæ consuetudinem ignorantes: nos hoc quoque eos docebimus. Nam quod Christus passim in Scriptura, homo, et Filius hominis appelletur, quid apud eos commemorare attinet, quibus hoc cognitum est et exploratum?

Ἐκ τῆς αὐτῆς.

Εἰ δὲ ὑπὸ τούτων ἐξειργόμενοι τῶν λογισμῶν, καταφεύγουσιν ἐπὶ τὸ δυνατὸν εἶναι Θεῷ, καὶ χωρὶς νοῦ, σῶσαι τὸν ἄνθρωπον, δυνατὸν δή που καὶ χωρὶς σαρκὸς, μόνῳ τῷ βούλεσθαι, ὥσπερ καὶ τὰ ἄλλα πάντα ἐνεργεῖ, καὶ ἐνήργησεν ἀσωμάτως. Ἄνελε οὖν μετὰ τοῦ νοὸς καὶ τὴν σάρκα, ἵν' ᾖ σοι τέλειον τὸ τῆς ἀπονοίας. Ἀλλ' ἀπατῶνται ὑπὸ τοῦ γράμματος, καὶ διὰ τοῦτο τῇ σαρκὶ προστρέχουσι, τὴν συνήθειαν τῆς Γραφῆς ἀγνοοῦντες. Ἡμεῖς αὐτοὺς καὶ τοῦτο διδάξομεν. Ὅτι μὲν γὰρ πανταχοῦ τῆς Γραφῆς ἄνθρωπος καὶ Υἱὸς ἀνθρώπου προσαγορεύεται, τί δεῖ πρὸς εἰδότας; καὶ λέγειν;

Quod si huic loco innituntur, *Verbum caro factum est, et habitavit in nobis* [3], ob idque, ut sutores quæ in pellibus crassiora sunt, ita ipsi, quod in homine præstantissimum est, abradunt, ut Deum cum carne conglutinent: tempus est ut ipsi dicant, carnium quoque duntaxat Deum esse Deum, non autem etiam animarum, quoniam scriptum est, *Sicut dedisti ei potestatem omnis carnis* [4]; *A*, *Ad te omnis caro veniet* [5]; et, *Benedicat omnis caro nomini sancto ejus* [6]; hoc est, omnis homo: aut rursum patres nostros incorporeos et invisibiles in Ægyptum descendisse, solamque Josephi animam a Pharaone in vincula conjectam fuisse, quoniam scriptum est: *In septuaginta quinque animabus*

D Εἰ δὲ διισχυρίζονται τῷ, *Ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν*, καὶ διὰ τοῦτο περιξέουσι τοῦ ἀνθρώπου τὸ κάλλιστον, ὥσπερ οἱ σκυτεῖς τὰ παχύτερα τῶν δερμάτων, ἵνα Θεὸν σαρκὶ συγκολλήσωσιν, ὥρα λέγειν αὐτοὺς καὶ σαρκῶν μόνων τὸν Θεὸν εἶναι Θεὸν, ἀλλ' οὐχὶ καὶ ψυχῶν, διὰ τὸ γεγράφθαι, *Καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκὸς*, καὶ, *Πρὸς σὲ πᾶσα σὰρξ ἥξει*, καὶ *Εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ*, τοῦτ' ἔστι πᾶς ἄνθρωπος· ἢ πάλιν ἀσωμάτους, καὶ ἀοράτους καταβεβηκέναι τοὺς πατέρας ἡμῶν εἰς Αἴγυπτον, καὶ τὴν ψυχὴν τοῦ Ἰωσὴφ δεδέσθαι μόνην ὑπὸ τοῦ Φαραὼ, διὰ τὸ γεγράφθαι, *Ἐν ἑβδομήκοντα πέντε ψυχαῖς κατέβησαν*

[1] Exod. III, 2. [2] Gen. XVIII, 1 sqq. [3] Joan. I, 14. [4] Joan. XVII, 2. [5] Psal. LXIV, 3. [6] Psal. CXLIV 21.

εἰς Αἴγυπτον, καὶ, *Σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ*, πρᾶγμα δεθῆναι μὴ δυνάμενον. Ἀγνοοῦσι γὰρ οἱ ταῦτα λέγοντες, ὅτι συνεκδοχικῶς τὰ τοιαῦτα ὀνομάζεται, ἀπὸ μέρους τοῦ παντὸς δηλουμένου· ὥσπερ καὶ, *Νεοσσοὶ τῶν κοράκων ἐπικαλοῦνται τὸν Θεὸν*, ἵν' ἡ πτηνὴ δηλωθῇ φύσις, καὶ Πλειὰς καὶ Ἕσπερος καὶ Ἀρκτοῦρος μνημονεύονται ἀντὶ πάντων ἀστέρων, καὶ τῆς περὶ τούτους οἰκονομίας.

Καὶ ἅμα οὐκ ἄλλως οἷόν τε ἦν τὴν τοῦ Θεοῦ δηλωθῆναι περὶ ἡμᾶς ἀγάπην, ἢ ἐκ τοῦ μνημονευθῆναι τὴν σάρκα, καὶ ὅτι δι' ἡμᾶς κατέβη καὶ μέχρι τοῦ χείρονος. Σάρκα γὰρ εἶναι ψυχῆς εὐτελέστερον, πᾶς τῶν εὖ φρονούντων ὁμολογήσει. Τὸ οὖν, *Ὁ Λόγος σὰρξ ἐγένετο*, ἴσον δοκεῖ μοι δύνασθαι τῷ καὶ ἁμαρτίαν αὐτὸν γεγονέναι λέγεσθαι καὶ κατάραν· οὐκ εἰς ταῦτα τοῦ Κυρίου μεταποιηθέντος, πῶς γάρ; ἀλλ' ὡς διὰ τοῦ ταῦτα δέξασθαι τὰς ἀνομίας ἡμῶν ἀναλαβόντος, καὶ τὰς νόσους βαστάσαντος.

A *descenderunt in Ægyptum* [1]; et, *Ferrum pertransiit anima ejus* [2], res profecto ejusmodi, quæ nullis vinculis astringi queat. Ignorant enim, qui hæc dicunt, res hasce per synecdochen enuntiari, toto nempe per partem indicato; ut cum ait Scriptura, *Et pulli corvorum Deum invocant* [3], ut avium natura designetur, et Pleias et Vesperus et Arcturus memorantur [4], pro eo, ac si diceret omnia sidera, Deique circa ea providentiam.

Huc accedit, quod non aliter Dei erga nos amor testatus esse poterat, quam ex eo quod caro in memoria fuerit, et quia nostri causa ipse etiam usque ad deteriorem partem sese demisit. Carnem enim anima viliorem esse nemo sanæ mentis inficiabitur. B Itaque hic locus, *Verbum caro factum est* [5], eamdem vim et significationem mihi habere videtur cum eo, quod *peccatum* quoque ipsum et *maledictum* factus esse dicitur [6]; non quod Dominus in hæc immutatus sit; qui enim id fieri posset? sed quia per id quod hæc suscepit, iniquitates nostras sustulit, et morbos portavit.

Ἐκ τῆς αὐτῆς.

Ἐκεῖνο δὲ γινώσκειν ἀναγκαῖον, ὅτι Ἀπολινάριος μὲν τὸ τῆς Θεότητος ὄνομα τῷ ἁγίῳ Πνεύματι δούς, τὴν δύναμιν τῆς Θεότητος οὐκ ἐφύλαξε. Τὸ γὰρ ἐκ μεγάλου, καὶ μείζονος, καὶ μεγίστου συνιστᾶν τὴν Τριάδα, ὥσπερ ἐξ αὐγῆς καὶ ἀκτῖνος καὶ Ἡλίου τοῦ Πνεύματος, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Πατρός, ὅπερ σαφῶς ἐν τοῖς ἐκείνου γέγραπται λόγοις, καὶ κλίμαξ ἐστὶ Θεότητος οὐκ εἰς οὐρανὸν ἀνάγουσα, ἀλλ' ἐξ οὐρανοῦ κατάγουσα. Ἡμεῖς δὲ Θεὸν γινώσκομεν τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα. Ταῦτα δὲ οὐκλήσεις ψιλὰς τέμνούσας ἀξιωμάτων, ἢ δυνάμεων ἀνισότητας, ἀλλὰ μίαν καὶ τὴν αὐτὴν ὥσπερ προσηγορίαν, οὕτω καὶ Θεότητος φύσιν, καὶ οὐσίαν καὶ δύναμιν.

Ex eadem.

Illud scire necesse est, Apollinarium, quamvis deitatis nomen Spiritui sancto dederit, vim tamen deitatis minime custodiisse. Siquidem ex magno, et majori, et maximo, hoc est, ex Spiritu sancto, et Filio, et Patre, tanquam ex splendore, et radio, et sole, Trinitatem constituere (quod quidem in illius libris aperte scriptum est), deitatis scala est, non in cœlum subvehens, sed e cœlo dejiciens. C At nos Deum quidem Patrem et Filium et Spiritum sanctum agnoscimus: hæc autem non nuda nomina, dispares dignitates aut potentias secantia, sed unam eamdemque, ut appellationem, ita divinitatis naturam, et essentiam, ac potentiam.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς τὸν αὐτὸν δευτέρας ἐπιστολῆς.

Οὗτοι γὰρ ἡνίκα μὲν ἂν τοῖς γνησίοις αὐτῶν μαθηταῖς, καὶ μύσταις τῶν ἀπορρήτων θεολογῶσιν, ὥσπερ οἱ Μανιχαῖοι τοῖς ἐκλεκτοῖς λεγομένοις, ὅλην τὴν νόσον αὐτῶν ἐκκαλύπτοντες, μόλις καὶ τὴν σάρκα τῷ Σωτῆρι διδόασιν. Ὅταν δὲ ταῖς κοιναῖς ὑπολήψεσι περὶ τῆς ἐνανθρωπήσεως, ἃς ἡ Γραφὴ παρίστησιν, ἐλέγχωνται καὶ πιέζωνται, τὰς μὲν εὐσεβεῖς λέξεις ὁμολογοῦσι, περὶ δὲ τὸν νοῦν κακουργοῦσιν, οὐκ ἄψυχον μέν, οὐδὲ ἄλογον, οὐδὲ ἄνουν, οὐδὲ ἀτελῆ ὁμολογοῦντες τὸν ἄνθρωπον, ψυχὴν δὲ καὶ λόγον, καὶ νοῦν, αὐτὴν εἰσάγοντες τὴν θεότητα, ὡς αὐτῆς τῇ σαρκὶ συγκραθείσης μόνης, ἀλλ' οὐχὶ καὶ τῶν ἡμετέρων καὶ ἀνθρωπίνων, εἰ καὶ τὸ ἀναμάρτητον κρεῖττον ἢ καθ' ἡμᾶς ἦν, καὶ τῶν ἡμετέρων παθῶν καθάρσιον.

Οὕτω γοῦν καὶ τό, *Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν*, παρεξηγοῦνται κακῶς καὶ λίαν εὐήθως, νοῦν

Ejusdem ex altera ad eumdem Epistola.

Isti enim, cum apud fidos suos discipulos et arcanorum conscios, quemadmodum Manichæi, apud eos quos electos vocant, de divinitate disputant, totum suum morbum detegentes, vix etiam carnem Salvatori tribuunt. Cum autem communibus de humanitatis assumptione sententiis, quas Scriptura exhibet, convincuntur ac premuntur, D pias quidem dictiones confitentur, verum circa sensum et intelligentiam dolos nectunt, non quidem animæ, nec rationis ac mentis expertem nec imperfectum hominem confitentes: cæterum animæ, et rationis, ac mentis loco divinitatem inducentes, perinde atque ipsa sola cum carne temperata et copulata fuerit, at non etiam humanæ nostræ res et proprietates; etiamsi illi ab omni peccato puritas humana conditione sublimior esset, ac vitiosarum nostrarum affectionum expiatrix.

Sic quippe illud quoque, *Nos autem mentem Christi habemus* [7], prave ac perquam stolide in-

[1] Act. VII, 14. [2] Psal. CIV, 18. [3] Psal. CXLVI, 9. [4] Job XXXVIII, 31, 32. [5] Joan. I, 14. [6] II Cor. V, 21; Gal. III, 13. [7] I Cor. II, 16.

terpretantur, nimirum per Christi mentem divinitatem significari contendentes; non autem hunc locum more nostro exponentes, nempe quod ii, qui mentem suam ad illius mentis, quam Salvator pro nobis assumpsit, imitationem purgarunt, atque ad eam, quantum fieri potest, composuerunt, mentem Christi habere dicuntur: quomadmodum et illi carnem Christi habere dici possent, qui carnem domuerunt, atque hac ratione concorporei et comparticipes Christi facti sunt [1], et, *Sicut portavimus imaginem terreni, ita*, inquit [2], *portabimus imaginem et cœlestis.* Eodem quoque modo ipsis perfectus homo, non qui omni ex parte res nostras, excepto peccato, expertus est, sed illud ex Deo et carne temperamentum esse statuitur. Hoc enim, aiunt, quid perfectius?

Idem autem etiam circa ἐνανθρωπήσεως vocem improbe ac versute usurpant, hoc verbum ἐνηνθρώπησεν non ita explicantes, ut idem sit, quod, in homine, quem sibi ipsi affixit, exstitit, juxta id quod ait Scriptura, *Ipse enim sciebat quid esset in homine* [3]; verum idem esse dicentes et docentes, quod, cum hominibus consuetudinem habuit ac versatus est, atque ad hæc verba confugientes: *Post hoc in terra visus est, et cum hominibus conversatus est* [4]. Quid autem diutius quispiam concertet? Sane dum hominem atque internam imaginem submovent, id duntaxat nostri, quod deforis est, per novam hanc larvam, et aspectabilem speciem mundant, adeo secum ipsi pugnantes, ut nunc quidem propter carnem cætera etiam crasso ac carnali modo exponant (hinc enim illis secundus Judaismus manavit, et delira mille annorum in paradiso voluptas, illudque propemodum, nos eadem rursus post eadem resumere): nunc autem opinionem potius quam veritatem carnis inducant, tanquam nihil humani passa fuerit, ne earum quidem rerum, quæ peccato vacant; atque ad hujusmodi dogmatis confirmationem, apostolicam quamdam vocem adhibeant, nec apostolice intellectam, nec pronuntiatam, nimirum [5] in similitudinem hominum Salvatorem factum esse, et habitu inventum ut hominem: quasi his verbis non humana forma significetur, sed fallax quædam species et opinio.

Ejusdem ex Epistola ad Nectarium.

In manus meas incidit libellus quidam Apollinarii, in quo quæ disputantur hæreticam omnem exhibent improbitatem. Negat enim carnem assumptam ab Unigenito ex naturæ nostræ ordine secundum dispositionem, sed ab initio illam carnis naturam in Filio esse, et absurdam istam opinionem quodam Evangelii testimonio prave intellecto conatur comprobare: *Nemo enim*, inquit, *ascendit in cælum, nisi qui descendit de cælo, Filius hominis* [6]. Ex his colligit, et antequam descenderet, Filium hominis exstitisse, et cum descenderet propriam car-

A Χριστοῦ τὴν θεότητα λέγοντες, οὐχ, ὥσπερ ἡμεῖς, ὑπολαμβάνοντες, ὅτι οἱ τὸν ἑαυτῶν νοῦν καθήραντες μιμήσει τοῦ νοὸς ἐκείνου, ὅνπερ ἡμῶν ὁ Σωτὴρ ἀνεδέξατο, καὶ πρὸς αὐτὸν ῥυθμίζοντες, ὡς ἐφικτὸν, οὗτοι νοῦν Χριστοῦ ἔχειν λέγονται· ὡς καὶ σάρκα Χριστοῦ μαρτυρηθεῖεν ἂν ἔχειν ἐκεῖνοι οἱ τὴν σάρκα παιδαγωγήσαντες, καὶ σύσσωμοι καὶ συμμέτοχοι Χριστοῦ κατὰ τοῦτο γενόμενοι· καὶ, *Ὡς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ*, οὕτω, φησὶ, *φορέσομεν καὶ τὴν τοῦ ἐπουρανίου.* Οὕτω δὲ καὶ τέλειος αὐτοῖς ἄνθρωπος, οὐχ ὁ πεπειρασμένος κατὰ πάντα τὰ ἡμέτερα χωρὶς ἁμαρτίας, ἀλλὰ τὸ ἐκ Θεοῦ καὶ σαρκὸς σύγκραμα δογματίζεται. Τούτου γὰρ, φασὶ, τί τελειότερον;

B

Τὸ δ' αὐτὸ καὶ περὶ τὴν τῆς ἐνανθρωπήσεως κακουργοῦσι φωνὴν, τὸ ἐνηνθρώπησεν, οὐκ ἐν ἀνθρώπῳ γέγονεν, ὃν ἑαυτῷ περιέπηξεν, ἐξηγούμενοι, κατὰ τὸ εἰρημένον, *Αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ*, ἀλλ' ἀνθρώποις ὡμίλησε, καὶ συνεπολιτεύσατο, λέγοντες καὶ διδάσκοντες, καὶ πρὸς ἐκείνην καταφεύγοντες τὴν φωνὴν, τήν· *Μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνεστράφη*, λέγουσαν. Καὶ τί ἄν τις ἀγωνίζοιτο ἐπὶ πλεῖον; Οἱ τὸν ἄνθρωπον ἀποσκευαζόμενοι, καὶ τὴν ἐντὸς εἰκόνα, τὸ ἐκτὸς ἡμῶν καθαρίζουσι μόνον διὰ τοῦ καινοῦ προσωπείου, καὶ τοῦ ὁρωμένου, τοσοῦτον ἑαυτοῖς μαχόμενοι, ὡς ποτὲ μὲν
C διὰ τὴν σάρκα καὶ τὰ ἄλλα παχέως καὶ σαρκικῶς ἐξηγεῖσθαι (ἐντεῦθεν γὰρ αὐτοῖς ὁ δεύτερος Ἰουδαϊσμὸς ὥρμηται, καὶ ἡ χιλιοέτης καὶ ληρώδης ἐν τῷ παραδείσῳ τρυφὴ, καὶ σχεδὸν τὸ τὰ αὐτὰ πάλιν ἐπὶ τοῖς αὐτοῖς ἀναλαμβάνειν ἡμᾶς), ποτὲ δὲ δόκησιν μᾶλλον ἢ ἀλήθειαν τῆς σαρκὸς εἰσάγειν, ὡς οὐδὲν τῶν ἡμετέρων παθούσης, οὐδὲ ὅσα τῆς ἁμαρτίας ἐστὶν ἐλεύθερα, καὶ κεχρῆσθαι πρὸς τοῦτο τῇ ἀποστολικῇ φωνῇ, οὐκ ἀποστολικῶς νοουμένῃ, ἢ λεγομένῃ, ἐν ὁμοιώματι ἀνθρώπων τὸν Σωτῆρα ἡμῶν γεγενῆσθαι, καὶ σχήματι εὑρῆσθαι ὡς ἄνθρωπον, ὡς οὐχὶ τοῦ ἀνθρωπίνου εἴδους ἐν τούτοις δηλουμένου, φαντασίας δέ τινος ἀπατηλῆς καὶ δοκήσεως.

D *Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Νεκτάριον.*

Ἐμοὶ πυκτίον ἦλθεν ἐν χερσὶ τοῦ Ἀπολλιναρίου, ἐν ᾧ τὰ κατασκευαζόμενα πᾶσαν αἱρετικὴν κακίαν παρέρχεται. Διαβεβαιοῦται γὰρ μὴ ἐπίκτητον εἶναι τὴν σάρκα κατ' οἰκονομίαν ὑπὸ τοῦ μονογενοῦς Υἱοῦ προσληφθεῖσαν ἐπὶ μεταστοιχειώσει τῆς φύσεως ἡμῶν, ἀλλ' ἐξ ἀρχῆς ἐν τῷ Υἱῷ τὴν σαρκώδη ἐκείνην φύσιν εἶναι, καὶ κακῶς ἐκλαβὼν εὐαγγελικήν τινα ῥῆσιν εἰς μαρτυρίαν τῆς τοιαύτης ἀτοπίας, προβάλλεται λέγων, ὅτι « Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ Υἱὸς τοῦ ἀνθρώπου· » ὡς καὶ πρὶν τοῦ κατελθεῖν αὐτὸν

[1] Ephes. III, 6. [2] I Cor. XV, 49. [3] Joan. II, 25. [4] Baruch. III, 38. [5] Philipp. II, 7. [6] Joan. III, 13.

A Υἱὸν ἀνθρώπου εἶναι, καὶ κατελθεῖν ἰδίαν ἐπαγόμενον σάρκα, ἐκείνην, ἣν ἐν τοῖς οὐρανοῖς ἔχων ἐτύγχανε προαιώνιόν τινα, καὶ συνουσιωμένην. Λέγει γὰρ πάλιν ἀποστολικήν τινα ῥῆσιν τοῦ ὅλου σώματος τῆς συμφράσεως ἀποκνίσας, ὅτι ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ. Εἶτα κατασκευάζει τὸν ἄνθρωπον ἐκεῖνον τὸν ἄνωθεν ἥκοντα τὸν νοῦν μὴ ἔχειν, ἀλλὰ τὴν θεότητα τοῦ Μονογενοῦς, τὴν τοῦ νοῦ φύσιν ἀναπληρώσασαν μέρος γενέσθαι τοῦ ἀνθρωπίνου συγκρίματος, τὸ τριτημόριον ψυχῆς τε καὶ σώματος κατὰ τὸ ἀνθρώπινον περὶ αὐτὸν ὄντων, νοῦ δὲ μὴ ὄντος, ἀλλὰ τὸν ἐκείνου τόπον τοῦ Θεοῦ Λόγου ἀναπληροῦντος. Καὶ οὔπω τοῦτο δεινὸν, ἀλλὰ τὸ πάντων χαλεπώτατον, ὅτι αὐτὸν τὸν μονογενῆ Θεὸν, τὸν κριτὴν τῶν πάντων, τὸν ἀρχηγὸν τῆς ζωῆς, τὸν καθαιρέτην τοῦ B θανάτου θνητὸν εἶναι κατασκευάζει, καὶ τῇ ἰδίᾳ αὐτοῦ θεότητι καὶ πάθος δέξασθαι, καὶ ἐν τῇ τριημέρῳ ἐκείνῃ νεκρώσει τοῦ σώματος καὶ τὴν θεότητα συναπονεκρωθῆναι τῷ σώματι, καὶ οὕτω παρὰ τοῦ Πατρὸς πάλιν ἀπὸ τοῦ θανάτου διαναστῆναι.

Ἔτι κατὰ Ἀπολλιναρίου τοῦ Νύσσης ἐκ τοῦ λόγου τοῦ πρὸς Θεόφιλον τὸν Ἀλεξανδρείας.

Οἱ τοῖς Ἀπολλιναρίου δόγμασι συνιστάμενοι σάρκινον λέγουσι τὸν Λόγον, καὶ δημιουργὸν τῶν αἰώνων τὸν τοῦ ἀνθρώπου Υἱὸν, καὶ ἄνουν τὸν Κυριακὸν ἄνθρωπον, καὶ θνητὴν τὴν τοῦ Υἱοῦ κατασκευάζουσι θεότητα.

Ἐκ τοῦ αὐτοῦ λόγου.

C Ἡμεῖς δὲ σωθῆναι μὲν τὴν ἀνθρωπίνην φύσιν ἐνωθεῖσαν τῷ Λόγῳ παρὰ τοῦ μυστηρίου καὶ μεμαθήκαμεν, καὶ πιστεύομεν· Υἱὸν δὲ Θεοῦ σάρκινον ἰδιαζόντως ἐφ' ἑαυτοῦ θεωρούμενον οὔτε ἐμάθομεν, οὔτε ἐξ ἀκολουθίας τινὸς νοεῖν ἐναγόμεθα.

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Ἀπολλινάριον ἀντιῤῥητικοῦ λόγου.

Εἰ γὰρ ὁ Ἀπολλινάριος στηρίζεται τῷ ῥήματι τῷ εἰρηκότι· *Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ Υἱὸς τοῦ ἀνθρώπου*, καὶ διὰ τοῦτο τῆς πρὸς τὸν γήϊνον ἄνθρωπον συγγενείας αὐτὸν ἀποσχίζει, καὶ ἐξ οὐρανοῦ ἐπάγεσθαι τὴν ἀνθρωπότητα λέγει, δώσει τινὰ πάντως ἐν οὐρανῷ ἀνθρώπινον πατέρα τοῦ πρὸς ἡμᾶς καταβάντος ἀνθρώπου. «Ὁ υἱὸς γὰρ,» φησὶ, «τοῦ ἀνθρώπου.» D Πῶς δὲ καὶ ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐκ τῆς Παρθένου σεσάρκωται, καὶ γεγέννηται; Καὶ σιωπῶ τὰ λίαν ἀπεμφαίνοντα, πρὸς ἃ κατὰ τὸ ἀκόλουθον ἡ ἀτοπία τῆς φλυαρίας ἐκφέρεται.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ προαιώνιος ἡ σὰρξ, οὐ κεκένωται ἡ θεότης, οὐχ ὑπῆρχεν ἐν μορφῇ Θεοῦ Υἱὸς, οὐ μορφὴν ἔλαβε δούλου, ἀλλ' ὅπερ ἦν τῇ φύσει, τοῦτο ἐφανερώθη νῦν.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ πρὸ τοῦ καταβῆναι πρὸς ἡμᾶς εἶχεν ἐν οὐρανῷ τὴν σάρκα, εἶχε πάντως ἐν οὐρανῷ καὶ πάντα τὰ τῆς σαρκὸς ἴδια, τὴν πεῖναν, τὴν δίψαν, τὸν ὕπνον, τὸν κόπον, τὴν λύπην, τὸ δάκρυον. Ποίας δὲ καὶ ἡλικίας ἦν, ὅτε εἰς γῆν καταβέβηκεν; «Παιδίον γὰρ,» κατὰ

nem attulisse, illam nimirum, quam in cœlis habebat ante sæcula ex propria ipsius essentia consistentem. Præterea dictum quoddam Apostoli ex toto corporis avellens consensu, secundum e cœlo hominem affirmat esse, atque ita concludit hominem illum, qui e cœlo descendit, mentem non habere, sed Unigeniti divinitatem mentis naturam explere, et tertiam illius concreti hominis partem obtinere, cum duæ reliquæ ipsius partes anima et corpus exsistant, mens vero non adsit, sed locum ejus expleat Dei Verbum. Quæ cum gravia absurdaque sint, illud tamen omnium gravissimum et absurdissimum, quod ipsum Deum Unigenitum, judicem omnium, vitæ principem, et mortis expulsorem affirmat esse mortalem, et propria ipsius divinitate cruciatus mortemque subiisse, triduique illius spatio, quo corpus mortuum mansit, simul cum ipso corpore mortuam quoque divinitatem permansisse, et a Patre rursum ex morte in vitam fuisse revocatam.

Item adversus Apollinarium Gregorii Nyssæ pontificis, ex oratione ad Theophilum Alexandriæ pontificem.

Qui Apollinarii placitis favent, Verbum dicunt ex carne constare, et sæculorum auctorem esse hominis Filium, et Domini humanitatem mentis expertem, et Filii mortalem esse divinitatem.

Ex eadem oratione.

Nos autem naturam quidem humanam Verbo conjunctam servatam esse ex mysterio didicimus et credimus. Dei autem Filium ex carne constare, et privatim in seipso vivere neque didicimus, neque unde id colligi possit intelligimus.

Ejusdem ex oratione, qua confutat Apollinarii opiniones.

Si Apollinarius verbis illis innititur: *Nemo ascendit in cœlum, nisi qui descendit de cœlo, Filius hominis*, et idcirco illum a terreni hominis conjunctione sejungit, et e cœlo traxisse dicit humanitatem, dabit aliquem prorsus in cœlo hominem patrem illius hominis, qui ad nos descendit: *Filius* enim, inquit, *hominis*. Præterea quomodo diebus extremis ex Virgine carnem assumpsit, et natus est? ut taceam incommoda, quæ ex absurdis istis nugis consequuntur.

Ex eadem oratione.

Si caro fuit ante sæcula, non exinanita est divinitas, Filius non erat in forma Dei, servi formam non accepit, sed quod erat natura, id nunc apparuit.

Ex eadem oratione.

Si antequam ad nos descenderet, carnem habebat in cœlo, habebat prorsus in cœlo etiam omnia quæ carnis sunt propria, nempe famem, sitim, somnum, lassitudinem, tristitiam, lacrymas. Qualis autem erat ætatis, cum descendit in terram? *Puer* enim, ut in-

quit Isaias, *natus est nobis, et filius datus est nobis* [1], et A per omnem transiit ætatem, quoad in terra versans mortuus est. Sin perfectum hominem ex Virgine natum dicunt, quomodo in matris utero contractus est? Quomodo moles ipsius jam nati sic est imminuta, ut terminis exiguis circumscriberetur? Quomodo paulatim crescens in hominem perfectum evasit? Eamne, quam prius habebat carnem iterum sumens, an aliam in seipso per cibum adjungens? Si pristinam dixerint, ostendent plane, supervacaneum illi fuisse nutrimentum; sin Dominum nutrimenti participem fuisse concesserint, quid dicent de carne in cœlo relicta? Magnam enim, ut par est, partem reliquit, et tantum ex illa sibi duntaxat servavit, quantam Virginis uterus capiebat. B

Ex eadem.

Si carnem circa seipsum semper habuit in cœlo; Deum autem carnem esse dicunt, qui sequuntur Apollinarium: omnis autem caro tactui resistit; quod autem resistit ex materia constat et compositum est, et quod compositum est, dissolvitur: necesse est ipsum et ex materia constitisse antequam e cœlo descenderet, et diversis e rebus esse compositum, et dissolutionem naturaliter exspectare.

Ex eadem oratione.

Ut probet Unigenitum ante sæcula carnem assumpsisse, affert testimonia quæ de ipsius divinitate dicta sunt, et ea conatur ad ejus humanitatem referre, ut illud: *Antequam Abraham fieret ego sum* [2]; C et illud Præcursoris dictum: *Prior me erat* [3], et illud Apostoli: *Et unus Dominus, per quem omnia; et ipse est ante omnia* [4]. Si igitur, ut ipse censet, ante sæcula est illius caro, extremis autem diebus e Virgine natum fatetur, ante sæcula nimirum fuit et Virgo quæ ipsum peperit, natuque major quam ille qui ex ipsa ortus est. Ut taceam de extremis diebus, qui ipsi quoque ante sæcula considerabuntur.

Ex eadem oratione.

Si Patrem asserit incorporeum, et Filii divinitatem ex carne constare, diversas utique dicet eorum essentias; sin horum communem, et eamdem esse naturam confitetur, cogetur dicere Patrem D item ex carne constare.

Ex eadem oratione.

Qui vere ex aliquo est, illud plane secundum essentiam est, quod est ille qui genuit. Atqui Pater caro non est, nec ille prorsus, qui ex ipso est, erit caro. Quod enim natum est ex spiritu, non caro, sed spiritus esse dicitur. Quod autem ex carne natum est, caro est. Dei igitur patrem istius Dei ex carne constantis.

Ex eadem oratione.

Dicit præterea, cœlestem illum hominem esse paternæ gloriæ splendorem, et figuram substantiæ

τὴν Ἡσαΐου φωνὴν, ἐγεννήθη, καὶ υἱὸς ἐδόθη ἡμῖν, καὶ διὰ πάσης ἡλικίας ἐλήλυθεν, ἄχρις ἂν ἀπέθανεν ἐπὶ γῆς πολιτευόμενος. Εἰ δὲ τέλειον ἄνδρα ἐκ τῆς Παρθένου γεννηθῆναι λέγουσι, πῶς ἐν τῇ νηδύϊ τῆς μητρὸς συνεστάλη; Πῶς δὲ καὶ γεννηθέντος εἰς ὀλίγην περιγραφὴν ὁ ὄγκος ἀπεσμικρύνθη; Πῶς δὲ καὶ εἰς ἄνδρα τέλειον ηὐξήθη κατὰ μικρόν; Πότερον ἣν εἶχε σάρκα κατὰ μικρὸν ἀναλαμβάνων, ἢ ἑτέραν ἑαυτῷ διὰ τῆς τροφῆς προστιθείς; Ἀλλ' εἰ μὲν τὴν ἀρχαίαν φήσουσι, περιττὴν πάντως τὴν τροφὴν ἀποδείξουσιν· εἰ δὲ οὐκ ἀρνοῦνται τροφῆς μετεσχηκέναι τὸν Κύριον, τί ἐροῦσι περὶ τῆς ἄνω καταλειφθείσης σαρκός; ἧς τὸ πολὺ κατὰ τὸ εἰκὸς καταλέλειπται, μόνον δὲ τοσοῦτον ἀπ' αὐτῆς εἴληπται ὅσον ἡ νηδὺς ἐχώρησε τῆς Παρθένου.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ πάντοτε τὴν σάρκα περὶ αὐτὸν εἶχεν ἐν οὐρανῷ· Θεὸν εἶναι τὴν σάρκα φασὶν οἱ περὶ τὸν Ἀπολλινάριον· πᾶσα δὲ σὰρξ ἀντιτυπεῖ τῷ ἁπτομένῳ, τὸ δὲ ἀντίτυπον ὑλῶδες καὶ σύνθετον, τὸ δὲ σύνθετον διαλυτόν· ἀνάγκη πᾶσα καὶ ὑλικὸν αὐτὸν εἶναι πρὸ τῆς ἐξ οὐρανοῦ καταβάσεως, καὶ ἐκ διαφόρων συγκείμενον, καὶ ἀναμένοντα φυσικῶς τὴν διάλυσιν.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Θέλων βεβαιῶσαι, ὅτι προαιώνιος ἦν ἡ σάρξ τοῦ Μονογενοῦς, ἐπάγει μαρτυρίας τὰς περὶ τῆς θεότητος αὐτοῦ ῥηθείσας, καὶ πειρᾶται ταύτας ἐφαρμόζειν τῇ αὐτοῦ ἀνθρωπότητι, οἷον τὸ, *Πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι*· καὶ τὴν τοῦ Προδρόμου φωνὴν τὸ, *Πρῶτός μου ἦν*· καὶ τὴν τοῦ Ἀποστόλου, τὸ, *Καὶ εἷς Κύριος, δι' οὗ τὰ πάντα· καὶ αὐτός ἐστι πρὸ πάντων*. Εἰ οὖν προαιώνιός ἐστι κατ' αὐτὸν ἡ σάρξ, ὁμολογεῖται δὲ ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐκ τῆς Παρθένου γεννηθῆναι, προαιώνιος ἄρα καὶ ἡ Παρθένος ἡ τοῦτον τεκοῦσα, καὶ πρεσβυτέρα τοῦ τεχθέντος ἐξ αὐτῆς, ἵνα μὴ λέγω περὶ τῶν ἐσχάτων ἡμερῶν, ὅτι πρὸ τῶν αἰώνων ἐπινοηθήσονται καὶ αὐται.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ μὲν ἀσώματον τὸν Πατέρα λέγει, σαρκώδη δὲ τὴν τοῦ Υἱοῦ θεότητα, πάντως ἑτεροουσίους αὐτοὺς ἐρεῖ· εἰ δὲ κοινὴν τὴν τούτου φύσιν καὶ τὴν αὐτὴν εἶναι ὁμολογήσει, σαρκώδη καὶ τὸν Πατέρα λέγειν ἀναγκασθήσεται.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Τὸ ἀληθῶς ἔκ τινος ὂν ἐκεῖνο πάντως ἔσται κατὰ τὴν οὐσίαν, ὅπερ ὁ γεννήσας ἐστίν. Ἀλλὰ μὴν ὁ Πατὴρ οὐκ ἔστι σάρξ, οὐδ' ὁ ἐξ ἐκείνου πάντως ἂν εἴη σάρξ. Τὸ δὲ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμα καὶ οὐχὶ σὰρξ εἶναι λέγεται. Τὸ δὲ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι· καὶ οὕτω πατέρα τοῦ σαρκίνου τούτου Θεοῦ.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Λέγει πάλιν τὸν οὐράνιον ἐκεῖνον ἄνθρωπον εἶναι ἀπαύγασμα τῆς πατρικῆς δόξης, καὶ χαρακτῆρα τῆς

[1] Isa. IX, 6. [2] Joan. VIII, 58. [3] Joan. I, 27. [4] I Cor. VIII, 6, 7.

ὑποστάσεως αὐτοῦ. Εἰ οὖν συγγενῶς ἔχει πρὸς τὸν A ἥλιον τὸ ἀπαυγαζόμενον ἐξ ἐκείνου φῶς, καὶ ὁ τοῦ ἀνθρώπου χαρακτὴρ ἀνθρώπινον ὑπόστασιν δείκνυσιν, ἔσται κατ' αὐτὸν σαρκώδης καὶ ὁ Πατὴρ, οὗ τὸ ἀπαύγασμα, καὶ ὁ χαρακτὴρ σάρκινός ἐστιν. Οἵα γὰρ ἡ δόξα, τοιοῦτον καὶ τὸ ταύτης ἀπαύγασμα· καὶ οἷος ὁ χαρακτὴρ, τοιαύτη πάντως καὶ ἡ ὑπόστασις, ὥστε εἰ τοῦτο σῶμα, οὐδὲ ἐκεῖνο πάντως ἀσώματον.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Παρὰ τῶν Ἰουδαίων βρώσει τε καὶ πόσει ὀνειδιζόμενος ὁ Χριστὸς, μετεῖχε τούτων ἢ ἀμέτοχος ἦν; Εἰ μὲν μὴ μετεῖχε, δόκησις ἦν τὸ γινόμενον· εἰ δὲ μετεῖχεν, οὐχ οὐράνιον σῶμα τὸ μετέχον· γήϊνος γὰρ ἦν ἡ βρῶσις αὕτη, καὶ πόσις.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

B Εἰ μὲν θεία τις ἦν ἡ σάρξ, δῆλον ὅτι καὶ ἄτρεπτος· εἰ δὲ τρεπτὴ, πάντως οὐ θεία. Τίς ἂν ἀνάσχοιτο τὸ συγκεχυμένον τοῦτο, καὶ ἀσύστατον τῶν αἱρετικῶν δογμάτων, καὶ κατὰ τὰς ἐνυπνίους φαντασίας ἄλλοτε ἄλλο φαινόμενον; Νῦν μέν φησι θείαν εἶναι τοῦ Λόγου τὴν σάρκα, καὶ συναΐδιον, νῦν δὲ ἐπίκτητον, καὶ προσειλημμένην, εἶτα ἀλλοτρίως ἔχουσαν πρὸς τὴν ἡμετέραν φύσιν, πάλιν ἐπιδεᾶ τοῦ εὐθύνοντος, καὶ τροπῇ καὶ ἀλλοιώσει ὑποκειμένην.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Εἰ τότε ὁ Λόγος σὰρξ ἐγένετο, ὅτε ἐσκήνωσεν ἐν ἡμῖν, ἄρα πρὸ τοῦ πρὸς τὴν Παρθένον εὐαγγελισμοῦ σὰρξ οὐκ ἦν ὁ Λόγος· καὶ ψευδὴς ὁ λέγων καταβεβηκέναι πρὸς ἡμᾶς τὸν ἀνθρώπινον, καὶ πρὸ τῆς ἀνθρωπίνης φύσεως, ἐκεῖνον εἶναι τὸν ἄνθρωπον, δι' οὗ τὸ C θεῖον τῇ ἀνθρωπίνῃ κατεμίχθη ζωῇ.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Ἡ σὰρξ τοῦ Κυρίου, φησὶ, προσκυνεῖται, καθ' ὃ ἓν ἐστι πρόσωπον, καὶ ἓν ζῶον μετ' αὐτοῦ. Ὢ τῆς τῶν λόγων ἀτοπίας! Ὥσπερ τὸν ἄνθρωπον ἐκ ψυχῆς νοερᾶς καὶ σώματος συνεστάναι λέγομεν, οὕτω καὶ αὐτὸς τὸν Κύριον οἴεται συνεστάναι, τὴν μὲν θεότητα λαμβάνων ἀντὶ ψυχῆς, τὸ σῶμα δὲ ἀντὶ σώματος, καὶ οὕτως αὐτὸν ζῶον ὀνομάζων.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Ποίαν ψυχὴν λέγετε ἔχειν τὸν Κύριον; εἴποιμι ἂν πρὸς τοὺς ἀνόητον ψυχὴν τῇ προσληφθείσῃ σαρκὶ συγκομίζοντας. Εἰ μὲν οὖν ἄλογον, κτῆνος ἐρεῖτε D εἶναι περὶ τὸν Χριστὸν, καὶ οὐκ ἄνθρωπον· εἰ δὲ λογικὴν, τί ἄλλο παρὰ τὸν λόγον τὴν διάνοιαν οἴονται; Οὐκοῦν ὁ λογικὴν ψυχὴν εἰπὼν καὶ διανοητικὴν ὡμολόγησεν. Ἡ δὲ διάνοια νοῦ κίνησίς ἐστι, καὶ ἐνέργεια. Ὥστε εἰ ψυχὴν λογικὴν ὁ Κύριος ἔχει, πάντως καὶ νοερὰν αὐτὴν ἔχει, καὶ κατὰ μηδέν τι λειπομένην τῆς ἀνθρωπίνης φύσεως.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Ἀπρεπές, φησιν, ἀνθρώπινον νοῦν περὶ τὸ πρόσλημμα τοῦ Μονογενοῦς ἐννοεῖν. Καὶ τὴν αἰτίαν προστίθησιν, ὅτι τρεπτὸς ὁ νοῦς ὁ ἀνθρώπινος. Οὐκοῦν μηδὲ τὴν σάρκα τῷ Θεῷ συγχωρείτω. Τὸ γὰρ τρεπτὴν αὐτὴν εἶναι οὐδ' ἂν αὐτὸς ὁ ταῦτα ληρῶν ἀρνήσαιτο, ἀπὸ νεότητος μέχρι τελειώσεως μετεν-

ipsius. Quamobrem si lux a sole splendens cognationem habet cum sole, et hominis figura substantiam declarat humanam, ex istius ratione sequitur, ut Pater etiam ex carne constet. Qualis enim est gloria, talis est et splendor ipsius. Et qualis est figura, talis utique et substantia. Itaque si hoc corpus est, ne illud quidem incorporeum.

Ex eadem oratione.

Christus, cui cibum et potum objiciebant Judæi, cibo et potu vescebatur, an non? si non vescebatur, inanis et simulata species illud erat; sin vescebatur, haud cœleste corpus habebat; cum ipse cibus et potus e terra constaret.

Ex eadem oratione.

Si qua fuit divina caro, ea nimirum et immutabilis: nam si mutabilis, divina non est. Quis tueri queat confusam illam hæreticarum opinionum, quæ alias aliæ ipsis in somnis videtur, inconstantiam? Nunc Verbi carnem divinam, atque una cum illo sempiternam asserunt: nunc ascitam atque assumptam dicunt: nunc a natura nostra differentem: nunc rectoris egentem, et mutationibus obnoxiam.

Ex eadem oratione.

Si tunc Verbum caro factum est, cum habitavit in nobis, caro profecto non erat, antequam angelus Virgini evangelicum afferret nuntium. Et ille qui dicit hominem ad nos e cœlo descendisse, et antequam humana esset natura procreata, exstitisse, et per illum humanæ naturæ Divinitatem fuisse conjunctam, mendax est.

Ex eadem oratione.

Caro, inquit, Domini adoratur, quatenus est una persona, atque unum animal cum ipso. O absurdam orationem! Quemadmodum nos dicimus, hominem ex anima ratione prædita et corpore constare, sic et ipsum Dominum componit, ut animæ loco divinitatem accipiat, et carnem cœlestem pro corpore, atque ita ipsum appellat animal.

Ex eadem oratione.

Ab istis ergo, qui animam mentis expertem cum carne assumpta conjungunt, quæsiverim, ecquam animam Dominum habere dicant? Si rationis carentem responderint, Christo non hominem, sed jumentum adjungent, sin utentem ratione, rationem sequitur cogitatio. Quare qui animam ratione præditam dicit, et cogitationis compotem confitebitur. Cogitatio vero mentis est motus, et actio. Itaque si Dominus animam habet ratione præditam, eam utique et mente præditam habet, et nulla in re a natura hominis discrepantem.

Ex eadem oratione.

Haud decet, inquit, mentem humanam cum Unigeniti carne conjunctam existimare. Et causam subjicit: Quoniam, inquit, mens hominis est mutabilis. Quid igitur Deo carnem concedit? Nam quod caro mutabilis sit, ne ipse quidem, qui istas confingit nugas, negarit cum ab adolescentia usque ad

perfectum augmentum varias ætates induat, ut A reliquas mutationes omittamus. Atque ita sequetur ut falsum sit Evangelium, et inanis prædicatio, et stulta fides. Quemadmodum igitur carnem assumens mutatus non est, sic mentem suscipiens non est immutatus.

Ex eadem oratione.

Si divinæ humanitatis assumptioni mentem fuisse putat impedimento, et libentius eam sine mente Deum existimat assumpsisse, ergo sine mente esse beatius arbitratur.

Ex eadem oratione.

Utra magis propria, quæ Deo conjungeretur, inventa est, crassane terrenaque caro, an mens, quæ nec tactum nec figuram admittit ? B

Ex eadem oratione.

Si nos homines sumus, ovis illa quæ aberraverat, et is qui eam invenit, est Filius Dei; quoniam totam reduxit, totam etiam assumpsit. Nec quod intra illam erat, reliquit, quod autem foris gestavit, id, quod vult Apollinarii dementia. Quod autem pastoris humeris gestatum, hoc est, Domini Divinitati adhibitum est, id unum cum Ipso per assumptionem effectum est.

Ex eadem oratione.

Dominum in servili figura apparuisse concedit. Servus igitur, cujus figuram Dominus induit, integer erat, an mutilatus ? id est, corpusne, et animam rationis, seu mentis compotem habebat ? si aliqua C harum partium mancus erat, id ostendant, neque enim animam rationis expertem habuit, qui peccaverat, cujus ipse formam suscepit. Sin erat integer, et integrum illud fuit, quod assumptum est. At homo, inquit, non erat, sed quasi homo, quia non erat ejusdem cum homine essentiæ, quantum ad mentem pertinet. Si ejusdem non erat essentiæ, ergo diversæ. Quorum autem essentiæ ratio diversa, horum nec eadem natura nec nomen. Quare si aliud quid per essentiam erat, non autem homo, nisi quatenus speciem et figuram hominis præferebat, re autem vera secundum naturam diversus erat, ex his colligitur, ficta simulataque fuisse, quæ ad Unigeniti vitam humanitatemque assumptam spectant, D ab ortu ejus, usque ad sepulturam et resurrectionem.

Ex eadem oratione.

Qui quod maxime proprium est hominis, id est mentem, auferi, id quod reliquum est, jumentum ostendit; jumentum autem non est homo

Ex eaden oratione.

Si, quemadmodum inquit Apollinarius, mens hominis divina natura facta esset, magnitudine æquales et pares inter se essent divinitas et mens humana. Quod enim locum explet alterius, æquale illi est. Sin divinitate mens est inferior, id quod in eam conversum est, in deterius est commutatum.

A δυομένην τὰς ἡλικίας, ἵνα τὰ λοιπὰ τῆς τροπῆς ἐάσωμεν, καὶ οὕτω ψευδὲς κατ' αὐτὸν δειχθήσεται τὸ Εὐαγγέλιον, καὶ κενὸν τὸ κήρυγμα, καὶ ματαία ἡ πίστις. Ἀλλ' ὥσπερ ἐν σαρκὶ γενόμενος οὐκ ἐτράπη, οὕτως οὐδὲ τὸν νοῦν παραδεξάμενος ἠλλοιώθη.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Ὥσπερ ἐμπόδιον ἡγεῖται τὸν νοῦν τῆς θείας ἐνανθρωπήσεως, καὶ προσφιλέστερον νομίζει τῷ Θεῷ τὸ ἀνόητον, οὐκοῦν μακαριστότερον οἴεται τὸ μὴ ἔχειν νοῦν.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Τί οὖν οἰκειότερον εὑρεθείη πρὸς τὸ συναρμοσθῆναι Θεῷ, τὸ παχὺ καὶ γεῶδες τῆς σαρκὸς ἢ τὸ ἀναφές τε καὶ ἀσχημάτιστον τοῦ νοός; B

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Εἴπερ ἡμεῖς οἱ ἄνθρωποι τὸ πεπλανημένον πρόβατόν ἐσμεν, ὁ δὲ εὑρὼν τοῦτο ποιμὴν ὁ τοῦ Θεοῦ Υἱὸς, ἐπειδὴ ὅλον ἀπεφοίτησε, καὶ ὅλον πάλιν ἀνέλαβε· καὶ οὐ τὸ μὲν ἐντόσθιον καταλέλοιπε, τὸ δὲ ἐκτὸς ἐβάστασεν, ὡς ἡ τοῦ Ἀπολλιναρίου ἄνοια βούλεται. Τοῦτο δὲ ἐν τοῖς ὤμοις τοῦ ποιμένος βασταχθὲν, τουτέστιν ἐν τῇ θεότητι τοῦ Κυρίου γενόμενον, ἓν πρὸς ἐκεῖνον διὰ τῆς ἀναλήψεως γέγονεν.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Τὸν Κύριόν φησιν ἐν δουλικῷ φανῆναι τῷ σχήματι. Ἆρα ὁ δοῦλος, οὗ τὸ σχῆμα ὑπέδυ ὁ Κύριος, ἄρτιος ἦν, ἢ ἠκρωτηριασμένος, τουτέστι σῶμα καὶ ψυχὴν λογικὴν, ἤτοι νοερὰν κεκτημένος; Εἰ μὲν οὖν C ἠκρωτηριασμένος ἑνὶ τούτων, δειξάτω τοῦτο· οὐ γὰρ ἄλογον ψυχὴν εἶχεν ὁ ἁμαρτήσας Ἀδὰμ, οὗ τὴν μορφὴν ἀνεδέξατο· εἰ δὲ ἄρτιος, ἄρτιον ἄρα καὶ τὸ πρόσλημμα. Ἀλλ' οὐκ ἄνθρωπος, φησὶν, ἦν, ἀλλ' ὡς ἄνθρωπος, διότι οὐχ ὁμοούσιος ἦν τῷ ἀνθρώπῳ κατὰ τὸν νοῦν. Εἰ μὴ ὁμοούσιος, ἑτεροούσιος πάντως. Ὧν δὲ ὁ λόγος τῆς οὐσίας ἕτερος, τούτων οὔτε ἡ φύσις κοινὴ, οὔτε ἡ κλῆσις. Εἰ οὖν ἄλλο τι κατὰ τὴν οὐσίαν ἦν, καὶ οὐκ ἄνθρωπος, ἀλλὰ μέχρι τοῦ φαινομένου κατ' ἄνθρωπον ἐσχηματίζετο, τῇ δὲ ἀληθείᾳ κατὰ τὴν φύσιν παρήλλακτο, συνομολογεῖται τούτοις, ὅτι δόκησις ἦν, καὶ ἀπατηλὴ φαντασία τις ἡ ἐπὶ γῆς πολιτεία πᾶσα τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς ἀπὸ γεννήσεως μέχρι τῆς ταφῆς D καὶ τῆς ἀναστάσεως.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Ὁ τὸ κυριώτατον ἀφαιρῶν τοῦ ἀνθρώπου, τοῦτο δέ ἐστι νοῦς, κτῆνος ἀποδείκνυσι τὸ λειπόμενον. Τὸ δὲ κτῆνος οὐκ ἄνθρωπος.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Εἴπερ, καθώς φησιν ὁ Ἀπολλινάριος, νοῦς ἀνθρώπου ἡ θεία φύσις ἐγένετο, ἰσομεγέθη ταῦτα ἂν εἴη ἀλλήλοις, καὶ ἰσοστάσια, θεότης καὶ νοῦς ἀνθρώπινος. Τὸ γὰρ ἀναπληροῦν τόπον τινὸς ἴσον ἐστὶ τῷ ἐνδέοντι. Εἰ δὲ καταδεέστερον ὁ νοῦς παρὰ τὴν θεότητα, ὁ τοῦτο ἐξ ἐκείνου γενόμενος πρὸς τὸ εὐτελέστερον ἠλλοιώθη.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἀνθρώπου, φησὶ, θάνατος οὐ καταργεῖ τὸν θάνατον. Τί κατασκευάζων τοῦτό φησιν; ἢ πάντως, ὅτι αὐτὴ τέθνηκε τοῦ Μονογενοῦς ἡ θεότης; Πῶς ἡ ζωὴ τέθνηκεν, εἰπάτωσαν οἱ μὴ εἰδότες ἃ λέγουσιν.

Ex eadem oratione.

Mors, inquit, hominis mortem non destruit. Quid autem colligens hoc asseruit? Illudne, Unigeniti divinitatem occidisse? Sed quonam pacto vita queat interire et mori, dicant, qui nesciunt quid loquantur.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἴπερ, κατὰ τὸν Ἀπολλινάριον, αὐτὴ τέθνηκε τοῦ Μονογενοῦς ἡ θεότης, συναπέθανε ταύτῃ πάντως καὶ ἡ ζωὴ, καὶ ἡ ἀλήθεια, καὶ ἡ δικαιοσύνη, καὶ ἡ ἀγαθότης, καὶ τὸ φῶς, καὶ ἡ δύναμις, καὶ ἁπλῶς ὅσα ὁ Υἱός ἐστι τε καὶ ὀνομάζεται. Ὅτε οὖν ταῦτα τῇ θεότητι τοῦ Υἱοῦ διὰ τοῦ θανάτου συγκατεσβέσθη, οὐκ ἦν λοιπὸν παρὰ τῷ Πατρὶ σοφία, ἢ δύναμις, ἢ ζωὴ, ἢ ἄλλο τι τῶν ὅσα ὁ Μονογενής ἐστι τε καὶ ὀνομάζεται.

Ex eadem oratione.

Si, quemadmodum sentit Apollinarius, Unigeniti divinitas occidit, cum illa nimirum occidit et vita, et veritas, et justitia, et bonitas, et lux, et potentia, et uno verbo, quidquid est Filius et nominatur. Quando igitur hæc cum Filii divinitate per mortem exstincta sunt, non erat apud Patrem sapientia, aut potentia, aut vita, aut aliud eorum quidquam, quæ Filius et est et appellatur.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἴπερ ἡ δύναμις τοῦ Πατρὸς, ἤγουν ὁ Υἱὸς καὶ Λόγος ἀπέθανε, ποία δύναμις ἑτέρα τὴν τεθνηκυῖαν δύναμιν ἀνεζώωσεν, ἵνα τἄλλα παρήσω τῶν ἀτοπημάτων;

Ex eadem oratione.

Si potentia Patris, seu Filius, aut Verbum occidit, quænam alia potentia potentiam mortuam in vitam revocavit, ut alia incommoda prætereamus?

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ πάντα ὅσα ἔχει ὁ Πατὴρ τοῦ Υἱοῦ ἐστιν, ὁ πάντα τὰ τοῦ Πατρὸς ἔχων ἔχει πάντως καὶ τὴν ἀθανασίαν αὐτοῦ. Καὶ πῶς ἡ ἀθανασία τέθνηκεν;

Ex eadem oratione.

Si omnia, quæ Pater habet, Filii sunt, qui Patris habet omnia, ipsius nimirum habet etiam immortalitatem. Qui autem mori potuit immortalitas?

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ὥσπερ Χριστὸς ἀπέθανε, καὶ ἀνέστη, οὕτω καὶ ἡμεῖς, φησὶν ὁ Ἀπόστολος. Τί ὄντες ἡμεῖς κατὰ τὴν ἑαυτῶν φύσιν, θεία δύναμις, ἢ αἷμα, καὶ σάρξ, καθώς φησιν ἡ Γραφή; Οὐκοῦν ὅπερ ἡμεῖς ἐσμεν κατ' οὐσίαν, τοῦτο καὶ ὁ ὑπὲρ ἡμῶν ἀποθανὼν ἦν, οὗ πρόκειται τοῖς ὁμογενέσιν ἡ μίμησις. Τί τὸ ἀποθνῆσκόν ἐστι καὶ φθειρόμενον; Οὐχ ἡ σὰρξ μὲν εἰς τὴν γῆν ἀναλύεται, ὁ δὲ νοῦς τῇ ψυχῇ παραμένει, οὐδὲ τῇ μεταστάσει τοῦ σώματος πρὸς τὸ εἶναι βλαπτόμενος; Τεκμήριον δὲ, ὅτι μέμνηται τῶν ἐπὶ γῆς ὁ πλούσιος, καὶ δεῖται τοῦ Ἀβραὰμ περὶ τῶν συγγενῶν αὐτοῦ. Τοῦτο δὲ οὐκ ἄν τις ἀνοίας εἴποι, τὸ ποιεῖσθαι πρόνοιαν τῶν ἐπιτηδείων, ἵνα μὴ καὶ αὐτοὶ τὰ ὅμοια πάθωσιν. Εἰ τοίνυν ὁ ἡμέτερος νοῦς διαμένει καὶ μετὰ θάνατον ἀπαθής τε καὶ ἀναλλοίωτος, πῶς εἰκὸς τὸν τριτημόριον ἐκεῖνον τοῦ Ἀπολλιναρίου Θεὸν τὸν σαρκώδη θάνατον ὑπομεῖναι;

Ex eadem oratione.

Quemadmodum Christus mortuus est, et resurrexit, sic et nos, inquit Apostolus[1]. Quid nos? Qui natura propria sumus divina potentia, an caro et sanguis, ut scriptum est? Quod ergo nos sumus per essentiam, id erat et is qui pro nobis mortuus est, cujus similitudo nobis, qui ejusdem generis cum illo sumus, proposita est ad imitandum. Quid est illud, quod moritur, et corrumpitur? Nonne caro quidem in terram resolvitur; mens autem cum anima permanet, neque corporis mutatione, quantum ad essentiam pertinet, læditur? Id argumento sit quod eorum quæ in terra geruntur, dives ille meminit, et precatur Abraham pro fratribus suis. Hoc autem amentiæ nemo ascripserit, quod necessariorum curam gerat, cisque prospiciat, ne et ipsis similia contingant. Quemadmodum si mens nostra permanet etiam post mortem, nullis obnoxia mutationibus, quomodo consentaneum sit, illum Apollinarii trium partium Deum carnis mortem oppetiisse?

Ἐκ τοῦ αὐτοῦ λόγου.

Νοῦν (1) φησιν ἔνσαρκον ὄντα τὸν Υἱὸν ἐκ τῆς Παρθένου τεχθῆναι, οὐκ ἐν αὐτῇ σάρκα γενόμενον, ἀλλὰ παροδικῶς δι' αὐτῆς διεξελθόντα. Ἰδοὺ προδήλως ἀθετεῖ τὸ τῆς καθ' ἡμᾶς οἰκονομίας μυστήριον. Ταύτην οὖν τὴν δυσσεβεστάτην φωνὴν, ὡς αὐτέλεγκτον, καὶ τοῖς ὁπωσοῦν ἔχουσιν εὐσεβῆ νοῦν ἀπαράδεκτον, ἀφήσομεν ἀνεξέταστον. Ἀκολούθως γὰρ πάντα κατὰ φαντασίαν ὁ μάταιος γεγονέναι οἴεται.

Ex eadem oratione.

Filium ait, qui carne prædita mens erat, ex Virgine genitum fuisse, non autem in ipsa factum esse carnem, sed per ipsam tanquam per viam aliquam pertransisse. Ecce quomodo salutis nostræ mysterium oppugnat. Sed istius oratio adeo est impia, et absurda, et omnibus, qui pie recteque sentiunt, exsecranda ut ne responsione quidem et confutatione dignam existimemus. Nihil enim ex illa colligitur, nisi ut omnia non vere, sed simulate acta videantur.

Ἔτι κατὰ Ἀπολλιναριαστῶν τοῦ ἐν ἁγίοις Κυρίλλου ἐκ τοῦ περὶ ἐνανθρωπήσεως λόγου.

Ὁ τὸν ὕθλον προτιμήσας τῆς ἀληθείας Ἀπο-

Item adversus Apollinarium. Sancti Cyrilli ex oratione de humanitate a Verbo assumpta.

Qui nugas magis quam veritatem æstimat Apol-

[1] I Cor. xv, 20.

(1) Zinus legebat Νῦν...... vertit enim: *Nunc ait Virginem Filium peperisse cum jam esset caro.* At in edit. Tergobyst. usi et in opere Nysseni adv. Apollinarium quod edidit Laur. Zacagni (apud nos tom. XLV, col. 1173 B) legitur Νοῦν, ut edimus et interpretamur. Edit. Patr.

linaris, rectisque ac piis dogmatibus suam anteponit garrulitatem, carnem quidem a Deo Verbo assumptam ait, atque hac ceu velo quodam esse usum; mente autem non indiguisse, sed ipsum vice mentis corpori exstitisse. Sed, o sodes, dicet ei aliquis, ne corpore quidem Deus Verbum egebat; nihil enim prorsus requirit: poterat autem solo mandato nostram operari salutem. Sed tamen voluit nos quoque communionem aliquam recte factorum habere: quod ut efficeret, peccatricem assumptam naturam, eamque suis laboribus justificatam, acerbis expedivit tyrannis peccato et diabolo ac morte, et cœlestibus sedibus donavit: et per eam quam ipse sumpsit humanitatem, universo generi libertatem communicavit. Sed enim nihil horum reputans hic sapientissimus, vocalissimum theologiæ præconem Joannem evangelistam, amentiæ suæ testem habere se judicat. « Verbum enim, inquit, caro factum est, et habitavit in nobis [1]. » Atqui omnino sciebat, alibi quoque partem pro toto divinam Scripturam appellare solere: quæ modo quidem ex anima totum hominem nuncupat, modo autem ex carne totum animal denotat: « Omnes enim, inquit, animæ quæ ingressæ sunt cum Jacobo in Ægyptum, septuaginta quinque fuere [2]. Constat autem non fuisse incorporeos Jacobi filios atque nepotes; sed ex parte totum historicus demonstravit. Et rursus: « Anima quæ peccaverit, ipsa morietur [3]. » Nemo vero unquam scivit animam absque corpore in culpam incidisse. Et denuo: « Non permanebit Spiritus meus in hominibus istis, quia caro sunt [4]. » Et alibi propheta: « Omnis caro pulvis, et omnis hominum gloria ceu feni flos [5]. » Beatus quoque David: « Recordatus est, inquit, quod caro sunt, spiritus vadens et non rediens [6]. » Est autem unicuique exploratum, non fuisse hos inanimes quos reprehendit, vel quibus legem constituit, vel quorum naturam describit.

Neque solum de vituperatis ita loquitur Scriptura, verum etiam de laudatissimis. Testis Paulus, qui in Epistola ad Galatas ait: « Cum autem placuit ei, qui me segregavit ex utero matris meæ, et vocavit per gratiam suam, ut revelaret Filium suum in me, continuo non acquievi carni et sanguini, sed ad præcessores meos apostolos accessi [7]. » Si ergo non tantum de carnali affectu, et de mortalitate, carnis sensus intelligitur, verum etiam de universa hominis natura, patet dictionem, « Verbum caro factum est, » non quod visibile animantis est tantummodo, sed totum hominem significare. Neque conversionem quamdam divinæ substantiæ in carnem evenisse dicit, sed assumptam a Deo Verbo humanam naturam prædicat. Sicut enim locutio, « Christus redemit nos de maledicto legis, factus pro nobis maledictum [8], » nequaquam innuit mutationem fontis bonorum in maledictum, sed potius factam per ipsum peccati sive maledicti de-

A λινάριος, καὶ τῶν εὐσεβῶν δογμάτων τὴν οἰκείαν προτάξας ἀδολεσχίαν, τὴν μὲν σάρκα τὸν Θεὸν Λόγον ἀνειληφέναι φησὶ, καὶ ταύτῃ καθάπερ τινὶ παραπετάσματι χρήσασθαι· τοῦ δὲ νοῦ μὴ δεηθῆναι, αὐτὸν δὲ ἀντὶ νοῦ γενέσθαι τῷ σώματι. Ἀλλ', ὦ βέλτιστε, εἴποι τις ἂν πρὸς αὐτὸν, οὐδὲ τοῦ σώματος ὁ Θεὸς Λόγος ἐχρῄζεν, ἀπροσδεὴς γάρ· ἠδύνατο δὲ καὶ μόνῳ προστάγματι τὴν ἡμετέραν πραγματεύσασθαι σωτηρίαν· ἀλλ' ἠθέλησεν ἔχειν τινὰ καὶ ἡμᾶς εἰς τὸ κατορθούμενον κοινωνίαν, οὗ χάριν λαβὼν φύσιν τὴν ἡμαρτηκυῖαν, πόνοις αὐτὴν οἰκείοις δικαιώσας, τῶν τε πικρῶν τυράννων ἀπήλλαξεν ἁμαρτίας, καὶ διαβόλου, καὶ θανάτου, καὶ τῶν ἐπουρανίων θρόνων ἠξίωσε, καὶ διὰ τοῦ ληφθέντος παντὶ τῷ γένει τῆς ἐλευθερίας μετέδωκεν· ἀλλ' οὐδὲν τούτων εἰς νοῦν λαβὼν ὁ σοφώτα-
B τος τὸν μεγαλοφωνότατον κήρυκα τῆς θεολογίας, τὸν εὐαγγελιστὴν Ἰωάννην, μάρτυρα τῆς οἰκείας ἀνοίας ἔχειν ἡγεῖται· « Ὁ Λόγος γὰρ, φησὶ, σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· » καὶ ταῦτα σαφῶς εἰδὼς, ὡς πολλαχοῦ τὸ πᾶν ἀπὸ μέρους ἡ θεία Γραφὴ προσαγορεύει, καὶ πῆ μὲν ἀπὸ τῆς ψυχῆς πάντα καλεῖ τὸν ἄνθρωπον, πῆ δὲ ἀπὸ τῆς σαρκὸς ὅλον τὸ ζῶον δηλοῖ· « Πᾶσαι γὰρ αἱ ψυχαὶ, αἱ εἰσελθοῦσαι, φησὶν, ἅμα Ἰακὼβ εἰς Αἴγυπτον ἑβδομήκοντα πέντε. Εὔδηλον δὲ ὡς οὐκ ἀσώματοι ἦσαν οἱ τοῦ Ἰακὼβ υἱοί τε καὶ ἔκγονοι, ἀλλ' ἀπὸ μέρους τὸ πᾶν ὁ ἱστοριογράφος ἐδήλωσε. Καὶ πάλιν· « Ψυχὴ ἡ ἁμαρτάνουσα, αὐτὴ ἀποθανεῖται. » Οὐδεὶς δὲ ἔγνω πώποτε ψυχὴν ἄνευ σώματος ἁμαρτίᾳ περιπεσοῦσαν· καὶ αὖθις, « Οὐ μὴ κατα-
C μείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκα. » Καὶ ὁ προφήτης ἑτέρωθι, « Πᾶσα σὰρξ χοῦς [ita cod., non χόρτος], καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· » καὶ ὁ μακάριος Δαβὶδ, « Ἐμνήσθη, φησὶν, ὅτι σάρξ εἰσι, πνεῦμα πορευόμενον, καὶ οὐκ ἐπιστρέφον. » Παντὶ δὲ δήπουθεν γνώριμον, ὡς οὐκ ἄψυχοι ἦσαν οὗτοι ὧν κατηγορεῖ, καὶ οἷς νομοθετεῖ, καὶ ὧν ἑρμηνεύει τὴν φύσιν.

Οὐ μόνον δὲ τοὺς κατηγορουμένους [λέγει ἡ Γραφὴ], ἀλλὰ καὶ τῶν ἐπαινουμένων τοὺς κορυφαίους· καὶ τούτων μάρτυς ὁ μακάριος Παῦλος ἐν τῇ πρὸς Γαλάτας λέγων· « Ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοὶ, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι, ἀλλὰ
D πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους ἀνῆλθον. » Εἰ δὲ οὐ μόνον ἐπὶ τοῦ σαρκικοῦ φρονήματος καὶ τῆς θνητότητος, τὸ τῆς σαρκὸς φρόνημα λαμβάνεται, ἀλλὰ καὶ ἐπὶ πάσης τῆς τοῦ ἀνθρώπου φύσεως, εὔδηλον ὡς τὸ, « Ὁ Λόγος σὰρξ ἐγένετο, » οὐ τὸ φαινόμενον τοῦ ζώου μόνον, ἀλλ' ὅλον σημαίνει τὸν ἄνθρωπον· οὐδὲ τροπήν τινα τῆς θείας οὐσίας εἰς σάρκα φησὶ γεγενῆσθαι, ἀλλὰ τὴν ὑπὸ τοῦ Θεοῦ Λόγου ἀνάληψιν τῆς ἀνθρωπείας κηρύττει φύσεως· ὥσπερ γὰρ τὸ, « Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα, » οὐ τὴν εἰς κατάραν μεταβολὴν τῆς τῶν ἀγαθῶν πηγῆς αἰνίττεται, ἀλλὰ

[1] Joan. I, 14. [2] Gen. XLVI, 27. [3] Ezech. XVIII, 4. [4] Gen. VI, 3, 41. [5] Isa. XL, 6. [6] Psal. LXXVII, 39. [7] Galat. I, 15. [8] Galat. III, 13.

τὴν δι' αὐτοῦ γενομένην τῆς ἁμαρτίας ἤγουν τῆς A κατάρας ἀπαλλαγὴν, καὶ τὸ, « Γενέσθαι ἁμαρτίαν ὑπὲρ ἡμῶν τὸν μὴ γνόντα ἁμαρτίαν, » οὐ τὴν τῆς δικαιοσύνης σημαίνει τροπὴν (ἄτρεπτον γὰρ τὸ Θεῖον, καὶ ἀναλλοίωτον, ὡς διὰ τοῦ προφήτου βοᾷ· « Ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι, ») ἀλλὰ τὴν τῶν ἡμετέρων ἁμαρτημάτων ἀνάληψιν· « Ἴδε γὰρ, φησὶν, ὁ Ἀμνὸς τοῦ Θεοῦ, ἴδε ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· » οὕτω τὸ, « Ὁ Λόγος σὰρξ ἐγένετο, » οὐ τὴν ἀλλοίωσιν λέγει τῆς Θεότητος, ἀλλὰ τῆς ἀνθρωπίνης φύσεως ἀνάληψιν· τὴν ἄφατον γὰρ τοῦ Θεοῦ φιλανθρωπίαν ὁ εὐαγγελιστὴς κηρύττων, ὡς ἐδίδαξεν ὡς ὁ ἐν ἀρχῇ ὢν, καὶ Θεὸς ὢν, καὶ πρὸς τὸν Θεὸν ὢν, καὶ οὐδέποτε μὴ ὢν, ὁ δημιουργήσας πάντα, ὁ τὰ μὴ ὄντα εἰς τὸ εἶναι ποιήσας, ἡ ζωὴ, τὸ φῶς τὸ ἀληθινὸν, τὴν B φθαρτὴν ἀνέλαβε φύσιν, καὶ τὰ τῶν ἀνθρώπων ᾠκειώσατο πάθη, τὴν τῶν ἀνθρώπων πραγματευόμενος σωτηρίαν. Καὶ μειζόνως αὐτοῦ δεῖξαι τῆς εὐεργεσίας τὸ μέγεθος ἐθελήσας, οὐ τῆς ψυχῆς ἐμνημόνευσε τῆς ἀθανάτου, ἀλλὰ τῆς σαρκὸς τῆς παθητῆς, τῆς θνητῆς, τῆς φθειρομένης, τῆς ἐκ πηλοῦ γεγενημένης· καὶ ἀπὸ τοῦ μέρους τὴν πᾶσαν φύσιν ἐδήλωσεν, ὡς μαρτυρεῖ τὰ ἐπαγόμενα· « Ὁ Λόγος γὰρ, φησὶν, σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. »

Ἕτερος δὲ ὁ κατοικήσας κατὰ τὸν λόγον τῆς φύσεως, καὶ ἕτερος ὁ ναός. Διὸ καὶ τοῖς Ἰουδαίοις ἔλεγε· « Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. » Λύσις δὲ τοῦ ναοῦ, ψυχῆς καὶ σώματος ἡ διάζευξις· θάνατος γάρ ἐστι ψυχῆς ἀπὸ σώ- C ματος ἀναχώρησις· οὐκοῦν τὴν λύσιν τοῦ ναοῦ ὁ τῆς ψυχῆς ἐργάζεται χωρισμός· εἰ τοίνυν Ἰουδαῖοι τὸν ναὸν ἔλυσαν σταυρῷ καὶ θανάτῳ παραδεδωκότες, λύσις δὲ ναοῦ τῶν συνημμένων ὁ χωρισμὸς, ὁ δὲ Θεὸς Λόγος τοῦτον λυθέντα ἀνέστησε, σαφὲς οἶμαι τοῖς ἔμφροσιν, ὡς οὐκ ἄψυχον οὐδὲ ἄνουν, ἀλλὰ τέλειον ἄνθρωπον ὁ Θεὸς ἀνελάβετο Λόγος· εἰ γὰρ ἀντὶ τῆς ἀθανάτου ψυχῆς, ἐν τῷ ἀναληφθέντι σώματι γέγονεν ὁ Θεὸς Λόγος, εἶπεν ἂν τοῖς Ἰουδαίοις· Λύσατέ με, καὶ ἐν τρισὶν ἡμέραις ἀναστήσομαι· νῦν δὲ διδάσκων, καὶ τοῦ ναοῦ τὸ τηνικαῦτα τὸ θνητὸν, καὶ τὸ δυνατὸν τῆς ἐνοικούσης Θεότητος, « Λύσατε, φησὶ, τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν· » οὐ γὰρ ἐγὼ, φησὶν, ὑφ' ὑμῶν λυθήσομαι, ἀλλ' ὁ ληφθεὶς ὑπ' ἐμοῦ ναός· καὶ οὗτος δὲ λύεται, ἵνα D κρείττονος ἀναστάσεως ἀπολαύσῃ, ἵνα τὴν θνητὴν ἀπόθηται φύσιν, ἵνα τὴν φθορὰν ἀποδύσηται καὶ τὴν ἀφθαρσίαν ἐνδύσηται, ἵνα τοῦ θανάτου καταλύσῃ τὸ κράτος, ἵνα τῶν κεκοιμημένων ἀπαρχὴ γένηται, ἵνα λύσας τῆς φθορᾶς τὰς ὠδῖνας ἀναδειχθῇ τῶν νεκρῶν πρωτότοκος, καὶ διὰ τῆς οἰκείας ἀναστάσεως εὐαγγελίσηται τὴν πάντων ἀνθρώπων ἀνάστασιν.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Ὅτι δὲ ταῦτα οὕτως ἔχει, μαρτυρεῖ τῶν ἀποστόλων ὁ κορυφαῖος ἐν ταῖς Πράξεσι λέγων, ὅτι οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν. Λύσις τοιγαροῦν τοῦ ναοῦ,

pulsionem; et sicuti verba, « factum esse peccatum pro nobis eum qui peccatum non noverat [1], » nequaquam justitiæ mutationem significant (est enim invertibilis Deus et immutabilis, sicuti per prophetam clamat: « Ego sum, et non mutor [2], ») sed peccatorum nostrorum assumptionem: « Ecce enim, ait, Agnus Dei, ecce qui tollit peccatum mundi [3]; » sic, inquam, dictio, « Verbum caro factum est, » non mutationem dicit Deitatis, sed humanæ naturæ assumptionem. Namque ineffabilem Dei erga homines charitatem prædicare volens evangelista, postquam docuit, eum qui ab initio erat, et qui Deus erat, et qui apud Deum erat, et qui nunquam non fuerat, qui omnia creaverat, qui non exsistentia ad exsistendum traxerat, qui vita erat et lux vera; hic, ait, hominum suas fecit passiones, dum hominum salutem operaretur. Cumque adhuc magis beneficiorum illius magnitudinem demonstrare vellet, nequaquam de immortali anima verba fecit, sed de passibili carne, mortali et corruptibili, ex limo facta; atque a parte totam naturam declaravit, ut sequentia testantur: « Verbum enim, inquit, caro factum est, et habitavit in nobis [4]. »

Alius vero is erat, qui modo naturali inhabitabat, aliud vero templum. Quare et Judæis aiebat: « Solvite templum hoc, et ego tribus diebus excitabo illud [5]. » Templi vero solutio erat animæ a corpore dissolutio: nam mors est animæ a corpore recessus. Ergo templi solutionem operatur animæ a corpore separatio. Igitur si Judæi templum solverunt, cruci mortique tradentes, solutio vero templi conjunctorum separatio fuit, Deus autem Verbum hoc dissolutum resuscitavit, exploratum arbitror esse prudentibus, non inanimem neque mente carentem, sed perfectum hominem a Deo Verbo assumptum fuisse. Nam si pro immortali anima, in assumpto corpore Deus Verbum exstitisset, utique Judæis dixisset: Dissolvite me, et triduo resurgam. Nunc vero cum doceat, et templi illius mortalitatem, et inhabitantis Deitatis potentiam, « Solvite, inquit, templum hoc, et ego triduo excitabo illud. » Non enim ego, ait, a vobis dissolvar, sed assumptum a me templum; et hoc quidem ipsum ita dissolvitur, ut meliore resurrectione postea fruatur, ut mortalem deponat naturam, ut corruptionem exuat et induat incorruptionem, ut mortis imperium destruat, ut fiat dormientium primitiæ, ut corruptionis doloribus solutis appareat mortuorum primogenitus, et propria resurrectione omnium hominum resurrectionem portendat.

Ex eadem oratione.

Quod autem hæc ita se habeant, testatur apostolorum princeps in Actibus dicens, non fuisse derelictam animam ejus in inferno, neque carnem ejus vidisse corruptionem [6]. Templi ergo solutio est

[1] II Cor. v, 21. [2] Malach. iii, 6. [3] Joan. i, 29. [4] Joan. i, 14. [5] Joan. ii, 19. [6] Act. ii, 27.

animæ a corpore separatio; vicissimque resurrectio est ad propriam carnem reditus. Si ergo, ut hæreseos antesignani aiunt, animas duas unusquisque homo habet, vitalem scilicet et rationalem, et ne caro quidem absque vitali anima cogitari unquam potest; nam corpus, non caro, inquit, quod est hujusmodi, appellatur; et si Petrus ait, non corpus Domini, sed Domini carnem haud vidisse corruptionem, neque animam ejus in inferno derelictam, sane constat vitalem (quam quomodo astruant nescio) exstitisse in carne corrupta animam, sine qua ne caro quidem, ut aiunt, appellaretur. Immortalis autem et rationalis, cui animantis regimen est commissum, non est in inferno derelicta, sed ad suam rediit carnem: ideoque frustra nugantur hi, qui inanime et rationis expers fuisse dicunt Dei Verbi templum. Nos autem Petro assentiemur qui et carnem prædicat corruptione expertem, et animam in inferno non derelictam, sed reducem atque ad corpus suum recollectam. Credimus etiam Domino ipsi dicenti: « Tristis est anima mea usque ad mortem [1]; » nam tristitiæ sensum pars nostra rationalis excipit. Quod si in mentis loco Deus Verbum exsistens, mentis passiones excipiebat, utique ipsum Verbum tristabatur, metuebat, ignorabat, agonizabat, et angelica ope confortabatur. Jam si hæc quoque dicant Apollinarianæ stultitiæ hæredes, ii profecto cum Christi hostibus Ario atque Eunomio collocentur. Nam quorum par est blasphemia, horum unam esse sodalitatem æquum est. Nos vero Dominum dicentem audiamus: « Potestatem habeo ponendi animam meam, et potestatem habeo iterum sumendi eam; nemo tollit eam a me [2]. » Namque ex sermonibus his discimus alium esse qui ponit, aliud quod est positum; Deumque esse qui ponit, et qui sumit; animam autem et positam et sumptam; et Dei quidem esse potestatem, animam autem sub ea potestate locatam.

A ψυχῆς καὶ σώματος χωρισμός· καὶ πάλιν ἀνάστασις, πρὸς τὴν σάρκα τὴν οἰκείαν ἐπάνοδος· εἰ τοίνυν, ὥς φασιν οἱ τῆς αἱρέσεως προστάται, ψυχὰς δύο τῶν ἀνθρώπων ἕκαστός ἔχει, τήν τε ζωτικὴν, καὶ τὴν λογικὴν, καὶ σὰρξ ἄνευ ψυχῆς οὐκ ἂν ποτε νοηθείη τῆς ζωτικῆς (σῶμα γὰρ, ἀλλ' οὐ σὰρξ, φησὶ, τὸ τοιοῦτον προσαγορεύεται)· Πέτρος δὲ ἔφη, οὐ τὸ σῶμα τοῦ Κυρίου, ἀλλὰ τὴν σάρκα τοῦ Κυρίου μὴ ἰδεῖν διαφθορὰν, καὶ τὴν ψυχὴν αὐτοῦ μὴ ἐγκαταλειφθῆναι εἰς ᾅδου· εὔδηλον ὡς τὴν μὲν ζωτικὴν, ἣν οὐκ οἶδ' ὅπως λέγουσιν, εἶχεν ἡ διαφθαρεῖσα σὰρξ, ἧς ἄνευ οὐκ ἂν προσαγορευθείη, ὥς φασι, σάρξ· ἡ δὲ ἀθάνατος καὶ λογικὴ καὶ τοῦ ζώου τὴν ἡγεμονίαν πεπιστευμένη, οὐ κατελείφθη εἰς ᾅδου, ἀλλὰ πρὸς τὴν οἰκείαν ἐπανῆκε σάρκα· καὶ μάτην ἀδολεσχοῦσιν, ἄψυχον ἢ B ἄνουν τοῦ Θεοῦ Λόγου τὸν ναὸν προσαγορεύοντες. Ἡμεῖς δὲ Πέτρῳ ἑψόμεθα, καὶ σάρκα κηρύττοντι μὴ δεξαμένην διαφθορὰν, καὶ ψυχὴν μὴ καταλειφθεῖσαν εἰς ᾅδου, ἀλλ' ἐπανελθοῦσαν καὶ τῷ οἰκείῳ σώματι συναφθεῖσαν· πιστεύομεν δὲ καὶ αὐτῷ τῷ Κυρίῳ λέγοντι· « Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου. » Τῆς γὰρ λύπης τὴν αἴσθησιν τὸ ἐν ἡμῖν λογικὸν ὑποδέχεται· εἰ δὲ ἀντὶ νοῦ ὁ Θεὸς Λόγος ὑπάρχων, τὰ τοῦ νοῦ κατεδέχετο πάθη, αὐτὸς ἦν ὁ λυπηθεὶς, καὶ φοβηθεὶς, καὶ ἀγνοήσας, καὶ ἀγωνιάσας, καὶ ἀγγελικῇ συμμαχίᾳ ῥωσθείς· εἰ δὲ καὶ ταῦτα φήσουσιν οἱ τῆς Ἀπολιναρίου ματαιολογίας κληρονόμοι, μετὰ Ἀρείου καὶ Εὐνομίου τῶν χριστομάχων ταχθήτωσαν· ὧν γὰρ ἴση ἡ βλασφημία, τούτων μίαν εἶναι τὴν C ἑταιρίαν δίκαιον· ἡμεῖς δὲ ἀκούσωμεν τοῦ Κυρίου λέγοντος· « Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν· οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ. » Ἐκ γὰρ τῶν λόγων τούτων μαθησόμεθα, ὡς ἕτερος μὲν ὁ τιθεὶς, ἕτερον δὲ τὸ τιθέμενον· καὶ Θεὸς μὲν ὁ τιθεὶς καὶ λαμβάνων, ψυχὴ δὲ ἡ τιθεμένη καὶ λαμβανομένη· καὶ Θεὸς μὲν τὴν ἐξουσίαν ἔχων, ψυχὴ δὲ ἡ ὑπὸ τὴν ἐξουσίαν ἐκείνην τεταγμένη.

Ejusdem ex oratione quam Theodosio imperatori nuncupavit.

Sunt qui carnem Verbo unitam anima rationis participe destitutam arbitrati, Verbum carne, quæ vitalem tantum et sensilem motionem sortita sit, indutum introducunt: totam vero mentis et intelligentis animæ vim energiamque Unigenito attribuunt; fateri enim, nescio quomodo verentur, Verbum carni humanæ, anima intelligente perfecte et informate secundum naturam unitum esse. Verum, dum ita philosophantur, antiquæ et olim traditæ fidei rationem omnino negligunt, et voluntatis suæ judicio male sano (ut quod humanas tantum rationes et conjecturas sequi soleat) prave innixi, secus quam revera oportuerat, sapiunt et sentiunt. Et quænam, obsecro, dogmatis hujus est ratio? Dicam. Mediatorem Dei et hominum [3], hoc

Ἰοῦ αὐτοῦ ἐκ τοῦ πρὸς τὸν βασιλέα Θεοδόσιον προσφωνητικοῦ.

Εἰσί τινες οἳ ἡττᾶσθαι λέγουσι ψυχῆς λογικῆς τὴν ἑνωθεῖσαν τῷ Λόγῳ σάρκα. Σαρκὶ γάρ που μόνην τὴν D ζωτικήν τε καὶ αἰσθητικὴν λαχούσῃ κίνησιν ἀμφιεννύντες τὸν Λόγον, παραφέρουσιν εἰς κόσμον, τὴν νοῦ καὶ ψυχῆς ἐνέργειαν ἀπονέμοντες τῷ Μονογενεῖ. Καταπεφρίκασι γὰρ, οὐκ οἶδ' ὅπως, ψυχωθείσῃ λογικῇ ψυχῇ τῇ ἀνθρωπίνῃ σαρκὶ κατὰ φύσιν ἡνῶσθαι τὸν Λόγον ὁμολογεῖν· τῆς μὲν ἄνωθέν τε καὶ ἀρχαιοτάτης πίστεως τὴν παράδοσιν ὀλίγου παντελῶς ἀξιοῦντες λόγου, θελήσει δὲ μόνῃ τῇ κατὰ σφᾶς αὐτοὺς καὶ τοῖς ἀνθρωπίνοις δεῖν ἕπεσθαι λογισμοῖς, ἀμαθῶς ἠρημένοι, καὶ φρονοῦντες ἀληθῶς παρ' ὃ δεῖ φρονεῖν. Καὶ τίς ὁ λόγος αὐτοῖς τοῦ τοιοῦδε δόγματος, ἐγὼ φράσω. Τὸν Θεοῦ μεσίτην καὶ ἀνθρώπων, κατὰ τὰς Γραφὰς, συγκεῖσθαί φαμεν ἔκ τε τῆς καθ' ἡμᾶς ἀν-

[1] Matth. XXVI, 38. [2] Joan. X, 18. [3] I Tim. II, 5.

A θρωπότητος τελείως ἐχούσης κατὰ τὸν ἴδιον λόγον, καὶ ἐκ τοῦ πεφηνότος ἐκ Θεοῦ κατὰ φύσιν Υἱοῦ, τουτέστι τοῦ Μονογενοῦς. Διαβεβαιούμεθα δὲ σύνοδον μέν τινα, καὶ τὴν ὑπὲρ λόγον συνδρομὴν, εἰς ἕνωσιν ἀνίσων τε καὶ ἀνομοίων πεπρᾶχθαι φύσεων. Ἕνα δ' οὖν ὅμως Χριστὸν, καὶ Κύριον Ἰησοῦν, καὶ Υἱὸν ὀνομάζεσθαι ἐπιγινώσκομεν, ἐν ταυτῷ καὶ ὑπάρχοντα, καὶ νοούμενον Θεόν τε ὁμοῦ καὶ ἄνθρωπον. Ἀδιάσπαστον δὲ παντελῶς τὴν ἕνωσιν διατηρεῖν εἰθίσμεθα, τὸν αὐτὸν εἶναι καὶ Μονογενῆ πιστεύοντες, καὶ πρωτότοκον· Μονογενῆ μὲν, ὡς Θεοῦ Πατρὸς Λόγον, καὶ ἐκ τῆς οὐσίας αὐτοῦ πεφηνότα· πρωτότοκον δ' αὖ, καθὸ γέγονεν ἄνθρωπος, καὶ ἐν πολλοῖς ἀδελφοῖς. Ὥσπερ γὰρ εἷς ἐστι Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα· οὕτω καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' B οὗ τὰ πάντα. Θεὸν γὰρ ὄντα κατὰ φύσιν ἐπιγινώσκομεν τὸν δι' οὗ τὰ πάντα, Λόγον, καὶ εἰ γέγονε σάρξ, τουτέστιν ἄνθρωπος.

Ἀλλ' οὔτι που σφόδρα ταῖς ἐν ἡμῖν περὶ τούτου δόξαις τὰ ἐκείνων συμφέρεται. Ἕνα μὲν γὰρ ὁμολογουμένως παραδέχονται καὶ αὐτοὶ Ἰησοῦν Χριστὸν, παρωθοῦνται δὲ λίαν, ὡς δυσσεβὲς ὅτι μάλιστα, καταδιιστᾷν εἰς δύο τὸν Ἐμμανουήλ. Ψυχῆς δ' οὖν ὅμως τῆς ἀνθρωπίνης καὶ λογικῆς τὴν σάρκα χωρίσαντες καὶ γυμνώσαντες, ἡνῶσθαί φασιν αὐτῇ τὸν ἐκ Θεοῦ Λόγον· ἐξεύρηται δέ τις αὐτοῖς καὶ πιθανὸς, ὡς οἴονται, πρὸς τοῦτο λόγος. Τὰ γάρ τοι, φασὶ, κατὰ σύνθεσιν πρὸς ἑνὸς τελείου σύστασιν C συνδεδραμηκότα, μέρη τε καὶ ἐξ ἀτελῶν ὁρᾶσθαι φιλεῖ· τοῦ τελείως ἔχοντος καθ' ἑαυτὸ, καὶ ὡς ἐν ἰδίᾳ φύσει, τῆς ἐκ μερῶν συνθέσεως οὐ δεδεημένου. Τοιγάρτοι, φασὶ, παραιτητέον εἰκότως, ἄνθρωπον δοῦναι τέλειον, τὸν συνενωθέντα τῷ Λόγῳ ναὸν, ἵνα καὶ ἡ ἕνωσις, ἥπερ ἂν ἐπὶ Χριστῷ νοοῖτο τυχὸν, ἀκριβῆ τε καὶ ἀδιάβλητον τὸν ἐπ' αὐτῆς ἀποσώζοι λόγον. Καὶ μὴν κἀκεῖνο προσθεῖεν ἂν, ὥσπερ οὖν ἡγοῦμαι, πάλιν. Εἰ γὰρ ἐξ ἀνθρώπου τελείου, φασὶ, καὶ τοῦ ἐκ τοῦ Πατρὸς ὄντος Λόγου φήσομεν εἶναι τὸν Ἐμμανουήλ, οὐ βραχὺ τὸ δεῖμα, μᾶλλον δὲ ἀδιάφυκτον ἤδη πως ἀναφανεῖται λοιπὸν, τὸ καὶ ἀβουλήτως δεῖν δύο μὲν υἱοὺς, Χριστοὺς δ' αὖ δύο φρονεῖν τε καὶ λέγειν. Εἶτα τί τούτοις ἀντεροῦμεν ἡμεῖς; Πρῶτον μὲν, ὅτι τῆς πίστεως τὴν οὕτως ἀρ- D χαιοτάτην, καὶ ἐξ αὐτῶν τῶν ἁγίων ἀποστόλων διήκουσαν εἰς ἡμᾶς παράδοσιν, οὐ ταῖς ὑπερμέτροις ἀκριβείαις καταλύειν ἄξιον, οὔτε μὴν ταῖς εἰς ἄκρον ἐρεύναις ὑποφέρειν τὰ ὑπὲρ νοῦν, ἀλλ' οὐδὲ ἥκειν εἰς μέσον οἷάπερ τινὰς ὁριστὰς, καὶ ῥιψοκινδύνως λέγοντας, ὡς τὸ δεῖνα μὲν ὀρθῶς, τὸ δεῖνα δ' αὖ ἑτέρως ἔχειν. Ἐχρῆν δήπου, καὶ ἦν ἄμεινον ἀληθῶς, ἀπονέμειν μᾶλλον τῷ πανσόφῳ Θεῷ τῶν ἰδίων διασκέψεων τὴν ὁδὸν, καὶ μὴ τοῖς εὖ ἔχειν παρ' αὐτῷ δεδοκιμασμένοις, ἀνοσίως ἐπιτιμᾷν. Ἀκουσόμεθα γὰρ λέγοντος ἐναργῶς· « Οὐ γάρ εἰσιν αἱ βουλαί μου ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδὲ ὥσπερ αἱ ὁδοὶ ὑμῶν αἱ

est Christum, ex humanitate numeris omnibus secundum propriam rationem perfecta et absoluta naturalique Dei Filio, hoc est Unigenito, constitutum, Scripturis convenienter prædicamus. Affirmamus autem naturas dispares, ac inter se dissimiles, quadam coitione et concursu qui verbis explicari non potest, in unum convenisse. Agnoscimus tamen unum Christum, et Dominum Jesum, et Filium vocatum; quippe cum simul Deus et homo exsistat mentique se offerat. Etenim unio illa naturarum usque adeo individua indivulsaque est ut unum eumdemque unigenitum simul et primogenitum credamus: unigenitum quidem, tanquam Dei Patris Verbum, ex illius substantia natum; primogenitum vero, quatenus inter multos fratres homo exstitit: quandoquidem ut unus est Deus Pater, ex quo omnia; ita unus quoque est Dominus Jesus Christus, per quem omnia [1]. Nam Verbum illud, per quod omnia consistunt, secundum naturam Deum esse novimus, etiamsi caro, hoc est homo factum est.

Cæterum, eorum dicta cum nostris non satis congruunt. Nam et ipsi quoque unum solum Christum aperte constituunt, et unum Emmanuelem in duos divellere, tanquam rem summa cum impietate conjunctam, summopere exsecrantur: sed Verbum interim carni, quæ humana, hoc est, ratione prædita anima exuta destitutaque sit, unitum prædicant; et cur istud prædicare debeant, rationem admodum plausibilem comperisse se autumant. Aiunt enim, quæ ad unius perfecti constitutionem per compositionem concurrunt, ea partes esse et imperfectorum rationem obtinere; nam quod perfectum est per se, atque ut in propria natura, non opus habet, ut ad partialem compositionem veniat: atque ideo cavendum esse sedulo ne templum, quod Verbo unitum est, perfectum hominem exstitisse concedentes, exactam illam unius rationem, quæ in Christo accidisse dignoscitur, meritæ calumniæ exponamus. Quin et illud quoque huc adjecturos suspicor; nempe, si ex homine perfecto, et Dei Patris Verbo Emmanuelem coaluisse dicamus, in illud nos et magnum, et plane inevitabile periculum venturos esse, ut vel inviti duos Christos, et duos itidem filios tenere et profiteri cogamur. Cedo, quid nos ad hæc respondebimus? Apprime indignum esse nos antiquissimam fidei traditionem (ut quæ ab ipsis sanctis apostolis profecta ad nos usque pervenit) propter curiosas quasdam ac supervacaneas rationes ac disceptationes deserere, vel nimiis inquisitionibus humanæ mentis captum excedentia subjicere; vel in medium exsilire veluti judices, ut nostro sensu, contempto periculo, quidvis metientes, dicamus: Hoc recte se habet, illud vero secus. Quanto satius, quantoque utilius foret, sapientissimo Deo consiliorum suorum rationes integre permittere, et ea quæ ipsi probatissima sunt, impie non reprehendere, præsertim cum illum aperte

[1] I Cor. VIII, 6.

dicentem, et quasi expostulantem audiamus: « Non sunt consilia mea sicut consilia vestra, nec viæ meæ ut viæ vestræ: sed sicut distat cœlum a terra, ita viæ meæ a viis vestris, et cogitationes meæ a cogitationibus vestris [1]. »

Quare licet templum, quod Verbo unitum est, anima humana perfectum et informatum certo credamus, non duos tamen filios adoramus, nec duos Christos agnoscimus. Ut enim tametsi Emmanuelem ex sola carne et Dei Patris Verbo, juxta opinionem quam illi complectuntur, compositum statuant, nulla adhuc tamen ratione huc illi adigi se paterentur, ut carne seorsum, et Unigenito rursum seorsum posito, duos Christos profiterentur; ita nos quoque, quamvis Dei Verbum, humanitati nostræ secundum propriæ naturæ rationem omnino perfecte unitum, ineffabilique ac incomprehenso plane modo sociatum affirmamus, non duos tamen filios mente concipimus, sed unum eumdemque, qui quidem natura Deus exsistens, utpote ex Dei et Patris substantia ortus, et in extremis sæculi temporibus homo factus [2], et ex sacra deipara Virgine natus, cum a nobis, tum ab ipsis quoque sanctis angelis, secundum Scripturas [3], colitur et adoratur.

Quod si dixerint genus nostrum solo Unigeniti adventu indiguisse atque ideo illum, quod ab iis qui in terris degunt, cerni, amiceque cum hominibus conversari, et vitæ evangelicæ viam nobis præmonstrare vellet, dispensatoria quadam ratione solam carnem nobis similem induisse (Deus namque secundum suam naturam sub aspectum non cadit), illi incarnationis scopum se ignorare, magnumque illud pietatis mysterium [4] prorsus non intelligere, aperte ostendunt. Nam si Unigenitus ea solum de causa incarnatus, hoc est, homo factus est, quo ab iis qui in terris ætatem agunt, conspici posset, nihilque aliud præterea commodi illius incarnatio humanæ naturæ attulit: cur illorum sententiæ subscribere non pigeat, qui phantastica tantum carne et corpore Verbum indutum, neque in hominis natura, sed in hominis tantum similitudine in terris apparuisse fabulantur? Verum quantum hi miseri a veritatis scopo aberrent, facili negotio ostendi potest. Si, inquam, Dei Verbum, etiamsi caro factum est, nullum aliud humanæ naturæ commodum attulit, an non rectius statueretur a carnis quidem immunditia omnino abstinuisse, terreno nihilominus corpore uti visum esse, atque hac ratione quod decreverat perfecisse? Cæterum quis adventus illius fuerit usus, et qualis incarnationis modus, si quis forte a nobis sciscitetur, cujusque rei gratia patrata sit; ille responsi loco hoc paucis habeat: Age, istud divina Scriptura tibi patefaciet. Vade ergo et sacras Litteras consule, mentisque oculum sanctorum apostolorum vocibus infer; et quod quæritur, dilucide hic mox intuebere.

ὁδοί μου· ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου. »

Υἱοὺς δὲ οὔτι που δύο προσκυνήσομεν, ἀλλ' οὐδὲ Χριστοὺς ἐροῦμεν δύο, κἂν ἐψυχῶσθαι πιστεύωμεν ψυχῇ λογικῇ τὸν ἑνωθέντα τῷ Λόγῳ ναόν. Ὥσπερ γὰρ, κατά γε τὸ ἐκείνοις εὖ ἔχειν δοκοῦν, κἂν εἰ ἐκ μόνης λέγοιτο τῆς σαρκὸς, καὶ τοῦ ἐκ Θεοῦ Πατρὸς πεφηνότος Λόγου, οὐδεὶς αὐτοὺς ἀναπείσει τρόπος, ἀνὰ μέρος τὴν σάρκα τιθέντας, καὶ ἀνὰ μέρος αὐτὸν Μονογενῆ, δυάδα δὲ Χριστῶν ὁμολογεῖν· οὕτω κἂν τῇ καθ' ἡμᾶς ἀνθρωπότητι τελείως ἐχούσῃ, κατά γε τὸν τῆς ἰδίας φύσεως λόγον, οἱονεὶ συνενηνέχθαι τε καὶ ἡνῶσθαι λέγωμεν ἀπορρήτως τε καὶ ὑπὲρ νοῦν τὸν ἐκ Θεοῦ Λόγον, οὐχ υἱῶν δυάδα νοήσομεν, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν, φύσει μὲν ὄντα Θεὸν, καὶ ἐξ αὐτῆς πεφηνότα τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρός· ἐν ἐσχάτοις δὲ τοῦ αἰῶνος καιροῖς γενόμενον ἄνθρωπον, καὶ διὰ τῆς ἁγίας καὶ Θεοτόκου Παρθένου γεγεννημένον, καὶ πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων προσκυνούμενον, κατὰ τὰς Γραφάς.

Εἰ δὲ δὴ φαῖεν, ὅτι μόνης μὲν ἐδεῖτο τὰ καθ' ἡμᾶς τῆς τοῦ Μονογενοῦς ἐπιδημίας· ἐθελήσας δὲ ὀφθῆναι τοῖς ἐπὶ γῆς, καὶ ἀνθρώποις συναναστραφῆναι, παραδεῖξαί τε ἡμῖν τῆς ἀγγελικῆς πολιτείας τὴν ὁδὸν, οἰκονομικῶς ἠμπίσχετο τὴν ὁμοίαν ἡμῖν σάρκα (τὸ γάρ τοι Θεῖον κατὰ φύσιν ἰδίαν οὐχ ὁρατόν)· ἠγνοηκότες ἁλώσονται τῆς ἐνανθρωπήσεως τὸν σκοπὸν, καὶ συνιέντες οὐδαμῶς τὸ μέγα τῆς εὐσεβείας μυστήριον. Εἰ γὰρ δὴ μόνην ἔχει τὴν ἀφορμὴν τοῦ ὀφθῆναι τοῖς ἐπὶ γῆς τοῦ Μονογενοῦς ἡ σάρκωσις, ἤγουν ἐνανθρώπησις, προσετέθη γε μὴν ἕτερον οὐδὲν τῇ ἀνθρώπου φύσει· πῶς οὐκ ἄμεινον ἤδη πως καὶ σοφῶν, τῇ τῶν Δοκητῶν συμφέρεσθαι δόξῃ καὶ ἡμᾶς αὐτοὺς, οἳ σαρκός τε ὁμοῦ καὶ γηΐνου σώματος ἀπαμφιεννύντες τὸν Λόγον, ὦφθαι μὲν ἐπὶ γῆς ὡς ἄνθρωπον μυθοπλαστοῦσιν οἱ δείλαιοι; Ἡμαρτηκότες δὲ τἀληθοῦς ἁλοῖεν ἂν καὶ οὐ σὺν ἱδρῶτι μακρῷ. Ἢ οὐκ ἄμεινον ἐροῦσιν, εἰ μηδὲν ὀνίνησι τὴν ἀνθρώπου φύσιν ὁ ἐκ Θεοῦ Λόγος, εἰ καὶ γέγονε σὰρξ, ἀπαλλάττεσθαι μὲν ἀκαθαρσίας σαρκικῆς, δόξαι [δ'] οὖν ἅπαξ τῷ γηΐνῳ προσκεχρῆσθαι σώματι, διαπερᾶναί τε οὕτω τὸν προτεθέντα σκοπόν; Τίς οὖν ἂν γένοιτο λοιπὸν τῆς ἐπιδημίας ὁ λόγος, ἢ τίς ὁ τρόπος τῆς ἐνανθρωπήσεως, πέπρακται δὲ ὅτου χάριν, εἴ τις ἔροιτο τυχὸν, ἀντακούσεται παρ' ἡμῶν· Ἡ θεία διδάξει Γραφή. Ἴθι δὴ οὖν, ὦ γενναῖε, πυθοῦ τῶν ἱερῶν Γραμμάτων, καὶ ταῖς τῶν ἁγίων ἀποστόλων φωναῖς ἐνερείσας εὖ μάλα τῆς διανοίας τὸν ὀφθαλμὸν, ἄθρει δὴ καλῶς τὸ ζητούμενον. Ἔφη τοίνυν ὁ σοφὸς ἡμῖν Παῦλος, αὐτὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα Χριστόν· « Ἐπειδὴ δὲ τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν

[1] Isa. LV, 8. [2] Hebr. I, 1, 2. [3] Psal. XCVI, 8. [4] I Tim. III, 16.

ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῇν ἔνοχοι ἦσαν δουλείας.» Καὶ μὴν καὶ ἑτέρωθι τρόπον ἡμῖν ἀφηγούμενος, «Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, φησὶν, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν ἐκπέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.»

Igitur sapientissimus apostolus Paulus, qui Christum in se loquentem habebat, ad hunc modum concionatur: «Quia ergo pueri communicaverunt carni et sanguini, et ipse similiter participavit eisdem, ut per mortem destrueret eum qui habebat mortis imperium, id est diabolum, et liberaret eos qui per totam vitam obnoxii erant servituti [1].» Alibi idem aliam quoque hujus rei causam aperit. Scribit enim: «Quod impossibile erat legi, in quo infirmabatur per carnem, Deus Filium suum mittens in similitudinem carnis peccati, et de peccato damnavit peccatum in carne, ut justificatio legis impleretur in nobis, qui non secundum carnem ambulamus, sed secundum spiritum

Ἆρ' οὖν, οὐχὶ προδηλότατον, καὶ οὐδενὶ τῶν ὄντων ἀσυμφανὲς, ὅτι καθ' ἡμᾶς γέγονεν ὁ Μονογενὴς, τουτέστι τέλειος ἄνθρωπος, ἵνα τῆς μὲν ἐπεισάκτου φθορᾶς τὸ γήϊνον ἡμῶν ἀπαλλάξῃ σῶμα, τῇ καθ' ἕνωσιν οἰκονομίᾳ τὴν ἰδίαν αὐτῷ ζωὴν ἐνιείς· ψυχὴν δὲ ἰδίαν τὴν ἀνθρωπίνην ποιούμενος, ἁμαρτίας αὐτὴν ἀποφήνῃ κρείττονα, τῆς ἰδίας φύσεως τὸ πεπηγός τε καὶ ἄτρεπτον, οἱάπερ ἐρίῳ βαφὴν, ἐγκαταχρώσας αὐτῇ; Δεῖν γὰρ οἶμαι τοῖς περὶ τούτων λόγοις παραδειγμάτων, πολὺ λίαν ἔχουσι τὸ ἀσυμφανές· ὁρῶ μὲν γὰρ μόλις ἐν ἐσόπτρῳ τε καὶ αἰνίγματι τὰ θεῖά τε καὶ ὑπὲρ νοῦν μυστήρια. Εἴη δ' ἂν οὐκ ἄτοπον, οἶμαι, τὸ χρῆμα· φέρει γὰρ ἐν ἑαυτῷ τὸν εἰκότα, μᾶλλον δὲ καὶ τὸν ἀληθῆ λογισμόν. Ὥσπερ οὖν, ἐπειδὴ γέγονε σὰρξ τοῦ ζωοποιοῦντος τὰ πάντα Λόγου, τὸ φθορᾶς καὶ θανάτου ὑπερφέρεται κράτος· κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον, ἐπεὶ γέγονε ψυχὴ τοῦ πλημμελεῖν οὐκ εἰδότος, ἐρηρεισμένην ἔχει λοιπὸν τὴν ἐφ' ἅπασι τοῖς ἀγαθοῖς ἀμεταποίητον στάσιν, καὶ τῆς πάλαι καθ' ἡμῶν τυραννευούσης ἁμαρτίας ἀσυγκρίτως εὐσθενεστέραν. Πρῶτός τε γὰρ καὶ μόνος ἄνθρωπος ἐπὶ τῆς γῆς ὁ Χριστὸς «οὐκ ἐποίησεν ἁμαρτίαν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.» Ῥίζα δὲ ὥσπερ καὶ ἀπαρχὴ τεθειμένος τῶν εἰς καινότητα ζωῆς ἀναμορφουμένων ἐν Πνεύματι, καὶ τὴν τοῦ σώματος ἀφθαρσίαν, καὶ τὸ τῆς θεότητος ἀσφαλὲς ἐρηρεισμένον, ὡς ἐν μεθέξει καὶ κατὰ χάριν, καὶ εἰς ἅπαν ἤδη τὸ ἀνθρώπινον παραπέμψει γένος. Καὶ τοῦτο εἰδὼς ὁ θεσπέσιος γράφει Παῦλος· «Ὥσπερ γὰρ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου.» Εἰκόνα μὲν γὰρ τοῦ χοϊκοῦ, τὸ εὐόλισθον ἔφη πρὸς ἁμαρτίαν, καὶ τὸν ἐντεῦθεν ἡμῖν ἐπιῤῥιφέντα θάνατον· εἰκόνα δὲ αὖ τοῦ ἐπουρανίου, τουτέστι Χριστοῦ, τὸ ἑδραῖον εἰς ἁγιασμὸν, καὶ τὴν ἐκ θανάτου καὶ φθορᾶς ἀναχομιδήν τε καὶ ἀνακαίνισιν εἰς ἀφθαρσίαν καὶ ζωήν.

Annon apertissimum est, obsecro, unigenitum Dei Filium similem nobis, hoc est, perfectum hominem factum esse, quo nimirum terrenum hoc nostrum corpus, vita propria per œconomicam unionem illi immissa, ab inducta corruptione liberaret; animam rursum humanam, posteaquam illam propriam sibi reddidisset, suæque naturæ firmitate ac immutabilitate perinde ac vellus colore imbuisset, peccato superiorem declararet? Arbitror enim exemplis, quæ rem per se obscuram nonnihil illustrent, in hac doctrina opus esse: siquidem mysteria divina, tanquam humanæ mentis sensum excedentia, vix in speculo et ænigmatice videmus [3]. Est autem exemplum allatum ad rem peropportunum; quippe quod verum potius, quam verisimile rei, de qua sermo est, symbolum præ se ferat. Quemadmodum ergo caro, posteaquam Verbi omnia vivificantis caro effecta est, mortis et corruptionis imperio superior evasit: sic anima, ut ego quidem sentio, posteaquam illius effecta est qui peccatum non novit, e vestigio statum firmum, ac in omnibus bonis stabilem, peccatoque quod olim tyrannidem exercebat, multis partibus potentiorem nacta est. Christus namque primus et solus ex omnibus in terra «peccatum non fecit, nec dolus inventus est in ore illius [4].» Qui unus proinde positus tanquam radix et initium quoddam cunctorum, qui in Spiritu ad vitæ novitatem instaurantur, et corporis immortalitatem, et eam quæ ex divinitate proficiscitur, securitatem ac firmitatem, secundum quamdam gratiæ communicationem in universum hominum genus transmittet. Cujus quidem rei divinus Paulus non ignarus, ita scribit: «Sicut portavimus imaginem terreni, portemus et imaginem cœlestis [5].» Imaginem terreni, peccandi propensionem, et mortem quæ hinc oritur, vocat: at vero per imaginem cœlestis, hoc est, Christi, constantiam in sanctitate, reditumque et instaurationem ex morte et corruptione ad vitam et immortalitatem designat.

Ὅλον οὖν ὅλῃ συνηνῶσθαί φαμεν τῇ καθ' ἡμᾶς ἀνθρωπότητι τὸν ἐκ Θεοῦ Λόγον. Οὐ γάρ που τὸ ἄμεινον ἐν ἡμῖν, τουτέστι ψυχὴν, οὐδενὸς ἂν ἠξίωσε λόγου, μόνῃ δωρούμενος τῇ σαρκὶ τῆς ἐπιδημίας τοὺς πόνους. Ἐπράττετο δὲ καλῶς δι' ἄμφω τῆς οἰκονομίας τὸ μυστήριον· προσεχρήσατο δὲ,

Totum itaque Dei Verbum toti naturæ nostræ humanæ unitum asserimus. Nulla enim ratione putandum est, principe nostri parte, hoc est, anima neglecta, peregrinationis suæ molestias carni largiri voluisse. Pulchre autem per utramque partem dispensationis sacramentum perfecit: carne

[1] Hebr. II, 14, 15. [2] Rom. VIII, 3, 4. [3] I Cor. XIII, 12. [4] I Petr. II, 22. [5] I Cor. XV, 49.

sua tanquam organo ad carnis opera, naturalesque ægritudines, ac cætera officia vituperationis expertia; anima rursum ad humanas inculpatasque affectiones utebatur. Nam et esuriem, et longioris itineris laborem, et pavorem ac metum, et tristitiam, et angorem, et ipsam denique in cruce mortem pertulisse traditur. Etenim nullo cogente, animam suam nostri causâ posuit [1], quo nimirum et vivis et mortuis dominaretur [2]. Et quidem carnem suam citra controversiam liberationis pretium pro omnium carne dependit; animam vero justum pro mortalium omnium animabus pretium exhibuit, tametsi vitam quam posuerat (nam vita erat ut Deus secundum naturam) denuo resumpserit. Hinc divinus Petrus: « Viri, inquit, fratres, liceat audenter dicere ad vos de patriarcha David, quoniam et defunctus est, et sepultus est, et sepulcrum ejus est apud nos usque in hodiernum diem. Propheta igitur cum esset, et sciret quia jurejurando jurasset illi Deus, de fructu lumbi ejus sedere super sedem ejus, providens locutus est de resurrectione Christi, quia neque derelictus est in inferno, neque caro ejus vidit corruptionem [3]. » Nec enim fas est dicere, carnem Verbo unitam aliquando potuisse corrumpi, aut divinam illam animam intra inferni portas detineri. Nam, ut divinus Petrus ait, anima ejus in inferno relicta non fuit. Neque vero naturam illam, quæ nec mente comprehendi, neque per mortem ullatenus capi potest, hoc est Unigeniti divinitatem, e subterraneis illis specubus rursum emersisse dicemus: quandoquidem nulla admiratione dignum esset, si Dei Verbum divinitatis vi ejusdemque efficacia nixum, apud inferos non mansisset, cum admirabiliter omnibus adsit, impleatque omnia. Deitas namque omni loco et circumscriptione, et mensurabili magnitudine superior, a nullo capi comprehendive potest.

Mirum vero videri debet, quod corpus suapte natura interitui et morti obnoxium ad vitam denuo redierit: id enim immortalis Verbi proprium erat. Sic quoque anima, quæ cum illo conjuncta copulataque fuerat, ad inferos descendit, divinaque virtute ac potentia utens, spiritibus quoque ibidem captivis sese exhibuit [4]. Etenim iis qui vinculis ibi constricti detinebantur: « Exite, ait: iis vero qui tenebris operiebantur: Revelamini [5]. » Atque huc mihi magnus ille Petrus respexisse videtur, cum de Dei Verbo, ejusdemque secundum dispensatoriam unionem anima, hunc in modum concionatur: « Melius est enim benefacientes (si voluntas Dei velit) pati, quam malefacientes: quia et Christus semel pro peccatis nostris mortuus est, justus pro injustis, ut nos offerret Deo; mortificatus quidem carne, vivificatus autem spiritu [6], in quo et his qui in carcere erant spiritibus veniens prædicavit, qui increduli fuerant aliquando. » Nec vero dicent divinitatem per se solam ad inferos descendisse, spiritibusque ibidem con-

[1] I Joan. III, 16. [2] Rom. XIV, 9. [3] Act. II, 29-31.

καθάπερ ὀργάνῳ, τῇ μὲν ἰδίᾳ σαρκὶ, [τὰ] πρὸς τὰ σαρκὸς ἔργα τε καὶ ἀῤῥωστήματα φυσικὰ, καὶ ὅσα μώμου μακράν· ψυχῇ δ' αὖ τῇ ἰδίᾳ, πρὸς τὰ ἀνθρώπινά τε καὶ ἀνυπαίτια πάθη. Πεινῆσαι γὰρ λέγεται, κόπους ὑπενεγκεῖν τοὺς ἐκ μακρῶν ὁδοιποριῶν, πτοίας τε καὶ φόβους, καὶ λύπην, καὶ ἀγωνίαν, καὶ τὸν ἐπὶ τῷ σταυρῷ θάνατον. Ἐπαναγκάζοντος γὰρ οὐδενὸς, τέθεικεν ἀφ' ἑαυτοῦ τὴν ἰδίαν ψυχὴν ὑπὲρ ἡμῶν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ· σάρκα μὲν τὴν ἰδίαν, τῆς ἁπάντων σαρκὸς ἀνταποτιννὺς, δῶρον ἀληθῶς ἀντάξιον· ψυχὴν δὲ, ψυχῆς ἀντίλυτρον τῆς ἁπάντων ποιούμενος, εἰ καὶ ἀνεβίω πάλιν, ζωὴ κατὰ φύσιν ὑπάρχων ὡς Θεός. Καὶ γοῦν ὁ θεσπέσιος Πέτρος, « Ἄνδρες ἀδελφοὶ, φησὶν, ἐξὸν εἰπεῖν μετὰ παῤῥησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαβὶδ, ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη, καὶ τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης. Προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς, ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς, ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ, προειδὼς ἐλάλησε περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὅτι οὔτε ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδην, οὔθ' ἡ σὰρξ αὐτοῦ οἶδε διαφθοράν. » Οὐ γάρ τοι θέμις εἰπεῖν, φθορᾷ μὲν δύνασθαι κρατεῖσθαί ποτε τὴν ἑνωθεῖσαν τῷ Λόγῳ σάρκα, κάτοχον δ' αὖ ταῖς ᾅδου πύλαις τὴν θείαν γενέσθαι ψυχήν· οὐκ ἐγκατελείφθη γὰρ εἰς ᾅδην, καθὰ καὶ ὁ θεσπέσιος ἔφη Πέτρος. Οὐ γάρ που τήν τε ἄληπτον παντελῶς, καὶ ἀνάλωτον τῷ θανάτῳ φύσιν, τουτέστι τὴν θεότητα τοῦ Μονογενοῦς, τῶν ὑπὸ χθόνα μυχῶν ἀνακεκομίσθαι φήσομεν· οὔτε γὰρ ἂν ἠξιώθη τὸ χρῆμα θαύματος, εἰ μὴ μεμένηκεν εἰς τὸν ᾅδην ὁ ἐκ Θεοῦ Λόγος, τῇ τῆς θεότητος ἐνεργείᾳ τε καὶ φύσει, παραδόξως τε καὶ ὑπὲρ λόγον, πληρῶν μὲν τὰ πάντα, καὶ τοῖς πᾶσιν ἐπιδημῶν. Ἀνώτερον γάρ που καὶ περιορισμοῦ καὶ τόπου καὶ μεγέθους μετρητοῦ τὸ Θεῖον, αὐτὸ δὲ ὑπὸ μηδενὸς χωρούμενον.

Παράδοξον δὲ καὶ οὐδενὶ τῶν ὄντων θαυμαστὸν, ὅτι σῶμα μὲν ἀνεβίω τὸ τῇ φύσει φθαρτόν· ἦν γὰρ ἴδιον τοῦ ἀφθάρτου Λόγου. Ψυχὴ δὲ δὴ πάλιν, τὴν πρὸς αὐτὸν λαχοῦσα συνδρομήν τε καὶ ἕνωσιν, καταπεφοίτηκε μὲν εἰς ᾅδου, θεοπρεπεῖ δὲ δυνάμει καὶ ἐξουσίᾳ χρωμένη, καὶ τοῖς ἐκεῖσε πνεύμασι κατεφαίνετο. Τοιγάρτοι καὶ ἔφασκε τοῖς ἐν δεσμοῖς· « Ἐξέλθετε· καὶ τοῖς ἐν τῷ σκότει· Ἀνακαλύπτεσθε. » Καί μοι δοκεῖ φάναι τι τοιοῦτον καὶ ὁ θεσπέσιος Πέτρος περὶ τοῦ Θεοῦ Λόγου, καὶ τῆς καθ' ἕνωσιν οἰκονομίας [1] γεγενημένης αὐτοῦ ψυχῆς· « Κρεῖττον γὰρ ἀγαθοποιοῦντας, εἰ θέλοι τὸ θέλημα τοῦ Θεοῦ, πάσχειν, ἢ κακοποιοῦντας· ὅτι καὶ ὁ Χριστὸς ἅπαξ ὑπὲρ ἁμαρτωλῶν ἀπέθανε, δίκαιος ὑπὲρ ἀδίκων, ἵν' ἡμᾶς προσαγάγῃ τῷ Θεῷ, θανατωθεὶς μὲν σαρκὶ, ζωοποιηθεὶς δὲ τῷ πνεύματι· ἐν ᾧ, φησὶ, καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξεν, ἀπειθήσασί ποτε. » Οὐδὲ γὰρ, οἶμαι, φαῖεν ἂν, ὡς γυμνὴ καὶ καθ' ἑαυτὴν ἡ θεότης τοῦ Μονογενοῦς καταπεφοίτηκε μὲν εἰς ᾅδου, διεκήρυξε δὲ τοῖς ἐκεῖσε πνεύμασιν, ἄποπτος οὖσα παντελῶς·

[4] I Petr. III, 19. [5] Isa. XLIX, 9. [6] I Petr. III, 17, 18.

κρεῖττον γὰρ ἀεὶ τοῦ ὁρᾶσθαι τὸ Θεῖον. Ἀλλ' οὐ δοκήσει (A) καὶ ἐσχηματισμένως εἰς τὸ ψυχῆς εἶδος αὐτὴν μεμορφῶσθαι δώσομεν· παραιτητέον γὰρ πανταχῆ τὴν δόκησιν. Ἀλλ' ὥσπερ τοῖς ἐπὶ γῆς συνανεστράφη μετὰ σαρκὸς, οὕτω καὶ ταῖς εἰς ᾅδου ψυχαῖς διεκήρυξεν, ἴδιον ἔχων φόρημα, τὴν ἑνωθεῖσαν αὐτῷ ψυχήν.

clusis prædicasse; cum ipsa omnino sub oculos non cadat, præstantiorque sit, quam ut ab ullo cerni queat. Nec etiam concedendum est ipsam in apparentem animæ speciem transformatam esse: siquidem externæ istius apparentiæ commentum omnino repudiari debet. Sed quemadmodum Unigenitus cum iis, qui in corporibus suis adhuc degebant, versatus est in corpore; ita spiritibus, qui apud inferos tenebantur, animam mente et ratione præditam sibi conjunctam habens, concionatus est.

Καὶ βαθὺς μὲν ἴσως καὶ ἀπόῤῥητος ἀληθῶς καὶ ταῖς ἡμετέραις διανοίαις οὐχ ἁλώσιμος ὁ τῆς ἐνανθρωπήσεως τρόπος. Ἐκεῖνο δ' οὖν ὅμως ἀναλογίζεσθαι πρέπει· τὰ γάρ τοι μὴ καθ' ἡμᾶς πολυπραγμονεῖν, οὐκ ἀζήμιον· ἀνούστατον δὲ παντελῶς τὸ βασάνοις ὑποφέρειν τὰ ὑπὲρ νοῦν, καὶ πειρᾶσθαι νοεῖν ἃ οὐχ οἷόν τε. Ἢ οὐκ οἶσθα, ὅτι τὸ βαθὺ δὴ (B) τοῦτο μυστήριον, καὶ νοῦν ὑπερέχον τὸν ἐν ἡμῖν, τῇ ἡμῶν ἀπεριεργάστῳ πίστει τετίμηται; Τὸ δὲ ἀσυνέτως λέγειν, «Πῶς δύναται ταῦτα γενέσθαι;» Νικοδήμῳ τε ἐκείνῳ καὶ τοῖς κατ' αὐτὸν ἀπονέμοντες, ἀνενδοιάστως παραδεξώμεθα τὰ διὰ τοῦ θείου Πνεύματος χρησμῳδούμενα, καὶ αὐτῷ δὲ πιστεύσωμεν λέγοντι Χριστῷ· «Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἃ οἴδαμεν, λαλοῦμεν, καὶ ἃ ἑωράκαμεν, μαρτυροῦμεν.» Οἰχέσθω δὴ οὖν λῆρος μὲν ἅπας, μῦθός τε ἀδρανὴς, καὶ ψευδοδοξία, καὶ κεκομψευμένων ῥημάτων [u] φεναχισμός· προσιέμεθα οὔτι που τὸ καταισίνεσθαι πεφυκὸς, κἂν εἰ τοῖς ἄγαν ἐξησκημένοις, καὶ μὴν καὶ πικροῖς ἡμᾶς καταχροτοῖεν [v] λόγοις οἱ δι' ἐναντίας. Ἔστι γὰρ τὸ θεῖον ἡμῶν μυστήριον οὐκ ἐν πειθοῖς σοφίας ἀνθρωπίνης λόγοις, ἀλλ' ἐν ἀποδείξει (C) Πνεύματος.

Est sane incarnationis modus admodum subtilis, vereque inexplicabilis; talis demum, qui cogitationis captusque nostri angustias multis partibus excedat. Quapropter illud iterum iterumque expendere nos decet: nempe, ut periculo non vacat curiosius in ea inquirere, quæ humana non sunt: ita extremæ dementiæ videri ea quæ mentis nostræ aciem excedunt, humani judicii trutinæ subjicere moliri: vel ad eorum rursum cognitionem eniti, quæ nullo pacto nostra intelligentia comprehendi possunt. Nescis profundum hoc mysterium, omnique humano sensu sublimius, fide ab omni curiosa indagine aliena honorari a nobis? Quamobrem stultam illam quæstionem: «Quomodo possunt hæc fieri [1]?» Nicodemo ejusque similibus relinquentes, citra ullam hæsitationem Spiritus sancti oracula suscipiamus, ipsique Christo de se loquenti fidem habeamus: «Amen, inquit, amen dico vobis, quia quæ scimus, loquimur; et quæ vidimus, testamur [2].» Valeant igitur deliria, facessant omnes infirmæ ad persuadendum fabulæ, opinionesque falsæ, ac phaleratarum vocularum imposturæ: nihil enim quod detrimentum afferre soleat, admittimus; etiamsi adversarii exercitatissimis acerrimisque rationibus nos pulsaverint. Est enim divinum hoc nostrum sacramentum, non in persuasibilibus humanæ sapientiæ verbis: sed in Spiritus ostensione positum.

Θεὸς οὖν ὑπάρχων, καὶ τῶν ὅλων Κύριος, κατὰ τὰς Γραφὰς, ὁ Μονογενὴς, ἐπέφανεν ἡμῖν· ὤφθη γὰρ ἐπὶ γῆς, καὶ ἐπέλαμψε τοῖς ἐν σκότει, γενόμενος ἄνθρωπος, οὐ δοκήσει, μὴ γένοιτο! μανία γὰρ τοῦτό γε φρονεῖν, ἢ λέγειν· οὔτε μὴν εἰς σάρκα παρενεχθεὶς κατὰ μετάστασιν, ἢ τροπήν· ἀναλλοίωτος γὰρ ἀεὶ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως ἔχων ὁ ἐκ Θεοῦ Λόγος. Ἀλλ' οὐδὲ ὁμόχρονον τῇ σαρκὶ τὴν ὕπαρξιν ἔχων· αὐτὸς γάρ ἐστι τῶν αἰώνων ὁ Ποιητής. Οὔτε μὴν ὡς λόγος ἀνυπόστατος, οὐδὲ ὡς ῥῆμα ψιλὸν ἐν ἀνθρώπῳ γεγονός [x]· ὁ γάρ τοι καλῶν τὰ οὐκ ὄντα (D) ποτὲ πρὸς ὕπαρξιν καὶ γένεσιν, προϋφέστηκεν ἀναγκαίως· αὐτὸς γάρ ἐστιν ἡ ζωὴ, πεφηνὼς ἐκ ζωῆς τοῦ Θεοῦ καὶ Πατρὸς, ὄντος τε καὶ νοουμένου κατ' ἰδίαν ὑπόστασιν. Ἀλλ' οὐδὲ μόνην ἠμπέσχετο σάρκα ψυχῆς ἐρήμην τῆς λογικῆς· γεγέννηται γὰρ κατὰ ἀλήθειαν ἐκ γυναικὸς, καὶ πέφηνεν ἄνθρωπος, ὁ ζῶν καὶ ὑπάρχων, καὶ συναΐδιος τῷ Θεῷ καὶ Πατρὶ Θεὸς Λόγος, μορφὴν δούλου λαβών· καὶ ἔστιν ὥσπερ ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος· οὐκ ἐκ μόνης θεότητος καὶ σαρκὸς εἰς ἕνα Χριστὸν καὶ Κύριον καὶ Υἱὸν συγκείμενος, ἀλλ' ἐκ

Unigenitus igitur, qui et Deus, et universorum secundum Scripturas Dominus est, nobis apparuit: visus est in terra [3], et homo factus, his qui in tenebris versabantur, illuxit, non phantasmate, aut externo tantum schemate, absit! hoc enim sentire, aut dicere, est aperte insanire. Neque rursum per sui mutationem, aut conversionem, in carnem transformatus est: Dei enim Verbum omnis mutationis expers, uno semper eodemque modo se habet. Neque coævam cum carne substantiam sortitus est: ipse namque sæculorum conditor est. Neque hypostaseos exsors, ut sermo aut nudum tantum simplexque verbum, quod in homine inhabitavit: nam qui ea quæ non sunt, evocat ut sint et exsistant, is necessario præexsistit: ipse enim est vita ex vita Deo Patre procedens, qui quidem secundum propriam hypostasin et est et intelligitur. Sed neque carnem quoque, quæ anima ratione prædita vacaret, induit: quandoquidem vivum illud subsistensque, ac Deo Patri coæternum Deus Verbum servili forma suscepta, vere ex muliere natum, et homo factum est, estque perinde

[1] Joan. III, 9. [2] Ibid. 11. [3] Baruch III, 38.

perfectum in humanitate ac in deitate. Non enim ex sola carne et deitate, sed ex perfecta humanitate et divinitate in unum eumdemque Dominum et Filium et Christum admirabili quodam modo concrevit coaluitque.

A δυοῖν τελείοιν, ἀνθρωπότητα δὴ λέγω καὶ θεότητα, εἰς ἕνα καὶ τὸν αὐτὸν παραδόξως συνδούμενος.

Ejusdem ex oratione ad Reginas habita.

« Nunc anima mea turbata est. Et quid dicam? Pater, salva me ex hac hora. Sed propter hoc veni in horam hanc [1]. » — « Pater, clarifica Filium tuum [2]. » Et alio loco rursum: « Et cœpit contristari et mœstus esse, et dixit: Tristis est anima mea usque ad mortem [3]. » Et rursum: « Et clamans voce magna Jesus, ait: Pater, in manus tuas commendo spiritum meum [4]. » Qui Apollinarii opinionem sequuntur, ejusdemque sententiæ subscribunt; hi templum Deo unitum, inanime ac ratione destitutum fuisse contendunt: sed quid illi, obsecro, respondere possunt, cum sanctos evangelistas talia de omnium nostrum Salvatore litteris prodidisse legunt? Nam cujus, quæso, tristitiæ, aut eorum omnium quæ metum arguunt, summa illa divinaque Verbi natura tandem capax esse queat? Major est enim, quam quæ istiusmodi rebus ulla parte affici, aut ullis omnino humanis perturbationibus commoveri valeat. At vero in corpus sensusque mentisque expers, tristitiæ dolorisve sensus cadere non potest: sed neque molestiam ullam, aut ullum omnino mœrorem ex imminentium incommodorum provisione concipiet aliquando; ejusmodi autem, dum quæ præsentia sunt, et adhuc futura trahuntur, mente pertractat, anima rationis et intelligentiæ compos pati solet: id quod omnes, ut puto, fatentur. Quomodo itaque Emmanuel ait: « Nunc anima mea turbata est? » quomodo idem tædere ac mœstus esse cœpit, aut qualem tandem spiritum in manus Patris commendavit, si hoc et a divinitate prorsus alienum est, et a carne sola inanima? Perspicuum est ergo, Unigenitum corpore assumpto, non quidem illo inanimi, aut mente destituto, sed anima ratione prædita, eademque perfecta, hoc est, omnia quæ ad illius rationem pertinent, sortita, vivificato et informato, hominem factum esse. Et quemadmodum omnia quæ sui corporis sunt sibi ascribit, ita et ea quæ ad animam spectant. Necesse enim fuit ut in omnibus, sive ea ad animam, sive ad corpus pertinerent, nobis assimilaretur. Constamus autem et nos ex anima rationali et corpore. Quamobrem ut nonnunquam propriæ carni ea pati dispensatorie permittebat quæ carnis sunt propria, ita animam sua quoque pati permisit. Denique licet natura Deus esset, omnique creatura superior, quæ tamen exinanitionis erant, ea semper accurate observavit. Porro autem spiritum suum, hoc est, animam sibi unitam, Deo et Patri commendat, ut novo rursum beneficio per hoc nos cumulet. Quondam namque humanæ animæ corporibus exutæ ad subterraneos

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Δεσποίνας προσφωνητικοῦ λόγου.

« Νῦν ἡ ψυχή μου τετάρακται. Καὶ τί εἴπω; Πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης. Ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην. » — « Πάτερ, δόξασόν σου τὸν Υἱόν. » Καὶ πάλιν· « Ἤρξατο λυπεῖσθαι, καὶ ἀδημονεῖν, καὶ λέγειν· Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου. » Καὶ πάλιν· « Καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς, εἶπε· Πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου. » Οἱ τῆς Ἀπολιναρίου B δόξης ἡττώμενοι καὶ τὰ αὐτῷ δοκοῦντα φρονεῖν ᾑρημένοι, ἐνιστάμενοί τε καὶ λέγοντες, ἄψυχόν τε καὶ ἄνουν ὑπάρχειν τὸν ἑνωθέντα τῷ Λόγῳ ναὸν, τί δὴ ἄρα φαῖεν ἂν, γεγραφότων ἡμῖν τὰ τοιάδε τῶν ἁγίων εὐαγγελιστῶν περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ; Ποίας μὲν γὰρ, καὶ λύπης, καὶ τῶν εἰς δειλίαν αἰτιαμάτων ἀνεπίδεκτος παντελῶς εἴη ἂν, κατά γε τὸ εἰκὸς, ἡ θεία τε καὶ ἀνωτάτω τοῦ Λόγου φύσις. Παραιτήσεται γὰρ εἰς ἅπαν τὸ ἕν γε τούτοις εἶναί ποτε, καὶ παθῶν ὅλως τῶν καθ' ἡμᾶς οὐκ ἀνέξεται. Σῶμα δὲ πάλιν ἄψυχόν τε καὶ ἄνουν οὐκ ἂν εἰσδέξαιτο λύπην, ἀλλ' οὐδ' ἂν ἐννοήσειέ τι τῶν σκυθρωπῶν, ἢ τὸν ἐκ τῶν ἔσεσθαι προσδοκωμένων προαναθρήσει φόβον. Πάθοι δ' ἂν τὰ τοιάδε κατά γε τὸ πᾶσιν, ὥς γε οἶμαι, δοκοῦν. Ψυχὴ λογικὴ κατα- C σκεπτομένη τῷ νῷ τά τε ἤδη παρόντα, καὶ πρός γε τούτοις τὰ συμβησόμενα. Πῶς οὖν ἄρα φησὶν ὁ Ἐμμανουήλ· « Νῦν ἡ ψυχή μου τετάρακται; » πῶς δὲ καὶ ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν; ἢ καὶ ποῖον ὅλως εἰς χεῖρας τοῦ Θεοῦ καὶ Πατρὸς παρέθετο [τὸ] πνεῦμα, εἰ καὶ τῆς θεότητος τὸ χρῆμά ἐστιν ἀλλότριον, καὶ μηδὲ μόνης ἀψύχου σαρκός; Πρόδηλον οὖν, ὅτι γέγονεν ἄνθρωπος ὁ Μονογενὴς, οὐκ ἄψυχόν τε καὶ ἄνουν σῶμα λαβὼν, ἐμψυχωμένον δὲ μᾶλλον ψυχῇ καὶ λογικῇ, καὶ τελείως ἐχούσῃ κατά γε τὸν αὐτῇ πρέποντα λόγον. Καὶ ὥσπερ οἰκειοῦται πάντα τὰ τοῦ ἰδίου σώματος, οὕτω καὶ τὰ τῆς ψυχῆς. Ἔδει γὰρ αὐτὸν διὰ παντὸς ὁρᾶσθαι πράγματος σαρκικοῦ καὶ ψυχικοῦ δι' ἡμᾶς γεγονότος. Ἐσμὲν δὲ καὶ ἡμεῖς ἐκ ψυχῆς λογικῆς τε καὶ σώματος. Ὥσπερ δὲ οἰκονομικῶς συγκεχώρηκε τῇ ἰδίᾳ σαρκὶ καὶ παθεῖν D ἔσθ' ὅτε τὰ ἴδια, οὕτω πάλιν καὶ τῇ ψυχῇ συνεχώρησε τὰ οἰκεῖα παθεῖν· καὶ τὸ τῆς κενώσεως μέτρον τετήρηκε πανταχοῦ, καίτοι Θεὸς ὢν φύσει, καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν. Παρατίθεται δὲ τὸ ἴδιον πνεῦμα τῷ Θεῷ καὶ Πατρὶ, τουτέστι τὴν ἑνωθεῖσαν αὐτῷ ψυχὴν, ἵνα ἡμᾶς καὶ διὰ τούτου πάλιν εὐεργετήσῃ. Πάλαι μὲν γὰρ ἀπαλλαττόμεναι τῶν σωμάτων ἐν τοῖς ὑπὸ χθόνα μυχοῖς αἱ τῶν ἀνθρώπων ψυχαὶ κατεπέμποντο, πληροῦσαι τὰ τοῦ θανάτου ταμιεῖα. Ἐπειδὴ δὲ Χριστὸς τὸ ἴδιον Πνεῦμα παρέθετο τῷ Πατρὶ, καὶ ταύτην ἡμῖν ἐνεκαίνισε τὴν ὁδόν. Βαδιούμεθα γὰρ οὐκ εἰς ᾅδου ποθὲν, ἐψόμεθα δὲ μᾶλλον· καὶ κατὰ

[1] Joan. xii, 27. [2] Joan. xvii, 1. [3] Matth. xxvi, 27. [4] Luc. xxiv, 46.

τοῦτο αὐτῷ τῷ πιστῷ κτίστῃ τὰς ἑαυτῶν παρατιθέμενοι ψυχὰς, ἐν ἐλπίσιν ἐσμὲν ἀγαθαῖς· ἐγερεῖ γὰρ ἅπαντας ὁ Χριστός.

A carceres demittebantur, mortis receptacula illic impleturæ : at vero posteaquam Christus spiritum suum in manus Patris commendavit, etiam hanc existimare, hæc ita habere, hoc est, imaginari ad inferos, sed ducem nostrum pone subsequimur, animisque nostris illi veluti fido conditori commissis, tantisper bona spe vivimus quoad Christus universos tandem ad vitam revocabit.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ ἐνανθρωπήσεως Λόγου.

Ταῦτα τὴν Ἀπολλιναρίου ματαιολογίαν ἐλέγχει, ὃς ἀντὶ νοῦ τὸν Θεὸν Λόγον ἐνοικῆσαι λέγει τῇ προσληφθείσῃ σαρκί. Εἰ γὰρ οὐκ εἶχεν ἀνθρώπινον νοῦν ἡ ἀναληφθεῖσα φύσις, Θεὸς μὲν ἦν ὁ πρὸς διάβολον ἀγωνισάμενος, Θεὸς δὲ ὁ τὴν νίκην ἀναδυσάμενος. Θεοῦ δὲ νενικηκότος, ἐγὼ μὲν οὐδὲν ἀπωνάμην τῆς νίκης, ὡς οὐδὲν εἰς ταύτην εἰσενεγκὼν, B ἀλλὰ γὰρ τῆς ἐντεῦθεν εὐφροσύνης γεγύμνωμαι ἐπὶ τροπαίοις γαυριῶν ἀλλοτρίοις, αὐχεῖ δὲ ὁ διάβολος, καὶ κομπάζει, καὶ μέγα φρονεῖ, καὶ σεμνύνεται, ὡς Θεῷ παλαίσας, καὶ ὑπὸ Θεοῦ ἡττηθείς. Μέγα γὰρ αὐτῷ καὶ τὸ ἡττηθῆναι ὑπὸ τοῦ Θεοῦ.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Ἀπολογίαν ἔχουσιν οἱ ἁμαρτάνοντες, εἰ ὡς ἀσθενῆ τὸν νοῦν οὐκ ἀνέλαβεν ὁ Θεὸς Λόγος. Εἰ γὰρ οὐκ ἦν ἐν τῷ προσλήμματι νοῦς ἀνθρώπινος, ὁ Θεὸς δὲ ἀντὶ νοῦ ὑπάρχων τὰ τῷ νῷ ἐνήργει προσήκοντα, Θεὸς μὲν ἦν ὁ τῷ σώματι συμπεινήσας, Θεὸς δὲ ὁ διψήσας, καὶ κοπιάσας, καὶ καθευδήσας, καὶ λυπηθεὶς, καὶ δειλιάσας, καὶ πάντα τἆλλα τὰ ἀνθρώπινα ὑπομείνας παθήματα. Εἰ Θεὸς δὲ ὁ παλαίσας, καὶ νικήσας, ἐγὼ μὲν τῆς νίκης ἐστέρημαι, Θεὸς δὲ ὁ τὴν δι- C καιοσύνην ἅπασαν κατορθώσας. Οἱ τοῦτο δὲ λέγοντες πρῶτον μὲν ἀτονίαν τῷ Θεῷ Λόγῳ προσάπτουσιν οὐ τὴν τυχοῦσαν, εἴπερ, ὥς φασιν, οὐχ οἷός τε ἦν, τοῦ νοῦ τοῦ ἀνθρωπείου συνόντος, δικαιῶσαι τὸν ἄνθρωπον· ἔπειτα δὲ καὶ πᾶσι τοῖς ἁμαρτάνουσι, καὶ τοὺς θείους παραβαίνουσι νόμους ἀπολογίας ὑπανοίγουσι θύραν. Εἴπωσι γὰρ ἂν εἰκότως πρὸς τὸν τῶν ὅλων Θεὸν, Οὐκ ἀσύγγνωστα, ὦ Δέσποτα, πεπλημμελήκαμεν, οὐδὲ τιμωρίας ἄξια, νοῦν ἡγεμόνα λαβόντες ἀσθενῆ, καὶ φυλάττειν τοὺς σοὺς οὐ δυνάμενον νόμους. Καὶ σὺ δὲ αὐτὸς, ὦ Δέσποτα, ἐν σαρκὶ παραγεγονὼς σάρκα μὲν τὴν ἡμετέραν ἀνέλαβες, τὸν δὲ νοῦν ὡς τῆς ἀρετῆς τὴν κτῆσιν κωλύοντα, καὶ τῆς ἁμαρτίας τὴν ἀπάτην ῥᾳδίως ὑποδεχόμενον D ἀπέῤῥιψας, καὶ λαβεῖν οὐκ ἠνέσχου, γέγονας δὲ ἀντὶ νοῦ τῇ σαρκὶ, καὶ τούτῳ τῷ τρόπῳ τὴν δικαιοσύνην κατώρθωσας, τούτῳ τῷ τρόπῳ τὴν ἁμαρτίαν νενίκηκας. Θεὸς γὰρ ὑπάρχεις, βουλῇ τὸ δοκοῦν ποιῶν, νεύματι κατασκευάζων τὰ πράγματα. Ἡμεῖς δὲ τὸν ἀνθρώπινον νοῦν ἔχοντες, ὃν ἀναλαβεῖν οὐκ ἠθέλησας, ἀναγκαίως ὑπὸ τὴν ἁμαρτίαν τυγχάνομεν, τοῖς σοῖς ἴχνεσιν ἀκολουθῆσαι οὐκ ἰσχύσαντες. Τί γὰρ νοῦς ἀνθρώπινος πρὸς Θεοῦ δύναμιν, καὶ σοφίαν, καὶ φῶς, καὶ δικαιοσύνην, καὶ ζωὴν, καὶ τὰς ἄλλας τῆς σῆς οὐσίας ἐνεργείας, αἳ καθάπερ ἀκτῖνες καὶ λαμπηδόνες ἐκ τῆς σῆς ἀνίσχουσι φύσεως; Ταῦτα ἂν εἴποιεν εἰκότως οἱ τῇ ἁμαρτίᾳ δουλεύειν αἱρούμενοι, εἴπερ ἀληθῶς ὁ Θεὸς Λόγος ἄνουν ἔλαβεν ἄνθρωπον, τούτῳ τῷ τρόπῳ τὸ ἀναμάρτητον μηχανησάμενος.

Ejusdem ex oratione de humanitate a Verbo assumpta.

Hæc stultas Apollinarii nugas coarguunt, qui mentis loco Deum Verbum in carne assumpta dicit inhabitare. Nisi enim mentem humanam habuisset assumpta natura, Deus fuisset is, qui cum diabolo decertasset, Deus victoriam reportasset. Ex qua quidem victoria Dei nihil ego emolumenti perciperem, quippe qui nihil ad eam contulissem. Quin etiam nihil inde lætitiæ degustarem, cum alienis tropæis gauderem. Jam vero et diabolus exsultaret, et gloriaretur, sibique ipse placeret, et plauderet, qui cum Deo luctatus esset, et a Deo victus fuisset. Præclarum enim foret illi a Deo vel superari.

Ex eadem oratione.

Excusationem haberent peccatores, si Deus Verbum mentem utpote imbecillam non suscepisset. Si enim assumptæ carni mens humana non inerat, sed Deus ea quæ mentis sunt, exsequebatur, Deus in corpore esuriebat, Deus sitiebat, Deus defatigabatur, Deus dormiebat, Deus tristabatur, Deus pavebat, Deus denique reliquas omnes affectiones sustinebat. Quod si Deus ipse certavit et vicit, ego victoria privatus sum, Deus autem justitiam omnem peregit. Qui hæc loquuntur, primum non exiguam Deo Verbo tribuunt infirmitatem, siquidem, ut ipsi asserunt, non poterat humana mente suscepta hominem justum efficere. Deinde omnibus peccantibus divinasque leges violantibus excusationis aditum patefaciunt. Sic enim nec immerito Deum omnium alloquantur : Domine, nos non admisimus ea quibus venia non debeatur, aut quæ supplicio digna sint, cum mentem, cujus ductu regimur, imbecillam acceperimus, quæ leges tuas observare non potest. At tu quidem ipse, Domine, in carne adveniens, carnem quidem nostram suscepisti, mentem vero, quæ assequendæ virtuti affert impedimentum, et peccati dolo facile succumbit, rejecisti, et accipere recusasti, et tu in carne mentis munere functus es, et hoc modo justitiam implevisti, hoc modo peccatum superasti, Deus enim es, et voluntate, quod vis, exsequeris, et nutu res conficis. Nos autem, qui mentem habemus, quam tu accipere noluisti, necessario peccatis cedimus, cum vestigia tua sequi nequeamus. Quid enim humana est mens, si cum Dei virtute, et cum Dei sapientia, et luce, et justitia, et vita, et aliis essentiæ tuæ dotibus, quæ tanquam radii et faces ex natura tua fulgent, conferatur ? Hæc merito dicere poterunt qui peccato sibi serviendum judicarunt, si vere Deus Verbum hominem mentis expertem assumpsit, et hoc modo vitandi peccati rationem invenit.

Ex eadem oratione.

Sed jam istorum nugas in præsenti omittamus. Nos vero ad propositum argumentum revertamur, atque demonstremus necessariam fuisse Servatoris nostri incarnationem. Quia enim totus homo deceptus fuerat, totusque sub peccatum deciderat, et ante ipsum corpus mens errorem admiserat; namque antea mentis consensus peccatum delineat, deinde id corpus per suam actionem figurat, merito Christus Dominus lapsam naturam erigere volens, utrique simul manum porrigit, et jacentem erigit, carnem, inquam, ac mentem, quæ ad Creatoris imaginem facta fuit. Est enim mens invisibilis, incontemplabilis, impervia et incomprehensibilis, neque se ipsam cognoscens, et insuper incircumscripta: et si cogitationum phantasiam spectamus, ducatu et potestate prædita, artibus et scientiis ornata, parva quædam ac nova creatrix, vel, ut verius dicam, Creatoris imitatrix, regina creaturæ visibilis, vel regis imago, tributa de terra colligens, ex mari, atque aere, ex sole ac luna et stellis, ex cœlo et nubibus, ex ovibus, bobus, aliisque pecudibus; imo vero omnium fructus carpens: ejus enim gratia visibilia cuncta sunt facta: nam Deus horum non est indigus.

Non ergo contempsit tam pretiosam partem medela egentem; morboque et senecta corruptam mortique mancipatam humanitatem non ita assumpsit, ut partem ipsius rationalem et immortalem atque ad imaginem suam factam despexerit; præsertim quia male, ut aiunt, se habebat: sed universam naturam antiquatam renovavit. Anne enim partem ejus novam fecisset, illam vero, quæ inveterata erat et corrupta, sine remedio esse sivisset? cum præsertim pars hæc pretiosissima esset, et immortalitate pollens, et rationis usu exornata, et ad intellectualium ordinem pertinens. Absurdissimum quippe fuisset, corpus luteum et pulvereum, et passionibus implicitum sibi assumere atque adjungere, et in dextera majestatis collocare: mentem vero invisibilem, immortalem, animantis rectricem, ad Dei factam imaginem, incorruptibilitate præditam, corporis veluti aurigam, gubernatricem, et quasi concentu temperantem, per quam humana natura non est bruta, sed sapientia, artibus et quavis peritia abundat: hanc, inquam, mentem ad inferiorem gradum deprimi, nec parem saltem cum corpore honorem participare; cum tamen ejus causa corpus rationalis creatura evaserit; cum ejusdem causa datæ fuerint leges ac prophetiæ; per quam fiunt certamina, luctæ, victoriæ, laudationes, coronæ; per quam corpus cum ea decertans, præmium laborum consequitur cœlorum regnum; ob quam ipse quoque Servatoris nostri adventus contigit, et incarnationis peractum mysterium est. Non enim pro rebus animæ ac mentis expertibus, aut pro jumentis insipientibus, aut lapidibus inaniinis, sed pro hominibus immortalem in se animam incolentem obtinentibus, cruciatus pertulit salutares.

A

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἀλλὰ τὴν μὲν ἀδολεσχίαν ἐκείνων καταλ!πωμεν ἐπὶ τοῦ παρόντος· ἡμεῖς δὲ ἐπὶ τὴν προκειμένην ὑπόθεσιν ἐπανέλθωμεν, καὶ δείξωμεν τὴν τοῦ Σωτῆρος ἡμῶν οἰκονομίαν ἀναγκαίως γεγενημένην. Ἐπειδὴ γὰρ ἅπας ὁ ἄνθρωπος ἠπατήθη, καὶ ἅπας ὑπὸ τὴν ἁμαρτίαν ἐγένετο, καὶ πρὸ τοῦ σώματος δὲ τὴν ἀπάτην ὁ νοῦς ὑπεδέξατο· ἡ τοῦ νοῦ γὰρ πρότερον συγκατάθεσις τὴν ἁμαρτίαν σκιαγραφεῖ, εἶθ' οὕτως διὰ τῆς ἐνεργείας τὸ σῶμα ταύτην μορφοῖ, εἰκότως ὁ Δεσπότης Χριστὸς τὴν πεπτωκυῖαν φύσιν ἀναστῆσαι βουλόμενος, πᾶσι χεῖρα ὀρέγει, καὶ κειμένην ἐγείρει τὴν σάρκα, φημὶ, καὶ τὸν νοῦν, ὃς ἐγεγόνει κατ' εἰκόνα τοῦ Κτίσαντος· ἀόρατός τε γάρ ἐστι, καὶ ἀθέατος, ἀνέφικτός τε καὶ ἀκατάληπτρς, οὐδ' ἑαυτὸν ἐπιστάμενος,
B
πρὸς δὲ τούτοις καὶ ἀπερίγραφος· εἴπερ εἰς τὴν τῶν λογισμῶν ἀποβλέψαιμεν φαντασίαν, ἡγεμονίᾳ τε καὶ ἐξουσίᾳ τετιμημένος, τέχναις καὶ ἐπιστήμαις κεκοσμημένος, βραχύς τις καὶ νέος δημιουργὸς, ἢ, τό γε ἀληθέστερον εἰπεῖν, τοῦ Δημιουργοῦ μιμητὴς, βασιλεὺς τῆς ὁρωμένης κτίσεως, ἢ βασιλέως εἰκὼν, φόρους συλλέγων ἐκ γῆς, ἐκ θαλάττης, ἐξ ἀέρος, ἐξ ἡλίου καὶ σελήνης καὶ ἀστέρων, ἐξ οὐρανοῦ καὶ νεφῶν, ἐκ προβάτων καὶ βοῶν καὶ τῶν ἄλλων κτηνῶν, μᾶλλον δὲ πάντας αὐτῶν τοὺς καρποὺς δρεπόμενος· δι' αὐτὸν γὰρ ἐγένετο τὰ ὁρώμενα· Θεὸς γὰρ τούτων ἀπροσδεής.

Οὔκουν ἠτίμασε τὸν οὕτω τίμιον, τὸν θεραπείας δεόμενον· οὐδὲ τὸ φθειρόμενον, καὶ νόσῳ καὶ γήρᾳ δουλεῦον καὶ θανάτῳ ἀνέλαβε, τὸ δὲ λογικὸν καὶ ἀθάνατον καὶ κατ' εἰκόνα γεγενημένον ὑπερεῖδε, καὶ ταῦτα κακῶς,
C
ὥς φασι, διακείμενον· ἀλλὰ πᾶσαν τὴν φύσιν παλαιωθεῖσαν ἐνεοποίησε. Καὶ τὸ μὲν αὐτῆς καινὸν ἀπειργάσατο, τὸ δὲ πεπαλαιωμένον καὶ διεφθαρμένον ἀνίατον εἴασε; καὶ ταῦτα τιμιώτατον ὑπάρχον, καὶ ἀθανασίᾳ τετιμημένον, καὶ λόγῳ κεκοσμημένον, καὶ τῆς τῶν νοητῶν μοίρας τυγχάνον· τῶν ἀτοπωτάτων γὰρ τὸ μὲν σῶμα τὸ πήλινον, καὶ χοϊκὸν, καὶ πάθεσι συνεζευγμένον, καὶ προσληφθῆναι, καὶ ἀναληφθῆναι, καὶ ἐκ δεξιῶν τῆς μεγαλωσύνης καθιδρυνθῆναι· τὸν δὲ νοῦν τὸν ἀόρατον, τὸν ἀθάνατον, τὸν ἡγεμόνα τοῦ ζώου, τὸν κατ' εἰκόνα θείαν γεγενημένον, τὸν ἀφθαρσίᾳ τετιμημένον, τὸν τοῦ σώματος ἡνίοχον καὶ κυβερνήτην καὶ μουσικὸν, δι' ὃν οὐκ ἄλογος ἡ ἀνθρωπεία φύσις, ἀλλὰ σοφίας καὶ τέχνης καὶ ἐπιστήμης
D
ἀνάπλεως, τοῦτον ἀπεῤῥίφθαι κάτω, καὶ τῆς τοῦ σώματος μὴ μεταλαγχάνειν τιμῆς· δι' ὃν τὸ σῶμα τῆς λογικῆς ἐγένετο κτίσεως· δι' ὃν νομοθεσίαι, καὶ προφητεῖαι· δι' ὃν ἀγῶνες, καὶ πάλαι, καὶ νῖκαι, καὶ ἀναῤῥήσεις, καὶ στέφανοι· δι' ὃν καὶ τὸ σῶμα τὸ συναθλοῦν, ἆθλον τῶν πόνων ἔχει τὴν τῶν οὐρανῶν βασιλείαν· δι' ὃν καὶ αὐτὴ τοῦ Σωτῆρος ἡμῶν ἡ παρουσία γεγένηται, καὶ τὸ τῆς οἰκονομίας ἐπραγματεύθη μυστήριον· οὐ γὰρ ὑπὲρ ἀψύχων ἢ ἀνοήτων τὰ σωτήρια κατεδέξατο πάθη, οὐδ' ὑπὲρ ἀλόγων κτηνῶν ἢ λίθων ψυχῆς ἐστερημένων, ἀλλ' ὑπὲρ ἀνθρώπων ψυχὴν ἀθάνατον ἔνοικον κεκτημένων.

A

Ἔτι κατὰ Ἀπολλιναριαστῶν τοῦ Δαμασκηνοῦ. Κεφάλ. πβ'.

Θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον λέγοντες τὸν Χριστὸν, πάντως πάντα δώσομεν, τά τε τοῦ Πατρὸς φυσικὰ, τά τε τῆς Μητρός· γέγονε γὰρ ἄνθρωπος, ἵνα τὸ νικηθὲν νικήσῃ. Οὐκ ἀδύνατος γὰρ ἦν ὁ τὰ πάντα δυνάμενος, καὶ τῇ παντοδυνάμῳ αὐτοῦ ἐξουσίᾳ καὶ δυνάμει ἐξελέσθαι τοῦ τυραννοῦντος τὸν ἄνθρωπον· ἀλλ' ἦν ἐγκλήματος τῷ τυραννοῦντι ὑπόθεσις, ἄνθρωπον νικήσαντι, καὶ ὑπὸ Θεοῦ βιασθέντι. Αὐτὸν οὖν τὸν πεσόντα νικητὴν ἀναδεῖξαι βουληθεὶς ὁ συμπαθὴς Θεὸς καὶ φιλάνθρωπος, ἄνθρωπος γίνεται τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαλούμενος.

Item adversus Apollinaristas Damasceni. Cap. 82.

Assumpta natura humana, ut ipsa in Christo victrix fieret diaboli. — Quandoquidem Christum perfectum Deum ac perfectum hominem dicimus, plane omnia quæ tum Patri, tum Matri naturalia sunt, ei tribuamus. Homo quippe factus est, ut quod victum fuerat vinceret. Haud enim ejus imbecillitatis erat ille, qui omnia potest, quin omnipotenti sua virtute hominem ex tyranni dominatu eripere valeret. Verum tyrannus querelæ occasionem habuisset, si postquam hominem ipse vicerat, illata vi a Deo spoliatus esset. Quocirca Deus pro sua misericordia, et erga homines benevolentia, homo fit, quo simile similis opera instauret.

B

Ὅτι δὲ λογικὸν καὶ νοερὸν ζῶον ὁ ἄνθρωπος, οὐδεὶς ἀντερεῖ· πῶς οὖν ἄνθρωπος γέγονεν, εἰ σάρκα ἄψυχον ἢ ψυχὴν ἄνουν ἔλαβεν; Οὐ τοῦτο γὰρ ἄνθρωπος. Τί δὲ καὶ τῆς ἐνανθρωπήσεως ἀπωνάμεθα, τοῦ πρωτοπαθήσαντος μὴ σεσωσμένου, μηδὲ τῇ συναφείᾳ τῆς θεότητος ἀνακεκαινισμένου τε καὶ νενευρωμένου; Τὸ γὰρ ἀπρόσληπτον, ἀθεράπευτον. Ἀναλαμβάνει τοίνυν ὅλον τὸν ἄνθρωπον, καὶ τὸ τούτου κάλλιστον, ὑπὸ ἀῤῥωστίαν πεσὸν, ἵνα ὅλῳ τὴν σωτηρίαν χαρίσηται· νοῦς δὲ ἄσοφος, ἐστερημένος γνώσεως, οὐκ ἂν εἴη ποτέ. Εἰ γὰρ ἀνενέργητος καὶ ἀκίνητος, καὶ ἀνύπαρκτος πάντως.

Assumpta anima atque mens humana, contra Apollinaristas. — Quod autem homo sit animal ratione et intelligentia præditum, nemo ierit inficias. Quinam igitur factus est homo, si carnem inanimatam, aut expertem mentis animam suscepit? Hoc enim nequaquam homo est. Quid vero rursum ex assumpta ab eo humanitate emolumenti ad nos rediit, si illi qui primario contraxit labem, salus allata non est; neque id actum fuit, ut per conjunctionem cum divinitate innovaretur, et robur obtineret? Nam curatum non fuit, quod assumptum non est; quapropter totum hominem assumpsit, illamque adeo ipsius partem quæ obnoxia morbo fuerat, ut toti salutem largiretur [1]. Nulla porro mens usquam fuerit, quæ sapientia et cognitione destituta sit. Nam si iners et sine motu, nulla prorsus ratione exsistit.

C

Τὸ οὖν κατ' εἰκόνα ἀνακαινίσαι βουλόμενος ὁ Θεὸς Λόγος, γέγονεν ἄνθρωπος. Τί δὲ τὸ κατ' εἰκόνα, εἰ μὴ ὁ νοῦς; Τὸ κρεῖττον οὖν παρεὶς, τὸ χεῖρον ἀνέλαβε; Νοῦς γὰρ ἐν μεταιχμίῳ ἐστὶ Θεοῦ καὶ σαρκὸς, τῆς μὲν ὡς σύνοικος, τοῦ Θεοῦ δὲ, ὡς εἰκών. Νοῦς οὖν νοῒ μίγνυται, καὶ μεσιτεύει ὁ νοῦς Θεοῦ καθαρότητι καὶ σαρκὸς παχύτητι· εἰ γὰρ ψυχὴν ἄνουν ὁ Κύριος ἀνέλαβεν, ἀλόγου ζώου ψυχὴν ἀνέλαβεν.

Mens in homine τὸ κατ' εἰκόνα Verbi et carnis media. — Itaque Deus Verbum [2] id quod ad sui imaginem erat instaurare volens, factus est homo. Quid vero illud fuit quod esset ad imaginem, præterquam mens? Itane omisso potiori, quod deterius erat assumpsit! Mens siquidem in Dei et carnis meditullio est: carnis nimirum, ut contubernalis; Dei autem, ut imago. Mens itaque menti jungitur, atque inter Dei puritatem et carnis crassitiem intercedit. Nam si Dominus animam mente vacuam assumpsit, bruti utique animam assumpsit.

D

Εἰ δὲ σάρκα γενέσθαι ὁ εὐαγγελιστὴς ἔφη τὸν Λόγον, ἰστέον ὡς παρὰ τῇ ἁγίᾳ Γραφῇ, ποτὲ μὲν ψυχὴ λέγεται ὁ ἄνθρωπος, ὡς τό· *Ἐν ἑβδομήκοντα πέντε ψυχαῖς εἰσῆλθεν Ἰακὼβ εἰς Αἴγυπτον*· ποτὲ δὲ σὰρξ, ὡς τό· *Ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ*. Οὐ σὰρξ τοίνυν ἄψυχος, οὐδὲ ἄνους, ἀλλ' ἄνθρωπος γέγονεν ὁ Κύριος. Φησὶ γοῦν αὐτός· *Τί με δέρεις ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα;* Ἀνέλαβε τοίνυν σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ, ἡγεμονικῇ μὲν τῆς σαρκὸς, ἡγεμονευομένῃ δὲ ὑπὸ τῆς τοῦ Λόγου θεότητος.

Apollinaristarum objectio solvitur. Anima et caro pro homine in Scriptura. — Quod si evangelista Verbum carnem factum fuisse dixit, sciendum est in sacra Scriptura animam nonnunquam hominem appellari, ut in illo loco: *In septuaginta quinque animabus ingressus est Jacob in Ægyptum* [3]. Nonnunquam item carnem, ut est illud: *Videbit omnis caro salutare Dei* [4]. Ac proinde Dominus, non caro inanima, nec mente vacua, sed homo factus est. Ait quippe ipse: *Quid me cædis, hominem qui veritatem locutus sum vobis* [5]? Assumpsit igitur carnem anima rationali et intelligente animatam, quæque, sicut carnis principatum tenebat, ita rursus divinitati parebat, ab eaque regebatur.

[1] Greg. Naz. *Ad Cledon.* [2] Greg. Naz. carm. senar. adv. Apollin., epist. ad. Cled. et alibi. [3] Gen. xlvi, 27, ap. LXX; Act. vii, 14. [4] Isa. xl, 5; Luc. iii, 6. [5] Joan. viii, 40.

Ex scholiis Anastasii.

Calumniantur Apollinaristæ tum beatum Athanasium, tum Julium Romæ pontificem. Athanasium quidem, quod ad Jovianum imperatorem scripserit Filium unum esse, non duas naturas, unam adorandam, et alteram non adorandam, sed Dei Verbi unam esse naturam, quæ carnem assumpserit, adorandaque sit cum ipsa carne. Julium vero Romæ pontificem, quod ad Dionysium scripserit ad hunc modum: Necesse enim est, ut qui duas asserunt esse naturas, unam quidem adorent, alteram autem non adorent. Quod si in mortem Domini baptizamur, unam confitemur esse naturam impatibilis divinitatis, et patibilis humanitatis. At Timotheus Polemonis discipulus, qui quidem Polemon Apollinarium habuit præceptorem, librorum Apollinarii conscripsit indicem, et has epistolas, in quibus reperiuntur hæc duo, quæ dicta sunt, in ipso indice ipse Apollinario ascripsit.

TITULUS XV.

Adversus Nestorianos, sancti Cyrilli ex sancti Symboli interpretatione.

Qui Christum in duos filios dividunt, audentque dicere Deum Verbum sibi ex semine Davidis hominem adjunxisse, eique gloriam, et honorem, adoptionis dignitatem tribuisse, atque ita eum præparasse, ut crucem sustineret, et moreretur, et reviviscerel, et in cœlum ascenderet, et sederet ad dexteram Patris, ut ab omnibus rebus procreatis adoretur, et Dei nomine honores percipiat, isti duos primum filios constituunt, deinde mysterii vim insipienter invertunt. Non enim ex hominibus Deus factus est Christus, sed cum Deus esset Verbum factum est caro, id est, homo, et exinanisse dicitur seipsum, quod ante exinanitionem in natura propria uti Deus plenitudinem haberet. Neque enim ex eo quod inane esset, plenum evasit. Exinanivit semetipsum ex divina sublimitate et immensa gloria, non autem homo humilis et abjectus exsistens exaltatus et gloria affectus est. Servi formam suscepit, ut qui liber esset, non autem ut servus ad libertatis gloriam ascendit.

Ejusdem coacervatio dictorum evangelicorum et apostolorum, quibus Christum esse Deum, non autem nudum hominem, comprobatur. Hæc autem coacervatio ex Thesauro cum delectu deprompta est.

Cum autem natus esset, Jesus in Bethleem Judææ [1]. Natus est in Bethleem Judææ, qui ex radice Jesse. At per unum e prophetis de ipso loquitur Deus et Pater: *Et tu, Bethleem, domus Ephrata, non minima es in millibus Juda: ex te enim exibit qui sit princeps in Israele. Et exitus ejus a principio ex diebus sæculi* [2]. Quomodo igitur, qui in Bethleem Judææ natus est a principio sæculi, exitum, id est, exsistendi principium habere dicitur, præsertim cum extremis sæculi temporibus natus sit? Deus ergo nimirum est Christus. Et ei

[1] Matth. II, 1. [2] Mich. V, 2; Matth. II, 6.

Ἐκ τῶν σχολίων Ἀναστασίου.

Συκοφαντοῦσιν οἱ Ἀπολλιναρισταὶ τόν τε μακάριον Ἀθανάσιον, καὶ Ἰούλιον τὸν Ῥώμης· Ἀθανάσιον μὲν, ὡς γράψαντα πρὸς Ἰοβιανὸν τὸν βασιλέα εἶναι οὐ δύο φύσεις τὸν ἕνα Υἱὸν, μίαν προσκυνητὴν, καὶ μίαν ἀπροσκύνητον, ἀλλὰ μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην, καὶ προσκυνουμένην μετὰ τῆς σαρκὸς αὐτοῦ μιᾷ προσκυνήσει· τὸν δὲ Ῥώμης Ἰούλιον, ὡς γράψαντα πρὸς Διονύσιον τὸν ἐπίσκοπον οὕτως· Ἀνάγκη γὰρ δύο λέγοντα φύσεις, τὴν μὲν προσκυνεῖν, τὴν δὲ μὴ προσκυνεῖν. Εἰ δὲ εἰς τὸν θάνατον τοῦ Κυρίου βαπτιζόμεθα, μίαν ὁμολογοῦμεν φύσιν τῆς ἀπαθοῦς θεότητος, καὶ τῆς παθητῆς ἀνθρωπότητος. Τιμόθεος δὲ ὁ μαθητὴς Πολέμωνος μαθητοῦ Ἀπολλιναρίου, ὁ τὸν πίνακα τῶν λόγων Ἀπολλιναρίου συντάξας, καὶ τὰς ἐπιστολὰς ταύτας, ἐν αἷς εὑρίσκονται τὰ προῤῥηθέντα δύο ῥητὰ, τῷ δηλωθέντι πίνακι ἐνέγραψε, καὶ τοῦ Ἀπολλιναρίου εἶναι καὶ ταύτας ἐντεῦθεν ἀνωμολόγησεν.

ΤΙΤΛΟΣ ΙΕ

Κατὰ Νεστοριανῶν τοῦ ἐν ἁγίοις Κυρίλλου ἐκ τῆς ἑρμηνείας τοῦ ἁγίου Συμβόλου.

Οἱ τὸν Χριστὸν εἰς υἱοὺς μερίζοντες δύο, καὶ τολμῶντες λέγειν, ὅτι τὸν ἐκ σπέρματος τοῦ Δαβὶδ ἄνθρωπον ἑαυτῷ συνῆψεν ὁ Θεὸς Λόγος, καὶ μετέδωκεν αὐτῷ τῆς ἀξίας, καὶ τῆς τιμῆς, καὶ τοῦ τῆς υἱότητος ἀξιώματος, καὶ παρεσκεύασεν αὐτὸν ὑπομεῖναι σταυρὸν, καὶ ἀποθανεῖν, καὶ ἀναβιῶναι, καὶ ἀναληφθεῖν εἰς τὸν οὐρανὸν, καὶ καθίσαι ἐν δεξιᾷ τοῦ Πατρὸς, ἵνα προσκυνῆται παρὰ πάσης κτίσεως, ἀναφορᾷ Θεοῦ δεχόμενος τὰς τιμὰς, πρῶτον μὲν υἱοὺς πρεσβεύουσι δύο, εἶτα τοῦ μυστηρίου τὴν δύναμιν ἀντιστρέφουσιν ἀμαθῶς. Οὐ γὰρ ἐξ ἀνθρώπων Θεὸς γέγονεν ὁ Χριστὸς, ἀλλὰ Θεὸς ὢν ὁ Λόγος γέγονε σὰρξ, τουτέστιν ἄνθρωπος. Κεκενῶσθαι λέγεται, ὡς πρὸ τῆς κενώσεως τὸ πλῆρες ἔχων ἐν ἰδίᾳ φύσει, καθὸ νοεῖται Θεός. Οὐ γὰρ ἐκ τοῦ κενὸς εἶναι εἰς τὸ πλῆρες ἀνέβη. Ἐταπείνωσεν ἑαυτὸν ἐξ ὑψωμάτων θεϊκῶν καὶ ἀῤῥήτου δόξης· οὐ ταπεινὸς ὢν ἄνθρωπος ὑψώθη δεδοξασμένος. Ἔλαβε δούλου μορφὴν, ὡς ἐλεύθερος, οὐχὶ δοῦλος ὢν εἰς τὴν τῆς ἐλευθερίας ἀνεπήδησε δόξαν.

Τοῦ αὐτοῦ συλλογὴ ῥητῶν εὐαγγελικῶν τε καὶ ἀποστολικῶν δεικνυόντων, ὅτι Θεός ἐστιν ὁ Χριστὸς, καὶ οὐ ψιλὸς ἄνθρωπος. Ἡ δὲ συλλογὴ ἐκ τοῦ Θησαυροῦ κατ' ἐκλογήν.

Τοῦ δὲ Ἰησοῦ Χριστοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. Γεγέννηται ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ὁ ἐκ ῥίζης Ἰεσσαί. Φησὶ δὲ περὶ αὐτοῦ δι' ἑνὸς τῶν προφητῶν ὁ Θεὸς, καὶ Πατήρ· *Καὶ σὺ, Βηθλεὲμ οἶκος τοῦ Ἐφραθᾶ, οὐκ ὀλιγοστὸς εἶ, τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα. Ἐκ σοῦ γάρ ἐξελεύσεται τοῦ εἶναι ἄρχοντα ἐν Ἰσραὴλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος.* Πῶς οὖν ὁ γεγεννημένος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἀπ' ἀρχῆς αἰῶνος τὰς ἐξόδους ἔχειν λέγεται, τουτέστι τῆς ὑπάρξεως τὴν ἀρχὴν, καίτοι γεννηθεὶς ἐν ἐσχάτοις τοῦ αἰῶνος

καιροῖς; Θεὸς οὖν ἄρα ὁ Χριστὸς, καὶ πρέποι ἂν A αὐτῷ τὸ τοῦ χρόνου πρεσβύτατον. Θεὸς ἦν δι' ἡμᾶς σαρκικὴν ὑπομεῖναι γέννησιν τὴν ἐκ γυναικός.

Καὶ ἰδοὺ λεπρὸς προσελθὼν προσεκύνει αὐτῷ λέγων, Κύριε, εἰ θέλεις, δύνασαί με καθαρίσαι. Καὶ ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ λέγων, Θέλω, καθαρίσθητι. Καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα. Τὸ ἐνεργεῖν δύνασθαι θεοπρεπῶς οὐκ ἴδιον ἀνθρώπου, αὐτῇ δὲ μᾶλλον ἕποιτο ἂν καὶ μόνῃ τῇ πάντων ἐπέκεινα φύσει. Ἐνεργεῖ δὲ οὕτω Χριστός, οὐκ ἄρα ψιλὸς ἄνθρωπος καθ' ἡμᾶς, Θεὸς δὲ μᾶλλον ἐν ἀνθρωπείᾳ μορφῇ. Οὕτω νοήσεις καὶ ἐπὶ τῆς πενθερᾶς Πέτρου, κἂν τοῖς ἀνέμοις ἐπιτιμῶν ὁρῷτο, θαλάσσῃ τε καὶ ὕδασιν. Ὅθεν καὶ οἱ θεσπέσιοι μαθηταὶ, καὶ θάλασσαν καὶ ἀνέμους ὑποχειμένους ὁρῶντες, τεθαυμάκασι λέγοντες, *Ποταπός ἐστιν* B *οὗτος;* Οὐ γὰρ ἦν ἀνθρώπου ψιλοῦ τὸ τοιαῦτα δύνασθαι δρᾷν. Θεὸς οὖν ἄρα κατὰ ταυτὸν καὶ ἄνθρωπος ὁ Χριστός.

Τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ, *Ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι. Δεήθητε οὖν τοῦ Κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ. Καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε αὐτὰ ἐκβάλλειν, καὶ θεραπεύειν πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν.* Οἶδεν ὄντα τοῦ θερισμοῦ Κύριον τὸν τῶν ὅλων Θεόν. Αὐτοῦ γὰρ ἡ ἅλως ἡ νοητὴ, τουτέστιν ἡ ἀνθρωπότης· αὐτοῦ καὶ ὁ θερισμός. Ἀλλ' ἰδοὺ δεηθῆναι προστάξας τοῦ Κυρίου τοῦ θερισμοῦ, ἑαυτὸν ἀπέδειξεν εὐθὺς ὄντα τοῦτο, ἐκβαλὼν τοὺς ἐργάτας, C τουτέστι τοὺς ἁγίους ἀποστόλους, οἷς καὶ ἔδωκεν ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὡς Θεός. Οὐ γάρ ἐστι τῶν τῆς ἀνθρωπότητος μέτρων διδόναι τοῦ ἁγίου Πνεύματος τὴν ἐνέργειαν. Δέδωκε δὲ Χριστός. Εἶτα πῶς οὐ φύσει τε καὶ ἀληθείᾳ ἐστὶ Θεός; Γέγονε γὰρ σὰρξ ὁ Λόγος.

Πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Πολλοὶ κέκληνται τῶν ἁγίων πρὸς τὴν τοῦ μαρτυρίου δόξαν, καὶ τετελείωνται διὰ παθημάτων καὶ θανάτου, Χριστὸν ὡμολογηκότες. Ἆρ' οὖν ἐστεφάνωνται, διαβεβαιούμενοί τε καὶ λέγοντες ἄνθρωπον εἶναι κοινὸν αὐτὸν, ἢ μᾶλλον ὡς Θεὸν ταῖς ὁμολογίαις τετιμηκότες; Ἀλλ' ἔστι δῆλον· D Οἱ γὰρ τοῦτο ἀρνησάμενοι καὶ τῆς τοῦ μαρτυρίου δόξης ἀπώλισθον, καὶ αὐτοὺς ἐφήσουσιν ἀρνούμενον ἐν ἡμέρᾳ κρίσεως τὸν Χριστόν. Εἶτα πῶς οὐ Θεὸς ὁ τῇ τοῦ μαρτυρίου δόξῃ στεφανῶν τοὺς ὅτι τοῦτο ἐστιν ἀληθῶς ὁμολογοῦντας αὐτόν;

Οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ, ὅτι ἐν τοῖς Σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ Σάββατον βεβηλοῦσι, καὶ ἀναίτιοί εἰσι; Λέγω δὲ ὑμῖν ὅτι τοῦ ἱεροῦ μεῖζόν ἐστιν ὧδε. Εἰ βεβηλοῦντες τὸ Σάββατον οἱ ἱερεῖς ἀναίτιοί εἰσιν, ὡς Θεῷ προσάγοντες τὰς θεραπείας, πῶς τῶν ἐν τῷ ἱερῷ δρωμένων νοεῖται μείζων ἡ Χριστοῦ θεραπεία; Ἀλλ' ἔστι δῆλον. Οἱ μὲν ἐν νόμῳ σκιᾷ

congruit, quod in tempore est antiquissimum. Deus enim erat, qui propter nos carnis ortum ex muliere subire voluit.

Et ecce leprosus accedens adorabat eum dicens: Domine, si vis, potes me mundare. Et extensa manu tetigit eum dicens: Volo, mundator! Et statim curata est lepra ejus [1]. Sic agere, ut Deum decet, non est hominis proprium. Sed eam potius et solam naturam sequitur, quæ rebus omnibus præstat. Sic autem Christus agit, non ergo simplex est homo, quales nos sumus, sed Deus in forma humana. Sic etiam intelliges de socru Petri. Et cum ventos, et mare, et aquam increpuit, ex quo divini discipuli ventos et mare quiescere videntes admirati sunt, et dixerunt: *Quis est hic* [2]? Non enim simplicis erat hominis, talia posse perficere. Deus igitur idem atque homo Christus.

Tunc dicit discipulis suis: *Messis quidem multa, operarii autem pauci. Rogate igitur Dominum messis, ut mittat operarios in messem suam. Et cum advocasset duodecim discipulos suos, dedit eis potestatem adversus immundos spiritus, ut ejicerent eos, et curarent omnem morbum, et omnem infirmitatem* [3]. Novit esse Dominum messis eum qui rerum est omnium Deus. Ipsius enim est area intelligibilis, hoc est humanitas. Ipsius est et messis. Sed ecce, cum præcepisset ut orarent Dominum messis, statim seipsum illum esse demonstravit, mittens operarios, hoc est sanctos apostolos, quibus dedit etiam potestatem in spiritus immundos, tanquam Deus. Non est humanitatis mensuræ tribuere sancti Spiritus actionem. Tribuit autem Christus. Est igitur et natura et veritate Deus. Verbum enim caro factum est.

Omnis qui confitebitur me coram hominibus, confitebor et ego eum coram Patre meo, qui in cœlis est [4]. Multi sanctorum ad martyrii gloriam vocati sunt et evaserunt perfecti per cruciatus et mortem confitentes Christum. Coronatine igitur sunt, affirmantes et dicentes, Christum esse communem hominem, an potius confessionibus suis eum ut Deum venerantes? Non est dubium, cum et illi qui id negarunt, martyrii gloriam amiserint, et se negatos invenient a Christo in die judicii. Quomodo igitur Deus non sit qui martyrii gloria coronat eos qui Deum ipsum esse vere confitentur?

Nonne legistis in lege, quod in Sabbatis sacerdotes violant Sabbatum, et sine culpa sunt? Dico autem vobis, quod templo major est hic [5]. Si sacerdotes Sabbatum violantes sine culpa sunt, quia Deo ministrant, quomodo iis quæ in templo fiunt, majus est Christi ministerium? Nonne quoniam illi in lege, et umbra, et exemplari cœlestium cultum exhibue-

[1] Matth. VIII, 2, 3. [2] Ibid. 27. [3] Matth. IX, 37, 38; X, 1. [4] Matth. X, 32. [5] Matth. XII, 5.

runt? Divi autem discipuli assidentes et ministrantes A Christo majorem etiam gloriam habuerunt? Et si legis cultu præstantior est is qui Christo exhibetur, cur non vere putetur Deus?

καὶ ὑποδείγματι τῶν ἐπουρανίων λελατρεύκασιν· οἱ δὲ θεσπέσιοι μαθηταὶ προσεδρεύοντές τε καὶ λειτουργοῦντες τῷ Χριστῷ μείζονα καὶ τὴν δόξαν εἶχον. Καὶ εἰ τῆς ἐν νόμῳ λατρείας ἄμεινον τὸ λειτουργεῖν τῷ Χριστῷ, πῶς οὐκ ἂν νοοῖτο Θεὸς ἀληθῶς;

Quod *si ego*, inquit, *in Beelzebub ejicio dæmonia, filii vestri in quo ejiciunt? Propterea ipsi judices vestri erunt* [1]. Si in Christi nomine a dæmoniis vexatos curabant discipuli; pronuntiabant enim: In nomine Jesu Christi Nazareni; cur non intelligitur esse Deus verus? Non enim hominis gloria et vis fuisset satis ad Satanam expugnandum.

Εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ, φησὶν, *ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; Διὰ τοῦτο αὐτοὶ κριταὶ ὑμῶν ἔσονται.* Εἰ ἐν ὀνόματι Χριστοῦ τεθεραπεύκασι τοὺς δαιμονιῶντας οἱ μαθηταί· ἐφώνουν γὰρ, Ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου· πῶς οὐκ ἂν νοοῖτο Θεὸς ἀληθής; Οὐ γὰρ ἂν ἐξήρκεσεν ἀνθρώπου δόξα καὶ δύναμις εἰς τὸ κατισχῦσαι τοῦ Σατανᾶ.

Quemadmodum zizania colliguntur, et igni comburuntur, sic etiam erit in consummatione sæculi. Mittet Filius hominis angelos suos, et colligent ex regno ipsius omnia scandala, et facientes iniquitatem, et conjicient eos in caminum ignis [2]. Scriptum est de Deo: *Laudate Dominum, omnes angeli ejus* [3]. Non enim est angelus angeli; sed Dei potius sunt omnia. Quomodo igitur dixit de Filio hominis: *Mittet angelos suos?* Quia Deus est, sicut Dominus, habens angelos et cœlestes spiritus, qui serviunt ei.

Ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια, καὶ πυρὶ κατακαίεται, οὕτω καὶ ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος ἔσται. B *Ἀποστελεῖ ὁ Υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα, καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός.* Περὶ Θεοῦ γέγραπται, *Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ.* Οὐ γὰρ ἄγγελος ἀγγέλου ἐστὶ, Θεοῦ δὲ μᾶλλον τὰ πάντα. Πῶς οὖν φησι περὶ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ὅτι Ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ; Θεὸς οὖν ἄρα ἐστὶν ὡς Κύριος, δούλους ἔχων τοὺς ἀγγέλους, καὶ διὰ τῶν ἄνω πνευμάτων ὑπηρετούμενος.

Venturus est enim Filius hominis in gloria Patris sui cum angelis suis [4]. Ecce rursum angelos suos appellat cœlestes spiritus. Idque, cum dixisset, Filius hominis.

Μέλλει γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ. Ἰδοὺ πάλιν ἀγγέλους αὐτοῦ φησι τὰ ἄνω πνεύματα, καίτοι λεγομένου Υἱοῦ ἀνθρώπου.

Cum autem venerit Filius hominis in gloria sua, et omnes sancti angeli cum ipso, tunc sedebit in solio gloriæ suæ [5]. Num ut unus eorum hominum quales nos sumus sedebit Christus, ipsi astantibus omnibus angelis, atque ita mundum judicabit? Qui fieri id queat, cum scriptum sit unum esse legislatorem et judicem? Deus ergo Christus qui et solium habet, et astantes angelos, et terram judicat in justitia.

C *Ὅταν δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ.* Ἆρα ὡς ἄνθρωπος τῶν καθ' ἡμᾶς εἷς κάθηται ὁ Χριστὸς, παρεστηκότων αὐτῷ πάντων τῶν ἀγγέλων, οὕτω τε κρινεῖ τὸν κόσμον; Εἶτα ποῖον ἂν ἔχῃ λόγον; Γέγραπται γὰρ, ὅτι *Εἷς ἐστιν ὁ νομοθέτης καὶ κριτής.* Θεὸς οὖν ἄρα ὁ Χριστὸς, ὁ ἐν δόξῃ Θεοῦ καὶ θρόνον ἔχων, καὶ παρεστῶτας ἀγγέλους, καὶ κρίνων τὴν οἰκουμένην ἐν δικαιοσύνῃ.

Et princeps sacerdotum dixit ei: Adjuro te per Deum viventem, ut dicas nobis, si tu es Christus Filius Dei. Dicit ei Jesus: Tu dixisti. Amen dico vobis, amodo videbitis Filium hominis sedentem a dextris virtutis Dei, et venientem in nubibus cœli [6]. Quomodo Filius hominis sedet a dextris virtutis Dei? Nonne quia, licet Verbum Dei factum sit Filius hominis, est tamen id quod erat? Idcirco considet cum Genitore et divinitatis dignitatibus fulgens cernitur, quamvis caro factum sit.

Καὶ ὁ ἀρχιερεὺς, φησὶν, *εἶπεν αὐτῷ, Ὁρκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς, εἰ σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ.* Λέγει αὐτῷ ὁ Ἰησοῦς, *Σὺ εἶπας. Ἀμὴν λέγω ὑμῖν, ἀπάρτι ὄψεσθε* D *τὸν Υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ, καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ.* Πῶς ὁ Υἱὸς τοῦ ἀνθρώπου κάθηται ἐκ δεξιῶν τῆς δυνάμεως; Ἀλλ' ἔστι δῆλον, ὅτι κἂν εἰ γέγονεν Υἱὸς ἀνθρώπου ὁ ἐκ Θεοῦ Λόγος, ἀλλ' ἔστιν ὃ ἦν. Ταύτῃ τοι καὶ συνεδρεύει τῷ φύσαντι, καὶ τοῖς τῆς θεότητος ἀξιώμασιν ἐμπρέπων ὁρᾶται, κἂν εἰ γέγονε σάρξ.

Jesus autem clamans voce magna emisit spiritum. Et ecce velum templi scissum est sursum in duo usque deorsum. Et terra mota est, et petræ scissæ sunt. Et monumenta aperta sunt. Et multa corpora sanctorum qui dormierant, surrexerunt [7]. Si communis homo erat Christus, quomodo ipso moriente tanta

Ὁ δὲ Ἰησοῦς κράξας φωνῇ μεγάλῃ ἀφῆκε τὸ πνεῦμα, καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη ἄνωθεν εἰς δύο ἕως κάτω, καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν, καὶ τὰ μνημεῖα ἠνεῴχθησαν, καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη. Εἰ κοινὸς ἦν ἄνθρωπος ὁ Χριστὸς,

[1] Matth. XII, 27. [2] Matth. XIII, 41, 42. [3] Psal. CXLVIII, 2. [4] Matth. XVI, 27. [5] Matth. XXV, 31. [6] Matth. XXVI, 63, 64. [7] Matth. XXVII, 50-52.

πῶς τεθνεῶτος αὐτοῦ τοσοῦτος ἦν ἐν τοῖς στοιχείοις ὁ θόρυβος; Ὁ μὲν γὰρ ἥλιος τὰς ἀκτῖνας συνέστελλε, καὶ ἐν ἡμέρᾳ σκότος εἰργάζετο, ἡ δὲ γῆ τὸν ἑαυτῆς Δεσπότην ὁρῶσα παρὰ τῶν Ἰουδαίων ἐμπαροινούμενον ἐσχίζετο· ἀφῆκε δὲ καὶ ὁ ᾅδης τὰς τῶν ἁγίων ψυχάς. Τίνος ταῦτα ποιοῦντος; ἆρ' οὐχὶ Θεοῦ; Θεὸς γὰρ ἦν ἐν σαρκὶ, ᾧ καὶ ἡ κτίσις ὑβριζομένῳ τρόπον τινὰ συνωρίζετο.

Καὶ σὺ, παιδίον, προφήτης Ὑψίστου κληθήσῃ. Προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ, τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν. Προεβάδιζε γὰρ τοῦ Χριστοῦ, καὶ αὐτοῦ γέγονε πρόδρομος, καὶ αὐτῷ τὰς ὁδοὺς προετοιμάζεσθαι διεκήρυττε, καὶ τὸν ἐπ' αὐτῷ προεφήτευε λόγον ἐπιστρέφων ὡς ἐπὶ Θεὸν, δικαιοῦν ἰσχύοντα τοὺς ἐν ἁμαρτίαις. Εἶτα πῶς οὐ Θεὸς ὁ Χριστός;

Ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν, εἶπε πρὸς αὐτοὺς, Τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; Τί ἐστιν εὐκοπώτερον, εἰπεῖν, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ἢ εἰπεῖν, Ἔγειραι, καὶ περιπάτει; Ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, εἶπε τῷ παραλυτικῷ, Σοὶ λέγω, ἔγειραι, καὶ περιπάτει, καὶ ἄρας τὸ κλινίδιόν σου πορεύου εἰς τὸν οἶκόν σου. Εἰ μόνος ἡμᾶς ὁ τῶν ὅλων Θεὸς ἀπαλλάττει πλημμελημάτων, ἑτέρῳ πρέποντος τούτου μηδενὶ, χαρίζεται δὲ καὶ τοῦτο Χριστὸς μετ' ἐξουσίας θεοπρεποῦς, πῶς οὐκ ἂν εἴη Θεός; Κέκληται δὲ Υἱὸς ἀνθρώπου γεννηθεὶς ἐκ γυναικὸς κατὰ σάρκα, καίτοι Θεὸς ὢν ὁ Λόγος.

Αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευσεν αὐτὸν αὐτοῖς διὰ τὸ αὐτὸν γινώσκειν πάντας, καὶ ὅτι οὐ χρείαν εἶχεν, ἵνα τις μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου. Αὐτὸς γὰρ ἐγίνωσκε, τί ἦν ἐν τῷ ἀνθρώπῳ. Περὶ Θεοῦ γέγραπται, *Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν.* Καὶ αὐτὸς δέ πού φησι, *Μὴ ἀπ' ἐμοῦ κρυβήσεταί τις;* Εἰ δὲ πάντας ἐπίσταται, καὶ οἶδε τὰ ἐν τῷ ἀνθρώπῳ, πῶς οὐκ ἂν εἴη Θεὸς, ὡς καρδίας ἐτάζων καὶ νεφρούς;

Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει, ὅτι ἐγὼ πρὸς τὸν Πατέρα μου πορεύομαι, καὶ ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω. Πορεύεσθαί φησι πρὸς τὸν Πατέρα, καίτοι φύσει Θεὸς ὑπάρχων ὁ Υἱὸς, καὶ αὐτὸς ὁ τὰ πάντα πληρῶν. Πορεύεται τοίνυν ἀνθρωπίνως. Ἀνελήφθη γὰρ εἰς τὸν οὐρανόν. Ἀλλ' ὡς Θεὸς ἐπαγγέλλεται πληροῦν τὰ αἰτήματα τῶν προσερχομένων, εἰ ἐν τῷ ὀνόματι αὐτοῦ ποιοῖντο τὰς λιτάς. Εἶτα τίνι ἂν πρέποι τὸ πληροῦν εὐχὰς ἁγίων, καὶ χαρίζεσθαι τὰ αἰτήματα, πλὴν ὅτι μόνῳ τῷ κατὰ φύσιν καὶ ἀληθεῖ ὄντι Θεῷ;

Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. Εἰ τῇ ἐπιγνώσει τοῦ μόνου Θεοῦ συνεζεῦχθαί τε καὶ συνεισβαίνειν ἀνάγκη τὴν ἐπί-

A fuit elementis perturbatio? Sol enim radios contraxit, et in die tenebras effudit. Terra autem suum ipsius Dominum cernens a Judæis vexatum, scissa est. Et infernus sanctorum animas emisit. Quonam hæc perficiente, nisi Deo? Deus enim erat in carne: qui cum afficeretur contumelia, res etiam procreatæ commovebantur.

Et tu, puer, propheta Altissimi vocaberis, præibis enim ante faciem Domini parare vias ejus, ad dandam scientiam salutis populo ejus in remissionem peccatorum ipsorum [1]. Præivit enim Christo, et ejus præcursor factus est. Et edixit, ut pararentur viæ ejus. Et verbum de ipso vaticinatus est, convertens tanquam ad Deum, qui potest justos efficere eos B qui in peccatis versabantur. Quomodo igitur Christus non est Deus?

Cognoscens autem Jesus cogitationes eorum, respondit dicens ad eos: Quid est facilius dicere, Dimittuntur tibi peccata tua, an dicere, Surge, et ambula? Ut autem sciatis, Filium hominis habere potestatem in terra dimittendi peccata, dixit paralytico: Tibi dico, surge, et ambula, et grabato sublato vade in domum tuam [2]. Si solus nos rerum omnium Deus liberat a peccatis, quod alii præter ipsum congruit nemini, hoc autem elargitur Christus cum auctoritate Deo congruente, qui fieri potest, ut Deus non sit? Vocatus est autem Filius hominis, quia quantum ad carnem attinet, natum est ex muliere Verbum, C exsistens Deus.

Ipse autem Jesus non credebat se ipsum eis, quia cognoscebat omnes, nec opus habebat, ut quisquam testimonium illi de homine perhiberet. Ipse enim sciebat, quid esset in homine [3]. De Deo scriptum est: *Qui finxit sigillatim corda ipsorum* [4]. Et ipse quodam loco: *Num*, inquit, *a me quisquam absconditur* [5]? Quod si omnes habet cognitos, et novit quæ sunt in homine, nonne Deus est, qui corda scrutatur et renes?

Amen, amen dico vobis, qui credit in me, opera, quæ ego facio, et ipse faciet, et majora his faciet. Quoniam ego ad Patrem vado, et quodcunque petieritis in nomine meo, faciam vobis [6]. Proficisci se D dicit ad Patrem Filius. Atqui, ut Deus, implet omnia. Itaque proficiscitur tanquam homo. Assumptus enim est in cœlum. Verum ut Deus pollicetur impleturum se precantium postulata, si in nomine suo preces effuderint. Cui autem convenit vota sanctorum explere, et quæ postulantur, elargiri, nisi ei qui solus et natura et veritate est Deus?

Hæc autem est vita æterna, ut cognoscant te solum verum Deum, et quem misisti, Jesum Christum [7]. Si igitur solius Dei cognitionem Jesu Christi cognitio sequitur necessario, eique conjuncta est, et

[1] Luc. I, 76, 77. [2] Matth. IX, 4-6. [3] Joan. II, 24, 25. [4] Psal. XXXII, 15. [5] Eccli. XXXIX, 24. [6] Joan. XIV, 12, 13. [7] Joan. XVII, 3.

hoc vitam æternam præstabit, cui perspicuum non sit Christum esse verum Deum? Verbum enim caro factum est, et Verbum permansit.

Et hoc locutus insufflavit, et dicit eis: Accipite Spiritum sanctum. Quorum remiseritis peccata, remittuntur eis, et quorum retinueritis, retenta sunt [1]. Totum hoc factum Deo congruit, atque omni est ratione dignum. Primum enim insufflare et Spiritum apostolis tribuere, humanum non est. Præterea magna res est, et rerum procreatarum facultate præstantior eam auctoritatem largiri, ut quorum voluerint, peccata retineant, et quorum voluerint, remittant. Ob id autem per carnis insufflationem Spiritum dat, quia caro a Verbo non est aliena, sed propria ipsius. Et humanum quidem fuit, per carnem insufflare, divinum autem et auctoritate plenum opus, eos Spiritus participes declarare, quos ipse dignos judicasset.

Cum exaltaveritis Filium hominis, tunc cognoscetis, quia ego sum [2]. Arrogantiæ, quam Christo ascribebant Judæi, magnus Joannes causas explicans: *Idcirco*, inquit, *persequebantur Jesum Judæi, quia non solum solvebat Sabbatum, sed etiam Patrem suum dicebat Deum, æqualem seipsum faciens Deo* [3]. Quodam etiam loco introduxit eos impie dicentes: *De bono opere non lapidamus te, sed de blasphemia, quia tu homo cum sis, facis te ipsum Deum* [4]. Non recipiendam igitur de ipso fidem faciunt, nudum esse hominem ipsum existimantes, ignorantes autem, Verbum, cum Deus sit, ita semen Abraham suscepisse, et carnis ac sanguinis, quemadmodum nos, parti eps fuisse, ut Deus esse non desineret, cum immutabilis sit natura Deus, et perpetuo idem. Itaque *cum exaltaveritis*, inquit, *Filium hominis, tunc cognoscetis, quia ego sum*. Crucifixus enim fuit humanitus, divinitus autem revixit, et per resurrectionem demonstravit se esse etiam Deum, et vere Filium Dei. Quod si non alium, sed se ipse potius suscitavit, ut credidimus, necesse est ut corpus ejus proprium intelligamus, quod mortem pertulit, ut ipse quoque dicatur resurrexisse. Atqui immortalis exsistit, ut Deus. Unius enim Christi et Filii mortem nuntiantes et resurrectionem confitentes justificamur per fidem. Quapropter ipse ut unus et solus exsistens Christus Jesus humana quidem ratione per carnem mortuus est, resurrexit autem ut vita.

Adhuc modicum tempus vobiscum sum, et vado ad eum qui misit me [5]. Ubi non est Dei Verbum, si divinitatis natura replet omnia? Quomodo igitur a Patre mittitur, aut quomodo ad ipsum vadit? Mittitur humana quidem ratione, quatenus ad missionis modum pertinet, ut prædicet captivis liberationem, cæcis autem visum. Vadit autem ad Patrem

A γνῶσιν Ἰησοῦ Χριστοῦ, καὶ ζωὴν τοῦτο τὴν εἰς αἰῶνα προξενεῖ, πῶς οὐχ ἅπασιν ἐναργές ἐστιν, ὅτι Θεός ἐστιν ἀληθὴς ὁ Χριστός; Γέγονε γὰρ σὰρξ ὁ Λόγος, καὶ μεμένηκε Λόγος.

Καὶ τοῦτο εἰπὼν ἐνεφύσησε, καὶ λέγει αὐτοῖς· Λάβετε Πνεῦμα ἅγιον. Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται. Ὅλον ἐστὶ θεοπρεπὲς τὸ γεγενημένον, καὶ τοῦ παντὸς ἄξιον λόγου. Πρῶτον μὲν γὰρ οὐκ ἀνθρώπινον τὸ ἐμφυσῆσαι τοῖς ἀποστόλοις, καὶ δοῦναι τὸ Πνεῦμα· εἶτα καὶ μέγα, καὶ ὑπὲρ τὴν κτίσιν τὸ τοιαύτην ἐξουσίαν παρασχεῖν, ὥστε κρατεῖν ὧν ἕλοιντο τὰς ἁμαρτίας, ἀφιέναι δὲ οἷς ἂν βούλοιντο τυχεῖν. Διὰ τοῦτο καὶ διὰ σαρκικοῦ ἐμφυσήματος τὸ Πνεῦμα δίδωσιν, ὅτι μὴ ἀλλοτρία τοῦ Λόγου γέγονεν ἡ αὐτοῦ
B σάρξ, ἀλλ' ἰδικῶς αὐτοῦ. Καὶ ἀνθρώπινον μὲν τὸ διὰ σαρκὸς ἐμφύσημα, θεϊκὸν δὲ καὶ δυνάμεως ἔργον, τὸ μετόχους ἀποφῆναι τοῦ Πνεύματος τοὺς ἠξιωμένους.

Ὅταν ὑψώσητε τὸν Υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε, ὅτι ἐγώ εἰμι. Τῆς Ἰουδαϊκῆς ἀπονοίας, ἣν ἐπὶ Χριστῷ πεποίηνται, τὰς αἰτίας ἡμῖν ἐξηγούμενος ὁ θεσπέσιος Ἰωάννης, *Διὰ τοῦτο*, φησὶν, *ἐδίωκον οἱ Ἰουδαῖοι τὸν Ἰησοῦν, ὅτι οὐ μόνον ἔλυε τὸ Σάββατον, ἀλλὰ καὶ Πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ.* Εἰσκεκόμικε δέ που καὶ αὐτοὺς λέγοντας ἀνοσίως, *Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὢν, ποιεῖς σεαυτὸν Θεόν.*
C Οὐκοῦν ἀπαράδεκτον τὴν ἐπ' αὐτῷ πεποίηνται πίστιν, ἄνθρωπον ψιλὸν εἶναι νομίζοντες αὐτὸν, ἠγνοηκότες δὲ, ὅτι Θεὸς ὢν Λόγος, ἐπελάβετο σπέρματος Ἀβραὰμ, καὶ κεκοινώνηκε μὲν αἵματος, καὶ σαρκὸς παραπλησίως ἡμῖν, πλὴν οὐκ ἀπέστη τοῦ εἶναι Θεός. Ἄτρεπτος γὰρ κατὰ φύσιν ἐστὶ, καὶ διηνεκῶς ὁ αὐτός. *Ὅταν οὖν ὑψώσητε*, φησὶ, *τὸν Υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε, ὅτι ἐγώ εἰμι.* Ἐσταυρώθη μὲν γὰρ ἀνθρωπίνως, ἀνεβίω δὲ θεϊκῶς, καὶ πεπίστευται διὰ τῆς ἀναστάσεως, ὅτι καὶ Θεός ἐστι, καὶ Θεοῦ κατὰ ἀλήθειαν Υἱός. Εἰ δὲ πεπίστευται πρὸς ἡμῶν οὐχ ὡς ἕτερον ἀναστήσας, ἐγηγερμένος δὲ μᾶλλον αὐτὸς, πᾶσά πως ἀνάγκη διὰ τὴν οἰκονομίαν ἴδιον αὐτοῦ σῶμα νοεῖσθαι τὸ πεπονθὸς τὸν θάνατον, ἵνα καὶ αὐτὸς ἀναστῆναι λέγοιτο, καίτοι τὴν φύσιν
D ἀθάνατος ὢν ὡς Θεός. Ἑνὸς γὰρ Χριστοῦ καὶ Υἱοῦ τὸν θάνατον καταγγέλλοντες, καὶ ὁμολογοῦντες τὴν ἀνάστασιν, δικαιούμεθα διὰ πίστεως. Οὐκοῦν ὁ αὐτὸς, ὡς εἷς τε καὶ μόνος ὑπάρχων Χριστὸς Ἰησοῦς, ἀποθανεῖν μὲν ἀνθρωπίνως κατὰ τὴν σάρκα λέγεται, ἐγηγέρθαι δὲ ὡς ζωή.

Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι, καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με. Ποῦ γὰρ οὐκ ἔστιν ὁ τοῦ Θεοῦ Λόγος, εἰ πληροῖ τὰ πάντα τῇ τῆς θεότητος φύσει; Πῶς οὖν πέμπεται παρὰ τοῦ Πατρός; πῶς δὲ ὑπάγει πρὸς αὐτόν; Οὐκοῦν πέμπεται μὲν ἀνθρωπίνως κατά γε τὸν τῆς ἀποστολῆς τρόπον τε καὶ λόγον, ἵνα κηρύξῃ μὲν αἰχμαλώτοις ἄφεσιν, τυφλοῖς

[1] Joan. xx, 22, 23. [2] Joan. viii, 28. [3] Joan. v, 18. [4] Joan. x, 33. [5] Joan. xiii, 33.

δε ἐνιδλέψειν. Ὑπάγει γε μὴν πρὸς τὸν Πατέρα καὶ Θεὸν οὐκ ἔτι κατὰ τὸν ἴσον τρόπον, ἀλλ' οἷον ἐν σώματι ἀναφοιτήσας εἰς οὐρανοὺς, ἵν' ὑπὲρ ἡμῶν ἑαυτὸν ἐμφανίσῃ τῷ προσώπῳ τοῦ Θεοῦ καὶ Πατρὸς, καθὼς γέγραπται. Εἰ δὲ δὴ καὶ ἐπ' αὐτοῦ τοῦ Λόγου τὸ ἀποστέλλεσθαι λαμβάνοιτο, χαλεπαινέτω μηδείς. Ἔθος γὰρ τῇ θεοπνεύστῳ Γραφῇ καὶ ταῖς τοιαύταις ἔσθ' ὅτε κεχρῆσθαι φωναῖς, καὶ οὐ τόποις καὶ περιγραφαῖς τὴν θείαν τε καὶ ὑπερκόσμιον ὑποφέρειν φύσιν. Οἶδε γὰρ οὖσαν ἀσώματον, καὶ περιορισμῶν ἐπέκεινα, καὶ τοῦ ἐν τόπῳ νοεῖσθαι μακράν, φωναῖς δὲ μᾶλλον ταῖς ἀνθρωπίναις τὰ ὑπὲρ νοῦν ὄντα τῶν ἐν ἡμῖν πειρᾶται καταδηλοῦν· ἐπεὶ καὶ αὐτὸς ὁ Σωτὴρ πέμπειν ἔφασκε πρὸς ἡμᾶς τὸν Παράκλητον, καί τοι πληροῦντος τὰ πάντα τοῦ ἁγίου Πνεύματος. Πνεῦμα γὰρ Κυρίου, φησὶ, πεπλήρωκε τὴν οἰκουμένην.

Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καὶ οὐδεὶς γινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατὴρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Οὐδενὸς γινώσκοντος τὸν Υἱὸν εἰ μὴ μόνου τοῦ Πατρὸς, πῶς ἀθετοῦσί τινες τὴν τοῦ Πατρὸς μαρτυρίαν; ὑπέδειξε γὰρ τὸν ἴδιον Υἱὸν ἐν τῷ Ἰορδάνῃ, λέγων· *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα*, ἀλλ' οὐ γυμνὸν ἡμῖν τὸν ἴδιον παρέδειξε Λόγον, ἀλλ' ἑνωθέντα σαρκί. Καὶ οὐκ εἴρηκεν, ὅτι Ἐν τούτῳ ἐστὶν ὁ Υἱός μου, ἀλλ', Οὗτός ἐστιν, ὁ μετὰ σαρκός. Εἷς ἄρα Υἱὸς καὶ Κύριος.

Καὶ εἶπε, φησὶν, *ἡ μήτηρ αὐτοῦ· Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; Ἰδοὺ ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε. Καὶ εἶπε πρὸς αὐτούς· Τί ὅτι ἐζητεῖτέ με; Οὐκ ᾔδειτε, ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ εἶναί με;* Ἄθρει δὴ οὖν, ὅπως ἴδιον ἑαυτοῦ Πατέρα τὸν ἐν τοῖς οὐρανοῖς ὀνομάζει. Ἀλλ' εἴπερ ἦν ἄνθρωπος κατὰ μόνας, καὶ αὐτὸ δὴ τοῦτο νοούμενος καθ' ἡμᾶς, πῶς οὐκ ἔδει μᾶλλον εἰπεῖν, Οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ πάντων Πατρὸς εἶναί με δεῖ; Ἀλλ' ἴδιον αὐτὸν ποιεῖται· μόνος γὰρ ἐξ αὐτοῦ κατὰ φύσιν γεγέννηται θεϊκῶς.

Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Θεολογήσας ἀρκούντως καὶ διὰ τοῦ φωτὸς τοῦ ἀληθινοῦ πεφωτίσθαι τε καὶ ἡγιάσθαι πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον εἰπὼν, καὶ μὴν καὶ αὐτὸν πεποιῆσθαι τὸν κόσμον, εἰς τὰ ἴδιά φησιν αὐτὸν ἐλθεῖν. Ἦλθε δὲ γεγονὼς ἄνθρωπος ὁ Μονογενὴς ὡς πρὸς ἰδίους, καὶ πρό γε τῶν ἄλλων τοὺς ἐξ αἵματος Ἰσραήλ. Ὅτε τοίνυν αὐτός ἐστι τὸ φῶς τὸ ἀληθινὸν, δι' οὗ τὰ πάντα, καὶ αὐτός ἐστιν ὁ μετὰ σαρκὸς ἐλθὼν εἰς τὰ ἴδια, πῶς οὐκ ἀνάγκη ἕνα Χριστὸν καὶ Υἱὸν ὁμολογῆσαι;

Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων· *Οὗτός ἐστιν, ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν· ὅτι πρῶτός μου*

et Deum, non pari ratione, sed ut cum corpore proficiscens in cœlum pro nobis seipsum ostendat in Patris conspectu, sicut scriptum est [1]. Quod si de ipso item Verbo mitti accipiatur, nemo id grave putet. Divinæ enim Scripturæ mos est, ejusmodi etiam vocibus uti, nec tamen propterea divinam naturam, quæ mundo superior est locis circumscribere; scit enim illam esse incorpoream et præstantiorem quam ut ullis locorum spatiis coerceri concludique possit. Sed vocabulis humanis ea quæ mentem nostram superant, studet explicare, quandoquidem et Servator noster se missurum ad nos Spiritum dicit, cum tamen Spiritus sanctus impleat omnia : *Spiritus* enim, inquit, *Domini replevit orbem terrarum.*

Omnia mihi tradita sunt a Patre meo, et nemo novit Filium, nisi Pater, neque Patrem quisquam novit, nisi Filius, et cui voluerit Filius revelare [2]. Cum Filium nemo cognoscat, nisi Pater solus, quomodo respuunt quidam Patris testimonium? Ostendit enim proprium Filium in Jordane : *Hic est*, inquiens, *Filius meus dilectus, in quo mihi bene complacui* [3]. At non nudum nobis ostendit Verbum, sed carni conjunctum. Et non dixit : *In hoc est Filius meus*, sed : *Hic est*, qui cum carne nimirum conjunctus est. Unus ergo Filius et Dominus.

Et dixit mater ejus : Fili, quid fecisti nobis sic? Ecce pater tuus et ego dolentes quærebamus te. Et dixit ad eos : Quid est, quod me quærebatis ? Nesciebatis, quod in iis, quæ Patris mei sunt, oportet me esse [4] ? Vide quomodo proprium Patrem appellet suum, qui in cœlis est. Quod si homo duntaxat fuisset, ut nos, nonne potius eum dicere oportebat : Nesciebatis, quod in iis quæ Patris omnium sunt, oportet me esse? At proprium ipsum facit. Solus enim ex ipso divinitus per naturam genitus est.

Erat lux vera, quæ illuminat omnem hominem venientem in hunc mundum. In mundo erat, et mundus per ipsum factus est, et mundus eum non cognovit. In propria venit, et sui eum non receperunt [5]. Cum satis de rebus divinis disseruisset, et per lucem veram illuminari et sanctificari omnem hominem venientem in hunc mundum dixisset, et mundum per ipsum factum esse, in propria, ait, eum venisse. Venit autem homo factus Unigenitus tanquam ad proprios, imprimisque ad eos qui erant ex sanguine Israelis. Quando igitur qui est lux vera, et per quem omnia facta sunt, ille ipse carne indutus in propria venit, quomodo non necesse est unum et eumdem Christum et Filium confiteri ?

Joannes testimonium perhibet de ipso, et clamat : *Hic est, de quo dixi, qui post me venit, ante me factus est, quia prior me erat* [6], et quia ex plenitu-

[1] Hebr. IX, 24. [2] Matth. XI, 27. [3] Matth. XVII, 5. [4] Luc. II, 48, 49. [5] Joan. I, 9, 10. [6] Ibid. 30.

dine ejus nos omnes accepimus [1]. Joannes ait de Christo: *Qui post me venit*, id est, qui post me apparuit. Quem ipse nimirum prædicavit. Ante ipsum factus est, hoc est, gloria antecellens. Etenim erat in essentia prior, ut Deus. Quomodo igitur, qui post ipsum, is tempore ante ipsum fuit? Quoniam Deus erat Verbum, et caro factum est. Præcedit igitur quatenus est Verbum, posterior autem est, quatenus ad carnem pertinet. Quod si ex plenitudine ejus omnes homines acceperunt, plenus autem solus est Deus, ut ait per os Isaiæ [2], et ipsi soli convenit, tanquam ex propria plenitudine aliis impertiri, quod quidem Christus effecit, unus profecto est Filius et Dominus ex Deo Verbum, quod factum est caro, et ipse Deus est simul et homo.

Nemo ascendit in cœlum, nisi qui descendit de cœlo, Filius hominis [3]. Quomodo descendit de cœlo Filius hominis, cum sancta illius caro ex Virgine sumpta sit, nisi quia proprium erat corpus Verbi, quod de cœlo descenderat, et factum est Filius hominis? Unus igitur Christus et Filius; sic quæ Verbi sunt, propria carnis sunt facta, et quæ sunt carnis, propria Verbi facta sunt præter solum peccatum.

Pueri habentes ramos palmarum egressi sunt obviam illi et clamabant: *Benedictus qui venit in nomine Domini rex Israel* [4]. Quomodo ipsum in nomine Domini venturum dicunt sacræ Litteræ? Si enim privatim ut hominem ex sancta Virgine, cui Verbum Dei per personam conjunctum non sit, commune erit ipsi dominationis nomen, quemadmodum et nobis, et nihil in Christo magnum. Sin ut vere Dominus esse venturus prænuntiatus est, quod quidem est verum, venit autem non sine carne in hunc mundum Unigenitus, unus nimirum est natura, et vere Dominus, et Christus, et Filius.

Multa quidem et alia signa fecit Jesus coram discipulis suis, quæ non sunt scripta in libro hoc. Hæc autem scripta sunt, ut credatis quia Jesus est Christus Filius Dei, et ut credentes vitam habeatis in nomine ipsius [5]. Qui ex sancta Virgine natus est Emmanuel, angeli voce nominatus est Jesus. Quoniam igitur ipse est, et non alius Filius Dei, et qui credit, habet vitam æternam in nomine ejus, nonne insaniunt, qui definiunt, et dicunt alium esse Filium, atque aliud ex Deo Verbum, quam ex sancta natum Virgine? In his enim evangelista et valde quidem aperte declarat, se unum et solum ex ambobus nosse et prædicare Jesum Christum, id est, ex Deo Patre Verbum carnem et sanguinem assumpsisse, perinde atque nos, ut scriptum est.

Hoc fecit initium signorum Jesus in Cana Galilææ, et manifestavit gloriam suam, et crediderunt

A *ἦν· καὶ ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες ἐλάβομεν*. Ἰωάννης φησὶ περὶ τοῦ Χριστοῦ, ὅτι *Ὁ ὀπίσω μου ἐρχόμενος*, τουτέστιν, ὁ μετ' ἐμὲ φανερούμενος, ὃν αὐτὸς ἐκήρυξε δηλονότι, ἔμπροσθεν αὐτοῦ γέγονε, τουτέστι πρωτεύων κατὰ τὴν δόξαν. Καὶ γὰρ ἦν καὶ ἐν ὑπάρξει πρῶτος ὡς Θεός. Πῶς οὖν ὁ μετ' αὐτὸν πρὸ αὐτοῦ κατὰ χρόνον; Ὅτι Θεὸς ἦν ὁ Λόγος, καὶ γέγονε σάρξ, ἔχων μὲν τὸ πρωτεύειν καθὸ Λόγος ἐστὶ, δευτερεύων δὲ κατὰ σάρκα. Εἰ δὲ καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες μετεσχήκασιν οἱ ἅγιοι, πλήρες δὲ μόνον ἐστὶ τὸ Θεῖον, καθά φησι διὰ τῆς Ἡσαΐου φωνῆς, πρέποι δ' ἂν αὐτῷ τε καὶ μόνῳ τὸ ἐξ ἰδίου πληρώματος μετόχους ἀποτελεῖν ἑτέρους, πέπραχε δὲ τοῦτο Χριστός· εἷς ἄρα ἐστὶν Υἱὸς καὶ Κύριος ὁ ἐκ Θεοῦ Λόγος γενόμενος σὰρξ, ὁ
B αὐτὸς Θεός τε ὁμοῦ καὶ ἄνθρωπος.

Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ Υἱὸς τοῦ ἀνθρώπου. Πῶς καταβέβηκεν ἐκ τοῦ οὐρανοῦ ὁ Υἱὸς τοῦ ἀνθρώπου, καίτοι τῆς ἁγίας σαρκὸς γεννηθείσης ἐκ γυναικός; Ἀλλ' ἴδιον ἦν τὸ σῶμα τοῦ ἐξ οὐρανοῦ καταφοιτήσαντος Λόγου, ὃς καὶ γέγονεν Υἱὸς ἀνθρώπου. Εἷς οὖν ἄρα Χριστὸς καὶ Υἱός. Οὕτως ἴδια μὲν τῆς σαρκὸς τὰ τοῦ Λόγου γέγονεν, ἴδια δὲ τοῦ Λόγου τὰ τῆς σαρκὸς δίχα μόνης ἁμαρτίας.

Οἱ παῖδες ἔχοντες τὰ βαΐα τῶν φοινίκων ἐξῆλθον εἰς ἀπάντησιν αὐτοῦ, καὶ ἔκραζον· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου βασιλεὺς τοῦ Ἰσραήλ. Πῶς ἄρα φησὶν αὐτὸν ἐν ὀνόματι Κυ-
C ρίου παραγενήσεσθαι τὸ Γράμμα τὸ ἱερόν; Εἰ μὲν οὖν ὡς ἄνθρωπος ἰδικῶς τὸν ἐκ τῆς ἁγίας Παρθένου, μὴ ἑνωθέντος αὐτῷ καθ' ὑπόστασιν τοῦ Θεοῦ Λόγου, κοινὸν ἔσται τὸ τῆς κυριότητος ὄνομα αὐτῷ, καθὰ καὶ ἡμῖν, καὶ οὐδὲν ἐπὶ Χριστοῦ τὸ μέγα· εἰ δὲ ὡς ἀληθῶς Κύριος ἥξειν προαπηγγέλλετο, ὅπερ ἐστὶ καὶ ἀληθὲς, ἐλήλυθε δὲ οὐ δίχα σαρκὸς εἰς τόνδε τὸν κόσμον ὁ Μονογενὴς, εἷς ἄρα ἐστὶ φύσει, καὶ ἀληθῶς Κύριος, καὶ Χριστὸς, καὶ Υἱός.

Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. Ταῦτα δὲ γέγραπται ἵνα πιστεύσητε, ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ· καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ. Ὁ ἐκ τῆς ἁγίας Παρθένου γενόμενος
D Ἐμμανουὴλ διὰ τῆς τοῦ ἀγγέλου φωνῆς Ἰησοῦς ὠνόμασται. Ὅτε τοίνυν αὐτός ἐστι, καὶ οὐχ ἕτερος ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ὁ πιστεύων ἔχει ζωὴν αἰώνιον ἐν τῷ ὀνόματι αὐτοῦ, πῶς οὐ μεμήνασιν οἱ διορίζοντες, καὶ φάσκοντες ἕτερον Υἱὸν εἶναι, καὶ ἕτερον
D τὸν ἐκ Θεοῦ Λόγον, καὶ τὸν ἐκ τῆς ἁγίας Παρθένου; Φαίνεται γὰρ ἐν τούτοις ὁ Εὐαγγελιστὴς καὶ μάλα σαφῶς ἕνα καὶ μόνον τὸν ἐξ ἀμφοῖν εἰδὼς, καὶ κηρύττων Ἰησοῦν Χριστὸν, τουτέστι τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον αἵματος καὶ σαρκὸς κεκοινωνηκότα παραπλησίως ἡμῖν, καθὰ γέγραπται.

Ταύτην ἐποίησε τὴν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἐφανέρωσε τὴν

[1] Joan. I, 16. [2] Isa. I, 11. [3] Joan. III, 13. [4] Matth. XXI, 9. [5] Joan. XX, 30, 31.

δόξαν αὐτοῦ. καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ. Γεγονότος ἄρα τοῦ σημείου, καὶ φανερώσαντος τὴν δόξαν αὐτοῦ, ὡς εἰς τίνα πεπιστεύκασιν οἱ μαθηταὶ αὐτοῦ, ἆρ' ὡς εἰς ἄνθρωπον ἅγιον ἁπλῶς; Καὶ μὴν καὶ πρὸ τοῦ σημείου ἠκολούθησαν αὐτῷ τεθαυμακότες ὡς ἅγιον. Ἀλλὰ τεθέανται διὰ τοῦ σημείου τὴν ὑπὲρ ἄνθρωπον δύναμίν τε καὶ ἐξουσίαν ἔχοντα. Οὐκοῦν πεπιστεύκασιν ὡς εἰς Θεόν. Ἰστέον δὲ ὅτι πολλοὶ τῶν ἁγίων πολλὰ πεποιήκασι παράδοξα, καὶ ἐθαυμάσθησαν μὲν, ἐπίστευε δὲ εἰς αὐτοὺς οὐδὲ εἷς. Ἔχοι δ' ἂν τὴν ἴσην διάνοιαν καὶ τὸ, *Ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ Πάσχα, ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ, θεωροῦντες αὐτοῦ τὰ σημεῖα, ἃ ἐποίει.*

in eum discipuli ejus [1]. Num ut in hominem sanctum simpliciter? Minime. Nam et ante signum secuti erant illum, ut virum sanctum. Conspecta autem per signum virtute et potentia majore, quam ut in hominem caderet, in ipsum tanquam Deum crediderunt. Porro sciendum est, multos sanctos viros res multas admirandas fecisse, admirationique fuisse, sed nemo tamen in illos credidit. Idem ex illis colligendum est verbis: *Ut autem fuit Hierosolymis in Paschate, in celebritate, multi crediderunt in nomen ejus, videntes signa, quæ faciebat* [2].

Ἀνέστησεν ἐκ νεκρῶν τοῦ βασιλικοῦ τὸν υἱὸν ὁ Χριστὸς, εἰρηκὼς αὐτῷ· *Πορεύου, ὁ υἱός σου ζῇ.* Εἶτα πεπίστευκε πανοικί. Ἆρ' οὖν διὰ τῆς οὕτω μεγάλης καὶ θεοπρεποῦς ἐξουσίας ὡς εἰς ἄνθρωπον πεπίστευκεν ὁ βασιλικὸς, ἢ Θεὸν ἔγνω κατὰ φύσιν ὄντα αὐτὸν, καὶ ζωοποιοῦντα μετ' ἐξουσίας, οὓς ἂν ἕλοιτο καὶ μόνῳ τῷ ῥήματι; Ἀλλ' ἔστι δῆλον, ὅτι πεπίστευκεν ὡς εἰς Θεόν.

Excitavit a mortuis reguli filium Christus: *Vade*, inquiens, *filius tuus vivit.* Deinde *credidit domus ejus tota* [3]. Propter magnam igitur et divinam potestatem tanquam in hominem credidit regulus? an ipsum natura Deum agnovit, et in vitam revocantem, quos vellet, idque verbo solo? Sed eum tanquam in Deum credidisse, non est dubium.

Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστί. Φαίη τις ἂν ἴσως ἀνάρμοστον εἶναι τῇ θείᾳ τε καὶ ἀνωτάτῳ τοῦ Λόγου φύσει τὸ προσκυνεῖν. Εἶτα πῶς, εἴπερ ἐστὶ Θεὸς ἀληθῶς ὁ Χριστὸς, ἑαυτὸν τοῖς ὀφείλουσι προσκυνεῖν ὁρᾶται συντεταχώς; Τί οὖν ἄρα πρὸς τοῦτό φαμεν; Εἰ μὲν γυμνῇ τῇ θεότητι τὸν ἐκ Θεοῦ Πατρὸς πεφηνότα Λόγον ἀφῖχθαι πιστεύομεν εἰς τόνδε τὸν κόσμον, ἀνάρμοστον κομιδῇ τὸ χρῆμα αὐτῷ· προσκυνεῖται δὲ μᾶλλον, ἤπερ αὐτὸς ἑτέρῳ προσκυνεῖ· εἰ δὲ μορφὴν δούλου λαβὼν, καὶ τῆς προσκυνούσης ἀνθρωπότητος τὸ μέτρον οὐκ ἀτιμάσας κεχρημάτικεν Υἱὸς ἀνθρώπου, ἡ προσκύνησις ἔσται τῆς οἰκονομίας, καὶ πρέπουσα μᾶλλον τοῖς τῆς κενώσεως μέτροις, οὐκ αὐτῇ κατὰ μόνας τῇ φύσει τοῦ Λόγου· ἐπεὶ πῶς ἐκ τῶν Ἰουδαίων ἐστὶν ἡ σωτηρία; Οὐ γάρ που φαίη τις ἂν καθὸ νοεῖται καὶ ἔστι Λόγος, ἐξ Ἰουδαίων ὑπάρχειν αὐτὸν, ἀλλὰ καθάπερ ἐστὶ τῶν ἐν σαρκί τε καὶ αἵματι γεγονὼς ἀδελφὸς, διὰ τὸ ἐπιλαβέσθαι σπέρματος Ἀβραάμ. Εἷς οὖν ἄρα Χριστὸς, κἂν προσκυνεῖν λέγηται διὰ τὸ ἀνθρώπινον, καίτοι παρὰ πάσης τῆς κτίσεως προσκυνούμενος, ὡς Θεός.

Vos adoratis, quod nescitis, nos adoramus, quod scimus, quia salus ex Judæis est [4]. Dicat aliquis fortasse, divinæ ac supremæ Verbi naturæ non convenire, ut adoret. Præterea si vere Deus est Christus, cur se in adorantium numero constituit? Quid nos ad hæc? Si Verbum ex Deo nuda divinitate venisse in hunc mundum crederemus, ei profecto non conveniret adorare. Adoratur enim potius, quam adorat alium. Verum cum servi forma suscepta, adorantisque humanitatis mensuram non despiciens declaratum sit hominis Filius, dispensationis est adoratio, et mensuræ potius exinanitioni conveniens, quam naturæ Verbi, si per se consideretur. Nam quomodo ex Judæis est salus? Neque enim quatenus Verbum intelligitur, dixerit quisquam ipsum ex Judæis esse, sed quatenus eorum frater, qui ex carne constat et sanguine, propterea quod semen Abraham assumpsit. Unus ergo Christus, licet quatenus est homo, dicatur adorare, ut Deus ab omnibus rebus procreatis adoratur.

Καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατὴρ, κἀγὼ ζῶ διὰ τὸν Πατέρα, καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσει δι' ἐμέ. Ἡδέως ἂν ἐπυθόμην τῶν εἰς δύο Χριστοὺς διορίζόντων τὸν ἕνα, τίς δὴ ἄρα ἐστὶν ὁ ἀπεσταλμένος παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ζῶν δι' αὐτὸν, ὑπάρχων τε διὰ τοῦτο ζωοποιός; Εἰ μὲν οὖν γυμνὸς, καὶ καθ' ἑαυτὸν ὁ ἐξ αὐτοῦ Λόγος, πῶς ἐσθίεται πρὸς ἡμῶν, ἵνα ζήσωμεν δι' αὐτόν; Ἀσώματον γὰρ τῇ φύσει τὸ Θεῖον. Εἰ δὲ μόνον, καὶ καθ' ἑαυτὸν ἄνθρωπον εἶναί φασι τὸν ἀπεσταλμένον, πῶς ἄρα ἐστὶ ζωοποιὸς, ὅτι ζῇ διὰ τὸν Πατέρα; καίτοι πῶς οὐχ ἅπαντες οἱ ἐπὶ τῆς γῆς ἐν ζῶσιν ἐσμὲν, ζωοποιοῦν-

Sicut misit me vivens Pater, et ego vivo propter Patrem, et qui manducat me, et ipse vivet propter me [5]. Ab istis ego, qui Christum unum in duos dividunt, libenter didicerim quinam ille sit qui missus est a Deo et Patre, et qui vivit propter ipsum, et idcirco vitæ est ipse largitor. Si enim Verbum, quod ex ipso est nudum et per se, quomodo a nobis manducatur, ut per ipsum vivamus? Natura enim incorporeus est Deus. Sin solus et per se homo est, qui missus est, quomodo vitæ largitor est, quia vivit propter Patrem? Et quomodo non omnes, qui sumus in terra, inter viven-

[1] Joan. ii, 14. [2] Ibid. 23. [3] Joan. iv, [illegible] [4] [illegible] [5] [illegible]

tes existimus, cum Deus et Pater nobis vitam præbeat, siquidem illud est verum, nos in ipso vivere, et moveri, et esse? Cum igitur vivamus omnes propter Patrem, quomodo solum unius hominis corpus id efficiat? Et cur non eamdem habent vim aliorum etiam corpora, si omnes, ut dixi, sumus, et vivimus propter Patrem? Quid ergo dicimus ad hæc? Dei Verbum in forma apparens humana, legationis munere fungebatur. Missum enim est, ut prædicaret captivis redemptionem, et cæcis visum. Vivit autem propter Patrem, cum ex vivente Patre sit genitum. Oportebat enim, oportebat omnino et omni ratione, ut qui ex vivente Deo et Patre genitus esset Filius, natura esset vita. Et quoniam corpus ex sancta Virgine assumptum sibi proprium fecit, ipsum vitam elargiens reddidit. Idque merito. Est enim corpus vitæ cuncta vivificantis. Unus ergo Filius, et Christus, et Dominus non est in duos filios dividendus, quandoquidem ipse quidem est vita, utpote ex vita et vivente Patre, vitam autem elargiens etiam per proprium corpus, ut qui Deus exsistens, factus sit, quales nos sumus, et humanitatem assumpserit.

Accesserunt quondam ad Christum Judæi dicentes: *Si tu es Christus dic nobis. Respondit Jesus: Dixi vobis, et non creditis. Opera, quæ ego facio in nomine Patris mei ipsa testimonium perhibent de me* [1]. Quid hic dicunt, qui in duos filios et duos Christos stulte dividunt unum Dominum Jesum Christum? De quo dicebant Judæi: Si tu es Christus, dic nobis libere? Quis porro ille, qui respondit: *Opera quæ ego facio in nomine Patris mei, ipsa testimonium perhibent de me?* Cujus esse dicemus proprium Patrem Deum? illiusne, qui ex muliere privatim et proprie natus sit, an Unigeniti? At posse Divinitatis opera perficere, non cadit in naturam humanam: longe enim abest ab ea facultate. Proinde cum Christus opera Patris effecerit, non est homo nudus existimandus, sed Deus potius, in carne et sanguine manens id, quod erat. Sic enim se habens æqualia cum proprio Patre opera perficiet, et nemo, qui sanus sit, mysterii notionem reprehenderit.

Et testimonium perhibuit Joannes: *Vidi*, inquiens, *Spiritum descendentem tanquam columbam e cœlo, et stetit super ipsum. Et ego ne sciebam eum, sed qui misit me baptizare in aqua, ipse mihi dixit: Super quem videris Spiritum descendentem, et stantem super eum, hic est qui baptizat in Spiritu sancto. Et ego vidi, et testimonium perhibui, quod hic est Filius Dei* [2]. Unum ostendit Pater, et de uno beatus loquitur evangelista: *Hic est Filius Dei*. De quo igitur intelligetur id quod dictum est? Si de proprio et solo Unigenito, hoc est, de Verbo, quod est ex Patre, quomodo Spiritum accipit, cum sit natura Deus, et Spiritum ha-

[1] Joan. x, 24, 25. [2] Joan. i, 32-34.

A τος ἡμᾶς τοῦ Θεοῦ καὶ Πατρὸς, εἴπερ ἐστὶν ἀληθὲς, ὅτι ζῶμεν ἐν αὐτῷ, καὶ κινούμεθα, καὶ ἐσμέν; Ὅτε τοίνυν ζῶμεν ἅπαντες διὰ τὸν Πατέρα, πῶς δὴ μόνον τὸ ἑνὸς ἀνθρώπου σῶμα τὸ ποιοῦν ἐστι τοῦτο, καὶ οὐχὶ δὴ μᾶλλον τὴν αὐτὴν ἐνέργειαν ἔχει καὶ τὰ ἑτέρων, εἴπερ ἅπαντες, ὡς ἔφην, ἐσμέν τε καὶ ζῶμεν διὰ τὸν Πατέρα; Τί οὖν πρὸς ταῦτά φαμεν; Ἀπόστολος κεχρημάτικεν ὁ τοῦ Θεοῦ Λόγος, ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνώς. Ἀπεστάλη γὰρ κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. Ζῇ δὲ διὰ τὸν Πατέρα· γεγέννηται γὰρ ἐκ ζῶντος Πατρός. Ἔδει γὰρ, ἔδει πάντη τε καὶ πάντως κατὰ φύσιν εἶναι ζωὴν τὸν ἐκ ζῶντός τε καὶ ζωῆς τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπεφυκότα Υἱόν. Ἐπεὶ δὲ ἴδιον ἐποιήσατο B σῶμα τὸ ἐκ τῆς ἁγίας Παρθένου ληφθὲν, ζωοποιὸν ἀπέφηνεν αὐτὸ, καὶ μάλα εἰκότως· σῶμα γάρ ἐστι τῆς τὰ πάντα ζωογονούσης ζωῆς. Οὐκοῦν οὐ διαιρετέον εἰς δύο υἱοὺς τὸν ἕνα Υἱὸν καὶ Χριστὸν καὶ Κύριον, εἴπερ ἐστὶν ὁ αὐτὸς ζωὴ μὲν ἐκ ζωῆς, καὶ ζῶντος Πατρὸς, ζωοποιὸς δὲ καὶ διὰ τοῦ ἰδίου σώματος, ὡς καθ' ἡμᾶς γεγονὼς, καὶ ἐνανθρωπήσας Θεός.

Προσῆεσάν ποτε τῷ Χριστῷ λέγοντες οἱ Ἰουδαῖοι· *Εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ἡμῖν παῤῥησίᾳ. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε· τὰ ἔργα, ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ.* Τί δὴ ἄρα κἂν τούτῳ φασὶν οἱ διορίζοντες ἀμαθῶς εἰς C υἱῶν δυάδα, καὶ εἰς δύο Χριστοὺς τὸν ἕνα Κύριον Ἰησοῦν Χριστόν; Περὶ τίνος ἔφασκον οἱ Ἰουδαῖοι, *Εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ἡμῖν παῤῥησίᾳ*; τίς δὲ ὁ λέγων, *Τὰ ἔργα, ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ*; Τίνος εἶναί φαμεν ἴδιον Πατέρα τὸν Θεόν; Ἆρα τοῦ ἐκ γυναικὸς ἀνὰ μέρος τε καὶ ἰδικῶς νοουμένου, ἢ τοῦ Μονογενοῦς; Καίτοι τὸ δύνασθαι κατορθοῦν τὰ τῆς θεότητος ἔργα πρέποι ἂν οὐκ ἀνθρωπείᾳ φύσει. Πόθεν; πολλοῦ γε καὶ δεῖ. Ἐπειδὴ δὲ ἐπλήρου ὁ Χριστὸς τὰ ἔργα τοῦ Πατρὸς, οὐκ ἄνθρωπος ἂν νοοῖτο ψιλὸς, Θεὸς δὲ μᾶλλον, ἐν αἵματι καὶ σαρκὶ μεμενηκὼς ὅπερ ἦν. Ἰσουργήσει γὰρ οὕτως ἔχων τῷ ἰδίῳ γεννήτορι, καὶ τὸν τοῦ μυστηρίου λόγον καταμωμήσαιτο ἂν οὐδεὶς τῶν εὖ φρονούντων.

D Καὶ ἐμαρτύρησεν ὁ Ἰωάννης λέγων, ὅτι *Τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτόν. Κἀγὼ οὐκ ᾔδειν αὐτὸν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ. Κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ.* Ἕνα δέδειχεν ὁ Πατὴρ, καὶ περὶ ἑνός φησιν ὁ μακάριος Εὐαγγελιστὴς, *Οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ*. Περὶ τίνος οὖν ἔσται τὸ εἰρημένον; Εἰ μὲν οὖν ἰδικῶς, καὶ κατὰ μόνας, τουτέστι τοῦ ἐκ Πατρὸς ὄντος μονογενοῦς Λόγου, πῶς τὸ Πνεῦμα δέχεται, καίτοι Θεὸς ὢν φύ-

σει, καὶ ἴδιον ἔχων αὐτό; εἰ δὲ ἀνὰ μέρος καὶ ἰδικῶς, ἤγουν κατὰ μόνας τὸν ἐκ γυναικὸς ἄνθρωπον δεδέχθαί φασι τῆς τοῦ Πνεύματος μετοχῆς, πῶς αὐτός ἐστιν ὁ βαπτίζων ἐν αὐτῷ, καίτοι μόνῃ πρέποντος τῇ ἀνωτάτῳ φύσει τοῦ καὶ ἀποφαίνειν δύνασθαι μετεσχηκότας τοῦ Πνεύματος τοὺς προσιόντας αὐτῇ; Εἰ δὲ δέχεται καὶ δίδωσιν ὁ αὐτὸς, πρόδηλον, ὅτι κατά γε τοὺς τῆς μετὰ σαρκὸς οἰκονομίας λόγους, καὶ καθὸ φύσει, καὶ ἀληθῶς ἐστι Θεός. Δέχεται μὲν γὰρ ἀνθρωπίνως οὐχ ἑαυτῷ μᾶλλον, ἀλλὰ τῇ ἀνθρώπων φύσει δι' ἑαυτοῦ, καὶ ἐν ἑαυτῷ πρῶτον προξενῶν αὐτό· δίδωσι δὲ θεϊκῶς ἐξ ἰδίας αὐτοῦ φύσεως τοῖς ἀξίοις τοῦ λαβεῖν ἐνιείς. Ἦν μὲν οὖν τῷ προκειμένῳ ῥητῷ προσεοικότα τε καὶ τὸν ἴσον ἔχοντα νοῦν παραθεῖναι καὶ ἕτερα· τὸ δέ γε ταυτοεπεῖν φορτικὸν εἰδότες, ἐκεῖνό φαμεν, ὡς ἀπόχρη τοῖς νουνεχεστέροις ἡ ἑνὸς ἐξήγησις εἰς τὴν τῶν ὁμοίως ἐχόντων ἀκριβῆ διασάφησιν. Οὐκοῦν ὁσάκις ἂν λέγοιτο Χριστὸς ἁγιάζεσθαι τυχεῖν, ἤγουν τὸ Πνεῦμα λαβεῖν, κατὰ τοῦτον αὐτὸν τὸν τρόπον προσήκει νοεῖν.

Περὶ δὲ τῆς ἡμέρας, ἢ τῆς ὥρας ἐκείνης οὐδεὶς οἶδεν, οὔτε οἱ ἄγγελοι τῶν οὐρανῶν, οὔτε ὁ Υἱὸς, εἰ μὴ ὁ Πατήρ. Εἰ Χριστὸν ἕνα, φασὶν, ὁμολογεῖν ἐγνώκατε τὸν τοῦ Θεοῦ Λόγον σεσαρκωμένον, ἤγουν ἐνηνθρωπηκότα, πῶς ἠγνόει τὴν τῆς συντελείας ἡμέραν; Φαμὲν οὖν, ὅτι ἀγνοῆσαι τυχὸν τὰ ἐν Θεῷ μυστήρια οὔτε ἀσύνηθες, οὔτε μὴν ἑτέρως ἀπρεπὲς ἂν εἴη τῇ κτίσει. *Τίς γὰρ ἔγνω νοῦν Κυρίου;* κατὰ τὸ γεγραμμένον. Καὶ εἰ λέγεται βραχὺ παρ' ἀγγέλους ὁ Υἱὸς ἠλαττῶσθαι, καθὸ γέγονεν ἄνθρωπος δηλονότι, καίτοι κτίσεως ἁπάσης ὢν ἐπέκεινα θεϊκῶς, τί τὸ θαῦμα, κἂν ὁμοῦ τοῖς ἀγγέλοις ἀγνοεῖν λέγεται τὸ ἐν Θεῷ μυστήριον, καίτοι σοφία καὶ δύναμις ὑπάρχων αὐτοῦ; Εἶτα πῶς ἂν ἠγνόησεν ἡ σοφία τοῦ Θεοῦ καὶ Πατρὸς τὰ ἐν αὐτῷ κεκρυμμένα; Καὶ εἰ τὸ Πνεῦμα λέγεται πάντα ἐρευνᾷν, καὶ τὰ βάθη τοῦ Θεοῦ, τὸ Πνεῦμα δέ ἐστι τοῦ Χριστοῦ, πῶς ἂν αὐτὸς ἠγνόησεν ἅπερ οἶδεν ἀκριβῶς τὸ Πνεῦμα αὐτοῦ; Οὐκοῦν κἂν ἀγνοεῖν ἀνθρωπίνως λέγηται, ἀλλ' οἶδε θεϊκῶς. Καὶ γοῦν, *Ποῦ τέθειται Λάζαρος;* ἐρωτῶν, ὡς ἐξὸν αὐτῷ μὴ εἰδέναι κατὰ τὸ ἀνθρώπινον, ἐνήργει θεϊκῶς, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. Ἀπονέμοντες τοίνυν τῇ μετὰ σαρκὸς οἰκονομίᾳ τὰ ἀνθρώπινα, τηρήσομεν εὐσεβῶς καὶ καθ' ἡμᾶς γεγονότι τῷ ἐκ Θεοῦ φύντι Λόγῳ τὰ θεοπρεπῆ.

Βαπτιζόμεθα ὥσπερ εἰς ἓν ὄνομα τοῦ Πατρὸς, οὕτω καὶ εἰς ἓν ὄνομα τοῦ Υἱοῦ, καὶ εἰς τὸν θάνατον αὐτοῦ, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον. Διδασκέτωσαν τοίνυν οἱ διορίζοντες εἰς υἱοὺς δύο τὸν ἕνα Χριστὸν καὶ Υἱὸν, ἄνθρωπόν τε Θεῷ συναφθῆναι λέγοντες, κατὰ μόνην τὴν ἰσότητα τῆς ἀξίας, ἤγουν αὐθεντίας, διῃρημένων τῶν φύσεων, εἰς τὸν τίνος θάνατον ἐβαπτίσθημεν; Εἰ μὲν ἰδικῶς εἰς τὸν τοῦ Θεοῦ Λόγον, κατηγορήσομεν ἐναργῶς τῆς ἀκηράτου φύσεως τὴν φθορὰν, καὶ καθοριοῦμεν θάνατον τῆς κατὰ φύσιν ζωῆς. Εἰ δὲ δὴ φαῖεν εἰς τὸν τοῦ ἐκ γυναικὸς ἰδίᾳ

beat proprium ac suum? Sin hominem privatim, et solum, qui ex muliere natus sit, Spiritu dixerint indigere, quomodo ipse est qui baptizat in ipso Spiritu, cum soli supremæ naturæ conveniat posse declarare Spiritus participes eos qui ad ipsum accedunt? Quod si unus atque idem est, qui suscipit, et qui largitur, perspicuum est, hæc fieri, quatenus pertinet ad assumptæ carnis dispensationem, et quatenus natura et vere Deus est. Suscipit enim ut homo, non magis sibi quam humanæ naturæ per seipsum et in seipso primo Spiritum concilians. Dat autem ut Deus, ex propria natura tribuens illis qui digni sunt, ut eum accipiant. Poteram huic sententiæ multas alias similes et eamdem habentes vim in medium proferre, verum cum idem repetere molestum sit, ex unius loci declaratione prudentes homines, cætera similia loca facile dicimus intellecturos. Itaque quoties Christus, aut sanctificari dicetur, aut Spiritum accipere, hoc modo convenit intelligere.

De die autem, aut hora illa nemo novit, neque angeli cœlestes, neque Filius, nisi Pater [1]. Si Christum unum, inquiunt, confitendum senseris Dei Verbum, quod carnem, seu hominem assumpsit, quomodo consummationis diem ignoravit? Respondemus nec insolitum esse, nec dedecere ut res procreatæ ignorent mysteria, quæ sunt in Deo. *Quis* enim, inquit, *novit sensum Domini* [2]? Et si Filius dicitur paulum ab angelis imminutus, quatenus homo factus est, quamvis ut Deus rebus præstet omnibus procreatis, quid mirum, si una cum angelis ignorare dicatur mysteria, quæ sunt in Deo? Atqui sapientia est, et virtus ipsius. Quomodo autem ignoret sapientia Dei et Patris quæ sunt in ipso abscondita? Et si Spiritus dicitur cuncta scrutari, etiam profunda Dei, Spiritus autem est Christi, quomodo Christus ignoravit ea quæ plane novit Spiritus ipsius? Dicendum igitur est, eum quamvis ignoret ut homo, scire tamen ut Deum. Nam cum etiam quæsisset, ubi Lazarus esset positus, tanquam ipsi ut homini liceret nescire, ut Deus tamen illum a mortuis excitans in vitam revocavit. Tribuentes igitur dispensationi, quæ in carne facta est, illa quæ sunt humana, Verbo ex Deo genito et secundum nos facto ea quæ Deo sunt digna conservabimus.

Quemadmodum in unum Patris nomen, sic et in unum Filii nomen, et in mortem ipsius, et in Spiritum sanctum baptizamur. Qui duos in filios unum Christum et Filium dividunt, Deoque hominem conjunctum asserunt, doceant, divisis secundum solam dignitatis, seu auctoritatis æqualitatem naturis, in cujus mortem baptizati sumus. Si separatim in Verbi Dei mortem, aperte naturæ immortali mortalitatem ascribemus, tribuemusque mortem ei qui per naturam est vita. Quod si dixerint, in mortem illius separatim, et sigillatim, et per se, qui ex

[1] Matth. xxiv, 36. [2] Rom. xi, 34.

muliere natus est, nonne perspicue dicent, eum omni ratione omnique modo cum Patre et Spiritu sancto conjunctum esse, expulso etiam fortasse ex veri Filii loco, Verbo ex Deo genito? Sed vide plane tu, qui mentem habes excitatam, absurdas hominum cogitationes. Necessarium igitur est, ut intelligamus, Dei Verbum ut nos, natum, sponte passum esse carne. Sic enim in mortem ipsius baptizati sumus, ut qui unus sit Filius, quantum ad divinitatis naturam pertinet, impatibilis, quantum autem ad carnem, patibilis.

Apparuit gratia Dei illa salutaris *omnibus hominibus, erudiens nos, ut abnegantes impietatem, et sæcularia desideria, sobrie, et juste, et pie vivamus in hoc sæculo, exspectantes beatam spem et adventum gloriæ magni Dei, et Salvatoris nostri Jesu Christi, qui dedit semetipsum ut nos redimeret ab omni iniquitate, et mundaret sibi populum acceptabilem, sectatorem bonorum operum* [1]. Quænam est hæc gratia, et cujus Dei, quæ nobis apparuit, et salutaris esse dicitur omnibus hominibus? Nonne Deus et Dominus, ut ex beati Davidis verbis perspicue patet, apparuit nobis, et ejus e cœlis adventum suscepimus, et ipse est Deus et Servator noster, Jesus Christus, qui dedit semetipsum pro nobis, ut nos ab omni peccato liberatos veros sibi adoratores adhiberet? Quis igitur Deum verum Emmanuelem esse neget, cum beatus Paulus eum magnum Deum et Salvatorem nostrum Jesum Christum appellet?

Et sine controversia magnum est pietatis mysterium. Deus manifestatus est in carne, justificatus est in Spiritu, visus est ab angelis, prædicatus est in gentibus, creditus est in mundo, assumptus est in gloria. Ecquis manifestatus est in carne? nonne plane atque omnino Verbum ex Deo Patre? Sic enim erit magnum pietatis mysterium. Visus autem est ab angelis in cœlum ascendens; prædicatus est in gentibus per sanctos apostolos, creditus est in mundo. Et nullo modo amplius dicimus, eum esse simpliciter hominem, quales nos sumus, sed Deum, qui in carne, uti nos, natus est, assumptus autem est in gloria, ut Deum et Patrem audiat dicentem: *Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum* [2].

Ex Epistola ad Romanos.

Ei autem, qui potest nos confirmare secundum Evangelium meum, et prædicationem Jesu Christi secundum revelationem mysterii, temporibus æternis taciti, manifestati autem nunc per Scripturas prophetarum secundum mandatum æterni Dei ad obedientiam fidei, in omnes gentes cogniti, soli sapienti Deo, per Jesum Christum, cui gloria et imperium in sæcula sæculorum. Amen [3]. Ecce palam dicit Evangelium, et prædicationem esse Jesu Christi, et occultatum ac tacitum fuisse mysterium de ipso

A τε καὶ ἀνὰ μέρος, καὶ καθ' ἑαυτὸν νοουμένου, πῶς οὐκ ἐκεῖνό φασιν ἀναφανδὸν, ὅτι πάντη τε καὶ πάντως αὐτὸς εἴη ἂν ὁ συντεταγμένος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι; τάχα που καὶ ἐξωσθέντος τῆς ἀληθοῦς υἱότητος τοῦ ἐκ Θεοῦ φύντος Λόγου. Ἀλλ' ὅρα που πάντως, ὁ νοῦν ἔχων διεγηγερμένον, τὴν τῶν ἐννοιῶν ἀτοπίαν. Οὐκοῦν ἀνάγκη νοεῖν, ὅτι γεγονὼς καθ' ἡμᾶς ὁ τοῦ Θεοῦ Λόγος, σαρκὶ πέπονθεν ἑκών. Βεβαπτίσμεθα γὰρ οὕτως εἰς τὸν αὐτοῦ θάνατον, ὡς ἑνὸς ὄντος Υἱοῦ, κατὰ μὲν τὴν τῆς θεότητος φύσιν ἀπαθοῦς, παθητοῦ δὲ κατὰ σάρκα.

Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος *πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως, καὶ δικαίως, καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν*
B *αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς δέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων.* Ποία χάρις ἐπέφανεν ἡμῖν, ἢ ποίου Θεοῦ, καίτοι γε λεγομένη σωτήριος εἶναι πᾶσιν ἀνθρώποις; Ἀλλ' ἔστι δῆλον, ὅτι Θεὸς ὢν ὁ Κύριος ἐπέφανεν ἡμῖν, κατὰ τὸν μακάριον Δαβὶδ, καὶ αὐτοῦ τὴν ἐξ οὐρανῶν τῆς δόξης ἐπιφάνειαν προσδεχόμεθα, καὶ αὐτός ἐστιν ὁ Θεὸς καὶ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς, ὃς δέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα πάσης ἁμαρτίας ἡμᾶς ἀπαλλάξας ἑαυτῷ παραστήσῃ γνησίους προσκυνητάς. Εἶτα τίς ὁ λέγων οὐκ εἶναι Θεὸν ἀληθῆ τὸν Ἐμμανουὴλ, τοῦ μακαρίου Παύλου περὶ αὐτοῦ λέγοντος,
C τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ,

Καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον. Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν Πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ. Τίς ὁ ἐν σαρκὶ φανερωθείς; ἢ δῆλον, ὅτι πάντη τε καὶ πάντως ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος; Οὕτω γὰρ ἔσται μέγα τὸ τῆς εὐσεβείας μυστήριον. Ὤφθη δὲ ἀγγέλοις ἀναβαίνων εἰς οὐρανοὺς, ἐκηρύχθη ἐν ἔθνεσι διὰ τῶν ἁγίων ἀποστόλων, ἐπιστεύθη δὲ καὶ ἐν κόσμῳ, καὶ οὔτι πού φαμεν, ὅτι καθ' ἡμᾶς ἄνθρωπος ἁπλῶς, ἀλλὰ Θεὸς ἐν σαρκὶ καὶ καθ' ἡμᾶς γεγονὼς, ἀνελήφθη δὲ καὶ ἐν δόξῃ, ἵνα λέγοντος ἀκούσῃ τοῦ Θεοῦ καὶ Πατρὸς, *Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς*
D *σου ὑποπόδιον τῶν ποδῶν σου.*

Ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς.

Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ Εὐαγγέλιόν μου, καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν μυστηρίου χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν διά τε Γραφῶν προφητικῶν, κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ, εἰς ὑπακοὴν πίστεως, εἰς πάντα τὰ ἔθνη γνωρισθέντος μόνῳ σοφῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἰδοὺ δὴ σαφῶς τὸ Εὐαγγέλιον, καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ φησιν εἶναι, καὶ κεκρύφθαι μὲν τὸ ἐπ' αὐτῷ

[1] Tit. II, 11-14. [2] Psal. CIX, 1. [3] Rom. XVI, 25-27.

μυστήριον, καὶ σεσιγῆσθαι χρόνοις αἰωνίοις, ἀποκαλυφθῆναι δὲ εἰς ὑπακοὴν πίστεως νῦν. Ἐπεστράφη γὰρ εἰς Χριστὸν τὰ ἔθνη, τῆς ψευδωνύμου λατρείας ἐξῃρημένα, καὶ ὡς Θεὸν αὐτὸν ἐπεγνωκότα τὸν φύσει καὶ ἀληθῶς. Καὶ εἰ σοφὸς διὰ Ἰησοῦ Χριστοῦ ἐγνώσθη Θεὸς, πῶς οὐ μέγα τὸ Χριστοῦ μυστήριον; εἰ δὲ νοεῖται καθ' ὑμᾶς ἄνθρωπος ἁπλῶς, καὶ οὐχὶ δὴ μᾶλλον Θεὸς ἐνηνθρωπηκὼς, οὐκέτι σοφὸν τὸ Χριστοῦ μυστήριον.

Ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. Μάχονται μὲν γὰρ ὁμολογουμένως ἀλλήλοις ἡ σὰρξ καὶ τὸ πνεῦμα, τουτέστι τὸ φρόνημα τὸ φυσικὸν, καὶ τῶν ἐμφύτων καὶ ἐν ἡμῖν ἡδονῶν τὸ κίνημα, καὶ τῆς κατὰ πνεῦμα ζωῆς ἡ δύναμις· κἂν ὁ θεῖος ἡμᾶς ἀναφέρῃ νόμος εἴς γε τὸ δεῖν ἑλέσθαι τὸ ἀγαθὸν, ἀλλ' ἡ τῆς σαρκὸς ἐπιθυμία καταβιάζεται πρὸς τὸ ἐναντίον. Λέλυται δὲ νῦν ἐν Χριστῷ τὸ ἀντιστατοῦν, καὶ ἠτόνησε μὲν τῆς ἁμαρτίας ὁ νόμος, κεκράτηκε δὲ ὁ τοῦ Πνεύματος, διὰ ποίαν αἰτίαν; *Πέπομφε γὰρ ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, ἵνα κατακρίνῃ τὴν ἁμαρτίαν ἐν τῇ σαρκί.* Εἶτα πῶς οὐ χρειωδεστάτη λίαν ἡ τοῦ Λόγου σάρκωσις; κατακέκριται γὰρ οὕτως ἐν τῇ σαρκὶ ἡμῶν ἡ ἁμαρτία. Εἰ δὲ οὐ γέγονε σὰρξ ὁ Λόγος, ἀπομεμένηκεν ἂν ἀδιόρθωτα τὰ καθ' ἡμᾶς, καὶ ἐδουλεύομεν τῇ σαρκὶ νόμῳ ἁμαρτίας, οὐδενὸς ἐν ἡμῖν αὐτὴν καταργήσαντος. Οὐκοῦν ἀναγκαίαν εἶναί φαμεν τὴν καθ' ὑπόστασιν ἕνωσιν τοῦ Λόγου πρὸς τὴν σάρκα, καὶ οὐχὶ δὴ μόνην τὴν ἐν προσώποις, καὶ κατὰ θέλησιν, ἤτοι συνάφειαν ἁπλῆν, καθὰ φασί τινες.

Τί οὖν ἐροῦσι πρὸς ταῦτα; *Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν; ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται,* εἰ τὸν ἴδιον Υἱόν; Δῆλον δὲ, ὅτι τὸν ἐκ τῆς οὐσίας αὐτοῦ δέδωκεν ὑπὲρ ἡμῶν ὁ Θεὸς καὶ Πατήρ. Πέπονθε δὲ κατὰ σάρκα, καὶ οὐ φύσει θεότητος. Ἴδιον ἄρα αὐτοῦ τὸ πεπονθὸς σῶμα ἦν, ἵνα καὶ αὐτὸς νοῆται παθὼν οἰκονομικῶς ὁ παθεῖν οὐκ εἰδώς. Τὸ τοίνυν ἀπομερίζειν εἰς δύο τὸν ἕνα δυσσεβές. Οὐκέτι γὰρ ἴδιον Υἱὸν εὑρίσκεται δοὺς ὑπὲρ ἡμῶν ὁ Πατὴρ, εἴπερ ἐστὶν ὁ Χριστὸς ἄνθρωπος διῃρημένος.

Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων; Χριστὸς Ἰησοῦς ὁ ἀποθανὼν, μᾶλλον δὲ καὶ ἐγερθεὶς ἐκ νεκρῶν, ὅς ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν. Εἰ δικαιοῖ τῇ πίστει Χριστὸς, Θεὸς δέ ἐστιν ὁ δικαιῶν, Θεὸς ἄρα ἀληθὴς ὁ Χριστός. Καὶ εἴπερ ἐστὶν ἐν δεξιᾷ τοῦ Θεοῦ, καίτοι τεθνεὼς, καὶ ἐγηγερμένος, συγκάθηταί τε τῷ Πατρὶ, ἴδιον ἄρα τοῦ Λόγου σῶμά ἐστι. Συνεδρεύει γὰρ τῷ Πατρὶ μετὰ τῆς ἀναληφθείσης σαρκὸς, ὡς Υἱὸς κατὰ φύσιν, εἰ καὶ γέγονε σὰρξ ὁ Λόγος.

A sæculis æternis, reve'atum autem esse nunc ad obedientiam fidei. Conversæ enim sunt gentes ad Christum, Quoniam largitus est nobis, inquit, Apostolus, non solum, ut in ipsum credamus, verum etiam ut pro ipso patiamur. Si in muneris loco a Deo accepimus, ut in Christum credamus, non erravimus autem ob id, sed novimus natura et vere Deum exsistentem, quomodo quisquam Deum esse Christum dubitabit?

Deus Filium suum mittens in similitudine carnis peccati, damnavit peccatum in carne, ut justitia legis impleatur in nobis non secundum carnem ambulantibus, sed secundum spiritum. Pugnant enim profecto inter se caro et spiritus, hoc est, carnis sensus, et voluptatum, quæ in nobis B insitæ sunt, motus, et vitæ virtus, quæ est secundum Spiritum. Et quanquam divina lex eo nos vocet, ut bonum eligamus, tamen carnis cupiditas nos in contrarium trahit. Nunc autem in Christo contentio soluta est, et peccati lex est debilitata, Spiritus vero lex convaluit, ecquam ob causam? *Misit enim Deus Filium suum in similitudine carnis peccati, ut peccatum damnaret in carne* [1]. Nonne igitur carnis assumptio fuit necessaria, cum per illam in carne nostra peccatum damnatum sit? Quod si Verbum caro factum non est, rebus nostris non est consultum, servimus carni lege peccati, cum illam in nobis destruxerit nemo. Itaque necessariam esse dicimus Verbi cum carne conjunctionem C in persona, et non solum voluntate, sive contactu simplici, ut quidam asserunt.

Quid ergo dicent ad hæc? *Si Deus pro nobis, quis contra nos? Qui proprio quidem Filio non pepercit, sed pro nobis omnibus tradidit illum, quomodo non etiam cum illo nobis omnia donabit* [2]? Proprium Filium, eum nimirum, qui ex ejus essentia est, tradidit pro nobis Deus et Pater, passus est autem carne, non natura divinitatis. Proprium ejus corpus passum est, ut ipse quoque, qui pati non potest, dispensationis ordine pati intelligatur. Quamobrem unum in duos dividere impium est. Neque enim proprium dedisse Filium pro nobis D Pater deprehenditur, siquidem est Christus homo divisus.

Deus, qui justificat, quis est, qui condemnet? Christus Jesus, qui mortuus est, imo vero et a mortuis resurrexit, qui est in dextera Dei, qui et interpellat pro nobis [3]. Si fide justificat Christus, Deus autem est, qui justificat, Deus utique verus est Christus. Et si est in dextera Dei, is qui mortuus est, et resurrexit, et cum Patre considet, corpus nimirum est Verbi proprium. Considet enim cum Patre simul cum carne assumpta, tanquam Filius per naturam, licet Verbum caro factum sit.

[1] Rom. VIII, 3. [2] Ibid. 32. [3] Ibid. 34.

Ex oratione ad reginas habita.

Cognoscite enim gratiam Domini nostri Jesu Christi, quia propter nos pauper factus est, ut nos illius paupertate divites efficiamur. Vide in his mihi, et valde perspicue, tum naturæ divinæ atque immortalis excellentiam, tum abjectam atque humilem humanitatis mensuram, et cum hac conjunctionem atque congressum, ad eum sese Unigenito demittente. Nulla enim oratio queat divinitatis divitias explicare, contra vero humanitas pauper admodum est, cui omnia sunt divino et cœlesti munere data, etiam illud ipsum, quod est. Vocata enim est a Deo, ut esset, cum aliquando non esset. At ipse dives, utpote Deus, volens evasit pauper, et factus est homo, ut hominis natura deinceps in divinæ præstantiæ sublimitatibus, in Christo existens, paupertatis turpitudinem exueret. Nos enim Deus et Pater in Christo suscitavit, et consedere fecit in cœlestibus, ut scriptum est. In quibus profecto nunquam fuissemus constituti, nisi natura ipse dives, utpote Deus, pauperem induisset. Quomodo enim pauper fieri potuisset homo, qui propria natura egenus et pauper est? Æquius ergo id pertulit vere dives, hoc est, Verbum ex Deo Patre genitum, quando est homo factum.

Ex eadem oratione.

At *in ipso*, inquit, *habitavit omnis plenitudo divinitatis corporaliter* [1]. Ecce perspicue Christum novit alterum separatim, nempe hominem natum ex muliere, in quo Verbum ab eo diversum, id est, omnis plenitudo divinitatis habitavit corporaliter. Ad hæc respondemus, Paulum divino afflatum Spiritu duos Christos non agnoscere, sed unum prædicare, quemadmodum et Patrem unum: *Nobis enim*, inquit, *unus Deus et Pater, a quo omnia, et nos in ipsum, et unus Dominus Jesus Christus, per quem omnia, et nos per ipsum* [2]. In quo igitur habitavit omnis plenitudo divinitatis corporaliter? Si privatim et sigillatim in Dei Verbi natura id factum dixeris, non minus stulte senties, quam si ipsum Unigenitum in seipso habitasse contenderes. Qui autem Verbum carnem factum ita credunt, ut non immutatum conversumque sit, sed ut in nobis habitarit, et proprium sibi templum fecerit, corpus animam ratione præditam habens, quod sibi vere conjunxit, pie dicent, admirabilem Paulum, cum vellet indicare Verbi habitationem in carne, seu veram conjunctionem, dixisse, in ipso habitare omnem plenitudinem divinitatis, non magis quod ejus esset particeps, aut habitu et gratiæ munere eam haberet, quam corporaliter, id est per essentiam, non aliter, quam si in homine dicatur spiritus ejus habitare, cum ab eo diversus non sit. Sæpe tamen in una persona duplicem nobis loquendi ratio et figura personam affert, nec propterea quidquam

A *Ἐκ τοῦ πρὸς τὰς βασιλίδας προσφωνητικοῦ.*

Γινώσκετε γὰρ τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι' ὑμᾶς ἐπτώχευσε πλούσιος ὤν, ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε. Ἄθρει δή μοι καὶ μάλα σαφῶς ἔν γε τουτοισὶ καὶ τῆς θείας καὶ ἀκηράτου φύσεως τὴν ὑπεροχὴν, καὶ τῶν τῆς ἀνθρωπότητος μέτρων τὸ ὑφειμένον, καὶ προσέτι τούτῳ τὴν ἐν ἑνότητι σύμβασιν ἑαυτὸν καθέντος εἰς τοῦτο τοῦ Μονογενοῦς. Οὐδεὶς μὲν γὰρ λόγος διερμηνεύσειεν ἂν τὸν τῆς θεότητος πλοῦτον. Πτωχὴ δὲ λίαν ἡ ἀνθρωπότης, ᾗ πάντα ἐστὶ θεόσδοτά τε καὶ ἄνωθεν, καὶ αὐτὸ δὲ πρὸ πάντων τὸ εἶναι. Κέκληται γὰρ παρὰ τοῦ Θεοῦ πρὸς ὕπαρξιν μὴ οὖσά ποτε. Ἀλλ' ὁ πλούσιος ὡς Θεὸς ἐθελοντὴς ἐπτώχευσε, καὶ γέγονε καθ' ἡμᾶς, ἵνα λοιπὸν ἡ ἀνθρώπου φύσις ἐν
B τοῖς τῆς θείας ὑπεροχῆς ὑψώμασιν ἐν Χριστῷ γενομένη τὸ τῆς πτωχείας αἶσχος ἀποσκευάσηται. Συνήγειρε γὰρ ἡμᾶς ὁ Θεὸς καὶ Πατὴρ ἐν Χριστῷ, καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις, καθὰ γέγραπται· ἀλλ' οὐκ ἂν γεγόναμεν ἐν τούτοις, εἰ μὴ τὴν πτωχεύσασαν ἠμπέσχετο φύσιν ὁ πλούσιος ὡς Θεός. Οὐ γάρ που πτωχεύσειεν ἂν ὁ κατὰ φύσιν ἰδίαν πτωχεύων ἄνθρωπος. Πάθοι δ' ἂν τοῦτο πρεπωδέστερον ὁ πλούσιος ἀληθῶς, τουτέστιν ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, ὅτε γέγονε καθ' ἡμᾶς. Εἷς οὖν ἄρα ἐστὶ Χριστὸς καὶ Υἱός.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἀλλ' ἰδοὺ, φησὶν, *ἐν αὐτῷ κατῴκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς.* Ἰδοὺ σαφῶς Χριστὸν
C ἕτερον οἶδεν ἰδικῶς τὸν ἐκ γυναικὸς ἄνθρωπον, ἐν ᾧ κατῴκησεν ὡς ἕτερος παρ' αὐτὸν ὁ Λόγος, ἤτοι πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. Πρὸς δὴ τὰ τοιαῦτά φαμεν, ὅτι δύο Χριστοὺς ὁ Πνευματοφόρος οὐκ οἶδεν, ἀλλ' ἕνα κηρύττει, καθάπερ ἀμέλει καὶ ἕνα Πατέρα. *Ἡμῖν γὰρ*, φησὶν, *εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτὸν, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ.* Ἐν τίνι δὴ οὖν κατῴκηκε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς; Ἰδικῶς μὲν οὖν, καὶ κατὰ μόνας ἐν τῇ τοῦ Θεοῦ Λόγου φύσει τοῦτο πεπρᾶχθαι νομίζειν εὔηθες κομιδῆ· ἴσον γὰρ ὡς αὐτὸς ἐν ἑαυτῷ κατῴκησεν ὁ Μονογενής· πιστεύοντας δὲ ὅτι γέγονε σὰρξ ὁ Λόγος οὐ κατὰ μετάστασιν, ἢ τροπὴν,
D ἀλλ' ὅτι μᾶλλον ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ναὸν ἴδιον ἐποιήσατο τὸ ἑνωθὲν αὐτῷ κατὰ ἀλήθειαν σῶμα, ψυχὴν ἔχον τὴν λογικὴν, εὐσεβὲς εἰπεῖν, ὅτι τὴν ἐν τῇ ἁγίᾳ σαρκὶ τοῦ Λόγου κατοίκησιν, ἤγουν ἕνωσιν, ἀληθῆ κατασημαίνων ἡμῖν ὁ θεσπέσιος Παῦλος, ἐν αὐτῇ φησι κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότητος, οὐ μεθεκτῶς μᾶλλον, ἢ σχετικῶς, ἤγουν ὡς ἐν δόσει χάριτος, ἀλλὰ σωματικῶς, ὅ ἐστιν οὐσιωδῶς, ὡς ἂν εἰ καὶ ἐν ἀνθρώπῳ λέγοιτο κατοικεῖν τὸ πνεῦμα αὐτοῦ, οὐχ ἕτερον ὂν παρ' αὐτόν. Ἐφ' ἑνὸς δὲ προσώπου πολλάκις διπρόσωπον ἡμῖν εἰσφέρεται λόγου σχῆμα, καὶ κατ' οὐδένα τρόπον ἀδικεῖ τὴν ἀλήθειαν· οἷον φέρε εἰπεῖν, ὡς εἰ λέγοιτο περὶ Θεοῦ παρὰ τῆς θεοπνεύστου Γραφῆς, *Ὁ πλάσσων πνεῦμα*

[1] Coloss. II, 9. [2] I Cor. VIII, 6.

ἀνθρώπου ἐν αὐτῷ. Καίτοι πῶς οὐχ ἅπασιν ἐναργὲς, ὡς οὐκ ἂν νοοῖτο παρὰ τὸν ἄνθρωπον ἕτερον τὸ ἐν αὐτῷ πλαττόμενον αὐτοῦ πνεῦμα; Φησὶ δέ που καὶ ὁ μακάριος Δαβὶδ, *Νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν, καὶ ἔσκαλλε τὸ πνεῦμά μου.* Εἶτα τίς ἦν ὁ μετὰ τῆς ἑαυτοῦ καρδίας ἀδολεσχῶν, καὶ τὸ ἴδιον πνεῦμα σκαλεύων; Χρὴ τοιγαροῦν τὰ μὲν τῶν λόγων σχήματα μὴ σφόδρα φιλοκρινεῖν, ἀφορᾷν δὲ μᾶλλον εἰς αὐτῶν τῶν πραγμάτων τὰς φύσεις, καὶ ἐξ αὐτῶν εὖ μάλα ποδηγουμένους ἐπ' αὐτὴν ἰέναι τὴν ἀλήθειαν.

Ἐκ τῆς πρὸς Γαλάτας.

Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. Γέγραπται γὰρ, Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. Τοῦ νομικοῦ γράμματος ἐπάρατον ἀποφαίνοντος τὸν ἐν παραβάσει καὶ ἁμαρτίᾳ, ὁ μὴ εἰδὼς ἁμαρτίαν, τουτέστι Χριστὸς, ὑπενήνεκται τῇ δίκῃ, ψῆφον ἄδικον ὑπομείνας, καὶ τὰ τοῖς ἐν ἀρᾷ πρέποντα παθὼν, ἵνα ὁ τῶν ὅλων ἀντάξιος ὑπὲρ πάντων ἀποθανὼν, τῆς ἁπάντων ἀπειθείας λύσῃ τὰ ἔπαθλα, καὶ ἀγοράσῃ τὴν ὑπ' οὐρανὸν αἵματι τῷ ἰδίῳ. Οὐκ ἂν οὖν γέγονεν εἷς ἁπάντων ἀντάξιος, εἴπερ ἦν ἄνθρωπος ἁπλῶς. Εἰ δὲ δὴ νοοῖτο Θεὸς ἐνηνθρωπηκὼς, καὶ σαρκὶ τῇ ἰδίᾳ παθὼν, ὀλίγη πρὸς αὐτὸν ἡ σύμπασα κτίσις, καὶ ἀπόχρη πρὸς λύτρον τῆς ὑπ' οὐρανὸν ὁ μιᾶς σαρκὸς θάνατος. Ἰδία γὰρ ἦν τοῦ ἐκ Θεοῦ Πατρὸς φύντος Λόγου.

Ἐκ τῆς πρὸς Ἑβραίους.

Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον. Καὶ πάλιν, *Ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην,* λέγει, *Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ.* Καὶ αὖθις, *Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ποιησάμενος, ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τοσούτῳ κρείττων γενόμενος, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων, Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε;* Οὐκοῦν ὅτε γέγονε πρωτότοκος ὁ Ἐμμανουὴλ ἐν πολλοῖς ἀδελφοῖς, τότε καὶ εἰσκεκομίσθαι φησὶν αὐτὸν εἰς τὴν οἰκουμένην. Ἔξω γὰρ ἦν κατὰ φύσιν ἰδίαν τῆς κτίσεως ὁ Θεός. Τότε καὶ ἠλαττῶσθαί φησιν αὐτὸν παρὰ τοὺς ἀγγέλους, καίτοι διαφορώτερον παρ' αὐτοὺς λαχόντα τὸ ὄνομα. Τὸ μὲν γὰρ ἄγγελος λειτουργίας ἐστὶ σημαντικὸν, οἰκετικόν τε ἡμῖν ὑπεμφαίνει μέτρον. Ἀποστέλλονται γὰρ εἰς διακονίαν διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν. Ὁ δέ γε Υἱὸς τὴν ἐκ Πατρὸς ὕπαρξιν οὐσιώδη τε καὶ φυσικὴν κατασημήνειεν ἂν, ὅτι καὶ ἀληθῶς τὴν γέννησιν πεπρᾶχθαι πιστεύομεν. Πῶς οὖν ἠλάττωται παρὰ τοὺς ἀγγέλους ὁ πρὸς αὐτῶν

A detrahit veritati. Exempli gratia si de Deo Scriptura divina dicat: *Qui fingit spiritum hominis in ipso* [1]. Cui enim perspicuum non sit, spiritum qui in homine fingatur, non esse diversum ab ipso homine? Dicit etiam quodam loco beatus David: *Meditatus sum nocte cum corde meo, et scopebat spiritus meus* [2]. Qui est, qui meditatur cum corde suo, et proprius spiritus scopens? Non admodum igitur curandæ sunt figuræ verborum, sed ipsæ potius rerum naturæ considerandæ, et ex ipsis ad veritatem progrediendum est.

Ex Epistola ad Galatas.

Christus liberavit nos a maledicto legis, factus ipse pro nobis maledictum. Scriptum est enim: Maledictus omnis, qui pendet in ligno [3]. Legalis B litteræ, quæ detestabilem et exsecrandum declarat eum qui in transgressione, et peccato est, ille qui peccatum non novit, nempe Christus, judicium subiit, sententiam sustinens injustam, et ea quæ maledictis atque exsecrandis conveniunt, perferens, ut quia amplum est salutis omnium pretium, pro omnibus moriens debita omnium contumaciæ supplicia solveret, et proprio sanguine in cœlum ceditum compararet. Non autem unius fuisset amplum salutis omnium pretium, si esset homo simpliciter. Sin Deus hominem indutus et propria carne passus intelligatur, exiguus est pro tanto pretio rerum omnium procreatarum numerus, satisque fuit ad reditum in cœlum recuperandum unius carnis mors, C quæ propria esset Verbi ex Patre geniti.

Ex Epistola ad Hebræos.

Eum autem, qui paulum quid ab angelis imminutus est, videmus Jesum per passionem mortis gloria et honore coronatum [4]. Et rursum: *Cum autem introducit Primogenitum in orbem terrarum, Et adorent, inquit, eum omnes angeli Dei* [5]. Et rursum: *Qui cum sit splendor gloriæ et figura substantiæ ejus portansque omnia verbo virtutis suæ, per seipsum purgationem peccatorum nostrorum faciens, sedet in dextera sedis majestatis in excelsis, tanto præstantior angelis factus, quanto differentius præ illis nomen hæreditavit. Cui enim dixit aliquando angelorum: Filius meus es tu, ego hodie genui te* [6]? Cum igitur natus est primogenitus Emmanuel in multis D fratribus, tunc ipsum introductum fuisse dicit in orbem terrarum. Extra enim res procreatas erat Deus natura sua. Tunc et minorem angelis factum ait, cum tamen excellentius, quam illi, nomen hæreditarit. Angelus enim est officii nomen, quod supplicem nobis mensuram indicat. Mittuntur enim in ministerium, propter eos qui salutis hæreditatem sunt adepturi. Filius autem exsistentiam naturamque significat, quoniam et vere ortum credimus. Quomodo igitur minor angelis factus est, qui ab ipsis adoratur? qui cum Patre considet? Sed clara est propositio. Descendit enim in mensura humanitatis, assumens corpus mortale, sibique

[1] Zachar. XII, 1. [2] Psal. LXXI, 7. [3] Galat. III, 13. [4] Hebr. II, 9. [5] Hebr. I, 6. [6] ibid. 3-6.

ipsum proprium faciens, in ipso sponte sua passus est, et propter mortem suprema gloria coronatur, ut qui morte sua mortem destruxerit, et corruptionem invalidam effecerit, quippe qui ipsa est incorruptio atque vita. Quando igitur Jesum nominat, et minorem angelis factum dicit, ipsum non hominem per se sigillatim intelligimus, sed Unigenitum, salutis humanæ consilio, præstantia sanctis angelis cedentem, quia vere factus est homo, qui angelorum vincitur excellentia. Quæ quidem excellentia in eo sita est, quod et carnis et mortis expertes sunt, cum utriusque propter voluntariam exinanitionem Filius particeps esse voluerit. At qui propter humanitatis conditionem angelis paulo minor effectus est, is in excellentia divinitatis exsistens ab illis adoratur et sedet in sedibus, quas illi constituunt, eum semper collaudantes et potestatum Dominum appellantes.

A προσκυνούμενος; ὁ σύνεδρος τῷ Πατρί; Ἀλλ' ἔστι σαφὴς ἡ πρότασις. Καθίκετο γὰρ ἐν τοῖς τῆς ἀνθρωπότητος μέτροις καὶ τὸ ἀποθνήσκειν πεφυκὸς σῶμα λαβὼν, ἴδιόν τε αὐτῷ ποιησάμενος, ἐν αὐτῷ πέπονθεν ἑκὼν, καὶ ταῖς ἀνωτάτω δόξαις στεφανοῦται διὰ τὸ πάθος, ὡς δι' αὐτοῦ καταργήσας τὸν θάνατον, καὶ ἄπρακτον ἀποφήνας τὴν φθορὰν, ἅτε δὴ καὶ ὑπάρχων ἀφθαρσία καὶ ζωή. Ὅταν οὖν Ἰησοῦν ὀνομάζῃ, καὶ ἠλαττῶσθαι λέγῃ παρὰ τοὺς ἀγγέλους αὐτὸν, οὐκ ἄνθρωπον ἀνὰ μέρος καὶ ἰδικῶς, ἀλλ' αὐτὸν νοοῦμεν τὸν Μονογενῆ παραχωροῦντα τὸ προὔχειν οἰκονομικῶς τοῖς ἁγίοις ἀγγέλοις, ὅτι ἀληθείᾳ γέγονεν ἄνθρωπος ὁ τῆς ἐκείνων ὑπεροχῆς ἡττώμενος. Τὰ δὲ τῆς ὑπεροχῆς τοῖς ἁγίοις ἀγγέλοις, ὅτι καὶ ἔξω σαρκὸς, καὶ τοῦ τεθνάναι κρείττους εἰσὶ, γεγονότος ἐν τούτοις τοῦ B Υἱοῦ διὰ τὴν ἑκούσιον κένωσιν. Ἀλλ' ὁ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένος διά γε τὸ τῆς ἀνθρωπότητος μέτρον, ἐν ὑπεροχῇ θεότητος ὢν, προσκυνεῖται παρ' αὐτῶν, καὶ ἐνίδρυται θώκοις, οὓς περιεστᾶσιν ἐκεῖνοι δοξολογοῦντες ἀεὶ, καὶ τῶν δυνάμεων αὐτὸν ὀνομάζοντες Κύριον.

Ejusdem ex libro, qui ex interrogatione responsione constat.

Nam genuit quidem Deus ac Pater Filium ex seipso, generatione una. Cæterum placuit ei instaurare in ipso genus humanum per incarnationem sive humanationem, quam omnino fieri oportuit per nativitatem ex muliere, ut per similitudinem quam nobiscum habet Verbum ex Deo ortum, condemnetur quidem in membris carnis nostræ lex peccati; in similitudine autem mortis ejus qui mortem non novit, evacuetur mors. « Si enim complantati facti sumus, inquit, similitudini mortis ejus: simul et resurrectioni erimus [1]. » Necessario itaque is qui semper exsistit, natus est secundum carnem, nostra in seipsum transferens, ut nimirum genimina carnis, hoc est, nos, corruptioni perditionique obnoxii, maneamus in ipso, quippe qui, quæ nostra sunt, propria sibi fecerit, et sua nobis. Propter nos enim egnit, cum esset dives, ut nos ipsius inopia dites evaderemus [2]. Qui vero asserunt non ipsum Verbum ex Deo factum esse carnem ex muliere, omnem salutis nostræ dispensationem tollunt. Nisi enim dives cum esset eguit, præ immensa sua benignitate se ad nostra demittens, ne nos quidem quæ ipsius sunt consecuti sumus: sed adhuc in veteri egestate versamur, exsecrationique et morti ac peccato obnoxii sumus. Nam eo ipso quod Verbum caro factum est, sublata sunt ea quæ ex maledictione et condemnatione humanæ naturæ acciderant. Quocirca si salutis nostræ radicem convellunt, et spei nostræ fundamentum subvertunt, quid deinceps de nobis fiet? Nam si Verbum caro factum non est, ut dixi, ne mortis quidem imperium excussum est, et peccatum nulla ratione abolitum fuerit, sed adhuc primi parentis, hoc est, Adami, prævaricationi obnoxii sumus, neque in meliorem statum translati sumus, per Christum, inquam, omnium Servatorem.

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ πεῦσιν καὶ ἀπόκρισιν λόγου.

Γεγέννηκε μὲν γὰρ ὁ Θεὸς καὶ Πατὴρ τὸν Υἱὸν ἐξ ἑαυτοῦ, γεννήσει μιᾷ· πλὴν εὐδόκησεν ἐν αὐτῷ τὸ ἀνθρώπινον ἀνασῶσαι γένος, τρόπῳ τῷ κατὰ τὴν σάρκωσιν, ἤγουν ἐνανθρώπησιν, ἣν πάντη τε καὶ πάντως γενέσθαι ἐχρῆν, διὰ γεννήσεως δηλονότι τὴν ἐκ γυναικὸς, ἵνα τῇ πρὸς ἡμᾶς ὁμοιώσει τοῦ ἐκ Θεοῦ φύντος Λόγου, κατακρίνηται μὲν ἐν τοῖς μέλεσι τῆς σαρκὸς C τῆς ἁμαρτίας ὁ νόμος, ἐν ὁμοιώματι δὲ θανάτου τοῦ μὴ εἰδότος αὐτὸν καταργῆται θάνατος. « Εἰ γὰρ σύμφυτοι γεγόναμεν, φησὶ, τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα. » Οὐκοῦν ἀναγκαίως ὁ ὢν καὶ ὁ ὑπάρχων γεγέννηται κατὰ σάρκα, τὰ ἡμῶν εἰς ἑαυτὸν μεταθεὶς, ἵνα τὰ σαρκὸς γεννήματα, τουτέστιν, ἡμεῖς οἱ φθαρτοί τε καὶ ἀπολλύμενοι, μένωμεν ἐν αὐτῷ, ἴδια λοιπὸν ἔχοντι τὰ ἡμῶν, ἵνα καὶ ἡμεῖς τὰ αὐτοῦ. Δι' ἡμᾶς γὰρ ἐπτώχευσε πλούσιος ὢν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν. Φάσκοντές γε μὴν, οὐκ αὐτὸν γενέσθαι σάρκα τὸν ἐκ Θεοῦ Λόγον, ἤτοι γέννησιν ὑπομεῖναι τὴν κατὰ σάρκα ἐκ γυναικὸς, ἀναιροῦσι τὴν οἰκονομίαν. Εἰ γὰρ μὴ πλούσιος ὢν ἐπτώχευσε, D καθεὶς ἑαυτὸν τοῖς καθ' ἡμᾶς ἐκ φιλανθρωπίας, οὐδὲ ἡμεῖς τὰ αὐτοῦ πεπλουτήκαμεν, ἀλλ' ἐσμὲν ἐν τῷ πτωχεύειν ἔτι καὶ ἀρᾷ καὶ θανάτῳ καὶ ἁμαρτίᾳ ἐνισχημένοι. Τὸ γάρτοι γενέσθαι σάρκα τὸν Λόγον, λύσιν ἔχει καὶ ἀνατροπὴν τῶν ἐξ ἀρᾶς καὶ δίκης τῇ τοῦ ἀνθρώπου φύσει συμβεβηκότων. Οὐκοῦν, εἰ ἀναβοθρεύουσι τῆς σωτηρίας ἡμῶν τὴν ῥίζαν, καὶ τὸν τῆς ἐλπίδος θεμέλιον ἀνορύττουσι, ποῦ τὰ μετ' αὐτὸν ἔτι κείσεται; Οὐ γὰρ γεγονότος, ὡς ἔφην, σαρκὸς τοῦ Λόγου, οὔτε τοῦ θανάτου κατεσείσθη τὸ κράτος, κατήργηται δὲ κατ' οὐδένα τρόπον ἡ ἁμαρτία, καὶ ἐσμὲν ἔτι ταῖς τοῦ πρώτου παραβάσεσιν ἔνοχοι, τουτέστιν Ἀδὰμ, οὐδεμίαν ἀναφοίτησιν ἔχοντες εἰς τὸ ἄμεινον, τὴν διά γέ φημι τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ.

[1] Rom. VI, 5. [2] II Cor. VIII, 9.

B. Συνίημι ὃ φῄς.

A. Τίς δ' ἂν καὶ νοοῖτο πρὸς ἡμῶν ὁ παραπλησίως ἡμῖν μετεσχηκὼς αἵματος καὶ σαρκὸς, ὡς ἕτερος ὢν παρ' ἡμᾶς κατὰ φύσιν; Οὐ γάρ τοι φαίη τις ἂν ἀνθρώπῳ πρέπειν, τὸ ἀνθρωπότητος μετασχεῖν.» Ὃ γάρ ἐστι κατὰ φύσιν, πῶς ἄν τις νοοῖτο λαβὼν, ὡς ἕτερον ὄν τι παρ' ὅπερ ἐστίν; Ἆῤ' οὐ πολὺ τὸ εἰκὸς ὁ λόγος ἔχει;

B. Πάνυ μὲν οὖν.

A. Ἄθρει δὲ δὴ καὶ ἑτέρως, ὡς ἀνόσιόν τέ ἐστι καὶ ἀπηχὲς, τὸ ἀναιρεῖν πειρᾶσθαι τοῦ Θεοῦ Λόγου τὴν ἐκ γυναικὸς κατὰ σάρκα γέννησιν. Τίνι γὰρ τρόπῳ ζωοποιήσειεν ἂν τὸ σῶμα αὐτοῦ, εἰ μὴ ἔστιν ἴδιον αὐτοῦ, ὅς ἐστι ζωή; πῶς τὸ αἷμα Ἰησοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας, εἴπερ ἐστὶν ἀνθρώπου κοίνου καὶ ὄντος ὑφ' ἁμαρτίαν; πῶς ἀπέστειλεν ὁ Θεὸς καὶ Πατὴρ τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον; πῶς κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί; Οὐ γὰρ ἦν ἀνθρώπου κοινοῦ, καὶ τυραννουμένην ἔχοντος μεθ' ἡμῶν ὑπὸ τῆς ἁμαρτίας τὴν φύσιν, τὸ κατακρῖναι τὴν ἁμαρτίαν. Ἐπεὶ δὲ σῶμα γέγονε τοῦ πλημμελεῖν οὐκ εἰδότος, ταύτῃ τοι καὶ μάλα εἰκότως τὴν τῆς ἁμαρτίας ἀπεσείσατο τυραννίδα, καὶ τὴν ἰδιότητα πλουτεῖ τοῦ ἀφράστως αὐτῇ καὶ ὡς οὐκ ἔστιν ἑνωθέντος Λόγου, ἅγιόν τε καὶ ζωοποιόν ἐστι, καὶ τῆς θεοπρεποῦς ἐνεργείας ἔμπλεων. Ὡς ἐν ἀπαρχῇ δὲ Χριστῷ, μετεστοιχειώμεθα καὶ ἡμεῖς, εἰς τὸ εἶναι καὶ φθορᾶς καὶ ἁμαρτίας κρείττονες. Καὶ ἀληθὲς, ὅτι, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνὴν, « Ὥσπερ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου, » τουτέστι Χριστοῦ. Ἐπουράνιος δὲ ἄνθρωπος νοεῖται Χριστὸς, οὐχ ὡς ἄνωθεν ἡμῖν καὶ ἐξ οὐρανοῦ τὴν σάρκα κατενεγκὼν, ἀλλ' ὅτι Θεὸς ὢν ὁ Λόγος, καταβέβηκεν ἐξ οὐρανῶν, καὶ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ὑπελθὼν, τουτέστι, γέννησιν ὑπομείνας τὴν κατὰ σάρκα ἐκ γυναικὸς, μεμένηκεν ὅπερ ἦν, ἄνωθεν δηλονότι καὶ ἐξ οὐρανῶν, καὶ ἐπάνω πάντων ὡς Θεὸς, καὶ μετὰ σαρκός. Οὕτω γάρ πού φησιν ὁ θεσπέσιος Ἰωάννης περὶ αὐτοῦ· « Ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστίν. » Ἀπομεμένηκε γὰρ τῶν ὅλων Κύριος, καὶ ἐν τῇ τοῦ δούλου μορφῇ γεγονὼς οἰκονομικῶς, καὶ παράδοξον ἀληθῶς διὰ ταῦτά ἐστι τὸ Χριστοῦ μυστήριον. Καὶ γοῦν ἔφη που πρὸς Ἰουδαίους δι' ἑνὸς τῶν προφητῶν ὁ Θεὸς καὶ Πατήρ· « Ἴδετε, οἱ καταφρονηταὶ, καὶ ἀφανίσθητε, καὶ θαυμάσατε, ὅτι Ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ἔργον ᾧ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγήσηται ὑμῖν. » Κινδυνεύσει γὰρ ἀπιστεῖσθαι τὸ Χριστοῦ μυστήριον, διὰ τὴν τοῦ θαύματος ὑπερβολήν. Θεὸς ἦν ἐν ἀνθρωπότητι καὶ ἐν τοῖς καθ' ἡμᾶς, ὁ ὑπὲρ πᾶσαν τὴν κτίσιν· ἀόρατος, ὁρατὸς κατὰ σάρκα, ὁ ἐξ οὐρανοῦ καὶ ἄνωθεν, ἐν εἴδει τῶν χοϊκῶν· ἁπτὸς, ὁ ἀναφής· ὁ κατὰ φύσιν ἰδίαν ἐλεύθερος, ἐν δούλου μορφῇ· ὁ εὐλογῶν τὴν κτίσιν, ἐπάρατος, καὶ ἐν τοῖς ἀνόμοις, ἡ πᾶσα δικαιοσύνη, καὶ ἐν δοκήσει θανάτου γέγονεν

B. Intelligo quid velis.

A. Quis vero intelligatur a nobis qui perinde atque nos sanguinis ac carnis particeps factus sit, tanquam diversus a nobis secundum naturam? Neque enim quispiam dixerit convenire homini, humanitatis participem fieri. Nam id quod naturaliter est, quo pacto quis accepisse intelligatur, quasi aliud sit quam quod est? Nonne tibi consentaneus vero sermo meus videtur?

B. Omnino.

A. Vide autem etiam alia ratione quam impium, quamque absurdum sit Verbi ex muliere secundum carnem nativitatem tollere conari. Quo enim pacto vivificare possit corpus suum, nisi sit proprium ipsius, qui est vita? aut quomodo sanguis Christi mundabit nos ab omni peccato, si sit hominis communis et peccato obnoxii? quo pacto misit Deus ac Pater Filium suum factum ex muliere, factum sub lege [1]? quomodo condemnat peccatum in carne? Neque enim erat hominis vulgaris, et cujus natura una nobiscum sub peccati imperio ac jugo tenebatur, condemnare peccatum. Cum vero corpus factum sit ejus qui peccatum non novit, idcirco, et quidem optimo jure peccati tyrannidem excussit, communicatisque cum illo proprietatibus Verbi quod ineffabili modo ipsi unitum est, sanctum ac vivificum effectum est, et divinæ facultatis operationisque plenum. Nos vero in Christo tanquam primitiis transformati etiam sumus, et interitu atque peccato superiores declarati. Ac verum omnino est, juxta beati Pauli sententiam, quod « Quemadmodum portavimus imaginem terreni, portabimus etiam imaginem cœlestis, [2] » hoc est, Christi. Cœlestis autem homo intelligitur Christus; non tanquam superne atque a cœlo carnem ad nos detulerit, sed quod Deus existens Verbum, descendit e cœlis; et similitudinem nostri subiens, hoc est, secundum carnem e muliere sicut nos natus, permansit id quod erat, e supernis nimirum atque e cœlis, et supra omnes ut Deus, etiam cum carne. Ita enim alibi divinus Joannes inquit: « Qui e supernis venit, supra omnes est [3]. » Permansit enim totius universi Dominus, tametsi ratione incarnationis formam servi acceperit, atque admirandum revera est ob hæc Christi mysterium. Idcirco Deus ac Pater alibi ad Judæos per quemdam prophetam ait: « Videte, contemptores, et admiramini, et disperdimini: quia opus operor ego in diebus vestris, opus quod non credetis si quis enarraverit vobis [4]. » Periculum enim erit ne derogetur fides mysterio Christi, ob miraculi magnitudinem. Deus erat homo nostri similis factus, qui supra omnem creaturam est; invisibilis, factus est visibilis secundum carnem: qui ex cœlo atque e supernis, formam terrestrium induit: tangibilis est, qui tangi nequit: qui ex propria sua natura liber est, servi formam accepit: qui creaturis benedicit, factus est exsecrabilis; numeratusque est

[1] Galat. IV, 4. [2] I Cor. XV, 49. [3] Joan. III, 31. [4] Habac. I, 5; Act. XIII, 41.

inter prævaricatores legis is qui est omnis justitia, mortemque subiit vita ipsa. Neque enim erat alterius cujuspiam, sed potius ipsius secundum naturam Filii corpus, id quod mortem subiit. Anne vero tanquam non recte factis, sive a nobis dictis, aliquid habes quod his objicias?

B. Nequaquam.

A. Cæterum hoc mihi præterea animadverte.

B. Quidnam, obsecro?

A. Christus alicubi ad eos qui resurrectionem mortuorum tollere nituntur, dixit: « Non legistis quia qui fecit hominem ab initio, masculum et feminam fecit eos [1]? » Scribit vero etiam divinus Paulus: « Honorabile connubium in omnibus, et torus immaculatus [2]. » Quo pacto vero unigenitum Dei Verbum, cum nostram similitudinem subire vellet, ad constitutionem sive generationem suæ carnis, humanæ naturæ leges valere noluit? Neque enim ex toro et conjugio nasci voluit, sed ex Virgine viri nescia, prægnante ex Spiritu, obumbrante ipsi virtute Dei, sicut scriptum est [3]. Cum itaque Deus conjugium non aspernetur, sed potius benedictione sua illud decoret, quamobrem Virginem prægnantem ex Spiritu, carnis suæ matrem esse voluerit Deus exsistens Verbum, non facile dixerim. Tametsi quomodo non cuivis manifesta fuerit ejus rei occasio, illud consideranti? Descendit enim, sive homo factus est Filius, instauraturus nostra tanquam in seipso; ac primum quidem in sanctam quamdam atque admirabilem nativitatem et vitam. Factus autem est etiam primus ipse natus ex Spiritu (secundum carnem inquam), ut hac tanquam via etiam in nos ipsos transeunte gratia, non ex sanguinibus, neque ex voluntate carnis, neque ex voluntate viri, sed ex Deo per Spiritum regenerationem intellectualem consecuti [4], et conformitatem spiritualem cum eo qui natura ac vere est Filius adepti, Deum vocemus Patrem, atque ita incorruptibiles permaneamus; non jam amplius priorem illum, hoc est, Adamum patrem habentes, in quo et corrupti eramus. Idcirco et Christus inquit, alibi quidem: « Nolite vocare patrem vestrum in terris. Unus enim est Pater vester in cœlis [5], » alibi vero, ut qui idcirco ad nos descendit, ut nos transferat ad proprium suam ac divinam dignitatem: « Vado ad Patrem meum, et Patrem vestrum, et Deum meum et Deum vestrum [6]. » Ipsius enim est natura Pater, qui in cœlis est, noster autem Deus. Cum vero qui natura ac vere est Filius, factus est homo nostri similis, Deum ipsum habuisse dicit, nimirum ratione exinanitionis. Dedit autem etiam nobis suum Patrem. Scriptum est enim: « Quotquot autem receperunt eum, dedit eis potestatem filios Dei fieri, his qui credunt in nomine ipsius [7]. » At vero si imperite negemus ad nostram similitudinem natum esse Verbum Dei ex Patre, quod in omnibus

A ἡ ζωή. Οὐ γὰρ ἦν ἑτέρου τινὸς, αὐτοῦ δὲ μᾶλλον τοῦ κατὰ φύσιν Υἱοῦ, τὸ τοῦ θανάτου γευσάμενον σῶμα. Ἆρ' ὡς οὐκ εὖ γεγονόσιν, ἤγουν πρὸς ἡμῶν εἰρημένοις ἔχεις τι τούτοις ἐπιτιμᾷν;

B. Οὐδαμῶς.

A. Ἄθρει δή μοι κἀκεῖνο πρὸς τούτοις.

B. Τὸ τί δὴ φῄς;

A. Ἔφη που Χριστὸς τοῖς ἀναιρεῖν ἐθέλουσι τὴν ἀνάστασιν τῶν νεκρῶν· « Οὐκ ἀνέγνωτε, ὅτι ὁ ποιήσας τὸν ἄνθρωπον ἐν ἀρχαῖς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς; » Γράφει δὲ καὶ ὁ θεσπέσιος Παῦλος· B « Τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος. » Εἶτα πῶς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ἐπελθεῖν ἐθελήσας, οὐ τοῖς τῆς ἀνθρωπότητος νόμοις ἐφῆκε κρατεῖν, εἰς σύστασιν, ἤτοι γέννησιν τῆς ἰδίας αὐτοῦ σαρκός; Οὐ γὰρ ἐκ κοίτης καὶ γάμων ἠνέσχετο λαβεῖν αὐτὴν, ἀλλ' ἐκ Παρθένου σεμνῆς καὶ ἀπειρογάμου, κυοφορησάσης ἐκ Πνεύματος, ἐπισκιασάσης αὐτῇ δυνάμεως Θεοῦ, καθὰ γέγραπται. Θεοῦ τοιγαροῦν τὸν γάμον οὐκ ἀτιμάσαντος, μᾶλλον δὲ καὶ εὐλογίᾳ τιμήσαντος, ἀνθότου Παρθένον κυοφοροῦσαν ἐκ Πνεύματος, τῆς ἰδίας σαρκὸς ἐποιήσατο μητέρα Θεοῦ ὁ Λόγος, οὐκ ἔχω φράσαι. Καίτοι πῶς οὐχ ἅπασιν ἐναργὴς γένοιτ' ἂν ἡ τοῦδε πρόφασις, ἐκεῖνο διεσκεμμένοις; Ἀφίκετο γὰρ, ὡς ἔφην, ἤγουν ἐνηνθρώπησεν ὁ Υἱὸς, ἀναστοιχειώ- C σων τὰ καθ' ἡμᾶς ὡς ἐν ἑαυτῷ. καὶ πρῶτον εἰς ἁγίαν τινὰ καὶ τεθαυμασμένην ὡς ἐν ἑαυτῷ, καὶ παράδοξον ἀληθῶς ἀπότεξιν καὶ ζωήν· γέγονε δὲ καὶ πρῶτος αὐτὸς γεννητὸς τοῦ ἁγίου Πνεύματος (κατά γε, φημὶ, τὴν σάρκα), ἵν' ὥσπερ ὁδῷ καὶ εἰς ἡμᾶς αὐτοὺς διαβαινούσης τῆς χάριτος, οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ διὰ Πνεύματος τὴν νοητὴν ἔχοντες ἀναγέννησιν, καὶ τὴν πρός γε τὸν φύσει καὶ ἀληθῶς Υἱὸν συμμορφίαν πνευματικὴν, Πατέρα καλῶμεν τὸν Θεὸν, οὕτω τε ἄφθαρτοι διαμένωμεν, ὡς οὐκ ἔτι πατέρα τὸν πρῶτον ἔχοντες, τουτέστιν Ἀδὰμ, ἐν ᾧ καὶ ἐφθάρμεθα. Καὶ γοῦν ἔφη Χριστὸς, πῇ μὲν, ὅτι « Καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς, εἷς γάρ ἐστιν D ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς. » Πῇ δὲ δὴ, ὡς ἐν τοῖς καθ' ἡμᾶς διὰ τοῦτο καθιγμένος, ἵν' ἡμᾶς ἀγάγῃ πρὸς τὸ ἴδιον αὐτοῦ καὶ θεοπρεπὲς ἀξίωμα· « Πορεύομαι πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. » Αὐτοῦ μὲν γὰρ φύσει Πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς, ἡμῶν δὲ Θεός. Ἐπειδὴ δὲ ὁ φύσει καὶ ἀληθῶς Υἱὸς γέγονε καθ' ἡμᾶς, Θεὸν ἐσχηκέναι φησὶν αὐτὸν, κατά γε τὸν τῇ κενώσει πρέποντα λόγον. Δέδωκε δὲ καὶ ἡμῖν τὸν ἑαυτοῦ Πατέρα· γέγραπται γὰρ, ὅτι « Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. » Εἰ δὲ ἀναιρήσομεν ἀμαθῶς τὸ ἐν ἀποτέξει γενέσθαι τῇ καθ' ἡμᾶς τὸν ἐκ Πατρὸς Θεοῦ Λόγον, τὸν ἐν πᾶσι πρωτεύοντα, κατὰ τὴν τοῦ

[1] Matth. xix, 4. [2] Hebr. xiii, 4. [3] Luc. i, 30-35. [4] Joan. i, 13. [5] Matth. xxiii, 9. [6] Joan. xx, 17. [7] Joan. i, 12.

σοφωτάτου Παύλου φωνήν, πρὸς τίνα λοιπὸν μορφούμενοι, γεννητοὶ Θεοῦ διὰ Πνεύματος χρηματιοῦμεν ἡμεῖς; τίνα τοῦ πράγματος λαβόντες τὴν ἀπαρχήν, ἢ καὶ τίνος ὅλως εἰς ἡμᾶς πέμποντος τὸ ἀξίωμα; Φαῖεν ἄν, ὥς γε οἶμαι, καὶ αὐτοί· Τοῦ ἐνανθρωπήσαντος Λόγου. Εἶτα πῶς ἔσται τοῦτο ἀληθές, εἰ μὴ αὐτὸς γέγονε σάρξ, τουτέστιν ἄνθρωπος, ἴδιον ποιησάμενος σῶμα τὸ ἀνθρώπινον, καθ' ἕνωσιν ἀδιάσπαστον, ἵνα καὶ αὐτοῦ νοῆται, καὶ [μὴ] ἐξ ἑτέρου τινός; Πέμψει γὰρ οὕτω καὶ εἰς ἡμᾶς τῆς υἱοθεσίας τὴν χάριν, καὶ γεννητοὶ Πνεύματος ἐσόμεθα καὶ ἡμεῖς, ἅτε δὴ τῆς ἀνθρώπου φύσεως ἐν αὐτῷ καὶ πρώτῳ λαχούσης τοῦτο. Καί μοι δοκεῖ τοιοῦτόν τι καθ' ἑαυτὸν ἐννενοηκώς, φάναι που καὶ μάλα ὀρθῶς ὁ θεσπέσιος Παῦλος· «Ὥσπερ γὰρ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου·» καὶ τὸν μὲν πρῶτον ἄνθρωπον ἐκ γῆς ἔφη χοϊκόν, τὸν δὲ δεύτερον ἐξ οὐρανοῦ· «Ἀλλ' οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί, φησί, καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι.» Χοϊκοὶ γάρ ἐσμεν, ὡς ἐκ χοϊκοῦ τοῦ Ἀδὰμ παρεμπεσούσης εἰς ἡμᾶς τῆς ἀρᾶς τῆς φθορᾶς, δι' ἧς καὶ ὁ τῆς ἁμαρτίας εἰσέδυ νόμος, ὁ ἐν τοῖς μέλεσι τοῖς τῆς σαρκός. Ἐπουράνιοι δὲ γεγόναμεν, ὡς ἐν Χριστῷ λαβόντες τὸ χρῆμα. Θεὸς γὰρ ὢν φύσει καὶ ἐκ Θεοῦ καὶ ἄνωθεν, καταπεφοίτηκεν ἐν τοῖς καθ' ἡμᾶς ἀσυνήθως τε καὶ ξένως, γεννητὸς κατὰ σάρκα γεγονὼς τοῦ πνεύματος, ἵνα ἅγιοί τε καὶ ἄφθαρτοι καὶ ἡμεῖς κατ' αὐτὸν διαμείνωμεν ὡς ἐξ ἀρχῆς καὶ ῥίζης δευτέρας αὐτοῦ, δηλονότι καταβαινούσης εἰς ἡμᾶς τῆς χάριτος.

B. Ἄριστα ἔφης.

A. Τίνα δὲ τρόπον καὶ ὡμοιῶσθαί φασιν αὐτὸν κατὰ πάντα τοῖς ἀδελφοῖς, τουτέστιν ἡμῖν; ἢ καὶ τίς ὅλως νοοῖτ' ἂν ὁ τὴν ὁμοίωσιν ὑπελθών, εἰ μὴ κατὰ φύσιν ἕτερος ἦν, καὶ οὐχ ἕν γε τοῖς καθ' ἡμᾶς; Τὸ γάρ γέ τισιν ὁμοιούμενον, εἶναί που πάντως ἀνάγκη διάφορον παρ' αὐτούς, καὶ οὐχ ἐοικὸς αὐτοῖς, ἑτεροειδὲς δὲ μᾶλλον, εἴτουν ἑτεροφυές. Ἀνόμοιος τοίνυν ὑπάρχων ἡμῖν κατὰ φύσιν ὁ Μονογενής, ὡμοιῶσθαι λέγεται γεγονὼς καθ' ἡμᾶς, τουτέστιν ἄνθρωπος. Γένοιτο δ' ἂν τοῦτο καὶ μάλα ὀρθῶς καὶ μόνως, ἐν ἀποτέξει τῇ καθ' ἡμᾶς, εἰ καὶ παραδόξως, ἐπ' αὐτοῦ. Θεὸς γὰρ ἦν ὁ σαρκούμενος. Ὁμολογείσθω γε μὴν ὡς ἐψύχωτο νοερῶς τὸ ἑνωθὲν αὐτῷ σῶμα. Οὐ γάρ τοι τὸ κρεῖττον τῶν ἐν ἡμῖν ἀφείς, τουτέστι ψυχήν, μόνου πεποίηται φειδὼ γηΐνου σώματος, ἀλλ' ὁμοῦ ψυχῆς καὶ σώματος προενόησε σοφῶς Θεὸς ὢν ὁ Λόγος.

Ὅτι δὲ οὐκ ἠλλοίωται γεγονὼς ἄνθρωπος καθ' ἡμᾶς ὁ Λόγος, διαμεμήνυκε λέγων ὁ Πνευματοφόρος· «Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας.» Καὶ σημαντικὸν μὲν τοῦ παρῳχηκότος χρόνου ποιεῖται, τὸ *χθές*, τοῦ γε μὴν ἐνεστῶτος, τὸ *σήμερον*, τοῦ δὲ ἐνεστῶτος καὶ

A primas obtinet [1], juxta Pauli sapientissimi vocem, ad quem tandem conformati, ex Deo geniti per Spiritum appellabimur, aut quem hujus negotii principem ac caput habebimus? aut quis omnino hanc dignitatem in nos transmiserit? Dicent profecto, ut arbitror, etiam ipsi: Verbum incarnatum. Atqui quo pacto verum hoc erit, nisi ipsum Verbum factum est caro, hoc est, homo, quippe quod proprium sibi fecerit corpus ea unitate quæ divelli nulla ratione queat: ita nimirum ut ipsius Verbi censeatur, et non alterius cujuspiam? Hoc enim pacto etiam in nos transmittet filiationis gratiam, genitique Spiritu erimus etiam nos, utpote natura humana hoc in ipso et quidem primo consecuta. Ac mihi quidem B videtur etiam divinus Paulus, hujuscemodi quidpiam sentiens, alibi ita recte admodum dixisse: «Quemadmodum enim portavimus imaginem terreni, portabimus etiam imaginem cœlestis [2].» Et primum quidem hominem ex terra, dixit terrenum; secundum vero ex cœlo, cœlestem. «Sed qualis terrenus, tales et terreni; et qualis cœlestis, tales et cœlestes.» Terreni enim sumus, utpote transmissa in nos ex terreno Adam maledictione corruptionis, per quam et lex peccati irrepsit, quæ est in membris carnis. Cœlestes autem facti sumus, in Christo id consecuti. Deus enim exsistens natura, et ex Deo atque ex supernis, descendit ad nostra, novo atque inusitato more genitus secundum carnem factus est Spiritus, ut videlicet sancti atque C incorruptibiles etiam nos in ipso maneamus ex ipso, tanquam ex principio et radice secunda, in nos transmissa gratia.

B. Optime dixisti.

A. Quonam vero pacto etiam similem ipsum factum esse aiunt per omnia fratribus, hoc est, nobis? aut quisnam omnino censeatur fuisse is qui similitudinem nostram subiit, nisi secundum naturam diversus erat, et non nobis similis? Quod enim aliquibus simile efficitur, necesse est ut diversum ab iis exstiterit, neque simile ipsis, sed potius alterius speciei, sive naturæ. Dissimilis itaque naturæ a nobis exsistens Unigenitus, similis factus esse dicitur, factus id quod nos, hoc est, homo. Factum D autem fuit hoc, et recte admodum ac solummodo in nativitate nostræ simili, tametsi admirabiliter quod ad ipsum attinet. Deus enim erat, qui incarnatus est. Profiteamur utique animatum esse intellectualiter corpus ipsi unitum. Neque enim præstantiore nostri parte, hoc est, anima neglecta, solius terreni corporis cura habita est, sed simul animæ et corpori sapienter prospexit Deus exsistens Verbum.

Quod autem Verbum homo nostri similis factum immutatum non sit, significavit Paulus Spiritu afflatus dicens: «Jesus Christus hodie et heri, ipse et in sæcula;» ac per *heri*, præteritum tempus indicat; per *hodie*, præsens; per *sæcula* vero, præsens et futurum. At si putant se magnum

[1] I Cor. xv, 23. [2] Ibid. 49.

A aliquid excogitasse, quod per *heri* et *hodie*, recentem intelligant, ita contendentes: Qui heri et hodie est, quomodo sit etiam in sæcula? transferemus et nos interrogationis vim in contrarium: Verbum enim exsistens in sæcula, quo pacto recipiat in se *heri* et *hodie*? Siquidem est unus Christus, et non est divisus, juxta divini illius Pauli vocem. Scriptum enim est de beato Baptista, quod « Postridie videt Jesum venientem ad se, et dicit: Ecce Agnus Dei, qui tollit peccatum mundi. Hic est de quo dixi: Post me venit vir, qui ante me factus est, quia prior me erat, et ego nesciebam eum, B sed ut manifestetur in Israel, propterea veni ego in aqua baptizans [1]. » Intelligis itaque quomodo virum vocans, agnumque ipsum appellans, non alium esse dicit qui tollit peccata mundi, et magnam hanc atque immensam divinamque dignitatem ei tribuit. Ante vero ac priorem se factum ait, licet posterior fuerit, ratione nimirum temporis quo secundum carnem natus est. Quamvis enim Emmanuel quatenus homo post illum natus fuit, erat tamen ante omnia sæcula, ut Deus. Ejusdem C itaque est et recentem esse ratione humanæ naturæ, et æternum, ratione divinæ. Idcirco et præstantissimus ille Petrus, non nudum et absque carne respiciens Verbum, sed quod in carne et sanguine apparuerat, manifestam et certissimam fidei in ipsum professionem edit, dicens: « Tu es Christus Filius Dei vivi. » Cui Christus respondit: « Beatus es, Simon, fili Jonæ, quia caro et sanguis non revelavit tibi, sed Pater meus qui est in cœlis [2]. » At nisi altum revera est mysterium, et Deus erat in carne: homo autem, ut ipsi volunt, filiationem per gratiam consecutus, quomodo indiguit tanto mysterii doctore, adeo ut nemo mortalium discipulo revelarit, sed a Patre ipso id edoctus sit? Quin D et discipuli cum illum aliquando in mari obambulantem conspicati essent, attoniti miraculo professionem fidei suæ ediderunt, dicentes: « Vere Filius Dei es [3]. » At si nothus et falsi nominis est, et adventitium ei est quod sit Filius, mendacii illos arguant, quod et jurejurando confirmarunt. Adjecerunt enim, « vere, » asseverantes ipsum esse Filium Dei ac Patris.

μέλλοντος, τὸ, εἰς τοὺς αἰῶνας. Εἰ δὲ οἴονταί τι σοφὸν ἐννενοηκέναι, τὸ *χθὲς* καὶ *σήμερον* ἀντὶ τοῦ προσφάτου δεχόμενοι, διατεινόμενοί τε καὶ λέγοντες, Ὁ χθὲς καὶ σήμερον, πῶς ἂν εἴη καὶ εἰς τοὺς αἰῶνας; μεταστήσομεν καὶ ἡμεῖς τὴν τῆς ἐρωτήσεως δύναμιν, εἰς τὸ ἔχον ἐναντίως. Ὁ γὰρ εἰς τοὺς αἰῶνας ὢν Λόγος, πῶς ἂν λάβοι τὸ χθὲς καὶ σήμερον ἐφ' ἑαυτῷ, εἴπερ ἐστὶν εἷς ὁ Χριστὸς, καὶ οὐ μεμέρισται κατὰ τὴν τοῦ θεσπεσίου Παύλου φωνήν. Γέγραπται γοῦν περὶ τοῦ μακαρίου Βαπτιστοῦ, ὅτι « Τῇ ἐπαύριον βλέπει τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει· Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων ἁμαρτίαν τοῦ κόσμου, οὗτός ἐστι περὶ οὗ ἐγὼ εἶπον· Ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μού ἐστι, κἀγὼ οὐκ εἶδον αὐτὸν, ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραὴλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν ὕδατι βαπτίζων. » Σύνες οὖν ὅπως ἄνδρα λέγων, καὶ ἀμνὸν ὀνομάζων αὐτὸν, οὐχ ἕτερον εἶναί φησι τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ τὸ μέγα τοῦτο καὶ ἐξαίσιον ἀληθῶς καὶ θεοπρεπὲς ἀξίωμα προσανενέμηκεν αὐτῷ. Ἔμπροσθεν δὲ καὶ πρῶτον γενέσθαι φησὶν αὐτοῦ, καίτοι κατόπιν γενόμενον, κατά γέ φημι τὸν τῆς κατὰ σάρκα γεννήσεως χρόνον. Εἰ γὰρ ἐστιν ὀψιγενὴς καθὸ ἄνθρωπος ὁ Ἐμμανουὴλ, ἀλλ' ἦν πρὸ παντὸς αἰῶνος ὡς Θεός. Αὐτοῦ τοιγαροῦν καὶ τὸ πρόσφατον ἀνθρωπίνως, καὶ τὸ ἀΐδιον θεϊκῶς, ταύτῃ τοι καὶ ὁ πανάριστος Πέτρος, οὐ γυμνὸν, οὐδὲ ἄσαρκον καταθεώμενον τὸν Λόγον, ἀλλ' ἐν σαρκὶ καὶ αἵματι πεφηνότα, σαφῶς τε καὶ ἀπλανῶς τῆς εἰς αὐτὸν πίστεως τὴν ἀπόδοσιν ἐποιεῖτο, λέγων. « Σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. » Ἀκήκοε δὲ πρὸς τοῦτο· « Μακάριος εἶ, Σίμων, Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου, ὁ ἐν τοῖς οὐρανοῖς. » Ἀλλ' εἰ μὴ βαθὺ τὸ μυστήριον, καὶ Θεὸς ἦν ἐν σαρκὶ, ἄνθρωπος δὲ κατ' αὐτοὺς, χάριτι τὴν υἱοθεσίαν ἔχων, πῶς ἂν ἐδεήθη τοσούτου μυσταγωγοῦ, ὡς μηδένα μὲν τῶν ἐπὶ τῆς γῆς ἀποκαλύψαι τῷ μαθητῇ, παιδευτὴν δὲ πρὸς τοῦτο λαχεῖν αὐτὸν τὸν Πατέρα; Καὶ μὴν καὶ οἱ θεσπέσιοι μαθηταὶ, διαθέοντα ποτὲ τῆς θαλάττης τὰ νῶτα βλέποντες, κατατεθήπεσαν μὲν τὴν θεοσημίαν, ὡμολόγουν δὲ τὴν πίστιν, λέγοντες· « Ἀληθῶς Θεοῦ Υἱὸς εἶ. » Ἀλλ' εἰ νόθος ἐστὶ καὶ ψευδώνυμος, καὶ εἰσποιητὸν ἔχει τὸ εἶναι Υἱὸς, ἐγκαλείτωσαν αὐτοῖς τὴν ψευδηγορίαν, καὶ τοῦτο ὀμωμοκόσι. Προστεθείκασι γὰρ τὸ, ἀληθῶς, Υἱὸν αὐτὸν εἶναι διαβεβαιούμενοι τοῦ Θεοῦ καὶ Πατρός.

B. Optime dixisti.

A. Quo pacto autem etiam proprios habet angelos Filius hominis, et splendet in gloria Patris sui cum angelis suis [4]? Et rursus: « Et mittet Filius hominis angelos suos [5]. » Si vero adhuc fidem derogant et increduli sunt, cum eum divina gloria adeoque splendida atque eximia dignitate ornatum videant, audient ipsummet dicentem: « Si mihi non creditis, operibus meis credite [6]. » Et rursus: « Si non facio opera Patris mei, ne creda-

Β. Ἄριστα ἔφης.

Α. Πῶς δὲ καὶ ἰδίους ἔχει τοὺς ἀγγέλους ὁ Υἱὸς τοῦ ἀνθρώπου, διαπρέπει δὲ καὶ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ; Καὶ πάλιν· « Καὶ ἀποστελεῖ ὁ Υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ. » Εἰ δὲ καὶ ἀπιστοῦσιν ἔτι, καὶ δόξῃ θεοπρεπεῖ καὶ τοῖς οὕτω λαμπροῖς καὶ ὑπερτάτοις ἀξιώμασιν ὁρῶντες κατεστεμμένον, ἀκούσονται λέγοντος αὐτοῦ· « Εἰ ἐμοὶ οὐ πιστεύετε, τοῖς ἔργοις μου πιστεύετε. » Καὶ πάλιν· « Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ

[1] Joan. I, 29-31. [2] Matth. XVI, 16, 17. [3] Matth. XIV, 33. [4] Matth. XVI, 27. [5] Matth. XIII, 41. [6] Joan. X, 38.

Πατρός μου, μὴ πιστεύετέ μοι. Εἰ δὲ ποιῶ, κἂν A ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις μου πιστεύετε. » Τὸ γὰρ ἐν ἀνθρώπῳ βλέπειν τῆς ἀφράστου δόξης τὴν ὑπεροχὴν, οὐχ ὡς ἀλλοτρίαν μᾶλλον ἤγουν ἐν χάριτος μέρει προσπεπορισμένην, ἀλλ' ἰδίαν αὐτοῦ, πῶς οὐκ ἀναπείσει, ὅτι Θεὸς ἦν ἐν εἴδει τῷ καθ' ἡμᾶς, καὶ Υἱὸς ἀληθῶς τοῦ ἐπὶ πάντας Θεοῦ;

Β. Ἑαυτοῦ, φησὶ, τοὺς ἀγγέλους εἶναι διϊσχυρίσατο, καὶ τῶνδε τῶν σημείων γέγονεν ἀποτελεστὴς, ἐνοικοῦντος αὐτῷ τοῦ Λόγου, δόξαν δὲ τὴν ἰδίαν αὐτῷ καὶ τὸ ἐνεργὲς ἐκνενεμηκότος. Γέγραπται γὰρ, ὅτι « Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν, καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου. » Κεχρισμένος οὖν καὶ δυνάμει καὶ Πνεύματι, τερατουργὸς ἦν. B

Φησὶν ὁ πάνσοφος Παῦλος· « Ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ. » Πῶς οὖν, εἰπέ μοι, δι' ἀνθρώπου τὰ πάντα; ἀνθ' ὅτου δὲ καὶ ἀμέσως ὡς Υἱὸς Πατρὶ συντάττεται, μεσολαβοῦντος οὐδενός; Εἶτα ὅποι ποτὲ τὸν Μονογενῆ θήσομεν εἰς τὸν αὐτοῦ τόπον ἀναβιβάζοντες τὸν ἄνθρωπον, καὶ τοῦτο, καθά φησιν, ἐνεργούμενον παρ' αὐτοῦ, καὶ δι' αὐτὸν τιμώμενον; Ἆρ' οὐκ ἐκβέβηκε τὸ εἰκὸς ὁ λόγος αὐτοῖς; οὐκ ἔξω φέρεται σκοποῦ, καὶ ὡς τῆς ἀληθείας ὁλοτρόπως ἡμαρτηκὼς, γελῷτο ἂν ἐνδίκως;

Β. Ἄνθρωπος, φησὶν, ὁ τοῦ Θεοῦ Λόγος ὠνόμασται C κατὰ τοιόνδε τινὰ τρόπον. Ὥσπερ γὰρ ὁ παρ' αὐτοῦ ληφθεὶς ἄνθρωπος, ἐγεννήθη μὲν ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, εἴρηται δὲ Ναζωραῖος, διὰ τὸ οἰκῆσαι τὴν Ναζαρὲτ, οὕτω καὶ ὁ Θεὸς Λόγος, ἄνθρωπος ὀνομάζεται, διὰ τὸ κατοικῆσαι ἐν ἀνθρώπῳ.

Α. Ὢ φρενὸς γραοπρεποῦς, καὶ νοῦ παρειμένου, καὶ βατταρίζειν εἰδότος, καὶ ἕτερον οὐδέν. Ἐκνήψατε, οἱ μεθύοντες, ἐξ οἴνου αὐτῶν, ἐπιφωνείτω τις τοῖς διεναντίας, τί παραβιάζεσθε τἀληθὲς, καὶ τῶν θείων δογμάτων τὴν δύναμιν παρευθύνοντες, ἔξω φέρεσθε τρίβου τῆς βασιλικῆς; Γέγονε γὰρ, ὡς ἔοικεν, οὐκ ἔτι μὲν σὰρξ ὁ Λόγος κατὰ τὰς Γραφὰς, ἀνθρωποπολίτης δὲ μᾶλλον, καὶ ἦν ἀκόλουθον αὐτὸν ἀνθρωπαῖον μᾶλλον, οὐκ ἄνθρωπον ὀνομάζεσθαι, καθάπερ D ἀμέλει καὶ ὁ κατοικήσας τὴν Ναζαρὲτ, Ναζωραῖος ὠνόμασται, καὶ οὐ Ναζαρέτ. Εἴργει δὲ, οἶμαι, παντελῶς οὐδὲν, εἴπερ εὖ ἔχειν οἴονται τὸ σφίσιν αὐτοῖς ἀσυνέτως ἐξευρημένον, ἄνθρωπον ὀνομάζεσθαι σὺν Υἱῷ τὸν Πατέρα καὶ προσέτι τὸ Πνεῦμα τὸ ἅγιον. Κατοικεῖ γὰρ ἐν ἡμῖν διὰ τοῦ Πνεύματος, τῆς ἁγίας τε καὶ ὁμοουσίου Τριάδος τὸ πλήρωμα. Καὶ γοῦν ὁ Παῦλός φησιν· « Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ κατοικεῖ ἐν ὑμῖν; » Καὶ μὴν καὶ αὐτὸς ὁ Χριστὸς, « Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. »

tis mihi. Sed si facio, et si mihi non creditis, operibus meis credite [1]. » Cum enim ineffabilis gloriæ excellentia in homine cernatur, non ut aliena ab ipso aut per gratiam collata, sed propria ipsius, quomodo non persuadeat nobis quod Deus erat in forma nostræ simili et Filius vere supremi Dei?

B. Suos, inquiunt, angelos esse dixit, et miracula edidit, ob inhabitans in se Verbum, gloriam suam et vim atque efficaciam ipsi tribuens. Scriptum est enim: « Jesum Nazarenum, unxit ipsum Deus Spiritu sancto et virtute, et transivit juvans et sanans omnes obsessos a diabolo [2]. » Unctus itaque virtute et Spiritu, miracula edebat.

Ait sapientissimus Paulus: « Sed nobis unus Deus Pater, ex quo omnia, et nos ex ipso: et unus Dominus Jesus Christus, per quem omnia, et nos per ipsum [3]. » Quomodo igitur, obsecro, per hominem sunt omnia? quam vero ob causam immediate ut Filius Patri adjungitur, nemine interveniente? deinde ubinam tandem Unigenitum collocabimus, si hominem in ipsius locum evehimus; et quidem, ut ipsi volunt, vi ac virtute ab ipso insignitum, gloriaque per ipsum affectum? Anne tibi illorum rationes absurdæ et a scopo aberrantes, atque adeo a veritate prorsus alienæ, risu merito excipiendæ videntur?

B. Verbum Dei, inquiunt, vocatur homo, hujuscemodi quadam ratione. Quemadmodum enim homo qui ab ipso assumptus est natus quidem est in Bethlehem Judææ [4]: dictus autem est Nazaræus, quod in Nazareth habitaret [5]; ita et Deus Verbum vocatur homo, quia inhabitat in homine.

A. O anilia commenta, merasque nugas, verba, voces prætereaque nihil! Evigilate, temulenti, ex vino vestro, merito quis hæreticis occlamet. Quid veritati vim infertis? et divinorum dogmatum virtutem subvertentes, a via regia deflectitis? Neque enim, ut videtur, Verbum caro factum est, sed potius ἀνθρωποπολίτης, hoc est, hominis incola, et conveniens fuerit illum non hominem sed humanum vocare: quemadmodum et qui Nazareth inhabitavit Nazarenus dictus est, non Nazareth. Quinimo nihil prorsus obstiterit, si commentum illorum verum est, hominem vocari una cum Filio etiam Patrem et Spiritum sanctum. Habitat enim in nobis per Spiritum, sanctæ et consubstantialis Trinitatis plenitudo. Unde et Paulus inquit: « An nescitis quod templum Dei estis, et Spiritus Dei inhabitat in vobis [6]? » Quin et ipsemet Christus: « Si quis amat me, sermonem meum servabit, et Pater meus diliget eum, et veniemus, ac mansionem apud eum faciemus [7]. » Cæterum Pater nulla ratione dictus est homo, ut nec Spiritus sanctus, quia in nobis habitarunt. Sed irrident isti incarna-

[1] Joan. x, 37. [2] Act. x, 38. [3] I Cor. viii, 6. [4] Matth. ii, 5. [5] Luc. ii, 51. [6] I Cor. iii, 16. [7] Joan. xiv, 23.

tionis mysterium adeo recta atque veneranda Ecclesiæ dogmata ad absurdum detorquentes. At nostra rursum procedat oratio, omissis illorum deliriis. Si enim ideo miracula edidit, quia Verbum in ipso erat, unum aliquem sanctorum prophetarum ipsum esse statuunt. Nam et miracula per manus prophetarum edidit. Si vero in his Filium statuunt, propheticæ sive apostolicæ conditionis ipsum faciunt.

B. Nonne enim, inquiunt, dictus est propheta et apostolus? Neque enim falleris.

A. Moyses quidem dixit iis qui erant ex sanguine Israel: « Prophetam vobis suscitabit Dominus Deus vester ex fratribus vestris, sicut me [1]. » Quin et divinus Paulus scribit: « Unde, fratres sancti, vocationis cœlestis participes, considerate apostolum et pontificem confessionis nostræ Jesum [2]. »

Quemadmodum vero cum sit natura Deus, et vere Dominus, formam servi accepit, utpote in ea natus, et nostra assumpsit: ita quoque et prophetiæ spiritum dedit, et apostolos constituens, et pontifices creans, factus est per omnia similis fratribus. Ita enim vocatus est et propheta, et apostolus, et pontifex.

B. Cæterum, ut etiam dent ipsum esse prophetam, non tanquam unum ex prophetis factum dicunt, sed potius longe illos superare. Hi enim certam ac definitam pro eo ac visum fuit Deo gratiam consecuti sunt, et quæ in tempore ipsis accidit: hic vero plenus erat Deitatis etiam ex ipsa statim nativitate. Aderat enim ipsi Deus exsistens Verbum.

A. Ergo quantitate gratiæ, et longinquitate temporis superavit Christus eos qui ante ipsum exstiterunt sanctos prophetas: atque hoc est in ipso eximium. Propositum vero est inquirere, num propheta omnino fuerit, non autem an major aut minor, aut superior: ita ut in eo quod sit propheta, et quod non excedat nostram conditionem, humilitas ejus consistat, tametsi id ab initio exstitisse censeatur, sicut et divinus Baptista, de quo dicit beatus angelus: « Et Spiritu sancto replebitur adhuc in utero matris suæ [3]. » Deinde quomodo hic quidem erat servus, ille vero Dominica dignitate illustris? Ac de seipso beatus Joannes ita ait: « Qui ex terra est, terrena loquitur; » de Emmanuele vero: « Qui e supernis venit, supra omnes est [4]. »

B. Atqui dixerint fortasse e supernis, et supra omnes esse Verbum ex Deo Patre genitum; verentur autem illi tribuere humana, ne ipsum injuria afficere, gloriamque ipsius imminuere videantur. Idcirco contendunt ipsum assumere hominem, eumque sibi conjungere, in quem cadant et de quo dicantur hominis proprietates; ita ut Verbi ipsius natura nullum omnino detrimentum accipiat.

Aiunt itaque Christum sanctificatum a Patre.

[1] Deut. xviii, 15. [2] Hebr. iii, 1. [3] Luc. i, 15. [4] Joan iii, 31.

Ἀλλ' εἴρηται μὲν οὐδαμῶς ἄνθρωπος ὁ Πατήρ, οὐ μὴν τὸ Πνεῦμα τὸ ἅγιον, διὰ τὸ κατοικεῖν ἐν ἡμῖν. Γελῶσι δὲ οὗτοι τῆς ἐνανθρωπήσεως τὸ μυστήριον, περιτρέποντες εἰς τὸ ἀπηχὲς τὰ οὕτως ὀρθὰ καὶ ἀξιάκουστα τῆς Ἐκκλησίας δόγματα. Πλὴν ἴτω πάλιν ἡμῖν κατὰ ῥοῦν ὁ λόγος, τοῖς ἐκείνων ἐμετοῖς τὸ χαίρειν εἰπών. Εἰ γὰρ, ἐπείπερ ἦν ὁ Λόγος ἐν αὐτῷ, σημείων γέγονεν ἀποτελεστής, ἕνα που τάχα τῶν ἁγίων προφητῶν φασιν αὐτόν. Ἐνήργηκε γὰρ διὰ χειρὸς ἁγίων τὰς θεοσημίας. Εἰ δὲ ἐν τούτοις εἶναί φασι τὸν Υἱόν, ἐν προφητικοῖς αὐτὸν ἤγουν ἀποστολικοῖς κατακομίζουσι μέτροις.

B. Οὐ γὰρ εἴρηται, φασὶ, προφήτης καὶ ἀπόστολος; οὐκ ἂν διαψεύσαιο.

A. Ὁ Μωσῆς μὲν ἔφη τοῖς ἐξ αἵματος Ἰσραήλ· « Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ. » Γέγραφε δὲ καὶ ὁ θεσπέσιος Παῦλος· « Ὥστε, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν. »

Ὥσπερ δὲ Θεὸς ὢν φύσει καὶ Κύριος ἀληθῶς, ἔλαβε δούλου μορφὴν, καὶ ἐν αὐτῇ γεγονὼς, καὶ ἐν προσλήψει τῶν καθ' ἡμᾶς, οὕτω καὶ τῆς προφητείας τὸ Πνεῦμα διδοὺς, καὶ ἀποστόλους ἀναδεικνὺς, καὶ καθιστὰς ἱερουργοὺς, ὁμοιώθη κατὰ πάντα τοῖς ἀδελφοῖς· ὠνομάσθη γὰρ οὕτω, καὶ προφήτης, καὶ ἀπόστολος, καὶ ἀρχιερεύς.

B. Ἀλλ' εἰ καὶ δοῖεν αὐτὸν εἶναι προφήτην, οὐχ ὡς ἕνα τῶν προφητῶν γενέσθαι φασὶν, ὑπερκεῖσθαι δὲ μᾶλλον πολὺ τὰ ἐκείνων. Οἱ μὲν γὰρ, μεμετρημένην κατὰ τὸ τῷ Θεῷ δοκοῦν ἐσχήκασι χάριν, καὶ ἐν χρόνῳ προσγενομένην αὐτοῖς· ὁ δὲ πλήρης ἦν τῆς θεότητος, καὶ ἐξ αὐτῆς εὐθὺς τῆς γεννήσεως· συνῆν γὰρ αὐτῷ Θεὸς ὢν ὁ Λόγος.

A. Οὐκοῦν ἐν ποσότητι χάριτος, καὶ ἐν μήκει καιροῦ πεπλεονέκτηκεν ὁ Χριστὸς, τοὺς πρὸ αὐτοῦ γεγονότας ἁγίους προφήτας, καὶ τοῦτό ἐστιν ἐν αὐτῷ τὸ ἐξαίρετον. Πρόκειται δὲ πολυπραγμονεῖν, εἰ προφήτης ὅλως, καὶ οὔτι που τὸ μᾶλλον ἢ τὸ μεῖον ἔχων, ἢ καὶ ὑπερκείμενος, ὡς ἔν γε τῷ εἶναι προφήτην, καὶ τῷ μὴ πέρα μέτρου τοῦ καθ' ἡμᾶς, τὸ σμικροπρεπές ἐστιν αὐτῷ, κἂν εἰ ἀπαρχῆς νοοῖτο τοῦτο ὑπάρχων, καθάπερ ἀμέλει καὶ ὁ θαυμάσιος Βαπτιστὴς περὶ οὗ φησιν ὁ μακάριος ἄγγελος· « Καὶ Πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ. » Εἶτα πῶς ὁ μὲν ἦν οἰκέτης, ὁ δὲ τοῖς δεσποτικοῖς ἀξιώμασιν ἐναβρύνεται; Καὶ ἑαυτοῦ μὲν πέρι, φησὶν ὁ μακάριος Ἰωάννης· « Ὁ ὢν ἐκ τῆς γῆς, ἐκ τῆς γῆς λαλεῖ. » Περὶ δέ γε τοῦ Ἐμμανουήλ· « Ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστί. »

B. Καίτοι φαῖεν ἂν ἴσως, ἄνωθέν τε εἶναι, καὶ μὴν καὶ ἐπάνω πάντων, τὸν ἐκ Θεοῦ Πατρὸς πεφηνότα Λόγον, δεδίασι δὲ προσνέμειν αὐτῷ τὰ ἀνθρώπινα, μὴ ἄρα πως ἀδικοῖτο δι' αὐτῶν, καὶ κατακομίζοιτο πρὸς τὸ δυσκλεές. Ταύτῃ τοι διατείνονται λαβεῖν αὐτὸν ἄνθρωπον, ἑαυτῷ τε τοῦτον συνάψαι, περὶ ὃν ἂν γένοιτό τε καὶ λέγοιτο τὰ ἀνθρώπινα. Ἔσται δὲ ὅλως εἰς τὴν αὐτοῦ τοῦ Λόγου φύσιν, τὸ βλάβος οὐδέν.

Φασὶ τοιγαροῦν, Χριστὸν ἡγιάσθαι παρὰ τοῦ Πα-

[4] Joan iii, 31.

τρός· γέγραπται γὰρ, ὅτι καὶ «Ἐμαρτύρησεν Ἰωάννης A λέγων· ὅτι Τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτὸν, κἀγὼ οὐκ εἶδον αὐτὸν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν τῷ Πνεύματι τῷ ἁγίῳ. Κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ.» Γέγραφε δὲ καὶ ὁ Παῦλος περὶ αὐτοῦ· «Ὅ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες.» Ἁγιασθείη γὰρ ἥκιστά γε Θεὸς ὢν ὁ Λόγος καὶ ἅγιος κατὰ φύσιν. Λείπεται δὴ οὖν ἡγιάσθαι λέγειν τὸν ληφθέντα παρ' αὐτοῦ κατὰ συνάφειαν ἄνθρωπον.

A. Εἶτα πῶς ὁ βεβαπτισμένος, καὶ τὴν ἐμφανῆ τοῦ Πνεύματος λαβὼν καταφοίτησιν, ἐν ἁγίῳ βαπτίζει Πνεύματι, καὶ τὰ μόνῃ πρέποντα καὶ ἐοικότα τῇ B θείᾳ φύσει πληροῖ; Χορηγὸς γάρ ἐστιν ἁγιασμοῦ, καὶ τοῦτο δεικνὺς, ὡς ἴδιον ἀγαθὸν ὁ ἐνανθρωπήσας Λόγος, σωματικῶς ἐνεφύσησε τοῖς ἁγίοις ἀποστόλοις λέγων· «Λάβετε Πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται· ἄν τινων κρατῆτε, κεκράτηνται.» Πῶς δὲ τὸν ἡγιασμένον ἐναργέστατα καταδεικνὺς ὁ θεσπέσιος Βαπτιστὴς, μεμαρτύρηκεν, ὅτι Οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, μοναδικῶς καὶ ἐνάρθρως; Ἔδει γὰρ ὄντα τῆς ὑφ' ἡλίῳ μυσταγωγὸν, εἴ πω ἕτερον ὄντα παρά γε τὸν ἀληθῶς Υἱὸν ἠπίστατο, κατασημᾶναι τὸ ἀληθὲς, λέγοντα σαφῶς, Οὗτός ἐστιν, ὁ κατὰ συνάφειαν τὴν πρὸς τὸν φύσει καὶ ἀληθῶς Υἱὸν, δόσει τε καὶ χάριτι γεγονὼς Υἱός· ἀλλ' οὐδὲν μὲν ἔφη τοιοῦτον, ἵνα δὲ καὶ τὸν αὐτὸν ὄντα γινώ- C σκων, καὶ ἐκ Θεοῦ Πατρὸς Λόγον, καὶ ἐκ σπέρματος τοῦ Δαβὶδ κατὰ σάρκα, ἁγιασθῆναι μέν φησι, καθὸ ἄνθρωπος, ἁγιάζειν δὲ αὖ, καθὸ νοεῖται Θεός. Ἦν γὰρ, ὡς ἔφην, ἐν αὐτῷ τοῦτο κἀκεῖνο. Εἰ μὲν οὖν οὐ γέγονεν ἄνθρωπος, εἰ μὴ γεγέννηται κατὰ σάρκα ἐκ γυναικὸς, ἀποσοβοῦμεν αὐτοῦ τὰ ἀνθρώπινα. Εἰ δὲ ἀληθὲς, ὅτι καθεὶς ἑαυτὸν εἰς κένωσιν γέγονε καθ' ἡμᾶς, ἀνθότου τὰ δι' ὧν ἂν νοοῖτο κεκενωμένος, ἀφιστᾶσιν αὐτοῦ, τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ εὔτεχνὲς ἀβουλότατα παραλύοντες;

B. Ἐὰν οὖν λέγηται, καὶ δόξαν λαβεῖν, καὶ γενέσθαι Κύριος, ὑψωθῆναί τε παρὰ τοῦ Πατρὸς, κατα- D στῆναί δὲ καὶ βασιλεὺς, ἀνάψεις ἄρα καὶ ταῦτα τῷ Θεῷ Λόγῳ, καὶ οὐ πάντη τε καὶ πάντως ἀδικήσεις αὐτοῦ τὴν δόξαν;

A. Ὅτι μὲν οὖν, δόξης τε καὶ βασιλείας καὶ κυριότητος ἀληθοῦς, ἡ τοῦ Θεοῦ Λόγου μεμέστωται φύσις, πῶς ἂν ἐνδοιάσειέ τις; ἀραρότως δὲ ὅτι καὶ ἐν ὀνόμασι νοεῖται τοῖς θεοπρεπεστάτοις; ἐπειδὴ δὲ πέφηνεν ἄνθρωπος, ᾧ πάντα ἐστὶ δοτὰ καὶ εἰσκεκριμένα, ταύτῃ τοι πλήρης ὑπάρχων καὶ ἐξ ἰδίου πληρώματος πᾶσι διδοὺς, ἀνθρωπίνως δέχεται, τὴν ἡμῶν πτωχείαν οἰκειούμενος, καὶ ἦν ἀηθές τε καὶ ξένον ἐν Χριστῷ τὸ παράδοξον, ἐν οἰκετικῇ μορφῇ, κυριότης,

Scriptum est enim: «Et testimonium perhibet Joannes, dicens: Vidi Spiritum descendentem quasi columbam de cœlo, et mansit super eum, et ego nesciebam eum: sed qui misit me baptizare in aqua, ille mihi dixit: Super quem videris Spiritum descendentem, et manentem super eum, hic est qui baptizat in Spiritu sancto. Et ego vidi, et testimonium perhibui quia hic est Filius Dei[1].» Quin et Paulus de ipso scripsit: «Sanctificans enim et sanctificati ex uno omnes[2].» Neque enim Verbum, cum sit Deus, et ex sua natura sanctus, sanctificatum fuit. Superest igitur sanctificatum fuisse hominem quem per conjunctionem assumpsit.

A. Atqui quomodo is qui baptizatus est, et in quem Spiritus manifeste descendit, in sancto Spiritu baptizat, eaque præstat quæ soli divinæ naturæ sunt propria? Sanctificationem enim largitur atque suppeditat. Quod quidem demonstrans Verbum proprium suum bonum esse, inspiravit sanctis apostolis, dicens: «Accipite Spiritum sanctum: quorumcunque remiseritis peccata, remittuntur: quorumcunque retinueritis, retenta sunt[3].» Quo pacto autem sanctificatum manifestissime ostendens divinus Baptista, testatus est, quod hic sit Filius Dei, singulariter ac solus? Oportebat enim hunc orbis terrarum doctorem, si modo alium a vero Filio cognoscebat, rei veritatem explicare, aperteque dicere: Hic est qui ratione conjunctionis cum eo qui natura ac vere Filius est, beneficio et gratia factus est Filius. Cæterum nihil hujusmodi dixit: sed unum atque eumdem esse sciens, et ex Deo Patre Verbum, et ex semine David secundum carnem, sanctificatum quidem ait, quatenus homo est; ac rursus sanctificare, quatenus est Deus. Erat enim, ut dixi, et hoc et illud. Si ergo non est factus homo, si non natus est ex muliere secundum carnem, avellimus ab ipso humanæ naturæ proprietates. At si verum est quod se demiserit ad exinanitionem, et factus sit nostri similis, quamobrem ea per quæ exinanitionem subiit, ipsi detrahunt administrationis in carne artificium imperitissime convellentes?

B. Si ergo dicatur etiam gloriam accepisse, et factus est Dominus, atque exaltatus esse a Patre, declaratusque esse rex, ascribesne etiam hæc Deo Verbo citra ullam gloriæ ipsius imminutionem?

A. Quod quidem Dei Verbi natura omni gloria et regno atque dominatione vera referta sit, quonam pacto cuipiam dubium esse queat, quodque divina dignitas convenienter ei tribuatur? Cum vero factus est homo, cui omnia sunt data atque ascititia, ea ratione tametsi omnibus abundet, et ex sua plenitudine omnibus impartiatur, humano more accipit, novumque est et inauditum in Christo miraculum, in servili forma, dominatio; in humana

[1] Joan. I, 32-34. [2] Hebr. II, 11. [3] Joan. XX, 22-23.

tenuitate, gloria divina, et regia dignitas in servitute, quantum ad humanæ naturæ conditionem attinet; et humilitas summa eminentia prædita. Factus est enim homo Unigenitus, non ut in exinanitione permaneat, sed ut accipiens cum ea ejus proprietates; Deus tamen naturaliter esse etiam hoc pacto intelligatur, hominisque naturam in seipso illustret, sacrarum ac divinarum dignitatum participem ipsam declarans. Nam et sancti Filium, etiam postquam factus est homo, gloriam Dei ac Patris, et regem ac Dominum appellant. Isaias enim ita ait: « Sicut homo vindemiat oleam, ita vindemiabunt eos, et quando cessaverit vindemia, isti voce clamabunt. Qui vero relicti fuerint super terram, exsultabunt cum gloria Domini [1]. » Et rursus alius quidam e sanctis: « Illuminare, inquit, Jerusalem. Venit enim lumen tuum, et gloria Domini super te orta est. Quia ecce tenebræ operient terram, et caligo populos: super te autem orietur Dominus, et gloria ejus in te videbitur [2]. » Et Jacobus ejus discipulus: « Fratres, inquit, nolite in personarum acceptione habere fidem Domini nostri Jesu Christi gloriæ [3]. » Petrus vero: « Si exprobramini in Christo, beati eritis, quoniam quod est honoris gloriæ et virtutis Dei, et qui est ejus Spiritus super vos requiescet [4]. »

Sufficiunt jam hæc. Cæterum hoc mihi dicas velim, quomodo intelligendum sit illud de Christo scriptum: « Qui in diebus carnis suæ preces supplicationesque ad eum qui possit ipsum salvum facere a morte cum clamore valido et lacrymis offerens, exauditus est pro sua reverentia. Et quidem cum esset Filius Dei, didicit ex iis quæ passus est, obedientiam. Et consummatus factus est omnibus obtemperantibus sibi causa salutis æternæ [5]. » Adjiciam vero dictis etiam illud: « Deus meus, Deus meus, quare me dereliquisti [6]? » Aliena enim hæc esse dicunt a Deo Verbo, atque ego quidem dignitate ipsius atque excellentia longe inferiora ea esse judicaverim.

A. Quin et ego ipse facile intelligo hæc non convenire Verbo genito ex Deo Patre, si illud ab administratione in carne removeamus, neque admittamus id quod Scriptura testatur, quod nimirum factus sit caro. Cum vero hoc firmiter teneamus et dubitatio hac in re cum impietate sit conjuncta, incarnationis mysterium quantum fieri potest perpendamus. Apparuit itaque nobis Verbum ex Deo in forma nostræ simili, innumeris modis humanam naturam juvans, optimeque nobis demonstrans viam quæ ad optima quæque deducit. Necesse itaque erat ut diceremus, cum tentatio invadit eos qui ob dilectionem Dei periclitantur, quales oporteat esse eos qui laudabilem atque eximiam vitam instituere velint: utrum ad ignaviam

A ἐν ἀνθρωπίνῃ σμικροπρεπείᾳ, δόξα θεοπρεπής, τὸ βασιλείας αὐχήμασιν ἐστεφανωμένον, τὸ ὑπὸ ζυγὸ τό γε ἧκον εἰς ἀνθρωπότητος μέτρον, καὶ ἐν ὑπερτάταις ὑπεροχαῖς, τὸ ταπεινόν. Γέγονε γὰρ ἄνθρωπος ὁ Μονογενής, οὐχ ἵνα τοῖς τῆς κενώσεως ἐναπομείνῃ μέτροις, ἀλλ' ἵνα λαβὼν σὺν αὐτῇ τὰ αὐτῆς, Θεὸς ὢν φύσει, καὶ οὕτω γνωρίζηται, καὶ τὴν τοῦ ἀνθρώπου κατασεμνύνῃ φύσιν ἐφ' ἑαυτῷ, μέτοχον αὐτὴν ἀποφήνας ἱερῶν καὶ θείων ἀξιωμάτων· εὑρήσομεν δὲ καὶ αὐτοὺς τοὺς ἁγίους, δόξαν ὀνομάζοντας τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ μέντοι καὶ βασιλέα, καὶ προσέτι Κύριον, τὸν Υἱὸν, καὶ ὅτε γέγονεν ἄνθρωπος. Ἡσαΐας μὲν γὰρ ὧδέ πη φησίν· « Ὃν τρόπον ἐὰν ἄνθρωπος καλαμᾶται ἐλαίαν, οὕτω καλαμήσονται αὐτοὺς, καὶ ἐὰν παύσηται ὁ τρυγητὸς, οὗτοι φωνῇ βοήσονται· οἱ B δὲ καταλειφθέντες ἐπὶ τῆς γῆς, εὐφρανθήσονται ἅμα τῇ δόξῃ Κυρίου. » Καὶ πάλιν ἕτερος τῶν ἁγίων, « Φωτίζου, φησὶν, Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν. Ἰδοὺ σκότος καὶ γνόφος καλύψει γῆν, ἐπὶ δὲ σὲ φανήσεται Κύριος, καὶ δόξα Κυρίου ἐπὶ σὲ ὀφθήσεται. » Ἰάκωβός γε μὴν ὁ αὐτοῦ μαθητὴς, « Ἀδελφοὶ, φησὶ, μὴ ἐν προσωποληψίαις ἔχετε τὴν πίστιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς δόξης. » Πέτρος δὲ αὖ ὁ θεσπέσιος, « Εἰ ὀνειδίζεσθε ἐν Χριστῷ, μακάριοί ἐστε· τῆς δόξης, καὶ τὸ τοῦ Θεοῦ Πνεῦμα ἐφ' ὑμᾶς ἀναπέπαυται. »

Ἅλις μὲν δὴ τῶν τοιούτων ἡμῖν, ὦ γενναῖε. Φράζε δὲ ὅπως πρὸς ἡμῶν νοεῖσθαι πρέπει τὸ C περὶ Χριστοῦ γεγραμμένον, « Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου, μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν Υἱὸς, ἔμαθεν, ἀφ' ὧν ἔπαθε, τὴν ὑπακοὴν, καὶ τελειωθεὶς, ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας ἀκαταλύτου· » προσεποίσω δὲ κἀκεῖνο οἷς ἔφην, τὸ, « Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες; » Ἀπεοικότα γὰρ εἶναί φασι τὰ τοιάδε τῷ Θεῷ Λόγῳ, καὶ ἡττῆσθαι πολὺ τῆς ἐνούσης ὑπεροχῆς αὐτῷ φαίην ἄν.

A. Ἴσημι καὶ αὐτὸς ἐγὼ, μὴ ἂν ἁρμόσαι ταυτὶ τῷ ἐκ Θεοῦ Πατρὸς φῦντι Λόγῳ, ἐξωσθέντος τοῦ τρόπου τῆς οἰκονομίας, καὶ οὐκ εἰσδεχθέντος πρὸς D ἡμῶν τοῦ, ὅτι γέγονε σὰρξ κατὰ τὰς Γραφάς. Ἐπειδὴ δὲ πρὸς τοῦτο διερηρείσμεθα, καὶ τὸ ἐνδοιάζειν ὅλως δυσσεβείας ἔχει γραφὴν, φέρε τῆς οἰκονομίας τὸ βάθος, ὡς ἔνι, κατασκεπτώμεθα. Ἐπέφανε τοίνυν ἡμῖν ἐν εἴδει τῷ καθ' ἡμᾶς ὁ ἐκ Κυρίου Πατρὸς Λόγος, κατὰ μυρίους ὅσους ὀνήσων τρόπους τὰ ἀνθρώπινα, καὶ καταδείξων εὖ μάλα τὴν εἰς πᾶν ὁτιοῦν τῶν τεθαυμασμένων ἀποκομίζουσαν τρίβον. Ἦν οὖν ἀναγκαῖον ἀναμαθεῖν, πειρασμοῦ καταθέοντος τοὺς τῆς εἰς Θεὸν ἀγάπης ἕνεκα κινδυνεύοντας, ὁποίους τινὰς εἶναι χρὴ τοὺς τὴν εὐκλεᾶ καὶ ἐξαίρετον πολιτείαν καὶ ζωὴν κατορθοῦν ἡρημένους

[1] Isa. XXIV, 13, 14. [2] Isa. LX, 1, 2. [3] Jac. II, 1. [4] I Petr. IV, 14. [5] Hebr. V, 7-9. [6] Psal. XXI, 1; Matth. XXVII, 46.

νοῦς, πότερα μεθιεμένους καὶ ἀναπίπτοντας εἰς τὸ ῥᾴθυμον, καὶ οὐχ ἐν καιρῷ τρυφῶντας καὶ εὐρυνομένους εἰς εὐθυμίαν, ἢ συντεινομένους εἰς λιτὰς, καὶ δεδακρυμένους ὁρᾶσθαι τῷ σώζοντι, καὶ τὴν παρ' αὐτοῦ διψῶντας ἐπικουρίαν, καὶ μέντοι καὶ εὐανδρίαν, εἴπερ ἕλοιτο καὶ παθεῖν ἡμᾶς. Ἔδει τε πρὸς τούτοις εἰδέναι χρησίμως, ὅποι ποτὲ ἄρα τὸ τῆς ὑπακοῆς διέξεισι πέρας, καὶ διὰ ποίων ἔρχεται γερῶν, ὅσος τε καὶ οἷος τῆς ὑπομονῆς ὁ μισθός. Γέγονε τοίνυν ὑποτύπωσις τῶν τοιούτων ἡμῖν ὁ Χριστὸς, καὶ πρός γε τοῦτο ἡμᾶς ἐμπεδοῖ λέγων ὁ θεσπέσιος Πέτρος· « Ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομένετε; Ἀλλ' εἰ ἀγαθοποιοῦντες ὑπομένετε, τοῦτο χάρις παρὰ Θεῷ, ὅτι καὶ Χριστὸς ἀπέθανεν ὑπὲρ ὑμῶν, ὑμῖν ὑπολιμπάνων ὑπογραμμὸν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ. » Οὐκοῦν, οὐ γυμνὸς ὢν ἔτι καὶ τῶν τῆς κενώσεως ἀμέτοχος τρόπων ὁ τοῦ Θεοῦ Λόγος, ἀλλ' ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ γέγονεν ἡμῖν ὑπογραμμὸς, ἅτε καὶ ἀνεπιπλήκτως ἐξὸν αὐτῷ τοῖς τῆς ἀνθρωπότητος χρῆσθαι μέτροις, καὶ ἀνατεῖναι λιτὴν, καὶ καταστάξαι δάκρυον, καὶ δοκεῖν ἤδη πως καὶ δεῖσθαι τοῦ σώζοντος, καὶ μανθάνειν τὴν ὑπακοὴν, καίπερ ὄντα Υἱόν. Κατατέθηπε γὰρ ὥσπερ τὸ μυστήριον ὁ πνευματοφόρος, ὅτι φύσει τε καὶ ἀληθῶς ὑπάρχων Υἱὸς, καὶ τοῖς τῆς θεότητος αὐχήμασιν ἐμπρεπὴς, καθῆκεν ἑαυτὸν εἰς ταπείνωσιν, ὡς τῆς ἀνθρωπίνης πτωχείας ὑπελθεῖν τὸ σμικροπρεπές. Ἀλλ' ἦν εἰς ἡμᾶς, ὡς ἔφην, ὁ τοῦ πράγματος τύπος, καλὸς καὶ ὀνησιφόρος· ὡς τό τοι μὴ χρῆναι διάττειν ἡμᾶς εἰς ἑτέραν ὁδὸν, καὶ οὐ [γρ. καιροῦ] καλοῦντος εἰς εὐανδρίαν, ἀναμάθοι τις ἂν ἐντεῦθεν, καὶ ῥᾷστά γε δή. Καὶ γοῦν ἔφη Χριστὸς, ποτὲ μὲν, ὅτι καὶ « Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ· » ποτὲ δὲ αὖ, « Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν ἑαυτοῦ, καὶ ἀκολουθείτω μοι. » Τὸ δὲ δεῖν οἴεσθαι κατακολουθεῖν αὐτῷ, τί ἂν ἕτερον εἴη παρά γε τὸ χρῆναι κατανδρίζεσθαι πειρασμῶν, μετὰ τοῦ τὴν ἄνωθεν ἐπικουρίαν αἰτεῖν, οὐκ ἀτημελῶς τε καὶ παρειμένως, κεχρημένους δὲ μᾶλλον λιταῖς ταῖς ἐκτενεστάταις καὶ καθιέντας ὀμμάτων τὸ ἐξ εὐλαβείας δάκρυον;

Τοῦ αὐτοῦ ἐκ τῶν περὶ τῆς ἑνώσεως Σχολίων.

Τὸ τῆς ἑνώσεως χρῆμα κατὰ πολλοὺς ἐπιτελεῖται τρόπους· διῃρημένοι γάρ τινες κατὰ διάθεσιν καὶ γνώμην, καὶ διχονοοῦντες πρὸς ἀλλήλους, ἑνοῦσθαι λέγονται κατὰ σύμβασιν φιλικὴν, ἐκ μέσου ποιοῦντες τὰς διαφοράς· ἑνοῦσθαι δέ φαμεν καὶ τὰ ἀλλήλοις κολλώμενα, ἤγουν συνηνεγμένα καθ' ἑτέρους τρόπους, ἢ κατὰ παράθεσιν, ἢ μίξιν, ἢ κρᾶσιν· ὅταν οὖν ἑνοῦσθαι λέγομεν τῇ καθ' ἡμᾶς φύσει τὸν τοῦ Θεοῦ Λόγον, κρείττων ὁρᾶται τῆς ἀνθρώπου διανοίας ὁ τῆς ἑνώσεως τρόπος· οὐ γάρ τοι καθ' ἕνα τῶν εἰρημένων ἐστίν· ἀπόρρητος δὲ παντελῶς, καὶ οὐδενὶ τάχα τῶν ὄντων διεγνωσμένος, πλὴν ὅτι μόνῳ τῷ πάντα εἰδότι Θεῷ.

[1] I Petr. II, 20, 21.

A pronos, et deliciis deditos, hilaritatique et gaudio animum laxantes : an potius una precibus intentos, et lacrymantes coram Salvatore cerni, et ipsius auxilium avide appetentes, fortique animo præditos esse, si etiam nos pati voluerit. Consultum præterea erat scire quis sit obedientiæ finis, et qualis quantaque tolerantiæ merces sit proposita. Horum itaque omnium figura atque exemplum nobis factus est Christus, quod et divinus ille Petrus confirmat dicens : « Quæ enim est laus, si peccantes et colaphizati suffertis ? Sed si bene facientes patienter sustinetis, hæc est gratia apud Deum : quia et Christus passus est pro vobis, relinquens vobis exemplum ut sequamini vestigia ejus [1]. »
B Proinde, non nudum et exinanitionis expers Dei Verbum, sed in diebus carnis suæ factum est nobis exemplum ; adeo ut citra reprehensionem liceat ei humanis moribus uti, et preces offerre, et lacrymas profundere, et Salvatorem exspectare atque implorare, et obedientiam discere, tametsi sit Filius. Attonitus enim quodammodo fuit mysterii magnitudine Apostolus Spiritu afflatus, quod natura ac vere exsistens Filius, et divina gloria eminens, seipsum ad eam humilitatem demiserit, ut humanæ inopiæ vilitatem subire non recusarit. Sed, ut dixi, negotii hujus exemplum ad nos magno nostro commodo spectabat : ut doceremur non debere nos in aliam viam deflectere, cum tempus fortitudinem poscat ; quod vel hinc optime quispiam
C intellexerit. Christus enim alibi quidem inquit : « Nolite timere eos qui interficiunt corpus, animam autem non possunt occidere : sed potius timete eum qui potest et animam et corpus perdere in gehennam [68]. » Alibi vero : « Si quis vult post me venire, abneget semetipsum, et tollat crucem suam et sequatur me [69]. » Quod autem oporteat ipsum sequi, quidnam aliud significet, quam debere nos fortiter obsistere tentationibus, cum invocatione auxilii divini, non negligenter ac remisse, sed potius utentes precibus ferventissimis, pias nobis ex oculis lacrymas excutientibus.

Ejusdem ex Scholiis de unione.

Adunatio multis modis impletur : sejuncti enim
D nonnulli affectu vel voluntate, et discordantes inter se, adunari dicuntur, per reconciliationem s cilem, deposita simultate. Adunari item dicimus ea quæ sibi conglutinantur, sive modis aliis conferuntur, aut per compositionem, aut per mistionem, aut per temperationem. Quoties autem adunatum esse nostræ naturæ Dei Verbum dicimus ; omni humana cogitatione adunationis ejus modus videtur esse superior. Neque enim per supra scriptos modos facta est arcana illa, et nulli penitus nota, nisi ei cui omnia nota sunt, unio.

A Et nihil mirum, si in hujusmodi cogitatione vincamur, cum res nostras, quomodo se habeant, inquirentes, ultra modum nostræ mentis inventionem esse confiteamur; quonamque modo animam hominis suo corpori adunatam esse putemus? Quis est qui id possit exprimere? Sed si oporteat eos, qui parva ea vix intelligere soleant; imo et eos qui valeant intelligere, tam subtiles res et omnem rationem transcendentes conjectare : dicimus quod deceat cogitare (quamvis minor sit oratio ad veritatem) talem esse adunationem ipsius Emmanuel, qualem quis intelligat animam hominis ad suum corpus habere. [Anima enim omnia quæ sunt corporis, esse reputat sua, licet per naturam propriam expers sit passionibus corporis, et naturalibus, B et quæ extrinsecus accedunt: movetur enim corpus in concupiscentias naturales, et consentit anima, et nullo licet modo participans, concupiscentiæ tamen exitum delectationem propriam ducit. Et si forte ferro corpus percutiatur, aut torqueatur, condolet illa quidem, quod suum corpus patiatur; ipsa vero in sua natura nullum patitur omnino tormentum.

Tamen super hoc quoque dicimus esse adunationem, quæ est in Emmanuele facta : erat enim necesse cum suo corpore adunatam ei animam dolere, ut dum timebat passiones, subditam cervicem Deo submitteret]. De Deo autem Verbo condolere passionibus nefas est dicere : impassibilis enim Deus est, et nostrarum rerum longe dis- C similis; sed adunatus quidem erat carni habenti animam rationabilem, qua patiente ipse impassibilis, ea quæ animæ contingerent, cognoscebat, et contundebat quidem, ut Deus, carnis infirmitates; suas tamen eas, tanquam sui corporis, esse ducebat. Itaque esuriisse dicitur, fatigatus esse, passus fuisse pro nobis.

Ergo Verbi adunatio, quæ est cum humanitate facta, non irrationabiliter rebus nostris comparetur. Nam sicut corpus alterius est naturæ præter animam, et unus tamen ex utroque homo efficitur et vocatur; ita etiam ex perfecta Dei Verbi subsistentia et ex humanitate perfecta unus est Christus, idem in eodem Deus simul et homo; et sua D quidem ducit Deus Verbum, ut ante dixi, ea quæ sunt carnis propria, quia ipsius est corpus, non alterius. Communes autem facit tanquam cum sua carne divinæ suæ majestatis operationes, ut posset etiam vivificare mortuos, et sanare infirmos.

At si convenit exemplis etiam divinæ Scripturæ, quasi per figuram, adunationem demonstrare, age, dicamus, ut possumus. Beatus Isaias : « Missus est, inquit, ad me unus ex Seraphim, et in manu habebat carbonem, quem forcipe accepit ab altari, et venit ad me, et tetigit labia mea, et dixit ad me : Ecce tetigit hoc labia tua, et adimet

Καὶ θαυμαστὸν οὐδὲν, εἰ τῶν τοιούτων ἐννοιῶν ἡττώμεθα· ὅτε τὰ καθ' ἡμᾶς αὐτοὺς ὅπως ἂν ἔχοι διερευνώμενοι, τῆς ἐνούσης ἡμῖν διανοίας ἐπέκεινα τὴν κατάληψιν ὁμολογοῦμεν ὑπάρχειν. Τίνα γὰρ τρόπον ἡνῶσθαι νοοῦμεν τὴν τοῦ ἀνθρώπου ψυχὴν τῷ ἰδίῳ σώματι; Τίς ὁ φράσαι δυνάμενος; Εἰ δὲ χρὴ, μικρὰ καὶ μόλις ἐννοεῖν εἰωθότας, καὶ λαλεῖν ἰσχύοντας, τῶν οὕτως ἰσχνῶν, καὶ ὑπὲρ νοῦν καὶ λόγον πραγμάτων κατατεκμήρασθαι, φαμὲν, ὅτι πρέποι ἂν ἐννοεῖν· μείων δὲ πάντως τῆς ἀληθείας ὁ λόγος· τοιαύτην εἶναι τὴν ἕνωσιν τοῦ Ἐμμανουὴλ, ὁποίανπερ ἂν λογίσαιτό τις καὶ τὴν [ἴσ. τῆς τοῦ ἀνθρ. ψυχῆς] τοῦ ἀνθρώπου ψυχὴν πρὸς τὸ ἴδιον σῶμα. Οἰκειοῦται γὰρ ἡ ψυχὴ τὰ τοῦ σώματος, καίτοι κατὰ φύσιν ἰδίαν ἀμέτοχος οὖσα τῶν αὐτοῦ παθῶν φυσικῶν τε ἅμα καὶ τῶν ἔξωθεν ἐπαγομένων. Κινεῖται μὲν γὰρ εἰς ὀρέξεις τὸ σῶμα φυσικὰς, καὶ συναισθάνεται διὰ τὴν ἕνωσιν ἡ ἐνοῦσα ψυχή· συμμετίσχει δὲ κατ' οὐδένα τρόπον· οἴεταί γε μὴν ἰδίαν ἀπόλαυσιν εἶναι τὸ τῆς ὀρέξεως ἀποτέλεσμα· κἂν εἰ καταξαίνοιτο τυχὸν τὸ σῶμα, καὶ σιδήρῳ καταξαίνοιτο συναλγεῖ μὲν, ὡς ἰδίου πάσχοντος σώματος· αὐτή γε μὴν εἰς ἰδίαν φύσιν οὐκ ἄν τι πάθοι τῶν ἐπενηνεγμένων.

Πλὴν καὶ ὑπὲρ τοῦτό φαμεν ἐπὶ τοῦ Ἐμμανουὴλ τὴν ἕνωσιν. Ἦν μὲν γὰρ ἀναγκαῖον, τῷ ἰδίῳ σώματι συναλγεῖν τὴν ἑνωθεῖσαν ψυχήν· ἵνα φεύγουσα τὰς αἰκίας, εὐήνιον ὑποφέροι τῷ Θεῷ τὸν αὐχένα. Ἐπὶ δέ γε τοῦ Θεοῦ Λόγου τὸ συναισθάνεσθαι τῶν αἰκιῶν ἄτοπον εἰπεῖν· ἀπαθὲς γὰρ τὸ Θεῖον, καὶ οὐκ ἐν γε τοῖς καθ' ἡμᾶς· ἀλλ' ἥνωτο μὲν σαρκὶ, ψυχὴν ἐχούσῃ τὴν λογικήν· πασχούσης δὲ αὐτῆς, ἀπαθῶς ἦν ἐν εἰδήσει τῶν εἰς αὐτὴν γινομένων· καὶ ἠφάνιζε μὲν ὡς Θεὸς τὰς τῆς σαρκὸς ἀσθενείας, ᾠκειοῦτό γε μὴν αὐτὰς ὡς ἰδίου σώματος· οὕτω καὶ πεινῆσαι λέγεται καὶ καμεῖν, καὶ παθεῖν ὑπὲρ ἡμῶν.

Οὐκοῦν παρεικάζοιτο ἂν ἡ ἕνωσις τοῦ Λόγου πρὸς τὸ ἀνθρώπινον οὐκ ἀπὸ σκοποῦ τοῖς καθ' ἡμᾶς. Ὥσπερ γὰρ ἑτεροφυὲς μὲν τὸ σῶμα πρὸς τὴν ψυχὴν, εἷς γε μὴν ἐξ ἀμφοῖν ἄνθρωπος ἀποτελεῖται καὶ λέγεται· οὕτω καὶ ἐκ τελείας ὑποστάσεως τοῦ Θεοῦ Λόγου, καὶ μὴν καὶ ἐξ ἀνθρωπότητος τελείως ἐχούσης κατὰ τὸν ἴδιον λόγον, εἷς ὁ Χριστὸς, ὁ αὐτὸς ὑπάρχων ἐν ταυτῷ Θεός τε ὁμοῦ καὶ ἄνθρωπος. Καὶ οἰκειοῦται μὲν ὁ Λόγος, ὡς ἔφην, τὰ τῆς ἰδίας σαρκὸς, ὅτι καὶ αὐτοῦ τὸ σῶμα, καὶ οὐχ ἑτέρου· κοινοποιεῖται δὲ ὥσπερ τῇ ἰδίᾳ σαρκὶ τῆς ἐνούσης αὐτῷ θεοπρεποῦς δυνάμεως τὴν ἐνέργειαν· ὥστε δύνασθαι καὶ ζωοποιεῖν τοὺς νεκροὺς, καὶ ἰᾶσθαι τοὺς ἐν ἀῤῥωστίαις.

Εἰ δὲ χρὴ, καὶ τοῖς ἐκ τῆς θεοπνεύστου Γραφῆς παραδείγμασι κεχρημένους, καθάπερ ἐν τύποις τὸν τῆς ἑνώσεως καταδεῖξαι τρόπον, φέρε λέγωμεν. Ὁ μακάριος Ἡσαΐας, « Ἀπεστάλη, φησὶ, πρός με ἓν τῶν Σεραφίμ· καὶ ἐν τῇ χειρὶ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου· καὶ ἦλθε πρός με, καὶ ἥψατο τῶν χειλέων μου, καὶ εἶπεν· Ἰδοὺ ἥψατο

τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σοῦ περικαθαριεῖ. » Φαμὲν δὲ τὸν ἄνθρακα τύπον ἡμῖν καὶ εἰκόνα πληροῦν τοῦ ἐνανθρωπήσαντος Λόγου· ὅς, εἴπερ ἅψαιτο τῶν χειλέων ἡμῶν, τοῦτ' ἔστιν, ὅταν τὴν εἰς αὐτὸν ὁμολογήσωμεν πίστιν, τότε καὶ ἁπάσης ἁμαρτίας ἀποφαίνει καθαρούς, καὶ τῶν ἀρχαίων ἐγκλημάτων ἐλευθέρους.

Πλὴν ἔστιν ἰδεῖν, ὡς ἐν εἰκόνι τὸν ἄνθρακα [τῷ ἄνθρακι], ἑνωθέντα μὲν τῇ ἀνθρωπότητι τὸν τοῦ Θεοῦ Λόγον, οὐ μὴν ἀποβεβληκότα τὸ εἶναι ὅ ἐστι, μεταστοιχειώσαντι [μεταστοιχειώσαντα] δὲ μᾶλλον τὸ ληφθὲν, ἤγουν ἑνωθὲν, εἰς τὴν ἑαυτοῦ δόξαν τε καὶ ἐνέργειαν. Ὅνπερ γὰρ τρόπον τὸ πῦρ ὁμιλῆσαν ξύλῳ, καὶ εἰσδεδυκὸς αὐτὸ, καταδράττεται μὲν αὐτοῦ, καὶ οὐκ ἐξίστησι μὲν τοῦ εἶναι ξύλον, μεθίστησι δὲ μᾶλλον εἰς τὴν τοῦ πυρὸς ὄψιν τε καὶ δύναμιν, καὶ πᾶν αὐτῷ τὸ ἴδιον ἐνεργάζεται, καὶ ὡς ἓν ἤδη λελόγισται μετ' αὐτοῦ· οὕτω νοήσῃς καὶ ἐπὶ Χριστοῦ. Ἑνωθεὶς γὰρ ἀπορρήτως ἀνθρωπότητι Θεὸς, τετήρηκε μὲν αὐτὴν τοῦθ' ὅπερ εἶναί φαμεν· μεμένηκε δὲ καὶ αὐτὸς ὅπερ ἦν· ἑνωθεὶς δὲ ἅπαξ, ὡς εἷς λελόγισται μετ' αὐτῆς, οἰκειούμενος μὲν τὰ αὐτῆς, ἐμποιήσας δὲ καὶ αὐτῆς αὐτῇ τῆς ἰδίας φύσεως τὴν ἐνέργειαν.

Τοῦ αὐτοῦ ἐκ τῆς περὶ ἑνὸς Υἱοῦ ὁμιλίας.

Ὑπὸ κατάραν ἐσμὲν οἱ εἰς Χριστὸν πιστεύαντες, εἰ μὴ φύσει τε καὶ ἀληθῶς ἐστι Θεὸς ὁ ἐκ Παρθένου γεννηθείς. Ἔφη γάρ που περὶ αὐτοῦ ὁ προφήτης Ἡσαΐας· *Καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι.* Πῶς οὖν ἐπ' αὐτῷ τὰς ἐλπίδας ἔχοντες οὐκ ἐσμὲν ἐπάρατοι, εἴπερ ἐστὶν ἀληθὴς ὁ προφήτης Ἱερεμίας λέγων, *Ἐπικατάρατος, ὅστις τὴν ἐλπίδα ἐπ' ἄνθρωπον ἔχει;* Ἀλλ' οὐκ ἐπ' ἀνθρώπῳ τὰς ἐλπίδας ἐσχήκαμεν οἱ εἰς Χριστὸν πιστεύσαντες. Θεὸς ἄρα ἐστὶν εἷς καὶ μόνος, καὶ κατὰ ἀλήθειαν Υἱὸς καὶ πρὸ σαρκὸς, καὶ μετὰ σαρκὸς, ὃς ἔποχος ὢν τῷ πώλῳ, κατὰ τὴν τῶν Εὐαγγελίων πίστιν, ἀνέβαινεν εἰς Ἱεροσόλυμα. Εἶτα προϋπήντων εὐφημοῦντα μειράκια, καὶ δὴ καὶ ἔφασκον· *Ὡσαννὰ τῷ Υἱῷ Δαβίδ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.* Πρὸς ταύτην τὴν τῶν παίδων φωνὴν ἠγανάκτουν οἱ Φαρισαῖοι. Ἐπειδὴ γὰρ ὁρώμενος ἄνθρωπος τὴν Θεῷ πρέπουσαν ὑμνολογίαν ἐδέχετο, προσῆεσαν οἱ θρασεῖς μονονουχὶ διαμαρτυρόμενοί τε καὶ λέγοντες, *Οὐκ ἀκούεις τί οὗτοι λέγουσι;* μονονουχὶ γάρ φασιν, Ἄνθρωπος ὢν, ἀνέχῃ δοξολογούμενος, καὶ ὡς Θεὸς ὑμνούμενος. Καὶ τί πρὸς ταῦτα Χριστός; Ἠγανάκτησεν ἄρα κατὰ τῶν παίδων; ἀπεσείσατο τὴν δοξολογίαν; ἐπετίμησε τοῖς εὐφημοῦσιν αὐτὸν ὡς Θεόν; Οὐδαμῶς. Ἔφη γὰρ μᾶλλον πρὸς τοὺς φιλεγκλήμονας· *Οὐκ ἀνέγνωτε, ὅτι Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον; Ἀμὴν λέγω ὑμῖν, ἐὰν οὗτοι σιωπήσωσιν, οἱ λίθοι κεκράξονται.* Ὁρᾷς ὅπως προσμεμαρτύρηκεν ἑαυτῷ τὴν τῆς θεότητος δόξαν ὁ ἐποχούμενος τῷ πώλῳ, καὶ κατὰ σάρκα Υἱὸς Δαβίδ; Ἀλλ' οὐκ ἦν δόξης ἀλ-

A iniquitates tuas, et peccata tua repurgabit. » Carbonem autem dicimus figuram et imaginem nobis exhibere Verbi hominis facti : quod, si labia nostra tetigerit, id est, si fidem in ipsum confessi fuerimus, tunc nos ab omni peccato puros efficit, et pristinis criminibus liberat.

Cæterum, tanquam in imagine, licet in carbone conspicere adunatum quidem humanitati Dei Verbum, non tamen projecisse quod fuerat, transformasse autem magis assumptam naturam in suam gloriam et operationem. Quemadmodum enim ignis ligno affixus, et id penetrans, comprehendit quidem ipsum, et quamvis lignum esse non desinat, vim tamen suam speciemque transmutat, et omnem
B se confert in lignum, et cum ipso jam quasi unum aliquod æstimatur : idem intellige de Christo. Adunatus enim inæstimabiliter humanitati Deus servavit quidem ipsam in eo quod fuerat, et ipse permansit quod erat; semel tamen adunatus, quasi unus jam cum ipsa putatur, ea quæ sunt illius sua faciens; conferens autem ei etiam ipse naturæ suæ operationem.

Ejusdem ex oratione de uno Filio.

Sub exsecratione sumus, qui in Christum credimus, nisi natura et vere Filius est, qui natus est ex Virgine. De hoc enim Isaias ait quodam loco : *Et erit radix Jesse, et qui exsurgat imperare gentibus, in ipso gentes sperabunt* [1]. Quomodo igitur nos, qui spem
C in ipso positam habemus, non sumus exsecrabiles, siquidem Jeremias est verus propheta, qui, *Maledictus*, inquit, *qui spem habet in homine* [2] *?* At nos, qui in Christum credidimus, in homine spes nostras non collocavimus : Deus enim est unus et solus, et vere Filius, et antequam carnem assumeret, et postquam carnem assumpsit, qui insidens pullo, ut evangelistæ tradiderunt, ascendit in Jerusalem. Tunc obviam processerunt pueri, qui et dicebant : *Hosanna Filio David. Benedictus, qui venit in nomine Domini* [3]. Ad hanc puerorum vocem indignati sunt Pharisæi. Cum enim in hominis forma conspicuus Deo convenientem laudem admisisset, audacter accesserunt et tantum non testati sunt, dicentes : *Non audis, quid isti dicunt* [4]? Nihil abeat, inquiunt, quo-
D minus homo cum sis, patiaris te tanquam Deum gloria et laudibus affici. Num his auditis Christus pueris indignatus est? num laudes ipsorum recusavit? succensuitne illis, a quibus laudabatur ut Deus? Nequaquam. Quin etiam ad eos, qui criminationibus delectabantur : *Nonne*, inquit, *legistis : Ex ore infantium et lactentium perfecisti laudem? Amen dico vobis, si hi tacuerint, lapides clamabunt* [5]. Vides quomodo qui pullo insederat, secundum carnem filius Davidis, divinitatis gloriam ut suam agnovit testimonio suo? Non igitur erat alienæ gloriæ socius, ut isti dicunt, neque diversus a Verbo Dei, ut

[1] Isa. xi, 10; Rom. xv, 12. [2] Jerem. xvii, 5. [3] Matth. xxv, 15. [4] Ibid. 16. [5] Luc. xix, 40.

Filius sigillatim. Et idcirco et Deus, et Dominus, et Altissimus angelorum etiam voce nominatur. Nam beatus quidem Gabriel cum Joannis ortum nuntiaret, et munus ipsius aperte indicaret, ad Zachariam: *Multi*, inquit, *in nativitate ejus gaudebunt, et multos filiorum Israelis convertet ad Dominum Deum ipsorum*[1]. Quomodo igitur convertit ad Dominum Deum ipsorum filios Israelis? Nuntiavit eis: *Post me*, inquiens, *venit, qui ante me factus est, quia prior me erat, et ego nesciebam eum, sed qui misit me baptizare in aqua, ille dixit mihi: Super quem videris Spiritum descendentem et manentem, ille est qui baptizat in Spiritu sancto. Et ego vidi, et testatus sum, hunc esse Filium Dei*[2]. Non dixit, *cum illo*, vel, *in illo esse Filium Dei*, sed, *hunc esse Filium Dei*.

A λοτρίας κοινωνὸς, ὡς αὐτοί φασιν. Ἀλλ' οὐδ' ἕτερος παρὰ τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον, ὡς Υἱὸς κατὰ μόνας, διὰ τοῦτο καὶ Θεὸς, καὶ Κύριος, καὶ Ὕψιστος ὀνομάζεται καὶ διὰ τῆς ἀγγέλων φωνῆς. Καὶ γοῦν ὁ μακάριος Γαβριὴλ τὴν Ἰωάννου γέννησιν εὐαγγελιζόμενος, καὶ τὴν ἐσομένην αὐτοῦ διακονίαν ἐναργῆ καθιστὰς, τῷ Ζαχαρίᾳ φησὶν, ὅτι *Πολλοὶ ἐπὶ τῇ γεννέσει αὐτοῦ χαρήσονται, καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν.* Πῶς οὖν ἐπέστρεψεν ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν τοὺς υἱοὺς Ἰσραήλ; Εὐηγγελίζετο γὰρ αὐτοῖς λέγων· *Ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Κἀγὼ οὐκ ᾔδειν αὐτὸν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν, Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον ἐξ οὐρανοῦ, καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ. Κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ.* Οὐκ εἶπε, Μετὰ τούτου ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ, ἀλλ' οὐδ', Ἐν τούτῳ ἐστὶν, ἀλλ', *Ὅτι οὗτός ἐστιν.*

Ejusdem anathematismus 6.

Si quis dicit, Verbum Dei Patris esse Deum aut Dominum Christi, ac non potius ipsum et Deum simul et hominem confitetur, cum Verbum caro factum sit, ut Scripturæ testantur[3], anathema sit. Dominus enim noster Jesus Christus, qui et unus et solus vere Filius est Dei et Patris, factus est caro, et una cum proprio Genitore rebus omnibus dominatur, eique omne genu flectitur cœlestium, terrestrium et infernorum; et omnis lingua confitetur Dominum Jesum Christum esse in gloria Dei Patris.

B *Τοῦ αὐτοῦ ἀναθεματισμὸς ς'.*

Εἴ τις λέγει Θεὸν, ἢ Δεσπότην εἶναι τοῦ Χριστοῦ τὸν τοῦ Θεοῦ Πατρὸς Λόγον, καὶ οὐχὶ δὴ τὸν αὐτὸν μᾶλλον ὁμολογεῖ Θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, ὡς γεγονότος σαρκὸς τοῦ Λόγου, κατὰ τὰς Γραφὰς, ἀνάθεμα ἔστω. Ὁ γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ εἷς τε καὶ μόνος κατὰ ἀλήθειαν Υἱὸς ὑπάρχων τοῦ Θεοῦ καὶ Πατρὸς, γέγονε σάρξ, καὶ συγκατάρχει τῶν ὅλων ὁμοῦ τῷ ἰδίῳ γεννήτορι, κάμπτει τε αὐτῷ πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ ἐξομολογεῖται πᾶσα γλῶσσα, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός.

Ejusdem anathematismus 7.

Si quis dicit Jesum ut hominem a Dei Verbo regi, et Unigeniti gloriam ei tanquam ab ipso differenti circumdari, anathema sit. Quando etiam beatus Gabriel unigeniti Filii Dei ortum in carne sanctæ Virgini nuntiavit: *Paries*, inquit, *Filium, et vocabis nomen ejus Jesum. Ipse enim salvum faciet populum suum a peccatis ipsius*[4]. Vocatus autem est Christus quia nobiscum unctus est humaniter.

Τοῦ αὐτοῦ ἀναθεματισμὸς ζ'.

Εἴ τις φησιν ὡς ἄνθρωπον ἐνεργεῖσθαι ὑπὸ τοῦ Θεοῦ Λόγου τὸν Ἰησοῦν, καὶ τὴν τοῦ Μονογενοῦς εὐ- C δοξίαν περιῆφθαι αὐτῷ ὡς ἑτέρῳ παρ' αὐτὸν ὑπάρχοντα, ἀνάθεμα ἔστω. Ὅτε γὰρ τὴν κατὰ σάρκα γέννησιν τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ εὐηγγελίζετο τῇ ἁγίᾳ Παρθένῳ ὁ μακάριος Γαβριὴλ, *Τέξῃ*, φησὶν, *υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.* Ὠνόμασται δὲ Χριστὸς διὰ τὸ κεχρίσθαι μεθ' ἡμῶν ἀνθρωπίνως.

Ejusdem ex epistola ad Nestorium.

Neque enim dicimus Verbi naturam per sui mutationem carnem esse factam; sed neque in totum hominem transformatam ex anima et corpore constitutum; asserimus autem Verbum, unita sibi secundum hypostasim carne animata rationali anima, inexplicabili incomprehensibilique modo hominem factum, et hominis Filium exstitisse, non per solam voluntatem aut beneplacitum, sive per solam personæ assumptionem. Et quamvis naturæ sint diversæ, vera tamen unione coeuntes, unum nobis Christum et Filium effecerunt; non quod naturarum differentia propter unionem sublata sit, verum quod divinitas et humanitas secreta quadam ineffabilique conjunctione in una persona unum nobis Jesum Christum et Filium constituerint. Ad hunc modum, qui ante omne sæculum exsistit, et ex Pa-

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Νεστόριον ἐπιστολῆς.

Οὐ γάρ φαμεν ὅτι ἡ τοῦ Λόγου φύσις μεταποιηθεῖσα γέγονε σάρξ· ἀλλ' οὐδὲ ὅτι εἰς ὅλον ἄνθρωπον μετεβλήθη, τὸν ἐκ ψυχῆς καὶ σώματος· ἐκεῖνο δὲ μᾶλλον, ὅτι σάρκα ἐμψυχωμένην ψυχῇ λογικῇ ἑνώσας ὁ Λόγος ἑαυτῷ καθ' ὑπόστασιν, ἀφράστως τε καὶ ἀπερινοήτως D γέγονεν ἄνθρωπος, καὶ κεχρημάτικεν Υἱὸς ἀνθρώπου, οὐ κατὰ θέλησιν μόνην, ἢ εὐδοκίαν· ἀλλ' οὐδὲ ὡς ἐν προσλήψει προσώπου μόνου· καὶ ὅτι διάφοροι μὲν αἱ πρὸς ἑνότητα τὴν ἀληθινὴν συναχθεῖσαι φύσεις· εἷς δὲ ἐξ ἀμφοτέρων Χριστὸς καὶ Υἱός· οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν· ἀποτελεσασῶν δὲ μᾶλλον ἡμῖν τὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν καὶ Υἱὸν, θεότητός τε καὶ ἀνθρωπότητος, διὰ τῆς ἀφράστου καὶ ἀπορρήτου πρὸς ἑνότητα συνδρομῆς. Οὕτω τε λέγεται, καίτοι πρὸ αἰώνων ἔχων τὴν ὕπαρξιν, καὶ γεννηθεὶς ἐκ Πατρὸς, γεννηθῆναι καὶ

[1] Luc. I, 14. [2] Joan. I, 30, 34. [3] Joan. I, 14. [4] Luc. I, 31.

A κατὰ σάρκα ἐκ γυναικός, οὐχ ὡς τῆς θείας αὐτοῦ φύσεως ἀρχὴν τοῦ εἶναι λαβούσης ἐν τῇ ἁγίᾳ Παρθένῳ· οὔτε μὴν δεηθείσης ἀναγκαίως δι' ἑαυτὴν δευτέρας γεννήσεως, μετὰ τὴν ἐκ Πατρός. Ἔστι γὰρ εἰκαῖόν τε ὁμοῦ καὶ ἀμαθὲς τὸν ὑπάρχοντα πρὸ παντὸς αἰῶνος, καὶ συναΐδιον τῷ Πατρὶ, δεῖσθαι λέγειν ἀρχῆς τῆς εἰς τὸ εἶναι δευτέρας. Ἐπειδὴ δὲ δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἑνώσας ἑαυτῷ καθ' ὑπόστασιν τὸ ἀνθρώπινον, προῆλθεν ἐκ γυναικὸς, ταύτῃ τοι λέγεται γεννηθῆναι σαρκικῶς. Οὐ γὰρ πρῶτον ἄνθρωπος ἐγεννήθη κοινὸς ἐκ τῆς ἁγίας Παρθένου· εἶθ' οὕτω καταπεφοίτηκεν ἐπ' αὐτὸν ὁ Λόγος· ἀλλ' ἐξ αὐτῆς μήτρας ἑνωθεὶς, ὑπομεῖναι λέγεται γέννησιν σαρκικὴν, ὡς τῆς ἰδίας σαρκὸς τὴν γέννησιν οἰκειούμενος. Οὕτω φαμὲν αὐτὸν καὶ παθεῖν, καὶ ἀναστῆναι, οὐχ ὡς τοῦ Θεοῦ Λόγου παθόντος εἰς ἰδίαν B φύσιν, ἢ πληγὰς, ἢ διατρήσεις ἥλων, ἤγουν τὰ ἕτερα τῶν τραυμάτων· ἀπαθὲς γὰρ τὸ Θεῖον, ὅτι καὶ ἀσώματον· ἐπειδὴ δὲ τὸ γεγονὸς αὐτοῦ ἴδιον σῶμα πέπονθε ταῦτα, πάλιν αὐτὸς λέγεται παθεῖν ὑπὲρ ἡμῶν. Ἦν γὰρ ὁ ἀπαθὴς ἐν τῷ πάσχοντι σώματι. Κατὰ τὸν ἴσον δὲ τρόπον, καὶ ἐπὶ τοῦ τεθνάναι νοοῦμεν· ἀθάνατος γὰρ κατὰ φύσιν, καὶ ἄφθαρτος, καὶ ζωὴ καὶ ζωοποιός ἐστιν ὁ τοῦ Θεοῦ Λόγος. Ἐπειδὴ δὲ πάλιν τὸ ἴδιον αὐτοῦ σῶμα χάριτι Θεοῦ, καθά φησιν ὁ Παῦλος, ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, λέγεται παθεῖν αὐτὸς τὸν ὑπὲρ ἡμῶν θάνατον· οὐχ ὡς εἰς πεῖραν ἐλθὼν τοῦ θανάτου, τό γε ἧκον εἰς τὴν αὐτοῦ φύσιν (ἀποπληξία γὰρ τοῦτο λέγειν ἢ φρονεῖν), ἀλλ' ὅτι, καθάπερ ἔφην ἀρτίως, ἡ σὰρξ αὐτοῦ ἐγεύσατο θανάτου. Οὕτω καὶ ἐγηγερμένης αὐτοῦ τῆς σαρκὸς, πά- C λιν ἡ ἀνάστασις αὐτοῦ λέγεται· οὐχ ὡς πεσόντος εἰς φθοράν· μὴ γένοιτο· ἀλλ' ὅτι τὸ αὐτοῦ πάλιν ἐγήγερται σῶμα. Οὕτω Χριστὸν ἕνα καὶ Κύριον ὁμολογήσομεν· οὐχ ὡς ἄνθρωπον συμπροσκυνοῦντες τῷ Λόγῳ, ἵνα μὴ τομῆς φαντασία παρεισκρίνηται, διὰ τοῦ λέγειν τὸ, *σύν*· ἀλλ' ὡς ἕνα καὶ τὸν αὐτὸν προσκυνοῦντες, ὅτι μὴ ἀλλότριον τοῦ Λόγου τὸ σῶμα αὐτοῦ, μεθ' οὗ καὶ αὐτῷ συνεδρεύει τῷ Πατρί· οὐχ ὡς δύο πάλιν συνεδρευόντων υἱῶν, ἀλλ' ὡς ἑνὸς καθ' ἕνωσιν μετὰ τῆς ἰδίας σαρκός. Ἐὰν δὲ τὴν καθ' ὑπόστασιν

tre genitus fuit, secundum carnem ex muliere natus dicitur: non quod divina illius natura exsistentiæ suæ initium in sacra Virgine sumpserit, aut quod post primam ex Patre, altera propter seipsam generatione necessario indiguerit: stultum est enim planeque ineptum asserere eum qui ante omnia sæcula Patri coæternus exsistit, altera denuo, quo exsistere queat, generatione indiguisse: sed quod propter nos, et propter nostram salutem humana natura secundum hypostasim sibi unita, ex muliere natus est: hinc est quod secundum carnem natus prædicatur. Non enim primo vulgaris quispiam homo ex Virgine ortus est, in quem Dei Verbum deinde sese demiserit; sed in ipso utero carni unitum secundum carnem progenitum dicitur, utpote suæ carnis generationem sibi ut propriam vindicans. Ad eumdem modum illud passum et resuscitatum dicimus, non quod Dei Verbum aut plagas, aut clavorum perforationes, aut alia id genus vulnera in propriam naturam acceperit: nam ut divinum numen corporis expers est, ita perpeti quoque nihil potest; sed quia corpus quod sibi asciverat, hæc fuit expertum, eam ob rem ipsum nostri causa illa perpessum asseritur. Impatibile enim Verbum in corpore patibili exsistebat. Idem et de ejusdem quoque morte sentimus, siquidem Dei Verbum, suapte natura immortale et a corruptione alienum, et vita rursum et vivificans est. Verum quia suum ipsius corpus gratuito Dei munere mortem, attestante Paulo [1], omnium causa degustavit, fit ut ipsum mortem propter nos perpessum dicatur: non quod ipsum, quod quidem ad propriam naturam attinet, mortem exceperit (insania namque mera esset, istud vel dicere, vel cogitare), sed quia caro illius mortem, ut modo aiebam, degustavit. Pari modo, quia caro illius resurrexit, et ipsi resurrectio tribuitur: non quod ipsum ceciderit in corruptionem, absit! sed quia rursus corpus illius exsuscitatum est. Ita unum Christum et Dominum confitemur; non quod hominem una cum Verbo adoremus, ne illud *cum Verbo*, aliquam divisionis imaginationem menti objiciat; sed unum eumdemque adoramus, quandoquidem corpus suum non est alienum a Verbo, cum quo Patri assidet: non quod duo filii Patri assideant: assidet enim unus tantum, per unionem cum propria carne.

D *Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Εὐλόγιον ἐπιστολῆς.*

Ἐπιλαμβάνονταί τινες τῆς ἐκθέσεως, ἣν πεποίηνται οἱ ἀνατολικοί, καί φασι, Διατί, φύσεις ὀνομαζόντων αὐτῶν, ἀνέσχετο καὶ ἐπῄνεσεν ὁ τῆς Ἀλεξανδρείας, οἱ δὲ τὰ Νεστορίου φρονοῦντες λέγουσι κἀκεῖνον οὕτω φρονεῖν, συναρπάζοντες τοὺς οὐκ εἰδότας τὸ ἀκριβές; Χρὴ δὲ τοῖς μεμφομένοις ἐκεῖνα λέγειν, ὅτι οὐ πάντα ὅσα λέγουσιν οἱ αἱρετικοὶ, φεύγειν καὶ παραιτεῖσθαι χρή. Πολλὰ γὰρ ὁμολογοῦσιν, ὧν καὶ ἡμεῖς ὁμολογοῦμεν· οἷον Ἀρειανοὶ ὅταν λέγωσι τὸν Πατέρα, ὅτι δημιουργός ἐστι τῶν ὅλων καὶ Κύριος, μὴ διὰ τοῦτο φεύγειν ἡμᾶς ἀκόλουθον τὰς τοσαύτας ὁμολογίας. Οὕτω καὶ ἐπὶ Νεστορίου, κἂν

Ejusdem ex epistola ad Eulogium.

Orientalium expositionem reprehendunt quidam et dicunt: Cur cum naturas nominarint, episcopus Alexandriæ pertul.t et laudavit, cum illi, qui Nestorio favent, cum dicant idem sentire, atque ita corripiant eos, qui rem haud ita plane norunt? Istis reprehensoribus respondendum est, non omnia, quæ dicunt hæretici, fugere et accusare oportere: multa enim confitentur, quæ nos item confitemur. Ut cum Ariani Patrem rerum omnium auctorem et Dominum dicunt, non debemus nos id negare. Sic etiam de Nestorio sentiendum est, quamvis duas dicat naturas, differentiam ostendens carnis et Verbi

[1] Hebr. II, 9.

Dei; alia enim est Verbi natura, et alia carnis: verum nobiscum non confitetur etiam unionem et conjunctionem. Nos enim hæc copulantes unum Christum, unum Dominum eumdem confitemur, et unam Verbi Dei naturam carnem assumpsisse. Et paucis verbis interjectis: Naturarum discrimen agnoscere, non est unum Christum in duo secare.

Ejusdem ex epistola ad Acacium.

Nestorius ergo tollit omnino unigeniti Filii Dei ortum in carne. Negat enim ipsum esse natum ex muliere secundum Scripturas. Sic enim ait: Deum ex Christi genitrice Virgine processisse ex divina Scriptura didici, natum autem ex ipsa Deum nusquam didici. Et in altera rursum expositione: Nullo igitur modo Scriptura Deum ex Christi genitrice Virgine natum dicit, sed Jesum Christum, Filium, et Dominum. Quod autem hæc dicens, in duos filios unum dividat, et alterum per se Filium, et Christum, et Dominum, nempe ex Deo Patre genitum Verbum, alterum rursus proprie sigillatim, et per se Filium, et Christum, et Dominum constituat, quis dubitet, cum ipse id clara voce fateatur? At fratres Antiocheni Dei genitricem appellant sanctam Virginem, et unum esse dicunt Filium, et Christum, et Dominum, perfectum in divinitate, et in humanitate perfectum eumdem, quippe cum illius caro sit animata anima ratione prædita.

Ex eadem Epistola.

Nestorius simulat se confiteri Dei Verbum hominem, seu carnem assumpsisse, sed assumptionis ignorans vim, duas quidem naturas nominat, easque vicissim separat, Deum separatim statuens, et hominem itidem separatim, qui habitu et sola honoris æqualitate, seu auctoritate conjunctus sit Deo. Sic enim ait: Ab eo quod cernitur, non est separatus Deus. Itaque cum separatus non sit, nec honorem separo. Naturas separo, sed adorationem conjungo. At fratres Antiocheni ea, ex quibus intelligitur Christus, in nudis et solis notionibus suscipientes, naturarum quidem differentiam statuerunt, quod idem in qualitate naturali non sit divinitas atque humanitas, unum tamen Filium, et Christum, et Dominum, et unam ipsius unius exsistentis personam asserunt, et nulla ratione dividunt, quæ sunt conjuncta, neque naturalem admittunt divisionem, quemadmodum sentire videbatur iste decretorum infelicium introductor; sed dividi solas contendunt voces, quæ de Domino dictæ sunt, easque convenire dicunt, non partim quidem Filio, qui separatim consideretur Verbum Dei, partim rursum alteri Filio, qui ex muliere natus sit; sed alias quidem ipsius divinitati, alias rursum ejusdem humanitati. Eumdem enim esse Deum atque hominem. Alias autem dicunt esse communes quodammodo, et ad divinitatem atque humanitatem respicientes. Nam aliæ quidem voces maxime Deo congruentes, aliæ contra homini, aliæ medio quodam se habent modo,

δύο φύσεις λέγῃ τὴν διαφορὰν σημαίνων τῆς σαρκὸς, καὶ τοῦ Θεοῦ Λόγου· ἑτέρα γὰρ ἡ τοῦ Λόγου φύσις, καὶ ἑτέρα ἡ τῆς σαρκός· ἀλλ' οὐκέτι τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν. Ἡμεῖς γὰρ ἑνώσαντες ταῦτα, ἕνα Χριστὸν, ἕνα Κύριον τὸν αὐτὸν ὁμολογοῦμεν, καὶ μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην. Καὶ μετ' ὀλίγα· Οὐ τὸ εἰδέναι τῶν φύσεων τὴν διαφορὰν διατέμνειν ἐστὶν εἰς δύο τὸν ἕνα Χριστόν.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἀκάκιον ἐπιστολῆς.

Οὐκοῦν Νεστόριος μὲν ἀναιρεῖ εἰς ἅπαν τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ τὴν κατὰ σάρκα γέννησιν. Οὐ γὰρ τετέχθαι φησὶν αὐτὸν ἐκ γυναικὸς κατὰ τὰς Γραφάς. Ἔφη γὰρ οὕτω· Τὸ παρελθεῖν τὸν Θεὸν ἐξ αὐτῆς τῆς Χριστοτόκου Παρθένου παρὰ τῆς θείας ἐδιδάχθην Γραφῆς· τὸ δὲ γεννηθῆναι Θεὸν ἐξ αὐτῆς οὐδαμοῦ ἐδιδάχθην. Ἐν ἑτέρᾳ δὲ πάλιν ἐξηγήσει· Οὐδαμοῦ τοίνυν ἡ Γραφὴ Θεὸν ἐκ τῆς Χριστοτόκου Παρθένου λέγει γεγεννῆσθαι, ἀλλὰ Ἰησοῦν Χριστὸν, Υἱὸν, Κύριον. Ὅτι δὲ ταῦτα λέγων εἰς δύο υἱοὺς μερίζει τὸν ἕνα, καὶ ἕτερον ἰδικῶς φησιν Ἰησοῦν Χριστὸν καὶ Κύριον τὸν ἐκ Θεοῦ Πατρὸς γεννηθέντα Λόγον, ἕτερον δὲ πάλιν ἀνὰ μέρος καὶ ἰδικῶς Υἱὸν καὶ Χριστὸν καὶ Κύριον τὸν ἐκ τῆς Παρθένου, πῶς ἂν ἐνδοιάσειέ τις, αὐτὸ δὴ τοῦτο σαφῶς μονονουχὶ βοῶντος ἐκείνου; Οἱ δὲ κατὰ τὴν Ἀντιόχειαν ἀδελφοὶ Θεοτόκον ὀνομάζουσι τὴν ἁγίαν Παρθένον, καὶ ἕνα φασὶν εἶναι Υἱὸν καὶ Κύριον τέλειον ἐν θεότητι, καὶ τέλειον ἐν ἀνθρωπότητι τὸν αὐτὸν, ἅτε δὴ καὶ ἐνεψυχωμένης τῆς σαρκὸς αὐτοῦ ψυχῇ νοερᾷ.

Ἐκ τῆς αὐτῆς ἐπιστολῆς.

Ὑποκρίνεται μὲν ὁ Νεστόριος ὁμολογεῖν, ὅτι καὶ ἐσαρκώθη, καὶ ἐνηνθρώπησεν ὁ τοῦ Θεοῦ Λόγος· τὴν δὲ τοῦ σεσαρκῶσθαι δύναμιν οὐκ εἰδὼς, δύο μὲν ὀνομάζει φύσεις, ἀποδιΐστησι δὲ ἀλλήλων αὐτὰς, Θεὸν ἰδίᾳ τιθεὶς, καὶ ὁμοίως ἄνθρωπον ἀνὰ μέρος συναφθέντα Θεῷ μετεσχηκὼς κατὰ μόνην τὴν ἰσοτιμίαν, ἤγουν αὐθεντίαν. Ἔφη γὰρ οὕτως· Ἀχώριστον τοῦ φαινομένου Θεός· διὰ τοῦτο τοῦ μὴ χωριζομένου τὴν τιμὴν οὐ χωρίζω. Χωρίζω τὰς φύσεις, ἀλλ' ἑνῶ τὴν προσκύνησιν. Οἱ δέ γε κατὰ τὴν Ἀντιόχειαν ἀδελφοὶ τὰ μὲν ἐξ ὧν νοεῖται Χριστὸς, ὡς ἐν ψιλαῖς καὶ μόναις ἐννοίαις δεχόμενοι, φύσεων μὲν εἰρήκασι διαφορὰν, ὅτι μὴ ταυτὸν ἐν ποιότητι φυσικῇ θεότης τε καὶ ἀνθρωπότης, ἕνα γε μὴν Υἱὸν, καὶ Χριστὸν, καὶ Κύριον, καὶ ὡς ἑνὸς ὄντος ἀληθῶς, ἓν αὐτοῦ καὶ πρόσωπον εἶναί φασι, μερίζουσι δὲ κατ' οὐδένα τρόπον τὰ ἡνωμένα, οὔτε μὴν φυσικὴν παραδέχονται τὴν διαίρεσιν, καθὰ φρονεῖν ἔδοξε τῷ τῶν ἀθλίων δογμάτων εἰσηγητῇ. Διῃρῆσθαι δὲ κατὰ μόνας διατείνονται τὰς ἐπὶ τῷ Κυρίῳ φωνὰς, πρέπειν δέ φασιν αὐτὰς οὐ τὰς μὲν Υἱῷ κατὰ μόνας τῷ ἐκ Θεοῦ Πατρὸς Λόγῳ, τὰς δὲ ἑτέρῳ πάλιν Υἱῷ τῷ ἐκ γυναικὸς, ἀλλὰ τὰς μὲν τῇ θεότητι αὐτοῦ, τὰς δὲ τῇ αὐτοῦ πάλιν ἀνθρωπότητι. Θεὸς δέ ἐστιν ὁ αὐτὸς καὶ ἄνθρωπος. Εἶναι δέ φασι καὶ ἑτέρας κοινοποιηθείσας τρόπον τινὰ, καὶ οἷον ἐπ' ἄμφω βλεπούσας, θεότητα λέγω καὶ ἀνθρωπότητα. Οἷον δή τί φημι· αἱ μὲν γάρ εἰσι τῶν φωνῶν ὅτι μάλιστα θεοπρεπεῖς, αἱ δὲ οὕτω πάλιν ἀνθρωποπρεπεῖς, αἱ δὲ μέσην τινὰ

τάξιν ἐπέχουσιν ἐμφανίζουσαι Υἱὸν Θεοῦ ὄντα, καὶ A ἄνθρωπον ὁμοῦ τε καὶ ἐν ταυτῷ. Καὶ μεθ' ἕτερα· Οὐ γὰρ εἰς τοῦτο προῆλθον ἀποπληξίας, ὡς παραβάτας ἑαυτοὺς συνιστάνειν ἃ κατέλυσαν ὀρθῶς, οἰκονομοῦντες ἀβούλως. Εἰ γὰρ ταῖς Νεστορίου συμφέρονται δόξαις, πῶς αὐτὰς ἀναθεματίζουσιν ὡς βεβήλους καὶ μυσαράς; Οἶμαι δὲ δεῖν καὶ τὰς αἰτίας εἰπεῖν, δι' ἃς εἰς τοῦτο προῆλθον ἰσχνομυθίας. Ἐπειδὴ γὰρ οἱ τῆς Ἀρείου ἀσεβείας ὑπασπισταὶ τὴν ἀλήθειαν ἀνοσίως ἐκκαπηλεύοντες, τὸν τοῦ Θεοῦ φασι Λόγον γενέσθαι μὲν ἄνθρωπον, πλὴν ἀψύχῳ προσκεχρῆσθαι σώματι, ἵνα τὰς ἀνθρωπίνας αὐτῷ φωνὰς προσνέμοντες, ἐλαττοῦσθαι τῆς τοῦ Πατρὸς ὑπεροχῆς τοῖς παρ' αὐτῶν πλανωμένοις καταδεικνύωσιν, ἑτεροφυᾶ τε παρ' αὐτὸν εἶναι λέγωσι· δεδιότες οἱ ἐκ τῆς ἀνατολῆς μή ἄρα πως ἡ τοῦ Θεοῦ Λόγου κατα- B σμικρύνηται δόξα καὶ φύσις, ἀπό γε τῶν ἀνθρωπίνως εἰρημένων διὰ τὴν μετὰ σαρκὸς οἰκονομίαν διορίζουσι τὰς φωνάς, οὐκ εἰς πρόσωπα δύο τέμνοντες, ὡς ἔφην, τὸν ἕνα Χριστὸν καὶ Κύριον, ἀλλὰ τὰς μὲν τῇ θεότητι αὐτοῦ προσνέμοντες, τὰς δὲ τῇ ἀνθρωπότητι πάλιν τῇ αὐτοῦ, πλὴν τὰς πάσας ἑνί.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τῆς ἐνανθρωπήσεως λόγου, ὅτι Θεοτόκος ἡ Παρθένος.

Ὑποκλέπτειν οἴονταί τινες τῶν ἀκροωμένων τὰς ψυχάς, ἄνθρωπον λέγοντες ἀνειληφέναι τὸν Θεὸν Λόγον, καὶ διὰ τούτου πρόοδον πεποιῆσθαι ἐκ τῆς ἁγίας Παρθένου, καὶ τοῦτον αὐτὸν τὸν ἄνθρωπον ἀποτεθεῶσθαι τῷ Θεῷ Λόγῳ, οὐ συνιέντες τὸ τῆς εὐσεβείας μυστήριον, καὶ τῆς μετὰ σαρκὸς οἰκονομίας C τοῦ Μονογενοῦς τὴν χάριν μετρίαν ποιούμενοι. Ἡμεῖς δὲ οὐχ οὕτω δεδιδάγμεθα. Ἕνα καὶ τὸν αὐτὸν ἴσμεν, ἀδελφοί, τὸν διὰ τῆς ἁγίας Παρθένου τῆς Θεοτόκου Μαρίας γεννηθέντα Θεὸν τέλειον, καὶ ἄνθρωπον ἔμψυχον, λογικόν· ταύτῃ τοι καὶ Θεοτόκον λέγομεν τὴν ἁγίαν Παρθένον, καὶ ἐνῳκηκέναι οὐσιωδῶς τὸν Θεὸν Λόγον ἐν αὐτῇ οὐ δοκήσει, ἀλλὰ ἐνεργείᾳ, Υἱόν τε Θεοῦ ἅμα, καὶ Υἱὸν ἀνθρώπου. Ἀλλὰ γὰρ καὶ τὰς τῆς ἀνθρωπότητος, οὐ μὴν καὶ τὰς τῆς θεότητος φωνάς, ἃς διαγορεύουσιν ἡμῖν αἱ θεῖαι Γραφαὶ περὶ αὐτοῦ, εἰς ἓν πρόσωπον συνῆχθαί φαμεν. Τὸν αὐτὸν γὰρ ἴσμεν ἐπὶ τὸ προσκεφάλαιον καθεύδοντα, τὸν αὐτὸν τῇ θαλάσσῃ ἐπιτιμῶντα ἐν ἐξουσίᾳ καὶ τοῖς ἀνέμοις, τὸν αὐτὸν ἐπὶ τῆς ὁδοιπορίας κεκμηκότα, τὸν αὐτὸν ἐπὶ τῆς θαλάσσης περιπατοῦντα, ὡς ἐπὶ D στερεᾶς γῆς ἰδίᾳ ἐξουσίᾳ. Ὁ αὐτὸς τοίνυν Θεός, ὁ αὐτὸς ἄνθρωπος ὁμολογουμένως. Τί γὰρ τὸ θαῦμα, εἰ ἄνθρωπός τις τῶν καθ' ἡμᾶς ἐν ἐξουσίᾳ Θεοῦ δυνάμεις ἐνεργεῖν λέγεται; Ἀλλ' ἵνα τὸν αὐτὸν Θεὸν Λόγον κεκενῶσθαι ὑποδείξωσιν ἡμῖν αἱ θεῖαι Γραφαί, οὐ δοκήσει, ἀλλὰ ἐνεργείᾳ, ἕνα καὶ τὸν αὐτὸν ἡμῖν διαγορεύουσιν ἐν προφητικοῖς, καὶ μὴν καὶ ἀποστολικοῖς κηρύγμασιν.

Ἐκ τῆς πρὸς Ἰωάννην τὸν Ἀντιοχέα ἐπιστολῆς.

Ὁμολογοῦμεν τοιγαροῦν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, Θεὸν τέλειον, καὶ ἄνθρωπον τέλειον, ἐκ ψυχῆς λογικῆς καὶ σώματος, πρὸ αἰώνων μὲν ἐκ τοῦ Πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν

quæ Filium Dei simul, et hominem, et in eodem pariter ostendunt. Et post alia: Neque enim eo dementiæ processerunt, ut se transgressores constituerent, ea quæ recte dissolverunt, inconsiderate construentes. Nam si Nestorii probant opiniones, quomodo illas ut adulterinas et exsecrandas detestantur? Causas autem arbitror explicandas, quamobrem ad ejusmodi nugarum subtilitatem progressi sunt. Quoniam enim Arianæ impietatis defensores veritatem nefarie venditantes, Dei quidem Verbum factum hominem dicunt, sed tamen inanimatum corpus assumpsisse, ut humanas ipsi voces tribuentes ostendant iis quos deceperunt, ipsum Patris excellentiæ cedere, et diversæ ab ipso dicant esse naturæ: Orientales veriti, ne Dei Verbi gloria naturaque minuatur ob ea quæ, propter dispensationem in carne factam, humana ratione dicta sunt, voces definiunt, non unum Christum et Dominum, ut diximus, in duas dividentes personas, sed alias quidem ipsius tribuentes divinitati, alias autem humanitati, universas tamen uni.

Ejusdem ex oratione de assumpta a Verbo humanitate: Virginem esse Dei Genitricem.

Audientium animos decepturos se quidem existimant, dicentes, Deum Verbum hominem assumpsisse, et per ipsum ex Virgine prodiisse, et eum ipsum hominem a Deo Verbo divinum esse redditum. Qui sane homines pietatis mysterium ignorant, et Unigeniti gratiam ex susceptæ carnis consilio profectam mediocrem efficiunt. Nos autem haud ita sumus edocti, sed unum eumdemque scimus, fratres, per sanctam Virginem Dei Genitricem genitum Deum perfectum, et hominem animatum anima ratione prædita. Sic et Dei Genitricem dicimus S. Virginem, in eaque Deum Verbum per essentiam non opinione, sed reipsa Filium Dei simul et Filium hominis habitasse. Quin etiam divinitatis humanitatisque voces, quas nobis de ipso divinæ tradunt Scripturæ, in unam personam dicimus convenire. Eumdem enim scimus esse, qui in pulvinari dormiebat, et qui cum potestate mari et ventis imperabat; eumdem, qui in itineribus defatigabatur, et qui propria auctoritate super mare tanquam super solidam terram ambulabat. Eumdem igitur Deum et eumdem Dominum confitemur. Quid enim mirum, si homo quispiam, quales nos sumus, Dei potestate miracula facere dicatur? Verum ut Deum ipsum Verbum sese exinanisse nobis ostendant divinæ Scripturæ, non opinione, sed veritate, unum atque eumdem nobis affirmant in prædicationibus prophetarum et apostolorum.

Ex Epistola ad Joannem Antiochenum.

Confitemur igitur Dominum nostrum Jesum Christum, Filium Dei unigenitum, Deum perfectum, et perfectum hominem, ex anima ratione prædita corporeque constantem, ante sæcula quidem ex Patre genitum secundum divinitatem, in extremis autem

diebus eumdem propter nos et propter nostram A salutem ex Maria natum Virgine secundum humanitatem. Duarum enim naturarum conjunctio facta est. Quamobrem unum Christum, unum Filium, unum Dominum confitemur : et hac quidem inconfusæ conjunctionis notione confitemur sanctam Virginem esse Dei Genitricem : quoniam Deus Verbum caro et homo factus est, et ex ipsa conceptione sibi templum ex illa sumptum adjunxit et copulavit.

Ex oratione ad augustissimas dominas habita.

Si sacra Virgo Deum incarnatum secundum carnem non peperit, vel inviti concedant oportet, hominem tantum vulgarem, nobisque nihilo excellentiorem in lucem edidisse. Quod si B res ita se habet, qua obsecro ratione, omne genu illi incurvabitur, omnisque lingua confitebitur, quod Dominus noster Jesus est in gloria Dei Patris[1]? Quomodo angeli, et sacer ille cœlestium virtutum cœtus illum adoret[2]? Numquid hominem communem, et nos et universum cœlum hactenus percolimus? Absit : adoramus enim Emmanuelem tanquam verum Deum. Atqui nulla ratione adorari potest, nisi credamus ipsum Dei Patris Verbum, quod ab universa creatura adoratur, secundum Scripturas carnem factum esse : non quod in carnem demutatum transierit, sed quod ex ipsa sacra Virgine carnem susceperit, humanamque, ut ante expositum est, nativitatem, C perinde ac nos, subiverit; quo nimirum homo nostri causa factum, more quidem aliorum hominum mortem pateretur, proculcato autem mortis imperio, divina vi rursum resurgeret. Hoc enim modo factum est, ut nos quoque per Christum vincere, peccatoque debellato, ac posita corruptione, mortem effugere possemus, lætitiaque in Christo pleni diceremus : « Ubi est, mors, victoria tua? ubi est stimulus tuus, inferne[3]? » Ut enim in Adam devicti sumus, ita rursum in Christo devicimus.

Quod si vulgaris tantum homo esset Emmanuel, quomodo mors hominis humanæ naturæ opem tulisset? Enimvero non pauci sanctorum prophetarum mortem obierunt, ut laudatissimus ille Abraham, Isaac, Jacob, Moyses, Samuel, reliquique deinceps, qui vitæ sanctimonia claruerunt; verum- D tamen mors illorum generi humano nihil omnino contulit : at vero mors Christi salutem præstitit; siquidem propriam pro nobis carnem obtulit, mortique semetipsum nostri causa contradens, omnes ex mortis laqueis exemit. Unus enim pro omnibus moriens satisfecit, ut qui plurimum cæteris omnibus dignitate præstaret. Nam et Dei Patris Verbum est, et natura Deus, et corpus quod pro nobis in odorem suavitatis Deo et Patri offerebat, illius proprium fuit. Impium est ergo, longeque absurdissimum, unum Dominum nostrum Jesum Christum in duos filios divellere, maxime cum sa-

αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς Παρθένου κατὰ τὴν ἀνθρωπότητα. Δύο γὰρ φύσεων ἕνωσις γέγονε· διὸ ἕνα Χριστὸν, ἕνα Υἱὸν, ἕνα Κύριον ὁμολογοῦμεν. Κατὰ ταύτην τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν ὁμολογοῦμεν τὴν ἁγίαν Παρθένον Θεοτόκον, διὰ τὸ τὸν Θεὸν Λόγον σαρκωθῆναι, καὶ ἐνανθρωπῆσαι, καὶ ἐξ αὐτῆς τῆς συλλήψεως ἑνῶσαι ἑαυτῷ τὸν ἐξ αὐτῆς ληφθέντα ναόν.

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς τὰς εὐσεβεστάτας δεσποίνας προσφωνητικοῦ.

Εἰ μὴ τέτοκε σαρκικῶς σαρκωθέντα Θεὸν ἡ ἁγία Παρθένος, πᾶσά πως ἀνάγκη καὶ οὐχ ἑκόντας αὐτοὺς ὁμολογεῖν, ὅτι κοινὸν γεγέννηκεν ἄνθρωπον, οὐδὲν ἔχοντα παρ' ἡμᾶς τὸ πλεῖον. Εἶτα πῶς αὐτῷ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός; Πῶς αὐτῷ προσκυνοῦσιν ἄγγελοι, καὶ τῶν ἀνωτάτω δυνάμεων ἡ ἁγία πληθύς; Ἆρ' οὖν ἀνθρώπῳ κοινῷ λελάτρευκε μεθ' ἡμῶν καὶ σύμπας ὁ οὐρανός; Μὴ γένοιτο· προσκυνοῦμεν γὰρ ὡς Θεὸν ἀληθινὸν τὸν Ἐμμανουήλ. Ἔσται δὲ οὐχ ἑτέρως προσκυνητὸς, ἐὰν μὴ πιστεύωμεν, ὅτι αὐτὸς ὁ ἐκ Θεοῦ Λόγος, ὁ παρὰ πάσης τῆς κτίσεως προσκυνούμενος, σὰρξ ἐγένετο κατὰ τὰς Γραφάς· οὐκ εἰς σάρκα μεταβεβλημένος, ἀλλ' ἐκ τῆς ἁγίας Παρθένου σάρκα λαβὼν, ὡς ἔφην, καὶ ἀνθρωπίνην μεθ' ἡμῶν ὑπομείνας γέννησιν· ἵνα καὶ ἄνθρωπος γεγονὼς ὑπὲρ ἡμῶν, ἀποθάνῃ μὲν ἀνθρωπίνως, ἀναστῇ δὲ θεϊκῶς, πατήσας τοῦ θανάτου τὸ κράτος. Οὕτω γὰρ ἦν δύνασθαι καὶ ἡμᾶς ὡς ἐν Χριστῷ νικήσαντας κατευμεγεθῆσαι μὲν τῆς ἁμαρτίας, ἀποδύσασθαι δὲ τὴν φθορὰν, καὶ διαδρᾶναι θάνατον, οὕτω τε εἰπεῖν ἐκ περιχαρείας τῆς ἐν Χριστῷ· « Ποῦ ἡ νίκη σου, θάνατε; ποῦ τὸ κέντρον σου, ᾅδη; » Ὥσπερ γὰρ ἐν Ἀδὰμ πεπτώκαμεν, οὕτω νενικήκαμεν ἐν Χριστῷ.

Εἰ δὲ ἄνθρωπος ἦν κοινὸς ὁ Ἐμμανουὴλ, πῶς ἂν ὠφέλησε τὴν ἀνθρώπου φύσιν ὁ ἀνθρώπου θάνατος; Καίτοι πολλοὶ προαπέθανον ἅγιοι προφῆται, Ἀβραὰμ ἐκεῖνος ὁ διαβόητος, Ἰσαὰκ, καὶ Ἰακὼβ, Μωσῆς τε, καὶ Σαμουὴλ, καὶ οἱ καθεξῆς γεγονότες ἅγιοι· ἀλλ' ὤνησε μὲν οὐδὲν τὸ ἐπὶ γῆς τῶν ἀνθρώπων γένος ὁ ἐκείνων θάνατος, σέσωκε δὲ ὁ Χριστοῦ· προσκεκόμικε γὰρ ὑπὲρ ἡμῶν τὴν ἰδίαν σάρκα, καὶ δοὺς αὐτὴν τῷ θανάτῳ δι' ἡμᾶς, πάντας ἐξέλυσε τῶν τοῦ θανάτου δεσμῶν. Ἤρκεσε γὰρ εἷς ὑπὲρ πάντων ἀποθανὼν ὁ πάντων ἀξιώτερος, ὅτι καὶ φύσει Θεὸς ὁ ἐκ Πατρός ἐστι Λόγος, καὶ ἴδιον αὐτοῦ σῶμα, τὸ ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ Πατρὶ προσκεκομισμένον. Οὐκοῦν ἀσεβὲς, καὶ τῶν λίαν ἐκτοπωτάτων, τὸ τέμνειν εἰς υἱοὺς δύο τὸν ἕνα Κύριον Ἰησοῦν Χριστόν. Ἀντιτάξεται δὲ αὐτοῖς καὶ ὁ σοφώτατος Παῦλος λέγων· « Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα. » Εἰ γάρ ἐστι Κύριος εἷς εἶτα

[1] Philipp. II, 10, 11. [2] Hebr. I, 6. [3] I Cor. XV, 55.

τέμνουσί τινες εἰς δύο υἱοὺς τὸν ἕνα, τίνι τὴν τῆς κυριότητος δόξαν περιθήσομεν; ἆρα τῷ ἐκ Πατρὸς φύντι Λόγῳ; πρέπει γὰρ αὐτῷ τὸ τῆς κυριότητος ὄνομά τε μάλιστα καὶ χρῆμα, καί ἐστιν ἀληθῶς τῶν ὅλων Δεσπότης. Εἶτα ὅποι ποτὲ τὸν ἕτερον θήσομεν; ἔξω γὰρ κείσεται τοῦ εἶναι Κύριος, παραχωρῶν τῷ προϋπάρχοντι, καὶ ἀσυγκρίτως ὑπερῃρμένῳ. Ἀλλὰ τῷ ἐκ γυναικὸς, ὡς αὐτοί φασιν ἀποδιιστάντες, τὴν τῆς κυριότητος ἀνάψομεν δόξαν. Εἶτα πῶς ἔσται Κύριος ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, εἴπερ ὄντος ἑνὸς Κυρίου, κατὰ τὰς Γραφὰς, ἀνθρώπῳ ψιλῷ τὸ τῆς κυριότητος ὄνομα χαριούμεθα; Πῶς δὲ καὶ μία πίστις; ἢ πῶς ἓν τὸ βάπτισμα; Εἰ γὰρ υἱοὶ δύο, κατά τινας, εἰς τίνα πιστεύομεν; Τῆς ἐκείνων ἀμαθίας ἔργον ἂν εἴη λέγειν, εἴς γε τίνος ὄνομα βεβαπτίσμεθα, καίτοι βαπτίσματος ὄντος ἑνός.

A pientissimus Paulus huic sententiæ diserte reclamet. Ait enim : « Unus Dominus, una fides, unum baptisma [1]. » Nam si unus duntaxat est Dominus, quem illi in duos filios distrahunt, utri, quæso, ex illis dominationis gloriam assignabimus? An Dei Patris genito Verbo? in hunc namque, cum universorum Dominus reipsa sit, et dominatus nomen, et res ipsa quoque multo maxime convenit. Cedo autem, quo interim loco alterum illum habebimus? Nam cum hic priori illi, utpote infinitis partibus excelsiori, jure meritoque cessurus sit, necessum est ut dominationis titulum prorsus amittat. At dominationis gloria, ut illi ipsi qui separant, dicunt, e muliere prognato tribuetur. Cum igitur sacrarum Litterarum testimonio, unus tantum sit B Dominus; si dominationis vocabulum nudo homini impartimur, quomodo Dei Patris Verbum dominationis appellatione cohonestabimus? Quomodo rursum una erit fides, et unum item baptisma? Nam si duo sunt filii, ut quidam opinantur, in quem ex illis credimus? Illorum inscitiæ erit dicere, in cujus etiam nomine baptizati sumus, cum unum sit baptisma.

Ἀλλ' ὁρᾷ που πάντως ἡ ἐν ὑμῖν ἀγχίνοια μεθιόντα τε τὸν ἐπὶ τούτῳ λόγον, καὶ κατασειόμενον εἴς γε τὸ ἀκαλλὲς, μᾶλλον ἤδη καὶ πρὸς ἐσχάτην ἀσέβειαν ἀπονενευκότα. Οἶμαι δὲ δεῖν ὑμᾶς, τὸ θεῖον αὐτοῦ πολυπραγμονούσας μυστήριον, ὀξεῖ διανοίας ὄμματι καθορᾷν τοὺς συναρπάζειν ἐθέλοντας, καὶ προσωπεῖον μὲν εὐσεβὲς τοῖς ἰδίοις περιπλάττοντας λόγοις, βολίδος γε μὴν ἁπάσης ὀξύτερον ἔχοντας αὐτούς. Ἀρνοῦνται μὲν γὰρ, ὅσον ἧκεν εἰπεῖν εἰς δύναμιν ἀληθείας, τὸν ἀγοράσαντα αὐτοὺς Δεσπότην, τουτέστι Χριστόν. Δεδιότες δὲ τῶν εὐσεβεῖν εἰωθότων τὰς ἐπὶ τῷδε λύπας, καὶ μέντοι ζῆλον τὸν ἀξιάγαστον, ὁμολογοῦσιν, ὅτι καὶ Θεός ἐστιν ὁ ἐκ τῆς ἁγίας Παρθένου γεγεννημένος, καὶ μὴν ὅτι καὶ Κύριος, καὶ Υἱὸς τοῦ Θεοῦ. Καὶ εἰ μέν τις τῶν ἁπλῶν τοὺς παρ' αὐτῶν δέξηται λόγους, νομιεῖ που, κατὰ τὸ εἰκὸς, ὀρθὰ καὶ εἰκότα λέγειν, καὶ τοῖς τῆς ἀληθείας οὐκ ἀπᾴδοντα δόγμασιν. Εἰ δὲ δή τις ἕλοιτο κατισχνοῦν ταῖς ἐρεύναις αὐτοὺς, καὶ τὸ ἀκριβῆ ποιεῖσθαι τῶν εἰρημένων τὴν βάσανον, οὐχ ἁπλοῦν εὑρήσει. Εἰσὶ μὲν γὰρ θεοὶ πολλοὶ, καὶ κύριοι πολλοὶ ἔν τε οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, καθὰ καὶ ὁ μακάριος ἡμῖν γράφει Παῦλος. « Ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ. » Πλὴν ὅταν Ἰησοῦν Χριστὸν ὀνομάζωμεν, τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνότα σημαίνομεν, οὐχ ἐν χάριτος μέρει καὶ ἐπακτὸν ἔξωθεν ἔχοντα τὸ ἀξίωμα, ἀλλὰ ὄντα τοῦτο κατὰ ἀλήθειαν, ὅπερ εἶναι πεπίστευται. Θεὸς γὰρ ὢν φύσει καὶ δίχα σαρκὸς, μεμένηκε Θεὸς καὶ μετὰ σαρκός· καὶ Υἱὸς ὢν φύσει καὶ πρὸ σαρκὸς, μεμένηκεν Υἱὸς καὶ ὅπερ [1] γέγονε σάρξ· καὶ Κύριος ὢν ἀληθῶς τῶν ὅλων, ἐν τοιᾷδε πάλιν ὁρᾶται δόξῃ, καὶ ἐν ἀνθρωπότητι γεγονώς. Οὐκοῦν εἰ Θεὸν ἀληθινὸν εἶναι λέγουσι τὸν ἐκ τῆς ἁγίας Παρθένου γεγεννημένον, τουτέστι τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον, κατὰ

Intelligit prudentia vestra perspicue, insanam hanc doctrinam in magnam absurditatem inclinare, imo vero in extremam impietatem præcipitem ferri. Existimo autem vos, quæ divinum illud Christi mysterium accuratius expenditis, perspicaci mentis oculo illos internoscere, qui imposturam moliuntur, orationique suæ pietatis personam inducunt, cum quovis interim venenato jaculo magis feriant : nam si quod res ipsa est, palam dicere C licet, Dominum qui eos redemit, hoc est, Christum, inficiantur. Veruntamen piorum ob hanc rem offensionem, zelumque æmulatione dignum metuentes, eum qui ex sacra Virgine natus est, et Deum et Dominum, et Dei Filium esse profitentur. Quod si qui ex rudioribus illorum sermones forte hauriunt, recta mox, ut probabile est, et convenientia, et quæ a veritate non dissentiant, illos loqui arbitrantur. Verum qui dicta illorum exactius perscrutantur, et justis ponderibus examinant, nihil non fucatum ac perplexum comperiunt : sunt enim dii multi et domini multi, et in cœlo et in terra, quemadmodum divinus Paulus scriptum nobis reliquit : « Nobis tamen unus est Deus Pater, ex quo omnia, et nos in illum : et unus Dominus D noster Jesus Christus, per quem omnia, et nos per ipsum [79]. » Cæterum cum Dei Patris Verbum humana forma indutum, Jesum Christum nominamus, dignitatem hanc non muneri datam, aut ei extrinsecus adventitiam obtigisse significamus; sed quod creditum est esse, hoc ipsum secundum veritatem esse indicamus. Nam cum extra carnem suapte natura Deus esset, posteaquam carnem induit, Deus esse non destitit. Rursum cum ante assumptam carnem naturalis Dei Filius esset, quando caro jam factum est, Filii rationem non amisit. Tandem cum universorum Dominus ante exsisteret, posteaquam humana natura ornatum prodiit, ab eo ordine

[1] Ephes. IV, 5.

et dignitate non excidit. Igitur si eum, qui ex sacra Virgine prodiit, hoc est Dei Patris Verbum carni secundum naturam unitum, verum Deum esse agnoscunt, cur eamdem Virginem esse Deiparam fateri verentur? Verum ipsis propositum est haud ex animo profiteri Virginis Filium Deum ac Dominum, eademque cum Patre auctoritate præditum esse, sed verbis tantum hoc ipsum simulare. Existimant enim, homini ad nostram similitudinem ex sancta Virgine prognato, cum filiationis, tum dominationis quoque gloriam per modum cujusdam gratiæ, ac per progressus obvenisse.

Ejusdem.

Dicimus igitur Dei Verbum, cum spiritus sit Deus, pro salute omnium, ut Scripturæ testantur, carnem et hominem factum esse, non ex propria natura sibi corpus accipiens, neque desinens esse id quod erat, nec ullam subiens mutationem, sed ex sancta Virgine immaculatum corpus assumens animatum anima mente prædita, illudque proprium reddens per conjunctionem minime confusam, quæ nec animo comprehendi, nec verbis omnino potest explicari, adeo, ut non alterius, sed proprium ipsius corpus intelligatur. Sic ingressus est in mundum Unigenitus, qui primogenitus et in multis fratribus factus est, qui tamen ut Deus inter res procreatas non potest collocari. Quare cum dicitur *natus*, et *ex muliere*, necessario *secundum carnem* adjicitur, ne exsistendi principium ex sancta Virgine intelligatur accepisse, cum ante sæculum omne sit, et sempiternus, et semper exstiterit cum Patre Deus Verbum. Verum quando ex voluntate Patris formam servi sumere voluit, tunc et ortum ex muliere secundum carnem subiisse dicitur. Sine controversia igitur quod ex carne est, est caro, et quod ex Deo Deus, ex utroque autem in idem Christus qui unus est Filius, et Dominus cum propria carne non inanimata, sed animata anima, ut dixi, mente prædita. Non igitur unum nobis Filium in duos secent, seorsum constituentes Verbum et Filium, et alterum seorsum et separatim hominem ex muliere, ut ipsi aiunt; sed cogitent non magis Deum Verbum homini conjunctum esse, quam ipsum esse factum hominem dici, dum semen Abraham assumit, ut dicunt Scripturæ[1], et in omnibus, excepto peccato, fratribus assimilatur[2]. Absoluta autem similitudo in primis habebit ortum ex muliere, et si intelligitur supra nos, humane tamen et secundum nos, nam de Unigenito quidem est super hoc. Deus enim erat caro factus. Quapropter et Dei Genitrix sancta vocatur Virgo. Quod si dixerint Deum et hominem congressos in idem, unum Christum effecisse, servata nimirum utriusque persona sine confusione, nihil eos propterea exquisite sentire, aut dicere possumus intelligere. Non enim, ut ipsi aiunt, Deus et homo congredientes Christum unum effecerunt, sed, ut jam dixi, Deus exsistens Verbum similiter atque nos, sanguinis et carnis particeps

[1] Hebr. II, 16. [2] Ibid. 17.

φύσιν ἑνωθέντα σαρκὶ, διὰ τί δεδίασιν ὁμολογεῖν, ὅτι Θεοτόκος ἐστὶν ἡ ἁγία Παρθένος; Ἀλλὰ σκοπὸς αὐτοῖς ὑποπλάττεσθαι μὲν, καὶ λέγειν, ὅτι ναὶ καὶ Θεός ἐστι, καὶ Κύριος, καὶ συνεδρεύει τῷ Πατρί. Φρονοῦσί γε μὴν οὐχ οὕτω κατὰ ἀλήθειαν, ἀλλ' ὡς ἐν χάριτος μέρει, καὶ ὡς ἐκ προκοπῆς δεδόσθαι φασὶ τῷ ἐκ τῆς ἁγίας Παρθένου κοινῷ καθ' ἡμᾶς ἀνθρώπῳ γεγεννημένῳ τήν τε τῆς υἱότητος καὶ τῆς κυριότητος δόξαν.

Τοῦ αὐτοῦ.

Φαμὲν οὖν, ὡς ὁ τοῦ Θεοῦ Λόγος πνεῦμα ὢν ὡς Θεὸς, κατὰ τὰς Γραφὰς, ἐπὶ σωτηρίᾳ τῶν ὅλων ἐσαρκώθη καὶ ἐνηνθρώπησεν, οὐκ ἐκ τῆς ἰδίας φύσεως αὐτὸς ἑαυτῷ σῶμα μεταλαβὼν, ἀλλ' οὐδὲ ἐκστὰς τοῦ εἶναι ὃ ἦν, οὐ τροπὴν ἢ ἀλλοίωσιν ὑπομείνας, ἀλλ' ἐκ τῆς ἁγίας Παρθένου τὸ ἄχραντον σῶμα λαβὼν ἐνεψυχωμένον νοερῶς, καὶ ἴδιον ἀποφήνας αὐτὸ καθ' ἕνωσιν ἀπερινόητον, ἀσύγχυτον, καὶ ἄφραστον παντελῶς, ὡς μήτε ἑτέρου τινὸς, ἀλλ' ἴδιον αὐτοῦ νοεῖσθαι, οὕτως εἰσῆλθεν εἰς τὸν κόσμον ὁ Μονογενὴς, ὃς πρωτότοκος καὶ ἐν πολλοῖς γέγονεν ἀδελφοῖς ὁ ἀσύντακτος τῇ κτίσει, καθὸ νοεῖται Θεός. Ὅταν τοίνυν γεγεννῆσθαι λέγηται, καὶ ἐκ γυναικὸς ἀναγκαίως τὸ κατὰ σάρκα προσεπιφέρεται, ἵνα μὴ ὑπάρξεως ἀρχὴν νοοῖτο λαβὼν ἐκ τῆς ἁγίας Παρθένου, καίτοι πρὸ παντὸς αἰῶνος ὑπάρχων ὁ συναΐδιος, καὶ ἀεὶ συνεφεστηκὼς τῷ ἰδίῳ Πατρὶ Θεὸς Λόγος. Ἀλλ' ὅτε κατ' εὐδοκίαν Πατρὸς τὴν τοῦ δούλου μορφὴν ἠθέλησε λαβεῖν, τότε καὶ ἀπότεξιν τὴν ἐκ γυναικὸς κατὰ σάρκα μεθ' ἡμῶν ὑπομεῖναι λέγεται. Οὐκοῦν ὁμολογουμένως μὲν τὸ ἀπὸ σαρκὸς σάρξ ἐστι, τὸ δὲ ἐκ Θεοῦ Θεός ἐστι. Κατ' αὐτὸν δὲ ἀμφότερα Χριστὸς, εἷς ὢν Υἱὸς καὶ Κύριος μετὰ τῆς ἰδίας σαρκὸς αὐτοῦ, οὐκ ἀψύχου μᾶλλον, ὡς ἔφην, ἀλλ' ἐνεψυχωμένης νοερῶς. Μὴ τοίνυν διατεμνέτωσαν εἰς δύο Υἱοὺς τὸν ἕνα Υἱὸν ἡμῖν, ἀνὰ μέρος ἱστάντες τὸν Λόγον καὶ Υἱὸν, καὶ ἕτερον ἰδικῶς τε καὶ κατὰ μέρος ἄνθρωπον τὸν ἐκ γυναικὸς, καθά φασιν αὐτοί· ἀλλ' ἐννοείτωσαν, ὅτι οὐκ ἀνθρώπῳ συνήφθη μᾶλλον ὁ Θεὸς Λόγος, ἀλλ' αὐτὸς ἄνθρωπος γενέσθαι λέγεται, σπέρματος Ἀβραὰμ ἐπιλαβόμενος, κατὰ τὰς Γραφὰς, καὶ ὁμοιωθεὶς κατὰ πάντα τοῖς ἀδελφοῖς δίχα μόνης ἁμαρτίας. Ἡ δὲ εἰς ἅπαν ὁμοίωσις ἔχοι ἂν εἰκότως καὶ πρό γε τῶν ἄλλων τὴν ἐκ γυναικὸς ἀπότεξιν. Εἰ καὶ νοεῖται μὲν ἐφ' ἡμῶν ἀνθρωπίνως καὶ καθ' ἡμᾶς, ἐπὶ δέ γε τοῦ Μονογενοῦς ὑπὲρ τοῦτο· Θεὸς γὰρ ἦν σαρκούμενος. Τοιγάρτοι καὶ Θεοτόκος ἡ ἁγία καλεῖται Παρθένος. Ἐὰν δὲ λέγωσιν, ὅτι Θεὸς καὶ ἄνθρωπος συνελθόντες κατὰ ταυτὸν, ἀπετέλεσαν ἕνα Χριστὸν, φυλαττομένης δηλονότι τῆς ὑποστάσεως ἑκατέρου ἀσυγχύτως, οὐδὲν ἀκριβὲς ἐπὶ τούτῳ φρονοῦντας ἢ λέγοντας ἔνεστιν ἰδεῖν. Οὐ γὰρ, καθά φασι, Θεὸς καὶ ἄνθρωπος συνελθόντες ἀπετέλεσαν ἕνα Χριστὸν, ἀλλ', ὡς ἔφην, ἤδη Θεὸς ὢν ὁ Λόγος παραπλησίως ἡμῖν μετέσχεν

αἵματος καὶ σαρκὸς, ἵνα ὁ Θεὸς ἐνανθρωπήσας νοῆται, καὶ τὴν ἡμετέραν σάρκα λαβὼν, καὶ ἰδίαν αὐτοῦ ποιησάμενος, ἵνα, καθάπερ ὁ καθ' ἡμᾶς νοούμενος ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος εἷς ἐστιν, οὕτω καὶ αὐτὸς εἷς ὁμολογῆται ὑπάρχειν Υἱὸς καὶ Κύριος. Μία γὰρ ὁμολογεῖται φύσις ἀνθρώπου καὶ σύστασις, κἂν ἐκ διαφόρων νοῆται καὶ ἑτεροειδῶν πραγμάτων. Ἑτεροφυὲς μὲν γὰρ ὁμολογουμένως ὡς πρός γε ψυχὴν τὸ σῶμά ἐστιν· ἀλλ' ἴδιον αὐτῆς καὶ συναποτελεστικὸν τῆς ὑποστάσεως τοῦ ἑνὸς ἀνθρώπου. Καὶ νῷ μὲν καὶ θεωρίᾳ τὸ διάφορον τῶν ὠνομασμένων οὐκ ἀσυμφανὲς, ἡ δέ γε σύνοδος, ἤτοι συνδρομὴ, τὸ ἀδιάτμητον ἔχουσα, ἓν ἀποτελεῖ ζῶον τὸν ἄνθρωπον. Ὁ τοίνυν μονογενὴς τοῦ Θεοῦ Λόγος οὐκ ἄνθρωπον προσλαβὼν προῆλθεν ἄνθρωπος, ἀλλὰ, καί τοι τὴν ἐκ Θεοῦ Πατρὸς ἀπόῤῥητον ἔχων γέννησιν, διὰ τοῦ ἁγίου καὶ ὁμοουσίου Πνεύματος ἑαυτῷ δημιουργήσας ναὸν, γέγονεν ἄνθρωπος. Τοιγάρτοι καὶ εἷς νοεῖται.

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς τοὺς πρεσβυτέρους καὶ διακόνους λόγου.

Γεγέννηται μὲν ὁμολογουμένως ἐξ αὐτῆς τῆς οὐσίας τοῦ Πατρὸς ὁ ζῶν τε καὶ ἐνυπόστατος αὐτοῦ Λόγος, ἐν ἐσχάτοις δὲ τοῦ αἰῶνος καιροῖς, ἐπειδὴ γέγονε σὰρξ, τουτέστιν ἡνώθη σαρκὶ ψυχὴν ἐχούσῃ τὴν λογικὴν, γεγεννῆσθαι λέγεται σαρκικῶς καὶ διὰ γυναικός. Ἔοικε δέ πως τῷ καθ' ἡμᾶς τόκῳ τὸ ἐπ' αὐτῷ μυστήριον. Αἱ μὲν γὰρ τῶν ἐπὶ γῆς μητέρες ὑπηρετοῦσαι τῇ φύσει πρὸς γέννησιν, ἔχουσι μὲν ἐν μήτρᾳ πηγνυμένην κατὰ βραχὺ τὴν σάρκα, καὶ ἀφράστοις τισὶν ἐνεργείαις Θεοῦ προϊοῦσάν τε καὶ τελειουμένην εἰς εἶδος τὸ ἀνθρώπινον· ἐνίησι δὲ τῷ ζώῳ τὸ πνεῦμα Θεὸς καθ' ὃν οἶδε τρόπον. Πλάττει γὰρ πνεῦμα ἀνθρώπου ἐν αὐτῷ κατὰ τὴν τοῦ Προφήτου φωνήν. Ἕτερος δὲ σαρκὸς, καὶ ὁμοίως ἕτερος ὁ τῆς ψυχῆς ἐστι λόγος. Ἀλλ' εἰ καὶ γεγόνασιν αὗται μόνων τῶν ἀπὸ γῆς σωμάτων μητέρες, ἀλλ' οὖν ὅλον ἀποτεκοῦσαι τὸ ζῶον, τὸ ἐκ ψυχῆς δὲ λέγω καὶ σώματος, οὐχὶ μέρος λέγονται τεκεῖν, οὐδ' ἂν εἴποι τις, φέρε εἰπεῖν, τὴν Ἐλισάβετ σαρκοτόκον μὲν, οὐ μὴν ἔτι καὶ ψυχοτόκον. Ἐκτέτοκε γὰρ ψυχωθέντα τὸν Βαπτιστήν. Τοιοῦτόν τι πεπρᾶχθαι παραδεξόμεθα καὶ ἐπὶ τῇ γενέσει τοῦ Ἐμμανουήλ. Γεγέννηται μὲν γὰρ, ὡς ἔφην, ἐκ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ὁ μονογενὴ αὐτοῦ Λόγος· ἐπειδὴ δὲ σάρκα λαβὼν, καὶ ἰδίαν αὐτὴν ποιησάμενος, κεχρημάτικε καὶ Υἱὸς ἀνθρώπου, καὶ γέγονε καθ' ἡμᾶς, οὐδὲν, οἶμαι, ἄτοπον εἰπεῖν, μᾶλλον δὲ ἀναγκαῖον ὁμολογεῖν, ὅτι γεγέννηται κατὰ σάρκα διὰ γυναικός· καθάπερ ἀμέλει καὶ ἡ τοῦ ἀνθρώπου ψυχὴ τῷ ἰδίῳ συναπογεννᾶται σώματι, καὶ ὡς ἓν λελόγισται πρὸς αὐτὸ, καίτοι τὴν φύσιν ἑτέρα παρ' αὐτὸ νοουμένη τε καὶ ὑπάρχουσα κατὰ τὸν ἴδιον λόγον. Κἂν εἰ βούλοιτό τις τὴν τοῦ δεῖνος μητέρα λέγειν, ὡς ἔστι μὲν σαρκοτόκος, οὐ μὴν ἔτι καὶ ψυχοτόκος, περισσολογήσει λίαν. Τέτοκε γὰρ, ὡς ἔφην, συντεθειμένον εὐτέχνως ἐξ ἀνομοίων τὸ ζῶον, ἐκ δυοῖν μὲν, πλὴν ἄνθρωπον ἕνα, μένοντος μὲν ἑκατέρου τοῦθ' ὅπερ ἐστὶ, συνδεδραμηκότων δὲ

A factum est, ut Deus homo factus et carnem assumpsisse nostram intelligatur, et propriam effecisse: ut quemadmodum ex anima et corpore unus homo consurgit, sic ipsum unum Filium et Dominum confiteamur. Una enim hominis est natura et constitutio, licet ex diversis et differentibus rebus consistat. Alterius enim naturæ confitemur esse corpus, si cum anima comparetur. Sed proprium tamen est corpus ipsius et hominis unius personam perficiens. Atque animo quidem et cogitatione utriusque percipitur differentia, congressus autem et concursus, non admittens divisionem, unum absolvit animal hominem. Unigenitus ergo, Dei Verbum, non hominem accipiens prodiit homo, sed arcanum habens ex Patre ortum, per sanctum et ejusdem essentiæ B Spiritum sibi templum fabricans, factum est homo. Quamobrem et unum intelligitur.

Ejusdem ex oratione ad presbyteros et diaconos.

Ex ipsa profecto Patris essentia genitum est vivens Verbum et in sua consistens persona. Sed in extremis sæculi temporibus, cum factum est caro, id est, cum carnem assumpsit, animam habentem ratione præditam, natum esse dicitur in carne, et per mulierem. Quod quidem mysterium humano partui videtur simile. Nam matres quidem terrenæ serviunt ad generationem, compactam ad breve tempus carnem in utero gerunt, et ineffabili qua-C dam Dei virtute progredientem ad perfectam formam humanam. Deus autem animali spiritum injicit. Format enim spiritum hominis in ipso, ut ait Propheta [1]. Alia autem est carnis, et alia animæ ratio. Verum quamvis solius terreni corporis matres sint, tamen totum animal ex anima et corpore constans, non autem partem dicuntur peperisse. Nemo enim exempli gratia dixerit, Elisabeth carnem, non autem animam peperisse, quippe quæ animatum Baptistam peperit. Tale quiddam et in Emmanuelis ortu actum esse dicimus. Genitum enim est ex Dei et Patris essentia, ut diximus, unigenitum ipsius Verbum. Sed posteaquam carnem assumens, eamque sibi propriam faciens, declaratum est etiam Filius hominis, et factum est, quales nos sumus, non alienum D est, ut arbitror, dicere, imo vero necessarium est confiteri, ipsum per mulierem genitum esse secundum carnem. Quemadmodum et anima hominis nimirum simul cum proprio corpore nascitur, et unum cum ipso censetur, quamvis natura diversa cognoscatur, et sit ratione propria. Quod si quis matrem alicujus, carnem ipsius, non autem animam peperisse dixerit, ineptus et vanus existimabitur. Peperit enim, ut dixi, compositum plane ex dissimilibus animal, ex duobus nimirum in unum hominem, cum utrumque maneat id quod est, concurrant tamen quasi in unitatem naturalem, atque inter se commisceant, quod

[1] Psal. CXXXVIII, 5.

utrique proprium est. Quod autem unitas in Christo sit maxime necessaria, cum aliis multis rationibus perspicere facillimum sit, nos tamen, si videtur, beati Pauli verba perpendamus, eaque diligenter pro viribus consideremus. De Unigenito igitur dicit : *Qui cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo; sed semetipsum exinanivit, formam servi accipiens, et habitu inventus ut homo, humiliavit se ipsum* [1]. Quis igitur est, qui cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo, aut quo exinanitus est modo, aut quomodo sese humiliavit, et in servi forma inventus est? Qui in duo secant unum Dominum Jesum Christum, nempe in hominem, et in Verbum Dei, dicunt eum qui natus est ex Virgine exinanitionem subiisse, ab illo videlicet separantes Dei Verbum. Ostendant igitur prius illum in forma et æqualitate Patris exstitisse, ut et exinanitionis modum subierit, in qua non erat. Verum nulla res est procreata, quæ natura propria sit in Patris æqualitate. Quomodo igitur dicitur exinanitus, si natura homo exsistens natus est ex muliere, quemadmodum nos? Dic mihi, ex qua antiquiore conditione, quæ sit humana præstantior, eo descendit, ut homo fieret? Aut quomodo intelligatur servi formam suscepisse, quam principio non habuerit, qui natura est inter servos, et manet sub jugo servitutis? At enim, inquiunt, qui natura, et vere, et liber est Filius, Patris Verbum, in ejus, a quo genitus est, forma exsistens, et illi æqualis habitavit in homine per mulierem genito, et hoc est exinanitio, et humilitas, et servi formam accepisse. Quid? o viri optimi, satisne fuit ad Verbi Dei exinanitionem, ut in homine habitaret? et tutum est dicere, ipsum hoc pacto servi formam subiisse, atque ita exinanitionis rationem peregisse? Atqui audio ipsum sanctos apostolos hunc in modum alloquentem : *Si quis diligit me, sermonem meum servabit, et Pater meus diliget eum, et ad eum veniemus, et mansionem apud eum faciemus* [2]. Audis quomodo dixerit Deum et Patrem secum in illis habitaturum, a quibus diligitur? Patremne igitur exinanitum, et eamdem, quam Filius subiit, humilitatem tulisse, et servi formam accepisse concedemus, quoniam sanctas animas diligentium Filium domicilia sibi constituit? Quid? ipse Spiritus sanctus, qui in nobis inhabitat, humanæ carnis assumendæ consilium explevit, quod Filium solum omnium salutis et vitæ gratia exsecutum dicimus? Facessat tam supervacanea et stulta plane atque inanis temeritas. Humiliavit ergo seipsum in Dei et Patris forma et æqualitate exsistens Verbum, quando, ut Joannes ait, caro factum, ex muliere natum est, et cum ortum haberet ex Deo Patre, ortum etiam nostrum pati voluit propter nos. Doceant nos isti qua ratione Verbum ex Deo Patre

[1] Philipp. II, 6-8. [2] Joan. XIV, 23.

A ὥσπερ εἰς ἑνότητα φυσικήν, καὶ οἷον ἀνακιρναμένων ἀλλήλοιν, ὅπερ ἂν ὡς ἴδιον ἑκατέρῳ προσῇ. Ὅτι δέ ἐστιν ἀναγκαιοτάτη λίαν ἡ ἕνωσις ἐπὶ Χριστοῦ, καταθρῆσαι ῥᾷον καὶ ἀταλαίπωρον παντελῶς καὶ διὰ πολλῶν ἑτέρων. Φέρε γὰρ, εἰ δοκεῖ, τὰς τοῦ μακαρίου Παύλου πολυπραγμονῶμεν φωνὰς, ἀκριβῶς τὸν νοῦν καὶ ὡς ἔνι λεπτῶς ἐνερείδοντες. Ἔφη τοίνυν περὶ τοῦ Μονογενοῦς· *Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτόν.* Τίς οὖν ἄρα ἐστὶν ὁ ὑπάρχων ἐν μορφῇ τοῦ Θεοῦ, καὶ οὐχ ἁρπαγμὸν ἡγησάμενος τὸ εἶναι ἴσα Θεῷ; Ἢ τίνα κεκένωται τρόπον, καθίκετό τε ὅπως εἰς ταπείνωσιν, B καὶ ἐν τῇ τοῦ δούλου γέγονε μορφῇ; Οἱ μὲν οὖν εἰς δύο τέμνοντες τὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν, εἴς τε ἄνθρωπόν φημι καὶ τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον, τὸν ἐκ τῆς ἁγίας Παρθένου φασὶν ὑπομεῖναι τὴν κένωσιν ἀποδιιστάντες αὐτοῦ τὸν ἐκ Θεοῦ Λόγον. Προαποδεικνύτωσαν οὖν, ὅτι καὶ ἐν μορφῇ καὶ ἰσότητι νοεῖταί τε καὶ ἦν τοῦ Πατρὸς, ἵνα καὶ τὸν τῆς κενώσεως ὑπομείνῃ τρόπον, εἰς ὅπερ οὐχ ἦν καθικόμενος. Ἀλλ' οὐδέν ἐστι τῶν πεποιημένων, ᾧ κατ' ἰδίαν νοοῖτο φύσιν τὸ ἐν ἰσότητι τοῦ Πατρός. Πῶς οὖν κεκενῶσθαι λέγεται, εἰ τὴν φύσιν ἄνθρωπος ὢν γεγέννηται καθ' ἡμᾶς ἐκ γυναικός; Ἐκ ποίας, εἰπέ μοι, πρεσβυτέρας ὑπεροχῆς τῆς ἀνθρώπου μείζονος εἰς τὸ ἄνθρωπος εἶναι κατέβη; Ἢ πῶς ἂν νοοῖτο C λαβεῖν ὡς οὐκ ἔχων ἐν ἀρχῇ τὴν τοῦ δούλου μορφὴν ὁ φύσει τελῶν ἐν οἰκέταις, καὶ ὑπὸ ζυγῷ δουλείας κείμενος; Ἀλλὰ ναί φασιν, Ὁ φύσει τε ἀληθῶς, καὶ ἐλεύθερος Υἱὸς ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, ἐν μορφῇ τοῦ γεγεννηκότος ὑπάρχων, καὶ ἴσος ὢν αὐτῷ, κατῴκησεν ἐν ἀνθρώπῳ γεννηθέντι διὰ γυναικὸς, καὶ τοῦτό ἐστιν ἡ κένωσις, καὶ τὸ τῆς ταπεινώσεως χρῆμα, καὶ τὸ εἰς τὴν τοῦ δούλου καθικέσθαι μορφήν. Εἶτα, ὦ βέλτιστοι, τὸ κατοικῆσαι μόνον ἐν ἀνθρώπῳ τὸν ἐκ Θεοῦ Λόγον ἀρκέσειεν ἂν εἰς κένωσιν αὐτῷ· καὶ ἀσφαλὲς εἰπεῖν, ὅτι τε οὕτως ὑπέδυ τὴν τοῦ δούλου μορφὴν, καὶ αὕτως αὐτῷ γένοιτ' ἂν ὁ τῆς ταπεινώσεως τρόπος, καίτοι λέγοντος ἀκούω τοῖς ἁγίοις ἀποστόλοις, *Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν,* D *καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.* Ἀκούεις πῶς ἐν τοῖς ἀγαπῶσιν αὐτὸν συγκατοικήσειν αὐτῷ καὶ αὐτὸν ἔφη τὸν Θεὸν καὶ Πατέρα; Ἆρ' οὖν καὶ αὐτὸν κεκενῶσθαι δώσομεν, καὶ τὴν ὁμοίαν ἀνατλῆναι ταπείνωσιν τῷ Υἱῷ, καὶ τὴν τοῦ δούλου μορφὴν ἀναλαβεῖν, ὅτι τὰς τῶν ἀγαπώντων αὐτὸν ψυχὰς ἁγίας ποιεῖται μονὰς ἰδίας; Τί δὲ τὸ Πνεῦμα τὸ κατοικοῦν ἐν ἡμῖν; ἆρα καὶ αὐτὸ τῆς ἐνανθρωπήσεως ἀποπληροῖ τὴν οἰκονομίαν, ἣν διὰ μόνου τοῦ Υἱοῦ πεπρᾶχθαί φαμεν τῆς ἁπάντων σωτηρίας ἕνεκα καὶ ζωῆς; Ἄπαγε τῆς οὕτω περιττῆς καὶ ἀνοήτου παντελῶς εἰκαιοβουλίας. Τεταπείνωκε τοίνυν ἑαυτὸν ὁ ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρὸς

ὑπάρχων Λόγος, ὅτε γενόμενος σὰρξ, καθά φησιν Ἰωάννης γεγέννηται διὰ γυναικὸς, καὶ ὁ γέννησιν ἔχων τὴν ἐκ Θεοῦ Πατρὸς, καὶ τὴν καθ' ἡμᾶς ὑπέμεινε παθεῖν δι' ἡμᾶς. Ἐπεὶ διδασκέτωσαν αὐτοὶ, κατὰ τίνα τρόπον ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος Χριστὸς ἂν νοοῖτο καὶ λέγοιτο πρὸς ἡμῶν, εἰ μὴ ἀπό γε τοῦ κεχρῖσθαι Χριστὸς ὀνομάζεται; Τίνα κέχρικεν ὁ Πατὴρ τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως, ἤτοι τῷ ἁγίῳ Πνεύματι; Εἰ μὲν οὖν ἰδικῶς τὸν ἐξ αὐτοῦ καὶ μόνον γεννηθέντα Θεὸν Λόγον, καὶ τοῦτο εἶναί φασιν ἀληθὲς, ἀγνοοῦσιν, ὅτι καὶ τὴν τοῦ Μονογενοῦς ἀδικοῦσι φύσιν, καὶ τῆς μετὰ σαρκὸς οἰκονομίας ἀρνοῦνται τὸ μυστήριον. Εἰ γὰρ κέχρισται τῷ ἁγίῳ Πνεύματι Θεὸς ὢν ὁ Λόγος, ἐπιδεᾶ πάντως ἁγιασμοῦ καὶ οὐχ ἑκόντες ὁμολογήσουσι κατὰ τοὺς ἄνωθεν χρόνους ὑπάρχειν αὐτὸν, καθ' οὓς οὔπω κεχρισμένος, ἀμέτοχος ἦν ἔτι τῆς ὕστερον αὐτῷ δοθείσης δωρεᾶς. Τὸ δὲ ἁγιασμοῦ στερούμενον σεσάλευται κατὰ φύσιν, καὶ οὐκ ἂν νοοῖτο παντελῶς ἠμοιρηκὸς ἁμαρτίας, ἤτοι τοῦ δύνασθαι πλημμελεῖν. Ὑπομεμένηκεν οὖν ἄρα καὶ τροπὴν τὴν εἰς τὰ ἀμείνω τυχὸν ὁ Λόγος. Πῶς οὖν ὁ αὐτός ἐστι, καὶ οὐκ ἠλλοίωται; Καὶ εἰ Θεὸς ὢν ὁ Λόγος καὶ ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρὸς ἐχρίετό τε καὶ ἡγιάζετο, φαίη τις ἂν ἴσως, ὡς ἀπό γε τοῦ πράγματος εἰς ἐξιτήλους ἐννοίας ἀπενηνεγμένος, ὅτι τάχα πού καὶ αὐτὸς ὁ Πατὴρ δέοιτ' ἂν ἁγιασμοῦ, μᾶλλον δὲ ἤδη καὶ μείζων αὐτοῦ πέφηνεν ὁ Υἱὸς, εἴπερ ἡγίασται αὐτὸς ἴσος ὢν αὐτῷ, καὶ ἐν μορφῇ αὐτοῦ πρὸ τοῦ ἁγιασμοῦ, ὁ δὲ ἀπομεμένηκεν ἐν οἷς ἦν ἀεὶ, καὶ ἔστι, καὶ ἔσται, οὔπω τὴν εἰς τὰ ἀμείνω λαβὼν ἐπίδοσιν, διά γε τοῦ ἡγιάσθαι καθ' ὁμοιότητα τοῦ Υἱοῦ. Μεῖζον δὲ ἤδη καὶ ἀμφοῖν ὁρᾶται τὸ Πνεῦμα τὸ ἁγιάζον αὐτοὺς, εἴπερ ἐστὶν οὐκ ἐνδοιαστὸν, ὡς ἁπάσης ἀντιλογίας δίχα τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. Ἀλλ' ἔστι ταῦτα λῆρος, καὶ τερθρία, καὶ ἀποπληξίας ἐγκλήματα. Ἁγία γὰρ κατὰ φύσιν ἡ ὁμοούσιος Τριάς. Ἅγιος ὁ Πατὴρ, ἅγιος δὲ καὶ ὁ Υἱὸς οὐσιωδῶς κατὰ τὸν ἴσον τρόπον, ὁμοίως καὶ τὸ Πνεῦμα. Οὐκοῦν ὅσον ἧκεν εἰς ἰδίαν φύσιν οὐχ ἡγίασται κατὰ μόνας ὁ τοῦ Θεοῦ Πατρὸς Λόγος. Εἰ δὲ δή τις οἴοιτο τὸν ἐκ τῆς ἁγίας Παρθένου γεγεννημένον κεχρῖσθαί τε καὶ ἡγιάσθαι μόνον, ταύτῃ τοι καὶ ὠνομάσθαι Χριστὸν, λεγέτω παρελθὼν εἰ ἀπόχρη τὸ χρῖσμα πρὸς τὸ ἀποφῆναι τὸν χριόμενον ἰσοκλεᾶ καὶ ὁμόθρονον τῷ πάντων ἐπέκεινα Θεῷ. Καὶ εἰ μὲν ἀπόχρη, καὶ τοῦτο ἐροῦσιν ὡς ἔστιν ἀληθὲς, κεχρίσμεθα καὶ ἡμεῖς, καὶ μαρτυρήσει λέγων ὁ θεσπέσιος Ἰωάννης, *Καὶ ὑμεῖς χρῖσμα ἔχετε ἀπὸ τοῦ ἁγίου.* Ἐσόμεθα δὴ οὖν ἐν ἴσῳ τάχα που καὶ ἡμεῖς αὐτοὶ τῷ Θεῷ. Εἴργει δὲ, οἶμαι, παντελῶς οὐδὲν καὶ συνεδρεύειν αὐτῷ, καθάπερ ἀμέλει καὶ αὐτὸς ὁ Ἐμμανουήλ. Εἴρηται γὰρ πρὸς αὐτὸν, *Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.* Προσκυνείτω καὶ ἡμᾶς ἡ τῶν ἁγίων ἀγγέλων ἁγία πληθύς. *Ὅταν γὰρ*, φησὶν, *εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· Καὶ προσκυνησάτω-*

A Christus intelligatur, et dicatur a nobis, nisi propterea quod unctus est. Quem unxit Pater oleo exsultationis, sive Spiritu sancto. Si separatim ex se genitum Deum Verbum, et id verum esse dicunt, ignorant se Unigeniti naturam injuria afficere, et assumptæ carnis mysterium negant. Nam si Spiritu sancto unctum est Verbum exsistens Deus, sanctificationis ipsum prorsus indiguisse vel inviti fatebuntur, superioribus temporibus, quibus nondum unctum expers erat adhuc hujus muneris, quod illi postea datum est. Quod autem sanctificatione privatum erat, natura mutatum est. Præterea haud plane peccati expers intelligatur, neque peccare non potuisse. Mutationem igitur ad meliora fortasse pertulit Verbum. Quod si ita
B est, quomodo est idem, et immutatum non est? Quod si Verbum Deus exsistens et in forma et æqualitate Patris unctum et sanctificatum est, dicat aliquis fortasse, a re proposita ad exiles cogitationes divertens, et Patrem ipsum sanctificationis egere atque adeo minorem esse Filio, siquidem sanctificatus est Filius, cum Patri esset æqualis et in forma ejus, ante sanctificationem; Pater autem mansit in quibus erat semper, et est, et erit, et nondum ad meliora augmentum accepit, sanctificatus videlicet quemadmodum Filius. Et ambobus major Spiritus, qui ipsos sanctificat, apparebit. Nemini enim dubium est, quin minori a majore benedicatur. Verum inanes istæ sunt nugæ, et dementiæ atque stuporis
C indicia. Sancta enim per naturam est ejusdem essentiæ Trinitas. Sanctus est Pater, sanctus et Filius per essentiam eodem modo, similiter et Spiritus sanctus. Itaque, quantum pertinet ad naturam propriam, separatim sanctificatum non est Verbum Dei. Sin aliquis putet, solum ex sancta natum Virgine fuisse unctum et sanctificatum, atque ita vocatum esse Christum, in medium prodeat iste, atque dicat, an satis fuerit unctio ad declarandum illum, qui unctus est, gloria et imperio æqualem illi qui omnibus antecellit. Quod si id satis esse dixerit, cum uncti simus et nos, atque ita testetur divus Joannes: *Et vos*, inquiens, *unctionem habetis a sancto* [1], num erimus et nos fortasse æquales Deo? Ecquid erit impedimento,
D quominus et nos cum ipso consideamus, quemadmodum et ipse Emmanuel? Sic enim ad illum dictum est: *Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum* [2]. Adoret etiam nos sancta cœlestium spirituum multitudo. *Quando enim*, inquit, *introducit Primogenitum in orbem terrarum, dicit: Et adorent eum omnes angeli Dei* [3]. At nos, licet Spiritu sancto uncti simus, et adoptionis gratiam obtinuerimus, vocemurque dii, non tamen naturæ nostræ conditionem ignoramus. Sumus enim e terra, et inter servos numeramur. Ille vero non est in quibus nos sumus, sed natura vereque Filius, et omnium

[1] I Joan. II, 20. [2] Psal. CIX, 1. [3] Hebr. I, 6.

Dominus, et e cœlo. Nec si recte sentire voluerimus, unquam dicemus, carnem Deum effectum esse, neque ipsam Divinitatis naturam genitam esse per mulierem, cum humanitatem nondum assumpserit. Sed potius Verbum ex Deo et ex sancta Virgine perfectum hominem in unum conferentes, unum Christum Jesum Dominum adorabimus, neque divinitatis terminis propter carnem excludentes, neque propter similitudinem nostram ad nudam humanitatem redigentes. Sic intelliges, Verbum ex Deo genitum voluntariam exinanitionem pertulisse. Sic humiliavit semetipsum formam servi accipiens, qui natura propria liber est. Sic Abraham semen apprehendit, et sanguinis carnisque particeps factus est. Si enim homo nudus intelligitur, quales nos sumus, quomodo alterius præter se naturaliter apprehendit semen Abrahæ, et quomodo propriæ carnis particeps per omnia fratribus similis factus est? Quod enim cuipiam simile fit, id ex dissimili eo decurrit, ut simile efficiatur. Apprehendit igitur semen Abrahæ, et sanguinis carnisque particeps factum est Dei Verbum, proprium corpus efficiens, quod ex muliere assumpsit, ut jam non solum esse Deus, verum etiam homo, quales nos sumus, per unionem intelligatur. Ex duabus ergo rebus, divinitate nimirum atque humanitate, constat Emmanuel, sed unus tamen est Dominus Jesus Christus, et unus ac vere Filius, Deus simul atque homo, nec homo Deus effectus, æqualis iis qui per gratiam sunt, sed Deus verus, in forma humana apparens propter nos. Id nobis persuadeat divus Paulus: *Quando venit*, inquiens, *plenitudo temporis, misit Deus Filium factum ex muliere, factum sub lege, ut qui sub lege erant, redimeret, ut nos filiorum adoptionem reciperemus* [1]. Ecquis est ille qui missus est sub lege et ex muliere factus est, ut dixi, nisi is qui supra legem erat, ut Deus? Sed posteaquam declaratus est homo, factus est sub lege, ut per omnia fratribus assimilaretur. Itaque simul cum Petro didrachmum solvit secundum legem Mosis. Quod autem sit liber ut Filius, et lege superior ut Deus, etsi factus est sub lege ut homo, docuit ipse, *Reges*, inquiens, *terræ a quibus accipiunt censum, aut tributum, a filiis suis, an ab alienis* [2]? Petro autem: *Ab alienis*, respondente, subjecit ipse: *Ergo liberi sunt filii* [3]. Porro Dei Genitricem, non autem Christi Genitricem Virginem appellamus, quod alio modo christi, hoc est uncti, dicantur tum reges, tum sacerdotes, nec solum qui oleo cornu quondam ungebantur, sed etiam Spiritu sancto. Horum matres Christi genitrices, non autem Dei genitrices dici possunt. Atqui dii quoque dicuntur alia ratione, ut illud: *Deus stetit in synagoga deorum* [4]. Ne igitur ex sancta Virgine genitus unus ex his, qui christi dicuntur, existimetur, eam non dicimus Christi

[1] Galat. IV, 4, 5. [2] Matth. XVII, 24. [3] Ibid. 25.

A *σαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ.* Ἀλλ' ἡμεῖς μὲν εἰ καὶ τῷ ἁγίῳ κεχρίσμεθα Πνεύματι, τὴν μὲν τῆς υἱοθεσίας καταπλουτοῦμεν χάριν, κεκλήμεθα δὲ καὶ θεοὶ, τό γε μὴν τῆς ἑαυτῶν φύσεως μέτρον οὐκ ἠγνοήσαμεν. Ἐσμὲν γὰρ ἐκ γῆς, καὶ τελοῦμεν ἐν οἰκέταις, ὁ δέ ἐστιν οὐκ ἐν οἷς ἡμεῖς, ἀλλὰ φύσει τε καὶ ἀληθῶς Υἱὸς, καὶ τῶν ὅλων Κύριος, καὶ ἐξ οὐρανῶν. Καὶ οὐ δήπου φαμὲν ὀρθὰ φρονεῖν ᾑρημένοι σάρκα γενέσθαι που τὸν Θεὸν, οὐδὲ αὐτὴν τὴν τῆς θεότητος φύσιν γεγεννῆσθαι διὰ γυναικὸς, οὔπω προσλαβοῦσαν τὸ ἀνθρώπινον. Συνενεγκόντες δὲ μᾶλλον εἰς ἕνωσιν τόν τε ἐκ Θεοῦ φῦντα Λόγον, καὶ τὸν ἐκ τῆς ἁγίας Παρθένου τελείως ἄνθρωπον ἕνα Χριστὸν Ἰησοῦν καὶ Κύριον προσκυνήσομεν, οὔτε τῶν τῆς θεότητος ὅρων ἔξω τιθέντες διὰ τὴν σάρκα,
B οὔτε μὴν εἰς ἀνθρωπότητα ψιλὴν καταβιβάζοντες διὰ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν. Οὕτω νοήσεις τὸν ἐκ Θεοῦ φῦντα Λόγον τὴν ἑκούσιον ὑπομεῖναι κένωσιν· οὕτω τεταπεινωκέναι [λέγεται] ἑαυτὸν μορφὴν δούλου λαβὼν ὁ κατὰ φύσιν ἰδίαν ἐλεύθερος· οὕτω σπέρματος Ἀβραὰμ ἐπελάβετο, καὶ κεκοινώνηκεν αἵματος καὶ σαρκός. Εἰ γὰρ ἄνθρωπος νοεῖται ψιλὸς καθ' ἡμᾶς, πῶς ἑτέρου παρ' αὐτὸν φυσικῶς ἐπελάβετο σπέρματος Ἀβραάμ; Πῶς δὲ τῆς ἰδίας σαρκὸς κεκοινωνηκέναι λέγεται κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθείς; Τὸ γάρ τισιν ὁμοιοῦσθαι λεγόμενον ἐξ ἀνομοίου τινὸς ἐπὶ τὸ δεῖν ὁμοιοῦσθαι τρέχει. Ἐπελάβετο τοίνυν σπέρματος Ἀβραὰμ καὶ κεκοινώνηκεν αἵματος καὶ σαρκὸς ὁ τοῦ Θεοῦ Λόγος, ἴδιον ποιησάμενος σῶμα τὸ ἐκ γυναικὸς, ἵνα μὴ μόνον ὑπάρχων Θεὸς,
C ἀλλ' ἤδη καὶ ἄνθρωπος καθ' ἡμᾶς γεγονὼς νοοῖτο διὰ τὴν ἕνωσιν. Οὐκοῦν ἐκ δυοῖν μὲν πραγμάτων ὁμολογουμένως θεότητός τε καὶ ἀνθρωπότητος ὁ Ἐμμανουὴλ, πλὴν εἷς Κύριος Ἰησοῦς Χριστὸς, εἷς τε καὶ ἀληθῶς Υἱὸς, Θεός τε ὁμοῦ καὶ ἄνθρωπος, καὶ οὐκ ἄνθρωπος θεοποιηθεὶς ἐν ἴσῳ τοῖς κατὰ χάριν, Θεὸς δὲ μᾶλλον ἀληθινὸς ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνὼς δι' ἡμᾶς. Πιστώσεται δὲ τοῦτο ἡμᾶς καὶ ὁ θεσπέσιος Παῦλος λέγων, *Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν ἡμεῖς.* Εἶτα τίς ὁ ἀπεσταλμένος, ὑπὸ νόμον τε καὶ ἐκ γυναικὸς, ὡς ἔφη, γενόμενος; Πλὴν ὅτι πάλιν αὐτὸς ὁ πέρα μὲν νόμων
D ὡς Θεὸς, ἐπειδὴ δὲ κεχρημάτικεν ἄνθρωπος, γέγονε καὶ ὑπὸ νόμον, ἵνα κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῇ. Καὶ γοῦν συντελεῖ μὲν ὁμοῦ τῷ Πέτρῳ τὸ δίδραχμον κατὰ τὸν τοῦ Μωσέως νόμον· ὅτι δὲ ἐστιν ἐλεύθερος ὡς Υἱὸς καὶ νόμου κρείττων ὡς Θεὸς, καὶ εἰ γέγονεν ὑπὸ νόμον ὡς ἄνθρωπος, ἐδίδασκε λέγων, *Οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι κῆνσον, ἢ τέλη, ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων*; Πέτρου δὲ φάσκοντος, *Ἀπὸ τῶν ἀλλοτρίων*, ἐπήνεγκεν αὐτὸς, *Ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί.* Θεοτόκον δὲ, καὶ οὐ χριστοτόκον λέγομεν τὴν Παρθένον, καὶ καθ' ἕτερον λόγον χριστῶν λε-

[4] Psal. LXXXI, 1.

γομένων τῶν τε ἱερέων καὶ βασιλέων, καὶ οὐ μόνον τῶν τῷ ἐλαίῳ τοῦ κέρατος πάλαι χριομένων, ἀλλὰ καὶ τῶν τῷ ἁγίῳ Πνεύματι κεχρισμένων. Αἱ μητέρες αὐτῶν χριστοτόκοι μὲν γὰρ ῥηθεῖεν, Θεοτόκοι δὲ οὐδαμῶς, καίτοι καὶ θεῶν ἑτέρως λεγομένων κατὰ τὸ, *Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν*. Ἵνα οὖν μὴ κατ' ἐκείνους τοὺς χριστοὺς ὁ γεννηθεὶς ἐκ τῆς ἁγίας Παρθένου νομισθείη, χριστοτόκον μὲν οὐκ ἂν εἴποιμεν αὐτὴν, καίτοι τὸν Χριστὸν γεννήσασαν, Θεοτόκον δὲ μᾶλλον, ἵνα μὴ ψιλὸν ἄνθρωπον καὶ κατ' ἐκείνους τοὺς χριστοὺς τὸν γεννηθέντα νοεῖσθαι δοίημεν. Ἀποδιαστέλλοντες δὲ αὐτὴν τῶν ἄλλων χριστοτόκων μητέρων, ἰδικῶς τε καὶ ἐξαιρέτως κατονομάζομεν αὐτὴν Θεοτόκον.

A Genitricem, quanquam Christum genuit, sed Dei potius Genitricem appellamus; ne nudum hominem, quales illi sunt, ab illa genitum concedamus, eam separantes ab aliis matribus, quæ christos, id est, unctos reges, seu sacerdotes genuerunt, Dei Genitricem nominamus.

Ἔτι κατὰ Νεστοριανῶν, τοῦ Δαμασκηνοῦ. Κεφάλαιον ος΄.

Θεοτόκον δὲ κυρίως καὶ ἀληθῶς τὴν ἁγίαν Παρθένον κηρύττομεν· ὡς γὰρ Θεὸς ἀληθὴς ὁ ἐξ αὐτῆς γεννηθεὶς, ἀληθὴς Θεοτόκος ἡ τὸν ἀληθινὸν Θεὸν ἐξ αὐτῆς σεσαρκωμένον γεννήσασα· Θεὸν γὰρ φαμεν ἐξ αὐτῆς γεγεννῆσθαι, οὐχ ὡς τῆς θεότητος τοῦ Λόγου ἀρχὴν τοῦ εἶναι λαβούσης ἐξ αὐτῆς, ἀλλ' ὡς αὐτοῦ τοῦ Θεοῦ Λόγου, τὸ πρὸ αἰώνων ἀχρόνως ἐκ Πατρὸς γεννηθέντος, καὶ ἀνάρχως καὶ ἀϊδίως, ὑπάρχοντος σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι, ἐπ' ἐσχάτων τῶν ἡμερῶν διὰ τὴν ἡμετέραν σωτηρίαν, ἐν τῇ γαστρὶ αὐτῆς ἐνοικήσαντος, καὶ ἐξ αὐτῆς ἀμεταβλήτως σαρκωθέντος καὶ γεννηθέντος. Οὐ γὰρ ἄνθρωπον ψιλὸν ἐγέννησεν ἡ ἁγία Παρθένος, ἀλλὰ Θεὸν ἀληθινόν· οὐ γυμνὸν, ἀλλὰ σεσαρκωμένον· οὐχ οὐρανόθεν τὸ σῶμα καταγαγόντα, καὶ ὡς διὰ σωλῆνος δι' αὐτῆς παρελθόντα, ἀλλ' ἐξ αὐτῆς ὁμοούσιον ἡμῖν σάρκα ἀναλαβόντα, καὶ ἐν ἑαυτῷ ὑποστήσαντα. Εἰ γὰρ οὐρανόθεν τὸ σῶμα κεκόμισται, καὶ οὐ τῆς καθ' ἡμᾶς φύσεως εἴληπται, τίς χρεία τῆς ἐνανθρωπήσεως; Ἡ γὰρ ἐνανθρώπησις τοῦ Θεοῦ Λόγου διὰ τοῦτο γέγονεν, ἵνα αὐτὴ ἡ ἁμαρτήσασα, καὶ πεσοῦσα, καὶ φθαρεῖσα φύσις, νικήσῃ τὸν ἀπατήσαντα τύραννον, καὶ οὕτω τῆς φθορᾶς ἐλευθερωθῇ, καθώς φησιν ὁ θεῖος Ἀπόστολος· *Ἐπειδὴ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν*· εἰ τὸ πρῶτον ἀληθὲς, καὶ τὸ δεύτερον.

Item adversus Nestorianos, Damasceni. Cap. 76.

Sancta Maria Dei Mater proprie. Contra Valentinum et alios: ortam ex Maria Christi carnem. — B Sanctam porro Virginem Dei proprie et vere genitricem prædicamus. Sicut enim verus est Deus, qui ex ipsa natus est; ita perinde Dei Mater est, quæ verum Deum ex se incarnatum genuit. Deum porro ex ea natum esse dicimus, non quod Verbi divinitas exsistendi principium ex ipsa traxerit; sed quia Verbum ipsum, quod ante sæcula citra ullum tempus genitum est, ac sine exordio et sempiterne una cum Patre et Spiritu sancto est, in extremis diebus salutis nostræ causa, in utero ipsius habitavit, et assumpta carne ex ea genitum est sine sui demutatione. Non enim hominem purum sancta Virgo genuit, sed Deum verum; non nudum, sed carne vestitum; nec ita ut corpore de cœlis allato, per eam velut per cana- C lem transierit, sed ex ipsa carnem ejusdem ac nos substantiæ acceperit, quæ in seipso subsisteret. Nam si corpus e cœlo devectum est, ac non ex natura nostra acceptum, quid tandem inhumanatione opus erat? Etenim Dei Verbum humanitatem idcirco induit, ut ipsam et natura quæ peccaverat, cecideratque, et corrupta erat, tyrannum qui se deceperat, superaret, sicque a corruptione vindicaretur, ut divinus Apostolus ait: *Quoniam per hominem mors, et per hominem resurrectio mortuorum* [1]. Si primum illud vere exstitit, sane et secundum.

Εἰ δὲ καὶ λέγει· *Ὁ πρῶτος Ἀδὰμ ἐκ γῆς χοϊκὸς, ὁ δὲ δεύτερος Ἀδὰμ, ὁ Κύριος ἐξ οὐρανοῦ*, οὐ τὸ σῶμά φησιν ἐξ οὐρανοῦ, ἀλλὰ δῆλον ὡς οὐ ψιλὸς ἄνθρωπός ἐστιν. Ἰδοὺ γὰρ καὶ Ἀδὰμ αὐτὸν ὠνόμασε, καὶ Κύριον, τὸ συναμφότερον σημαίνων. Ἀδὰμ μὲν γὰρ ἑρμηνεύεται *γηγενής*· γηγενὴς δὲ δῆλον ὅτι ἐστὶν ἡ τοῦ ἀνθρώπου φύσις, ἡ ἐκ χοὸς πλασθεῖσα· τὸ *Κύριος* δὲ, τῆς θείας οὐσίας ἐστὶ παραστατικόν.

Etsi autem his verbis utitur, *Primus Adam de terra, terrenus, secundus Adam, Dominus de cœlo* [2], non innuit, corpus ejus de cœlo fluxisse, sed eum nudum hominem non esse ostendit. Nam, D ut vides, et Adamum, et Dominum, eum appellavit, utrumque simul indicans. Adamus quippe *terrigenam* sonat. Liquet autem terrigenam esse hominis naturam, ut quæ ex terra effecta sit. Domini autem vocabulum, divinam naturam declarat.

Πάλιν δέ φησιν ὁ Ἀπόστολος· *Ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ, γενόμενον ἐκ γυναικός*. Οὐκ εἶπε, *διὰ γυναικός*, ἀλλ' *ἐκ γυναικός*. Ἐσήμανεν οὖν ὁ θεῖος Ἀπόστολος, ὡς αὐτός ἐστιν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ καὶ Θεὸς, ὁ ἐκ τῆς Παρθένου γενόμενος ἄνθρωπος, καὶ αὐτός ἐστιν ὁ ἐκ τῆς Παρθένου γεννηθεὶς, ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεός·

Ac rursus ita loquitur Apostolus [3]: *Misit Deus Filium suum unigenitum factum ex muliere.* Non dixit, *per mulierem*, sed, *ex muliere*. Quocirca significavit eum ipsum esse unigenitum Dei Filium ac Deum, qui ex Virgine factus est homo: atque item eum ipsum ex Virgine genitum esse, qui Dei Filius ac Deus est. Genitum porro cor-

[1] I Cor. xv, 21. [2] I Cor. xv, 47. [3] Galat. iv, 4.

poreo modo, qua scilicet ratione homo factus est: A ita nimirum, ut non in homine prius condito, tanquam in propheta habitaverit, verum ipse substantialiter ac vere factus sit homo; hoc est, in sua hypostasi carnem anima rationali et intelligente animatam substare fecerit, seipsum illius præbens hypostasim. Hanc enim significationem habet illud, *factum ex muliere*. Nam quo tandem pacto ipsummet Dei Verbum sub lege factum esset, nisi homo ejusdem ac nos substantiæ exstitisset?

Dei Genitricis nomen, totum mysterium declarat. — Merito igitur et vere sanctam Mariam Deiparam appellamus. Hoc enim nomen totum incarnationis mysterium astruit. Nam, si Dei Mater est quæ genuit, profecto Deus est qui ex ipsa B genitus est: profecto etiam homo. Nam qui fieri potuisset, ut Deus, qui ante sæcula exstabat, ex muliere nasceretur, nisi homo factus esset? Qui enim filius est hominis, homo etiam ipse sit necessum est. Quod si ille ipse qui ex muliere natus est, Deus est, unus procul dubio atque idem est, qui ex Deo Patre genitus est, quod ad divinam et initii expertem substantiam attinet, quique extremis temporibus ea substantia quæ initium habuit, temporique subjecta est, hoc est, humana, ex Virgine natus est. Hoc vero unam Domini nostri Jesu personam, duasque naturas, et duas generationes significat.

Christiparam Patres dicere detrectarunt. Nestorii vox, ut dicatur Christus Θεοφόρος, *recte sentientium, ut Deus incarnatus. Natura humana in ipsa conceptione Verbo unita.* — C At vero sanctam Virginem neutiquam Christiparam nuncupamus, quia ad abolendum *Deiparæ* vocabulum Nestorius, impurus ille et exsecrandus, animoque Judæus, illud ignominiæ vas, in contemptum ejus quæ super creaturam omnem sola vere colenda est, Dei Genitricis (disrumpatur licet ille cum patre suo Satana), hoc nominis excogitavit, quod obtruderet. Enimvero rex David christus quoque dicitur, et pontifex Aaron, quippe cum reges et sacerdotes ungi solerent: quinimo quivis homo pius, et cui Deus aspiraverit, Christus dici possit, at non perinde natura Deus; juxta ac exitiabilis ille Nestorius eum qui de Virgine natus est, Deiferum ore D fremebundo pronuntiavit. Verum hoc absit a nobis, ut eum afflatum a Deo, Deiferumve dicamus, vel cogitemus; imo potius incarnatum Deum. Ipsummet enim Verbum factum est caro, ut conceptum quidem de Virgine fuerit, Deus vero prodierit cum assumpta natura quam deificarat simul atque producta est. Exinde tria pariter una contigerunt, nimirum quod assumpta sit, quod exstiterit, quod deificata a Verbo fuerit. Hinc fit ut Virgo sancta, Dei Genitrix tum intelligatur, tum appelletur, non modo propter naturam Verbi, sed etiam ob humanitatem deitate donatam, stupendo miraculo patratis simul horum et conceptione et exsistentia, verbi quidem conceptione,

γεννηθεὶς δὲ σωματικῶς, καθὸ γέγονεν ἄνθρωπος, οὐ προδιαπλασθέντι ἀνθρώπῳ ἐνοικήσας, ὡς ἐν προφήτῃ, ἀλλ' αὐτὸς οὐσιωδῶς καὶ ἀληθῶς γενόμενος ἄνθρωπος, ἤτοι ἐν τῇ ὑποστάσει αὐτοῦ ἐψυχωμένην [a] σάρκα ψυχῇ λογικῇ τε καὶ νοερᾷ ὑποστήσας, καὶ αὐτὸς γεγονὼς αὐτῇ ὑπόστασις. Τοῦτο γὰρ σημαίνει τὸ, *γενόμενον ἐκ γυναικός*· πῶς γὰρ ἂν αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος ὑπὸ νόμον γέγονεν, εἰ μὴ ἄνθρωπος ἡμῖν ὁμοούσιος γέγονεν.

Ὅθεν δικαίως καὶ ἀληθῶς Θεοτόκον τὴν ἁγίαν Μαρίαν ὀνομάζομεν· τοῦτο γὰρ τὸ ὄνομα ἅπαν τὸ μυστήριον τῆς οἰκονομίας συνίστησι. Εἰ γὰρ Θεοτόκος ἡ γεννήσασα, πάντως Θεὸς ὁ ἐξ αὐτῆς γεννηθεὶς, πάντως δὲ καὶ ἄνθρωπος. Πῶς γὰρ ἂν ἐκ γυναικὸς γεννηθείη Θεὸς, ὁ πρὸ αἰώνων ἔχων τὴν ὕπαρξιν, εἰ μὴ ἄνθρωπος γέγονεν; Ὁ γὰρ Υἱὸς ἀνθρώπου, ἄνθρωπος δηλονότι. Εἰ δὲ αὐτὸς ὁ γεννηθεὶς ἐκ γυναικὸς Θεός ἐστιν, εἷς ἐστι δηλονότι ὁ ἐκ Θεοῦ Πατρὸς γεννηθεὶς κατὰ τὴν θείαν καὶ ἄναρχον οὐσίαν, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων ἐκ τῆς Παρθένου τεχθεὶς κατὰ τὴν ἠργμένην καὶ ὑπὸ χρόνον οὐσίαν, ἤτοι τὴν ἀνθρωπίνην. Τοῦτο δὲ μίαν ὑπόστασιν, καὶ δύο φύσεις, καὶ δύο γεννήσεις σημαίνει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Χριστοτόκον δὲ οὐδαμῶς φαμεν τὴν ἁγίαν Παρθένον, διότι ἐπ' ἀναιρέσει τῆς *Θεοτόκος* φωνῆς ὁ μιαρὸς, καὶ βδελυρὸς, καὶ Ἰουδαιόφρων Νεστόριος, τὸ σκεῦος τῆς ἀτιμίας, καὶ ἐπὶ ἀτιμίᾳ τῆς μόνης ὄντως τετιμημένης ὑπὲρ πᾶσαν κτίσιν Θεοτόκου, κἂν οὗτος διαῤῥήγνυται [d] σὺν τῷ πατρὶ αὐτοῦ τῷ Σατανᾷ, ταύτην τὴν προσηγορίαν ἐξηύρατο, ὡς ἐπηρεαζομένην [e] χριστὸς γὰρ καὶ ὁ Δαβὶδ ὁ βασιλεὺς, καὶ ὁ Ἀαρὼν ὁ ἀρχιερεύς· ταῦτα γὰρ τὰ [f] χριόμενα, βασιλεία τε καὶ ἱερωσύνη· καὶ πᾶς θεοφόρος ἄνθρωπος Χριστὸς λέγεσθαι δύναται, ἀλλ' οὐ Θεὸς φύσει, ὡς καὶ Νεστόριος ὁ θεήλατος, τὸν ἐκ Παρθένου τεχθέντα θεοφόρον εἰπεῖν ἐφρυάξατο. Ἡμᾶς δὲ μὴ γένοιτο θεοφόρον αὐτὸν [g] εἰπεῖν ἢ νοῆσαι, ἀλλὰ Θεὸν σεσαρκωμένον. Αὐτὸς γὰρ ὁ Λόγος σὰρξ ἐγένετο, κυηθεὶς μὲν ἐκ τῆς Παρθένου, προελθὼν δὲ Θεὸς μετὰ τῆς προσλήψεως, ἤδη καὶ αὐτῆς ὑπ' αὐτοῦ θεωθείσης, ἅμα τῇ εἰς τὸ εἶναι ταύτης παραγωγῇ, ὡς ὁμοῦ γενέσθαι τὰ τρία, τὴν πρόσληψιν, τὴν ὕπαρξιν, τὴν θέωσιν αὐτῆς ὑπὸ τοῦ Λόγου· καὶ οὕτω νοεῖσθαι, καὶ λέγεσθαι Θεοτόκον τὴν ἁγίαν Παρθένον, οὐ μόνον διὰ τὴν φύσιν τοῦ Λόγου, ἀλλὰ καὶ διὰ τὴν θέωσιν τοῦ ἀνθρωπίνου, ὧν ἅμα, καὶ ἡ σύλληψις, καὶ ἡ ὕπαρξις τεθαυματούργηται· ἡ μὲν σύλληψις τοῦ Λόγου, τῆς δὲ σαρκὸς, ἡ ἐν αὐτῷ τῷ Λόγῳ ὕπαρξις, αὐτῆς τῆς Θεομήτορος ὑπερφυῶς χορηγούσης τὸ πλασθῆναι τῷ πλάστῃ, καὶ τὸ ἀνθρωπισθῆναι τῷ Θεῷ καὶ ποιητῇ τοῦ παντὸς, θεοῦντι τὸ πρόσλημμα, σωζούσης τῆς ἑνώσεως τὰ ἑνωθέντα τοιαῦτα, οἷα καὶ ἥνωνται· οὐ τὸ θεῖον λέγω μόνον, ἀλλὰ καὶ τὸ ἀνθρώπινον τοῦ Χριστοῦ, τὸ ὑπὲρ ἡμᾶς,

καὶ καθ' ἡμᾶς. Οὔτε γὰρ γενόμενον πρότερον καθ' A ἡμᾶς, ὕστερον γέγονεν ὑπὲρ ἡμᾶς· ἀλλὰ ἀεὶ ἐκ πρώτης ὑπάρξεως ἄμφω ὑπῆρξε, διὰ τὸ ἐξ ἄκρας συλλήψεως ἐν αὐτῷ τῷ Λόγῳ τὴν ὕπαρξιν ἐσχηκέναι· ἀνθρώπινον μὲν οὖν ἐστι κατὰ τὴν οἰκείαν φύσιν, Θεοῦ δὲ καὶ θεῖον, ὑπερφυῶς. Ἔτι δὲ καὶ τῆς ἐμψύχου σαρκὸς τὰ ἰδιώματα ἔσχε· κατεδέξατο γὰρ αὐτὰ ὁ Λόγος, οἰκονομίας λόγῳ, φυσικῆς κινήσεως τάξει κατὰ ἀλήθειαν φυσικῶς γινόμενα.

carnis vero exsistentia in ipso Verbo. Ipsa namque Dei Genitrix supra naturæ leges rerum omnium fictori subministrabat, unde ipse quoque fingeretur, universorumque conditori Deo, ut assumptam humanitatem deitate donans, homo ipse fieret, cum interim unio, quæ unita sunt, talia servaret, qualia unita essent, hoc est, non divinitatem solum, sed etiam Christi humanitatem; nec illud solum quod supra nos, sed et id quod nostrum est. Non enim cum ante nostri similis extitisset, postea superior nobis evasit: sed semper a primo ortu utrumque exstitit: quoniam a primordiis conceptionis in ipso Verbo exsistentiam habuit. Quocirca, quod assumptum fuit suapte quidem natura humanum est, Dei autem et divinum supernaturali quodam modo. Quin animatæ quidem carnis proprietates habuit: eas enim dispensationis suæ ratione Verbum suscepit, quæ secundum naturalis motus ordinem vere naturales sunt.

B

Τοῦ αὐτοῦ. Κεφάλαιον πς.

Προκόπτειν λέγεται σοφίᾳ, καὶ ἡλικίᾳ, καὶ χάριτι· τῇ μὲν ἡλικίᾳ αὔξων, διὰ δὲ τῆς αὐξήσεως τῆς ἡλικίας τὴν ἐνυπάρχουσαν αὐτῷ σοφίαν εἰς φανέρωσιν ἄγων· ἔτι δὲ τὴν τῶν ἀνθρώπων ἐν σοφίᾳ καὶ χάριτι προκοπὴν, καὶ τὴν τελείωσιν τῆς τοῦ Πατρὸς εὐδοκίας, ἤγουν τὴν τῶν ἀνθρώπων θεογνωσίαν τε καὶ σωτηρίαν, οἰκείαν προκοπὴν ποιούμενος, καὶ οἰκειούμενος πανταχοῦ τὸ ἡμέτερον. Οἱ δὲ προκόπτειν αὐτὸν λέγοντες σοφίᾳ, καὶ χάριτι ὡς προσθήκην τούτων δεχόμενον, Νεστορίῳ τῷ ματαιόφρονι πειθόμενοι, σχετικὴν ἕνωσιν καὶ ψιλὴν ἐνοίκησιν τερατεύονται, μὴ γινώσκοντες μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται. Εἰ γὰρ ἀληθῶς ἡνώθη C τῷ Θεῷ Λόγῳ ἡ σὰρξ ἐξ ἄκρας ὑπάρξεως, μᾶλλον δὲ ἐν αὐτῷ ὑπῆρξε, καὶ τὴν ὑποστατικὴν πρὸς αὐτὸν ἔσχε ταυτότητα, πῶς οὐ τελείως κατεπλούτησε πᾶσαν σοφίαν καὶ χάριν;

Ejusdem. Cap. 86.

Proficere dicitur sapientia, et ætate, et gratia; ætate quidem crescens, et per incrementum ætatis, sapientiam, quæ ipsi inerat, in apertum proferens; præterea hominum in sapientia et gratia progressum, et bonæ Patris voluntatis perfectionem, seu hominum de rebus divinis cognitionem et salutem, proprium profectum faciens, et quod nostrum est, suum plane reddens. Qui vero ipsum sapientia et gratia ita dicunt profecisse, ut earum augmenta susceperit, ii Nestorium stulte sentientem secuti, unionem quamdam secundum affectionem et respectum et nudam habitationem prodigiose fingunt, nec quæ dicant, nec de quibus affirment, cognoscentes [1]. Nam si caro vere conjuncta est Verbo, simul atque esse cœpit, et eamdem cum ipso in persona essentiam habuit, qui fieri potuit, ut perfecte cunctas sapientiæ et gratiæ divitias non habuerit?

Τοῦ αὐτοῦ. Κεφάλαιον ϟη'.

Ἀναμάρτητος ὢν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν ὁ αἴρων τοῦ κόσμου τὴν ἁμαρτίαν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, οὐχ ὑπέκειτο θανάτῳ, εἴπερ διὰ τῆς ἁμαρτίας εἰς τὸν κόσμον εἰσῆλθεν ὁ θάνατος. Θνήσκει τοίνυν, τὸν ὑπὲρ ἡμῶν ἀναδεχόμενος θάνατον, καὶ ἑαυτὸν τῷ Πατρὶ προσφέρει θυσίαν ὑπὲρ ἡμῶν. D Αὐτῷ γὰρ πεπλημμελήκαμεν, καὶ αὐτὸν ἔδει τὸ ὑπὲρ ἡμῶν λύτρον δέξασθαι, καὶ οὕτως ἡμᾶς λυθῆναι τῆς κατακρίσεως. Ἀλλ' εἰ καὶ τέθνηκεν ὡς ἄνθρωπος, καὶ ἡ ἁγία αὐτοῦ ψυχὴ διηρέθη τοῦ ἀχράντου σώματος, ἀλλ' ἡ θεότης ἀχώριστος ἀμφοτέρων διέμεινε, τῆς τε ψυχῆς, φημὶ, καὶ τοῦ σώματος. Καὶ οὐδ' οὕτως ἡ μία ὑπόστασις εἰς δύο ὑποστάσεις διῄρηται. Τό τε γὰρ σῶμα καὶ ἡ ψυχὴ κατὰ ταυτὸν ἐξ ἀρχῆς ἐν τῇ τοῦ Λόγου ὑποστάσει ἔχοντα τὴν ὕπαρξιν, καὶ ἐν τῷ θανάτῳ ἀλλήλων διαιρεθέντα ἔμεινε τὴν μίαν τοῦ Λόγου ὑπόστασιν ἔχοντα, καὶ ἀδιαιρέτως ἡνωμένα αὐτῷ.

Ejusdem. Cap. 98.

Cum sine peccato esset Dominus noster Jesus Christus, peccatum enim non fecit, qui sustulit peccatum mundi, nec inventus est dolus in ore ejus [2], morti non fuit obnoxius. Siquidem per peccatum in mundum mors introivit. Mortuus est igitur, mortem pro nobis subiens, et se ipsum Patri pro nobis hostiam obtulit. Nos enim in eum peccaveramus, et ipsum oportebat pro nobis pretium accipere, atque ita nos condemnatione liberari. Quod si mortuus est etiam ut homo, et sancta ipsius anima ab immaculato corpore separata est, divinitas tamen a neutro discessit, nec ab anima, nec a corpore. Neque propterea persona una in duas divisa est. Nam corpus et anima, quæ eodem tempore a principio in Verbi persona essentiam habuerunt, licet in morte sejuncta fuerint, unam tamen Verbi personam habentia et sine divisione cum ipso conjuncta permanserunt.

[1] I Tim. I, 7. [2] I Petr. II, 22.

TITULUS XVI.

Magni Athanasii adversus illos, qui Christum unam esse dicunt naturam compositam. Licet enim postea ab Eutyche, Dioscoro, et Monophysitis hæc hæresis fuerit propagata, fuerunt tamen antea quidam, qui nefariæ istius opinionis semina projecerunt. Sanctus autem Maximus eam dicit Apollinarium disseminasse.

Quid est argumentum illud, quo veluti ariete animas petunt? Partem, inquiunt, essentiæ propriæ Deus fecit carnem assumptam: ut eo pacto una utrumque essentia intelligatur, quæ impatibilis sit, quatenus Verbum est, patiatur autem parte carnis, quæ cum Verbo ad unam essentiam absolvendam concurrit. Hoc autem absurdum esse et maxime exsecrandum facile quivis intelligat. Pars, inquiunt, divinæ essentiæ caro, et quod magis adhuc ridendum est, pars illius, qui nullas habet partes. Compositam faciunt, quæ simplex est. Nam si hæ mutuæ inter se partes ad unum aliquod concurrunt, compositum diversum ostenditur, quod e partibus constat differentibus. Præterea suscipit incrementum ex carne addita, quæ non in natura propria spectatur, sed pars esse essentiæ carnem ipsam accipientis. Quin etiam ex his mutatio patet, cum Verbum amplius secundum æternam essentiam non maneat, sed aliud quiddam propter augmentum esse contingat. Deum naturam mutabilem immutabilis naturæ partem constituis, et unam istam ex utraque novam compositionem, et mutationem ostendis, adeo ut magna difficultas in animo oboriatur, cum nec quid inde sequatur videri queat, neque rei propositæ nomen reperiatur. Quo enim nomine unam ex utrisque essentiam appellemus? Verbum tantum? At carnis pars id non permittit. Carnem tantummodo? At id Verbi natura non concedit. Christumne? Dispensationis, non autem essentiæ istud est nomen. Proh impiorum hominum insaniam, qui dum immutabilem audent essentiam tractare, proprio etiam nomine ipsam spoliarunt. Ista enim ratione Filio ne illud quidem servabitur, ut ejusdem cum Patre sit essentiæ. Qui enim essentiæ propriæ accessionem et mutationem ex alterius admittit admistione, is cum illo qui in eadem manet essentia, non est ejusdem essentiæ. Pater enim præter gloriam propriam in natura nihil possidet. Filius autem naturæ carnem adjungens, ut carnis et Verbi una sit essentia, multum abesse deprehenditur ab eo qui nullam accessionem ad essentiæ propriæ incrementum aut mutationem acceperit. Necesse igitur est, ut unam essentiam Verbi et carnis non confusam agnoscas, aut in eorum qui Arium secuti sunt, errorem incidas, et illorum essentiæ diversitatem introducas, et sacris Domini vocibus adverseris, et magno cum periculo respuas illud: *Ego et Pater unum sumus*[1]; et: *Qui vidit me, Patrem vidit*[2]. Quomodo unum,

[1] Joan. x, 30. [2] Joan. xiv, 9.

ΤΙΤΛΟΣ ΙϚ'.

Τοῦ μεγάλου Ἀθανασίου (1) κατὰ τῶν λεγόντων μίαν σύνθετον φύσιν γεγονέναι τὸν Χριστόν. Εἰ γὰρ ὕστερον ἐπὶ Εὐτυχοῦς καὶ Διοσκόρου τῶν Μονοφυσιτῶν ἡ αἵρεσις ἤκμασεν, ἀλλ' ἦσάν τινες καὶ πρότερον οἱ τοῦ πονηροῦ τούτου δόγματος τὰ σπέρματα καταβάλλοντες. Ὁ δὲ ἅγιος Μάξιμος σπορέα ταύτης τὸν Ἀπολλινάριον γεγονέναι λέγει.

Τί τὸ μηνυθὲν ἐπιχείρημα, δίκην ὁρμητηρίου ταῖς ψυχαῖς λυμαινόμενον; Μέρος, φησὶ, τῆς οἰκείας οὐσίας ὁ Θεὸς Λόγος τὴν ἀναληφθεῖσαν σάρκα πεποίηται, ὡς ἐκ τούτου μίαν οὐσίαν νοεῖσθαι τὸ συναμφότερον, μένουσαν μὲν ἀπαθῆ καθὸ Λόγος ἦν, πάσχουσαν δὲ τῷ μέρει τῆς σαρκὸς τῆς μετὰ τοῦ Λόγου συντελούσης εἰς μίαν οὐσίαν. Τούτου δὲ τὸ

B **ἄτοπον, καὶ τὸ πάσης βλασφημίας ἐπέκεινα ῥᾴδιον τῷ βουλομένῳ καταμαθεῖν. Μέρος τῆς θείας οὐσίας ἡ σάρξ, καὶ τὸ γελοιότερον μέρος τῆς ἀμεροῦς, ποιεῖν τε σύνθετον τὴν ἁπλῆν. Εἰ γὰρ ἀλλήλων τοιαῦτα μέρη, εἰς ἕν τι συντελοῦντα, ἕτερον τὸ σύνθετον δείκνυται τὸ ἐκ διαφόρων συνεστάναι λεγόμενον, εἶτα δεχόμενον αὔξησιν ἐκ τῆς προστεθείσης σαρκὸς, οὐκ ἐν τῇ ἰδίᾳ φύσει θεωρουμένης, ἀλλὰ μέρος τῆς τοῦ λαβόντος οὐσίας γεγενημένης, μᾶλλον δὲ καὶ μεταποίησις ἐντεῦθεν μηνύεται, μηκέτι τοῦ Λόγου κατὰ τὴν ἀΐδιον ὕπαρξιν μένοντος, ἀλλὰ τινὸς ἑτέρου διὰ τῆς προσθήκης τυγχάνειν ἐλεγχομένου. Τὸ γὰρ τὴν τρεπτὴν φύσιν μέρος ποιήσασθαι τῆς ἀτρέπτου, καὶ μίαν ταύτην ἐξ ἀμφοτέρων**

C **καινοτομίαν οὐσίας, καὶ ἀποβολὴν ἀποφαίνεται, ὡς πολλὴν ἀμηχανίαν κατὰ τὴν διάνοιαν φύεσθαι, μὴ δυναμένην μήτε τι ἀκόλουθον συνιδεῖν, μήτε τοῦ προκειμένου προσηγορίαν εὑρεῖν. Ἢ τί ἄν τις εἴποι τὴν μίαν ἐξ ἀμφοτέρων οὐσίαν; Λόγον μόνον; Ἀλλ' οὐκ ἐᾷ τῆς σαρκὸς τὸ μέρος. Σάρκα μόνον; Ἀλλ' οὐ συγχωρεῖ τοῦ Λόγου ἡ φύσις. Ἀλλὰ Χριστόν; Οἰκονομίας, ἀλλ' οὐκ οὐσίας ἔδωκας ὄνομα. Φεῦ τῆς θεομάχου μανίας! κατὰ τῆς ἀτρέπτου οὐσίας τολμήσαντες, καὶ προσηγορίας ταύτην κυρίας ἐστέρησαν, ὡς μηκέτι κατὰ τοῦτον τὸν λόγον μηδὲ τὸ ὁμοούσιον τῷ Υἱῷ πρὸς τὸν Πατέρα φυλάττεσθαι. Τῷ γὰρ ἐν τῇ ταυτότητι τῆς οὐσίας γινωσκομένῳ ὁ προσθήκην καὶ μεταβολὴν τῆς οἰκείας ἐργασάμενος ἐξ ἐπιμιξίας ἄλλης οὐκ ἔτι σώζει τὸ ὁμοούσιον.**

D **Ὁ μὲν γὰρ Πατὴρ οὐδὲν ἔξωθεν τῆς οἰκείας δόξης ἐν τῇ φύσει κέκτηται, ὁ δὲ Υἱὸς προσκτησάμενος ἐν τῇ φύσει τὴν σάρκα, καὶ μίαν οὐσίαν αὐτῆς καὶ τοῦ Λόγου δεικνύων, πάμπολυ διεστὼς ἀπελέγχεται τοῦ μηδεμίαν προσθήκην εἰς αὔξησιν, ἢ μεταβολὴν τῆς οἰκείας οὐσίας κομισαμένου. Ἀνάγκη τοίνυν ἢ μὴ μίαν οὐσίαν εἰδέναι τοῦ Λόγου καὶ τῆς σαρκὸς, ἀλλὰ ἀσύγχυτον ἕνωσιν, ἢ τοῖς Ἀρείου κληρονόμοις συγκαταπίπτειν, καὶ τὸ ἐκείνων ἑτεροούσιον παρεισάγειν, ταῖς ἱεραῖς τε τοῦ Δεσπότου φωναῖς ἀντιπίπτειν, καὶ παρωθεῖσθαι λίαν ἐπικινδύνως τὸ, *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*· καὶ, *Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα*. Πῶς ἕν, ὅπου τό-**

(1) Hæc Latine tantum exstant inter Athanasii opera, editionis nostræ tom. II, col. 1223.

τοῦτον εὑρίσκεται τὸ διάφορον, τοῦ μὲν εἰς τέλος οὕτω μένοντος ὡς πεφυκὼς ἐξ ἀϊδίου πιστεύεται, τοῦ δὲ τῇ συνθέσει τῆς σαρκὸς τὴν οἰκείαν οὐσίαν κεράσαντος, ἢ αὐξήσαντος, ἢ κατὰ σύγχυσιν εἰς ἄλλο μεταπεσόντος; Πῶς ὁ τοῦτον βλέπων ἐκεῖνον βλέπει, εἴπερ Πατρὸς μὲν οὐσίαν δηλοῖ μόνον θεότης, Υἱοῦ δὲ θεότης καὶ ἀνθρωπότης, ἕν τι τῇ φύσει γενόμενα, καὶ Πατρὸς μὲν οὐσία μέρος οὐκ ἔχει τὸ πάσχον, τοῦ Λόγου δὲ ἡ φύσις τῷ μέρει τῆς σαρκὸς ὑπομένει τὸ πάθος; Τί τῆς δυσσεβείας ταύτης ἀνοσιώτερον, μίαν μὲν λέγειν οὐσίαν, τέμνειν δὲ ταύτην εἰς ποικίλα τε καὶ διάφορα, καὶ φέρειν φωνὰς ἐφ' ὕβρει μὲν λεγομένας, συναρμοσθῆναι δὲ τῇ ὑποθέσει μὴ δυναμένας; Εἰ μὴ τελείας φύσεως τὸ ἀπαθὲς, καὶ τελείας φύσεως τὸ παθητὸν, καὶ μέρος πάσχει, καὶ μέρος οὐ πάσχει, καὶ τὸ μὲν ζῇ, τὸ δὲ τέθνηκεν, ἐλεεινότερον ἄρα τὸ ζῶν τὰς ἐκ τοῦ τεθνηκότος ὀδύνας ἐν αἰσθήσει καρπούμενον, εἴπερ τῆς μιᾶς οὐσίας ἅμα τὸ τεθνάναι, καὶ τὸ ζῆν. Ἀλλ' ἄπαγε τῆς τοσαύτης κενοφωνίας. Οὔτε μέρος ἀμεροῦς, καὶ ἁπλῆς φύσεως παρειλήφαμεν, οὔτε μέρει μὲν πάσχειν, μέρει δὲ μὴ πάσχειν τὸ ἀπαθὲς ἐδιδάχθημεν, οὔτε μιᾶς οὐσίας ὅρον ἐπὶ ταῖς δύο γινώσκομεν, οὔτε τοῦ ἑτεροουσίου, κἂν τοὔνομα προσιέμεθα, ἅτινα πάντα εἰς μίαν οὐσίαν οἱ λέγοντες συντελεῖν τὸν Λόγον καὶ τὴν σάρκα νομοθετοῦντες εὑρίσκονται. Πῶς οὖν καὶ ἡ σὰρξ ἐλήφθη, καὶ ὁ λαβὼν οὐκ ἠλλοιώθη, σώζει τε καὶ ἡνωμένος ταύτῃ πρὸς τὸν ἑαυτοῦ Πατέρα τὴν τῆς οὐσίας ταυτότητα; Πῶς ἐκ τοῦ τὴν σάρκα λαβεῖν, καὶ κατ' αὐτὴν οἰκονομῆσαι σοφῶς τε καὶ ὑπὲρ λόγον, οὐκ εἰς αὔξησιν, ἢ μεταποίησιν τῆς ἰδίας οὐσίας, ἀλλ' εἰς κοινωνίαν τῆς ἐμφύτου ἀξίας, ἣν ἡ τῆς ἀῤῥήτου συναφείας εἰργάσατο χάρις; Ἄλλο γὰρ τὸ λέγειν δύο φύσεων τελείων εἰς ἓν πρόσωπον σύνοδον, καὶ ἄλλο τὸ φάσκειν ἐκ δύο μερῶν μίαν οὐσίαν. Τῆς μὲν γὰρ θείας οὐσίας ὁ λόγος ἁπλοῦς, τῆς δὲ φιλανθρώπου οἰκονομίας τὸ θαῦμα διπλοῦν. Οὔτε οὖν τὸ ἁπλοῦν τῆς οὐσίας εἰς ποικιλίαν τέμνεται, οὔτε τὸ διπλοῦν τῆς οἰκονομίας εἰς μίαν οὐσίαν μεταχωνεύεται. Πῶς γὰρ οἷόν τε τὸ ἀΐδιον καὶ τὸ πρόσφατον ἐν μιᾷ θεωρεῖσθαι φύσει; Μὴ ἄρα καὶ τὸ ἐκ τῆς πλευρᾶς αἷμα καὶ ὕδωρ Θεότητος οὐσία, κρουνηδὸν ῥέουσα; Εἰ τῆς αὐτῆς τὸ πάσχειν καὶ τὸ μὴ πάσχειν, ἀνάγκη καὶ θελήματα εἶναι διάφορα, καὶ ἐνεργείας μὴ τὰς αὐτάς. Ἄλλα γὰρ προσήκει μορφῇ Θεοῦ, καὶ ἄλλα μορφῇ δούλου. Ἕτερα ναῷ, καὶ ἕτερα τῷ ἐνοικοῦντι Θεῷ. Στάσιν τοίνυν ἐπεισάγουσιν ἄπαυστον τῇ μιᾷ οὐσίᾳ, ἧς τὸ μὲν ἑτέραν βούλησιν ἔχει, τὸ δὲ ἑτέραν. Εἰ μία οὐσία, πῶς λέγει, *Οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σύ*; Πῶς ἡ αὐτή ἐστι καὶ ποιητὴς, καὶ ποίημα; Πῶς ἡ αὐτὴ καὶ πάντα οἶδε πρὶν γενέσεως, καὶ τὴν ἐσχάτην ἡμέραν καὶ ὥραν ἀγνοεῖ; Πῶς ἡ αὐτὴ καὶ προσεύχεται, καὶ τὰς δεήσεις δέχεται; Πῶς λέγει, *Θεέ μου, Θεέ μου, ἱνατί με ἐγκατέλιπες*; Τίς οἶδεν οὐσίαν αὐτὴν ὑφ' ἑαυτῆς ἐγκαταλιμπανομένην, καὶ ἑαυτὴν ὡς ἄλλον ἐπικαλ-

A ubi tanta differentia reperitur, ut unus quidem ad finem usque manserit, qualis ab omni æternitate creditur fuisse, alter autem carnis compositione propriam essentiam miscuerit, aut auxerit, aut per confusionem in aliud commutarit? Quomodo qui hunc videt, videt illum, si Patris quidem essentiam divinitas duntaxat indicat, Filii vero divinitas et humanitas, quæ unum quiddam natura sunt? Et Patris quidem essentia partem non habet, quæ patiatur; Verbi autem natura carnis partem habet, quæ patiatur. Quid ista impietate magis nefarium, unam essentiam dicere, et hanc in partes secare varias et differentes, et voces dicere contumeliosas, quæ rei propositæ accommodari nequeunt, nisi perfectæ naturæ pars patibilis, et pars sit impatibilis;
B et pars patiatur, pars autem non patiatur; et pars vivat, pars intereat? Magis profecto miserandum animal, cujus mortui dolores pars sensu percipiat, siquidem unius essentiæ sit simul et interire et vivere. Sed rejiciatur hæc inanis doctrina. Nec partem naturæ simplicis, et quæ dividi non potest, accepimus; nec quod est impatibile parte quidem pati, parte autem non pati didicimus; neque unius naturæ definitionem in duabus agnoscimus, neque diversæ, etsi nomen admisimus. Quæ quidem omnia constituere deprehenduntur, qui Verbum et carnem in unam essentiam convenisse dicunt. Quomodo igitur et caro sumpta est, et qui illam
C sumpsit, non est immutatus, et qui cum illa conjunctus est, servat eamdem essentiam cum Patre suo? Quomodo ex carnis assumptione, et ex iis quæ per ipsam sapienter, supra quam dici potest, gesta sunt, non ad incrementum, aut mutationem essentiæ propriæ pervenit, sed ad communicationem naturalis dignitatis, quam arcanæ conjunctionis gratia perfecit? Aliud enim est dicere, duas naturas perfectas in unam personam convenisse, et aliud ex duabus partibus unam essentiam esse conflatam. Nam divinæ quidem essentiæ ratio simplex est, humanæ autem dispensationis miraculum duplex. Quare nec essentiæ simplicitas in varias partes secatur, neque duplex dispensationis ratio in unam conflatur essentiam. Qui enim fieri potest, ut quod æternum est
D et quod est recens in una considerentur natura? Num et sanguis et aqua fuit divinitatis essentia, quæ fontis instar defluxit e latere? Si ejusdem est et pati et non pati, necesse est et voluntates esse diversas, et non easdem actiones. Alia enim convenit formæ Dei, et alia formæ servi; alia templo, et alia inhabitanti Deo. Perpetuam igitur in unam essentiam introducunt seditionem, cujus essentiæ pars unum vult, pars aliud. Si una essentia, cur dicit: *Non quod ego volo, sed quod tu*[1]? Quomodo eadem est, quæ fecit, et quæ facta est? Quomodo eadem et omnia novit antequam fierent, et extremum diem et horam ignorat? Quomodo eadem et precatur, et preces suscipit? Quomodo dicit:

[1] Matth. xxvi, 39.

Deus meus, Deus meus, cur me dereliquisti [1]? Quis novit eamdem a se ipsa naturam derelinqui, et seipsam ut alium invocare? quæ quidem omnia naturam duplicem consequuntur. Verum quoniam et humanæ naturæ exemplum nos quidem ad pietatem confirmandam attulimus, alii autem illud ad eversionem detorquent, necesse est ut de hoc item disseramus.

Ejusdem adversus eosdem.

Ecce enim falsam alteram cum impietate ratiocinationem pepererunt: Quemadmodum, inquiunt, homo ex duobus consistens una dicitur natura, sic etiam Dominum Christum ex Verbo et carne exsistentem unam esse constat essentiam. Quod duo tantum inter se differentia perfectam unam nequeant essentiam conficere, et quæ non sit mutabilis, paucis antea demonstratum est. Quod autem exemplum hoc rei ab ipsis propositæ nihil prosit, statim ostendetur. Homo ex anima mente prædita, et corpore sensibus affecto animal jure censetur. Quoniam horum neutrum sine altero prius consistit, neque naturæ terminum conservat, cum exsistendi principium sumant ex utero, atque ita in vitam exeant et unius animalis constitutionem efficiant. At Dominus Jesus non imperfectis e rebus exsistendi principium accipit, sed naturarum perfectarum in se principium ostendit. Atque illic quidem hominis partes sunt anima et corpus; hic autem neque caro pars Verbi est, neque Verbum pars carnis. Horum enim utrumque, priusquam conjungantur, perfectam naturam ostendit, ut nihil omnino neque divinitati ad rationem propriam, neque humanitati desit. Aliud enim est duabus ex partibus essentiam absolvi, et aliud duas essentias conjungi, quarum utraque perfecta sit. Quamobrem et forma Dei dicitur, et forma servi. In homine vero neque anima sola est homo, neque caro. Nam si harum altera reipsa perfecta foret natura, aliquid etiam sine altera perfecisset. Et hoc perspicuum est, non solum ex divinis legibus, verum etiam ex verbis humanis. Etenim qui hæc profitentur, sic hominem definiunt, esse animal ratione præditum, mortale, ut ratione præditum ad animam, mortale spectet ad corpus. Sic utrumque unius esse personæ, non autem duarum censuerunt. Pari ratione et divina Scriptura hominem ipsum et ad imaginem Dei significat, propter animæ ratione præditæ excellentiam, et masculum appellat, et feminam propter carnis proprietatem, ut animam et corpus unius personæ, non autem duarum partes esse declaret. Cur igitur hoc utuntur exemplo, quod nullam habet similitudinem? Si enim duas personas perfectas ostenderent in unam conclusas essentiam, recte exemplum protulissent. Sed unius personæ duas partes dicentes, duas dicunt personas, cum Dominus Christus duo vocetur perfecta, et Deus et homo, propter utriusque perfectionem. Sic enim Ser-

[1] Matth. XXVII, 46.

A λουμένην, ἅπερ τῷ διπλῷ τῶν φύσεων ἀκολουθεῖ δείκνυται; Ἀλλ' ἐπειδὴ καὶ τὸ ὑπόδειγμα τῆς τοῦ ἀνθρώπου φύσεως ἡμεῖς μὲν πρὸς τὸ εὐσεβὲς παρειλήφαμεν, ἕτεροι δὲ πρὸς διαστροφὴν ἐκλαμβάνουσιν, ἀναγκαῖον ποιήσασθαι καὶ τὴν περὶ τούτου διάλεξιν.

Τοῦ αὐτοῦ κατὰ τῶν αὐτῶν.

Ἰδοὺ γὰρ καὶ ἕτερον παραλογισμὸν μετὰ τῆς ἀσεβείας ἐγέννησαν. Ὥσπερ, φησὶν, ὁ ἄνθρωπος ἐκ δύο συνεστὼς, μία φύσις λέγεται, οὕτω καὶ ὁ Δεσπότης Χριστὸς ἐκ Λόγου καὶ σαρκὸς ὑπάρχων, μία οὐσία δείκνυται. Τὸ μὲν οὖν μὴ δύνασθαι τὰ τοσοῦτον ἀλλήλων παρηλλαγμένα καὶ τελείαν μίαν οὐσίαν ἀπο- B τελεῖν, καὶ τρεπτὴν μὴ ποιεῖν, συντόμως προείρηται. Τὸ δὲ μηδὲν αὐτοῖς κατὰ σκοπὸν ἀπαντᾷν, ἐκ τοῦδε τοῦ παραδείγματος αὐτίκα δειχθήσεται. Ἄνθρωπος μὲν γὰρ ἐκ ψυχῆς νοητῆς καὶ σώματος αἰσθητοῦ ζῶον γνωρίζεται εἰκότως, διὰ τοῦτο μηδέτερον χωρὶς τοῦ ἑτέρου προάγουσαν ἔχειν ὑπόστασιν μηδὲ σώζειν τὸν ὅρον τῆς φύσεως, κατὰ ταυτὸν μὲν ἀρχὴν τοῦ εἶναι λαβόντα ἐκ γαστρὸς, καὶ οὕτως εἰς τὸν βίον ἐρχόμενα, ἑνὸς δὲ ζώου σύστασιν ἐργαζόμενα. Ὁ δὲ Κύριος Ἰησοῦς οὐκ ἐξ ἀτελῶν πραγμάτων τὸ εἶναι δέχεται, ἀλλὰ τελείων σύνοδον ἐν ἑαυτῷ φύσεων δείκνυσι. Κἀκεῖ μὲν μέρη ἀνθρώπου ψυχὴ καὶ σῶμα, ἐνταῦθα δὲ οὔτε ἡ σὰρξ μέρος τοῦ Λόγου, C οὔτε ὁ Λόγος μέρος τῆς σαρκός. Ἑκάτερον γὰρ αὐτῶν καὶ πρὸ τῆς γνώσεως τελείαν δείκνυσι τὴν φύσιν, ὡς μηδὲν ὅλως λείπειν μήτε τῇ θεότητι εἰς τὸν ἴδιον λόγον, μήτε τῇ ἀνθρωπότητι. Ἄλλο γάρ ἐστι τὸ ἀναπληροῦσθαι οὐσίαν ἐκ δύο μερῶν, καὶ ἄλλο τὸ τέλειον· διὸ καὶ μορφὴ Θεοῦ λέγεται, καὶ μορφὴ δούλου. Ἐπὶ δὲ τοῦ ἀνθρώπου οὔτε ψυχὴ μόνη ἄνθρωπος, οὔτε ἡ σάρξ. Εἰ γὰρ ἦν τι τούτων τελεία φύσις, εἰς ἐνέργειαν ἔπραξεν ἄν τι καὶ δίχα τοῦ ἄλλου. Καὶ τοῦτο σαφὲς οὐ μόνον παρὰ τοῖς θείοις νόμοις, ἀλλ' ἤδη καὶ παρὰ τοῖς ἀνθρωπίνοις λόγοις. Ὁρίζονται γοῦν τὸν ἄνθρωπον οἱ περὶ ταῦτα δεινοὶ ζῶον λογικὸν θνητόν· τὸ μὲν λογικὸν ἐκ τῆς ψυχῆς ἑρμηνεύοντες, τὸ δὲ θνητὸν ἐκ τοῦ σώματος ἀποφαίνοντες. Οὕτως ἀμφότερα ἑνὸς προσώπου, οὐ δύο ἐνό- D μισαν. Τὸν ἴσον τρόπον καὶ ἡ θεία Γραφή. Τὸν γὰρ αὐτὸν ἄνθρωπον καὶ κατ' εἰκόνα Θεοῦ μηνύει κατὰ τὸ ἐξαίρετον τῆς νοερᾶς ψυχῆς, καὶ ἄρσεν καὶ θῆλυ προσαγορεύει κατὰ τὸ ἰδίωμα τῆς σαρκὸς, ἵνα δείξῃ τὴν ψυχὴν καὶ τὸ σῶμα μέρη ἑνὸς προσώπου, οὐ δύο. Πῶς οὖν κέχρηνται τῷδε τῷ ὑποδείγματι μηδὲν ὅμοιον ἔχοντι; Εἰ δύο πρόσωπα τέλεια ὑπέδειξαν εἰς μίαν μεθαρμοσθέντα οὐσίαν, καλῶς προέφερον τὸ ὑπόδειγμα. Δύο δὲ μέρη ἑνὸς προσώπου λέγοντες, δύο πρόσωπα λέγουσι, τοῦ Δεσπότου Χριστοῦ τὰ δύο τέλεια καλουμένου, καὶ Θεοῦ καὶ ἀνθρώπου, διὰ τὸ τέλειον ἀμφοτέρων. Οὕτω γοῦν ἡ σωτήριος τοῦ Χριστοῦ προσηγορία νῦν μὲν δηλοῖ μόνην τὴν θεότητα, ὡς ἀνενδεῆ καὶ τελείαν, νῦν δὲ τὴν ἀνθρωπό-

τητα, ὡς μηδὲν ἔχουσαν τῇ κατασκευῇ ἐλλιπὲς, νῦν δὲ τὸ συναμφότερον, ἵνα δειχθῇ καὶ τῶν δύο φύσεων τὸ διάφορόν τε καὶ τέλειον, καὶ τῆς ξένης ἑνώσεως τὸ πρόσωπον ἄτμητον. Ἐκεῖνοι μὲν εἰς τροπὴν Θεότητος, καὶ ἀνατροπὴν τῶν συνόντων ταῖς φύσεσι καὶ εἰς ἀναρμόστους φλυαρίας ἐχρήσαντο τῇ κατὰ τὸν ἄνθρωπον θεωρίᾳ, ἡμεῖς δὲ εἰς ἀπόδειξιν καὶ μαρτυρίαν τοῦ δυνατὸν εἶναι καὶ δύο τινῶν σύνοδον νοεῖσθαι, καὶ ἓν πρόσωπον δι' ἀμφοτέρων ὁρᾶσθαι. Εἰ γὰρ ἀνθρώπου φύσις οὐχ ἐκωλύθη δύο μὲν ἔχειν μέρη τὰ ἐξ ὧν τὸ πρόσωπον, ἓν δὲ δεικνύναι πρόσωπον τὸν οὕτω συνεστῶτα ἄνθρωπον, πόσῳ μᾶλλον ἡ θεία χάρις ἱκανὴ δεῖξαι δυνατὸν καὶ ἀκόλουθον τὸ καὶ δύο φύσεις τελείας εἰς ἕνωσιν ἀσύγχυτον συνδραμεῖν, καὶ τοῦ προσώπου τὸ μοναδικὸν μηδαμῶς ἀνελεῖν; Ὥσπερ δὲ ἀκούσαντες, *Εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα*, τῇ θεότητι μόνῃ τὸ ποιῆσαι τὰ πάντα κατὰ τὸ εἰκὸς ἐπιγράφομεν· οὕτως ἀκούσαντες τὸ, *Εἷς παθητὸς ὁ Χριστὸς*, τῆς ἡνωμένης σαρκὸς τὸ πάθος γινώσκομεν· ἐπεὶ πῶς νοήσομεν τῆς αὐτῆς οὐσίας καὶ ἀσθένειαν ἐν ταυτῷ, καὶ τὴν δύναμιν; Τὸ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής· οὐ μέρος πνεύματος, οὐδὲ μέρος σαρκός. Καὶ πάλιν, *Εἰ γὰρ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ*· ὅρα τὰ ὀνόματα, καὶ τὰ πράγματα· πνεῦμα καὶ σὰρξ, δύναμις καὶ ἀσθένεια, σταυρὸς καὶ ζωή, τὸ ἐγεῖρον καὶ τὸ ἐγειρόμενον, τὸ ὑπερυψοῦν καὶ τὸ ὑπερυψούμενον· ἐν ἑνὶ δὲ προσώπῳ οὐ κατὰ σύνθεσιν μερῶν, ἀλλὰ καθ' ἕνωσιν τελείων φύσεων, οὐ μίαν οὐσίαν τὰς δύο ποιοῦσαν, ἀλλὰ μίαν ἀξίαν καὶ δόξαν δηλοῦσαν· οὕτως οὐκ ἀρνούμεθα τὴν ἕνωσιν, παραιτούμεθα δὲ τὴν συνουσίωσιν. Ὅτι γὰρ ἀδύνατον τὰς δύο οὐσίας γενέσθαι μίαν, διδάσκει μὲν ὁ τῆς φύσεως νόμος, διδάσκει δὲ ὁ τοῦ κηρύγματος λόγος, πείθει δὲ διὰ παντὸς γένους ἡ πεῖρα, θεσπίζει δὲ προδήλως ὁ Κύριος. Μετὰ γοῦν τὴν ἀνάστασιν ἀπιστούντων ἔτι τῶν μαθητῶν φησι, *Ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. Ψηλαφήσατε* πρότερον, ἵνα δειχθῇ οὐ φαντασία πνεύματος ἀπατῶσα τοὺς θεωμένους, ἀλλ' ἀντιτυπία σώματος πληροφοροῦσα τοὺς ἁπτομένους. Τίς οὖν οὐχ ὁρᾷ τὰ τῶν φύσεων ἴδια, ὅτι τοῦ πνεύματος μὲν τὸ μὴ ἔχειν σάρκα μήτε ὀστᾶ, τοῦ σώματος δὲ τὸ ἔχειν, καὶ τοῦ μὲν τὸ θεωρεῖσθαι, τοῦ δὲ τὸ μὴ ὁρᾶσθαι, τούτου τὸ ἁφῇ ὑποβάλλεσθαι, ἐκείνου τὸ ἁφὴν μὴ προσίεσθαι; Πῶς οὖν μία οὐσία, καὶ τοσαύτης οὔσης παραλλαγῆς;

Τοῦ αὐτοῦ κατὰ τῶν αὐτῶν.

Τί λέγετε; τί ἀποφαίνεσθε; Οἴχεται τῆς φύσεως τὸ διάφορον, καὶ οὐδὲν φέρεται τούτων γνώρισμα; Τί οὖν ὀνομάσομεν τὸ προκείμενον; Λόγον μόνον; Οὐ γὰρ φαίη τις σάρκα τοῦτο τιμῶν δῆθεν οἰόμενος. Καὶ πῶς οὐχ ὑβρίζετε τοιαύτην αὐτοῦ τὴν οὐσίαν νομίζοντες εἶναι, ὡς δυνατὸν ἑτέρᾳ οὐσίᾳ κτιστῇ πρὸς αὐτὴν μεταστῆναι; Τὸ γὰρ τοῖς ἥττοσι χω-

A valoris Christi nomen nunc quidem solam ostendit divinitatem utpote absolutam et perfectam, nunc autem humanitatem, quippe cujus perfectioni nihil desit; nunc autem cum ipsa persona utramque duarum naturarum differentiam et perfectionem nova conjunctione suscipiat. Illi quidem ad divinitatis mutationem et eversionem humanitatem adhibuerunt; nos autem ut ostenderemus et testaremur, fieri posse, ut duarum rerum congressus sit, et una persona. Nam si nihil prohibet quominus hominis natura duas habeat partes, ex quibus una consurgit persona, homo nimirum, qui ita constat, quanto magis divina gratia valet efficere ut et duæ naturæ perfectæ in conjunctionem minime confusam concurrant, nec tamen una singularis tollatur per-

B sona? Quemadmodum autem cum audimus: *Unus Dominus Jesus Christus, per quem omnia* [1], rerum omnium procreationem, ut par est, soli tribuimus divinitati; sic audientes: Unus patibilis Christus, conjunctæ carnis affectionem agnoscimus. Qui enim possimus ejusdem essentiæ et in eodem imbecillitatem et virtutem intelligere? *Spiritus*, inquit, *promptus, caro autem infirma* [2], non autem pars carnis, aut pars spiritus. Et rursum: *Si enim*, inquit, *crucifixus est ex infirmitate, vivit ex virtute Dei* [3]. Cernis nomina et res: spiritus et caro, virtus et infirmitas, crux et vita, qui suscitat et qui suscitatur, qui exaltat et qui exaltatur. Cernis autem in una persona non partium com-

C positionem, sed perfectarum naturarum conjunctionem, qua non duæ una fiunt essentia, sed una dignitas et gloria declaratur. Non igitur naturarum negamus conjunctionem, sed in unam essentiam dicimus non confluxisse. Fieri non posse, ut duæ una fiant essentia, docet naturæ lex, docet et prædicationis ratio, suadet in omni rerum genere experientia; aperte etiam ipse Dominus indicat, qui post resurrectionem suam non credentibus adhuc discipulis: *Palpate*, inquit, *me, et videte, quia spiritus carnem et ossa non habet, sicut me videtis habere* [4]. *Palpate*, inquit prius, ut ostenderet se spiritus non esse spectrum quo spectantes deciperentur, sed corpus tactui resistens. Quis non videat naturarum proprietates, cum spiritus quidem car-

D nem et ossa non habeat, quæ corpori adsunt; et corpus quidem videatur, spiritus autem non cernatur; corpus tactui sit obnoxium, spiritus autem sub tactum non cadat? Quomodo igitur essentia una, cum tanta sit differentia?

Ejusdem adversus eosdem.

Quid dicitis? quid demonstratis? Abit naturarum differentia, et nullum earum indicium relinquitur? Quomodo igitur subjectum appellabimus? Verbumne solum? Neque enim id quispiam carnem dixerit, qui eo nomine se illud putet honorare. At quomodo non ipsum afficitis contumelia, cum talem ipsius essentiam putatis esse, ut alteri

[1] I Cor. VIII, 6. [2] Matth. XXVI, 41. [3] II Cor. XIII, 4. [4] Luc. XXIV, 39.

liceat essentiæ procreatæ in eam commutari? Quod A enim a deterioribus capi potest commune multorum est, et non unius eximium. Cui autem id proprium est, ut sit inaccessum, huic quomodo alterum adjungatur? At non modo Verbum afficitis contumelia, verum etiam carnis personam tollitis. Cujus enim indicium amplius non relinquitur, hujus gloriam quomodo cognoscemus? Si enim cognoscitur, quoniam est, merito eam honoratis. Si non est, quomodo gloriæ fruitur amplitudine? Nisi ostenderitis id quod honoratis, non apparebit gloriæ magnitudo. Necessarium igitur est confiteri duorum minime confusam conjunctionem, nec ad accipientis mutationem, nec ad accepti interitum esse factam, sed ad gloriæ societatem, quæ in unius persona declaratur. Quamvis enim utrumque Verbum B solum natura etiam repugnante vocari patiamini, non tamen discrimen abscondetis. Quandoquidem unum erat a principio, alterum autem factum est. Unum, quod nec cerni nec tangi potest, ex infinito infinitum; alterum autem ex eo quod cerni tangique potest in id quod nec cernitur, nec tangitur, transiit. Et unum quidem semel immutabile, alterum autem ex mutabili ad præstantiorem pervenit conditionem. Præterea si hoc est solum Verbum, cur non invenimus: *Caro facta est Verbum*, sed: *Verbum caro factum est* [1]? Quis porro adeo insanit et mente captus est, ut audeat dicere divinam essentiam assumpsisse aliam divinitatis es- C sentiam ex altera provenientem natura, ut per talem accessionem incrementum illius, quod natura nullius indiget, et perfectum est, compararet? Ad hæc quomodo divina Scriptura etiam post miram ascensionem prædicat, quæ carnis sunt propria, nempe rursum venturum, eodemque modo visum iri? Num angelis etiam repugnabitis, qui aperte dixerunt: *Hic Jesus, qui assumptus est a vobis, sic veniet, quemadmodum vidistis eum ascendentem in cœlum* [2]? Omnia ad carnem significandam plane spectant. Illud: *Hic veniet*, sicut in corpore, nunc quidem hic, nunc autem illic perspecto, *Quemadmodum vidistis*, id est, carnis oculis. Hæc qui ita non accipit, is non solum angelis repugnat, verum etiam sacris Spiritus sancti oraculis adversatur. Quomodo in- D tercedit pro multis Dominus Christus? Ut Verbum solum? et ubi est æqualis cum Patre dignitas, si tanquam inferior intercedit, non autem cum auctoritate largitur, cum sit pariter omnipotens? Nonne perspicuum est, ejus esse qui primitiæ dicitur, pro massa propria intercedere, ut suam erga carnis naturam affectionem ostendat? Quem autem non moveat clarissima sapientissimi Pauli prædicatio, qui: *Deus*, inquit, *ignorantiæ tempora despiciens denuntiat omnibus ubique, ut pœnitentiam agant, quoniam constituit diem in qua judicaturus est orbem terrarum, in justitia, in viro, quo definivit, fidem omnibus faciens, ipsum a mortuis suscitasse* [3]. Nonne diffe-

A ρητὸν, κοινὸν τῶν πολλῶν, οὐχ ἑνὸς ἐξαίρετον. Ὧι δὲ μόνῳ τὸ ἀπρόσιτον ἴδιον, τούτῳ πῶς προστίθεται ἀπρόσιτον ἕτερον; Καὶ οὐ μόνον τὸν Λόγον ὑβρίζετε, ἀλλὰ καὶ τῆς σαρκὸς τὴν ὑπόστασιν ἀφανίζετε. Ἧς γὰρ μηδὲν ἔτι λείπεται γνώρισμα, ταύτης ποίῳ τρόπῳ τὴν δόξαν κατανοήσομεν; Εἰ ἐν τῷ εἶναι γνωρίζεται, εἰκότως δοξάζετε. Εἰ δὲ μὴ ἔχει τὸ εἶναι, πῶς καρποῦται τῆς δόξης τὸ μέγεθος; Ἐὰν μὴ δείξητε τὸ τιμώμενον, οὐ μηνύεται τῆς δόξης τὸ ὑπέρογκον. Ἀνάγκη τοίνυν ὁμολογεῖν ἀσύγχυτον τῶν δύο τὴν ἕνωσιν, οὔτε εἰς τροπὴν τοῦ λαβόντος, οὔτε εἰς ἀφανισμὸν τοῦ ληφθέντος, ἀλλ' εἰς κοινωνίαν δόξης, ἐφ' ἑνὸς προσώπου κηρυσσομένης. Κἂν γὰρ ὑπομείνητε Λόγον μόνον ὀνομάζειν τὸ συναμφότερον, καίτοι τῆς φύσεως ἀντανισταμένης, οὐδ' οὕτω κρύψετε B τὸ διάφορον, ὁπόταν τὸ μὲν ἀόρατον καὶ ἀψηλάφητον ἐξ ἀπείρου εἰς ἄπειρον, τὸ δὲ ἐξ ὁρατοῦ καὶ ψηλαφητοῦ πρὸς τὸ ἀόρατον καὶ ἀναφὲς μεταβέβηκε. Καὶ τὸ μὲν ἀναλλοίωτον ἅπαξ, τὸ δὲ δι' ἀλλοιώσεως ἐπὶ τὴν κρείττονα λῆξιν ἐλήλυθεν. Εἶτα εἰ μόνον Λόγος τὸ μένον, πῶς οὐκ ἐῤῥήθη, ὅτι ἡ σὰρξ Λόγος ἐγένετο, ἀλλ' ὁ Λόγος σάρξ; Τίς δὲ οὕτω μεμηνὼς καὶ φρενόπληξ, ὡς τολμῆσαι εἰπεῖν τὴν θείαν προσλαβεῖν ἄλλην θεότητος οὐσίαν ἐξ ἑτέρας φύσεως ἐπιγενομένην, ἵνα αὔξησιν παρασκευάσῃ νοεῖσθαι διὰ τῆς τοιαύτης προσθήκης τοῦ κατὰ φύσιν ἀνενδεοῦς καὶ τελείου; Πῶς δὲ οἱ θεῖοι λόγοι καὶ μετὰ τὴν ξένην ἄνοδον ἔτι κηρύσσουσι τὰ τῇ σαρκὶ δια- C φέροντα, τὸ πάλιν ἐλθεῖν, τὸ κατὰ τὸν αὐτὸν ὀφθῆναι τρόπον; Ἢ καὶ τοῖς ἀγγέλοις ἐναντία νομοθετήσετε τοῖς εἰρηκόσι σαφῶς, *Οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν, οὗτος ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν*; Πάντα πρὸς ἔμφασιν τῆς σαρκὸς, τὸ, *οὗτος*, τὸ *ἐλεύσεται*, ὡς ἐν σώματι νῦν μὲν ὧδε, νῦν δὲ ὧδε θεωρουμένῳ. Ὃν τρόπον ἐθεάσασθε, τουτέστι τοῖς τῆς σαρκὸς ὀφθαλμοῖς, ἅπερ ὁ μὴ δεχόμενος οὕτως οὐ μόνον τοῖς ἀγγέλοις μάχεται, ἀλλὰ καὶ τοῖς τοῦ ἁγίου Πνεύματος ἱεροῖς λόγοις ἀντικαθίσταται. Πῶς ἐντυγχάνει ὑπὲρ πολλῶν ὁ Δεσπότης Χριστός; Ὡς Λόγος μόνος; καὶ ποῦ τὰ τῆς ὁμοτίμου πρὸς τὸν Πατέρα ἀξίας, εἴπερ ἐντυγχάνων καθάπερ ὑποδεέστερος, καὶ οὐ μετὰ αὐθεντίας εὐεργετεῖ, ἴσον ἔχων D τὸ παντοδύναμον; ἢ δῆλον ὅτι τῆς ἀπαρχῆς τὸ ἐντυγχάνειν ὑπὲρ τοῦ οἰκείου φυράματος, ἵνα δείξῃ πόση περὶ τὴν τῆς σαρκὸς φύσιν ἡ σχέσις; Τίνα δὲ οὐκ ἐντρέπει τοῦ πανσόφου Παύλου τὸ τρανότατον κήρυγμα, ὅτι *Τοὺς χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς, παραγγέλλει πᾶσι πανταχοῦ μετανοεῖν, καθότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν*. Μὴ ἀνῄρηται ἡ διαφορά; Μὴ οὐκ εἶπε, Θεὸν ἐν ἀνδρί; Μὴ οὐκ ἔδειξε τὸν ἐγείραντα Θεὸν, καὶ τὸν ἀναστάντα ἄνδρα; Ἀλλ' εἰ καὶ τὸ διάφορον ἔδειξε, τὸ ἀχώριστον οὐ παρέλειψεν. Οὐ γὰρ εἶπε, Θεὸν μετ' ἀνδρὸς, ἀλλὰ, Θεὸν ἐν ἀνδρί. Πῶς δὲ νοήσομεν καὶ τὸ, *Ὄψονται*

[1] Joan. i, 14. [2] Act. i, 11. [3] Act. xvii, 30, 31.

εἰς ὃν ἐξεκέντησαν, εἰ μὴ τῆς σαρκὸς ἡ φύσις ἡ A δεξαμένη τοὺς ἥλους, αὐτὴ σαφῶς ἐπιδείξει τοὺς τύπους; Οὐ γὰρ θεότητος οὐσία ἡ ἀόρατος, καὶ ἀνεπαφής, ἴχνη παθῶν εἰς ἔλεγχον ἐπιφέρεσθαι ἔμελλεν, ἀλλ' ἡ ἐκ τοῦ παθητοῦ γένους ληφθεῖσα τὴν τῶν ἠσεβηκότων ἐλέγξει παρανομίαν, γνωρίζειν συνωθουμένων ἐν τῇ τρωθείσῃ σαρκὶ τὰ οἰκεῖα τολμήματα. Οὕτω δέδεικται καὶ τὰ ἰδιώματα τῶν φύσεων ἀναφαίρετα, καὶ τὸ κέρδος τῆς ἐνανθρωπήσεως ἀναντίῤῥητον καὶ τὸ ἐπιχείρημα τῶν ἀντιλεγόντων ἀναίσχυντον, καὶ τὸ δυνατὸν τῆς ἀληθείας ἀκαταμάχητον.

rentiam sustulit? Nonne dixit, Deum in viro? Nonne demonstravit Deum, qui suscitavit, et hominem qui suscitatus est? Verum quanquam differentiam ostendit, non tamen conjunctionem inseparabilem prætermisit. Non enim dixit, Deum cum viro, sed, Deum in viro. Jam quomodo illud intelligemus: *Videbunt, in quem transfixerunt* [1], nisi carnis natura, quæ clavos suscepit, aperte foramina demonstret? Neque enim divinitatis essentia, quæ nec videtur, nec tangitur, vestigia vulnerum in testimonium est allatura; sed natura ex patibili genere suscepta impiorum scelus redarguet, qui cogentur propria flagitia agnoscere in carne, quam vulneraverunt. Sic ￼et naturarum proprietates non esse sublatas, et certum humanæ carnis assumptæ lucrum, et impudens adversantium argumentum, et vim veritatis inexpugnabilem demonstravimus.

B

Τοῦ ἁγίου Μαξίμου κατὰ Εὐτυχοῦς, καὶ Διοσκόρου, τῶν τὰς δύο τοῦ Χριστοῦ φύσεις εἰς μίαν φύσιν ἀνακιρνώντων, οὓς οἱ μὲν Συγχυτικοὺς, οἱ δὲ Μονοφυσίτας ὠνόμασαν. Τούτων δὲ ὁ μὲν Εὐτυχὴς ἀρχιμανδρίτης ἦν, ὁ δὲ Διόσκορος πάππας Ἀλεξανδρείας. Ἀπὸ τῆς ἐκθέσεως τοῦ περὶ τῆς ὀρθῆς ὁμολογίας λόγου.

Sancti Maximi adversus Eutychem, et Dioscorum, duas naturas in unam confundentes, quos quidam Synchyticos, quidam Monophysitas appellaverunt. Eutyches autem fuit archimandrita, Dioscorus vero archiepiscopus Alexandriæ. Ex interpretatione orationis de recta confessione.

Τοὺς λόγους τῶν συνελθόντων σωζομένους ἀεὶ οἱ Πατέρες διδάσκουσιν· αὐτὰ δὲ ταῦτα τὰ συνελθόντα πρὸς ἓν ἄμφω συντελεῖν πρόσωπον τοῦ Υἱοῦ καὶ μίαν ὑπόστασιν. Εἰ δὲ τοῦτο, πῶς οὐ χρεὼν πάλιν κατὰ τοὺς Πατέρας διὰ μὲν τὸ εἰδέναι σωζομένους τοὺς λόγους τὴν διαφορὰν λέγειν καὶ μετὰ τὴν ἕνωσιν σώζειν ἐν ἰδιότητι τῇ κατὰ φύσιν τῶν συνελθόντων ἑκάτερον, διὰ δὲ τὸ ὁμολογεῖν, ὡς πρὸς ἓν ἄμφω συντελοῦσι πρόσωπον τοῦ Υἱοῦ, καὶ μίαν ὑπόστα- C σιν, ἀκριβῶς γινώσκειν, ὡς ἀδιαίρετα ταῦτα πεφύκασιν; Ὅτι δὲ ἡ τῶν συνελθόντων διαφορὰ, καὶ αὐτὰ δὲ ταῦτα τὰ συνελθόντα σώζονται μετὰ τὴν ἕνωσιν πάσης τροπῆς ἐκτὸς, καὶ συγχύσεως, ὁ ἁγιώτατος τῆς Ἐκκλησίας φωστὴρ Κύριλλος, ᾧ καὶ προστεθεῖσθαι περισσῶς ὑποκρίνονται οἱ τῇ ἁγίᾳ τοῦ Θεοῦ διακενῆς πολεμοῦντες Ἐκκλησίᾳ, ἀρκέσει μαρτυρῶν· ἐν μὲν γὰρ τῷ δευτέρῳ τῶν κατὰ Νεστορίου δυσφημιῶν τόμῳ γράφων τάδε, *Παρενηνεγμένου γε μὴν εἰς μέσον μυστηρίου τοῦ κατὰ Χριστὸν, ὁ τῆς ἑνώσεως λόγος οὐκ ἀγνοεῖ μὲν τὴν διαφορὰν, ἐξίστησι δὲ τὴν διαίρεσιν, οὐ συγχέων ἀλλήλαις, καὶ ἀνακιρνῶν τὰς φύσεις, ἀλλ' ὅτι σαρκὸς καὶ αἵματος μετεσχηκὼς ὁ τοῦ Θεοῦ Λόγος εἷς πάλιν καὶ ὁ αὐτὸς νοεῖται καὶ* D *ὀνομάζεται*· ἐν δὲ τῇ πρὸς Ἀνδρέαν τὸν μεμψάμενον τὸ τρίτον τῶν κεφαλαίων ἀπολογίᾳ οὕτω λέγων· *Ἀμοιρήσειε δ' ἂν καὶ μώμου παντὸς τὸ εἰδέναι τυχὸν, ὡς ἑτέρα μέν ἐστι κατὰ φύσιν ἰδίαν ἡ σὰρξ παρά γε τὸν ἐκ Θεοῦ Πατρὸς φύντα Λόγον, ἕτερος δ' αὖ κατά γε τὸν τῆς ἰδίας φύσεως λόγον ὁ Μονογενὴς, ἀλλ' οὐ τὸ εἰδέναι ταῦτα μερίζειν ἐστὶ τὰς φύσεις μετὰ τὴν ἕνωσιν.* Ἰδοὺ καὶ τὸ *μετὰ τὴν ἕνωσιν* σαφῶς τέθειται τῷ μεγάλῳ Κυρίλλῳ, εὐσεβῶς τοῖς πιστοῖς καὶ νοούμενον κατ' αὐτὸν, καὶ λεγόμενον. Τὸ γὰρ μηδαμῶς τι βεβλάφθαι τὸν τοῦ εἶναι τῶν ἑνωθέντων λόγον ἐκ τῆς ἑνώσεως δηλοῖ καὶ τὸ μὴ θατέρῳ θάτερον φυρθῆναι διὰ τὸ ἐξ

Duarum naturarum conjunctarum rationes ita servari docent Patres, ut illæ ipsæ convenientes, in unam ambæ Filii personam atque unam hypostasim concurrerint. Quod si ista est Patrum doctrina, necessarium est, ut cum rationes ipsæ serventur, differentia item appareat, quæ post conjunctionem in naturali proprietate utramque conservet. Ex eo autem quod in unam personam atque hypostasim naturas ambas convenisse confitemur, has dividi sejungique non posse plane cognoscimus. Quod autem et naturarum differentia, et ipsæ naturæ post conjunctionem sine ulla mutatione aut confusione serventur, sanctissimus Ecclesiæ splendor Cyrillus, cui vel addi quidquam supervacaneum esse simulant, qui frustra sanctam Dei oppugnant Ecclesiam, satis testatur in secundo tomo eorum quæ contra Nestorii maledicta conscripsit, loquens ad hunc modum: « Cum autem Christi mysterium in medium affertur, conjunctionis ratio non ignorat differentiam, sed rejicit divisionem; nec naturas confundit atque commiscet, sed Dei Verbum sic esse factum carnis et sanguinis particeps dicit, ut unus tamen atque idem Filius intelligatur et nominetur. » At in Apologia ad Andream, qui caput tertium reprehendebat, « Ab omni, inquit, absit reprehensione, si quis carnem natura propria a Verbo ex Deo Patre genito diversam esse sentiat, itemque naturæ propriæ ratione diversum Unigenitum. Nec tamen hæc ita contemplari, est naturas post conjunctionem dividere. » Ecce quam aperte a magno Cyrillo positum est *post conjunctionem*, in quo pie cum fidelibus et sentit et loquitur. Nam quod eorum quæ conjuncta sunt, ratio nihil lædatur, ex conjunctione declarat. Quod autem neutrum cum altero misceatur et confundatur, ex eo quod ex utroque unum in persona fieri dicit, servari autem et manere sicut utrumque est per essentiam. Id enim cum sa-

[1] Zachar. XII, 10; Joan. XIX, 37.

piens Cyrillus sciret, perspicue dicit, neque inter A se naturas confundi, quod in unam personam convenerint; neque vicissim dividi, quamvis utraque secundum rationem essentiæ post conjunctionem et sit, et maneat, et intelligatur cum naturali proprietate et differentia, qua et Verbum natura Deus est, non autem caro, licet per dispensationem carnem propriam effecerit, et caro est natura caro, non autem Deus, licet Dei Verbi propria facta sit. Nonne igitur necessarium, et pium, et congruum est dicere ex Patrum doctrina, post conjunctionem differentiam servari, et duas in uno Christo naturas, ex quibus, est tenere post earum conjunctionem, quarum est differentia? Necesse enim est, cum quædam differant, esse differentiam, et ubi differentia est, ibi aliqua differre; hæc enim quodam- B modo sese vicissim introducunt: uti sunt causæ, et quæ a causis proficiscuntur, quippe quæ sunt ex eorum numero, quæ cum aliquo conferuntur. Si enim essentiæ diversitas eorum ex quibus constat Christus tanquam causa in eo constituit differentiam, et ipsa prorsus differentia tanquam ab illa causa proveniens indicat naturalem eorum quæ conjuncta sunt, diversitatem. Hæc enim, ut diximus, sese mutuo respiciunt et consequuntur, ut cum unum dicatur, necesse sit alterum etiam confiteri, et uno sublato alterum etiam tolli. Oportet igitur, ut duas dicamus naturas, ne eadem differentiam introducamus, et in hoc solo adhibeamus numerum, quo differentiam eorum quæ conjuncta sunt, ita manere demonstremus, ut ea post conjunctionem ser- C ventur, non autem dividantur.

ἀμφοῖν κατὰ τὴν ὑπόστασιν ἕν, σώζεσθαι δὲ μᾶλλον καὶ μένειν καθὸ ἑκάτερον εἶναι τῇ οὐσίᾳ πέφυκε. Τοῦτο γὰρ καὶ ὁ σοφὸς ἐπιστάμενος Κύριλλος διαῤῥήδην φησὶ μήτε συγκεχῦσθαι ἀλλήλαις τὰς φύσεις τῷ πρὸς μίαν συντελεῖν ὑπόστασιν τοῦ Υἱοῦ, μήτε διῃρῆσθαι ἀλλήλων τῷ ἕτερον καὶ ἕτερον κατὰ τὸν οὐσιώδη λόγον εἶναί τε, καὶ μένειν, καὶ νοεῖσθαι μετὰ τὴν ἕνωσιν καὶ ἑκάστην μετὰ τῆς φυσικῆς ἰδιότητος καὶ διαφορᾶς, καθ' ἣν ὅ τε Λόγος Θεός ἐστι κατὰ φύσιν, καὶ οὐ σάρξ, εἰ καὶ οἰκείαν ἐποιήσατο τὴν σάρκα οἰκονομικῶς. Καὶ ἡ σὰρξ σάρξ ἐστι κατὰ φύσιν, καὶ οὐ Θεὸς, εἰ καὶ ἰδία γέγονε τοῦ Θεοῦ Λόγου διὰ τὴν ἕνωσιν. Πῶς οὖν οὐκ ἀναγκαῖον, εὐσεβές τε, καὶ πρέπον κατὰ τὴν τῶν Πατέρων διδασκαλίαν λέγοντας τὴν διαφορὰν μετὰ τὴν ἕνωσιν σώζεσθαι καὶ τὰς δύο φύσεις εἶναί τε καὶ σώζεσθαι ἐν τῷ ἑνὶ Χριστῷ, ἐξ ὧν καὶ ἔστι δοξάζειν μετὰ τὴν ἕνωσιν, ὧν ἡ διαφορά; Πᾶσα γάρ πως ἀνάγκη τινῶν διαφερόντων εἶναι πᾶσαν διαφορὰν, καὶ ὅπου νοεῖται εἶναι διαφορὰν, δυνατὸν ἐκεῖ ὑπάρχειν πάντως καὶ τὰ διαφέροντα. Συνεισαγωγικὰ γάρ τινα ἀλλήλων τρόπον τινὰ τὰ τοιαῦτα ὄντα τυγχάνει, ὥσπερ τὰ αἴτια καὶ τὰ αἰτιατὰ, ὡς πρός τι νοούμενα. Εἰ γὰρ ποιητικόν ἐστι τῆς ἐν Χριστῷ διαφορᾶς τὸ ἑτεροούσιον τῶν ἐξ ὧν συνέστηκεν, ὡς αἴτιον, πάντως καὶ ἡ διαφορὰ δηλωτικὴ τυγχάνει, ὡς αἰτιατὸν τῆς τῶν ἑνωθέντων φυσικῆς ἑτερότητος, ὡς ἰδίας αἰτίας. Συνεισάγεσθαι γὰρ, ὡς εἴρηται, ἀλλήλοις τὰ τοιαῦτα πέφυκε, καὶ λεγομένου θατέρου, ἀνάγκη πάντως ὁμολογεῖν καὶ τὸ ἕτερον. Καὶ ἀναιρουμένου τοῦ ἑνὸς, μηδὲ τὸ ἕτερον λέγειν εἶναι ἀκόλουθον. Δεῖ οὖν καὶ δύο λέγειν φύσεις, ἵνα μὴ φυλάττωμεν τὴν διαίρεσιν εἰσαγάγωμεν, καὶ ἐπὶ τούτῳ μόνῳ κεχρῆσθαι τῷ ἀριθμῷ πρὸς δήλωσιν τοῦ μεμενηκέναι τῶν συνελθόντων τὴν διαφορὰν, ὡς σωζομένων μετὰ τὴν ἕνωσιν, καὶ οὐ διῃρημένων.

Ejusdem, ex oratione, qua demonstrat, eam non esse rationem numeri, ut divisionem eorum de quibus dicitur, afferat.

Omnis numerus qui res, quæ existendi, subsistendive ratione inter se differunt, quot sint, ostendit earum differentiam, non autem habitum indicat. Hoc autem vere sic habere, numerumque differentiam, non autem divisionem indicare, sanctissimus item Cyrillus in epistola ad Eulogium scripta sic ad verbum scribens testatur: « Eodem D modo loquimur et de Nestorio, qui licet duas naturas dicat, significans differentiam carnis atque Dei Verbi, a nobis tamen dissentit, quia conjunctionem non confitetur; nos enim hæc conjungentes, unum Christum, unum Dominum confitemur, et dicimus, unam Verbi naturam incarnatam. » Quod perinde est ac si diceret: Nos superius [illegible] differentiam servare [illegible] conjunctionem, [illegible] numerum [illegible]

Τοῦ αὐτοῦ ἐκ τοῦ λόγου τοῦ ὅτι ὁ ἀριθμὸς οὐ διαίρεσιν εἰσάγει κατὰ τὸν ἴδιον ὅρον, ἐφ' ὧν λέγεται.

Πᾶς ἀριθμὸς ποσοῦ τινων διαφερόντων καὶ τὸν τοῦ πῶς εἶναι ἢ τὸν τοῦ ὑφεστάναι λόγον ἐμφαντικῶς δηλωτικὸς, τῆς διαφορᾶς τῶν ὑποκειμένων, καὶ οὐ τῆς σχέσεώς ἐστιν εἰσαγωγικός. Ὅτι δὲ τοῦθ' οὕτως ἔχει ἐπ' αὐτῆς τῆς ἀληθείας, καὶ ὅτι ὁ ἀριθμὸς διαφορᾶς, καὶ οὐ διαιρέσεώς ἐστι δηλωτικὸς, μαρτυρεῖ τῷ λόγῳ πάλιν ὁ ἁγιώτατος Κύριλλος, ἐν τῇ πρὸς Εὐλόγιον ἐπιστολῇ γράφων οὕτως ἐπὶ λέξεως· Οὕτω καὶ ἐπὶ Νεστορίου, κἂν λέγῃ δύο φύσεις σημαίνων τὴν διαφορὰν τῆς σαρκὸς καὶ τοῦ Θεοῦ Λόγου, ἀλλ' οὐ λέγει τὴν ἕνωσιν ὁμοίως μεθ' ἡμῶν. Ἡμεῖς γὰρ ἑνώσαντες ταῦτα, ἕνα Χριστὸν, ἕνα Κύριον ὁμολογοῦμεν, καὶ [illegible] τὴν τοῦ Λόγου φύσιν σεσαρκωμένην. [illegible]

κωμένην φαμέν. Τοῦτο γὰρ ὡς οἶμαι αὐτῷ βούλεται δηλοῦν τὸ, Ἡμεῖς δὲ ἑνώσαντες αὐτὰ, ἕνα Χριστὸν, ἕνα Κύριον ὁμολογοῦμεν, καὶ λοιπὸν μίαν τοῦ Λόγου φύσιν σεσαρκωμένην. Τουτέστιν, Ἡμεῖς ὁμολογοῦντες τὴν ἕνωσιν καὶ τὸν αὐτῆς ἀκριβῶς μετ' εὐσεβείας διαρθροῦντες τρόπον, οὐκ ἐχρήμεθα τῇ σημαντικῇ φωνῇ τῆς διαφορᾶς πρὸς δήλωσιν τῆς ἑνώσεως, ἀλλὰ τὴν μὲν ἐπὶ τῆς διαφορᾶς, τὴν δὲ ἐπὶ τῆς ἑνώσεως προσφόρως ἐκλαμβάνοντες, ἀσύγχυτον φυλάττομεν τῶν σημαινομένων τὸν νοῦν. Ὡς λοιπὸν ἐντεῦθεν εἶναι δῆλον, ὅτι κοινὸν αὐτῷ καὶ τῷ Νεστορίῳ τοῦ λέγειν δύο φύσεις μέχρι τοῦ γινώσκειν τὴν διαφορὰν, οὐκέτι δὲ κοινὸν ἦν τὸ καὶ τὴν ἕνωσιν ὁμολογεῖν τῷ λέγειν ἕνα Υἱὸν, ἕνα Κύριον, καὶ μίαν τοῦ Λόγου φύσιν σεσαρκωμένην, ὅπερ Νεστόριος εἰπεῖν οὐ κατεδέχετο. Τῷ γὰρ φάσκειν, *Οὕτω καὶ ἐπὶ Νεστορίου, κἂν λέγῃ δύο φύσεις τὴν διαφορὰν σημαίνων τῆς σαρκὸς, καὶ τοῦ Θεοῦ Λόγου, ἀλλ' οὐκέτι τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν*, οὐκ ἄλλο ἢ τοῦτο βούλεται δηλοῦν, ὅτι Νεστόριος τὴν μὲν διαφορὰν μεθ' ἡμῶν ὁμολογεῖ δύο φύσεις, τὴν δὲ ἕνωσιν οὐκ ἔτι μεθ' ἡμῶν ὁμολογεῖ, μὴ λέγων ἕνα Χριστὸν, ἕνα Υἱὸν, ἕνα Κύριον, καὶ μίαν τοῦ Λόγου φύσιν σεσαρκωμένην. Καὶ σαφὲς τοῦτο καθέστηκε τοῖς τοῦ καλοῦ ἐρασταῖς, καὶ τὸ ἀληθὲς ἀγαπᾷν ἐσπουδακόσιν ἐκ τοῦ μηδαμοῦ φαίνεσθαι τὸν διδάσκαλον ἢ κωλύοντα λέγειν δύο φύσεις μετὰ τὴν ἕνωσιν, ἢ ἀνῃρῆσθαι διδάσκοντα τὴν διαφορὰν τῶν συνελθόντων μετὰ τὴν ἕνωσιν, ὡς ἔστιν ἐκ μυρίων αὐτοῦ συγγραμμάτων καταμαθεῖν. Εἰ τοίνυν ἀεὶ μὲν ἡ ἕνωσις ἕστηκεν, ἀεὶ δὲ καὶ τὰ ἑνωθέντα μένει ἀσύγχυτα, ἀεὶ δὲ καὶ ἡ τῶν ἑνωθέντων σώζεται διαφορὰ, δι' ἣν ὁ ἀριθμὸς παρελήφθη κατὰ τοὺς Πατέρας· πῶς οὐκ ἀνάγκη, εἴπερ ἄρα ἀεὶ ἡ ἕνωσις, καὶ τὰ ἑνωθέντα, καὶ ἡ τούτων διαφορὰ ἕστηκε, καὶ μένει, καὶ σώζεται, καὶ δύο φύσεις λέγειν ἐπὶ δηλώσει τῆς τῶν συνελθόντων διαφορᾶς, καὶ πάλιν μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην ὁμολογεῖν πρὸς ἔνδειξιν τῆς καθ' ὑπόστασιν ἑνώσεως, μηδ' ἑτέρας τῶν φωνῶν τούτων δηλονότι διὰ τῆς ἑτέρας ἀναιρουμένης, ὡς δοκεῖ τισιν ὑπόθεσιν σοφίας ποιουμένοις τὸ ἄσοφον;

Τοῦ αὐτοῦ περὶ τῆς ῥήσεως τοῦ ἁγίου Κυρίλλου τῆς πρὸς Σούκενσον κειμένης ἐπιστολῆς.

Οὐχ ἁπλῶς φαίνεται τὴν τοῦ ἀδιαιρέτου ἀπαγορεύων φωνὴν ὁ μακάριος Κύριλλος, ἀλλὰ καὶ τὴν Νεστορίου κακόνοιαν προφερομένην, σχετικὴν φάσκοντος γεγενῆσθαι τὴν ἕνωσιν, ὡς αὐτὸς ἑαυτῷ Κύριλλος ὁ μακάριος μαρτυρῶν δείκνυται ἐπὶ τέλει τῆς πρὸς Σούκενσον δευτέρας ἐπιστολῆς, καὶ τοῖς ἄγαν φιλονείκοις τὸν ἑαυτοῦ σκοπὸν ποιούμενος φανερὸν, οὕτω λέγων· « Τὸ δὲ ἀδιαιρέτως προστεθὲν δοκεῖ πῶς παρ' ἡμῖν ὀρθῆς δόξης εἶναι σημαντικόν· αὐτοὶ δὲ οὐχ οὕτω νοοῦσι. Τὸ γὰρ ἀδιαίρετον παρ' αὐτοῖς κατὰ τὰς Νεστορίου κενοφωνίας καθ' ἕτερον λαμβάνεται τρόπον. Φασὶ γὰρ, ὅτι τῇ ἰσοτιμίᾳ, τῇ ταυτοβουλίᾳ, τῇ αὐθεντίᾳ ἀδιαίρετός ἐστι τοῦ Θεοῦ Λόγου ἐν ᾧ κατῴκησεν ὁ ἄνθρωπος.

Cyrilli verba significare. Nos autem hæc conjungentes unum Christum, unum Dominum confitemur, et deinceps unam Verbi naturam carnem assumpsisse. Id est, nos conjunctionem confitentes, ejusque rationem diligenter et pie explicantes, differentiæ vocem non adhibuimus, ut conjunctionem ostenderemus, sed aliam quidem in differentia, aliam in conjunctione rationem congrue suscipientes minime confusum rerum significatarum sensum servamus; ut inde perspicuum jam sit, illud Cyrillo fuisse cum Nestorio commune, ut duas naturas diceret, eatenus ut differentiam cognosceret; proprium autem illud, ut conjunctionem confiteretur, et diceret unum Christum, unum Filium, unum Dominum, et unam Verbi naturam carnem assumpsisse, quod quidem Nestorius dicere recusabat. Dicendo enim sic et de Nestorio: Licet duas asserat naturas, differentiam significans carnis et Dei Verbi, non tamen conjunctionem nobiscum confitetur, nihil aliud vult significare nisi: Nestorius differentiam quidem nobiscum confitetur, cum duas naturas dicat; at conjunctionem nobiscum non confitetur, cum unum Christum, unum Filium, unum Dominum non dicat, nec unam Verbi naturam carnem assumpsisse, et hoc perspicue patet honestatis veritatisque studiosis ex eo quod nusquam apparet magistrum aut prohibuisse dicere duas naturas post conjunctionem, aut docuisse conjunctarum differentiam tolli post conjunctionem, quod ex innumerabilibus ipsius scriptis licet intelligere. Si igitur semper mansit conjunctio, et semper quæ conjuncta sunt, manent sine confusione, semperque conjunctorum differentia servatur, propter quam numerus a partibus susceptus est, nonne necesse est, si semper et conjunctio, et quæ conjuncta sunt, et eorum differentia mansit, et manet ac conservatur, et duas naturas dicere ad declarandam eorum quæ conjuncta sunt, differentiam, et rursum unam Dei Verbi naturam carnem assumpsisse, quo demonstretur secundum personam conjunctio, neutra nimirum istarum vocum per alteram sublata, ut quibusdam videtur, qui insipientiam sapientiæ faciunt argumentum?

Ejusdem, de sancti Cyrilli dicto, quod positum est in epistola ad Succensum.

Non simpliciter *indivisibilis* vocabulo usus esse videtur beatus Cyrillus, sed adversus versutiam Nestorii, qui conjunctionem habitu dicebat constare. Sic enim suo testimonio confirmat beatus ipse Cyrillus, in extrema parte alterius ad Succensum epistolæ, sententiamque suam litigiosis hominibus patefacit, his verbis: « Illud autem, *indivisibile*, adjunctum, videtur apud nos rectam significationem retinere. At isti haud ita sentiunt. *Indivisibile* enim apud ipsos ex inani doctrina Nestorii alia ratione accipitur. Aiunt enim hominem, in quo Verbum habitavit, tum dignitate, tum voluntate, tum auctoritate ab ipso Deo Verbo esse indivisibilem. Ex quo patet, eos non simpliciter verba proferre, sed cum dolo et

calliditate. » Dupliciter accipi vocabulum hoc *indivisibile* aperte docet, ut vides, magister admirabilis, vel ut conjunctionem in persona significet, quam quidem ipse significationem probat; vel ut conjunctionem in habitu declaret, quam ipse significationem improbat, et ab omnibus piis improbandam monet, cum ex ejusdem vocis pronuntiatione clam hæreticæ impietatis venenum simplicioribus queat obrepere. Quare se duas naturas indivisibiles recte dixisse declarat, quoniam ipse conjunctionem in persona intellexit; at a Nestorii studiosis ita vocem, *indivisibile*, adhiberi, ut suspecta esse debeat, quippe qui conjunctionem habitu tantummodo factam sentiant. Conjunctio igitur in persona ex Patrum sententia est « essentia differentium concursus in unam personam, cum utrumque eorum quæ conjuncta sunt, naturalem habeat, et veram, et immutabilem, et indivisibilem proprietatem. » Conjunctio autem, quæ habitu fit, est « eorum quæ per se propria in singulari subsistunt persona; par voluntatis motus, et immutabilis animorum consensus. » Quamobrem qui conjunctionem in persona confitetur, licet duas in Christo dicat naturas post conjunctionem ratione indivisibili copulatas, conjunctione nimirum in persona, is nihil aberrat a veritate. Ea enim ex quibus constat Christus, minime confusa propter differentiam servatam ex Patrum sententia confitetur, cum naturali ratione differentia unum esse non desinant secundum personam. Qui vero conjunctionem asserit habitu constare, licet millies dicat indivisibile, reprehensionem non vitat. Mutua enim et benevola quadam affectione conjuncta atque indivisibilia dicit esse ea quæ significantur, nullo autem modo potest dicere unam esse personam Deum Verbum cum ipsius propria ex nobis sumpta carne animata menteque prædita. Ex duabus enim propriis personis, quæ ad unius speciei individua, propria ratione dividantur, una fieri persona non potest. Quamobrem non simpliciter eos reprehendit et rejicit beatus Pater noster Cyrillus, qui ratione indivisibili duas naturas conjunctas dicunt post conjunctionem; sed eorum qui verbis his abutuntur, sententiam. Si igitur numerus, ut tum ex sanctorum Patrum scriptis, tum ex communi cogitationum consensu demonstravimus, nullam nec facit, nec patitur, nec inducit divisionem, sed simpliciter ostendit quot quæque sint, non autem quomodo se habitu habeant, quænam sectionis, aut divisionis reliqua potest esse suspicio istis, qui in sancta Dei Ecclesia commovent seditiones?

A Ὥστε οὐχ ἁπλῶς τὰς λέξεις προφέρουσιν, ἀλλὰ μετά τινος δόλου καὶ κακουργίας. » Ἰδοὺ σαφῶς διττὸν ὑπάρχειν τὸν τοῦ ἀδιαιρέτου τρόπον ὑπέθετο ὁ θαυμάσιος οὗτος διδάσκαλος, τὸν μὲν τὴν καθ' ὑπόστασιν σημαίνοντα ἕνωσιν, ὃν καὶ ἀσπαζόμενος ὀρθῆς δόξης εἶναί φησι σημαντικόν· τὸν δὲ μόνης τῆς κατὰ σχέσιν συναφείας δηλωτικὸν, ὃν καὶ ἀποστρέφεται, καὶ τοῖς πιστοῖς τοῦτο αὐτὸ ποιεῖν παραινεῖ ἐκ τῆς κατὰ τὴν λέξιν ὁμοίας προφορᾶς πολλάκις τὸν τῆς αἱρετικῆς δυσσεβείας ἰὸν τοῖς ἀκεραιοτέροις λεληθότως ἐμβάλλειν δυνάμενον, ὅθεν παρ' ἑαυτῷ μὲν τὸ δύο λέγειν ἀδιαιρέτους φύσεις ὀρθόδοξον τίθεται, ἐπειδὴ αὐτὸς καθ' ὑπόστασιν εἶναι τὴν ἕνωσιν ἔλεγε· παρὰ δὲ τῶν κατὰ Νεστόριον προφερομένην ὕποπτον ποιεῖται τὴν φωνὴν τοῦ ἀδιαιρέτου, ἐπειδὴ κατὰ μόνην B τὴν σχετικὴν συνάφειαν τὴν ἕνωσιν γεγενῆσθαι ἐδόξαζε. Καθ' ὑπόστασιν μὲν οὖν ἕνωσίς ἐστι κατὰ τοὺς Πατέρας ἡ τῶν ἑτεροουσίων εἰς μίαν ὑπόστασιν σύνοδος, ἑκατέρου τῶν κατ' αὐτὴν συγκειμένων πρὸς τὸ ἕτερον τὴν φυσικὴν ἰδιότητα ἀνέθευτόν τε καὶ ἀμετάβλητον ἔχοντος καὶ ἀδιαίρετον. Σχετικὴ δὲ ἕνωσίς ἐστιν ἡ τῶν κατ' αὐτοὺς ἰδικῶς ἐν μονάσι προσωπικαῖς ὑφεστώτων ἴση θελήματος κίνησις, καὶ γνωμικῆς ταυτότητος ἀπαραλλαξία. Ὁ τοίνυν ὁμολογῶν τὴν καθ' ὑπόστασιν ἕνωσιν, κἂν δύο λέγῃ φύσεις ἐπὶ Χριστοῦ μετὰ τὴν ἕνωσιν ἡνωμένας ἀδιαιρέτως, ἑνώσει δηλονότι τῇ καθ' ὑπόστασιν, τῆς ἀληθείας καθ' ὁτιοῦν οὐ διαμαρτάνει. Τὰ γὰρ ἐξ ὧν σύγκειται ὁ Χριστὸς ἀσύγχυτα μεμενηκέναι διὰ τὴν C σωζομένην διαφορὰν κατὰ τοὺς Πατέρας ὁμολογεῖ, τοῦ καθ' ὑπόστασιν ἑνὸς οὐδαμῶς τὰ τῷ φυσικῷ λόγῳ ἀλλήλων διαφέροντα ἐκτὸς εἶναι, καὶ χωρὶς καθ' οἱονδήποτε τρόπον γινώσκειν δυνάμενος. Ὁ δὲ τὴν κατὰ σχέσιν πρεσβεύων ἕνωσιν, κἂν εἰ μυριάκις λέγῃ τὸ ἀδιαίρετον, τὸ ἐπίψογον κέκτηται. Κατά τινα γὰρ ἀγαπητικὴν συνδιάθεσιν ἡνῶσθαι, καὶ τὸ ἀδιαίρετον ἔχειν λέγει τὰ σημαινόμενα, οὐδαμῶς μίαν ὑπόστασιν εἶναι τὸν Θεὸν Λόγον μετὰ τῆς ἐξ ἡμῶν ἰδίας αὐτοῦ ἐμψύχου τε καὶ ἔννου σαρκὸς εἰπεῖν οἷός τε ὤν. Ἐκ δύο γὰρ ὑποστάσεων ἰδικῶν τῶν πρὸς τὰ ὁμοειδῆ ἄτομα ἰδικῷ λόγῳ μεμερισμένων μίαν γενέσθαι ὑπόστασιν ἀμήχανον. Ὥστε οὐχ ἁπλῶς διαβάλλει, καὶ ἀποπέμπεται ὁ ἅγιος Πατὴρ ἡμῶν Κύριλλος τὸ λέγειν δύο φύσεις ἡνωμένας ἀδιαιρέτως D μετὰ τὴν ἕνωσιν, ἀλλὰ τὴν σημαινομένην διὰ τῆς τοιαύτης φωνῆς τῶν κακῶς χρησαμένων ἔννοιαν. Εἰ τοίνυν δέδεικται ἔκ τε τῶν ἁγίων Πατέρων, καὶ τῆς τῶν κοινῶν ἐννοιῶν ἀκολουθίας, ὡς τὴν οἱανοῦν διαίρεσιν οὔτε ποιεῖν, οὔτε πάσχειν, οὔτε εἰσάγειν ὁ ἀριθμὸς δύναται, ἀλλ' ἁπλῶς μὲν δηλοῖ τὰ ποσὰ, τῆς δὲ σχέσεως, ὡς ἂν ἔχοντα τύχωσιν, οὐ προσάπτεται· ποία λοιπὸν ὑπολέλειπται τομῆς ὑπόνοια ἢ διαιρέσεως τοῖς πρὸς τὴν ἁγίαν τοῦ Θεοῦ στασιάζουσιν Ἐκκλησίαν;

Ex eadem oratione.

Nam si hoc verum non est, et si differentiam nudam et solam pronuntiatione, utpote quæ nulla de re sit, ad simpliciorum animas decipiendas simulate proferunt, cur recusant dicere, quæ et quot sint ea quæ differunt, quorum esse differentiam confitentur?

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἔδει γὰρ αὐτοὺς, εἴπερ ἀληθῶς τοῦτο μὴ ἦν, μηδὲ τὴν διαφορὰν ψιλῇ καὶ μόνῃ τῇ προφορᾷ, ὡς κατὰ μηδενὸς κειμένην, πρὸς ἐξαπάτην τῶν ἀφελεστέρων εἰρωνευτικῶς προφέρουσι, μὴ παραιτεῖσθαι λέγειν, τίνα, καὶ πόσα τὰ διαφέροντα τυγχάνει ὄντα,

ὧν εἶναι τὴν διαφορὰν ὁμολογοῦσιν. Εἰ γὰρ σώζεσθαι A μετὰ τὴν ἕνωσιν τὰ ἐξ ὧν ἡ ἕνωσις πιστεύουσι, δύο πάντως τὰ σωζόμενα ὁμολογήσαιεν ἄν. Τοσαῦτα γὰρ τὰ συνελθόντα πρὸς ἕνωσιν τὴν ἀδιάσπαστον, τὴν οἱανοῦν τροπὴν, ἢ σύγχυσιν, ἢ μείωσιν, ἢ συναίρεσιν, ἢ μεταβολὴν τὴν εἰς ἄλληλα ἐκ τῆς ἑνώσεως οὐ δεξάμενα. Νυνὶ δὲ τοῦτο μὴ δοξάζοντες, ὡς ἠρνημένοι τὰς φύσεις μετὰ τὴν ἕνωσιν σώζεσθαι, ὑπευθύνους ἑαυτοὺς ἐλέγχοις πεποίηνται, κἂν μὴ βούλωνται, μόνῃ ποιότητι λέγοντες τὴν διαφορὰν σώζεσθαι τῶν πραγμάτων χωρὶς, ὥσπερ ἀνθρώπων παιζόντων προδήλως ἐστὶ, καὶ τὸ μὴ γελᾶσθαι, ὡς εἰκὸς, ὕβριν εἶναι λογιζομένων, καὶ σοφῶς κενούντων τὸ Εὐαγγέλιον, ἄνευ οὐσιῶν ὑποκειμένων εἶναι ποιότητας δύνασθαι νομοθετούντων, καὶ ποσοῦ χωρὶς ἐπιγνωσθῆναι διαφορὰν ὑποτιθεμένων. Ἠγνόησαν γὰρ, B ὡς ἔοικεν, οἱ σοφώτατοι, ὅτι πᾶσα ποιότης ὑποκειμένης πάντως οὐσίας ἐστὶ, περὶ ἣν καὶ θεωρεῖται, καὶ λέγεται τὸ κατ' αὐτὴν εἶναι οὐδαμῶς ἔχουσα, καὶ πᾶσα διαφορὰ τῆς ἄλλων πρὸς ἄλλα κατὰ τὸν τοῦ πῶς εἶναι λόγον ἀνομοιότητός τε καὶ ἑτερότητος οὖσα δηλωτικὴ, τὸ ποσὸν τῶν διαφερόντων πραγμάτων συνεισάγειν ἑαυτῇ πέφυκεν εἴτε οὐσιῶν, εἴτε ποιοτήτων, εἴτε ἰδιοτήτων, καὶ ἁπλῶς, ἵνα συνελὼν εἴπω, παντὸς ἑτέρου τινὸς τῶν ὅσα διαφέρειν ἀλλήλων ὑπολαμβάνοντες εἴποιεν εἶναι διαφορὰν, πάντως ἐν ποσῷ τὰ διαφέροντα θεωρήσαντες εἴτε αἰσθήσει, εἴτε νοήσει τὴν διαφορὰν ἐγνώρισαν. Ἄνευ γὰρ ποσοῦ δύνασθαι διαβεβαιοῦσθαι δεικνύναι διαφορὰν ἀνένδεκτον, ἐπειδὴ τὰ μὴ ἀλλήλοις πάντῃ ταυτὰ ἕνα C καὶ τὸν αὐτὸν τοῦ εἶναι οὐδαμῶς ἐπιδέξεται λόγον. Οὐσίας γὰρ ἤτοι φύσεως, φέρε εἰπεῖν, πρὸς οὐσίαν, ἢ ποιότητος πρὸς ποιότητα, ἢ ἰδιότητος πρὸς ἰδιότητα, ἢ καὶ εἴ τι ἕτερον τῶν ὅσα μὴ πάντα ταυτὰ καὶ διαφορᾶς ἀνεπίδεκτα, ἕνα καὶ τὸν αὐτὸν τοῦ πῶς εἶναι λόγον οὐδέποτε λέγειν δυναίμεθα.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ μὲν ἀναλλοίωτος ὁ κατ' οὐσίαν θατέρου τῶν ἑνωθέντων διέμεινε λόγος μετὰ τὴν ἕνωσιν πρὸς τὸν θατέρου τῆς οὐσίας ὅρον μὴ μεταπίπτων, προδήλως ἡ τοῦ Χριστοῦ θεότης μεμένηκε κατ' οὐσίαν θεότης πρὸς τὴν σαρκὸς οὐσίαν οὐ μεταφοιτήσασα· καὶ ἡ τοῦ αὐτοῦ πάλιν ἀνθρωπότης μεμένηκε κατ' οὐσίαν ἀνθρωπότης πρὸς τὴν τῆς θεότητος φύσιν μὴ παθοῦσα μεταβολήν. D Εἰ δὲ οὔτε ἡ θεότης τοῦ Χριστοῦ, οὔτε ἡ ἀνθρωπότης εἰς ἄλληλα μεταπεφοιτήκασι διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν, ἀλλ' ἀσύγχυτοι κατὰ τὸν μέγαν Κύριλλον μεμενήκασιν αἱ φύσεις, σαφῶς ἡ μετὰ τὴν ἕνωσιν διαφορὰ τῶν σωζομένων ἐν Χριστῷ καθέστηκε φύσεων, καὶ οὐδεὶς ἀντερεῖ λόγος. Εἰ δὲ τῶν ἀσυγχύτως ἐν Χριστῷ σωζομένων ἐστὶν ἡ διαφορὰ μετὰ τὴν ἕνωσιν, διαφορὰν δὲ γνωσθῆναι δίχα ποσοῦ παντελῶς κεχωρισμένην ἀμήχανον, λεγέσθω πρὸς δήλωσιν τῆς διαφορᾶς τὸ ποσὸν τῶν διαφερόντων, ἵνα μὴ ψιλήν πως, καὶ οὐκ ἀληθῆ τὴν διαφορὰν ὑποπτευθῶμεν πρεσβεύοντες. Ψιλὴν γὰρ πᾶσαν διαφορὰν οἶδεν ὁ λόγος τὴν οὐκ ἔχουσαν ὑπαρκτικῶς ὑποκειμένην τὴν ὧν ἐστι διαφορὰ πραγμάτων ἀλήθειαν. Ἡμεῖς μὲν οὖν ταυτὸν ὑπόστασίν τε καὶ φύ-

A Si enim ea ex quibus conjunctio fit, post conjunctionem servari credunt, duo plane servata confitebuntur, tot enim ad conjunctionem indivisibilem concurrunt, quæ nec inversionem, nec confusionem, nec imminutionem, nec mutationem ullam inter se ex conjunctione suscipiunt. Nunc autem hoc improbantes, ut qui negent naturas post conjunctionem servari, scipsos reprehensionibus obnoxios constituerunt, etiamsi nolint, cum dicant sola qualitate differentiam servari, sine rebus. Quod quidem est hominum aperte ludentium nec turpe, ut par est, existimantium, se derideri, et plane Evangelium inane efficientium, cum sine subjectis essentiis asserant esse posse qualitates, et sine quantitate differentiam cognosci tradant. Ignorant enim, ut videtur, B homines sapientissimi, omnem qualitatem habere subjectam essentiam, circa quam consideratur et dicitur, cum per se consistere nequeat. Et omnem differentiam, cum dissimilitudinem et diversitatem, quam variæ res habent inter se, quatenus aliquo modo sunt, significet, rerum differentium quantitatem constituere, sive essentiæ, sive qualitates, sive proprietates sint, seu quidvis aliud eorum quæ inter se differunt, sive sensu sive cogitatione differentiam intelligant. Sine quantitate enim posse differentiam confirmari non est admittendum; nam quæ inter se eadem plane non sunt, nullo modo unam et eamdem exsistendi rationem suscipiunt, essentia nimirum, sive natura cum natura, aut qualitas C cum qualitate, aut proprietas cum proprietate, aut si quid aliud est eorum quæ non omnino sint eadem. Nam quæ plane sunt eadem et differentiam non admittunt, unam et eamdem aliquo modo exsistendi rationem nunquam dicere poterimus.

Ex eadem oratione.

Si utriusque conjunctorum ratio mansit incommutabilis post conjunctionem in alterius non incidens essentiæ terminum, Christi profecto divinitas secundum essentiam divinitas mansit, in carnis essentiam non commutata: et ejusdem rursus humanitas secundum essentiam mansit humanitas in divinitatis naturam non commutata. Quod si D propter conjunctionem in persona nec Christi divinitas nec humanitas vicissim immutatæ sunt, sed sine confusione, ut scribit magnus Cyrillus, naturæ permanserunt, differentia plane servatarum in Christo naturarum post conjunctionem perstitit. Et nulla ratio repugnabit. At si naturarum, quæ sine confusione in Christo servatæ sunt, post conjunctionem est differentia, nec sine quantitate differentia cognosci potest omnino, ad differentiam declarandam dicatur quantitas differentium, ne nudam quodammodo et non veram differentiam asserere deprehendamur. Nuda porro omnis est differentia quæ re ipsa subjectam non habet eorum quorum est differentia, veritatem. Nos igitur, qui personam et naturam idem esse proprie nunquam

diceremus, ex Patrum doctrina pio de Christo idem et differens asserimus: idem ratione unius personæ, qua idem cum propria carne Deum Verbum confitemur, ne accessionem personæ sanctissima Trinitas accipiat, et quaternitas efficiatur; differens autem ratione diversitatis essentiæ eorum, ex quibus constat, qua Christi partes vicissim non commutantur omnino. Neque enim idem unquam erit per essentiam divinitas et humanitas, ne aliquid creatum ejusdem cum divinitate per conjunctionem sit essentiæ atque naturæ. Furentis enim animi putamus esse, naturam dicere ejusdem esse cum natura essentiæ; nunquam enim natura eamdem habet cum natura essentiam atque naturam. Idem enim natura essentiaque de solis dicitur ejusdem speciei individuis, quæ ad unam essentiam referri consueverunt.

Ex eadem oratione.

Cum hæc sit nostra sententia, neque naturarum differentiam post conjunctionem negamus, ex quibus constat Christus, ipsas naturas minime confusas mansisse credentes. Neque conjunctionem in persona ignoramus, unum Christum sanctæ et ejusdem essentiæ et adorandæ Trinitatis confitentes, sed eorum etiam ex quibus est Christus, ut quæ in ipso vere sine inversione et mutatione servantur, post conjunctionem, perspicuam numero differentiam, quo Eutychis confusio tollatur, constituimus. Et in persona conjunctionem agnoscentes, clara voce unam Dei Verbi naturam assumpsisse carnem, habentem animam mente præditam, asserimus contra Nestorii divisionem, qui personæ differentiam in Christo pronuntiabat, et eamdem personæ rationem quæ est carnis cum Verbo dissecabat.

Ex eadem oratione.

Nam si Christus post conjunctionem est Deus et homo, juxta communem nimirum confessionem, res nominibus congruentes vere habet post conjunctionem. Res enim nominibus propriis præcedunt, nec quisquam nomen esse dixerit sine re, quæ per se nomini præbet occasionem, et ipsa vicissim recipit declarationem. Quod si Christus post conjunctionem non habet res, quarum sunt nomina, patet eum nudas habere appellationes, quippe quæ de nomine dicantur, et rebus ipsis privatæ sint. Et erit Deus et homo nomine tantum Christus, non autem re, ut ipsi sentiunt. Quo quid Deo minus congruens esse queat? Sin hanc insaniam evitantes vocabula in Christo rebus spoliata negabunt post conjunctionem, quemadmodum non recusant dicere duas Christi post conjunctionem appellationes, duas item Christi post conjunctionem naturas dicant, ex quibus et in quibus consistit, quarum sunt appellationes.

Ejusdem de differentia et quantitate.

Quare sic numerus, ex Patrum sententia, non habitum, sed rerum quantitatem designat. Omnis

A σιν κυρίως· μηδέποτε λέγοντες κατὰ τὴν τῶν Πατέρων διδασκαλίαν, εὐσεβῶς ἐπὶ Χριστοῦ τὸ ταυτὸν πρεσβεύομεν, καὶ τὸ διάφορον, τὸ μὲν τῷ λόγῳ τῆς μιᾶς ὑποστάσεως, καθ' ὃν ταυτὸν τῇ οἰκείᾳ σαρκὶ τὸν Θεὸν Λόγον ὁμολογοῦμεν, ἵνα μὴ προσθήκην προσωπικὴν ἡ πανεύφημος λάβῃ Τριὰς, γενομένη τετράς· τὸ δὲ τῷ λόγῳ τῆς κατ' οὐσίαν τῶν ἐξ ὧν ἐστιν ἑτερότητος, καθ' ἣν εἰς ἄλληλα τὰ μέρη τοῦ Χριστοῦ παντελῶς οὐ μεταπίπτουσιν. Οὐ γὰρ ταυτόν ποτε κατ' οὐσίαν γένοιτ' ἂν θεότης, καὶ ἀνθρωπότης, ἵνα μηδὲν ᾖ κτιστὸν τῇ θεότητι καθ' ἕνωσιν ὁμοφυὲς καὶ ὁμοούσιον· ἐπειδὴ φύσει φύσιν ὁμοούσιον εἶναι λέγειν μαινομένης διανοίας ὑπάρχειν γινώσκομεν. Οὐκ ἔστι γὰρ φύσει ποτ' ἂν φύσις ὁμοφυὴς καὶ ὁμοούσιος. Τὸ γὰρ ὁμοφυὲς καὶ ὁμοούσιον
B ἐπὶ μόνων τῶν κατὰ τὸ αὐτὸ εἶδος πρὸς μίαν οὐσίαν ἀναγομένων ἀτόμων λέγεσθαι πέφυκεν.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Ταύτην ἔχοντες τὴν ὁμολογίαν ἡμεῖς, οὔτε τὴν τῶν φύσεων διαφορὰν ἀρνούμεθα μετὰ τὴν ἕνωσιν, ἐξ ὧν ὁ εἷς συνετέθη Χριστὸς, ἀσυγχύτους μεμενηκέναι τὰς φύσεις πιστεύοντες, οὔτε τὴν καθ' ὑπόστασιν ἀγνοοῦμεν ἕνωσιν, ἕνα τὸν Χριστὸν τῆς ἁγίας, καὶ ὁμοουσίου, καὶ προσκυνητῆς Τριάδος ὁμολογοῦντες, ἀλλὰ καὶ τὴν διαφορὰν τῶν ἐξ ὧν ἐστιν ὁ Χριστὸς ὡς ἐν αὐτῷ κατ' ἀλήθειαν σωζομένων δίχα τροπῆς καὶ συγχύσεως μετὰ τὴν ἕνωσιν διὰ τοῦ ἀριθμοῦ ποιοῦμεν κατάδηλον πρὸς ἀναίρεσιν τῆς τοῦ Εὐτυχοῦς συγχύσεως, καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν
C ἐπιγινώσκοντες διαπρυσίῳ τῇ φωνῇ τὴν μίαν τοῦ Θεοῦ Λόγου φύσιν σεσαρκωμένην σαρκὶ ψυχὴν ἐχούσῃ τὴν νοερὰν κατὰ τῆς Νεστορίου προβαλλόμεθα διαιρέσεως, ὑποστατικὴν ἐπὶ Χριστοῦ τὴν διαφορὰν καταγγέλλοντος, καὶ σαρκὸς καθ' ὑπόστασιν πρὸς τὸν Λόγον ταυτότητα διατέμνοντος.

Ἐκ τοῦ αὐτοῦ Λόγου.

Εἰ γὰρ Θεὸς καὶ ἄνθρωπός ἐστι μετὰ τὴν ἕνωσιν ὁ Χριστὸς, κατὰ τὴν κοινὴν ὁμολογίαν, δηλονότι τὰ πράγματα τοῖς ὀνόμασιν ἔχων ἐπαληθεύει μετὰ τὴν ἕνωσιν. Τὰ γὰρ πράγματα προεπινοοῦνται τῶν οἰκείων ὀνομάτων, καὶ οὐδ' ἂν εἶναι δυνηθείη πώποτε χωρὶς πράγματος ὄνομα τοῦ παρέχοντος δι' ἑαυτοῦ τῷ ὀνόματι θέσιν, καὶ ἀντιλαμβάνοντος δήλωσιν. Εἰ δὲ τὰ πράγματα, ὧν εἰσι τὰ ὀνόματα, οὐκ ἔχει μετὰ
D τὴν ἕνωσιν ὁ Χριστὸς, ψιλὰς κατ' αὐτοὺς, ὡς κατὰ μηδενὸς κειμένας, ἔχων δειχθήσεται τὰς προσηγορίας, καὶ πραγμάτων ἐρήμους, καὶ ἔσται Θεὸς, καὶ ἄνθρωπος μόνον ὀνόματι κατ' αὐτοὺς ὁ Χριστὸς, καὶ οὐ πράγματι. Οὗ τί γένοιτ' ἂν ἀθεώτερον; Εἰ δὲ τοσοῦτον μανῆναι παραιτούμενοι, φαῖεν μὴ ἐρήμους εἶναι πραγμάτων ἐπὶ Χριστοῦ τὰς προσηγορίας μετὰ τὴν ἕνωσιν, ὥσπερ οὐ παραιτοῦνται λέγειν τὰς δύο τοῦ Χριστοῦ μετὰ τὴν ἕνωσιν προσηγορίας, οὕτω καὶ τὰς δύο τοῦ Χριστοῦ φύσεις, ἐξ ὧν, καὶ ἐν αἷς συνέστηκε, λεγέτωσαν μετὰ τὴν ἕνωσιν, ὧν αἱ προσηγορίαι.

Τοῦ αὐτοῦ περὶ διαφορᾶς καὶ ποσότητος.

Εἰ τοίνυν, κατὰ τοὺς Πατέρας, ὁ ἀριθμὸς τοῦ ποσοῦ τῶν πραγμάτων, ἀλλ' οὐ τῆς σχέσεώς ἐστι δη-

A λωτικός, πᾶν δὲ ποσὸν ἑτερότητι φυσικῇ θεωρούμενον, διαφορὰν πάντως ἐπιδέχεται, διαφορὰν δὲ λέγουσιν ἐπὶ Χριστοῦ φυσικὴν μετὰ τὴν ἕνωσιν καὶ οἱ τῇ ἀληθείᾳ μαχόμενοι, καὶ τὸ ποσὸν τῶν διαφερόντων, οὗ χωρὶς ἀμήχανον εἶναι διαφοράν, μετὰ τοῦ δηλοῦντος αὐτὸ ἀριθμοῦ, οὗ χωρὶς ποσὸν καθόλου γνωσθῆναι ἀδύνατον, λέγειν αὐτοὺς ἀνάγκη μετὰ τὴν ἕνωσιν, εἴπερ κατὰ τὴν εὔτακτον ἀκολουθίαν εὐσυνάρτητον τὸν τοῦ οἰκείου δόγματος ἀποδεῖξαι βούλονται λόγον. Εἰ δὲ τὸ ποσὸν τῶν σωζομένων ἐν Χριστῷ φύσεων ἀρνοῦνται μετὰ τὴν ἕνωσιν, μηδὲ τὴν διαφορὰν λέγειν τολμάτωσαν τῶν, ἐξ ὧν ὁ Χριστός ἐστι, φύσεων μετὰ τὴν ἕνωσιν, γινώσκοντες, ὅτι πᾶν εἴ τι καθ' ὁτιοῦν ἔχει διαφοράν, ἓν κατὰ πάντα λόγον τε καὶ τρόπον εἶναι οὐ δύναται. Τὸ δὲ μὴ δυνάμενον εἶναι κατὰ πάντα λόγον τε καὶ τρόπον ἕν, δηλονότι κατά τινα λόγον τε καὶ τρόπον, δύο τὸ ἐλάχιστόν ἐστιν ἢ πλείονα. Οὐκοῦν ἐν Χριστῷ μετὰ τὴν ἕνωσιν λέγοντες εἶναι διαφοράν, ἓν κατὰ πάντα λόγον τε καὶ τρόπον τὸν Χριστὸν εἶναι μετὰ τὴν ἕνωσιν λέγειν οὐ δύνανται. Εἰ δὲ μὴ κατὰ πάντα λόγον τε καὶ τρόπον ἕν ἐστιν ὁ Χριστὸς μετὰ τὴν ἕνωσιν, δῆλον, ὅτι κατά τινα λόγον τε καὶ τρόπον δύο πάντως ἐστὶν ὁ Χριστὸς μετὰ τὴν ἕνωσιν. Εἰ δὲ κατά τινα λόγον τε καὶ τρόπον δύο ἐστὶν ὁ Χριστὸς μετὰ τὴν ἕνωσιν, διὰ τὴν ἐν αὐτῷ, καὶ ἐξ ὧν, καὶ αἷς ἐστι φύσεων, διαφοράν, ὡς ἔδειξεν ὁ λόγος, δῆλον, ὡς ἀσεβοῦσι διακενῆς οἱ τὴν μὲν διαφορὰν τῶν ἐξ ὧν ἐστι φύσεων ὁ Χριστὸς μετὰ τὴν ἕνωσιν λέγοντες, αὐτὰς δὲ τὰς φύσεις ὧν ἡ διαφορὰ προφανῶς ἀναιροῦντες τῇ σιωπῇ μετὰ τὴν ἕνωσιν. Ἀναίρεσις γάρ ἐστιν ἀληθῶς ἡ τῶν ὄντων καὶ σωζομένων ἐξάρνησις. Εἰ γὰρ οὐκ ἀνῄρηνται κατ' αὐτοὺς αἱ φύσεις μετὰ τὴν ἕνωσιν, καὶ εἰσὶ, καὶ σώζονται, καὶ δίκαιόν ἐστιν αὐτὰς σωζομένας ὁμολογεῖσθαι μετὰ τὴν ἕνωσιν, ἢ, εἴπερ μὴ δίκαιόν ἐστιν αὐτὰς σωζομένας ὁμολογεῖσθαι μετὰ τὴν ἕνωσιν, μήτε εἶναι, μήτε σώζεσθαι λέγειν αὐτὰς ἐν Χριστῷ δίκαιόν ἐστι κατ' αὐτὸν, καὶ ἀνῄρηνται. Ὃ γὰρ μὴ δίκαιόν ἐστι πάντως ὀνομάζεσθαι, μηδὲ τὸ παράπαν ὑπάρχειν πολλῷ κρεῖττόν ἐστιν, ὡς οἶμαι, καὶ δικαιότερον λέγειν. Ὥσπερ δὲ κατὰ πάντα λόγον τε καὶ τρόπον ἓν οὐκ ἔστιν ὁ Χριστὸς μετὰ τὴν ἕνωσιν, οὕτω πάλιν κατὰ πάντα λόγον τε καὶ τρόπον οὐκ ἔστιν ὁ Χριστὸς δύο μετὰ τὴν ἕνωσιν. Εἰ δὲ μὴ κατὰ πάντα λόγον τε καὶ τρόπον ἐστὶν ὁ Χριστὸς δύο μετὰ τὴν ἕνωσιν, πάντως κατά τινα λόγον τε καὶ τρόπον διὰ τὴν ὑποστατικὴν ταυτότητα, ἤγουν τὴν μίαν ὑπόστασιν, καθ' ἣν διαφορὰν ἔχειν οὐ δύναται, ἕν ἐστιν ὁ Χριστός. Ἐπεὶ οὖν κατ' ἄλλον καὶ ἄλλον λόγον τε καὶ τρόπον ἕν, καὶ δύο ἐστὶν ὁ αὐτὸς, ἀναγκαῖον σκοπῆσαι κατὰ ποῖον, καὶ ποῖον λόγον ἕν ἐστιν ὁ αὐτὸς, καὶ δύο.

autem quantitas naturali diversitate considerata differentiam omnino suscipit, differentiam vero in Christo naturalem post conjunctionem, veritatis etiam oppugnatores concedunt, differentiarum quoque quantitatem, sine qua differentia cognosci non potest, una cum numero quantitatem declarante, sine quo quantitas ipsa cognosci nequit, post conjunctionem dicant, necesse est, si modo recto disputandi ordine aptam (proprii) dogmatis rationem volunt demonstrare : quod si naturarum in Christo servatarum post conjunctionem, quantitatem negant, ne differentiam quidem naturarum ex quibus est Christus, post conjunctionem audeant dicere : scientes, quidquid aliqua in re differentiam habet, unum omni ratione et modo esse non posse. Quod autem unum B omni ratione et modo esse non potest, id aliqua plane ratione et modo saltem est duo aut plura. Quocirca qui in Christo post conjunctionem dicunt esse differentiam, unum omni ratione et modo Christum esse non possunt dicere. Quod si non omni ratione et modo unus est Christus post conjunctionem, perspicuum est Christum aliqua ratione et modo post conjunctionem omnino esse duo. At si ratione aliqua et modo Christus post conjunctionem est duo, propter naturarum, ex quibus, et in quibus est, differentiam, ut ratione demonstratum est, constat eos prorsus impie sentire, qui differentiam quidem naturarum, ex quibus est Christus, post conjunctionem dicunt, ipsas autem naturas quarum est differentia, aperte silentio tollunt post conjunctionem. C Vere enim tollunt, qui ea quæ sunt et servantur, negant. Nam si naturas post conjunctionem sublatas non arbitrantur, sed eas esse servarique sentiunt, æquum est ut eas post conjunctionem servatas confiteantur. Aut si æquum non est ut eas post conjunctionem servatas fateantur, neque esse neque servari illas in Christo per illos æquum est dicere, et sublatæ sunt. Quod enim omnino nominari æquum non est, id ne esse quidem, ut ego sentio, satius et æquius est dicere; verum ut omni ratione et modo Christus non est unum post conjunctionem, ita rursus omni ratione et modo Christus non est duo post conjunctionem. Quod si non omni ratione et modo post conjunctionem, Christus est duo, aliqua omnino ratione et D modo, nempe per unam eamdemque personam, per quam habere differentiam non potest, Christus est unum. Quamobrem cum alia atque alia ratione et modo unum et duo idem sit, necessarium est, qua ratione unum, et qua duo idem sit, considerare.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Θαλάσσιον ξβ' ἀποκρίσεως.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ τοῦ Θεοῦ μονογενὴς Υἱὸς καὶ Λόγος, ὁ δι' ἑαυτὸν μὲν κατὰ φύσιν ἁπλοῦς ὢν, καὶ ἀεὶ διαμένων, δι' ἐμὲ δὲ κατὰ πρόσληψιν σαρκὸς νοερῶς ἐνεψυχωμένης, ὡς οἶδεν αὐτὸς, γενόμενος καθ' ὑπόστασιν σύνθετος, οὔτε τῇ κατ' ἄκρον πρὸς τὴν σάρκα καθ' ὑπόστασιν ἑνώσει τὴν

Ejusdem ex responsione sexagesima secunda ad Thalassium.

Dominus noster Jesus Christus unigenitus Dei Filius et Verbum, qui per se ipsum natura simplex est, et semper permanet, propter me autem carnem assumens anima rationeque præditam, factus ea ratione, quam ipse novit, in persona compositus, neque summa cum carne in persona conjunctione confusio-

A nem in naturam unam suscepit, neque summa cum carne per naturam differentia in geminos divisus est filios. Summam appello in persona conjunctionem quæ nullo pacto dividi potest; summam autem cum carne differentiam quæ confundi prorsus nequit, aut immutari. Quoniam carnis a Deo susceptæ mysterium non admittit in persona differentiam propter naturalem eorum ex quibus constat, diversitatem, ne vel Trinitatis mysterium accessionem accipiat, vel quidquam sit ejusdem cum Divinitate generis, aut essentiæ per naturam. Duarum enim naturarum in unam personam, non autem in unam naturam concursus est factus, ut et unum in persona ex naturis mutuo concurrentibus per conjunctionem perfectum ostendatur, et earum ad conjunctionem indivisibilem per naturalem proprietatem B convenientium differentia credatur, quæ sine mutatione confusioneque maneat. Si enim ad alius naturæ generationem, naturarum concursus factus est, salutis nostræ mysterium nobis omnino sit incognitum. Neque enim habemus, unde, aut quomodo possimus Dei descensum ad nos intelligere, carne per conjunctionem in naturam divinam mutata, aut natura divina in carnis essentiam conversa, aut utraque in alius a se diversæ naturæ generationem per mistionem confusa, neutra illarum ex quibus est, natura rationem suam integram conservante. Nam sive in divinitatis naturam caro conversa sit, sive in carnem natura divinitatis, sive conjunctionis in una natura modus ad alius naturæ ab ipsis diversæ generationem naturas C compulerit, ego carnis a Deo assumptæ mysterium non cognosco, cum post conjunctionem in mysterio naturalem carnis et divinitatis differentiam non inveniam. At si carnis et divinitatis in Christo post conjunctionem differentia manet, neque enim unquam idem per essentiam sit divinitas et caro, concurrentium conjunctio non in unam naturam, sed in unam personam facta est, qua nullam in Christo ullo modo differentiam reperimus. Verbum enim cum propria carne per personam unum est.

Ejusdem de duabus Christi naturis.

Tres personas Arius confitetur, sed unitatem negat, et sanctam Trinitatem non ejusdem esse illæ dicit. Sabellius autem unitatem confitetur, sed Trinitatem negat. Eumdem enim esse dicit Patrem, et D Filium, et Spiritum sanctum: at Ecclesia et unitatem confitetur, et prædicat Trinitatem. Sic et in uno sanctæ Trinitatis Nestorius naturalem asserit differentiam, sed unitatem non confitetur. Hanc enim in persona factam negat. Eutyches contra fatetur unitatem, sed essentiæ differentiam negat et naturarum confusionem inducit. Ecclesia vero et unitatem in persona tradit indivisibilem, et minime confusam essentiæ differentiam.

Et hæc eodem ex loco.

In sancta Trinitate eadem est essentia, et diversæ personæ. Unam enim essentiam, et tres personas

εἰς μίαν φύσιν προσεδέξατο σύγχυσιν, οὔτε τῇ κατ' ἄκρον πρὸς τὴν σάρκα κατὰ φύσιν διαφορᾷ πρὸς υἱῶν δυάδα ἐτμήθη. Ἄκρον δέ φημι τῆς μὲν καθ' ὑπόστασιν ἑνώσεως τὸ παντελῶς ἀδιαίρετον, τῆς δὲ κατὰ φύσιν διαφορᾶς ἄκρον τὸ παντελῶς ἀσύγχυτον καὶ ἀναλλοίωτον· ὅτι μηδὲ συνεπάγεται παντελῶς τῇ κατὰ φύσιν τῶν ἐξ ὧν συνέστηκεν ἑτερότητι καὶ τὴν καθ' ὑπόστασιν διαφορὰν τὸ μυστήριον τῆς θείας σαρκώσεως· τὸ μὲν, ἵνα μὴ προσθήκην λάβῃ τὸ τῆς Τριάδος μυστήριον, τὸ δὲ, ἵνα μηδὲν ᾖ τῇ θεότητι κατὰ φύσιν ὁμογενὲς καὶ ὁμοούσιον. Δύο γὰρ φύσεων πρὸς ὑπόστασιν, ἀλλ' οὐ πρὸς φύσιν μίαν γέγονε σύνοδος· ἵνα καὶ τὸ καθ' ὑπόστασιν ἓν, ἐκ τῶν ἀλλήλαις συνδραμουσῶν φύσεων δειχθῇ κατὰ τὴν ἕνωσιν ἀποτελούμενον· καὶ τὸ διάφορον τῶν συνελθόντων πρὸς τὴν ἀδιάσπαστον ἕνωσιν, κατὰ τὴν φυσικὴν ἰδιότητα πιστευθῇ πάσης ἐκτὸς μένον τροπῆς καὶ συγχύσεως. Εἰ γὰρ πρὸς φύσεως γένεσιν ἡ τῶν φύσεων γέγονε σύνοδος, ἀδιάγνωστον ἂν ἦν ἡμῖν παντελῶς τὸ τῆς ἡμῶν σωτηρίας μυστήριον· οὐκ ἔχουσι πόθεν, ἢ πῶς δυνηθῆναι μαθεῖν τὴν πρὸς ἡμᾶς τοῦ Θεοῦ συγκατάβασιν, εἰς τὴν θείαν φύσιν διὰ τὴν ἕνωσιν τῆς σαρκὸς μεταβληθείσης, ἢ τῆς θείας εἰς τὴν τῆς σαρκὸς οὐσίαν μετατραπείσης, ἢ ἀμφοῖν πρὸς ἄλλης παρ' ἑαυτὰς γένεσιν κατά τινα μῖξιν συμφυρθεισῶν, μηδ' ἑτέρας τῶν ἐξ ὧν ἐστι φύσεων τὸν λόγον ἀλώβητον φερούσης. Εἴτε γὰρ εἰς θεότητος φύσιν ἡ σὰρξ, εἴτε πρὸς σάρκα ἡ τῆς θεότητος μετεβλήθη φύσις, εἴτε πρὸς ἄλλης γένεσιν φύσεως παρὰ ταύτας ὁ τῆς πρὸς φύσιν μίαν ἑνώσεως τρόπος τὰς φύσεις συνώθησεν, ἐγὼ τὸ μυστήριον τῆς θείας σαρκώσεως οὐκ ἐπιγινώσκω, φυσικὴν οὐχ εὑρίσκων μετὰ τὴν ἕνωσιν ἐν τῷ μυστηρίῳ διαφορὰν σαρκὸς καὶ θεότητος. Εἰ δὲ σαρκὸς ἐν Χριστῷ, καὶ θεότητος μετὰ τὴν ἕνωσιν ὑπάρχει κατὰ φύσιν διαφορὰ, οὐ γὰρ ταυτὸν κατ' οὐσίαν ποτὲ θεότης καὶ σὰρξ, πρὸς φύσεως μιᾶς γένεσιν ἡ τῶν συνελθόντων οὐδαμοῦ γέγονεν ἕνωσις, ἀλλὰ πρὸς μίαν ὑπόστασιν, καθ' ἣν οὐδεμίαν ἐν Χριστῷ καθ' οἱονδήποτε τρόπον εὑρίσκομεν διαφοράν. Ταυτὸν γὰρ τῇ οἰκείᾳ σαρκὶ κατὰ τὴν ὑπόστασιν ὁ Λόγος.

Τοῦ αὐτοῦ περὶ τῶν δύο τοῦ Χριστοῦ φύσεων.

Ὁ Ἄρειος τὰς τρεῖς ὑποστάσεις ὁμολογεῖ, ἀλλὰ τὴν μονάδα ἀρνεῖται, καὶ οὐ λέγει ὁμοούσιον τὴν ἁγίαν Τριάδα. Ὁ δὲ Σαβέλλιος τὴν μονάδα ὁμολογεῖ, ἀλλὰ τὴν Τριάδα ἀρνεῖται. Τὸν γὰρ αὐτὸν λέγει Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα. Ἡ δὲ Ἐκκλησία καὶ μονάδα ὁμολογεῖ, καὶ Τριάδα κηρύσσει. Ὁμοίως καὶ ἐπὶ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος Νεστόριος τὴν φυσικὴν διαφορὰν λέγει, ἀλλὰ τὴν ἕνωσιν οὐχ ὁμολογεῖ. Οὐ γὰρ λέγει ταύτην καθ' ὑπόστασιν γεγονέναι. Ὁ δὲ Εὐτυχὴς τὴν μὲν ἕνωσιν ὁμολογεῖ, τὴν δὲ κατ' οὐσίαν διαφορὰν ἀρνεῖται, καὶ σύγχυσιν τῶν φύσεων εἰσάγει. Ἡ δὲ Ἐκκλησία καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν διὰ τὸ ἀδιαίρετον, καὶ τὴν κατ' οὐσίαν διαφορὰν διὰ τὸ ἀσύγχυτον πρεσβεύει.

Ἐκεῖθεν καὶ τοῦτο.

Ἐπὶ τῆς ἁγίας Τριάδος ταυτότητος μὲν οὐσίας, ἑτερότητος δὲ προσώπων. Μίαν γὰρ οὐσίαν ὁμολογοῦ

μεν, τρεῖς δὲ ὑποστάσεις. Ἐπὶ δὲ τοῦ ἀνθρώπου ταυτότης μὲν ἔστι προσώπου, ἑτερότης δὲ οὐσιῶν. Ἑνὸς γὰρ ὄντος ἀνθρώπου, ἄλλης ἐστὶν οὐσίας ἡ ψυχὴ, καὶ ἄλλης τὸ σῶμα. Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ Δεσπότου Χριστοῦ ταυτότης μὲν ἔστι προσώπου, ἑτερότης δὲ οὐσιῶν. Ἑνὸς γὰρ ὄντος προσώπου, ἤτοι ὑποστάσεως, ἑτέρας οὐσίας ἐστὶν ἡ θεότης, καὶ ἑτέρας ἡ ἀνθρωπότης. Ὥσπερ δὲ ἀδύνατον ἐπὶ τῆς ἁγίας Τριάδος ὁμολογεῖν μὲν τὴν ἕνωσιν, μὴ ἐκφωνεῖν δὲ τὴν διαφοράν· οὕτω καὶ ἐπὶ τῆς οἰκονομίας ἀνάγκη πᾶσα καὶ τὴν ἕνωσιν, καὶ τὴν διαφορὰν κηρύττειν.

Καὶ τοῦτο.

Ὥσπερ Σαβέλλιον ἀναθεματίζομεν κηρύττοντα ἐπὶ τῆς ἁγίας Τριάδος τὴν φυσικὴν ἕνωσιν, ἀλλὰ μὴ λέγοντα τὴν καθ' ὑπόστασιν διαφορὰν, οὕτως Εὐτυχῆ ἀναθεματίζομεν ὁμολογοῦντα τὴν καθ' ὑπόστασιν ἕνωσιν ἐπὶ τοῦ Χριστοῦ, ἀλλὰ μὴ γνωρίζοντα τὴν φυσικὴν διαφοράν.

Καὶ τοῦτο.

Ὥσπερ τῆς ἁγίας Τριάδος τὴν μίαν οὐσίαν οὐκ ἐπὶ συγχύσει τῶν τριῶν ὑποστάσεων λέγομεν, οὔτε τὰς τρεῖς ὑποστάσεις ἐπὶ ἀναιρέσει τῆς μιᾶς οὐσίας· οὕτως ἐπὶ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος, τὴν μίαν ὑπόστασιν οὐκ ἐπὶ συγχύσει τῶν δύο φύσεων αὐτοῦ λέγομεν, οὔτε τὰς δύο φύσεις ἐπὶ διαιρέσει τῆς μιᾶς ὑποστάσεως.

Καὶ τοῦτο.

Ὁ μὴ λέγων ἐπὶ Χριστοῦ διὰ τὴν τῶν φύσεων διαφορὰν τὴν καθ' ὑπόστασιν ἕνωσιν Νεστοριανός ἐστι. Καὶ ὁ μὴ λέγων ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει τὴν φυσικὴν διαφορὰν Εὐτυχιανιστής ἐστιν. Ὁ δὲ τὴν καθ' ὑπόστασιν ἕνωσιν, καὶ τὴν φυσικὴν διαφορὰν κηρύττων ἐπὶ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος, τὴν βασιλικὴν καὶ ἀμώμητον πίστιν κρατεῖ.

Καὶ τοῦτο.

Ὁ λέγων καὶ διαφορὰν καὶ ἕνωσιν ἐπὶ Χριστοῦ οὔτε τὴν διαφορὰν ἀναιρεῖ, οὔτε τὴν ἕνωσιν συγχέει. Καὶ γὰρ Κύριλλος ἀναθεματίζει τοὺς τὴν διαφορὰν ἀναιροῦντας διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν, καὶ ἡ οἰκουμενικὴ σύνοδος ἀναθεματίζει τοὺς διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν τὴν φυσικὴν διαφορὰν ἀναιροῦντας ἐπὶ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος.

Τοῦ αὐτοῦ, ὅτι βλάσφημον τὸ λέγειν τὸν Χριστὸν μίαν ἁπλῶς φύσιν.

Εἰ δὲ κατ' αὐτοὺς ἐκείνους ὁ Χριστὸς σύνθετός ἐστι φύσις, ἡ θαυμαστὴ τῶν Σευήρου λόγων ἀκρόπολις, ἢ γενικὴ πάντως ἐστὶν, ἢ μοναδική. Τούτων γὰρ ἄλλην ἐπινοῆσαι μέσην ἀμήχανον. Καὶ εἰ μὲν γενικὴ φύσις ἐστὶν ὁ Χριστὸς, κατὰ πολλῶν ἔσται δηλονότι, καὶ διαφερόντων ἀριθμῷ κατηγορούμενος, καὶ κατ' ἐπίνοιαν ἔσται μόνην, ἐν οἷς τὴν ὕπαρξιν ἔχει, καὶ οὐ καθ' ἑαυτὸν ἐν ἰδίᾳ τινὶ ὑποστάσει γνωριζόμενος, χωρὶς τῶν ἐπιθεωρουμένων τοῖς ὑπ' αὐτὸν ἀτόμοις συμβεβηκότων. Τοιοῦτος γὰρ ὁ πάσης γενικῆς φύσεως ὅρος τε καὶ λόγος. Καὶ εἰσήχθη πλῆθος ἡμῖν Χριστῶν ἀνθ' ἑνὸς κατὰ μηδένα τρόπον τὴν οἰκνοῦν ἐχόντων πρὸς τὸν Θεὸν ἢ τοὺς ἀνθρώπους ταυτότητα διὰ τὴν Σευήρου κατὰ τῆς ἀληθείας περιττὴν καὶ ἀκάθεκτον μανίαν. Εἰ δὲ μοναδικὴ φύσις ἐστὶν ὁ Χριστὸς, ἵνα παρῶμεν λέγειν, ὡς οὐδαμῶς ἐστι τὸ

A confitemur. In homine autem eadem et persona, et diversitas essentiarum. Etenim cum unus sit homo, aliam anima, aliam corpus habet essentiam. Similiter in Christo Domino eadem est persona, et essentiarum diversitas; nam cum una persona sit, alia est divinitatis essentia, et alia humanitatis. Quemadmodum autem in sancta Trinitate fieri non potest, ut unitatem confiteamur, et differentiam non pronuntiemus, sic et in ipsa dispensatione necessarium est, et unitatem, et differentiam enuntiare.

Et hæc.

Quemadmodum Sabellium naturalem in sancta Trinitate prædicantem unitatem, sed personarum differentiam negantem exsecramur, sic exsecramur

B Eutychem, qui in Christo unitatem personæ confitetur, sed naturalem differentiam non agnoscit.

Et hæc.

Ut in sancta Trinitate non cum trium personarum confusione unam essentiam dicimus, nec tres personas cum unius essentiæ interitu, sic in uno sanctæ Trinitatis nec unam personam dicimus cum duarum personarum confusione, nec cum unius essentiæ interitu naturas duas.

Et hæc.

Qui propter duarum in Christo naturarum differentiam personæ unitatem non agnoscit, Nestorianus est. Et qui in personæ unitate naturalem non con-

C cedit differentiam, est Eutychianista. At qui personæ unitatem, et naturalem differentiam in uno sanctæ Trinitatis prædicat, is regiam et nulli obnoxiam reprehensioni fidem amplectitur.

Et hæc.

Qui et unitatem et differentiam in Christo dicit, nec differentiam tollit, nec unitatem confundit. Etenim Cyrillus detestatur eos qui propter personæ unitatem differentiam tollunt, et synodus œcumenica illos exsecratur, qui propter unitatem personæ naturalem differentiam tollunt in uno sanctæ Trinitatis.

Ejusdem: impium esse, Christum unam simpliciter naturam dicere.

Sin Christus, ut illi sentiunt, est natura composita,

D in quo mirabilis Severi rationum arx est constituta, aut generalis omnino est, aut singularis; tertium enim cogitare non possumus. Si generalis est Christus natura, de multis nimirum numero differentibus dicetur, et cogitatione tantum erit in iis, in quibus habet essentiam, non autem per se in propria ulla persona cognoscetur, sine accidentibus individuorum, quæ in individuis ipsi subjectis considerantur. Hæc enim est omnis naturæ generalis definitio atque ratio. Et supervacanea ista Severi adversus veritatem insania pro uno Christo multitudo Semichristorum, qui nullam nec cum Deo, nec cum hominibus rationem eamdem habeant, inducetur. Sin natura singularis est Christus, ut illud omittamus, nullam esse naturam, quæ unica sit persona

A poreo modo, qua scilicet ratione homo factus est: ita nimirum, ut non in homine prius condito, tanquam in propheta habitaverit, verum ipse substantialiter ac vere factus sit homo; hoc est, in sua hypostasi carnem anima rationali et intelligente animatam substare fecerit, seipsum illius præbens hypostasim. Hanc enim significationem habet illud, *factum ex muliere*. Nam quo tandem pacto ipsummet Dei Verbum sub lege factum esset, nisi homo ejusdem ac nos substantiæ exstitisset?

Dei Genitricis nomen, totum mysterium declarat. — Merito igitur et vere sanctam Mariam Deiparam appellamus. Hoc enim nomen totum incarnationis mysterium astruit. Nam, si Dei Mater est quæ genuit, profecto Deus est qui ex ipsa B genitus est: profecto etiam homo. Nam qui fieri potuisset, ut Deus, qui ante sæcula exstabat, ex muliere nasceretur, nisi homo factus esset? Qui enim filius est hominis, homo etiam ipse sit necessum est. Quod si ille ipse qui ex muliere natus est, Deus est, unus procul dubio atque idem est, qui ex Deo Patre genitus est, quod ad divinam et initii expertem substantiam attinet, quique extremis temporibus ea substantia quæ initium habuit, temporique subjecta est, hoc est, humana, ex Virgine natus est. Hoc vero unam Domini nostri Jesu personam, duasque naturas, et duas generationes significat.

Christiparam Patres dicere detrectarunt. Nestorii vox, ut dicatur Christus Θεοφόρος, *recte sentientium, ut Deus incarnatus. Natura humana in ipsa* C *conceptione Verbo unita.* — At vero sanctam Virginem neutiquam Christiparam nuncupamus, quia ad abolendum *Deiparæ* vocabulum Nestorius, impurus ille et exsecrandus, animoque Judæus, illud ignominiæ vas, in contemptum ejus quæ super creaturam omnem sola vere colenda est, Dei Genitricis (disrumpatur licet ille cum patre suo Satana), hoc nominis excogitavit, quod obtruderet. Enimvero rex David christus quoque dicitur, et pontifex Aaron, quippe cum reges et sacerdotes ungi solerent: quinimo quivis homo pius, et cui Deus aspiraverit, Christus dici possit, at non perinde natura Deus; juxta ac exitiabilis ille Nesto- D rius eum qui de Virgine natus est, Deiferum ore fremebundo pronuntiavit. Verum hoc absit a nobis, ut eum afflatum a Deo, Deiferumve dicamus, vel cogitemus; imo potius incarnatum Deum. Ipsummet enim Verbum factum est caro, ut conceptum quidem de Virgine fuerit, Deus vero prodierit cum assumpta natura quam deificarat simul atque producta est. Exinde tria pariter una contigerunt, nimirum quod assumpta sit, quod exstiterit, quod deificata a Verbo fuerit. Hinc fit ut Virgo sancta, Dei Genitrix tum intelligatur, tum appelletur, non modo propter naturam Verbi, sed etiam ob humanitatem deitate donatam, stupendo miraculo patratis simul horum et conceptione et exsistentia, verbi quidem conceptione,

A γεννηθεὶς δὲ σωματικῶς, καθὸ γέγονεν ἄνθρωπος, οὐ προδιαπλασθέντι ἀνθρώπῳ ἐνοικήσας, ὡς ἐν προφήτῃ, ἀλλ' αὐτὸς οὐσιωδῶς καὶ ἀληθῶς γενόμενος ἄνθρωπος, ἤτοι ἐν τῇ ὑποστάσει αὐτοῦ ἐψυχωμένην [a] σάρκα ψυχῇ λογικῇ τε καὶ νοερᾷ ὑποστήσας, καὶ αὐτὸς γεγονὼς αὐτῇ ὑπόστασις. Τοῦτο γὰρ σημαίνει τὸ, *γενόμενον ἐκ γυναικός*· πῶς γὰρ ἂν αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος ὑπὸ νόμον γέγονεν, εἰ μὴ ἄνθρωπος ἡμῖν ὁμοούσιος γέγονεν.

Ὅθεν δικαίως καὶ ἀληθῶς Θεοτόκον τὴν ἁγίαν Μαρίαν ὀνομάζομεν· τοῦτο γὰρ τὸ ὄνομα ἅπαν τὸ μυστήριον τῆς οἰκονομίας συνίστησι. Εἰ γὰρ Θεοτόκος ἡ γεννήσασα, πάντως Θεὸς ὁ ἐξ αὐτῆς γεννη- B θεὶς, πάντως δὲ καὶ ἄνθρωπος. Πῶς γὰρ ἂν ἐκ γυναικὸς γεννηθείη Θεὸς, ὁ πρὸ αἰώνων ἔχων τὴν ὕπαρξιν, εἰ μὴ ἄνθρωπος γέγονεν; Ὁ γὰρ Υἱὸς ἀνθρώπου, ἄνθρωπος δηλονότι. Εἰ δὲ αὐτὸς ὁ γεννηθεὶς ἐκ γυναικὸς Θεός ἐστιν, εἷς ἐστι δηλονότι ὁ ἐκ Θεοῦ Πατρὸς γεννηθεὶς κατὰ τὴν θείαν καὶ ἄναρχον οὐσίαν, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων ἐκ τῆς Παρθένου τεχθεὶς κατὰ τὴν ἠργμένην καὶ ὑπὸ χρόνον οὐσίαν, ἤτοι τὴν ἀνθρωπίνην. Τοῦτο δὲ μίαν ὑπόστασιν, καὶ δύο φύσεις, καὶ δύο γεννήσεις σημαίνει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Χριστοτόκον δὲ οὐδαμῶς φαμεν τὴν ἁγίαν C Παρθένον, διότι ἐπ' ἀναιρέσει τῆς *Θεοτόκος* φωνῆς ὁ μιαρὸς, καὶ βδελυρὸς, καὶ Ἰουδαιόφρων Νεστόριος τὸ σκεῦος τῆς ἀτιμίας, καὶ ἐπὶ ἀτιμίᾳ τῆς μόνης ὄντως τετιμημένης ὑπὲρ πᾶσαν κτίσιν Θεοτόκου, κἂν οὗτος διαῤῥήγνυται [d] σὺν τῷ πατρὶ αὐτοῦ τῷ Σατανᾷ, ταύτην τὴν προσηγορίαν ἐξηύρατο, ὡς ἐκηρεαζομένην [e] χριστὸς γὰρ καὶ ὁ Δαβὶδ ὁ βασιλεὺς, καὶ ὁ Ἀαρὼν ὁ ἀρχιερεύς· ταῦτα γὰρ τὰ [f] χριόμενα, βασιλεία τε καὶ ἱερωσύνη· καὶ πᾶς θεοφόρος ἄνθρωπος Χριστὸς λέγεσθαι δύναται, ἀλλ' οὐ Θεὸς φύσει, ὡς καὶ Νεστόριος ὁ θεήλατος, τὸν ἐκ Παρθένου τεχθέντα θεοφόρον εἰπεῖν ἐφρυάξατο. Ἡμᾶς δὲ μὴ γένοιτο θεοφόρον αὐτὸν [g] εἰπεῖν ἢ νοῆσαι, ἀλλὰ Θεὸν σεσαρκωμένον. Αὐτὸς γὰρ ὁ Λόγος σὰρξ ἐγέ- D νετο, κυηθεὶς μὲν ἐκ τῆς Παρθένου, προελθὼν δὲ Θεὸς μετὰ τῆς προσλήψεως, ἤδη καὶ αὐτῆς ὑπ' αὐτοῦ θεωθείσης, ἅμα τῇ εἰς τὸ εἶναι ταύτης παραγωγῇ, ὡς ὁμοῦ γενέσθαι τὰ τρία, τὴν πρόσληψιν, τὴν ὕπαρξιν, τὴν θέωσιν αὐτῆς ὑπὸ τοῦ Λόγου· καὶ οὕτω νοεῖσθαι, καὶ λέγεσθαι Θεοτόκον τὴν ἁγίαν Παρθένον, οὐ μόνον διὰ τὴν φύσιν τοῦ Λόγου, ἀλλὰ καὶ διὰ τὴν θέωσιν τοῦ ἀνθρωπίνου, ὧν ἅμα, καὶ ἡ σύλληψις, καὶ ἡ ὕπαρξις τεθαυματούργηται· ἡ μὲν σύλληψις τοῦ Λόγου, τῆς δὲ σαρκὸς, ἡ ἐν αὐτῷ τῷ Λόγῳ ὕπαρξις, αὐτῆς τῆς Θεομήτορος ὑπερφυῶς χορηγούσης τὸ πλασθῆναι τῷ πλάστῃ, καὶ τὸ ἀνθρωπισθῆναι τῷ Θεῷ καὶ ποιητῇ τοῦ παντὸς, θεοῦντι τὸ πρόσλημμα, σωζούσης τῆς ἑνώσεως τὰ ἑνωθέντα τοιαῦτα, οἷα καὶ ἥνωνται· οὐ τὸ θεῖον λέγω μόνον, ἀλλὰ καὶ τὸ ἀνθρώπινον τοῦ Χριστοῦ, τὸ ὑπὲρ ἡμᾶς,

καὶ καθ' ἡμᾶς. Οὔτε γὰρ γενόμενον πρότερον καθ' A ἡμᾶς, ὕστερον γέγονεν ὑπὲρ ἡμᾶς· ἀλλὰ ἀεὶ ἐκ πρώτης ὑπάρξεως ἄμφω ὑπῆρξε, διὰ τὸ ἐξ ἄκρας συλλήψεως ἐν αὐτῷ τῷ Λόγῳ τὴν ὕπαρξιν ἐσχηκέναι· ἀνθρώπινον μὲν οὖν ἐστι κατὰ τὴν οἰκείαν φύσιν, Θεοῦ δὲ καὶ θεῖον, ὑπερφυῶς. Ἔτι δὲ καὶ τῆς ἐμψύχου σαρκὸς τὰ ἰδιώματα ἔσχε· κατεδέξατο γὰρ αὐτὰ ὁ Λόγος, οἰκονομίας λόγῳ, φυσικῆς κινήσεως τάξει κατὰ ἀλήθειαν φυσικῶς γινόμενα.

carnis vero exsistentia in ipso Verbo. Ipsa namque Dei Genitrix supra naturæ leges rerum omnium fictori subministrabat, unde ipse quoque fingeretur, universorumque conditori Deo, ut assumptam humanitatem deitate donans, homo ipse fieret, cum interim unio, quæ unita sunt, talia servaret, qualia unita essent, hoc est, non divinitatem solum, sed etiam Christi humanitatem; nec illud solum quod supra nos, sed et id quod nostrum est. Non enim cum ante nostri similis extitisset, postea superior nobis evasit: sed semper a primo ortu utrumque exstitit: quoniam a primordiis conceptionis in ipso Verbo exsistentiam habuit. Quocirca, quod assumptum fuit suapte quidem natura humanum est, Dei autem et divinum supernaturali quodam modo. Quin animatæ quidem carnis proprietates habuit: eas enim dispensationis suæ ratione Verbum suscepit, quæ secundum naturalis motus ordinem vere naturales sunt.

B

Τοῦ αὐτοῦ. Κεφάλαιον πς.

Προκόπτειν λέγεται σοφίᾳ, καὶ ἡλικίᾳ, καὶ χάριτι· τῇ μὲν ἡλικίᾳ αὔξων, διὰ δὲ τῆς αὐξήσεως τῆς ἡλικίας τὴν ἐνυπάρχουσαν αὐτῷ σοφίαν εἰς φανέρωσιν ἄγων· ἔτι δὲ τὴν τῶν ἀνθρώπων ἐν σοφίᾳ καὶ χάριτι προκοπὴν, καὶ τὴν τελείωσιν τῆς τοῦ Πατρὸς εὐδοκίας, ἤγουν τὴν τῶν ἀνθρώπων θεογνωσίαν τε καὶ σωτηρίαν, οἰκείαν προκοπὴν ποιούμενος, καὶ οἰκειούμενος πανταχοῦ τὸ ἡμέτερον. Οἱ δὲ προκόπτειν αὐτὸν λέγοντες σοφίᾳ, καὶ χάριτι ὡς προσθήκην τούτων δεχόμενον, Νεστορίῳ τῷ ματαιόφρονι πειθόμενοι, σχετικὴν ἕνωσιν καὶ ψιλὴν ἐνοίκησιν τερατεύονται, μὴ γινώσκοντες μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται. Εἰ γὰρ ἀληθῶς ἡνώθη C τῷ Θεῷ Λόγῳ ἡ σὰρξ ἐξ ἄκρας ὑπάρξεως, μᾶλλον δὲ ἐν αὐτῷ ὑπῆρξε, καὶ τὴν ὑποστατικὴν πρὸς αὐτὸν ἔσχε ταυτότητα, πῶς οὐ τελείως κατεπλούτησε πᾶσαν σοφίαν καὶ χάριν;

Ejusdem. Cap. 86.

Proficere dicitur sapientia, et ætate, et gratia; ætate quidem crescens, et per incrementum ætatis, sapientiam, quæ ipsi inerat, in apertum proferens; præterea hominum in sapientia et gratia progressum, et bonæ Patris voluntatis perfectionem, seu hominum de rebus divinis cognitionem et salutem, proprium profectum faciens, et quod nostrum est, suum plane reddens. Qui vero ipsum sapientia et gratia ita dicunt profecisse, ut earum augmenta susceperit, ii Nestorium stulte sentientem secuti, unionem quamdam secundum affectionem et respectum et nudam habitationem prodigiose fingunt, nec quæ dicant, nec de quibus affirment, cognoscentes [1]. Nam si caro vere conjuncta est Verbo, simul atque esse cœpit, et eamdem cum ipso in persona essentiam habuit, qui fieri potuit, ut perfecte cunctas sapientiæ et gratiæ divitias non habuerit?

Τοῦ αὐτοῦ. Κεφάλαιον ϟη'.

Ἀναμάρτητος ὢν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν ὁ αἴρων τοῦ κόσμου τὴν ἁμαρτίαν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, οὐχ ὑπέκειτο θανάτῳ, εἴπερ διὰ τῆς ἁμαρτίας εἰς τὸν κόσμον εἰσῆλθεν ὁ θάνατος. Θνήσκει τοίνυν, τὸν ὑπὲρ ἡμῶν ἀναδεχόμενος θάνατον, καὶ ἑαυτὸν τῷ Πατρὶ προσφέρει θυσίαν ὑπὲρ ἡμῶν. Αὐτῷ γὰρ πεπλημμελήκαμεν, καὶ αὐτὸν ἔδει τὸ D ὑπὲρ ἡμῶν λύτρον δέξασθαι, καὶ οὕτως ἡμᾶς λυθῆναι τῆς κατακρίσεως. Ἀλλ' εἰ καὶ τέθνηκεν ὡς ἄνθρωπος, καὶ ἡ ἁγία αὐτοῦ ψυχὴ διῃρέθη τοῦ ἀχράντου σώματος, ἀλλ' ἡ θεότης ἀχώριστος ἀμφοτέρων διέμεινε, τῆς τε ψυχῆς, φημὶ, καὶ τοῦ σώματος. Καὶ οὐδ' οὕτως ἡ μία ὑπόστασις εἰς δύο ὑποστάσεις διῄρηται. Τό τε γὰρ σῶμα καὶ ἡ ψυχὴ κατὰ ταυτὸν ἐξ ἀρχῆς ἐν τῇ τοῦ Λόγου ὑποστάσει ἔχοντα τὴν ὕπαρξιν, καὶ ἐν τῷ θανάτῳ ἀλλήλων διαιρεθέντα ἔμεινε τὴν μίαν τοῦ Λόγου ὑπόστασιν ἔχοντα, καὶ ἀδιαιρέτως ἡνωμένα αὐτῷ·

Ejusdem. Cap. 98.

Cum sine peccato esset Dominus noster Jesus Christus, peccatum enim non fecit, qui sustulit peccatum mundi, nec inventus est dolus in ore ejus [2], morti non fuit obnoxius. Siquidem per peccatum in mundum mors introivit. Mortuus est igitur, mortem pro nobis subiens, et se ipsum Patri pro nobis hostiam obtulit. Nos enim in eum peccaveramus, et ipsum oportebat pro nobis pretium accipere, atque ita nos condemnatione liberari. Quod si mortuus est etiam ut homo, et sancta ipsius anima ab immaculato corpore separata est, divinitas tamen a neutro discessit, nec ab anima, nec a corpore. Neque propterea persona una in duas divisa est. Nam corpus et anima, quæ eodem tempore a principio in Verbi persona essentiam habuerunt, licet in morte sejuncta fuerint, unam tamen Verbi personam habentia et sine divisione cum ipso conjuncta permanserunt.

[1] I Tim. I, 7. [2] I Petr. II, 22.

TITULUS XVI.

Magni Athanasii adversus illos, qui Christum unam esse dicunt naturam compositam. Licet enim postea ab Eutyche, Dioscoro, et Monophysitis hæc hæresis fuerit propagata, fuerunt tamen antea quidam, qui nefariæ istius opinionis semina projecerunt. Sanctus autem Maximus eam dicit Apollinarium disseminasse.

Quid est argumentum illud, quo veluti ariete animas petunt? Partem, inquiunt, essentiæ propriæ Deus fecit carnem assumptam: ut eo pacto una utrumque essentia intelligatur, quæ impatibilis sit, quatenus Verbum est, patiatur autem parte carnis, quæ cum Verbo ad unam essentiam absolvendam concurrit. Hoc autem absurdum esse et maxime exsecrandum facile quivis intelligat. Pars, inquiunt, divinæ essentiæ caro, et quod magis adhuc ridendum est, pars illius, qui nullas habet partes. Compositam faciunt, quæ simplex est. Nam si hæ mutuæ inter se partes ad unum aliquod concurrunt, compositum diversum ostenditur, quod e partibus constat differentibus. Præterea suscipit incrementum ex carne addita, quæ non in natura propria spectatur, sed pars esse essentiæ carnem ipsam accipientis. Quin etiam ex his mutatio patet, cum Verbum amplius secundum æternam essentiam non maneat, sed aliud quiddam propter augmentum esse contingat. Deum naturam mutabilem immutabilis naturæ partem constituis, et unam istam ex utraque novam compositionem, et mutationem ostendis, adeo ut magna difficultas in animo oboriatur, cum nec quid inde sequatur videri queat, neque rei propositæ nomen reperiatur. Quo enim nomine unam ex utrisque essentiam appellemus? Verbum tantum? At carnis pars id non permittit. Carnem tantummodo? At id Verbi natura non concedit. Christumne? Dispensationis, non autem essentiæ istud est nomen. Proh impiorum hominum insaniam, qui dum immutabilem audent essentiam tractare, proprio etiam nomine ipsam spoliarunt. Ista enim ratione Filio ne illud quidem servabitur, ut ejusdem cum Patre sit essentiæ. Qui enim essentiæ propriæ accessionem et mutationem ex alterius admittit admistione, is cum illo qui in eadem manet essentia, non est ejusdem essentiæ. Pater enim præter gloriam propriam in natura nihil possidet. Filius autem naturæ carnem adjungens, ut carnis et Verbi una sit essentia, multum abesse deprehenditur ab eo qui nullam accessionem ad essentiæ propriæ incrementum aut mutationem acceperit. Necesse igitur est, ut unam essentiam Verbi et carnis non confusam agnoscas, aut in eorum qui Arium secuti sunt, errorem incidas, et illorum essentiæ diversitatem introducas, et sacris Domini vocibus adverseris, et magno cum periculo respuas illud: *Ego et Pater unum sumus*[1]; et: *Qui vidit me, Patrem vidit*[2]. Quomodo unum,

[1] Joan. x, 30. [2] Joan. xiv, 9.

A

ΤΙΤΛΟΣ ΙϚʹ.

Τοῦ μεγάλου Ἀθανασίου (1) κατὰ τῶν λεγόντων μίαν σύνθετον φύσιν γεγονέναι τὸν Χριστόν. Εἰ γὰρ ὕστερον ἐπὶ Εὐτυχοῦς καὶ Διοσκόρου τῶν Μονοφυσιτῶν ἡ αἵρεσις ἤκμασεν, ἀλλ' ἦσάν τινες καὶ πρότερον οἱ τοῦ πονηροῦ τούτου δόγματος τὰ σπέρματα καταβάλλοντες. Ὁ δὲ ἅγιος Μάξιμος σπορέα ταύτης τὸν Ἀπολλινάριον γεγονέναι λέγει.

Τί τὸ μηνυθὲν ἐπιχείρημα, δίκην ὁρμητηρίου ταῖς ψυχαῖς λυμαινόμενον; Μέρος, φησὶ, τῆς οἰκείας οὐσίας ὁ Θεὸς Λόγος τὴν ἀναληφθεῖσαν σάρκα ποίηται, ὡς ἐκ τούτου μίαν οὐσίαν νοεῖσθαι τὸ συναμφότερον, μένουσαν μὲν ἀπαθῆ καθὸ Λόγος ἦν, πάσχουσαν δὲ τῷ μέρει τῆς σαρκὸς τῆς μετὰ τοῦ Λόγου συντελούσης εἰς μίαν οὐσίαν. Τούτου δὲ τὸ
B **ἄτοπον, καὶ τὸ πάσης βλασφημίας ἐπέκεινα ῥᾴδιον τῷ βουλομένῳ καταμαθεῖν. Μέρος τῆς θείας οὐσίας ἡ σάρξ, καὶ τὸ γελοιότερον μέρος τῆς ἀμεροῦς, ποιεῖν τε σύνθετον τὴν ἁπλῆν. Εἰ γὰρ ἀλλήλων τοιαῦτα μέρη, εἰς ἕν τι συντελοῦντα, ἕτερον τὸ σύνθετον δείκνυται τὸ ἐκ διαφόρων συνεστάναι λεγόμενον, εἶτα δεχόμενον αὔξησιν ἐκ τῆς προστεθείσης σαρκὸς, οὐκ ἐν τῇ ἰδίᾳ φύσει θεωρουμένης, ἀλλὰ μέρος τῆς τοῦ λαβόντος οὐσίας γεγενημένης, μᾶλλον δὲ καὶ μεταποίησις ἐντεῦθεν μηνύεται, μηκέτι τοῦ Λόγου κατὰ τὴν ἀΐδιον ὕπαρξιν μένοντος, ἀλλά τινὸς ἑτέρου διὰ τῆς προσθήκης τυγχάνειν ἐλεγχομένου. Τὸ γὰρ τὴν τρεπτὴν φύσιν μέρος ποιήσασθαι τῆς ἀτρέπτου, καὶ μίαν ταύτην ἐξ ἀμφοτέρων καινοτομίαν οὐσίας, καὶ ἀποβολὴν ἀποφαίνεται,**
C **ὡς πολλὴν ἀμηχανίαν κατὰ τὴν διάνοιαν φύεσθαι, μὴ δυναμένην μήτε τι ἀκόλουθον συνιδεῖν, μήτε τοῦ προκειμένου προσηγορίαν εὑρεῖν. Ἢ τί ἄν τις εἴποι τὴν μίαν ἐξ ἀμφοτέρων οὐσίαν; Λόγον μόνον; Ἀλλ' οὐκ ἐᾷ τῆς σαρκὸς τὸ μέρος. Σάρκα μόνον; Ἀλλ' οὐ συγχωρεῖ τοῦ Λόγου ἡ φύσις. Ἀλλὰ Χριστόν; Οἰκονομίας, ἀλλ' οὐκ οὐσίας ἔδωκας ὄνομα. Φεῦ τῆς θεομάχου μανίας! κατὰ τῆς ἀτρέπτου οὐσίας τολμήσαντες, καὶ προσηγορίας ταύτην κυρίας ἐστέρησαν, ὡς μηκέτι κατὰ τοῦτον τὸν λόγον μηδὲ τὸ ὁμοούσιον τῷ Υἱῷ πρὸς τὸν Πατέρα φυλάττεσθαι. Τῷ γὰρ ἐν τῇ ταυτότητι τῆς οὐσίας γινωσκομένῳ ὁ προσθήκην καὶ μεταβολὴν τῆς οἰκείας ἐργασάμενος ἐξ ἐπιμιξίας ἄλλης οὐκ ἔτι σώζει τὸ ὁμοούσιον.**
D **Ὁ μὲν γὰρ Πατὴρ οὐδὲν ἔξωθεν τῆς οἰκείας δόξης ἐν τῇ φύσει κέκτηται, ὁ δὲ Υἱὸς προσκτησάμενος ἐν τῇ φύσει τὴν σάρκα, καὶ μίαν οὐσίαν αὐτῆς καὶ τοῦ Λόγου δεικνύων, πάμπολυ διεστὼς ἀπελέγχεται τοῦ μηδεμίαν προσθήκην εἰς αὔξησιν, ἢ μεταβολὴν τῆς οἰκείας οὐσίας κομισαμένου. Ἀνάγκη τοίνυν ἢ μὴ μίαν οὐσίαν εἰδέναι τοῦ Λόγου καὶ τῆς σαρκὸς, ἀλλὰ ἀσύγχυτον ἕνωσιν, ἢ τοῖς Ἀρείου κληρονόμοις συγκαταπίπτειν, καὶ τὸ ἐκείνων ἑτεροούσιον παρεισάγειν, ταῖς ἱεραῖς τε τοῦ Δεσπότου φωναῖς ἀντιπίπτειν, καὶ παρωθεῖσθαι λίαν ἐπικινδύνως τὸ, *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*· καὶ, *Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα*. Πῶς ἕν, ὅπου τὸ**

(1) Hæc Latine tantum exstant inter Athanasii opera, editionis nostræ tom. II, col. 1323.

τοῦτον εὑρίσκεται τὸ διάφορον, τοῦ μὲν εἰς τέλος οὕτω μένοντος ὡς πεφυκὼς ἐξ ἀϊδίου πιστεύεται, τοῦ δὲ τῇ συνθέσει τῆς σαρκὸς τὴν οἰκείαν οὐσίαν κεράσαντος, ἢ αὐξήσαντος, ἢ κατὰ σύγχυσιν εἰς ἄλλο μεταπεσόντος; Πῶς ὁ τοῦτον βλέπων ἐκεῖνον βλέπει, εἴπερ Πατρὸς μὲν οὐσίαν δηλοῖ μόνον θεότης, Υἱοῦ δὲ θεότης καὶ ἀνθρωπότης, ἕν τι τῇ φύσει γενόμενα, καὶ Πατρὸς μὲν οὐσία μέρος οὐκ ἔχει τὸ πάσχον, τοῦ Λόγου δὲ ἡ φύσις τῷ μέρει τῆς σαρκὸς ὑπομένει τὸ πάθος; Τί τῆς δυσσεβείας ταύτης ἀνοσιώτερον, μίαν μὲν λέγειν οὐσίαν, τέμνειν δὲ ταύτην εἰς ποικίλα τε καὶ διάφορα, καὶ φέρειν φωνὰς ἐφ' ὕβρει μὲν λεγομένας, συναρμοσθῆναι δὲ τῇ ὑποθέσει μὴ δυναμένας; Εἰ μὴ τελείας φύσεως τὸ ἀπαθὲς, καὶ τελείας φύσεως τὸ παθητὸν, καὶ μέρος πάσχει, καὶ μέρος οὐ πάσχει, καὶ τὸ μὲν ζῇ, τὸ δὲ τέθνηκεν, ἐλεεινότερον ἄρα τὸ ζῶν τὰς ἐκ τοῦ τεθνηκότος ὀδύνας ἐν αἰσθήσει καρπούμενον, εἴπερ τῆς μιᾶς οὐσίας ἅμα τὸ τεθνάναι, καὶ τὸ ζῆν. Ἀλλ' ἄπαγε τῆς τοσαύτης κενοφωνίας. Οὔτε μέρος ἀμεροῦς, καὶ ἁπλῆς φύσεως παρειλήφαμεν, οὔτε μέρει μὲν πάσχειν, μέρει δὲ μὴ πάσχειν τὸ ἀπαθὲς ἐδιδάχθημεν, οὔτε μιᾶς οὐσίας ὅρον ἐπὶ ταῖς δύο γινώσκομεν, οὔτε τοῦ ἑτεροουσίου, κἂν τοὔνομα προσιέμεθα, ἅτινα πάντα εἰς μίαν οὐσίαν οἱ λέγοντες συντελεῖν τὸν Λόγον καὶ τὴν σάρκα νομοθετοῦντες εὑρίσκονται. Πῶς οὖν καὶ ἡ σὰρξ ἐλήφθη, καὶ ὁ λαβὼν οὐκ ἠλλοιώθη, σώζει τε καὶ ἡνωμένος ταύτῃ πρὸς τὸν ἑαυτοῦ Πατέρα τὴν τῆς οὐσίας ταυτότητα; Πῶς ἐκ τοῦ τὴν σάρκα λαβεῖν, καὶ κατ' αὐτὴν οἰκονομῆσαι σοφῶς τε καὶ ὑπὲρ λόγον, οὐκ εἰς αὔξησιν, ἢ μεταποίησιν τῆς ἰδίας οὐσίας, ἀλλ' εἰς κοινωνίαν τῆς ἐμφύτου ἀξίας, ἣν ἡ τῆς ἀῤῥήτου συναφείας εἰργάσατο χάρις; Ἄλλο γὰρ τὸ λέγειν δύο φύσεων τελείων εἰς ἓν πρόσωπον σύνοδον, καὶ ἄλλο τὸ φάσκειν ἐκ δύο μερῶν μίαν οὐσίαν. Τῆς μὲν γὰρ θείας οὐσίας ὁ λόγος ἁπλοῦς, τῆς δὲ φιλανθρώπου οἰκονομίας τὸ θαῦμα διπλοῦν. Οὔτε οὖν τὸ ἁπλοῦν τῆς οὐσίας εἰς ποικιλίαν τέμνεται, οὔτε τὸ διπλοῦν τῆς οἰκονομίας εἰς μίαν οὐσίαν μεταχωνεύεται. Πῶς γὰρ οἷόν τε τὸ ἀΐδιον καὶ τὸ πρόσφατον ἐν μιᾷ θεωρεῖσθαι φύσει; Μὴ ἄρα καὶ τὸ ἐκ τῆς πλευρᾶς αἷμα καὶ ὕδωρ θεότητος οὐσία, κρουνηδὸν ῥέουσα; Εἰ τῆς αὐτῆς τὸ πάσχειν καὶ τὸ μὴ πάσχειν, ἀνάγκη καὶ θελήματα εἶναι διάφορα, καὶ ἐνεργείας μὴ τὰς αὐτάς. Ἄλλα γὰρ προσήκει μορφῇ Θεοῦ, καὶ ἄλλα μορφῇ δούλου. Ἕτερα ναῷ, καὶ ἕτερα τῷ ἐνοικοῦντι Θεῷ. Στάσιν τοίνυν ἐπεισάγουσιν ἄπαυστον τῇ μιᾷ οὐσίᾳ, ἧς τὸ μὲν ἑτέραν βούλησιν ἔχει, τὸ δὲ ἑτέραν. Εἰ μία οὐσία, πῶς λέγει, *Οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σύ*; Πῶς ἡ αὐτή ἐστι καὶ ποιητὴς, καὶ ποίημα; Πῶς ἡ αὐτὴ καὶ πάντα οἶδε πρὶν γενέσεως, καὶ τὴν ἐσχάτην ἡμέραν καὶ ὥραν ἀγνοεῖ; Πῶς ἡ αὐτὴ καὶ προσεύχεται, καὶ τὰς δεήσεις δέχεται; Πῶς λέγει, *Θεέ μου, Θεέ μου, ἱνατί με ἐγκατέλιπες*; Τίς οἶδεν οὐσίαν αὐτὴν ὑφ' ἑαυτῆς ἐγκαταλιμπανομένην, καὶ ἑαυτὴν ὡς ἄλλον ἐπικα-

A ubi tanta differentia reperitur, ut unus quidem ad finem usque manserit, qualis ab omni æternitate creditur fuisse, alter autem carnis compositione propriam essentiam miscuerit, aut auxerit, aut per confusionem in aliud commutarit? Quomodo qui hunc videt, videt illum, si Patris quidem essentiam divinitas duntaxat indicat, Filii vero divinitas et humanitas, quæ unum quiddam natura sunt? Et Patris quidem essentia partem non habet, quæ patiatur; Verbi autem natura carnis partem habet, quæ patiatur. Quid ista impietate magis nefarium, unam essentiam dicere, et hanc in partes secare varias et differentes, et voces dicere contumeliosas, quæ rei propositæ accommodari nequeunt, nisi perfectæ naturæ pars patibilis, et pars sit impatibilis;
B et pars patiatur, pars autem non patiatur; et pars vivat, pars intereat? Magis profecto miserandum animal, cujus mortui dolores pars sensu percipiat, siquidem unius essentiæ sit simul et interire et vivere. Sed rejiciatur hæc manis doctrina. Nec partem naturæ simplicis, et quæ dividi non potest, accepimus; nec quod est impatibile parte quidem pati, parte autem non pati didicimus; neque unius naturæ definitionem in duabus agnoscimus, neque diversæ, etsi nomen admisimus. Quæ quidem omnia constituere deprehenduntur, qui Verbum et carnem in unam essentiam convenisse dicunt. Quomodo igitur et caro sumpta est, et qui illam
C sumpsit, non est immutatus, et qui cum illa conjunctus est, servat eamdem essentiam cum Patre suo? Quomodo ex carnis assumptione, et ex iis quæ per ipsam sapienter, supra quam dici potest, gesta sunt, non ad incrementum, aut mutationem essentiæ propriæ pervenit, sed ad communicationem naturalis dignitatis, quam arcanæ conjunctionis gratia perfecit? Aliud enim est dicere, duas naturas perfectas in unam personam convenisse, et aliud ex duabus partibus unam essentiam esse conflatam. Nam divinæ quidem essentiæ ratio simplex est, humanæ autem dispensationis miraculum duplex. Quare nec essentiæ simplicitas in varias partes secatur, neque duplex dispensationis ratio in unam conflatur essentiam. Qui enim fieri potest, ut quod æternum est
D et quod est recens in una considerentur natura? Num et sanguis et aqua fuit divinitatis essentia, quæ fontis instar defluxit e latere? Si ejusdem est et pati et non pati, necesse est et voluntates esse diversas, et non easdem actiones. Alia enim convenit formæ Dei, et alia formæ servi; alia templo, et alia inhabitanti Deo. Perpetuam igitur in unam essentiam introducunt seditionem, cujus essentiæ pars unum vult, pars aliud. Si una essentia, cur dicit: *Non quod ego volo, sed quod tu* [1]? Quomodo eadem est, quæ fecit, et quæ facta est? Quomodo eadem et omnia novit antequam fierent, et extremum diem et horam ignorat? Quomodo eadem et precatur, et preces suscipit? Quomodo dicit:

[1] Matth. xxvi, 39.

Deus meus, Deus meus, cur me dereliquisti [1] ? Quis novit eamdem a se ipsa naturam derelinqui, et seipsam ut alium invocare ? quæ quidem omnia naturam duplicem consequuntur. Verum quoniam et humanæ naturæ exemplum nos quidem ad pietatem confirmandam attulimus, alii autem illud ad eversionem detorquent, necesse est ut de hoc item disseramus.

Ejusdem adversus eosdem.

Ecce enim falsam alteram cum impietate ratiocinationem pepererunt : Quemadmodum, inquiunt, homo ex duobus consistens una dicitur natura, sic etiam Dominum Christum ex Verbo et carne exsistentem unam esse constat essentiam. Quod duo tantum inter se differentia perfectam unam nequeant essentiam conficere, et quæ non sit mutabilis, paucis antea demonstratum est. Quod autem exemplum hoc rei ab ipsis propositæ nihil prosit, statim ostendetur. Homo ex anima mente prædita, et corpore sensibus affecto animal jure censetur. Quoniam horum neutrum sine altero prius consistit, neque naturæ terminum conservat, cum exsistendi principium sumant ex utero, atque ita in vitam exeant et unius animalis constitutionem efficiant. At Dominus Jesus non imperfectis e rebus exsistendi principium accipit, sed naturarum perfectarum in se principium ostendit. Atque illic quidem hominis partes sunt anima et corpus ; hic autem neque caro pars Verbi est, neque Verbum pars carnis. Illorum enim utrumque, priusquam conjungantur, perfectam naturam ostendit, ut nihil omnino neque divinitati ad rationem propriam, neque humanitati desit. Aliud enim est duabus ex partibus essentiam absolvi, et aliud duas essentias conjungi, quarum utraque perfecta sit. Quamobrem et forma Dei dicitur, et forma servi. In homine vero neque anima sola est homo, neque caro. Nam si harum altera reipsa perfecta foret natura, aliquid etiam sine altera perfecisset. Et hoc perspicuum est, non solum ex divinis legibus, verum etiam ex verbis humanis. Etenim qui hæc profitentur, sic hominem definiunt, esse animal ratione præditum, mortale, ut ratione præditum ad animam, mortale spectet ad corpus. Sic utrumque unius esse personæ, non autem duarum censuerunt. Pari ratione et divina Scriptura hominem ipsum et ad imaginem Dei significat, propter animæ ratione præditæ excellentiam, et masculum appellat, et feminam propter carnis proprietatem, ut animam et corpus unius personæ, non autem duarum partes esse declaret. Cur igitur hoc utuntur exemplo, quod nullam habet similitudinem ? Si enim duas personas perfectas ostenderent in unam conclusas essentiam, recte exemplum protulissent. Sed unius personæ duas partes dicentes, duas dicunt personas, cum Dominus Christus duo vocetur perfecta, et Deus et homo, propter utriusque perfectionem. Sic enim Ser-

[1] Matth. XXVII, 46.

A λουμένην, ἅπερ τῷ διπλῷ τῶν φύσεων ἀκόλουθα δείκνυται; Ἀλλ' ἐπειδὴ καὶ τὸ ὑπόδειγμα τῆς τοῦ ἀνθρώπου φύσεως ἡμεῖς μὲν πρὸς τὸ εὐσεβὲς παρειλήφαμεν, ἕτεροι δὲ πρὸς διαστροφὴν ἐκλαμβάνουσιν, ἀναγκαῖον ποιήσασθαι καὶ τὴν περὶ τούτου διάλεξιν.

Τοῦ αὐτοῦ κατὰ τῶν αὐτῶν.

Ἰδοὺ γὰρ καὶ ἕτερον παραλογισμὸν μετὰ τῆς ἀσεβείας ἐγέννησαν. Ὥσπερ, φησὶν, ὁ ἄνθρωπος ἐκ δύο συνεστὼς, μία φύσις λέγεται, οὕτω καὶ ὁ Δεσπότης Χριστὸς ἐκ Λόγου καὶ σαρκὸς ὑπάρχων, μία οὐσία δείκνυται. Τὸ μὲν οὖν μὴ δύνασθαι τὰ τοσοῦτον ἀλλήλων παρηλλαγμένα καὶ τελείαν μίαν οὐσίαν ἀποB τελεῖν, καὶ τρεπτὴν μὴ ποιεῖν, συντόμως προείρηται. Τὸ δὲ μηδὲν αὐτοῖς κατὰ σκοπὸν ἀπαντᾷν, ἐκ τοῦδε τοῦ παραδείγματος αὐτίκα δειχθήσεται. Ἄνθρωπος μὲν γὰρ ἐκ ψυχῆς νοητῆς καὶ σώματος αἰσθητοῦ ζῶον γνωρίζεται εἰκότως, διὰ τοῦτο μηδέτερον χωρὶς τοῦ ἑτέρου προάγουσαν ἔχειν ὑπόστασιν μηδὲ σώζειν τὸν ὅρον τῆς φύσεως, κατὰ ταυτὸν μὲν ἀρχὴν τοῦ εἶναι λαβόντα ἐκ γαστρὸς, καὶ οὕτως εἰς τὸν βίον ἐρχόμενα, ἑνὸς δὲ ζώου σύστασιν ἐργαζόμενα. Ὁ δὲ Κύριος Ἰησοῦς οὐκ ἐξ ἀτελῶν πραγμάτων τὸ εἶναι δέχεται, ἀλλὰ τελείων σύνοδον ἐν ἑαυτῷ φύσεων δείκνυσι. Κἀκεῖ μὲν μέρη ἀνθρώπου ψυχὴ καὶ σῶμα, ἐνταῦθα δὲ οὔτε ἡ σὰρξ μέρος τοῦ Λόγου, C οὔτε ὁ Λόγος μέρος τῆς σαρκός. Ἑκάτερον γὰρ αὐτῶν καὶ πρὸ τῆς γνώσεως τελείαν δείκνυσι τὴν φύσιν, ὡς μηδὲν ὅλως λείπειν μήτε τῇ θεότητι εἰς τὸν ἴδιον λόγον, μήτε τῇ ἀνθρωπότητι. Ἄλλο γάρ ἐστι τὸ ἀναπληροῦσθαι οὐσίαν ἐκ δύο μερῶν, καὶ ἄλλο τὸ τέλειον· διὸ καὶ μορφὴ Θεοῦ λέγεται, καὶ μορφὴ δούλου. Ἐπὶ δὲ τοῦ ἀνθρώπου οὔτε ψυχὴ μόνη ἄνθρωπος, οὔτε ἡ σάρξ. Εἰ γὰρ ἦν τι τούτων τελεία φύσις, εἰς ἐνέργειαν ἔπραξεν ἄν τι καὶ δίχα τοῦ ἄλλου. Καὶ τοῦτο σαφὲς οὐ μόνον παρὰ τοῖς θείοις νόμοις, ἀλλ' ἤδη καὶ παρὰ τοῖς ἀνθρωπίνοις λόγοις. Ὁρίζονται γοῦν τὸν ἄνθρωπον οἱ περὶ ταῦτα δεινοὶ ζῶον λογικὸν θνητόν· τὸ μὲν λογικὸν ἐκ τῆς ψυχῆς ἑρμηνεύοντες, τὸ δὲ θνητὸν ἐκ τοῦ σώματος ἀποφαίνοντες. Οὕτως ἀμφότερα ἑνὸς προσώπου, οὐ δύο ἐνόD μισαν. Τὸν ἴσον τρόπον καὶ ἡ θεία Γραφή. Τὸν γὰρ αὐτὸν ἄνθρωπον καὶ κατ' εἰκόνα Θεοῦ μηνύει κατὰ τὸ ἐξαίρετον τῆς νοερᾶς ψυχῆς, καὶ ἄρσεν καὶ θῆλυ προσαγορεύει κατὰ τὸ ἰδίωμα τῆς σαρκὸς, ἵνα δείξῃ τὴν ψυχὴν καὶ τὸ σῶμα μέρη ἑνὸς προσώπου, οὐ δύο. Πῶς οὖν κέχρηνται τῷδε τῷ ὑποδείγματι μηδὲν ὅμοιον ἔχοντι; Εἰ δύο πρόσωπα τέλεια ὑπέδειξαν εἰς μίαν μεθαρμοσθέντα οὐσίαν, καλῶς προέφερον τὸ ὑπόδειγμα. Δύο δὲ μέρη ἑνὸς προσώπου λέγοντες, δύο πρόσωπα λέγουσι, τοῦ Δεσπότου Χριστοῦ τὰ δύο τέλεια καλουμένου, καὶ Θεοῦ καὶ ἀνθρώπου, διὰ τὸ τέλειον ἀμφοτέρων. Οὕτω γοῦν ἡ σωτήριος τοῦ Χριστοῦ προσηγορία νῦν μὲν δηλοῖ μόνην τὴν θεότητα, ὡς ἀνενδεῆ καὶ τελείαν, νῦν δὲ τὴν ἀνθρωπό-

τητα, ὡς μηδὲν ἔχουσαν τῇ κατασκευῇ ἐλλιπὲς, νῦν δὲ τὸ συναμφότερον, ἵνα δειχθῇ καὶ τῶν δύο φύσεων τὸ διάφορόν τε καὶ τέλειον, καὶ τῆς ξένης ἑνώσεως τὸ πρόσωπον ἄτμητον. Ἐκεῖνοι μὲν εἰς τροπὴν Θεότητος, καὶ ἀνατροπὴν τῶν συνόντων ταῖς φύσεσι καὶ εἰς ἀναρμόστους φλυαρίας ἐχρήσαντο τῇ κατὰ τὸν ἄνθρωπον θεωρίᾳ, ἡμεῖς δὲ εἰς ἀπόδειξιν καὶ μαρτυρίαν τοῦ δυνατὸν εἶναι καὶ δύο τινῶν σύνοδον νοεῖσθαι, καὶ ἓν πρόσωπον δι' ἀμφοτέρων ὁρᾶσθαι. Εἰ γὰρ ἀνθρώπου φύσις οὐκ ἐκωλύθη δύο μὲν ἔχειν μέρη τὰ ἐξ ὧν τὸ πρόσωπον, ἓν δὲ δεικνύναι πρόσωπον τὸν οὕτω συνεστῶτα ἄνθρωπον, πόσῳ μᾶλλον ἡ θεία χάρις ἱκανὴ δεῖξαι δυνατὸν καὶ ἀκόλουθον τὸ καὶ δύο φύσεις τελείας εἰς ἕνωσιν ἀσύγχυτον συνδραμεῖν, καὶ τοῦ προσώπου τὸ μοναδικὸν μηδαμῶς ἀνελεῖν; Ὥσπερ δὲ ἀκούσαντες, *Εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα*, τῇ θεότητι μόνῃ τὸ ποιῆσαι τὰ πάντα κατὰ τὸ εἰκὸς ἐπιγράφομεν· οὕτως ἀκούσαντες τὸ, *Εἷς παθητὸς ὁ Χριστὸς*, τῆς ἡνωμένης σαρκὸς τὸ πάθος γινώσκομεν· ἐπεὶ πῶς νοήσομεν τῆς αὐτῆς οὐσίας καὶ ἀσθένειαν ἐν ταυτῷ, καὶ τὴν δύναμιν; Τὸ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής· οὐ μέρος πνεύματος, οὐδὲ μέρος σαρκός. Καὶ πάλιν, *Εἰ γὰρ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ*· ὅρα τὰ ὀνόματα, καὶ τὰ πράγματα· πνεῦμα καὶ σὰρξ, δύναμις καὶ ἀσθένεια, σταυρὸς καὶ ζωή, τὸ ἐγεῖρον καὶ τὸ ἐγειρόμενον, τὸ ὑπερυψοῦν καὶ τὸ ὑπερυψούμενον· ἐν ἑνὶ δὲ προσώπῳ οὐ κατὰ σύνθεσιν μερῶν, ἀλλὰ καθ' ἕνωσιν τελείων φύσεων, οὐ μίαν οὐσίαν τὰς δύο ποιοῦσαν, ἀλλὰ μίαν ἀξίαν καὶ δόξαν δηλοῦσαν· οὕτως οὐκ ἀρνούμεθα τὴν ἕνωσιν, παραιτούμεθα δὲ τὴν συνουσίωσιν. Ὅτι γὰρ ἀδύνατον τὰς δύο οὐσίας γενέσθαι μίαν, διδάσκει μὲν ὁ τῆς φύσεως νόμος, διδάσκει δὲ ὁ τοῦ κηρύγματος λόγος, πείθει δὲ διὰ παντὸς γένους ἡ πεῖρα, θεσπίζει δὲ προδήλως ὁ Κύριος. Μετὰ γοῦν τὴν ἀνάστασιν ἀπιστούντων ἔτι τῶν μαθητῶν φησι, *Ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα.* Ψηλαφήσατε πρότερον, ἵνα δειχθῇ οὐ φαντασία πνεύματος ἀπατῶσα τοὺς θεωμένους, ἀλλ' ἀντιτυπία σώματος πληροφοροῦσα τοὺς ἁπτομένους. Τίς οὖν οὐχ ὁρᾷ τὰ τῶν φύσεων ἴδια, ὅτι τοῦ πνεύματος μὲν τὸ μὴ ἔχειν σάρκα μήτε ὀστᾶ, τοῦ σώματος δὲ τὸ ἔχειν, καὶ τοῦ μὲν τὸ θεωρεῖσθαι, τοῦ δὲ τὸ μὴ ὁρᾶσθαι, τούτου τὸ ἀφῇ ὑποβάλλεσθαι, ἐκείνου τὸ ἀφὴν μὴ προσίεσθαι; Πῶς οὖν μία οὐσία, καὶ τοσαύτης οὔσης παραλλαγῆς;

Τοῦ αὐτοῦ κατὰ τῶν αὐτῶν.

Τί λέγετε; τί ἀποφαίνεσθε; Οἴχεται τῆς φύσεως τὸ διάφορον, καὶ οὐδὲν φέρεται τούτων γνώρισμα; Τί οὖν ὀνομάσομεν τὸ προκείμενον; Λόγον μόνον; Οὐ γὰρ φαίη τις σάρκα τοῦτο τιμᾷν δῆθεν οἰόμενος. Καὶ πῶς οὐχ ὑβρίζετε τοιαύτην αὐτοῦ τὴν οὐσίαν νομίζοντες εἶναι, ὡς δυνατὸν ἑτέρᾳ οὐσίᾳ κτιστῇ πρὸς αὐτὴν μεταστῆναι; Τὸ γὰρ τοῖς ἥττοσι χω-

vatoris Christi nomen nunc quidem solam ostendit divinitatem utpote absolutam et perfectam, nunc autem humanitatem, quippe cujus perfectioni nihil desit; nunc autem cum ipsa persona utramque duarum naturarum differentiam et perfectionem nova conjunctione suscipiat. Illi quidem ad divinitatis mutationem et eversionem humanitatem adhibuerunt; nos autem ut ostenderemus et testaremur, fieri posse, ut duarum rerum congressus sit, et una persona. Nam si nihil prohibet quominus hominis natura duas habeat partes, ex quibus una consurgit persona, homo nimirum, qui ita constat, quanto magis divina gratia valet efficere ut et duæ naturæ perfectæ in conjunctionem minime confusam concurrant, nec tamen una singularis tollatur persona? Quemadmodum autem cum audimus : *Unus Dominus Jesus Christus, per quem omnia* [1], rerum omnium procreationem, ut par est, soli tribuimus divinitati; sic audientes : Unus patibilis Christus, conjunctæ carnis affectionem agnoscimus. Qui enim possimus ejusdem essentiæ et in eodem imbecillitatem et virtutem intelligere? *Spiritus*, inquit, *promptus, caro autem infirma* [2], non autem pars carnis, aut pars spiritus. Et rursum : *Si enim*, inquit, *crucifixus est ex infirmitate, vivit ex virtute Dei* [3]. Cernis nomina et res : spiritus et caro, virtus et infirmitas, crux et vita, qui suscitat et qui suscitatur, qui exaltat et qui exaltatur. Cernis autem in una persona non partium compositionem, sed perfectarum naturarum conjunctionem, qua non duæ una fiunt essentia, sed una dignitas et gloria declaratur. Non igitur naturarum negamus conjunctionem, sed in unam essentiam dicimus non confluxisse. Fieri non posse, ut duæ una fiant essentia, docet naturæ lex, docet et prædicationis ratio, suadet in omni rerum genere experientia; aperte etiam ipse Dominus indicat, qui post resurrectionem suam non credentibus adhuc discipulis : *Palpate*, inquit, *me, et videte, quia spiritus carnem et ossa non habet, sicut me videtis habere* [4]. *Palpate*, inquit prius, ut ostenderet se spiritus non esse spectrum quo spectantes deciperentur, sed corpus tactui resistens. Quis non videat naturarum proprietates, cum spiritus quidem carnem et ossa non habeat, quæ corpori adsunt; et corpus quidem videatur, spiritus autem non cernatur; corpus tactui sit obnoxium, spiritus autem sub tactum non cadat? Quomodo igitur essentia una, cum tanta sit differentia?

Ejusdem adversus eosdem.

Quid dicitis? quid demonstratis? Abit naturarum differentia, et nullum earum indicium relinquitur? Quomodo igitur subjectum appellabimus? Verbumne solum? Neque enim id quispiam carnem dixerit, qui eo nomine se illud putet honorare. At quomodo non ipsum afficitis contumelia, cum talem ipsius essentiam putatis esse, ut alteri

[1] I Cor. VIII, 6. [2] Matth. XXVI, 41. [3] II Cor. XIII, 4. [4] Luc. XXIV, 39.

liceat essentiæ procreatæ in eam commutari? Quod enim a deterioribus capi potest commune multorum est, et non unius eximium. Cui autem id proprium est, ut sit inaccessum, huic quomodo alterum adjungatur? At non modo Verbum afficitis contumelia, verum etiam carnis personam tollitis. Cujus enim indicium amplius non relinquitur, hujus gloriam quomodo cognoscemus? Si enim cognoscitur, quoniam est, merito eam honoratis. Si non est, quomodo gloriæ fruitur amplitudine? Nisi ostenderitis id quod honoratis, non apparebit gloriæ magnitudo. Necessarium igitur est confiteri duorum minime confusam conjunctionem, nec ad accipientis mutationem, nec ad accepti interitum esse factam, sed ad gloriæ societatem, quæ in unius persona declaratur. Quamvis enim utrumque Verbum solum natura etiam repugnante vocari patiamini, non tamen discrimen abscondetis. Quandoquidem unum erat a principio, alterum autem factum est. Unum, quod nec cerni nec tangi potest, ex infinito infinitum; alterum autem ex eo quod cerni tangique potest in id quod nec cernitur, nec tangitur, transiit. Et unum quidem semel immutabile, alterum autem ex mutabili ad præstantiorem pervenit conditionem. Præterea si hoc est solum Verbum, cur non invenimus: *Caro facta est Verbum*, sed: *Verbum caro factum est* [1]? Quis porro adeo insanit et mente captus est, ut audeat dicere divinam essentiam assumpsisse aliam divinitatis essentiam ex altera provenientem natura, ut per talem accessionem incrementum illius, quod natura nullius indiget, et perfectum est, compararet? Ad hæc quomodo divina Scriptura etiam post miram ascensionem prædicat, quæ carnis sunt propria, nempe rursum venturum, eodemque modo visum iri? Num angelis etiam repugnabitis, qui aperte dixerunt: *Hic Jesus, qui assumptus est a vobis, sic veniet, quemadmodum vidistis eum ascendentem in cœlum* [2]? Omnia ad carnem significandam plane spectant. Illud: *Hic veniet*, sicut in corpore, nunc quidem hic, nunc autem illic perspecto, *Quemadmodum vidistis*, id est, carnis oculis. Hæc qui ita non accipit, is non solum angelis repugnat, verum etiam sacris Spiritus sancti oraculis adversatur. Quomodo intercedit pro multis Dominus Christus? Ut Verbum solum? et ubi est æqualis cum Patre dignitas, si tanquam inferior intercedit, non autem cum auctoritate largitur, cum sit pariter omnipotens? Nonne perspicuum est, ejus esse qui primitiæ dicitur, pro massa propria intercedere, ut suam erga carnis naturam affectionem ostendat? Quem autem non moveat clarissima sapientissimi Pauli prædicatio, qui: *Deus*, inquit, *ignorantiæ tempora despiciens denuntiat omnibus ubique, ut pœnitentiam agant, quoniam constituit diem in qua judicaturus est orbem terrarum, in justitia, in viro, quo definivit, fidem omnibus faciens, ipsum a mortuis suscitasse* [3]. Nonne diffe-

ρητὸν, κοινὸν τῶν πολλῶν, οὐχ ἑνὸς ἐξαίρετον. Ὧ δὲ μόνῳ τὸ ἀπρόσιτον ἴδιον, τούτῳ πῶς προστίθετε ἀπρόσιτον ἕτερον; Καὶ οὐ μόνον τὸν Λόγον ὑβρίζετε, ἀλλὰ καὶ τῆς σαρκὸς τὴν ὑπόστασιν ἀφανίζετε. Ἧς γὰρ μηδὲν ἔτι λείπεται γνώρισμα, ταύτης ποίῳ τρόπῳ τὴν δόξαν κατανοήσομεν; Εἰ ἐν τῷ εἶναι γνωρίζεται, εἰκότως δοξάζετε. Εἰ δὲ μὴ ἔχει τὸ εἶναι, πῶς καρποῦται τῆς δόξης τὸ μέγεθος; Ἐὰν μὴ δείξητε τὸ τιμώμενον, οὐ μηνύεται τῆς δόξης τὸ ὑπέρογκον. Ἀνάγκη τοίνυν ὁμολογεῖν ἀσύγχυτον τῶν δύο τὴν ἕνωσιν, οὔτε εἰς τροπὴν τοῦ λαβόντος, οὔτε εἰς ἀφανισμὸν τοῦ ληφθέντος, ἀλλ' εἰς κοινωνίαν δόξης, ἐφ' ἑνὸς προσώπου κηρυσσομένης. Κἂν γὰρ ὑπομείνητε Λόγον μόνον ὀνομάζειν τὸ συναμφότερον, καίτοι τῆς φύσεως ἀντανισταμένης, οὐδ' οὕτω κρύψετε τὸ διάφορον, ὁπόταν τὸ μὲν ἀόρατον καὶ ἀψηλάφητον ἐξ ἀπείρου εἰς ἄπειρον, τὸ δὲ ἐξ ὁρατοῦ καὶ ψηλαφητοῦ πρὸς τὸ ἀόρατον καὶ ἀναφὲς μεταβέβηκε. Καὶ τὸ μὲν ἀναλλοίωτον ἅπαξ, τὸ δὲ δι' ἀλλοιώσεως ἐπὶ τὴν κρείττονα λῆξιν ἐλήλυθεν. Εἶτα εἰ μόνον Λόγος τὸ μένον, πῶς οὐκ ἐῤῥήθη, ὅτι ἡ σὰρξ Λόγος ἐγένετο, ἀλλ' ὁ Λόγος σάρξ; Τίς δὲ οὕτω μεμηνὼς καὶ φρενόπληξ, ὡς τολμῆσαι εἰπεῖν τὴν θείαν προσλαβεῖν ἄλλην θεότητος οὐσίαν ἐξ ἑτέρας φύσεως ἐπιγενομένην, ἵνα αὔξησιν παρασκευάσῃ νοεῖσθαι διὰ τῆς τοιαύτης προσθήκης τοῦ κατὰ φύσιν ἀνενδεοῦς καὶ τελείου; Πῶς δὲ οἱ θεῖοι λόγοι καὶ μετὰ τὴν ξένην ἄνοδον ἔτι κηρύσσουσι τὰ τῇ σαρκὶ διαφέροντα, τὸ πάλιν ἐλθεῖν, τὸ κατὰ τὸν αὐτὸν ὀφθῆναι τρόπον; Ἢ καὶ τοῖς ἀγγέλοις ἐναντία νομοθετήσετε τοῖς εἰρηκόσι σαφῶς, *Οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν, οὗτος ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν*; Πάντα πρὸς ἔμφασιν τῆς σαρκὸς, τὸ, *οὗτος*, τὸ *ἐλεύσεται*, ὡς ἐν σώματι νῦν μὲν ὧδε, νῦν δὲ ὧδε θεωρουμένῳ. Ὃν τρόπον ἐθεάσασθε, τουτέστι τοῖς τῆς σαρκὸς ὀφθαλμοῖς, ἅπερ ὁ μὴ δεχόμενος οὕτως οὐ μόνον τοῖς ἀγγέλοις μάχεται, ἀλλὰ καὶ τοῖς τοῦ ἁγίου Πνεύματος ἱεροῖς λόγοις ἀντικαθίσταται. Πῶς ἐντυγχάνει ὑπὲρ πολλῶν ὁ Δεσπότης Χριστός; Ὡς Λόγος μόνος; καὶ ποῦ τὰ τῆς ὁμοτίμου πρὸς τὸν Πατέρα ἀξίας, εἴπερ ἐντυγχάνων καθάπερ ὑποδεέστερος, καὶ οὐ μετὰ αὐθεντίας εὐεργετεῖ, ἴσον ἔχων τὸ παντοδύναμον; ἢ δῆλον ὅτι τῆς ἀπαρχῆς τὸ ἐντυγχάνειν ὑπὲρ τοῦ οἰκείου φυράματος, ἵνα δείξῃ πόση περὶ τὴν τῆς σαρκὸς φύσιν ἡ σχέσις; Τίνα δὲ οὐκ ἐντρέπει τοῦ πανσόφου Παύλου τὸ τρανότατον κήρυγμα, ὅτι *Τοὺς χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς, παραγγέλλει πᾶσι πανταχοῦ μετανοεῖν, καθότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν*. Μὴ ἀνήρηται ἡ διαφορά; Μὴ οὐκ εἶπε, Θεὸν ἐν ἀνδρί; Μὴ οὐκ ἔδειξε τὸν ἐγείραντα Θεὸν, καὶ τὸν ἀναστάντα ἄνδρα; Ἀλλ' εἰ καὶ τὸ διάφορον ἔδειξε, τὸ ἀχώριστον οὐ παρέλειψεν. Οὐ γὰρ εἶπε, Θεὸν μετ' ἀνδρὸς, ἀλλὰ, Θεὸν ἐν ἀνδρί. Πῶς δὲ νοήσομεν καὶ τὸ, *Ὄψονται*

[1] Joan. I, 14. [2] Act. I, 11. [3] Act. XVII, 30, 31.

εἰς ὃν ἐξεκέντησαν, εἰ μὴ τῆς σαρκὸς ἡ φύσις ἡ δεξαμένη τοὺς ἥλους, αὐτὴ σαφῶς ἐπιδείξει τοὺς τύπους; Οὐ γὰρ θεότητος οὐσία ἡ ἀόρατος, καὶ ἀνεπαφής, ἴχνη παθῶν εἰς ἔλεγχον ἐπιφέρεσθαι ἔμελλεν, ἀλλ' ἡ ἐκ τοῦ παθητοῦ γένους ληφθεῖσα τὴν τῶν ἠσεβηκότων ἐλέγξει παρανομίαν, γνωρίζειν συνωθουμένων ἐν τῇ τρωθείσῃ σαρκὶ τὰ οἰκεῖα τολμήματα. Οὕτω δέδεικται καὶ τὰ ἰδιώματα τῶν φύσεων ἀναφαίρετα, καὶ τὸ κέρδος τῆς ἐνανθρωπήσεως ἀναντίρρητον καὶ τὸ ἐπιχείρημα τῶν ἀντιλεγόντων ἀναίσχυντον, καὶ τὸ δυνατὸν τῆς ἀληθείας ἀκαταμάχητον.

rentiam sustulit? Nonne dixit, Deum in viro? Nonne demonstravit Deum, qui suscitavit, et hominem qui suscitatus est? Verum quanquam differentiam ostendit, non tamen conjunctionem inseparabilem prætermisit. Non enim dixit, Deum cum viro, sed, Deum in viro. Jam quomodo illud intelligemus: *Videbunt, in quem transfixerunt* [1], nisi carnis natura, quæ clavos suscepit, aperte foramina demonstret? Neque enim divinitatis essentia, quæ nec videtur, nec tangitur, vestigia vulnerum in testimonium est allatura; sed natura ex patibili genere suscepta impiorum scelus redarguet, qui cogentur propria flagitia agnoscere in carne, quam vulnerarunt. Sic et naturarum proprietates non esse sublatas, et certum humanæ carnis assumptæ lucrum, et impudens adversantium argumentum, et vim veritatis inexpugnabilem demonstravimus.

Τοῦ ἁγίου Μαξίμου κατὰ Εὐτυχοῦς, καὶ Διοσκόρου, τῶν τὰς δύο τοῦ Χριστοῦ φύσεις εἰς μίαν φύσιν ἀνακιρνώντων, οὓς οἱ μὲν Συγχυτικούς, οἱ δὲ Μονοφυσίτας ὠνόμασαν. Τούτων δὲ ὁ μὲν Εὐτυχὴς ἀρχιμανδρίτης ἦν, ὁ δὲ Διόσκορος πάπας Ἀλεξανδρείας. Ἀπὸ τῆς ἐκθέσεως τοῦ περὶ τῆς ὀρθῆς ὁμολογίας λόγου.

Sancti Maximi adversus Eutychem, et Dioscorum, duas naturas in unam confundentes, quos quidam Synchyticos, quidam Monophysitas appellaverunt. Eutyches autem fuit archimandrita, Dioscorus vero archiepiscopus Alexandriæ. Ex interpretatione orationis de recta confessione.

Τοὺς λόγους τῶν συνελθόντων σωζομένους ἀεὶ οἱ Πατέρες διδάσκουσιν· αὐτὰ δὲ ταῦτα τὰ συνελθόντα πρὸς ἓν ἄμφω συντελεῖν πρόσωπον τοῦ Υἱοῦ καὶ μίαν ὑπόστασιν. Εἰ δὲ τοῦτο, πῶς οὐ χρεὼν πάλιν κατὰ τοὺς Πατέρας διὰ μὲν τὸ εἰδέναι σωζομένους τοὺς λόγους τὴν διαφορὰν λέγειν καὶ μετὰ τὴν ἕνωσιν σώζειν ἐν ἰδιότητι τῇ κατὰ φύσιν τῶν συνελθόντων ἑκάτερον, διὰ δὲ τὸ ὁμολογεῖν, ὡς πρὸς ἓν ἄμφω συντελοῦσι πρόσωπον τοῦ Υἱοῦ, καὶ μίαν ὑπόστασιν, ἀκριβῶς γινώσκειν, ὡς ἀδιαίρετα ταῦτα πεφύκασιν; Ὅτι δὲ ἡ τῶν συνελθόντων διαφορά, καὶ αὐτὰ δὲ ταῦτα τὰ συνελθόντα σώζονται μετὰ τὴν ἕνωσιν πάσης τροπῆς ἐκτός, καὶ συγχύσεως, ὁ ἁγιώτατος τῆς Ἐκκλησίας φωστὴρ Κύριλλος, ᾧ καὶ προστεθεῖσθαι περισσῶς ὑποκρίνονται οἱ τῇ ἁγίᾳ τοῦ Θεοῦ διακενῆς πολεμοῦντες Ἐκκλησίᾳ, ἀρκέσει μαρτυρῶν· ἐν μὲν γὰρ τῷ δευτέρῳ τῶν κατὰ Νεστορίου δυσφημιῶν τόμῳ γράφων τάδε, *Παρενηνεγμένου γε μὴν εἰς μέσον μυστηρίου τοῦ κατὰ Χριστόν, ὁ τῆς ἑνώσεως λόγος οὐκ ἀγνοεῖ μὲν τὴν διαφοράν, ἐξίστησι δὲ τὴν διαίρεσιν, οὐ συγχέων ἀλλήλαις, καὶ ἀνακιρνῶν τὰς φύσεις, ἀλλ' ὅτι σαρκὸς καὶ αἵματος μετεσχηκὼς ὁ τοῦ Θεοῦ Λόγος εἷς πάλιν καὶ ὁ αὐτὸς νοεῖται καὶ ὀνομάζεται*· ἐν δὲ τῇ πρὸς Ἀνδρέαν τὸν μεμψάμενον τὸ τρίτον τῶν κεφαλαίων ἀπολογίᾳ οὕτω λέγων· *Ἀμοιρήσειε δ' ἂν καὶ μώμου παντὸς τὸ εἰδέναι τυχόν, ὡς ἑτέρα μέν ἐστι κατὰ φύσιν ἰδίαν ἡ σὰρξ παρά γε τὸν ἐκ Θεοῦ Πατρὸς φύντα Λόγον, ἕτερος δ' αὖ κατά γε τὸν τῆς ἰδίας φύσεως λόγον ὁ Μονογενής, ἀλλ' οὐ τὸ εἰδέναι ταῦτα μερίζειν ἐστὶ τὰς φύσεις μετὰ τὴν ἕνωσιν.* Ἰδοὺ καὶ τὸ *μετὰ τὴν ἕνωσιν* σαφῶς τίθειται τῷ μεγάλῳ Κυρίλλῳ, εὐσεβῶς τοῖς πιστοῖς καὶ νοούμενον κατ' αὐτὴν, καὶ λεγόμενον. Τὸ γὰρ μηδαμῶς τι βεβλάφθαι τὸν τοῦ εἶναι τῶν ἑνωθέντων λόγον ἐκ τῆς ἑνώσεως δηλοῖ καὶ τὸ μὴ θατέρῳ θάτερον φυρθῆναι διὰ τὸ ἐξ

Duarum naturarum conjunctarum rationes ita servari docent Patres, ut illæ ipsæ convenientes, in unam ambæ Filii personam atque unam hypostasim concurrerint. Quod si ista est Patrum doctrina, necessarium est, ut cum rationes ipsæ serventur, differentia item appareat, quæ post conjunctionem in naturali proprietate utramque conservet. Ex eo autem quod in unam personam atque hypostasim naturas ambas convenisse confitemur, has dividi sejungique non posse plane cognoscimus. Quod autem et naturarum differentia, et ipsæ naturæ post conjunctionem sine ulla mutatione aut confusione serventur, sanctissimus Ecclesiæ splendor Cyrillus, cui vel addi quidquam supervacaneum esse simulant, qui frustra sanctam Dei oppugnant Ecclesiam, satis testatur in secundo tomo eorum quæ contra Nestorii maledicta conscripsit, loquens ad hunc modum: « Cum autem Christi mysterium in medium affertur, conjunctionis ratio non ignorat differentiam, sed rejicit divisionem; nec naturas confundit atque commiscet, sed Dei Verbum sic esse factum carnis et sanguinis particeps dicit, ut unus tamen atque idem Filius intelligatur et nominetur. » At in Apologia ad Andream, qui caput tertium reprehendebat, « Ab omni, inquit, absit reprehensione, si quis carnem natura propria a Verbo ex Deo Patre genito diversam esse sentiat, itemque naturæ propriæ ratione diversum Unigenitum. Nec tamen hæc ita contemplari, est naturas post conjunctionem dividere. » Ecce quam aperte a magno Cyrillo positum est *post conjunctionem*, in quo pie cum fidelibus et sentit et loquitur. Nam quod eorum quæ conjuncta sunt, ratio nihil lædatur, ex conjunctione declarat. Quod autem neutrum cum altero misceatur et confundatur, ex eo quod ex utroque unum in persona fieri dicit, servari autem et manere sicut utrumque est per essentiam. Id enim cum sa-

[1] Zachar. XII, 10; Joan. XIX, 37.

piens Cyrillus sciret, perspicue dicit, neque inter se naturas confundi, quod in unam personam convenerint; neque vicissim dividi, quamvis utraque secundum rationem essentiæ post conjunctionem et sit, et maneat, et intelligatur cum naturali proprietate et differentia, qua et Verbum natura Deus est, non autem caro, licet per dispensationem carnem propriam effecerit, et caro est natura caro, non autem Deus, licet Dei Verbi propria facta sit. Nonne igitur necessarium, et pium, et congruum est dicere ex Patrum doctrina, post conjunctionem differentiam servari, et duas in uno Christo naturas, ex quibus, est tenere post earum conjunctionem, quarum est differentia? Necesse enim est, cum quædam differant, esse differentiam, et ubi differentia est, ibi aliqua differre; hæc enim quodammodo sese vicissim introducunt: uti sunt causæ, et quæ a causis proficiscuntur, quippe quæ sunt ex eorum numero, quæ cum aliquo conferuntur. Si enim essentiæ diversitas eorum ex quibus constat Christus tanquam causa in eo constituit differentiam, et ipsa prorsus differentia tanquam ab illa causa proveniens indicat naturalem eorum quæ conjuncta sunt, diversitatem. Hæc enim, ut diximus, sese mutuo respiciunt et consequuntur, ut cum unum dicatur, necesse sit alterum etiam confiteri, et uno sublato alterum etiam tolli. Oportet igitur, ut duas dicamus naturas, ne nudam differentiam introducamus, et in hoc solo adhibeamus numerum, quo differentiam eorum quæ conjuncta sunt, ita manere demonstremus, ut ea post conjunctionem serventur, non autem dividantur.

ἀμφοῖν κατὰ τὴν ὑπόστασιν ἕν, σώζεσθαι δὲ μᾶλλον καὶ μένειν καθὸ ἑκάτερον εἶναι τῇ οὐσίᾳ πέφυκε. Τοῦτο γὰρ καὶ ὁ σοφὸς ἐπιστάμενος Κύριλλος διαῤῥήδην φησὶ μήτε συγκεχῦσθαι ἀλλήλαις τὰς φύσεις τῷ πρὸς μίαν συντελεῖν ὑπόστασιν τοῦ Υἱοῦ, μήτε διῃρῆσθαι ἀλλήλων τῷ ἕτερον καὶ ἕτερον κατὰ τὸν οὐσιώδη λόγον εἶναί τε, καὶ μένειν, καὶ νοεῖσθαι μετὰ τὴν ἕνωσιν καὶ ἑκάστην μετὰ τῆς φυσικῆς ἰδιότητος καὶ διαφορᾶς, καθ' ἣν ὅ τε Λόγος Θεός ἐστι κατὰ φύσιν, καὶ οὐ σάρξ, εἰ καὶ οἰκείαν ἐποιήσατο τὴν σάρκα οἰκονομικῶς. Καὶ ἡ σὰρξ σάρξ ἐστι κατὰ φύσιν, καὶ οὐ Θεὸς, εἰ καὶ ἰδία γέγονε τοῦ Θεοῦ Λόγου διὰ τὴν ἕνωσιν. Πῶς οὖν οὐκ ἀναγκαῖον, εὐσεβές τε, καὶ πρέπον κατὰ τὴν τῶν Πατέρων διδασκαλίαν λέγοντας τὴν διαφορὰν μετὰ τὴν ἕνωσιν σώζεσθαι καὶ τὰς δύο φύσεις εἶναί τε καὶ σώζεσθαι ἐν τῷ ἑνὶ Χριστῷ, ἐξ ὧν καὶ ἔστι δοξάζειν μετὰ τὴν ἕνωσιν, ὧν ἡ διαφορά; Πᾶσα γάρ πως ἀνάγκη τινῶν διαφερόντων εἶναι πᾶσαν διαφορὰν, καὶ ὅπου νοεῖται εἶναι διαφορὰν, δυνατὸν ἐκεῖ ὑπάρχειν πάντως καὶ τὰ διαφέροντα. Συνεισαγωγικὰ γάρ τινα ἀλλήλων τρόπον τινὰ τὰ τοιαῦτα ὄντα τυγχάνει, ὥσπερ τὰ αἴτια καὶ τὰ αἰτιατὰ, ὡς πρός τι νοούμενα. Εἰ γὰρ ποιητικόν ἐστι τῆς ἐν Χριστῷ διαφορᾶς τὸ ἑτεροούσιον τῶν ἐξ ὧν συνέστηκεν, ὡς αἴτιον, πάντως καὶ ἡ διαφορὰ δηλωτικὴ τυγχάνει, ὡς αἰτιατὸν τῆς τῶν ἑνωθέντων φυσικῆς ἑτερότητος, ὡς ἰδίας αἰτίας. Συνεισάγεσθαι γὰρ, ὡς εἴρηται, ἀλλήλοις τὰ τοιαῦτα πέφυκε, καὶ λεγομένου θατέρου, ἀνάγκη πάντως ὁμολογεῖν καὶ τὸ ἕτερον. Καὶ ἀναιρουμένου πάλιν ἑνὸς, μηδὲ τὸ ἕτερον λέγειν εἶναι ἀκόλουθον. Δεῖ οὖν καὶ δύο λέγειν φύσεις, ἵνα μὴ ψιλὴν τὴν διαφορὰν εἰσαγάγωμεν, καὶ ἐπὶ τούτῳ μόνῳ κεχρῆσθαι τῷ ἀριθμῷ πρὸς δήλωσιν τοῦ μεμενηκέναι τῶν συνελθόντων τὴν διαφορὰν, ὡς σωζομένων μετὰ τὴν ἕνωσιν, καὶ οὐ διῃρημένων.

Ejusdem, ex oratione, qua demonstrat, eam non esse rationem numeri, ut divisionem eorum de quibus dicitur, afferat.

Omnis numerus qui res, quæ exsistendi, subsistendive ratione inter se differunt, quot sint, ostendit earum differentiam, non autem habitum indicat. Hoc autem vere sic habere, omnemque numerum differentiam, non autem divisionem indicare, sanctissimus item Cyrillus in epistola ad Eulogium scripta sic ad verbum scribens testatur: « Eodem modo loquimur et de Nestorio, qui licet duas naturas dicat, significans differentiam carnis atque Dei Verbi, a nobis tamen dissentit, quia conjunctionem non confitetur; nos enim hæc conjungentes, unum Christum, unum Dominum confitemur, et deinceps, unam Verbi naturam carnem assumpsisse. » Quod perinde est ac si diceret: Nos sapientissimum mysterii consilium considerantes cum concurrentium naturarum differentiam servare volumus post conjunctionem, duas in hoc et solo naturas dicimus, contemplatione duntaxat, numerum adhibentes ad differentiam demonstrandam, cum autem arcanam mysterii conjunctionis rationem accuratius proponimus, unam Dei Verbi naturam carnem dicimus assumpsisse. Id enim arbitror ea

Τοῦ αὐτοῦ ἐκ τοῦ Λόγου τοῦ ὅτι ὁ ἀριθμὸς οὐ διαίρεσιν εἰσάγει κατὰ τὸν ἴδιον οἷς ἐπιλέγεται.

Πᾶς ἀριθμὸς ποσοῦ τινων διαφερόντων κατὰ τὸν τοῦ πῶς εἶναι ἢ τὸν τοῦ ὑφεστάναι λόγον ὑπάρχων δηλωτικὸς, τῆς διαφορᾶς τῶν ὑποκειμένων, καὶ οὐ τῆς σχέσεώς ἐστιν ἐπαγωγικός. Ὅτι δὲ ταῦθ' οὕτως ἔχει ἐπ' αὐτῆς τῆς ἀληθείας, καὶ ὅτι πᾶς ἀριθμὸς διαφορᾶς, καὶ οὐ διαιρέσεώς ἐστι δηλωτικὸς, μαρτυρεῖ τῷ λόγῳ πάλιν ὁ ἁγιώτατος Κύριλλος, καὶ ἐν τῇ πρὸς Εὐλόγιον ἐπιστολῇ γράφων οὕτως ἐπὶ λέξεως· *Οὕτω καὶ ἐπὶ Νεστορίου, κἂν λέγῃ δύο φύσεις, σημαίνων τὴν διαφορὰν τῆς σαρκὸς καὶ τοῦ Θεοῦ Λόγου, ἀλλ' οὐκέτι τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν. Ἡμεῖς γὰρ ἑνώσαντες ταῦτα, ἕνα Χριστὸν, ἕνα Κύριον ὁμολογοῦμεν, καὶ λοιπὸν μίαν τὴν τοῦ Λόγου φύσιν σεσαρκωμένην.* Ὡσανεὶ ἔλεγεν, ὅτι ἡμεῖς τὴν τοῦ μυστηρίου διασκοποῦντες πάνσοφον οἰκονομίαν, ὅταν μὲν σώζεσθαι δεικνύναι βουλώμεθα τῶν συνελθόντων τὴν διαφορὰν μετὰ τὴν ἕνωσιν, δύο κατὰ τοῦτο καὶ μόνον τὰς φύσεις λέγομεν κατὰ μόνην τὴν θεωρίαν πρὸς δήλωσιν τῆς διαφορᾶς τὸν ἀριθμὸν παραλαμβάνοντες· ὅτε δὲ τὸν ἄῤῥητον τοῦ μυστηρίου διακριβοῦμεν τῆς ἑνώσεως τρόπον, μίαν τοῦ Θεοῦ Λόγου φύσιν σεσαρ-

κωμένην φαμέν. Τοῦτο γὰρ ὡς οἶμαι αὐτῷ βούλεται A δηλοῦν τὸ, Ἡμεῖς δὲ ἑνώσαντες αὐτὰ, ἕνα Χριστὸν, ἕνα Κύριον ὁμολογοῦμεν, καὶ λοιπὸν μίαν τοῦ Λόγου φύσιν σεσαρκωμένην. Τουτέστιν, Ἡμεῖς ὁμολογοῦντες τὴν ἕνωσιν καὶ τὸν αὐτῆς ἀκριβῶς μετ' εὐσεβείας διαρθροῦντες τρόπον, οὐκ ἐχρήμεθα τῇ σημαντικῇ φωνῇ τῆς διαφορᾶς πρὸς δήλωσιν τῆς ἑνώσεως, ἀλλὰ τὴν μὲν ἐπὶ τῆς διαφορᾶς, τὴν δὲ ἐπὶ τῆς ἑνώσεως προσφόρως ἐκλαμβάνοντες, ἀσύγχυτον φυλάττομεν τῶν σημαινομένων τὸν νοῦν. Ὡς λοιπὸν ἐντεῦθεν εἶναι δῆλον, ὅτι κοινὸν αὐτῷ καὶ τῷ Νεστορίῳ τοῦ λέγειν δύο φύσεις μέχρι τοῦ γινώσκειν τὴν διαφορὰν, οὐκέτι δὲ κοινὸν ἦν τὸ καὶ τὴν ἕνωσιν ὁμολογεῖν τῷ λέγειν ἕνα Υἱὸν, ἕνα Κύριον, καὶ μίαν τοῦ Λόγου φύσιν σεσαρκωμένην, ὅπερ Νεστόριος εἰπεῖν οὐ κατεδέχετο. B Τῷ γὰρ φάσκειν, *Οὕτω καὶ ἐπὶ Νεστορίου, κἂν λέγῃ δύο φύσεις τὴν διαφορὰν σημαίνων τῆς σαρκὸς, καὶ τοῦ Θεοῦ Λόγου, ἀλλ' οὐκέτι τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν*, οὐκ ἄλλο ἢ τοῦτο βούλεται δηλοῦν, ὅτι Νεστόριος τὴν μὲν διαφορὰν μεθ' ἡμῶν ὁμολογεῖ δύο φύσεις, τὴν δὲ ἕνωσιν οὐκ ἔτι μεθ' ἡμῶν ὁμολογεῖ, μὴ λέγων ἕνα Χριστὸν, ἕνα Υἱὸν, ἕνα Κύριον, καὶ μίαν τοῦ Λόγου φύσιν σεσαρκωμένην. Καὶ σαφὲς τοῦτο καθέστηκε τοῖς τοῦ καλοῦ ἐρασταῖς, καὶ τὸ ἀληθὲς ἀγαπᾷν ἐσπουδακόσιν ἐκ τοῦ μηδαμοῦ φαίνεσθαι τὸν διδάσκαλον ἢ κωλύοντα λέγειν δύο φύσεις μετὰ τὴν ἕνωσιν, ἢ ἀνῃρῆσθαι διδάσκοντα τὴν διαφορὰν τῶν συνελθόντων μετὰ τὴν ἕνωσιν, ὡς ἔστιν ἐκ μυρίων αὐτοῦ συγγραμμάτων καταμαθεῖν. C Εἰ τοίνυν ἀεὶ μὲν ἡ ἕνωσις ἕστηκεν, ἀεὶ δὲ καὶ τὰ ἑνωθέντα μένει ἀσύγχυτα, ἀεὶ δὲ καὶ ἡ τῶν ἑνωθέντων σώζεται διαφορὰ, δι' ἣν ὁ ἀριθμὸς παρελήφθη κατὰ τοὺς Πατέρας· πῶς οὐκ ἀνάγκη, εἴπερ ἄρα ἀεὶ ἡ ἕνωσις, καὶ τὰ ἑνωθέντα, καὶ ἡ τούτων διαφορὰ ἕστηκε, καὶ μένει, καὶ σώζεται, καὶ δύο φύσεις λέγειν ἐπὶ δηλώσει τῆς τῶν συνελθόντων διαφορᾶς, καὶ πάλιν μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην ὁμολογεῖν πρὸς ἔνδειξιν τῆς καθ' ὑπόστασιν ἑνώσεως, μηδ' ἑτέρας τῶν φωνῶν τούτων δηλονότι διὰ τῆς ἑτέρας ἀναιρουμένης, ὡς δοκεῖ τισιν ὑπόθεσιν σοφίας ποιουμένοις τὸ ἄσοφον;

Cyrilli verba significare. Nos autem hæc conjungentes unum Christum, unum Dominum confitemur, et deinceps unam Verbi naturam carnem assumpsisse. Id est, nos conjunctionem confitentes, ejusque rationem diligenter et pie explicantes, differentiæ vocem non adhibuimus, ut conjunctionem ostenderemus, sed aliam quidem in differentia, aliam in conjunctione rationem congrue suscipientes minime confusum rerum significatarum sensum servamus; ut inde perspicuum jam sit, illud Cyrillo fuisse cum Nestorio commune, ut duas naturas diceret, eatenus ut differentiam cognosceret; proprium autem illud, ut conjunctionem confiteretur, et diceret unum Christum, unum Filium, unum Dominum, et unam Verbi naturam carnem assumpsisse, quod quidem Nestorius dicere recusabat. Dicendo enim sic et de Nestorio: Licet duas asserat naturas, differentiam significans carnis et Dei Verbi, non tamen conjunctionem nobiscum confitetur, nihil aliud vult significare nisi: Nestorius differentiam quidem nobiscum confitetur, cum duas naturas dicat; at conjunctionem nobiscum non confitetur, cum unum Christum, unum Filium, unum Dominum non dicat, nec unam Verbi naturam carnem assumpsisse, et hoc perspicue patet honestatis veritatisque studiosis ex eo quod nusquam apparet magistrum aut prohibuisse dicere duas naturas post conjunctionem, aut docuisse conjunctarum differentiam tolli post conjunctionem, quod ex innumerabilibus ipsius scriptis licet intelligere. Si igitur semper mansit conjunctio, et semper quæ conjuncta sunt, manent sine confusione, semperque conjunctorum differentia servatur, propter quam numerus a partibus susceptus est, nonne necesse est, si semper et conjunctio, et quæ conjuncta sunt, et eorum differentia mansit, et manet ac conservatur, et duas naturas dicere ad declarandam eorum quæ conjuncta sunt, differentiam, et rursum unam Dei Verbi naturam carnem assumpsisse, quo demonstretur secundum personam conjunctio, neutra nimirum istarum vocum per alteram sublata, ut quibusdam videtur, qui insipientiam sapientiæ faciunt argumentum?

D
Τοῦ αὐτοῦ περὶ τῆς ῥήσεως τοῦ ἁγίου Κυρίλλου τῆς πρὸς Σούκενσον κειμένης ἐπιστολῆς.

Οὐχ ἁπλῶς φαίνεται τὴν τοῦ ἀδιαιρέτου ἀπαγορεύων φωνὴν ὁ μακάριος Κύριλλος, ἀλλὰ καὶ τὴν Νεστορίου κακόνοιαν προφερομένην, σχετικὴν φάσκοντος γεγενῆσθαι τὴν ἕνωσιν, ὡς αὐτὸς ἑαυτῷ Κύριλλος ὁ μακάριος μαρτυρῶν δείκνυται ἐπὶ τέλει τῆς πρὸς Σούκενσον δευτέρας ἐπιστολῆς, καὶ τοῖς ἄγαν φιλονείκοις τὸν ἑαυτοῦ σκοπὸν ποιούμενος φανερὸν, οὕτω λέγων· « Τὸ δὲ ἀδιαιρέτως προστεθὲν δοκεῖ πως παρ' ἡμῖν ὀρθῆς δόξης εἶναι σημαντικόν· αὐτοὶ δὲ οὐχ οὕτω νοοῦσι. Τὸ γὰρ ἀδιαίρετον παρ' αὐτοῖς κατὰ τὰς Νεστορίου κενοφωνίας καθ' ἕτερον λαμβάνεται τρόπον. Φασὶ γὰρ, ὅτι τῇ ἰσοτιμίᾳ, τῇ ταυτοβουλίᾳ, τῇ αὐθεντίᾳ ἀδιαίρετός ἐστι τοῦ Θεοῦ Λόγου ἐν ᾧ κατῴκησεν ὁ ἄνθρωπος.

Ejusdem, de sancti Cyrilli dicto, quod positum est in epistola ad Succensum.

Non simpliciter *indivisibilis* vocabulo usus esse videtur beatus Cyrillus, sed adversus versutiam Nestorii, qui conjunctionem habitu dicebat constare. Sic enim suo testimonio confirmat beatus ipse Cyrillus, in extrema parte alterius ad Succensum epistolæ, sententiamque suam litigiosis hominibus patefacit, his verbis: « Illud autem, *indivisibile*, adjunctum, videtur apud nos rectam significationem retinere. At isti haud ita sentiunt. *Indivisibile* enim apud ipsos ex inani doctrina Nestorii alia ratione accipitur. Aiunt enim hominem, in quo Verbum habitavit, tum dignitate, tum voluntate, tum auctoritate ab ipso Deo Verbo esse indivisibilem. Ex quo patet, eos non simpliciter verba proferre, sed cum dolo et

calliditate. » Dupliciter accipi vocabulum hoc *indivisibile* aperte docet, ut vides, magister admirabilis, vel ut conjunctionem in persona significet, quam quidem ipse significationem probat; vel ut conjunctionem in habitu declaret, quam ipse significationem improbat, et ab omnibus piis improbandam monet, cum ex ejusdem vocis pronuntiatione clam hæreticæ impietatis venenum simplicioribus queat obrepere. Quare se duas naturas indivisibiles recte dixisse declarat, quoniam ipse conjunctionem in persona intellexit; at a Nestorii studiosis ita vocem, *indivisibile*, adhiberi, ut suspecta esse debeat, quippe qui conjunctionem habitu tantummodo factam sentiant. Conjunctio igitur in persona ex Patrum sententia est « essentia differentium concursus in unam personam, cum utrumque eorum quæ conjuncta sunt, naturalem habeat, et veram, et immutabilem, et indivisibilem proprietatem. » Conjunctio autem, quæ habitu fit, est « eorum quæ per se propria in singulari subsistunt persona; par voluntatis motus, et immutabilis animorum consensus. » Quamobrem qui conjunctionem in persona confitetur, licet duas in Christo dicat naturas post conjunctionem ratione indivisibili copulatas, conjunctione nimirum in persona, is nihil aberrat a veritate. Ea enim ex quibus constat Christus, minime confusa propter differentiam servatam ex Patrum sententia confitetur, cum naturali ratione differentia unum esse non desinant secundum personam. Qui vero conjunctionem asserit habitu constare, licet millies dicat indivisibile, reprehensionem non vitat. Mutua enim et benevola quadam affectione conjuncta atque indivisibilia dicit esse ea quæ significantur, nullo autem modo potest dicere unam esse personam Deum Verbum cum ipsius propria ex nobis sumpta carne animata menteque prædita. Ex duabus enim propriis personis, quæ ad unius speciei individua, propria ratione dividantur, una fieri persona non potest. Quamobrem non simpliciter eos reprehendit et rejicit beatus Pater noster Cyrillus, qui ratione indivisibili duas naturas conjunctas dicunt post conjunctionem; sed eorum qui verbis his abutuntur, sententiam. Si igitur numerus, ut tum ex sanctorum Patrum scriptis, tum ex communi cogitationum consensu demonstravimus, nullam nec facit, nec patitur, nec inducit divisionem, sed simpliciter ostendit quot quæque sint, non autem quomodo se habitu habeant, quænam sectionis, aut divisionis reliqua potest esse suspicio istis, qui in sancta Dei Ecclesia commovent seditiones?

A Ὥστε οὐχ ἁπλῶς τὰς λέξεις προφέρουσιν, ἀλλὰ μετά τινος δόλου καὶ κακουργίας. » Ἰδοὺ σαφῶς διττὸν ὑπάρχειν τὸν τοῦ ἀδιαιρέτου τρόπον ὑπέθετο ὁ θαυμάσιος οὗτος διδάσκαλος, τὸν μὲν τὴν καθ' ὑπόστασιν σημαίνοντα ἕνωσιν, ὃν καὶ ἀσπαζόμενος ὀρθῆς δόξης εἶναί φησι σημαντικόν· τὸν δὲ μόνης τῆς κατὰ σχέσιν συναφείας δηλωτικὸν, ὃν καὶ ἀποστρέφεται, καὶ τοῖς πιστοῖς τοῦτο αὐτὸ ποιεῖν παραινεῖ ἐκ τῆς κατὰ τὴν λέξιν ὁμοίας προφορᾶς πολλάκις τὸν τῆς αἱρετικῆς δυσσεβείας ἰὸν τοῖς ἀκεραιοτέροις λεληθότως ἐμβάλλειν δυνάμενον, ὅθεν παρ' ἑαυτῷ μὲν τὸ δύο λέγειν ἀδιαιρέτους φύσεις ὀρθόδοξον τίθεται, ἐπειδὴ αὐτὸς καθ' ὑπόστασιν εἶναι τὴν ἕνωσιν ἔλεγε· παρὰ δὲ τῶν κατὰ Νεστόριον προφερομένην ὕποπτον ποιεῖται τὴν φωνὴν τοῦ ἀδιαιρέτου, ἐπειδὴ κατὰ μόνην B τὴν σχετικὴν συνάφειαν τὴν ἕνωσιν γεγενῆσθαι ἐδόξαζε. Καθ' ὑπόστασιν μὲν οὖν ἕνωσίς ἐστι κατὰ τοὺς Πατέρας ἡ τῶν ἑτεροουσίων εἰς μίαν ὑπόστασιν σύνοδος, ἑκατέρου τῶν κατ' αὐτὴν συγκειμένων πρὸς τὸ ἕτερον τὴν φυσικὴν ἰδιότητα ἀνόθευτόν τε καὶ ἀμετάβλητον ἔχοντος καὶ ἀδιαίρετον. Σχετικὴ δὲ ἕνωσίς ἐστιν ἡ τῶν κατ' αὐτοὺς ἰδικῶς ἐν μονάσι προσωπικαῖς ὑφεστώτων ἴση θελήματος κίνησις, καὶ γνωμικῆς ταυτότητος ἀπαραλλαξία. Ὁ τοίνυν ὁμολογῶν τὴν καθ' ὑπόστασιν ἕνωσιν, κἂν δύο λέγῃ φύσεις ἐπὶ Χριστοῦ μετὰ τὴν ἕνωσιν ἡνωμένας ἀδιαιρέτως, ἑνώσει δηλονότι τῇ καθ' ὑπόστασιν, τῆς ἀληθείας καθ' ὁτιοῦν οὐ διαμαρτάνει. Τὰ γὰρ ἐξ ὧν σύγκειται ὁ Χριστὸς ἀσύγχυτα μεμενηκέναι διὰ τὴν C σωζομένην διαφορὰν κατὰ τοὺς Πατέρας ὁμολογεῖ, τοῦ καθ' ὑπόστασιν ἑνὸς οὐδαμῶς τὰ τῷ φυσικῷ λόγῳ ἀλλήλων διαφέροντα ἐκτὸς εἶναι, καὶ χωρὶς καθ' οἱονδήποτε τρόπον γινώσκειν δυνάμενος. Ὁ δὲ τὴν κατὰ σχέσιν πρεσβεύων ἕνωσιν, κἂν εἰ μυριάκις λέγῃ τὸ ἀδιαίρετον, τὸ ἐπίψογον κέκτηται. Κατά τινα γὰρ ἀγαπητικὴν συνδιάθεσιν ἡνῶσθαι, καὶ τὸ ἀδιαίρετον ἔχειν λέγει τὰ σημαινόμενα, οὐδαμῶς μίαν ὑπόστασιν εἶναι τὸν Θεὸν Λόγον μετὰ τῆς ἐξ ἡμῶν ἰδίας αὐτοῦ ἐμψύχου τε καὶ ἔννου σαρκὸς εἰπεῖν οἷός τε ὤν. Ἐκ δύο γὰρ ὑποστάσεων ἰδικῶν τῶν πρὸς τὰ ὁμοειδῆ ἄτομα ἰδικῷ λόγῳ μεμερισμένων μίαν γενέσθαι ὑπόστασιν ἀμήχανον. Ὥστε οὐχ ἁπλῶς διαβάλλει, καὶ ἀποπέμπεται ὁ ἅγιος Πατὴρ ἡμῶν Κύριλλος τὸ λέγειν δύο φύσεις ἡνωμένας ἀδιαιρέτως D μετὰ τὴν ἕνωσιν, ἀλλὰ τὴν σημαινομένην διὰ τῆς τοιαύτης φωνῆς τῶν κακῶς χρησαμένων ἔννοιαν. Εἰ τοίνυν δέδεικται ἔκ τε τῶν ἁγίων Πατέρων, καὶ τῆς τῶν κοινῶν ἐννοιῶν ἀκολουθίας, ὡς τὴν οἱανοῦν διαίρεσιν οὔτε ποιεῖν, οὔτε πάσχειν, οὔτε εἰσάγειν ὁ ἀριθμὸς δύναται, ἀλλ' ἁπλῶς μὲν δηλοῖ τὰ ποσὰ, τῆς δὲ σχέσεως, ὡς ἂν ἔχοντα τύχωσιν, οὐ προσάπτεται· ποία λοιπὸν ὑπολέλειπται τομῆς ὑπόνοια ἢ διαιρέσεως τοῖς πρὸς τὴν ἁγίαν τοῦ Θεοῦ στασιάζουσιν Ἐκκλησίαν;

Ex eadem oratione.

Nam si hoc verum non est, et si differentiam nudam et solam pronuntiatione, utpote quæ nulla de re sit, ad simpliciorum animas decipiendas simulate proferunt, cur recusant dicere, quæ et quot sint ea quæ differunt, quorum esse differentiam confitentur?

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἔδει γὰρ αὐτοὺς, εἴπερ ἀληθῶς τοῦτο μὴ ἦν, μηδὲ τὴν διαφορὰν ψιλῇ καὶ μόνῃ τῇ προφορᾷ, ὡς κατὰ μηδενὸς κειμένην, πρὸς ἐξαπάτην τῶν ἀφελεστέρων εἰρωνευτικῶς προφέρουσι, μὴ παραιτεῖσθαι λέγειν, τίνα, καὶ πόσα τὰ διαφέροντα τυγχάνει ὄντα,

ὧν εἶναι τὴν διαφορὰν ὁμολογοῦσιν. Εἰ γὰρ σώζεσθαι μετὰ τὴν ἕνωσιν τὰ ἐξ ὧν ἡ ἕνωσις πιστεύουσι, δύο πάντως τὰ σωζόμενα ὁμολογήσαιεν ἄν. Τοσαῦτα γὰρ τὰ συνελθόντα πρὸς ἕνωσιν τὴν ἀδιάσπαστον, τὴν οἱανοῦν τροπὴν, ἢ σύγχυσιν, ἢ μείωσιν, ἢ συναίρεσιν, ἢ μεταβολὴν τὴν εἰς ἄλληλα ἐκ τῆς ἑνώσεως οὐ δεξάμενα. Νυνὶ δὲ τοῦτο μὴ δοξάζοντες, ὡς ἠρνημένοι τὰς φύσεις μετὰ τὴν ἕνωσιν σώζεσθαι, ὑπευθύνους ἑαυτοὺς ἐλέγχοις πεποίηνται, κἂν μὴ βούλωνται, μόνῃ ποιότητι λέγοντες τὴν διαφορὰν σώζεσθαι τῶν πραγμάτων χωρὶς, ὥσπερ ἀνθρώπων παιζόντων προδήλως ἐστὶ, καὶ τὸ μὴ γελᾶσθαι, ὡς εἰκὸς, ὕβριν εἶναι λογιζομένων, καὶ σοφῶς κενούντων τὸ Εὐαγγέλιον, ἄνευ οὐσιῶν ὑποκειμένων εἶναι ποιότητας δύνασθαι νομοθετούντων, καὶ ποσοῦ χωρὶς ἐπιγνωσθῆναι διαφορὰν ὑποτιθεμένων. Ἠγνόησαν γὰρ, ὡς ἔοικεν, οἱ σοφώτατοι, ὅτι πᾶσα ποιότης ὑποκειμένης πάντως οὐσίας ἐστὶ, περὶ ἣν καὶ θεωρεῖται, καὶ λέγεται τὸ κατ' αὐτὴν εἶναι οὐδαμῶς ἔχουσα, καὶ πᾶσα διαφορὰ τῆς ἄλλων πρὸς ἄλλα κατὰ τὸν τοῦ πῶς εἶναι λόγον ἀνομοιότητός τε καὶ ἑτερότητος οὖσα δηλωτικὴ, τὸ ποσὸν τῶν διαφερόντων πραγμάτων συνεισάγειν ἑαυτῇ πέφυκεν εἴτε οὐσιῶν, εἴτε ποιοτήτων, εἴτε ἰδιοτήτων, καὶ ἁπλῶς, ἵνα συνελὼν εἴπω, παντὸς ἑτέρου τινὸς τῶν ὅσα διαφέρειν ἀλλήλων ὑπολαμβάνοντες εἴποιεν εἶναι διαφορὰν, πάντως ἐν ποσῷ τὰ διαφέροντα θεωρήσαντες εἴτε αἰσθήσει, εἴτε νοήσει τὴν διαφορὰν ἐγνώρισαν. Ἄνευ γὰρ ποσοῦ δύνασθαι διαβεβαιοῦσθαι δεικνύναι διαφορὰν ἀνένδεκτον, ἐπειδὴ τὰ μὴ ἀλλήλοις πάντη ταυτὰ ἕνα καὶ τὸν αὐτὸν τοῦ εἶναι οὐδαμῶς ἐπιδέχεται λόγον. *Οὐσίας* γὰρ ἤτοι φύσεως, φέρε εἰπεῖν, πρὸς οὐσίαν, ἢ ποιότητος πρὸς ποιότητα, ἢ ἰδιότητος πρὸς ἰδιότητα, ἢ καὶ εἴ τι ἕτερον τῶν ὅσα μὴ πάντα ταυτὰ καὶ διαφορᾶς ἀνεπίδεκτα, ἕνα καὶ τὸν αὐτὸν τοῦ πῶς εἶναι λόγον οὐδέποτε λέγειν δυναίμεθα.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ μὲν ἀναλλοίωτος ὁ κατ' οὐσίαν θατέρου τῶν ἑνωθέντων διέμεινε λόγος μετὰ τὴν ἕνωσιν πρὸς τὸν θατέρου τῆς οὐσίας ὅρον μὴ μεταπίπτων, προδήλως ἡ τοῦ Χριστοῦ θεότης μεμένηκε κατ' οὐσίαν θεότης πρὸς τὴν σαρκὸς οὐσίαν οὐ μεταφοιτήσασα· καὶ ἡ τοῦ αὐτοῦ πάλιν ἀνθρωπότης μεμένηκε κατ' οὐσίαν ἀνθρωπότης πρὸς τὴν τῆς θεότητος φύσιν μὴ παθοῦσα μεταβολήν. Εἰ δὲ οὔτε ἡ θεότης τοῦ Χριστοῦ, οὔτε ἡ ἀνθρωπότης εἰς ἄλληλα μεταπεφοιτήκασι διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν, ἀλλ' ἀσύγχυτοι κατὰ τὸν μέγαν Κύριλλον μεμενήκασιν αἱ φύσεις, σαφῶς ἡ μετὰ τὴν ἕνωσιν διαφορὰ τῶν σωζομένων ἐν Χριστῷ καθέστηκε φύσεων, καὶ οὐδεὶς ἀντερεῖ λόγος. Εἰ δὲ τῶν ἀσυγχύτως ἐν Χριστῷ σωζομένων ἐστὶν ἡ διαφορὰ μετὰ τὴν ἕνωσιν, διαφορὰν δὲ γνωσθῆναι δίχα ποσοῦ παντελῶς κεχωρισμένην ἀμήχανον, λεγέσθω πρὸς δήλωσιν τῆς διαφορᾶς τὸ ποσὸν τῶν διαφερόντων, ἵνα μὴ ψιλήν πως, καὶ οὐκ ἀληθῆ τὴν διαφορὰν ὑποπτευθῶμεν πρεσβεύοντες. Ψιλὴν γὰρ πᾶσαν διαφορὰν οἶδεν ὁ λόγος τὴν οὐκ ἔχουσαν ὑπαρκτικῶς ὑποκειμένην τὴν ὧν ἐστι διαφορὰ πραγμάτων ἀλήθειαν. Ἡμεῖς μὲν οὖν ταυτὸν ὑπόστασίν τε καὶ φύ-

A Si enim ea ex quibus conjunctio fit, post conjunctionem servari credunt, duo plane servata confitebuntur, tot enim ad conjunctionem indivisibilem concurrunt, quæ nec inversionem, nec confusionem, nec imminutionem, nec mutationem ullam inter se ex conjunctione suscipiunt. Nunc autem hoc improbantes, ut qui negent naturas post conjunctionem servari, seipsos reprehensionibus obnoxios constituerunt, etiamsi nolint, cum dicant sola qualitate differentiam servari, sine rebus. Quod quidem est hominum aperte ludentium nec turpe, ut par est, existimantium, se derideri, et plane Evangelium inane efficientium, cum sine subjectis essentiis asserant esse posse qualitates, et sine quantitate differentiam cognosci tradant. Ignorant enim, ut videtur, B homines sapientissimi, omnem qualitatem habere subjectam essentiam, circa quam consideratur et dicitur, cum per se consistere nequeat. Et omnem differentiam, cum dissimilitudinem et diversitatem, quam variæ res habent inter se, quatenus aliquo modo sunt, significet, rerum differentium quantitatem constituere, sive essentiæ, sive qualitates, sive proprietates sint, seu quidvis aliud eorum quæ inter se differunt, sive sensu sive cogitatione differentiam intelligant. Sine quantitate enim posse differentiam confirmari non est admittendum; nam quæ inter se eadem plane non sunt, nullo modo unam et eamdem exsistendi rationem suscipiunt, essentia nimirum, sive natura cum natura, aut qualitas C cum qualitate, aut proprietas cum proprietate, aut si quid aliud est eorum quæ non omnino sint eadem. Nam quæ plane sunt eadem et differentiam non admittunt, unam et eamdem aliquo modo exsistendi rationem nunquam dicere poterimus.

Ex eadem oratione.

Si utriusque conjunctorum ratio mansit incommutabilis post conjunctionem in alterius non incidens essentiæ terminum, Christi profecto divinitas secundum essentiam divinitas mansit, in carnis essentiam non commutata: et ejusdem rursus humanitas secundum essentiam mansit humanitas in divinitatis naturam non commutata. Quod si D propter conjunctionem in persona nec Christi divinitas nec humanitas vicissim immutatæ sunt, sed sine confusione, ut scribit magnus Cyrillus, naturæ permanserunt, differentia plane servatarum in Christo naturarum post conjunctionem perstitit. Et nulla ratio repugnabit. At si naturarum, quæ sine confusione in Christo servatæ sunt, post conjunctionem est differentia, nec sine quantitate differentia cognosci potest omnino, ad differentiam declarandam dicatur quantitas differentium, ne nudam quodammodo et non veram differentiam asserere deprehendamur. Nuda porro omnis est differentia quæ re ipsa subjectam non habet eorum quorum est differentia, veritatem. Nos igitur, qui personam et naturam idem esse proprie nunquam

diceremus, ex Patrum doctrina pie de Christo idem et differens asserimus: idem ratione unius personæ, qua idem cum propria carne Deum Verbum confitemur, ne accessionem personæ sanctissima Trinitas accipiat, et quaternitas efficiatur; differens autem ratione diversitatis essentiæ eorum, ex quibus constat, qua Christi partes vicissim non commutantur omnino. Neque enim idem unquam erit per essentiam divinitas et humanitas, ne aliquid creatum ejusdem cum divinitate per conjunctionem sit essentiæ atque naturæ. Furentis enim animi putamus esse, naturam dicere ejusdem esse cum natura essentiæ; nunquam enim natura eamdem habet cum natura essentiam atque naturam. Idem enim natura essentiaque de solis dicitur ejusdem speciei individuis, quæ ad unam essentiam referri consueverunt.

Ex eadem oratione.

Cum hæc sit nostra sententia, neque naturarum differentiam post conjunctionem negamus, ex quibus constat Christus, ipsas naturas minime confusas mansisse credentes. Neque conjunctionem in persona ignoramus, unum Christum sanctæ et ejusdem essentiæ et adorandæ Trinitatis confitentes, sed eorum etiam ex quibus est Christus, ut quæ in ipso vere sine inversione et mutatione servantur, post conjunctionem, perspicuam numero differentiam, quo Eutychis confusio tollatur, constituimus. Et in persona conjunctionem agnoscentes, clara voce unam Dei Verbi naturam assumpsisse carnem, habentem animam mente præditam, asserimus contra Nestorii divisionem, qui personæ differentiam in Christo pronuntiabat, et eamdem personæ rationem quæ est carnis cum Verbo dissecabat.

Ex eadem oratione.

Nam si Christus post conjunctionem est Deus et homo, juxta communem nimirum confessionem, res nominibus congruentes vere habet post conjunctionem. Res enim nominibus propriis præcedunt, nec quisquam nomen esse dixerit sine re, quæ per se nomini præbet occasionem, et ipsa vicissim recipit declarationem. Quod si Christus post conjunctionem non habet res, quarum sunt nomina, patet eum nudas habere appellationes, quippe quæ de nomine dicantur, et rebus ipsis privatæ sint. Et erit Deus et homo nomine tantum Christus, non autem re, ut ipsi sentiunt. Quo quid Deo minus congruens esse queat? Sin hanc insaniam evitantes vocabula in Christo rebus spoliata negabunt post conjunctionem, quemadmodum non recusant dicere duas Christi post conjunctionem appellationes, duas item Christi post conjunctionem naturas dicant, ex quibus et in quibus consistit, quarum sunt appellationes.

Ejusdem de differentia et quantitate.

Quare sic numerus, ex Patrum sententia, non habitum, sed rerum quantitatem designat. Omnis

A σιν κυρίως· μηδέποτε λέγοντες κατὰ τὴν τῶν Πατέρων διδασκαλίαν, εὐσεβῶς ἐπὶ Χριστοῦ τὸ ταυτὸν πρεσβεύομεν, καὶ τὸ διάφορον, τὸ μὲν τῷ λόγῳ τῆς μιᾶς ὑποστάσεως, καθ' ὃν ταυτὸν τῇ οἰκείᾳ σαρκὶ τὸν Θεὸν Λόγον ὁμολογοῦμεν, ἵνα μὴ προσθήκην προσωπικὴν ἡ πανεύφημος λάβῃ Τριὰς, γενομένη τετράς· τὸ δὲ τῷ λόγῳ τῆς κατ' οὐσίαν τῶν ἐξ ὧν ἐστιν ἑτερότητος, καθ' ἣν εἰς ἄλληλα τὰ μέρη τοῦ Χριστοῦ παντελῶς οὐ μεταπίπτουσιν. Οὐ γὰρ ταυτόν ποτε κατ' οὐσίαν γένοιτ' ἂν θεότης, καὶ ἀνθρωπότης, ἵνα μηδὲν ᾖ κτιστὸν τῇ θεότητι καθ' ἕνωσιν ὁμοφυὲς καὶ ὁμοούσιον· ἐπειδὴ φύσει φύσιν ὁμοούσιον εἶναι λέγειν μαινομένης διανοίας ὑπάρχειν γινώσκομεν. Οὐκ ἔστι γὰρ φύσει ποτ' ἂν φύσις ὁμοφυὴς καὶ ὁμοούσιος. Τὸ γὰρ ὁμοφυὲς καὶ ὁμοούσιον B ἐπὶ μόνων τῶν κατὰ τὸ αὐτὸ εἶδος πρὸς μίαν οὐσίαν ἀναγομένων ἀτόμων λέγεσθαι πέφυκεν.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ταύτην ἔχοντες τὴν ὁμολογίαν ἡμεῖς, οὔτε τὴν τῶν φύσεων διαφορὰν ἀρνούμεθα μετὰ τὴν ἕνωσιν, ἐξ ὧν ὁ εἷς συνετέθη Χριστὸς, ἀσυγχύτους μεμενηκέναι τὰς φύσεις πιστεύοντες, οὔτε τὴν καθ' ὑπόστασιν ἀγνοοῦμεν ἕνωσιν, ἕνα τὸν Χριστὸν τῆς ἁγίας, καὶ ὁμοουσίου, καὶ προσκυνητῆς Τριάδος ὁμολογοῦντες, ἀλλὰ καὶ τὴν διαφορὰν τῶν ἐξ ὧν ἐστιν ὁ Χριστὸς ὡς ἐν αὐτῷ κατ' ἀλήθειαν σωζομένων δίχα τροπῆς καὶ συγχύσεως μετὰ τὴν ἕνωσιν διὰ τοῦ ἀριθμοῦ ποιοῦμεν κατάδηλον πρὸς ἀναίρεσιν τῆς τοῦ Εὐτυχοῦς συγχύσεως, καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν C ἐπιγινώσκοντες διαπρυσίῳ τῇ φωνῇ τὴν μίαν τοῦ Θεοῦ Λόγου φύσιν σεσαρκωμένην σαρκὶ ψυχὴν ἐχούσῃ τὴν νοερὰν κατὰ τῆς Νεστορίου προβαλλόμεθα διαιρέσεως, ὑποστατικὴν ἐπὶ Χριστοῦ τὴν διαφορὰν καταγγέλλοντος, καὶ σαρκὸς καθ' ὑπόστασιν πρὸς τὸν Λόγον ταυτότητα διατέμνοντος.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ γὰρ Θεὸς καὶ ἄνθρωπός ἐστι μετὰ τὴν ἕνωσιν ὁ Χριστὸς, κατὰ τὴν κοινὴν ὁμολογίαν, δηλονότι τὰ πράγματα τοῖς ὀνόμασιν ἔχων ἐπαληθεύει μετὰ τὴν ἕνωσιν. Τὰ γὰρ πράγματα προεπινοοῦνται τῶν οἰκείων ὀνομάτων, καὶ οὐδ' ἂν εἶναι δυνηθείη πώποτε χωρὶς πράγματος ὄνομα τοῦ παρέχοντος δι' ἑαυτοῦ τῷ ὀνόματι θέσιν, καὶ ἀντιλαμβάνοντος δήλωσιν. Εἰ δὲ τὰ πράγματα, ὧν εἰσι τὰ ὀνόματα, οὐκ ἔχει μετὰ D τὴν ἕνωσιν ὁ Χριστὸς, ψιλὰς κατ' αὐτοὺς, ὡς κατὰ μηδενὸς κειμένας, ἔχων δειχθήσεται τὰς προσηγορίας, καὶ πραγμάτων ἐρήμους, καὶ ἔσται Θεὸς, καὶ ἄνθρωπος μόνον ὀνόματι κατ' αὐτοὺς ὁ Χριστὸς, καὶ οὐ πράγματι. Οὗ τί γένοιτ' ἂν ἀθεώτερον; Εἰ δὲ τοσοῦτον μανῆναι παραιτούμενοι, φαῖεν μὴ ἐρήμους εἶναι πραγμάτων ἐπὶ Χριστοῦ τὰς προσηγορίας μετὰ τὴν ἕνωσιν, ὥσπερ οὐ παραιτοῦνται λέγειν τὰς δύο τοῦ Χριστοῦ μετὰ τὴν ἕνωσιν προσηγορίας, οὕτω καὶ τὰς δύο τοῦ Χριστοῦ φύσεις, ἐξ ὧν, καὶ ἐν αἷς συνέστηκε, λεγέτωσαν μετὰ τὴν ἕνωσιν, ὧν αἱ προσηγορίαι.

Τοῦ αὐτοῦ περὶ διαφορᾶς καὶ ποσότητος.

Εἰ τοίνυν, κατὰ τοὺς Πατέρας, ὁ ἀριθμὸς τοῦ ποσοῦ τῶν πραγμάτων, ἀλλ' οὐ τῆς σχέσεώς ἐστι δη-

λωτικός, πᾶν δὲ ποσὸν ἑτερότητι φυσικῇ θεωρούμενον, διαφορὰν πάντως ἐπιδέχεται, διαφορὰν δὲ λέγουσιν ἐπὶ Χριστοῦ φυσικὴν μετὰ τὴν ἕνωσιν καὶ οἱ τῇ ἀληθείᾳ μαχόμενοι, καὶ τὸ ποσὸν τῶν διαφερόντων, οὗ χωρὶς ἀμήχανον εἶναι διαφορὰν, μετὰ τοῦ δηλοῦντος αὐτὸ ἀριθμοῦ, οὗ χωρὶς ποσὸν καθόλου γνωσθῆναι ἀδύνατον, λέγειν αὐτοὺς ἀνάγκη μετὰ τὴν ἕνωσιν, εἴπερ κατὰ τὴν εὔτακτον ἀκολουθίαν εὐσυνάρτητον τὸν τοῦ οἰκείου δόγματος ἀποδεῖξαι βούλονται λόγον. Εἰ δὲ τὸ ποσὸν τῶν σωζομένων ἐν Χριστῷ φύσεων ἀρνοῦνται μετὰ τὴν ἕνωσιν, μηδὲ τὴν διαφορὰν λέγειν τολμάτωσαν τῶν, ἐξ ὧν ὁ Χριστός ἐστι, φύσεων μετὰ τὴν ἕνωσιν, γινώσκοντες, ὅτι πᾶν εἴ τι καθ' ὁτιοῦν ἔχει διαφορὰν, ἓν κατὰ πάντα λόγον τε καὶ τρόπον εἶναι οὐ δύναται. Τὸ δὲ μὴ δυνάμενον εἶναι κατὰ πάντα λόγον τε καὶ τρόπον ἓν, δηλονότι κατά τινα λόγον τε καὶ τρόπον, δύο τὸ ἐλάχιστόν ἐστιν ἢ πλείονα. Οὐκοῦν ἐν Χριστῷ μετὰ τὴν ἕνωσιν λέγοντες εἶναι διαφορὰν, ἓν κατὰ πάντα λόγον τε καὶ τρόπον τὸν Χριστὸν εἶναι μετὰ τὴν ἕνωσιν λέγειν οὐ δύνανται. Εἰ δὲ μὴ κατὰ πάντα λόγον τε καὶ τρόπον ἕν ἐστιν ὁ Χριστὸς μετὰ τὴν ἕνωσιν, δῆλον, ὅτι κατά τινα λόγον τε καὶ τρόπον δύο πάντως ἐστὶν ὁ Χριστὸς μετὰ τὴν ἕνωσιν. Εἰ δὲ κατά τινα λόγον τε καὶ τρόπον δύο ἐστὶν ὁ Χριστὸς μετὰ τὴν ἕνωσιν, διὰ τὴν ἐν αὐτῷ, καὶ ἐξ ὧν, καὶ αἷς ἐστι φύσεων, διαφορὰν, ὡς ἔδειξεν ὁ λόγος, δῆλον, ὡς ἀσεβοῦσι διακενῆς οἱ τὴν μὲν διαφορὰν τῶν ἐξ ὧν ἐστι φύσεων ὁ Χριστὸς μετὰ τὴν ἕνωσιν λέγοντες, αὐτὰς δὲ τὰς φύσεις ὧν ἡ διαφορὰ προφανῶς ἀναιροῦντες τῇ σιωπῇ μετὰ τὴν ἕνωσιν. Ἀναίρεσις γάρ ἐστιν ἀληθῶς ἡ τῶν ὄντων καὶ σωζομένων ἐξάρνησις. Εἰ γὰρ οὐκ ἀνῄρηνται κατ' αὐτοὺς αἱ φύσεις μετὰ τὴν ἕνωσιν, καὶ εἰσὶ, καὶ σώζονται, καὶ δίκαιόν ἐστιν αὐτὰς σωζομένας ὁμολογεῖσθαι μετὰ τὴν ἕνωσιν, ἢ, εἴπερ μὴ δίκαιόν ἐστιν αὐτὰς σωζομένας ὁμολογεῖσθαι μετὰ τὴν ἕνωσιν, μήτε εἶναι, μήτε σώζεσθαι λέγειν αὐτὰς ἐν Χριστῷ δίκαιόν ἐστι κατ' αὐτὸν, καὶ ἀνῄρηνται. Ὃ γὰρ μὴ δίκαιόν ἐστι πάντως ὀνομάζεσθαι, μηδὲ τὸ παράπαν ὑπάρχειν πολλῷ κρεῖττόν ἐστιν, ὡς οἶμαι, καὶ δικαιότερον λέγειν. Ὥσπερ δὲ κατὰ πάντα λόγον τε καὶ τρόπον ἓν οὐκ ἔστιν ὁ Χριστὸς μετὰ τὴν ἕνωσιν, οὕτω πάλιν κατὰ πάντα λόγον τε καὶ τρόπον οὐκ ἔστιν ὁ Χριστὸς δύο μετὰ τὴν ἕνωσιν. Εἰ δὲ μὴ κατὰ πάντα λόγον τε καὶ τρόπον ἐστὶν ὁ Χριστὸς δύο μετὰ τὴν ἕνωσιν, πάντως κατά τινα λόγον τε καὶ τρόπον διὰ τὴν ὑποστατικὴν ταυτότητα, ἤγουν τὴν μίαν ὑπόστασιν, καθ' ἣν διαφορὰν ἔχειν οὐ δύναται, ἕν ἐστιν ὁ Χριστός. Ἐπεὶ οὖν κατ' ἄλλον καὶ ἄλλον λόγον τε καὶ τρόπον ἓν, καὶ δύο ἐστὶν ὁ αὐτὸς, ἀναγκαῖον σκοπῆσαι κατὰ ποῖον, καὶ ποῖον λόγον ἕν ἐστιν ὁ αὐτὸς, καὶ δύο.

A autem quantitas naturali diversitate considerata differentiam omnino suscipit, differentiam vero in Christo naturalem post conjunctionem, veritatis etiam oppugnatores concedunt, differentium quoque quantitatem, sine qua differentia cognosci non potest, una cum numero quantitatem declarante, sine quo quantitas ipsa cognosci nequit, post conjunctionem dicant, necesse est, si modo recto disputandi ordine aptam (proprii) dogmatis rationem volunt demonstrare : quod si naturarum in Christo servatarum post conjunctionem, quantitatem negant, ne differentiam quidem naturarum ex quibus est Christus, post conjunctionem audeant dicere : scientes, quidquid aliqua in re differentiam habet, unum omni ratione et modo esse non posse. Quod autem unum B omni ratione et modo esse non potest, id aliqua plane ratione et modo saltem est duo aut plura. Quocirca qui in Christo post conjunctionem dicunt esse differentiam, unum omni ratione et modo Christum esse non possunt dicere. Quod si non omni ratione et modo unus est Christus post conjunctionem, perspicuum est Christum aliqua ratione et modo post conjunctionem omnino esse duo. At si ratione aliqua et modo Christus post conjunctionem est duo, propter naturarum, ex quibus, et in quibus est, differentiam, ut ratione demonstratum est, constat eos prorsus impie sentire, qui differentiam quidem naturarum, ex quibus est Christus, post conjunctionem dicunt, ipsas autem naturas quarum est differen- C tia, aperte silentio tollunt post conjunctionem. Vere enim tollunt, qui ea quæ sunt et servantur, negant. Nam si naturas post conjunctionem sublatas non arbitrantur, sed eas esse servarique sentiunt, æquum est ut eas post conjunctionem servatas confiteantur. Aut si æquum non est ut eas post conjunctionem servatas fateantur, neque esse neque servari illas in Christo per illos æquum est dicere, et sublatæ sunt. Quod enim omnino nominari æquum non est, id ne esse quidem, ut ego sentio, satius et æquius est dicere; verum ut omni ratione et modo Christus non est unum post conjunctionem, ita rursus omni ratione et modo Christus non est duo post conjunctionem. Quod si non omni ratione et modo post conjunctio- D nem, Christus est duo, aliqua omnino ratione et modo, nempe per unam eamdemque personam, per quam habere differentiam non potest, Christus est unum. Quamobrem cum alia atque alia ratione et modo unum et duo idem sit, necessarium est, qua ratione unum, et qua duo idem sit, considerare.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Θαλάσσιον ξβ' ἀποκρίσεως.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ τοῦ Θεοῦ μονογενὴς Υἱὸς καὶ Λόγος, ὁ δι' ἑαυτὸν μὲν κατὰ φύσιν ἁπλοῦς ὢν, καὶ ἀεὶ διαμένων, δι' ἐμὲ δὲ κατὰ πρόσληψιν σαρκὸς νοερῶς ἐνψυχωμένης, ὡς οἶδεν αὐτὸς, γενόμενος καθ' ὑπόστασιν σύνθετος, οὔτε τῇ κατ' ἄκρον πρὸς τὴν σάρκα καθ' ὑπόστασιν ἑνώσει τὴν

Ejusdem ex responsione sexagesima secunda ad Thalassium.

Dominus noster Jesus Christus unigenitus Dei Filius et Verbum, qui per se ipsum naturâ simplex est, et semper permanet, propter me autem carnem assumens anima rationeque præditam, factus ea ratione, quam ipse novit, in persona compositus, neque summa cum carne in persona conjunctione confusio-

nem in naturam unam suscepit, neque summa cum carne per naturam differentia in geminos divisus est filios. Summam appello in persona conjunctionem quæ nullo pacto dividi potest; summam autem cum carne differentiam quæ confundi prorsus nequit, aut immutari. Quoniam carnis a Deo susceptæ mysterium non admittit in persona differentiam propter naturalem eorum ex quibus constat, diversitatem, ne vel Trinitatis mysterium accessionem accipiat, vel quidquam sit ejusdem cum Divinitate generis, aut essentiæ per naturam. Duarum enim naturarum in unam personam, non autem in unam naturam concursus est factus, ut et unum in persona ex naturis mutuo concurrentibus per conjunctionem perfectum ostendatur, et earum ad conjunctionem indivisibilem per naturalem proprietatem convenientium differentia credatur, quæ sine mutatione confusioneque maneat. Si enim ad alius naturæ generationem, naturarum concursus factus est, salutis nostræ mysterium nobis omnino sit incognitum. Neque enim habemus, unde, aut quomodo possimus Dei descensum ad nos intelligere, carne per conjunctionem in naturam divinam mutata, aut natura divina in carnis essentiam conversa, aut utraque in alius a se diversæ naturæ generationem per mistionem confusa, neutra illarum ex quibus est, natura rationem suam integram conservante. Nam sive in divinitatis naturam caro conversa sit, sive in carnem natura divinitatis, sive conjunctionis in una natura modus ad alius naturæ ab ipsis diversæ generationem naturas compulerit, ego carnis a Deo assumptæ mysterium non cognosco, cum post conjunctionem in mysterio naturalem carnis et divinitatis differentiam non inveniam. At si carnis et divinitatis in Christo post conjunctionem differentia manet, neque enim unquam idem per essentiam sit divinitas et caro, concurrentium conjunctio non in unam naturam, sed in unam personam facta est, qua nullam in Christo ullo modo differentiam reperimus. Verbum enim cum propria carne per personam unum est.

Ejusdem de duabus Christi naturis.

Tres personas Arius confitetur, sed unitatem negat, et sanctam Trinitatem non ejusdem esse illæ dicit. Sabellius autem unitatem confitetur, sed Trinitatem negat. Eumdem enim esse dicit Patrem, et Filium, et Spiritum sanctum: at Ecclesia ei unitatem confitetur, et prædicat Trinitatem. Sic et in uno sanctæ Trinitatis Nestorius naturalem asserit differentiam, sed unitatem non confitetur. Hanc enim in persona factam negat. Eutyches contra fatetur unitatem, sed essentiæ differentiam negat et naturarum confusionem inducit. Ecclesia vero et unitatem in persona tradit indivisibilem, et minime confusam essentiæ differentiam.

Et hæc eodem ex loco.

In sancta Trinitate eadem est essentia, et diversæ personæ. Unam enim essentiam, et tres personas

A εἰς μίαν φύσιν προσεδέξατο σύγχυσιν, οὔτε τῇ κατ' ἄκρον πρὸς τὴν σάρκα κατὰ φύσιν διαφορᾷ πρὸς υἱῶν δυάδα ἐτμήθη. Ἄκρον δέ φημι τῆς μὲν καθ' ὑπόστασιν ἑνώσεως τὸ παντελῶς ἀδιαίρετον, τῆς δὲ κατὰ φύσιν διαφορᾶς ἄκρον τὸ παντελῶς ἀσύγχυτον καὶ ἀναλλοίωτον· ὅτι μηδὲ συνεπάγεται παντελῶς τῇ κατὰ φύσιν τῶν ἐξ ὧν συνέστηκεν ἑτερότητι καὶ τὴν καθ' ὑπόστασιν διαφορὰν τὸ μυστήριον τῆς θείας σαρκώσεως· τὸ μὲν, ἵνα μὴ προσθήκην λάβῃ τὸ τῆς Τριάδος μυστήριον, τὸ δὲ, ἵνα μηδὲν ᾖ τῇ Θεότητι κατὰ φύσιν ὁμογενὲς καὶ ὁμοούσιον. Δύο γὰρ φύσεων πρὸς ὑπόστασιν, ἀλλ' οὐ πρὸς φύσιν μίαν γέγονε σύνοδος· ἵνα καὶ τὸ καθ' ὑπόστασιν ἓν, ἐκ τῶν ἀλλήλαις συνδραμουσῶν φύσεων δειχθῇ κατὰ τὴν ἕνωσιν ἀποτελούμενον· καὶ τὸ διάφορον τῶν B συνελθόντων πρὸς τὴν ἀδιάσπαστον ἕνωσιν, κατὰ τὴν φυσικὴν ἰδιότητα πιστευθῇ πάσης ἐκτὸς μένον τροπῆς καὶ συγχύσεως. Εἰ γὰρ πρὸς φύσεως γένεσιν ἡ τῶν φύσεων γέγονε σύνοδος, ἀδιάγνωστον ἂν ἦν ἡμῖν παντελῶς τὸ τῆς ἡμῶν σωτηρίας μυστήριον· οὐκ ἔχουσι πόθεν, ἢ πῶς δυνηθῆναι μαθεῖν τὴν πρὸς ἡμᾶς τοῦ Θεοῦ συγκατάβασιν, εἰς τὴν θείαν φύσιν διὰ τὴν ἕνωσιν τῆς σαρκὸς μεταβληθείσης, ἢ τῆς θείας εἰς τὴν τῆς σαρκὸς οὐσίαν μετατραπείσης, ἢ ἀμφοῖν πρὸς ἄλλης παρ' ἑαυτὰς γένεσιν κατά τινα μῖξιν συμφυρθεισῶν, μηδ' ἑτέρας τῶν ἐξ ὧν ἐστι φύσεων τὸν λόγον ἀλώβητον φερούσης. Εἴτε γὰρ εἰς θεότητος φύσιν ἡ σάρξ, εἴτε πρὸς σάρκα ἡ τῆς θεότητος μετεβλήθη φύσις, εἴτε πρὸς ἄλλης γένεσιν φύσεως παρὰ ταύτας ὁ τῆς πρὸς φύσιν μίαν ἑνώσεως τρόπος C τὰς φύσεις συνώθησεν, ἐγὼ τὸ μυστήριον τῆς θείας σαρκώσεως οὐκ ἐπιγινώσκω, φυσικὴν οὐχ εὑρίσκων μετὰ τὴν ἕνωσιν ἐν τῷ μυστηρίῳ διαφορὰν σαρκὸς καὶ θεότητος. Εἰ δὲ σαρκὸς ἐν Χριστῷ, καὶ θεότητος μετὰ τὴν ἕνωσιν ὑπάρχει κατὰ φύσιν διαφορά, οὐ γὰρ ταυτὸν κατ' οὐσίαν ποτὲ θεότης καὶ σάρξ, πρὸς φύσεως μιᾶς γένεσιν ἡ τῶν συνελθόντων οὐδαμοῦ γέγονεν ἕνωσις, ἀλλὰ πρὸς μίαν ὑπόστασιν, καθ' ἣν οὐδεμίαν ἐν Χριστῷ καθ' οἱονδήποτε τρόπον εὑρίσκομεν διαφοράν. Ταυτὸν γὰρ τῇ οἰκείᾳ σαρκὶ κατὰ τὴν ὑπόστασιν ὁ Λόγος.

Τοῦ αὐτοῦ περὶ τῶν δύο τοῦ Χριστοῦ φύσεων.

Ὁ Ἄρειος τὰς τρεῖς ὑποστάσεις ὁμολογεῖ, ἀλλὰ τὴν μονάδα ἀρνεῖται, καὶ οὐ λέγει ὁμοούσιον τὴν ἁγίαν Τριάδα. Ὁ δὲ Σαβέλλιος τὴν μονάδα ὁμολογεῖ, D ἀλλὰ τὴν Τριάδα ἀρνεῖται. Τὸν γὰρ αὐτὸν λέγει Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα. Ἡ δὲ Ἐκκλησία καὶ μονάδα ὁμολογεῖ, καὶ Τριάδα κηρύσσει. Ὁμοίως καὶ ἐπὶ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος Νεστόριος τὴν φυσικὴν διαφορὰν λέγει, ἀλλὰ τὴν ἕνωσιν οὐχ ὁμολογεῖ. Οὐ γὰρ λέγει ταύτην καθ' ὑπόστασιν γεγονέναι. Ὁ δὲ Εὐτυχὴς τὴν μὲν ἕνωσιν ὁμολογεῖ, τὴν δὲ κατ' οὐσίαν διαφορὰν ἀρνεῖται, καὶ σύγχυσιν τῶν φύσεων εἰσάγει. Ἡ δὲ Ἐκκλησία καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν διὰ τὸ ἀδιαίρετον, καὶ τὴν κατ' οὐσίαν διαφορὰν διὰ τὸ ἀσύγχυτον πρεσβεύει.

Ἐκεῖθεν καὶ τοῦτο.

Ἐπὶ τῆς ἁγίας Τριάδος ταυτότητος μὲν οὐσίας, ἑτερότητος δὲ προσώπων. Μίαν γὰρ οὐσίαν ὁμολογοῦ-

μεν, τρεῖς δὲ ὑποστάσεις. Ἐπὶ δὲ τοῦ ἀνθρώπου ταυτότης μὲν ἔστι προσώπου, ἑτερότης δὲ οὐσιῶν. Ἑνὸς γὰρ ὄντος ἀνθρώπου, ἄλλης ἐστὶν οὐσίας ἡ ψυχὴ, καὶ ἄλλης τὸ σῶμα. Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ Δεσπότου Χριστοῦ ταυτότης μὲν ἔστι προσώπου, ἑτερότης δὲ οὐσιῶν. Ἑνὸς γὰρ ὄντος προσώπου, ἤτοι ὑποστάσεως, ἑτέρας οὐσίας ἐστὶν ἡ θεότης, καὶ ἑτέρας ἡ ἀνθρωπότης. Ὥσπερ δὲ ἀδύνατον ἐπὶ τῆς ἁγίας Τριάδος ὁμολογεῖν μὲν τὴν ἕνωσιν, μὴ ἐκφωνεῖν δὲ τὴν διαφοράν· οὕτω καὶ ἐπὶ τῆς οἰκονομίας ἀνάγκη πᾶσα καὶ τὴν ἕνωσιν, καὶ τὴν διαφορὰν κηρύττειν.

Καὶ τοῦτο.

Ὥσπερ Σαβέλλιον ἀναθεματίζομεν κηρύττοντα ἐπὶ τῆς ἁγίας Τριάδος τὴν φυσικὴν ἕνωσιν, ἀλλὰ μὴ λέγοντα τὴν καθ' ὑπόστασιν διαφορὰν, οὕτως Εὐτυχῆ ἀναθεματίζομεν ὁμολογοῦντα τὴν καθ' ὑπόστασιν ἕνωσιν ἐπὶ τοῦ Χριστοῦ, ἀλλὰ μὴ γνωρίζοντα τὴν φυσικὴν διαφοράν.

Καὶ τοῦτο.

Ὥσπερ τῆς ἁγίας Τριάδος τὴν μίαν οὐσίαν οὐκ ἐπὶ συγχύσει τῶν τριῶν ὑποστάσεων λέγομεν, οὔτε τὰς τρεῖς ὑποστάσεις ἐπὶ ἀναιρέσει τῆς μιᾶς οὐσίας· οὕτως ἐπὶ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος τὴν μίαν ὑπόστασιν οὐκ ἐπὶ συγχύσει τῶν δύο φύσεων αὐτοῦ λέγομεν, οὔτε τὰς δύο φύσεις ἐπὶ διαιρέσει τῆς μιᾶς ὑποστάσεως.

Καὶ τοῦτο.

Ὁ μὴ λέγων ἐπὶ Χριστοῦ διὰ τὴν τῶν φύσεων διαφορὰν τὴν καθ' ὑπόστασιν ἕνωσιν Νεστοριανός ἐστι. Καὶ ὁ μὴ λέγων ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει τὴν φυσικὴν διαφορὰν Εὐτυχιανιστής ἐστιν. Ὁ δὲ τὴν καθ' ὑπόστασιν ἕνωσιν, καὶ τὴν φυσικὴν διαφορὰν κηρύττων ἐπὶ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος, τὴν βασιλικὴν καὶ ἀμώμητον πίστιν κρατεῖ.

Καὶ τοῦτο.

Ὁ λέγων καὶ διαφορὰν καὶ ἕνωσιν ἐπὶ Χριστοῦ οὔτε τὴν διαφορὰν ἀναιρεῖ, οὔτε τὴν ἕνωσιν συγχέει. Καὶ γὰρ Κύριλλος ἀναθεματίζει τοὺς τὴν διαφορὰν ἀναιροῦντας διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν, καὶ ἡ οἰκουμενικὴ σύνοδος ἀναθεματίζει τοὺς διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν τὴν φυσικὴν διαφορὰν ἀναιροῦντας ἐπὶ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος.

Τοῦ αὐτοῦ, ὅτι βλάσφημον τὸ λέγειν τὸν Χριστὸν μίαν ἁπλῶς φύσιν.

Εἰ δὲ κατ' αὐτοὺς ἐκείνους ὁ Χριστὸς σύνθετός ἐστι φύσις, ἡ θαυμαστὴ τῶν Σευήρου λόγων ἀκρόπολις, ἢ γενικὴ πάντως ἐστὶν, ἢ μοναδική. Τούτων γὰρ ἄλλην ἐπινοῆσαι μέσην ἀμήχανον. Καὶ εἰ μὲν γενικὴ φύσις ἐστὶν ὁ Χριστὸς, κατὰ πολλῶν ἔσται δηλονότι, καὶ διαφερόντων ἀριθμῷ κατηγορούμενος, καὶ κατ' ἐπίνοιαν ἔσται μόνην, ἐν οἷς τὴν ὕπαρξιν ἔχει, καὶ οὐ καθ' ἑαυτὸν ἐν ἰδίᾳ τινὶ ὑποστάσει γνωριζόμενος, χωρὶς τῶν ἐπιθεωρουμένων τοῖς ὑπ' αὐτὸν ἀτόμοις συμβεβηκότων. Τοιοῦτος γὰρ ὁ πάσης γενικῆς φύσεως ὅρος τε καὶ λόγος. Καὶ εἰσήχθη πλῆθος ἡμῖν Χριστῶν ἀνθ' ἑνὸς κατὰ μηδένα τρόπον τὴν οἰκνοῦν ἐχόντων πρὸς τὸν Θεὸν ἢ τοὺς ἀνθρώπους ταυτότητα διὰ τὴν Σευήρου κατὰ τῆς ἀληθείας περιττὴν καὶ ἀκάθεκτον μανίαν. Εἰ δὲ μοναδικὴ φύσις ἐστὶν ὁ Χριστὸς, ἵνα παρῶμεν λέγειν, ὡς οὐδαμῶς ἐστι τὸ

A confitemur. In homine autem eadem et persona, et diversitas essentiarum. Etenim cum unus sit homo, aliam anima, aliam corpus habet essentiam. Similiter in Christo Domino eadem est persona, et essentiarum diversitas; nam cum una persona sit, alia est divinitatis essentia, et alia humanitatis. Quemadmodum autem in sancta Trinitate fieri non potest, ut unitatem confiteamur, et differentiam non pronuntiemus, sic et in ipsa dispensatione necessarium est, et unitatem, et differentiam enuntiare.

Et hæc.

Quemadmodum Sabellium naturalem in sancta Trinitate prædicantem unitatem, sed personarum differentiam negantem execramur, sic execramur
B Eutychem, qui in Christo unitatem personæ confitetur, sed naturalem differentiam non agnoscit.

Et hæc.

Ut in sancta Trinitate non cum trium personarum confusione unam essentiam dicimus, nec tres personas cum unius essentiæ interitu, sic in uno sanctæ Trinitatis nec unam personam dicimus cum duarum personarum confusione, nec cum unius essentiæ interitu naturas duas.

Et hæc.

Qui propter duarum in Christo naturarum differentiam personæ unitatem non agnoscit, Nestorianus est. Et qui in personæ unitate naturalem non con-
C cedit differentiam, est Eutychianista. At qui personæ unitatem, et naturalem differentiam in uno sanctæ Trinitatis prædicat, is regiam et nulli obnoxiam reprehensioni fidem amplectitur.

Et hæc.

Qui et unitatem et differentiam in Christo dicit, nec differentiam tollit, nec unitatem confundit. Etenim Cyrillus detestatur eos qui propter personæ unitatem differentiam tollunt, et synodus œcumenica illos execratur, qui propter unitatem personæ naturalem differentiam tollunt in uno sanctæ Trinitatis.

Ejusdem: impium esse, Christum unam simpliciter naturam dicere.

Sin Christus, ut illi sentiunt, est natura composita,
D in quo mirabilis Severi rationum arx est constituta, aut generalis omnino est, aut singularis; tertium enim cogitare non possumus. Si generalis est Christus natura, de multis nimirum numero differentibus dicetur, et cogitatione tantum erit in iis, in quibus habet essentiam, non autem per se in propria ulla persona cognoscetur, sine accidentibus individuorum, quæ in individuis ipsi subjectis considerantur. Hæc enim est omnis naturæ generalis definitio atque ratio. Et supervacanea ista Severi adversus veritatem insania pro uno Christo multitudo Semichristorum, qui nullam nec cum Deo, nec cum hominibus rationem eamdem habeant, inducetur. Sin natura singularis est Christus, ut illud omittamus, nullam esse naturam, quæ unica sit persona

circumscripta, quamvis in fabulis decantatam volucrem isti phœnicem ad extremum tanquam exemplum inexpugnabile, quo innitatur ipsorum opinio, proponant. Nam si volucris est phœnix, et animal prorsus est; si animal, primum non omni modo singulare, quatenus est animal, non enim solum animal; præterea, si animal, et corpus animatum sensu præditum. Quod si corpus animatum ac sensu præditum est phœnix, et ortui profecto atque interitui obnoxia. Quod si talis est, quæramus ex sapientibus istis rerum spectatoribus, an fieri possit ut quod ex eorum est numero, quæ sunt animata sensuque prædita, quodque ortum atque interitum sentit, singularis naturæ sit, quantum pertinet ad personam, cum mutua ipsorum in specie successio perspicua sit exsistendi nota. Ad hæc si natura singularis est Christus, nec ejusdem cum Deo et Patre, nec ejusdem cum hominibus est essentiæ. Quod enim omnino est natura singulare, naturali cognatione nulli conjunctum est. Quod si ab omnibus, ut eos sentire probavimus, natura diversus est Christus, futiles ipsos opinionum inventores rogemus, ut nobis dicant, qualem natura Christum, et qua ratione venerentur. Itaque cum magnum atque horrendum necessario periculum ex rationis, quæ reddita est vi, consequatur eos qui Christum natura unum, aut naturam esse unam contendunt, sive simplex, sive composita, eaque sive generalis, aut communis, sive singularis dicatur, animos nostros omni custodia ab ejusmodi opinione remotos servemus, ut et a minis ipsi impendentibus liberi simus.

Ejusdem.

Quamobrem si Dei Verbum non lege atque ordine naturæ rerum compositarum, sed alia ratione divina, et quæ verbis explicari non potest, nempe per carnis assumptionem compositum est, non autem per generationem simul cum carne compositionis accepit essentiam, ut totum aliquod specie compleret, ut veritatis oratio omnibus aperte significat, frustra conantur insipientes isti compositionem, quæ omnem naturæ terminum rationeque superat, legibus naturalibus impie subjicere. Quamobrem qui per carnis assumptionem Verbum esse factum hominem dicit, is et æternam Dei ante sæcula essentiam servat, et voluntariam pie confitetur, sponteque susceptam in tempore carnis indutionem, et differentiam Verbi suscipientis, atque carnis susceptæ sine confusione tuetur etiam post conjunctionem. Qui vero Dei Verbum non per carnis assumptionem immutabili ratione factum esse hominem dicit, nihil eorum quæ dicta sunt, ullo modo vere poterit confiteri.

Ejusdem de voce hac: « In duabus naturis. »

In duabus naturis ratione indivisibili ipsum esse credimus, ut divinitate et humanitate. Quemadmodum enim cum ex duabus naturis constare Christum dicimus, ex divinitate et humanitate, ut duabus e partibus totum intelligimus, ita cum post conjunctionem eum duabus in naturis esse dicimus, in divi-

A σύνολον φύσις ἑνὶ προσώπῳ περιγεγραμμένη, κἂν εἰ τὰ μάλιστα τὸν μυθευόμενον ὄρνιθα τὸν φοίνικα καθάπερ τι καὶ ἄμαχον παράδειγμα τῆς ἑαυτῶν δόξης συστατικὸν τελευταῖον προβάλλωνται. Εἰ γὰρ ὄρνις ἐστὶν ὁ φοῖνιξ, καὶ ζῶον πάντως ἐστίν. Εἰ δὲ ζῶον, πρῶτον μὲν οὐ πάντη μοναδικὸν καθὸ ζῶον· οὐ γὰρ μόνον ζῶον· ἔπειτα δὲ, εἴπερ ζῶον, καὶ σῶμα ἔμψυχον αἰσθητικόν. Εἰ δὲ σῶμα ἔμψυχον αἰσθητικόν ἐστιν ὁ φοῖνιξ, καὶ ὑπὸ γένεσίν ἐστι δηλονότι καὶ φθοράν. Εἰ δὲ ὑπὸ γένεσίν ἐστιν, αὐτοὺς ἐρωτήσωμεν τοὺς σοφοὺς τῶν ὄντων θεάμονας, εἰ δυνατόν ἐστι, τί τῶν ὑπὸ γένεσιν καὶ φθορὰν ἐμψύχων καὶ αἰσθητικῶν σωμάτων μοναδικῆς ὑπάρχειν καθ' ὑπόστασιν φύσεως, ὧν ἡ ἐξ ἀλλήλων κατ' εἶδος διαδοχὴ ἀριδήλως
B χαρακτὴρ τοῦ εἶναι. Εἴπερ δὲ μοναδικὴ φύσις ἐστὶν ὁ Χριστὸς, οὔτε τῷ Θεῷ καὶ Πατρὶ ὁμοούσιός ἐστιν, οὔτε τοῖς ἀνθρώποις. Τὸ γὰρ πάντη κατὰ τὴν φύσιν μοναδικὸν τῆς πρὸς ὁτιοῦν ἄλλο παντελῶς φυσικῆς ἠλλοτρίωται συγγενείας. Εἰ δὲ κατ' αὐτοὺς ἐκείνους, ὡς ἔδειξεν ὁ λόγος, πάντη κατὰ τὴν φύσιν ὁ Χριστὸς πάντων ἠλλοτρίωται τῶν ὄντων, αὐτοῖς εἰπεῖν προτρεψόμεθα τοὺς καινοὺς δογματιστὰς, τί ὄντα κατὰ τὴν φύσιν, καὶ ποίῳ λόγῳ σέβουσι τὸν Χριστόν. Εἰ τοίνυν μέγας καὶ φοβερὸς ἐξ ἀνάγκης ἕπεται κίνδυνος, κατὰ τὴν ἀποδοθεῖσαν τοῦ λόγου δύναμιν, τοῖς λέγουσιν ἓν κατὰ τὴν φύσιν εἶναι τὸν Χριστὸν, ἤγουν μίαν φύσιν, εἴτε ἁπλῶς λεγομένην, εἴτε σύνθετον, καὶ ταύτην εἴτε γενικὴν, ἤγουν κοινὴν, εἴτε μοναδικὴν, ἤγουν ἰδικὴν, πάσῃ φυλακῇ τὰς
C ἑαυτῶν καρδίας τῆς τοιαύτης δόξης τηρήσωμεν καθαρὰς, ἵνα καὶ τῆς ἐπ' αὐτῇ μελλούσης ἀπειλῆς ἐλευθερωθῶμεν.

Τοῦ αὐτοῦ.

Εἰ τοίνυν μὴ κατὰ νόμον καὶ τάξιν τῆς τῶν συνθέτων φύσεως, ἀλλ' ἑτέρῳ παρὰ τὴν φύσιν τῶν συνθέτων θεσμῷ· κατὰ πρόσληψιν γὰρ ἀφράστως ὁ τοῦ Θεοῦ πρὸς τὴν σάρκα συνετέθη Λόγος, ἀλλ' οὐ κατὰ γένεσιν ἅμα τῇ σαρκὶ πρὸς σύνθεσιν τὸ εἶναι λαβὼν εἰς ὅλου τινὸς κατ' εἶδος συμπλήρωσιν, καθὼς ὁ τῆς ἀληθείας διαπρυσίως πᾶσιν ἐμβοᾷ λόγος· μάτην τοῖς ὑπὸ φύσιν θεσμοῖς ὑπαγαγεῖν ἀθέσμως ἐπιχειροῦσιν οἱ ἀμαθεῖς τὴν πάντα φύσεως ὅρον τε καὶ λόγον ἐμβαίνουσαν σύνθεσιν. Διὰ τοῦτο κατὰ πρόσληψιν σαρκὸς ὁ λέγων γενέσθαι τὴν ἐνανθρώπησιν τήν
D τε τοῦ Θεοῦ Λόγου προαιώνιον ὕπαρξιν διασώζει, καὶ τὴν ἑκούσιον εὐσεβῶς ὁμολογεῖ, καὶ αὐθαίρετον αὐτοῦ κατὰ χρόνον σάρκωσιν, καὶ τὴν διαφορὰν αὐτοῦ τε τοῦ προσλαβόντος Λόγου, καὶ τῆς προσληφθείσης σαρκὸς ἀσύγχυτον φυλάττειν καὶ μετὰ τὴν ἕνωσιν. Ὁ δὲ μὴ κατὰ πρόσληψιν σαρκὸς ὁμολογῶν ἀτρέπτως ἐνανθρωπῆσαι τὸν τοῦ Θεοῦ Λόγον οὐδὲν τῶν εἰρημένων κατ' οὐδένα τρόπον ἀληθῶς ὁμολογεῖν δύναται.

Τοῦ αὐτοῦ περὶ τῆς φωνῆς· « Ἐν δύο φύσεσι. »

Ἐν δύο φύσεσιν ἀδιαιρέτως τὸν αὐτὸν ὄντα πιστεύομεν ὡς ἐν θεότητι καὶ ἀνθρωπότητι. Ὥσπερ ἐκ δύο φύσεων λέγοντες τὸν Χριστὸν ἐκ θεότητος καὶ ἀνθρωπότητος ὄντα νοοῦμεν ὡς ἐκ μερῶν ὅλον, οὕτω καὶ ἐν δύο φύσεσι λέγοντες μετὰ τὴν ἕνωσιν ἐν θεότητι καὶ ἀνθρωπότητι ὄντα πιστεύομεν ὡς ὅλον ἐν

μέρεσι. Μέρη δὲ Χριστοῦ ἡ θεότης αὐτοῦ ἐστι καὶ ἡ ἀνθρωπότης, ἐξ ὧν καὶ ἐν αἷς ὑφέστηκε. Καὶ αὖθις τοῦ Θεοῦ Λόγου φύσιν σεσαρκωμένην σαρκὶ νοεράν τε καὶ λογικὴν ἐχούσῃ ψυχὴν πιστεύειν, λέγειν τε, καὶ κηρύττειν ἐδιδάχθημεν κατὰ τὸν ἅγιον Κύριλλον, διὰ τοῦ σεσαρκωμένην εἰπεῖν, τῆς καθ' ἡμᾶς φύσεως εἰσκεκομισμένην ὁρῶντες τὴν οὐσίαν, καὶ πάλιν τοῦ αὐτοῦ καὶ ἑνὸς Χριστοῦ τά τε θαύματα, καὶ τὰ πάθη, καὶ τοῦ αὐτοῦ τὰς δύο γεννήσεις, τήν τε προαιώνιον ἀσωμάτως ἐκ τοῦ Πατρὸς, καὶ τὴν χρονικὴν ἐκ Μητρὸς καὶ Παρθένου σωματικῶς δι' ἡμᾶς γεγενημένην. Διὸ μάλιστα καὶ κατὰ ἀλήθειαν κυρίως Θεοτόκον αὐτὴν ὁμολογοῦμεν, ὡς τὸν ἐκ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων Θεὸν Λόγον ἐπ' ἐσχάτων τῶν χρόνων ἐξ αὐτῆς σαρκωθέντα γεννήσασαν. Μίαν δὲ φύσιν σύνθετον τὸν Χριστὸν παντελῶς παραιτούμεθα λέγειν οὐ μόνον διὰ τὰς εἰρημένας αἰτίας, ἀλλ' ὅτι καὶ μηδεὶς καθόλου τῶν ἐγκρίτων Πατέρων πέφανται μέχρι τοῦ δεῦρο ταύτην εἰρηκὼς τὴν φωνὴν, καὶ ὡς προδήλως Ἀπολλιναρίου τοῦ αἱρετικοῦ καὶ τῶν αὐτοῦ φοιτητῶν ὑπάρχουσαν γέννημα.

Τοῦ αὐτοῦ περὶ συνθέτου ὑποστάσεως.

Εἰ δὲ, ὅτι πᾶσα ὑπόστασις σύνθετος ἑαυτῇ τε καὶ ἀλλήλοις τὰ ἴδια μέρη ὁμόχρονα ἔχουσα δείκνυται, ὑπόστασιν δὲ σύνθετον εἶναι λέγειν τὸν Χριστὸν οὐκ ἀρνούμεθα, εἴποιεν καὶ ἡμᾶς οἱ ἀντιλέγοντες μὴ δύνασθαι τὴν ἐπὶ τούτῳ μομφὴν ἐκτινάξασθαι, ὡς τοῖς ἰδίοις ἑαλωκότας λόγοις· φαμὲν ἀληθῶς οὕτως ἔχειν, εἴπερ σύνθετον εἶναι, ὡς εἶδος αὐτῆς κατηγοροῦμεν ἔχουσαν ὑποτιθέμεθα. Νῦν δὲ τοῦτο μὴ λέγοντες, οὐδαμῶς τὴν οἱανοῦν ἕξομεν μομφὴν, σαφῶς γινώσκοντες μὴ δι' ἑαυτὴν σύνθετον εἶναι πᾶσαν σύνθετον ὑπόστασιν τὴν ὑπό τι τελοῦσαν εἶδος, ἀλλὰ διὰ τὴν φύσιν τὴν περιέχουσαν, ὅταν σύνθετος ᾖ, καὶ τὸ κατηγορούμενον εἶδος, ὑφ' ὃ ἀνάγεσθαι πέφυκεν, ὡς τοῦ μερικοῦ, ἤγουν ἰδικοῦ, ὅλον ἔχοντος ἐν ἑαυτῷ τὸ καθόλου, ἤτοι τὸ κοινὸν, καὶ γενικὸν πληρέστατον, τοῦ δὲ ἰδίου τὸ σύνολον λόγου τῷ γενικῷ μεταδιδόντος οὐδέν. Ὅπερ ἐπὶ Χριστοῦ οὐδεὶς οὐδαμῶς τῶν ἀνέκαθεν μέχρις ἡμῶν γενομένων τοῦ λόγου τῆς εὐσεβείας ὑφηγητῶν φρονῶν ἀνηγόρευται. Ἐφ' οὗ οὔτε γένος οὔτε εἶδος ὡς Χριστοῦ κατηγορούμενον εὑρεῖν τις δυνήσεται. Οὐ γὰρ φύσεως λόγῳ πρὸς ἡμᾶς διὰ σαρκὸς ὁ θεαρχικὸς Λόγος ἐνεδήμησεν, ἀλλὰ τρόπῳ οἰκονομίας ἀνελλιπῶς ἑαυτῷ καθ' ὑπόστασιν ἑνώσας, τὴν ἡμετέραν ἀνεκαίνισε φύσιν. Ὥστε οὐδὲν αὐτῶν τῆς πολλῆς περινοίας ἀπώναντο, πάλιν εἰς τὸ ποσὸν, ὅπερ πεφεύγασι, περιτραπέντος αὐτοῖς τοῦ σοφοῦ, ὡς μὴ δυναμένοις οὐδ' αὐτὴν τὴν ἐν τῷ ποιῷ διαφορὰν ἄνευ ποσοῦ εἶναι λέγειν. Ἀνάγκη γὰρ πᾶσα πολλὰς εἶναι, ἢ τὸ μέτριον δύο, ὧν τὴν διαφορὰν εἶναι ὑπολαμβάνουσι. Μόνην γὰρ ποιότητα πρὸς ἄλλην παντελῶς ἀμιγῶς ἔχουσαν πρὸς ἑαυτὴν διαφέρειν οὐκ ἄν τις νοῦν ἔχων εἴποι ποτέ. Λοιπὸν οὖν ἢ καὶ αὐτῆς παύσονται τῆς ψιλῆς διαφορᾶς, ποσοῦ πάντως τινῶν διαφερόντων δηλωτικὴν αὐτὴν οὖσαν μαθόντες, ἢ σὺν ἡμῖν τῆς ἀληθείας τὴν ὁμολογίαν καταδεξάσθωσαν τῷ λόγῳ τῆς διαφορᾶς καὶ μόνον πρὸς γνῶσιν

nitate atque humanitate esse credimus, ut totum in partibus. Partes enim Christi sunt divinitas et humanitas, ex quibus, et in quibus consistit. Præterea unam Dei Verbi naturam carnem assumpsisse animatam anima mente rationeque prædita dicere et prædicare didicimus ex doctrina sancti Cyrilli, ut ex eo quod dicimus carnem assumpsisse, essentiam naturæ nostræ illatam intelligamus. Itemque unius et ejusdem Christi tam miracula, quam cruciatus esse dicimus, duosque ejusdem ortus, unum ante sæcula sine corpore ex Patre, et alterum in tempore ex Matre et Virgine ratione corporea atque humana; ex quo maxime et vere proprie ipsam Dei Genitricem confitemur, ut quæ genitum ante sæcula ex Patre Deum Verbum, in extremis temporibus ex ipsa carnem assumentem genuerit. At naturam unam compositam Christum dicere omnino recusamus, non solum propter causas, quas diximus, verum etiam quia nemo Patrum probatorum ad hunc usque diem vocem hanc protulisse deprehenditur, et quoniam ab Apollinario et discipulis ejus perspicue videtur esse profecta.

Ejusdem de persona composita.

Verum, si quoniam omnis persona composita proprias partes, et secum et inter ipsas ejusdem temporis habere deprehenditur, nos autem Christum personam esse compositam dicere non recusamus, propterea nos adversarii propriis captos rationibus reprehensionem vitare posse negaverint, respondebimus, vere sic rem habituram, si compositam, tanquam speciem, quæ de ipsa diceretur, habentem concederemus. Nunc autem haud ita loquimur, itaque in nullam incidimus reprehensionem. Scimus enim plane omnem personam compositam sub specie constitutam non sui ipsam ratione compositam esse, sed propter naturam, quæ, cum sit composita, etiam speciem quæ prædicatur contineat, et sub quam illi comparatum est ut reducatur; tanquam nimirum particulare, seu singulare, quidquid universale est seu commune ac genericum in se plenissimum habeat, nec quidquam prorsus suæ rationis universali ac generico tribuat: quod quidem de Christo nemo prorsus eorum qui ad hanc usque ætatem pietatis doctrinam tradiderunt mentis compos dixerit. De quo ut de Christo nemo neque genus neque speciem dici comperiet; non enim naturæ ratione, ad nos Dei Verbum per carnem descendit, sed ratione dispensationis sibi sine detrimento naturam nostram conjungens, eam renovavit. Quamobrem magna dementia sua nihil profecerunt, cum ipsorum sapientia ad quantitatem, quam negaverunt, redierit, quippe qui ne ipsam quidem in qualitate differentiam, sine quantitate dicere valeant. Necesse enim est, ut multæ sint, aut duæ saltem qualitates, ut dictum est, quarum differentiam constituant; unam enim qualitatem, quæ cum alia prorsus mista non sit, secum ipsam differre, nemo sanus unquam dixerit. Reliquum igitur est, ut vel ab ipsa nuda recedant differentia, cum intelligant, ipsam omnino significare aliquorum differentiam, quantitatem, vel

veritatis confessionem nobiscum recipiant, qui differentiæ ratione tanquam modo numerum ex Patrum sententia pie idcirco suscepimus, ut quæ conjuncta sunt, sine confusione mansisse cognosceremus. Illud autem benevole nobis exponant, siquidem una est apud ipsos sapientiæ non ignava ratio, cum ad conjunctionem duo concurrisse dicant, eaque post conjunctionem sine confusione permansisse non negent, tanquam neutro ipsorum a naturæ termino et ratione recedente, licet ad unam utrumque Filii personam atque unam hypostasim concurrerit, cur duo per ipsos servata, ut dicunt, si tamen vere loquuntur, non confiteantur; et quæ sit ratio et causa, quamobrem numerum minuant, et quomodo duæ naturæ factæ sint una. Aut si conjunctio sine ulla mansit imminutione, quæ ratio sit, cur ea non dicant sine imminutione servata. Quod si perfecerint, unius jacturam æquo animo patiemur, admirabimurque bonæ ipsorum disciplinæ constantiam, qui nobis rerum arcanarum cognitionem soli percipere videantur. At nunquam poterunt rationem, qua id persuadeant invenire.

Ejusdem solutio quæstionis Severi.

Ad illud postremo Severi putre atque inane confugiunt inventum, quod ab eo passim jactatur, et decantatur. Dicunt enim ridiculum esse, dicere duas naturas duabus e naturis constitui, tanquam argumentum captiosum a nobis propositum recte confutent. Quem enim ex iis qui divina callent Ecclesiæ instituta, audierunt dicentem duarum naturarum conjunctionem duas naturas constituere? Id audivisse nullo modo poterunt dicere, si veritatis studiosi sunt. Duabus quidem e naturis conjunctionem factam dicimus, sed unam ex ipsis Christi personam constare compositam, quæ illas ipsas naturas, ex quibus composita est, ut totum proprias partes sine defectu cum proprietatibus naturalibus et sine mutatione tuetur atque conservat, et in ipsis conservatur et custoditur ut totum in partibus. Quare duabus e naturis, non duas naturas, sed unam Christi personam compositam dicimus, quæ naturas has ut proprias partes complectitur, et eas ut partes proprias continet, et in ipsis, tanquam in partibus et est, et cognoscitur. Itaque cum unum et duo idem dicimus, non eadem, sed alia, atque alia ratione de uno et eodem utraque pronuntiamus. Duo quidem, quantum ad rationem pertinet naturarum, ex quibus est conjunctio; neque enim idem natura Deum Verbum esse cum propria carne cognoscimus; unum autem quantum attinet ad personam. Idem enim cum propria carne Deum Verbum per personam esse scimus. Quamobrem neque naturas unam in naturam stulte confundimus, naturalem in Christo differentiam auferentes, ne Verbi et carnis commutationem inducamus, neque rursus in duas personas proprie consistentes insane dividimus, in personæ ipsius ratione differentiam collocantes, ne salutem nostram negemus. Quemadmodum ex diametro inter se in impietate discrepantes Apollinarius et

A τοῦ ἀσύγχυτα μεμενηκέναι τὰ συνελθόντα τὸν ἀριθμὸν εὐσεβῶς κατὰ τοὺς Πατέρας παραλαμβάνουσιν. Ἐπεί τοί γε εἰπάτωσαν ἀγαπητικῶς ἐρέσθαι βουλομένοις, εἴπερ ἔνεστιν αὐτοῖς λόγος σοφίας οὐκ ἀγεννής, πῶς δύο μὲν τὰ συνδεδραμηκότα πρὸς ἕνωσιν λέγοντες, ταῦτα δὲ αὐτὰ μεμενηκέναι ἀσύγχυτα μετὰ τὴν ἕνωσιν οὐκ ἀρνούμενοι, ὡς μηδ' ἑτέρου τοῦ κατὰ φύσιν ὅρου τε καὶ λόγου ἐκστάντος, κἂν εἰ πρὸς ἓν ἄμφω συντελοῦσι πρόσωπον τοῦ Υἱοῦ, καὶ μίαν ὑπόστασιν, δύο καὶ τὰ κατ' αὐτοὺς σωζόμενα, ὥς φασιν, εἴπερ ἀληθεύουσιν, οὐχ ὁμολογοῦσι; Καὶ τίς αὐτοῖς τῆς μειώσεως λόγος, καὶ δι' ἥντινα τὴν αἰτίαν; Καὶ πῶς ἄμφω αἱ φύσεις μία γεγόνασιν; Ἢ εἴπερ μειώσεως καθαρὰ διέμεινεν ἡ ἕνωσις, τίς ὁ τοῦ μὴ λέγεσθαι τὰ ἀμειώτως σωζόμενα λόγος; B Καὶ στέρξομεν εὐπειθῶς τὴν στέρησιν τῆς μιᾶς, καὶ θαυμάσομεν αὐτῶν τῆς εὐπαιδείας τὸ εὔτονον, ὡς μόνων τῆς τῶν ἀῤῥήτων γνώσεως ἐκφανθέντων ἡμῖν χωρητικῶν. Ἀλλ' οὐ δυνήσονται πώποτε τὸν τοῦτο πείθοντα παραστῆσαι λόγον.

Τοῦ αὐτοῦ λύσις τῆς ἀπορίας Σευήρου.

Ἐπ' ἐκεῖνο καταφεύγουσι τελευταῖον τὸ σαθρὸν καὶ διάκενον τοῦ Σευήρου εὕρεμα, τὸ πάνυ παρ' αὐτοῦ ὥσπερ τι σοφὸν πανταχοῦ φερόμενον καὶ ᾀδόμενον, φάσκοντες γελοῖον εἶναι ἐκ δύο φύσεων δύο φύσεις πάλιν ἀναδειχθῆναι λέγειν, ὥσπερ λήμματι τὰ εἰκότα ἐπισυνάγοντες παρ' ἡμῶν δοθέντι. Τίνος γὰρ ἤκουσαν τῶν τὰ θεῖα τῆς Ἐκκλησίας πεπαιδευμένων δόγματα, ὡς ἡ ἕνωσις ἐκ δύο φύσεων δύο C ἀπετέλεσε φύσεις; Ἀλλ' οὐδαμῶς ἀκηκοέναι εἰπεῖν δυνήσονται ἀληθείας φροντίζοντες. Λέγομεν δὲ ἐκ δύο φύσεων μὲν τὴν ἕνωσιν γεγενῆσθαι, μίαν δὲ τὴν ἐξ αὐτῶν ὑπόστασιν ἀποτελεῖν τοῦ Χριστοῦ σύνθετον, ἐκείνας αὐτὰς τὰς ἐξ ὧν συνετέθη φύσεις, ὡς ὅλον ἴδια μέρη ἀνελλιπῶς μετὰ τῶν φυσικῶν ἰδιωμάτων, καὶ ἀτρέπτως φυλάττουσάν τε καὶ διασώζουσαν, καὶ ἐν αὐταῖς φυλαττομένην, καὶ σωζομένην ὡς ὅλον ἐν μέρεσιν. Ἐκ δύο οὖν φύσεων οὐ δύο φύσεις, ἀλλὰ μίαν ὑπόστασιν λέγομεν Χριστοῦ σύνθετον, τούτων ὡς ἰδίων μερῶν περιεκτικὴν τῶν φύσεων, καὶ ταύτας ὡς ἴδια καὶ συμπληρωτικὰ μέρη περιέχουσαν, καὶ ἐν αὐταῖς ὡς ἐν μέρεσι καὶ οὖσαν καὶ γνωριζομένην. Διὸ καὶ ἕν, καὶ δύο τὸ αὐτὸ D λέγοντες, οὐ κατὰ τὸ αὐτό φαμεν ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς ἀμφότερα, κατ' ἄλλο δὲ καὶ ἄλλο. Οἷον κατὰ μὲν τὸν τῶν φύσεων λόγον τῶν ἐξ ὧν ἡ ἕνωσις τὰ δύο· οὐ γὰρ ταὐτὸν κατὰ τὴν φύσιν τῇ ἰδίᾳ σαρκὶ τὸν Θεὸν Λόγον γινώσκομεν· κατὰ δὲ τὸν τῆς ὑποστάσεως λόγον τὸ ἕν. Ταυτὸν γὰρ τὸν Θεὸν Λόγον τῇ ἰδίᾳ σαρκὶ κατὰ τὴν ὑπόστασιν ἐπιστάμεθα. Οὔτε οὖν τὰς φύσεις ἀφρόνως εἰς μίαν συναλείφομεν φύσιν τῷ ἀνῃρῆσθαι λέγειν ἐπὶ Χριστοῦ τὴν φυσικὴν διαφορὰν, ἵνα μὴ τροπὴν τοῦ Λόγου καὶ τῆς σαρκὸς εἰσαγάγωμεν· οὔτε εἰς δύο πάλιν ἰδιοσυστάτους ὑποστάσεις μανικῶς διαιροῦμεν τῷ κατὰ τὸν τῆς ὑποστάσεως λόγον τιθέναι διαφορὰν, ἵνα μὴ τὴν ἡμῶν ἀρνώμεθα σωτηρίαν, ὥσπερ οἱ ἐκ διαμέτρου πρὸς ἀλλήλους μερισάμενοι τὴν ἀσέβειαν Ἀπολλι-

νάριος ἅμα Εὐτυχεῖ, καὶ Νεστόριος ἐποίησαν, οἱ μὲν φυσικὴν διαφορὰν ἐπὶ Χριστοῦ οὐκ εἰδότες, ὁ δὲ πρὸς ταύτῃ καὶ προσωπικὴν προσεπάγων· ὅθεν καὶ τῆς ἀληθείας ἐξέπεσαν. Ἀλλ' εἰδότες καὶ ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει τὴν φυσικὴν ἰδιότητα ἄτρεπτον, καὶ τὴν σύγχυσιν ὁμοίως, καὶ τὴν διαίρεσιν ἀποστρεφόμεθα, μήτε τὴν ἕνωσιν σύγχυσιν, ὡς ἀγνοοῦντες τὰ ἑνωθέντα, μήτε διαίρεσιν τὴν διαφορὰν, ὡς καθ' ἑαυτὰ ὑφεστάναι μεμερισμένως εἰδότες τὰ διαφέροντα, ἐργαζόμενοι. Τοῦτο μὲν οὖν, ὡς οἶμαι, καὶ ὁ μέγας Θεολόγος Γρηγόριος διδάσκων φαίνεται ἐν τῷ λόγῳ τῷ ἀπολογητικῷ, ἓν ἐξ ἀμφοῖν λέγων, καὶ δι' ἑνὸς ἀμφότερα, ὅπερ ἐν τῷ δευτέρῳ περὶ Υἱοῦ λόγῳ τρανότερον διεξιὼν φησιν· «Εἰ γὰρ καὶ τὸ συναμφότερον ἓν, ἀλλ' οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ.»

Ἔτι κατὰ Μονοφυσιτῶν· τοῦ Δαμασκηνοῦ. Κεφάλαιον ξϛ'.

Ἀτρέπτως γὰρ, καὶ ἀναλλοιώτως ἡνώθησαν ἀλλήλαις αἱ φύσεις, μήτε τῆς θείας φύσεως ἐκστάσης τῆς οἰκείας ἁπλότητος, μήτε μὴν τῆς ἀνθρωπίνης, ἢ τραπείσης εἰς θεότητος φύσιν, ἢ εἰς ἀνυπαρξίαν χωρησάσης, μήτε ἐκ τῶν δύο μιᾶς γεγενημένης συνθέτου φύσεως. Ἡ γὰρ σύνθετος φύσις, οὐδ' ὁποτέρᾳ τῶν ἐξ ὧν συνετέθη φύσεων ὁμοούσιος ὑπάρχειν δύναται, ἐξ ἑτέρων ἀποτελεσθεῖσα ἕτερον· οἷον τὸ σῶμα τὸ ἐκ τῶν τεσσάρων στοιχείων συντεθειμένον, οὔτε τῷ πυρὶ λέγεται ὁμοούσιον, οὔτε πῦρ ὀνομάζεται, οὔτε ἀὴρ λέγεται, οὔτε ὕδωρ, οὔτε γῆ, οὐδέ τινι τούτων ἐστὶν ὁμοούσιον. Εἰ τοίνυν κατὰ τοὺς αἱρετικοὺς, μιᾶς φύσεως συνθέτου ὁ Χριστὸς μετὰ τὴν ἕνωσιν ἐχρημάτισεν, ἐξ ἁπλῆς φύσεως ἐτράπη εἰς σύνθετον, καὶ οὔτε τῷ Πατρὶ ἁπλῆς φύσεως ὄντι ἐστὶν ὁμοούσιος, οὔτε τῇ Μητρί. Οὐ γὰρ ἐκ θεότητος καὶ ἀνθρωπότητος αὕτη συντέθειται· οὔτε μὴν ἐν θεότητί ἐστι καὶ ἀνθρωπότητι· οὔτε δὲ Θεὸς ὀνομασθήσεται, οὐδὲ ἄνθρωπος, ἀλλὰ Χριστὸς μόνον· καὶ ἔσται τὸ, Χριστὸς, οὐ τῆς ὑποστάσεως ὄνομα, ἀλλὰ τῆς μιᾶς κατ' αὐτοὺς φύσεως.

Ἡμεῖς δὲ, συνθέτου φύσεως τὸν Χριστὸν δογματίζομεν, οὐδὲ ἐξ ἑτέρων ἕτερον [1], ὥσπερ ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπον, ἢ ὡς ἐκ τεσσάρων στοιχείων σῶμα, ἀλλ' ἐξ ἑτέρων τὰ αὐτά· ἐκ θεότητος γὰρ καὶ ἀνθρωπότητος Θεὸν τέλειον, τὸν αὐτὸν, καὶ εἶναι, καὶ λέγεσθαι, ἐκ δύο τε, καὶ ἐν δυσὶ φύσεσιν ὁμολογοῦμεν. Τὸ δὲ, Χριστὸς, ὄνομα τῆς ὑποστάσεως λέγομεν, οὐ μονοτρόπως λεγόμενον, ἀλλὰ τῶν δύο φύσεων ὑπάρχον σημαντικόν. Αὐτὸς γὰρ ἑαυτὸν ἔχρισε· χρίων μὲν ὡς Θεὸς τὸ σῶμα τῇ θεότητι αὐτοῦ, χριόμενος δὲ, ὡς ἄνθρωπος· αὐτὸς γάρ ἐστι τοῦτο κἀκεῖνο. Χρίσις δὲ ἡ θεότης τῆς ἀνθρωπότητος. Εἰ γὰρ μιᾶς φύσεως συνθέτου ὢν ὁ Χριστὸς, ὁμοούσιός ἐστι τῷ Πατρὶ, ἔσται ἄρα καὶ ὁ Πατὴρ σύνθετος, καὶ τῇ σαρκὶ ὁμοούσιος, ὅπερ ἄτοπον, καὶ πάσης βλασφημίας ἀνάπλεον.

A Eutyches una ex parte, et Nestorius ex altera fecerunt: illi dum naturalem in Christo ignorant differentiam; hic vero dum personæ quoque differentiam inducit. Quapropter exciderunt a veritate. Sed in personæ etiam unitate naturalem proprietatem immobilem agnoscentes, pariter et confusionem, et divisionem repudiamus. Neque enim conjunctionis loco confusionem constituimus, ut qui ea quæ conjuncta sunt, ignoremus, neque pro differentia divisionem, ut qui ea quæ differunt, separatim per se consistere asseramus. Hoc et magnus ille theologus Gregorius, mea quidem sententia, docet, cum in magno *Apologetico* dicit unum ex utrisque, et per unum utraque. Quod in secunda oratione de Filio clarius exponens, «Etsi enim, inquit, utrumque B unum, non tamen natura, sed conjunctione.»

Item adversus illos, qui unam in Christo naturam esse dicunt: Damasceni. Cap. 66.

Naturæ duæ in una Christi persona. — Enimvero sine conversione ac mutatione unitæ mutuo naturæ sunt, sic videlicet ut nec a sua simplicitate divina natura desciverit; nec rursus humana; aut in Deitatis naturam conversa, aut in nihilum redacta, aut denique una ex duabus naturis composita natura effecta sit. Siquidem composita natura, cum neutra illarum naturarum, ex quibus conflata est, consubstantialis esse potest; ut quæ ex aliis aliud facta sit. Exempli gratia: corpus, quod ex quatuor elementis constat, nec ejusdem esse cum C igne substantiæ dicitur; nec ignis appellatur, nec aer vocatur, nec aqua, nec terra, nec eamdem cum ullo horum substantiam habet. Quocirca, si post unionem Christus, ut hæreticis placet, unius compositæ naturæ exsistit, ex simplici natura in compositam versus est [42]. Ita nec Patri, cujus simplex natura est, consubstantialis erit, nec matri, quippe quæ ex deitate et humanitate composita non est; nec item in deitate et humanitate erit, nec Deus nuncupabitur, nec homo, sed Christus duntaxat: eritque Christi vocabulum, non personæ ipsius nomen, sed unius, ut illi censent, naturæ.

Nos vero Christum haudquaquam unius compositæ naturæ esse prædicamus, neque ex aliis aliud; D quemadmodum ex anima et corpore hominem, aut ex quatuor elementis, corpus; verum ex diversis eadem [43]. Siquidem ex deitate et humanitate eumdem Deum perfectum, et hominem perfectum, et esse, et dici, atque ex duabus, et in duabus naturis esse confitemur. Christi porro vocabulum personæ esse dicimus, quod non unimode dicitur, sed duplicem naturam significat. Ipse siquidem seipsum unxit, corpus videlicet suum divinitate sua ungendo, tanquam Deus, unctus autem, ut homo; quandoquidem ipse, et hoc, et illud est. Unctio porro humanitatis est divinitas. Enimvero si Christus una tantum composita natura præditus, Patri consubstantialis est, erit et Pater compositus, et carni consubstantialis; quod dictu absurdum est, et omni impietate plenum.

A Ad hæc, quonam pacto una eademque natura substantialium differentiarum mutuo pugnantium capax erit? Qui enim fieri potest, ut eadem natura simul, et creata sit, et increata; mortalis, et immortalis; circumscripta, et incircumscripta?

Monophysitæ Christum utraque natura perfectum fatentur. — Quod si etiam Christum naturæ unius esse dicentes, simplicem hanc esse asserant, aut nudum illum Deum confitebuntur, proque incarnatione meram speciem inducent, aut certe veluti Nestorius, hominem purum.

Monophysitarum error, quod naturam a persona non distinguant. — Verum hoc demum est quod hæreticis errandi causa est, quod naturam et hypostasim esse idem statuant. Etsi vero unam hominum esse dictitamus, at non anima et corpore spectatis; cum fieri non possit, ut corpus et animam simul comparando unius ea esse naturæ B affirmemus: sed quia plurimæ hominum hypostases, et personæ sunt, eamdem omnes rationem naturæ recipiunt. Omnes quippe corpore et anima constant, omnesque, cum animæ naturam participant, tum corporis substantiam habent, communemque speciem. Quo fit ut plurimarum diversarumque personarum unam naturam dicamus, cum videlicet singulæ personæ duplicem naturam habeant, et in duabus naturis, corporis scilicet et animæ, exstare censeantur.

At vero [66] in Domino nostro Jesu Christo non potest accipi communis species. Neque enim fuit, C nec est, nec unquam erit alius Christus ex deitate et humanitate, inque deitate et humanitate idem perfectus Deus, et perfectus homo. Hinc fit, ut in Domino nostro Jesu Christo natura una dicenda non sit, ut eodem modo de Christo qui ex deitate et humanitate compositus est, loquamur, veluti de individuo quod corpore et anima constat. Illic siquidem individuum est; at Christus nequaquam est individuum: neque enim Christitatis, ut ita dicam, speciem ejusmodi habet, de qua prædicetur. Ac proinde ex duabus naturis perfectis, hoc est, divina et humana, unionem esse factam dicimus, non ad modum conspersionis, nec per confusionem, vel commistionem, aut temperationem, quemadmodum ille Numinis ira immissus Dioscorus, Eutyches item, et Severus, quique impiæ D eorum classis sunt, asseruerunt: nec personalem, aut secundum relationem, aut in ratione dignitatis, aut in una voluntatis conspiratione, aut honoris qualitate, aut eadem ac promiscua nuncupatione, aut benevolentia positam, ut Deo invisus Nestorius, Diodorusque, et Mopsuestiensis Theodorus, cum diabolica sua caterva censuerunt: sed per compositionem, hoc est secundum hypostasim, sine ulla conversione, nec confusione, nec mutatione, nec divisione, nec distantia, inque duabus perfectis naturis unam Filii Dei et incarnati personam confitemur; unam dicentes divinitatis ipsius et humanitatis hypostasim, duas au-

A Πῶς δὲ καὶ μία φύσις τῶν ἐναντίων οὐσιωδῶν διαφορῶν δεκτικὴ γενήσεται; Πῶς γὰρ δυνατὸν τὴν αὐτὴν φύσιν κατὰ ταὐτὸν κτιστὴν εἶναι καὶ ἄκτιστον, θνητὴν καὶ ἀθάνατον, περιγραπτὴν καὶ ἀπερίγραπτον;

Εἰ δὲ μιᾶς λέγοντες τὸν Χριστὸν φύσεως, ἁπλῆν ταύτην εἴποιεν, ἢ γυμνὸν αὐτὸν Θεὸν ὁμολογήσουσι, καὶ φαντασίαν εἰσάξουσιν, οὐκ ἐνανθρώπησιν, ἢ ψιλὸν ἄνθρωπον κατὰ Νεστόριον.

Ἀλλὰ τοῦτό ἐστι τὸ ποιοῦν τοῖς αἱρετικοῖς τὴν πλάνην, τὸ ταὐτὸ λέγειν τὴν φύσιν, καὶ τὴν ὑπόστασιν. Ἐπειδὴ δὲ μίαν τῶν ἀνθρώπων φύσιν φαμὲν, ἰστέον ὡς οὐκ ἀφορῶντες εἰς τὸν τῆς ψυχῆς καὶ τοῦ σώματος λόγον, τοῦτο λέγομεν· ἀδύνατον γὰρ μιᾶς φύσεως λέγειν τὴν ψυχὴν καὶ τὸ σῶμα πρὸς B ἄλληλα συγκρινόμενα. Ἀλλ' ἐπειδὴ πλεῖσται ὑποστάσεις τῶν ἀνθρώπων εἰσὶ, πάντες δὲ τὸν αὐτὸν ἐπιδέχονται λόγον τῆς φύσεως· πάντες γὰρ ἐκ ψυχῆς εἰσι συντεθειμένοι, καὶ σώματος, καὶ πάντες τῆς φύσεως τῆς ψυχῆς μετειλήφασι, καὶ τὴν οὐσίαν τοῦ σώματος κέκτηνται, καὶ τὸ κοινὸν εἶδος· τῶν πλείστων καὶ διαφόρων ὑποστάσεων μίαν φύσιν φαμέν· ἑκάστης δηλαδὴ ὑποστάσεως δύο φύσεις ἐχούσης, καὶ ἐν δυσὶ τελούσης ταῖς φύσεσι, ψυχῆς λέγω, καὶ σώματος.

Ἐπὶ δὲ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οὐκ ἔστι C κοινὸν εἶδος λαβεῖν. Οὔτε γὰρ ἐγένετο, οὐδέ ἐστιν, οὔτε ποτὲ γενήσεται ἄλλος Χριστὸς ἐκ θεότητός τε καὶ ἀνθρωπότητος, ἐν θεότητι καὶ ἀνθρωπότητι, Θεὸς τέλειος ὁ αὐτὸς, καὶ ἄνθρωπος τέλειος. Ἐντεῦθεν οὐκ ἔστιν εἰπεῖν μίαν φύσιν ἐπὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὥσπερ ἐπὶ τοῦ ἀτόμου [k] ἐκ ψυχῆς καὶ σώματος συγκειμένου, οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ ἐκ θεότητος καὶ ἀνθρωπότητος. Ἐκεῖ μὲν γὰρ ἄτομον, ὁ δὲ Χριστὸς οὐκ ἄτομον· οὐδὲ γὰρ ἔχει κατηγορούμενον εἶδος Χριστότητος. Διὸ δὴ ἐκ δύο φύσεων τελείων, θείας τε καὶ ἀνθρωπίνης, φαμὲν γεγενῆσθαι τὴν ἕνωσιν· οὐ κατὰ φυρμὸν, ἢ σύγχυσιν, ἢ σύγκρασιν [l], ἢ ἀνάκρασιν, ὡς ὁ θεήλατος ἔφη Διόσκορος, Εὐτυχής [m] τε, καὶ Σευῆρος, καὶ ἡ τούτων ἐναγὴς συμμορία· οὐδὲ προσωπικὴν, ἢ σχετικὴν, ἢ κατ' ἀξίαν, ἢ ταυτοβουλίαν, ἢ ὁμοτιμίαν, ἢ D ὁμωνυμίαν, ἢ εὐδοκίαν, ὡς ὁ θεοστυγὴς ἔφη Νεστόριος, Διόδωρός τε, καὶ ὁ Μοψουεστίας Θεόδωρος, καὶ ἡ τούτων δαιμονιώδης ὁμήγυρις, ἀλλὰ κατὰ σύνθεσιν, ἤγουν καθ' ὑπόστασιν, ἀτρέπτως, καὶ ἀσυγχύτως, καὶ ἀναλλοιώτως, καὶ ἀδιαιρέτως, καὶ ἀδιαστάτως, καὶ ἐν δυσὶ φύσεσι τελείως ἐχούσαις, μίαν ὑπόστασιν ὁμολογοῦμεν τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ σεσαρκωμένου, τὴν αὐτὴν ὑπόστασιν λέγοντες τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος αὐτοῦ, καὶ τὰς δύο φύσεις ὁμολογοῦντες σώζεσθαι ἐν αὐτῷ μετὰ τὴν ἕνωσιν· οὐκ ἰδίᾳ καὶ ἀναμέρος τιθέντες ἑκάστην, ἀλλ' ἡνωμένας ἀλλήλαις ἐν τῇ μιᾷ συνθέτῳ ὑποστάσει. Οὐσιώδη γάρ φαμεν τὴν ἕνωσιν, τουτέστιν ἀληθῆ, καὶ οὐ κατὰ φαντασίαν. Οὐσιώδη δὲ, οὐχ ὡς τῶν

δύο φύσεων ἀποτελεσασῶν μίαν σύνθετον φύσιν, ἀλλ' ἑνωθεισῶν ἀλλήλαις κατ' ἀλήθειαν εἰς μίαν ὑπόστασιν σύνθετον τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ σώζεσθαι αὐτῶν τὴν οὐσιώδη διαφορὰν ὁριζόμεθα. Τὸ γὰρ κτιστὸν, μεμένηκε κτιστὸν, καὶ τὸ ἄκτιστον, ἄκτιστον. Τὸ θνητὸν ἔμεινε θνητὸν, καὶ τὸ ἀθάνατον, ἀθάνατον· τὸ περιγραπτὸν, περιγραπτόν· τὸ ἀπερίγραπτον, ἀπερίγραπτον· τὸ ὁρατὸν, ὁρατὸν, καὶ τὸ ἀόρατον, ἀόρατον· « Τὸ μὲν διαλάμπει τοῖς θαύμασι, τὸ δὲ ταῖς ὕβρεσιν ὑποπέπτωκεν. »

tem post unitionem naturas in ipso incolumes servari confitentes: non ita tamen ut utramque harum seorsim ponamus, verum in una composita persona inter se copulatas. Substantialem enim esse hanc unionem dicimus, hoc est, veram et non imaginariam. Substantialem autem, non quod duæ naturæ unam compositam naturam effecerint; sed quod in unam Filii Dei compositam hypostasim inter se unitæ sint. Quinimo substantialem earum differentiam integram et incolumem servari statuimus. Nam creatum mansit quod creatum est, et increatum, quod increatum; quod mortale est, mortalem permansit, et immortale quod immortale; circumscriptum, quod circumscriptum, incircumscriptum, quod incircumscriptum; visibile, quod visibile; et invisibile, quod invisibile: « Unum quidem horum coruscat miraculis, aliud succumbit injuriis. »

Οἰκειοῦται δὲ τὰ ἀνθρώπινα ὁ Λόγος· αὐτοῦ γάρ ἐστι τὰ τῆς ἁγίας αὐτοῦ σαρκὸς ὄντα· καὶ μεταδίδωσι [a] τῇ σαρκὶ τῶν ἰδίων, κατὰ τὸν ἀντιδόσεως τρόπον, διὰ τὴν εἰς ἄλληλα (12) τῶν μερῶν περιχώρησιν, καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν, καὶ ὅτι εἷς ἦν, καὶ ὁ αὐτὸς, ὁ καὶ τὰ θεῖα καὶ τὰ ἀνθρώπινα « ἐνεργῶν ἐν ἑκατέρᾳ μορφῇ μετὰ τῆς θατέρου κοινωνίας » Διὸ δὴ καὶ ὁ Κύριος τῆς δόξης ἐσταυρῶσθαι λέγεται, καίτοι τῆς θείας αὐτοῦ μὴ παθούσης φύσεως, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου, πρὸ τοῦ πάθους ἐν τῷ οὐρανῷ εἶναι ὡμολόγηται, ὡς αὐτὸς ὁ Κύριος ἔφησεν. Εἷς γὰρ ἦν, καὶ ὁ αὐτὸς ὁ Κύριος τῆς δόξης, ὁ φύσει καὶ ἀληθείᾳ Υἱὸς ἀνθρώπου, ἤτοι ἄνθρωπος γενόμενος, καὶ αὐτοῦ τά τε θαύματα καὶ τὰ πάθη γινώσκομεν, εἰ καὶ κατ' ἄλλο ἐθαυματούργει, καὶ κατ' ἄλλο τὰ πάθη ὁ αὐτὸς ὑπέμενεν (13). Ἴσμεν γὰρ ὥσπερ μίαν αὐτοῦ τὴν ὑπόστασιν, οὕτω τὴν τῶν φύσεων οὐσιώδη διαφορὰν σώζεσθαι. Πῶς δὲ σωθείη διαφορὰ, μὴ σωζομένων τῶν τὴν διαφορὰν ἐχόντων πρὸς ἄλληλα; Διαφορὰ γὰρ τῶν διαφερόντων ἐστὶ διαφορά· τῷ μὲν οὖν λόγῳ, ᾧ διαφέρουσιν ἀλλήλων αἱ φύσεις τοῦ Χριστοῦ, τουτέστι τῷ λόγῳ τῆς οὐσίας, φαμὲν συνάπτεσθαι αὐτὸν τοῖς ἄκροις· κατὰ μὲν τὴν θεότητα, τῷ τε Πατρὶ καὶ τῷ Πνεύματι, κατὰ δὲ τὴν ἀνθρωπότητα, τῇ τε Μητρὶ, καὶ πᾶσι τοῖς ἀνθρώποις. Ὧ δὲ λόγῳ συνάπτονται αἱ φύσεις αὐτοῦ, διαφέρειν αὐτὸν φαμὲν τοῦ τε Πατρὸς καὶ τοῦ Πνεύματος, τῆς τε Μητρὸς καὶ τῶν λοιπῶν ἀνθρώπων· συνάπτονται γὰρ αἱ φύσεις αὐτοῦ τῇ ὑποστάσει, μίαν ὑπόστασιν σύνθετον ἔχουσαι, καθ' ἣν διαφέρει τοῦ τε Πατρὸς καὶ τοῦ Πνεύματος, τῆς τε Μητρὸς καὶ ἡμῶν.

Communicatio idiomatum. — Verbum porro, quia ipsius sunt, quæ sanctæ ejus carnis sunt, ea quæ humanitati conveniunt, sibi vindicat, et vicissim carni, quæ sua sunt, impertit; illo nimirum alternæ communicationis modo, ob mutuam inter se partium commeationem, unionemve hypostaticam; et qua unus idemque erat, qui et divina et humana, « in utraque forma cum alterius communione ageret. » Eo porro nomine Dominus ipse gloriæ crucifixus dicitur [1], quamvis alioqui divina ipsius natura minime passa sit: et rursum, Filius hominis ante passionem in cœlo esse dictus est, veluti Dominus ipse asseruit [2]. Erat enim ille idem Dominus gloriæ, qui etiam natura et vere Filius hominis, hoc est, homo exsistebat. Atqui ipsius tum miracula, tum supplicia esse agnoscimus, etsi ratione alterius naturæ miracula edebat, et alterius ratione idem ipse supplicia perferebat. Scimus enim, ut unam ipsius hypostasim, ita substantialem harum differentiam incolumem servari. Quo autem pacto salva erit differentia, non servatis illis quæ mutuo discrepant. Differentia siquidem est earum rerum quæ diversæ sunt. Qua igitur ratione Christi naturæ inter se differunt, hoc est essentiæ ratione, hac cum extremis conjungi dicimus, puta quantum ad deitatem quidem attinet, cum Patre et Spiritu sancto, quantum vero ad humanitatem, cum matre, et nobis. Idem quippe quoad divinitatem Patri et Spiritui sancto consubstantialis est; quoad vero humanitatem, tum matri, tum cæteris hominibus. Qua ratione vero ejus naturæ mutuo copulantur, eum, tum a Patre et Spiritu sancto, tum a matre et reliquis hominibus differre dicimus. Ipsius enim naturæ per hypostasim copulantur, ut quæ unam compositam hypostasim habeant, cujus ratione tum a Patre et Spiritu sancto, tum a matre et nobis differt.

Τοῦ αὐτοῦ. Κεφάλαιον ξθ'.

Ὥσπερ δὲ ἐπὶ τῆς θεότητος, μίαν μὲν φύσιν ὁμολογοῦμεν, τρεῖς δὲ ὑποστάσεις κατ' ἀλήθειαν οὔσας φαμὲν, καὶ πάντα μὲν τὰ φυσικὰ καὶ οὐσιώδη, ἁπλᾶ φαμεν, τὴν δὲ διαφορὰν τῶν ὑποστάσεων ἐν μόναις ταῖς τρισὶν ἰδιότησι, τῇ ἀναιτίῳ καὶ πατρικῇ καὶ τῇ αἰτιατῇ καὶ υἱϊκῇ, καὶ τῇ αἰτιατῇ καὶ ἐκπορευτῇ ἐπιγινώσκομεν· ἀνεκφοιτήτους δὲ αὐτὰς, καὶ ἀδια-

Ejusdem. Cap. 69.

Personarum in Deo, naturarum in Christo numerus. Unio numerum non tollit. — Cæterum veluti unam in Divinitate naturam confitemur, tres autem personas vere exsistentes dicimus; atque ea quidem omnia quæ naturalia essentialiaque sunt, esse simplicia pronuntiamus, personarum vero discrimen in solis tribus proprietatibus, scilicet

[1] I Cor. II, 8. [2] Joan. III, 13.

quod unus sine causa sit et Pater, alter a causa et Filius, alter item a causa et procedens, esse positum agnoscimus, ut ab invicem nec excedere, nec disjungi queant; quinimo inter se unitæ sint, aliæque alias citra confusionem pervadant: ut, inquam, eas quidem nulla confusione unitas, quoniam tres sunt, tametsi unitæ; verum et absque sejunctione discretas (quanquam enim quælibet illarum per se subsistit, sive perfecta hypostasis est, suamque proprietatem, hoc est exsistentiæ modum disparem habet; at essentiæ tamen, naturaliumque proprietatum ratione conjunguntur, et eo quod a persona Patris non divelluntur, nec excedunt, idcirco Deus unus, et sunt, et dicuntur): consimili modo in divina et arcana, omnemque mentis aciem et captum exsuperante Dei Verbi et Domini nostri Jesu Christi, unius sanctæ Trinitatis hypostasis incarnatione, duas quidem naturas, divinam scilicet et humanam, una coivisse, et secundum hypostasim unitas esse confitemur, ut una hypostasis et persona ex naturis duabus composita facta fuerit. Integras porro, etiam post unitionem, naturas ambas in una composita persona, hoc est in uno Christo, servari dicimus, easque vere esse cum naturalibus ipsarum proprietatibus: quia nimirum citra confusionem unitæ sunt, et rursus citra divisionem distinguuntur et numerantur. Et quemadmodum tres sanctæ Trinitatis personæ ita sine confusione unitæ sunt, ut tamen sine divisione distinguantur et numerentur; quia nempe numerus nec divisionem, nec disjunctionem, nec alienationem, nec sectionem in ipsis facit (unum quippe Deum, Patrem, et Filium, et Spiritum sanctum novimus): ita quoque Christi naturæ, quamvis invicem unitæ sint, cæterum nulla confusione, et quamlibet aliæ alias permeent, non tamen conversionem et transmutationem alterius in alteram admittunt. Utraque enim naturalem proprietatem suam immotam tuetur. Hinc quoque fit ut numerentur, nec tamen numerus divisionem inducat. Unus siquidem Christus est, tam in divinitate, quam in humanitate perfectus. Neque enim numeri ea natura est, ut divisionem aut unionem afferat, sed quantitatem duntaxat earum rerum quæ in numerum cadunt, significat, sive illæ unitæ sint, sive divisæ: unitæ quidem, ut quod quinquaginta lapidibus hic paries constet; divisæ autem, ut quod quinquaginta lapides in campo jaceant: ac rursum unitæ, ut quod in carbone duæ naturæ sint, ignis nimirum et ligni; discretæ vero, quod alia ignis natura sit, alia ligni; alio nempe modo hæc copulante et dividente, non autem numero. Quemadmodum igitur fieri nequit, ut tres divinitatis personas, tametsi inter se junctæ sunt, unam personam dicamus, ne alioqui personarum discrimen confundamus et e medio tollamus, ita nec fieri potest, ut duas Christi naturas secundum hypostasim unitas unam naturam dicamus, ne discrimen earum tollamus et confundamus, atque ad nihilum redigamus.

στάτους ἀλλήλων, καὶ ἡνωμένας, καὶ ἐν ἀλλήλαις ἀσυγχύτως περιχωρούσας ἐπιστάμεθα· καὶ ἡνωμένας μὲν ἀσυγχύτως· τρεῖς γάρ εἰσιν, εἰ καὶ ἥνωνται· διαιρουμένας δὲ ἀδιαστάτως. Εἰ γὰρ καὶ ἑκάστη καθ' ἑαυτὴν ὑφέστηκεν, ἤγουν τελεία ἐστὶν ὑπόστασις, καὶ τὴν οἰκείαν ἰδιότητα, ἤτοι τὸν τῆς ὑπάρξεως τρόπον διάφορον κέκτηται, ἀλλ' ἥνωνται τῇ τε οὐσίᾳ καὶ τοῖς φυσικοῖς ἰδιώμασι, καὶ τῷ μὴ διΐστασθαι, μηδὲ ἐκφοιτᾷν τῆς πατρικῆς ὑποστάσεως, καὶ εἷς Θεός εἰσί τε, καὶ λέγονται· τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς θείας καὶ ἀποῤῥήτου, καὶ πάντα νοῦν, καὶ κατάληψιν ὑπερεχούσης οἰκονομίας, τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος Θεοῦ Λόγου, Κυρίου τε ἡμῶν Ἰησοῦ Χριστοῦ, δύο μὲν φύσεις ὁμολογοῦμεν, θείαν τε καὶ ἀνθρωπίνην, συνεληλυθυίας ἀλλήλαις, καὶ καθ' ὑπόστασιν ἑνωθείσας, μίαν δὲ τὴν ὑπόστασιν ἐκ τῶν φύσεων ἀποτελεσθεῖσαν σύνθετον· σώζεσθαι δέ φαμεν τὰς δύο φύσεις, καὶ μετὰ τὴν ἕνωσιν, ἐν τῇ μιᾷ συνθέτῳ ὑποστάσει, ἤγουν ἐν τῷ ἑνὶ Χριστῷ, καὶ κατ' ἀλήθειαν αὐτὰς εἶναι, καὶ τὰ τούτων φυσικὰ ἰδιώματα· ἡνωμένας μέντοι ἀσυγχύτως, καὶ ἀδιαιρέτως διαφερούσας τε, καὶ ἀριθμουμένας. Καὶ ὥσπερ αἱ τρεῖς ὑποστάσεις τῆς ἁγίας Τριάδος ἀσυγχύτως τε ἥνωνται, καὶ ἀδιαιρέτως διῄρηνται, καὶ ἀριθμοῦνται, καὶ ὁ ἀριθμὸς διαίρεσιν, ἢ διάστασιν, ἢ ἀλλοτρίωσιν, καὶ διατομὴν ἐν αὐταῖς οὐκ ἐργάζεται· ἕνα γὰρ Θεὸν ἐπιγινώσκομεν τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον· τὸν αὐτὸν τρόπον, καὶ αἱ τοῦ Χριστοῦ φύσεις, εἰ καὶ ἡνῶνται, ἀλλ' ἀσυγχύτως ἥνωνται· καὶ εἰ ἐν ἀλλήλαις περιχωροῦσιν, ἀλλὰ τὴν εἰς ἀλλήλας τροπήν τε, καὶ μεταβολὴν οὐ προσίενται. Φυλάττει γὰρ ἑκατέρα τὴν ἑαυτῆς φυσικὴν ἰδιότητα ἀμετάβλητον. Διὸ καὶ ἀριθμοῦνται, καὶ ὁ ἀριθμὸς οὐκ εἰσάγει διαίρεσιν. Εἷς γάρ ἐστιν ὁ Χριστὸς, ἔν τε θεότητι καὶ ἀνθρωπότητι τέλειος· ὁ γὰρ ἀριθμὸς, οὐ διαιρέσεως, ἢ ἑνώσεως αἴτιος πέφυκεν, ἀλλὰ τῆς ποσότητος τῶν ἀριθμουμένων σημαντικὸς, εἴτε ἡνωμένων, εἴτε διῃρημένων· ἡνωμένων μὲν, ὡς ὅτι πεντήκοντα λίθους ἔχει ὁ τοῖχος οὗτος· διῃρημένων δὲ, ὡς ὅτι πεντήκοντα λίθοι κεῖνται ἐν τῷ πεδίῳ τούτῳ· καὶ ἡνωμένων μὲν, ὅτι δύο φύσεις εἰσὶν ἐν τῷ ἄνθρακι, πυρὸς λέγω καὶ ξύλου· διῃρημένων δὲ, ὅτι ἡ φύσις τοῦ πυρὸς ἑτέρα ἐστὶ, καὶ ἡ τοῦ ξύλου ἑτέρα· ἄλλου τρόπου ἑνοῦντος, καὶ διαιροῦντος αὐτὰ, καὶ οὐ τοῦ ἀριθμοῦ. Ὥσπερ τοίνυν ἀδύνατον τὰς τρεῖς ὑποστάσεις τῆς θεότητος, εἰ καὶ ἥνωνται ἀλλήλαις, μίαν ὑπόστασιν εἰπεῖν διὰ τὸ μὴ σύγχυσιν καὶ ἀφανισμὸν τῆς τῶν ὑποστάσεων διαφορᾶς ἐργάσασθαι [1], οὕτω καὶ τὰς δύο φύσεις τοῦ Χριστοῦ, τὰς καθ' ὑπόστασιν ἡνωμένας, ἀδύνατον μίαν φύσιν εἰπεῖν, ἵνα μὴ ἀφανισμὸν, καὶ σύγχυσιν, καὶ ἀνυπαρξίαν τῆς αὐτῶν διαφορᾶς ἐργασώμεθα.

Ejusdem cap. 72.

Aliud solvit argumentum Severi. — Quod si quis

Τοῦ αὐτοῦ. Κεφάλαιον οβ'.

Εἰ δέ τις ἐρωτᾷ περὶ τῶν τοῦ Κυρίου φύσεων,

A αἱ ὑπὸ τὸ συνεχὲς ποσὸν ἀνάγονται, ἢ ὑπὸ τὸ διωρισμένον, ἐροῦμεν, ὅτι αἱ τοῦ Κυρίου φύσεις, οὔτε ἓν σῶμά εἰσιν, οὔτε μία ἐπιφάνεια, οὔτε μία γραμμὴ, οὐ χρόνος, οὐ τόπος, ἵνα ὑπὸ τὸ συνεχὲς ἀναχθῶσι ποσόν· ταῦτα γάρ εἰσι τὰ συνεχῶς ἀριθμούμενα.

Ἰστέον δὲ ὡς ὁ ἀριθμὸς, τῶν διαφερόντων ἐστί· καὶ ἀδύνατον ἀριθμεῖσθαι, τὰ κατὰ μηδὲν διαφέροντα· καθ' ὃ δὲ διαφέρουσι, κατὰ τοῦτο καὶ ἀριθμοῦνται· οἷον ὁ Πέτρος καὶ ὁ Παῦλος, καθ' ὃ μὲν ἥνωνται, οὐκ ἀριθμοῦνται. Τῷ λόγῳ γὰρ τῆς οὐσίας ἑνούμενοι, δύο φύσεις οὐ δύνανται λέγεσθαι· καθ' ὑπόστασιν δὲ διαφέροντες, δύο ὑποστάσεις λέγονται. Ὥστε ὁ ἀριθμὸς τῶν διαφερόντων ἐστὶ, καὶ ᾧ τρόπῳ B διαφέρουσι τὰ διαφέροντα, τούτῳ τῷ τρόπῳ καὶ ἀριθμοῦνται.

Ἥνωνται μὲν οὖν αἱ τοῦ Κυρίου φύσεις ἀσυγχύτως καθ' ὑπόστασιν, διῄρηνται δὲ ἀδιαιρέτως λόγῳ καὶ τρόπῳ τῆς διαφορᾶς. Καὶ ᾧ μὲν τρόπῳ ἥνωνται, οὐκ ἀριθμοῦνται· οὐ γὰρ καθ' ὑπόστασιν δύο εἶναί φαμεν τὰς φύσεις τοῦ Χριστοῦ· ᾧ δὲ τρόπῳ ἀδιαιρέτως διῄρηνται, ἀριθμοῦνται· δύο γάρ εἰσιν αἱ φύσεις τοῦ Χριστοῦ, λόγῳ καὶ τρόπῳ τῆς διαφορᾶς. Ἡνωμέναι γὰρ καθ' ὑπόστασιν, καὶ τὴν ἐν ἀλλήλαις περιχώρησιν ἔχουσαι, ἀσυγχύτως ἥνωνται, τὴν οἰκείαν ἑκάστη φυσικὴν διαφορὰν διασώζουσα. Τῷ τρόπῳ τοιγαροῦν τῆς διαφορᾶς, καὶ μόνῳ ἀριθμούμεναι, ὑπὸ τὸ διωρισμένον ποσὸν ἀναχθήσονται.

C Εἷς τοίνυν ἐστὶν ὁ Χριστὸς, Θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος· ὃν προσκυνοῦμεν σὺν Πατρὶ καὶ Πνεύματι, μιᾷ προσκυνήσει μετὰ τῆς ἀχράντου σαρκὸς αὐτοῦ, οὐκ ἀπροσκύνητον τὴν σάρκα λέγοντες· προσκυνεῖται γὰρ ἐν τῇ μιᾷ τοῦ Λόγου ὑποστάσει, ἥτις αὐτῇ ὑπόστασις γέγονεν· οὐ τῇ κτίσει λατρεύοντες. Οὐ γὰρ ὡς ψιλὴν σάρκα [1] προσκυνοῦμεν, ἀλλ' ὡς ἡνωμένην θεότητι, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν τοῦ Θεοῦ Λόγου, τῶν δύο αὐτοῦ ἀναγομένων φύσεων. Δέδοικα τοῦ ἄνθρακος ἅψασθαι διὰ τὸ τῷ ξύλῳ συνημμένον πῦρ. Προσκυνῶ τοῦ Χριστοῦ τὸ συναμφότερον, διὰ τὴν τῇ σαρκὶ ἡνωμένην θεότητα. Οὐ γὰρ τέταρτον παρ- D εντίθημι πρόσωπον ἐν τῇ Τριάδι· μὴ γένοιτο; ἀλλ' ἓν πρόσωπον ὁμολογῶ τοῦ Θεοῦ Λόγου καὶ τῆς σαρκὸς αὐτοῦ. Τριὰς γὰρ ἔμεινεν ἡ Τριὰς, καὶ μετὰ τὴν τοῦ Λόγου σάρκωσιν.

Τοῦ αὐτοῦ. Κεφάλαιον ϟϛ'.

Τὸν Υἱὸν τοῦ Θεοῦ σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι προσκυνοῦμεν· ἀσώματον μὲν πρὸ τῆς ἐνανθρωπήσεως, καὶ νῦν τὸν αὐτὸν σεσαρκωμένον καὶ γενόμενον ἄνθρωπον, μετὰ τοῦ εἶναι Θεόν. Ἡ τοίνυν σὰρξ αὐτοῦ, κατὰ μὲν τὴν ἑαυτῆς φύσιν, ἂν διέλῃς ἰσχναῖς ἐπινοίαις τὸ ὁρώμενον ἐκ τοῦ νοουμένου, ἀπροσκύνητός ἐστιν, ὡς κτιστή· ἑνωθεῖσα δὲ

A de Domini naturis pertentetur, ad continuamne quantitatem, an ad discretam referantur, sic respondebimus : Domini naturas neque corpus unum esse, neque lineam unam, neque tempus, neque locum, ut ad continuam quantitatem reducantur. Hæc enim sunt, quæ continue quanta censentur.

Sciendum porro est ea in numerum cadere quæ inter se distinguuntur, nec numerari ea posse inter quæ nulla distinctio est : sed quatenus distinguuntur, eatenus numerari; ex. gr., Petrus et Paulus, qua ratione uniti sunt, non numerantur; nam, cum secundum essentiam copulentur, dici non possunt duæ naturæ : at vero, cum ratione personæ B differunt, duæ proinde personæ dicuntur. Ex quo patet numerum iis convenire, quæ inter se differunt; et quatenus differunt, hactenus quoque ea numerari.

Duæ Christi naturæ discretæ. — Quocirca Domini naturæ, quantum ad personam attinet, absque confusione unitæ sunt; quantum autem ad differentiæ rationem, absque divisione distinguuntur. Ac quidem qua ratione unitæ sunt, minime numerantur (neque enim duas quantum ad personam dicimus esse Christi naturas), qua autem citra divisionem distinctæ sunt, numerantur. Duæ enim Christi naturæ sunt, distinctionis ratione et modo : nam quia ratione personæ unitæ sunt, et invicem se pervadunt, citra confusionem uniuntur, suam naturalem differentiam ambæ retinentes. C Quare, cum distinctionis modo, ejusque sola ratione numerentur, ad discretam quantitatem redigentur.

Quomodo Christi caro adoretur. — Quapropter unus est Christus, Deus perfectus, et homo perfectus, cui unam eamdemque adorationem cum Patre et Spiritu, non exclusa immaculata ejus carne, adhibemus. Neque enim adorandam esse carnem ejus negamus : quippe quæ adoratur in una Verbi persona, quæ quidem ipsi persona et hypostasis facta est. Qua in re non creaturæ servimus; non enim illam, ceu nudam carnem adoramus, sed velut divinitati unitam : et quia duæ ipsius naturæ ad unam Dei Verbi personam reducuntur, unamque subsistentiam. Carbonem tangere ob D ignem cum ligno conjunctum vereor. Ambas Christi naturas ob unitam carni divinitatem adoro. Non quartam Trinitati personam infero : absit! sed unam Dei Verbi, carnisque ipsius personam confiteor. Trinitas quippe etiam post Verbi incarnationem Trinitas mansit.

Ejusdem. cap. 96.

Christi caro, ut Verbi caro adoranda, non ratione sui. — Dei Filium simul cum Patre et Spiritu sancto adoramus, corpore quidem nudum antequam humanitatem assumpsisset, nunc autem eumdem incarnatum hominemque factum, cum eo quod Deus est. Ac proinde ipsius caro suapte quidem natura, si subtili quadam consideratione id quod visi-

bile est, ab eo quod ratione tantum intelligitur, distinxeris, nequaquam adoranda est, utpote creata, et cum Deo Verbo unita sit, propter ipsum et in ipso adoratur. Quemadmodum enim rex, et nudus, et vestibus indutus adoratur; ac purpura quidem velut simplex purpura calcatur et projicitur; postquam autem in regium indumentum adhibita est, tum honore et gloria afficitur, eaque conditione est, ut qui eam indecore tractarit, morte plerumque multetur: velut etiam simplex lignum, non sic comparatum est ut tangi non possit, cæterum ubi admoto igne carbo evasit, non quidem suapte vi, sed ob adjunctum ignem, nec propius adiri, nec tangi omnino potest: non quod ea ligni natura sit, ut propiorem ad se accessum non ferat, sed quod jam carbo sit, seu lignum accensum: ad eumdem quoque modum caro suapte quidem natura nequaquam est adoranda: sed cum incarnato Verbo adoratur, non quidem propter seipsam, sed propter Deum Verbum, quod secundum hypostasim ipsi copulatum est. Neque enim fatemur nudam simplicem carnem adorari, verum Dei carnem, sive Deum incarnatum.

τῷ Θεῷ Λόγῳ, δι' αὐτὸν καὶ ἐν αὐτῷ προσκυνεῖται. Ὄνπερ γὰρ τρόπον ὁ βασιλεὺς καὶ γυμνὸς προσκυνεῖται καὶ ἐνδεδυμένος, καὶ ἡ ἁλουργὶς, ὡς μὲν ψιλὴ ἁλουργὶς, πατεῖται καὶ περιῤῥίπτεται, βασιλικὸν δὲ γενομένη ἔνδυμα, τιμᾶται καὶ δοξάζεται, καὶ εἴ τις αὐτὴν παροιχτρώσειε, θάνατον, ὡς τὰ πολλὰ, καταχρίνεται· ὡς δὲ καὶ ξύλον ψιλὸν οὐκ ἔστι τῇ ἀφῇ ἀπρόσιτον, πυρὶ δὲ προσομιλῆσαν καὶ ἄνθραξ γενόμενον, οὐ δι' ἑαυτὸ, διὰ δὲ τὸ συνημμένον πῦρ, ἀπρόσιτον γίνεται, καὶ οὐχ ἡ τοῦ ξύλου φύσις ὑπάρχει ἀπρόσιτος, ἀλλ' ὁ ἄνθραξ, ἤτοι τὸ πεπυρακτωμένον ξύλον, οὕτω καὶ ἡ σὰρξ, κατὰ μὲν τὴν ἑαυτῆς φύσιν, οὐκ ἔστι προσκυνητὴ, προσκυνεῖται δὲ ἐν τῷ σεσαρκωμένῳ Θεῷ Λόγῳ, οὐ δι' ἑαυτὴν, ἀλλὰ διὰ τὸν ἡνωμένον αὐτῇ καθ' ὑπόστασιν Θεὸν Λόγον· καὶ οὔ φαμεν, ὅτι σάρκα προσκυνοῦμεν ψιλὴν, ἀλλὰ σάρκα Θεοῦ, ἤτοι σεσαρκωμένον Θεόν.

Ejusdem. Cap. 73.

Quamvis enim nulla sit natura quæ subsistentia careat, nec ulla substantia quæ personæ expers exsistat (quippe cum et substantia et natura in subsistentiis considerentur et personis), at non idcirco necesse ut naturæ illæ, quæ secundum hypostasim inter se unitæ sunt, suam singulæ hypostasim habeant. Fieri enim potest, ut in unam personam convenientes, nec substantia careant, nec rursus separatam ac propriam subsistentiam habeant, sed ambæ unam et eadem. Nam, cum una et eadem Verbi persona ambarum naturarum persona exstiterit, nec utramvis harum subsistentia carere sinit, nec rursus eas diversam inter se subsistentiam habere concedit, nec demum ut nunc hujus, nunc illius, persona sit, sed utriusque semper citra divisionem et separationem hypostasis exsistit: sic nimirum ut non in partes secetur ac dividatur, suique partem huic, partemque illi tribuat, sed tota hujus, ac tota illius indivise, atque in totum sit. Neque enim ut seorsim subsisteret, Dei Verbi caro condita est, aut præter Dei Verbi personam alia facta fuit persona: sed cum in ea subsisteret, facta est potius ἐνυπόστατος, id est, in alio substans, quam seorsim in seipsa substans hypostasis. Quamobrem nec caret subsistentia, nec alteram in Trinitate personam inducit.

Τοῦ αὐτοῦ. Κεφάλαιον ογ'.

Εἰ γὰρ καὶ μὴ ἔστι φύσις ἀνυπόστατος, ἢ οὐσία ἀπρόσωπος· ἐν ὑποστάσεσι γὰρ καὶ προσώποις ἥ τε οὐσία καὶ ἡ φύσις θεωρεῖται· ἀλλ' οὐκ ἀνάγκη τὰς ἀλλήλαις ἑνωθείσας φύσεις καθ' ὑπόστασιν, ἑκάστην ἰδίαν κεκτῆσθαι ὑπόστασιν· δύνανται γὰρ εἰς μίαν συνδραμοῦσαι ὑπόστασιν, μήτε ἀνυπόστατοι εἶναι, μήτε ἰδιάζουσαν ἑκάστη ἔχειν ὑπόστασιν, ἀλλὰ μίαν καὶ τὴν αὐτὴν ἀμφότεραι. Ἡ αὐτὴ γὰρ τοῦ Λόγου ὑπόστασις, ἀμφοτέρων τῶν φύσεων ὑπόστασις χρηματίσασα, οὔτε ἀνυπόστατον αὐτῶν μίαν εἶναι συγχωρεῖ, οὔτε μὴν ἑτεροϋποστάτους ἀλλήλων εἶναι παραχωρεῖ, οὐδὲ [εἶναί] ποτε μὲν τῆσδε, ποτὲ δὲ ἐκείνης, ἀλλ' ἀεὶ ἀμφοτέρων ἀδιαιρέτως, καὶ ἀχωρίστως ὑπάρχει ὑπόστασις· οὐ μεριζομένη καὶ διαιρουμένη, καὶ μέρος μὲν ἑαυτῆς τῇδε, μέρος δὲ τῇδε διανέμουσα, ἀλλὰ πᾶσα ταύτης καὶ πᾶσα ἐκείνης, ἀμερῶς καὶ ὁλοσχερῶς ὑπάρχουσα. Οὐ γὰρ ἰδιοσυστάτως ὑπέστη ἡ τοῦ Θεοῦ Λόγου σὰρξ, οὐδὲ ἑτέρα ὑπόστασις γέγονε παρὰ τὴν τοῦ Θεοῦ Λόγου ὑπόστασιν, ἀλλ' ἐν αὐτῇ ὑποστᾶσα, ἐνυπόστατος μᾶλλον, καὶ οὐ καθ' ἑαυτὴν ἰδιοσύστατος ὑπόστασις γέγονε. Διὸ οὐδὲ ἀνυπόστατός ἐστιν, οὐδὲ ἑτέραν ἐν τῇ Τριάδι παρεισφέρει ὑπόστασιν.

Ejusdem. Cap. 74.

Divina nomina communia. — Quæ cum ita sint, appendicem illam, quam Petrus Cnapheus, seu Fullo, Trisagio hymno adjecit, impiam esse statuimus, ut quæ quartam inducat personam, ac Dei Filium, vim illam nimirum Patris vere subsistentem, seorsim collocet, et seorsim rursus eum, qui cruci affixus est, ac si ab illo *forti* diversus esset, vel Trinitatem sanctam passioni obnoxiam opinetur, Patremque ac Spiritum sanctum in crucem

Τοῦ αὐτοῦ. Κεφάλαιον. οδ'.

Ἐντεῦθεν καὶ τὴν ἐν τῷ Τρισαγίῳ προσθήκην ὑπὸ τοῦ ματαιόφρονος Πέτρου τοῦ Κναφέως γεγενημένην, βλάσφημον ὁριζόμεθα, ὡς τέταρτον παρεισάγουσαν πρόσωπον, καὶ ἀναμέρος τιθεῖσαν τὸν τοῦ Θεοῦ Υἱὸν, τὴν τοῦ Πατρὸς ἐνυπόστατον δύναμιν, καὶ ἀναμέρος τὸν ἐσταυρωμένον ὡς ἄλλον ὄντα παρὰ τὸν *ἰσχυρὸν*, ἢ παθητὴν τὴν ἁγίαν Τριάδα δοξάζουσαν, καὶ συσταυροῦσαν τῷ Υἱῷ τὸν Πατέρα καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ἄπαγε ταύτην τὴν βλάσφημον

καὶ παρέγγραπτον φλυαρίαν. Ἡμεῖς γὰρ τὸ, ἅγιος ὁ Θεὸς, ἐπὶ τοῦ Πατρὸς ἐκλαμβάνομεν, οὐχ αὐτῷ μόνῳ τὸ τῆς θεότητος ἀφορίζοντες ὄνομα, ἀλλὰ καὶ τὸν Υἱὸν Θεὸν εἰδότες, καὶ τὸ Πνεῦμα τὸ ἅγιον· καὶ τὸ, ἅγιος ἰσχυρὸς, ἐπὶ τοῦ Υἱοῦ τίθεμεν, οὐχ ἀπαμφιεννύντες τῆς ἰσχύος τὸν Πατέρα καὶ τὸ Πνεῦμα τὸ ἅγιον· καὶ τὸ, ἅγιος ἀθάνατος, ἐπὶ τοῦ ἁγίου Πνεύματος τάττομεν, οὐχ ἔξω τῆς ἀθανασίας τιθέντες τὸν Πατέρα καὶ τὸν Υἱὸν, ἀλλ' ἐφ' ἑκάστης τῶν ὑποστάσεων πάσας τὰς θεωνυμίας ἁπλῶς καὶ ἀπολύτως ἐκλαμβάνοντες, καὶ τὸν θεῖον Ἀπόστολον ἐκμιμούμενοι, φάσκοντα· *Ἡμῖν δὲ εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς ἐξ αὐτοῦ· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ· καὶ ἓν Πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα καὶ ἡμεῖς ἐν αὐτῷ*[m]. Οὐ μὴν ἀλλὰ καὶ τὸν Θεολόγον Γρηγόριον, ὧδέ πη λέγοντα· *Ἡμῖν δὲ εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἓν Πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα*, τοῦ, ἐξ οὗ, καὶ, δι' οὗ, καὶ, ἐν ᾧ, μὴ φύσεις τεμνόντων· οὐδὲ γὰρ ἂν μετέπιπτον αἱ προθέσεις, ἢ αἱ τάξεις τῶν ὀνομάτων· ἀλλὰ χαρακτηριζόντων μιᾶς καὶ ἀσυγχύτου φύσεως ἰδιότητας: καὶ τοῦτο δῆλον ἐξ ὧν εἰς ἓν συνάγονται πάλιν, εἰ τῷ μὴ παρέργως ἐκεῖνο ἀναγινώσκεται παρὰ τῷ αὐτῷ Ἀποστόλῳ, τὸ, *ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ καὶ ἐν αὐτῷ τὰ πάντα· αὐτῷ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων*. Ἀμήν.

Ὅτι γὰρ οὐκ εἰς τὸν Υἱὸν μόνον λέλεκται τὸ τρισάγιον, ἀλλ' εἰς τὴν ἁγίαν Τριάδα, μάρτυς ὁ θεῖος καὶ ἱερὸς Ἀθανάσιος, Βασίλειός τε, καὶ Γρηγόριος, καὶ πᾶς ὁ τῶν θεοφόρων Πατέρων χορός· ὅτιπερ διὰ τῆς τρισσῆς ἁγιότητος, τὰς τρεῖς τῆς ὑπερουσίου θεότητος ὑποστάσεις, τὰ ἅγια Σεραφὶμ ἡμῖν ὑπεμφαίνουσι. Διὰ δὲ τῆς μιᾶς κυριότητος, τὴν μίαν τῆς θεαρχικῆς Τριάδος οὐσίαν τε καὶ βασιλείαν γνωρίζουσι. Φησὶ γοῦν ὁ Θεολόγος Γρηγόριος· Οὕτω μὲν οὖν τὰ Ἅγια τῶν ἁγίων, ἃ καὶ τοῖς Σεραφὶμ συγκαλύπτεται, καὶ δοξάζεται τρισὶν ἁγιασμοῖς, εἰς μίαν συνιοῦσι κυριότητα καὶ θεότητα. Ὃ καὶ ἄλλῳ τινὶ τῶν πρὸ ἡμῶν πεφιλοσόφηται κάλλιστά τε καὶ ὑψηλότατα.

Φασὶ δὲ καὶ οἱ τὴν ἐκκλησιαστικὴν ἱστορίαν συντάξαντες, ὅτι λιτανεύοντος τοῦ ἐν Κωνσταντινουπόλει λαοῦ, διά τινα θεήλατον ἀπειλὴν, ἐπὶ Πρόκλου τοῦ ἀρχιεπισκόπου γεγενημένην, συνέβη ἁρπαγῆναι παιδίον ἐκ τοῦ λαοῦ, καὶ οὕτω μυηθῆναι ὑπ' ἀγγελικῆς τινος διδασκαλίας τὸν Τρισάγιον ὕμνον, *Ἅγιος ὁ Θεὸς, Ἅγιος ἰσχυρὸς, Ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς*· καὶ αὖθις ἐπιστραφέντος τοῦ παιδίου, καὶ τὸ μυηθὲν ἀπαγγείλαντος, ᾆσαι τὸν ὕμνον ἅπαν τὸ πλῆθος, καὶ οὕτω κοπάσαι τὴν ἀπειλήν. Καὶ ἐν τῇ ἁγίᾳ δὲ, καὶ μεγάλῃ, καὶ οἰκουμενικῇ τετάρτῃ συνόδῳ, τῇ ἐν Χαλκηδόνι φημὶ, οὕτως ὑμνηθῆναι ὁ τρισάγιος οὗτος ὕμνος παραδέδοται· οὕτω γὰρ τοῖς πεπραγμένοις[n] τῆς αὐτῆς ἁγίας συνόδου ἐμφέρεται·

agat. Procul sit blasphema hæc et adulterina nugacitas. Nos quippe illud, *sanctus Deus* de Patre accipimus: non quod ipsi soli divinitatis assignemus nomen. Nam et Filium, et Spiritum sanctum Deum agnoscimus. Itidem illud, *sanctus fortis*, Filio tribuimus: non quod Patrem et Spiritum sanctum virtute spoliemus. Ac denique illud, *sanctus immortalis*, Spiritui sancto ascribimus: non ut Patrem et Filium ab immortalitate excludamus, sed ut in unoquaque persona omnia divina nomina simpliciter et absolute sumamus, divinum scilicet Apostolum imitantes, cujus hæc verba sunt: *Nobis autem unus Deus Pater, ex quo omnia, et nos ex ipso; et unus Dominus Jesus Christus, per quem omnia, et nos per ipsum: et unus Spiritus sanctus, in quo omnia, et nos in ipso*[1]. Itemque Gregorium[2] illum Theologum ad hunc modum loquentem: *Nobis autem unus Deus Pater, ex quo omnia; et unus Dominus Jesus Christus, per quem omnia; et unus Spiritus sanctus, in quo omnia*: his voculis, *ex quo, per quem*, et *in quo*, non scindentibus naturas (neque enim alioqui præpositiones illæ, aut nominum ordines unquam mutarentur), verum unius ac inconfusæ naturæ proprietates exprimentibus. Idque liquet ex eo quod rursus in unum colliguntur, si modo quispiam illud apud Apostolum haud negligenter legat: *Ex ipso, et per ipsum, et in ipso sunt omnia, ipsi gloria in sæcula sæculorum. Amen*[3].

Nam quod non de Filio duntaxat, sed de sancta Trinitate dictus sit ter sanctus hymnus, testantur divinus sacerque Athanasius, Basilius, et Gregorius, ac totus Patrum a Deo afflatorum chorus; nempe quod sancta illa Seraphim per trinam sanctitatem, tres superessentialis divinitatis personas nobis indicent; per unam autem dominationem, unam divinæ Trinitatis substantiam, imperiumque declarent. Ait quippe Gregorius Theologus: Sic porro Sancta sanctorum, quæ etiam a Seraphim obteguntur, ac tribus sanctificationibus celebrantur, in unam dominationem et divinitatem conveniunt; id quod et alius quispiam majorum nostrorum pulcherrime ac sublimissime edisseruit.

Trisagii traditio, sub Proclo pontifice. — Jam vero narrant ecclesiasticæ historiæ scriptores, cum plebs Constantinopolitana, Proclo archiepiscopum agente, minaci quadam immissa divinitus tempestate conterrito, supplex Deo preces adhiberet, puerum quemdam e plebe in sublime raptum, angelis quibusdam magistris Trisagium hunc hymnum didicisse: *Sanctus Deus, Sanctus fortis, Sanctus immortalis, miserere nobis.* Cumque loco suo puer redditus id quod didicerat, retulisset, multitudinem universam hymnum hunc cecinisse, atque hoc pacto imminentem calamitatem quievisse. Quin in sancto magnoque, et universali quarto illo concilio, quod Chalcedone coactum est, ita cantatus

[1] I Cor. viii, 5. [2] Orat. 39. [3] Rom. xi, 36.

fuisse hic hymnus traditur; quemadmodum in sanctæ hujus synodi actis recitatur. Quamobrem ridiculum prorsus et ludicrum fuerit, canticum istud Trisagium ab angelis acceptum, ingruentiumque malorum depulsione firmatum, quod conferta sanctorum Patrum synodus comprobavit, quin et Seraphim pridem cecinerant, velut quo tres deitatis personæ exprimerentur, Cnaphei iniqua opinatione, quasi ille Seraphim antecelleret, pedibus proculcari, aut saltem emendari. Proh insignem arrogantiam, ne dicam amentiam! Nos vero (rumpantur licet etiam dæmones) ita dicimus: *Sanctus Deus, Sanctus fortis, Sanctus immortalis, miserere nobis.*

Ejusdem adversus eos, qui dicunt, si duas habet homo naturas et actiones, necesse est, tres in Christo naturas et totidem actiones asserere. Cap. 80.

Singuli quidem homines cum binis naturis anima nimirum et corpore constent, easque in se immutabiles servent, binæ merito dicuntur naturæ. Utraque enim etiam post conjunctionem naturalem servat proprietatem. Neque enim corpus immortale, sed interitum sentiens. Neque mortalis anima, sed immortalis. Quod si unius aliquando naturæ homo dicitur, naturæ vocabulum pro specie accipitur. Negamus enim naturæ differentia hominem ab homine discrepare, sed eamdem omnes homines habere constitutionem, cum ex anima et corpore compositi sint, et binas singuli naturas absolvant, et sub unam omnes definitionem cadant. Ac ne illud quidem falsum est, cum rerum omnium procreatarum, quod generatæ sint, naturam unam appellat sacer Athanasius, in ea oratione, quam adversum illos scripsit, qui Spiritui sancto maledicunt, loquens ad hunc modum: *Rebus omnibus procreatis præstare Spiritum sanctum, et ab eorum, quæ facta sunt, natura diversum esse, divinitatisque proprium, ex hoc rursum possumus intelligere. Cum igitur omnis homo ex anima et corpore compositus sit, idcirco una dicitur hominum natura. At in Domini persona naturam unam dicere non possumus, cum utraque natura etiam post conjunctionem naturalem proprietatem conservet. Porro Christorum species inveniri non potest, neque enim fuit alius Christus, qui ex divinitate atque humanitate Deus idem sit et homo.* Et rursum, *Non est idem secundum hominis speciem, unum et unum, quantum ad animæ et corporis essentiam pertinet. Nam unum secundum hominis speciem significat eam, quæ est in omnibus hominibus similitudinem. Unum vero quantum ad animæ et corporis essentiam pertinet, eo ipso, quod est, lædit, cum ea plane ad nihilum redigat. Aut enim unum in alterius essentiam commutabitur, aut ex diversis diversum fiet, et utraque mutabuntur, aut si propriis in terminis manserint, duæ erunt naturæ. Non enim essentiæ ratione idem est corpus cum eo, quod est incorporeum.* Quare non est necesse, ut qui non propter eamdem essentiæ corporis et animæ qualitatem, sed

A γέλως οὖν ὄντως καὶ παίγνιον, τὴν δι' ἀγγέλων μυηθεῖσαν, καὶ τῇ τῆς ἐπαγωγῆς λήξει πιστωθεῖσαν, καὶ τῇ τοσῇδε τῶν ἁγίων Πατέρων συνόδῳ κυρωθεῖσάν τε καὶ βεβαιωθεῖσαν, καὶ πρότερον ὑπὸ τῶν Σεραφὶμ ὑμνηθεῖσαν τρισάγιον ᾠδὴν, ὡς τῆς τρισυποστάτου θεότητος ἐμφαντικὴν, τῇ τοῦ κναφέως οἴον καταπατηθῆναι ἀλόγῳ οἰήσει, καὶ δῆθεν διορθωθῆναι, ὡς τῶν Σεραφὶμ ὑπερβάλλοντος. Ἀλλ' ὢ τῆς αὐθαδείας, ἵνα μὴ λέγω τῆς ἀνοίας! Ἡμεῖς δὲ καὶ οὕτω φαμὲν, κἂν δαίμονες διαῤῥήγνυνται· Ἅγιος ὁ Θεὸς, Ἅγιος ἰσχυρὸς, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

B *Τοῦ αὐτοῦ πρὸς τοὺς λέγοντας, εἰ δύο φύσεων καὶ ἐνεργειῶν ὁ ἄνθρωπος, ἀνάγκη ἐπὶ Χριστοῦ τρεῖς φύσεις λέγειν, καὶ τοσαύτας πάλιν ἐνεργείας. Κεφάλ. π'.*

Ὁ μὲν καθ' ἕκαστα ἄνθρωπος ἐκ δύο συγκείμενος φύσεων, ψυχῆς τε καὶ σώματος, καὶ ταύτας ἀμεταβλήτους ἔχων ἐν ἑαυτῷ, δύο φύσεις εἰκότως λεχθήσεται. Σώζει γὰρ ἑκατέρων καὶ μετὰ τὴν ἕνωσιν τὴν φυσικὴν ἰδιότητα. Οὔτε γὰρ τὸ σῶμα ἀθάνατον, ἀλλὰ φθαρτὸν, οὔτε ἡ ψυχὴ θνητὴ, ἀλλ' ἀθάνατος. Εἰ δὲ λέγοιτό ποτε μιᾶς φύσεως ὁ ἄνθρωπος, ἀντὶ τοῦ εἴδους τὸ τῆς φύσεως παραλαμβάνεται ὄνομα, λεγόντων ἡμῶν, ὅτι οὐ διαλλάττει ἄνθρωπον ἀνθρώπου κατά τινα φύσεως διαφορὰν, ἀλλὰ τὴν αὐτὴν σύστασιν ἔχοντες πάντες οἱ ἄνθρωποι, καὶ ἐκ ψυχῆς συντεθειμένοι καὶ σώματος, καὶ δύο
C ἕκαστος φύσεις τελοῦντες, ὑφ' ἕνα πάντως ὁρισμὸν ἀνάγονται. Καὶ οὐ παράλογον τοῦτο, ὁπότε καὶ πάντων τῶν κτιστῶν ὡς γενητῶν, μίαν φύσιν ὁ ἱερὸς Ἀθανάσιος ἔφησεν ἐν τῷ κατὰ τῶν βλασφημούντων τὸ ἅγιον Πνεῦμα λόγῳ οὑτωσὶ λέγων· *Ὅτι δὲ ἄνω τῆς κτίσεώς ἐστι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἄλλο μὲν παρὰ τὴν τῶν γενητῶν φύσιν, ἴδιον δὲ τῆς θεότητος, ἔξεστι πάλιν συνιδεῖν. Ἐπεὶ οὖν πᾶς ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματός ἐστι συντεθειμένος, κατὰ τοῦτο μία φύσις τῶν ἀνθρώπων λέγεται· ἐπὶ δὲ τῆς ὑποστάσεως τοῦ Κυρίου λέγειν οὐ δυνάμεθα μίαν φύσιν. Αἵ τε γὰρ φύσεις σώζουσι καὶ μετὰ τὴν ἕνωσιν ἑκάστη τὴν φυσικὴν ἰδιότητα, καὶ εἶδος Χριστῶν*
D *οὐκ ἔστιν εὑρεῖν. Οὐ γὰρ ἐγένετο ἄλλος Χριστὸς ἐκ θεότητός τε καὶ ἀνθρωπότητος, Θεός τε καὶ ἄνθρωπος ὁ αὐτός.* Καὶ πάλιν· *Οὐ ταυτόν ἐστι τὸ κατ' εἶδος τοῦ ἀνθρώπου ἓν, καὶ τὸ κατ' οὐσίαν ψυχῆς τε καὶ σώματος ἕν. Τὸ μὲν γὰρ κατ' εἶδος τοῦ ἀνθρώπου ἓν τὴν ἐν πᾶσι τοῖς ἀνθρώποις ἀπαραλλαξίαν ἐνδείκνυται· τὸ δὲ κατ' οὐσίαν ψυχῆς καὶ σώματος ἓν αὐτὸ τὸ εἶναι αὐτῶν λυμαίνεται, εἰς ἀνυπαρξίαν αὐτὰ παντελῆ ἄγον. Ἢ γὰρ τὸ ἓν μεταποιηθήσεται εἰς τὴν τοῦ ἑτέρου οὐσίαν, ἢ ἐξ ἑτέρων ἕτερον γενήσεται, καὶ ἀμφότερα τραπήσονται, ἢ ἐπὶ τῶν ἰδίων ὅρων μένοντα, δύο φύσεις ἔσονται. Οὐ γὰρ ταυτὸν κατὰ τὸν τῆς οὐσίας λόγον τὸ σῶμα τῷ ἀσωμάτῳ.* Οὐκ ἀνάγκη τοίνυν ἐπὶ τοῦ ἀνθρώπου μίαν φύσιν λέγον-

τας, οὐ διὰ τὸ ταυτὸν τῆς οὐσιώδους ποιότητος ψυχῆς τε καὶ σώματος, ἀλλὰ διὰ τὸ ἀπαράλλακτον τῶν ὑπὸ τὸ εἶδος ἀναγομένων ἀτόμων, μίαν καὶ ἐπὶ Χριστοῦ λέγειν φύσιν, ἔνθα εἶδος περιεκτικὸν πολλῶν ὑποστάσεων οὐκ ἔστιν. Ἔτι δὲ πᾶσα σύνθεσις ἐκ τῶν προσεχῶς συντεθέντων συντεθεῖσθαι λέγεται. Οὐ γὰρ λέγομεν τὸν οἶκον ἐκ γῆς καὶ ὕδατος, καὶ τῶν ἄλλων συντεθεῖσθαι, ἀλλ' ἐκ λίθων καὶ ξύλων. Ἐπεὶ ἀνάγκη καὶ τὸν ἄνθρωπον λέγειν ἐκ πέντε τοὐλάχιστον συγκεῖσθαι φύσεων, ἔκ τε τῶν τεσσάρων στοιχείων καὶ τῆς ψυχῆς. Οὕτω καὶ ἐπὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οὐ τὰ μέρη τῶν μερῶν σκοποῦμεν, ἀλλὰ τὰ προσεχῶς συντεθέντα, θεότητά τε καὶ ἀνθρωπότητα. Ἔτι δὲ εἰ δύο φύσεις τὸν ἄνθρωπον λέγοντες, τρεῖς φύσεις ἐπὶ τοῦ Χριστοῦ λέγειν ἀναγκασθησόμεθα, καὶ ὑμεῖς ἐκ δύο φύσεων τὸν ἄνθρωπον λέγοντες, ἐκ τριῶν φύσεων τὸν Χριστὸν δογματίζετε, ὁμοίως καὶ περὶ ἐνεργειῶν. Κατάλληλον γὰρ ἀνάγκη τῇ φύσει τὴν ἐνέργειαν εἶναι. Ὅτι δὲ δύο φύσεων ὁ ἄνθρωπος λέγεταί τε καὶ ἔστι, μάρτυς ὁ Θεολόγος Γρηγόριος, οὕτω λέγων, Διττῶν δὲ ὄντων ἡμῶν, ἐκ ψυχῆς καὶ σώματος, καὶ τῆς μὲν ὁρατῆς, τῆς δὲ ἀοράτου φύσεως, διττὴ καὶ ἡ κάθαρσις δι' ὕδατός τε καὶ Πνεύματος. »

A propter similitudinem individuorum, quæ sub unam speciem reducuntur, unam in homine naturam dicunt, unam item in Christo naturam asserant, ubi una natura plures non complectitur personas. Præterea omnis compositio ex proxime componentibus conficitur. Neque enim dicimus, domum ex terra, et aqua, et reliquis elementis componi, sed ex lapidibus et lignis. Alioqui necesse sit et hominem ex quinque saltem naturis compositum affirmare, nempe ex quatuor elementis et anima. Sic et in Domino nostro Jesu Christo non partes partium, sed quæ proxime componunt, nempe divinitatem et hmanitatem consideramus. Ad hæc si duas in homine naturas dicimus, tres in Christo naturas dicere cogemur. Et vos, qui duabus B e naturis hominem constare dicitis, ex tribus naturis Christum constituitis. Idem de actionibus intelligitur, necesse enim est, ut actio naturæ mutuo respondeat. Hominem autem duas dici debere naturas testis est Gregorius Theologus, ita loquens, Sed cum duplices simus, hoc est, ex anima corpore que constemus, ex natura nimirum visibili et invisibili, duplex est item expurgatio, nempe per aquam et spiritum.

Τοῦ αὐτοῦ πρὸς τοὺς ἐρωτῶντας, εἰ δύο φύσεις ἐγέννησεν ἡ ἁγία Θεοτόκος, καὶ εἰ δύο φύσεις ἐπὶ σταυροῦ ἐκρέματο. Κεφάλ. ϟθʹ.

Ejusdem ad eos qui quærunt, utrum sancta Dei Genitrix duas naturas genuerit, et utrum duæ naturæ in cruce pependerint. Cap. 99.

Φύσεως μὲν ἔστι τὸ ἀγένητον καὶ τὸ γενητὸν διὰ τοῦ ἑνὸς ν γραφόμενον, ὅπερ δηλοῖ τὸ ἄκτιστον καὶ κτιστόν· τὸ δὲ ἀγέννητον καὶ γεννητὸν οὐ φύσεως, ἀλλ' ὑποστάσεως, ἤτοι τὸ μὴ γεννηθῆναι, καὶ τὸ γεννηθῆναι, ἅπερ διὰ τῶν δύο νν ἐκφέρεται. Ἔστιν οὖν ἡμῖν θεία φύσις ἀγένητος, ἤτοι ἄκτιστος. Πάντα δὲ τὰ μετὰ τὴν θείαν φύσιν γενητά, ἤτοι κτιστά. Θεωρεῖται τοίνυν ἐν τῇ θείᾳ καὶ ἀκτίστῳ φύσει τὸ μὲν ἀγέννητον ἐν τῷ Πατρί, οὐ γὰρ ἐγεννήθη, τὸ δὲ γεννητὸν ἐν τῷ Υἱῷ, ἐκ Πατρὸς γὰρ ἀϊδίως γεγέννηται, τὸ δὲ ἐκπορευτὸν ἐν τῷ ἁγίῳ Πνεύματι. Ἑκάστου δὲ εἴδους ζώων τὰ πρῶτα ἀγέννητα, ἀλλ' οὐκ ἀγένητα. Γεγόνασι γὰρ ὑπὸ τοῦ δημιουργοῦ, οὐκ ἐγεννήθησαν δὲ ἐξ ὁμοίων. Γένεσις μὲν γὰρ κτίσεώς ἐστι· γέννησις δὲ ἐπὶ μὲν Θεοῦ ἐκ μόνου Πατρὸς ὁμοουσίου Υἱοῦ πρόοδος, ἐπὶ δὲ τῶν κτισμάτων ἡ ἐκ συναφείας ἄρρενός τε καὶ θηλείας ὁμοουσίου ὑποστάσεως πρόοδος. Ὅθεν γινώσκομεν, ὡς οὐκ ἔστι φύσεως τὸ γεννᾶσθαι, ἀλλ' ὑποστάσεως. Εἰ γὰρ φύσεως ἦν, οὐκ ἂν ἐν τῇ αὐτῇ φύσει τὸ γεννητὸν ἐθεωρεῖτο, καὶ τὸ ἀγέννητον. Ὑπόστασιν τοίνυν ἐγέννησεν ἡ ἁγία Θεοτόκος, ἐν δυσὶ γνωριζομένην ταῖς φύσεσι, θεότητι μὲν ἐκ Πατρὸς γεννηθεῖσαν ἀχρόνως, ἐπ' ἐσχάτων δὲ τῶν χρόνων ἐξ αὐτῆς σαρκωθεῖσαν, καὶ σαρκὶ τικτομένην. Ὁμοίως καὶ περὶ τῆς σταυρώσεως, ἀναστάσεώς τε, καὶ ἀναλήψεως. Οὐ φύσεως γὰρ ταῦτά ἐστιν, ἀλλ' ὑποστάσεως. Ἔπαθεν οὖν ὁ Χριστὸς ἐν δυσὶ φύσεσιν ὢν τῇ παθητῇ φύσει, καὶ ἐσταυρώθη σαρκὶ ἐπὶ τοῦ σταυροῦ κρεμάμενος, καὶ οὐ θεότητι. Ἐγεννήθη τοίνυν ὁ Θεὸς Λόγος ἐνανθρωπήσας σαρκί,

Factum, et non factum, quod creatum, increatumque significat, ad naturam refertur. C Genitum autem et ingenitum non ad naturam, sed ad personam. Natura igitur divina increata est. Omnia vero post naturam divinam facta createque sunt. Itaque in natura divina atque increata ingenitum quidem in Patre consideratur, neque enim genitus est, genitum autem in Filio, ex Patre enim ab æternitate genitus est. Procedens vero consideratur in Spiritu sancto. Cujusque speciei animalium prima generata non sunt, ab opifice enim facta sunt Deo, non autem ex similibus prognata. Fieri enim ad res pertinet procreatas. Gigni autem ad Deum Filium, qui ex solo Patre ejusdem essentiæ genitus est. Ipsæ vero res procreatæ ex conjunctione maris et feminæ generantur personam habentes ejusdem essentiæ. D Ex quo intelligimus, gigni non ad naturam, sed ad personam pertinere. Nam si ad naturam pertineret, in eadem natura genitum et ingenitum non consideraretur. Sancta igitur Dei Genitrix personam genuit duabus in naturis declaratam, quæ ex Patre quidem, quantum ad divinitatem pertinet, sine tempore genita est; in extremis autem temporibus ex ipsa Virgine carnem assumpsit, et carne nata est. Idemque dicitur de crucifixione, et resurrectione, et assumptione. Hæc enim non ad naturam referuntur, sed ad personam. Christus igitur duabus in naturis exsistens passus est natura patibili, et crucifixus est, et in cruce pependit carne, non autem divinitate. Itaque genitus est Deus Verbum hominem induens carne.

Et crucifixus est carne, et mortuus est carne, divinitate ipsius impatibili permanente.

καὶ ἐσταυρώθη σαρκὶ, καὶ ἀπέθανε σαρκὶ, ἀπαθοῦς μεινάσης αὐτοῦ τῆς θεότητος.

Ejusdem ex cap. 75.

Quamobrem Dei Verbi naturam carnem assumpsisse, aut carni conjunctam esse dicimus. Verbi autem naturam carne passam nondum audivimus. Sed Christum carne passum didicimus. Restat igitur, ut dicamus, carnem assumpsisse, nihil aliud esse, nisi carni esse conjunctum. Carnem vero factum Verbum, ipsam Verbi personam sine mutatione factam esse carnis personam. Et Deus homo factus, et homo Deus dicitur. Divinitas vero homo facta, aut hominem induta nullo modo dicitur. At divinitatem humanitati conjunctam in una ipsius personarum didicimus. Deum item formam, aut essentiam accipere alienum, aut nostrum est. Ac singulis quidem personis convenit nomen hoc Deus. Divinitatem vero personam dicere non possumus. Divinitatem enim Patrem solum, aut solum Filium, aut Spiritum sanctum dici non accepimus. Divinitatis enim naturam significat, Deus vero etiam communitatem naturæ declarat, et singulis personis denominative tribuitur, quemadmodum et homo. Deus enim est qui divinam habet naturam, et homo, qui humanam. Illud præterea sciendum est, Patrem et Spiritum sanctum nulla ratione carnis assumptæ a Verbo fuisse participes, nisi divino vaticinio, et approbatione, et voluntate.

Τοῦ αὐτοῦ ἀπὸ κεφαλαίου οε'.

Ὅτι μὲν οὖν ἡ φύσις τοῦ Λόγου ἐσαρκώθη ἤτοι ἡνώθη σαρκὶ, εἴρηται· φύσιν δὲ τοῦ Λόγου παθοῦσαν σαρκὶ οὐδέπω καὶ νῦν ἀκηκόαμεν· Χριστὸν δὲ παθόντα σαρκὶ ἐδιδάχθημεν. Λείπεται τοίνυν εἰπεῖν, ὅτι τὸ σεσαρκῶσθαι μὲν ἡνῶσθαί ἐστι σαρκὶ, τὸ δὲ σάρκα γενέσθαι τὸν Λόγον αὐτὴν τὴν τοῦ Λόγου ὑπόστασιν ἀτρέπτως γενέσθαι τῇ σαρκὶ ὑπόστασιν. Καὶ ὅτι μὲν ὁ Θεὸς ἄνθρωπος γέγονε, καὶ ὁ ἄνθρωπος Θεὸς, εἴρηται· ὅτι δὲ ἡ θεότης ἄνθρωπος γέγονεν, ἢ ἐσαρκώθη, ἢ ἐνηνθρώπησεν, οὐδαμῶς ἀκηκόαμεν. Ὅτι δὲ ἡ Θεότης ἡνώθη τῇ ἀνθρωπότητι ἐν μιᾷ τῶν ἑαυτῆς ὑποστάσεων, μεμαθήκαμεν, καὶ ὅτι ὁ Θεὸς μορφοῦται, ἤτοι οὐσιοῦται τὸ ἀλλότριον, ἤγουν τὸ καθ' ἡμᾶς, εἴρηται. Ἐφ' ἑκάστης μὲν γὰρ τῶν ὑποστάσεων τὸ Θεὸς ὄνομα τάττεται· Θεότητα δὲ τὴν ὑπόστασιν εἰπεῖν οὐ δυνάμεθα. Θεότητα γὰρ τὸν Πατέρα μόνον, ἢ τὸν Υἱὸν μόνον, ἢ μόνον τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἀκηκόαμεν. Θεότης μὲν γὰρ τὴν φύσιν δηλοῖ, τὸ δὲ Πατὴρ τὴν ὑπόστασιν, ὥσπερ καὶ ἀνθρωπότης τὴν φύσιν, Πέτρος δὲ τὴν ὑπόστασιν. Θεὸς δὲ καὶ τὸ κοινὸν τῆς φύσεως σημαίνει, καὶ ἐφ' ἑκάστης τῶν ὑποστάσεων τάττεται παρωνύμως, ὥσπερ καὶ τὸ ἄνθρωπος. Θεὸς γάρ ἐστιν ὁ θείαν ἔχων φύσιν, καὶ ἄνθρωπος ὁ ἀνθρωπίνην. Ἐπὶ πᾶσι δὲ τούτοις ἰστέον, ὡς ὁ Πατὴρ, καὶ τὸ Πνεῦμα τὸ ἅγιον κατ' οὐδένα τρόπον τῇ σαρκώσει τοῦ Λόγου κεκοινωνήκασιν, εἰ μὴ κατὰ τὰς θεοσημείας, καὶ κατ' εὐδοκίαν καὶ βούλησιν.

Ejusdem. Cap. 90.

Ipsum Dei Verbum omnia carne sustinuit, divina et sola ipsius natura impatibili permanente. Nam anima quidem, utpote patibilis, cum corpus laceraretur, ipsa quoque simul cum lacerato corpore angebatur et patiebatur. Divinitas autem, utpote impatibilis, una cum illo non patiebatur. Illud item sciendum est, nos dicere Deum carne passum, divinitatem vero carne passam, aut Deum per carnem passum nullo modo. Nam si, cum arborem securis secet, dum illustratur a sole, non secatur ipse sol, neque patitur, quanto magis impatibilis Verbi divinitas per personam carni conjuncta, carne patiente, mansit impatibilis? Non est autem necesse, ut exempla sic omnino similia sint, ut nihil desit. Sed in exemplis et similitudo et diversitas consideratur. Quod enim in omnibus simile est, non exemplum, sed idem est.

Τοῦ αὐτοῦ. Κεφάλαιον ϟ'.

Αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος πάντα ὑπέμεινε σαρκὶ, τῆς θείας καὶ μόνης αὐτοῦ φύσεως ἀπαθοῦς μενούσης. Ἡ μὲν γὰρ ψυχὴ παθητὴ οὖσα, τοῦ σώματος τεμνομένου, καὶ αὐτὴ τεμνομένῳ συνήλγει, καὶ συνέπασχε τῷ σώματι· ἡ δὲ Θεότης ἀπαθὴς οὖσα οὐ συνέπασχεν αὐτῷ. Ἰστέον δὲ, ὅτι Θεὸς σαρκὶ μὲν παθόντα φαμὲν, Θεότητα δὲ σαρκὶ παθοῦσαν, ἢ Θεὸν διὰ τῆς σαρκὸς παθόντα οὐδαμῶς. Εἰ γὰρ ἡλίου δένδρῳ ἐπιλάμποντος, εἰ ἀξίνη τέμνοι τὸ δένδρον, ἄτμητος καὶ ἀπαθὴς διαμένει ὁ ἥλιος, πολλῷ μᾶλλον ἡ ἀπαθὴς τοῦ Λόγου Θεότης καθ' ὑπόστασιν ἡνωμένη σαρκὶ, τῆς σαρκὸς πασχούσης, ἀπαθὴς διέμεινεν. Οὐκ ἀνάγκη δὲ παντελῶς, καὶ ἀνελλιπῶς ἐοικέναι τὰ παραδείγματα, ἀλλ' ἐν τοῖς παραδείγμασι καὶ τὸ ὅμοιον θεωρεῖσθαι, καὶ τὸ παρηλλαγμένον. Τὸ γὰρ ἐν ἅπασιν ὅμοιον ταυτὸν ἂν εἴη, καὶ οὐ παράδειγμα.

Item adversus eos, qui unam in Christo naturam asserunt. Diversorum aliorum Patrum.

In quæstionibus suis Eutychianistæ disputant ad hunc modum: Si duæ sunt in Christo naturæ, duæ erunt et hypostases. Neque enim natura ulla sine persona. Atque ita duo prorsus erunt Filii. Respondemus, hypostasim aut personam (ut in sancta Trinitate, et angelis et hominibus) significare, aut exsistentiam, ut in rebus, quæ quoquo modo sunt, ad

Ἔτι κατὰ Μονοφυσιτῶν· ἑτέρων Πατέρων διαφόρων.

Ἀποροῦσιν Εὐτυχιανισταὶ λέγοντες· Εἰ δύο φύσεις ἐν Χριστῷ, δύο καὶ ὑποστάσεις ἔσονται· οὐ γάρ ἐστι φύσις ἀνυπόστατος· καὶ οὕτω δύο πάντως Υἱοί. Πρὸς οὓς ἀντιλέγομεν, ὅτι τῶν ὑποστάσεων αἱ μέν εἰσι προσωπικαὶ, τουτέστι προσώπων σημαντικαὶ, ὡς ἐπὶ τῆς ἁγίας Τριάδος καὶ τῶν ἀγγέλων, καὶ τῶν ἀνθρώπων· αἱ δὲ ὑπαρκτικαὶ, ὡς ἐπὶ τῶν ὁπωσδή-

ποτε ὄντων πραγμάτων πρὸς ἀντιδιαστολὴν τῶν ἀνυπάρκτων. Ὅθεν ἐπὶ τοῦ Χριστοῦ προσωπικὴν μὲν μίαν ὑπόστασίν φαμεν, ὑπαρκτικὰς δὲ καὶ δύο λέγειν οὐκ ἀκίνδυνον, ἵνα μὴ θατέραν τῶν ἐν αὐτῷ φύσεων ἀνύπαρκτον εἴπωμεν. Ὑπαρκτικὴν μὲν γὰρ ὑπόστασιν ἐπὶ πάσης φύσεως εὑρήσομεν, προσωπικὴν δὲ οὐκ ἐπὶ πάσης. Ἄλλως τε ἡ τοῦ Χριστοῦ προσωπικὴ ὑπόστασις ἀμφοτέρων αὐτοῦ τῶν φύσεών ἐστιν ὑπόστασις. Ἁπλῆ γὰρ οὖσα γέγονε σύνθετος. Καὶ ἡ μὲν θεία αὐτοῦ φύσις ἰδιοϋπόστατος, ἡ δὲ ἀνθρωπίνη οὔτε ἀνυπόστατος, οὔτε ἰδιοϋπόστατος, ἀλλ' ἐνυπόστατος, ὡς ἐν τῇ θείᾳ ὑποστάσει.

A earum quæ non sunt, differentiam. Quamobrem hypostasim quæ personam significet, unam esse dicimus: duas vero, quæ significent exsistentiam, etiam concedere, non carere periculo affirmamus, quo neutram in ipso naturam esse sine exsistentia demonstramus. Exsistentiæ enim hypostasim, omnibus in rebus reperiemus, personæ vero hypostasim non in omnibus. Quamobrem hypostasis Christi personam significans, utriusque naturæ ipsius est hypostasis; nam cum simplex esset, est facta composita. Ac divina quidem ejus natura propriam habet hypostasim, humana vero neque sine hypostasi est, neque propriam habet hypostasim, sed in hypostasi divina nimirum subsistit.

Διαβάλλουσι τὴν δυάδα, ὡς πρώτην οὖσαν διαίρεσιν, εὐθὺς μετὰ τὴν μονάδα προσαπαντῶσαν, καίτοι συνάφειαν οὖσαν μᾶλλον δύο μονάδων, καὶ τὴν συλληπτικὴν ἑαυτῆς δύναμιν εὐθὺς παριστῶσαν. Οὐ γὰρ διαίρεσιν μονάδων τὸν ἀριθμὸν, ἀλλὰ τοὐναντίον σωρείαν μονάδων οἱ περὶ τὰ τοιαῦτα δεινοὶ ὡρίσαντο. Εἰ μὲν γὰρ εἴπωσιν, ὅτι ἡ τῶν δύο εἰ, τὰ ἐξ ὧν συνετέθη ἀνάλυσις διαιρεῖ τὴν ἕνωσιν, εἴτε κατ' ἐπίνοιαν εἴτε κατ' ἐνέργειαν γένηται, εἰκότα ἴσως ἐροῦσι· μένουσα δὲ ἐφ' ἑαυτῆς ἡ δυὰς οὐκ ἔστι τομὴ, οὐδὲ μονάδων διαίρεσις, εἰ μὴ καὶ μᾶλλον ἕνωσις αὐτῶν καὶ συνάφεια. Ἡ γάρ τοι φύσις τοῦ ἀριθμοῦ καθ' ἑαυτὴν οὔτε διαιρεῖν πέφυκεν, οὔτε συνάπτειν, ἀλλ' ἀμφοτέρων ἐστὶ δεκτικὴ κατὰ τὸν λόγον τοῦ χρωμένου. Οὔτε γὰρ τὸ δίπηχυ ξύλον διεῖλεν ὁ ἀριθμὸς τῶν δύο πήχεων, ἀλλ' οὐδὲν ἧττον καὶ μετρηθὲν ἔχει τὸ συνεχές· οὔτε οἱ δέκα μέδιοι τοῦ σίτου διῃρέθησαν, ὅτι ἐμετρήθησαν. Ἀλλὰ καὶ ὁ Κύριος δώδεκα ὥρας τῆς ἡμέρας εἰπὼν οὐ διεμέρισε τὴν ταύτης συνέχειαν. Καὶ ὁ Ἀπόστολος δὲ εἰρηκὼς, *Πολλὰ μέλη, ἓν δὲ σῶμα*, οὐ διέτεμε τὰ μέλη. Καὶ ὁ φήσας, *Πάντα τὰ ὀστᾶ μου ἐροῦσι, Κύριε, Κύριε, τίς ὅμοιός σοι;* οὐ διεῖλε τὰ ὀστᾶ αὐτοῦ. Εἰ δὲ τὸ δώδεκα, καὶ τὸ πολλὰ, καὶ τὸ πάντα, ἵνα τἄλλα παρῶμεν, ἀριθμοῦ προδήλως ὄντα σημαντικὰ, οὐδεμίαν πεποίηνται διαίρεσιν, τίς ἡ ἀποκλήρωσις τοῦ μόνον τὸν δύο ἀριθμὸν ὡς διαιρετικὸν διαβάλλεσθαι, ἡμῶν μάλιστα ὡς οὐκ ἐπὶ διαιρέσει τῶν ἐν Χριστῷ φύσεων τοῦτον λαμβανόντων, ἀλλὰ πρὸς μόνην δήλωσιν τῆς τούτων διαφορᾶς, καὶ ἔνδειξιν σαφῆ τοῦ μένειν αὐτὰς ἀτρέπτους καὶ ἀσυγχύτους μετὰ τὴν ἀκραιφνῆ καὶ ἀδιαίρετον ἕνωσιν; ὅπου γε καὶ ἐπὶ τοῦ σώματος τρεῖς λέγοντες διαστάσεις οὐ διασπῶμεν τὸ σῶμα εἰς τρία τμήματα. Ὥσπερ οὖν ἐπὶ τῆς μιᾶς θεότητος ἡ τριὰς τῶν ὑποστάσεων οὐ διαίρεσιν ἀλλοτριοῦσαν ἀπ' ἀλλήλων εἰσήγαγε· διαιροῦνται μὲν γὰρ, ἀλλ' ἀδιαστάτως, καὶ ἥνωνται μὲν, ἀλλ' ἀσυγχύτως· ἐν ἀλλήλαις γὰρ ἀφύρτως περιχωροῦσι, σωζομένων τῶν ἰδιοτήτων ἑκάστης· οὕτως ἄρα καὶ ἐπὶ τοῦ ἑνὸς Χριστοῦ ἡ δυὰς τῶν φύσεων οὐ διάστασιν αὐτῶν ἀπετέλεσεν.

Falso dualitatem accusant, tanquam prima divisio B sit, quæ statim post unitatem occurrat, cum potius duarum sit unitatum conjunctio, et suam comprehendendi vim statim constituat. Numerus enim non est unitatum divisio, sed potius cumulus, ut qui in ea facultate præstant, definiverunt. Quod si dualitatis in ea, ex quibus constat, resolutionem dividere eo junctionem dixerint, sive cogitatione, sive reipsa id fiat, vere fortasse loquentur. Dualitas vero in se ipsa manens non est sectio, neque unitatum divisio, sed potius ipsarum conjunctio et copulatio. Quanquam natura numeri per se neque dividit, neque conjungit, sed utrumque suscipit pro ratione illius, qui eo utitur. Neque enim bicubitale lignum secat numerus duorum cubitorum, sed quamvis dimensum sit, continuam tamen suam retinet quantitatem. Nec decem modii tritici divisi sunt, propterea C quod dimensi sint. Sed et Dominus cum duodecim esse diceret horas diei [1], non ejus divisit continuam quantitatem. Et cum Apostolus diceret, *Multa membra, unum autem corpus* [2], membra non dissecuit. Nec qui dixit: *Omnia ossa mea dicent, Domine, Domine, quis similis tibi* [3]? divisit membra sua. Quod si illud, *duodecim*, et illud, *multa*, et illud, *omnia*, ut reliqua prætereamus, cum significent numerum, nullam tamen divisionem efficiunt, quis duorum numero soli singulare munus hoc tribuat, ut dividendi vim habeat, cum præsertim eum nos non in divisione Christi naturarum adhibeamus, sed ut solam ipsarum differentiam D claram significemus, et ostendamus, eas sine mutatione et confusione post veram et indivisibilem conjunctionem permanere? Nam et in corpore licet tres dimensiones dicamus, non tamen ipsum corpus in tres sectiones dividimus. Quemadmodum igitur personarum trinitas non ipsarum divisionem eas distrahentem in Divinitate parit; distinguuntur enim, sed sine distractione, et conjunguntur sine confusione, inter se enim commeant sine commistione, servatis singularum proprietatibus: sic et in Christo naturarum dualitas non efficit ipsarum distractionem.

Αἱ δύο φύσεις εἷς εἰσι Χριστὸς, καὶ ὁ εἷς Χριστὸς

Duæ naturæ sunt unus Christus, et unus Christus

[1] Joan. XI, 9. [2] I Cor. XII, 20. [3] Psal. XXXIV, 10.

est duæ naturæ. Idem igitur est dicere, Christus agit in duabus naturis secundum alteram naturarum, et altera natura agit in Christo.

Et duabus e naturis Christum, ut ex divinitate et humanitate, tanquam ex partibus totum dicimus; et in duabus naturis, ut in divinitate et humanitate; et duas naturas, ut Deum et hominem. Et hoc est illud : Ea ex quibus, et in quibus, et quæ est.

Post duarum naturarum in Christo conjunctionem, non oportet dicere divisionem, sed differentiam. Differentia enim est ratio, qua inter se differunt subjecta. Divisio vero est totius sectio, qua illa vicissim separantur.

Cum anima a proprio corpore separata esset, divinitas in utrisque erat indivisibilis, quæ et corpus a corruptione perpetuo liberum conservabat, et animam inferis terribilem et mortis vim evertentem ostendebat. Neque enim ab eo, quod compositum est, id quod non est compositum, scinditur, sed contra potius conjungit compositum et quæ separata sunt, copulat, et in vitam revocat.

Item adversus eos qui unam in Christo naturam asserunt. Leontii Byzantii ex triginta capitibus contra Severum.

CAP. I.

Si ea quæ omnino sunt eadem, unius naturæ sunt, et hæc ipsa dicuntur una natura, quomodo quæ non sunt eadem omnino secundum naturam, unius erunt naturæ, aut una dicentur natura? Atqui nunquam idem erit omnino Christi divinitas et ejus humanitas. Quapropter hæc unius non erunt naturæ, neque natura una dicentur post conjunctionem.

CAP. II.

Quorum una est natura, eorum ratio communis est, et quorum communis est ratio, ea sunt ejusdem essentiæ. At Christi divinitas nunquam erit ejusdem essentiæ cum ipsius humanitate. Nunquam igitur una earum ratio. Quorum autem nunquam una ratio, horum utique naturæ semper differentes.

CAP. III.

Si ex divinitate atque humanitate dicentes ex duabus etiam naturis dicunt, et idem ipsis utrumque videtur significare, quomodo qui in divinitate atque humanitate dicunt post conjunctionem, non ex iis quæ ab ipsis concessa sunt, duabus in naturis coguntur dicere? Idem enim et hic est illud, quod ex utrisque significatur.

CAP. IV.

Si duabus e naturis Christum dicentes ex divinitate atque humanitate dicunt, et ex divinitate atque humanitate dicentes duabus e naturis ipsum dicunt, at divinitatem atque humanitatem dicunt etiam post conjunctionem : duas igitur et ipsi post conjunctionem Christi naturas concedunt. Quod si duas in Christo post conjunctionem naturas negant,

A δύο φύσεις. Ταυτὸν οὖν εἰπεῖν, Ἐνεργεῖ Χριστὸς ἐν ταῖς δύο φύσεσι καθ' ἑκατέραν τῶν φύσεων, καὶ Ἐνεργεῖ ἑκατέρα φύσις ἐν τῷ Χριστῷ.

Τὸν Χριστὸν καὶ ἐκ δύο φύσεων λέγομεν, ὡς ἐκ θεότητος καὶ ἀνθρωπότητος, καθάπερ ἐκ μερῶν ὅλον· καὶ ἐν δυσὶ φύσεσιν· ὡς ἐν θεότητι καὶ ἀνθρωπότητι, καὶ δύο φύσεις, ὡς Θεὸν καὶ ἄνθρωπον. Καὶ τοῦτό ἐστι τὸ τὰ ἐξ ὧν, καὶ ἐν οἷς, καὶ ἅπερ ἐστί.

Μετὰ τὴν ἕνωσιν τῶν ἐν Χριστῷ δύο φύσεων οὐ χρὴ διαίρεσιν λέγειν, ἀλλὰ διαφοράν. Διαφορὰ μὲν γάρ ἐστι λόγος, καθ' ὃν ἀλλήλων διαφέρει τὰ ὑποκείμενα· διαίρεσις δὲ τομή, δι' ὅλου ἀπ' ἀλλήλων ταῦτα χωρίζουσα.

Τῆς τοῦ Χριστοῦ ψυχῆς διαιρεθείσης τοῦ ἰδίου σώματος, ἡ θεότης ἐν ἀμφοτέροις ἦν ἀδιαίρετος, τὸ μὲν
B σῶμα τηροῦσα παντελῶς ἀδιάφθορον, τὴν δὲ ψυχὴν δεικνύουσα φοβερὰν τῷ ᾅδῃ, καὶ τὴν τοῦ θανάτου δύναμιν καταλύουσα. Οὐ γὰρ τῷ συνθέτῳ διασχίζεται τὸ ἀσύνθετον, ἀλλὰ τοὐναντίον ἑνοῖ πάλιν τὸ σύνθετον, καὶ τὰ διαστάντα συνάπτει, καὶ εἰς παλινζωΐαν ἀνίστησιν.

Ἔτι κατὰ Μονοφυσιτῶν Λεοντίου Βυζαντίου ἐκ τῶν Λ' κεφαλαίων τῶν κατὰ Σευήρου.

ΚΕΦ. Α'.

Εἰ τὰ πάντῃ ταυτὰ μιᾶς ἐστι φύσεως, αὐτὰ δὲ ταῦτα καὶ μία φύσις λέγεται· πῶς τὰ μὴ πάντῃ ταυτὰ κατὰ φύσιν μιᾶς ἂν εἴη φύσεως, ἢ μία φύσις λεχθήσεται; Ἀλλὰ μὴν οὐδέποτε πάντῃ ταυτὸν ἡ
C τοῦ Χριστοῦ θεότης τῇ κατ' αὐτὸν ἀνθρωπότητι· οὐκ ἄρα μιᾶς ταῦτα ἂν εἴη φύσεως, ἢ μία φύσις λεχθήσεται ταῦτα μετὰ τὴν ἕνωσιν.

ΚΕΦ. Β'.

Ὧν μία ἡ φύσις, κοινὸς ὁ λόγος. Ὧν δὲ κοινὸς ὁ λόγος, καὶ ἡ ὕπαρξις ὁμοούσιος. Οὐδέποτε δέ ἐστιν ὁμοούσιος ἡ θεότης τοῦ Χριστοῦ τῇ κατ' αὐτὸν ἀνθρωπότητι· οὐκ ἄρα εἷς ποτε τούτων ὁ λόγος. Ὧν δὲ μηδέποτε εἷς ὁ λόγος, τούτων ἀεὶ αἱ φύσεις δηλονότι διάφοροι.

ΚΕΦ. Γ'.

Εἰ ἐκ θεότητος καὶ ἀνθρωπότητος λέγοντες καὶ ἐκ
D δύο φύσεων λέγουσι, καὶ ταυτὸν αὐτοῖς σημαίνειν ἄμφω δοκεῖ· πῶς, ἐν θεότητι καὶ ἀνθρωπότητι λέγοντες μετὰ τὴν ἕνωσιν, οὐκ ἐν δύο φύσεσι λέγειν ἐκ τῶν παρ' αὐτῶν δοθέντων ἀναγκασθήσονται; Ταυτὸν γὰρ καὶ ἐνταῦθα τὸ ἐξ ἀμφοῖν δηλούμενον.

ΚΕΦ. Δ'.

Εἰ ἐκ δύο φύσεων τὸν Χριστὸν λέγοντες ἐκ θεότητος καὶ ἀνθρωπότητος λέγουσι, καὶ ἐκ θεότητος καὶ ἀνθρωπότητος λέγοντες ἐκ δύο φύσεων αὐτὸν λέγουσι, θεότητα δὲ καὶ ἀνθρωπότητα καὶ μετὰ τὴν ἕνωσιν λέγουσι· δύο ἄρα φύσεις καὶ αὐτοὶ τοῦ Χριστοῦ καὶ μετὰ τὴν ἕνωσιν λέγουσιν. Εἰ δὲ τὸ λέγειν δύο φύσεις ἐν τῷ Χριστῷ μετὰ τὴν ἕνωσιν ἀρνοῦν-

ται, τὸ ἄρα λέγειν θεότητα Χριστοῦ καὶ ἀνθρωπότητα μετὰ τὴν ἕνωσιν ἀρνοῦνται.

ΚΕΦ. Ε'.

Εἰ ἀσύγχυτα ἐν τῇ ἑνώσει τὰ συνελθόντα γινώσκουσι, δύο δὲ τὰ συνελθόντα καὶ κατ' αὐτούς εἰσι· πῶς τὰ ἐν τῇ ἑνώσει μὴ συγχυθέντα δύο καὶ μετὰ τὴν ἕνωσιν οὐ δύο γνωρίζονται; Εἰ δὲ δύο γνωρίζουσι, πῶς ἀριθμεῖν ταῦτα παραιτοῦνται, ὧν τὴν τῆς φύσεως ἰδιότητα ἀσύγχυτον καὶ μετὰ τὴν ἕνωσιν ἐπίστανται; Ὃ γὰρ ὁμολογοῦσι, φησὶν ὁ θεῖος Βασίλειος, καὶ ἀριθμείτωσαν.

ΚΕΦ. Η'.

Εἰ πάντῃ τε καὶ πάντως ὁ ἀριθμὸς τὴν διαίρεσιν συνεισφέρει, ὁ ἀριθμὸς ἄρα ἔσται τῆς διαιρέσεως αἴτιος, οὐχὶ ἡ διαίρεσις τοῦ ἀριθμοῦ, καὶ δυοῖν ἀνάγκη θάτερον, ἢ μηδὲν ἀριθμεῖσθαι τῶν ἡνωμένων, ἢ μηδὲν ἡνῶσθαι τῶν ἀριθμουμένων. Καὶ πῶς οὐ καταγέλαστον τοιαύτην ἐξουσίαν τῷ ἀριθμῷ διδόναι, παντὸς ἀριθμοῦ τὸ ποσὸν τῶν πραγμάτων, οὐ τὴν φύσιν, ἢ τὴν ποιὰν τούτων σχέσιν παριστᾷν πεφυκότος;

ΚΕΦ. Θ'.

Εἰ ἔμπαλιν, κατὰ τὸν θεῖον Γρηγόριον, τῆς Τριάδος ἔχει ἡ κατὰ τὸν Σωτῆρα οἰκονομία, τρεῖς δὲ ἀεὶ τὰς ὑποστάσεις, μίαν δὲ φύσιν ἐπὶ τῆς θεολογίας ὁμολογοῦμεν· πῶς οὐ δύο μὲν φύσεις, μίαν δὲ ὑπόστασιν ἐπὶ τῆς κατὰ τὸν Σωτῆρα οἰκονομίας δώσομεν, εἴπερ τὸ ἔμπαλιν τοῦ παντός ἐστι κατὰ τὸ ὅλον ἀντιστροφή;

ΚΕΦ. ΙΒ'.

Εἰ τὸ ἄλλος καὶ ἄλλος ἀντωνυμίαι ὑποστάσεων, κατὰ τὸν Θεολόγον, τὸ δὲ ἄλλο καὶ ἄλλο ἀντωνυμίαι φύσεων, ἀεὶ δὲ τὸ πρότερον ἐπὶ τῆς θεολογίας, ἀεὶ ἄρα τὸ δεύτερον ἐπὶ τῆς οἰκονομίας· ἀεὶ ἄρα αἱ φύσεις, ἐπεὶ ἀεὶ καὶ αἱ κατ' αὐτῶν ἀντωνυμίαι.

ΚΕΦ. ΙΔ'.

Εἰ οὐ ταυτὸν ἡ ἁπλῆ φύσις τῇ συνθέτῳ φύσει, ἡ δὲ ἁπλῆ τοῦ Λόγου φύσις μίαν μόνην φύσιν δηλοῖ, ἡ σύνθετος κατ' αὐτοὺς φύσις τοῦ Χριστοῦ οὐ μίαν φύσιν δηλοῖ. Εἰ δὲ ἡ ἁπλῆ καὶ σύνθετος μίαν κατ' αὐτοὺς φύσιν δηλοῖ, λεγέτωσαν τὴν διαφορὰν τῆς συνθέτου κατ' αὐτοὺς Χριστοῦ φύσεως, καὶ τῆς ἁπλῆς τοῦ Λόγου φύσεως.

ΚΕΦ. ΙΗ'.

Τὰ κυρίως ἀλλήλοις ἀντικείμενα ὅλην τὴν ἀπόφασιν καθ' ὅλης τῆς καταφάσεως ἀντιστρέφουσιν, οἷον τῇ λεγούσῃ καταφάσει, Παῦλος ἀπόστολός ἐστιν, ἡ λέγουσα ἀπόφασις, Παῦλος ἀπόστολος οὐκ ἔστιν. Οὕτω δὲ ταῖς δύο φύσεσιν ἡ μία φύσις ἀντίκειται. Εἰ γὰρ μία φύσις ἐστὶν ὁ Χριστὸς, οὐ δύο· καὶ εἰ δύο, οὐ μία. Εἰ δὲ μίαν λέγοντες ἄλλο τι προστιθέασιν, οὐκ ἔτι αὐτοῖς ἀντιφατικῶς λέγεται, ἀλλ' ἑτεροίως καὶ κατὰ περίφρασιν. Καὶ συνέστηκεν αὐτοῖς, ἐξ ὀνόματος καὶ ὅρου ἡ τῶν δύο φύσεων ὁμολογία· ἐκ μὲν ὀνόματος τῆς φύσεως τοῦ Λόγου, ἐκ δὲ

divinitatem et humanitatem Christi negant post conjunctionem.

CAP. V.

Si ea quæ concurrunt in conjunctione, concedunt non esse confusa, duo autem ipsi quoque illa dicunt esse, quæ concurrunt, cur ea duo, quæ in conjunctione confusa non sunt, etiam post conjunctionem non agnescunt? Quod si agnoscunt, cur non confitentur? Sin confitentur, cur ea recusant enumerare, quorum minime confusam proprietatem etiam post conjunctionem esse sciunt? Quod enim confitentur, inquit divus Basilius, id etiam enumerent.

CAP. VIII.

Si numerus omni ratione divisionem affert, numerus divisionis est causa, non autem divisio numeri. Et alterum e duobus erit necessarium, ut vel nihil eorum quæ conjuncta sunt, numeretur, vel nihil eorum quæ numerata sunt conjungatur. Sed nonne ridiculum est eam tribuere numero potestatem, cum omnis numerus non rerum naturam, aut qualitatem, sed quantitatem constituat?

CAP. IX.

Si, juxta Gregorium, Christi dispensatio contrario modo se habet, atque divinitas, in divinitate autem tres semper personas et naturam unam confitemur, quomodo in Christi dispensatione naturas duas, et personam unam non dabimus? contrario enim modo se res habent, cum toto inter se ordine commutantur.

CAP. XII.

Si alius et alius sunt pronomina personarum, ut Theologus ait, aliud autem et aliud sunt naturarum pronomina, prius autem semper est in divinitate, posterius itidem semper est in dispensatione: semper igitur naturæ, siquidem et earum pronomina semper sunt

CAP. XIV.

Si non est idem natura simplex, et natura composita, simplex autem Verbi natura unam solam naturam declarat, composita Christi natura, ex istorum sententia, unam naturam non indicat. Quod si simplex et composita, ut ipsi volunt, Christi naturam unam significant, differentiam ostendant compositæ, ut ipsi sentiunt, Christi naturæ, et simplicis naturæ ipsius Verbi.

CAP. XVIII.

Quæ proprie inter se contraria sunt, totam negationem toti opponunt affirmationi. Ut si affirmatio dicat: *Paulus apostolus est*, negatio dicet: *Paulus apostolus non est*. Hoc modo duabus naturis una est natura contraria. Si enim una natura est Christus, non duæ; et si duæ, non una. Qui autem unam dicentes aliquid aliud adjungunt, non amplius contrario modo ab ipsis dicitur, sed diverso, et per circumscriptionem. Et constat ipsis ex nomine et definitione duarum naturarum confessio. Ex nomine quidem natura Verbi, ex definitione ve-

ro carne animata anima ratione menteque prædita. Hæc enim est humanæ naturæ definitio. Cur igitur qui naturæ definitionem dicunt, appellationem ipsius rejiciunt, dicant isti, qui ne consentanea quidem inter se a repugnantibus possunt discernere.

CAP. XIX.

Simplex natura non est ejusdem essentiæ cum composita; simplex autem est Patris natura, Christi vero composita; non igitur ejusdem essentiæ est Christi natura cum natura Patris. Atqui Christum et ejusdem cum Patre essentiæ, et eumdem ejusdem essentiæ nobiscum affirmare se fingunt. Dicant igitur an fieri possit ut una, quemadmodum ipsi aiunt, composita Christi natura omni ex parte sit ejusdem essentiæ cum Patre, et omni rursum ex parte ejusdem nobiscum essentiæ, ut non ad eamdem nos etiam adducant essentiam, quam habet Pater. Quod si dixerint, non omni ex parte unam Christi naturam esse et cum Patre et nobiscum ejusdem essentiæ, reliquum est ut unius naturæ dimidium cum Patre, et dimidium sit ejusdem nobiscum essentiæ. Hoc autem quid aliud est, nisi dividere unam, ut ipsi dicunt, Christi naturam in eamdem et diversam essentiam, et in totidem partes quot unam Christi naturam compositam absolvunt? Est autem impietas Arii et Apollinarii, quæ divinitatis et humanitatis Christi negat perfectionem.

CAP. XX.

Si Christus, ut ipsi quoque concedunt etiam post conjunctionem Deus et homo dicitur, et hæc ipsa naturæ sunt, quomodo in Christo duæ naturæ non sunt, siquidem idem natura non est Deus et homo, nec qua natura Deus est, eadem est homo?

CAP. XXIV.

Si vera ratione et sanctorum Patrum sententia eodem modo a persona differt essentia, quo commune a proprio, una Verbi natura non cum carne, sed cum Patre una natura dicitur. Cum ipso enim habet eamdem naturæ rationem. Sin una ejus et est et dicitur natura cum Patre, nunquam dicetur una cum carne natura. Quod si non una prorsus cum carne natura dicitur, nec caro quidem cum ipso dicetur una natura. At si nec caro cum Verbo, nec Verbum cum carne una natura dicitur, duas esse constat in Christo naturas.

A ὅρου τῆς ἐνεψυχωμένης σαρκὸς ψυχῇ λογικῇ καὶ νοερᾷ. Ὅρος γὰρ ἀνθρωπίνης φύσεως οὗτος. Πῶς τοίνυν τὸν ὅρον τῆς φύσεως λέγοντες τὴν κλῆσιν αὐτῆς παραιτοῦνται, λεγέτωσαν οἱ μηδὲ τὰ συμφέροντα ἑαυτοῖς καὶ τὰ μαχόμενα συνορᾷν δυνάμενοι.

ΚΕΦ. ΙΘ'.

Ἡ ἁπλῆ φύσις τῇ συνθέτῳ φύσει οὐχ ὁμοούσιος. Εἰ δὲ ἁπλῆ μὲν ἡ τοῦ Πατρὸς φύσις, σύνθετος δὲ ἡ τοῦ Χριστοῦ, οὐκ ἄρα ὁμοούσιος ἡ τοῦ Χριστοῦ φύσις τῇ φύσει τοῦ Πατρός. Ἀλλὰ μὴν ὁμοούσιον τῷ Πατρὶ τὸν Χριστὸν, καὶ ἡμῖν ὁμοούσιον τὸν αὐτὸν λέγειν προσποιοῦνται. Λεγέτωσαν τοίνυν εἰ ἐνδέχεται τὴν μίαν, ὡς αὐτοί φασι, σύνθετον τοῦ Χριστοῦ φύσιν ἐξ ὅλου εἶναι τῷ Πατρὶ ὁμοούσιον, καὶ εἰ μὴ εἰς
B τὴν τοῦ Πατρὸς ὁμοουσιότητα τοῦτο καὶ ἡμᾶς ἀναφέρει. Εἰ δὲ λέγοιεν μὴ κατὰ τὸ ὅλον τὴν μίαν τοῦ Χριστοῦ φύσιν τῷ τε Πατρὶ καὶ ἡμῖν ὁμοούσιον, λείπεται τῆς μιᾶς φύσεως τὸ μὲν ἥμισυ εἶναι τῷ Πατρὶ, τὸ δὲ ἥμισυ ἡμῖν ὁμοούσιον. Καὶ τοῦτο τί ἕτερόν ἐστιν, ἢ μερίζειν ἣν αὐτοὶ λέγουσι μίαν Χριστοῦ φύσιν εἴς τε ὁμοουσιότητα καὶ ἑτεροουσιότητα, καὶ εἰς ποστημόρια τῶν συμπληρούντων αὐτοῖς τὴν μίαν τοῦ Χριστοῦ φύσιν τὴν σύνθετον; Τῆς δὲ Ἀπολιναρίου ἐστὶ δυσσεβείας καὶ τῆς Ἀρείου ἀρνεῖσθαι τὸ τέλειον τῆς θεότητος τοῦ Χριστοῦ καὶ τῆς κατ' αὐτὸν ἀνθρωπότητος.

ΚΕΦ. Κ'.

C Εἰ Θεὸς καὶ ἄνθρωπος καὶ κατ' αὐτοὺς ὁ Χριστὸς καὶ μετὰ τὴν ἕνωσιν λέγεται, φύσεις δὲ ἀμφότερα, πῶς οὐ δύο φύσεις ὁ Χριστὸς καὶ μετὰ τὴν ἕνωσιν, εἴπερ μηδὲ ταυτὸν τῇ φύσει Θεὸς καὶ ἄνθρωπος, μηδὲ τῇ αὐτῇ φύσει, ᾗπέρ ἐστι Θεὸς, καὶ ἐστὶ καὶ ἄνθρωπος;

ΚΕΦ. ΚΔ'.

Εἰ κατὰ τὸν ἀληθῆ λόγον καὶ τοὺς ἁγίους Πατέρας ταύτην ἔχει τὴν διαφορὰν ἡ οὐσία πρὸς τὴν ὑπόστασιν, ἣν ἔχει τὸ κοινὸν πρὸς τὸ ἴδιον, ἡ μία φύσις τοῦ Λόγου οὐ πρὸς τὴν σάρκα μία φύσις λέγεται, ἀλλὰ πρὸς τὸν Πατέρα. Πρὸς αὐτὸν γὰρ ἔχει τὴν τῆς φύσεως ἑνότητα καὶ ταυτότητα. Εἰ δὲ πρὸς τὸν Πατέρα μία φύσις ἐστί τε καὶ λέγεται, εὔδηλον, ὡς οὐ μία φύσις ποτὲ πρὸς τὴν σάρκα λεχθήσεται.
D Εἰ δὲ ὅλως οὐ μία φύσις πρὸς τὴν σάρκα λέγεται, εὔδηλον, ὡς οὐδὲ ἡ σὰρξ πρὸς αὐτόν ποτε μία φύσις λεχθήσεται. Εἰ δὲ μηδὲ ἡ σὰρξ πρὸς τὸν Λόγον μηδὲ ὁ Λόγος πρὸς τὴν σάρκα μία φύσις λέγεται, σαφὲς, ὅτι ἡ ἀναίρεσις τῆς μιᾶς φύσεως τὴν τῶν δύο φύσεων συνεισάγει ὁμολογίαν.

CAP. XXVI.

Si omnia quæ sunt ejusdem essentiæ, naturæ ratione conjunguntur, et idcirco dicuntur una natura, quæ vero diversæ sunt essentiæ conjunctione, non autem natura copulantur, conjunctio autem et natura idem non sunt, ne idem quidem est, quod ex ipsis conficitur. Quod si ea quæ natura conjungit, dicuntur una natura, quæ conjunctione copulata sunt, persona, non autem natura atque essentia unum esse dicentur.

ΚΕΦ. ΚϚ'.

Εἰ πάντα τὰ ὁμοούσια τῷ τῆς φύσεως λόγῳ συνάπτεται, καὶ διὰ τοῦτο λέγονται μία φύσις, τὰ δὲ ἑτεροούσια ἑνώσει, καὶ οὐ φύσει συνάπτεσθαι πέφυκεν, οὐ ταυτὸν δὲ ἕνωσις καὶ φύσις· οὐ ταυτὸν ἄρα τὸ ἐξ ἀμφοῖν ἀποτέλεσμα. Εἰ δὲ ἃ ἡ φύσις συνάπτει, μία φύσις λέγεται, τὰ τῇ ἑνώσει συναπτόμενα ὑποστάσει μὲν, οὐ μὴν φύσει καὶ οὐσίᾳ ἓν εἶναι λεχθήσεται.

ΚΕΦ. ΚΖ'.

Κοινῶς παρὰ πάντων ὡμολόγηται τὸ « ἄνθρωπος » ὄνομα τὴν φύσιν δηλοῦν, τὸ δὲ « Παῦλος » ἢ « Πέτρος » τὴν ὑπόστασιν. Κατὰ δὲ τὸν μακάριον Κύριλλον τὸ « Χριστὸς » ὄνομα οὔτε δύναμιν ὅρου ἔχει, οὔτε τὴν τινὸς οὐσίαν δηλοῖ, ὡς ἀνθρώπου, καὶ ἵππου, καὶ βοὸς, καὶ ἑκάστου τῶν ὑπὸ τὸ αὐτὸ εἶδος. Οὐκοῦν οὐ ταυτὸν ἄνθρωπόν τε ἁπλῶς εἰπεῖν, καὶ Χριστόν. Πῶς τοίνυν τὸ τοῦ ἀνθρώπου παράδειγμα τῆς φύσεως ὂν δηλωτικὸν μετάγετε ἐπὶ τὸ τοῦ Χριστοῦ πρόσωπον, τοῦ ὀνόματος « τοῦ Χριστοῦ » κατὰ τὸν διδάσκαλον οὐ φύσιν δηλοῦντος, ἀλλ' ὑπόστασιν; Εἰ δὲ λέγητε αὐτόν τε καὶ τοὺς ἄλλους Πατέρας χρήσασθαι τῷ τοῦ ἀνθρώπου παραδείγματι εἰς τὸν τῆς ἑνώσεως λόγον, οὐ τὸν ἁπλῶς ἄνθρωπον, ἀλλὰ τὸν τινὰ παραλαμβάνουσιν. Ὑπόστασις δὲ οὗτος. Ἐπιστήσατε δὲ, ὅτι καὶ ἐν δυσὶν αὐτὸν τοῖς χιμάροις διαγράφει τῷ λόγῳ. Ὥσπερ οὖν ἐκεῖ οὐ πρὸς τὰς ὑποστάσεις τῶν χιμάρων φέρει τὸ παράδειγμα, ἀλλὰ πρὸς τὸ διάφορον τοῦ τε ζῶντος καὶ τοῦ τεθυμένου τὴν ἀναφορὰν ἔχει· οὕτω καὶ ἐνταῦθα οὐ πρὸς τὴν ἀναίρεσιν τῶν φύσεων, ἀλλὰ πρὸς τὴν ἑνότητα τοῦ προσώπου, ἡ τοῦ τινὸς ἀνθρώπου εἰκὼν παραλαμβάνεται. Ὅτι δὲ καὶ ὁ τὶς ἄνθρωπος παρὰ τοῖς αὐτοῖς Πατράσιν ἐκ δύο, καὶ δύο φύσεις ἐστὶ, καθὸ ψυχὴ καὶ σῶμα, ἐκ τῶν συγγεγραμμένων αὐτοῖς πολλαχόθεν ἔστι πιστώσασθαι.

Ἔτι κατὰ Μονοφυσιτῶν, Ἀναστασίου μοναχοῦ τοῦ Σιναΐτου ἐκ τῆς βίβλου τῆς καλουμένης « Ὁδηγοῦ. »

Σευῆρος ὁ Ἀντιοχείας ἐκεῖθεν διωχθεὶς, ἦλθεν εἰς Ἀλεξάνδρειαν, καὶ βίβλον συνέταξε πάσης βλασφημίας μεστὴν, κατατρέχουσαν μὲν τῆς ἐν Χαλκηδόνι δ' συνόδου, συνιστῶσαν δὲ τὸ δόγμα τὸ λέγον μίαν φύσιν γενέσθαι μετὰ τὴν ἕνωσιν τὸν Χριστὸν, ἥντινα βίβλον Φιλαλήθη παρ' αὐτοῦ κληθεῖσαν ὑπὲρ τὰ Εὐαγγέλια τιμῶσι κατά τε Συρίαν καὶ Αἴγυπτον Σευηριανοὶ καὶ Ἰακωβῖται, καὶ οἱ ἀπὸ Εὐτυχοῦς καὶ Διοσκόρου, καὶ Θεοδοσίου καὶ Τιμοθέου, καὶ τῶν λοιπῶν Μονοφυσιτῶν. Οὐ πρότερον οὖν διαλεκτέον τοῖς τοιούτοις Μονοφυσίταις, πρὶν ἂν διορίσωνται, τί ἐστι φύσις, καὶ τί οὐσία, καὶ τί πρόσωπον, καὶ τί ὑπόστασις. Ἐπειδὴ γὰρ ἓν πρόσωπον ὁ Χριστὸς διὰ τὴν μίαν ὑπόστασιν, μίαν φύσιν αὐτὸν εἶναι λέγουσι, ταυτὸν εἶναι πρόσωπον καὶ φύσιν διενιστάμενοι. Ἐρωτάσθωσαν οὖν, ἀποθανόντος τινὸς ἀνθρώπου, φύσις ἀπέθανεν, ἢ πρόσωπον; Ἀλλ' οὐκ ἄν ποτε φύσιν εἴποιεν. Οὐ ταυτὸν ἄρα φύσις καὶ πρόσωπον. Καὶ πάλιν, ἐπεὶ πολλὰ καὶ ἀναρίθμητα πρόσωπα ἀνθρώπων, πολλαὶ καὶ ἀναρίθμητοι φύσεις ἀνθρώπων ῥηθεῖεν ἄν; Ἀλλὰ μὴν μία τούτων ἡ φύσις. Ὥστε οὐ ταυτὸν πρόσωπον καὶ φύσις.

Τῆς αὐτῆς.

Φασὶν οἱ Μονοφυσῖται τὸν μέγαν Ἀθανάσιον γράψαι πρὸς Ἰοβιανὸν τὸν βασιλέα, ὅτι ὁ Λόγος σὰρξ ἐγένετο, ἵνα καὶ ἡ σὰρξ γένηται Λόγος. Πρὸς οὓς ἀντιλέγομεν, ὅτι πρῶτον μὲν ἄδηλον, εἰ τοῦ μεγάλου Ἀθανασίου ἐστὶν αὐτὴ ἡ φωνὴ, πολλαχοῦ

CAP. XXVII.

Communi omnes consensu fatentur, nomen hoc, *homo*, naturam significare, *Paulus* autem, aut *Petrus*, personam. At nomen hoc, *Christus*, ut beatus Cyrillus docet, nec vim habet definitionis, nec alicujus declarat essentiam, ut hominis, aut bovis, aut equi, aut cujusque eorum quæ sub eamdem speciem cadunt. Itaque non idem est hominem simpliciter dicere, et Christum. Quomodo igitur hominis exemplum, quo natura significatur, ad Christi personam referri potest, cum nomen hoc, *Christus*, ex præceptoris doctrina non naturam indicet, sed personam? Quod si dixeritis et ipsum, et alios Patres ad conjunctionis rationem explicandam hominis exemplum adhibere, respondemus eos non simpliciter hominem accipere, sed aliquem hominem; aliquis autem et singularis homo est persona. At duorum etiam hircorum ipsum describit exemplo. Quamobrem ut eo loco personas hircorum exemplum non respicit, sed viventis, et immolati differentiam; sic etiam hoc loco sumitur alicujus hominis similitudo, non ut tollantur naturæ, sed ut personæ unitas ostendatur. Quod autem aliquis seu singularis homo ex Patrum sententia duabus e naturis constet, et sit duæ naturæ, quatenus est anima et corpus, ex eorum scriptis multis in locis intelligi potest.

Item adversus eos qui unam in Christo naturam asserunt, Anastasii monachi Sinaitæ, ex libro, qui « Viæ dux » inscribitur.

Severus episcopus Antiochiæ, inde expulsus Alexandriam venit, et librum composuit omni exsecratione plenum, quo Chalcedonensi concilio adversatur, dogmaque constituit, quo Christum post conjunctionem unam esse naturam factum asserit. Hunc ille librum *Philalethen* inscripsit, quem in Syria et in Ægypto Severiani, et Jacobitæ, et qui ab Eutyche et Dioscoro, et Theodosio, et Timotheo instituti sunt, et reliqui unam in Christo naturam asserentes, Evangeliis anteponunt. Non est autem cum istis prius disputandum, quam quid natura, quid essentia, quid hypostasis, et quid persona sit, definierint. Nam quia Christus est una persona, ipsi pro una persona unam naturam dicunt, idemque personam et naturam esse constituunt. Quæratur igitur ab ipsis, cum moritur aliquis homo, utrum natura moriatur, an persona. Naturam quidem mori non respondebunt. Non igitur idem est natura et persona. Præterea cum multæ sint atque adeo innumerabiles hominum personæ, multasne item atque innumerabiles naturas hominum dicent? Atqui una est hominum natura. Non ergo idem est persona et natura.

Ejusdem.

Qui unam in Christo naturam esse contendunt, Athanasium ad Jovianum imperatorem scripsisse dicunt Verbum factum esse carnem, ut et caro fieret Verbum. Respondemus, primum non constare, an hæc verba sint Athanasii, cum multis in locis di-

est, nullo prorsus modo fieri posse ut caro in Verbi naturam convertatur. Deinde ex aliis ejus scriptis piam ipsius sententiam agnoscentes, et hæc Athanasii esse verba concedemus. Verbum enim accepit pro Deo, quandoquidem et Deus est Verbum. Non aliter ac si dixisset, Deum factum esse carnem, ut caro fieret Deus, non natura, sed conjunctione in persona, et deificatione, ut ita dicam. Aiunt et Theologum Gregorium de carne Domini deificata dixisse: « Facta est id, quod eam unxit, et audacter ut loquar, simul Deus. » Non dixit, Facta est divinitas, sed Deus, idque non natura, sed deificatione. Idem enim rursum, « Et hoc, inquit, deificatione Deus. » Itemque in alia oratione, « Licet inquit, utrumque sit unum, non tamen natura, sed conjunctione. » Nam et ferrum igni conjunctum sæpe ignis dicitur, non tamen natura, sed inflammatione; non enim ferrum esse desiit. Aiunt et Gregorium Nyssæ pontificem dixisse: « Quemadmodum si aceti gutta conjiciatur in mare, non amplius aceti proprietates retinebit, sed immutabitur, et in aquarum maris proprietatibus commiscebitur, sic et sanctissimum illud corpus divinitati commissum non est amplius in carnis proprietatibus. » Discant a nobis sanctum hunc non confusionem et commistionem duarum naturarum docuisse, sed illud Domini corpus post resurrectionem non amplius corrumpi, nec fluere, nec defatigari, nec indigere, nec mori, sed ab eo quod ex materia constat, quod patibile et crassum est, atque mortale, in id, quod a materia remotum, quod impatibile et subtile est, atque immortale, fuisse conversum. Non tamen in id, quod circumscriptione figuraque careat, aut quod sub tactum aspectumque non cadat, aut creatum non sit, et quæcunque divinitatis sunt propria. Alioqui quomodo a discipulis post resurrectionem perspectum fuisset? Aut quomodo dixisset ipse: *Palpate, et videte, quia spiritus carnem et ossa non habet, sicut me videtis habere* [1]? Quomodo Thomæ clavorum vestigia demonstrasset? et alia ejusmodi fecisset, quo se veram carnem et humanitatem, non autem fictam carnis humanitatisque speciem assumpsisse significaret? Porro guttæ aceti et maris exemplum adhibuit divus hic Gregorius, quo abjectam humanæ naturæ conditionem, et infinitam divinitatis magnitudinem indicaret, divinamque esse redditam propter personæ conjunctionem, et quantum capere poterat, id est personæ Verbi conjunctione percepisse, ut unicam duarum naturarum personam intelligeremus, quantum autem capere non poterat, ejus expertem permansisse, ut duarum naturarum differentia servaretur. Nam si duas Christi naturas non cognovisset, quomodo adversus Eunomium scribens dixisset, alteram Christi naturam cruciatus et verbera pertulisse, alteram ab æterno fuisse gloriosam?

Ejusdem.

Si Christus sola divinitas est, quod humana na-

[1] Luc. xxiv. 39.

λέγοντος, ὅτι ἀμήχανον καὶ παντελῶς ἀδύνατον τὴν σάρκα εἰς τὴν τοῦ Λόγου μεταστῆναι φύσιν· ἔπειτα δὲ ἀπὸ τῶν ἄλλων αὐτοῦ συγγραμμάτων τὸν εὐσεβῆ σκοπὸν αὐτοῦ διαγινώσκοντες, συμβιβάζομεν καὶ ταύτην τὴν φωνήν. Τὸν Λόγον γὰρ ἀντὶ τοῦ Θεοῦ ἔλαβεν, ἐπεὶ καὶ Θεὸς ὁ Λόγος· ὡσανεὶ λέγων, ὅτι ὁ Θεὸς σὰρξ γέγονεν, ἵνα καὶ ἡ σὰρξ γένηται Θεὸς, οὐ τῇ φύσει, ἀλλὰ τῇ καθ' ὑπόστασιν ἑνώσει καὶ τῇ θεώσει. Λέγουσι δὲ καὶ τὸν Θεολόγον Γρηγόριον εἰπεῖν περὶ τῆς θεωθείσης τοῦ Κυρίου σαρκὸς, ὅτι «Καὶ γενομένην ὅπερ τὸ χρῖσαν, καὶ θαῤῥῶ λέγειν ὁμόθεον.» Οὐκ εἶπεν, ὅτι θεότης γέγονεν, ἀλλ' ὅτι Θεὸς, οὐ φύσει, ἀλλὰ θεώσει. Φησὶ γὰρ ὁ αὐτὸς πάλιν, ὅτι «Καὶ τοῦτο τῇ θεώσει Θεός.» Καὶ αὖθις ἐν ἑτέρῳ λόγῳ· «Εἰ γὰρ καὶ τὸ συναμφότερον ἓν, ἀλλ' οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ.» Καὶ γὰρ καὶ ὁ σίδηρος τῇ πρὸς τὸ πῦρ ἑνώσει πῦρ λέγεται πολλάκις, οὐ τῇ φύσει δὲ πάντως, ἀλλὰ τῇ πυρώσει. Οὐ γὰρ ἀπέστη τοῦ εἶναι σίδηρος. Λέγουσι καὶ Γρηγόριον τὸν Νύσσης εἰπεῖν, ὅτι «Καθάπερ σταγὼν ὄξους ἐμβληθεῖσα τῷ πελάγει τῆς θαλάσσης οὐκ ἔτι ἐστὶν ἐν τοῖς τοῦ ὄξους ἰδιώμασιν, ἀλλὰ μετεποιήθη, καὶ συνανεκράθη εἰς τὸ τοῦ πελάγους τῶν ὑδάτων ἰδίωμα· οὕτω δὴ καὶ τὸ πανάγιον ἐκεῖνο σῶμα συνανακραθὲν τῇ θεότητι οὐκ ἔτι ἐστὶν ἐν τοῖς τῆς σαρκὸς ἰδιώμασι.» Μανθανέτωσαν οὖν παρ' ἡμῶν, ὅτι οὐ σύγχυσιν τῶν δύο φύσεων καὶ φυρμὸν ὁ ἅγιος οὗτος ἐδίδαξεν, ἀλλ' ὅτι οὐκ ἔτι ἐστὶν ἐκεῖνο τὸ Δεσποτικὸν σῶμα μετὰ τὴν ἀνάστασιν φθαρτὸν, οὐδὲ ῥευστὸν, οὐδὲ ἔγκοπον, οὐδὲ ἐνδεὲς, οὐδὲ θνητὸν, ἀλλὰ μετεποιήθη λοιπὸν ἀπὸ ὑλικοῦ εἰς ἄϋλον, ἀπὸ παθητοῦ εἰς ἀπαθὲς, ἀπὸ παχυμεροῦς εἰς λεπτομερὲς, ἀπὸ θνητοῦ εἰς ἀθάνατον, οὐ μέντοι καὶ εἰς ἀπερίγραπτον, ἢ ἀσχημάτιστον, ἢ ἀψηλάφητον, ἢ ἀόρατον, ἢ ἄκτιστον, καὶ ὅσα τῆς θεότητος ἰδιώματα· ἐπεὶ πῶς ἑωράθη τοῖς μαθηταῖς μετὰ τὴν ἀνάστασιν; Πῶς ἔλεγε, *Ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα;* Πῶς τοὺς τύπους τῶν ἥλων ὑπεδείκνυε τῷ Θωμᾷ, καὶ ἄλλα τοιαῦτα πρὸς πίστωσιν τῆς ἀληθείας καὶ ἀφαντάστου σαρκώσεως αὐτοῦ, καὶ ἐνανθρωπήσεως; Παραδειγματικῶς δὲ ὁ θεῖος οὗτος Γρηγόριος τῇ σταγόνι τοῦ ὄξους καὶ τῷ πελάγει τῆς θαλάσσης ἐχρήσατο, βουλόμενος ἐνδείξασθαι τὸ εὐτελὲς τῆς ἀνθρωπίνης φύσεως, καὶ τὸ ἀπειρομέγεθες τῆς θεότητος, καὶ ὅτι ἐθεώθη τῇ καθ' ὑπόστασιν ἑνώσει καὶ καθ' ὅσον μὲν ἦν δεκτικὸν τοῦτο μετέλαβεν ἐκ τῆς καθ' ὑπόστασιν ἑνώσεως τοῦ Λόγου, ἵνα τὸ μοναδικὸν τῆς ὑποστάσεως τῶν δύο φύσεων διδαχθῶμεν· καθ' ὅσον δὲ ἦν ἀδύνατον, τινῶν ἀμέτοχον ἔμεινεν, ἵνα τὸ διάφορον τῶν δύο φύσεων φυλαχθείη. Εἰ γὰρ μὴ δύο τὰς τοῦ Χριστοῦ φύσεις ἐγίνωσκε, πῶς ἔλεγε πρὸς Εὐνόμιον, ὅτι ποία ἐπὶ Χριστοῦ φύσις ἐπὶ τοῦ πάθους ῥαπίζεται, καὶ ποία ἐξ ἀϊδίου δοξάζεται;

Τῆς αὐτῆς.

Εἰ μόνη θεότης ἐστὶν ὁ Χριστὸς, οἷον καταποθεί-

σεως τῆς ἀνθρωπίνης φύσεως ὑπὸ τῆς θείας, πῶς ἐν μὲν τῷ σταυρῷ κρεμάμενος οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, ἐν δὲ τῷ τάφῳ κείμενος οὐκ εἶχε ψυχὴν, εἰς τὸν ᾅδην δὲ κατελθὼν οὐκ εἶχε σῶμα; καὶ ὁ μὲν τάφος αὐτοῦ σῶμα μόνον ὑπεδέξατο, ψυχὴν δὲ μόνην ὁ ᾅδης, οὔτε τοῦ σώματος τὸ ὑλικὸν, καὶ ὁρατὸν, καὶ ἁπτὸν ἀποβάλλοντος, οὔτε τῆς ψυχῆς τὰ ἰδιώματα, εἰ καὶ ἀμφοτέροις ἡ θεότης συνῆν.

A tura a divina fuerit absorpta, cur in cruce pendens non habuit speciem, nec decorem? Cur in sepulcro jacens non habuit animam? Cur ad inferos descendens non habuit corpus? Ac sepulcrum quidem ipsius solum corpus suscepit, inferi autem solam animam, cum nec corpus materiam abjecerit, nec qualitatem, quæ cerni tangique posset, nec anima proprietates animæ deposuerit, licet cum utrisque divinitas esset.

Τῆς αὐτῆς.

Εἴπερ ἡ φύσις τοῦ Χριστοῦ μόνη θεότης ἐστὶν, ὡς ὑμεῖς φατε, πῶς ὁ Χριστὸς, ὁ πανταχοῦ ὢν κατὰ τὴν τῆς θεότητος αὐτοῦ φύσιν, εἶπε πρὸς τοὺς μαθητὰς, *Λάζαρος ἀπέθανε, καὶ χαίρω, ὅτι οὐκ ἤμην ἐκεῖ*; Πῶς δὲ καὶ ὁ ἄγγελος ἔλεγε περὶ τοῦ σώματος αὐτοῦ, ὅτι *Ἠγέρθη· οὐκ ἔστιν ὧδε*;

Ejusdem.

Si Christi natura sola, ut dicitis, divinitas est, quomodo Christus, qui divinitatis suæ natura ubique est, dixit ad discipulos suos: *Lazarus mortuus est, et gaudeo, quod non eram ibi*[1]? Quomodo et angelus de corpore ipsius, *Surrexit*, inquit, *non est hic*[2]?

B

Τῆς αὐτῆς.

Διὰ τοῦτο, φασὶν, οὐ λέγομεν δύο φύσεις ἐν Χριστῷ, διότι πάντα, ὅσα ἂν ἐν Χριστῷ ὁμολογήσωμεν, ταῦτα ἐπὶ πάσης τῆς ἁγίας Τριάδος ἀναγκαῖον ἡμῖν ὁμολογεῖν. Τί δέ; οὐχ ὁμολογεῖτε ἐν Χριστῷ σάρκωσιν, καὶ γέννησιν, καὶ ὅσα τῆς θείας ἐνανθρωπήσεως; Λοιπὸν ἐπὶ πάσης τῆς ἁγίας Τριάδος καὶ ταῦτα ὁμολογεῖτε.

Ejusdem.

Propterea duas non dicimus, inquiunt, in Christo naturas, quoniam quæ confitemur in Christo, ea nobis omnia necessarium est in tota Trinitate sancta confiteri. Quid? non confitemini in Christo carnis susceptionem et ortum, et quidquid de divina ipsius humanitatis susceptione dicitur? Reliquum igitur est, ut hæc in tota sancta Trinitate confiteamini.

Τῆς αὐτῆς.

Ἐὰν ἐρωτήσωμεν αὐτοὺς, κατὰ ποίαν φύσιν ὁ Χριστὸς τὰ ἀνθρωποπρεπῆ ῥήματα ἐφθέγγετο, φεύγοντες εἰπεῖν φύσιν τὸ ἀνθρώπινον τοῦ Χριστοῦ, λέγουσιν, ὅτι κατὰ τὴν ἀνθρωπότητα, κατὰ τὸ πρόσλημμα, κατὰ τὸ ὁρώμενον, κατὰ τὸ σῶμα, κατὰ τὴν σάρκα, καὶ εἴ τι τοιοῦτον. Εἰ δὲ προσερωτήσομεν· Διατί φεύγετε τὸ λέγειν φύσιν ἐπὶ τοῦ προσλήμματος, ἀποκρίνονται, ὅτι Ἵνα μὴ δύο φύσεις ἐπὶ τοῦ Χριστοῦ συνομολογοῦντες, δύο πρόσωπα λέγοντες εὑρεθῶμεν. Οὐ γάρ ἐστι φύσις ἀπρόσωπος, πάντες δὲ οἱ λέγοντες δύο φύσεις ἐν Χριστῷ Νεστοριανοί εἰσιν, ὡς εἰς δύο πρόσωπα τὸν ἕνα Χριστὸν διαιροῦντες. Εἶτα προφέρωμεν αὐτοῖς τὰς χρήσεις τῶν ἁγίων Πατέρων, ὅσαι διαῤῥήδην δύο φύσεις ἐν Χριστῷ συνομολογοῦσι.

Ejusdem.

Si quæramus ex ipsis, qua natura Christus verba homini congruentia dixerit, ne naturam nominent id, quod est humanum in Christo, eo confugiunt, ut dicant, humanitate, assumptione, eo quod cernebatur, corpore, carne, et si quid est aliud ejusmodi. Tum si rursum quæramus: Cur ita cavetis dicere naturam de eo quod assumptum est? respondent: Ne duas in Christo naturas confitentes duas personas dicere deprehendamur; nulla enim est, inquiunt, natura sine persona. At illi qui duas in Christo naturas dicunt, Nestoriani sunt, cum Christum unum in duas personas dividant. Jam igitur illis sanctorum Patrum promamus sententias, quæ duas in Christo naturas aperte confitentur.

C

Χρήσεις περὶ τῶν δύο τοῦ Χριστοῦ φύσεων.

Τοῦ μεγάλου Γρηγορίου τοῦ θαυματουργοῦ ἐκ τῆς κατὰ μέρος πίστεως· «Καὶ ἔστι Θεὸς ἀληθινὸς ὁ ἄσαρκος ἐν σαρκὶ φανερωθεὶς, οὐ δύο πρόσωπα, ἀλλὰ δύο φύσεις.»

Τῆς πρώτης οἰκουμενικῆς συνόδου ἀπὸ τῆς ἐκθέσεως τῆς κατὰ Παύλου τοῦ Σαμοσατέως· «Ταῦτα διώρθωται, καὶ σεσαφήνισται οὐκ εἰς διαίρεσιν τοῦ ἑνὸς προσώπου τοῦ ἀδιαιρέτου, ἀλλ' εἰς δήλωσιν τοῦ ἀσυγχύτου τῶν διορισθεισῶν φύσεων τῆς σαρκὸς καὶ τοῦ Λόγου.»

Ἀθανασίου Ἀλεξανδρείας ἐκ τοῦ περὶ πίστεως λόγου. «Τῶν γὰρ οὐσιῶν αὐτοῦ ἡ μέν ἐστιν ἄναρχος, καὶ ἀΐδιος, καὶ ἀπερίδρακτος τῷ νῷ· ἡ δὲ ἐν χρόνῳ γέγονε,» καὶ τὰ ἑξῆς.

Sanctorum Patrum de duabus in Christo naturis testimonia.

D Magni Gregorii rerum mirabilium effectoris in oratione de singulari fide: «Et est Deus verus, qui cum esset carnis expers, in carne apparuit, non tamen duas habet personas, sed naturas duas.»

Primi œcumenici concilii, ex Expositione adversus Paulum Samosatensem: «Hæc explicata sunt et declarata, non ut una, quæ indivisibilis est, persona dividatur, sed ut definitæ naturæ carnis et Verbi sine confusione demonstrentur.»

Athanasii archiepiscopi Alexandrini ex oratione de fide: «Ex ipsius essentiis una est sine principio et sempiterna, quæ mente comprehendi non potest, altera in tempore facta est.»

[1] Joan. XI 15. [2] Luc. XXIV 6.

Justini philosophi et Martyris, ex libro de fide : « Dicite nobis, qui cum vos Christianæ religionis studiosos fingatis, hæc duabus in Christo naturis sublatis quæritis, et simulatis. »

Basilii Magni, ex epistola ad Sozopolitas : « Si quis igitur audet dicere, duas in Christo naturas commistas, et corpus omnino cum ossibus in Dei conversum esse dignitatem, » et quæ sequntur.

Magni Gregorii Theologi, ex epistola ad Cledonium : « Duæ enim naturæ, Deus et homo. »

Ejusdem ex secunda oratione de Filio : « Indicium autem illud est, cum animo et cogitatione naturæ sejunguntur, etiam nomina separantur. »

Amphilochii Iconii episcopi ex epistola ad Seleucium : « Ita Deum et hominem Christum confiteor Filium Dei, unum Filium ex duabus naturis, patibili et impatibili. » Et paulo post : « Unum igitur Filium et duas ejus naturas confiteor. » Et paucis verbis interjectis : « Quæ assumpta est natura patitur, natura vero quæ illam assumpsit, impatibilis manet. »

Ambrosii episcopi Mediolanensis ex oratione adversus Apollinarium : « Apparuerunt alii qui Domini carnem et divinitatem unius dixerunt esse naturæ. Quis infernus tam impium maledictum evomuit ? »

Ejusdem ad Gratianum imperatorem : « Divinitatis et carnis differentiam servemus. Unus enim est, qui in utraque loquitur, Filius Dei. Quoniam in ipso est utraque natura. »

Gregorii Nyssæ pontificis in oratione adversus Apollinarium : « Si igitur in duabus contrariis proprietatibus natura carnis et divinitatis consideratur, quomodo una natura duæ sunt ? »

Joannis Chrysostomi ex prima epistola ad Acacium : « Unum Filium, unam personam utraque absolverunt, quæ ratione indivisibili sine confusione cognoscitur, non in una sola natura, sed in duabus perfectis. »

Ex eadem epistola : « Unum Filium unigenitum, non in geminos divisum filios, sed duarum tamen naturarum inseparabilium minime confusas in se proprietates conservantem. »

Ejusdem ex oratione in Latronem : « Duæ naturæ et actiones in Christo sunt, sed una persona. »

Cyrilli Alexandriæ archiepiscopi, ex secunda ad Succensum epistola : « Post conjunctionem naturas non separamus. » Et paulo post : « Duas naturas esse conjunctas dicimus. » Et rursum progrediens interpretatur, quo sensu alibi dixerit unam Dei Verbi naturam carnem assumpsisse :

A Ἰουστίνου φιλοσόφου καὶ μάρτυρος ἐκ τοῦ περὶ πίστεως λόγου· « Εἴπατε ἡμῖν, οἱ τὸν Χριστιανισμὸν σχηματιζόμενοι, οἱ ἐπ' ἀναιρέσει τῶν δύο φύσεων τοῦ Χριστοῦ τὰ τοιαῦτα καὶ ζητοῦντες καὶ προϊσχόμενοι. »

Τοῦ μεγάλου Βασιλείου ἐκ τῆς πρὸς Σωζοπολίτας ἐπιστολῆς. « Εἰ μὲν οὖν καὶ τολμᾷ τις λέγειν, ὅτι συνεκράθησαν αἱ Χριστοῦ φύσεις, καὶ παρελύθη παντελῶς τὸ σῶμα σὺν τοῖς ὀστέοις τραπὲν εἰς Θεοῦ φύσεως ἀξίωμα, » καὶ τὰ ἑξῆς.

Τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου ἐκ τῆς πρὸς Κληδόνιον ἐπιστολῆς· « Φύσεις μὲν γὰρ δύο, Θεὸς καὶ ἄνθρωπος. »

Τοῦ αὐτοῦ ἐκ τοῦ β' λόγου τοῦ περὶ Υἱοῦ· « Σημεῖον δὲ, B ἡνίκα αἱ φύσεις διΐστανται ταῖς ἐπινοίαις, διαιρεῖται καὶ τὰ ὀνόματα. »

Ἀμφιλοχίου Ἰκονίου ἐκ τῆς πρὸς Σέλευκον ἐπιστολῆς· « Οὕτω Θεὸν καὶ ἄνθρωπον τὸν Χριστὸν ὁμολογῶ τὸν Υἱὸν τοῦ Θεοῦ, ἕνα Υἱὸν ἐκ δύο φύσεων, παθητῆς τε καὶ ἀπαθοῦς· « καὶ μετ' ὀλίγα· « Ἕνα οὖν Υἱὸν δύο φύσεων φημι. Καὶ αὖθις μετ' ὀλίγα· Ἡ ληφθεῖσα πάσχει φύσις, ἡ δὲ λαβοῦσα ἀπαθὴς μένει. »

Ἀμβροσίου Μεδιολάνων ἐκ τοῦ λόγου τοῦ κατὰ Ἀπολλιναρίου· « Ἀνεφάνησαν ἕτεροι τὴν σάρκα τοῦ Κυρίου, καὶ τὴν θεότητα μιᾶς εἶναι φύσεως C λέγοντες. Ποῖος ᾅδης τὴν τοσαύτην βλασφημίαν ἐξήμεσε. »

Τοῦ αὐτοῦ ἐκ τῶν πρὸς Γρατιανὸν τὸν βασιλέα· « Φυλάξωμεν τὴν διαφορὰν τῆς θεότητος καὶ τῆς σαρκός. Εἷς γὰρ ἐν ἑκατέρᾳ λαλεῖ ὁ τοῦ Θεοῦ Υἱὸς, ἐπειδὴ ἐν αὐτῷ ἑκατέρα φύσις ἐστί. »

Γρηγορίου Νύσσης ἐκ τοῦ λόγου τοῦ κατὰ Ἀπολλιναρίου· « Εἰ οὖν τοῖς ὑπεναντίοις ἰδιώμασιν ἡ ἑκατέρου τούτων θεωρεῖται φύσις, τῆς γὰρ σαρκὸς, λέγω, καὶ τῆς θεότητος, πῶς μία αἱ δύο εἰσίν. »

Ἰωάννου τοῦ Χρυσοστόμου ἐκ τῆς πρὸς Ἀκάκιον α' ἐπιστολῆς· « Ἕνα Υἱὸν, ἓν πρόσωπον τὰ συναμφότερα ἀπετέλεσε, γνωριζόμενον μέντοι ἀσυγχύτως ἀδιαιρέτῳ λόγῳ οὐκ ἐν μιᾷ μόνῃ φύσει, D ἀλλ' ἐν δυσὶ τελείαις. »

Ἐκ τῆς αὐτῆς ἐπιστολῆς· « Ἕνα Υἱὸν μονογενῆ οὐ διαιρούμενον εἰς υἱῶν δυάδα, φέροντα δὲ ὅμως ἐν αὐτῷ τῶν ἀχωρίστων δύο φύσεων ἀσυγχύτους τὰς ἰδιότητας. »

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὸν Λῃστὴν λόγου· « Δύο φύσεις καὶ ἐνέργειαί εἰσιν ἐν Χριστῷ, μία δὲ ὑπόστασις. »

Κυρίλλου Ἀλεξανδρείας ἐκ τῆς β' πρὸς Σούκενσον ἐπιστολῆς· « Μετὰ μέντοι τὴν ἕνωσιν οὐ διαιροῦμεν τὰς φύσεις ἀπ' ἀλλήλων. » Καὶ μετ' ὀλίγα· « Δύο τὰς φύσεις εἶναί φαμεν ἑνωθείσας. » Καὶ αὖθις παρακατιὼν ἑρμηνεύει, πῶς εἶπεν ἀλλαχοῦ μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην. « Εἰ μὲν γὰρ μίαν

« πόντες τοῦ Λόγου τὴν φύσιν σεσιγήκαμεν, οὐκ ἐπενεγκόντες τὸ σεσαρκωμένην, ἀλλ' οἷον ἔξω τιθέντες τὴν οἰκονομίαν, ἣν αὐτοῖς τάχα που καὶ οὐκ ἀπίθανος ὁ λόγος, ἐρωτᾷν ποῦ τὸ τέλειον ἐν ἀνθρωπότητι, ἢ πῶς ὑφέστηκεν ἡ καθ' ἡμᾶς οὐσία· ἐπειδὴ δὲ καὶ ἡ ἐν ἀνθρωπότητι τελειότης, καὶ τῆς καθ' ἡμᾶς οὐσίας ἡ δήλωσις εἰσκεκόμισται διὰ τοῦ λέγειν σεσαρκωμένην, παυσάσθωσαν καλαμίνην ῥάβδον ἑαυτοῖς ὑποστήσαντες. »

Ἐκ τῆς αὐτῆς ἐπιστολῆς· « Ὀρθότατα δὲ καὶ πάνυ συνετώτατα ἡ σὴ τελειότης τὸν περὶ τοῦ σωτηρίου πάθους ἐκτίθεται λόγον, οὐκ αὐτὸν τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ, καθὸ νοεῖται καὶ ἔστι Θεὸς παθεῖν εἰς τὴν ἰδίαν φύσιν τοῦ σώματος ἰσχυριζομένη, παθεῖν δὲ μᾶλλον τῇ χοϊκῇ φύσει. »

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Ἀλεξανδρεῖς προσφωνητικοῦ λόγου· « Ἡ μὲν σύγκρασις ἀφανισμὸν τῶν φύσεων ἐργάζεται, ἡ δὲ ἄῤῥητος ἕνωσις παρὰ τῶν ὀρθῶς φρονούντων ὁμολογουμένη ἀμφοτέρας ἀσυγχύτους σώζει τὰς φύσεις. »

Ἐκ τοῦ αὐτοῦ λόγου· « Τῶν δύο φύσεων τῶν ἑτεροουσίων ἐν ἑνὶ Χριστῷ Υἱῷ ὄντι τοῦ Θεοῦ σωζομένων, καὶ μήτε συγκεχυμένων, μήτε ἀπολλυμένων, ἢ διαιρεθεισῶν. »

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας πρὸς Ἑβραίους Ἐπιστολῆς· « Καὶ οὐ δήπου φαμὲν ἀνάχυσιν ὥσπερ τινὰ συμβῆναι περὶ τὰς φύσεις, ὡς μεταστῆναι μὲν τὴν τοῦ Λόγου φύσιν εἰς τὴν τοῦ ἀνθρώπου φύσιν, μεταποιηθῆναι δὲ τὴν ἀνθρωπίνην εἰς τὴν τοῦ Λόγου. »

Ἐκ τῆς αὐτῆς ἐπιστολῆς· « Φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν, ἀποδιιστῶντες ἀλλήλων τὰς φύσεις. »

Τοσούτων μὲν οὖν ἁγίων χρήσεις αὗται περὶ τῶν δύο τοῦ Χριστοῦ φύσεων, ἵνα τὰς τῶν ἄλλων παρῶμεν πολλὰς οὔσας· ὁ δὲ θεήλατος Σευῆρος ἐν τῇ ἐκθέσει τῆς πίστεως αὐτοῦ τοιάδε φησί· « Τὸ δὲ λέγειν δύο φύσεις ἐπὶ Χριστοῦ πάσης κατηγορίας ἐστὶ μεστὸν, εἰ καὶ ὑπὸ πλειόνων ἁγίων Πατέρων ἀμέμπτως εἴρηται. » Καὶ μετ' ὀλίγα· « Καὶ μὴ πάλιν εἴπῃς, ὡς τῇ λέξει τῶν δύο φύσεών τινες τῶν Πατέρων ἐχρήσαντο. Ἐχρήσαντο γὰρ ἀδιαβλήτως, ὡς προείπομεν, κατὰ δὲ τὸν χρόνον τοῦ ἁγίου Κυρίλλου τῆς νόσου τῶν Νεστορίου κενοφωνιῶν τὰς ἐκκλησίας ἐπινεμομένης, ἡ λέξις ἀπεδοκιμάσθη. » Εὖγε, ὦ κατάρατε, ὅτι τέως χρήσασθαι τῇ λέξει τῶν δύο φύσεων ἀμέμπτως πολλοὺς τῶν ἁγίων Πατέρων καὶ ἄκων ὡμολόγησας, εὐλαβούμενος, ὡς ἔοικε, τὴν πρόδηλον ἀλήθειαν, δεῖξον δὲ λοιπὸν, πότε καὶ παρὰ ποίων ἁγίων Πατέρων ἡ λέξις ἀπεδοκιμάσθη, πῶς δὲ πρὸ μὲν τοῦ Νεστορίου δύο φύσεις εἶχεν ὁ Χριστὸς, μετὰ δὲ τὸν Νεστόριον αἱ δύο μία γεγόνασιν, ἀτοπώτατε καὶ ἀλλόκοτε.

A « Si enim, inquit, dicentes unam Verbi naturam taceremus, nec subjiceremus illud carnem assumpsisse, sed dispensationem quodammodo excluderemus, merito fortasse quærerent, ubinam esset in humanitate perfectio, aut quomodo humana essentia subsisteret. At quoniam et humanitatis perfectio, et essentiæ nostræ declaratio ex verbis illis, carnem assumpsisse, demonstrata est, cessent sibique ipsis arundineam virgam objiciant. »

Ex eadem epistola : « Rectissime et prudentissime perfectio tua de salutari cruciatu et morte rationem exponit, dum ipsum unigenitum Filium Dei, quatenus intelligitur et est Deus, in natura propria passum esse illa, quæ corporis sunt, negat, sed ea B potius terrestri natura pertulisse confirmat. »

Ex oratione, quam ad Alexandrinos habuit : « Commistio adducit interitum naturarum, arcana vero conjunctio, quam recte sentientes confitentur, utrasque sine confusione naturas tuetur. »

Ex eadem oratione : « Duæ naturæ diversas habentes essentias in uno Christo Filio Dei servantur, et non confunduntur, nec perduntur, aut distrahuntur. »

Ejusdem ex Commentariis in Epistolam ad Hebræos : « Et non dicimus quamdam veluti confusionem C in naturis accidisse, ut Verbi natura in hominis naturam commutata sit, et hominis natura in naturam Verbi. »

Ex eadem Epistola : « Dicentes se esse sapientes stulti facti sunt, naturas distrahentes. »

Hæc sunt de duabus Christi naturis sanctorum Patrum testimonia, ut alia, quæ multa sunt, omittamus. At a Deo rejectus Severus, ubi fidem suam explicat, loquitur ad hunc modum : « Sed duas in Christo naturas dicere omni ratione cavendum est, licet a compluribus sanctis Patribus sine reprehensione dictum sit. » Et paulo post : « Et ne dixeris, quosdam e sanctis Patribus duarum naturarum D dictione fuisse usos. Id enim sine reprehensione et culpa fecerunt, ut ante diximus. At sancti Cyrilli tempore cum inanium Nestorii verborum pestis Ecclesias depasceretur, hæc dictio fuit improbata. » Euge, homo exsecrande, quando multos sanctorum Patrum duarum naturarum dictione usos vel invitus confessus es, perspicuam, ut apparet, veritus veritatem, ostende jam quo tempore et a quibus sanctis Patribus hæc dictio fuerit improbata, et quomodo duas ante Nestorium naturas Christus habuerit, post Nestorium autem duæ una factæ sint, homo ineptissime et inconstantissime.

Leontii Byzantii: quæ maledicta Severus, et qui eum secuti unam in Christo naturam asserunt, in Chalcedonense concilium conjiciant.

Chalcedonense concilium suscipiendum negant, quoniam qui illud celebrarunt, mutabiles fuerunt et inconstantes. Etenim cum Byzantii Eutychem improbassent, eum Ephesi susceperunt, cum Dioscoro Flavianum rejicientes. Et iidem rursum Chalcedone Flavianum susceperunt, Dioscorum autem improbarunt. Respondemus multos sæpe justis de causis, ut ipsi putant, mutare sententiam. Ac licet decem, aut viginti, aut plures etiam ex sexcentis triginta consilium mutaverint, ut vos asseritis, non tamen idcirco sexcentorum triginta virorum concilium est rejiciendum et propter paucos tot hominum suffragia repudianda, quandoquidem et Ephesi una cum Dioscoro consederunt, nec tamen propter illos concilium Ephesi celebratum cui Dioscorus præerat rejicitis. Dicunt præterea, Si Dioscorus, ut testatur Anatolius patriarcha Constantinopolitanus, non propter fidem depositus est, cur eum non recipitis? Respondemus, eum propter fidem vere non fuisse depositum. Idcirco enim in concilio non affuit, ne contra ipsum quæstio haberetur. Quod si rediisset et quæstio habita esset, ipse ut hæreticus condemnatus fuisset, etenim erat: sed quoniam tertio vocatus non affuit, et eam condemnationis ipsius causam pronuntiarunt, ideo non propter fidem fuisse condemnatum dixit Anatolius. Ad hæc dicunt, hæreticos ab eo concilio fuisse susceptos, nempe Theodoretum et Ibam. Respondemus hos non prius fuisse susceptos quam Nestorium detestandum et exsecrabilem pronuntiassent. Sed rursum objiciunt, cur a Theodoreto non postularint ut sua adversus Cyrillum scripta condemnaret? Respondemus eos non debuisse hoc crimini vertere concilio, sed sancto Cyrillo, qui cum esset reconciliatus cum orientalibus et cum ipso Theodoreto, non postulavit ut quæ contra se scripserat condemnaret. Quamobrem quod sanctus Cyrillus non fecit, id a concilio non esse factum, ipsi concilio crimini vertendum non fuit. Quanquam quod ipse non fecit a concilio factum est, cum ab eo postulavit, ut Nestorium detestaretur. Quod si eos fuisse hæreticos concesserimus, ne propter illos quidem concilium erit repudiandum. Nam et Nicænum concilium septem hæreticos suscepit, qui et antea fuerant, et postea permanserunt Ariani. Nec tamen ob id vocatur concilium centum et undecim, sed centum et decem et octo episcoporum appellatur. Siquidem et Juvenalis Hierosolymorum episcopus, et alii idonei episcopi, qui in concilio Ephesino cum Dioscoro inventi sunt, etiam Chalcedonensi interfuerunt, nec tamen ob id concilium illud rejiciunt, sed vehementer probant et complectuntur.

A *Λεοντίου Βυζαντίου· οἷα βλασφημεῖ Σευῆρος, καὶ οἱ κατ' αὐτὸν Μονοφυσῖται κατὰ τῆς ἐν Χαλκηδόνι συνόδου.*

Λέγουσιν, ὅτι οὐ χρὴ δέχεσθαι τὴν ἐν Χαλκηδόνι σύνοδον, διότι οἱ ταύτης παλίμβολοι ἦσαν καὶ ἀλλόκοτοι· καὶ γὰρ οἱ αὐτοὶ ἐν Βυζαντίῳ μὲν καθεῖλον τὸν Εὐτυχῆ, ἐν Ἐφέσῳ δὲ τοῦτον ἐδέξαντο μετὰ Διοσκόρου, τὸν Φλαβιανὸν ἀποβαλόμενοι. Καὶ πάλιν οἱ αὐτοὶ ἐν Χαλκηδόνι μὲν ἐδέξαντο Φλαβιανὸν, τὸν δὲ Διόσκορον ἀπεβάλοντο. Πρὸς τούτοις δὲ ἀντιλέγομεν, ὅτι πολλοὶ πολλάκις μεταβάλλονται διά τινας οἰκονομίας, εὐλόγους φαινομένας αὐτοῖς. Πλὴν εἰ καὶ πέντε τυχὸν, ἢ δέκα, ἢ καὶ πλείους ἀπὸ τῶν ἑξακοσίων τριάκοντα παλίμβολοι γεγόνασιν, ὡς ὑμεῖς φατε, οὐ χρὴ διὰ τοῦτο τὴν τῶν ἑξακοσίων
B ἀνδρῶν σύνοδον ἀποβάλλεσθαι, καὶ διὰ τοὺς ὀλίγους ἀθετεῖν τὰς τοσούτων ψήφους, ὅπου γε οἱ αὐτοὶ καὶ ἐν Ἐφέσῳ συνέδρευσαν μετὰ Διοσκόρου, καὶ οὐ διὰ τούτους ἀποβάλλεσθε τὴν ἐν Ἐφέσῳ σύνοδον, ἧς ἦρχε Διόσκορος. Πάλιν λέγουσιν, ὅτι Εἰ κατὰ τὴν φωνὴν Ἀνατολίου Κωνσταντινουπόλεως οὐ διὰ πίστιν καθῃρέθη Διόσκορος, τί μὴ δέχεσθε αὐτόν; Καὶ λέγομεν, ὅτι ἐπ' ἀληθείας οὐ διὰ πίστιν καθῃρέθη· διὰ τοῦτο γὰρ οὐ συνῆλθεν ἐν τῇ συνόδῳ, ἵνα μὴ ζητηθῇ τὰ κατ' αὐτόν· εἰ δὲ ἀνῆλθε, καὶ ζήτησις γέγονε, καὶ ὡς αἱρετικὸς καθῃρεῖτο. Καὶ γὰρ ἦν. Ἐπειδὴ δὲ κληθεὶς ἐκ τρίτου οὐ παρεγένετο, καὶ ταύτην ἐποιήσατο τὴν αἰτίαν τῆς καθαιρέσεως αὐτοῦ, τούτου ἕνεκα εἶπεν ὁ Ἀνατόλιος, ὅτι οὐ διὰ πίστιν καθῃρέθη. Πάλιν λέγουσιν, ὅτι αἱρετικοὺς
C ἐδέξατο ἡ αὐτὴ σύνοδος. Φασὶ δὲ περὶ Θεοδωρήτου καὶ Ἴβα. Καὶ λέγομεν, ὅτι οὐ πρότερον ἐδέξαντο αὐτοὺς, ἕως ἀνεθεμάτισαν Νεστόριον. Ἀλλὰ πάλιν ἀντιλέγουσιν, ὅτι Διατί μὴ ἀπῄτησαν Θεοδώρητον ἀναθεματίσαι καὶ τὰ οἰκεῖα συγγράμματα τὰ κατὰ Κυρίλλου; Καὶ λέγομεν περὶ τούτου, ὅτι οὐκ ἔδει αὐτοὺς τῇ συνόδῳ τοῦτο ἐγκαλέσαι, ἀλλὰ τῷ ἁγίῳ Κυρίλλῳ. Κοινωνίαν γὰρ ποιήσας πρὸς τοὺς Ἀνατολικοὺς καὶ πρὸς αὐτὸν Θεοδώρητον, οὐκ ἀπῄτησεν αὐτὸν ἀναθεματίσαι τὰ οἰκεῖα συγγράμματα. Ὃ οὖν οὐκ ἐποίησεν ὁ ἅγιος Κύριλλος, ἡ σύνοδος μὴ ποιήσασα ἐγκαλεῖσθαι οὐκ ὤφειλε. Καίτοι ὃ οὐκ ἐποίησεν ἐκεῖνος, ἐποίησεν αὕτη ἀπαιτήσασα αὐτὸν ἀναθεματίσαι Νεστόριον. Εἰ δὲ καὶ θῶμεν, ὅτι
D αἱρετικοὶ ἦσαν, οὐδὲ οὕτως ἡ σύνοδος διὰ τούτους ἀπόβλητος. Ἰδοὺ γὰρ καὶ ἡ ἐν Νικαίᾳ ἐδέξατο ἑπτὰ αἱρετικοὺς πρὸ τούτου Ἀρειανοὺς, καὶ μετὰ ταῦτα ἐπιμείναντας τῇ αἱρέσει, καὶ οὐ διὰ τοῦτο λέγεται ἡ σύνοδος τῶν τια', ἀλλὰ τῶν τιη'· ὅπου γε καὶ Ἰουβενάλιος ὁ Ἱεροσολύμων, καὶ ἄλλοι ἱκανοὶ ἐπίσκοποι εἰς τὴν ἐν Ἐφέσῳ σύνοδον εὑρεθέντες μετὰ Διοσκόρου εὑρέθησαν ἐν Χαλκηδόνι, καὶ οὐ διὰ τοῦτο ἀποβάλλονται ἐκεῖνοι τὴν σύνοδον ἐκείνην, ἀλλὰ καὶ λίαν ἀσπάζονται.

Sed qui Chalcedonense concilium calumniantur, audiant quot hæreses decretis suis condemnavit et quæ dogmata sancivit.

Γνώτωσαν οἱ τὴν ἐν Χαλκηδόνι διαβάλλοντες σύνοδον ὅσας αἱρέσεις ἀπώσατο, καὶ τὰ δογματισθέντα αὐτῇ τῇ ἐν Χαλκηδόνι συνόδῳ.

«Ἕνα καὶ τὸν αὐτὸν ὁμολογεῖν Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν συμφώνως ἅπαντες ἐκδιδάσκομεν.» Ἐν τούτοις τὸν Σαμοσατέα Παῦλον καὶ Νεστόριον τοὺς ἀνθρωπολάτρας ἐπιστομίζει τοὺς εἰς υἱῶν δυάδα τολμῶντας αὐτὸν διαιρεῖν, καὶ ἄλλον μὲν λέγοντας Υἱὸν φύσει τὸν Λόγον, ἄλλον δὲ πάλιν Υἱὸν χάριτι τὸν Χριστὸν Ἰησοῦν ἑνώσει καὶ συναφείᾳ τῇ πρὸς τὸν κατὰ φύσιν Υἱὸν τὴν υἱότητα κεκτημένον, καὶ οὐχ ὁμολογοῦντας ἕνα καὶ τὸν αὐτὸν Υἱὸν ἄσαρκον μὲν πρὸ τῆς καταβάσεως καὶ ἐνανθρωπήσεως, σεσαρκωμένον δὲ τὸν αὐτὸν μετὰ τὴν δι' ἡμᾶς κατάβασίν τε καὶ ἐνανθρώπησιν.

«Τέλειον ἐν θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι.» Τέλειον ἐν θεότητι εἰποῦσα, τὴν Ἀρειανῶν ἀπωθεῖται βλασφημίαν. Οὗτοι γὰρ Θεὸν μὲν εἶναι λέγουσι τὸν Χριστὸν, ἀτελῆ δὲ καὶ ἐλάττονα τοῦ Πατρὸς Θεὸν αὐτὸν δογματίζουσιν. Ἐν δὲ τῷ εἰπεῖν, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι, οὐ μόνον τὴν Ἀρειανῶν, ἀλλὰ καὶ Ἀπολλιναριστῶν διελέγχει ἄνοιαν. Ὁ μὲν γὰρ Ἄρειος ἄψυχον παντελῶς σάρκα ἀνειληφέναι τὸν Λόγον ληρωδεῖ· ὁ δὲ Ἀπολλινάριος ἔμψυχον μὲν, ἄνουν δὲ, ὡς ἀμφοτέρους ἀτελῆ τὴν ἀνθρωπότητα τοῦ Κυρίου δογματίζειν ἀμαθῶς.

«Θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτόν·» Ταῦτα διὰ Μάνεντα, ὃς Θεὸν ψιλὸν αὐτὸν ὁμολογεῖ, καὶ οὐκ ἄνθρωπον· καὶ διὰ Παῦλον τὸν Σαμοσατέα, καὶ Ἀρτεμᾶν, οἵτινες ἀρνοῦνται αὐτοῦ τὴν θεότητα ψιλὸν ἄνθρωπον αὐτὸν ὁμολογοῦντες ἐκ ψυχῆς λογικῆς καὶ σώματος. Ἐκ τούτου καὶ Ἀπολλιναρίῳ πολεμεῖ τῷ λέγοντι μὴ ἐσχηκέναι νοερὰν ψυχὴν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἀλλὰ ζωτικὴν μόνον· καὶ διὰ Μάνεντα καὶ Οὐαλεντῖνον τοὺς ἀρνουμένους τὴν σάρκωσιν.

«Ὁμοούσιον τῷ Πατρὶ κατὰ τὴν θεότητα,» δι' Εὐνόμιον καὶ Ἄρειον τοὺς τὸν μονογενῆ Λόγον τοῦ Πατρὸς κτίσμα καὶ δοῦλον ἀσεβῶς καταγγέλλοντας.

«Ὁμοούσιον τὸν αὐτὸν ἡμῖν κατὰ τὴν ἀνθρωπότητα,» διὰ Μαρκίωνα, καὶ Μάνεντα, καὶ Οὐαλεντῖνον, καὶ Εὐτυχῆ, τοὺς δοκήσει καὶ φαντασίᾳ ψιλῇ λέγοντας αὐτὸν ἄνθρωπον ὀφθῆναι, οὐ μὴν ἀληθείᾳ, καὶ κατὰ φύσιν ἀνθρωπίνην ὁμολογοῦντας ἄνθρωπον αὐτὸν γεγονέναι.

«Πρὸ αἰώνων μὲν ἐκ Πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα.» Διὰ Σίμωνα, καὶ Εὐνόμιον, καὶ Ἄρειον, τοὺς ἀρνουμένους αὐτοῦ τὴν ἐκ Πατρὸς πρὸ αἰώνων γέννησιν.

«Ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς Παρθένου καὶ Θεοτόκου κατὰ τὴν ἀνθρωπότητα.» Διὰ Φωτεινὸν, καὶ Θεόδωρον, καὶ Διόδωρον, καὶ Νεστόριον, τοὺς λέγοντας αὐτὸν ἄνθρωπον ἐξ ἀρετῆς κατὰ προκοπὴν θεοποιηθέντα, καὶ οὐχὶ Θεὸν ἐκ Θεοῦ ὄντα, καὶ διὰ φιλανθρωπίαν ἀτρέπτως ἄνθρωπον γεγενημένον.

A « Unum et eumdem confiteri Dominum nostrum Jesum Christum uno omnes consensu docemus. » Quibus verbis Paulo Samosatensi et Nestorio Christum ut hominem purum colentibus eumque geminos in Filios dividentibus, aliumque natura Filium Verbum, et alium rursus gratia Filium Christum Jesum, qui propter Filii naturalis conjunctionem et copulationem adoptatus sit Filius, asserentibus, nec unum et eumdem Filium confitentibus, qui cum antequam descenderet et homo fieret, carnis expers esset, idem posteaquam descendit et homo factus est, carnem habuit, os obstruitur.

« Perfectum eumdem in divinitate, et eumdem in humanitate perfectum. » Dicens in divinitate B perfectum, excludit exsecrabile maledictum Arianorum, qui Christum Deum esse, sed imperfectum et Deo Patre minorem tradunt. Dicens autem eumdem in humanitate perfectum, non solum Arianorum, sed etiam Apollinaristarum stultitiam coarguit. Nam Arius quidem Verbum assumpsisse carnem prorsus animæ expertem dicit, Apollinarius vero animatam quidem, sed mente carentem induisse contendit. Ambo igitur damnantur, ut qui stulte Domini humanitatem imperfectam tradiderint.

« Eumdem vere Deum, et vere hominem. » Propter Manetem dicta sunt, qui Deum purum, et non hominem esse Christum confitetur. Et propter Paulum Samosatensem, et Artemam qui ne- C gant ipsius divinitatem, et purum aiunt esse hominem, ex anima ratione prædita et corpore constantem. Apollinarium item impugnant, qui animam mente præditam habuisse negat Dominum nostrum Jesum Christum, sed carnem animæ tantum participem habuisse concedit. Et contra Manetem et Valentinum, qui carnis negant assumptionem.

« Consubstantialem Patri secundum divinitatem. » Propter Eunomium et Arium, qui unigenitum Patris Verbum creatum et servum esse pronuntiant.

« Eumdem nobis consubstantialem secundum D humanitatem. » Propter Marcionem, et Manetem, et Valentinum, et Eutychem, qui ipsum specie et opinione tantum nuda visum esse hominem dicunt, non autem veritate et humana natura ipsum factum esse hominem confitentur.

« Ante sæcula quidem ex Patre genitum secundum divinitatem. » Propter Simonem, et Eunomium, et Arium, qui ortum ipsius ex Patre negant ante sæcula.

« In extremis autem diebus eumdem propter nos et propter nostram salutem natum ex Maria Virgine et Dei Genitrice secundum humanitatem. » Propter Photinum, et Theodorum, et Diodorum, et Nestorium, qui dicunt ipsum hominem, sed virtute et progressu esse Deum factum, non autem esse Deum ex Deo, et propter suam erga homines charitatem factum esse hominem.

« Qui duabus in naturis sine confusione, sine mutatione, sine divisione cognoscitur, nullo modo naturarum differentia sublata propter carnem assumptam, sed utriusque naturæ servata proprietate, et in unam personam atque unam hypostasim concurrente. » Propter Asterium et Apollinarium et Eutychem, qui naturas differentes, nempe Verbi et carnis ipsius a sua proprietate recessisse, et unam factas esse naturam dicunt. Ex quorum opinione sequitur ut in Christo nec servetur quod patibile est, propter impatibilem ejus divinitatem, nec quod est impatibile, propter patibilem ipsius humanitatem.

TITULUS XVII.

Adversus Aphthartodocitas, qui duces habuerunt Julianum Halicarnasseum et Gainum Alexandrinum, ex scholiis Leontii Byzantini.

Qui Juliano Gaianoque auctoribus Aphthartodocitæ appellati sunt, cum aliis in opinionibus cum Severi discipulis conveniant, hoc tantum ab illis dissentiunt, quod cum Severiani differentiam in Christo constituant post conjunctionem, Julianistæ et Gaianistæ non solum duarum in Christo naturarum differentiam negant, verum etiam Domini corpus jam inde ab ipsa formatione incorruptibile fuisse opinantur, ex quo sunt cognomen consecuti. Ac Dominum quidem molestias et cruciatus pertulisse dicunt, ut famem, et sitim, et lassitudinem, et reliqua, non tamen eodem quo nos modo ea pertulisse. Nos enim, inquiunt, naturali necessitate perferimus, Christus autem sponte cuncta sustinuit. Non enim naturæ legibus erat obnoxius. Respondemus ne nos quidem dicere Christum invitum molestias et cruciatus pertulisse, sed sponte et voluntate naturæ legibus inservisse, quemadmodum et nos. Nam beatus quidem Athanasius exponens illud: *Nunc autem anima mea turbata est*[1]: « Nunc, inquit, id est quando voluit. Non enim quod non esset tanquam esset dixit, quasi opinione et specie, non autem reipsa et vere fierent, quæ dicebantur. Natura enim et veritate omnia facta sunt. » Theologus item Gregorius: « Quoniam, inquit, naturæ tempus tribuit quando voluit, ut quæ propria sunt appeteret. » Sed admirandus Cyrillus « ipsum carni dicit concessisse, ut per naturæ leges pertransiret. » Et alibi: « Permittit, inquit corpori et humanitati, ut patiatur, quæ naturæ conveniunt, quo vere se carnem gestasse, et hominem factum esse demonstret, ut Scripturæ testantur. » Quamobrem si ex divinorum Patrum sententia eodem modo quo nos passum dicimus, licet sponte et quando voluit, quomodo possumus corpus, quod passum est dicere fuisse incorruptibile, et non potius corruptibile, quemadmodum et nostra sunt? At illi rursum: Sicut, inquiunt, post resurrectionem incorruptibile dicitis corpus Christi, et tamen ejusdem essentiæ qua nos sumus, sic et nos ante resurrectionem ipsum incorruptibile et tamen ejusdem nobiscum

[1] Joan. XII, 27

« Ἐν δύο φύσεσιν ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως γνωριζόμενον, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον, καὶ μίαν ὑπόστασιν συντρεχούσης. » Διὰ Ἀστέριον, καὶ Ἀπολλινάριον, καὶ Εὐτυχῆ, οἳ τὰς διαφόρους φύσεις, τοῦ Λόγου λέγω καὶ τῆς σαρκὸς αὐτοῦ, μίαν φύσιν ἀποτετελεκέναι φασὶν, ἐκστάσης δηλονότι τῆς ἑαυτῶν ἰδιότητος, ὡς κατὰ τὸν ἐκείνων λόγον μηκέτι δύνασθαι σώζεσθαι τοῦ Χριστοῦ μήτε τὸ παθητὸν διὰ τὸ ἀπαθὲς αὐτοῦ τῆς θεότητος, μήτε τὸ ἀπαθὲς διὰ τὸ παθητὸν αὐτοῦ πάλιν τῆς ἀνθρωπότητος.

ΤΙΤΛΟΣ ΙΖʹ.

Κατὰ Ἀφθαρτοδοκιτῶν τῶν ἀπὸ Ἰουλιανοῦ τοῦ Ἁλικαρνασσέως, καὶ Γαϊανοῦ τοῦ Ἀλεξανδρέως, ἐκ τῶν σχολίων Λεοντίου Βυζαντίου.

Οἱ ἀπὸ Ἰουλιανοῦ καὶ Γαϊανοῦ Ἀφθαρτοδοκῖται λεγόμενοι ἐν μὲν τοῖς ἄλλοις δόγμασι συμφέρονται τοῖς Σευήρου, ἐν τούτῳ δὲ μόνον διαφέρονται πρὸς αὐτοὺς, ἐν τῷ λέγειν ἐκείνους μὲν διαφορὰν μετὰ τὴν ἕνωσιν ἐπὶ Χριστοῦ, τοὺς δὲ Ἰουλιανιστὰς καὶ Γαϊανίτας μὴ μόνον ἀρνεῖσθαι τὴν διαφορὰν τῶν δύο τοῦ Χριστοῦ φύσεων, ἀλλὰ καὶ ἄφθαρτον δογματίζειν τὸ σῶμα τοῦ Χριστοῦ ἐξ αὐτῆς διαπλάσεως. Καὶ τὰ μὲν πάθη λέγουσιν ὑπομεῖναι τὸν Κύριον, πεῖναν φημὶ, καὶ δίψαν, καὶ κόπον, καὶ τὰ ἑξῆς, οὐ τὸν αὐτὸν δὲ τρόπον ἡμῖν ταῦτα πεπονθέναι. Ἡμεῖς μὲν γὰρ, φασὶν, ἐξ ἀνάγκης φυσικῆς ταῦτα πάσχομεν, ὁ δὲ Χριστὸς ἑκουσίως πάντα ὑπέμεινεν. Οὐ γὰρ ἐδούλευε τοῖς νόμοις τῆς φύσεως. Πρὸς οὓς φαμεν, ὅτι Οὐδὲ αὐτοὶ λέγομεν ἀκούσια τὰ πάθη τοῦ Χριστοῦ, ἀλλ' ὅτι ἑκουσίως ἐδούλευε τοῖς νόμοις τῆς φύσεως ἐπίσης ἡμῖν. Ὁ μὲν γὰρ μακάριος Ἀθανάσιος ἑρμηνεύων τὸ, *Νῦν ἡ ψυχή μου τετάρακται*, φησὶν, ὅτι « τὸ *νῦν* τουτέστιν, ὅτε ἠθέλησεν· οὐ γὰρ τὸ μὴ ὂν ὡς παρὸν ὠνόμαζεν, ὡς δοκήσει γινομένων τῶν λεγομένων· φύσει γὰρ καὶ ἀληθείᾳ τὰ πάντα ἐγίνετο. » Ὁ δὲ Θεολόγος πάλιν Γρηγόριος, ὅτι ἐδίδου τῇ φύσει καιρὸν, ὅτε ἐβούλετο, ἐνεργεῖν τὰ ἴδια. Κύριλλος δὲ ὁ θαυμάσιος εἴρηκεν ἀφιέναι αὐτὸν τῇ σαρκὶ διὰ τῶν τῆς φύσεως ἰέναι νόμων. Καὶ αὖθις ἑτέρωθι ἔλεγεν, ὡς ἐπιτρέπει τῷ σώματι καὶ τῇ ἀνθρωπότητι τὰ τῇ φύσει προσόντα πάθη εἰς ἀπόδειξιν τοῦ κατὰ ἀλήθειαν φορῆσαι σάρκα, καὶ ἄνθρωπον γενέσθαι κατὰ τὰς Γραφάς. Εἰ τοίνυν κατὰ τὸν σκοπὸν τῶν θεοφόρων Πατέρων τὸν αὐτὸν ἡμῖν τρόπον ἔπασχεν, εἰ καὶ ἑκουσίως, καὶ ὅτε ἤθελε· πῶς δυνάμεθα τὸ πάσχον σῶμα ἄφθαρτον εἰπεῖν, καὶ μὴ φθαρτὸν τῇ φύσει, ὥσπερ καὶ τὸ ἡμέτερον; Ἀνταποκρίνονται δὲ πάλιν, ὅτι Ὃν τρόπον μετὰ τὴν ἀνάστασιν ἄφθαρτον λέγοντες τὸ σῶμα τοῦ Χριστοῦ ὁμοούσιον αὐτὸ λέγετε εἶναι ἡμῖν, τὸν αὐτὸν τρόπον καὶ ἡμεῖς πρὸ τῆς ἀναστάσεως ἄφθαρτον λέγοντες, ὁμοούσιον αὐτὸ ὁμολογοῦμεν εἶναι. Ἡμεῖς δὲ λέγομεν, ὅτι Εἰ καὶ ἄφθαρτον ὁμολογοῦμεν αὐτὸ μετὰ τὴν ἀνάστασιν, οὐ τῇ φύσει λέγομεν αὐτὸ ἄφθαρτον, τῇ χάριτι δέ. Εἰ δὲ εἴποιεν, ὅτι

καὶ πρὸ τῆς ἀναστάσεως ἄφθαρτον χάριτι, λέγομεν A ὅτι οὐ συγχωρεῖ τοῦτο τὰ περὶ Χριστοῦ λεγόμενα. Πρὸ μὲν γὰρ τῆς ἀναστάσεως καὶ πεινῆσαι λέγεται, καὶ διψῆσαι, καὶ τἄλλα παθεῖν· καὶ πῶς ἂν εἴη τὸ ταῦτα πεπονθὸς ἄφθαρτον; μετὰ δὲ τὴν ἀνάστασιν οὐδὲν τούτων ἔπαθεν· ὡς δῆλον, ὅτι πρὸ μὲν τῆς ἀναστάσεως φθαρτὸν ἦν τὸ σῶμα, μετὰ δὲ τὴν ἀνάστασιν ἄφθαρτον. Εἰ γὰρ καὶ λέγεται φαγεῖν μετὰ τὴν ἀνάστασιν, τοῦτο δι' οἰκονομίαν ἐποίησεν, οὐχ ὡς τῷ ὄντι πεινῶν, ἀλλ' ἵνα δείξῃ τοῖς μαθηταῖς αὐτοῦ, ὅτι αὐτός ἐστιν ὁ ἀναστὰς ἐκ νεκρῶν, ὃν τρόπον καὶ τοὺς τύπους τῶν ἥλων λέγεται ἐπιδεῖξαι αὐτοῖς. Καίτοι ἡμεῖς οὐδὲν τῶν πρὸ τῆς ἀναστάσεως παθῶν ἀνιστάμεθα ἔχοντες. Ἀπαρχὴ δὲ τῆς ἐκ νεκρῶν ἡμῶν ἀναστάσεως ὁ Χριστός· καὶ ὅμως αὐτὰς εὑρέθη ἔχων, ὡς δῆλον, ὅτι δι' οἰκονομίαν τοῦτο B γέγονε. Ἀμέλει οὐδὲ λέγει ἡ Γραφή, ὅτι ἐπείνησεν, ἀλλ' ὅτι ἔφαγε. Δέον δὲ ἐπιστῆσαι, ὅτι παραφέρουσι χρήσεις τινὰς ἀπὸ τῶν Πατέρων ἄφθαρτον τὸ σῶμα τοῦ Χριστοῦ λεγούσας, ὥσπερ καὶ τὸν μακάριον Κύριλλον εἰπόντα, ὅτι οὐχ ὑπεδέξατο φθορὰν ἡ τοῦ Λόγου σάρξ. Ὅταν δὲ τὰς τοιαύτας παράγωσι χρήσεις, διαιρετέον τὰ σημαινόμενα τῆς φθορᾶς, καὶ ἐφαρμοστέον τῷ σώματι τοῦ Χριστοῦ τὰ πρέποντα τῶν σημαινομένων.

essentiæ. Respondemus, quamvis post resurrectionem ipsum incorruptibile fateamur, non tamen incorruptibile natura dicimus, sed gratia. Quod si dixerint: Est etiam ante resurrectionem gratia incorruptibile, respondebimus id non concedi propter illa quæ dicuntur de Christo. Nam ante resurrectionem dicitur esurisse, et sitisse, et alia pertulisse, quæ cum pertulerit, quomodo dici queat incorruptibile? Post resurrectionem autem nihil tale pertulit. Ex quo facile constat, ipsum ante resurrectionem fuisse corruptibile, post resurrectionem autem incoruptibile. Nam et si post resurrectionem etiam dicitur comedisse, id fecit non propterea quod esuriret, sed eo consilio ut discipulis suis ostenderet se ex mortuis surrexisse, quemadmodum et clavorum vestigia ipsis dicitur demonstrasse. Nos vero, nihil eorum quæ ante resurrectionem passi erimus habentes, resurgemus. At primitiæ nostræ resurrectionis a mortuis Christus, et tamen ipse habuit. Eo nimirum consilio quod dicimus id factum est. Nec Scriptura dicit eum esuriisse, sed comedisse. Sciendum est autem eos quædam Patrum afferre testimonia, quæ Christi corpus dicunt incorruptibile, ut beati etiam Cyrilli, qui dixit Christi carnem non suscepisse corruptionem. Cum igitur ea protulerint testimonia, significationes corruptionis sunt distinguendæ, et quæ Christi corpori conveniunt accommodandæ.

Τοῦ Δαμασκηνοῦ κατὰ τῶν αὐτῶν. Κεφ. ϞΒ'.

Τὸ τῆς φθορᾶς ὄνομα δύο σημαίνει. Σημαίνει γὰρ C τὰ ἀνθρώπινα ταῦτα πάθη, πεῖναν, δίψαν, κόπον, τὴν τῶν ἥλων διάτρησιν, θάνατον, ἤτοι χωρισμὸν τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ τὰ τοιαῦτα. Κατὰ τοῦτο τὸ σημαινόμενον φθαρτὸν τὸ τοῦ Κυρίου σῶμά φαμεν. Πάντα γὰρ ταῦτα ἑκουσίως ἀνέλαβε. Σημαίνει δὲ ἡ φθορὰ καὶ τὴν τελείαν τοῦ σώματος εἰς τὰ ἐξ ὧν συνετέθη στοιχεῖα διάλυσιν καὶ ἀφανισμόν, ἥτις ὑπὸ πολλῶν διαφθορὰ ὀνομάζεται. Ταύτης πεῖραν τὸ τοῦ Κυρίου σῶμα οὐκ ἔσχεν, ὥς φησιν ὁ προφήτης Δαβίδ, *Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.* Ἄφθαρτον μὲν οὖν κατὰ τὸν παράφρονα Ἰουλιανὸν καὶ Γαϊανὸν τὸ σῶμα τοῦ Χριστοῦ λέγειν κατὰ τὸ πρῶτον τῆς φθορᾶς σημαινόμενον D πρὸ τῆς ἀναστάσεως, ἀσεβές. Εἰ γὰρ ἄφθαρτον, οὐχ ὁμοούσιον ἡμῖν. Ἀλλὰ καὶ δοκήσει, καὶ οὐκ ἀληθείᾳ γεγονέναι φησὶ τὸ Εὐαγγέλιον τὴν πεῖναν, τὴν δίψαν, τοὺς ἥλους, τῆς πλευρᾶς τὴν νύξιν, καὶ τὸν θάνατον. Εἰ δὲ δοκήσει γέγονε, φενακισμὸς καὶ σκηνὴ τὸ τῆς οἰκονομίας μυστήριον, καὶ δοκήσει, καὶ οὐκ ἀληθείᾳ γέγονεν ἄνθρωπος· καὶ δοκήσει, καὶ οὐκ ἀληθείᾳ σεσώσμεθα. Ἀλλ' ἄπαγε. Οἱ ταῦτα λέγοντες τῆς σωτηρίας ἀμοιρείτωσαν. Κατὰ δὲ τὸ δεύτερον τῆς φθορᾶς σημαινόμενον, ἄφθαρτον ἤτοι ἀδιάφθορον ὁμολογοῦμεν τὸ τοῦ Κυρίου σῶμα, καθὼς ἡμῖν οἱ θεοφόροι Πατέρες παραδεδώκασι. Μετὰ μέντοι τὴν ἐκ νεκρῶν τοῦ Σωτῆρος ἀνάστασιν καὶ κατὰ τὸ πρῶτον σημαινόμενον ἄφθαρτον τὸ τοῦ Κυρίου

Damasceni contra eosdem, cap. 92.

Corruptionis nomen duplicem habet significationem. Significat enim humanas affectiones, famem, sitim, laborem, clavorum ictus, mortem seu animæ a corpore sejunctionem, et alia ejusdem generis. Qua quidem significatione corpus Domini dicimus corruptibile. Hæc enim omnia sponte suscepit. Significat etiam corruptio perfectam corporis in elementa, ex quibus compositum est, dissolutionem et interitum. Hanc Domini corpus non est expertum, ut ait propheta David: *Quoniam non relinques animam meam in inferno, nec dabis sanctum tuum videre corruptionem* [1]. Priore significatione dicere Christi corpus ante resurrectionem incorruptibile, ut stulti homines Julianus Gaianusque sentiunt, impium est. Nam si est incorruptibile, non est ejusdem essentiæ qua nos sumus, et opinione, non veritate facta sunt, quæ narrat Evangelium, nempe fames, sitis, clavi, lateris vulnus, et mors. Quæ si opinione facta sunt, fictio et simulatio est humanæ salutis mysterium, et opinione, non veritate factus est homo, et opinione, non veritate servati sumus. Sed abeant, qui hæc dicunt, et salute spolientur. Altera vero corruptionis significatione Domini corpus incorruptibile et ab interitu liberum confitemur, quemadmodum divini nobis Patres tradiderunt. Quanquam post resurrectionem priori etiam significatione Domini corpus incorruptibile dicimus. Dominus enim per corpus proprium nostro etiam corpori resurrectionem, et

[1] Psal. xv, 10.

post hæc incorruptionem largitus est. Ipse resurrectionis, et incorruptionis, et impatibilitatis primitiæ nobis factus est. *Oportet enim corruptibile hoc induere incorruptionem* [1] ut divus ait Apostolus.

Alterius contra eosdem.

Corruptio ab animæ morte, sive a peccato, proficiscens est animæ pernicies. Corruptio vero a corporis morte, sive a putredine proveniens, est pernicies corporis. Quæ quidem interitus magis etiam proprie dicitur. Corruptio significat etiam corporeas, seu naturales, et criminis expertes affectiones, ut famem, sitim, laborem, metum, clavorum vulnera, et mortem, et alia multa, quæ antecedunt. Quantum ad primam et secundam pertinet corruptionem, Domini corpus dicimus incorruptibile. Neque enim peccatum admisit, neque corruptum est post animæ sejunctionem. Nam, *Non dabis*, inquit, *sanctum tuum videre corruptionem* [2]. Quantum autem ad tertiam pertinet, et corpus Domini fuit corruptibile; omnibus enim naturalibus affectionibus erat obnoxium. Sed post resurrectionem ab hoc etiam genere corruptionis liberum exstitit.

A σῶμά φαμεν. Καὶ τῷ ἡμετέρῳ γὰρ σώματι τήν τε ἀνάστασιν καὶ τὴν μετὰ ταῦτα ἀφθαρσίαν ὁ Κύριος διὰ τοῦ ἰδίου ἐδωρήσατο σώματος, αὐτὸς ἀπαρχὴ τῆς τε ἀναστάσεως καὶ τῆς ἀφθαρσίας, καὶ τῆς ἀπαθείας ἡμῖν γενόμενος. *Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν*, φησὶν ὁ θεῖος Ἀπόστολος.

Ἑτέρου κατὰ τῶν αὐτῶν.

Φθορὰ μὲν ἡ ἀπὸ τοῦ ψυχικοῦ θανάτου λύμη τῆς ψυχῆς, ἤγουν ἡ ἀπὸ τῆς ἁμαρτίας· φθορὰ δὲ καὶ ἡ ἀπὸ τοῦ σωματικοῦ θανάτου λύμη τοῦ σώματος, ἤγουν ἡ ἀπὸ τῆς σηπεδόνος, ἥτις καὶ διαφθορὰ κυριώτερον ὀνομάζεται. Φθορὰ δὲ καὶ τὰ σωματικὰ πάθη, ἤτοι τὰ φυσικὰ καὶ ἀδιάβλητα, οἷον πεῖνα, δίψα, κόπος, δειλία, διάτρησις ἥλων, θάνατος, καὶ B πρὸ τούτου πολλὰ τοιαῦτα. Κατὰ μὲν οὖν τὴν πρώτην καὶ δευτέραν φθορὰν ἄφθαρτον ἦν τὸ πρόσλημμα· οὔτε γὰρ ἁμαρτίαν ἐποίησεν, οὔτε διεφθάρη τὸ σῶμα μετὰ τὴν διάζευξιν τῆς ψυχῆς. *Οὐ γὰρ δώσεις*, φησὶ, *τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν*. Κατὰ δὲ τὸ τρίτον σημαινόμενον φθαρτὸν ἦν καὶ τοῦτο. Πᾶσι γὰρ τοῖς φυσικοῖς ὑπέκειτο πάθεσι. Μετὰ δὲ τὴν ἀνάστασιν ἄφθαρτον ἐγένετο καὶ κατὰ τοῦτο τὸ σημαινόμενον.

TITULUS XVIII.

Adversus Theopaschitas, qui Filii et Dei divinitatem patibilem tradiderunt. Quamvis autem hæc hæresis postea viguerit, antea tamen fuerunt etiam quidam, qui improba illius semina sparserint. Sancti Cyrilli ex oratione ad Alexandrinos habita.

Peperit nobis Virgo Emmanuelem ejusdem essentiæ cum Patre, quantum pertinet ad divinitatem, ejusdem nobiscum essentiæ quantum ad humanitatem. Licet enim proprii corporis affectiones sibi proprias fecerit Deus Verbum, et in se transtulerit, ipse in terminis impatibilitatis permansit. Quod si ipsum audieris dicentem: *Dedi dorsum meum ad flagella, et genas meas ad alapas, et faciem meam non averti a fœditate sputorum* [3], nihil enim in propria natura passum esse putaveris, sed potius corporis sui verbera sibi attribuisse. Cujus enim proprium est corpus, ei merito quæ corporis sunt omnia præter peccatum ascribi possunt. Quoniam igitur Verbum assumpta humanitate divinitus mansit impatibile, quamvis quæ carnis sunt sibi propria faciens necessario pati dicatur secundum carnem, longe tamen abfuit, ut pateretur, quatenus est Deus. Non cogitant igitur illi tanquam Deo conservatum esse, ut non pateretur, tributum tamen ipsi esse, ut pateretur pro nobis carne, quatenus Deus natura exsistens factus est caro, seu perfectus homo. Quis enim Patrem cœlestem alloquitur illis verbis: *Sacrificium et oblationem noluisti, corpus autem perfecisti mihi*;

ΤΙΤΛΟΣ ΙΗ'.

C *Κατὰ Θεοπασχιτῶν, οἳ παθητὴν ἐδογμάτιζον τὴν τοῦ Υἱοῦ καὶ Θεοῦ θεότητα. Εἰ γὰρ ὕστερον ἤκμασεν ἡ αἵρεσις αὕτη, ἀλλ' ἦσαν καὶ πρότερόν τινες τὰ πονηρὰ σπέρματα καταβάλλοντες. Τοῦ ἁγίου Κυρίλλου ἐκ τῆς πρὸς Ἀλεξανδρεῖς ὁμιλίας.*

Ἔτεκεν ἡμῖν ἡ Παρθένος τὸν Ἐμμανουὴλ κατὰ μὲν τὴν θεότητα ὁμοούσιον τῷ Πατρὶ, κατὰ δὲ τὴν ἀνθρωπότητα ἡμῖν ὁμοούσιον· κατὰ τὴν θεότητα ἀπαθῆ, κατὰ τὴν ἀνθρωπότητα παθητόν. Εἰ γὰρ καὶ οἰκειοῦται τοῦ οἰκείου σώματος τὰ πάθη ὁ Θεὸς Λόγος, καὶ εἰς ἑαυτὸν ἀναφέρει, ἀλλά γε αὐτὸς μεμένηκεν ἐν τοῖς τῆς ἀπαθείας ὅροις· κἂν ἀκούσῃς αὐτοῦ λέγοντος, *Ἔδωκα τὸν νῶτόν μου εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων*, μηδὲν αὐτὸν πεπονθέναι εἰς τὴν οἰ- D κείαν φύσιν ὑπολάβῃς, οἰκειώσασθαι δὲ μᾶλλον τοῦ ἰδίου σώματος τὰς μάστιγας. Οὗ γὰρ ἴδιόν ἐστι τὸ σῶμα, τούτῳ ἂν εἰκότως προσγράφοιτο καὶ τὰ αὐτοῦ πάντα δίχα μόνης ἁμαρτίας. Οὐκοῦν ἐπειδήπερ ἐνανθρωπήσας ἦν ὁ Λόγος, μεμένηκε μὲν θεϊκῶς ἀπαθὴς, οἰκειούμενος δὲ ἀναγκαίως τὰ τῆς ἑαυτοῦ σαρκὸς, παθεῖν λέγεται κατὰ σάρκα, καίτοι τοῦ παθεῖν ἀπείρατος ὢν, καθὸ νοεῖται Θεός. Οὐκ ἐννοοῦσιν οὖν, ὅτι τετήρηται μὲν τὸ ἀπαθὲς αὐτῷ, καθὸ Θεός ἐστι, προσγράφεσθαι δὲ καὶ τὸ παθεῖν ὑπὲρ ἡμῶν κατὰ σάρκα, καθὸ Θεὸς ὢν φύσει γέγονε σὰρξ, ἤτοι τέλειος ἄνθρωπος. Τίς γὰρ ἦν ὁ λέγων πρὸς τὸν ἐν οὐρανοῖς Πατέρα καὶ Θεὸν, *Θυσίαν καὶ προσφο-*

[1] I Cor. xv, 53. [2] Act. ii, 27. [3] Isa. l, 6.

ρὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι· ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας; Τότε εἶπον, Ἰδοὺ ἥκω τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου; Ὁ γὰρ ἔξω σώματος ὡς Θεὸς ἑαυτῷ σῶμα κατηρτίσθαι φησίν, ἵνα τοῦτο ὑπὲρ ἡμῶν προσενέγκας τῷ ἰδίῳ μώλωπι πάντας ἡμᾶς θεραπεύσῃ κατὰ τὴν τοῦ προφήτου φωνήν.

Τοῦ αὐτοῦ ἐκ τῆς περὶ τοῦ ἀποπομπαίου πρὸς Ἀκάκιον ἐπιστολῆς.

Τοῦτο προεδηλοῦτο καὶ ἐν τῷ νόμῳ. Γέγραπται γὰρ ἐν τῷ Λευϊτικῷ· *Καὶ λήψεται τοὺς δύο χιμάρους, καὶ στήσει αὐτοὺς ἔναντι Κυρίου παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ ἐπιθήσει Ἀαρὼν ἐπὶ τοὺς δύο χιμάρους κλήρους, ἕνα τῷ Κυρίῳ, καὶ κλῆρον ἕνα τῷ ἀποπομπαίῳ. Καὶ προσοίσει περὶ ἁμαρτίας. Καὶ τὸν χίμαρον, ἐφ' ὃν ἐπῆλθεν ἐπ' αὐτὸν ὁ κλῆρος τοῦ ἀποπομπαίου, στήσει αὐτὸν ζῶντα ἔναντι Κυρίου τοῦ ἐξιλάσασθαι ἐπ' αὐτοῦ, ὥστε ἀποστεῖλαι αὐτὸν εἰς τὴν ἀποπομπήν, ἀφήσει αὐτὸν εἰς τὴν ἔρημον. Καὶ σφάξει τὸν χίμαρον τὸν περὶ ἁμαρτίας τὸν περὶ τοῦ λαοῦ ἔναντι Κυρίου, καὶ εἰσοίσει τοῦ αἵματος αὐτοῦ ἐσώτερον τοῦ καταπετάσματος, καὶ ποιήσει τὸ αἷμα αὐτοῦ ὃν τρόπον ἐποίησε τὸ αἷμα τοῦ μόσχου, καὶ ῥανεῖ τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κατὰ πρόσωπον τοῦ ἱλαστηρίου.* Καὶ μεθ' ἕτερα, *Καὶ προσάξει τὸν χίμαρον τὸν ζῶντα, καὶ ἐπιθήσει Ἀαρὼν τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ χιμάρου τοῦ ζῶντος.* Φέρε τοίνυν περιελόντες τοῦ νόμου τὸ σκίασμα γυμνὴν ἴδωμεν τὴν ἀλήθειαν. Δύο μὲν γὰρ χιμάρους προσκομισθῆναι προστέταχε, καὶ δύο γράφεσθαι κλήρους ἐπ' αὐτοῖς, ὡς τὸν μὲν ἕνα τῶν χιμάρων ὀνομασθῆναι Κύριον, τόν γε μὴν ἕτερον ἀποπομπαῖον. Οὐκοῦν ὄνομα τοῖς χιμάροις Κύριός τε καὶ ἀποπομπαῖος. Σημαίνεται δὲ δι' ἀμφοῖν ὁ εἷς καὶ μόνος Υἱός, καὶ Κύριος Ἰησοῦς Χριστός· καὶ τίνα τρόπον, ἐροῦμεν. Τράγος ὑπὲρ ἁμαρτίας ἐθύετο· οὗτος τύπος ἦν τοῦ Χριστοῦ ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν τυθέντος, κατὰ τὰς Γραφάς· ταύτης ἕνεκα τῆς αἰτίας καὶ ἁμαρτίαν ὠνομάσθαι τοῦτόν φαμεν. Γράφει γοῦν ὁ πάνσοφος Παῦλος, ὅτι *Τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν*, ὁ Θεὸς καὶ Πατὴρ δηλονότι. Καὶ οὔ φαμεν ἁμαρτωλὸν γενέσθαι Χριστόν, μὴ γένοιτο, ἀλλ' ὄντα δίκαιον, μᾶλλον δὲ αὐτόχρημα δικαιοσύνην, σφάγιον ἐποίησεν ὁ Πατὴρ ὑπὲρ τῶν τοῦ κόσμου πλημμελημάτων· καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, ψῆφον ὑπομείνας τὴν τοῖς ἀνόμοις πρεπωδεστάτην. Ἐπεκρέματο γὰρ τοῖς ἐπὶ γῆς ὁ κλῆρος τοῦ χρῆναι παθεῖν τὸν θάνατον διά τε τὴν ἐν Ἀδὰμ παράβασιν, καὶ τὴν ἐξ ἐκείνου μέχρις ἡμῶν τυραννήσασαν ἁμαρτίαν. Ἀλλ' ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, ὁ πολὺς εἰς ἡμερότητα καὶ φιλανθρωπίαν, γέγονε σάρξ, τουτέστιν ἄνθρωπος σύμμορφος ἡμῖν τοῖς ὑφ' ἁμαρτίαν, καὶ τὸν ἡμῶν ὑπέστη κλῆρον. Ὡς γὰρ ὁ πανάριστος γράφει Παῦλος, *Χάριτι Θεοῦ ὑπὲρ παν-*

A *holocaustomata et pro peccato non postulasti, tunc dixi : Ecce venio ut faciam, Deus, voluntatem tuam* [1]? Qui enim est corporis expers, ut Deus, sibi corpus perfectum dicit, ut illud pro nobis offerens proprio livore nos omnes curaret, ut ait propheta [2].

Ejusdem ex epistola ad Acacium scripta de emissario.

Id præsignificatum est etiam in lege. In Levitico enim scriptum est : *Et accipiet duos hircos, et constituet eos coram Domino juxta ostium tabernaculi testimonii. Et imponet Aaron super duos hircos sortes, unam sortem Domino, et unam emissario. Et adducet Aaron hircum super quem supervenit*
B *sors Domini, et faciet pro peccato. Et hircum super quem supervenit sors emissarii, statuet viventem coram Domino, ut propitietur super eum, ut dimittat eum in emissionem, et dimittet eum in desertum. Et immolabit hircum, qui est pro peccato, qui est pro populo coram Domino, et inferet de sanguine ejus interius velum, et faciet sanguinem ejus, quemadmodum fecit sanguinem vituli, et asperget sanguinem ejus super propitiatorium, in faciem propitiatorii* [3]. Et paulo post : *Et adducet hircum vivum, et imponet Aaron manus suas super caput hirci viventis* [4]. Age igitur, legis umbra sublata veritatem nudam videamus. Duos quidem hircos offerri jussit, et duas sortes super ipsos imponit : ut alter
C quidem Dominus appellaretur, alter autem emissarius. Hircorum ergo nomina Dominus et emissarius. Ambo autem significant unum et solum Filium, et Dominum, Jesum Christum, et qua id ratione, explicabimus. Hircus pro peccato immolatus Christi figuram gerit, qui pro peccatis nostris immolatus est, ut Scripturæ testantur. Quamobrem et peccatum appellatum dicimus. Nam, ut sapientissimus Paulus ait : *Eum, qui non novit peccatum, pro nobis peccatum fecit* [5], Deus nimirum et Pater. Et non dicimus Christum factum esse peccatorem. Absit ! Sed justum exsistentem, imo vero ipsam justitiam Pater victimam fecit pro mundi peccatis. Et inter iniquos reputatus est, sententiamque sustinuit iniquis maxime convenien-
D tem. Impendebat enim mortis sententia iis qui sunt in terra, propter Adami transgressionem et propter peccatum, quod ab illo usque ad nos dominabatur. Sed Dei Patris Verbum mansuetudine atque benignitate multum abundans factum est caro, id est homo, et nobis similis, qui sub peccato sumus, et sortem nostram subiit. Nam, ut optimus Paulus ait, *Gratia Dei pro omnibus mortem gustavit* [6]; et suam ipsius animam pro omnium vita pretium constituit. Et unus pro omnibus mortuus est, ut omnes Deo vivant, sanctificati et vivificati per sanguinem ipsius [7], et gratis justifi-

[1] Psal. XXXIX, 7-9; Hebr. X, 5-7. [2] Isa. LIII, 5. [3] Levit. XVI, 5-15. [4] Ibid. 10. [5] II Cor. V, 21. [6] Hebr. II, 9. [7] II Cor. V, 14, 15.

cati per gratiam ejus. Sic enim ait beatus evangelista Joannes: *Sanguis Jesu Christi emundat nos ab omni peccato* [1]. Nomen igitur hirci immolati Dominus. Et sorte illi obtigit, ut immolaretur, eratque sanctum et sacrum sacrificium, Christi figuram gerens, qui non pro se, sed pro nobis, ut dixi, mortuus est, et Ecclesiam sanguine proprio sanctificavit. *Immolabit* enim, inquit, *hircum qui est pro peccato, qui est pro populo, coram Domino, et inferet de sanguine ejus interius velum, et asperget sanguinem ejus in propitiatorium.* Ingressus enim est Christus in Sancta sanctorum, non per sanguinem hircorum et taurorum, sed per proprium sanguinem æterna redemptione inventa, et sanctificans, ut dixi, verius tabernaculum, id est Ecclesiam, et omnes, qui in ea sunt. Sic enim scribit divus Paulus: *Quapropter et Jesus, ut proprio sanguine populum sanctificaret, extra portam passus est* [2]. Vide rursus Emmanuelem mortuum carne, quo mortem et peccatum everteret. Erat enim apud inferos liber, id est non peccatis obnoxius, nec nostræ condemnationi. Idque in altero hirco perspicimus, qui vivus emittitur. Constat enim ipsum, cum pateretur ut homo, non esse passum ut Deum, cumque esset mortuus carne, fuisse tamen morte præstantiorem, neque, ut Judæi suspicabantur, nobiscum in monumento mansisse, aut intra portas inferni, aliorum more captivum fuisse. Nam, ut ejus ait discipulus: *Non est relicta anima ejus in inferno, neque caro ejus vidit corruptionem* [3]; spolians enim infernum revixit. Illud animadverte, cum prior hircus immolatus sit, alterum ubique vivum nominari. Erat enim in utroque figuratus solus Filius, et Dominus Jesus Christus, ut qui carne sit passus propria, et procul tamen abfuerit, ut pateretur, ut qui mortuus sit, et mortem superaverit. Vivebat enim Verbum Dei, licet sancta ipsius caro mortem gustarit. Et mansit impatibile, licet id, quod sanctum ipsius corpus patiebatur, sibi proprium faceret, et ad se ipsum referret. *Adducet enim*, inquit, *hircum viventem, et imponet Aaron manus suas super caput hirci viventis, et confitebitur omnes iniquitates filiorum Israel, et imponet ipsas super caput hirci viventis.*

A τὸς ἐγεύσατο θανάτου, καὶ τῆς ἁπάντων ζωῆς ἀντάλλαγμα τὴν ἑαυτοῦ ψυχὴν ἐποιήσατο, καὶ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ πάντες Θεῷ ζήσωσιν ἁγιαζόμενοί τε καὶ ζωοποιούμενοι διὰ τοῦ αἵματος αὐτοῦ, δικαιούμενοί τε δωρεὰν τῇ αὐτοῦ χάριτι. Ὡς γάρ φησιν ὁ μακάριος Εὐαγγελιστὴς Ἰωάννης, *Τὸ αἷμα Ἰησοῦ Χριστοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας*. Ὄνομα δὴ οὖν τῷ σφαζομένῳ χιμάρῳ Κύριος, καὶ κληρωτὴν ἐδέχετο τὴν σφαγὴν, ἅγιόν τε θῦμα καὶ ἱερὸν ἦν εἰς τύπον Χριστοῦ, οὐ δι' ἑαυτὸν ἀποθνήσκοντος, ἀλλ' ὑπὲρ ἡμῶν, ὡς ἔφην, καὶ ἁγιάζοντος τὴν Ἐκκλησίαν τῷ ἰδίῳ αἵματι. *Σφάξει γὰρ τὸν χίμαρον*, φησὶ, *τὸν περὶ ἁμαρτίας, τὸν περὶ τοῦ λαοῦ, ἔναντι Κυρίου, καὶ εἰσοίσει τοῦ αἵματος αὐτοῦ ἐσώτερον τοῦ καταπετάσματος, καὶ ῥανεῖ τὸ*
B *αἷμα αὐτοῦ ἐπὶ τὸ ἱλαστήριον*. Εἰσῆλθε γὰρ ὁ Χριστὸς εἰς τὰ Ἅγια τῶν ἁγίων, οὐ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος αἰωνίαν λύτρωσιν εὑράμενος, καὶ ἁγιάζων, ὡς ἔφην, τὴν ἀληθεστέραν σκηνὴν, τουτέστι τὴν Ἐκκλησίαν, καὶ ἅπαντας δὲ τοὺς ἐν αὐτῇ. Γράφει γοῦν ὁ θεσπέσιος Παῦλος, *Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ τῷ ἰδίῳ αἵματι τὸν λαὸν, ἔξω τῆς πύλης ἔπαθεν*. Ὅρα δὲ πάλιν γενόμενον μὲν ἐν θανάτῳ τὸν Ἐμμανουὴλ σαρκὸς, πλὴν ἐπὶ θανάτου λύσει καὶ ἁμαρτίας. Ἦν γὰρ ἐν νεκροῖς ἐλεύθερος, τουτέστιν ἀνάλωτος ἁμαρτίαις, καὶ οὐκ ἔνοχος τῇ μεθ' ἡμῶν δίκῃ. Καὶ τοῦτο κατίδωμεν ἐν τῷ ἑτέρῳ χιμάρῳ τῷ ζῶντι καὶ ἀφιεμένῳ. Ἀθρητέον γὰρ αὐτὸν ἐν τῷ παθεῖν ἀνθρωπίνως, ἢ
C πάσχοντα θεϊκῶς, καὶ ἐν τῷ τεθνάναι σαρκὶ θανάτου κρείττονα, καὶ οὐ κατὰ τὴν Ἰουδαίων ὑπόνοιαν ἀπομείναντα μεθ' ἡμῶν ἐν μνήματι, καὶ κάτοχον γεγονότα ταῖς ᾅδου πύλαις τοῖς ἄλλοις ὁμοῦ. Ὡς γὰρ ὁ αὐτοῦ φησι μαθητὴς, *Οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου, οὔτε ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν. Ἀνεβίω γὰρ σκυλεύσας τὸν ᾅδην*. Βλέπε δὲ, ὅτι, καίτοι τοῦ πρώτου σφαγέντος χιμάρου, ζῶντα πανταχοῦ τὸν ἕτερον ὀνομάζει. Ἦν γὰρ, ὡς ἔφην, ἐν ἀμφοῖν γραφόμενος ὁ εἷς καὶ μόνος Υἱὸς, καὶ Κύριος Ἰησοῦς Χριστὸς, ὡς ἐν πάθει σαρκὸς ἰδίας καὶ ἔξω πάθους ὡς ἐν θανάτῳ, καὶ ὑπὲρ θάνατον. Ἔζη γὰρ ὁ τοῦ Θεοῦ Λόγος, καὶ γευσαμένης θανάτου τῆς ἁγίας αὐτοῦ σαρκὸς, καὶ μεμένηκεν ἀπαθὴς, καίτοι τοῦ ἰδίου σώματος τὸ πάθος οἰκειούμενος, καὶ εἰς ἑαυτὸν ἀναφέρων αὐτό. *Προσάξει γὰρ τὸν χίμαρον τὸν ζῶντα*, φησὶ, *καὶ ἐπιθήσει Ἀαρὼν τὰς χεῖρας αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ χιμάρου τοῦ ζῶντος, καὶ ἐξαγορεύσει ἐπ' αὐτοῦ πάσας τὰς ἀνομίας τῶν υἱῶν Ἰσραὴλ, καὶ ἐπιθήσει αὐτὰς ἐπὶ τὴν κεφαλὴν τοῦ χιμάρου τοῦ ζῶντος.*

Anastasii monachi Sinaitæ, ex libro, qui « Viæ dux » inscriptus est, testimonia, quæ proferunt Theodosiani, et quicunque cum illis consentientes Filii divinitatem conantur esse patibilem demonstrare. Ex quo vocati sunt Theopaschitæ. Et hi quoque sunt pars Monophysitarum, qui unam tantum in Christo naturam esse contendunt.

D Ἀναστασίου μοναχοῦ τοῦ Σιναΐτου ἐκ τῆς βίβλου τῆς καλουμένης Ὁδηγοῦ χρήσεις, ἃς προσφέρουσι Θεοδοσιανοὶ, καὶ ὅσοι τούτοις ὁμόφρονες, βουλόμενοι δεῖξαι παθητὴν τὴν τοῦ Υἱοῦ θεότητα, οὓς διὰ τοῦτο Θεοπασχίτας προσηγόρευσαν· μέρος δὲ τῶν Μονοφυσιτῶν καὶ οὗτοι.

Apostoli.

« Si enim cognovissent, nunquam Dominum gloriæ crucifixissent [4]. »

Τοῦ Ἀποστόλου.

« Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. »

[1] I Joan. I, 7. [2] Hebr. XIII, 12. [3] Act. II, 31. [4] I Cor. II, 8.

Τοῦ ἁγίου Ἰγνατίου ἐπισκόπου Ἀντιοχείας. A

Ἐάσατέ με μιμητὴν γενέσθαι τοῦ πάθους τοῦ Θεοῦ μου.

Τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου.

Ὀλίγαι ῥανίδες αἵματος Θεοῦ κόσμον ὅλον ὑγίασαν.

Ἰουλίου Ῥώμης.

Ἰουδαῖοι τὸ σῶμα σταυρώσαντες, τὸν Λόγον ἀπέκτειναν.

Τοῦ ἁγίου Κυρίλλου κατὰ Νεστορίου.

Θεοῦ τὸ πάθος, Θεοῦ ὁ σταυρὸς, Θεοῦ ὁ θάνατος. Θεοῦ ἡ ἀνάστασις.

Μελίτωνος Σάρδεων.

Ὁ Θεὸς πέπονθεν ὑπὸ δεξιᾶς Ἰσραηλίτιδος.

Προβάλλονται δὲ καὶ ἄλλα πολλὰ τοιαῦτα· πρὸς πάντα δὲ ἡμῖν μία λύσις ἀρκέσει, φησὶν ὁ Θεολόγος Γρη- B γόριος. Μήπου τὸν λογισμὸν ὀκλάσῃς αἷμα Θεοῦ καὶ πάθος ἀκούων, καὶ θάνατον. Μήπου περιενεχθῇς ἀθέως ὡς οὐ συνήγορος. Ἐπεὶ γὰρ ἡ τοῦ Υἱοῦ καὶ Θεοῦ ὑπόστασις, αὐτὴ καὶ τοῦ προσλήμματος ὑπόστασις γέγονεν, αὐτὸς λέγεται πάντα καὶ δρᾶσαι, καὶ παθεῖν· καὶ τὰ μὲν θεῖα ἐνεργεῖν κατὰ τὴν θείαν φύσιν, τὰ δὲ ἀνθρώπινα καὶ ποιεῖν. καὶ πάσχειν κατὰ τὴν ἀνθρωπίνην φύσιν. Καὶ ἑτέρως δέ· ἐπεὶ μία τῶν δύο τοῦ Χριστοῦ φύσεων ὑπόστασις, ἀντιδιδόασιν ἀλλήλαις αὗται πολλαχῇ τῶν οἰκείων προσηγοριῶν διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν, καὶ τὴν ἐντεῦθεν ἄκραν οἰκείωσιν. Οὕτω μὲν οὖν ἑρμηνευομένου καὶ λυομένου τοῦ προβλήματος, οὐδὲν ἄτοπον ἀπαντᾷ. Κατὰ δὲ τὴν τῶν Θεοπασχιτῶν ὑπόληψιν, εἰ ὁ Υἱὸς C ἔπαθε, καὶ ἀπέθανε κατὰ τὴν θείαν ἑαυτοῦ φύσιν, δυὰς γέγονεν ἡ ἁγία Τριὰς, τοῦ Υἱοῦ ἀποθανόντος, καὶ ἦν ἄρα δυὰς μέχρι τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ. Καὶ τίς αὐτοὺς οὐκ ἐλεήσει τῆς ἀμαθίας, καὶ τοσαύτης ἀγροικίας καὶ ἀλογίας; Εἶτα τὴν μὲν ψυχὴν τοῦ προσλήμματος ἀθάνατον λέγουσι, τὸν δὲ προσλαβόντα τοῦτο Θεὸν θνητὸν, καὶ τοὺς μὲν ἀγγέλους ἀθανάτους, τὸν Δημιουργὸν δὲ καὶ Δεσπότην αὐτῶν θνητόν.

Χρὴ παραθεῖναι τούτοις κατὰ τοῦ μεγάλου Ἀθανασίου πρὸς τοὺς λέγοντας, ὅτι ἔπαθεν ἀπαθῶς ὁ Λόγος.

Πρὶν ἀκούσω τὸ *ἔπαθε*, φεύγει τῆς διανοίας τὸ *ἔπαθεν*. Ἐπαγόμενον γὰρ τὸ *ἀπαθῶς* οὐκ ἐᾷ μένειν τὸ ἔπαθε. Στάσιν ὁ λόγος ἄστατον ἔχει. Εἰ ἔπαθε, πῶς ἀπαθῶς; Εἰ ἀπαθῶς, πῶς ἔπαθε; Λα- D λήσωμεν ἀλαλήτως, ἵνα νοηθῇ ἀνοήτως; Τίς εἶδε πίπτοντα ἀπτώτως; ἐγειρόμενον ἀνεγέρτως; πονοῦντα ἀπόνως; φρονοῦντα ἀφρόνως; ὠφελούμενον ἀνωφελῶς; λυόμενον ἀλύτως· ἵνα δέξωμαι τὸ ἔπαθεν ἀπαθῶς; Τίς ἡ τῆς ἀφροσύνης ἐπίστασις, τίς ἡ τῆς ἀνοίας παραπληξία, περὶ μυστηρίου φρικωδεστάτου φέρειν ῥήματα γέλωτα πλατὺν ἐργαζόμενα; λόγον ἐπαγγέλλεσθαι, καὶ ἀλογίαν προβάλλεσθαι; ἀπόκρισιν διδόναι τοῦ μὴ δοῦναι; ἀσαφεστέραν ἑρμηνείαν παρέχειν μείζονος ἀπορίας μητέρα; Πῶς οὐδεὶς τῶν ἁγίων εἰς τοσοῦτον ὕψος θεωρίας ἀναδραμεῖν, ἢ εἰπεῖν ἐδυνήθη τὸ πολυθρύλλητον ἐκεῖνο ῥῆμα, Ἔπαθεν ἀπαθῶς; Παῦλος ὁ εἰς τρίτον οὐρανὸν ἀνελθὼν, καὶ τῶν ἀῤῥήτων ἐν παραδείσῳ ῥημάτων ἀκού-

Sancti Ignatii Antiochiæ episcopi.

Sinite me Domini mei cruciatum et mortem imitari.

Sancti Gregorii Theologi.

Paucæ guttæ sanguinis Dei mundum sanctificarunt universum.

Julii Romæ pontificis.

Judæi corpus crucifigentes, Verbum occiderunt.

Sancti Cyrilli adversus Nestorium.

Dei cruciatus, Dei crux, Dei mors, Dei resurrectio.

Melitonis Sardorum episcopi.

Deus passus est a dextera Israelitica.

Objiciunt et alia multa his similia, ad quæ quidem omnia confutanda unica satis erit responsio: Vide, inquit Gregorius ille Theologus, ne sanguinem Dei et cruciatus audiens, ullo modo rationem inflectas, neve ut Dei patronus impie supereris. Nam quia Filii et Dei persona facta est etiam assumptæ carnis persona, ipse dicitur omnia facere et pati, atque illa quidem, quæ divina sunt, natura divina perficere, ea vero quæ sunt humana, et agere et pati natura humana. Et aliter: quoniam una est duarum Christi naturarum persona, ipsæ sibi vicissim suas sæpe communicant appellationes propter personæ conjunctionem et summam ex illa necessitudinem. Quamobrem si quæstio sic exponatur, nullum incommodum consequetur. At si, ut Theopaschitæ opinantur, Filius sua ipsius natura divina passus et mortuus est, Filio mortuo Trinitas ad dualitatem redacta est. Et dualitas fuit quousque resurrexit a mortuis. Quis absurdam et agrestem istorum stultitiam non misereatur, qui animam quidem assumptam immortalem, eum vero qui illam assumpsit, mortalem; angelos immortales, angelorum autem procreatorem et Dominum mortalem asserant?

Illis adjicienda sunt ea quæ Magnus Athanasius in eos dicit, qui Verbum ratione impatibili dicunt esse passum.

Antequam audiam illud, *Passus est*, cogitationem effugit. Cum enim adjiciant, *ratione impatibili*, non sinit consistere, passus est. Oratio statum habet instabilem. Si passus est, quomodo ratione impatibili? Si ratione impatibili, quomodo passus est? Magno loquemur clamore, ut insipienter intelligatur? Quis vidit aliquem non labentem labi, non surgentem surgere, non laborantem laborare, insipientem sapere, non adjuvantem juvare, non solventem solvere, ut illud etiam admittamus: Impatibili ratione passus est? Quæ stultitiæ magnitudo est, qui mentis stupor, de mysterio maxime venerando disserentem, verba quæ magnum moveant risum, pronuntiare? rationem afferre, quæ te rationis expertem indicet? ita respondere, ut insipientius agas, quam si nihil omnino respondeas? interpretationem afferre, quæ majorem pariat dubitationem? Cur nemo sanctorum ad tantam contemplationis

sublimitatem ascendit? Cur dicere non potuit verbum illud celebratissimum: Impatibili ratione passus est? Paulus, qui tertium in cœlum sublatus, in paradiso audivit arcana verba, non dixit: Impatibili ratione passus est: sed, *Didicit*, inquit, *ex quibus passus est*[1]. *Et tentatus per omnia, ad similitudinem, sine peccato*[2]. Dicens, *per omnia, ad similitudinem, sine peccato tentatus*, istiusmodi verborum nugas procul removit. Qui enim per omnia tentatus est ad similitudinem, aut non impatibili ratione passus est, ut servaret illud: *per omnia, ad similitudinem*, aut alios etiam impatibili ratione passos ostendit, ut similitudinem cum illis conservaret. Quapropter aut confiteri oportet Servatorem vere passum esse, aut alios item ratione passos impatibili, quorum ad similitudinem tentatus dicitur. Jam quæ patientiæ demonstratio, si impatibili ratione passus est? Quomodo vocatur patientia Christi, si dolorum sensum non habuit? Quomodo ineffabilis atque incomparabilis ejus ergà nos ostenditur benevolentia, si sine dolore cruciatus mortemque pertulit? Quis non eligat pati non solum pro amicis, verum etiam pro inimicis, si ratione pati licet impatibili? Cur dixit Dominus: *Spiritus quidem promptus est, caro autem infirma*[3], si sine dolore cruciatus et mortem erat subiturus? Cur ad Patrem clamavit: *Pater*, inquiens, *si fieri potest, transeat a me calix iste*[4]? Cur vota precesque cum clamore magno et lacrymis fudit ad eum, qui servare ipsum poterat a morte? Omnia igitur vera credenda sunt, et vera mors existimanda. Aut si sine dolore passus dicitur, necesse est ut figuram, et opinionem, et fictionem omnia fuisse existimemus. Quod si vere passus non est, ne quidem resurrexit; si mortem non vere gustavit, nec vere quidem mortis aculeos exstinxit. Adhuc sumus in peccatis nostris. Adhuc mors omnibus dominatur. Adhuc hæreditatis expertes sumus. Nam si mors fictitia, et testamentum falsum, et hæreditas non vera. Hæc nobis declarat lex: *Testamentum*, inquit, *in mortuis confirmatur*[5]. Quare si non est mortuus vere, qui testamentum nobis novum instituit, irrita sunt, quæ testamento continentur. Qui scripti sunt hæredes, rejiciuntur. Verum abeant istæ nugæ, vir bone. Nam et testator vere mortuus est, et testamentum est confirmatum, et hæreditas credentibus datur, et calumniantibus paratum est supplicium.

A σας οὐκ εἶπεν, Ἔπαθεν ἀπαθῶς, ἀλλ', *Ἔμαθε*, φησὶν, *ἀφ' ὧν ἔπαθε, καὶ πεπειραμένος κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας*. Εἰπὼν οὖν *κατὰ πάντα καθ' ὁμοιότητα πεπειραμένος*, πόῤῥωθεν ἀνεῖλε τῶν τοιούτων λόγων τὴν ληρωδίαν. Ὁ γὰρ κατὰ πάντα πεπειραμένος καθ' ὁμοιότητα ἢ πέπονθεν οὐκ ἀπαθῶς, ἵνα φυλάξῃ τὸ κατὰ πάντα καθ' ὁμοιότητα, ἢ καὶ τοὺς ἄλλους δείκνυσι παθόντας ἀπαθῶς, ἵνα σώσῃ τὴν πρὸς αὐτοὺς ὁμοιότητα. Ὥστε ἢ καὶ τὸν Σωτῆρα πεπονθέναι ἀληθῶς ὁμολογητέον, ἢ καὶ τοὺς ἄλλους ἀπαθῶς πεπονθέναι, ὧν καθ' ὁμοιότητα πεπειραμένος ὁ Δεσπότης κηρύσσεται. Τίς δὲ καὶ ὑπομονῆς ἀπόδειξις ἐκ τοῦ παθεῖν ἀπαθῶς; Πῶς λέγεται ὑπομονὴ τοῦ Χριστοῦ, εἰ μὴ πόνων αἴσθησιν ἔλαβε; Πῶς δὲ δείκνυται ἡ ἄφραστος καὶ B ἀπαράκλητος περὶ τοὺς ἀνθρώπους φιλοστοργία, εἰ δίχα πόνου τὸ πάθος ἐγένετο; Τίς οὐχ αἱρεῖται παθεῖν οὐ μόνον ὑπὲρ φίλων, ἀλλ' ἤδη καὶ ὑπὲρ ἀντιδίκων, εἴπερ ἔξεστι παθεῖν ἀπαθῶς; Τοῦ δὲ χάριν ἔλεγεν ὁ Δεσπότης, *Τὸ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής*, εἴπερ ἔμελλεν ἀναλγήτως τὸ πάθος προσίεσθαι; Ἱνατί πρὸς τὸν Πατέρα ἐβόα, *Πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο*; Τίνος δὲ ἕνεκεν εὐχὰς καὶ ἱκετηρίας μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου προσέφερεν; Ἢ γοῦν πάντα ἀληθῆ πιστευτέον, καὶ τὸ πάθος ἀληθινὸν λογιστέον, ἢ τοῦ πάθους ἀπαθῶς γεγενῆσθαι λεγομένου, σχῆμα ἀνάγκη, καὶ δόκησιν, καὶ φαντασίαν πάντα λογίζεσθαι. Εἰ οὖν οὐ πέπονθεν ἀληθῶς, οὐδὲ ἀνέστη C ἀληθῶς. Εἰ μὴ ὄντως ἐγεύσατο θανάτου, οὐδὲ τὰ κέντρα ἔσβεσε τοῦ θανάτου. Ἔτι ἐσμὲν ἐν ταῖς ἁμαρτίαις ἡμῶν, ἔτι βασιλεύει πάντων ὁ θάνατος, ἔτι τῆς κληρονομίας ἀλλότριοι καθεστήκαμεν. Εἰ γὰρ ὁ θάνατος ἀπατηλὸς, καὶ ἡ διαθήκη ψευδὴς, καὶ ἡ κληρονομία οὐκ ἀληθής. Νόμος ἡμῖν ταῦτα διαγορεύει· *Διαθήκη*, φησὶν, *ἐπὶ νεκροῖς βεβαία*. Εἰ οὖν οὐ τέθνηκεν ὄντως ὁ τὴν καινὴν Διαθήκην πρὸς ἡμᾶς διαθέμενος, ἄκυρα τὰ τῆς Διαθήκης, ἀπόβλητοι οἱ λεγόμενοι κληρονόμοι. Ἀλλ' ἄπαγε τῆς τοιαύτης φλυαρίας, ὦ ἄνθρωπε. Καὶ ὁ διαθέμενος τέθνηκε, καὶ ἡ Διαθήκη κεκύρωται, καὶ ἡ κληρονομία τοῖς πιστεύουσι πρόκειται, καὶ ἡ τιμωρία τοῖς συκοφάν- D ταις ἡτοίμασται.

Ejusdem adversus illos qui dicunt, Passus est, ut ipse voluit.

Cum patibilem non possent naturam ostendere, voluntatem non sunt veriti calumniari. Atque ita cum de natura ab illis quæritur, respondent de voluntate. Si natura passa est, locum voluntas habeat. Licet enim millies voluntas concedatur, naturæ lex inverti non potest. Nonne insani hominis est dicere: Passus est, ut ipse voluit? Quis enim sanus ignoret esse necessarium, ut naturam voluntas sequatur? non autem ut illa unam in partem

Τοῦ αὐτοῦ πρὸς τοὺς λέγοντας, ὅτι ἔπαθεν ὁ Θεὸς, ὡς ἠθέλησεν.

Μὴ δυνάμενοι δεῖξαι τὴν φύσιν παθητὴν, τὴν βούλησιν συκοφαντῆσαι οὐκ ὤκνησαν. Καὶ περὶ φύσεως ἐρωτώμενοι, περὶ βουλήσεως ἀπεκρίναντο. Εἰ δεκτικὴ πάθους ἡ φύσις, ἐχέτω χώραν ἡ βούλησις. Εἰ δὲ, κἂν μυριάκις δοθείη τὸ θέλειν, ἀμήχανον ἀνατραπῆναι φύσεως νόμον· πῶς οὐ μανία τὸ λέγειν, Ἔπαθεν, ὡς ἠθέλησεν; Ἢ τίς τῶν εὖ φρονούντων οὐκ οἶδεν, ὅτι σύμφωνον δεῖ τῇ φύσει τὴν βούλησιν εἶναι, καὶ οὐ τὴν μὲν πρὸς ἄλλο ῥέπειν, τὴν δὲ πρὸς

[1] Hebr. v, 8. [2] Hebr. iv, 15. [3] Matth. xxvi, 41. [4] Ibid. [5] Hebr. ix, 17.

ἕτερον σπεύδειν, ἀλλὰ μένειν μὲν τὴν φύσιν ἐν τοῖς ἰδίοις ὅροις, θέλειν δὲ τὴν βούλησιν ὃ πρέπει τῇ φύσει καὶ σύνεστιν; Ὡς εἴ τις ἄλλο μὲν ταύτην ἔχειν λέγοι, ἄλλο δὲ θέλειν ἐκείνην, μάχην ἐπεισάγει καὶ πόλεμον, τῆς μὲν ἐγχειρούσης εἰς ἃ μὴ δεῖ, τῆς δὲ δεχομένης ὅσα μὴ πέφυκε. Τὸ πάσχειν πεφυκὸς, καὶ θέλον, καὶ μὴ θέλον τῷ πάσχειν ὑπόκειται. Τὸ δὲ τοῦ πάσχειν κατὰ φύσιν ἐκτὸς, κἂν τις συγχωρήσῃ τὸ θέλειν, ὅπερ οὐχ οἷόν τε, τίς πείσει δέξασθαι, ὅπερ οὐ πέφυκεν; Πᾶν γένος ζώων φυλάσσει τὸν τῆς οἰκείας οὐσίας νόμον ἀσάλευτον, καὶ ὡς γέγονεν ἀπ' ἀρχῆς, οὕτω διαιτᾶται διὰ παντὸς, καὶ οὐδαμοῦ τὸ θέλειν ἀνατρέπει τὴν τάξιν. Κἂν μυριάκις ἄνθρωπος θέλῃ γενέσθαι πτηνὸν, ἀργεῖ τὰ τῆς βουλήσεως, ἐπειδὴ νικᾷ τὰ τῆς φύσεως· κἂν θελήσῃ ψυχὴν λογικὴν ἔχειν ἕν τι τῶν ἀλόγων, γελᾶται τὸ θέλειν, οὐ πληροῦται τὸ ἔργον. Εἶτα πᾶσα μὲν φύσις ἔχει τὸ ἀτυράννητον, καὶ κρείττων ἐστὶ πάσης ἐναντίας βουλήσεως, μόνη δὲ ἡ ἄτρεπτος τοῦ Θεοῦ καὶ ἀθάνατος οὐσία δέχεται βούλησιν ἐναντίαν, καὶ ἡττᾶται τῇ τῆς θελήσεως ἀνάγκῃ; Ὢ τοῦ θαύματος! ἡ πᾶσαν οὐσίαν ἐν τοῖς οἰκείοις ὅροις φυλάττουσα, αὐτὴ τῶν τῆς ἀπαθείας ὅρων οὕτω ῥᾳδίως ἐξίσταται. Καὶ οὐδὲν τοσοῦτον ὁ κτίσας ἅπαντα ἔχει, ὅσον τοῖς κτίσμασι δέδωκεν. Οὔτε τὸ *ἔπαθεν* ὁ Θεὸς εἴρηται, οὔτε τὸ *ὡς ἠθέλησε* γέγραπται. Ὅτι ἐποίησεν ὅσα ἠθέλησεν ἀκηκόαμεν, ὅτι δὲ ἔπαθεν, ὡς ἠθέλησεν, οὐδαμοῦ μεμαθήκαμεν. Τί οὖν ἀδήλου βεβαίωσιν τὸ ἄδηλον φέρουσι; Ταῦτα προσθήκη τῆς ἀπονοίας, οὐκ ἀπόδειξις ἀληθείας. Ἀλλ' ἔπαθεν ὁ Δεσπότης Χριστὸς κατὰ τὴν θνητὴν σάρκα, οὐ κατὰ τὸν Θεὸν Λόγον.

A inclinet, hæc autem aliam in partem contendat, sed potius ut natura propriis in terminis maneat, voluntas autem velit quod naturæ convenit et congruens est? Quod si quis aliud illam habere, aliud hanc velle dixerit, pugnam et bellum introducet, cum et voluntas ea cupiat, quæ non oportet, et natura suscipiat, quæ non debet. Quod patiendi naturam habet, seu velit, seu nolit, patiendi conditioni obnoxium est. Quod autem a patiendi conditione natura remotum est, licet aliquis concedat velle, quod tamen fieri nequit, quis ipsum adducet, ut suscipiat id a quo natura alienum est? Omne animantium genus essentiæ propriæ legem servat inviolabilem; et quemadmodum B ab initio natum est, ita perpetuo vivit, et nullo pacto voluntas ordinem mutat. Licet millies homo velit habere alas, voluntas tamen illius erit inanis. Natura enim superior est. Item si quod animalium ratione carentium velit animam habere ratione præditam, voluntas ejus irrideatur, non re expleatur. Præterea cum omnis natura libera sit, præstantiorque omni contraria voluntate, Dei natura, quæ sola est immutabilis et immortalis, voluntatem contrariam habebit, et succumbet voluntatis necessitati? O rem admirandam! Ea natura, quæ naturas omnes propriis in terminis conservat, ipsa ex impatibilitatis terminis ita facile decidit; et qui res omnes procreavit, ne tantum quidem habet, quantum illis est elargitus. Neque dictum C est: *Passus est Deus.* Neque scriptum est: *Ut voluit.* Audivimus eum fecisse, quæcunque voluit. Passum autem esse, ut voluit, nusquam didicimus. Cur quod incertum est, ad rem incertam probandam afferunt? Hæc dementiæ sunt argumenta, non veritatis testimonia. Passus est Christus Dominus, non divinitate Verbi, sed carne mortali.

Τοῦ αὐτοῦ πρὸς τοὺς λέγοντας, Ἔπαθεν ὁ Θεὸς Λόγος σαρκί.

Πάλιν ἐνταῦθα πολὺ μὲν τὸ ἄλογον, πολὺ δὲ πλέον τὸ ἄτοπον. Ἀλογίας μὲν γὰρ λέγειν ἕτερον ἑτέρῳ πάσχειν, ἀτοπίας δὲ τὸ ἔπαθεν ὁ Λόγος. Ὅπερ γυμνὸν προκαλύμματος εἰπεῖν οὐ τολμῶντες, ἐπήγαγον τὸ *σαρκί*· καθάπερ πρόσωπον αἰσχρὸν τὸ ἀπρεπὲς τοῦ φρονήματος δολερῷ προσωπείῳ περικαλύπτοντες. Εἰ ὁ Λόγος ἔπαθεν, ἑαυτῷ ἔπαθεν. Εἰ δὲ ἕτερον τὸ παθὸν, οὐδὲν πρὸς τὸν Λόγον. Τὸ δὲ λέγειν, Ὁ Λόγος ἔπαθε σαρκὶ, ἄγραφον, ἀνοίκειον, ἀσύστατον, ἀνακόλουθον. Οὔτε τὸ παθητὸν ἑτέρῳ πάσχει, οὔτε τὸ ἀπαθὲς δι' ἑτέρου πάσχει. Οὔτε ὁ Λόγος παθητὸς τῇ σαρκὶ, οὔτε ἡ σὰρξ ἀπαθὴς τῷ Λόγῳ, ἀλλὰ καὶ ἡ σὰρξ κατὰ τὴν οἰκείαν φύσιν τὸ πάθος προσίεται, καὶ ὁ Λόγος ἀχώριστον τῆς οἰκείας οὐσίας ἔχει τὸ ἀπαθές. Εἰ οὖν οὗτος τῇ σαρκὶ πάσχει, περὶ τῆς σαρκὸς τί ἂν εἴποιμεν; πάσχει τῷ Λόγῳ, ἢ οὐ πάσχει; Εἰ μὲν οὐ πάσχει, ταύτῃ τὸ ἀπαθὲς ἐχαρίσθη· εἰ δὲ πάσχει, τῶν δύο τὸ πάθος κατεψηφίσατο, εἴπερ, καθώς φασιν, ὁ μὲν Λόγος πάσχει τῇ σαρκὶ, ἡ δὲ σὰρξ πάσχει τῷ Λόγῳ. Ἀλλ' ἴσως ἐροῦσι, Πῶς οὖν εἴρηται, *Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα;* Λέγε Χριστὸν παθόντα, καὶ σύνδρομον εὑρήσεις τὸ ὄνομα

[1] Rom. IX, 5.

Ejusdem adversus eos, qui dicunt: Passus est Deus Verbum carne.

Hæc rursum vehementer a ratione abhorrentia atque absurda. Abhorret enim a ratione dicere, unum alio pati. Absurdum est autem dicere Verbum esse passum. Quod tamen nudum non sunt ausi pronuntiare: itaque addiderunt *carne*, sententiam ineptam tanquam turpem faciem fallaci persona contegentes. Si Verbum est passum, seipso D passum est; sin aliud passum est, nihil ad Verbum. Dicere autem Verbum esse passum carne, nec scriptum est, nec proprium, nec firmum, nec consentaneum. Nec quod patibile est, alio patitur. Nec quod impatibile, per aliud patitur. Nec Verbum est carne patibile; nec caro impatibilis Verbo. Sed et caro natura propria patitur, et naturæ Verbi proprium est, ut non patiatur. Nam si Verbum carne patitur, quid de ipsa carne dicemus? eam pati Verbo, an non pati? Si non patitur, ei donatum est ut non patiatur. Sin patitur, duo patiuntur; si quidem, ut ipsi aiunt, Verbum carne patitur, et caro patitur Verbo. At quomodo, inquient fortasse, dictum est: *Ex quibus Christus secundum carnem*[1]? Dic Christum esse passum, et oratio erit consen-

tanea. Nam qui Deum Verbum dicit, simplicem naturam significat. Qui vero Christum nominat, duarum indicat naturarum conjunctionem. Atque ita congrue potest dicere : Passus est Christus, quoniam hoc nomen duo significat, nempe Verbum impatibile, et carnem patibilem, quæ mortem gustavit. Quando nec Paulus dixit : Ex quibus nudus Deus, sed, *ex quibus Christus secundum carnem*, ut declararet id quod memoravimus, secundum carnem quidem ex Israelitis, secundum divinitatem vero ex Patre sempiterno. Non dixit : Ex quibus Deus secundum carnem. Idem dic etiam, et assentiemur Christum esse passum secundum carnem. At si dixeris· Passus est Deus carne, aperte doceas me utrum idem sit Deus, et caro, an aliud atque aliud. Nam si idem, passus est Deus seipso. Idem enim esse Deum et carnem asseris. Sin aliud atque aliud, quomodo hoc illo patitur, cum omnis natura seipsa, non alia essentia patiatur? Homo non patitur equo, nec anima moritur carne, sed caro quidem solvitur, anima vero separatur. Homo autem mortuus esse dicitur, quod duo significat, animam nimirum et carnem. Et intelligitur mortuus ea parte, quæ mortem suscipit, id est carne, non autem anima, quæ est immortalis. Cur igitur nemo dicit : Hujus aut illius anima mortua est carne, sed, Hic aut ille mortuus est, qui ex anima et corpore constabat? Quoniam etiam post mortem animam indicat immortalem. Nusquam vocem hanc admittit Scriptura, at Christum esse passum ubique prædicat apertissime : *Pascha nostrum pro nobis immolatus est Christus* [1]. *Si patibilis Christus* [2], *Christus passus est pro peccatis nostris secundum Scripturas* [3]. Crux Christi, corpus Christi, sanguis Christi. Quomodo tantam testium nubem prætereunt, nec animadvertunt, sacrum illum sanctorum Patrum cœtum in concilio Nicæno statim post Dei et Patris confessionem subjecisse : *Et in unum Dominum Jesum Christum*, deincepsque pronuntiasse quæ ad nudam pertinent divinitatem, quæque ad humanitatis assumptæ dispensationem, tanquam nomen hoc solum proprie convenienter diversa complectatur, ut beatus ipse Paulus testatur : *Nemo*, inquiens, *fundamentum aliud potest ponere, præter id, quod positum est, quod est Christus Jesus* [4]. Ne relinquamus fundamentum, quod omnia vere suscipit utraque natura, tum gloriam, tum cruciatum et mortem. Si Deum solum dixeris, ubi cruciatuum constitues necessitatem? Si hominem solum dixeris, ubi incomprehensas gloriæ divitias collocabis? At Christum dicere convenit, qui divinitate quidem gloria perfruatur, humanitate vero conjuncta cruciatus mortemque sustineat, et inseparabili conjunctione omne miraculum perficiat, omne donum fidelibus largiatur. Hoc modo et divinitas ostenditur impatibilis, et veri cruciatus atque mors, et commune hominum lucrum et perspicua veritatis ratio.

τῆς σαρκός. Ὁ μὲν γὰρ εἰπὼν τὸν Θεὸν Λόγον, ἁπλῆν οὐσίαν ἐσήμανεν· ὁ δὲ προσαγορεύσας Χριστὸν, τὴν συνάφειαν τῶν δύο φύσεων ἐφανέρωσε. Καὶ οὕτως ἁρμόζειν δύναται τὸ λέγειν, Ἔπαθεν ὁ Χριστὸς, διὰ τὸ τὴν προσηγορίαν ταύτην τὰ δύο σημαίνειν ἅμα, καὶ τὸν ἀπαθῆ Λόγον, καὶ τὴν παθητὴν σάρκα τὴν γευομένην θανάτου. Ἐπεὶ καὶ Παῦλος οὐκ εἶπεν, Ἐξ ὧν γυμνὸς ὁ Θεὸς, ἀλλ', *Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων* Θεὸς, ἵνα δείξῃ τὸν μνημονευόμενον κατὰ μὲν τὴν σάρκα ἐκ τῶν Ἰσραηλιτῶν, κατὰ δὲ τὴν θεότητα ἐκ τοῦ αἰωνίου Πατρός. Μὴ εἶπεν, Ἐξ ὧν ὁ Θεὸς τὸ κατὰ σάρκα. Τὸ αὐτὸ καὶ σὺ λέγε, καὶ πείθομαι· Ἔπαθεν ὁ Χριστὸς κατὰ σάρκα. Εἰ δὲ λέγεις, Ἔπαθεν ὁ Θεὸς τῇ σαρκὶ, δίδαξόν με σαφῶς, πότερον ταυτὸν κατὰ φύσιν Θεὸς, καὶ σὰρξ, ἢ ἄλλο, καὶ ἄλλο; Εἰ μὲν ταυτὸν, ἔπαθεν ὁ Θεὸς ἑαυτῷ· ταυτὸν γὰρ τῷ Θεῷ λέγεις τὴν σάρκα· εἰ δὲ ἕτερον καὶ ἕτερον, πῶς τοῦτο ἐκείνῳ πάσχει, πάσης φύσεως ἑαυτῇ πασχούσης οὐχ ἑτέρᾳ οὐσίᾳ; Οὐ πάσχει ἄνθρωπος ἵππῳ. Οὐκ ἀποθνήσκει ψυχὴ σαρκὶ, ἀλλὰ λύεται μὲν σὰρξ, χωρίζεται δὲ ψυχή. Λέγεται δὲ, Τέθνηκεν ἄνθρωπος, τὸ τῶν δύο δηλωτικὸν ψυχῆς καὶ σαρκὸς, καὶ νοεῖται κατὰ τὸ ἐνδεχόμενον τεθνηκέναι, τουτέστι κατὰ τὴν σάρκα, οὐ κατὰ τὴν ἀθάνατον ψυχήν. Τοιγαροῦν οὐδεὶς εἶπεν ὅτι Τοῦ δεῖνος ἡ ψυχὴ τέθνηκε τῇ σαρκὶ, ἀλλ', Ὁ δεῖνα τέθνηκεν, ὁ ἐκ ψυχῆς καὶ σώματος συνεστώς; Τὴν δὲ ψυχὴν καὶ μετὰ θάνατον μηνύων ἀθάνατον, οὐδαμοῦ τῆς Γραφῆς ἡ τοιαύτη φωνή. Τὸ δὲ, Χριστὸς ἔπαθε, πανταχοῦ προδήλως κεκήρυκται· τὸ, *Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός. Εἰ παθητὸς ὁ Χριστὸς, Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς Γραφάς*. Ὁ σταυρὸς τοῦ Χριστοῦ, τὸ αἷμα τοῦ Χριστοῦ. Πῶς τοσοῦτον νέφος μαρτύρων παρατρέχουσι μὴ προσέχοντες, ὅτι καὶ τῶν κατὰ Νίκαιαν ἁγίων Πατέρων ὁ ἱερὸς καὶ μέγας χορὸς μετὰ τὴν τοῦ Θεοῦ καὶ Πατρὸς ὁμολογίαν εὐθὺς ἔταξε τὸ ὄνομα τοῦ Δεσπότου Χριστοῦ, *καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν*, εἶθ' οὕτως ἐπήγαγον τά τε ὑψηλὰ τῆς θεότητος, τά τε οἰκονομικὰ τῆς αὐτοῦ ἀνθρωπότητος, ὡς τούτου μόνου τοῦ ὀνόματος οἰκείως καὶ προσφόρως τὰ διάφορα δεχομένου κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν. *Θεμέλιον ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον*, ὅς ἐστιν *Ἰησοῦς Χριστός*. Μὴ καταλείψωμεν τὸν θεμέλιον, ὃς πάντων ἐστὶ δεκτικὸς καθ' ἑτέραν καὶ ἑτέραν φύσιν, τήν τε δόξαν τό τε πάθος ἀληθινῶς προσιέμενος. Ἐὰν εἴπῃς Θεὸν μόνον, ποῦ τῶν παθῶν ἐποικοδομήσεις τὴν χρείαν; Ἐὰν εἴπῃς ἄνθρωπον μόνον, ποῦ τῆς ἀκαταλήπτου δόξης ἐπιθήσεις τὸν πλοῦτον; Ἀλλὰ Χριστὸν λέγειν καλὸν, τῇ μὲν θεότητι τὴν δόξαν καρπούμενον, τῇ ἡνωμένῃ δὲ ἀνθρωπότητι τὸ πάθος δεχόμενον, τῇ δὲ ἀχωρίστῳ ἑνώσει πᾶν θαῦμα κατεργαζόμενον, πᾶν δῶρον τοῖς πιστοῖς χαριζόμενον. Οὕτω δείκνυται καὶ τὸ θεῖον ἀπαθὲς, καὶ τὸ πάθος ἀληθινὸν, καὶ τῶν ἀνθρώπων τὸ κέρδος κοινὸν, καὶ ὁ λόγος τῆς ἀληθείας σαφής.

[1] I Cor. v, 7. [2] Act. xxvi, 23. [3] I Cor. xv, 3. [4] I Cor. iii, 11.

ΤΙΤΛΟΣ ΙΘ' (1).

Κατὰ Ἀγνοητῶν, λεγόντων ἀγνοεῖν τὸν Υἱὸν καὶ Θεὸν τὴν ἡμέραν καὶ ὥραν τῆς παγκοσμίου συντελείας, ὡς ἐλάττω τοῦ Πατρός. Τοῦ μεγάλου Βασιλείου.

Εἰ τὴν γνῶσιν πάντων, ὧν ὁ Πατὴρ ἔχει, ὁ Υἱὸς οὐκ ἔχει, ἐψεύσατο εἰπών· *Πάντα, ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι.* Καὶ, *Καθὼς ὁ Πατήρ γινώσκει με, κἀγὼ γινώσκω αὐτόν.* Εἰ δὲ ἕτερον τὸ τὸν Πατέρα εἰδέναι, καὶ ἕτερον τὸ τὰ τοῦ Πατρὸς, μεῖζον δὲ τὸ εἰδέναι τὸν Πατέρα, καθόσον ἕκαστος αὐτὸς τῶν ἑαυτοῦ μείζων, τὸ μεῖζον εἰδώς· *Οὐδεὶς γὰρ*, φησὶν, *οἶδε τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός*· τὸ ἔλαττον οὐκ ᾔδει, ὅπερ ἀδύνατον. Διὰ τὸ μὴ συμφέρειν οὖν τοῖς ἀνθρώποις ἀκοῦσαι τὸν καιρὸν τῆς κρίσεως, παρεσιώπησεν. Ἡ μὲν γὰρ εἰσαεὶ προσδοκία θερμοτέρους περὶ τὴν εὐσέβειαν ἀπεργάζεται· ἡ δὲ τοῦ πολὺν τὸν μεταξὺ χρόνον ἔσεσθαι γνῶσις, ὀλιγωροτέρους ἂν ἐποίησεν, ἐλπίδι τοῦ καὶ ὕστερον μεταβαλομένους δυνηθῆναι σωθῆναι. Ἐπεὶ, πῶς ὁ πάντα μέχρι τῆς ὥρας ἐκείνης εἰδὼς, οὐχὶ κἀκείνην τὴν ὥραν ᾔδει; μάτην δὲ καὶ ὁ Παῦλος ἔλεγεν· *Ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώσεως ἀπόκρυφοι.* Ὥστε τῇ φύσει τῆς ἀνθρωπότητος αὐτοῦ τὴν τοιαύτην ἄγνοιαν λογιστέον.

TITULUS XIX.

Contra Agnoetas, qui aiunt Filium ut Patre minorem diem et horam ignorare consummationis mundi. Magni Basilii.

Si cognitionem omnium quæ Pater habet, non habet Filius, mentitus est, inquiens: *Omnia quæ Pater habet, mea sunt* [1] Et: *Quemadmodum cognoscit me Pater, sic ego cognosco Patrem* [2]. Sin aliud est, Patrem nosse, aliud nosse quæ Patris sunt, et majus est nosse Patrem, quam ea quæ sunt ipsius, cum unusquisque major ipse sit quam ea quæ sunt ipsius: quod majus est noscens Filius, *Nullus*, enim inquit, *novit Patrem nisi Filius* [3], id quod minus est ignoravit. Hoc autem fieri non potest. Reticuit igitur, quoniam hominibus judicii tempus scire non expediebat. Nam assidua exspectatio illos ad pietatem excolendam promptiores reddit. Quod si longum temporis spatium intercessurum cognovissent, negligentiores effecti essent, sperantes fore, ut post etiam, si resipiscerunt, placerent. Nam qui fieri potest, ut eum illa hora lateat, qui usque ad ipsam horam novit omnia? Frustra præterea dixisset Apostolus: *In quo sunt omnes thesauri sapientiæ et cognitionis reconditi* [4]. Dicendum ergo hujusmodi ignorantiam ad humanitatem pertinere.

ΤΙΤΛΟΣ Κ' (2).

Κατὰ Ὠριγένους,

Ἀσώματον πρὸ τῆς παραβάσεως κτισθῆναι τὸν πρωτόπλαστον δογματίσαντος, μετὰ δὲ τὴν ἔκπτωσιν τοὺς δερματίνους αὐτῷ περιτεθῆναι χιτῶνας ἤτοι τὴν σάρκα· προϋπάρχειν τε τὴν ψυχὴν τοῦ σώματος, καὶ τὴν αὐτὴν ψυχὴν πολλὰ σώματα μετενδύεσθαι· καὶ τέλος ἔχειν τὰς μετὰ τὴν κοινὴν ἀνάστασιν κολάσεις· καὶ τοὺς δαίμονας ἀποκατασταθῆναι πάλιν εἰς τὴν προτέραν τάξιν· καὶ τοὺς ἁμαρτωλοὺς ἀνθρώπους δικαιωθῆναι· καὶ μὴ ἀνίστασθαι τὰ σώματα τῶν ἀποθνησκόντων· καὶ παυθῆναί ποτε τὴν τοῦ Χριστοῦ βασιλείαν· καὶ ἄλλα τινὰ ληρήσαντος.

Εἰ ἀσώματος ἦν πρὸ τῆς παραβάσεως ὁ πρωτόπλαστος, πῶς ἔλεγεν, ἰδὼν τὴν γυναῖκα προσαχθεῖσαν αὐτῷ· *Τοῦτό μου ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου;* Ἰδοὺ γὰρ, σαφῶς πρὸ τῆς παραβάσεως καὶ ὀστᾶ καὶ σάρκα φαίνεται κεκτημένος. Τοῦτο οὖν καὶ ὁ Θεολόγος Γρηγόριος εἰδὼς, «Καὶ τοὺς δερματίνους, φησὶν, ἀμφιέννυται χιτῶνας, τὴν παχυτέραν ἴσως σάρκα, καὶ θνητὴν, καὶ ἀντίτυπον·» διδάσκων, ὡς εἶχε μὲν καὶ πρότερον σάρκα, λεπτοτέραν δὲ καὶ μέσην ἀθανασίας καὶ θνητότητος, καὶ μαλακωτέραν· ἐκόλασε δὲ τὸν λόγον διὰ τοῦ *Ἴσως*.

Εἰ τῶν πρός τι ψυχὴ καὶ σῶμα· ψυχὴ γὰρ, σώματός ἐστι ψυχὴ, καὶ σῶμα, ψυχῆς ἐστι σῶμα· τὰ δὲ πρός τι, τῶν ἅμα οὐδέτερον ἑτέρου προϋπάρχον ἢ μεθυπάρχον ἐστίν.

Εἰ οὐκ ἔστιν ἐπὶ ψυχῆς καὶ σώματος προΰπαρξις ἢ μεθύπαρξις, οὐδὲ μετενσωμάτωσις τῆς μιᾶς ψυχῆς, ἤγουν μετεγγισμὸς ἔσται. Πυθαγόρειος δὲ τοῦτο φλυαρία, καὶ πάσης τῆς θείας Γραφῆς ἀλλότριον. Ἡ

TITULUS XX.

Contra Origenem,

Qui incorporeum ante lapsum creatum esse primum hominem statuit, post lapsum autem pelliceas vestes, id est corpus, induisse; animam ante corpus exsistere, eamdemque animam multis corporibus amiciri; finem habituras esse post resurrectionem generalem pœnas; dæmones in pristinum statum restitutum iri; homines peccatores justificatum iri; corpora mortuorum haud resurrectura esse; Christi regnum aliquando finem habiturum, et alia quædam nugatus est.

Si primus homo incorporeus fuisset ante lapsum, quomodo, conspecta muliere ad ipsum adducta, dixisset: *Hoc os ex ossibus meis, et caro e carne mea* [5]? Videlicet luculenter ante lapsum et ossa et carnem habuisse apparet. Quod cum Gregorius Theologus sciret, dixit: Pelliceis induitur vestibus, crassiore *fortasse* carne et mortali et (nostræ) simili; docens eum et prius habuisse carnem, sed tenuiorem, immortalitatem inter et mortalitatem positam atque molliorem: voce *fortasse* autem effatum suum castigavit.

Si anima et corpus recensentur inter ea quæ ad aliquid referuntur: anima enim est corporis anima, et corpus est animæ corpus: si porro ea quæ ad aliquid referuntur, simul subsistunt, neutrum ante aut post alterutrum exsistit.

Si, quantum ad animam et corpus attinet, non est exsistentia anterior aut posterior, neque unius animæ erit in alia corpora migratio seu appropinquatio. Hæ nugæ sunt Pythagoricæ omnique sacra

[1] Joan. XVI, 15. [2] Joan. X, 15. [3] Matth. X, 27. [4] Coloss. II, 3. [5] Gen. II, 23.

(1) Hunc titulum ut ineditum dedit Matthæius in Prolegomenis ad Euthymii Commentarios in Evangelia, sed jam legitur supra col. 546 B. Ibi tamen desunt verba, ὥστε τῇ φύσει, etc., quæ in fine leguntur. Edit. Patrol.

(2) Ex Matthæio ubi supra. Deest in editione Tergobystensi et Ziniana.

Scriptura indignæ. Tota enim Scriptura divina constanter docet animam quamlibet unius esse corporis. E gentilibus autem nonnulli animas rationales ad irrationabilium statum reduxerunt, ut Pythagoras ejusque asseclæ, et in diversis irrationabilibus, velut porcis et canibus et muribus collocaverunt; alii autem, ut Porphyrius, irrationabilium animas ratione præditas contenderunt, dicentes aquilam et corvum et cornicem et multa ejus generis rationis ac vaticinii participes esse.

Si fide dignus est Christus qui et ipsa est veritas: *Ego* enim, inquit, *sum veritas*[1]: pœnæ finem non habebunt. Ubi enim de futuro judicio disseruit, et quid eis qui a dextera ejus et qui a sinistra sunt, dicturus sit, subjecit: *Et abibunt hi in supplicium æternum, justi vero in vitam æternam*[2]. Ac rursum dixit: *Vermis eorum non morietur, et ignis eorum non exstinguetur*[3].

Si infinita sunt ævi illius supplicia, quemadmodum demonstratum est, neque dæmonum erit restitutio, neque peccatorum revocatio.

Resurrectio erit corporum in terra jacentium resurrectio, nequaquam animarum quæ consistunt, id est, propriam naturam habent constantem et indissolubilem secundum ipsarum essentiam. Cæterum summæ foret injustitiæ, corpora quæ cum animis in virtutis laboribus concertant, communibus privare præmiis, ea contra quæ simul peccarunt, haud punire, solas vero animas, sine concurrentibus corporibus, aut duplici pœna afficere, aut duplici præmio dignari. Quod autem corporum erit resurrectio, ipsa Evangelia aperte pronuntiant, sicut et magnus Paulus latius in Epistolis suis.

Daniel, manifesto de Christi regno vaticinans, dixit: *Potestas ejus, potestas æterna quæ non transibit, et regnum ejus non corrumpetur*[4]. Gabriel autem, postquam sanctæ Virgini lætum de Christi generatione nuntium attulit, subdidit: *Et regni ejus non erit finis*[5]. Et nostræ incontaminatæ fidei sanctum symbolum, a septem œcumenicis synodis receptum et conservatum, dicit: « Cujus regni non erit finis, » scilicet regni Christi, de quo sermo est. Quam multo igitur isti fide digniores sunt Origene qui finem habiturum esse Christi regnum fabulatus est?

Origenes dixit Deum qui a non creando processit ad creandum rationabilia atque sensibilia, omnino ab alio ad aliud conversum esse. Nos autem dicimus eum non quoad naturam, sed quoad operationem esse conversum, vel potius, ne quoad hanc quidem, habuit enim semper potestatem creandi et producendi: operata autem est hæc potestas, quando ipsi conveniebat.

Antiquus quidem Origenes, anathemate autem confixus est a quinta synodo. Quare etiam opportune hic quæ ad eum pertinent, commemorata sunt.

μὲν γὰρ θεία Γραφὴ συμφώνως πᾶσα διδάσκει, σώματος ἑνὸς ἑκάστην εἶναι ψυχήν. Τῶν Ἑλλήνων δὲ οἱ μὲν τὰς λογικὰς ψυχὰς εἰς ἀλογίαν κατήγαγον, ὡς οἱ περὶ τὸν Πυθαγόραν, ἄλλοις τε τῶν ἀλόγων, καὶ χοίροις καὶ κυσὶ καὶ μυσὶν, ἐγκατοικίζοντες· οἱ δὲ τὰς τῶν ἀλόγων ψυχὰς λογικὰς ἀντέπλαττον, ὡς ὁ Πορφύριος, τὸν ἀετὸν καὶ τὸν κόρακα καὶ τὴν κορώνην καὶ πολλὰ τοιαῦτα λόγου καὶ μαντείας μετέχειν λέγοντες.

Εἰ ἀληθὴς ὁ Χριστὸς, ἡ αὐτοαλήθεια· *Ἐγὼ* γὰρ, φησὶν, *εἰμὶ ἡ ἀλήθεια*· οὐκ ἔχουσι τέλος αἱ κολάσεις. Εἰπὼν γὰρ τὰ περὶ τῆς μελλούσης κρίσεως, τί τε ἐρεῖ τοῖς ἐκ δεξιῶν αὐτοῦ, καὶ τί τοῖς ἐξ εὐωνύμων, ἐπήγαγε· *Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον· οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον*. Καὶ πάλιν εἴρηκεν, ὅτι *Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται.*

Εἰ ἀτελεύτητοί εἰσιν αἱ τοῦ αἰῶνος ἐκείνου κολάσεις, ὡς ἀποδέδεικται, οὔτε τῶν δαιμόνων ἔσται ἀποκατάστασις, οὔτε τῶν ἁμαρτωλῶν ἀνάκλησις.

Ἡ ἀνάστασις, τῶν κειμένων εἰς γῆν σωμάτων ἔσται ἀνάστασις, οὐ τῶν ψυχῶν, αἵτινες ἵστανται, τουτέστι, τὴν οἰκείαν φύσιν ἔχουσι συνεστῶσαν καὶ ἀδιάλυτον τῷ λόγῳ τῆς οὐσίας αὐτῶν. Ἐσχάτης δὲ καὶ ἄλλως ἀδικίας, τὰ μὲν συναθλήσαντα σώματα ταῖς ψυχαῖς ἐν τοῖς κατ' ἀρετὴν πόνοις, τῶν κοινῶν ἐπάθλων ἀποστερεῖν· τὰ δ' αὖ πάλιν συνεξαμαρτόντα μένειν ἀνεπιτίμητα, μόνας δὲ τὰς ψυχὰς, χωρὶς τῶν συνδιαπραξαμένων σωμάτων, ἢ διπλῆν εἰσπράττεσθαι τιμωρίαν, ἢ διπλῆς ἀξιοῦν μισθαποδοσίας. Ὅτι δὲ τῶν σωμάτων ἔσται ἀνάστασις, αὐτὰ τὰ Εὐαγγέλια τρανῶς ἀπαγγέλλουσι, καὶ ὁ μέγας Παῦλος πλατύτερον ἐν ταῖς ἰδίαις Ἐπιστολαῖς.

Προδήλως περὶ τῆς τοῦ Χριστοῦ βασιλείας προφητεύων ὁ Δανιὴλ, εἴρηκεν· ὅτι *Ἡ ἐξουσία αὐτοῦ, ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται, καὶ ἡ βασιλεία αὐτοῦ, οὐ διαφθαρήσεται*. Καὶ ὁ Γαβριὴλ δὲ τῇ ἁγίᾳ Παρθένῳ τὴν τοῦ Χριστοῦ γέννησιν εὐαγγελιζόμενος, προσέθηκεν, ὅτι *Καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος*. Καὶ τὸ ἱερὸν δὲ σύμβολον τῆς ἀμωμήτου πίστεως ἡμῶν, ὑπὸ τῶν ἑπτὰ οἰκουμενικῶν συνόδων δεχθέν τε καὶ φυλαχθὲν, φησίν· *Οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος*, δηλονότι τῆς τοῦ Χριστοῦ, περὶ οὗ ὁ λόγος. Πόσον οὖν οὗτοι πάντες ἀξιοπιστότεροί εἰσιν Ὠριγένους, τέλος ἔχειν τὴν τοῦ Χριστοῦ βασιλείαν μυθολογήσαντος;

Ἔλεγεν Ὠριγένης, ὅτι ὁ Θεὸς ἀπὸ τοῦ μὴ κτίζειν ἐλθὼν εἰς τὸ κτίζειν τά τε νοερὰ καὶ τὰ αἰσθητὰ, πάντως ἐτράπη ἀφ' ἑτέρου εἰς ἕτερον. Λέγομεν δὲ ἡμεῖς, ὅτι οὐ κατὰ τὴν φύσιν ἐτράπη, ἀλλὰ κατὰ τὴν ἐνέργειαν· μᾶλλον δὲ, οὐδὲ κατὰ ταύτην. Εἶχε μὲν γὰρ ἀεὶ τὴν δύναμιν τοῦ κτίζειν καὶ δημιουργεῖν· ἐνηργήθη δὲ ἡ τοιαύτη δύναμις, ὅτε ἦν εἰκός.

Παλαιὸς μὲν ὁ Ὠριγένης, ἀνεθεματίσθη δὲ παρὰ τῆς πέμπτης συνόδου. Διὸ καὶ εὐλόγως ἐνταῦθα τὰ περὶ αὐτοῦ τέθειται.

[1] Joan. xiv, 6. [2] Matth. xxv, 46. [3] Marc. ix, 44. [4] Dan. vii, 14. [5] Luc. i, 33.

ΤΙΤΛΟΣ ΚΑ'.

Κατὰ Μονοθελητῶν Σεργίου, Πύῤῥου, Παύλου γεγονότων πατριαρχῶν Κωνσταντινουπόλεως, καὶ τῶν ἄλλων, ὅσοι τῆς αὐτῆς συμμορίας· καὶ ταύτης δὲ τῆς αἱρέσεως ὁ θεοστυγὴς Σευῆρος παρέσχε πάλαι τὰς ἀφορμάς· τοῦ ἁγίου Μαξίμου ἐκ τοῦ λόγου τοῦ, Ὅτι οὐκ εἶπον οἱ Πατέρες ἐπὶ Χριστοῦ ποσότητα γνωμικῶν θελημάτων, ἀλλὰ φυσικῶν.

Θέλημά ἐστι φυσικὸν δύναμις τοῦ κατὰ φύσιν ὄντος ὀρεκτική, καὶ τῶν οὐσιωδῶς τῇ φύσει προσόντων συνεκτικὴ πάντων ἰδιωμάτων, καθ' ἣν ἀεὶ τῷ φύσει θελητικῷ τὸ πεφυκέναι θέλειν ἐμπέφυκεν, οὐ ταυτὸν δὲ τὸ πεφυκέναι θέλειν, καὶ θέλειν ἐστὶν, ὡς οὐδὲ τὸ πεφυκέναι λαλεῖν, καὶ λαλεῖν. Πέφυκε μὲν γὰρ ἀεὶ τὸ λαλητικὸν λαλεῖν, λαλεῖ δὲ οὐκ ἀεὶ, ἐπειδὴ τὸ μὲν οὐσίας ἐστὶ λόγῳ φύσεως συνεχόμενον, τὸ δὲ B βουλῆς τῇ τοῦ λαλοῦντος γλώσσῃ τυπούμενον· ὥστε φύσεως μὲν ἀεὶ τὸ πεφυκέναι λαλεῖν, ὑποστάσεως δὲ τὸ πῶς λαλεῖν, ὥσπερ καὶ τὸ πεφυκέναι θέλειν, καὶ θέλειν. Εἰ δὲ τὸ πεφυκέναι θέλειν καὶ θέλειν οὐκ ἔστι ταυτόν· τὸ μὲν γὰρ, ὡς ἔφην, οὐσίας, τὸ δὲ τῆς τοῦ θέλοντος ὑπάρχει βουλῆς· εἶχεν ἄρα τὸ πεφυκέναι θέλειν ὁ σαρκωθεὶς Λόγος ὡς ἄνθρωπος τῷ αὐτοῦ θεϊκῷ θελήματι κινούμενόν τε καὶ τυπούμενον. Τὸ γὰρ ἐκείνου θέλειν, φησὶν ὁ μέγας Γρηγόριος, οὐδὲ ὑπεναντίον τῷ Θεῷ, θεωθὲν ὅλον. Εἰ δὲ τεθέωτο, τῇ τοῦ θεοῦντος δηλονότι συμφυΐᾳ τεθέωτο. Τὸ δὲ θεοῦν καὶ θεούμενον δύο πάντως, ἀλλ' οὐχ ἓν, καὶ φύσει ταυτὸν, εἴπερ τῶν πρός τι τό τε θεοῦν, καὶ τὸ θεούμενον. Τὰ δὲ πρός τι πάντως ἀλλήλοις συνεισάγεσθαι πέφυκε, καὶ θατέρῳ συνεπινοεῖσθαι C θάτερον. Καὶ μετ' ὀλίγα· Εἶχεν οὖν θέλημα φυσικὸν ὡς ἄνθρωπος ὁ Σωτὴρ, τῷ αὐτοῦ θεϊκῷ θελήματι τυπούμενον, οὐκ ἐναντιούμενον. Οὐδὲν γὰρ ἠναντίωται παντάπασι Θεῷ φυσικὸν, ὁπόταν οὔτε γνωμικὸν, ἔνθα καὶ προσωπικὴ θεωρεῖται διαίρεσις, ἅνπερ ᾖ κατὰ φύσιν, ἐπεὶ τὸν ποιητὴν αἰτιατέον πεποιηκότα τὸ φύσει μαχόμενον. Πῶς δὲ γέγονε κατ' ἀλήθειαν ἄνθρωπος σαρκωθεὶς ὁ Λόγος, τοῦ μάλιστα τὴν φύσιν ὡς λογικὴν χαρακτηρίζοντος ἔρημος ὤν; Τὸ γὰρ τῆς κατ' ἔφεσιν ὀρεκτικῆς ἐστερημένον κινήσεως, καὶ πάσης ζωτικῆς δυνάμεως ἀμοιρήσειεν ἄν. Τὸ δὲ ζωτικὴν οὐκ ἔχον ἐκ φύσεως δύναμιν οὐδὲ τὴν οἱανοῦν δηλονότι ψυχήν. Οὐκοῦν ψιλῇ μορφώσει σαρκὸς τὴν οἰκονομίαν ἐφάντασεν, ἀλλ' οὐ φύσιν σαρκὸς νοερῶς τε καὶ λογικῶς ἐνεψυχω- D μένην καθ' ὑπόστασιν σαρκωθεὶς ὁ Λόγος πεπλήρωκε, θέλημα φυσικὸν κατὰ Σευῆρον οὐκ ἔχων ὡς ἄνθρωπος. Εἰ γὰρ φυσικῷ θελήματι κατ' ἀλήθειαν ὡς ἄνθρωπος ἦν ἐλλιπὴς, τέλειος κατ' ἀλήθειαν οὐ γέγονεν ἄνθρωπος, οὐδ' ὅλως ἄνθρωπος γέγονε. Τίς γὰρ ἀτελοῦς φύσεως ὕπαρξις, ἧς οὐδὲ λόγος ἐστί; Σκοπὸς οὖν Σευήρῳ, καὶ τοῖς ἀμφ' αὐτὸν διά τινος πάντως ἐλλείψεως φυσικῆς τὴν προσληφθεῖσαν καθ' ἕνωσιν ἄῤῥητον ἐξώσασθαι φύσιν, τῆς τε Μάνεντος φαντασίας, καὶ τῆς Ἀπολλιναρίου συγχύσεως, καὶ τῆς Εὐτυχοῦς συνουσιώσεως ἐπικυρῶσαι τὸ μῖσος. Μέμνημαι γὰρ κατὰ τὴν τῶν Κρητῶν νῆσον διάγων τινῶν ψευδεπισκόπων πρὸς ἐμὲ διενεχθέντων ἐκ τῆς Σευήρου μερίδος ἀκούσας, ὡς διὰ τοῦτο δύο-

TITULUS XXI

Adversus Monotheletas, Sergium, Pyrrhum, Paulum, Constantinopolis patriarchas, aliosque ejusdem generis. Atque istius item hæresis Deo invisus Severus præbuit occasionem. Sancti Maximi, ex oratione, qua declarat, Patres non dixisse de Christo voluntatum sensu discrepantium quantitatem.

Voluntas naturalis est vis, appetens id quod naturæ convenit, et quæ continet omnes proprietates, quæ per essentiam adsunt naturæ, per quam semper naturæ volenti insitum est, ut velit. Non est autem idem habere volendi vim, et velle. Quemadmodum nec idem est habere loquendi vim, et loqui. Semper enim adest loquendi vis naturalis, sed non B semper loquitur. Nam illud essentiæ est, et est cum ratione naturæ conjunctum. Hoc autem est voluntatis, et est linguæ loquentis impressum. Quamobrem naturæ quidem est, habere semper insitam loquendi facultatem; personæ autem, hoc aut illo modo loqui, quemadmodum et insitam habere volendi vim, et hoc aut illud velle. Quod si non idem est, naturalem habere volendi potestatem, et velle: illud enim, ut diximus, est essentiæ, hoc autem est ipsius volentis consilii: habuit utique naturalem volendi vim Verbum carne indutum, ut homo, divinæ ipsius voluntati consentientem et impressam. Voluntas enim ejus, ut magnus ait Gregorius, non est Deo contraria, cum tota sit divina reddita. Talis autem effecta est propter conjunctionem illius, qui ipsam C divinam effecit. Quod autem divinum fit, et quod divinum facit, duo plane sunt, et non unum atque idem natura. Siquidem id quod divinum facit, et quod divinum efficitur, sunt ex eorum numero, quæ ad aliquid referuntur. Quæ autem sunt ejusmodi, sese mutuo inducunt, et ex uno alterum cogitatur. Et paulo post: Habebat igitur voluntatem naturalem Servator, ut homo, quæ tamen divinæ ipsius voluntati sic erat impressa, ut ei non repugnaret. Nihil enim naturale adversatur Deo, cum ab illo ne sententia quidem discrepet, ubi et personæ distinctio consideratur, siquidem sit secundum naturam. Alioqui opifex ipse accusandus esset, si fecisset aliquid, quod natura secum pugnaret. Quomodo autem Verbum carne assumpta vere factum esset D homo, si eo quod naturam ut ratione præditam in primis insignit, careret? Quod enim cupiendi appetendique motu caret, id vitali etiam omni caret facultate. Quod autem vitalem a natura facultatem non habet, id ne animam quidem habet ullam? Nuda igitur carnis assumpta specie, non autem natura carnis mente rationeque præditæ per personam suscepta, Verbum humanæ salutis consilium explevit, si, ut sentit Severus, voluntatem naturalem, quatenus est homo, non habet. Nam si ut homo naturali vere caruit voluntate, vere perfectus homo non est factum. Quod si vere perfectus homo factum non est, ne homo quidem. Quæ enim imperfectæ naturæ essentia sit, cujus ne ratio quidem exsistat? Illud Severo et discipulis ejus propositum

fuit, ut per defectum quemdam naturalem arcana conjunctione susceptam naturam excluderent, fictamque Manetis speciem, et Apollinarii confusionem, et Eutychetis mutationem duarum in unam essentiam confirmarent. Memini enim, cum essem in Cretensium insula, falsos quosdam episcopos Severi opinionem defendentes ita mecum disputasse, ut dicerent, nos ideo duas in Christo actiones juxta Leonis tomum negare, quoniam voluntates inde consequuntur, ex quibus gemina persona colligitur. Si igitur, ut Severus opinatur, ex actionibus voluntates, et ex voluntatibus personæ tanquam res suis ex causis provenientes colliguntur, et ex persona nimirum voluntas, atque ex voluntate, quemadmodum ipse argumentatur, actio illi congruens colligetur. Eorum enim quæ inter se vicissim referuntur, mutua est conversio. Quamobrem si natura mutuus esset inter personas voluntatesque respectus atque conversio, beata illa Divinitatis unitas, ut Severus docet, tres item voluntates haberet. Sin autem sententia constaret, secum ipsa dissentiret, voluntatibus non conveniens, ut Trinitas personarum. Aut omnino, siquidem una summæ Trinitatis voluntas est, Divinitas unam tantum habet personam, et triplici nomine appellatur.

A κατὰ τὸν Λέοντος τόμον ἐνεργείας οὐ λέγομεν ἐπὶ Χριστοῦ, διὰ τὰ ἑπόμενα ταύταις θελήματα, οἷς ἐξ ἀνάγκης προσώπων συνεισάγεται δυάς. Εἰ οὖν κατὰ τὸν Σεβῆρον ταῖς ἐνεργείαις ἕπεσθαι τὰ θελήματα πέφυκε, τοῖς δὲ θελήμασι συνεισάγεσθαι πρόσωπα, καθάπερ αἰτίοις αἰτιατὰ, καὶ παντὶ προσώπῳ δηλονότι κατ' αὐτὸν θέλημα, καὶ τούτῳ πάντως ἐνέργεια συνεισαχθήσεται πρόσφορος. Ὁ γὰρ τῶν πρός τι λόγος ἄλυτον ἔχων τὴν σχέσιν ἴσην ποιεῖται τὴν τῶν σχετῶν ἀκολούθως ἀντιστροφήν. Οὐκοῦν εἰ μὲν φυσικὰ τὰ κατὰ ἀντιστροφὴν συνεισαγόμενα τοῖς προσώποις εἶεν θελήματα, ἡ μακαρία Μονὰς κατὰ Σευῆρον καὶ φύσεων ἔσται Τριάς· εἰ δὲ γνωμικὰ, στασιάσει πάντως πρὸς ἑαυτὴν μὴ συμβαίνουσα B τοῖς θελήμασιν, ὡς προσώπων Τριάς. Ἢ πάντως εἴπερ ἓν θέλημα τῆς ὑπερουσίου Τριάδος ἐστὶ, μονοπρόσωπος ἔσται Θεότης τριώνυμος.

Ex eadem oratione.

Tu qui unam Christi voluntatem asseris, vir optime, quomodo, et qualem eam dicis esse? Si ut Christi naturalem, eum a Patre et a Matre natura sejungis, quippe qui neutri ipsorum per essentiam conjunctus sit. Neuter enim ipsorum natura Christus. Id autem si dixeris, nonne periculum erit, ne plures deos constituas? Quod si sententia solius erit indicium personæ : voluntatis enim sententia persona describitur et definitur : demonstrabis eum a Patre et Spiritu voluntate dissidere et discrepare. Sin solius divinitatis ipsius, patibilis erit divinitas, et præter naturam potum et cibum appetet. At si humanitatis ejus solius, non erit efficax natura, cum sit humana ; et monstra plane videbuntur esse miracula. Quod si naturæ utriusque communem dixeris, quomodo voluntas eorum natura communis erit quorum est natura diversa? Sin ut totius compositum, ut novitatem et absurditatem fabulæ omittamus (quæ enim potest esse compositio voluntatis?) rursus ipsum a Patre alienum constituis, cum voluntate composita solam personam compositam exprimas. Qua quidem ratione omnis plantatio, quam non plantavit Pater eradicatur. Nova enim fingi non potest agricultura, sed naturalem in Christo humanitatis voluntatem Severus sustulit, ut videtur, cum omnis naturæ præsertim ratione præditæ maxime proprium et primum esse ignoraret appetendi motum. Quod Patres animadvertentes voluntates in Christo natura, non autem sententia differentes confessi sunt. Nunquam enim in Christo voluntates sententia differentes dixerunt, ne ipsum diversa sentire, et velle, et rationum seditione secum pugnare, atque ita duplicem habere personam prædicarent. Intelligebant enim hac sola voluntatum sententia dissidentium differentia, tum peccato in hanc vitam aditum esse patefactum, tum inimicitias nobis exortas esse cum Deo. Nulla enim alia in re malum con-

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἓν δὲ Χριστοῦ θέλημα λέγων, ὦ βέλτιστε, πῶς, καὶ ποῖον τοῦτο φῄς; Εἰ μὲν ὡς Χριστοῦ φυσικὸν, Πατρὸς φύσει καὶ μητρὸς αὐτὸν ἠλλοτρίωσας, οὐδ' ἑτέρῳ κατ' οὐσίαν ἑνούμενον· οὐδ' ἕτερον γὰρ αὐτοῖν φύσει Χριστός· καὶ πῶς ἐκφεύξῃ τοῦτο λέγων τῆς πολυθεΐας τὸν κίνδυνον; εἰ δὲ γνωμικὸν, μόνης ἔσται τῆς αὐτοῦ χαρακτηριστικὸν ὑποστάσεως. C Προσώπου γὰρ ἀφοριστικὸν ὑπάρχει τὸ γνωμικὸν, καὶ δειχθήσεται σαφῶς ἑτερόβουλος Πατρί τε καὶ Πνεύματι κατὰ σὲ, καὶ μαχόμενος. Εἰ δὲ τῆς αὐτοῦ μόνης θεότητος, ἐμπαθὴς ἔσται θεότης παρὰ φύσιν βρώσεως καὶ πόσεως ἐφιεμένη. Εἰ δὲ τῆς αὐτοῦ μόνης ἀνθρωπότητος, οὐκ ἔσται φύσει δραστήριον. Πῶς γὰρ, εἴπερ ἀνθρώπινον; Καὶ τερατώδης δειχθήσεται σαφῶς ἡ τῶν θαυμάτων ἐπίδειξις. Εἰ δὲ ἀμφοτέρων φύσει κοινὸν, πῶς ἔσται θέλημα φύσει κοινὸν, ὧν ἡ φύσις διάφορος; Εἰ δὲ ὡς ὅλου σύνθετον, πρὸς τῷ καινῷ μύθῳ καὶ πλάσματι (τίς γὰρ θελήματος σύνθεσις;) ; πάλιν αὐτὸν τοῦ Πατρὸς ἠλλοτρίωσας, συνθέτῳ θελήματι μόνην χαρακτηρίσας ὑπόστασιν σύνθετον. Οὕτω μὲν οὖν πᾶσαν φυτείαν ἐκριζοῖ προελθὼν ὁ λόγος, ἣν ὁ Πατὴρ οὐκ ἐφύτευ- D σεν, ἐπεὶ μὴ πέφυκε τὸ ξένον περιποιεῖσθαι γεώργιον. Ἀλλ' ὡς ἔοικε, τὸ φυσικὸν θέλημα τῆς κατὰ Χριστὸν ἀνθρωπότητος Σευῆρος ἀνεῖλεν, οὐκ εἰδὼς, ὅτι κυριώτερόν τε καὶ πρῶτον ἰδίωμα πάσης μάλιστα φύσεως λογικῆς ἡ κατ' ἔφεσιν αὐτῆς καθέστηκε κίνησις, ἣν οἱ Πατέρες σκοπήσαντες, φυσικῶν, ἀλλ' οὐ γνωμικῶν ἐπὶ Χριστοῦ θελημάτων διαφορὰν λαμπρῶς ὡμολόγησαν. Οὐ γὰρ ἂν ἔλεγόν ποτε γνωμικῶν ἐπὶ Χριστοῦ θελημάτων διαφορὰν, ἵνα μὴ δίγνωμον, καὶ δίβουλον, καὶ οἷον εἰπεῖν μαχόμενον ἑαυτῷ τῇ στάσει τῶν λογισμῶν, καὶ διὰ τοῦτο διπρόσωπον αὐτὸν κηρύττωσιν οἵ γε κατὰ μόνην ταύτην γινώσκοντες τὴν τῶν γνωμικῶν θελημάτων διαφορὰν ἐν τῷ βίῳ γεγενῆσθαι τήν τε τῆς ἁμαρτίας εἴσοδον, καὶ τὴν πρὸς τὸν Θεὸν ἡμε-

τέραν διάστασιν. Ἐν οὐδενὶ γὰρ ἄλλῳ καθέστηκε τὸ κακὸν, εἰ μὴ μόνον ἐν τῇ πρὸς τὸ θεῖον θέλημα διαφορᾷ τοῦ κατὰ γνώμην ἡμετέρου θελήματος, ἥτινι πάντως ἀντικειμένη συνεισάγεται ποσότης, καὶ ὁ ταύτης δηλωτικὸς ἀριθμὸς δεικνὺς ἡμῖν πρὸς τὸν Θεὸν τοῦ γνωμικοῦ θελήματος ἀντιπάθειαν. Εἷς οὖν Νεστορίῳ τε καὶ Σευήρῳ περὶ τοῦ δυσσεβεῖν ὑπάρχει σκοπὸς, κἂν ὁ τρόπος διάφορος. Ὁ μὲν γὰρ διὰ τὴν σύγχυσιν φεύγων τὴν καθ' ὑπόστασιν ἕνωσιν, τὴν οὐσιώδη διαφορὰν προσωπικὴν διαίρεσιν ποιεῖται· ὁ δὲ διὰ τὴν διαίρεσιν τὴν οὐσιώδη μὴ λέγων διαφορὰν, τὴν καθ' ὑπόστασιν ἕνωσιν φυσικὴν ἐργάζεται σύγχυσιν, δέον μήτε σύγχυσιν ἐπὶ Χριστοῦ, μήτε διαίρεσιν, ἀλλ' ἕνωσιν τῶν κατ' οὐσίαν διαφερόντων, καὶ διαφορὰν τῶν καθ' ὑπόστασιν ἡνωμένων ὁμολογεῖν, ἵνα καὶ τῶν οὐσιῶν ὁ λόγος, καὶ τῆς ἑνώσεως ὁ τρόπος εὐσεβῶς καταγγέλληται· ὧν ἄμφω διαῤῥαγέντες, ὁ μὲν τὴν τῶν γνωμικῶν μόνων ποιοτήτων ἕνωσιν, ὁ δὲ τὴν τῶν φυσικῶν μόνων μετὰ τὴν ἕνωσιν ἐπικυρώσας διαφορὰν, ἄμφω τῆς τῶν πραγμάτων ἀληθείας ἀπέπεσαν, ὁ μὲν διαίρεσιν, ὁ δὲ σύγχυσιν τοῦ μυστηρίου τολμηρῶς κατακρίναντες.

A sistit, nisi in eo discrimine, quod est inter voluntatem Dei et voluntatem nostram. Quo quidem contraria prorsus quantitas constituitur, et illius index numerus, qui nobis ostendit voluntat's a Deo discrepantis diversitatem. Idem igitur Nestorio et Severo ad impietatem propositum est, licet ratio diversa sit. Ille enim dum confusionem vitat, sic effugit unitatem personæ, ut pro differentia naturali personæ divisionem constituat. Hic vero dum divisionem declinat, ita naturæ negat differentiam in personæ conjunctionem, ut naturalem efficiat confusionem. Cum nec confusio in Christo, nec divisio, sed essentia differentium conjunctio, et in persona conjunctorum differentia sit confitenda : B ut et naturarum ratio, et conjunctionis modus pie pronuntietur. Quorum illi utrumque perfregerunt, dum unus qualitatum in sententia tantum conjunctionem, alter naturalium tantummodo post conjunctionem differentiam asserit. Atque ita ambo a veritate exciderunt, dum unus mysterii divisionem, alter confusionem audacter dijudicat.

Τοῦ αὐτοῦ ἐκ τοῦ ἴσου τῆς πρὸς Νίκανδρον ἐπιστολῆς.

Οὐδὲ γὰρ τὴν θείαν φύσιν καὶ ἄκτιστον ἀνύπαρκτόν τε καὶ ἀθέλητον ἢ ἀνενέργητον καθορῶμεν· οὔτε μὴν τὴν κτιστὴν καθ' ἡμᾶς καὶ ἀνθρωπίνην οὐσίαν ἀνύπαρκτόν τε καὶ ἀθέλητον ἢ ἀνενέργητον ἐπιγινώσκομεν. Καὶ εἰ μηδεμίαν τούτων ἔρημον ἐπιστάμεθα φυσικῆς ὑπάρξεως, θελήσεώς τε καὶ ἐνεργείας, ἐκ τούτων δὲ, θείας φύσεως καὶ ἀνθρωπίνης φύσεως λέγω, καὶ ἐν ταύταις, καὶ τούτων ὑπόστασίς ἐστι κατ' ἀλήθειαν ὁ εἷς καὶ μόνος Χριστὸς καὶ Υἱὸς, πῶς, εἴπερ φύσει κυρίως Θεὸς, καὶ φύσει κυρίως ἄνθρωπος ὁ αὐτὸς, οὐχὶ καὶ θεῖον θέλημα καὶ ἐνέργειαν φύσει κυρίως, καὶ ἀνθρώπινον θέλημα, καὶ ἐνέργειαν φύσει κυρίως εἶχε, μηδετέρου τούτων κατὰ φύσιν ὢν ἐλλιπὴς, δι' ὧν ἐπαληθεύων τοῖς πράγμασι τὰ ὀνόματα, καὶ τούτοις αὖθις ἐπικυρῶν τὰ πράγματα, προδήλως ὁ αὐτὸς ἐγνωρίζετο, τά τε θεῖα καὶ ἀνθρώπινα φυσικῶς ἔχων καὶ θέλων καὶ ἐνεργῶν, κἀκ τούτου τὰ ἐξ ὧν, καὶ ἐν οἷς, καὶ ἅπερ ὑπῆρχε, πιστευόμενος; Ἐπεὶ, τοῦ φυσικοῦ θελήματος καὶ τῆς οὐσιώδους ἐνεργείας ἀναιρουμένων, τῆς τε θείας καὶ ἀνθρωπίνης οὐσίας, τοῦ ἐκ τούτων καὶ ταύτας ὄντος καὶ σώζοντος κατὰ μίαν ὑπόστασιν, πῶς Θεὸς ἢ ἄνθρωπος ἔσται; καὶ πῶς τοῦτο, ἢ ἐκεῖνο κατ' οὐσίαν ὑπάρχων δειχθήσεται, μὴ σώζων ἑκατέρας φύσεως ἀνελλιπῶς τὴν ἰδιότητα, πάσης ἁμαρτίας χωρίς; Τὸ γὰρ τῶν κατὰ φύσιν ἐκστὰν, κἂν τῆς ἔξω τῆς οὐσίας γεγένηται, μηδεμίαν ὕπαρξιν ἔχον· ὅτι μηδὲ κίνησιν φυσικήν. «Τὸ γὰρ μηδεμίαν κίνησιν ἔχον,» ἥ φησιν ὁ θεοφάντωρ καὶ μέγας ἅγιος Διονύσιος [26], «οὔτε ἔστιν, οὔτε τί ἐστιν· οὔτε ἔστι τις αὐτοῦ παντελῶς θέσις.» Διά τοι τοῦτο τὰς Χριστοῦ τοῦ Θεοῦ φύσεις ὁμολογοῦντας ἡμᾶς, τὴν θείαν φημὶ καὶ τὴν καθ' ἡμᾶς ἀνθρωπίνην, πρὸς βεβαίαν τῆς τε τούτων ὑπάρξεως πίστωσιν, καὶ τῆς ἡμῶν περὶ αὐτῶν ὁμολογίας ἀλήθειαν,

Ejusdem ex epistola ad Nicandrum.

Neque divinam et increatam naturam non vere exsistentem videmus, voluntatisque ac operationis expertem; at neque rursus creatam nobis similem atque humanam substantiam, ipsam non vere exsistentem novimus, C et voluntate sive operatione carentem. Sin autem neutram defici scimus vera naturali exsistentia ac substantia, necnon voluntate ac operatione; atque ex his (divina scilicet humanaque natura) et in his, atque harum vere persona est, unus ac solus Christus atque Filius; quomodo, ac cum natura proprie Deus, idemque natura proprie homo esset, non etiam divinam natura proprie voluntatem et operationem, humanamque natura proprie voluntatem et operationem habebat, neutro horum natura carens; quibus, faciendo ut nomina rebus vere convenirent, atque his rursus easdem astruendo, manifeste idem ipse, cum divina tum humana naturaliter habens, volensque ac operans D noscebatur; ac qui inde, ea, ex quibus, et in quibus, et quæ erat, crederetur. Naturali enim voluntate ac essentiali operatione sublatis, ejus, qui ex his, ac hæ est, servatque in una persona, quomodo Deus et homo futurus est? Ac quomodo hoc illudve essentialiter esse monstrabitur, qui utriusque naturæ proprietatem, absque omni peccato, indefectibiliter non servet? Quod enim excessit iis quæ sunt ex natura, ab ipsa quoque essentia, nullam exsistentiam habens ac substantiam (quod neque motum) extraneus factus est. Nam ut divini magnique doctoris beati Dionysii sententia est : « Quod nullum habet motum, neque est, neque aliquid est, nec ulla prorsus ejus affirmatio est. » Igitur, qui Christi Dei naturas (tum scilicet divinam, tum quæ nostri similis est, humanam) confiteamur, ad earum exsi-

stentiæ certam astruendam fidem, veramque nostram de illis confessionem, omnino quoque naturales ipsarum pari numero voluntates profiteamur necesse est, totidemque essentiales operationes; nec harum aliquid prorsus minuamus aut negemus, eo prætextu, hincque nobis fucum facientes, quod in persona divinitus unitæ sint; cum nos minime lateat, quæ in persona unio est, nihil illis quæ naturalia sunt, uti nec naturis ipsis officere; tametsi illa vi sua, unius personæ ratione, in unum eas cogat (haud tamen eximat, quin naturæ ipsa ratione duæ exsistant), uti etiam naturales ipsas proprietates, earum inter se cohæsione ac necessitudine, unius rursus prorsus nexu astringens, neutramque sine altera, extrave alterius communionem, ullo modo, uti clarissimus urbis Romæ papa Leo sentit, spectari sinens, essentialem ac naturalem earum distinctionem non prorsus abolet, sed perfecte servat. Servando enim servatur; ac, qua præstat incolumem, ipsa incolumis perstat. Hactenus enim manifeste exstat rerum unio, quandiu incolumis est naturalis earum distinctio. Nam hac cessante, cessat omnino et illa, confusionis labe prorsus abolita.

A καὶ τὰ φυσικὰ τούτων ἰσαρίθμως δεῖ πάντως πρεσβεύειν θελήματα, καὶ τὰς οὐσιώδεις τοσαύτας ἐνεργείας ὁμολογεῖν· καὶ μηδὲν αὐτῶν προφάσει δῆθεν τῆς καθ' ὑπόστασιν θείας ἑνώσεως ἀπομειοῦν ἢ ἐξαρνεῖσθαι τὸ σύνολον· γινώσκοντας, ὡς ἡ καθ' ὑπόστασιν ἕνωσις οὐδὲν παραβλάπτει τῶν φυσικῶν, καθάπερ οὐδὲ τὰς φύσεις αὐτάς· εἰ καὶ ταύτας εἰς ἓν ἄγει δι' ἑαυτῆς κατὰ τὴν μίαν ὑπόστασιν· τοῦ δύο, τῷ φυσικῷ λόγῳ ὑπάρχειν οὐδαμῶς ἐξιστῶσα· ὥσπερ οὖν καὐτὰ δὴ λέγω τὰ φυσικὰ ἰδιώματα, τῇ πρὸς ἄλληλα συμφυΐᾳ διόλου πάλιν ἑνίζουσα, καὶ μηδέτερον τοῦ ἑτέρου χωρὶς, ἢ τῆς θατέρου πρὸς θάτερον κοινωνίας ἐκτὸς, κατὰ τὸν τῶν Ῥωμαίων πάπαν ἀοίδιμον Λέοντα θεωρεῖσθαι καθοτιοῦν συγχωροῦσα, τὴν τούτων οὐσιώδη καὶ φυσικὴν οὐκ B ἀμαυροῖ παντελῶς, ἀλλὰ τελείως φυλάττει διαφοράν· τῷ γὰρ φυλάττειν φυλάττεται, καὶ τῷ συντηρεῖν συντηρεῖται. Μέχρι γὰρ τότε σαφῶς ἕνωσις πραγμάτων ἐστὶν, ἕως ἂν ἡ τούτων σώζηται φυσικὴ διαφορά· ἐπεὶ ταύτης παυσαμένης, παύεται πάντως κἀκείνη, τῇ συγχύσει τελείως ἀφανισθεῖσα.

Cum hæc itaque (nempe unio) nullam rebus labem inferat, nec illarum distinctionem quidquam lædat, sed solummodo accommodate ad nominis nuncupationem, quæ ea copulantur, unitate cogat; omnino prorsusque nullo desiderato atque perfecte in ea incolumia sunt, quæ natura distincta sunt, ne vel minimam inde eversionem ac confusionem, in ipsis essentiis seu naturis, in voluntatibus, in operationibus, ullove alio quod spectet ad naturam, passa. Quonam igitur modo (qua honesta voce convestiam nescio) probæ mentis suæ ac verecundæ velamen, hanc quidam prætexunt, ac Verbum incarnatum natura voluntatis expers ac operationis, nostra natura (id est, humana) asserunt; tanquam vere inanima ac carente ratione, quæ ex nobis assumpta in eo substantia est. Quod enim operationis ac motus expers est, plane etiam inanime est; quodque nulla rationis voluntate præditum est, palam etiam ratione menteque caret. Sin autem absque his natura erat incarnatum Verbum, qua commercium nobiscum inierat, quonam etiam modo credetur hominem ipsum exstitisse? Qui vero non potius, divina demutatum natura, ea quoque monstrabitur carnis affectibus invitum succubuisse? Naturalium enim interemptione, Arius Apollinariusque, tali in ipsum acie impressionem fecerunt. Alter enim anima, alter ratione destitutum (quod est operationis expers ac voluntatis) professi, creaturam atque facturam ipsum secundum se blasphemarunt. Uterque enim Unigenitum natura divinitatis patibilem, non carnis natura, dixerunt; tametsi majori adhuc impietate Apollinarius, perfectam quoque in carnem conversionem, ipsius divinitatis occasu ac mutatione sanxit.

Ταύτης τοιγαροῦν, λέγω δὲ τῆς ἑνώσεως, οὐ λυμαινομένης τοῖς πράγμασιν, οὐδὲ τῇ τούτων διαφορᾷ, ἀλλὰ μόνον τῇ κλήσει προσφυῶς ἑνοποιούσης τὰ κατ' αὐτὴν, εἰσὶ πάντοτε καὶ πάντως ἀμειώτως ἐν αὐτῇ καὶ τελείως σωζόμενα, τὰ κατὰ φύσιν διάφορα, τὴν οἱανοῦν παρατροπὴν οὐ παθόντα καὶ σύγχυσιν· C οὐκ ἐν οὐσίαις αὐταῖς, οὐ θελήμασιν, οὐκ ἐνεργείαις, οὐκ ἄλλῳ τινὶ φυσικῷ. Πῶς οὖν ἐπικάλυμμα τῆς ἰδίας, οὐκ οἶδ' ὅπως εὐφήμως εἰπεῖν, καλοφροσύνης (p), ταύτην τινὲς προφασίζονται· καὶ τὸν σαρκωθέντα Λόγον ἀθέλητον φύσει, καὶ ἀνενέργητον τῷ καθ' ἡμᾶς, ἤγουν τῷ ἀνθρωπίνῳ, φασί· ἅτε κυρίως ἀψύχου καὶ ἀλόγου τῆς ἐξ ἡμῶν προσληφθείσης οὐσίας ἐν αὐτῷ τυγχανούσης. Τὸ γὰρ ἀνενέργητον, ἀκίνητόν τε καὶ ἄψυχον προδήλως ἐστί· καὶ τὸ μηδεμίαν λογικὴν θέλησιν ἔχον, ἄλογον σαφῶς καὶ ἀνόητον. Καὶ εἰ τούτων χωρὶς κατὰ φύσιν ὑπῆρχεν ὁ σαρκωθεὶς Λόγος τὸ καθ' ἡμᾶς, πῶς ὅτι καὶ ἄνθρωπος γέγονε πιστευθήσεται; πῶς δὲ μᾶλλον οὐχὶ τραπεὶς τὴν θείαν φύσιν, καὶ σαρκὸς πάθεσιν ἀκουσίως ὑποπεσὼν δειχθήσεται κατ' αὐτήν; Τῇ γὰρ τῶν D φυσικῶν ἀναιρέσει, τὴν τῶν τοιούτων καταδρομὴν, Ἄρειός τε καὶ Ἀπολινάριος κατ' αὐτοῦ πεποιήκασιν. Ὁ μὲν γὰρ, ἄψυχον, ὁ δὲ, ἄλογον, ὅπερ ἀνενέργητόν ἐστι καὶ ἀθέλητον, αὐτὸν δογματίσαντες, κτίσμα τοῦτον καὶ ποίημα καθ' ἑαυτὸν ἐβλασφήμησαν. Ἑκάτερος γὰρ παθητὸν φύσει θεότητος, ἀλλ' οὐ φύσει σαρκὸς εἶπον τὸν Μονογενῆ· κἂν Ἀπολινάριος ἔτι κατ' ἀσέβειαν δαψιλευόμενος, καὶ τελείαν τὴν εἰς σάρκα μεταβολὴν κατ' ἔκπτωσιν καὶ τροπὴν τῆς αὐτοῦ θεότητος ἀπεφήνατο.

Operæ pretium igitur, ut quibus constitutum sit pietatem colere, confessionem ejusmodi evertamus, sanctorumque Patrum doctrinam teneamus; atque

Χρὴ τοιγαροῦν εὐσεβοῦντας ἡμᾶς, τὴν τοιαύτην ὁμολογίαν διώσασθαι, καὶ τὴν τῶν ἁγίων Πατέρων κρατύνειν διδασκαλίαν· καὶ δύο φυσικὰ θελήματα

κατ' αὐτούς, καὶ οὐσιώδεις ἐνεργείας, ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς ὁμολογεῖν. Εἰ γὰρ ἓν ἐπ' αὐτοῦ θέλημα καὶ μίαν ἐνέργειαν εἴποιμεν, ἢ τοῦτον οὐκ ὄντα φύσει καὶ ἄνθρωπον, ἀλλὰ μόνον Θεόν· ἢ φύσει μόνον ἄνθρωπον, καὶ οὐ Θεόν· ἢ οὔτε ἄνθρωπον οὔτε Θεὸν σαφῶς δογματίσομεν. Οἷον, εἰ μὲν φυσικὸν τὸ θέλημα τυχὸν εἴποιμεν, ἢ θεῖον πάντως, ἢ ἀνθρώπινον τοῦτό ἐστι· καὶ εἰ θεῖον, τὰ θεῖα κατ' αὐτὸ θελήσει φυσικῶς ὁ Λόγος· Θεὸν φύσει μόνον καὶ συνθελητὴν τῷ ἰδίῳ γεννήτορι δεικνὺς ἑαυτὸν, καὶ οὐκ ἄνθρωπον· οὐ γὰρ πέφυκε διὰ τοῦ φύσει θείου, τὸ ἀνθρώπινον φύσει χαρακτηρίζεσθαι· ὥσπερ οὐδὲ διὰ τοῦ κατ' οὐσίαν ἀνθρωπίνου, τὸ κατ' οὐσίαν θεῖον γνωρίζεσθαι. Τοῦτο δὲ, καὶ εἰ ἀνθρώπινον φῶμεν τὸ θέλημα φύσει, κατὰ τὸ ἀκόλουθον συναχθήσεται. Εἰ δὲ ὑποστατικὸν, τῆς αὐτοῦ μόνης ὑποστάσεως ἔσται χαρακτηριστικόν· καὶ οὔποτ' ἂν κατ' αὐτὸ κοινωνήσῃ Πατρὶ καὶ ἡμῖν· τῶν γὰρ ἄκρων ὑποστάσει διαστέλλεται καὶ χωρίζεται. Τὰ αὐτὰ δὲ πάλιν καὶ περὶ ἐνεργειῶν ἔστιν εἰπεῖν.

A duas naturales voluntates, ex eorum mente ac sententia, essentialesque operationes in uno eodemque confiteamur ac admittamus. Nam, si unam in eo voluntatem unamque operationem dixerimus, aut eum non etiam natura hominem, sed solum Deum, aut natura tantum hominem, et non Deum; aut neque hominem, neque Deum esse, palam profitebimur. Puta, si naturalem forte voluntatem dixerimus, hæc aut divina prorsus est, aut humana. Si divina, ea Verbum natura volet quæ sunt divina; se natura Deum, eademque ac Pater præditum voluntate, solummodo ostendens; non autem hominem. Non enim res patitur, ut quod natura humanum est, nota sit ac insigne ejus quod est natura divinum: uti neque, ut quod divinum est, per id B quod est essentialiter humanum cognoscatur. Hoc vero ipsum consequenter fiat, si et natura humanam voluntatem dixerimus. Sin autem personalem dicamus; ejus duntaxat personæ nota atque insigne erit; nec secundum eam cum Patre atque nobiscum quidquam communicabit. Persona enim ab extremis discernitur ac sejungitur. Quæ ipsa etiam de operationibus dicenda sunt.

Ἀλλ' οὐ διὰ τοῦτο, μὴ γένοιτο, τὰς τῶν θεοφόρων Πατέρων περὶ αὐτῶν, φημὶ τῶν ἐνεργειῶν, μοναδικὰς ἐξαρνούμεθα, τήν τε τοῦ λεχθέντος θεοφάντορος ἁγίου Διονυσίου « Θεανδρικὴν ἐνέργειαν, » καὶ τὴν Κυρίλλου τοῦ σοφοῦ « μίαν τε καὶ συγγενῆ δι' ἀμφοῖν ἐπιδεδειγμένην ἐνέργειαν. » Αὗται μὲν γὰρ διὰ τὴν ἕνωσιν, καὶ τὴν πρὸς ἀλλήλας διόλου τῶν φυσικῶν ἐνεργειῶν συμφυΐαν, εὐσεβῶς αὐτοῖς ἐκηρύχθησαν· ὥσπερ καὶ αἱ δυϊκαὶ, διὰ τὴν οὐσιώδη καὶ φυσικὴν τούτων διαφοράν. Ἡ γὰρ *Θεανδρικὴ* τῆς θείας ὁμοῦ καὶ ἀνδρικῆς ἐνεργείας ὑπάρχει περίληψις. Κατάλληλον γὰρ ὁ διδάσκαλος ἐπινοήσας φωνὴν, ἑκατέραν, ὡς ἔφην, τῇ προφορᾷ συλλαμβάνουσαν, καὶ ταύτην μοναδικῶς ἐκφωνήσας, τὴν διπλῆν, τοῦ διπλοῦ τὴν φύσιν, ἐνέργειαν περιφραστικῶς παρεδήλωσεν.

At non propterea (apage) divinorum Patrum singulares de his voces (id est, operationibus) nempe unum quid significantes repudiamus; tum nempe ejus, cujus facta mentio est, divini interpretis beati Dionysii « Deivirilem operationem, » tum sapientissimi Cyrilli, « Unam atque affinem utriusque munere editam operationem. » Has enim illi pro-C pter unionem, naturaliumque operationum inter se prorsus quasi natura consertam cohæsionem, pie prædicarunt; uti et duplices (quæ scilicet duo significant) ob essentialem ac naturalem earum distinctionem. Vox enim *Deivirilis* divinam simul humanamque operationem complectitur. Convenientem enim doctor commentus vocem, quæ utramque operationem, uti dicebam, singulariter prolata complecteretur, duplicem operationem, ejus qui duplex natura sit, circumlocutione significavit.

Καὶ ἡ Κυρίλλου δὲ τοῦ σοφοῦ « μία τε καὶ συγγενὴς δι' ἀμφοῖν ἐπιδεδειγμένη ἐνέργεια, » τῆς τοῦ μεγάλου τούτου Πατρὸς μεγίστης ἔχεται διανοίας. Τὴν γὰρ τῶν φυσικῶν ἐνεργειῶν καὐτὸς συμφυΐαν καὶ ἕνωσιν δι' αὐτῆς ἐκπαιδεύει. Θέλων γὰρ δεῖξαι καὶ ὁ πανεύφημος οὗτος ἀνὴρ, ὡς ἥ τε σὰρξ Θεὸς, καὶ ἡ κατ' αὐτὴν οὐσιώδης ἐνέργεια, θεία τῇ πρὸς τῇ φύσει Θεὸν Λόγον ἑνώσει γεγένηται, καὶ τὰ ὑπὲρ ἄνθρωπον ἐνήργει, μὴ ἐκστᾶσα τούτου, οὗπερ ἦν κατὰ φύσιν· ὥσπερ οὖν καὶ αὐτὸς ὁ Λόγος τῇ ταύτης προσλήψει δι' ἡμᾶς ἑκουσίως γέγονεν ἄνθρωπος, τὰ κατὰ ἄνθρωπον ἐνεργῶν· καίπερ ὑπάρχων φύσει Θεὸς, διαγορεύει τοῦτον, μὴ παντουργῷ προστάγματι μόνον ἰᾶσθαι καὶ ζωοποιεῖν, ὡς μὴ Θεὸν ὄντα γυμνόν· ἀλλὰ συνεργάτιν ὥσπερ τινὰ, πρὸς τοῦτο δὴ μάλιστα, τὴν ἁγίαν αὐτοῦ σάρκα λαμβάνειν ἐπείγεσθαι· καὶ ζωοποιεῖν καὶ θεραπεύειν δι' αὐτῆς καὶ τῆς κατ' αὐτὴν ἁφῆς καὶ φωνῆς· ἵνα ταύτην δεικνύῃ ζωοποιεῖν δυναμένην, διὰ τὸ πρὸς αὐ-

Sed et illa sapientissimi Cyrilli: « Una et affinis utriusque munere edita operatio, » magni hujus Patris maximæ intelligentiæ proxima est. Nam ipse quoque summam quamdam naturalium operatio-D num, cohæsionem ac unionem per illam docet. Cum enim etiam viro huic clarissimo constitutum esset, ut ostenderet carnem Deum, ejusque essentialem operationem, unione cum Verbo natura Deo, divinam factam esse, majoraque quam pro hominis ratione esse operatam, cum ab eo quod erat natura, minime excessisset, uti etiam ipsum Verbum, ea propter nos sponte assumpta, homo factum est, humana operans, quanquam erat Deus natura; ipsum docet, nedum jussione omnium effectrice curare ac vitam tribuere; ut qui non sit nudus Deus, sed velut operis sociam, ad hoc maxime sanctam carnem suam sedulo adhibere; perque eam, ejusque tactu et voce vivificare atque curare, ut eam ostendat vivificandi vi præditam; idcirco nimi-

rum quod unum cum ea per unionem factum est; vereque ac proprie ipsius natura cunctis vitam largientis, non alterius caro est. Quamobrem etiam unam suam, ejusque (sanctæ scilicet carnis suæ), atque affinem utriusque munere edit operationem; unam quidem, unione; rursus vero, partibus affinem; quæ videlicet tum in jussione omnium effectrice, tum in sanctæ carnis contactu eadem ipsa exsisteret : utriusque enim munere, Verbum ut Deus, hanc claro exhibebat; nempe ostendens, qua per eam quoque vitam tribuebat, ipsam etiam prorsus vivificam evasisse; uti etiam ignis ferro adurens, unione cum ipso, ferrum præstat urendi vi præditum : ita nimirum ut ustio nedum ignis natura sit, sed et ipsius ferri, qua illi unitum est : divinaque rursus patrandis miraculis Verbi operatio, non ipsius solum sit propter naturam, sed et sanctæ ipsius carnis, ob personalem ejus cum ipsa unionem. Sibi enim in divinis, operis sociam eam adhibebat, uti loquitur magister, haud secus ac anima corpus adhibet, ut opera sua expleat. Hæc igitur una est ac affinis utriusque munere edita operatio, quæ naturalium operationum unionem declarans, diversi eas generis duasque, haud secus ac etiam Deivirilis operatio, vi sua a seque proprie significet; quod ad ambas referatur partes, ex quibus et in quibus unum ac singulare Verbum incarnatum exsistebat; spectetque ad utramque; utriusque scilicet munere edita; tum nempe jussionis omnium effectricis, tum contactus sanctæ carnis.

Ne quem vero prorsus vox συγγενὴς (sive affinem sive cognatam ac quasi ejusdem generis dicas) quasi paulo insolentior offendat. Usurparunt enim sancti Patres, tum in iis quæ ejusdem essentiæ sunt, tum quæ diversæ. Testis magnus Gregorius Theologus, dum in hæc verba de anima disserit, in *Oratione funebri* in fratrem suum Cæsarium : Post vero etiam aliquanto, cum cognatam carnem, quacum philosophata cœlestia est, receperit, Quo loco Gregorius, carnem animo cognatam, seu affinem, vocavit, non ratione naturæ, sed unionis. Rursusque *Oratione in sancta lumina* de unigenito Filio docens : « *Cui et cognatus Spiritus testimonium perhibebat.* » Quo loco cognatum, non ratione unionis dixit, sed ratione naturæ. Quin et ipse sapientissimus Cyrillus, tum de rebus essentia seu natura, tum persona discretis, nullo discrimine, cognati vocem atque affinis usurpat; atque hæc ait Commentariis suis in Joannis Evangelium, de curatione, quæ est per divinum baptisma, « Utrique quodammodo affini et amica. Spiritu enim sanctificat hominis spiritum; aqua vero corpus. » Quæ vero ac qualis affinitas seu cognatio Spiritus sancti et aquæ, sive essentiam ac naturam species, sive subsistentiam personamque cum spiritu nostro ac corpore.

Ejusdem ex epistola ad Nicandrum Cypri episcopum et ad præfectos eorum qui solitariam in Sicilia vitam degunt.

Unde natura Deum, eumdemque vere ac pro-

τὴν ἐν τῇ ἑνώσει γενέσθαι· καὶ αὐτοῦ τοῦ φύσει ζωογονοῦντος τὰ σύμπαντα, καὶ οὐχ ἑτέρου σάρκα κυρίως ὑπάρχειν. Διὸ καὶ μίαν αὐτοῦ καὶ αὐτῆς, φημὶ τῆς ἁγίας σαρκὸς καὶ συγγενῆ δι' ἀμφοῖν ἐπιδεικνύει ἐνέργειαν· μίαν μὲν, τῇ ἑνώσει· συγγενῆ δὲ πάλιν, τοῖς μέρεσιν· ὡς τὴν αὐτὴν οὖσαν, ἔν τε παντουργῷ προστάγματι, καὶ ἀφῇ τῆς ἁγίας σαρκός· δι' ἀμφοῖν γὰρ, ὡς Θεὸς, ὁ Λόγος, ταύτην σαφῶς ἐπεδείκνυτο· δεικνὺς τῷ καὶ δι' αὐτῆς ζωοποιεῖν, ὡς καὶ αὐτὴ γέγονεν δι' ὅλου ζωοποιός· καθάπερ καὶ πῦρ διὰ σιδήρου καῖον, ἑνώσει τῇ πρὸς αὐτὸν καυστικὸν ἀποφαίνει τὸν σίδηρον· ὡς εἶναι λοιπὸν διὰ τοῦτο μὴ τοῦ πυρὸς κατὰ φύσιν μόνον τὴν καῦσιν, ἀλλὰ καὐτοῦ τοῦ σιδήρου διὰ τὴν ἕνωσιν· καὶ τὴν ἐν τοῖς θαύμασι θείαν τοῦ Λόγου πάλιν ἐνέργειαν, μὴ τοῦ αὐτοῦ μόνον διὰ τὴν φύσιν ὑπάρχειν, ἀλλὰ καὐτῆς τῆς ἁγίας σαρκὸς, διὰ τὴν πρὸς αὐτὴν καθ' ὑπόστασιν ἕνωσιν· συνεργάτιν γὰρ ἑαυτοῦ ταύτην ἐν τοῖς θείοις παρελάμβανεν, ᾗ φησιν ὁ διδάσκαλος, ὥσπερ καὶ ψυχὴ τὸ ἴδιον σῶμα, πρὸς τὴν τῶν οἰκείων ἔργων ἐκπλήρωσιν. Αὕτη γοῦν ἡ μία καὶ συγγενὴς δι' ἀμφοῖν ἐπιδεδειγμένη ἐνέργεια, τῶν κατὰ φύσιν ἐνεργειῶν δηλοῦσα τὴν ἕνωσιν; τὸ ἑτερογενὲς τούτων καὶ δυϊκὸν, καθάπερ καὶ ἡ Θεανδρικὴ ἐνέργεια, δι' ἑαυτῆς κυρίως σημαίνει· τῷ πρὸς ἄμφω τὰ μέρη, τῶν ἐξ ὧν καὶ ἐν οἷς ὁ εἷς καὶ μόνος ἐγνωρίζετο σεσαρκωμένος Λόγος, ἀναφέρεσθαι· καὶ ἀμφοτέρων ὑπάρχειν, ὡς δι' ἀμφοῖν, τοῦ τε παντουργοῦ προστάγματος, καὶ τῆς ἀφῆς τῆς ἁγίας σαρκὸς ἐπιδεδειγμένη.

Οὐ δεῖ δὲ τῷ συγγενεῖ ξενίζεσθαι παντελῶς· ἐπί τε γὰρ ὁμοουσίων καὶ ἑτεροουσίων λέλεκται τοῖς ἁγίοις Πατράσι τὸ συγγενές· καὶ μάρτυς ὁ Θεολόγος καὶ μέγας Γρηγόριος, περὶ ψυχῆς λέγων οὕτως ἐν τῷ εἰς Καισάριον τὸν αὐτοῦ ἀδελφὸν *Ἐπιταφίῳ λόγῳ*, Μικρὸν δὲ ὕστερον καὶ τὸ συγγενὲς σάρκιον ἀπολαβοῦσα, ᾧ τὰ ἐκεῖθεν συνεφιλοσόφησεν. Ἐνταῦθα διὰ τὴν ἕνωσιν, ἀλλ' οὐ τὴν φύσιν συγγενῆ τῇ ψυχῇ τὴν σάρκα κέκληκεν ὁ διδάσκαλος. Καὶ πάλιν, *Ἐν τῷ Εἰς τὰ φῶτα*, περὶ τοῦ μονογενοῦς Υἱοῦ διδάσκων, φησί· *Καὶ ὁ ὑπὸ τοῦ συγγενοῦς μαρτυρούμενος Πνεύματος.* Νῦν τὸ συγγενὲς διὰ τὴν φύσιν, ἀλλ' οὐ τὴν ἕνωσιν εἴρηκεν. Αὐτὸς δὲ Κύριλλος ὁ σοφὸς κἀπὶ τῇ οὐσίᾳ καὶ ὑποστάσει διῃρημένων τὸ συγγενὲς ἀπαρατηρήτως λαμβάνει· καὶ τάδε λέγει τὸν εὐαγγελιστὴν Ἰωάννην ὑπομνηματίζων [20], περὶ τῆς κατὰ τὸ θεῖον βάπτισμα θεραπείας, « Συγγενῶς πως ἐχούσης πρὸς ἄμφω τῶν δεδηλωμένων. Πνεύματι μὲν γὰρ ἁγιάζει τοῦ ἀνθρώπου τὸ πνεῦμα· ὕδατι δὲ αὖ, τὸ σῶμα. » Τίς δὲ, καὶ ποία συγγένεια Πνεύματος ἁγίου καὶ ὕδατος κατά τε οὐσίαν ἢ ὑπόστασιν, πρὸς τὸ ἡμέτερον πνεῦμα καὶ σῶμα; εἰ καὶ τὰ μάλιστα κατὰ χάριν ἡμῖν καὶ

Τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς Νίκανδρον τὸν Κύπριον, καὶ τοὺς κατὰ Σικελίαν ἡγουμένους, καὶ μονάζοντας.

Φύσει Θεὸν καὶ ἄνθρωπον τὸν αὐτὸν κυρίως, οὐχ

ἑτέρωθεν ὄντα διαγινώσκομεν, ἢ ἐκ τῶν θεϊκῶς ἅμα καὶ ἀνθρωπικῶς χαρακτηριζόντων αὐτὸν, ἐμφύτων ἰδιωμάτων· τῆς τε θείας, ὡς ἔφην, θελήσεως καὶ ἐνεργείας, καὶ τῆς ἀνθρωπικῆς τοῦ αὐτοῦ θελήσεως καὶ ἐνεργείας· αἷς, καὶ δι' ὧν, ὃ ἦν καὶ γέγονεν ἐπισφραγίζει· θαυματουργῶν μὲν ὑπὲρ ἡμᾶς ὡς Θεὸς ἑκουσίως· πάσχων δὲ δι' ἡμᾶς ὁ αὐτὸς ἑκουσίως ὡς ἄνθρωπος· ὡς οὐκ ἄλλο τι παρὰ τῶν ἐξ ὧν, ἐν οἷς τε καὶ ἅπερ ἐστὶ γνωριζόμενος, οἷόν τι νόθον καὶ μεταίχμιον, ἤγουν τρίτον ἀποτέλεσμα, κατὰ τὴν τῶν ἡμιόνων παράδειξιν· ὡς ἡ τῶν κενολόγων [81] αἱρετικῶν μυθοπλαστία τερατολογεῖ, τοῦ εὐσεβοῦς ἀποσφαλεῖσα τῶν ἁγίων Πατέρων κηρύγματος· ἀλλ' αὐτὰ κατ' ἀλήθειαν κυρίως ὤν, τὰ ἐξ ὧν, καὶ ἐν οἷς κατ' ἀλήθειαν κυρίως ἐστίν. Ἐκ θεότητος γὰρ καὶ ἀνθρωπότητος, καὶ ἐν θεότητι καὶ ἀνθρωπότητι κατὰ φύσιν ὑπάρχων Θεὸς φύσει καὶ ἄνθρωπός ἐστιν ὁ Χριστός· καὶ ἄλλο τὸ παράπαν οὐδέν.

Καὶ πῶς, φασὶ, Κύριλλος ὁ σοφὸς μέσην τινὰ τάξιν τῶν ἐπὶ Χριστοῦ φωνῶν διαγορεύει φρονεῖν, οὑτωσὶ πρὸς Ἀκάκιον γράφων· « Αἱ μὲν γάρ εἰσι τῶν φωνῶν ὅτι μάλιστα θεοπρεπεῖς· αἱ δὲ, οὕτω πάλιν ἀνθρωποπρεπεῖς· αἱ δὲ μέσην τινὰ τάξιν ἔχουσι. Καὶ τί τοῦτο συμβαλεῖταί ποτ' ἂν ἐκείνοις πρὸς τὴν οἰκείαν ὑπόληψιν; » Οὐ γὰρ ἐκ μεταβολῆς, ἢ ἀποβολῆς τῶν ἄκρων, θεότητός φημι τοῦ Χριστοῦ καὶ ἀνθρωπότητος· ἢ θείας τοῦ αὐτοῦ καὶ ἀνθρωπίνης θελήσεως καὶ ἐνεργείας, ἕτερόν τι μέσον, ἤγουν μεταίχμιον ἀποτέλεσμα, μηδετέρᾳ φύσει τῶν ἐξ ὧν ἐστι κοινωνοῦν· ἢ πάλιν, ἐνέργειάν τινα σύνθετον ὄντα κατ' αὐτοὺς, ἢ ἔχοντα παραδίδωσιν ἐν τούτοις ἡμῖν ὁ διδάσκαλος, ἀλλ' ὅτι ταῦτα μὲν κυρίως ἐστὶ, τὰ ἐξ ὧν ἐστιν· οὐ διῃρημένως δὲ ταῦτα κατονομάζεται· ὁμοῦ δὲ, καὶ ἐν ταυτῷ τούτων ἑκάτερον, ὡς εἷς ὢν καὶ μόνος ὁ Χριστός. Καὶ μαρτυρεῖ περὶ τούτων αὐτὸς ὑπεραπολογούμενος τῶν Ἀνατολικῶν ἐπισκόπων, καὶ γράφων πρὸς Ἀκάκιον οὕτως, « Οἱ δέ γε κατὰ τὴν Ἀντιόχειαν ἀδελφοὶ, μερίζουσι μὲν κατ' οὐδένα τρόπον τὰ ἡνωμένα· διαιρεῖσθαι δὲ μόνας διατείνονται τὰς ἐπὶ τοῦ Κυρίου φωνάς· πρέπειν τε τὰς μὲν τῇ θεότητι αὐτοῦ, τὰς δὲ τῇ αὐτοῦ πάλιν ἀνθρωπότητι. Θεὸς γάρ ἐστιν ὁ αὐτὸς καὶ ἄνθρωπος· εἶναι δέ φασι καὶ ἑτέρας κοινοποιηθείσας τρόπον τινὰ, καὶ οἷον ἐπ' ἄμφω βλεπούσας· θεότητα καὶ ἀνθρωπότητα λέγω· οἷόν τί φημι, αἱ μὲν γάρ εἰσι τῶν φωνῶν ὅτι μάλιστα θεοπρεπεῖς, αἱ δὲ οὕτω πάλιν ἀνθρωποπρεπεῖς· αἱ δὲ μέσην τινὰ τάξιν ἔχουσιν, ἐμφανίζουσαι τὸν Υἱὸν τοῦ Θεοῦ Θεὸν ὄντα καὶ ἄνθρωπον ὁμοῦ τε καὶ ἐν ταυτῷ. » Δέδειχε τοιγαροῦν ἡμῖν ὁ διδάσκαλος, μέσην τάξιν εἶναι φωνῶν, οὐχ ἕτερόν τι τὸν Χριστὸν εἶναι, σημαινουσῶν, παρὰ τὰ ἐξ ὧν, ἐν οἷς τε καὶ ἅπερ ἐστὶν, ὥς τινες ὑπειλήφασιν· ἀλλὰ τὸν Θεὸν ὁμοῦ καὶ ἄνθρωπον τὸν αὐτὸν κατὰ φύσιν ὑπάρχειν. Καὶ παρακομίζει πρὸς ἀπόδειξιν τούτων τὰς θεοπνεύστους Γραφὰς οὑτωσὶ φάσκων. « Ὅταν μὲν τῷ Φιλίππῳ λέγῃ, *Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φί-*

A prie hominem, non aliunde quam ex proprietatibus natura insitis, quibus divina simul humanaque ratione insigniatur (tum scilicet ex divina, ut dixi, voluntate et operatione, tum ex humana ejusdem voluntate et operatione) dignoscimus; quibus ac per quas, quod erat factusque est, obsignat; edens sponte miracula ut Deus, humanaque majore potestate; idemque sponte patiens, ut homo, nostri causa: velut nimirum qui non aliud quid, præter ea ex quibus et in quibus ac quæ exsistit, esse noscatur, ceu fere quid spurium mediumque (id est, tertium quid ac anceps mulorum instar) effectus, ut hæreticorum B vana loquentium fabulosa loquacitas, a sanctorum Patrum pia prædicatione devia, monstrose comminiscitur; sed illa ipsa revera proprie exsistat, ex quibus et in quibus revera proprie est. Ex deitate enim et humanitate, atque in deitate et humanitate natura exsistens, Deus natura et homo, nec prorsus quidquam aliud, Christus est.

Et quomodo, inquiunt, sapientissimus Cyrillus medium quemdam ordinem vocum in Christo se sentire profitetur, in hæc verba ad Acacium scribens: « Inter voces, quæ Christo tribuuntur, quædam divinitati potissimum conveniunt; aliæ autem magis ad humanitatem pertinent: aliæ denique quasi medium quemdam ordinem obtinent. » Quid C vero hoc unquam, quo suam tueantur opinionem, illis contulerit? Non enim ex mutatione, aut repudio ac amissione extremorum Christi (scilicet deitatis ac humanitatis, sive divinæ ejus atque humanæ voluntatis ac operationis) aliud quid medium, sive interjectum effectum, cum neutra partium ex quibus est, communicantem; aut qui rursus in eorum sententia, operatio quædam composita sit, vel ea præditus; quibus sic loquitur, nobis tradit Cyrillus; sed, esse eum vere, ea, ex quibus est; haud tamen ea seorsim divisisque partibus vocari, sed simul utraque, ut qui unus Christus ac singularis sit. Testatur hæc ipse, cum orientales episcopos defendens, in hæc verba ad Acacium scribit: « At vero Antiocheni fratres, quæ quidem inter se D unita sunt, nullo pacto distrahunt: sed solas voces, quæ de Christo dicuntur, secernendas contendunt; atque alias quidem ejus divinitati, alias vero ejus rursus humanitati congruere. Idem enim Deus et homo est. Addunt nihilominus quasdam esse quodammodo communes, et velut ad utramque naturam spectantes, divinitatem scilicet et humanitatem. Quod dico, ejusmodi est. Inter voces, quæ Christo tribuuntur, quædam divinitati potissimum conveniunt; aliæ autem magis ad humanitatem pertinent: aliæ denique quasi mediæ sunt, quæ Filium Dei, Deum et hominem simul esse declarent. » Ostendit igitur nobis ille esse mediam classem vocum, non quæ significent esse Christum aliud quid, præter illa ex quibus, et in quibus, ac quæ est, ut quidam opinati sunt; sed quæ eumdem Deum esse atque hominem natura ostendant. Hisque pro-

bandis, divinas affert Scripturas, ita loquens : « Etenim cum Philippo dicit : *Tanto tempore vobiscum sum, et non cognovisti me, Philippe? Non credis quia ego in Patre, et Pater in me est? Qui vidit me, vidit et Patrem* [1] ; et : *Ego, et Pater unum sumus* [2] : vocem divinitati maxime convenientem proferre affirmamus. Cum vero Judæorum turbas increpans, ait : *Si filii Abrahæ essetis, opera Abrahæ utique faceretis. Nunc autem quæritis me interficere, hominem, qui veritatem locutus sum vobis : hoc Abraham non fecit* [3] : ejusmodi exponere dicimus, quæ homini proprie competunt. Verumtamen hoc ita accipiendum est, ut et illæ quæ Divinitati conveniunt, et illæ rursus quæ ad humanitatem pertinent, uni tantum Filio ascribantur. Medias autem voces illas esse asseveramus, ut cum beatus Paulus scribit : *Jesus Christus heri, et hodie; idem et in sæcula* [4]. Et rursus : *Unus Deus Pater, ex quo omnia, et nos ex ipso : et unus Dominus Jesus Christus, per quem omnia, et nos per ipsum* [5]. Ac rursus : *Quorum patres, et ex quibus Christus secundum carnem, qui est super omnia Deus benedictus in sæcula. Amen* [6]. En enim, en, nominato Christo Jesu, eumdem illum heri et hodie esse dicit, et in sæcula; ac per illum facta esse omnia. Illum quoque qui ex Judæis secundum carnem, Deum super omnia appellat; quin et in sæcula benedictum, Amen, dicit. Ne in his igitur, quæ de Domino dicuntur, voces diviseris. Simul enim complectuntur, et quod Deo convenit, et quod homini. Quin potius illas tanquam uni, Filio tribue, nempe Deo Verbo incarnato. » His verbis Spiritus, docuit nos doctor, ipsas quoque medias voces nihil penitus aliud in Christo significare, quam quod Deum simul, atque hominem deceat : unde et illi has indivise tribuendas jubet, ut qui Deus idem et homo, nec aliud prorsus quidquam, uti dicebam, exsistat.

Ejusdem ex oratione qua duas in Christo voluntates esse probat.

Nam nisi alia atque alia secundum essentiam est, divinitas et voluntas humana, liquet unam natura atque eamdem esse. Ac si ita est, natura quoque necessario una, nullaque varietate dissimilis est. Ubi enim nulla naturalis voluntatum diversitas est, nec essentiæ omnino ac naturæ est. Sin autem alia atque alia natura, plane distinctæ sunt. Ac si distinctæ, quomodo non earum necessario, qua pollent quantitate, fatendus numerus est? Sublata enim numeri ratio, tum distinctionem tollet, tum quæ distincta sint, ac si ne essent quidem, prorsus abolitura est. Nam qui etiam fiat, esse hæc, et non numerari? quidve demum causæ est, aut quomodo fit, ut quæ ex natura sunt voluntates, non etiam ex natura numerentur, cum et ipsæ naturæ numerari merito nunquam destiterint? Quod enim in voluntatibus

A λιππε; οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν; ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε καὶ τὸν Πατέρα· καὶ, Ἐγὼ, καὶ ὁ Πατὴρ ἕν ἐσμεν, θεοπρεπεστάτην εἶναι διαβεβαιούμεθα τὴν φωνήν. Ὅτε δὲ τοῖς τῶν Ἰουδαίων ἐπιπλήττει δήμοις, ἐκεῖνο λέγων, Εἰ τέκνα ἦτε τοῦ Ἀβραὰμ, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν· νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα· τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν· ἀνθρωποπρεπῶς εἰρῆσθαι τὰ τοιαῦτά φαμεν. Πλὴν τοῦ ἑνὸς Υἱοῦ τὰς θεοπρεπεῖς, καὶ μέντοι τὰς ἀνθρωπίνας.
B Μέσας δὲ εἶναι φωνὰς ἐκείνας διαβεβαιούμεθα, οἷον, ὅταν ὁ μακάριος γράφῃ Παῦλος, Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας. Καὶ πάλιν· Εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς ἐξ αὐτοῦ· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ. Καὶ πάλιν· Ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς, τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς, εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν. Ἰδοὺ γὰρ, ἰδοὺ Χριστὸν Ἰησοῦν ὀνομάσας, χθὲς καὶ σήμερον τὸν αὐτὸν εἶναί φησι, καὶ εἰς τοὺς αἰῶνας· καὶ δι' αὐτοῦ γενέσθαι τὰ πάντα· καὶ τὸν κατὰ σάρκα ἐξ Ἰουδαίων, ἐπὶ πάντας ὀνομάζει Θεόν· καὶ μὴν εὐλογητὸν εἰς τοὺς αἰῶνας, ἀμήν. Μὴ τοίνυν διέλῃς ἐν τούτοις τὰς
C ἐπὶ τοῦ Κυρίου φωνάς. Ἔχουσι γὰρ ἐν ταυτῷ τὸ θεοπρεπὲς καὶ ἀνθρώπινον· ἐφάρμοσον δὲ μᾶλλον αὐτὰς ὡς ἑνὶ τῷ Υἱῷ, τουτέστι, Θεῷ Λόγῳ σεσαρκωμένῳ. » Τούτοις δὴ τοῖς λόγοις τοῦ Πνεύματος καὶ αὐτὰς ἡμῖν ἀποδέδειχεν ὁ Διδάσκαλος τὰς μέσας φωνὰς, μηδὲν καθοτιοῦν ἕτερον ἐπὶ Χριστοῦ σημαινούσας, ἢ τὸ θεοπρεπὲς ἐν ταὐτῷ καὶ τὸ ἀνθρώπινον· ὅθεν αὐτῷ ταύτας καὶ ἐφαρμόζειν ἀδιαιρέτως παρακελεύεται δεῖν, ὡς Θεῷ τῷ αὐτῷ, καὶ ἀνθρώπῳ φύσει τυγχάνοντι· καὶ ἄλλο τὸ παράπαν, ὡς ἔφην, οὐδέν.

Τοῦ αὐτοῦ ἐκ τοῦ λόγου τοῦ περὶ τῶν δύο θελημάτων τοῦ ἑνὸς Χριστοῦ.

Εἰ ἄλλο καὶ ἄλλο κατὰ φύσιν οὐκ ἔστι τὸ θεῖον καὶ τὸ ἀνθρώπινον θέλημα, δῆλον ὡς ἓν φύσει καὶ ταὐτόν. Καὶ εἰ τοῦτο, καὶ ἡ φύσις ἐξ ἀνάγκης μία καὶ ἀπαράλλακτος. Οὗ γὰρ ἑτερότης φυσικὴ θελη-
D μάτων οὐκ ἔστιν, οὐδ' οὐσίας τὸ παράπαν καὶ φύσεως. Εἰ δὲ ἄλλο φύσει καὶ ἄλλο, διάφορα πάντως· καὶ εἰ διάφορα, πῶς τὸν ἐν πόσῳ τούτων ἀριθμὸν οὐχ ὁμολογῆσαι χρεών; Ἡ γὰρ τούτου ἐξάρνησις, αὐτῆς τε πάμπαν ἀφανισμὸν, καὶ τῶν διαφερόντων, ὡς οὐκ ὄντων, ἐργάζεται. Πῶς γὰρ καὶ εἶναι δυνατὸν καὶ μὴ ἀριθμεῖσθαι, καὶ δι' ἥντινα τὴν αἰτίαν; ἢ πῶς ὄντα μὲν κατὰ φύσιν, οὐκ ἀριθμούμενα δὲ τὰ θελήματα τὴν αὐτὴν, εἴπερ εὐλόγως μὴ παύσοιντο τοῦ ἀριθμεῖσθαι καὐταὶ αἱ φύσεις; Τὸ γὰρ ἐπ' ἐκείνων καλὸν, ἐμφύτων ὄντων καὶ συστατικῶν τῶν πραγμάτων, καὶ ἐπ' αὐτοῖς ὑπάρχειν προσήκει τοῖς πράγμασι, καὶ ἡ κἀκ τούτων ἀνέλωσι τὸν ἀριθμὸν,

[1] Joan. xiv, 9, 10. [2] Joan. x, 30. [3] Joan. viii, 39, 40. [4] Hebr. xiii, 8. [5] I Cor. viii, 6. [6] Rom. ix, 5.

ὡς ὅτι κατ' αὐτοὺς λυμαινόμενον, ἢ μηδαμῶς παραβλάπτοντα, καὶ ἐπ' ἐκείνων περιληφθῇ. Πρὸς δήλωσιν τῆς ἐνούσης αὐτοῖς ἐμφύτου διαφορᾶς, δι' ἣν αὐτῷ κἂν ταῖς οὐσίαις προσχρώμεθα· ἢ δείξωσι, πῶς μὴ ἀναίρεσιν πάντως ἢ σύγχυσιν, τοῦ κατὰ ἄνθρωπον φυσικοῦ τοῦ Σωτῆρος θελήματος ἀπεργάζονται, διὰ τῆς κατὰ τὸν ἀριθμὸν παραιτήσεως.

bonum aptumque est, quæ innatæ sint resque constituant ac insigniant, in ipsis quoque rebus ut exsistat conveniens sit; atque adeo vel ab his quoque numerum auferant, ut qui, per eos, labem asserat; vel, cum nihil lædat, in illis quoque assumatur; ad hoc scilicet, ut quæ illis natura inest distinctio innotescat: quod unum in causa est, ut et in naturis numerum usurpemus; aut certe ostendant, qui fiat ut naturalem Salvatoris voluntatem, qua ratione est homo, non omnino auferant aut confundant, qui ejus censum ac numerum respuant.

Τῷ γὰρ θεωθῆναι τῇ πρὸς Θεὸν ἑνώσει, καθὰ καὶ τὴν φύσιν αὐτὴν τῆς λογικῶς τε καὶ νοερῶς ἐψυχωμένης σαρκὸς, τῆς κατ' οὐσίαν ὀντότητος, οὐκ ἐξίστησιν· ὥσπερ οὐδὲ τῆς οἰκείας τὸν σίδηρον, ἡ ἄκρα καὶ δι' ὅλου πρὸς τὸ πῦρ συνανάκρασίς τε καὶ ἕνωσις· ἀλλὰ πάσχει μὲν τὰ πυρὸς, ἐπειδὴ πῦρ τῇ ἑνώσει γεγένηται· βρίθει δὲ πάλιν κατὰ φύσιν, καὶ τέμνει, ὅτι μὴ τῆς οἰκείας λώβην πέπονθε φύσεως, ἢ φυσικῆς ἐνεργείας ἐξέστη τὸ σύνολον· καίτοι μετὰ πυρὸς ὑπάρχων κατὰ τὴν αὐτὴν καὶ μίαν ὑπόστασιν, καὶ ἀδιαστάτως δρῶν, τά τε κατὰ φύσιν ἰδίαν· λέγω δὲ τὴν τομήν· καὶ τὰ καθ' ἕνωσιν αὖθις, ὅπερ ἐστὶν ἡ καῦσις. Αὐτοῦ γὰρ ὑπάρχει, καθάπερ καὶ τοῦ πυρὸς ἡ τομὴ, διὰ τὴν ἄκραν τούτων εἰς ἄλληλα περιχώρησίν τε καὶ ἀντίδοσιν· καὶ οὔτε τὴν φύσιν αὐτοῦ, φημὶ δὲ τοῦ σιδήρου, κἂν μετὰ πυρὸς ὁρᾶται, κωλυόμεθα τὸ παράπαν ὀνομάζειν ἢ ἀριθμεῖν, οὔτε τὴν φυσικὴν ἐνέργειαν, εἰ καὶ μετὰ καύσεως καθορᾶται, καὶ μηδεμίαν ἔχει πρὸς ταύτην διάστασιν, ἀλλ' ἑνοειδῶς σὺν αὐτῇ τε καὶ ἐν αὐτῇ διαφαίνεται καὶ γνωρίζεται. Τίς οὖν ὁ λόγος, τοῦ τὸ φυσικῶς τῇ φύσει προσὸν μὴ ἀριθμεῖν, τουτέστι τὸ θέλημα, καὶ ταύτῃ τὸ καθ' ἡμᾶς ἀτελὲς τῷ ὑπερτελεῖ καὶ προτελείῳ Θεῷ Λόγῳ σεσαρκωμένῳ προσμαρτυρεῖν, καίτοι πάντων ἐπίσης, εὐδοκίᾳ Πατρὸς, καὶ συνεργείᾳ Πνεύματος ἁγίου διὰ τὴν ἡμῶν σωτηρίαν, καθ' ἕνωσιν τὴν ἀδιάστατον τῶν τῆς φύσεως κεκοινωνηκότι, καθάπερ οὖν καὶ αὐτῆς τελείως τῆς φύσεως, πλὴν μόνης τῆς ἁμαρτίας, ὅτι μηδὲ τῆς φύσεως ἦν, ἀλλὰ γνώμης, παρὰ τὸν λόγον καὶ τὸν νόμον κεκινημένης τῆς φύσεως, ἐκτροπὴ καὶ ὀλίσθημα;

Non enim quod hæc, unione cum Deo deitate imbuta sit, haud secus ac ipsa natura carnis, animæ præditæ mente ratione et intelligente eo extrahit, quod illi essentiale exsistit; uti neque ferrum, ab eo quod illi ex essentia est, extrudit summa ejus, totaque mole cum igne contemperatio atque unio: sed ignis quidem affectiones recipit, eo quod ex unione velut ignis evasit; gravi tamen rursus pondere natura est, et secat, idcirco nimirum quod ejus naturæ nulla labes illata est, nec a naturali prorsus operatione excessit; etsi cum igne, secundum unam eamdemque subsistentis rationem, una exsistit, ac indivise operatur, tum quæ ex propria natura sunt (ut nempe secet) tum rursus quod ex unione accedit (scilicet ut urat. Illius enim est, quod urit, uti etiam ignis, quod secat, ob summam horum inter se intimamque penetrationem ac reciprocationem. Ac neque ejus naturam (ferri scilicet) etsi igni conjuncta conspicitur, ullo modo nominare prohibemur aut numerare, neque naturalem operationem: quanquam hæc cernitur urendi actioni comes, nec ab ea quidquam dividitur; sed uniformiter cum ea, atque in ea dilucet atque noscitur. Quæ igitur ratio ut id non numeremus quod natura inest naturæ (nempe voluntatem) eaque ratione, Deo Verbo incarnato, majori scilicet omni perfectione eique anteriori, ut nec homo perfectus sit tribuamus; quanquam omnium perinde, quæ naturæ sunt, nostræ salutis causa, per indivulsam unionem, propensa Patris voluntate ac Spiritus sancti cooperatione, commercium iniit; uti plane etiam ipsius perfecte communionem naturæ, uno duntaxat excepto peccato, quod ipsum ne naturæ quidem attinens, animi voluntatis arbitriique contra rationem legemque naturæ moti, exerratio atque lapsus exsistit.

Καί μοι δεόντως μάλιστα τούτου γε χάριν ὁ λεχθεὶς ἐπιστήσας φαίνεται μοναχὸς, τοῦ φυσικοῦ τὸ γνωμικὸν διαστείλας θελήματος. Τὸ μὲν γὰρ, κατὰ τὸν αὐτοῦ καλῶς ἔχοντα ὁρισμὸν, Δύναμις ὑπάρχει τοῦ κατὰ φύσιν ὄντος ὀρεκτική. Πᾶν γὰρ εἴ τι τῶν ὄντων καὶ μάλιστα λογικῶν, φυσικῶς τοῦ κατὰ φύσιν ὄντος ὀρέγεται, καὶ τούτου παρὰ Θεοῦ λαβὸν κατ' οὐσίαν ἔχει τὴν δύναμιν, πρὸς σύστασιν τὴν ἑαυτοῦ. Εἰ γὰρ τοῦ κατὰ φύσιν ὄντος οὐκ ἔχει τὴν ὄρεξιν, τοῦ μηδαμῶς ὄντος, πόθεν καὶ πῶς, μηδόλως ὕπαρξιν ἢ κίνησιν ἔχοντος; Μόνον γὰρ ἀδρανὲς τὸ μὴ ὂν καὶ ἀνούσιον· καὶ οὐδαμῶς οὐδὲ μία τούτου δύναμις ἐν τοῖς οὖσιν ὑπάρχει, καὶ κίνησις. Τὸ δὲ αὐθαίρετος ὁρμὴ καθέστηκε, τὰς ἐφ' ἑκάτερα ποιουμένη παρεκτροπάς· καὶ οὐ φύσεως ὑπάρχον ἀφο-

Mihique maxime, ejus rei gratia convenienter advertisse videtur, monachus ille, cujus memini, dum animi voluntatem, arbitriumque ac sententiam, a naturali voluntate distinxit. Hæc enim, juxta eam, quam rite tradidit, definitionem, Vis est, ejus appetens, quod est secundum naturam. Quidquid enim rerum usquam est, earum maxime quæ ratione utuntur, id quod est ex natura appetit, ejusque appetendi vim essentialiter a Deo, quo illi substantia sua, ac quod est, incolume sit, inditam accepit. Nisi enim ejus quod ex natura est appetitionem habet, unde, quove modo ejus quod non est, atque nihil est, habeat, quod omni prorsus essentia motuque careat? Solum enim imbecille est, quod nec est quidem, omnique essentia

caret; nec ulla prorsus ejus in rebus vis motusque A est. Hæc porro libera arbitriique appetitio est, in utrumque declinare præstans; cujus muneris est, non ut naturam, sed ut personam ac hypostasim proprie discernat. Qua re perspecta, divisus ille hominisque cultor Nestorius, animi voluntatum, seu sententiarum unionem impie docuit, ut altera alteram subsistentiam personamque astrueret, nudusque illi homo constaret; nempe animi quadam voluntate ac sententia, motuque libero in Deum Verbum, uti ipse loquitur, conflata unione; ex qua, eamdem consilii ac voluntatis rationem, seu (ut verius magisque proprie loquar) multiplicem, statuit; quanto etiam singulis paulatim voluntatis animi motibus, ex imperfectis ad perfecta, ten- B dendo ac proficiendo, ut ille opinatur, procedit; non quasi ex ipsa, nullis verbis explicabili conceptione, tota perfecte cum suis omnibus, cum tota ejusque omnibus natura nostra, penes unam eamdemque subsistentiam ac personam, Verbi deitas unita sit.

A ριστικὸν, ἀλλὰ προσώπου κυρίως καὶ ὑποστάσεως. Καὶ τοῦτό γε διαγνοὺς ὁ διῃρημένος καὶ ἀνθρωπολάτρης Νεστόριος, γνωμῶν ἕνωσιν ἀσεβῶς ἐδογμάτισεν· ἵν' ἑκατέραν δι' ἑκατέρας ὑπόστασιν ἐπικυρώσῃ, καὶ ὁ ψιλὸς ἄνθρωπος αὐτῷ τηρηθῇ, γνώμῃ τινὶ καὶ αὐθαιρέτῳ κινήσει τῇ πρὸς τὸν Θεὸν Λόγον, ὡς αὐτός φησι, τὴν ἕνωσιν ποιησάμενος, ἐξ ἧς καὶ τὴν ταυτοβουλίαν συνίστησιν, ἢ πολυβουλίαν, εἰπεῖν οἰκειότερον· ὅσῳ καὶ καθ' ἑκάστην τοῦ γνωμικοῦ θελήματος κίνησιν, κατὰ μέρος ἐκ τῶν ἀτελῶν ἐπὶ τὰ ἐντελῆ κατ' αὐτὸν ἵεται, φερομένη τε καὶ προκόπτουσα· ἀλλ' οὐκ ἐξ αὐτῆς τῆς ἀφράστου συλλήψεως, ὅλης τελείως μετὰ τῶν αὐτῆς ἁπάντων, πρὸς ὅλην καὶ τὰ κατ' αὐτὴν ἅπαντα, τὴν ἡμετέραν φύ- B σιν τῆς τοῦ Λόγου θεότητος, καθ' ὑπόστασιν μίαν καὶ τὴν αὐτὴν ἑνωθείσης.

Ut igitur, quem dixi, monachus, tum naturæ perfectionem in Deo incarnato exacte statueret, tum contrarietatem excluderet; naturali in eo constituta voluntate, arbitrariam dispunxit; ut neque divisioni locum, voluntatum in eo conflictu, daret, neque inanem speciem nudamque imaginem, per absentiam illius arcesseret. Sin autem quis forsitan affirmet, fieri non posse ut aliter duæ in eo dicantur voluntates, quam per contrarietatem seu oppositionem; siquidem ita intelligat, ut essentialiter diversas atque distinctas velit, nec ego eam inficias; sin autem contrarias et quæ inter se dissideant, falsum est quod dicitur. Non enim si quid distinctum ac diversum, omnino etiam contrarium est atque adversum. Adversum siquidem ac contrarium, animi voluntatis est, ac arbitrii aliter quam ex ratione moti; diversum vero seu distinctum, naturæ, quæ ratione regatur, opus exsistit: atque alterum quidem, naturam pugna committit; alterum eam palam conflat ac constituit. Essentialis itaque differentia ac distinctio, eo est, ut res in natura consistant sintque incolumes; non sic contrarietas, sed ut dissolvantur ac intereant. Non enim habet natura quod naturæ rationibus adversum est; nec ejus quod tumultuatur ac dissidet, ulla in rebus ratio est.

Ὡς ἂν τοίνυν καὶ τὸ ἐντελὲς διακριβώσῃ τῆς φύσεως ἐπὶ τοῦ σαρκωθέντος Θεοῦ, καὶ τὸ ἀντικείμενον διαῤῥίψῃ, ὁ λεχθεὶς μοναχός· τὸ μὲν φυσικὸν ὥρισεν ἐπ' αὐτοῦ· τὸ δὲ γνωμικὸν ἀποδιώρισε θέλημα, μήτε τῇ διαιρέσει χώραν δοὺς τῷ στασιάζειν ἐν τούτῳ, μήτε τῇ φαντασίᾳ παρείσδυσιν, τῷ μὴ ὑπάρχειν ἐκεῖνο. Εἰ δέ τις τυχὸν ἰσχυρίζεται, μὴ ἂν ἄλλως ἐπ' αὐτοῦ δυνατὸν, ἢ κατ' ἐναντίωσιν τὰ δύο θελήματα λέγεσθαι· εἰ μὲν ὡς κατ' οὐσίαν διάφορα, κἀγὼ δέχομαι, εἰ δὲ ὡς ἀντικείμενα, ψευδὴς ὁ λόγος. C Οὐ γὰρ εἴ τι διάφορον πάντως καὶ ἀντικείμενον. Τὸ γὰρ ἀντικείμενον, γνώμης παραλόγως δηλαδὴ κινουμένης· τὸ δὲ διάφορον, φύσεως λόγῳ κρατουμένης ἔργον καθέστηκε· καὶ τὸ μὲν φύσεως στασιαστικὸν, τὸ δὲ προδήλως συστατικόν. Διαφορὰ τοιγαροῦν οὐσιώδης, εἰς σύστασιν τῶν ἐν τῇ φύσει πραγμάτων ἐστὶν, οὐ μὴ ἐναντίωσις, [ἀλλὰ] πρὸς τὴν τούτων διάλυσιν. Οὐ γὰρ ἔχει ἡ φύσις τὸ παρὰ φύσιν· οὐδὲ λόγος οὐδεὶς τοῦ στασιάζοντος.

Præterea, si duæ voluntates omnino contrariæ ac oppositæ sunt, unde est ut nec in animis, natura ac persona discretis, id omnino ac prorsus contingat? D Etsi enim arbitrariæ animique voluntates sunt, quandoque illis consentimus, Deoque et angelis, ipsique alii aliis; nec idcirco jam animum sui arbitrum, ejusque voluntatem amisimus. Horum enim si jacturam fecissemus, utique etiam concordiæ cum aliis; quandiu enim illius compotes sumus, etiam alia quæ volentis animi sunt suique arbitri, tenemus. Cum hæc igitur sic se habeant, nec usquam pugna appareat, tametsi arbitrariæ voluntates, exsistentia atque numero incolumes sint, qua necessitudine animi amice consociantur; qui fit, ut in uno eodemque Deo Verbo incarnato, ac perfecte nostri causa facto homine, quæ ei essentialiter natura voluntates insunt, contrariæ sint

Ἄλλως τε, εἰ τὰ δύο θελήματα πάντως ἐναντία καὶ ἀντικείμενα, πῶς ἐπί τε τῶν φύσει καὶ ὑπο- D στάσει διῃρημένων λογικῶν, οὐ τοῦτο πάντῃ τε καὶ πάντως συμβαίνει. Συννεύομεν γὰρ ἔστιν ὅτε τούτοις, καίτοι γνωμικοῖς οὖσι, καὶ Θεῷ, καὶ ἀγγέλοις, καὶ ἀλλήλοις, ἀλλ' οὐ διὰ τοῦτο τῆς γνώμης ἤδη, καὶ τοῦ κατ' αὐτὴν θελήματος, διαπεπτώκαμεν. Εἰ γὰρ τούτων, καὶ τῆς πρὸς τοὺς ἄλλους δηλονότι συννεύσεως, εἴπερ ἕως ταύτην ἔχομεν, καὶ τῶν ἄλλων γνωμικῶν ἀντεχόμεθα. Εἰ οὖν ἐνταῦθα τοῦτο, καὶ οὐδαμῶς ἀντίταξις καθορᾶται, καίτοι σωζομένων ὑπάρξει τε καὶ ἀριθμῷ τῶν γνωμικῶν θελημάτων, καὶ τὴν φιλικὴν ἐν σχέσει διάθεσιν· πῶς ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς σαρκωθέντος Θεοῦ Λόγου, καὶ τελείως δι' ἡμᾶς ἐνανθρωπήσαντες, ἐν τοῖς φυσικῶς προσοῦσιν αὐτῷ κατ' οὐσίαν θελήμασιν, ἐναντίωσις ἔσται. Πῶς δὲ ταῦτά φασιν ἐναντία, δι' αὐτόν γε τὸν ἀριθ-

μόν, ἢ καὶ δι' αὐτὸ τὸ ὑπάρχειν. Εἰ μὲν διὰ τοῦτο, A καὶ τὴν φύσιν ἀνέλωσι τῆς σαρκὸς, ἀντικειμένην τῷ Λόγῳ διὰ τὴν ὕπαρξιν. Πολλῷ γὰρ ἰσχυρότερον, ὡς πᾶσιν εὔδηλον, εἰς ἀντίταξιν, τὸ ὑποκείμενον, τοῦ ἐν ὑποκειμένῳ καθέστηκεν. Εἰ δὲ διὰ μόνον τὸν ἀριθμὸν, καὶ τούτου τὰς φύσεις ἐρήμους ποιήσωσι, καὶ μηδὲ μίαν αὐτῶν ἀριθμείτωσαν· παραιτείσθωσαν δὲ καὶ πάλιν αὐτὸν διὰ τὴν αὐτὴν αἰτίαν, κἀπὶ τῶν τῆς μιᾶς καὶ ἀνάρχου θεότητος τριῶν ὑποστάσεων, ἵνα μὴ κἀκείνη στασιάζῃ πρὸς ἑαυτὴν, ἀλλ' ἄτοπόν γε τῷ μηδὲν ὄντι τὸ σύνολον, οὐκ οὐσία, οὐ ποιὸν, οὐκ ἄλλο τι τῶν ὄντων, ἰσχὺν τοσαύτην ἀποκληροῦν· ἀτοπώτερον δὲ, καὶ τὴν ὕπαρξιν αὐτὴν τοῦ φυσικοῦ θελήματος αἰτιᾶσθαι, κἀντεῦθεν τὴν ἀναίρεσιν αὐτοῦ κατασκευάζειν. Καὶ ταῦτα, τῶν ἄλλων ἐν τῇ φύσει πρωτίστην οὖσαν φυσικῶν ἰδιωμάτων καὶ κι- B νημάτων ἔμφυτον δύναμιν. Κατὰ ταύτην γὰρ μόνην, τοῦ εἶναι καὶ ζῆν, καὶ κινεῖσθαι, καὶ νοεῖν, καὶ λαλεῖν, καὶ αἰσθάνεσθαι, καὶ μετέχειν τροφῆς, ὕπνου τε καὶ ἀναπαύσεως, καὶ μὴ ἀλγύνεσθαι, μηδὲ θνήσκειν, καὶ ἁπλῶς ἁπάντων τῶν συνιστώντων τὴν φύσιν, ἔχειν τελείως τὰς ἕξεις, καὶ τῶν λυμαινομένων τὰς στερήσεις, φυσικῶς ἐφιέμεθα.

atque discordes? Quo autem modo contrarias asserunt, numeri ratione, an et ipsa exsistentia? Ac siquidem hanc causam dicunt, etiam carnis naturam, eo quod exsistit, Verbo adversantem sustulerint. Longe enim (ut cuivis exploratum est) major contrarii vis in eo, quod ipsum subjectum est, quam quod in subjecto exsistentiam habet. Sin autem sola numeri ratio officit, hanc et naturis adimant, neutramque eorum in numeros ponant : ac rursus ipsum ob eamdem causam, nec in tribus unius æternæque Deitatis personis, ne et illa ipsa secum dissideat, admittant. At sane absurdum, ei, qui nihil prorsus sit, non substantia, non qualitas, non aliud quid eorum quibus rerum genera censentur, vim tantam ascribere; longeque absurdius, ipsam naturalis voluntatis exsistentiam ac veritatem ejus arcessere; atque inde eam amoliendam astruere. Ac vel maxime, cum inter reliquas naturales proprietates ac motus, innata hæc vis facile princeps exsistat. Nam secundum hanc unam et esse et vivere et moveri et intelligere, et loqui et sentire, cibumque sumere, et somno recreari ac quiete, et non dolere neque mori ; prorsusque (ut verbo dicam) omnium ad naturæ incolumitatem facientium perfecte habitus nancisci, iisque carere quæ ad interitum ducunt, naturaliter appetimus.

Καί μοι φαίνεται κἂν τούτῳ προσηκόντως ποιήσας, κατὰ τὸν αὐτοῦ ὁρισμὸν ὁ εὐλαβὴς μοναχὸς, καὶ προσθεὶς τό· « Καὶ τῶν οὐσιωδῶς τῇ φύσει προσόντων, συνεκτικὴν πάντων ἰδιωμάτων. » Πάντα γὰρ ἀεὶ συνέχει, καὶ συνέχειν ἐφίεται, καὶ οὐδενὸς C ἔχειν τὴν στέρησιν, τὸ οὐσιῶδες ἐν ἡμῖν καὶ ἔμφυτον θέλημα· μᾶλλον δὲ ἡμεῖς, δι' αὐτοῦ τε καὶ κατ' αὐτό· καὶ οἶμαι τὸν καὶ ποσῶς τοῦ ὄντος, ἀλλὰ μὴ τοῦ δοκοῦντος λόγον ποιούμενον, συνθήσεσθαι πάντως δὴ, καὶ ὡς ἄνθρωπον τὸν σαρκωθέντα Θεὸν, φυσικὸν ἔχειν καὶ ἀνθρώπινον θέλημα· καὶ τῶν ἀπηριθμημένων ἕκαστον θέλειν κατ' αὐτὸ φυσικῶς, πρὸς πίστωσιν τῆς νοερῶς αὐτοῦ καὶ λογικῶς ἐψυχωμένης σαρκὸς, εἴπερ τέλειος ἄνθρωπος γέγονε, μηδενὶ τῶν ἡμετέρων λειπόμενος, πλὴν μόνης τῆς ἁμαρτίας· ἀλλὰ πάντα ἔχων ὅσα καὶ ἡμεῖς, ἀπαραλείπτως τὰ κατὰ φύσιν συστατικὰ τῆς ἡμετέρας οὐσίας, ὥσπερ οὖν καὶ τὰ τῆς ἀνάρχου καὶ θείας, δι' ὧν ἄνθρωπον ἑαυτὸν ὁμοῦ καὶ Θεὸν ὄντα κυρίως ἐγνώριζε, καὶ τὴν πρὸς ἡμᾶς, καὶ τὸν Πατέρα τελείως φυσικὴν D συγγένειαν διασώζοντα μετὰ τὴν ἕνωσιν.

Ac mihi quoque ea etiam parte consulto fecisse videtur, in sua definitione, religiosissimus monachus, dum et hæc addidit : « Et earum omnium proprietatum, quæ essentialiter naturæ insunt, vim conservatricem. » Omnia enim semper conservat ac continet, appetitque conservare ac nullo carere, quæ in nobis essentialis ac innata voluntas est; seu nos potius per eam, exque illius ratione; arbitrorque omnino assensurum, qui ejus quod vere est tantisper rationem habeat, non ejus quod inani solum specie; Deum incarnatum, ut etiam hominem, naturali atque humana voluntate præditum esse; eaque singula quæ enumerata sunt, secundum se natura velle, ad carnis suæ astruendam fidem, intelligentium more ac utentium ratione animatæ; ut qui ipse homo perfectus, nullo eorum, quæ nostra sunt, deficeretur, uno duntaxat dempto peccato; sed quæ nobis suppetunt omnia, nostramque naturaliter substantiam conflant, nullo desiderato haberet; uti plane etiam quæ sempiternam atque divinam; quibus se hominem simul Deumque vero demonstravit, ac qui perfecte nobiscum et cum Patre naturalem affinitatem, post etiam unionem servaret.

Τὸ γὰρ δὴ λέγειν, ὡς ἐν τῷ καιρῷ μόνῳ τοῦ σωτηρίου πάθους, ἡνίκα τὸ ἡμέτερον ἐτύπου πραγματικῶς ἐν ἑαυτῷ, καὶ ὡς ἄνθρωπος παρῃτεῖτο τὸν θάνατον, δύο θελήματα ἔχων ἐδείκνυτο, ἀποφαντικὸν, οὐκ ἀποδεικτικόν μοι δοκεῖ. Πῶς γὰρ ἐν τούτῳ μόνῳ τῷ καιρῷ, καὶ μὴ πρὸ τούτου, καὶ δι' ἥντινα τὴν αἰτίαν. Εἰ μὲν γὰρ εἶχε τότε, καὶ ἀπ' ἀρχῆς εἶχεν ἐξ οὗ γέγονεν ἄνθρωπος, ἀλλ' οὐχ ὕστερον ἐσχεδίασεν· εἰ δὲ ἀπ' ἀρχῆς οὐκ εἶχεν, οὐ δὲ κατὰ τὸν καιρὸν τοῦ πάθους, ἀλλὰ μόνον ἐφάντασε τὴν παραίτησιν, καὶ πρὸς ταύτῃ τὰ λοιπὰ δι' ὧν σεσώσμεθα,

Quod enim quis dicat, salutaris duntaxat passionis tempore (quando nimirum nostram in se reipsa naturæ speciem præferebat, atque ut homo mortem recusabat) duas prætulisse voluntates, sic ultro dici existimo, neque vero ulla certa ratione probari. Cur enim illo duntaxat temporis articulo, et non ante, quamve ob causam? Si quidem enim tum habebat, a principio etiam habuit, ex quo factus est homo, non postea ascivit. Si enim a principio non habuit, neque tempore passionis; sed solum opinione hoc gessit, ut scilicet mortem refugeret, at-

que etiam reliqua, quibus salutem adepti sumus, expleret; cujusmodi sunt fletus, preces, tristitia, mortis pavor, crux, mors, sepultura. Uno enim ex iis, quæ in eo pro humana ratione naturalia exsistunt, abrogato, neque reliqua consistent. Quomodo enim non illud quidem, hæc vero? quæve ratio? aut quæ rationum pugna, in eo quod orat, naturalemque sponte infirmitatem (carnis scilicet) timore ac pavore ostentat, nec prorsus obnititur, sed ait : *Si possibile est*. Et : *Non quid ego velim, sed quid tu* [1]; fortemque adversus mortem, atque alacrem timori motum appingit! Informabat quidem in se reipsa quod nostrum est naturali tantisper mortis formidini ejusque anxio timori concedens, ut et ab illo nos liberaret, suæque carnis naturam astrueret, ac inani omni specie vacare dispensationem monstraret. Moxque rursus maximam adversum mortem animi vim exserit, summamque humanæ suæ voluntatis, cum propria sua, Patrisque voluntate, necessitudinem ac unionem prodit, judicio suo approbans, dicensque : *Non mea, sed tua voluntas fiat;* hinc quidem divisionem, illincque rursus confusionem procul eliminans atque submovens.

Sin autem idcirco hæc dicunt, quod non appareat alias, ejus quod est velle, quam passionis tempore, meminisse, idipsum dixerint et de innata intelligendi vi, mentisque expertem ipsum asserent. Non enim apparet dixisse, quod mente cogitarit aut intellexerit. Simili quoque ratione de olfactu aliisque in nobis naturalibus, quorum nusquam scriptum est meminisse. Vel etiam de ipsa anima, ac si prius reipsa non exstiterit, quo ex tempore homo factus est, sed tunc solum cum ejus commeminit. Haud enim diu ante passionem illud præstitisse proditum est. Aut igitur tunc quasi ex tempore natam dicant, quod non sæpius ac jam tum initio ejus facta mentio est; aut cum hoc non dicant, sed ex magni Athanasii sententia : « Simul caro, simul Dei Verbi caro animata, ratione utens, » doceant; naturalem quoque Salvatoris voluntatem, qua homo esset, non passionis duntaxat tempore exstitisse dicent, etsi illius tunc meminit, sed a principio velut in nobis, ac quæ illi tanquam homini natura consubstantialis sit :

Subit autem mirari et de operatione, quomodo in Christo unam esse doceant, relate nimirum ad individuum, ejusque, ut ipsi loquuntur, consideratione. Atque ut mittam dicere, eorum quæ naturalia sunt, nihil primo ad individuum relationem habere, sed ad naturam ipsius ac essentiam. Quid enim quis operari possit absque iis facultatibus, quæ naturæ insunt? Undeve alicui ut operetur absque natura, aut ut ejus præditus facultate exsistat? Libensque ex iis quæsierim, num ut naturales operationes interimant, hanc objiciunt, necne? Si enim ut interimant, quomodo, qualisve tan-

[1] Matth. xxvi, 39.

A οἷον τὸ δάκρυον, τὴν εὐχὴν, τὴν λύπην, τὴν ἀγωνίαν, τὸν σταυρὸν, τὸν θάνατον, τὴν ταφήν· ἑνὸς γὰρ ἀκυρουμένου τῶν ἐν αὐτῷ καθ' ἡμᾶς φυσικῶν σωζομένων, οὐδὲ τὰ ἄλλα στήσεται. Πῶς γὰρ οὐκ ἐκεῖνο μὲν, ταῦτα δέ; Καὶ τίς ὁ λόγος; ἐναντίωσις δὲ ποία τὸ προσεύχεσθαι, καὶ φυσικῆς ἐκουσίως; τῆς κατὰ τὴν σάρκα λέγω, πρόσδειξιν ἀσθενείας ποιεῖσθαι διὰ τῆς συστολῆς, καὶ μὴ ἀντιτείνειν ὅλως, ἀλλὰ λέγειν· *Εἰ δυνατόν*. Καί· *Μή τι ἐγὼ θέλω, ἀλλ' εἴ τι σύ*· καὶ συνάπτειν τῇ συστολῇ τὴν ἰσχυρὰν κατὰ τοῦ θανάτου καὶ πρόθυμον κίνησιν; Ἐτύπου μὲν γὰρ πραγματικῶς ἐν ἑαυτῷ τὸ ἡμέτερον, διὰ τῆς φυσικῆς πρὸς μικρὸν ἀγωνίας ἵνα καὶ ταύτης ἡμᾶς ἐλευθερώσῃ, καὶ τῆς οἰκείας σαρκὸς τὴν φύσιν πιστώσηται, καὶ πάσης καθαρὰν B τὴν οἰκονομίαν φαντασίας ἐργάσηται· παρίστη δὲ πάλιν εὐθὺς τὴν κατὰ τοῦ θανάτου μεγίστην ὁρμὴν, καὶ τὴν ἄκραν τοῦ κατ' αὐτὸν ἀνθρωπικοῦ, πρὸς τὸ οἰκεῖον αὐτοῦ καὶ Πατρικὸν θέλημα, συμφυΐαν καὶ ἕνωσιν, τῷ ἐπικρῖναι τοῦτο καὶ φάσκειν· *Μὴ τὸ ἐμὸν, ἀλλὰ τὸ σὸν γενέσθω*. Ταύτῃ μὲν τὴν διαίρεσιν ἀπωθούμενος, ἐκείνῃ δὲ πάλιν τὴν σύγχυσιν.

Εἰ δὲ, ὅτι μὴ ἄλλοτε φαίνεται τοῦ θέλειν ἔμφασιν πεποιημένος, ἢ κατὰ τὸν καιρὸν τοῦ πάθους, ταῦτά φασι, τοῦτο καὶ περὶ τῆς ἐμφύτου νοήσεως εἴποιεν, καὶ ἄνουν αὐτὸν κατασκευάσουσιν. Οὐ γὰρ φαίνεται λέξας ὅτι νενόηκα. Καὶ περὶ ὀσφρήσεως C ὁμοίως, καὶ τῶν λοιπῶν καθ' ἡμᾶς φυσικῶν, ὧν μνημονεύσας οὐκ ἀναγέγραπται. Ἢ καὶ περὶ τῆς ψυχῆς αὐτῆς, ὡς οὐ πρότερον οὔσης καθ' ὕπαρξιν, ἀφ' οὗ γέγονεν ἄνθρωπος, ἀλλ' ἢ μόνον ὁπόταν αὐτῆς ἐμνημόνευσεν. Οὐ πρὸ πολλοῦ γὰρ τοῦ πάθους τοῦτο πεποιηκὼς ἀνηγόρευται. Ἢ τοίνυν σχεδιασθεῖσαν αὐτὴν αὐτίκα εἴπωσιν, ὅτι μὴ πολλάκις καὶ ἀπ' ἀρχῆς αὐτῆς ἐμνημόνευσεν· ἢ τοῦτο μὴ λέγοντες, ἀλλ' « Ἅμα σὰρξ, ἅμα Θεοῦ Λόγου σὰρξ ἔμψυχος, λογικὴ, » κατὰ τὸν μέγαν Ἀθανάσιον δογματίζουσι, καὶ τὸ φυσικὸν ὡς ἀνθρώπου τοῦ Σωτῆρος θέλημα, μὴ κατὰ τὸν καιρὸν εἶναι τοῦ πάθους λέξουσι μόνον, εἰ καὶ μνήμην αὐτίκα τούτου πεποίηκεν· ἀλλ' ἀπ' ἀρχῆς ὡς ἀνθρώπῳ καθ' ἡμᾶς φυσικῶς τῷ Σω- D τῆρι συνουσιωμένον·

Ἔπεισι δέ μοι θαυμάζειν καὶ περὶ ἐνεργείας, ὡς μίαν ταύτην ἐπὶ Χριστοῦ δογματίζουσι, τῇ πρὸς τὸ ἄτομον, ὡς αὐτοί φασιν, ἀποσκοπήσει καὶ ἀναφορᾷ. Καὶ ἵνα παρῶ λέγειν, ὡς οὐδὲν τῶν φυσικῶν ὡς εἰς ἄτομον προηγουμένως, ἀλλὰ τὴν τούτου φύσιν τε καὶ οὐσίαν ἔχει τὴν ἀναφοράν. Τίς γὰρ ἄνευ τῶν φυσικῶς προσόντων τῇ φύσει δυνάμεων, ἐνεργεῖν τι δύναιτ' ἄν; ἢ πόθεν αὐτῷ τὸ ἐνεργεῖν ἢ δύνασθαι, πάρεξ τῆς φύσεως; Ἐκεῖνο δὲ ἐρωτῆσαι βούλομαι· Πρὸς ἀναίρεσιν ἄρα τῶν φυσικῶν ἐνεργειῶν ταύτην προΐσχοντο, ἢ τί; Εἰ γὰρ ἐπ' ἀναιρέσει, πῶς, πότε καὶ ποῖα κατὰ τὴν ἐκείνων ἀπόπαυσιν εἴη τὸ παρά-

πὴν ἐνέργεια; ὡς γὰρ φύσεων οὐκ οὐσῶν, καὶ τὸ ἐξ αὐτῶν ἀφανίζεται πάντως, ἡ σύνθετος λέγω ὑπόστασις· οὕτω καὶ τῶν φυσικῶν ἐνεργειῶν οὐκ οὐσῶν, οὐδ' ἄλλη τὸ σύνολον ἔσται. Καὶ οὐ λέγω τοῦτο, ὡς ἄλλης ἐνεργείας ἐκ τῶν φυσικῶν συνισταμένης. Οὐδὲ μία γὰρ τῶν ἐν ὑποκειμένῳ σύνθεσις· Ὅτι μηδὲ τὴν καθ' ἑαυτὰ τὸ σύνολον ὕπαρξιν, ἀλλὰ τὸ εἰκαῖον παριστᾷ. Ὡς εἰ τὰς κυρίως κατὰ φύσιν οὔσας οὐκ εἶναι λέγουσι, πῶς ὑπάρξει τὸ μηδαμῶς ὄν; Τίς γάρ ἐστι ὑποστατικὴν λέγων ἐνέργειαν, καὶ πόθεν τοῦτο, καὶ παρὰ τίνος λαβόντες προσφέρουσιν; Εἰ δὲ τοῦτο τυχὸν ἀποφαίνονται, σύνθετον δὲ τὴν ὑπόστασιν ὁμολογοῦσι πρὸς ἣν ἀναφέρεται, καὶ τῶν ἐναντίων καὶ ἀντικειμένων δεκτικήν· θνητὴν γὰρ καὶ ἀθάνατον, ὁρατὴν καὶ ἀόρατον, περιγραπτὴν καὶ ἀπερίγραφον, ἄναρχον καὶ ὑπὸ ἀρχήν, ἔσται τοῦτο κατὰ τὸ εἰκὸς καὶ ἡ ἐνέργεια. Καὶ πῶς ἄλλως, ἢ καθ' ἕξιν δηλονότι καὶ στέρησιν; καὶ τὰ μέν, ὡς οὖσα, πείσεται, τὰ δέ, ὡς μὴ οὖσα, παρυποστήσει. Πῶς δὲ καὶ ὁ τοιαύτην ἔχων ἐνέργειαν, κατὰ τὸ αὐτὸ καὶ οὐκ ἄλλο καὶ ἄλλο, ὅτι μηδὲ ἐκείνη, τὰ ὅμοια πείσεται; προσφυῶς γὰρ ἔχειν τῇ οἰκείᾳ ἐνεργείᾳ τὸν ἐνεργοῦντα, κἀκείνη τούτῳ, πᾶσα ἀνάγκη. Καὶ πῶς Θεός, ὁ ἕξει, καὶ μὴ φύσει Θεός; Πῶς δὲ ἄνθρωπος, ὁ στερήσει, καὶ μὴ οὐσίᾳ κυρίως τοῦτο ὑπάρχων; Τίς δὲ φύσις ἀνενέργητος, ἢ φυσικῆς ἐνεργείας ἐκτός; Ὡς γὰρ οὐδαμῶς ὑπάρξεως ἔρημος, οὕτως οὐδὲ δυνάμεως φυσικῆς. Εἰ δὲ ταύτης ἀμοιρεῖ, καὶ τῆς ὑπάρξεως ἀμοιρήσειεν ἄν. Τὸ γὰρ ἀδύναμον, ὡς ἀδρανὲς πάντη μόνον ἐστὶ τὸ μὴ ὄν. Πᾶν γὰρ εἴ τι τῶν ὄντων, συστατικὴν ἔχει διαφοράν, τὴν ἔμφυτον κίνησιν τῷ γένει συμπαραλαμβανομένην, καὶ ποιοῦσαν τοῦ ὑποκειμένου τὸν ὁρισμόν, δι' οὗ ὅτι ἐστὶ καὶ τί ἐστι κυρίως γνωρίζεται, πρός τε τὰ ὁμοειδῆ τὸ ἀπαράλλακτον ἔχον, καὶ τὸ διάφορον αὖθις πρὸς τὰ ἑτεροειδῆ· καὶ εἰ τοῦτο, πῶς δυνατὸν φυσικῇ δυνάμει ἀμοιροῦντα κατὰ σάρκα, τὸν ἐνανθρωπήσαντα Λόγον ἄνθρωπον τέλειον, ἢ ὅλως ἄνθρωπον χρηματίζειν. Οὐ γὰρ δίχα φυσικῆς ἐνεργείας ὁ ἄνθρωπος, ὥσπερ οὐδ' ἄλλη φύσις τῆς οἰκείας καὶ οὐσιώδους. Ἡ γὰρ ἔλλειψις ταύτης, ἢ οὐδὲ φύσιν εἶναι ποιεῖ τὴν φύσιν, ἢ τὰς πάσας ἀλλήλαις ταυτόν, καὶ ἀντὶ πάντων μίαν, τῇ ἀπολείψει τῆς συνιστώσης συμφυρείσας δι' ὅλου συγχυθείσας. Εἰ γὰρ οὐκ ἀνενέργητον λέγουσι τὸ καθ' ἡμᾶς τὸν Λόγον, δῆλον ὡς ἔμφυτον καὶ ἀνθρωπίνην ἐνέργειαν ἔχοντα τοῦτόν φασι. Πῶς γὰρ ἂν ἄλλως; Οὐ γὰρ ἐνεργεῖν δυνατὸν φυσικῆς ἐνεργείας χωρίς· ὥσπερ οὐδὲ ὑπάρχειν, οὐσίας δίχα καὶ φύσεως. Ἀλλ' οὐδὲ μίαν μόνον, ἄν περ ᾖ τὴν φύσιν διπλοῦς, τὴν ἔμφυτον ἔχειν ἐνέργειαν τὸν ἐνεργοῦντα, πᾶσα ἀνάγκη· ἐπεὶ καὶ

A dem, illis submotis ac abrogatis, futura operatio? Nam sicut naturis non exsistentibus prorsus etiam necesse est aboleri quod ex eis est (personam scilicet compositam), sic quoque cum non exsistent naturales operationes, nec ulla alia omnino futura est. Neque hoc dico, quasi aliam ex naturalibus conflandam operationem velim. Eorum enim quæ sunt in subjecto, nulla est compositio; quod scilicet non ipsa vere omnino ac per se exsistant, sed debile quidpiam vanumque exhibeant. Quocirca si quæ vere sunt per naturam esse inficiantur, qui fiat ut quod nusquam aliquid est, id vero reipsa exsistentiæ compos exsistat? Quis enim est qui personalem operationem dicat, aut unde hoc et a quo acceptum proferant? Sin autem forte
B istud asserunt, personamque ad quam refertur, fatentur compositam; contrariorum scilicet et eorum quæ opposita sint capacem; nempe, mortalem et immortalem, oculis conspicuam et inaspectabilem, circumscriptam et incircumscriptam, carentem principio et quæ principio subsit; istud merito erit et operatio. Quo vero alio modo, quam secundum habitum et privationem? Ac partim quidem, ut quæ exsistat, patietur; partim vero, ut quæ ipsa non exsistat, diminute et quasi umbra substabit. Qui autem fiat, ut tali præditus operatione, secundum idem, et non aliud atque aliud (quando nec ipsa) talia patiatur? Operantem enim suæ coaptari operationi, hancque illi congeneam ac
C affinem esse, prorsus necesse est. Ecquonam modo Deus, qui non natura, sed illius habitu sit? Quove modo homo, qui privatione, et non substantia vere istud exsistit? Quænam vero natura ipsa iners, aut quæ naturali deficiatur operatione? Uti enim nusquam exsistentia vacat ac substantia, sic neque naturali caret operatione. Sin autem hujus expers est, utique etiam illius expers futura est. Quod enim vi ac facultate caret, ut prorsus imbecille atque obscurum, unum nihil est. Si quid enim demum in rebus est, constituentem sui ac insignientem differentiam habet (naturæ scilicet insitum motum) qua, una cum genere assumpta, subjecti definitio struatur subjectumque esse ac quidnam illud sit, manifestetur; ejusmodi
D scilicet, ut cum eis quæ ejusdem generis sunt, nulla dissimilitudine abhorrens, conveniat, ac rursus ab eis, quæ diversi generis sunt, differat. Ac si ita est, qui omnino fiat, ut naturalis expers operationis (quod ad carnem attinet), Verbum homo factum, ipsum homo perfectus, aut prorsus homo exsistat? Non enim est homo, qui naturali operatione deficiatur, uti nec alia quævis natura, quæ propria ac essentiali careat facultate. Quod enim hæc desit, aut id præstat, ut ne quidem natura sit, aut ut naturæ omnes inter se idem sint, unaque vice omnium habeatur, iis prorsus commistis atque confusis, per ejus vis absentiam ac facultatis, quæ constituit atque insignit. Si enim non iners experaque operationis, ea ratione quia est homo, Verbum dicunt, palam insitam ac naturalem operationem illi ascribunt. Quo enim alio modo intelligatur? Ut enim aliquid operetur non naturali fultum operatione, haud unquam fiat, uti neque ut absque essentia et natura exsistat. Sed nec unam solum operationem naturalem habeat, qui operatur, prorsus necesse est, siquidem ipse duplicis naturæ exsistat.

A Mitto dicere, nec Christi compositam personam individuum proprie esse. Non enim relationem habet, ea ratione quod ex generalissimo genere per genera subalterna in specialissimam speciem dividatur, suumque in ea processum definiat. Atque id causæ est, cur, sapientissimo Cyrillo auctore, nomen Christus definitionis vim minime habeat. Neque enim species est, quæ de multis numero distinctis prædicetur, neque vero essentiam cujusquam significat. Neque enim individuum est, quod ad speciem aut genus reducatur, vel secundum essentiam ab eis circumscribatur; sed persona composita, naturalem extremorum divisionem, ad summam in seipsa identitatem atque unitatem, partium suarum unione trahens.

B *Ejusdem in illa verba, « Pater, si fieri potest, transeat a me calix iste. »*

Si illud : *Pater, si fieri potest, transeat a me calix* [1], pavoris vim habens, sic hominis existimas, ut Servatoris esse non putes, quod ejus voluntas Deo non adversetur, quoniam ex Deo sit tota, sed hominis meri, quales nos sumus, qui Deo in multis resistit, adversatur, ut divus ait Gregorius, reliqua illa precationis pars : *Non quod ego volo, sed tua voluntas valeat* [2], formidinis an virtutis, summæ conjunctionis an dissensionis vim habere videtur tibi ? Nemo profecto, qui sanus sit, ea verba timori et repugnantiæ tribuet, sed conjunctioni potius perfectæ et consensioni.

C Quod si conjunctionis est perfectæ atque consensionis, ex quonam suscipit ? ex homine, quales nos sumus, aut ex homine, qui secundum Servatorem intelligitur ? At si ex homine simplici, quales nos sumus, falsus est sermo præceptoris, quem diximus, cum divinam omnino voluntatem non sequatur, sed ei plerumque repugnet. Nam si sequitur, non repugnat, sin repugnat, non sequitur. Alterum enim ab altero ut a contrario tollitur et aufertur. Quod si homini, non quales nos sumus, mero et simplici, sed ut Servatori tribuis verba illa : *Non quod ego volo, sed tua voluntas valeat*, summam humanæ voluntatis cum divina ipsius voluntate paterna consensionem confiteris, et duas voluntates, duasque actiones naturales duplicem habentis naturam constituis, cum tamen earum neutra alteri adversetur, licet naturalem in omnibus differentiam habuerit earum, ex quibus, et in quibus et quæ erat ipse secundum naturam. D At si rationibus his victus eo profugeris, ut dicas, neque hominis puri, quales nos sumus, neque hominis ut Servatoris esse ea verba : *Non quod ego volo*, sed per negationem ad Unigeniti principio carentem divinitatem referri, quod præter Patrem ipse proprie aliquid velle non possit : ergo et quod noluit, idem, calicis deprecatio, ad ipsam principio carentem divinitatem necessario referetur. Nam si negatio-

[1] Matth. xxvi, 39. [2] Ibid.

Καὶ παρῶ λέγειν, ὡς οὐδὲ ἄτομον κυρίως τὸ κατὰ Χριστὸν σύνθετον λέγεται πρόσωπον. Οὐ γὰρ σχέσιν ἔχει [12] πρὸς τὴν ἐκ τοῦ γενικωτάτου γένους διὰ τῶν ὑπάλληλα καθειμένην γενῶν πρὸς τὸ εἰδικώτατον εἶδος διαίρεσιν, καὶ ἐν αὐτῷ τὴν οἰκείαν πρόοδον περιγράφουσαν. Ὅθεν διὰ τοῦτο, κατὰ τὸν σοφώτατον Κύριλλον, τὸ Χριστὸς ὄνομα, οὔτε ὅρου δύναμιν ἔχει· οὐδὲ γὰρ εἶδός ἐστι πολλῶν ἀριθμῷ διαφερόντων κατηγορούμενον, οὔτε μὴν τὴν τινὸς οὐσίαν δηλοῖ. Οὐδὲ γὰρ ἄτομόν ἐστι, πρὸς εἶδος ἢ γένος ἀναγόμενον, ἢ κατ' οὐσίαν ὑπὸ τούτων περιγραφόμενον· ἀλλ' ὑπόστασις σύνθετος, τὴν φυσικὴν τῶν ἄκρων διαίρεσιν ἐν ἑαυτῇ κατ' ἄκρον ταυτίζουσα, καὶ εἰς ἓν ἄγουσα τῇ τῶν οἰκείων ἑνώσει μερῶν.

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τό, « Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο. »

Εἰ τό, *Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον*, συστολῆς ἔμφασιν ἔχον τοῦ ἀνθρώπου λαμβάνεις, οὐ τοῦ κατὰ τὸν Σωτῆρα νοουμένου· τὸ γὰρ ἐκείνου θέλειν οὐδὲ ὑπεναντίον Θεῷ, θεωθὲν ὅλον, ἀλλὰ τοῦ καθ' ἡμᾶς ὡς οὐ πάντως ἑπομένου τῷ Θείῳ, ἀλλ' ἀντιπίπτοντος ὡς τὰ πολλά, καὶ ἀντιπαλαίοντος, ᾗ φησιν ὁ θεῖος Γρηγόριος, τὸ ἑξῆς τῆς εὐχῆς, ἤγουν τὸ *Οὐχ ὃ ἐγὼ θέλω, ἀλλὰ τὸ σὸν ἰσχυέτω θέλημα*, τί σοι δοκεῖ, συστολῆς ὑπάρχειν, ἢ ἀνδρίας; συννεύσεως ἄκρας, ἢ διαστάσεως; Ἀλλ' ὅτι μὲν οὐκ ἀντιπτώσεως, οὔτε δειλίας, συμφυΐας δὲ μᾶλλον ἐντελοῦς καὶ συννεύσεως, οὐδεὶς ἀντερεῖ τῶν νοῦν ἐχόντων.

Καὶ εἰ συμφυΐας ἐντελοῦς καὶ συννεύσεως, ἐκ τίνος ταύτην προσδέχῃ, τοῦ καθ' ἡμᾶς, ἢ τοῦ κατὰ τὸν Σωτῆρα νοουμένου ἀνθρώπου; Ἀλλ' εἰ μὲν τοῦ καθ' ἡμᾶς, ἡμάρτηται περὶ αὐτοῦ διαγορεύων ὁ τοῦ ῥηθέντος διδασκάλου λόγος, ὡς οὐ πάντως ἑπομένου τῷ θείῳ θελήματι, ἀλλ' ἀντιπίπτοντος ὡς τὰ πολλά, καὶ ἀντιπαλαίοντος. Εἰ γὰρ ἕπεται, οὐκ ἀντιπίπτει, καὶ εἰ ἀντιπίπτει, οὐχ ἕπεται. Θατέρῳ γὰρ θάτερον ὡς ἀντικείμενον ἀναιρεῖται καὶ ὑπεξίσταται· εἰ δὲ μὴ τοῦ καθ' ἡμᾶς, ἀλλὰ τοῦ κατὰ τὸν Σωτῆρα νοουμένου ἀνθρώπου λαμβάνεις τό, *Οὐχ ὃ ἐγὼ θέλω, ἀλλὰ τὸ σὸν ἰσχυέτω θέλημα*, τὴν ἄκραν τοῦ ἀνθρωπικοῦ πρὸς τὸ θεῖον αὐτοῦ θέλημα καὶ πατρικὸν ὡμολόγησας σύννευσιν, καὶ δύο τοῦ διπλοῦ τὴν φύσιν τάς τε θελήσεις καὶ ἐνεργείας κατὰ φύσιν οὔσας παρέστησας ἐν οὐδετέρᾳ τὴν οἱανοῦν ἐναντίωσιν ἔχοντος, εἰ καὶ τὴν φυσικὴν ἐν πᾶσιν εἶχε διαφορὰν τῶν ἐξ ὧν, ἐν αἷς τε καὶ ἅπερ ἦν ὁ αὐτὸς κατὰ φύσιν. Εἰ δὲ τούτοις ἐξειργόμενος τοῖς λογισμοῖς ἐπὶ τὸ λέγειν προάγεις μήτε τοῦ καθ' ἡμᾶς, μήτε τοῦ κατὰ τὸν Σωτῆρα νοουμένου ἀνθρώπου τυγχάνειν τό, *Οὐχ ὃ ἐγὼ θέλω*, ἀλλ' ἀρνητικῶς ἐπὶ τῆς τοῦ Μονογενοῦς ἀνάρχου θεότητος φέρεσθαι τοῦ τι θέλειν αὐτὸν ἰδίᾳ παρὰ τὸν Πατέρα διεῖργον· οὐκοῦν καὶ τὸ θεληθὲν ὅπερ ἐστὶν ἡ τοῦ ποτηρίου παραίτησις ἐπ' αὐτῆς ἀνάγκη φέρειν τῆς ἀνάρχου θεότητος. Εἰ γὰρ καὶ τοῦ τι θέλειν ἰδίως ἀναίρεσιν φὴς ἔχειν τὴν

ἄρνησιν, ἀλλ' οὐ καὶ τοῦ θεληθέντος ἀποσκευήν· οὐ A γὰρ ἐπ' ἀμφοῖν τίθεσθαι τὴν ἄρνησιν δυνατὸν, καὶ τοῦ τι θέλειν ἰδίως τὸν Μονογενῆ παρὰ τὸν Πατέρα, καὶ τοῦ θεληθέντος.

Εἰ δὲ μὴ δυνατὸν ἐπ' ἀμφοῖν τιθέναι τὴν ἄρνησιν, δῆλον, ὡς εἰ ταύτην ἐπὶ τό τι θέλειν ἰδίως ἄγεις, ἵνα τὴν τοῦ κοινοῦ ποιήσῃς θέσιν θελήματος, οὐκ ἀναιρήσεις τὸ θεληθὲν, ἤγουν τὴν τοῦ ποτηρίου παραίτησιν, ἀλλὰ κατ' αὐτῆς ἐποίσεις τῆς ἀνάρχου Θεότητος, ἐφ' ἣν ἀρνητικῶς καὶ τὸ θέλειν ἀνήγαγες. Εἰ δὲ τοῦτο κἂν ἐννοεῖν ἀπευκτὸν, ἄρα γε σαφῶς ἐνταῦθα ἡ ἄρνησις, ἤγουν, τὸ «Οὐχ ὃ ἐγὼ θέλω,» πάντη τὴν ἐναντίωσιν ἀποσκευαζομένη, τὴν τοῦ ἀνθρωπικοῦ τοῦ Σωτῆρος πρὸς τὸ θεῖον αὐτοῦ θέλημα καὶ B πατρικὸν συμφυΐαν παρίστησιν, ὡς ὅλην ὅλου τὴν φύσιν οὐσιωθέντος τοῦ Λόγου, καὶ ὅλην τῇ οὐσιώσει θεώσαντος. Ὅθεν ὡς δι' ἡμᾶς καθ' ἡμᾶς γεγονὼς ἔλεγεν ἀνθρωποπρεπῶς πρὸς τὸν Θεὸν καὶ Πατέρα, *Μὴ τὸ ἐμὸν, ἀλλὰ τὸ σὸν ἰσχυσάτω θέλημα*, ἅτε θέλησιν καὶ ὡς ἄνθρωπος ἔχων.

nem eam habere vim dicis, ut tollat, ne aliquid proprie velit, non autem ut auferat id quod vult: neque enim in utroque poni negatio potest, ut tollat: ne aliquid velit Unigenitus proprie præter Patrem, et auferat id quod vult.

Quod si in utroque poni non potest, perspicuum est, si eam in eo constituis, ne aliquid proprie velit, quo voluntatem facias communis voluntatis, te non ablaturum id quod vult, nempe calicis deprecationem, sed relaturum illam ad principio carentem divinitatem, ad quam per negationem et ipsum velle retulisti. Quod si ita est, quamvis vel cogitatio id refugiat, et hic plane erit negatio: nempe, *Non quod ego volo*, quæ prorsus adimat repugnantiam, et Servatoris cum divina ipsius et paterna voluntate consensionem constituat, cum totum Verbum naturam suam efficiat, atque ita totam illam divinam reddat. Itaque cum propter nos factum esset homo, ratione homini congruente dicebat ad Deum et Patrem: *Non quod ego volo, sed tua voluntas valeat*, tanquam quatenus homo voluntatem haberet.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Πύῤῥον τὸν πατριάρχην Κωνσταντινουπόλεως διαλέξεως.

Θεὸς φύσει καὶ ἄνθρωπος ὑπάρχων ὁ Χριστὸς, ὡς Θεὸς καὶ ἄνθρωπος ὁ αὐτὸς ἤθελεν, ἢ ὡς Χριστὸς μόνον; Ἀλλ' εἰ μὲν προηγουμένως ὡς Θεὸς καὶ ἄνθρωπος ἤθελεν ὁ Χριστὸς, δηλονότι διχῶς, καὶ οὐ μοναδικῶς, εἷς ὢν ὁ αὐτὸς, ἤθελεν. Εἰ γὰρ οὐδὲν ἕτερόν ἐστιν ὁ Χριστὸς παρὰ τὰς αὐτοῦ φύσεις, ἐξ ὧν, καὶ ἐν αἷς ὑπάρχει· προδήλως, ὡς C καταλλήλως ταῖς ἑαυτοῦ φύσεσιν· ἤγουν, ὡς ἑκάστη πέφυκεν, εἷς ὢν καὶ ὁ αὐτὸς, ἤθελέ τε καὶ ἐνήργει· εἴπερ οὐδετέρα αὐτῶν ἀθέλητός ἐστιν, ἢ ἀνενέργητος. Εἰ δὲ καταλλήλως ταῖς ἑαυτοῦ φύσεσιν ὁ Χριστὸς, ἤγουν, ὡς ἑκάστη πέφυκεν, ἤθελέν τε καὶ ἐνήργει· δύο δὲ αὐτοῦ αἱ φύσεις· δύο αὐτοῦ πάντως καὶ τὰ φυσικὰ θελήματα· καὶ αἱ τούτων ἰσάριθμοι, καὶ οὐσιώδεις ἐνέργειαι. Ὥσπερ γὰρ ὁ τῶν τοῦ αὐτοῦ καὶ ἑνὸς Χριστοῦ φύσεων ἀριθμὸς, εὐσεβῶς νοούμενός τε καὶ λεγόμενος, οὐ διαιρεῖ τὸν Χριστὸν, ἀλλὰ σωζομένην κἂν τῇ ἑνώσει παρίστησι τῶν φύσεων τὴν διαφοράν· οὕτω καὶ ὁ ἀριθμὸς τῶν οὐσιωδῶς προσόντων ταῖς αὐτοῦ φύσεσι θελημάτων καὶ ἐνεργειῶν· κατ' ἄμφω γὰρ, ὡς εἴρηται, τὰς αὐτοῦ D φύσεις θελητικὸς ἦν ὁ αὐτὸς καὶ ἐνεργητικὸς τῆς ἡμῶν σωτηρίας· οὐ διαίρεσιν εἰσάγει· μὴ γένοιτο· ἀλλὰ τὴν αὐτῶν δηλοῖ καὶ μόνον, κἂν τῇ ἑνώσει φυλακὴν καὶ σωτηρίαν.

Ejusdem ex disputatione habita cum Pyrrho patriarcha Constantinopolitano.

Cum Christus Deus natura et homo esset, ut Deus et homo idem volebat, an ut Christus solummodo? Ac si quidem Christus principaliter ut Deus et homo volebat, utique duplici ratione, non una et singulari, unus ipse idemque volebat. Siquidem enim Christus nihil est præter suas naturas, ex quibus, et in quibus exsistentiam habet; perspicuum est, qui unus et ipse esset, pro eo ac decebat suas naturas, id est, ut cuique comparatum erat, tum voluisse, tum operatum esse. Neutra quippe earum voluntatis est, aut operationis expers. Quod si Christus pro eo ac decebat suas naturas (ut scilicet cuique comparatum erat), et volebat et operabatur; erat vero ejus duplex natura; omnino etiam duplex erat ipsius naturalis voluntas, parique his numero essentiales quoque operationes. Quemadmodum enim unius ejusdemque Christi naturarum numerus, si modo pie tum intelligatur, tum dicatur, Christum non dividit, sed incolumem, etiam in unione naturarum distinctionem ostendit: sic et numerus competentium essentialiter ejus naturis voluntatum atque operationum (secundum ambas enim, uti dictum est, suas naturas, idem ipse volendi facultate præditus erat, ac operandi nostram salutem) divisionem non inducit. Absit hoc! sed ipsas etiam in unione, idque solum, servari ostendit et incolumes esse.

Ἐκ τῆς αὐτῆς διαλέξεως, ὅτι οὐχ, ὡς ἔλεγεν ὁ Πύῤῥος, νεύματι τοῦ ἑνωθέντος Λόγου ἡ σὰρξ ἐκινεῖτο.

Διαιρεῖς τὸν Χριστὸν, οὕτω λέγων. Νεύματι γὰρ αὐτοῦ ἐκινεῖτο καὶ Μωϋσῆς, καὶ Δαβὶδ, καὶ ὅσοι τῆς θείας ἐνεργείας χωρητικοὶ, τῇ ἀποθέσει τῶν ἀνθρωπίνων [88] καὶ σαρκικῶν ἰδιωμάτων γεγόνασιν. Ἡμεῖς δὲ τοῖς ἁγίοις Πατράσιν, ὡς ἐν ἅπασι, κἂν τούτῳ ἑπόμενοι, φαμὲν, ὅτιπερ αὐτὸς ὁ τῶν ὅλων

Ex eadem disputatione. Carnem non, ut Pyrrhus dicebat, nutu Verbi conjuncti moveri.

Dividis Christum, cum sic loqueris. Nam et Moyses ejus nutu movebatur, et David, et quotquot humanis [terrenis] et carnalibus abjectis proprietatibus, apti fuerunt ut caperent divinum afflatum. Nos autem, qui sicut in omnibus, in hoc quoque divinos Patres sequimur, dicimus, Quod idem

universorum Deus immutabiliter homo factus, non solum ut Deus idem, ex suæ deitatis ratione volebat, verum etiam idem ut decebat suam humanitatem. Si enim quæ ex non entibus facta sunt, ejus quod est, non quod non est, ac nihilum est, vim retinendi atque tuendi insitam habent : ejusque natura proprium est, ut ea prosequantur quæ tuendo sunt ac incolumitatem præstant, fugiantque ea, quæ ad interitum spectant; igitur etiam quod omni essentia superius Verbum, humana ratione essentiam induit, etiam ejus quod est suæ humanitatis retinendi atque tuendi vi præditus fuit; cujus prosequendi ac fugæ motum, voluntatis nutu per operationem ostendit : prosequendi quidem motum, eo usque naturalibus utendo omnique reprehensione carentibus, ut et infideles Deum esse non crederent : fugæ autem motum tempore passionis, cum se sponte metu mortis contraxit : Quid igitur absoni fecit Dei Ecclesia, quod cum ipsius humanitate et natura creata, ipsi quoque qua creata est ab eo insertas, nullo defectu, rationes confitetur, sine quibus nec ut natura sit, fieri potest?

Ex eadem.

Si ea tantum confiteri oportet, quæ a synodis dicta sunt, nec una Dei Verbi natura incarnata dicenda sit, quæ omnem mysterii pietatem complectitur, cum nullo synodi decreto edita sit. Quinimo sic quoque cum naturis earumque proprietatibus, etiam voluntates confiteri necesse habebitis. Si enim quæ naturaliter Christi naturis competunt, hæc earum proprietates esse dicitis; natura vero utrique ejus naturæ insitum est velle; igitur necesse vobis erit cum aliis naturalibus proprietatibus, cum naturis confiteri pariter voluntates.

Præterea, si synodi propter vocem unius Apolinarium et Arium anathematizaverunt (cum uterque eorum hac voce ad hæresim suam statuendam abuteretur : Apolinarius quidem, ut carnem ejusdem substantiæ cum Verbo ostenderet; Arius vero ut Filium a Patre diversæ substantiæ introduceret), quomodo possumus nos pii esse, qui voces hæreticis contrarias non confiteamur? Porro quinta synodus, ut omnia missa faciam, cum ad verbum ita sanxit, *Amplecti se omnia sanctorum Athanasii, Basilii, utriusque Gregorii*, ac quorumdam aliorum, cum adjectione vocis *egregiorum doctorum, libros* ac lucubrationes, in quibus et duæ sitæ sunt voluntates.

Ex eadem.

In sacris Evangeliis dictum est : *In crastinum voluit Jesus ingredi in Galilæam*[1]: palam est, voluisse ingredi, qua ratione non erat ibi. Non erat autem humanitate : nam deitate nusquam abest. Igitur ut homo, non ut Deus, intrare voluit ac proficisci.

[1] Joan. I, 43.

A Θεὸς, ἀτρέπτως γενόμενος ἄνθρωπος, οὐ μόνον ὡς Θεὸς ὁ αὐτὸς καταλλήλως τῇ αὐτοῦ θεότητι ἤθελεν, ἀλλὰ καὶ ὡς ἄνθρωπος ὁ αὐτὸς καταλλήλως τῇ αὐτοῦ ἀνθρωπότητι. Εἰ γὰρ ἐξ οὐκ ὄντων τὰ ὄντα γενόμενα, καὶ τοῦ ὄντος, οὐ τοῦ μὴ ὄντος ἔχουσι ἀνθεκτικὴν δύναμιν· ταύτης δὲ κατὰ φύσιν ἴδιον ἡ πρὸς τὰ συστατικὰ [illegible] ὁρμὴ, καὶ πρὸς τὰ φθαρτικὰ ἀφορμή· ἄρα καὶ ὁ ὑπερούσιος Λόγος, ἀνθρωπικῶς οὐσιωθεὶς, ἔσχε καὶ τοῦ ὄντος τῆς αὐτοῦ ἀνθρωπότητος τὴν ἀνθεκτικὴν δύναμιν· ἧς τὴν ὁρμὴν καὶ ἀφορμὴν θέλων δι' ἐνεργείας ἔδειξε· τὴν μὲν ὁρμὴν ἐν τῷ τοῖς φυσικοῖς καὶ ἀδιαβλήτοις τοσοῦτον χρήσασθαι, ὡς καὶ μὴ Θεὸν τοῖς ἀπίστοις νομίζεσθαι· τὴν δὲ ἀφορμὴν ἐν τῷ καιρῷ τοῦ πάθους, ἑκουσίως τὴν πρὸς τὸν θάνατον συστολὴν ποιήσασθαι. Τί οὖν τῶν ἀτόπων ἡ τοῦ
B Θεοῦ πέπραχεν Ἐκκλησία, μετὰ τῆς ἀνθρωπίνης αὐτοῦ καὶ κτιστῆς φύσεως, καὶ τοὺς δημιουργικῶς αὐτῇ παρ' αὐτοῦ ἐντεθέντας ἐν αὐτῷ ἀνελλιπῶς ὁμολογοῦσα λόγους, ὧν καὶ ἄνευ εἶναι τὴν φύσιν ἀδύνατον;

Ἐκ τῆς αὐτῆς.

Εἰ τὰ συνοδικῶς καὶ μόνον εἰρημένα χρὴ ὁμολογεῖν, οὔτε τὴν μίαν τοῦ Θεοῦ Λόγου φύσιν σεσαρκωμένην, περιεκτικὴν πάσης τῆς τοῦ μυστηρίου οὖσαν εὐσεβείας, χρὴ [illegible] λέγειν, συνοδικῶς οὐκ ἐκπεφωνημένην. Πλὴν ὅτι καὶ οὕτω ταῖς φύσεσι καὶ τοῖς αὐτῶν ἰδιώμασι καὶ τὰ θελήματα συνομολογεῖν
C βιασθήσεσθε. Εἰ γὰρ τὰ φυσικῶς προσόντα ταῖς φύσεσι τοῦ Χριστοῦ, ἰδιώματα αὐτῶν εἶναι λέγετε, φυσικῶς δὲ ἑκατέρᾳ αὐτοῦ φύσει τὸ θέλειν ἐμπέφυκεν, ἄρα μετὰ τῶν ἄλλων φυσικῶν ἰδιωμάτων, καὶ τὰ θελήματα ταῖς φύσεσι συνομολογεῖν ἀναγκασθήσεσθε.

Ἄλλως τε δὲ, εἰ αἱ σύνοδοι ἐπὶ τῇ τοῦ ἑνὸς θελήματος φωνῇ καὶ Ἀπολινάριον καὶ Ἄρειον ἀνεθεμάτισαν, ἑκατέρου αὐτῶν ταύτῃ πρὸς σύστασιν τῆς ἰδίας αἱρέσεως ἀποχρησαμένου· τοῦ μὲν, ὁμοούσιον τῷ Λόγῳ διὰ τούτου τὴν σάρκα βουλομένου δεῖξαι· τοῦ δὲ, ἑτεροούσιον τὸν Υἱὸν πρὸς τὸν Πατέρα εἰσαγαγεῖν ἀγωνιζομένου, πῶς εὐσεβεῖν ἡμᾶς δυνατὸν, τὰς ἐναντίας τοῖς αἱρετικοῖς φωνὰς οὐχ ὁμολογοῦντας; Ἡ δὲ πέμπτη σύνοδος, ἵνα πάντα παραλίπω,
D θεσπίσασα αὐτολεξεὶ, *Πάντα τὰ τῶν ἁγίων Ἀθανασίου, καὶ Βασιλείου, καὶ Γρηγορίων*, καὶ ἄλλων τινῶν προσδιωρισμένως *ἐγκρίτων* [ἐκκρίτων] *διδασκάλων συντάγματα*, ἐν οἷς καὶ τὰ δύο ἔγκεινται θελήματα, δέχεσθαι.

Ἐκ τῆς αὐτῆς.

Ἐν τοῖς ἁγίοις Εὐαγγελίοις εἴρηται περὶ τοῦ Κυρίου, ὅτι *Τῇ ἐπαύριον ἠθέλησεν ὁ Ἰησοῦς εἰσελθεῖν εἰς τὴν Γαλιλαίαν*· πρόδηλον δὲ, ὅτι καθ' ὃ οὐκ ἦν ἐκεῖ, ἠθέλησεν εἰσελθεῖν· οὐκ ἦν δὲ ἀνθρωπότητι· θεότητι γὰρ οὐδενὸς ἄπεστιν. Ἄρα οὖν καθ' ὃ ἄνθρωπος, καὶ οὐ καθ' ὃ Θεὸς ἠθέλησεν εἰσελθεῖν· καὶ θελητικὸς ἦν καθ' ὃ ἄνθρωπος.

Καὶ ἀλλαχοῦ πάλιν· *Θέλω, ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ αὐτοὶ ὦσιν.* Εἰ καθ' ὃ Θεὸς ὁ Χριστὸς ὑπὲρ τὸ ποῦ ἐστίν· οὐ γὰρ ἐν τόπῳ καθ' ὃ Θεός· ὑπὲρ δὲ τὸ ποῦ ἀδύνατον τὴν κτιστὴν φύσιν ὑπάρχειν· ἄρα καθ' ὃ ἄνθρωπος θέλει, ἵνα ὅπου ἐστὶ καὶ αὐτοὶ ὦσι· καὶ θελητικὸς ἦν ὁ αὐτὸς καθ' ὃ ἄνθρωπος.

Καὶ ἀλλαχοῦ πάλιν· *Καὶ ἐλθὼν εἰς τόπον, εἶπε· Διψῶ. Καὶ ἔδωκαν αὐτῷ οἶνον μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος, οὐκ ἤθελε πιεῖν.* Κατὰ ποῖον αὐτοῦ μέρος διψῆσαι αὐτὸν λέγεται; Εἰ μὲν κατὰ τὴν θεότητα, ἐμπαθὴς ἔσται ἡ θεότης αὐτοῦ, πόσεως παρὰ φύσιν ἐφιεμένη. Εἰ δὲ κατὰ τὴν ἀνθρωπότητα, ἄρα καθ' ὃ ἐδίψησε, κατ' ἐκεῖνο καὶ τὸ ἀκατάλληλον τῇ φύσει οὐκ ἠθέλησε πιεῖν· καὶ θελητικὸς ἦν ὁ αὐτὸς καὶ καθ' ὃ ἄνθρωπος.

Καὶ ἀλλαχοῦ φησι· *Καὶ περιεπάτει ὁ Ἰησοῦς ἐν τῇ Γαλιλαίᾳ· οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι.* Εἰ τῆς σαρκὸς φύσει ὁ περίπατος, ἀλλ' οὐ τῆς καθ' ὑπόστασιν ἡνωμένης αὐτῇ θεότητος, ἄρα καθ' ὃ ἄνθρωπος ὁ αὐτὸς ἐν τῇ Γαλιλαίᾳ περιπατῶν, οὐκ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν· καὶ θελητικὸς ὁ αὐτὸς καὶ καθ' ὃ ἄνθρωπος.

Καὶ ἑτέρωθι πάλιν· *Κἀκεῖθεν ἐξελθόντες, παρεπορεύοντο διὰ τῆς Γαλιλαίας· καὶ οὐκ ἤθελεν, ἵνα τις γνῷ.* Ὡμολόγηται παρὰ πάντων ἡ πόρευσις φύσει τῆς ἀνθρωπότητος, ὡς εἴρηται, εἶναι τοῦ Κυρίου, ἀλλ' οὐ τῆς αὐτοῦ θεότητος· εἰ δὲ καθ' ὃ ἄνθρωπος, ἀλλ' οὐ καθ' ὃ Θεὸς φύσει, προσῆν αὐτῷ ἡ πόρευσις· ἄρα καὶ καθ' ὃ ἄνθρωπος παραπορευόμενος μετὰ τῶν μαθητῶν, οὐκ ἤθελεν ἵνα τις γνῷ· καὶ θελητικὸς ἦν ὁ αὐτὸς καὶ καθ' ὃ ἄνθρωπος.

Καὶ ἑτέρωθι πάλιν· *Κἀκεῖθεν ἀναστὰς ἀπῆλθεν εἰς τὰ ὅρια Τύρου καὶ Σιδῶνος. Καὶ εἰσελθὼν εἰς οἰκίαν, οὐδένα ἤθελε γνῶναι· καὶ οὐκ ἠδυνήθη λαθεῖν.* Εἰ καθ' ὃ Θεὸς ὁ Χριστὸς δύναμις ἦν αὐθυπόστατος· καθ' ὃ δὲ ἄνθρωπος, ἀσθένεια· *Εἰ γὰρ καὶ ἐσταυρώθη*, φησὶν ὁ θεῖος Ἀπόστολος, *ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ·* ἄρα καθ' ὃ ἄνθρωπος, καὶ οὐ καθ' ὃ Θεὸς, εἰσελθὼν εἰς οἰκίαν, οὐκ ἤθελεν ἵνα τις γνῷ· καὶ οὐκ ἠδυνήθη λαθεῖν· καὶ θελητικὸς ἦν ὁ αὐτὸς, καὶ καθ' ὃ ἄνθρωπος.

Καὶ ἀλλαχοῦ φησι· *Περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς ἔρχεται πρὸς αὐτοὺς, περιπατῶν ἐπὶ τῆς θαλάσσης· καὶ ἤθελε παρελθεῖν αὐτούς.* Εἰ μὲν καθ' ὃ Θεὸς, τοῦτό τις περὶ αὐτοῦ εἰρῆσθαι ἐκλάβῃ, πέρασι σωματικοῖς, τῷ ἄνω φημὶ, καὶ τῷ κάτω· τῷ ἔμπροσθεν καὶ τῷ ὀπίσω· τῷ δεξιᾷ καὶ τῷ ἀριστερᾷ διαλῆφθαι τὴν θεότητα λέγειν ἀναγκασθήσεται. Εἰ δὲ καθ' ὃ ἄνθρωπος ταῦτα εἰρῆσθαι περὶ αὐτοῦ λέγει· ἄρα θελητικὸς ἦν ὁ αὐτὸς καὶ καθ' ὃ ἄνθρωπος.

Καὶ ἀλλαχοῦ φησι· *Καὶ προσῆλθον οἱ μαθηταὶ αὐτοῦ, λέγοντες αὐτῷ· Ποῦ θέλεις, ἀπελθόντες ἑτοιμάσομέν σοι τὸ Πάσχα φαγεῖν;* Εἰ ἡ βρῶσις

A Alio item loco : *Volo, ut ubi ego sum, et illi sint* [1]. Cum Christus quatenus Deus supra ubi sit, omnemque loci circumscriptionem (non enim est in loco, qua ratione est Deus), fieri autem non potest ut supra ubi exsistat natura creata ; ergo ut homo vult, ut ubi est, sint ipsi ; atque ita idem quatenus homo erat facultate voluntatis præditus.

Et alias rursum : *Et cum venisset ad locum, dixit :* Sitio. *Et dederunt ei vinum cum felle mistum, et cum gustasset, noluit bibere* [2]. Secundum B quam ipsius partem, eum sitiisse dicitis ? Siquidem enim secundum deitatem, erit ejus deitas libidinosa, quæ præter naturam potum expetierit. Sin autem secundum humanitatem, igitur ea parte sitivit, quæ et quod naturæ dissentaneum erat, bibere noluit : atque adeo etiam ut homo, voluntatis facultate erat præditus.

Et alibi ait : *Et ambulabat Jesus in Galilæa : non enim volebat ambulare in Judæa, quia quærebant eum Judæi interficere* [3]. Cum ambulatio natura carnis sit, non deitatis ei unitæ secundum hypostasim ; ergo qua homo erat in Galilæa ambulans, nolebat in Judæa ambulare : atque ita, idem etiam ut homo voluntatis facultate præditus erat.

C Rursus quoque alio loco : *Et illinc egressi, transibant per Galilæam ; et non volebat ut quisquam sciret* [4]. Omnibus certum est iter natura humanitatis Christi, uti dictum est, non ejus divinitatis esse. Sin autem illi quatenus homo, inerat itineris ratio ; utique etiam quatenus homo cum discipulis transiens iterque habens, nolebat ut quisquam sciret : atque adeo etiam ut homo facultate voluntatis præditus erat.

Item alias : *Et inde surgens abiit in fines Tyri et Sidonis. Et ingressus domum, neminem scire voluit : et non potuit latere* [5]. Siquidem Christus in quantum Deus erat Virtus ipsa vere exsistens ; in quantum autem homo, infirmitas. *Etsi enim*, inquit divinus Apostolus, *crucifixus est ex infirmitate, sed vivit ex* D *virtute Dei* [6] ; plane quatenus homo, non ut Deus erat ingressus in domum, neminem scire voluit, et non potuit latere : atque adeo etiam ut homo, voluntatis facultate præditus fuit.

Et alibi dicit : *Circa quartam vigiliam noctis venit ad eos, ambulans supra mare : et volebat pertransire eos.* [7] Si quis hoc de illo, qua ratione Deus erat, dictum acceperit, necesse habebit ut deitatem corporalibus terminis, ursum atque deorsum, ante et retro, dextrorsum ac sinistrorsum comprehensam dicat. Quod si de illo quatenus homo erat, dictum velit, ergo idem ut homo facultate voluntatis præditus fuit.

Alio item loco : *Et accesserunt discipuli ejus dicentes ei : Ubi vis eamus, et paremus tibi manducare Pascha?* Cum Pascha manducare eorum

[1] Joan. xvii, 24. [2] Matth. xxvii, 33. [3] Joan. vii, 4. [4] Marc. ix, 29. [5] Marc. vii, 24. [6] II Cor. xiii, 4. [7] Marc. vi, 48. [8] Luc. xxii, 8.

sit, qui sub lege erant; factusque sit Dominus sub lege[1], quatenus homo, non quatenus Deus erat; ergo ut homo volens comedit Pascha, idemque etiam ut homo facultate voluntatis præditus erat.

Ex eadem.

Magnum vero Moysen in hominis creatione Deum introducere, dicentem: *Faciamus hominem ad imaginem nostram et similitudinem*[2]: Siquidem igitur homo imago est divinæ naturæ; natura autem divina liberæ potestatis est; igitur et imago, si modo similitudinem cum archetypo servet, liberæ natura potestatis est. Quod si ita est, factumque est natura archetypum, etiam natura imago; ergo idem secundum ambas suas naturas, voluntatis facultate natura præditus erat. Ante enim ex Patribus ostensum est, esse voluntatem, liberam naturæ potestatem.

Est autem sciendum liberam potestatem, seu liberum arbitrium (αὐτεξουσιότητα) eorum esse quæ non uno modo dicuntur, ut et naturam: aliter enim in Deo, aliter in angelis, et aliter in hominibus sumitur. In Deo quidem supersubstantialiter. In angelis autem, velut concurrente cum habitu aggressione, nulla penitus interjecta temporis mora: in hominibus autem, ut in quibus habitus tempore aggressioni præintelligatur. Siquidem igitur Adamus volens aures præbuit ad audiendum, volensque aspexit, ac voluntate duce comedit; igitur voluntas est quæ prima crimini obnoxia fuit. Cum igitur voluntas prima in nobis labem incurrerit, nec, ut isti sentiunt, Verbum homo factum eam assumpserit, nec ego proinde a me peccatum excussi. Quod si peccatum ejusque labem non excussi, nec salutem consecutus sum; quandoquidem id quod non est assumptum, nec curatum est.

Deinde, si Dei opus et factura est liberæ potestatis naturæ facultas; hanc vero, ut ipsi opinantur, Verbum incarnatum cum natura per unionem ineffabilem non assumpsit, aut quia suam fabricam, tanquam non bonam, improbans, a se eam rejecit, aut quia ejus nobis salutem invidit; tum nos perfecta salute [integra curatione] privans, tum seipsum haud a vitio immunem, quod aut nolit perfecte sanare, aut vero non possit, monstrans.

Hæc quidem hactenus, ut Deus Verbum incarnatum, etiam qua homo monstretur, natura voluntatis facultate præditum esse. Ipsum vero, etiam qua Deus erat, ea præditum, hinc noverimus. Ait enim ipse Dominus ac Deus, sola Veritas, de seipso in Evangeliis, ita: *Jerusalem, Jerusalem, quæ occidis prophetas, et lapidas eos, qui ad te missi sunt; quoties volui congregare filios tuos, sicut gallina congregat pullos suos sub alas, et noluistis? Nunc autem relinquetur vobis domus vestra deserta*[3]. Perspicuum enim est, non hoc dixisse, quatenus homo erat: siquidem recens homo exstiterat; sed quatenus idem Deus erat; ostendens diversos sapientis providentiæ suæ modos erga genus humanum; quibus

A τοῦ Πάσχα τῶν ὑπὸ νόμον ἐστί· γέγονε δὲ ὁ Κύριος καθ' ὃ ἄνθρωπος, καὶ οὐ καθ' ὃ Θεὸς, ὑπὸ νόμον· ἄρα καθ' ὃ ἄνθρωπος θέλων ἔφαγε τὸ Πάσχα, καὶ θελητικὸς ἦν ὁ αὐτὸς καὶ καθ' ὃ ἄνθρωπος.

Ἐκ τῆς αὐτῆς.

Ὁ μέγας δὲ Μωϋσῆς ἐν τῇ τοῦ ἀνθρώπου γενέσει τὸν Θεὸν εἰσάγει λέγοντα· *Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν.* Εἰ οὖν εἰκὼν ὁ ἄνθρωπος τῆς θείας φύσεως· αὐτεξούσιος δὲ ἡ θεία φύσις· ἄρα καὶ ἡ εἰκὼν· εἴπερ τὴν πρὸς τὸ ἀρχέτυπον σώζει ὁμοίωσιν, αὐτεξούσιος φύσει τυγχάνει. Εἰ δὲ τοῦτο, γέγονε δὲ τὸ φύσει ἀρχέτυπον καὶ εἰκὼν φύσει, ἄρα κατ' ἄμφω τὰς αὐτοῦ φύσεις θελητικὸς φύσει ὑπῆρχεν ὁ αὐτός. Προαπεδείχθη γὰρ ἐκ τῶν
B Πατέρων, τὸ θέλημα εἶναι τὴν κατὰ φύσιν αὐτεξουσιότητα.

Δεῖ δὲ εἰδέναι ὡς ἡ αὐτεξουσιότης ὁμωνύμως λέγεται μὲν, ὥσπερ καὶ ἡ φύσις· ἄλλως δὲ ἐπὶ Θεοῦ λαμβάνεται, καὶ ἄλλως ἐπὶ ἀγγέλων, καὶ ἄλλως ἐπὶ ἀνθρώπων. Ἐπὶ μὲν Θεοῦ ὑπερουσίως· ἐπὶ δὲ ἀγγέλων, ὡς συντρεχούσης τῇ ἕξει τῆς προχειρήσεως, καὶ παρενθήκην ὅλως χρόνου μὴ παραδεχομένης· ἐπὶ δὲ ἀνθρώπων, ὡς χρονικῶς τῆς ἕξεως ἐπινοουμένης τῆς προχειρήσεως. Εἰ γὰρ θέλων ὁ Ἀδὰμ ὑπήκουσε, καὶ θέλων ἐθεώρησε, καὶ θελήσας ἔφαγεν· ἄρα πρωτοπαθὴς ἐν ἡμῖν ἡ θέλησις. Εἰ δὲ πρωτοπαθὴς ἐν ἡμῖν ἡ θέλησις, ταύτην δὲ μετὰ τῆς φύσεως κατ' αὐτοὺς οὐ προσείληφεν ὁ Λόγος ἐνανθρω-
C πήσας· οὐκ ἄρα ἐγὼ χωρὶς ἁμαρτίας γέγονα. Εἰ δὲ ἐγὼ χωρὶς ἁμαρτίας οὐ γέγονα, οὐκ ἄρα ἐσώθην· εἴπερ τὸ ἀπρόσληπτον, ἀθεράπευτον.

Ἔπειτα δὲ, εἰ ἔργον αὐτοῦ καὶ ποίημα ἡ αὐτεξούσιος τῆς φύσεως ὑπάρχει δύναμις, ταύτην δὲ ὁ Λόγος σαρκωθεὶς, κατ' αὐτοὺς, μετὰ τῆς φύσεως καθ' ἕνωσιν ἄῤῥητον οὐ προσείληφεν, ἢ καταγνοὺς τῆς οἰκείας δημιουργίας, ὡς οὐ καλῆς, ταύτην ἑαυτοῦ ἀπεπέμψατο· ἢ φθονήσας ἡμῖν τῆς κατ' αὐτὴν θεραπείας, ἡμᾶς μὲν τῆς ἐντελοῦς ἀποστερῶν σωτηρίας, καὶ ἑαυτὸν ὑπὸ πάθος ὄντα δεικνὺς, τῷ μὴ θέλειν, ἢ τῷ μὴ δύνασθαι τελείως σώζειν.

D Ταῦτα μὲν περὶ τοῦ θελητικὸν εἶναι φύσει τὸν σαρκωθέντα Θεὸν Λόγον, καὶ καθ' ὃ ἄνθρωπος· περὶ δὲ τοῦ θελητικὸν φύσει εἶναι τὸν αὐτὸν, καὶ καθ' ὃ Θεὸς, ἔνθεν εἰσόμεθα. Φησὶ γὰρ αὐτὸς ὁ Κύριος ἡμῶν καὶ Θεὸς, ἡ μόνη ἀλήθεια, περὶ ἑαυτοῦ ἐν τοῖς Εὐαγγελίοις οὕτως· *Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτένουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν· ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὥσπερ ὄρνις ἐπισυνάγει τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε; Νῦν ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.* Δῆλον γὰρ, ὅτι οὐ καθ' ὃ ἄνθρωπος τοῦτο εἴρηκεν· εἴπερ προσφάτως ἐγεγόνει ἄνθρωπος· ἀλλὰ καθ' ὃ Θεὸς, δείξας τοὺς ποικίλους τῆς σοφῆς

[1] Gal. IV, 4. [2] Gen. I, 26. [3] Matth. XXIII, 37; Luc. XIII, 34.

αὐτοῦ περὶ τὸν ἄνθρωπον προνοίας τρόπους· δι' ὧν θελήσας ἀπὸ τῆς τῶν ἐκτὸς πλάνης τὴν φύσιν πρὸς ἑαυτὸν ἐπισυνάξαι, αὕτη οὐκ ἠθέλησε.

Καὶ πάλιν φησίν· *Ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκρούς, καὶ ζωοποιεῖ· οὕτω καὶ ὁ Υἱός, οὓς θέλει ζωοποιεῖ.* Εἰ τό, ὡς ἐπίῤῥημα συγκριτικόν ἐστιν· αἱ δὲ συγκρίσεις τῶν ὁμοουσίων· οὐκ ἄρα τοῦτο δυνατὸν κατὰ τὸ ἀνθρώπινον ἐπὶ Χριστὸν λέγεσθαι. Οὐκοῦν ἐδίδαξεν ἡμᾶς ὁ Σωτὴρ ὅτι, ὥσπερ ὁ Πατήρ, Θεὸς ὤν, θελήματι τοὺς νεκροὺς ζωοποιεῖ, οὕτω καὶ αὐτός, ὁμοούσιος ὢν τῷ Πατρὶ καὶ ὁμοθελής, οὓς θέλει ζωοποιεῖ. Ταῦτα τῶν εὐαγγελιστῶν, καὶ ἀποστόλων, καὶ προφητῶν τὰ δόγματα. Τίς οὖν ὑπὲρ ταῦτα μείζων ἀπόδειξις περὶ τοῦ φύσει θελητικὸν εἶναι τὸν αὐτὸν καὶ καθ' ὃ Θεός ἐστι, καὶ καθ' ὃ ἄνθρωπος;

Ἐκ τοῦ ἴσου τῆς πρὸς Νίκανδρον τὸν ἐπίσκοπον ἐπιστολῆς.

Πῶς μίαν ἁπλῶς ἐπὶ Χριστοῦ τοῦ Θεοῦ τινές φασι τὴν ἐνέργειαν; Ἀνάγκη γὰρ ἢ τῶν αὐτοῦ ταύτην ὑπάρχειν μερῶν, ἢ αὐτοῦ πάντως ὡς ὅλου. Ἀλλ' εἰ μὲν τῶν μερῶν, μερισθήσεται πρὸς ἄμφω δηλαδὴ τεμνομένη· τοῦτο δὲ πάσχουσα, λυθήσεται πάντως, καὶ συνδιαλύσει τὰ κατ' αὐτὴν ἡνωμένα. Εἰ δὲ τοῦ ὅλου, τῶν ἐναντίων ἔσται δεκτική, θνητὴ καὶ ἀθάνατος οὖσα, κτιστὴ καὶ ἄκτιστος, περιγραπτὴ καὶ ἀπερίγραφος. Καὶ εἰ τοῦτο, καθ' ἕξιν καὶ στέρησιν οὖσαν καὶ μὴ οὖσαν τὴν οἰκείαν ὁ Χριστὸς εἶχεν ἐνέργειαν· δι' ἥν, ὡς κατ' αὐτὴν προσφυῶς ἐνεργῶν, τῶν ἐναντίων κατὰ τὸ αὐτὸ δεκτικός· ἀλλ' οὐ κατ' ἄλλο καὶ ἄλλο· οὗ τί δυσσεβέστερον;

Τὸ αὐτὸ δὲ καὶ περὶ θελήματος ἔστιν εἰπεῖν. Πῶς δὲ ἄρα συνεργάτιν τὴν οἰκείαν ὁ Λόγος παρελάμβανε σάρκα, κατὰ Κύριλλον τὸν σοφόν, οὐκ ἔχουσαν τὴν κατὰ φύσιν ἐνέργειαν; Τὸ γὰρ μὴ ἔχον ἐνέργειαν μήτε κίνησιν φυσικήν, νεκρὸν πάντως καὶ ἄψυχον· καὶ τίνι λόγῳ προσίετο τὸ νεκρὸν εἰς συνέργειαν; Τὸ γὰρ ἀνενέργητον, τῇ παντελεῖ ἀκινησίᾳ καταργεῖ. Πῶς δὲ ταύτην ἐδείκνυε ζωοποιεῖν δυναμένην, ὡς αὐτὸς πάλιν Κύριλλος ἐξεπαίδευσε, διὰ τῶν κατὰ φύσιν αὐτῆς κινημάτων· οἷον τῆς ἁφῆς, τῆς φωνῆς, τοῦ περιπάτου, τούτων οὐκ ὄντων αὐτῆς, ἢ ἐν αὐτῇ κατ' οὐσίαν. Εἰ γὰρ αὐτῆς κατ' οὐσίαν, φυσικὴν πάντως ἡ σὰρξ εἶχεν ἐνέργειαν· ἐνεργείας γὰρ αὐτῆς οὐσιώδους ἐστίν, ἥ τε κίνησις τῶν χειρῶν καὶ τῶν ποδῶν, καὶ ἡ κατὰ τὴν προφορὰν φωνή. Εἰ δὲ οὐκ αὐτῆς κατὰ φύσιν ταῦτα, ζωοποιεῖν δυναμένην ταύτην ὁ Σωτὴρ οὐκ ἀπέδειξε.

Τοῦ αὐτοῦ πρὸς τοὺς λέγοντας, ὅτι μίαν τοῦ Χριστοῦ χρὴ λέγειν τὴν ἐνέργειαν κατ' ἐπικράτειαν.

Πρῶτον μὲν δύο ἐνεργείας καὶ ὑμεῖς ὁμολογεῖτε, μίαν ἐπικρατοῦσαν, τὴν θείαν φημί, καὶ μίαν ἐπι-

A cum ab exteriori errore naturam ad se congregare vellet, ipsa noluerit.

Rursumque ait: *Sicut Pater suscitat mortuos, et vivificat, sic et Filius quos vult vivificat.* [1] Cumque vox illa *sicut* adverbium sit comparationis, ac comparationes rerum sint ejusdem substantiæ; non igitur de humana in Christo voluntate istud accipi potest. Igitur docuit nos Christus, quod sicut Pater cum Deus sit, voluntate vivificat mortuos, sic et ipse qui sit Patri consubstantialis, ejusdemque ac ille voluntatis, quos vult, vivificat. Hæc evangelistarum et apostolorum ac prophetarum decreta. Quænam igitur his major demonstratio, ut et qua
B ratione Deus est, et qua homo idem, voluntatis facultate præditus ostendatur?

Item ex epistola ad Nicandrum episcopum.

Quomodo unam simpliciter in uno Christo Deo operationem nonnulli dicunt? Necesse est enim hanc, vel ipsius partium esse, vel ejus omnino ut totius. Ac quidem, si partium, in ambas utique partes scissa dividetur: quod si fiat, omnino dissolvetur, ac una secum dissolvet, quæ secundum eam copulata sunt. Sin autem totius, erit contrariorum capax; quæ mortalis et immortalis, creata et increata, comprehensa et incomprehensa exsistat. Dumque hoc dederimus, Christus ea propria operatione secundum habitum et
C privationem præditus erat, quæ ipsa erat et non erat; ob quam, ut secundum eam exque ejus indole convenienter operans, secundum idem, et non secundum aliud atque aliud, contrariorum capax exsistebat: quo quid magis impium dici queat?

Idem vero etiam dicendum de voluntate. Quonam autem modo Verbum, carnem propriam adhibebat operis sociam, ut sentit ac loquitur sapientissimus Cyrillus, cum naturalis operatio eam deficeret? Quod enim operatione motuque naturali deficitur, prorsus mortuum est et inanime. Qua autem ratione quod mortuum esset, in operis partem asciscebat? Quod enim expers est operationis, motu omni vacans inersque torpet. Quonam
D vero modo posse hanc vivificare monstrabat, ut idem rursus Cyrillus docuit, per motus suos naturales; puta, tactum, vocem, ambulationem, si hæc ejus, vel in ea essentialiter non erant? Si enim ejus essentialiter erant, naturalem plane caro operationem habebat. Ad essentialem quippe ejus operationem spectant, tum manuum pedumque motus; tum vocis prolatio. Sin autem hæc per naturam illius non erant, nec hanc quæ vitam præstare posset, Salvator exhibebat.

Ejusdem adversus illos, qui Christum habere dicunt actionem unam per dominationem.

Primum quidem et vos duas actiones confitemini, unam quidem superantem, nempe divinam,

[1] Joan. v, 21.

alteram autem superatam, id est humanam. Quod A est eorum quæ cum aliquo conferuntur. Quæ autem sunt ejusmodi, sese mutuo inferunt. Præterea cum superiorem actionem dicatis, tanquam humana vita auferatur, damnum ipsis affertis. Nam et id, quod superat ex eorum est numero, quæ patiuntur. Vincitur enim et ipsum ab eo quod victum est. Licet enim minus, vincitur tamen. Ut aurum licet argentum atque æs immistum superet, vincitur, tamen ipsum quoque, licet minus, nempe propter admistam quantitatem.

κρατουμένην τὴν ἀνθρωπίνην δηλονότι, ὅπερ ἐστὶ τῶν πρός τι τὰ δὲ πρός τι πάντως συνεισάγουσιν ἑαυτοῖς καὶ τὰ ἀντιδιαιρούμενα. Ἔπειτα δὲ, ὅτι εἰ κατ' ἐπικράτειαν λέγετε τὴν ἐνέργειαν, ὡς τῆς ἀνθρωπίνης διὰ τὸ ἐπικράτηθηναι ἀναιρουμένης, μεῖσιν αὐταῖς εἰσάγετε. Τὸ γὰρ ἐπικρατοῦν πάντως ἐκ τῶν πασχόντων ἐστί. Καὶ αὐτὸ γὰρ κρατεῖται ὑπὸ τοῦ ἐπικρατουμένου. Εἰ γὰρ καὶ ἔλασσον, ὅμως δὲ κρατεῖται πάντως ὥσπερ χρυσὸς ἐπικρατῶν μὲν τοῦ καταμιγνυμένου αὐτῷ ἀργύρου, καὶ χαλκοῦ, κρατούμενος δὲ καὶ αὐτὸς, εἰ καὶ ἧττον. Δῆλον δὲ, ὅτι κατὰ τὴν ποσότητα τὴν προσμιγεῖσαν·

Ejusdem adversus illos qui dicunt, quemadmodum instrumenti, et ejus qui utitur instrumento una est actio, sic et divinitatis atque humanitatis unam esse actionem. B

Τοῦ αὐτοῦ πρὸς τοὺς λέγοντας, ὥσπερ ὀργάνου καὶ κινοῦντος μία ἐνέργεια, οὕτω καὶ θεότητος καὶ ἀνθρωπότητος μία ἐνέργεια.

Si naturale dicitis instrumentum, ejusdem per vos temporis erit Verbum cum carne, aut caro simul cum Verbo sempiterna. Quidquid enim instrumento utitur naturali, ejusdem temporis est cum illo. Quemadmodum est anima cum corpore. Potestis igitur vel naturam divinam creatam dicere, vel corpus increatum. Quod si instrumentum artis affirmatis, inanimatum illud introducitis, et separatim consistens, atque sejunctum, et quod non semper movetur, sed quando artifici visum fuerit illud in manus sumere, atque uti. Ad hæc dementi Nestorio vos assentiri constabit dividenti ac distrahenti duas Christi Dei naturas in unam hypostasim sive personam concurrentes. Aut esse impii C Apollinarii discipulos, Christi corpus animæ ac mentis expers asserentis.

Εἰ μὲν φυσικὸν τὸ ὄργανόν φατε, συγχρόνος ἔσται καθ' ὑμᾶς ὁ Λόγος τῇ σαρκὶ, ἢ ἡ σὰρξ τῷ Λόγῳ συναΐδιος· πᾶν γὰρ τὸ κεχρημένον φυσικῷ ὀργάνῳ σύγχρονον τοῦτο ἔχει, ὥσπερ τὸ σῶμα ἡ ψυχὴ, καὶ ὥρα ὑμᾶς καὶ κτίσμα τὴν θείαν φύσιν λέγειν, ἢ τὸ σῶμα ἄκτιστον· εἰ δὲ τεχνικὸν τὸ ὄργανον λέγετε, ἄψυχον τοῦτο εἰσάγετε, καὶ ἰδίᾳ ἑστηκὸς, καὶ μεμερισμένον, καὶ οὐκ ἀεὶ κινούμενον, ἀλλ' ὅτε τῷ ἐργαζομένῳ δόξει τοῦτο μετὰ χεῖρας λαβεῖν, καὶ ἐργάσασθαι, καὶ λοιπὸν ἢ Νεστορίου τοῦ παράφρονος σύμφρονες δειχθήσεσθε διαιροῦντος, καὶ διϊστῶντος τὰς εἰς μίαν ὑπόστασιν, ἢ καὶ ἓν πρόσωπον Χριστοῦ τοῦ Θεοῦ δύο φύσεις, ἢ Ἀπολλιναρίου τοῦ ἀσεβοῦς φοιτηταὶ, ἄψυχον καὶ ἄνουν τὸ σῶμα τοῦ Χριστοῦ λέγοντος.

Item adversus Monotheletas, Damasceni. Cap. 77.

Ἔτι κατὰ Μονοθελητῶν τοῦ Δαμασκηνοῦ. Κεφάλαιον οζ'.

Duæ in Christo voluntates et operationes. — Eumdem porro Dominum nostrum Jesum Christum, et perfectum Deum, et perfectum hominem prædicantes, hoc profitemur, eumdem et omnia habere, quæ Pater habet, excepta ingeniti proprietate; et omnia item, quæ primus Adam, excepto solum peccato, hoc est, corpus et animam ratione et intelligentia præditam: quin habere etiam eum, uti duabus naturis consentaneum est, duplices naturarum duarum naturales proprietates; hoc D est, duas naturales operationes, divinam et humanam; duas naturales arbitrii libertates, divinam et humanam: ac denique sapientiam et scientiam duplicem, divinam et humanam. Nam cum ejusdem ac Pater substantiæ sit, libere vult et agit ut Deus: rursus cum consubstantialis sit nobis, libere item vult et agit, ut homo. Ipsius enim miracula sunt, ipsius quoque passiones.

Τέλειον δὲ Θεὸν ὁμολογοῦντες τὸν αὐτὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ τέλειον ἄνθρωπον, φαμὲν τὸν αὐτὸν πάντα ἔχειν ὅσα ὁ Πατὴρ, πλὴν τῆς ἀγεννησίας· καὶ πάντα ἔχειν ὅσα ὁ Ἀδὰμ ὁ πρῶτος, δίχα μόνης τῆς ἁμαρτίας· ἅτινά ἐστι σῶμα καὶ ψυχὴ λογική τε καὶ νοερά. Ἔχειν δὲ αὐτὸν καταλλήλως ταῖς δύο φύσεσι, διπλᾶ τὰ τῶν δύο φύσεων φυσικά· δύο θελήσεις φυσικὰς, τήν τε θείαν καὶ τὴν ἀνθρωπίνην, καὶ ἐνεργείας δύο φυσικὰς, θείαν τε καὶ ἀνθρωπίνην, καὶ αὐτεξούσια δύο φυσικὰ, θεῖόν τε καὶ ἀνθρώπινον, καὶ σοφίαν τε καὶ γνῶσιν, θείαν τε καὶ ἀνθρωπίνην. Ὁμοούσιος γὰρ ὢν τῷ Θεῷ καὶ Πατρὶ, αὐτεξουσίως θέλει καὶ ἐνεργεῖ ὡς Θεός. Ὁμοούσιος δὲ ὢν καὶ ἡμῖν, αὐτεξουσίως θέλει καὶ ἐνεργεῖ ὡς ἄνθρωπος ὁ αὐτός. Αὐτοῦ γὰρ τὰ θαύματα, αὐτοῦ καὶ τὰ παθήματα.

Ejusdem. Caput 78.

Τοῦ αὐτοῦ. Κεφάλαιον οη'.

Totuplex voluntas et actus, quotuplex substantia, — Quoniam igitur duæ Christi naturæ sunt, duas proinde ejus naturales voluntates et duas naturales operationes dicimus. Quia vero una duarum naturarum ipsius est hypostasis, unum et eumdem esse dicimus qui, juxta eas naturas, ex quibus, et in quibus, et quæ est Christus Deus noster,

Ἐπειδὴ μὲν οὖν δύο φύσεις τοῦ Χριστοῦ, δύο αὐτοῦ καὶ τὰ φυσικὰ θελήματα, καὶ τὰς φυσικὰς ἐνεργείας φαμέν. Ἐπειδὴ δὴ μία τῶν δύο φύσεων αὐτοῦ ἡ ὑπόστασις, ἕνα καὶ τὸν αὐτόν φαμεν θέλοντά τε καὶ ἐνεργοῦντα φυσικῶς κατ' ἄμφω τὰς φύσεις, ἐξ ὧν, καὶ ἐν αἷς, καὶ ἅπερ ἐστὶ Χριστὸς ὁ Θεὸς ἡμῶν· θέλειν δὲ καὶ ἐνεργεῖν, οὐ διῃρημένως, ἀλλ' ἡνωμέ-

νως· θέλει γὰρ καὶ ἐνεργεῖ ἐν ἑκατέρᾳ μορφῇ μετὰ τῆς θατέρου κοινωνίας. Ὧν γὰρ ἡ οὐσία ἡ αὐτὴ, τούτων καὶ ἡ θέλησις καὶ ἡ ἐνέργεια ἡ αὐτή· ὧν δὲ διάφορος ἡ οὐσία, τούτων διάφορος καὶ ἡ θέλησις καὶ ἡ ἐνέργεια· καὶ τὸ ἀνάπαλιν, ὧν ἡ θέλησις καὶ ἡ ἐνέργεια ἡ αὐτὴ, τούτων καὶ ἡ οὐσία ἡ αὐτή· ὧν δὲ διάφορος ἡ θέλησις καὶ ἡ ἐνέργεια, τούτων καὶ ἡ οὐσία διάφορος.

naturaliter velit et agat; eum autem insuper velle et agere, non divise, sed conjuncte dicimus. « Vult enim et agit in utraque forma, cum alterius communione. » Quorum enim eadem substantia est, eorum quoque eadem voluntas et actio sit necesse est: quorum autem diversa est, horum etiam diversa voluntas et actio sit, oportet. Et contra quorum voluntas et actio eadem est, eorum eadem quoque substantia est: quorum autem dispar voluntas et actio, horum etiam dispar est substantia.

Διὸ δὴ ἐπὶ μὲν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, ἐκ τῆς ταυτότητος τῆς τε ἐνεργείας καὶ τοῦ θελήματος, τὴν ταυτότητα τῆς φύσεως ἐπιγινώσκομεν. Ἐπὶ δὲ τῆς θείας οἰκονομίας, ἐκ τῆς διαφορᾶς τῶν ἐνεργειῶν, καὶ τῶν θελημάτων, καὶ τὴν τῶν φύσεων διαφορὰν ἐπιγινώσκομεν, καὶ τὴν τῶν φύσεων διαφορὰν εἰδότες συνομολογοῦμεν, καὶ τὸ τῶν θελημάτων καὶ ἐνεργειῶν διάφορον. Ὥσπερ γὰρ τῶν τοῦ αὐτοῦ καὶ ἑνὸς Χριστοῦ φύσεων ὁ ἀριθμὸς, εὐσεβῶς νοούμενός τε καὶ λεγόμενος, οὐ διαιρεῖ τὸν ἕνα Χριστὸν, ἀλλὰ σωζομένην, καὶ ἐν τῇ ἑνώσει παρίστησι τῶν φύσεων τὴν διαφορὰν, οὕτω καὶ ὁ ἀριθμὸς τῶν οὐσιωδῶς προσόντων ταῖς αὐτοῦ φύσεσι θελημάτων καὶ ἐνεργειῶν· κατ' ἄμφω γὰρ τὰς φύσεις θελητικὸς ἦν, καὶ ἐνεργητικὸς τῆς ἡμῶν σωτηρίας· οὐ διαίρεσιν εἰσάγει· μὴ γένοιτο· ἀλλὰ τὴν αὐτῶν δηλοῖ, καὶ μόνον, κἂν τῇ ἑνώσει, φυλακὴν καὶ σωτηρίαν. Φυσικὰ γὰρ, καὶ οὐχ ὑποστατικά φαμεν τὰ θελήματα καὶ τὰς ἐνεργείας. Λέγω δὲ αὐτὴν τὴν θελητικὴν καὶ ἐνεργητικὴν δύναμιν, καθ' ἣν θέλει καὶ ἐνεργεῖ τά τε θέλοντα καὶ ἐνεργοῦντα. Εἰ γὰρ ὑποστατικὰ δῶμεν αὐτὰ, ἑτεροθελεῖς καὶ ἑτεροενεργεῖς τὰς τρεῖς ὑποστάσεις τῆς ἁγίας Τριάδος εἰπεῖν ἀναγκασθησόμεθα. Μιᾶς γὰρ ὑποστάσεως χαρακτηριστικὸν τὸ ὑποστατικόν τε καὶ γνωμικόν.

Quocirca in Patre quidem et Filio, et Spiritu sancto, quia eadem voluntas atque actio est, eamdem quoque naturam esse agnoscimus. At in divina incarnatione ex actionum et voluntatum discrimine naturarum quoque discrimen agnoscimus, ac naturarum discrimen exploratum habentes, voluntatum etiam et actionum discrimen confitemur. Quemadmodum enim unius et ejusdem Christi naturarum numerus, si pie intelligatur et prædicetur, unum Christum nequaquam dividit; verum incolumem etiam in unione differentiam ostendit: ita earum voluntatum et actionum numerus, quæ substantialiter ipsis naturis conveniunt (etenim secundum utramque naturam ita comparatus erat ut vellet et operaretur), divisionem non inducit (absit), sed earum duntaxat etiam in unione conservationem et incolumitatem prodit. Naturales siquidem esse, ac non personales, voluntates et actiones dicimus; hoc est vim ipsam volendi et agendi, per quam volunt et agunt. Si enim personales esse concesserimus, tres sanctæ Trinitatis personas diversæ inter se voluntatis atque actionis necessario dicemus. Unius enim personæ rationem designat quod personale et gnomicum est.

Ἰστέον γὰρ ὡς οὐ ταὐτόν ἐστι, θέλειν, καὶ πῶς θέλειν. Τὸ μὲν γὰρ θέλειν, φύσεως, ὥσπερ καὶ τὸ ὁρᾷν· πᾶσι γὰρ ἀνθρώποις πρόσεστι· τὸ δὲ πῶς θέλειν, οὐ φύσεως, ἀλλὰ τῆς ἡμετέρας γνώμης, ὥσπερ καὶ τὸ πῶς ὁρᾷν, καλῶς ἢ κακῶς. Οὐ γὰρ πάντες ἄνθρωποι ὁμοίως θέλουσιν, οὐδ' ὁμοίως ὁρῶσι. Τοῦτο δὲ καὶ ἐπὶ τῶν ἐνεργειῶν δώσομεν. Τὸ γὰρ πῶς θέλειν, πῶς ὁρᾷν, ἢ πῶς ἐνεργεῖν, τρόπος ἐστὶ τῆς τοῦ θέλειν, καὶ ὁρᾷν, καὶ ἐνεργεῖν χρήσεως, μόνῳ τῷ κεχρημένῳ προσὼν, καὶ τῶν ἄλλων αὐτὸν κατὰ τὴν κοινῶς λεγομένην διαφορὰν χωρίζων.

Ut voluntas et actio, naturæ; sic talis voluntas atque actio, personæ. — Sciendum enim est, non idem esse velle, atque hoc vel illo modo velle. Velle siquidem naturæ est, ut et videre. Omnibus enim hominibus hoc convenit. At certo modo velle, non naturæ est, sed nostri consilii et sententiæ: quemadmodum et certo modo videre, hoc est bene vel male. Non enim omnes homines eodem modo volunt, neque eodem modo vident. Hoc autem etiam in actionibus concedemus. Nam certo modo velle, certo modo videre, certo modo agere, modus est quo quis voluntate utitur, necnon videndi atque agendi facultate, quæ soli utenti adest, cumque secundum rationem differentiæ communiter dictæ ab aliis secernit.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ κατ' εἰκόνα τῆς μακαρίας καὶ ὑπερουσίου θεότητος ὁ ἄνθρωπος γεγένηται· αὐτεξούσιος δὲ φύσει καὶ θελητικὴ ἡ θεία φύσις, ἄρα καὶ ὁ ἄνθρωπος, ὡς αὐτῆς εἰκὼν, αὐτεξούσιος φύσει καὶ θελητικός. Τὸ γὰρ αὐτεξούσιον, θέλησιν ὡρίσαντο οἱ Πατέρες.

Ἔτι δὲ εἰ πᾶσιν ἀνθρώποις ἐνυπάρχει τὸ θέλειν, καὶ οὐ τοῖς μὲν ἐνυπάρχει, τοῖς δὲ οὐκ ἐνυπάρχει· τὸ δὲ κοινῶς πᾶσιν ἐνθεωρούμενον, φύσιν χαρακτη-

Ex eodem capite.

Si ad beatæ et superessentialis divinitatis imaginem conditus est homo, profecto cum natura divina libera sit, et virtute volendi suapte natura polleat, homo quoque qui ejus imago est, iisdem a natura præditus erit. Etenim Patres liberum arbitrium voluntatem esse definierunt.

Ad hæc insuper, si cunctis hominibus velle inest, ac non ut quibusdam insit, quibusdam non insit; procul dubio, cum id quod communiter in

omnibus consideratur, naturæ notam in subjectis et individuis exprimat, homo volendi facultatem habet.

Ac rursus, si natura nec magis, nec minus recipit, sane cum omnibus peræque velle insit, ac non aliis uberius, aliis parcius, ex natura sua proinde volendi facultate præditus est homo : ex quo efficitur, ut cum homo virtute volendi polleat, ea itidem naturaliter polleat Dominus, non modo qua Deus est, sed etiam qua factus homo.

Ex eodem capite.

Rerum omnium Deus et Pater vult, vel quatenus Pater, vel quatenus Deus. Si quatenus Pater, alia erit ejus voluntas, alia Filii; neque enim Pater Filius est. Sin autem quatenus Deus, certe cum Filius quoque Deus sit, itemque Spiritus sanctus Deus, voluntatem naturæ esse, naturalemve, fatendum est.

Insuper, si quorum voluntas una est, horum etiam, ut Patres senserunt, una est essentia : sane, si una divinitatis Christi atque humanitatis voluntas sit, una quoque et eadem earum substantia erit.

Ac rursus, si de Patrum sententia, naturæ discrimen in una voluntate non elucet, necesse est, ut vel unam dicendo voluntatem, naturale discrimen non dicamus, vel naturarum distinctionem prædicantes, voluntatem unam non statuamus.

Ac rursus, si ut in divino Evangelio habetur, profectus Dominus in partes Tyri et Sidonis, *et ingressus domum, neminem scire voluit, nec tamen latere potuit* [1], profecto cum divina ipsius voluntas omnia possit, volens vero latere non potuerit, sequitur, ut quatenus homo id voluerit, nec potuerit, atque adeo, ut quatenus homo volendi facultatem habuerit.

Ac rursus, *Cum venisset*, inquit, *ad locum, dixit : Sitio. Et dederunt ei vinum felle mistum : et cum gustasset, noluit bibere* [2]. Porro si, quatenus Deus, siti correptus est, et cum gustasset, noluit bibere; ergo etiam quatenus Deus passionibus obnoxius erat : sunt enim, tum sitis, tum gustatio, passiones. Sin autem quatenus homo sitivit, utique quatenus homo voluntate instructus erat.

At vero sententiam et electionem in Domino dicere non possumus, si quidem proprie loqui studeamus. Sententia enim post ignotæ rei investigationem et deliberationem, consiliumve et judicium, affectio et dispositio est in id quod decretum fuit. Quam quidem affectionem sequitur electio, quæ alterum præ altero eligit et amplectitur. Atqui Dominus, cum purus homo non esset, verum etiam Deus, omniaque perspecta haberet, nec consideratione, nec inquisitione, nec deliberatione egebat, neque etiam judicio; quamobrem natura comparatus erat, ut necessitudine quadam bono adhæreret, ac rursus a malo averteretur. Sic enim et Isaias propheta ait : *Antequam sciat puer præeli-*

[1] Marc. VII, 24. [2] Joan. XIX 28; Matth. XXVII. 34.

A ρίζει ἐν τοῖς ὑπ' αὐτὸ ἀτόμοις· ἄρα φύσει θελητικὸς ὁ ἄνθρωπος.

Καὶ αὖθις· εἰ τὸ μᾶλλον καὶ ἧττον ἡ φύσις οὐκ ἐπιδέχεται, ἐπίσης δὲ πᾶσιν ἐνυπάρχει τὸ θέλειν, καὶ οὐ τοῖς μὲν πλέον, τοῖς δὲ ἔλαττον· ἄρα φύσει θελητικὸς ὁ ἄνθρωπος· ὥστε εἰ φύσει θελητικὸς ὁ ἄνθρωπος, καὶ ὁ Κύριος, οὐ μόνον καθὸ Θεὸς, ἀλλὰ καὶ καθὸ ἄνθρωπος γέγονε, φύσει θελητικός ἐστιν.

Ἐκ τοῦ αὐτοῦ κεφαλαίου.

Ὁ τῶν ὅλων γὰρ Θεὸς καὶ Πατὴρ, ἢ καθὸ Πατὴρ θέλει, ἢ καθὸ Θεός. Ἀλλ' εἰ μὲν καθὸ Πατὴρ, ἄλλο αὐτοῦ ἔσται τὸ θέλημα παρὰ τὸ τοῦ Υἱοῦ. Οὐ γὰρ Πατὴρ ὁ Υἱός. Εἰ δὲ καθὸ Θεὸς, Θεὸς δὲ ὁ Υἱὸς,
B Θεὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον· ἄρα τὸ θέλημα φύσεως, ἤγουν φυσικόν.

Ἔτι, εἰ κατὰ τοὺς Πατέρας, ὧν τὸ θέλημα ἓν, τούτων καὶ ἡ οὐσία μία, ἓν καὶ θέλημα τῆς θεότητος τοῦ Χριστοῦ, καὶ τῆς ἀνθρωπότητος αὐτοῦ· ἄρα μία καὶ ἡ αὐτὴ τούτων ἔσται καὶ ἡ οὐσία.

Καὶ πάλιν· εἰ, κατὰ τοὺς Πατέρας, ἡ τῆς φύσεως διαφορὰ τῷ ἑνὶ θελήματι οὐ διαφαίνεται, ἀνάγκη, ἢ ἓν θέλημα λέγοντας φυσικὴν ἐν Χριστῷ μὴ λέγειν διαφορὰν, ἢ φυσικὴν λέγοντας διαφορὰν, ἓν θέλημα μὴ λέγειν.

Καὶ αὖθις· εἰ καθὼς φησι τὸ θεῖον Εὐαγγέλιον, ἐλθὼν ὁ Κύριος εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος, καὶ
C *εἰσελθὼν εἰς οἶκον, οὐδένα ἠθέλησε γνῶναι*, καὶ *οὐκ ἠδυνήθη λαθεῖν*· εἰ τὸ θεῖον αὐτοῦ θέλημα παντοδύναμον, θελήσας δὲ λαθεῖν οὐ δεδύνηται· ἄρα καθὸ ἄνθρωπος θελήσας οὐκ ἠδυνήθη, καὶ θελητικὸς ἦν καὶ καθὸ ἄνθρωπος.

Καὶ πάλιν· *Ἐλθὼν*, φησὶν, *εἰς τὸν τόπον, εἶπε· Διψῶ. Καὶ ἔδωκαν αὐτῷ οἶνον μετὰ χολῆς μεμιγμένον, καὶ γευσάμενος οὐκ ἤθελε πιεῖν.* Εἰ μὲν οὖν καθὸ Θεὸς ἐδίψησε, καὶ γευσάμενος οὐκ ἤθελε πιεῖν, ἐμπαθὴς ἄρα καὶ καθὸ Θεός· πάθος γὰρ, ἥ τε δίψα, καὶ ἡ γεῦσις. Εἰ δὲ οὐ καθὸ Θεὸς, πάντως καθὸ ἄνθρωπος ἐδίψησε, καὶ θελητικὸς ἦν καὶ καθὸ ἄνθρωπος.

Γνώμην δὲ καὶ προαίρεσιν ἐπὶ τοῦ Κυρίου λέγειν
D ἀδύνατον, εἴπερ κυριολεκτεῖν βουλοίμεθα. Ἡ γνώμη γὰρ μετὰ τὴν περὶ τοῦ ἀγνοουμένου ζήτησιν καὶ βούλευσιν, ἤτοι βουλὴν καὶ κρίσιν, πρὸς τὸ κριθὲν ἐστι διάθεσις. Μεθ' ἣν ἡ προαίρεσις, ἐκλεγομένη, καὶ αἱρουμένη πρὸ τοῦ ἑτέρου τὸ ἕτερον. Ὁ δὲ Κύριος οὐ ψιλὸς ὢν ἄνθρωπος, ἀλλὰ καὶ Θεὸς, καὶ πάντα εἰδὼς, ἀνενδεὴς σκέψεως, καὶ ζητήσεως, καὶ βουλῆς ὑπῆρχε, καὶ κρίσεως, καὶ φυσικῶς τήν τε πρὸς τὸ καλὸν εἶχεν οἰκείωσιν, καὶ τὴν πρὸς τὸ κακὸν ἀλλοτρίωσιν. Οὕτω γὰρ καὶ Ἡσαΐας προφήτης φησὶν, ὅτι *Πρὶν ἢ γνῶναι τὸ παιδίον προελέσθαι πονηρὰ, ἐκλέξεται τὸ ἀγαθόν· διότι πρὶν γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πο-*

νηπίῳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν· Τὸ γὰρ, *πρὶν*, δηλοῖ ὅτι οὐ καθ' ἡμᾶς ζητήσας καὶ βουλευσάμενος, ἀλλὰ Θεὸς ὤν, καὶ θεϊκῶς κατὰ σάρκα ὑποστὰς, τουτέστι καθ' ὑπόστασιν ἡνωμένος τῇ σαρκὶ, αὐτῷ τῷ εἶναι, καὶ πάντα εἰδέναι, τὸ ἐκ φύσεως εἶχεν ἀγαθόν.

Τοῦ αὐτοῦ ἐκ τοῦ οθ' κεφαλαίου.

Ὥσπερ ἐπὶ τῆς πεπυρακτωμένης μαχαίρας αἱ φύσεις σώζονται τοῦ πυρὸς, καὶ τοῦ σιδήρου, καὶ αἱ δύο ἐνέργειαι, καὶ τὰ τούτων ἀποτελέσματα· ἔχει μὲν γὰρ ὁ σίδηρος τὸ τμητικὸν, τὸ δὲ πῦρ τὸ καυστικόν· καὶ ἡ τομὴ μὲν τῆς τοῦ σιδήρου ἐνέργειας ἐστὶν ἀποτέλεσμα, ἡ δὲ καῦσις τῆς τοῦ πυρὸς, καὶ σώζεται τὸ τούτων διάφορον ἐν τῇ κεκαυμένῃ τομῇ, καὶ ἐν τῇ τετμημένῃ καύσει· οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ, τῆς μὲν θεότητος αὐτοῦ ἡ θεία καὶ παντοδύναμος ἐνέργεια, τῆς δὲ ἀνθρωπότητος αὐτοῦ ἡ καθ' ἡμᾶς. Ἀποτέλεσμα δὲ τῆς μὲν ἀνθρωπίνης τὸ κρατηθῆναι τὴν χεῖρα τοῦ παιδὸς, καὶ ἑλκυσθῆναι, τῆς δὲ θείας ἡ ζωοποίησις. Ἄλλο γὰρ τοῦτο, κἀκεῖνο ἕτερον, εἰ καὶ ἀλλήλων ἀχώριστοι ὑπάρχουσιν ἐν τῇ θεανδρικῇ ἐνεργείᾳ. Εἰ μίαν ἐνέργειαν ἐπὶ τοῦ Κυρίου εἴποιμεν, ἢ θείαν ταύτην λέξομεν, ἢ ἀνθρωπίνην, ἢ οὐ δετέραν. Ἀλλ' εἰ μὲν θείαν, αὐτὸν μόνον γυμνὸν τῆς καθ' ἡμᾶς ἀνθρωπότητος λέξομεν· εἰ δὲ ἀνθρωπίνην, ψιλὸν αὐτὸν βλασφημήσομεν ἄνθρωπον· εἰ δὲ οὐ θείαν, οὐδὲ ἀνθρωπίνην, οὐδὲ Θεὸν, οὐδὲ ἄνθρωπον, οὐδὲ τῷ Πατρὶ οὐδὲ ἡμῖν ὁμοούσιον. Ἐκ γὰρ τῆς ἑνώσεως ἡ καθ' ὑπόστασιν ταυτότης γέγονεν, οὐ μὲν δὲ ἡ διαφορὰ τῶν φύσεων ἀνῄρηται· τῆς δὲ διαφορᾶς σωζομένης τῶν φύσεων, σωθήσονται δηλαδὴ καὶ αἱ τούτων ἐνέργειαι· οὐ γὰρ φύσις ἀνενέργητος.

Τοῦ αὐτοῦ ἐκ τοῦ πα' κεφαλαίου.

Ἡ τοῦ Κυρίου σὰρξ τῆς θείας ἐνεργείας ἐπλούτησε διὰ τὴν πρὸς τὸν λόγον ἀκραιφνεστάτην ἕνωσιν, ἤτοι τὴν καθ' ὑπόστασιν, οὐδαμῶς τῶν κατὰ φύσιν ἰδίων ὑποστᾶσα ἔκπτωσιν. Οὐ γὰρ κατ' οἰκείαν ἐνέργειαν, ἀλλὰ διὰ τὸν ἡνωμένον αὐτῇ Λόγον τὰ θεῖα ἐνήργει, τοῦ Λόγου δι' αὐτῆς τὴν οἰκείαν ἐνδεικνυμένου ἐνέργειαν. Καὶ εἰ μὲν γὰρ ὁ πεπυρακτωμένος σίδηρος, οὐ φυσικῷ δὲ λόγῳ τὴν καυστικὴν κεκτημένος ἐνέργειαν, ἀλλ' ἐκ τῆς πρὸς τὸ πῦρ ἑνώσεως τοῦτο κτησάμενος. Ἡ αὐτὴ τοιγαροῦν θνητή τε ἦν δι' ἑαυτὴν, καὶ ζωοποιὸς διὰ τὴν πρὸς τὸν Λόγον καθ' ὑπόστασιν ἕνωσιν. Ὁμοίως τὴν τοῦ θελήματος θέωσιν, οὐχ ὡς μεταβληθείσης τῆς φυσικῆς κινήσεως λέγομεν, ἀλλ' ὡς ἡνωμένου τῷ θείῳ, καὶ παντοδυνάμῳ αὐτοῦ θελήματι, καὶ γεγονότος Θεοῦ ἐνανθρωπήσαντος θέλημα, ὅθεν θέλων μὲν λαθεῖν οὐκ ἠδυνήθη, δι' αὐτὸ εὐδοκήσαντος τοῦ Θεοῦ Λόγου δειχθῆναι ἐν αὐτῷ ἀληθῶς ὑπάρχον τὸ ἀσθενὲς τοῦ ἀνθρωπίνου θελήματος. Θέλων δὲ τὴν τοῦ λεπροῦ ἐνήργησε κάθαρσιν, διὰ τὴν πρὸς τὸ θεῖον θέλημα ἕνωσιν. Ἰστέον δὲ, ὡς ἡ θέωσις τῆς τε φύσεως, καὶ τοῦ θελήματος, ἐμφαντικώτατον, καὶ δεικτικώτατόν ἐστι τῶν τε δύο φύσεων, καὶ τῶν

[1] Isa. VII, 15, sec. LXX.

A *gere mala, eliget bonum : quoniam antequam cognoscat puer bonum et malum, malitiam reprobabit, eligendo bonum.* Hæc vox, *antequam*, hoc indicat, quod non more nostro ex investigatione et deliberatione prævia, sed, ut qui Deus esset, divinoque modo subsistentiam carni tribueret, cui secundum hypostasim erat unitus, eo ipso quod erat, omniaque nôrat, suapte natura bonum habebat.

Ejusdem ex capite 79.

Quemadmodum in gladio ignito ignis et ferri naturæ servantur, et actiones duæ, earumque perfectiones, nam ferrum quidem vim habet secandi, ignis autem urendi, ac sectio quidem ferri actionis perfectio est, ustio autem ignis, earumque differentia in usta sectione et in ustione secta servatur, B sic et in Christo, divinitatis quidem ejus divina atque omnipotens actio est, humanitatis autem humana. Perfectio vero actionis humanæ quidem, quod tenuit puellæ manum, et traxit, divinæ autem, quod illam in vitam revocavit. Aliud enim est hoc, et aliud aliud, licet inter se conjuncta sint ac minime separata in actione divina simul atque humana. Si unam in Christo actionem dixerimus, aut divina, aut humana, aut neutra erit. Si divina, eum duntaxat Deum nostræ expertem humanitatis asseremus. Si humana, nudum hominem impie affirmabimus. Si neque divina, neque humana, nec Deum nec hominem ejusdem aut cum Patre, aut nobiscum essentiæ dicemus. Ex C conjunctione enim unus atque idem in persona factus est, non autem sublata est differentia naturarum. Differentia autem naturarum servata, et earum actiones conservabuntur. Natura enim non est expers actionis.

Ejusdem ex capite 81.

Domini caro propter verissimam verbi conjunctionem in persona divinæ actionis divitias est consecuta, nullo modo excidens ab iis quæ naturæ suæ sunt propria. Non enim actione sua, sed propter conjunctum Verbum, quæ divina sunt, faciebat, cum Verbum per ipsam propriam actionem demonstraret. Urit enim ignitum ferrum, non tamen ratione naturali, sed ignis conjunctione vim D illam obtinuit comburendi. Itaque cum mortalis esset per se, propter Verbi in persona conjunctionem, vitæ tribuendæ habebat potestatem. Similiter et voluntatis divinitatem dicimus, non quod naturalis motus esset immutatus, sed quod esset cum divina atque omnipotenti ipsius voluntate conjuncta, effectaque voluntas Dei hominem induti. Quamobrem cum vellet, latere non potuit propter ipsam, cum Deo Verbo placeret ostendere vere in se esse humanæ voluntatis infirmitatem. Volens autem, leprosum curavit propter conjunctionem cum divina voluntate. Sciendum est autem ex eo, quod natura, voluntasque divina reddita est, clarissime, et apertissime duas naturas, et duas voluntates declarari. Quemadmodum enim ignitio

non mutat igniti naturam ignis, sed ostendit et id, quod ignitum est, et id quod ignivit, et non unum, sed duo demonstrat, sic etiam deificatio non unam efficit naturam compositam, sed duas indicat, et conjunctionem in persona. Quorum, inquit Gregorius ille Theologus, unum effecit divinum, alterum divinum, effectum est. Ex illis verbis. *Quorum, et unum, et alterum*, duo esse demonstravit.

Ejusdem ex capite 82.

Voluntas humana Christi divinæ subdita. — Atqui ille quidem naturaliter, et ut Deus, et ut homo, habebat ut vellet: cæterum divinam ipsius voluntatem humana sequebatur, eique subdita erat, ut quæ propria sententia non moveretur, verum ea demum vellet, quæ divina ejus voluntas ipsam volebat velle. Permittente siquidem divina voluntate, naturaliter ea quæ sibi propria erant patiebatur. Etenim cum mortem detrectaret, hanc divina ipsius voluntate ita ferente et concedente; naturaliter detrectabat, atque in mortis agonia erat. Rursus divina ipsius voluntate volente, ut humana voluntas mortem amplecteretur, voluntaria ipsi passio fuit. Non enim qua Deus duntaxat morti se sponte tradidit, sed etiam quatenus homo. Unde nobis etiam animi audaciam adversus mortem comparavit. Ita quippe ante salutiferam passionem suam loquitur: *Pater, si fieri potest, transeat a me calix iste* [1]. Illud porro constat, quod ut homo calicem bibiturus erat: non enim ut Deus. Quare tanquam homo calicem transire vult. Hæc autem verba a naturali metu, et imbecillitate profecta sunt. *Verumtamen*, inquit, *non mea voluntas fiat* [2], hoc est, qua ratione diversæ a te sum substantiæ; *sed tua*, hoc est mea, quatenus eadem mihi ac tibi substantia est. Quæ quidem iterum fortis animi verba sunt. Etenim anima Domini, qui benigna sua voluntate homo vere factus erat, cum naturalem infirmitatem ante experta esset, percepto doloris sensu ex corporis disjunctione, divina rursum voluntate corroborata, adversus mortem audaciam concipit. Nam quia et totus Deus erat cum sua humanitate, et totus homo cum sua divinitate, ipse tanquam homo in se et per se id quod humanum erat, Deo et Patri subjecit, et Patri factus obediens, præstantissimam sese nobis formam et exemplum præbuit.

δύο θελημάτων. Ὥσπερ γὰρ ἡ πύρωσις οὐ μεταβάλλει τὴν τοῦ πυρωθέντος φύσιν εἰς τὴν τοῦ πυρὸς, ἀλλὰ δηλοῖ τό τε πυρωθὲν καὶ τὸ πυρῶσαν, καὶ οὐχ ἑνὸς, ἀλλὰ δυοῖν ἐστι δηλωτικὸν, οὕτω καὶ ἡ θέωσις οὐ μίαν φύσιν ἀποτελεῖ σύνθετον, ἀλλὰ τὰς δύο δηλοῖ, καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν. Φησὶ γοῦν ὁ Θεολόγος Γρηγόριος, ὧν τὸ μὲν ἐθέωσε, τὸ δὲ ἐθεώθη. Ὧν γὰρ εἰπὼν καὶ τὸ μὲν, καὶ τὸ δὲ, δύο ἔδειξεν.

Τοῦ αὐτοῦ ἐκ τοῦ πβ' Κεφαλαίου.

Εἶχε μὲν οὖν φυσικῶς, καὶ ὡς Θεὸς, καὶ ὡς ἄνθρωπος, τὸ θέλειν· εἵπετο δὲ καὶ ὑπετάσσετο τῷ αὐτοῦ θελήματι τὸ ἀνθρώπινον, μὴ κινούμενον γνώμῃ ἰδίᾳ, ἀλλὰ ταῦτα θέλων, ἃ τὸ θεῖον αὐτοῦ ἤθελε θέλημα. Παραχωρούσης γὰρ τῆς θείας θελήσεως, ἔπασχε τὰ ἴδια φυσικῶς. Ὅτε μὲν γὰρ παρῃτεῖτο τὸν θάνατον, φυσικῶς τῆς θείας αὐτοῦ θελησάσης θελήσεως καὶ παραχωρησάσης, παρῃτήσατο τὸν θάνατον, ἠγωνίασέ τε καὶ ἐδειλίασε· καὶ ὅτε ἤθελεν ἡ θεία αὐτοῦ θέλησις αἱρεῖσθαι τὴν ἀνθρωπίνην αὐτοῦ θέλησιν τὸν θάνατον, ἑκούσιον αὐτῇ τὸ πάθος ἐγένετο· οὐ γὰρ καθὸ Θεὸς μόνον ἑκουσίως ἑαυτὸν παρέδωκεν εἰς θάνατον, ἀλλὰ καὶ καθὸ ἄνθρωπος. Ὅθεν κατὰ θανάτου τόλμαν καὶ ἡμῖν ἐχαρίσατο, οὕτω γοῦν πρὸ τοῦ σωτηρίου πάθους φησί· *Πάτερ, εἰ δυνατὸν παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο*· δηλονότι ὡς ἄνθρωπος τὸ ποτήριον πίνειν ἔμελλεν· οὐ γὰρ ὡς Θεός. Ὡς ἄνθρωπος τοίνυν θέλει τὸ ποτήριον παρελθεῖν· ταῦτα τῆς φυσικῆς δειλίας τὰ ῥήματα· *Πλὴν μὴ τὸ ἐμὸν γενέσθω θέλημα*, ἤτοι καθ' ὃ σοῦ ἑτεροούσιός εἰμι, ἀλλὰ τὸ σὸν, ἤτοι τὸ ἐμὸν καὶ σὸν, καθ' ὃ σοὶ πέφυκα ὁμοούσιος· ταῦτα τῆς εὐτολμίας πάλιν ῥήματα· πρότερον γὰρ τῆς φυσικῆς ἀσθενείας πειραθεῖσα, κατ' αἴσθησιν τὴν ἐπὶ τῷ χωρισμῷ καὶ τοῦ σώματος καὶ φυσικὴν συμπάθειαν παθοῦσα ἡ τοῦ Κυρίου ψυχὴ, ὡς ἀληθῶς ἀνθρώπου γενομένου κατ' εὐδοκίαν αὐτοῦ· αὖθις τῷ θείῳ νευρωθεῖσα θελήματι, τοῦ θανάτου καταθαῤῥύνεται. Ἐπειδὴ γὰρ ὁ αὐτὸς ὅλος ἦν Θεὸς μετὰ τῆς ἀνθρωπότητος αὐτοῦ, καὶ ὅλος ἄνθρωπος μετὰ τῆς αὐτοῦ θεότητος, αὐτὸς ὡς ἄνθρωπος ἐν ἑαυτῷ καὶ δι' ἑαυτοῦ ὑπέταξε τὸ ἀνθρώπινον τῷ Θεῷ καὶ Πατρὶ, τύπον ἡμῖν ἑαυτὸν ἄριστον καὶ ὑπόγραμμον διδοὺς, καὶ ὑπήκοος τῷ Πατρὶ γέγονεν.

Frustra ratio in homine, si desit illi libertas. — Libere porro volebat tum divinæ, tum humanæ voluntatis ratione. Omni quippe naturæ rationali libera voluntas a natura insita est. Quorsum enim alioqui partem rationalem habebit, si non libere ratiocinatur? Nam naturalem quidem appetitum summus Opifex brutis etiam indidit, quo ad suæ naturæ conservationem necessitate ducuntur. Cum enim ratione careant, ducere non possunt, verum naturali ducuntur appetitu. Ex quo fit, ut simul atque appetitus oritur, statim ad agendum prosiliant. Neque enim ratione aut consilio, aut consideratione, aut judicio utuntur. Ac proinde nec

Αὐτεξουσίως δὲ ἤθελε τῷ θείῳ καὶ ἀνθρωπίνῳ θελήματι. Πάσῃ γὰρ λογικῇ φύσει πάντως ἐμπέφυκε τὸ αὐτεξούσιον θέλημα. Εἰς τί γὰρ ἕξει τὸ λογικὸν, μὴ αὐτεξουσίως λογιζομένη; τὴν μὲν γὰρ φυσικὴν ὄρεξιν καὶ τοῖς ἀλόγοις ζώοις ὁ Δημιουργὸς ἐνέσπειρε πρὸς σύστασιν τῆς οἰκείας φύσεως ἠναγκασμένως αὐτὰ ἄγουσαν. Λόγου γὰρ ἀμοιροῦντα οὐ δύναται ἄγειν, ἀλλ' ἄγεται ὑπὸ τῆς φυσικῆς ὀρέξεως. Ὅθεν ἅμα ἡ ὄρεξις γένηται, εὐθέως καὶ ἡ πρὸς τὴν πρᾶξιν ὁρμή· οὐ γὰρ λόγῳ, ἢ βουλῇ, ἢ σκέψει, ἢ κρίσει κέχρηται. Ὅθεν οὔτε ὡς ἀρετὴν μετιόντα ἐπαινεῖται, καὶ μακαρίζεται, οὔτε ὡς κακίαν πράττοντα κολάζεται. Ἡ δὲ λογικὴ φύσις ἔχει μὲν τὴν φυσικὴν ὄρε-

[1] Matth. XXVI, 39; Luc. XXII, 42.

ξιν κινουμένην, ὑπὸ δὲ τοῦ Λόγου ἀγομένην τε καὶ A ῥυθμιζομένην ἐπὶ τῶν φυλασσόντων τὸ κατὰ φύσιν· τοῦ γὰρ Λόγου προτέρημα τοῦτό ἐστιν, ἡ αὐτεξούσιος θέλησις, ἥντινα φυσικὴν ἐν τῷ λογικῷ φαμεν κίνησιν· διὸ καὶ ὡς ἀρετὴν μετιοῦσα ἐπαινεῖται καὶ μακαρίζεται, καὶ ὡς κακίαν μετιοῦσα κολάζεται.

velut virtuti studentia laudantur, ac beata censentur; nec tanquam malum agentia plectuntur. Natura vero rationalis habet quidem naturalem appetitum, qui moveatur; ejusmodi tamen, ut in iis quæ naturæ consentaneam rectitudinem servant, a ratione gubernetur ac componatur. Rationis enim præcellentia hæc est, liberæ potestatis voluntas: quam quidem naturalem motum in substantia rationali dicimus. Eaque de causa et cum virtutem colit, laudem obtinet, ac beata prædicatur; et cum se vitio dedit, punitur.

Ὥστε ἤθελε μὲν αὐτεξουσίως κινουμένη ἡ τοῦ Κυρίου ψυχή, ἀλλ' ἐκεῖνα αὐτεξουσίως ἤθελεν, ἃ ἡ θεία αὐτοῦ θέλησις ἤθελε θέλειν αὐτήν. Οὐ γὰρ νεύματι τοῦ Λόγου ἡ σὰρξ ἐκινεῖτο· καὶ Μωϋσῆς γὰρ καὶ πάντες οἱ ἅγιοι νεύματι θείῳ ἐκινοῦντο· ἀλλ' ὁ αὐτὸς εἷς ὢν Θεός τε καὶ ἄνθρωπος, κατά τε τὴν θείαν καὶ B τὴν ἀνθρωπίνην ἤθελε θέλησιν· διὸ οὐ γνώμῃ, φυσικῇ δὲ μᾶλλον δυνάμει, αἱ δύο τοῦ Κυρίου θελήσεις διέφερον ἀλλήλων. Ἡ μὲν γὰρ θεία αὐτοῦ θέλησις ἄναρχός τε καὶ παντουργὸς ἦν, ἑπομένην ἔχουσα τὴν δύναμιν, καὶ ἀπαθής· ἡ δὲ ἀνθρωπίνη αὐτοῦ θέλησις ἀπὸ χρόνου ἤρξατο, καὶ αὐτὴ τὰ φυσικὰ καὶ ἀδιάβλητα πάθη ὑπέμεινε, καὶ φυσικῶς μὲν οὐ παντοδύναμος ἦν, ὡς δὲ τοῦ Θεοῦ Λόγου ἀληθῶς καὶ κατὰ φύσιν γενομένη, καὶ παντοδύναμος.

Divinæ et humanæ voluntatis discrimen in Christo. — Ergo volebat quidem Domini anima libere excitata, sed ea libere demum volebat, quæ divina ipsius voluntas velle eam volebat. Non enim Verbi nutu caro movebatur, juxta ac Moses et sancti omnes divino nutu movebantur: verum idem ipse cum et Deus et homo esset, tum divina, tum humana voluntate volebat. Ob eam causam non consilio ac sententia, sed naturalis potius facultatis ratione, duæ Domini voluntates inter se dissidebant. Etenim divina ejus voluntas principii expers omnisque rei effectrix erat, ut pote comitem potentiam habens, et pati nescia. At humana ipsius voluntas, tum ipsa in tempore initium habuit, tum eas passiones sustinuit, quæ naturales et innocuæ erant. Ac natura quidem omnipotens non erat; ut autem Dei Verbi vere ac naturalis facta erat, nihil quoque ipsa non poterat.

Τοῦ αὐτοῦ Κεφάλαιον πγ'.

Ὁ μακάριος Διονύσιος καινήν τινα θεανδρικὴν C ἐνέργειαν φήσας τὸν Χριστὸν ἡμῖν πεπολιτευμένον, οὐκ ἀναιρῶν τὰς φυσικὰς ἐνεργείας, μίαν ἐνέργειαν ἔκ τε τῆς ἀνθρωπίνης καὶ θείας γεγενημένην φησίν· οὕτω γὰρ ἂν καὶ μίαν φύσιν εἴποιμεν καινήν, ἔκ θείας τε καὶ ἀνθρωπίνης γεγενημένην· ὧν γὰρ ἐνέργεια μία, τούτων καὶ ἡ οὐσία μία, κατὰ τοὺς ἁγίους Πατέρας· ἀλλὰ θέλων δεῖξαι τὸν καινὸν καὶ ἀπόῤῥητον τρόπον τῆς τῶν φυσικῶν τοῦ Χριστοῦ ἐνεργειῶν ἐκφάνσεως, τῷ ἀποῤῥήτῳ τρόπῳ τῆς εἰς ἄλληλα τῶν τοῦ Χριστοῦ φύσεων περιχωρήσεως προσφόρως, καὶ τὴν κατὰ ἄνθρωπον αὐτοῦ πολιτείαν ξένην καὶ παράδοξον, καὶ τῇ φύσει τῶν ὄντων ἄγνωστον, τόν τε τρόπον τῆς κατὰ τὴν ἀπόῤῥητον ἕνωσιν ἀντιδόσεως· D οὐ γὰρ διῃρημένας φαμὲν τὰς ἐνεργείας, οὐδὲ διῃρημένως ἐνεργούσας τὰς φύσεις, ἀλλ' ἡνωμένως ἑκάστην μετὰ τῆς θατέρου κοινωνίας ἐνεργοῦσαν τοῦθ' ὅπερ ἴδιον ἔσχηκεν. Οὔτε γὰρ τὰ ἀνθρώπινα ἀνθρωπίνως ἐνήργησεν· οὐ γὰρ ψιλὸς ἦν ἄνθρωπος· οὔτε τὰ θεῖα κατὰ Θεὸν μόνον· οὐ γὰρ ἦν γυμνὸς Θεός, ἀλλὰ Θεὸς ὁμοῦ ὑπάρχων καὶ ἄνθρωπος. Ὥσπερ γὰρ τῶν φύσεων, καὶ τὴν ἕνωσιν, καὶ τὴν φυσικὴν διαφορὰν ἐπιστάμεθα, οὕτω καὶ τῶν φυσικῶν θελημάτων τε καὶ ἐνεργειῶν.

Ejusdem caput 83.

Cum beatus Dionysius Christum novam quamdam theandricam, seu Dei simul et viri, actionem nobiscum obiisse dicit, non ut naturales actiones tollat, unam ex humana et divina actionem conflatam docet (ad hunc enim modum unam quoque novam naturam ex divina et humana effectam diceremus; quia quorum actio una est, horum etiam, ut sentiunt Patres, una est essentia), verum ita loquitur, ut novum illud et arcanum modum, quo naturales Christi actiones sé explicant, arcano illi mutuæ naturarum ipsius immeationis modo congruentem, humanum item vitæ genus novum et admirabile, inque rerum natura incognitum; ac denique alternæ illius communicationis, quæ ex ineffabili unitione oritur, rationem indicaret. Non enim aut sejunctas actiones, aut naturas divisim operari dicimus, sed conjunctim utramque cum alterius communione illud quod quæque proprium habet agere. Neque enim humana humanitus efficiebat, cum purus homo non esset; nec rursus divina divino duntaxat modo, quandoquidem non solum Deus erat, sed Deus simul et homo. Nam uti naturarum tum unionem, tum naturalem distinctionem habemus, ita etiam naturalium voluntatum et operationum.

Ἰστέον τοιγαροῦν, ὡς ἐπὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ποτὲ μὲν ὡς ἐπὶ δύο φύσεων τὸν λόγον ποιούμεθα, ποτὲ δὲ ὡς ἐφ' ἑνὸς προσώπου, καὶ τοῦτο δὲ κἀκεῖνο εἰς μίαν ἀναφέρεται ἔννοιαν· αἱ γὰρ δύο φύσεις εἷς ἐστι Χριστός, καὶ ὁ εἷς Χριστὸς

Actionum Christi alterna communicatio. — Itaque sciendum est, in Domino nostro Jesu Christo nos interdum, tanquam de duabus naturis sermonem habere, interdum tanquam de una persona: atque hoc et illud ad eumdem sensum refertur. Nam

et duæ naturæ unus Christus est; et unus Christus, duæ naturæ. Itaque dicere: Agit Christus secundum utramque naturam; perinde est, ac cum dicimus: Agit utraque natura in Christo cum alterius communione. Quare divina quidem natura eo nomine cum carne operante communicat, quod caro divinæ voluntatis beneplacito, quæ ipsi propria sunt, pati et agere sinatur, quodque carnis actio prorsus salutifera sit; id quod non humanæ, sed divinæ potius actionis est. At caro vicissim cum operante Verbi divinitate communicabat, tum quia per corpus veluti per instrumentum quoddam, divinas actiones efficiebat; tum quia unus idemque erat, qui et divino simul, et humano modo operabatur.

Mens humana, ut Verbo communicet. — Scire autem attinet, sanctam quoque ipsius mentem naturales suas actiones exsequi. Nam et se Dei mentem esse, atque ab omnibus rebus conditis adorari cogitat et agnoscit, ac eorum quæ in terra gessit et pertulit, recordatur. Cæterum cum operante Verbi deitate, qua cuncta reguntur et gubernantur, communicat, omnia intelligens, cognoscens, et administrans, non ut simplex et nuda mens hominis, sed ut quæ Deo secundum hypostasim unita sit, Deique mens exsistat.

Theandrica Christi actio. —Nihil igitur aliud theandrica actio declarat, quam quod Deo facto viro, hoc est, incarnato, humana quæque ipsius actio divina erat, sive deificata, nec divinæ ipsius operationis expers: rursumque divina ipsius actio humanæ ipsius actionis exsors non erat; verum utraque una cum altera considerabatur. Porro modus hic loquendi περίφρασις dicitur, quando quis duo quædam una dictione complectitur. Quemadmodum enim ignitij gladii incisam unam ustionem, atque inustam sectionem dicimus, et tamen sectionem distinctam ab ustione esse, necnon alius aliusque naturæ asserimus; ignis nempe ustionem, ac ferri sectionem: ad eumdem modum theandricam unam Christi actionem dicentes, duas ambarum ipsius naturarum actiones intelligimus; divinitatis videlicet ipsius divinam, humanitatis autem humanam actionem.

Item adversus Monotheletas. Ex aliis diversis Patribus.

Quoniam quæ sunt Christi naturæ, duas etiam ipsius naturales voluntates, et duas naturales actiones dicimus; utraque enim ipsius natura et vult et agit. Quod enim ratione præditum est, id liberam habet volendi agendique facultatem. Verum quoniam una est naturarum ejus persona, unum etiam ipsum esse dicimus, qui ex utraque natura et vult et agit naturaliter. Ac quemadmodum ex eadem fidei ratione unam et eamdem in sancta Trinitate tum voluntatis, tum actionis rationem dicimus: sic et in divina humanitatis assumptione

A δύο φύσεις ἐστί· ταυτὸν οὖν ἐστιν εἰπεῖν· ἐνεργεῖ ὁ Χριστὸς καθ' ἑκατέραν τῶν αὐτοῦ φύσεων, καὶ ἐνεργεῖ ἑκατέρα φύσις ἐν τῷ Χριστῷ μετὰ τῆς θατέρου κοινωνίας. Κοινωνεῖ τοίνυν ἡ μὲν θεία φύσις τῇ σαρκὶ ἐνεργούσῃ διὰ τὸ εὐδοκίᾳ τῆς θείας θελήσεως παραχωρεῖσθαι πάσχειν καὶ πράττειν τὰ ἴδια, καὶ διὰ τὸ τὴν ἐνέργειαν τῆς σαρκὸς πάντως εἶναι σωτήριον· ὅπερ οὐ τῆς ἀνθρωπίνης ἐνεργείας ἐστὶν, ἀλλὰ τῆς θείας. Ἡ δὲ σὰρξ τῇ θεότητι τοῦ Λόγου ἐνεργούσῃ, διά τε τὸ ὡς δι' ὀργάνου τοῦ σώματος τὰς θείας ἐκτελεῖσθαι ἐνεργείας, καὶ διὰ τὸ ἕνα εἶναι τὸν ἐνεργοῦντα θεϊκῶς τε ἅμα, καὶ ἀνθρωπίνως

B Εἰδέναι δὲ χρὴ ὡς ὁ ἅγιος αὐτοῦ νοῦς καὶ τὰς φυσικὰς αὐτοῦ ἐνεργεῖ ἐνεργείας, νοῶν τε καὶ γινώσκων ὅτι ἐστὶ Θεοῦ νοῦς, καὶ ὅτι ὑπὸ πάσης προσκυνεῖται τῆς κτίσεως, καὶ μεμνημένος τῶν ἐπὶ τῆς γῆς αὐτοῦ διατριβῶν τε καὶ παθῶν, κοινωνεῖ δὲ ἐνεργούσῃ τῇ τοῦ Λόγου θεότητι, καὶ διεπούσῃ καὶ κυβερνώσῃ τὸ πᾶν, νοῶν, καὶ γινώσκων, καὶ διέπων, οὐχ ὡς ψιλὸς ἀνθρώπου νοῦς, ἀλλ' ὡς Θεῷ καθ' ὑπόστασιν ἡνωμένος, καὶ Θεοῦ νοῦς χρηματίσας.

Τοῦτο οὖν δηλοῖ ἡ θεανδρικὴ ἐνέργεια, ὅτι ἀνδρωθέντος Θεοῦ, ἤγουν ἐνανθρωπήσαντος, καὶ ἡ ἀνθρωπίνη αὐτοῦ ἐνέργεια θεία ἦν, ἤγουν τεθεωμένη, καὶ C οὐκ ἄμοιρος τῆς θείας αὐτοῦ ἐνεργείας, καὶ ἡ θεία αὐτοῦ ἐνέργεια οὐκ ἄμοιρος τῆς ἀνθρωπίνης αὐτοῦ ἐνεργείας, ἀλλ' ἑκατέρα σὺν τῇ ἑτέρᾳ θεωρουμένη. Λέγεται δὲ ὁ τρόπος οὗτος περίφρασις, ὅταν τις δύο τινὰ διὰ μιᾶς περιλάβῃ λέξεως. Ὥσπερ καὶ μίαν τὴν τετμημένην καῦσιν λέγομεν, καὶ τὴν κεκαυμένην τομὴν τῆς πεπυρακτωμένης μαχαίρας, ἄλλην δὲ ἐνέργειάν φαμεν τὴν τομὴν, καὶ ἄλλην τὴν καῦσιν, καὶ ἄλλης καὶ ἄλλης φύσεως, τοῦ μὲν πυρὸς τὴν καῦσιν, τοῦ δὲ σιδήρου τὴν τομὴν, οὕτω καὶ μίαν τοῦ Χριστοῦ θεανδρικὴν ἐνέργειαν λέγοντες, δύο τὰς ἐνεργείας νοοῦμεν τῶν δύο φύσεων αὐτοῦ, τῆς μὲν θεότητος αὐτοῦ, τὴν θείαν, τῆς δὲ ἀνθρωπότητος αὐτοῦ, τὴν ἀνθρωπίνην ἐνέργειαν.

D

Ἔτι κατὰ Μονοθελητῶν ἑτέρων Πατέρων διαφόρων.

Ἐπεὶ δύο φύσεις τοῦ Χριστοῦ, δύο αὐτοῦ καὶ τὰ φυσικὰ θελήματα, καὶ τὰς φυσικὰς ἐνεργείας λέγομεν. Ἑκατέρα γὰρ αὐτοῦ φύσις θελητική τε καὶ ἐνεργητική. Πᾶν μὲν γὰρ λογικὸν αὐτεξούσιον, θελητικόν τε καὶ ἐνεργητικόν. Ἐπεὶ δὲ μία τῶν αὐτοῦ φύσεων ἡ ὑπόστασις, ἕνα καὶ τὸν αὐτόν φαμεν θέλοντά τε καὶ ἐνεργοῦντα φυσικῶς καθ' ἑκατέραν τῶν φύσεων. Ὥσπερ δὲ ἐπὶ τῆς ἁγίας Τριάδος τὴν ταυτότητα τοῦ τε θελήματος καὶ τῆς ἐνεργείας ἐκ τῆς ταυτότητος τῆς φύσεως ἐπιγινώσκομεν· οὕτω καὶ ἐπὶ τῆς θείας ἐνανθρωπήσεως τὴν διαφορὰν

τοῦ τε θελήματος καὶ τῆς ἐνεργείας ἐκ τῆς διαφορᾶς τῶν φύσεων γνωρίζομεν· ὧν γὰρ ἡ αὐτὴ φύσις, τούτων καὶ ἡ αὐτὴ θέλησις, καὶ ἐνέργεια. Ὧν δὲ διάφορος ἡ φύσις, τούτων διάφορος καὶ θέλησις, καὶ ἐνέργεια. Φυσικὰ δὲ, καὶ οὐχ ὑποστατικὰ, οὐδὲ προσωπικὰ οὐδὲ γνωμικά φαμεν ταυτὶ τὰ θελήματα καὶ τὰς ἐνεργείας. Λέγω δὲ μίαν τὴν θελητικήν τε καὶ ἐνεργητικὴν δύναμιν, ἐπὶ μὲν τῆς ἁγίας Τριάδος, ἵνα μὴ ἑτεροθελεῖς καὶ ἑτεροενεργεῖς τὰς τρεῖς ὑποστάσεις εἰπεῖν ἀναγκασθῶμεν, ἐπὶ δὲ τῆς θείας ἐνανθρωπήσεως διπλῆν, ἵνα μὴ ἑτεροϋπόστατον τὸ πρόσλημμα λέγειν δόξωμεν, καὶ δύο συνομολογήσωμεν ὑποστάσεις ἐν τῷ ἑνὶ Χριστῷ. Τὸ γὰρ ὑποστατικὸν, ἢ προσωπικὸν, ἢ γνωμικὸν θέλημα ἰδιοϋποστάτου ἐστὶν ἀτόμου. Ὁ δὲ Λόγος καὶ Θεὸς φύσιν μὲν τελείαν ἀνθρώπου προσελάβετο, ὑπόστασις δὲ αὐτῆς ἐγένετο τῷ προσλήμματι. Καθάπερ δὲ τὸ πρόσλημμα καὶ τεθέωται, καὶ μεταβολὴν οὐ πέπονθε τῆς ἰδίας φύσεως· οὕτω καὶ τὸ θέλημα καὶ ἡ ἐνέργεια τούτου καὶ τεθέωνται, καὶ τῶν ἰδίων οὐκ ἐξέστησαν ὅρων.

A voluntatis et actionis differentiam ex differentia colligimus naturarum. Quorum enim una est natura, eorum una est, et voluntas et actio; et quorum est natura diversa, eorum et voluntas et actio diversa est. Voluntates autem et actiones non ad hypostasim, aut personam, sensumve referimus. Unam vero in sancta Trinitate voluntatem et actionem dico, ne cogamur dicere tres personas diversa velle atque agere; duplicem autem in divina humanitatis assumptione, ne diversas in uno Christo hypostases et personas duas confiteamur. Voluntas enim, quæ ad hypostasim, et personam, sensumque refertur, propria est subjecti individui. Verbum autem et Deus naturam quidem hominis perfectam assumpsit, sed ei ipse persona fuit. At B quemadmodum assumpta humanitas sic evasit divina, ut propriæ naturæ non senserit mutationem: sic ejus et voluntas et actio ita evaserunt divinæ, ut a propriis terminis non recesserint.

Ἄλλο θέλησις κυρίως, καὶ ἄλλο βούλησις, καὶ ἄλλο θελητὸν, καὶ ἄλλο θελητικὸν, καὶ ἕτερον ὁ θέλων. Θέλησις μὲν γὰρ ἡ τοῦ ἁπλῶς θέλειν δύναμις, ὅπερ ἐστὶ φύσεως καὶ καθολικόν. Θελητὸν δὲ τὸ τῇ θελήσει ὑποπῖπτον πρᾶγμα. Θελητικὸν δὲ τὸ ἔχον τὴν θελητικὴν δύναμιν, οἷον ὁ ἁπλῶς ἄνθρωπος. Θέλων δὲ ὁ τοιόσδε ἄνθρωπος, ὁ χρώμενος τῇ τοιᾷδε θελήσει.

Aliud est voluntas, et aliud est deliberatio, et aliud est res, quam aliquid vult, et id, quod vult, et is qui vult. Voluntas enim simpliciter est volendi vis, quæ naturæ est et communis. Deliberatio autem est talis et talis voluntas, et ad personam refertur, et singularis est. Res autem quam aliquid vult, est voluntati subjecta; id vero quod vult, est quod habet volendi facultatem, exempli gratia homo. Is porro, qui vult est aliquis homo singu- C laris, qui aliqua singulari utitur voluntate.

Ἡ θέλησις, ἤγουν τὸ θέλημα, ποτὲ μὲν τὴν θελητικὴν δύναμιν δηλοῖ, καὶ λέγεται θέλημα φυσικὸν καὶ καθολικόν· ποτὲ δὲ τὸ θελητὸν, καὶ καλεῖται θέλημα γνωμικόν τε καὶ ἰδικόν.

Voluntas aliquando significat volendi facultatem, et dicitur voluntas naturalis et universalis; aliquando autem id, quod volumus, et voluntas sententiæ atque singularis appellatur.

Ἐπὶ μὲν τῶν ἀνθρώπων μία μὲν ἡ φυσικὴ θέλησις, διότι καὶ μία τούτων ἡ φύσις· πολλαὶ δὲ καὶ διάφοροι αἱ γνωμικαὶ, εἴτουν ὑποστατικαί· διότι καὶ πολλαὶ καὶ διάφοροι τούτων αἱ ὑποστάσεις καὶ αἱ γνῶμαι· ἐπὶ δὲ τοῦ Χριστοῦ, ἐπειδὴ μὲν διάφοροι αἱ φύσεις τῆς τε θεότητος αὐτοῦ καὶ ἀνθρωπότητος, διάφοροι καὶ αἱ φυσικαὶ θελήσεις αὐτῶν· ἐπειδὴ δὲ μία τούτων ἡ ὑπόστασις· καὶ εἷς ὁ θέλων, ἓν καὶ τὸ θέλημα τούτων, ἅτε τοῦ κρείττονος ἐκνικήσαντος, ἤγουν ἄρχοντος, καὶ τοῦ ἀνθρωπίνου θελήματος ἑπομένου τῷ θείῳ, καὶ ταῦτα θέλοντος, ἃ ἐκεῖνο θέλει.

Una in hominibus voluntas est naturalis, quoniam horum una item est natura. Multæ autem et diversæ sententiæ, quoniam multæ sunt etiam variæque personæ. At in Christo quia diversæ naturæ sunt divinitatis et humanitatis ipsius, diversæ sunt etiam naturales earum voluntates. Verum quia una est illarum persona, et unus qui vult, una etiam voluntas atque sententia est, cum illa quæ præstantior est vincat et dominetur, humana D autem voluntas divinam sequatur, et ea velit quæ divinæ placent voluntati.

Ἐπὶ Θεοῦ θέλησιν μὲν λέγομεν, καὶ βουλὴν, ἤτοι βούλησιν, γνώμην δὲ ἢ προαίρεσιν οὐ λέγομεν. Γνώμη μὲν γὰρ ἡ μετὰ τὴν περὶ τοῦ ἀγνοουμένου ζήτησιν καὶ κρίσιν πρὸς τὸ κριθὲν διάθεσις, μεθ' ἣν ἡ προαίρεσις ἐκλεγομένη καὶ αἱρουμένη πρὸ ἑτέρου τὸ ἕτερον. Ὁ δὲ Θεὸς ἀνενδεὴς καὶ σκέψεως, καὶ ζητήσεως, καὶ ἐκλογῆς, πάντα φυσικῶς εἰδώς.

Voluntatem in Deo dicimus, sententiam autem aut electionem non dicimus. Sententia enim est post rei ignoratæ quæstionem atque judicium, affectio erga illud quod judicatum est, quam sequitur electio, quæ secernit et unum alteri anteponit. Deo autem non est opus ut consideret, aut inquirat, aut eligat, cum omnia sciat naturaliter.

Διὸ οὐδὲ βουλὴν, ἤτοι βούλευσιν, ἐπὶ Θεοῦ φαμεν, εἰ καὶ ἀνθρωποπρεπῶς βουλευόμενον πολλάκις ἡ θεία Γραφὴ τοῦτον ὑπογράφει· *Ποιήσωμεν* γὰρ,

Quamobrem nec consultationem in Deo ponimus, licet eum sæpe Scripturæ humano more consulentem describant: *Faciamus* enim, inquit, *ho-*

minem [1], et si quid aliud eo consilio dictum est, A quo significantius tres unius Divinitatis personæ declararentur. At in assumpta humanitate natura quidem concedit ut consultationem et sententiam dicamus et electionem, sed tamen hæc item de ipsa haud proprie dicuntur. Nam cum in persona cum Deo conjuncta sit, rerum ipsa quoque cognitionem omnium est assecuta. Sed naturalem ejus voluntatem dicimus. Quod si Christus aliquando videtur sententiæ propositum admittere, quantum pertinet ad humanitatem, ut eo loco: *Volo, mundator* [2], et quæ sunt huic similia, non tamen personæ, aut sententiæ in illo voluntatem dicimus, sed dispensationis gratia hæc esse dicta intelligimus, ob eam causam, quam ante commemoravimus.

B

In animalibus, quæ rationis expertia sunt, appetitum dicimus, non autem voluntatem, aut consilium. Hæc enim statim ab ipso appetitu ad agendum impelluntur sine ratione. Voluntas autem et consilium ratione præditis tantummodo convenit, quippe quæ appetitui potius imperant et dominantur.

Si natura ratione præditus est homo, quod autem natura ratione præditum est, natura liberum habet arbitrium, quod quidem, ut Patres sentiunt, nihil aliud est nisi voluntas: homo natura voluntatem habet.

Si Deus Verbum me simul cum iis quæ mea sunt, suscepit, ut Gregorius ille Theologus ait: et C naturalem utique meam suscepit voluntatem, et meam naturalem actionem.

Si omnis homo natura volendi agendique vim habet: et Deus Verbum utique, homo natura factus, natura volendi agendique vim habuit.

Si Trinitas, quæ ejusdem essentiæ est, unam habet voluntatem: ea quæ unam habent voluntatem, eamdem habent essentiam, et diversas personas. Quamobrem si duæ Christi naturæ, ut dementes isti sentiunt, unam voluntatem habent, eamdem habebunt essentiam et diversas personas: atque ita incident in confusionem, nec divisionem effugient, quam una natura in personis D sibi subjectis habet.

TITULUS XXII.

Adversus imaginum oppugnatores epitome quædam tum ex actis septimi concilii, tum ex Germani et Nicephori Constantinopolis patriarcharum, tum ex beati Theodori Studiotæ scriptis deprompta.

Archetypum est principium et exemplar quod per se constat, et est formæ a se desumptæ, deductæque similitudinis causa.

Imago est exemplaris similitudo, quæ totam ip

φησὶν, *ἄνθρωπον*, καὶ εἴ τι τοιοῦτον οἰκονομικῶς, καὶ πρὸς ἔμφασιν τῶν τριῶν ὑποστάσεων τῆς μιᾶς Θεότητος. Ἐπὶ δὲ τοῦ προσλήμματος δίδωσι μὲν ἡ φύσις λέγειν καὶ βούλευσιν, καὶ γνώμην, καὶ προαίρεσιν· οὐ κυρίως δὲ λέγοιτ' ἂν οὐδὲ ἐπ' αὐτοῦ. Διότι καθ' ὑπόστασιν ἑνωθὲν τῷ Θεῷ συμμετέσχε καὶ τοῦ πάντα εἰδέναι. Θέλησιν δὲ φυσικὴν, ἤτοι θέλημα, τούτου λέγομεν. Εἰ τάχα δὲ ὁ Χριστὸς εὑρίσκεται καὶ μερικὸν, ἤγουν γνωμικὸν εἰσάγων θέλημα κατὰ τὸ ἀνθρώπινον αὐτοῦ, ὡς τὸ, *Θέλω, καθαρίσθητι*, καὶ ἄλλα τοιαῦτα, ἀλλ' οὖν οὐ λέγομεν ὑποστατικὸν ἐπὶ τούτου, ἢ γνωμικὸν θέλημα οἰκονομικῶς διὰ τὴν προαποδοθεῖσαν αἰτίαν.

Ἐπὶ τῶν ἀλόγων ὄρεξιν μὲν λέγομεν, θέλησιν δὲ ἢ βούλησιν οὐ λέγομεν. Διότι μετὰ τὴν ὄρεξιν εὐθὺς ὁρμᾷ ταῦτα πρὸς τὴν πρᾶξιν ἀλογίστως ὑπὸ τῆς φυσικῆς ὀρέξεως ἀγόμενα. Ἡ δὲ θέλησις καὶ ἡ βούλησις τῶν λογικῶν ἐστι, τῶν ἀγόντων μᾶλλον τὴν ὄρεξιν, καὶ κυριευόντων αὐτῆς.

Εἰ φύσει λογικὸς ὁ ἄνθρωπος, τὸ δὲ φύσει λογικὸν φύσει αὐτεξούσιον, τὸ δὲ αὐτεξούσιον κατὰ τοὺς Πατέρας τὸ θέλημά ἐστιν· ἄρα φύσει θελητικὸς ὁ ἄνθρωπος.

Εἰ ἐμὲ μετὰ τῶν ἐμῶν ὁ Θεὸς Λόγος προσείληφεν, ὡς ὁ Θεολόγος εἴρηκεν, ἄρα καὶ τὸ φυσικὸν θέλημα, καὶ τὴν φυσικήν μου ἐνέργειαν.

Εἰ πᾶς ἄνθρωπος φύσει θελητικός τε καὶ ἐνεργητικός ἐστιν, ἄρα καὶ ὁ Θεὸς Λόγος ἄνθρωπος φύσει γενόμενος, φύσει θελητικός τε καὶ ἐνεργητικὸς ἐγένετο.

Εἴπερ ἓν θέλημα τῆς ὁμοουσίου Τριάδος, ἄρα τὰ ἔχοντα ἓν θέλημα ὁμοούσια μέν εἰσιν, ἑτεροϋπόστατα δέ. Καὶ λοιπὸν εἰ κατὰ τοὺς ἄφρονας αἱ δύο φύσεις τοῦ Χριστοῦ ἓν ἔχουσι θέλημα, ἄρα ὁμοούσιοι μέν εἰσιν, ἑτεροϋπόστατοι δὲ, καὶ οὕτω τῇ συγχύσει ὑποπεσοῦνται, καὶ τὴν διαίρεσιν οὐκ ἐκφεύξονται, ἣν ἡ μία φύσις ἐν ταῖς ὑπ' αὐτὴν ἔχει ὑποστάσεσι.

ΤΙΤΛΟΣ ΚΒʹ.

Κατὰ Εἰκονομάχων ἐπιτομή τις ἠκριβωμένη ἀπό τε τῶν πρακτικῶν τῆς ἑβδόμης συνόδου, καὶ τῶν Γερμανοῦ, καὶ Νικηφόρου τῶν πατριαρχῶν Κωνσταντινουπόλεως, καὶ τῶν τοῦ μακαρίου Θεοδώρου τοῦ Στουδιώτου.

Ἀρχέτυπόν ἐστιν ἀρχὴ καὶ παράδειγμα ὑφεστηκὸς τοῦ ἀπ' αὐτοῦ χαρακτηριζομένου εἴδους, καὶ τῆς παραγωγῆς τοῦ προσεοικότος αἴτιον.

Εἰκών ἐστιν ὁμοίωμα ἀρχετύπου ὅλον ἐν ἑαυτῇ

[1] Gen. I, 26. [2] Matth. VIII, 3.

A τοῦ ἐντυπουμένου τὸ εἶδος διὰ τῆς ἐμφερείας ἐναποματτομένη, τῷ διαφόρῳ τῆς οὐσίας κατὰ τὴν ὕλην μόνον παραλλάττουσα· ἢ μίμησις ἀρχετύπου, καὶ ἀπείκασμα, ἢ τέχνης ἀποτέλεσμα κατὰ μίμησιν τοῦ ἀρχετύπου εἰδοποιούμενον τῇ οὐσίᾳ διαφέρον.

Εἰκὼν λέγεται παρὰ τὸ ἐοικέναι. Ἄλλο φυσικὴ εἰκὼν καὶ ἄλλο μιμητική· ἡ μὲν οὐ φυσικὴν διαφορὰν ἔχουσα πρὸς τὸ αἴτιον, ἀλλ' ὑποστατικήν, ὡς ὁ Υἱὸς πρὸς τὸν Πατέρα· μία μὲν γὰρ τούτων φύσις, δύο δὲ ὑποστάσεις· ἡ δὲ τοὐναντίον οὐχ ὑποστατικὴν διαφορὰν ἔχουσα πρὸς τὸ ἀρχέτυπον, ἀλλὰ φυσικήν, ὡς ἡ εἰκὼν τοῦ Χριστοῦ πρὸς τὸν Χριστόν. Μία μὲν γὰρ τούτων ὑπόστασις, δύο δὲ φύσεις. Ἄλλη γὰρ φύσις ὑλογραφίας, καὶ ἄλλη Χριστοῦ κατὰ τὸ ἀνθρώπινον, καθ' ὃ καὶ περιγράφεται, καὶ ἀρχέτυπον εἰκόνος καθίσταται. B Ἐπὶ μὲν τῆς μιμητικῆς εἰκόνος κατὰ τὴν ἰδέαν, ἤτοι μορφὴν ἡ ὁμοίωσις· ἐπὶ δὲ τῆς φυσικῆς κατὰ τὴν οὐσίαν, ἤτοι θεότητα ἡ ταυτότης· καὶ ἐπὶ μὲν τῆς φυσικῆς, διότι μία φύσις Υἱοῦ καὶ Πατρός, διὰ τοῦτο μία καὶ προσκύνησις τούτων, ἀλλ' οὐ δύο κατὰ τὸ διάφορον τῶν ὑποστάσεων· ἐπὶ δὲ τῆς μιμητικῆς, διότι μία ὑπόστασις εἰκόνος Χριστοῦ, καὶ αὐτοῦ Χριστοῦ, μία καὶ προσκύνησις τούτων, ἀλλ' οὐ δύο κατὰ τὸ διάφορον τῶν φύσεων. Οὐ γὰρ ἰδιοϋπόστατός ἐστιν ἡ μιμητικὴ εἰκών, ἀλλὰ τοῦ ἀρχετύπου τὴν ὑπόστασιν φέρει, καὶ κατὰ ταύτην εἰκὼν αὐτοῦ ἐστιν. Ὑπόστασιν δὲ νῦν λέγομεν οὐ τὸ ἁπλῶς ὑφεστώς, ἀλλ' οὐσίαν τινὰ μετὰ ἰδιωμάτων, καθ' ἃ διαχωρίζεται τῶν ὁμοειδῶν. C Τὸ γοῦν ἰδιοϋπόστατον οὐκ εἰκών, ἀλλ' ἀρχέτυπον.

Ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει, καὶ ἔστι τούτων μία προσκύνησις διὰ τὸν ἐν ἀμφοῖν ἕνα χαρακτῆρα.

Παντὸς μιμητικῶς εἰκονιζομένου οὐχ ἡ φύσις, ἀλλ' ἡ ὑπόστασις εἰκονίζεται, καὶ διὰ τοῦτο ταυτὸν τῷ ἀρχετύπῳ ἡ εἰκὼν αὐτοῦ οὐ τῇ φύσει, ἀλλὰ τῇ ὑποστάσει, ἤγουν τῇ μιμήσει τῆς ὑποστάσεως.

Ἐν τῇ εἰκόνι ἡ εἰκονιζομένη τοῦ ἀρχετύπου ὑπόστασις προσκυνεῖται, καὶ οὐχ ἡ ὕλη τῆς εἰκόνος· ὁ ἐναποσφραγισθεὶς αὐτῇ χαρακτήρ, καὶ οὐχ ἡ τῆς εἰκόνος οὐσία.

D Ὅτε μὲν πρὸς τὴν τῆς εἰκόνος φύσιν ἀπίδοι τις, οὐ μόνον οὐ Χριστόν, ἀλλ' οὐδὲ εἰκόνα Χριστοῦ εἴποι ἂν τὸ ὁρώμενον· ἔστι γὰρ ξύλον τυχόν, ἢ χρυσός, ἢ ἄργυρος, ἤ τι τῶν ἄλλων ὑλῶν· ὅτε δὲ πρὸς τὴν δι' ἐκτυπώματος ὁμοίωσιν τοῦ ἀρχετύπου, καὶ Χριστόν, καὶ Χριστοῦ, ἀλλὰ Χριστὸν μὲν καθ' ὁμωνυμίαν, Χριστοῦ δὲ κατὰ τὸ πρός τι.

Ἡ εἰκὼν σχέσιν ἔχει πρὸς τὸ ἀρχέτυπον, καὶ αἰτίου ἐστὶν αἰτιατόν. Ἀνάγκη οὖν διὰ τοῦτο καὶ τῶν πρός τι εἶναι ταύτην καὶ λέγεσθαι. Τῶν πρός τι γὰρ ἡ σχέσις, τὰ δὲ πρός τι αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται, καὶ ἀντιστρέφει τὴν σχέσιν πρὸς ἄλληλα. Ἀρχέτυπον γὰρ εἰκόνος ἀρχέτυπον· καὶ εἰκὼν ἀρχετύπου εἰκών. Καὶ οὐκ ἄν τις ἄσχετον εἰ-

sius formam per effigiem expressam in se continet, et essentiæ differentia per materiam tantum discrepat, sive exemplaris imitatio et adumbratio, sive artis opus quod ad exemplaris imitationem expressum essentia differt.

Imago dicitur, quod imitetur, et similitudinem exprimat. Imago naturalis differt ab imagine quæ arte confecta est: naturalis enim a causa distat personæ differentia, ut Filius a Patre, quorum una natura cum sit, duæ sunt personæ. Contra vero imago arte confecta discrepat ab exemplari non personæ differentia, sed naturæ, ut imago Christi a Christo. Una enim est ipsorum persona, sed naturæ duæ. Nam alia est natura materiæ Christi imaginem referentis, alia Christi quatenus homo est, et quatenus describitur, et exemplar imaginis constituitur. Atque imaginis quidem arte confectæ similitudo in specie formave consistit. Naturalis autem in eadem essentia seu divinitate: et in naturali quidem, quoniam una est Filii Patrisque natura, idcirco una est etiam horum adoratio, non autem duæ propter differentiam personarum. In ea vero, quæ ab arte profecta est, quoniam una est imaginis Christi et ipsius Christi persona, ideo una est ipsorum adoratio, non autem duæ propter differentiam naturarum. Imago enim arte confecta nullam habet propriam personam, sed exemplaris personam gerit, propter quam imago ipsius est. Personam hic accipimus non quæ simpliciter per se constat, sed essentiam quamdam cum proprietatibus, per quas ab aliis differt ejusdem generis. Quamobrem non imago, sed exemplar propriam habet personam.

Imaginis honor in exemplar recidit, et una est utriusque adoratio, quoniam una est effigies utriusque.

Quidquid ab arte describitur, ejus non natura, sed persona describitur. Et idcirco imago ipsius idem est cum exemplari, non natura, sed persona, seu personæ similitudine.

Exemplaris persona imagine expressa, non imaginis materia adoratur, non imaginis essentia, sed forma, quæ in ipsa descripta est.

Cum quis ad imaginis naturam respicit, non modo Christum, sed ne Christi quidem imaginem vocat id, quod videt; est enim lignum fortasse, aut aurum, aut argentum, aut aliqua alia materia. At cum ad exemplaris similitudinem imagine expressam respicit, et Christum, et Christi imaginem appellat: Christum quidem æquivoce, Christi autem ex eo quod ad aliquid refertur.

Imago relationem habet ad exemplar, et ab eo tanquam a causa dependet. Itaque necesse est ut ex eorum sit dicaturque numero, quæ ad aliquid referuntur. Quæ autem ad aliquid referuntur, ea, quatenus sunt, aliorum dicuntur esse, mutuoque sese respiciunt. Exemplar enim imaginis exemplar est, et imago est exemplaris imago. Nec quisquam ima-

ginem a nulla re dependentem, rei alicujus imaginem dixerit. Simul enim inducunt sese, vicissimque considerantur.

Quot nominibus exemplar vocatur, totidem vocatur et imago ipsius. Sed illud quidem ut exemplar, et per se, et proprie; hæc autem ut ejus imago, et propter ipsum, et improprie.

Cum adoratur imago, adoratur Christus, cujus illa similitudinem gerit, non autem materia, in qua similitudo impressa est. Et quemadmodum in speculo persona quodammodo describitur ipsum intuentis, et manet a materia separata, ac si quis propriam in speculo conspicuam velit imaginem osculari, materiæ quidem inhæret, sed imaginem osculatur, et ipso recedente, simul etiam avolat imago, quoniam a speculi materia ipsa persona separatur: eadem ratione qui Servatoris aut Dei Genitricis, aut alicujus sanctorum imaginem osculatur, licet materiæ inhæreat, imaginem, non materiam osculatur. Et imagine deleta, propter quam exhibebatur adoratio, materia remanet non amplius adoranda, quippe quæ commune cum similitudine nihil habet.

Detur annulus, in quo imago sit regia. Imprimatur in cera, et in pice, et in luto. In his quidem erit signum, idque nulla ratione differens, licet materiæ diversæ sint. Cum his enim signum nihil habet commune, sed ab ipsis separatum, et in annulo manens animo cogitationeque comprehenditur. Sic et Christi similitudo, quamvis eam materiæ diversæ referant expressam, nihil habet tamen commune cum illis, sed in Christi manet persona.

Sacras imagines constituimus, ut, eas contemplantes, ipsarum exemplaria nobis videamur intueri, eorumque nobis tum memoriam renovent, tum desiderium leniant.

Beatæ Trinitati ab orthodoxis latria tribuitur in spiritu et veritate; sanctis autem imaginibus non latria omnino, sed adoratio, et deosculatio, et honor. Licet enim imaginis etiam honor transeat ad exemplar, latria tamen non debetur venerandis imaginibus, sed soli beatæ Trinitati, ne rebus procreatis et ex materia constantibus latriæ cultum tribuere videamur.

In ipso Christo est adoratio latriæ et naturalis; unus enim est sanctæ Trinitatis per divinam ipsius naturam. In imainne vero Christi est relativa et æquivoca: in ipsa enim adoro Christum, qui quoniam carnem induit, imagine exprimitur, quantum ad corporeum ejus aspectum attinet, quæ quidem adoratio est relationis atque personæ.

Quemadmodum fides, sic et latria sanctæ tribuitur Trinitati. Quare qui Christi imagini latriæ cultum exhibet, is quaternitatem latria colere deprehenditur, et in sancta Trinitate imaginem collocare: Trinitati enim, ut dictum est, latria debetur.

Si corporis umbra separari non potest, cum semper

A κόνα τὴν τινὸς εἰκόνα φαίη. Ἅμα γὰρ συνεισάγεται, καὶ συνεπιθεωρεῖται θατέρῳ θάτερον.

Ὅσοις ὀνόμασι τὸ ἀρχέτυπον καλεῖται, τοσούτοις καὶ ἡ εἰκὼν αὐτοῦ. Ἀλλὰ τὸ μὲν ὡς ἀρχέτυπον καὶ δι' ἑαυτὸ, καὶ κυρίως· ἡ δὲ ὡς εἰκὼν αὐτοῦ, καὶ δι' ἐκεῖνο, καὶ καταχρηστικῶς.

Προσκυνουμένης τῆς εἰκόνος, ὁ Χριστὸς προσκυνεῖται, οὗ ἐστιν ὁμοίωσις, καὶ οὐχ ἡ ὑποδεξαμένη τὴν ὁμοίωσιν ὕλη. Καὶ ὥσπερ ἐπὶ τοῦ κατόπτρου διαγράφεται τρόπον τινὰ τὸ πρόσωπον τοῦ βλέποντος αὐτὸ, καὶ μένει τῆς ὕλης κεχωρισμένον· κἂν θελήσειέ τις ἀσπάσασθαι τὴν ἐμφαινομένην ἰδίαν εἰκόνα, τῇ μὲν ὕλῃ προσέφυ, τὴν εἰκόνα δὲ περιεπτύξατο, καὶ μεταστάντος αὐτοῦ, συναπέπτη καὶ B τὸ ἴνδαλμα διὰ τὸ κεχωρίσθαι τῆς ὕλης τοῦ κατόπτρου· τὸν αὐτὸν τρόπον ὁ τὴν εἰκόνα τοῦ Σωτῆρος, ἢ τῆς Θεομήτορος, ἢ τινος τῶν ἁγίων ἀσπαζόμενος, εἰ καὶ προσφύεται τῇ ὕλῃ, τὴν εἰκόνα, καὶ οὐ τὴν ὕλην ἀσπάζεται, καὶ ἀφανισθέντος τοῦ ἐκτυπώματος, ἐφ' ᾧ ἡ προσκύνησις, ἔμεινεν ἀπροσκύνητος ἡ ὕλη, μηδέν τι κοινωνοῦσα τῷ ὁμοιώματι.

Ἔστω δακτύλιος ἐγκεχαραγμένος εἰκόνα βασιλικὴν, εἶτα ἐκτυπούτω ἐν κηρῷ, καὶ ἐν πίσσῃ, καὶ ἐν πηλῷ. Ἡ μὲν οὖν σφραγὶς μία καὶ ἀπαράλλακτος ἐν τούτοις, αἱ δὲ ὕλαι διάφοροι, διὰ τὸ μηδέν τι ταῖς ὕλαις τὴν σφραγῖδα κοινωνεῖν, ἀλλ' εἶναι αὐτὴν τῇ ἐπινοίᾳ τούτων κεχωρισμένην ἐν τῷ δακτυλίῳ μένουσαν. Οὕτως οὖν καὶ τὸ τοῦ Χριστοῦ ὁμοίωμα, C εἰ καὶ ἐν διαφόροις ὕλαις ἐκτυπωθῇ, ἀκοινώνητόν ἐστι τῶν ὑλῶν ἐν τῇ τοῦ Χριστοῦ μένον ὑποστάσει.

Τὰς ἱερὰς εἰκόνας ἀναστηλοῦμεν, ἵνα ταύτας ὁρῶντες δι' αὐτῶν δοκῶμεν ὁρᾷν τὰ τούτων ἀρχέτυπα, καὶ γίνονται ἡμῖν ὑπομνήματα, καὶ παρηγορία τοῦ πόθου τοῦ πρὸς τὰ τούτων πρωτότυπα.

Ὅσον συνεχῶς αἱ εἰκόνες ὁρῶνται, τοσοῦτον οἱ ταύτας ὁρῶντες διανίστανται πρὸς τὴν τῶν ἀρχετύπων μνήμην καὶ ἐπιπόθησιν.

Ἡ μὲν ἐν πνεύματι καὶ ἀληθείᾳ λατρεία τῇ μακαρίᾳ Τριάδι παρὰ τῶν ὀρθοδόξων ἀπονενέμηται· ταῖς δὲ ἁγίαις εἰκόσιν οὐ λατρεία πάντως, ἀλλὰ προσκύνησις, καὶ ἀσπασμὸς, καὶ τιμή. Εἰ γὰρ καὶ ἡ τιμὴ τῆς εἰκόνος ἐπὶ τὸ πρωτότυπον διαβαίνει, ἀλλ' ἡ λατρεία τῆς μακαρίας ἐστὶ μόνης Τριάδος, καὶ οὐ D τῶν σεπτῶν εἰκόνων, ἵνα μὴ κτισματολάτραι καὶ ὑλολάτραι δόξωμεν.

Ἐπ' αὐτοῦ μὲν τοῦ Χριστοῦ λατρευτικὴ ἡ προσκύνησις καὶ φυσική· εἷς γάρ ἐστι τῆς ἁγίας Τριάδος κατὰ τὴν θείαν αὐτοῦ φύσιν· ἐπὶ δὲ τῆς εἰκόνος τοῦ Χριστοῦ σχετικὴ καὶ ὁμωνυμική. Προσκυνῶ γὰρ τὸν ἐν αὐτῇ Χριστὸν, τὸν διὰ τὸ σαρκωθῆναι εἰκονιζόμενον κατὰ τὴν σωματοειδῆ θέαν αὐτοῦ, ὅπερ ἐστὶ σχετικὴ προσκύνησις καὶ ὑποστατική.

Ὥσπερ ἡ πίστις, οὕτω καὶ ἡ λατρεία τῇ ἁγίᾳ Τριάδι ἀποκεκλήρωται. Ὁ γοῦν λατρεύων τῇ εἰκόνι Χριστοῦ εὑρεθήσεται τετράδι λατρεύων, καὶ συνεισκρίνων τῇ ἁγίᾳ Τριάδι καὶ τὴν εἰκόνα. Τῆς Τριάδος γὰρ, ὡς εἴρηται, τὸ λατρεύεσθαι.

Εἰ σώματος σκιὰν μερισθῆναι οὐχ οἷόν τε παρ-

ὑφεστῶσαν αὐτῷ πάντοτε, κἂν μὴ φαίνοιτο, οὐδὲ τὴν εἰκόνα Χριστοῦ δυνατὸν διαιρεθῆναι αὐτοῦ. Ἀλλ' ὥσπερ ἡ σκιὰ τῇ τοῦ ἡλίου βολίδι φαίνεται, οὕτω καὶ ἡ Χριστοῦ εἰκὼν τῇ διατυπώσει τῆς ὕλης.

Δύο τούτων ὄντων περὶ τὸ σῶμα, σκιᾶς καὶ εἰκόνος, ἡ μὲν σκιὰ σημασίαν ἀμυδράν τινα τοῦ ἀνθρώπου δείκνυσιν, ἡ δὲ εἰκὼν ἀριδηλοτέραν. Εἰ οὖν τὸ ἀεὶ τοῦ ποτὲ, καὶ τὸ καθ' ὕπαρξιν τοῦ κατὰ στέρησιν, καὶ τὸ τηλαυγὲς τοῦ ἀμυδροῦ βέλτιον, καὶ ἡ εἰκὼν ἄρα βελτίων τῆς σκιᾶς. Ἀλλὰ μὴν αἱ τῶν ἁγίων σκιαὶ καὶ ἅγιαι καὶ ὀνησιφόροι· αἱ εἰκόνες αὐτῶν ἄρα πολλῷ μᾶλλον ἁγιώτεραι καὶ σεβασμιώτεραι.

Ὁ μὲν Χριστὸς ὁρᾶται ἐν τῇ εἰκόνι αὐτοῦ, αὕτη δὲ ὑφίσταται ἐν αὐτῷ.

Οὐχ ὡς θεοὺς τὰς εἰκόνας προσκυνοῦμεν, οὐδὲ τὰς ἐλπίδας τῆς σωτηρίας ἐν αὐταῖς ἔχομεν, οὐδὲ τὸ θεῖον σέβας ἀπονέμομεν· τοῦτο γὰρ οἱ Ἕλληνες· ἀλλὰ μόνον τὴν σχέσιν καὶ τὴν ἀγάπην τῆς ἡμῶν ψυχῆς, ἣν ἔχομεν πρὸς τὰ πρωτότυπα, διὰ τῆς τοιαύτης προσκυνήσεως ἐμφανίζομεν. Ὅθεν τοῦ χαρακτῆρος λειανθέντος, ὡς ξύλον ἀργὸν τὴν ποτε κατακαίομεν εἰκόνα.

Τὸν τοῦ σταυροῦ τύπον ἐκ δύο ξύλων συνάπτοντες, ἡνίκα τις ἡμῖν τῶν ἀπίστων ἐγκαλέσειεν, ὡς ξύλον προσκυνοῦσι, δυνάμεθα τὰ δύο ξύλα χωρίσαντες, καὶ τὸν τύπον τοῦ σταυροῦ διαλύσαντες, ταῦτα νομίζειν ἀργὰ ξύλα, καὶ τὸν ἄπιστον ἐπιστομίζειν, ὅτι οὐ τὸ ξύλον, ἀλλὰ τὸν τοῦ σταυροῦ τύπον σεβόμεθα.

Σὺν φόβῳ καὶ ἀληθείᾳ προσιτέον, καὶ προσκυνητέον τὰς ἁγίας εἰκόνας, καὶ πιστευτέον χάριν θείαν ἐπιφοιτᾷν αὐταῖς ἁγιασμοῦ μεταδοτικήν.

Ὥσπερ κατὰ φύσιν ἀχωρίστου μενούσης τῆς ἁγίας Τριάδος, ἐπειδὴ ὁ Υἱὸς ἐσαρκώθη, οὐ διὰ τοῦτο φήσει τις καὶ τὸν Πατέρα, καὶ τὸ Πνεῦμα σεσαρκῶσθαι· οὕτω καθ' ὑπόστασιν ἑνωθείσης τῆς θεότητος τῇ ἀνθρωπότητι τοῦ Υἱοῦ, καὶ ἀδιαιρέτου μενούσης, οὐχ ἐπειδὴ τὸ ἀνθρώπινον αὐτοῦ περιγράφεται, καὶ γράφεται ἐν εἰκόνι, διὰ τοῦτο καὶ τὴν θεότητα αὐτοῦ περιγράφεσθαι καὶ γράφεσθαι φήσει τις, ἐκεῖ μὲν τῆς κατὰ φύσιν συναφείας μὴ συγχεούσης τὰς ὑποστάσεις, ἐνταῦθα δὲ τῆς καθ' ὑπόστασιν ἑνώσεως μὴ ἐξιστώσης τῶν οἰκείων ὅρων τὰς φύσεις. Ὅρος γὰρ θεότητος μὲν τὸ ἀόρατόν τε καὶ ἀπερίγραπτον, ἀνθρωπότητος δὲ τὸ ὁρατὸν καὶ περιγραπτόν.

Εἰ διὰ τὸ τὸν Χριστὸν σαρκὶ ἐσταυρῶσθαι τὸ συμπεπονθέναι καὶ τὴν θεότητα λέγειν ἀσεβὲς, ἄρα καὶ διὰ τὸ σαρκὶ περιγράφεσθαι αὐτὸν τὸ συμπεριγράφεσθαι καὶ τὴν θεότητα λέγειν ὁμοίως ἀσεβὲς, κἀκεῖνο μὲν Θεοπασχιτῶν, τοῦτο δὲ Εἰκονομάχων.

Τῇ πολλῇ καὶ ἀφράστῳ πρὸς τὸν Χριστὸν στοργῇ σεβόμεθα, καὶ προσκυνοῦμεν καὶ τοὺς τόπους ἔνθα περιεπάτησεν, ἢ ἐκάθισεν, οὐ τοὺς τόπους προσκυνοῦντες ἁπλῶς, ἀλλὰ δι' αὐτῶν τὸν ἐν αὐτοῖς ἀναστραφέντα, καὶ διὰ τῶν τόπων ἐκείνῳ τὴν τιμὴν ἀναφέροντες.

A adsit cum corpore, licet non videatur, ne imago quidem Christi ab ipso sejungi potest, sed quemadmodum umbra solis accessu perspicitur, sic et imago Christi materiæ impressione.

Cum duo circa corpus considerentur, umbra et imago, umbra quidem hominem obscurius, imago autem clarius refert; itaque si id quod semper est, eo quod est aliquando; et id quod per essentiam est, eo quod est per privationem; et id quod est clarum, eo quod est obscurum, præstantius est: sanctorum autem umbræ et sanctæ sunt et salutiferæ, imagines ipsorum utique sanctiores erunt multo et venerabiliores.

Christus in sua ipsius cernitur imagine; imago autem in ipso consistit.

B Imagines non adoramus ut deos, nec salutis spem in imaginibus positam et collocatam habemus, nec gentium more divinum illis honorem tribuimus; sed eas venerantes animi nostri affectionem et charitatem erga exemplaria demonstramus. Id ex eo colligi potest, quod imagine e ligno, quod eam aliquando gerebat deleta, lignum ipsum ut inutile in ignem conjicimus.

Cum crucis signum duobus e lignis conficiamus, quando nos infidelium aliquis reprehendit, quod lignum adoremus, ligna separantes, et crucis signum dissolventes, ea possumus ut ligna inutilia demonstrare; atque ita os infidelium ipsorum obstruere, cum crucis signum, non autem lignum veneremur.

C Cum timore et veritate sanctæ imagines sunt adeundæ et adorandæ, et credendum est divinam gratiam sanctitatis largitricem assiduam in illis esse.

Quemadmodum cum sancta Trinitatis natura sit inseparabilis, Filio carnem induto, nemo Patrem et Spiritum carnem dixerit induisse, ita divinitate per personam Filii humanitati conjuncta, et indivisibili permanente, quamvis humanitas ejus circumscribatur et exprimatur imagine, non tamen idcirco divinitas etiam ipsius circumscribi et imagine exprimi potest. Illic enim conjunctio naturalis non confundit personas; hic autem unio per personam naturas e propriis terminis non excludit. Divinitatis enim terminus est, ut sub aspectum non cadat, nec circum- D scribatur: humanitatis autem, ut et perspici possit et circumscribi.

Si, quia Christus crucifixus est carne, divinitatem simul etiam passam esse dicere impium est, impium item est dicere divinitatem circumscribi, quoniam ipse carne circumscribitur. Illud enim illi sentiunt hæretici, qui Deum patibilem asserunt, et propterea vocantur Theopaschitæ. Hoc autem sentiunt imaginum oppugnatores, qui Iconomachi nominantur.

Magna atque incredibili erga Christum benevolentia adducti veneramur et adoramus etiam loca, in quibus ipse ambulavit et sedit, non tamen ea loca simpliciter adorantes, sed per ipsa eum qui in ipsis versatus est. Atque ita per loca honorem ipsi tribuimus.

Damasceni, cap. 25.

Verum, quoniam quidam nobis vitio vertunt, quod Servatoris, et Dominæ nostræ, et reliquorum sanctorum, et Christi servorum imagines adoremus et colamus, audiant Deum a principio fecisse hominem ad imaginem suam. Cur enim eos adoramus, nisi quia facti sunt ad imaginem Dei? Honor enim imaginis, ut inquit magnus ille et divinis in rebus explicandis excellentissimus Basilius, transit ad exemplar. Et populus Mosaicus tabernaculum, quod cœlestium, imo vero totius orbis imaginem et formam gerebat, in circuitu adorabat. Deus quidem ad Mosem: *Vide*, inquit, *ut omnia facias secundum exemplar quod tibi in monte monstratum est* [1]. Et seraphim obumbrantia propitiatorium nonne erant opera manuum hominum? Quid? celebratissimum illud Hierosolymorum templum nonne hominum opera et manu constructum est? Divina Scriptura detestatur eos qui adorant sculptilia, et qui dæmoniis sacrificant. Sacrificabant enim et Græci et Judæi; sed Græci dæmoniis, Judæi autem Deo. Et Græcorum quidem sacrificia detestabilia, Judæorum autem grata Deo. Sacrificavit enim Noe, et odoratus est Deus odorem suavitatis, bonitatis propositum, et amoris erga se suavitatem suscipiens; at Græcorum sculptilia, quia dæmonibus confecta sunt, ideo rejiciuntur et improbantur. Præterea Dei, qui nec cernitur et corporis expers est, et circumscribi non potest, et figura caret, quis similitudinem queat exprimere? Dementiæ igitur summæ atque impietatis est Dei formam describere. Quamobrem in Veteri Testamento imaginum usus non erat frequens; sed postquam Deus per viscera misericordiæ suæ vere factus est homo propter salutem nostram; neque enim ut apparuit Abraham, sic in hominis forma visus est, neque ut sese prophetis conspicuum præbuit, sed secundum essentiam vere factus est homo, et in terra moratus est, et cum hominibus est versatus, et res admirandas gessit, passus est, crucifixus est, surrexit, assumptus est: et hæc omnia vere facta sunt, et ab hominibus fuerunt perspecta, et ad memoriam nostram, et doctrinam eorum qui tunc non affuerunt, omnia litterarum monumentis consignata, ut nos ea quæ non vidimus, audientes, Domini beatitudinem consequamur. Verum quia non omnes litteras norunt, neque legendi studio incumbunt, censuerunt Patres, ut hæc tanquam tropæa quædam in imaginibus proponerentur, quæ compendio commonefacerent. Exempli gratia; sæpe Domini cruciatus et mortem in memoria non habentes, imaginem Christi in cruce expressam intuemur, et procumbentes adoramus, non materiam, sed eum qui imagine expressus est: quemadmodum nec Evangelii materiam, nec crucis materiam adoramus, sed effigiem. Sic et de Genitrice Dei dicimus: honor enim illi habitus ad eum qui ex ipsa carnem assumpsit, refertur.

[1] Exod. xxv, 40.

Τοῦ Δαμασκηνοῦ κεφάλαιον κε'.

Ἐπειδή τινες ἡμῖν καταμέμφονται προσκυνοῦσί τε καὶ τιμῶσι τήν τε τοῦ Σωτῆρος, καὶ τῆς Δεσποίνης ἡμῶν εἰκόνα, ἔτι δὲ καὶ τῶν λοιπῶν ἁγίων καὶ θεραπόντων Χριστοῦ· ἀκουέτωσαν, ὡς ἐξ ἀρχῆς ὁ Θεὸς τὸν ἄνθρωπον κατ' οἰκείαν εἰκόνα ἐποίησε. Τίνος γὰρ ἕνεκεν ἀλλήλους προσκυνοῦμεν, εἰ μὴ ὡς κατ' εἰκόνα Θεοῦ πεποιημένους; Ὡς γάρ φησιν ὁ θεοφόρος καὶ πολὺς τὰ θεῖα Βασίλειος, ἡ τῆς εἰκόνος τιμὴ εἰς τὸ πρωτότυπον διαβαίνει. Καὶ ὁ μωσαϊκὸς δὲ λαὸς τῇ σκηνῇ κυκλόθεν προσεκύνει εἰκόνα καὶ τύπον φερούσῃ τῶν ἐπουρανίων, μᾶλλον δὲ τῆς ὅλης κτίσεως. Φησὶ γοῦν ὁ Θεὸς τῷ Μωϋσῇ, Ὅρα, *ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει*. Καὶ τὰ Σεραφὶμ δὲ κατασκιάζοντα τὸ ἱλαστήριον οὐχὶ ἔργα χειρῶν ἀνθρωπίνων ἦν; Τί δὲ, ὁ ἐν Ἱεροσολύμοις περιώνυμος ναὸς οὐ χειροποίητος, καὶ ἀνθρώπων τέχνῃ κατεσκευασμένος; Ἡ δὲ θεία Γραφὴ κατηγορεῖ τῶν προσκυνούντων τοῖς γλυπτοῖς, ἀλλὰ καὶ τῶν θυόντων τοῖς δαιμονίοις. Ἔθυον μὲν γὰρ καὶ Ἕλληνες, ἔθυον καὶ Ἰουδαῖοι· ἀλλ' Ἕλληνες μὲν δαίμοσιν, Ἰουδαῖοι δὲ τῷ Θεῷ. Καὶ ἀπόβλητος μὲν ἡ τῶν Ἑλλήνων θυσία ἦν καὶ κατάκριτος· ἡ δὲ τῶν Ἰουδαίων τῷ Θεῷ εὐαπόδεκτος. Ἔθυσε γὰρ Νῶε, καὶ ὠσφράνθη Κύριος ὀσμὴν εὐωδίας, τῆς ἀγαθῆς προαιρέσεως καὶ τῆς πρὸς αὐτὸν εὐνοίας τὸ εὐῶδες ἀποδεχόμενος. Ἀλλὰ τὰ μὲν τῶν Ἑλλήνων γλυπτὰ, ἐπεὶ δαιμόνων ἦσαν ἐξεικονίσματα, ἀπόβλητά τε καὶ ἀπηγορευμένα τυγχάνουσι· πρὸς δὲ τούτοις τοῦ ἀοράτου, καὶ ἀσωμάτου, καὶ ἀπεριγράπτου, καὶ ἀσχηματίστου Θεοῦ, τίς δύναται ποιήσασθαι μίμημα; Παραφροσύνης τοίνυν ἄκρας καὶ ἀσεβείας τὸ σχηματίζειν τὸ Θεῖον. Ἐντεῦθεν ἐν τῇ Παλαιᾷ οὐχ ἦν τετριμμένη ἡ τῶν εἰκόνων χρῆσις. Ἐπειδὴ δὲ ὁ Θεὸς διὰ σπλάγχνα ἐλέους αὐτοῦ κατὰ ἀλήθειαν γέγονεν ἄνθρωπος διὰ τὴν ἡμετέραν σωτηρίαν· οὐχ ὡς ἐφάνη γὰρ τῷ Ἀβραὰμ, ὤφθη ἐν εἴδει ἀνθρώπου, οὐδ' ὡς τοῖς προφήταις, ἀλλὰ κατ' οὐσίαν ἀληθῶς γέγονεν ἄνθρωπος, διέτριψέ τε ἐπὶ τῆς γῆς, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, ἐθαυματούργησεν, ἔπαθεν, ἐσταυρώθη, ἀνέστη, ἀνελήφθη, καὶ ταῦτα πάντα κατὰ ἀλήθειαν γέγονε, καὶ ἑωράθη ὑπὸ τῶν ἀνθρώπων, καὶ ἐγράφη μὲν πάντα εἰς ὑπόμνησιν ἡμῶν, καὶ διδαχὴν τῶν τηνικαῦτα μὴ παρόντων, ἵνα μὴ ἑωρακότες, ἀκούσαντες δὲ, καὶ πιστεύσαντες, τύχωμεν τοῦ μακαρισμοῦ τοῦ Κυρίου. Ἐπειδὴ δὲ οὐ πάντες ἴσασι γράμματα, οὐδὲ τῇ ἀναγνώσει σχολάζουσιν, οἱ Πατέρες συνεῖδον, ὥσπερ τινὰς ἀριστείας, ἐν εἰκόσι ταῦτα γράφεσθαι πρὸς ὑπόμνησιν σύντομον. Ἀμέλει πολλάκις μὴ κατὰ νοῦν ἔχοντες τὸ τοῦ Κυρίου πάθος, τὴν εἰκόνα τοῦ Χριστοῦ ἐσταυρωμένην ὁρῶντες, καὶ τοῦ σωτηρίου πάθους εἰς ὑπόμνησιν ἐλθόντες, πεσόντες προσκυνοῦμεν, οὐ τῇ ὕλῃ, ἀλλὰ τῷ εἰκονιζομένῳ, ὥσπερ οὐδὲ τῇ ὕλῃ τοῦ Εὐαγγελίου, οὐδὲ τῇ τοῦ σταυροῦ ὕλῃ προσκυνοῦμεν, ἀλλὰ τῷ ἐκτυπώματι. Ὡσαύτως

καὶ ἐπὶ τῆς Θεομήτορος. Ἡ γὰρ εἰς αὐτὴν τιμὴ εἰς τὸν ἐξ αὐτῆς σαρκωθέντα ἀνάγεται. Ὁμοίως δὲ καὶ τὰ ἁγίων ἀνδραγαθήματα εἰκονίζομεν, ἐπαλείφοντα ἡμᾶς πρὸς ἀνδρίαν, καὶ ζῆλον, καὶ μίμησιν τῆς αὐτῶν ἀρετῆς, καὶ δόξαν Θεοῦ. Ὡς γὰρ ἔφημεν, ἡ πρὸς τοὺς εὐγνώμονας τῶν ὁμοδούλων τιμὴ ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν Δεσπότην εὐνοίας. Καὶ ἡ τῆς εἰκόνος τιμὴ εἰς τὸ πρωτότυπον διαβαίνει. Ἔστι δὲ ἄγραφος ἡ παράδοσις, ὥσπερ καὶ τὸ κατὰ ἀνατολὰς προσκυνεῖν, καὶ τὸ προσκυνεῖν τὸν σταυρὸν, καὶ ἕτερα πλεῖστα τούτοις ὅμοια.

Φέρεται δὲ καί τις ἱστορία, ὡς ὁ Κύριος, Αὐγάρου τοῦ τῆς Ἐδεσσηνῶν πόλεως βασιλεύοντος, ζωγράφον ἀποστείλαντος τὴν τοῦ Κυρίου ὁμοιογραφῆσαι εἰκόνα, μὴ δυνηθέντος τοῦ ζωγράφου διὰ τὴν ἀποστίλβουσαν τοῦ προσώπου λαμπρότητα, αὐτὸς ἱμάτιον τῷ οἰκείῳ προσώπῳ, τῷ θείῳ καὶ ζωοποιῷ ἐπιθεὶς, ἐναπεμάξατο τῷ ἱματίῳ τὸ ἑαυτοῦ ἀπεικόνισμα, καὶ οὕτως ἀπέστειλε τοῦτο ποθοῦντι τῷ Αὐγάρῳ. Ὅτι δὲ καὶ πλεῖστα οἱ ἀπόστολοι ἀγράφως παραδεδώκασι, γράφει Παῦλος ὁ τῶν ἐθνῶν ἀπόστολος· *Ἄρα οὖν, ἀδελφοὶ, στήκετε ἑδραῖοι, καὶ κρατεῖτε τὰς παραδόσεις ἡμῶν, ἃς ἐδιδάχθητε εἴτε διὰ λόγου εἴτε δι' ἐπιστολῆς ἡμῶν.* Καὶ πρὸς Κορινθίους· *Ἐπαινῶ δὲ ὑμᾶς, ἀδελφοὶ, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις, κατέχετε.*

Ἑτέρου.

Τῶν μὲν βδελυκτῶν εἰδώλων τὰ πρωτότυπα ψευδῆ, θεοὶ μὲν ὀνομαζόμενα, δαίμονες δὲ ὄντα· τῶν δὲ σεπτῶν εἰκόνων ἀληθῆ τὰ ἀρχέτυπα. Τῆς μὲν γὰρ ὁ Χριστὸς κατὰ τὸ ἀνθρώπινον, τῆς δὲ ἡ Θεοτόκος, καὶ τῶν ἄλλων εἰκόνων οἱ ταύταις ἐπιφημιζόμενοι ἅγιοι. Καὶ αὗται μὲν ἐοίκασι τοῖς πρωτοτύποις, διὸ καὶ εἰκόνες ὡς ὁμοιώματα· ἐκεῖνα δὲ παντάπασιν ἀνοίκεια, ὧν εἶναι λέγονται, καὶ ἀμέθεκτα. Ποῖον γὰρ τοῦ μὴ ὄντος εἴδωλον; Εἴδωλα οὖν ὡς εἰκότα ὀλλεῖν καὶ διαφθείρειν τοὺς τιμῶντας αὐτά. Καὶ τὰ μὲν εἴδωλα ὗλαι μόνον, αἱ δὲ εἰκόνες ὗλαι μὲν καὶ αὗται, ἡγιασμέναι δὲ τοῖς ἐντετυπωμένοις ὁμοιώμασι τῶν ἁγίων.

ΤΙΤΛΟΣ ΚΓ'.

Κατὰ Ἀρμενίων.

Μετὰ τὴν δ' ἐν Χαλκηδόνι σύνοδον ἀποῤῥήξαντες ἑαυτοὺς τῆς καθολικῆς Ἐκκλησίας οἱ Ἀρμένιοι διά τινος Ἐχανίου τοῦ καὶ Μανταχουνῆ προσονομαζομένου, καὶ τῶν σὺν αὐτῷ βεβήλων ἱερέων, καὶ τὴν Εὐτυχοῦς, καὶ Διοσκόρου, καὶ τῶν ἄλλων Μονοφυσιτῶν κακοδοξίαν εἰσδεξάμενοι, προσθήκαις ἀσεβῶν δογμάτων ἐπηύξησαν αὐτὴν, καὶ περιφανεστέραν εἰργάσαντο. Φασὶ γὰρ μὴ ἀναλαβέσθαι τὸν Χριστὸν ὁμοούσιον ἡμῖν σῶμα, ἀλλ' ἄφθαρτόν τι, καὶ ἀπαθὲς, καὶ λεπτὸν, καὶ ἄκτιστον, καὶ οὐράνιον· ὀπτάνεσθαι δὲ, καὶ ἐσθίειν, καὶ πίνειν, καὶ τἄλλα τῶν ἀνθρωπίνων ποιεῖν κατὰ φαντασίαν. Πάλιν δὲ λέγουσιν, ὅτι καὶ αὐτὴ ἡ δηλωθεῖσα σάρξ αὐτοῦ εἰς φύσιν

A Similiter et res a sanctis fortiter gestas imaginibus explicamus, tum ut nos ad fortitudinem et virtutem ipsorum æmulandam atque imitandam incitent, tum ad gloriam Dei. Nam honor, ut diximus, quem gratis Dei conservis habemus, amoris erga communem Dominum indicium est. Et imaginis honor transit ad exemplar. Est autem institutum non scriptum, sed per manus traditum; quemadmodum et illud, quod ad orientem conversi precamur, quodque crucem adoramus, et alia plurima his similia.

Quanquam et historia quadam proditum est, cum Edessenorum civitatis rex Augarus pictorem misisset, qui Domini imaginem pingeret, isque propter fulgentem vultus splendorem id assequi non posset, B Dominum ipsum ori suo divino atque almo pallium admovisse, in eoque propriam imaginem expressam ad Augarum misisse, qui illius desiderio tenebatur. Quod autem multa ab apostolis non scripta, sed per manus tradita sint, Paulus gentium apostolus scribit: *Itaque, fratres,* inquiens, *state et tenete traditiones nostras, quas didicistis sive per sermonem, sive per epistolam nostram* [1]. Et ad Corinthios: *Laudo,* inquit, *vos, quod per omnia mei memores estis, et sicut tradidi vobis, traditiones meas tenetis* [2].

Alterius.

Detestabilium idolorum exemplaria sunt falsa: dii C enim vocantur, cum dæmones sint. Venerabilium autem imaginum vera sunt exemplaria. Hujus enim Christus, quatenus homo est; illius autem Dei Genitrix; aliarum imaginum, qui per illas celebrantur sancti. Quamobrem et imagines sunt tanquam similitudines; idola vero cum illis, quorum esse dicuntur simile, et commune nihil habent omnino. Quale enim rei non exsistentis simulacrum sit? Εἴδωλα igitur dicta sunt, quasi dicantur εἰκότα ὀλλεῖν, quæ nempe eos perdere videantur qui adorant ea. Idola materia tantum sunt; imagines vero materia quidem et ipsæ sunt, sed quæ sancta sit, propter impressas sanctorum similitudines.

TITULUS XXIII.

Adversus Armenios.

D Post quartum concilium Chalcedonense Armenii Echanii cujusdam, qui et Mandacunes appellabatur, et profanorum, qui cum ipso erant, sacerdotum suasu ab Ecclesia catholica deficientes, et improbam Eutychis, atque Dioscori, et aliorum Monophysitarum, qui unam tantum in Christo naturam dicunt, opinionem secuti, impiorum dogmatum accessione illam cumulatiorem et illustriorem reddiderant. Dicunt enim Christum suscepisse corpus non ejusdem essentiæ, cujus nostra sunt corpora, sed incorruptibile, et impatibile, et tenue, et increatum, et cœleste, quod et videre, et comedere, et bibere videatur, et aliis muneribus humanis fungi, cum tamen nihil

[1] II Thess. II, 14. [2] I Cor. XI, 2.

horum faciat. Præterea dicunt, carnem ipsius in divi [n] a em esse conversam, et ejusdem factam essentiæ, cujus est ipsa divinitas. Et quemadmodum mellis acetive gutta, si in mare demergatur, non amplius cernitur, nec subsistit, sic etiam corpus illud in divinitatis pelago commistum atque demersum non amplius suam ipsius naturam, aut proprietatem conservare, et idcirco non esse duas in Christo naturas, sed unam, et eamdem totam quæ divinitatis est. Ex quo sacrificium etiam panis carnis Christi negant esse corpus Christi, sed divinitatis corpus esse dicunt. Quod si rationibus victi coactique, Christum esse Deum atque hominem fateantur, id simulatione agunt. Quomodo enim hominem esse vere queant concedere, cujus essentiam, ut diximus, a nostra diversam esse contendunt? Verum quæ a sanctis Patribus nostris adversus Monophysitas excogitata sunt, ea nos in eo hujus operis titulo, quo Monophysitas confutavimus, breviter recensuimus. Quamobrem ex eo titulo petendæ sunt rationes variæ atque multiplices, quibus hæc hæresis evertatur. Pauca tamen quædam hic etiam commemorabimus, quo penitus profligetur et convincatur.

A θεότητος ἐτράπη καὶ ὁμοούσιος αὐτῇ γέγονε. Καὶ καθάπερ σταγὼν μέλιτος ἢ ὄξους, καταποντισθεῖσα τῷ πελάγει τῆς θαλάσσης, οὐκ ἔτι ὁρᾶται, οὔτε ὑφίσταται· οὕτω καὶ τὸ σῶμα ἐκεῖνο συνανακραθὲν καὶ καταποντισθὲν ἐν τῷ πελάγει τῆς θεότητος οὐκ ἔτι σώζει τὴν ἑαυτοῦ φύσιν, οὔτε φυλάττει τὴν οἰκείαν ἰδιότητα, καὶ διὰ τοῦτο οὐκ εἰσὶν ἐν τῷ Χριστῷ δύο φύσεις, ἀλλὰ μία καὶ αὐτὴ ὅλη θεότητος. Ἀλλὰ θεότητος σῶμα λέγουσιν. Ὅτε δὲ τοῖς ἐλέγχοις βαλλόμενοι καταναγκασθῶσιν, ὁμολογοῦσι μὲν θεὸν καὶ ἄνθρωπον τὸν Χριστὸν, ἐν ὑποκρίσει δὲ τοῦτο πράττουσι. Πῶς γὰρ ἄνθρωπον ἐν ἀληθείᾳ λέγουσιν, ὃν ἑτεροούσιον ἡμῶν, ὡς προείρηται, δογματίζουσιν; Ἀλλ' ὅσα μὲν κατὰ τῶν Μονοφυσιτῶν τοῖς ἁγίοις ἡμῶν Πατράσιν ἐπονήθη, κεφαλαιωδῶς προεγράφησαν ἐν τῷ κατὰ τῶν Μονοφυσιτῶν τίτλῳ τοῦ παρόντος συντάγματος· καὶ ζητητέον ἐν ἐκείνῳ τὰς πολυειδεῖς καὶ ποικίλας ἀνατροπὰς καὶ τῆς αὐτῆς αἱρέσεως· ἐροῦμεν δὲ καὶ νῦν ὀλίγα, καὶ παντελῶς ἀναντίῤῥητα. B

Si Dei Verbi et carnis ipsius una natura est, Dei autem Verbi et Patris una est natura, qui fieri potest ut non una sit Patris, et Verbi, et carnis natura?

Εἰ μία φύσις τοῦ Θεοῦ Λόγου, καὶ τῆς σαρκὸς αὐτοῦ, μία δὲ φύσις τοῦ Θεοῦ Λόγου, καὶ τοῦ Πατρός· πῶς οὐ μία φύσις τοῦ Πατρὸς, καὶ τοῦ Λόγου, καὶ τῆς σαρκός;

Si Christus post conjunctionem est una natura composita, Pater autem non est unius naturæ compositæ, quomodo Christus post conjunctionem ejusdem sit essentiæ cum Patre?

Εἰ μία φύσις σύνθετος ὁ Χριστὸς μετὰ τὴν ἕνωσιν, οὐ μιᾶς δὲ συνθέτου φύσεως ὁ Πατὴρ, πῶς ἔσται ὁμοούσιος τῷ Πατρὶ μετὰ τὴν ἕνωσιν ὁ Χριστός;

C

Si Christus post conjunctionem Deus et homo esse conceditur, non autem qua natura Deus est, ea est homo, quomodo non duæ naturæ sit Christus, quibus Deus est et homo?

Εἰ Θεὸς καὶ ἄνθρωπος ὁ Χριστὸς μετὰ τὴν ἕνωσιν ὁμολογεῖται, οὐ τῇ αὐτῇ δὲ φύσει, ᾗ ἐστι Θεὸς, ταύτῃ ἐστὶ καὶ ἄνθρωπος· πῶς οὐ δύο φύσεις, αἷς Θεὸς καὶ ἄνθρωπος ὁ Χριστός;

Si una Christus natura est, et hæc est tota divinitas, Christi autem natura a Patre separari non poterat, perspicuum est carnem etiam Christi, cum esset unum cum Christo natura, mortis tempore non fuisse separatam a Patre. Quomodo igitur hic comprehensa fuit, et verberata, et concisa, et humanæ naturæ signa sanguinem et aquam profudit, et vere mortua est, et in sepulcro mortua, atque immobilis et circumscripta jacuit?

Εἰ μία φύσις ὁ Χριστὸς, καὶ αὕτη ὅλη θεότης, ἡ δὲ τοῦ Χριστοῦ φύσις τοῦ Πατρὸς ἀχώριστος ἦν· πρόδηλον, ὅτι καὶ ἡ σὰρξ τοῦ Χριστοῦ κατὰ τὸν καιρὸν τοῦ πάθους ἓν οὖσα πρὸς τὴν τοῦ Χριστοῦ φύσιν, ἀχώριστος ἦν τοῦ Πατρός. Καὶ πῶς ἐκάτω κρατουμένη, καὶ μαστιζομένη, καὶ τεμνομένη, καὶ τὰ σύμβολα τῆς ἀνθρωπίνης φύσεως, τὸ αἷμα καὶ τὸ ὕδωρ ἀποῤῥέουσα, καὶ κατὰ ἀλήθειαν ἀποθνήσκουσα, καὶ ἐν τῷ τάφῳ νεκρὰ, καὶ ἀκίνητος, καὶ περιγραπτὴ κειμένη;

D

Si Christi caro divinitas facta est, quomodo dixit ipse Christus: *Deus meus, Deus meus, cur dereliquisti me*[1]? Quomodo rursum dixit ad Mariam: *Ne me tetigeris, nondum enim ascendi ad Patrem meum*[2]? Aut quomodo dixit ad apostolos post resurrectionem: *Palpate me, et videte, quoniam spiritus carnem et ossa non habet, sicut me videtis habere*[3], et alia ejusmodi innumerabilia, quibus humanitas ab ipso assumpta perspicue et sine ulla controversia declaratur, apud eos quidem qui prudentes sunt, non autem plane stulti?

Εἴπερ ἡ σὰρξ τοῦ Χριστοῦ θεότης γέγονε, πῶς αὐτὸς ὁ Χριστὸς ἔλεγε· *Θεέ μου, Θεέ μου, ἱνατί με ἐγκατέλιπες*; Πῶς δὲ καὶ πρὸς τὴν Μαρίαν πάλιν ἔλεγε, *Μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου*; Πῶς δὲ καὶ πρὸς τοὺς ἀποστόλους μετὰ τὴν ἀνάστασιν ἔλεγε, *Ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα*, καὶ μυρία τοιαῦτα τὴν ἐνανθρώπησιν αὐτοῦ πραγματικῶς παριστῶντα καὶ ἀναμφισβήτως ὅσον πρὸς συνιέντας, καὶ μὴ πάντη μωραίνοντας;

Isti, qui Christi ortum in carne, veræque humanitatis assumptæ mysterium rejiciunt, commen-

Ἀθετοῦντες οὗτοι τὴν κατὰ σάρκα γέννησιν τοῦ Χριστοῦ, καὶ τὸ τῆς ἀληθοῦς ἐνανθρωπήσεως μυ-

[1] Matth. xxvii, 46. [2] Joan xx, 17. [3] Luc. xxiv, 39.

στήριον, καὶ φαντασιῶδες γεγονέναι τοῦτο λέγοντες, οὐχ ὅτε ἡμεῖς τὸν Εὐαγγελισμὸν τῆς Θεομήτορος ἑορτάζομεν, ἑορτάζουσιν, ἤτοι κατὰ τὴν κε' τοῦ Μαρτίου μηνὸς, ὡς οἱ θεοφόροι Πατέρες παραδεδώκασιν, ὁ μέγας Ἀθανάσιος, καὶ Ἰωάννης ὁ Χρυσόστομος, καὶ οἱ κατ' ἐκείνους, καὶ μετ' ἐκείνους· ἀλλ' ἐν τῇ ς' τοῦ Ἰανουαρίου μηνὸς ἐν βραχεῖ πάνυ καιρῷ φαντασιωδῶς τε καὶ ἀμυδρῶς τόν τε Εὐαγγελισμὸν, καὶ τὴν Χριστοῦ γέννησιν, καὶ τὴν βάπτισιν ἑορτάζειν ὑποκρίνονται πρὸς ἐξαπάτην τῶν ἀκεραιοτέρων, καὶ οὐ κατὰ ἀλήθειαν. Ὅτι δὲ οὐκ ἐξ οὐρανοῦ τὴν σάρκα ὁ Χριστὸς, ἀλλ' ἐκ τῶν ἁγνῶν καὶ παρθενικῶν αἱμάτων Μαρίας τῆς πανάγνου Θεομήτορος προσελάβετο, διδάσκουσιν οἱ εὐαγγελισταὶ φανερῶς, Ματθαῖος μὲν λέγων· *Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν. Μνηστευθείσης γὰρ*, φησὶ, *τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσὴφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου*, καὶ τὰ ἑξῆς. Εἶτα διεξελθὼν τὰ περὶ τῆς γεννήσεως αὐτοῦ λεπτομερῶς ἄχρι τῆς τῶν μάγων ἐπιδημίας, λέγει πάλιν, ὅτι *Καὶ ἐλθόντες εἰς τὴν οἰκίαν εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτῷ*. Λουκᾶς δὲ μικρὸν ἀνωτέρω τὸν λόγον ἀγαγὼν, *Ἐξῆλθε δόγμα*, φησὶ, *παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. Αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο, ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου, καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι εἰς τὴν ἰδίαν πόλιν. Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας ἐκ πόλεως Ναζαρὲτ εἰς τὴν Ἰουδαίαν εἰς πόλιν Δαβὶδ ἥτις καλεῖται Βηθλεὲμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ, ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικὶ, οὔσῃ ἐγκύῳ. Ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτὴν, καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν, καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι*. Πολλὰ δὲ καὶ ἄλλα μαρτύρια τῆς ἐκ Παρθένου γεννήσεως τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν ἔκ τε τῶν εὐαγγελικῶν βίβλων, καὶ τῶν ἀποστολικῶν, καὶ τῶν ἄλλων θεοπνεύστων Γραφῶν. Αὐτός τε γὰρ ὁ Σωτὴρ ἡμῶν πανταχοῦ τοῦ Εὐαγγελίου Υἱὸν ἀνθρώπου ἑαυτὸν ὀνομάζει διὰ τὴν ἄχραντον αὐτοῦ μητέρα. Καὶ ὁ θεῖος Παῦλος, *Ἐξαπέστειλε*, φησὶν, *ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικὸς*, ἵνα τἄλλα ἐάσωμεν. Εἰ δὲ οὐράνιον ἦν τὸ σῶμα τοῦ Χριστοῦ, οὐκ ἂν τοῖς ἀνθρωπίνοις ὑπέκειτο πάθεσι, τοῖς ἀδιαβλήτοις λέγω, πείνῃ, καὶ δίψῃ, καὶ πόνῳ, καὶ ὕπνῳ, καὶ λύπῃ, καὶ δάκρυσι, καὶ ὅσα τοιαῦτα. Εἰ οὐράνιος ἄνθρωπος ἦν, ᾧ καθ' ὑπόστασιν ὁ Λόγος ἡνώθη, οὐκ ἂν ἦν φθαρτὸς καὶ θνητὸς ἐπίσης τοῖς ἐπιγείοις. Οἱ φύσει γὰρ οὐράνιοι, καὶ ζῶντες πάντες ἄφθαρτοι καὶ ἀθάνατοι. Εἰρήσεται δὲ περὶ τούτου πλατύτερον ἐν τῷ ἐφεξῆς τίτλῳ τῷ κατὰ τῶν ἐπονομαζομένων Παυλικιάνων ἐν τῷ περὶ τῆς Θεοτόκου κεφαλαίῳ, καὶ τῷ μετ' ἐκεῖνο. Κἀκεῖνοι γὰρ μετὰ τῶν ἄλλων κακῶν καὶ τῇ λύμῃ τῆς νόσου ταύτης ἐνέχονται.

A titiumque ac simulatum fuisse dicunt, non eodem, quo nos, die Dei Genitricis annuntiationem celebrant: nos enim eam, ut tradiderunt divini Patres magnus Athanasius et Joannes Chrysostomus, et qui eodem tempore, quique postea fuerunt, VIII Kal. Aprilis celebramus; illi vero Nonis Januarii, in brevi sane tempore simulate atque obscure tum annuntiationem, tum Christi ortum, et baptismum celebrare se fingunt, non quod vere id faciant, sed ut decipiant simpliciores. Quod autem non e cœlo, sed ex puris castissimæ Virginis Mariæ Dei Genitricis sanguinibus carnem Christus assumpserit, aperte docent evangelistæ. Matthæus enim, *Christi autem*, inquit, *generatio sic erat: Cum esset desponsata mater ejus Maria Joseph, antequam convenirent, in-*
B *venta est in utero habens de Spiritu sancto*[1], et quæ sequuntur. Deinde cum ea recensuisset accurate quæ ad ejus pertinent generationem usque ad Magorum adventum: *Intrantes*, inquit, *domum, invenerunt puerum cum Maria matre ejus, et procidentes adoraverunt eum*[2]. Lucas autem paulo altius exordiens, *Exiit*, inquit, *edictum a Cæsare Augusto, ut describeretur universus orbis. Hæc descriptio facta est primum a præside Syriæ Cyrino; et ibant omnes, ut profiterentur, singuli in civitatem suam. Ascendit autem et Joseph a Galilæa de civitate Nazareth in Judæam, in civitatem David quæ vocatur Bethleem, eo quod esset de domo et familia David, ut profiteretur cum Maria desponsata sibi uxore prægnante.*
C *Factum est autem, cum essent ibi, impleti sunt dies ut pareret, et peperit filium suum primogenitum et pannis eum involvit, et reclinavit in præsepio, quia non erat eis locus in diversorio*[3]. Sunt et alia multa testimonia tam ex libris evangelicis, quam ex apostolicis, atque aliis divinis scriptis, quibus Domini et Servatoris nostri ortus ex Virgine comprobatur. Nam et ipse Dominus noster ubique in Evangelio se Filium hominis nominat propter veram matrem suam. Et divus Apostolus, ut alia omittamus, *Misit*, inquit, *Deus Filium suum factum ex muliere*[4]. Quod si Christi corpus fuisset cœleste, non fuisset obnoxium humanis affectionibus, eas intelligo quæ culpa carent et reprehensione, qualis est fames, et sitis, et somnus, et lassitudo, et mœror, et lacrymæ, et
D quæ sunt his similia. Si homo, cui Verbum in persona conjunctum est, cœlestis erat, corruptibilis et mortalis non fuit sicut terreni homines. Cœlestes enim atque viventes omnes incorruptibiles sunt et immortales. Verum hac de re fusius in sequenti titulo disputabitur, quem adversus Paulicianos composuimus, in capite de Dei Genitrice, et in eo capite quod proxime sequitur. Namque illi cum aliis morbis tum h[...] etiam laborant.

[1] Matth. I, 18. [2] Matth. II, 11. [3] Luc. II, 1-7. [4] Galat. IV, 4.

Cum mortis tempore legamus Christum orasse, et sudores tanquam guttas sanguinis ex proprio corpore profudisse, quo naturam carnis suæ comprobaret, Armenii callide sudores ex Evangeliorum libris deleverunt, ut argumentum assumptæ carnis ex Virgine, quod inde sumitur, evitarent, et Servatoris naturam hominum naturæ negarent esse similem. Verum eos aliter Paulus redarguit, dicens: *Qui in diebus carnis suæ precibus et obsecrationibus fusis ad eum, qui poterat ipsum a morte servare, cum clamore magno et lacrymis* et quæ sequuntur [1]. Preces enim, et obsecrationes, et magni clamores, et lacrymæ argumento certissimo probant, carnem ejus nostræ similem exstitisse, cum ipsa quoque affectionibus esset obnoxia sine peccato.

De additione, quam Trisagio cantico Petrus Fullo adhibuit in titulo adversus Theopaschitas, qui divinitatem passam asserunt, dictum est. Armenii autem hanc ipsi quoque additionem in eo cantico pronuntiant, qua quidem in re sunt admodum ridiculi, qui cum Christi corpus dicant incorruptibile, et impatibile, et immortale, divinitatem ejus patibilem mortalemque tradant. Aphthartodocitarum enim simul et Theopaschitarum morbo insaniunt; de quibus quæ visa sunt opportuna, suis in titulis disputavimus. In illis igitur quærendum est.

Origenem in primis impium partim rejiciunt, partim ut magnum doctorem in sacrificiis suis recipiunt. Et cum ab orthodoxis reprehenduntur, et Origenem ipsum, et Eutychem, et Dioscorum exsecrantur, sed impias tamen eorum opiniones tuentur, doctrinæque

De azymis.

In officio sancto non adhibent panem, uti nos, sed azymum. Judaicum autem prorsus est azymum. Quamvis Apostolus Paulus et Gregorius Theologus dixerint: *Antiqua præterierunt; ecce omnia nova.* Et quamvis Chrysostomus de Vetere et Novo Testamento dicat: *Illic littera, hic spiritus: illic arca, hic virgo: illic baculus Aaronis, hic crux: illic azyma, hic panis.* At, inquiunt, panis quem communicavit Christus apostolis, azymus fuit. Hoc nimirum tunc requirebat tempus, et propterea nos quoque azymum offerimus ad sacrificium. Quibus nos respondemus: Etiamsi concedimus non fermentatum esse illum panem, Christus tamen, pro temporis necessitudine, ne novæ cœnæ mysterium incommunicatum maneret (paulo post enim Judæis tradendus fuit), qualem invenit panem, talem distribuit, ut ne omnino tali salute ... arentur. Discipuli autem ejus et deinceps qui ... fuerunt Ecclesiis Patres sancti panem obtulerunt in sacrificium, quos nos quoque sequentes

[1] Hebr. v, 7.

A Τοῦ Χριστοῦ κατὰ τὸν καιρὸν τοῦ πάθους προσευχομένου, καὶ ἱδρῶτας ὡσεὶ θρόμβους αἵματος ἐκ τοῦ ἰδίου σώματος ῥεύσαντος, καὶ τὴν φύσιν τῆς σαρκὸς αὐτοῦ βεβαιώσαντος, οἱ Ἀρμένιοι κακοήθως ἀπήλειψαν τοὺς ἱδρῶτας ἐκ τῆς βίβλου τῶν Εὐαγγελίων, φεύγοντες τὸν ἐντεῦθεν ἔλεγχον τῆς ἐκ Παρθένου σαρκώσεως, καὶ ἀθετοῦντες τὴν ὁμογενῆ τοῖς ἀνθρώποις φύσιν τοῦ Σωτῆρος. Ἀλλ' ἐλέγχει τούτους ἑτέρως ὁ ἀπόστολος Παῦλος λέγων, *Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας*, καὶ τὰ ἑξῆς. Αἱ δεήσεις γὰρ, καὶ αἱ ἱκετηρίαι, καὶ αἱ ἰσχυραὶ κραυγαὶ, καὶ τὰ δάκρυα, πιστώσεις εἰσὶν ἀναντίῤῥητος τῆς συγγενοῦς ἡμῖν σαρ- B κὸς αὐτοῦ, τοῖς ὁμοίοις καὶ αὐτῆς πάθεσιν ὑποκειμένης χωρὶς ἁμαρτίας.

Περὶ τῆς ἐν τῷ τρισαγίῳ ὕμνῳ προσθήκης Πέτρου τοῦ Κναφέως προγέγραπται ἐν τῷ κατὰ τῶν Θεοπασχιτῶν τίτλῳ. Καὶ γὰρ καὶ Ἀρμένιοι μετὰ τῆς ἀσεβοῦς ταύτης προσθήκης τὸν ὕμνον τοῦτον προφέρουσι. Καταγέλαστοι δὲ πάντως, οἳ τὸ μὲν σῶμα τοῦ Χριστοῦ λέγουσιν ἄφθαρτον, καὶ ἀπαθὲς, καὶ ἀθάνατον, τὴν θεότητα δὲ αὐτοῦ παθητὴν καὶ θνητὴν μάλιστα δογματίζουσι. Καὶ γὰρ καὶ τὴν τῶν Ἀφθαρτοδοκητῶν νοσοῦσι μανίαν, καὶ τὴν τῶν Θεοπασχιτῶν, περὶ ὧν ἐν τοῖς κατ' ἐκείνων τίτλοις προεγράφη τὰ δέοντα, καὶ ζητητέον ἐκεῖ.

Τὸν δυσσεβέστατον Ὠριγένη ἐν μέρει μὲν ἀπο- C βάλλονται, ἐν μέρει δὲ ἀναφέρουσιν ἐν ταῖς ἱερουργίαις αὐτῶν, ὡς μέγαν διδάσκαλον. Ὅταν δὲ παρὰ τῶν ἐνδόξων ἐλεγχθῶσιν, ἀναθεματίζουσι μὲν καὶ Ὠριγένη, καὶ Εὐτυχῆ, καὶ Διόσκορον· τὰ δὲ τούτων βλάσφημα δόγματα παρακατέχουσι, καὶ τούτοις πιστεύουσιν.

Περὶ τῶν Ἀζύμων.

Ἐν ταῖς ἱερουργίαις οὐ προσφέρουσιν ἄρτον, ὡς ἡμεῖς, ἀλλὰ ἄζυμον. Ἰουδαϊκὸν δὲ πάντως τὸ ἄζυμον. Καίτοι τοῦ ἀποστόλου Παύλου, καὶ τοῦ Θεολόγου Γρηγορίου λεγόντων, *Τὰ ἀρχαῖα παρῆλθεν· ἰδοὺ γέγονε τὰ πάντα καινά.* Καὶ τοῦ Χρυσοστόμου λέγοντος περὶ τῆς Παλαιᾶς καὶ τῆς Νέας, « *Ἐκεῖ τὸ γράμμα, ὧδε τὸ πνεῦμα· ἐκεῖ ἡ Κιβωτὸς, ὧδε ἡ* D *Παρθένος· ἐκεῖ ῥάβδος Ἀαρὼν, ὧδε ὁ Σταυρός· ἐκεῖ τὰ ἄζυμα, ὧδε ὁ ἄρτος.* » Ἀλλ' ὁ ἄρτος, φασὶν, οὗ μετέδωκεν ὁ Χριστὸς τοῖς ἀποστόλοις, ἄζυμος ἦν. Τοῦτο γὰρ ὁ τηνικαῦτα καιρὸς ἀπῄτει, καὶ διὰ τοῦτο καὶ ἡμεῖς ἄζυμον προσφέρομεν εἰς θυσίαν. Πρὸς οὓς ἀντιλέγομεν, ὅτι, εἰ καὶ δῶμεν ἄζυμον εἶναι τὸν ἄρτον ἐκεῖνον, ὁ μὲν Χριστὸς κατὰ στενοχωρίαν τοῦ καιροῦ, ἵνα μὴ ἀπαράδοτον καταλειφθῇ τὸ τοῦ καινοῦ δείπνου μυστήριον, μετὰ μικρὸν γὰρ παραδοθῆναι τοῖς Ἰουδαίοις ἔμελλεν, οἷον εὗρεν ἄρτον, τοιοῦτον καὶ μετεχειρίσατο, ὥστε μὴ παντάπασιν ἡμᾶς ἀποστερηθῆναι τῆς τηλικαύτης σωτηρίας· οἱ μαθηταὶ δὲ τούτου καὶ καθεξῆς οἱ τῶν ἐκκλησιῶν

προεδρεύοντες ἅγιοι Πατέρες ἄρτον εἰς θυσίαν προσέφερον, οἷς καὶ ἡμεῖς ἐπακολουθοῦντες, ἄρτον προσάγομεν. Πολλὰ δὲ καὶ ἄλλα ὁ μὲν Χριστὸς ἑτέρως παραδέδωκεν, οἱ ἀπόστολοι δὲ καὶ μετ' ἐκείνους οἱ διάδοχοι τούτων ἑτέρως διετάξαντο ταῦτα γίνεσθαι, οὐκ ἐναντιούμενοι τῷ Χριστῷ, πῶς γάρ; ἀλλὰ πλατυνομένης ἤδη καὶ αὐξανομένης τῆς πίστεως, αὔξοντες καὶ αὐτοὶ κατὰ πᾶσαν ἄδειαν τὰ Χριστοῦ μυστήρια πρὸς δόξαν καὶ μεγαλωσύνην αὐτοῦ· οἷον ὁ μὲν Χριστὸς βαπτισθῆναι θέλων, οὐ πρὸς δυσμὰς ἀπεστράφη, τῷ Σατανᾷ διὰ γλώσσης ἀποταξάμενος, οὐδὲ πρὸς ἀνατολὰς ἀπεστράφη, τῷ Θεῷ συνδοξαζόμενος· οὐδὲ τὸ Σύμβολον τῆς πίστεως ἀνήγγειλεν, οὐδὲ τὰς εὐχὰς ὑπεδέξατο τοῦ βαπτίσματος, οὐδὲ ἐν κολυμβήθρᾳ ἐβαπτίσθη, οὐδὲ ἐχρίσθη ἐλαίῳ, οὐδὲ μύρῳ, οὐδὲ εὐθὺς βαπτισθεὶς τοῦ Δεσποτικοῦ μετέλαβε σώματος καὶ αἵματος. Ἡμεῖς δὲ τὰ ῥηθέντα πάντα τὰ μὲν δρῶμεν, τὰ δὲ πάσχομεν βαπτιζόμενοι. Καὶ πάλιν ὁ μὲν Χριστὸς τὸ μυστήριον τῆς πνευματικῆς θυσίας, ἤτοι τοῦ Δεσποτικοῦ σώματος καὶ αἵματος ἐν Ἐκκλησίᾳ οὐ παρέδωκεν, ἀλλὰ ἐν ὑπερῴῳ κοινῷ, καὶ ἐν τραπέζῃ κοινῇ, καὶ προφαγὼν ἕτερα βρώματα, καὶ ἀνακείμενος, καὶ οὔτε στολὴν ἱερατικὴν ἐνδεδυμένος, οὔτε τῇ ἀκολουθίᾳ τῆς ἡμετέρας ἱερουργίας χρησάμενος ἐν ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς· ἡμεῖς δὲ ἐν ἐκκλησίᾳ τε τὴν ἱερουργίαν ἐπιτελοῦμεν, καὶ ἐπὶ τοῦ πνευματικοῦ θυσιαστηρίου, τῆς ἱερᾶς φημι τραπέζης, καὶ νήστεις, καὶ ἑστῶτες, καὶ τὴν ἱερατικὴν στολὴν περιβεβλημένοι, καὶ ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς χρώμενοι. Αἱ καταστάσεις γὰρ τῶν καιρῶν εἰώθασι πολλάκις ἀμείβειν τὰ πράγματα, καὶ τὰ παλαιότερα καινοτομεῖν, οὐκ εἰς ἀναίρεσιν ἐκείνων, ἀλλ' εἰς εὐπρεπεστέραν τάξιν, διὰ τὴν ἐς ὕστερον ἐλευθερίαν καὶ τὸ τῆς προαιρέσεως ἀνεμπόδιστον. Οἱ γὰρ ἀπόστολοι, καὶ οἱ μετ' αὐτοὺς ἀληθεῖς ποιμένες, καὶ ὀρθοὶ διδάσκαλοι τῶν ἐκκλησιῶν Πνεύματι Θεοῦ πάντως ἀγόμενοι, καὶ τὴν ἐκεῖθεν ἔλλαμψιν ἔχοντες, τὰ μὲν ἤμειψαν, τὰ δὲ ηὔξησαν, ἄνωθεν δεξάμενοι τὴν τοιαύτην χάριν, καὶ πάντα πρὸς τὸ συμφέρον ἐνεργοῦντες, καὶ θεοφιλῶς ὁριζόμενοι, καὶ διατυποῦντες. Εἰ δὲ ἀκριβῶς κατανοήσομεν, οὐδὲ ἄζυμον ἦν ἄρτος, οὗ μετέδωκεν ὁ Χριστὸς τοῖς ἀποστόλοις. Ὁ γὰρ περὶ τοῦ Πάσχα νόμος οὕτω διέξεισι· *Τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς τοῦ α' ἀφ' ἑσπέρας ἔδεσθε ἄζυμα, ἕως ἡμέρας μιᾶς εἰκάδος τοῦ μηνὸς ἕως ἑσπέρας. Ἑπτὰ ἡμέρας ζύμη οὐχ εὑρεθήσεται ἐν ταῖς οἰκίαις ὑμῶν.* Τὰ μὲν οὖν τοῦ Νόμου τοιαῦτα· ὁ δὲ Χριστὸς πρὸ τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας, ἤγουν κατὰ τὴν τρισκαιδεκάτην τὸ νομικόν τε Πάσχα τετέλεκε, καὶ τὸν μυστικὸν παρέδωκε δεῖπνον, καθ' ἣν ἡμέραν ζυμίταις ἄρτοις ἀκωλύτως πάντες ἐκέχρηντο. Εἰ δέ τις εἴποι, Καὶ μὴν τὸ νομικὸν τηνικαῦτα Πάσχα τελῶν ἄζυμα ἐπὶ πικρίδων ἔφαγεν αὐτός τε καὶ οἱ μαθηταί· πόθεν οὖν ἔσχον τότε τὰ ἄζυμα; ἐροῦμεν πρὸς αὐτὸν, ὅτι εἰκὸς ἦν προετοιμασθῆναι ταῦτα κατ' ἐπιταγὴν τοῦ Σωτῆρος, ἢ κατὰ πρόγνωσιν τοῦ οἰκοδεσπότου, πιστοῦ καὶ αὐτοῦ τυγχάνοντος.

Ἐν ταῖς ἱερουργίαις πάλιν οὐ προσφέρουσιν οἶνον ὕδατι μεμιγμένον, ἀλλ' ἄκρατον, καὶ ἀμιγῆ παντά-

panem offerimus. Multa alia quoque Christus alio modo tradidit, apostoli vero eorumque successores alio modo fieri hæc jusserunt, non contradicentes Christo; qui enim hoc fieri posset? — sed, postquam fides jam propagata amplificataque erat, amplificaturi et ipsi mysteria Christi ad ejus gloriam atque magnificentiam. Sic, e. g., Christus cum baptizandus esset, non ad occidentem, utpote Satanæ renuntians clara voce, neque ad orientem conversus est, Deum nempe glorificans; neque fidei symbolum pronuntiavit, neque orationem baptismalem dixit, neque in baptisterio baptizatus, neque oleo unguentove est inunctus, nec statim post baptismum corpus et sanguinem Dominicum sumpsit. Nos autem quando baptizamur quæ modo memorata sunt omnia vel facimus, vel patimur. Porro Christus mysterium sacrificii spiritualis, id est Dominici corporis et sanguinis non tradidit in Ecclesia, vel in cœnaculo superiori communi, et in mensa communi, et postquam alios cibos comedisset, et accumbens, et neque stola sacerdotali indutus, neque per psalmos et hymnos et cantus spirituales nostra sancti officii ratione usus. Nos contra et in ecclesia sanctum officium peragimus, et in altari spirituali, in sacra nimirum mensa, et jejuni, et stantes, et stola sacerdotali amicti, et psalmis et hymnis et canticis spiritualibus adhibitis. Temporum enim vicissitudines res sæpius immutare, et obsoleta innovare solent, non quidem quo illa aboleantur, sed potius ut in meliorem redigantur ordinem libertati ac certis principiis magis convenientem. Namque apostoli et veri post illos pastores rectique Ecclesiarum magistri, Spiritu Dei omnino ducti ab eoque illuminati, alia immutarunt, alia amplificaverunt, divinitus nacti talem gratiam, et in omnibus utilitati prospicientes et amore Dei præcipientes cuncta et ordinantes. Ubi autem accuratius rem investigaverimus, neque azymus fuit panis quem Christus apostolis communicavit. Lex enim de Paschate celebrando sic ait: *Quartodecimo primi mensis a vespere manducabitis azyma, usque ad vicesimum primum mensis ad vesperam. Septem dies fermentum non reperietur in domibus vestris.* Hæc lex quidem præcipit: Christus autem ante quartumdecimum diem, nimirum tertio decimo Pascha legale celebravit, et mysticam cœnam communicavit, quo die fermentato pane uti omnibus omnino licuit. Si quis vero dixerit: Atqui tunc Pascha legale celebrans azyma cum herbis amaris manducavit ipse atque ejus discipuli; unde igitur tunc habuerunt azyma? huic respondebimus: Probabile est illa jam antea præparata fuisse Salvatoris jussu, aut benevolentia patrisfamilias qui et ipse fidelis erat.

Porro in sacra cœna non offerunt vinum aqua temperatum, sed merum neque ulla omnino aqua

commistum, unam etiam per hoc naturam in Christo indicantes, et producunt Chrysostomum qui aquam vetuerit in Explicatione Evangelii Matthæi. Nos vero vinum aqua temperantes, administramus et participamus, declarantes sic unionem duarum in Christo naturarum. Namque etiam Gregorius Theologus dicit : Sanguis et aqua quæ profluunt e latere, ille quidem ut hominis, hæc autem quasi supra hominem. Chrysostomus porro videns Marcionis Pontici discipulos aquam solummodo offerre : propterea enim Hydroparastatæ appellati sunt : vetuit aquam offerre, prohibens non vini et aquæ oblationem, sed aquæ solius adhibitionem secundum illorum exemplum. Ipsum autem vinum et aquam temperata atque sic administrata comprobasse, luculenter ostendit, ubi in Explicatione Evangelii Joannis, Quando, inquit, ad altare accedis et participas sanguinem Christi e calice, reputa te os tuum lateri Christi admovisse, atque ex ejus latere te bibere. E Christi latere autem non solum sanguis, sed etiam aqua profluxit ad confirmationem duarum in eo naturarum, quemadmodum supra diximus. Calicem autem ex quo Christus apostolis propinavit, vino et aqua temperatum fuisse testatur Domini frater Jacobus apostolus atque Marcus evangelista in liturgiis ipsorum sic dicentes : *Sumpto calice atque vino aqua temperato, gratias agens ac benedicens, dedit illis, Bibite, inquiens, ex eo omnes, hic est sanguis meus qui pro vobis atque multis profunditur.* Prorsus enim mendacii expers et tanquam Deus præsciens qualis profundi debebat, talem et discipulis communicavit. Atque synodus Carthagenæ habita decrevit, ut in sacra cœna nihil amplius offeratur, nisi ea tantummodo quæ Dominus communicavit, id est panis ac vinum aqua temperatum.

A πασιν ὕδατος, μίαν καὶ διὰ τούτου φύσιν ἐν τῷ Χριστῷ καταγγέλλοντες, καὶ προβάλλονται τὸν Χρυσόστομον κωλύοντα τὸ ὕδωρ ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου. Ἡμεῖς δὲ τὸν οἶνον ὕδατι κιρνῶντες, ἱερουργοῦμέν τε καὶ μεταλαμβάνομεν, ἐμφαίνοντες τὴν ἕνωσιν τῶν ἐν Χριστῷ δύο φύσεων. Φησὶ γὰρ καὶ ὁ Θεολόγος Γρηγόριος, Αἷμα καὶ ὕδωρ τῆς πλευρᾶς χεόμενον, τὸ μὲν ὡς ἀνθρώπου, τὸ δὲ ὡς ὑπὲρ ἄνθρωπον. Ὁ δὲ Χρυσόστομος, ὁρῶν τοὺς Μαρκίωνος τοῦ Ποντικοῦ μαθητὰς ὕδωρ μόνον προσάγοντας (δι' αὐτὸ γὰρ τοῦτο Ὑδροπαραστάται προσωνομάσθησαν), ἐκώλυσε τὸ προσφέρειν ὕδωρ, ἀποδοκιμάσας οὐ τὸ προσάγειν οἶνον καὶ ὕδωρ, ἀλλὰ τὸ προσφέρειν ὕδωρ μόνον κατὰ τὴν ἐκείνων ὁμοίωσιν. Ὅτι δὲ τὸν οἶνον καὶ τὸ ὕδωρ μιγνύμενα καὶ ἱερουργούμενα ἀπεδέχετο, B σαφῶς ἐδήλωσεν ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου λέγων, ὅτι Ἡνίκα προσέρχῃ τῷ θυσιαστηρίῳ, καὶ μεταλαμβάνεις τοῦ αἵματος τοῦ Χριστοῦ ἐκ τοῦ ποτηρίου, νόμιζε ὅτι τὸ στόμα σου τῇ πλευρᾷ τοῦ Χριστοῦ προσέθηκας, καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ πίνεις. Ἐκ δὲ τῆς πλευρᾶς Χριστοῦ οὐχ αἷμα μόνον, ἀλλὰ καὶ ὕδωρ ἔβλυσεν εἰς πίστωσιν τῶν ἐν αὐτῷ δύο φύσεων, καθὼς προδεδήλωται. Ὅτι δὲ καὶ τὸ ποτήριον, ἐξ οὗ μετέδωκεν ὁ Χριστὸς τοῖς ἀποστόλοις, σύγκρατον ἦν ἐξ οἴνου καὶ ὕδατος, μαρτυρεῖ ὁ ἀδελφόθεος Ἰάκωβος ὁ ἀπόστολος, καὶ Μάρκος ὁ εὐαγγελιστὴς ἐν ταῖς λειτουργίαις αὐτῶν, ἑκάτεροι λέγοντες οὕτως, ὅτι, *Λαβὼν ποτήριον, καὶ κεράσας ἐξ οἴνου καὶ* C *ὕδατος εὐχαριστήσας, εὐλογήσας, ἔδωκεν αὐτοῖς εἰπὼν, Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον.* Πάντως γὰρ ὡς ἀψευδὴς καὶ προγνώστης Θεὸς οἷον ἔμελλεν ἐκχυθῆναι, τοιούτου καὶ μετεδίδου τοῖς μαθηταῖς. Καὶ ἡ ἐν Καρθαγένῃ δὲ σύνοδος οὕτως ἐκανόνισεν, ἵνα ἐν τοῖς ἁγίοις μηδὲν πλέον προσάγηται ἢ μόνα, ἅπερ ὁ Κύριος παρέδωκε, τουτέστιν ἄρτον καὶ οἶνον ὕδατι μεμιγμένον.

Dominus noster Jesus Christus animalium sacrificiis finem imposuit, cum mysticam discipulis cœnam dedit, et dixit : *Hoc facite in meam commemorationem* [1], id est, non Judaicum, sed quod tunc mystice traditum fuit; Armenii tamen cultu Judaico boves, et agnos, et oves sacrificant, et victimarum sanguine limina inungunt, salutis spem in his magis collocantes. Quamobrem nec in Paschalis celebritate corpus et sanguinem Dominicum sumunt, sed agnum, quem immolant more Judaico, et assum igni comedunt, atque ita sanctificari se sperant, et peccatorum veniam accipere. Quod autem ejusmodi sacrificiis sit finis impositus, reperies in eo titulo qui adversus Hebræos scriptus est.

Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὰς ζωοθυσίας παύσαντος ἐν τῷ μεταδοῦναι τοῖς μαθηταῖς τοῦ μυστικοῦ δείπνου, καὶ εἰπεῖν, *Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν*, τουτέστιν οὐ τὸ Ἰουδαϊκὸν, ἀλλὰ τὸ τηνικαῦτα μυστικῶς παραδεδομένον, τοὐναντίον οἱ Ἀρμένιοι διαπράττονται, βόας, καὶ ἀρ- D νοὺς, καὶ πρόβατα θύοντες κατὰ τὴν Ἰουδαϊκὴν λατρείαν, καὶ τὰς φλιὰς τοῖς τῶν τεθυμένων αἵμασι χρίοντες, καὶ τὰς ἐλπίδας τῆς σωτηρίας μᾶλλον ἐν τούτοις ἔχοντες. Ὅθεν καὶ ἐν τῇ ἑορτῇ τοῦ Πάσχα οὐ τοῦ Δεσποτικοῦ σώματος καὶ αἵματος μεταλαμβάνουσιν, ἀλλὰ τοῦ ἀμνοῦ, θύοντες αὐτὸν Ἰουδαϊκῶς, καὶ ὀπτὰ πυρὶ ποιοῦντες, καὶ ἐξ αὐτῶν ἁγιάζεσθαι προσδοκῶσι, καὶ ἄφεσιν λαμβάνειν ἁμαρτημάτων. Ὅτι δὲ τῶν τοιούτων θυσιῶν ἐπαύθησαν αἱ προσαγωγαὶ, ζητήσας εὑρήσεις ἐν τῷ κατὰ τῶν Ἑβραίων τίτλῳ.

Crucem, quamvis e materia constet, non prius venerantur aut adorant, quam eam tanquam hominem abluerint, et in ejus medio clavum fixerint, et sacrificii sanguine ipsam inunxerint, cum tamen in

Τὸν σταυρὸν οἱασδήποτε ὕλης ὄντα οὐ πρότερον τιμῶσιν, οὐδὲ προσκυνοῦσιν, εἰ μὴ βαπτίσουσι τοῦτον ὡς ἄνθρωπον, καὶ πήξουσιν ἧλον ἐν μέσῳ τούτου, καὶ χρίσουσιν αὐτὸν αἵματι θυσίας, καίτοι διὰ χει-

[1] Luc. XXII, 19.

ρὸς τυποῦντες τὸν σταυρὸν ἐπὶ τοῦ μετώπου, καὶ ἐπὶ τοῦ βαπτίσματος, καὶ ἐπὶ τῆς ἱερουργίας, καὶ ἐν ἄλλοις πολλοῖς. Ἀλλ', ὦ μάταιοι καὶ φρενοβλαβεῖς· φαίην ἂν πρὸς αὐτούς, εἴπερ ὁ διὰ χειρὸς ἀΰλως τυπούμενος σταυρὸς ἁγιάζειν πάντα, οἷς ἐπιβάλλεται, τὸ ὕδωρ λέγω τοῦ βαπτίσματος, καὶ τὸ ἔλαιον, καὶ τὸ μύρον, καὶ τὰ πρόσωπα τῶν ἀνθρώπων τῶν πιστευόντων, καὶ τὸν μυστικὸν ἄρτον, καὶ τὸ ἱερὸν ποτήριον, καὶ τἄλλα, ἵνα μὴ καθ' ἕκαστον ἀπαριθμούμενος μηκύνω τὸν λόγον, πῶς ὁ διὰ τῆς οἱασδήποτε ὕλης τύπος τοῦ σταυροῦ, ὡς κοινόν τι καὶ βέβηλον διά τε βαπτίσματος, καὶ ἥλου καὶ αἵματος καθ' ὑμᾶς ἁγιάζεται; Πῶς δὲ ὁ καὶ τὸ βάπτισμα καὶ τὴν θυσίαν ἁγιάζων σταυρὸς ὑπὸ τῶν ἁγιαζομένων τούτων ἁγιάζεται; Ὥσπερ γὰρ πρὸ τοῦ σταυρωθῆναι τὸν Χριστὸν ὁ σταυρὸς ὄργανον ἦν θανάτου κατηραμένον, καὶ ὁ τύπος αὐτοῦ φευκτός τε καὶ ἀποτρόπαιος· οὕτω μετὰ τὸ προσηλωθῆναι τὸν Χριστὸν αὐτῷ, καὶ καταῤῥανθῆναι τοῦτον τῷ Δεσποτικῷ αἵματι καὶ ὕδατι, αὐτός τε ἡγιάσθη, καὶ ὁ τύπος αὐτοῦ ἁγιαστήριον πᾶσι τοῖς πιστοῖς κατέστη, πρότερον μὲν ἀνθρώπους ἀναιροῦντος, ὕστερον δὲ τοὺς δαίμονας. Εἰ οὖν τὸ πρωτότυπον γέγονεν ἅγιον, ὡς εἴρηται, προσηλωθέντος αὐτῷ τοῦ Δεσπότου, καθὼς ὁ Δαβὶδ ἐδίδαξεν εἰπὼν, *Καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιόν ἐστι*· τοῦτο γὰρ νῦν ὠνόμασεν ὑποπόδιον διὰ τὸ προσπαγῆναι τούτῳ τοὺς προσκυνητοὺς αὐτοῦ πόδας· ἅγιος ἄρα καὶ πᾶς τύπος αὐτοῦ, κἂν διὰ χειρὸς ἀΰλως τυπωθείη, κἂν δι' ὕλης τινός. Εἰκόνες γάρ εἰσι· ταῦτα τοῦ πρωτοτύπου, καὶ ὥσπερ ἡ τοῦ Χριστοῦ εἰκὼν ἁγία ἐστὶν, οὐ διὰ τὴν ὑποδεξαμένην αὐτῇ ὕλην, ἀλλὰ διὰ τὸν χαρακτῆρα καὶ τὴν μορφὴν τοῦ Χριστοῦ· οὕτω καὶ ὁ ταῦ σταυροῦ τύπος εἰκών ἐστι τοῦ πρωτοτύπου διὰ τὸ σχῆμα καὶ τὴν ὁμοίωσιν, καὶ διὰ τοῦτο σεπτὸς καὶ τίμιος. Ἡ γὰρ τιμὴ τῆς εἰκόνος ἐπὶ τὸ πρωτότυπον διαβαίνει, διὸ καὶ ὁ θεῖος Γρηγόριος ὁ τῆς Μεγάλης Ἀρμενίας πρὸ πάντων σταυροὺς ξυλίνους ἐν τόποις τισὶ στήσας, ἐκέλευε προσκυνεῖν, καὶ καταφεύγειν ἐπὶ τούτους ὡς ἁγιαστήρια, καίτοι μήπω χειροτονηθεὶς ἀρχιερεύς, μήτε τινὶ βαπτίσματι, ἢ ἥλῳ, ἢ αἵματι καθοσιώσας αὐτούς. Ἐμπηγνύουσι δὲ τὸν ἧλον τῷ σταυρῷ εἰς ὄνομα τοῦ Χριστοῦ, δηλοῦντες, ὅτι εἷς τῆς Τριάδος ἐσταυρώθη, τουτέστιν ἡ θεία φύσις αὐτοῦ. Ἐπεὶ δὲ ἡ τοῦ Χριστοῦ θεία φύσις, καὶ τοῦ Πατρὸς, καὶ τοῦ ἁγίου Πνεύματός ἐστι φύσις, συσταυροῦσιν αὐτῷ, κἂν μὴ φανερῶς ὁμολογῶσι, καὶ τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα. Εὑρήσεις δὲ περὶ τοῦ σταυροῦ πλατύτερον ἐν τῷ ἐφεξῆς τίτλῳ κατὰ τὸ κεφάλαιον, ᾧ ἐπιγέγραπται Περὶ τοῦ σταυροῦ.

Σταυροὺς τρεῖς ξυλίνους ποιήσαντες, καὶ συζεύξαντες ἀλλήλοις ἁγίαν Τριάδα τούτους ὀνομάζουσιν, οὐ φρίττοντες κατασκευάζειν εἰκόνας τῆς μακαρίας Τριάδος τῆς μόνης ἀκτίστου, καὶ ἀπείρου, καὶ ἀορίστου, καὶ ὅλως ἀνεννοήτου. Αἱ γὰρ εἰκόνες ὁρατῶν καὶ πεπερασμένων εἰσὶν εἰκόνες. Πῶς δ' ἄν τις εἰκόνα κατασκευάσειεν, οὗ τὸ πρωτότυπον ἀθέατον

A fronte crucem manu designent, et in baptismo, et in sacrificio, et aliis multis in rebus. Verum, o stulti et mente capti, sic enim eos alloquar, si crux manu designata res omnes sanctificat quibus adhibetur, ut aquam baptismi, et oleum, et unguentum, et vultus hominum credentium, et panem mysticum, et sacrum sanguinem, et reliqua, quæ non enumero sigillatim, ne longior sim, cur apud vos figura crucis ex quavis materia confecta, tanquam res aliqua communis ac profana, ablutione et clavo et sanguine sanctificatur, aut quomodo crux, quæ et baptismum, et sacrificium sanctificat, ab eisdem ipsa sanctificetur? Quemodmodum enim antequam Christus in crucem ageretur, ipsa mortis erat instrumentum exsecrabile, et ejus figura fugienda ac de-

B testanda, ita posteaquam Christus ei fuit affixus, sanguine et aqua Domini sanctificata per figuram suam cunctis fidelibus exhibet sanctificationem. Atque ita crux, quæ prius homines tollebat, postea dæmones ejecit atque expulit. Si igitur prima illa crux, quæ fuit exemplar, facta est sancta, ut dictum est, quoniam in ea confixus Dominus pependit, ut David ostendit, *Adorate*, inquiens, *scabellum pedum ejus, quoniam sanctum est* [1], eam enim hoc loco scabellum appellavit, quia pedes ipsius adorandi in eam suffixi sunt; sancta nimirum est et omnis figura illius, sive manu, sive materia designetur, sive ex materia aliqua conficiatur. Hæc enim sunt imagines exemplaris. Et quemadmodum imago Christi

C sancta est, non propter materiam quæ illam suscepit, sed propter exemplar formamque Christi, sic et crucis figura imago est exemplaris propter effigiem et similitudinem. Et idcirco venerabilis est et pretiosa. Honor enim habitus imagini, ut magnus ait Basilius, ad exemplar transit. Itaque divus etiam Gregorius, Magnæ præsul Armeniæ, ante omnes jussit, cruces ligneas quibusdam in locis a se collocatas adorari, ad easque tanquam ad sacra profugia concurri, idque cum nondum esset pontifex declaratus, easque nec ablutione, nec clavo, nec sanguine expiasset. Cæterum ideo clavum in cruce figunt in Christi nomine, ut ostendant unum sanctæ Trinitatis esse crucifixum, id est, divinam ejus naturam. Itaque cum divina Christi natura,

D Patris etiam, et sancti Spiritus natura sit, Patrem etiam, et Spiritum sanctum, licet id aperte non fateantur, una cum ipso crucifigunt. Verum de cruce latius disseremus in sequenti titulo, in eo capite quod inscriptum est *De cruce*.

Tres ligneas constituunt cruces, easque inter se conjunctas Trinitatem sanctam appellant. Nec exhorrescunt beatæ Trinitatis imaginem conficere, quæ sola increata est, et infinita, et indefinita, et prorsus incognita. Rerum enim, quæ finitæ sunt, imagines conficiuntur. Cujus autem rei exemplar sub aspectum cognitionemque prorsus non cadit, ejus

[1] Psal. XCVIII, 5.

rei quomodo quis imaginem conficiat? Quo igitur nomine hos appellabimus, lignorum, an idolorum cultores? Utrumque enim nomen illis congruit. Atque hac item ratione crucifixam fuisse Trinitatem confitentur, cum tres ita cruces coaptent, et eo facto id prædicent. Quid hoc errore stultius, aut magis impium sit?

Quid? quod cum tres, ut dictum est, cruces, tanquam idola constituant, et venerandum incomprehensæ Trinitatis nomen illis imponant, non erubescunt tamen appellare nos idololatras, quod Christi, qui humanitatem assumpsit, et videri comprehendique ac circumscribi voluit, quantum pertinet ad humanitatem, Deique Genitricis et sanctorum, quorum corpora non solum conspicua et finita, verum etiam mortalia exstiterunt, imagines conficiamus. Verum de sanctis imaginibus in eo titulo, quem adversus earum oppugnatores conscripsimus, latius disputatur. Inde igitur petatur idolorum et imaginum differentia.

A ἐστι παντάπασι καὶ ἀκατανόητον; Πῶς οὖν τούτους προσαγορεύσομεν, ξυλολάτρας, ἢ εἰδωλολάτρας; ἀμφότερα γὰρ αὐτοῖς ἁρμόζει. Καθ' ἕτερον δὲ λόγον σταυρωθῆναι τὴν Τριάδα καθομολογοῦσι, σταυροὺς τρεῖς ἀλλήλοις συνάπτοντες, καὶ δι' ἔργων τοῦτο κηρύττοντες. Τί τῆς πλάνης ταύτης ἀνοητότερόν τε καὶ ἀθεώτερον;

Τοὺς τρεῖς, ὡς εἴρηται, σταυροὺς εἰδωλοποιοῦντες, καὶ τὸ φρικτὸν ὄνομα τῆς ἀκαταλήπτου Τριάδος τούτοις ἐπιθέντες, οὐκ αἰσχύνονται προσαγορεύοντες ἡμᾶς μᾶλλον εἰδωλολάτρας διὰ τὴν σεπτὴν εἰκόνα τοῦ ἐνανθρωπήσαντος Ἰησοῦ Χριστοῦ, καὶ ὁραθέντος καὶ κρατηθέντος, καὶ πεπερασμένου κατὰ σάρκα τυγχάνοντος, ἔτι δὲ καὶ διὰ τὴν τῆς Θεομήτορος, καὶ τὰς τῶν ἁγίων, οἷς οὐ μόνον ὁρατὰ καὶ περιληπτά, B ἀλλὰ καὶ θνητὰ τὰ σώματα. Εἴρηται δὲ πλατύτερον περὶ τῶν ἁγίων εἰκόνων ἐν τῷ κατὰ τῶν Εἰκονομάχων τίτλῳ, καὶ ζήτησον ἐκεῖ τὴν διαφορὰν τῶν εἰδώλων καὶ τῶν εἰκόνων.

Armeniorum ut adulterina atque impia fides est, sic etiam baptismus, et omnis initiatio et mysterium. Mala enim arbor bonos fructus non fert [1], ut Dominus pronuntiavit.

Τῶν Ἀρμενίων ὥσπερ κίβδηλος καὶ θεοστυγὴς ἡ πίστις, οὕτω καὶ τὸ βάπτισμα τούτων, καὶ πᾶσα τελετή, καὶ ἅπαν μυστήριον. Σαπρὸν γὰρ δένδρον καρποὺς καλοὺς οὐ ποιεῖ, καθὼς ὁ Κύριος ἀπεφήνατο.

Si ab Armeniis quæratur quodnam sit jejunium, Artziburtzi, respondent, Sergii cujusdam Armenii, qui illud testimonio suo in ipsorum regione approbarit. Nos autem dicimus: Quomodo constat, Sergium illum fuisse orthodoxum, præsertim cum pravis opinionibus et institutis abundetis, nec ullius prophetæ, aut apostoli, aut martyris, aut aliorum sanctorum memoriam celebretis, ne sanctis-imi quidem illius Gregorii, qui Magnæ fuit Armeniæ pontifex? At illi aliter se defendentes, Ninivæ jejunium esse dicunt. Nos autem ad eos: Ecquis vobis gentium jejunium jussit observare, cujus nec sanctorum apostolorum ullus, nec ullum sanctorum Patrum concilium mentionem fecit? quod multis ante annis fuit, quam Christus humanam carnem assumeret? Quod si Judæorum jejunia a Mose Dei mandato constituta vobis jejunare non licet, multo minus jejunia gentium, quæ lege carent. Hinc igitur facile exclusi eo confugiunt, ut dicant, illud esse jejunium Adam, quod egit cum e paradiso fuit ejectus. Nos autem ad hæc: Cum Moses in mundi procreationis descriptione nullam omnino de isto jejunio mentionem fecerit, quomodo potestis dicere esse jejunium Adam? Tum illi alio se conferunt, et Armeniæ Magnæ jejunium esse asserunt, quod jejunabant Armenii, cum a magno Gregorio essent baptizandi. Verum hic quoque mendacium eorum coarguitur. Cum enim a dæmonibus ante baptismum agitarentur, decreverunt jejunare sexaginta dies. Deinde cum esset eos baptizaturus, triginta dierum jejunium illis præscripsit, ut in ipsis quoque Armeniorum libris

Ἐρωτώμενοι παρ' ἡμῶν οἱ Ἀρμένιοι τίς ἐστιν ἡ νηστεία τοῦ Ἀρτζιβούτζη, φασί, Σεργίου τινὸς Ἀρμενίου μαρτυρήσαντος ἐν τῇ τούτων χώρᾳ. Πρὸς οὓς C ἡμεῖς· Καὶ τίς ἡ ἀπόδειξις, καὶ πόθεν δῆλον, ὅτι ὀρθόδοξος ἦν ἐκεῖνος ὁ Σέργιος, ὑμῶν κακοδόξων ὄντων, καὶ μήτε προφήτου τινός, μήτε ἀποστόλου, μήτε μάρτυρος, μήτε ὁσίου, μήθ' ὅλως τινὸς ἁγίου μνήμην ἑορταζόντων, ἀλλὰ μηδὲ αὐτοῦ τοῦ παμμάκαρος Γρηγορίου τοῦ τῆς Μεγάλης Ἀρμενίας ἀρχιερέως; Καὶ μεταβαλλόμενοι λέγουσιν, ὅτι τῆς Νινευὶ ἐστιν ἡ νηστεία. Καὶ πάλιν ἡμεῖς φαμεν, ὅτι Μήτε τῶν ἁγίων ἀποστόλων, μήτε συνόδου τινὸς ἁγίων Πατέρων μνημονευσάντων αὐτῆς, τίς ὁ προστάξας νηστεύειν ὑμᾶς νηστείαν ἐθνῶν πρὸ πολλῶν ἐτῶν τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ γεγενημένην; Εἰ οὖν τὰς Ἰουδαϊκὰς νηστείας τὰς διὰ Μωσέως ὁρισθείσας ὑπὸ τοῦ Θεοῦ νηστεύειν ἐκωλύθημεν, πολλῷ μᾶλλον τὰς τῶν ἀνόμων ἐθνῶν. Οὕτω δὲ προδήλως D ἐλεγχόμενοι πάλιν ἀποκρίνονται, φάσκοντες, τὴν τοῦ Ἀδὰμ νηστείαν εἶναι ταύτην, ὅτε τῆς τοῦ παραδείσου τρυφῆς ἐξέπεσε. Καὶ αὖθις ἡμεῖς φαμεν, ὅτι Περὶ τῆς κοσμογενείας καὶ πάντων τῶν κατὰ τὸν Ἀδὰμ ὁ Μωϋσῆς συγγραψάμενος, οὐδὲν οὐδαμοῦ περὶ τῆς νηστείας ταύτης ἐνέφηνε. Καὶ πόθεν ἔχετε λέγειν τοῦ Ἀδὰμ εἶναι ταύτην; Ἔπειτα μεταβαίνουσιν ἐφ' ἕτερον, ὅτι τῆς Μεγάλης Ἀρμενίας ἡ νηστεία αὕτη ἐστίν, ἣν ἐνήστευσαν οἱ Ἀρμένιοι βαπτισθῆναι μέλλοντες ὑπὸ τοῦ μεγάλου Γρηγορίου. Ἐλέγχονται δὲ κἀνταῦθα ψευδόμενοι. Ἐλαυνόμενοι γὰρ ὑπὸ τῶν δαιμόνων πρὸ τοῦ βαπτίσματος ὡρίσθησαν ἡμέρας ἑξήκοντα νηστεῦσαι· ὕστερον δὲ

[1] Matth. vii, 18.

μέλλων αὐτοὺς βαπτίσαι τριακονθήμερον αὐτοῖς ἐπέταξε νηστείαν, ὡς κἀν ταῖς Ἀρμενικαῖς ἀναγέγραπται βίβλοις, καὶ οὐδεμία τούτων ἡ τοῦ Ἀρτζιβούρτζη ἐστίν. Ἀνατρεπόμενοι δὲ κἀντεῦθεν τοῦ μεγάλου Κωνσταντίνου ταύτην εἶναί φασιν, ἣν ἐνήστευσε βαπτισθῆναι μέλλων. Καὶ τοῦτο δὲ πάντη ψευδές. Τί γὰρ πρὸς ὅλην τὴν οἰκουμένην ἡ βασιλέως ἑνὸς νηστεία; Πῶς δὲ καὶ οὐδεὶς τῶν μετὰ τὸν Μέγαν Κωνσταντῖνον ἢ συνόδων ἢ Πατέρων ἄλλος ἁγίων μνείαν αὐτῆς ἐποιήσατο; Τοῦτον δὲ τὸν τρόπον ἄλλοτε ἄλλα λέγοντες, καὶ πανταχοῦ περιτρεπόμενοι, καὶ στῆναι βεβαίως οὐ συγχωρούμενοι, διδόασιν ἡμῖν ἐννοεῖν, ὅτι βδελυρά τίς ἐστιν ἡ τοιαύτη νηστεία καὶ ἀναξία Χριστιανικῆς ἀκοῆς. Ἐγὼ δὲ τοιοῦτόν τι περὶ ταύτης ἀκήκοα, ὅτι Σέργιός τις διδάσκαλος τῆς Ἀρμενικῆς αἱρέσεως γενόμενος, εἶχε κύνα καλούμενον οὕτως Ἀρτζιβούρτζην· δηλοῖ δὲ ἡ λέξις τὸν Προμιτάτωρα. Τούτῳ μηνυτῇ καὶ σημάντορι τῆς ἐπιδημίας αὐτοῦ πολλάκις ὁ Σέργιος ἐκέχρητο παρὰ δαίμονος ἐνεργουμένῳ, μέλλων ἐπιδημῆσαί τινι τῶν πολυχνίων, ἢ κωμῶν, ἢ χωρίων ἐν οἷς ᾤκουν οἱ μαθηταὶ καὶ μέτοχοι τῆς λύμης αὐτοῦ. Καὶ ὅτε τὸν κύνα τοῦτον εἶδον, ἐξεχέοντο μετὰ μίαν ἡμέραν πρὸ μιλίων τινῶν εἰς ἀπάντησιν τοῦ διδασκάλου. Ποτὲ δὲ πρὸς τὴν συνήθη ταύτην λειτουργίαν ὁ κύων ἐκπεμφθεὶς ὑπὸ λύκων ἐβρώθη, καὶ μετὰ τὴν ἐπιοῦσαν ἡμέραν ἐβάδισεν ὁ Σέργιος ἐφ' οὓς ἀπέστειλε τὸν κύνα. Μηδενὸς δὲ κατὰ τὸν τύπον προϋπαντήσαντος, ἐδεινοπάθησε, καὶ ἐπιδημήσας αὐτοῖς, ἐπειδὴ μεμάθηκεν, ὅτι οὐ παρεγένετο πρὸς αὐτοὺς ὁ πρόδρομος αὐτοῦ κύων, ἔπεμψεν εἰς ἀναζήτησιν, καὶ διαγνοὺς αὐτὸν ἀπὸ τῆς τῶν ὀστέων εὑρέσεως λυκόβρωτον γεγονότα, προσέταξε πᾶσι τοῖς Ἀρμενίοις νηστεύειν ὑπὲρ τῆς τελευτῆς αὐτοῦ καὶ κατηφεῖν, καὶ σκυθρωπάζειν ἐφ' ἡμέραις ὡρισμέναις κατ' ἐνιαυτὸν, καὶ τὴν νηστείαν ταύτην Ἀρτζιβούρτζην ὠνόμασε.

memoriæ proditum est. Neutrum autem istorum jejuniorum Artziburtzi vocatum est. Hinc item depulsi dicunt esse jejunium Constantini, quod ille servavit cum esset baptismum suscepturus. Et hoc plane falsum est : quid enim unius imperatoris jejunium pertinet ad universam Ecclesiam ? Præterea si ita res est, cur hujus jejunii nec ullum concilium, nec sanctorum Patrum quispiam mentionem fecit ? Cum igitur ita se gerant, et modo huc, modo illuc sese convertant, nec consistere valeant, facere non possumus, quin suspicemur jejunium istud exsecrandum esse et Christianis auribus indignum. Ego autem sic de illo accepi, fuisse Sergium quemdam, Armenicæ hæresis doctorem, qui cum haberet canem, cui nomen hoc Artziburtzi imposuisset, eum a dæmone rectum itineris sui ducem et tanquam consiliarium habebat, quoties ad oppidum, aut pagum, aut urbem aliquam erat profecturus, in quibus doctrinæ suæ pestiferæ discipuli habitabant, et cum illum canem aspicerent, post diem unum aliquot passuum millibus obviam magistro procedebant. Verum cum aliquando ad illud munus canis mitteretur, a lupis devoratus est ; postridie autem cum ad eos Sergius proficisceretur, ad quos canem miserat, et nemo de more veniret obviam, indignatus est, cumque ad illos pervenisset, intellexissetque, canem præcursorem suum ad eos non accessisse, misit, qui illum quærerent, sed cum ex ossibus inventis agnovisset, eum a lupis fuisse dilaniatum, indixit omnibus Armeniis jejunium pro canis obitu, jussitque, ut præfinito dierum spatio singulis annis in luctu et squalore versarentur. Et jejunium illud Artziburtzi appellaverunt.

ΤΙΤΛΟΣ ΚΔ'.

Κατὰ τῶν λεγομένων Παυλικιάνων ἐκ τῶν Φωτίου τοῦ μακαριωτάτου πατριάρχου Κωνσταντινουπόλεως.

Σαμόσατα πόλις ἐστὶ τῆς Συρίας, καθ' ἣς πάλαι τὸ Μανιχαίων εἰσεκώμασε φρόνημα. Γυνὴ δέ τις ἐν ταύτῃ Καλλινίκη τοὔνομα τὸν βόρβορον τῆς Μανιχαϊκῆς αἱρέσεως ὅλον ἐκπιοῦσα, δύο τίκτει παῖδας, Παῦλον καὶ Ἰωάννην. Οὗτοι τὴν μητέρα ζηλώσαντες, ἄκρατον τῆς ἀποστασίας ταύτης τὸν ἰὸν εἰσεδέξαντο. Θεασάμενοι δὲ τούτους οἱ συναποστάται διαφέροντας ἐπὶ τῇ δυσσεβείᾳ καὶ δραστηρίους, κήρυκας προβάλλονται καὶ μυσταγωγούς. Οὗτοι δὲ καὶ ἄλλα προσεπινοήσαντες ἄτοπα, καὶ μιαρὰ, καὶ ὀλέθρια δόγματα τὴν τῶν Παυλικιάνων αἵρεσιν συνεστήσαντο, μοῖραν μὲν τῆς Μανιχαίων μανίας οὖσαν, τισὶ δὲ προσθήκαις συναυξηθεῖσαν. Ἀπὸ τούτων δὲ τῶν δύο, Παύλου καὶ Ἰωάννου, τοῖς μαθηταῖς αὐτῶν ἡ προσωνυμία τῶν Παυλικιάνων ἐπετέθη, συντεθεῖσα βαρβαρικώτερον, καὶ ἀντὶ τοῦ Παυλοϊωάνναι Παυλικιάνοι κατονομάζονται. Χρόνου δὲ διαῤῥυέντος, ἕτερον ἑαυτοῖς τὸ τῆς ἀποστασίας συνέδριον χειροτονοῦσι διδάσκαλον, ὃς Κωνσταντῖνος ὀνομαζόμενος εἰς Σιλουανὸν ἑαυτὸν μετωνόμασε, καί γε τοῦτον πολλῷ τῶν Καλλινίκης

TITULUS XXIV.

Adversus Paulicianos, ex scriptis Photii patriarchæ Constantinopolitani.

Samosata est oppidum Syriæ, in qua quondam viguit error Manichæorum. In hoc oppido mulier quædam fuit nomine Callinice. Hæc cum totum Manichæorum lutum hausisset, duos peperit filios Paulum et Joannem, qui matrem imitati merum istius apostasiæ venenum biberunt. Hos reliqui veritatis desertores conspicati impietate eximios, atque præstantes, ac strenuos, constituerunt eos præcones et duces. Isti cum alia absurda et exsecranda ac perniciosa dogmata, tum Paulicianorum hæresim, quæ Manichæorum insaniæ pars est, et quibusdam etiam accessionibus cumulatior, excogitarunt. Ex duobus autem istis nominibus Paulo et Joanne Paulicianorum vocabulum barbare sane compositum est, ut cum Pauli-Joannes appellari debeant, Pauliciani nominentur. Sed temporis progressu alium sibi apostasiæ socium et magistrum adhibuerunt, qui cum vocaretur Constantinus, voluit Sylvanus appellari. Et hunc quidem apostasiæ satellites Callinicæ filiis longe anteponunt. Quippe qui ut astutissimus ad ea,

quæ sentiebat, propaganda, non est ausus opiniones hæreticas monumentis tradere, sed usu et assidua doctrina discipulos suos erudiens, impietatis instituta ab oppugnatione tuta servare conatus est. Atque Evangelium quidem et Apostolum, quæ fidelis etiam Christianorum populus complectitur et colit, scripta proposuit, nihil admodum quantum ad verba pertinet, mutans, nec, quemadmodum egit Valentinus et alii, sermonis figuram pervertens, sed ipsum pietatis sensum detorquens atque perfringens, et ad apostasiæ suæ opinionem convertens et trahens. Ac verba quidem, ut diximus, divini Evangelii et Apostoli, concessit, ut haberent, et nihil impudenter subtraxit aut adjunxit; verum eos illi sensus attribuit et accommodavit, quibus nulla sacra verba conveniunt. Pugnant enim inter se, mutuoque se evertunt, ut nihil inde consequi consentaneum possit. Hæc ille hoc modo constituit, nullumque dogma illis præter Evangelium et Paulum legere permisit. Verum et iste post aliquod tempus interiit, et anima quidem magis quam corpore. Post Sylvanum Simeon qui se Titum vocari maluit, illis impiæ doctrinæ magister fuit. Deinde Armenius quidam nomine Genesius, qui suum in Timotheum nomen commutavit. Tum Joseph, qui in Epaphroditum mutatus est. Post Zacharias, quem non minima hæresis pars mercenarium existimat, et indignum, qui docendi munus apud ipsos obtinuerit. Manes præterea homo sordidus accessit. Postremum malum Sergius attulit, qui sibi Tychici nomen ascivit. Ac defectionis quidem ipsorum magistri, ex quo hæresis ista a Paulo et Joanne cognomen est consecuta, ad hoc usque tempus tot exstiterunt. Illud autem sciendum est, eos qui hæresis istius studiosi sunt, si quis petat, ut auctores ejus nugatoriæ sectæ repudient atque improbent, facile Manetem, et Paulum, et Joannem et quosdam alios detestari, Constantinum autem, quem et Sylvanum vocant, et Simeonem seu Titum, et Genesium sive Timotheum, et Josephum seu Epaphroditum, et sordidum Baanem et Sergium Tychicum nullo modo adduci posse ut detestentur; quin etiam illos ut Christi apostolos existimare, et tanquam piæ doctrinæ magistros amplecti atque suscipere. Nec universi tamen eos quos commemoravimus, pariter complectuntur, sed cuncti tanquam deos venerantur illos usque ad Baanem et Sergium. Post autem in duas partes contrarias divisi, alii Baanem, alii Sergium in divorum numerum referunt, qua quidem in contentione eo usque progrediuntur, ut ad arma cædesque veniant. Sex autem Ecclesias recensent suas, quarum unam Macedoniam vocant, alteram Achaiam, tertiam Philippensium, quartam Laodicensium, quintam Ephesiorum, Colossensium extremam. Verum hæc sunt urbium nomina, de quibus tum vetus historia, tum Paulus meminit. Isti vero, qui nihil sine dolo et quæstu conantur agere, ne illa quidem, quæ oculis coarguuntur, vereantur affirmare. Macedoniam appellant Coloniæ oppidulum, cui nomen est Cimossa,

A παίδων οἱ τῆς ἀποστασίας ὑπασπισταὶ ἐπίπροσθεν ἄγουσιν. Οὗτος δὴ οὗτος ὁ δεινότατος κακουργῆσαι τὰ ἀτόλμητα, τὰ μὲν αἱρετικὰ φρονήματα γραφῇ παραδοῦναι οὐκ ἐτόλμησεν, ἔθει δὲ καὶ συνεχεῖ διδασκαλίᾳ κατασφαλισάμενος, τοῖς μυσταγωγηθεῖσι κατέχειν ἀπαράτρωτα τὰ τῆς ἀσεβείας παρακατατίθησιν ὄργια. Τὸ μέντοι Εὐαγγέλιον καὶ τὸν Ἀπόστολον, ἃ καὶ τὸ θεῖον περιπτύσσεται καὶ τιμᾷ τῶν Χριστιανῶν σύνταγμα, ἐγγράφως τούτοις παρέθετο, τοῖς ῥήμασι μὲν καὶ ὀνόμασιν οὐδὲν μέγα παραλλάττων, οὐδὲ κατακιβδηλεύων τοῦ λόγου τὸ σχῆμα, καθάπερ Οὐαλεντῖνος καὶ ἕτεροι, ὅλον δὲ τὸν νοῦν τῆς εὐσεβείας διαστρέφων, καὶ καταθραύων, καὶ πάντα ποιῶν, καὶ περιέλκων πρὸς τὸ τῆς ἀποστασίας αὐτοῦ φρόνημα. Καὶ τὰ μὲν ῥήματα, ὡς εἴρηται, δίδωσι B κατέχειν τοῦ τε θείου Εὐαγγελίου καὶ τοῦ Ἀποστόλου, μήτε προσθήκαις μήτε ὑφαιρέσεσιν ἀναίδην λυμαινόμενος· προσάπτει δὲ τούτοις καὶ ὑποβάλλει νοήματα, οἷς ἁρμόζει μὲν οὐδὲν τῶν ἱερῶν ῥημάτων, οὐδεμία δὲ τούτοις ἀκολουθία ἐνορᾶται, μάχεται δὲ πρὸς ἄλληλα, καὶ ἀντικαθίσταται. Ταῦτα γοῦν παρακαταθέμενος μηδὲν ἕτερον αὐτῶν ἀναγινώσκειν παρά τε τὸ Εὐαγγέλιον καὶ τὸν Ἀπόστολον δόγμα τίθησιν. Ἀλλ' ὁ μὲν μετὰ χρόνον ἀπεφθάρη τὴν ψυχὴν πλέον τοῦ σώματος, μετὰ δὲ τὸν Σιλουανὸν Συμεὼν αὐτῶν τοῦ δυσσεβοῦς διδασκαλείου προΐσταται, Τίτον καὶ αὐτὸς ἑαυτὸν μετονομασάμενος. Ἑξῆς δὲ Ἀρμένιος Γενέσιος τοὔνομα, μετακληθεὶς εἰς Τιμόθεον, καὶ τέταρτος Ἰωσὴφ ὁ εἰς Ἐπαφρόδιτον μεταβεβλημένος. C Εἶτα Ζαχαρίας, ὃν οὐκ ἐλαχίστη μοῖρα τῆς αἱρέσεως μισθωτόν τε ἡγεῖται, καὶ τῆς διδασκαλικῆς αὐτὸν προεδρίας ἀνάξιον. Ἔκτος αὐτοῖς ἐπιγίνεται Βαάνης ὁ ῥυπαρὸς, ἐφ' οἷς ἕβδομον καὶ τελευταῖον κακὸν Σέργιος ἀναφύεται· εἰς Τυχικὸν δὲ καὶ οὗτος ἑαυτὸν μετεκάλεσεν. Ἀλλ' οἱ μὲν τῆς ἀποστασίας αὐτῶν διδάσκαλοι, ἀφ' οὗ τῆς Παύλου καὶ Ἰωάννου μετωνυμίας ἔλαχε τὸ ἀποστατικὸν τοῦτο καὶ μισόχριστον σύνταγμα μέχρι τοῦ καθ' ἡμᾶς ἥκοντος χρόνου, ἐπὶ τοσοῦτον προήχθησαν. Ἐκεῖνο δὲ δεῖ γινώσκειν, ὡς οἱ νῦν τῆς ἀποστάσεως ταύτης παῖδες, ἐπειδὰν αὐτούς τις ἀπαιτοίη τοὺς ἐξάρχους τῆς τοιαύτης ἀποπέμπεσθαι βδελυρίας, Μάνεντα μὲν, καὶ Παῦλον, καὶ Ἰωάννην, καί τινας ἄλλους προθύμως ἀναθεματίζουσι· Κωνσταντῖνον δὲ ὃν καὶ Σιλουανὸν καλοῦσι, D καὶ Συμεῶνα τὸν Τίτον, καὶ Γενέσιον τὸν Τιμόθεον, καὶ Ἰωσὴφ τὸν Ἐπαφρόδιτον, καὶ τὸν ῥυπαρὸν Βαάνην, καὶ Σέργιον τὸν Τυχικὸν οὐδαμῶς ἀναθεματίσαι καταδέχονται, ἀλλ' οἷα δὴ Χριστοῦ ἀποστόλους καὶ τῆς εὐσεβείας διδασκάλους ἀσπάζονταί τε καὶ ἀποδέχονται. Οὐ πάντες δὲ, οὐδὲ τοὺς εἰρημένους πάντας ὁμοίως περιέπουσιν, ἀλλὰ τοὺς μὲν μέχρι Βαάνου καὶ Σεργίου καταγομένους ἐξ ἴσου θειάζουσιν, ἐκεῖθεν δὲ ῥαγέντες εἰς ἀντιπάλους δύο μερίδας, οἱ μὲν τὸν Βαάνην, οἱ δὲ θεοποιοῦσι τὸν Σέργιον ἐπὶ τοσοῦτον τὴν κατ' ἀλλήλων ἔριν καὶ στάσιν κρατύνοντες, ὡς καὶ μέχρι σφαγῆς αὐτοῖς προχωρεῖν τὸ φιλόνεικον. Ἓξ δὲ αὐτῶν ἀνομολογοῦσιν ἐκκλησίας, ὧν τὴν μὲν Μακεδονίαν καλοῦσιν, Ἀχαΐαν δὲ τὴν δευτέραν, καὶ τρίτην τὴν Φιλιππησίων, ἐφ' οἷς τὴν

Λαοδικέων, καὶ πέμπτην τὴν τῶν Ἐφεσίων, τελευταίαν δὲ τὴν τῶν Κολοσσαέων. Ἀλλὰ τὰ μὲν ὀνόματά ἐστι πόλεων, ὧν καὶ ἡ παλαιὰ τὴν γνῶσιν εἶχεν ἱστορία; καὶ ὁ θεῖος ἐμνημόνευσε Παῦλος· οἱ δὲ μηδὲν ἄδολον μηδ' ἀκαπήλευτον φιλονεικοῦντες καταλιπεῖν, μηδ' ὅσα ὄψει διελέγχεται, μηδὲ ταῦτα δυσωπούμενοι Μακεδονίαν μὲν ὀνομάζουσι πολίχνιόν τι Κολωνείας καλούμενον Κίβοσαν, ἐν ᾗ Κωνσταντῖνος ὁ Σιλουανὸς τὴν ἀποστασίαν ἐδίδαξε. Κώμη δὲ Σαμοσάτων ἐστὶν ἡ Μάναλις, ἥτις τῆς Γενεσίου τοῦ καὶ Τιμοθέου διδασκαλίας ἐχρημάτισεν ἐργαστήριον. Ταύτῃ δὲ τὴν Ἀχαΐαν ἐπιφημίζουσιν. Ὅσοι δὲ Ἰωσὴφ τοῦ Ἐπαφροδίτου, καὶ Ζαχαρίου τοῦ μισθωτοῦ κατ' αὐτοὺς ποιμένος μαθηταὶ ἐχρημάτισαν, τούτοις τὴν τῶν Φιλιππησίων ἐπιγράφουσι. Τοῖς δὲ ἐν Ἀργαοῖ τῇ πολίχνῃ τὴν Λαοδικέων ἐπικηρύττουσι, καὶ τοὺς ἐν Μοψουεστίᾳ εἰς τὴν Ἐφεσίων μεταπλάττουσιν, ὥσπερ καὶ τοὺς λεγομένους Κυνοχωρίτας εἰς τὴν τῶν Κολοσσαέων ἀναφέρουσι. Τούτων δὲ τῶν τριῶν ἐκκλησιῶν καὶ τὸ σύστημα, καὶ τὴν διδασκαλίαν Σεργίῳ τῷ καὶ Τυχικῷ ἀνατιθέασιν. Ἀλλ' οἱ μὲν διδάσκαλοι, καὶ αἱ λεγόμεναι αὐτῶν ἐκκλησίαι ἐν τούτοις· οὐκ ἐκ μιᾶς δέ τινος πλάνης, ἀλλ' ἐκ πολλῶν καὶ ποικίλων τὸ πολύπλοκον τοῦτο τῆς αἱρέσεως συνέστηκε φρόνημα. Δύο μὲν γὰρ ἀρχὰς ὁμολογοῦσιν, ὡς οἱ Μανιχαῖοι· φασὶ δὲ ἕτερον μὲν εἶναι Θεὸν τὸν ἐπουράνιον Πατέρα, ὃν καὶ τῆς τοῦδε τοῦ παντὸς ἐξουσίας ὑπερορίζουσι, τοῦ μέλλοντος μόνον τὸ κράτος αὐτῷ ἐγχειρίζοντες· ἕτερον δὲ τὸν δημιουργὸν τοῦ κόσμου, ᾧ καὶ τὸ κῦρος τοῦ παρόντος αἰῶνος χαρίζονται. Καὶ τοὺς μὲν ἀληθῶς ὄντας Χριστιανοὺς Ῥωμαίους οἱ τρισαλιτήριοι ὀνομάζουσιν, ἑαυτοῖς δὲ τὴν κλῆσιν, ἧς ἀλλότριοι παντελῶς καθεστήκασι, τῶν Χριστιανῶν περιάπτουσι. Λέγουσι δὲ Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, λέξεις μὲν εὐσεβεῖς, ὑποβάλλουσι δὲ ταύταις τὴν ἐσχάτην ἀσέβειαν. Οὐ γὰρ ὡς ἡ τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία, οὕτω καὶ οὗτοι φρονοῦντες λέγουσιν, ἀλλὰ τὰς λέξεις ἐκεῖθεν ἀποσπαράξαντες, δυσσεβεστάταις ἐννοίαις ταύτας ἐπιφημίζουσι, καί φασι προθύμως, ὡς ἀνάθεμα εἴησαν ὅσοι μὴ πιστεύουσιν εἰς Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, Πατέρα οὐ τὸν παντοκράτορα, καὶ ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων ἀνακηρύττοντες, ἀλλὰ Πατέρα φάμενοι τὸν ἐπουράνιον εὐθὺς ἐπισυνάπτουσιν, ᾧ καὶ τὴν κυριότητα, καὶ τὴν ἐξουσίαν τοῦ οὐρανοῦ τε καὶ τῶν ἐν αὐτῷ οὐδαμῇ οὐδαμῶς ἐπιτρέπουσι. Τινὲς δὲ τοῦ μὲν οὐρανοῦ τὴν ἐπιστασίαν αὐτῷ ἐγχειρίζουσι, τῶν δὲ ἐμπεριεχομένων οὐκ ἔτι. Καὶ τὸ μὲν πρῶτον αὐτῶν τῆς δυσσεβείας τοιοῦτον· βλασφημοῦντες δὲ τὴν ὑπεραγίαν Δέσποιναν ἡμῶν Θεοτόκον, ἃ μήτε γραφῇ μήτε ἀκοῇ θεμιτὸν παραδοῦναι, οὐ πεφρίκασιν οἱ τρισαλιτήριοι λέγειν· Πιστεύομεν εἰς τὴν παναγίαν Θεοτόκον, εἰς ἣν εἰσῆλθε, καὶ ἐξῆλθεν ὁ Κύριος. Καὶ τοῖς ῥήμασι τούτοις τὴν ἄνω ὑποβάλλονται Ἱερουσαλὴμ, καί φασιν εἰς αὐτὴν πρόδρομον ὑπὲρ ἡμῶν εἰσελθεῖν τὸν Χριστὸν, ὡς καὶ

in quo defectionis doctrinam Sylvanus tradidit. Pagus est Samosatensium Manalis, ubi Genesius, qui et Timotheus, docendi ludum aperuit. Pagum hunc isti Achaiam vocant. Qui vero Josephi, seu Epaphroditi, et Zachariæ mercenarii apud ipsos pastoris discipuli fuerunt, hi sibi Philippensium Ecclesiam arrogant. At illi qui in Argai oppidulo habitant, Laodicensium Ecclesiam sibi vindicant. Qui autem in Mopsuestia, in Ephesiorum Ecclesiam rediguntur. Istarum trium Ecclesiarum congregationem doctrinamque Sergio item seu Tychico tribuunt. Atque isti quidem eorum magistri et Ecclesiæ dicuntur esse, multiplex autem ipsorum hæresis non ex uno errore, sed ex multis variisque constat. Nam duo fatentur principia, quemadmodum et Manichæi. Atque alterum quidem dicunt esse Deum, cœlestem Patrem, quem et hujus rerum universitatis potestate præstantiorem asserunt; alteri mundi tribuunt opificium. Illi tantum futuri imperium ascribunt, huic mundi opifici præsentis sæculi potestatem concedunt. Et eos qui vere Christiani sunt, Romanos appellant, homines impii, sibi autem Christianorum arrogant nomen, cum ab eo distent quam longissime. Dicunt illi quidem Patrem, et Filium, et Spiritum sanctum, quæ quidem voces sunt piæ, sed illis extremam addunt impietatem. Non enim eodem sensu, quo catholica et apostolica Ecclesia, eas pronuntiant, sed admodum diverso ac detestando. Cum enim anathema esse dicant, quicunque non credit in Patrem et Filium et Spiritum sanctum, Patrem non pronuntiant omnipotentem, factorem cœli et terræ, visibilium et invisibilium, sed cum Patrem dixerint, statim subjiciunt, cœlestem, cui nullo modo cœli et eorum quæ cœli ambitu continentur, dominatum tribuunt et potestatem. Quidam tamen cœli etiam imperium tribuunt, eorum vero quæ cœlo comprehenduntur non item. Ac primum quidem est hoc impietatis ipsorum caput. In sanctissimam autem Dominam nostram Dei Genitricem ea maledicta conjiciunt homines nefarii, quæ nec scribere, nec audire fas est. Credimus, inquiunt, in sanctam Dei Genitricem, in quam ingressus est, et ex qua Dominus egressus est, et his verbis cœlestem intelligunt Jerusalem, in quam præcursor pro nobis Christus introiverit, quemadmodum etiam divus ait Apostolus. Aliquando coacti confiteri ex Virgine Christum prodiisse, corpus e cœlo suscepisse dicunt, per ipsamque tanquam per canalem transiisse. Et immaculatam et castissimam Virginem alios etiam ex Joseph liberos post partum illum salutarem peperisse contendunt. Similiter et communionem pretiosi corporis et sanguinis Christi Dei nostri innumerabilibus contumeliis afficientes se dicunt suscipere, cum corpus et sanguinem dicant esse verba illa Domini quæ cum discipulis traderet, dicunt protulisse, nempe; *Accipite, comedite, et bibite* [1]; neque enim

[1] Matth. xxvi, 26, 27.

panem aut vinum adhibuisse. Crucem item, quam adorare se dicunt, afficiunt ignominia. Crucem enim homines fraudulenti et impostores fingunt esse Christum. Ipse enim, inquiunt, manus in crucis figuram extendit. Veram autem crucem lignum appellant, et sceleratorum instrumentum supplicii exsecrationibus obnoxium, et idcirco non esse adorandam, nec suspiciendam. Sacros quin etiam prophetas et omnem antiquam Scripturam, et reliquos sanctos rejiciunt, et latrones ac fures appellant. In primis autem apostolorum principem Petrum exsecrantur, quod fidem in magistrum Christum abnegavit. Quamvis doctor ipsorum Manes aperte clamet ac dicat : Non sum ego a misericordia alienus, quemadmodum Christus dixit : *Quisquis me negaverit coram hominibus, negabo ipsum et ego* [1]. Sed ego dico : Quisquis me negaverit, eum cum gaudio suscipiam, et negationem ipsius atque mendacium tanquam custodiam et observationem meæ professionis existimabo. Quamobrem cum ita se gerant, milliesque suam ipsorum fidem abnegent; Petrum tamen, qui multis eodem tempore terrorem afferentibus, humanum nescio quid perpessus, in negationem prolapsus est, rejiciunt et repudiant, atque aversantur, non eam ob causam quam simulant, sed ob eam quam silent et celant : quia nimirum de ipsorum defectione ante locutus est : *Satagite*, inquit, *immaculati et irreprehensibiles ei inveniri in pace ; et Domini nostri longanimitatem salutem arbitramini, sicut et charissimus frater noster Paulus secundum datam sibi sapientiam scripsit vobis, sicut et in omnibus epistolis loquens in eis et de his, in quibus sunt quædam difficilia intellectu, quæ indocti et instabiles depravant, sicut et cæteras Scripturas ad suam ipsorum perditionem* [2]. Hæc enim principis apostolorum oracula adversus istorum audaciam et impietatem prædicta sunt, qui tam Domini verba, quam apostolorum, et alias Scripturas, ut Acta apostolorum, et quas vocamus catholicas Epistolas, exceptis illis quæ sunt Petri, quas ne verbo quidem, ut diximus, accipiunt, ad proprium ipsorum interitum depravant. Quanquam et Acta apostolorum et reliquas catholicas non omnes recipiunt, quidam tamen ea recipiunt, sed omnes uno consensu rejiciunt prophetas, et Vetus Testamentum, et universos sanctos, qui in ipso fuerint illustres, et principem apostolorum. Consessus suos catholicam appellant Ecclesiam, præsertim cum ad precandum et ad ea, quæ ad religionem pertinent, inquirenda congregantur ; precationes enim suas consessus vocant. Quin etiam cum baptismum aspernentur, illud tamen se fingunt suscipere ; nam Evangelii verba baptismum existimant, quoniam Dominus, *Ego sum*, inquit, *aqua viva* [3]. Attamen cum in graviorem aliquem morbum inciderint, etiam pretiosam ac salutarem crucem ex ligno confectam sibi ipsis imponunt. Deinde si

A ὁ θεῖος ἀπόστολος ἔφη. Ἔσθ' ὅτε δὲ συνελαυνόμενοι διομολογεῖν ἐκ τῆς Παρθένου προελθεῖν τὸν Χριστὸν, ἐπειδὰν ὅλως συναναγκασθῶσιν, ἄνωθεν μὲν τὸ σῶμα συγκατενεγκεῖν αὐτὸν τερατολογοῦσι, δι' αὐτῆς δὲ ὡς διὰ σωλῆνος διεληλυθέναι, καὶ ταύτην τὴν ἄσπιλον καὶ καθαρὰν Παρθένον μετὰ τὸν σωτήριον τόκον ἑτέρους υἱοὺς ἐκ τοῦ Ἰωσὴφ παιδοποιῆσαι. Ὡσαύτως καὶ τὴν κοινωνίαν τοῦ τιμίου σώματος καὶ αἵματος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν μυρίαις ὕβρεσι πλύνοντες, ἀποδέχεσθαί φασι σῶμα καὶ αἷμα τερατολογοῦντες τὰ δεσποτικὰ ῥήματα, ἃ καί φασι μεταδιδόντα τοῖς ἀποστόλοις εἰπεῖν· *Λάβετε, φάγετε, καὶ πίετε*· ἀλλ' οὐκ ἄρτον ποθὲν, ἢ οἶνον προσαγαγόντα. Καὶ τὸν ζωοποιὸν δὲ σταυρὸν δυσφημοῦντες, φασὶν αὐτὸν προσκυνεῖν, καὶ ἀποδέχεσθαι σταυρὸν, οἱ πλάνοι καὶ B γόητες, αὐτὸν ἀναπλάττοντες τὸν Χριστόν. Καὶ γὰρ αὐτὸς, φασὶν, εἰς σταυροῦ σχῆμα τὰς χεῖρας ἐξήπλωσε. Τὸν ἀληθῶς δὲ σταυρὸν, ἅτε δὴ ξύλον φασὶ, καὶ κακούργων ὄργανον, καὶ ὑπὸ ἀρὰν κείμενον, οὐ δεῖ προσκυνεῖν καὶ ἀσπάζεσθαι. Ἀλλὰ καὶ γὰρ τοὺς ἱεροὺς προφήτας, καὶ πᾶσαν τὴν παλαιὰν Γραφὴν, καὶ τοὺς ἄλλους ἀποστρέφονται ἁγίους, λῃστὰς αὐτοὺς καὶ κλέπτας ἀποκαλοῦντες. Μάλιστα δὲ τῶν ἀποστόλων τὸν κορυφαῖον Πέτρον δυσφημοῦσιν, ὅτι γέγονεν ἔξαρνος τῆς εἰς τὸν διδάσκαλον καὶ Χριστὸν πίστεως, καίτοι γε τοῦ διδασκάλου αὐτῶν Μάνεντος διαπρυσίως αὐτοῖς ἐμβοῶντος, καὶ λέγοντος ὡς Οὐκ εἰμὶ ἐγὼ ἄσπλαγχνος, ὡς ὁ Χριστὸς, ὁ εἰπὼν, *Ὅστις με ἀρνήσηται ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγώ*. Ἀλλ' ἐγὼ λέγω, Τὸν ἀρνησά- C μενόν με μετὰ χαρᾶς προσδέχομαι, καὶ τὴν ἄρνησιν αὐτοῦ, καὶ τὸ ψεῦδος, ὡς φυλακὴν καὶ συντήρησιν τῆς ἐμῆς ὁμολογίας ἡγήσομαι. Ἀλλ' οὖν οὕτως ἔχοντες, καὶ μυριάκις τὴν ἑαυτῶν ἐξαρνούμενοι πίστιν αὐτοὶ τὸν πρὸς βραχύ τι τοσούτων φόβων περιεστηκότων ἀνθρώπινόν τι παθόντα Πέτρον, καὶ πρὸς ἄρνησιν ὑπολισθήσαντα ἀπόβλητον παντελῶς καὶ ἀποτρόπαιον τίθενται, οὐ δι' ὃ προφασίζονται, ἀλλ' ὃ σιγῶσι καὶ ἀποκρύπτονται· διότι περὶ τῆς ἀποστασίας αὐτῶν προανεκήρυξε λέγων· *Σπουδάσατε ἄσπιλοι καὶ ἀμώμοι αὐτῷ εὑρεθῆναι ἐν εἰρήνῃ, καὶ τὴν τοῦ Κυρίου ἡμῶν μακροθυμίαν σωτηρίαν ἡγεῖσθε, καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν Παῦλος κατὰ τὴν δοθεῖσαν αὐτῷ σοφίαν ἔγραψεν ὑμῖν,* D *καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς αὐτοῦ λαλῶν ἐν αὐταῖς περὶ τούτων, ἐν οἷς ἐστι δυσνόητά τινα, ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσιν, ὡς καὶ τὰς λοιπὰς Γραφὰς πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν.* Τὰ γὰρ τοῦ κορυφαίου ταῦτα λόγια ἄντικρυς τὴν αὐτῶν προανακηρύττει τόλμαν τε καὶ δυσσέβειαν, οἳ αὐτά τε τὰ Κυριακὰ λόγια, καὶ τὰ ἀποστολικὰ, καὶ τὰς ἄλλας Γραφὰς, φημὶ δὴ τάς τε Πράξεις τῶν ἀποστόλων, καὶ τὰς Καθολικὰς λεγομένας, πλὴν τῶν ἀναφερομένων εἰς τὸν κορυφαῖον, ἐκείνας γὰρ οὐδὲ τοῖς ῥήμασι παραδέχονται, στρεβλοῦσιν, ὡς εἴρηται, καὶ διαστρέφουσι πρὸς τὴν ἰδίαν ἀπώλειαν. Καὶ τὰς Πράξεις δὲ τῶν ἀποστόλων, καὶ τὰς

[1] Matth. x, 33. [2] II Petr. iii, 14-16. [3] Joan. iv, 10; vii, 38.

Καθολικάς οὐ πάντες αὐτῶν συναρμόζουσι τοῖς ἄλλοις, εἰσὶ δὲ οἳ καὶ συντάττουσιν. Ἀλλὰ περὶ μὲν τῶν προφητῶν, καὶ τῆς παλαιᾶς Διαθήκης, καὶ τῶν κατ' αὐτὴν λοιπῶν ἁγίων διαλαμψάντων, καὶ τοῦ κορυφαίου τῶν ἀποστόλων οὕτω μεμήνασι· καθολικὴν δὲ Ἐκκλησίαν τὰ ἑαυτῶν καλοῦσι συνέδρια, ἡνίκα μάλιστα πρὸς τοὺς εὐσεβεῖς λόγους καὶ συζητήσεις κινοῦσι. Καθ' ἑαυτοὺς γὰρ προσευχὰς καλοῦσιν αὐτῶν τὰ συνέδρια. Οὐ μὴν ἀλλὰ καὶ τὸ σωτήριον διαπτύοντες βάπτισμα, ὑποπλάττονται παραδέχεσθαι αὐτὸ, τὰ τοῦ Εὐαγγελίου ῥήματα βάπτισμα νοοῦντες. Καὶ γὰρ, φασὶν, ὁ Κύριος ἔφη· *Ἐγώ εἰμι τὸ ὕδωρ τὸ ζῶν*. Πλὴν ἐπειδὰν σφοδροτέρῳ τινὶ σωματικῷ νοσήματι περιπέσωσι, καὶ τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν τὸν ἐκ τοῦ ξύλου πεποιημένον ἑαυτοῖς ἐπιτιθέασιν. Ἔπειτα τυγχάνοντες τῆς ἰάσεως διαθλῶσι τοῦτον, ἢ συμπατοῦσι καὶ ἀποῤῥίπτουσιν. Ἀλλὰ καὶ τοὺς παῖδας αὐτῶν ὑπὸ τῶν τῆς ἐκκλησίας πρεσβυτέρων πολλάκις τῷ σωτηρίῳ ἀξιοῦσι φωτισθῆναι βαπτίσματι, λυσιτελεῖν τῷ σώματι τόν τε σταυρὸν καὶ τὸ βάπτισμα οἱ πάσης ὠφελείας λογοποιοῦντες ἀνάξιοι, μὴ μέντοι γε διαβαίνειν τὴν τούτων ἐνέργειαν εἰς ψυχῆς κάθαρσιν, ἢ τινα ἄλλην ταύτην ὠφέλειαν. Πολλοὶ δὲ αὐτῶν καὶ τῆς κοινωνίας τοῦ τιμίου σώματος καὶ αἵματος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν μεταλαμβάνουσι πρὸς ἐξαπάτην τῶν ἁπλουστέρων. Ἐπὶ δὲ τοῖς εἰρημένοις οὐδὲ τοὺς τῆς καθολικῆς Ἐκκλησίας πρεσβυτέρους, οὐδὲ τοὺς λοιποὺς ἱερεῖς ἀποδέχονται· διότι, φασὶ, τὸ κατὰ Χριστοῦ συνέδριον οἱ ἱερεῖς καὶ πρεσβύτεροι τοῦ λαοῦ συνεστήσαντο. Τοὺς μέντοι παρ' αὐτοῖς ἱερέων τάξιν ἐπέχοντας οὐχ ἱερεῖς, ἀλλὰ συνεκδήμους καὶ νοταρίους ἐπονομάζουσιν. Οὗτοι δὲ οὔτε σχήματι, οὔτε διαίτῃ, οὔτε τινὶ ἄλλῳ τρόπῳ βίον σεμνότερον χαρακτηρίζοντα τὸ διάφορον αὐτῶν πρὸς τὸ πλῆθος ἐπιδείκνυνται. Τὸ δὲ παρ' ἡμῖν Εὐαγγέλιον οὐκ ἐπιδιστάζουσι προσκυνεῖν, οὐ μὴν ἔνθα τοῦ τιμίου σταυροῦ ὁ τύπος ἐγκεχάρακται, ἀλλ' ἐν τῷ λοιπῷ τοῦ βιβλίου μέρει, ἐν ᾧ τὸ ἀπεικόνισμα τοῦ σταυροῦ μὴ διασημαίνεται. Φασὶ δὲ τὸ βιβλίον προσκυνεῖν, ὡς τοὺς δεσποτικοὺς περιέχον λόγους. Ἀλλ' ὅσα μὲν εἰς δογμάτων ἀνήκει λόγον, οὕτως εἰσὶ δυσσεβεῖς, καὶ πρὸς τὴν ἀλήθειαν, καὶ πρὸς ἑαυτοὺς παντελῶς ἀσύμφωνοι. Ἡ δὲ πολιτεία τούτων γέμει μὲν ἀκολασίας, γέμει δὲ μιασμῶν ἀῤῥήτων, καὶ ῥυπασμάτων ἀνεπινοήτων. Χρῶνται μὲν γὰρ μίξεσιν ἑκατέρας φύσεως πρὸς ἅπασαν ἀῤῥητουργίαν ἀνερυθριάστως ἔχοντες· πλὴν ἐνίους αὐτῶν φασι τὴν πρὸς τὰς γεννησαμένας ἀποκλίνειν συνάφειαν. Μέθῃ δὲ καὶ ἀσωτείᾳ τὸν βίον ὅλον ἔκδοτον ἔχουσι, καὶ πᾶσαν ἄλλην ἠθῶν διαφορὰν περιέπουσιν. Ὃ δὲ περὶ τοῦ ἀτυχοῦς τούτου Τυχικοῦ παρῆκεν ὁ λόγος, τοῦτο προσθήσω νῦν. Οὗτος γὰρ ἐκεῖνον ἑαυτὸν ἐτερατολόγει εἶναι τὸν ἐν ταῖς ἐπιστολαῖς τοῦ Ἀποστόλου φερόμενόν τε, καὶ πολλαχοῦ μνήμης ἐπαινουμένης ἀξιούμενον, κήρυκά τε παρὰ τοῦ Παύλου πρὸς αὐτοὺς ἀπεστάλθαι. Καὶ ἃ διαγγέλει, καὶ λέγει μὴ τῆς ἑαυτοῦ σοφίας εἶναι, τοῦ δὲ διδάξαντος καὶ ἀπεσταλκότος Παύλου παραγγέλματα, καίτοι πενταχοσίων ἐτῶν μεταγενέστερος Παύλου καὶ Τυχικοῦ γεγονώς. Χρὴ δὲ γινώσκειν, ὡς ὁ ἐπιλεξάμενος ἐγὼ τά τε ἤδη ῥηθέντα καὶ τὰ

convaluerint, eam perfringunt, aut conculcant et abjiciunt. Liberos etiam suos ab Ecclesiæ presbyteris salutari baptismo volunt aliquando lustrari: existimant enim crucem et baptismum corpori prodesse homines omni adjumento indigni. Horum tamen vim ad animæ purgationem pervenire non putant, nec ullam aliam afferre utilitatem. Nonnulli etiam ipsorum, quo simpliciores decipiant, pretiosi corporis et sanguinis Domini communionem suscipiunt. Ad hæc nec catholicæ Ecclesiæ presbyteros, nec reliquos sacerdotes recipiunt, quoniam Christi consessum sacerdotes et presbyteri populi constituunt. Eos autem qui apud ipsos sacerdotum ordinem obtinent, non sacerdotes, sed socios et notarios vocant. Atque hi nec habitu, nec victu, nec ulla alia ratione vivendi modum graviorem ostendunt, quo a populo distinguantur. Evangelium nostrum non dubitant adorare, ubi pretiosæ crucis figura non est impressa, non autem in ea parte libri, in qua crucis imago sit. Dicunt autem se librum adorare tanquam Domini sermones continentem. Atque ita quidem impii deprehenduntur in iis quæ ad dogmatum rationem pertinent, ut et a veritate et inter se omnino dissentiant. Vita autem ipsorum plena est intemperantiæ, plena flagitiorum et scelerum, quæ nec dici possunt, nec cogitari. Utriusque enim naturæ commistione sine ullo rubore ad nefariam omnem impuritatem abutuntur, adeo ut ipsorum quidam etiam cum matribus consuetudinem habere dicantur. Ebrietati et luxuriæ totam vitam habent obnoxiam, et aliam omnem morum corruptelam complectuntur. Quod autem de infelici illo Tychico vulgatum est, nunc commemorabo. Hic se Tychicum illum esse fingebat, qui in Apostoli Epistolis sæpe memoratur, et de quo multis in locis cum laude mentio fit. Sibique a Paulo nuntium fuisse missum simulabat, ut quæcunque diceret et denuntiaret, ea non sapientiæ suæ, sed docentis et mandantis Pauli præcepta esse viderentur, cum tamen quingentis annis post Paulum et Tychicum natus esset. Illud sciendum est, me, qui capita hæc quæ in hoc titulo continentur, collegi, partim integra posuisse, partim ut longitudinem evitarem, compendio comprehendisse, et ex patriarchæ, quem ante commemoravi, scriptis ea prætermisisse, quæ vel profundiora, vel imperfectiora paucis essent profutura, aut placitura. Sententias tamen easdem, licet aliis verbis, aliisque dicendi rationibus retinui. Argumenta vero tum ex Evangeliis, tum ex Pauli apostoli verbis deprompta sunt. Istius enim hæresis defensores hæc sola venerantur et probant. Verum duo non esse principia, licet in titulo contra Manichæos demonstratum sit, tamen in præsenti etiam demonstrabitur, sed primum de malo dicendum est, quod principium malum, et eorum omnium, quæ in mundo sunt, auctorem impia ista mali progenies confinxit.

ἐφεξῆς ὑποτεταγμένα τῷ παρόντι τίτλῳ κεφάλαια, τὰ μὲν καθ' ὁλόκληρον τέθεικα, τὰ δὲ κατ' ἐπιτομὴν, τὸ μῆκος ἐκκλίνας. Τινὰ δὲ τῶν ἐν τοῖς συγγράμμασι τοῦ δηλωθέντος πατριάρχου καὶ πάντη περιέδραμον, ὅσα διὰ βαθύτητα νοημάτων, ἢ καὶ διὰ τὸ λίαν ἐμπερίδολόν τε καὶ ἐγκατάσκευον ὀλίγοις μὲν ἦσαν προσιτὰ καὶ εὐάρεστα, τὰς αὐτὰς δὲ σχεδὸν παριστῶν ἐννοίας τοῖς ἐκλεγεῖσιν, εἰ καὶ δι' ἄλλων λέξεων καὶ ἑτεροτρόπων ἐπιχειρημάτων συνεπεραίνοντο. Πάντα δὲ τὰς ἀποδείξεις ἔχουσιν ἀπό τε τῶν Εὐαγγελίων καὶ τῶν τοῦ ἀποστόλου Παύλου ῥημάτων. Ταῦτα γὰρ μόνα καταδέχεται τιμᾷν, καὶ στέργειν τὸ τῆς ἀποστασίας τοῦτο συνέδριον. Ὅτι δὲ οὐ δύο ἀρχαὶ κατὰ τοὺς ἄφρονας, ἀγαθή τε καὶ πονηρὰ, δέδεικται μὲν ἐν τῷ τῶν Μανιχαίων τίτλῳ, δειχθήσεται δὲ κἀν τῷ παρόντι καθ' ἑτέρας ἐπιβολάς. Ῥητέον δὲ πρῶτον περὶ τοῦ πονηροῦ, ὃν πονηρὰν ἀρχὴν καὶ δημιουργὸν τῶν ἐγκοσμίων οὗτοι τὰ τοῦ πονηροῦ πλάσματα πάνυ δυσσεβῶς ἀνεπλάσαντο.

A Dicunt ex tenebris et igne malum istud natum esse principium. Quærendum ex ipsis est, cur tenebræ solæ ad ipsum generandum non fuerint satis, aut cur ignis solus non satis fuerit? Quis ea ad malum principium gignendum congregarit? Cur non ipsa sint potius principium. Cur ita factum sit, ut quod ex ipsis provenerit, sibi principium vindicarit?

Si ignis sub sensum cadit, cujus est opus? Si mali, quomodo ex ipso et ex tenebris malum esse profectum dicunt? Sin boni, quomodo negant sensibile quidquam a bono profectum esse? Neque enim dicere possunt ab intelligibili provenisse malum, cum intelligibilia cuncta bono attribuerint. Necessarium igitur est, ut dum cavent ne malo ignis ortum tribuant, ne deprehendantur, eumdem B modo effectorem, modo factum dicere, vel inviti fateantur ignem quoque a bono provenisse. Cum enim ignis sensibilis exsistat, quamvis in tenebris versentur, eum tamen nec principio carere, nec æternum esse dicent.

Duo non esse principia, sed unum esse cœli, et terræ, et eorum quæ in medio sunt, effectorem.

Quidam ipsorum Deum bonum cœli tantum auctorem esse concedunt, terræ autem et eorum quæ in medio sunt, effectorem alium afferunt. Alii (nam multiplex est istorum error) et cœlum ipsum, et quæ in medio sunt omnia, inimici affirmant esse opere. Quod si, ut ipsi homines stupidi ac dementes affirmant cœlum etiam est opus mali, quomodo C bonus Deus in cœlis conquiescit, qui a malo confecti sunt? Quomodo Servator noster, cum precandi rationem doceret, et admirabilem ac venerandam illam precationem traderet, dixit: *Pater noster, qui es in cœlis*[1]. Et: *Fiat voluntas tua sicut in cœlo et in terra*[2]. Et rursum: *Si dimiseritis hominibus peccata eorum, dimittet vobis et Pater vester cœlestis*[3]. Et alibi, *Quicunque fecerit voluntatem Patris mei, qui in cœlis est, ipse meus frater, et soror, et mater est*[4]. Sed ea longum esset enumerare, in quibus cœlestem, et qui est in cœlis, Servator Patrem appellat. Miror tamen cur adversariorum impudentia non obruatur, Servatore clarius dicente: *Confiteor tibi, Pater, Domine cœli et terræ*[5]. D Non solum enim cœli Dominum, sed etiam terræ perspicue dicit. Quid hoc testimonio clarius? quid

Λέγουσιν ἐκ τοῦ σκότους καὶ τοῦ πυρὸς γεγονέναι τὸν πονηρόν. Ἐρωτητέον οὖν αὐτοὺς, πῶς οὐκ ἤρκεσε τὸ σκότος μόνον εἰς γένεσιν αὐτοῦ; πῶς δὲ οὐ μόνον τὸ πῦρ; τίς ὁ συναγαγὼν ταῦτα πρὸς γένεσιν ἀρχῆς πονηρᾶς; Πῶς οὐκ ἀρχὴ ταῦτα μᾶλλον, καὶ τί γέγονε, τί δὲ ποιεῖ τοῦ ἐξ αὐτῶν προεληλυθότος ἁρπάσαντος τὴν ἀρχήν;

Εἴπερ αἰσθητὸν τὸ πῦρ, τίνος ἐστὶν ἔργον; Εἰ μὲν τοῦ πονηροῦ, πῶς ἐξ αὐτοῦ τε καὶ τοῦ σκότους λέγουσι προελθεῖν τὸν πονηρόν; εἰ δὲ τοῦ ἀγαθοῦ, πῶς φασι μηδὲν αἰσθητὸν δημιουργῆσαι τὸν ἀγαθόν; Νοητὸν γὰρ οὐκ ἂν δυνηθεῖεν εἰπεῖν τὸ προαγαγὸν τὸν πονηρόν. Τὰ νοητὰ γὰρ πάντα τῷ ἀγαθῷ διδόασιν. Ἀνάγκη οὖν φεύγοντας αὐτοὺς τὸ δοῦναι τῷ πονηρῷ τὴν γένεσιν τοῦ πυρὸς, ἵνα μὴ νῦν μὲν πλάστην, νῦν δὲ πλάσμα τὸ αὐτὸ διελέγχοιντο ληροῦντες, καὶ ἄκοντας ὁμολογῆσαι τοῦ ἀγαθοῦ εἶναι καὶ τὸ πῦρ δημιούργημα. Πάντως γὰρ τὸ αἰσθητὸν πῦρ, ὅσον ἂν ἐσκοτίσθησαν, οὔτε ἄναρχον οὔτε ἀΐδιον ἐροῦσιν.

Ὅτι οὐ δύο ἀρχαὶ, ἀλλ' εἷς δημιουργὸς οὐρανοῦ καὶ γῆς, καὶ τῶν ἐν μέσῳ.

Τινὲς μὲν αὐτῶν φασι τὸν ἀγαθὸν Θεὸν δημιουργὸν εἶναι τοῦ οὐρανοῦ μόνον, τῆς δὲ γῆς καὶ τῶν ἐν μέσῳ ποιητὴν ἕτερον ἐπεισάγουσι· τινὲς δὲ τούτων (πολυσχεδὴς γὰρ ἡ πλάνη) καὶ τὸν οὐρανὸν αὐτὸν καὶ τὰ ἐν μέσῳ πάντα τετολμήκασι λέγειν ποίηματι τοῦ ἐχθροῦ. Ἀλλ' εἴπερ ἐστὶν ὁ οὐρανὸς κατὰ τὴν ἐκείνων ἐμβροντησίαν ἔργον τοῦ πονηροῦ, πῶς ὁ ἀγαθὸς Θεὸς ἐν τοῖς ἐπουρανίοις ἀναπαύεται τοῖς δημιουργηθεῖσι παρὰ τοῦ πονηροῦ; Πῶς δὲ ὁ Σωτὴρ ἡμῶν εὔχεσθαι τὴν θαυμασίαν ἐκείνην καὶ φρικτὴν εὐχὴν ἐκδιδάσκων, καὶ παραδιδούς φησι· *Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς*, καὶ, *Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς*, καὶ αὖθις, *Ὅστις ἂν ποιήσῃ τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς, αὐτός μου ἀδελφὸς, καὶ ἀδελφὴ, καὶ μήτηρ ἐστί*; Καὶ τί ἄν τις ἀναλέγοιτο δι' ὧν οὐράνιον καὶ ἐν οὐρανοῖς ὁ Σωτὴρ τὸν Πατέρα διακηρύττει; Ἀλλὰ πῶς τῶν παλαμναίων οὐ καταδύεται τὸ ἀναίσχυντον, φανερώτερον τοῦ Σωτῆρος λέγοντος, *Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς*; Οὐ μόνον γὰρ ἐνταῦθα τοῦ οὐρανοῦ Κύριον, ἀλλὰ καὶ τῆς γῆς τρανολογεῖ. Τί οὖν ταύτης τῆς μαρτυρίας σαφέστερον; Τί δὲ δυνατώτε-

[1] Matth. vi, 9. [2] ibid. 10. [3] ibid. 14. [4] Matth. xi, 50. [5] ibid. 25.

ρον καὶ τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δημιουργὸν καὶ Κύριον παραστῆσαι τοῦ παντὸς, καὶ τὸ θεομάχον τῆς ἀποστασίας ἐμφράξαι στόμα; Καὶ τῷ Πέτρῳ δέ φησιν ὁ Σωτήρ· *Δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν*, καὶ τὰ ἑξῆς. Ὅρα δὲ καὶ τοῦτο· *Βαπτισθεὶς ὁ Ἰησοῦς ἄνεισιν εὐθὺς ἀπὸ τοῦ ὕδατος*· πῶς ἐν τῷ πλάσματι τοῦ πονηροῦ, καὶ τοῦ ἀγαθοῦ Πατρὸς ἀγαθὸς Υἱὸς βαπτισθεὶς ἐκεῖθεν ἄνεισι; καὶ, *Ἰδοὺ ἀνεῴχθησαν οἱ οὐρανοί*. Ἄλλο πάλιν πλάσμα πονηρᾶς χειρὸς κατ' αὐτούς· διατί δὲ ἀνεῴχθησαν, καὶ τίνος χάριν; *Εἶδε τὸ Πνεῦμα τοῦ Θεοῦ*, φησὶ, *καταβαῖνον ὡσεὶ περιστεράν*· τρίτος οὗτος τῆς ἀσεβείας ἐν ὀλίγοις ῥήμασι θρίαμβος. Πῶς γὰρ ἐν τῷ πλάσματι τοῦ πονηροῦ τὸ τοῦ Θεοῦ Πνεῦμα τυποῦται, καὶ κάτεισιν ἐκ τῶν ἔργων τοῦ ἐχθροῦ, κἀκεῖθεν κατιὸν ἔρχεται ἐπὶ τὸν Ἰησοῦν; καὶ τετάρτη στήλη τῆς ἀσεβείας, φωνὴ δίδοται ἐκ τῶν οὐρανῶν· *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα*. Ἐπισκόπει μοι, ἀγαπητὲ, καθ' ἑκάστην λέξιν ὅπως αὐταῖς συμπρόεισιν ὁ κατὰ τῆς ἀσεβείας ἄφυκτος ἔλεγχος. *Οὗτός ἐστι*, φησὶν, *ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα*. Τίς; Οὗτος ὁ ἐν ὕδατι βαπτιζόμενος, ᾧ ἠνεῴχθησαν οἱ οὐρανοὶ, ἐφ' ὃν τὸ Πνεῦμα τὸ ἐμὸν ἐν μορφῇ περιστερᾶς καταβαῖνον ἐκ τῶν οὐρανῶν συνεπιμαρτύρεται τοῦ βαπτιζομένου τὴν υἱότητα. Πάντα ἐμὰ διὰ τῶν ἐμῶν κτισμάτων. Ὁ ἐμὸς Υἱὸς, τὸ θέλημα πληρῶν τὸ ἐμὸν τὴν σωτηρίαν καταπράττεται τοῦ κόσμου, μόνης τῆς τοῦ Πνεύματος ἐξουσίας τῷ ὁμοφυεῖ συμπαρούσης, καὶ ἀνακηρυττούσης τῷ πράγματι τὸ γνήσιον τῆς υἱότητος.

Εἰ θρόνον τοῦ Θεοῦ τὸν οὐρανὸν καλεῖ ὁ μᾶλλον τῶν ἄλλων τὸν Πατέρα καὶ τὰ τοῦ Πατρὸς εἰδὼς, ὑποπόδιον δὲ τὴν γῆν, καὶ πόλιν αὐτοῦ τὰ Ἱεροσόλυμα· πῶς οὐκ ἐσχάτης ἀσεβείας, ὧν μάρτυς ὁ Υἱὸς, ταῦτά τινας περικόπτειν αὐτοῦ, καὶ ἕτερον τῶν περικοπέντων ποιεῖν ποιητήν; Ὁ γὰρ πάντα πρὸς σωτηρίαν ἡμῶν καὶ πράττων, καὶ ποιῶν, καὶ παραινῶν Χριστὸς ὁ Θεὸς τὸν ὅρκον ὡς ὄντα τῆς ἐπιορκίας πύλην τῆς ἀνθρωπίνης ἀποκλείων πολιτείας φησίν· *Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶ τοῦ Θεοῦ, μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιον τῶν ποδῶν αὐτοῦ ἐστι, μήτε εἰς Ἱεροσόλυμα, ὅτι πόλις ἐστὶ τοῦ Βασιλέως τοῦ μεγάλου· ἀλλὰ μηδὲ ἐν τῇ κεφαλῇ σου*, φησὶν, *ὅτι οὐ δύνασαι μίαν τρίχα λευκὴν, ἢ μέλαιναν ποιῆσαι*, κεφαλὴν, καὶ Ἱεροσόλυμα, καὶ γῆν, καὶ οὐρανὸν τὰ αἰσθητὰ τὰ ὄψει κρινόμενα λέγων, ἃ τοῖς Ἰουδαίοις ἦν ἔθος ὅρκον ποιῆσαι. Μὴ δὴ πάλιν εἰς μύθους, καὶ λήρους τὴν κεφαλὴν, καὶ τὰ Ἱεροσόλυμα, καὶ τὴν γῆν, καὶ τὸν οὐρανὸν ἡ μανία παρατρεπέτω, ὡς ἐν πολλοῖς εἴωθεν ἐξ ἀπορίας ποιεῖν. Τὸν γὰρ ὁρώμενον οὐρανὸν, καὶ τὴν αἰσθητὴν γῆν καὶ τὰ Ἱεροσόλυμα, ἃ πάλαι μὲν ᾠκοδόμητο, γενεαῖς δὲ ὕστερον ὁ Δαβὶδ ἀνοικοδομεῖ, καὶ πολίζει ταῦτα, τὸν μὲν θρόνον καλεῖ, τὴν δὲ ὑποπόδιον, τὰ δὲ πόλιν τοῦ μεγάλου βασιλέως, ποίου δὲ βασιλέως, αὐτὸς ἑτέρωθι σαφέστερον

A ad obstruenda impiorum istorum ora qui a veritate defecerunt, validius quam locus hic, quo Pater Domini nostri Jesu Christi opifex et Dominus rerum omnium declaratur? Petro Dominus ait: *Dabo tibi claves regni cœlorum* [1], et quæ sequuntur. Adde et illud: *Baptizatus Jesus confestim ascendit de aqua* [2]. Quomodo in re a malo confecta boni ille Patris Filius bonus baptizatus inde ascendit? Et: *Ecce aperti sunt cœli* [3], res item a mala perfecta manu, ut isti volunt. Propter quid autem, et cujus rei gratia aperti sunt cœli? Audi: *Vidit Spiritum Dei*, inquit, *descendentem tanquam columbam* [4]. Tertius est hic paucis verbis conclusus adversus impietatem triumphus. Quomodo enim in figura rei a malo confectæ Spiritus Dei declaratur, et descendit ex B operibus inimici, et venit super Jesum? Quartus adversus impietatem triumphus, vox e cœlo editur: *Hic est Filius meus dilectus, in quo mihi bene complacui* [5]. Considera, quæso, amice, quomodo singula argumenta coarguunt impietatem atque convincunt: *Hic est*, inquit, *Filius meus dilectus, in quo mihi bene complacui* [5]. Quis? Hic qui in aquis baptizatus est, cui aperti sunt cœli, super quem Spiritus meus in columbæ forma descendit e cœlis, testaturque illum esse verum Filium suum. Omnia mea per res a me procreatas. Filius meus voluntatem meam exsequens mundi salutem peragit, sola Spiritus potestate simul cum illo, qui est ejusdem naturæ, exsistente, et reipsa germanum ipsum esse C Filium declarante.

Si is qui maxime omnium Patrem, et quæ Patris sunt, novit, Dei thronum cœlum appellat, terram autem scabellum, et civitatem ipsius Hierosolyma, nonne summæ dementiæ est, quorum testis est Filius, ea quosdam illi adimere, et eorum auctorem alium constituere? Christus enim Deus, cujus omnia facta dictaque pertinent ad salutem nostram, cum ab humana vita jusjurandum, tanquam aditum ad perjurium, removeret: *Ego autem*, inquit, *dico vobis, ne juretis omnino, neque per cœlum qui thronus est Dei, neque per terram, quia scabellum est pedum ejus, neque per Hierosolyma, quia civitas est regis magni; neque per caput tuum, quia non potes* D *unum capillum album facere aut nigrum. Caput*, et *Hierosolyma*, et *terram*, et *cœlum* sensibus esse obnoxia reipsa cernimus, quæ Judæi jurantes solebant nominare. Ac ne rursum ad fabulas et nugas *caput et Hierosolyma, et terram et cœlum* insania referat, ut sæpe in rebus dubiis facere consuevit, cœlum hoc, quod oculis cernimus, et terram hanc, quam calcamus, et Hierosolyma, quæ quidem urbs cum olim esset ædificata, multis postea sæculis a Davide instaurata est et habitata, hæc thronum, et scabellum, et civitatem magni regis appellat; cujus autem regis, ipse clarius alibi demonstrat: *Nolite*, inquiens, *facere domum Patris mei domum negotia-*

[1] Matth. XVI, 19. [2] Matth. III, 16. [3] ibid. 17. [4] Joan. I, 32. [5] Matth. III, 17.

tionis [1], ubi templum Hierosolymorum domum Dei vocat, propter quod et Hierosolyma regis civitatem dicit. Quem enim dum vetaret jurare, magnum appellavit regem, hic Patrem proprium nominat. Quamobrem et eos, qui boves et oves, et columbas vendebant, ejecit, ut ab ea mercaturæ colluvione domum paternam expiaret, eisque justam indignationem comminatus est, ut qui paternam domum et mandatum paternum despicerent.

Diligite, inquit Servator, *inimicos vestros, benefacite iis qui oderunt vos, ut sitis filii Patris vestri, qui est in cœlis, qui facit oriri solem suum super bonos et malos, et pluit super justos et injustos. Estote igitur perfecti, sicut et Pater vester cœlestis perfectus est* [2]. Pater ergo perfectus, quem naturalis ipse Filius ut imitemur nos cohortatur, ille est, et non alius, qui solem hunc, quem cernimus, oriri facit, et lucem sensibilem nobis sensu præditis subministrat, et pluit super justos et injustos, ut terræ fructus percipi queant, et si quo modo aer quo respirantes utimur, propter siccitatem gravior fiat, ex pluviæ humiditate ad temperamentum redigatur. Ubi sunt igitur impii isti, regni Dei, quod dividi non potest, divisores, qui terræ, et aeris, et imbrium, et solis et aliarum rerum ejusdem generis effectorem unum, rerum autem intelligibilium alium constituunt?

Si David primum, sancti Spiritus numine afflatus, et divus Paulus deinde clara voce dicit Deum illum a Mose prædicatum sic alloqui Dominum nostrum Jesum Christum: *Filius meus es tu, ego hodie genui te* [3], Paulus enim ad Hebræos scribens Servatori nostro paternum hoc tribuit testimonium, quod a Davide, ut diximus, ante fuit pronuntiatum, et rursum: *Et adorent eum omnes angeli Dei*, itemque: *Et ab initio, Domine, terram fundasti, et opera manuum tuarum sunt cœli* [4], et cætera; si hæc in Spiritu divinus Pater David pronuntiavit, eaque arcanorum mysteriorum conscius doctorque comprobavit, affirmans Veteris Testamenti Deum eumdem esse, qui et angelorum omnium ordines Filii adoratores servosque constituit, eumdemque et non alium, qui terram fundavit, et cujus opera manuum sunt cœli, nonne omni sese obstringunt impietate, qui alium esse dicunt Patrem Domini nostri Jesu Christi, et alium illum, qui cœlum et terram condiderit?

Explicans Servator parabolam seminantis bonum semen in agro suo: *Qui seminat*, inquit, *bonum semen, est Filius hominis, ager autem est mundus; semen autem bonum hi sunt filii regni; zizania autem sunt filii mali. Inimicus vero, qui illa seminat,*

A ἐκδιδάσκει, *Μὴ ποιῆτε*, λέγων, *τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου*, τὸν ἐν Ἱεροσολύμοις ναὸν τοῦ Πατρὸς οἶκον ὀνομάζων, δι' ὃν καὶ τὰ Ἱεροσόλυμα τοῦ βασιλέως πόλιν καλεῖ. Ὃν γὰρ ἐν τῇ τῶν ὅρκων ἀπαγορεύσει μέγαν ἀνεῖπε βασιλέα, ἐνταῦθα Πατέρα ἴδιον ἐθεολόγει. Διὸ καὶ τοὺς πωλοῦντας τοὺς βόας, καὶ τὰ πρόβατα, καὶ τὰς περιστερὰς τὴν πατρικὴν οἰκίαν τῆς ἐμπορικῆς καθαίρων παροινίας ἀπελαύνει, καὶ τὴν δικαίαν αὐτοῖς ὀργὴν ἀπειλεῖ, οἷα δὴ καταφρονητὰς εὑρὼν καὶ τοῦ πατρικοῦ οἴκου καὶ τῆς πατρικῆς ἐντολῆς.

Φησὶν ὁ Σωτήρ· *Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, ὅπως γένησθε υἱοὶ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ὃς ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγα-* B *θούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. Ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ ὁ Πατὴρ ὑμῶν ὁ ἐν οὐρανοῖς τέλειός ἐστιν.* Ὁ γοῦν τέλειος Πατὴρ, ὃν ἡμᾶς μιμεῖσθαι ὁ φύσει παραινεῖ Υἱὸς, αὐτὸς οὗτός ἐστι, καὶ οὐκ ἄλλος, ὁ τὸν ὁρώμενον ἀνατέλλων ἥλιον, καὶ τὸ φῶς ἡμῖν τοῖς αἰσθητοῖς τὸ αἰσθητὸν χορηγῶν, καὶ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους ἐπὶ καρποφορίᾳ τῆς γῆς, καὶ ὡς ἂν ἔτι πρὸς ἀκρασίαν ὁ ἀὴρ, ᾧ χρώμεθα πρὸς ἀναπνοὴν, ἀπέκλινε διὰ ξηρότητα, διὰ τῆς ἀπὸ τῶν ὑετῶν νοτίδος πρὸς εὐκρασίαν ἐπαναχθῇ. Ποῦ τοίνυν εἰσὶν οἱ τῆς ἀμερίστου τοῦ Θεοῦ βασιλείας ἔκθεσμοι μερισταὶ, οἱ τῆς γῆς μὲν, καὶ τοῦ ἀέρος, καὶ τῶν ὑετῶν, καὶ τοῦ ἡλίου, καὶ τῶν ὁμοστοίχων ἕτερον ἀναπλάττοντες δημιουργὸν, ἄλλον δὲ τῶν νοητῶν;

C Εἰ πρότερον μὲν ὑπὸ τοῦ παναγίου Πνεύματος ἐμπνεόμενος ὁ Δαβὶδ, ὕστερον δὲ καὶ ὁ θεῖος Παῦλος λαμπρᾷ διακέκραγε τῇ φωνῇ, ὡς ὁ κηρυττόμενος ὑπὸ Μωσέως Θεὸς πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν λέγει, *Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε*· τῷ Σωτῆρι γὰρ ἡμῶν ὁ Παῦλος πρὸς Ἑβραίους γράφων, τὴν πατρικὴν ταύτην ἁρμόζει φωνὴν, τὴν διὰ τοῦ Δαβὶδ προφητευθεῖσαν, ὡς εἴρηται· καὶ πάλιν, *Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ*, καὶ αὖθις, *Καὶ σὺ κατ' ἀρχὰς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί*, καὶ τὰ ἑξῆς· εἰ ταῦτα μὲν προεῖπεν ἐν Πνεύματι ὁ θεοπάτωρ Δαβὶδ, ἐπεσφράγισε δὲ ὁ τῶν ἀῤῥήτων μύστης καὶ μυσταγωγὸς βεβαιῶν, ὡς D ὁ τῆς παλαιᾶς νομοθεσίας Θεὸς αὐτός ἐστιν, ὁ καὶ τὰ τῶν ἀγγέλων πάντων προσκυνητὰ καὶ δοῦλα πεποιηκὼς τάγματα τοῦ γεννήματος, ὁ αὐτὸς δὲ, καὶ οὐκ ἄλλος ὁ τήν τε γῆν θεμελιώσας, καὶ οὗ ἔργα χειρῶν εἰσιν οἱ οὐρανοί· πῶς οὐ πᾶσαν ἀσέβειαν ἀποκύπτουσιν οἱ ἄλλον μὲν τὸν Πατέρα λέγοντες τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἄλλον δὲ τὸν δημιουργήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν;

Ἀναπτύσσων ὁ Σωτὴρ τοῦ σπείροντος τὸ καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ φησιν· *Ὁ σπείρων τὸ καλὸν σπέρμα ἐστὶν ὁ Υἱὸς τοῦ ἀνθρώπου. Ὁ δὲ ἀγρός ἐστιν ὁ κόσμος, τὸ δὲ καλὸν σπέρμα οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασιλείας. Τὰ δὲ ζιζάνια*

[1] Joan. II, 16. [2] Matth. V, 44, 45. [3] Psal. II, 7; Hebr. I, 5. [4] Psal. XCVI, 8; Hebr. I, 6.

εἰσιν οἱ υἱοὶ τοῦ πονηροῦ. Ὁ δὲ ἐχθρὸς ὁ σπείρας A *αὐτά ἐστιν ὁ διάβολος.* Ἀκούεις πῶς τὸν κόσμον μὲν ἑαυτοῦ λέγει, καὶ σπέρμα πάλιν ἑαυτοῦ τοὺς ἐν αὐτῷ, οὓς καὶ υἱοὺς τῆς βασιλείας λέγει, μόνον δὲ τὴν τῶν ζιζανίων ἐπισπορὰν εἰς τὸν ἐχθρὸν ἀποπέμπει. Ἐν δὲ τοῖς ἑφεξῆς περιφανῶς ἑαυτοῦ βασιλείαν ἀνακηρύττει τὸν κόσμον. Πῶς; *Ἐν τῇ συντελείᾳ*, φησὶ, *τοῦ αἰῶνος τούτου*, ἀλλ' οὐχὶ τοῦ μέλλοντος, *ἀποστελεῖ ὁ Υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ*, δηλονότι τοῦ παρόντος κόσμου, *τὰ σκάνδαλα.* Οὐ γὰρ ἐν τῇ μελλούσῃ, καὶ ἀτελευτήτῳ, οὔμενον, οὔτε ζιζάνια σπείρεται, καὶ φύεται, οὔτε συνίσταται σκάνδαλα, ἵνα ἐκ ταύτης οἱ ἄγγελοι τοῦ Υἱοῦ τοῦ ἀνθρώπου συλλέξωσιν αὐτά. Ἐπεὶ καὶ μετὰ τὴν ἐκ τοῦ κόσμου συλλογὴν B αὐτῶν ταῦτα μὲν εἰς τὴν κάμινον τοῦ πυρὸς βάλλονται, τότε δὲ καὶ οἱ δίκαιοι ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν ἐκλάμψουσιν ὡς ὁ ἥλιος. Τί τούτων τῶν Κυριακῶν φωνῶν λαμπρότερον ἢ δυνατώτερον, δι' ὧν ὁ κόσμος τε καὶ τὰ ἐν αὐτῷ τοῦ Χριστοῦ καὶ Σωτῆρος ἡμῶν ἀνακηρύττεται; Δεσπότης δὲ καὶ βασιλεὺς ὥσπερ τῆς μελλούσης, οὕτω καὶ τῆς παρούσης ἀναγορεύεται βασιλείας.

est diabolus [1]. Audis quomodo mundum appellet suum, et semen item suum, eos qui in illo sunt, quos et regni filios vocat, et solam inimico zizaniorum sationem tribuat? Porro in iis quæ sequuntur, regnum suum aperte mundum esse declarat. Quomodo? *In consummatione*, inquit, *sæculi hujus*, non autem futuri, *mittet Filius hominis angelos suos, et colligent e regno suo*, nempe ex hoc mundo, *scandala* [2], neque enim in futuro seruntur nascunturve zizania, neque consistunt scandala, ut angeli Filii hominis ea collecturi sint; sed posteaquam collecta fuerint, conjicient illa in caminum ignis, et tunc justi in regno Patris sui fulgebunt, ut sol. Quid his Domini verbis clarius, aut gravius, quibus et mundus, et quæ in mundo sunt omnia, Christi et Servatoris nostri esse declarantur, et ipse Dominus et rex tam futuri quam præsentis regni prædicatur?

Ἐδόθη μοι, φησὶ, *πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.* Πῶς οὖν παρὰ τοῦ Πατρὸς ἔλαβεν ἐξουσίαν τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὧν οὐκ ἦν κύριος ὁ διδοὺς, ὡς αὐτοὶ ληροῦσι; Καὶ εἰ οἱ ἀγροὶ, καὶ αἱ οἰκίαι τῆς χειρός εἰσι τοῦ πονηροῦ, πῶς ὁ ἀγαθὸς Θεὸς τοῖς προθύμως ἠκολουθηκόσιν αὐτῷ μετὰ τῶν αἰωνίων ἀγαθῶν καὶ ἀγροὺς καὶ οἰκίας ἐπηγγείλατο παρασχεῖν, ἃ φαῦλά τέ ἐστι, καὶ φαύλου ποιητοῦ, καὶ C ὧν οὔτε κύριος αὐτὸς ἔχειν, οὔτε ἄλλοις παρασχεῖν;

Data est mihi, inquit, *omnis potestas in cœlo et in terra* [3]. Quomodo accepit a Patre potestatem cœli et terræ, quorum ipse, qui dedit, non erat Dominus, ut isti nugantur? Et si agri et domus sunt e manu mali, quomodo bonus Deus iis qui alacri animo ipsum secuti fuerint, præter æterna bona, et agros et domos se tributurum promisit, si mala sunt, et opificis mali, et quorum nec ipse potest esse dominus, nec alios constituere?

Ὁ αὐτὸς Ἀπόστολος, κηρύσσων κτίστην πάντων τόν τε Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ αὐτὸν τὸν ἀληθινὸν Υἱὸν, οὐδὲν ἧττον καταγγέλλει τοῦτο καὶ ἐν οἷς ὑμνεῖ τὴν χάριν τὴν δοθεῖσαν αὐτῷ, καὶ τοῦ καταπιστευθέντος μυστηρίου τὴν δύναμιν. Εἰπὼν γὰρ ὡς, *Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἐδόθη ἡ χάρις αὕτη ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ, καὶ φωτίσαι πάντας, τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ*, αὐτίκα συνάπτει, *τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ.* Ὥστε πάντων μὲν κτίστης ὁ Πατὴρ, πάντων D δὲ κτίστης ὁ Υἱός. Κοινὸν γὰρ καὶ ἀδιάφορον ὥσπερ ἡ φύσις, καὶ ἡ ἐξουσία, καὶ ἡ βασιλεία, καὶ ἡ δύναμις, οὕτω καὶ ἡ δημιουργία τῶν ὁρατῶν τε καὶ ἀοράτων πάντων, καὶ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι προαγωγὴ καὶ οὐσίωσις.

Idem Apostolus, cum rerum omnium procreatorem prædicaret Patrem Domini nostri Jesu Christi, et ipsum verum Filium, tamen hoc etiam ostendit in iis in quibus gratiam celebrat, sibi datam et creditam mysterii potestatem. Cum enim dixisset : *Mihi autem omnium minimo data est gratia hæc, in gentibus evangelizare impervestigabiles divitias Christi, et illuminare omnes, quæ sit dispensatio sacramenti absconditi a sæculis in Deo*, statim subjicit : *qui omnia creavit per Jesum Christum* [4]. Itaque rerum omnium procreator est Pater, et rerum item omnium procreator est Filius. Communes enim et indifferentes tum natura, et potestas, et regnum, et virtus, tum etiam rerum omnium, quæ videntur, et quæ non videntur, procreatio, et earum ex nihilo deductio et conformatio.

Ἐν ἄλλοις θεολογῶν ὁ Παῦλός φησιν· *Εἷς Θεὸς καὶ Πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν ἡμῖν.* Ἀδιάστατον δὲ καὶ ἀμέριστον ὥσπερ τὴν φύσιν καὶ τὸ θέλημα, οὕτω καὶ τὴν δημιουργίαν καὶ τὸ κράτος εἰδὼς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, τὰ αὐτὰ καὶ περὶ τοῦ Σωτῆρος πεπαῤῥησιασμένῃ κράζει φωνῇ· *Ἐν αὐτῷ γὰρ*, φησὶν, *ἐκτίσθη τὰ πάντα*, τὰ ἐν τοῖς οὐρανοῖς δηλονότι, καὶ τὰ ἐπὶ τῆς γῆς. Ἵνα μὴ ἡ μανία λήρου; ἄλλους

Alibi Paulus de rebus divinis verba faciens, *Unus*, inquit, *Deus et Pater omnium, qui super omnia, et per omnia, et in omnibus nobis* [5]. Verum cum sciret, ut naturam et voluntatem, sic etiam procreationem et imperium Patris et Filii non esse sejuncta aut separata, idem etiam de Servatore audacter pronuntiat : *In ipso enim*, inquit, *creata sunt omnia* [6], nempe quæ in cœlis, et quæ in terra sunt. Ac ne istorum insania his verbis alias nugas

[1] Matth. XIII, 37, 39. [2] Ibid. 40, 41. [3] Matth. XXVIII, 18. [4] Ephes. III, 8, 9. [5] Ephes. IV, 6. [6] Coloss. I, 16.

affingat, sequitur explicans illa quæ in cœlis terraque sunt: *Et hæc*, inquit, *omnia in ipso creata sunt, et per ipsum, et in ipsum* [1]. Quomodo igitur defectorum istorum rabies alium rerum visibilium, alium invisibilium auctorem comminiscitur?

Invisibilia Dei, inquit divus Paulus, *a creatura mundi per ea quæ facta sunt, intellecta conspiciuntur* [2]; ea quæ facta sunt, orbem significaut universum, et quæcunque sub sensum cadunt. Hæc enim nisi essent boni, sed mali, quomodo fieri posset, ut per illa cernerentur invisibilia Dei, et sempiterna ejus virtus ac divinitas?

Si res terrenæ, ut maledica atque impia lingua audet dicere, sunt mali, quomodo dicuntur esse communis Domini ac Servatoris nostri? *In propria enim*, inquit, *venit, et sui eum non receperunt* [3]. Quod si desertores dixerint, per *propria* sermones propheticos intelligi, ad eosque Christum venire, et ab illis non recipi, animadvertite singularem ipsorum stultitiam et impudentiam. Primum quomodo sermones propheticos dicunt esse Christi proprios, cum prophetas ipsos dicant esse mali figmenta, et ab ipso inspirationem accepisse? Deinde quomodo in sermones propheticos venit Christus? Ad alienos enim, ut ipsi sentiunt, venisset, cum alienos esse dicant sermones propheticos, et ab alieno inspiratos, non autem a bono Deo. Præterea quibus potestatem dedit Deus, ut filii Dei fierint? Propheticisne sermonibus? Quæ nugæ sunt istæ? Sermones enim si ex Deo sunt, ab illo habent, ut sint ipsius proprii; sin ex malo, quomodo fieri possunt filii Dei? Præterea quis sermo propheticus ex sanguinibus, et ex voluntate viri, et ex voluntate carnis natus est? Subjicit enim: *Qui non ex sanguinibus, nec ex voluntate viri, nec ex voluntate carnis, sed ex Deo nati sunt* [4]. Quinam igitur ex sanguinibus nati sermones, et qui non? Restat ergo, ut per *propria* mundus intelligatur; quemadmodum et alibi discipulos alloquitur: *Ecce*, inquit, *venit hora, ut dispergamini, unusquisque ad propria* [5]. Quænam hic appellat propria? Propheticosne sermones? an possessiones et domos singulorum? Quemadmodum igitur hic non, ut dementes isti nugantur, sermones propheticos appellat, sed propriam cujusque possessionem et domum, sic etiam quando dixit: *In propria venit, et sui eum non receperunt*, per *propria* mundum sensibilem intellexit, qui propria est ipsius possessio atque opus. Similiter et qui in ipso sunt, quorum alii quidem doctrinam ejus susceperunt, alii non. Et alibi: *Non habet*, inquit, *honorem propheta in propria patria* [6]. Quod autem per *propria* mundum significet, ex his verbis plane licet intelligere. *Erat enim*, inquit, *lux vera, quæ illuminat omnem hominem venientem in hunc mundum* [7], hunc, inquam, sensibus expositum. Quando autem

A ταῖς ἱεραῖς φωναῖς ὑποβάλλῃ, ἔτι κατὰ συνέχειαν ἐπεξηγεῖται τίνα εἰσὶ τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, ὅτι τὰ ὁρατὰ καὶ τὰ ἀόρατα. Καὶ ταῦτα πάντα ἐν αὐτῷ φησιν ἐκτίσθαι, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτόν. Πῶς οὖν ἡ ἀποστατικὴ λύσσα τῶν μὲν ὁρατῶν ἄλλον πλάττει ποιητὴν, ἄλλον δὲ τῶν ἀοράτων;

Φησὶν ὁ θεῖος Παῦλος, ὅτι *Τὰ ἀόρατα αὐτοῦ*, τουτέστι τοῦ ἀγαθοῦ Θεοῦ, *ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται*, ποιήματα λέγων τὸν παρόντα κόσμον, καὶ ὅσα ὑπὸ τὴν αἴσθησιν. Ταῦτα γὰρ εἰ μὴ τοῦ ἀγαθοῦ ἦσαν, ἀλλὰ τοῦ πονηροῦ, οὐκ ἂν ἐν τοῖς τοῦ πονηροῦ ποιήμασι τὰ ἀόρατα τοῦ ἀγαθοῦ καθεωρῶντο, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θεότης.

Εἴπερ, ὡς ἡ βλάσφημος καὶ δυσσεβὴς θρασύνεται B γλῶσσα, τὰ ἐπίγεια τοῦ πονηροῦ, πῶς λέγονται τοῦ κοινοῦ ἡμῶν Δεσπότου καὶ Σωτῆρος; *Εἰς τὰ ἴδια γὰρ ἦλθε*, φησὶ, *καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον.* Εἰ δὲ λέγοιεν οἱ ἀποστάται *ἴδια* μὲν εἶναι τοὺς προφητικοὺς λόγους, ἐλθεῖν δὲ εἰς αὐτοὺς τὸν Χριστὸν, ἐκείνους δὲ τοῦτον μήτε παραδέξασθαι· ὁρᾶτε τὴν ὑπερβάλλουσαν αὐτῶν ἄνοιαν καὶ ἀναισχυντίαν; Πρῶτον μὲν πῶς λέγουσι τοὺς προφητικοὺς λόγους ἴδια εἶναι τοῦ Χριστοῦ, αὐτοὺς τοὺς προφήτας λέγοντες πλάσματα εἶναι τοῦ πονηροῦ, καίτοι ἐπίπνοιαν παρ' αὐτοῦ δέξασθαι; Δεύτερον δὲ πῶς εἰς τοὺς προφητικοὺς λόγους ἦλθεν ὁ Χριστός; Πρῶτον μὲν γὰρ εἰς ἀλλοτρίους ἦλθε, κατὰ τὸν ἐκείνων λόγον· ἀλλότριοι γὰρ οἱ προφητικοὶ λόγοι, ὡς ἐξ ἀλλοτρίου ἐμπνεόμενοι, καὶ οὐκ ἐκ τοῦ ἀγαθοῦ C Θεοῦ· ἔπειτα δὲ τίσιν ἔδωκεν ὁ Χριστὸς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι; ἆρα τοῖς προφητικοῖς λόγοις; Καὶ πῶς οὐ μακρὸς λῆρος τοῦτο; Οἱ λόγοι γὰρ εἰ μὲν ἐκ τοῦ Θεοῦ εἰσιν, αὐτόθεν ἔχουσι τὸ εἶναι οἰκεῖοι Θεοῦ· εἰ δὲ ἐκ τοῦ πονηροῦ, πῶς ἂν τεκνωθεῖεν Θεῷ; Ἔτι δὲ ποῖος λόγος προφητικὸς ἐξ αἱμάτων καὶ ἐκ θελήματος ἀνδρὸς, καὶ ἐκ θελήματος σαρκὸς ἐγεννήθη; Ἐπάγει γὰρ, *Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν.* Τίνες οὖν οἱ ἐξ αἱμάτων γεγεννημένοι λόγοι, καὶ τίνες οἱ μή; Λοιπὸν οὖν *ἴδια* καλεῖ τὸν κόσμον, ὥς που καὶ ἀλλαχοῦ φησι πρὸς τοὺς μαθητὰς, *Ἰδοὺ ἔρχεται ὥρα, καὶ νῦν ἐλήλυθεν, ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια.* D Ποῖα οὖν ἴδια λέγει ἐνταῦθα; Ἆρα τοὺς προφητικοὺς λόγους λέγει, ἢ δηλονότι τὴν κατοικίαν καὶ τὸ κτῆμα ἑκάστου; Ὥσπερ οὖν ἐνταῦθα ἴδια οὐχὶ κατὰ τὸν μεμηνότα λῆρον τοὺς προφητικοὺς λόγους λέγει, ἀλλὰ τὸ ἑκάστου κτῆμα καὶ τὴν ἰδίαν οἰκίαν· οὕτω καὶ ἐπειδὰν λέγῃ, *Καὶ εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον*, *ἴδια* μὲν τὸν αἰσθητὸν κόσμον λέγει· κτῆμα γὰρ αὐτοῦ καὶ ποίημα οὗτος· ὡσαύτως δὲ οἱ ἐν αὐτῷ, ὧν οἱ μὲν παρέλαβον αὐτοῦ τὴν μυσταγωγίαν, οἱ δὲ οὔ. Καὶ ἀλλαχοῦ πάλιν φησὶν, ὅτι *Προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει.* Ὅτι δὲ *ἴδια* τὸν κόσμον φησὶ, καὶ ἐκ τούτων ἐστὶ σαφῶς συνορᾷν. *Ἦν γὰρ*, φησὶ, τὸ

[1] Coloss. I, 16. [2] Rom. I, 20. [3] Joan. I, 10. [4] Joan. I, 13. [5] Joan. XVI, 32. [6] Matth. XIII, 57. [7] Joan. I, 9.

A φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ποῖον κόσμον; Δηλονότι τὸν αἰσθητόν. Καὶ πότε ἐφώτισεν; Ὅτε παραγέγονεν ἐν αὐτῷ. Πότε δὲ παραγέγονε, τὸ Εὐαγγέλιον βοᾷ. *Ἐν τῷ κόσμῳ γὰρ ἦν*, φησί. Πάντως γὰρ ἐν τῷ αἰσθητῷ κόσμῳ ὤν, τὸν ἐρχόμενον εἰς τὸν αἰσθητὸν κόσμον ἐφώτιζεν. Εἶτα τίνος ἦν ὁ κόσμος ποίημα, ἐν ᾧ τε αὐτὸς ἦν, καὶ τὸν ἐρχόμενον εἰς αὐτὸν ἐφώτιζεν, οὐκ ἄλλοθεν ἔστι μαθεῖν ἀλλ' ἢ ἐξ αὐτῶν τῶν εὐαγγελικῶν ῥημάτων. *Καὶ ὁ κόσμος γάρ*, φησί, *δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω*, ὃ ἴσον ἐστὶ τῷ, *Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον*.

illuminavit? Quando natus est in illo. Quando enim natus sit, Evangelium clamat: *In mundo*, inquiens, *erat*. Omnino enim in hoc mundo sensibili exsistens venientem in mundum sensibilem illuminabat. Porro cujus ipse mundus sit opus, in quo et ille erat, et venientem in eum illuminabat, non aliunde, sed ex ipsis Evangelii verbis percipitur: *Et mundus*, inquit, *per ipsum factus est, et mundus eum non cognovit* [1]. Quod idem valet atque illa verba: *In propria venit, et sui eum non receperunt*.

B Εἰ τὰ ἐπίγειά ἐστι τοῦ πονηροῦ, πῶς ἠνέσχετο διὰ τῶν καρπῶν, ἃ ἔφυσεν ἡ γῆ, τὸ ποίημα τοῦ πονηροῦ τοῦτο μὲν καὶ ἐκ πέντε ἄρτων, τοῦτο δὲ ἐξ ἑπτὰ πολλὰς μυριάδας χορτάσαι; Πόσῳ γὰρ ἦν ἄμεινον καὶ θεοπρεπέστερον μὴ ἐξ ἀλλοτρίων καρπῶν, ἀλλ' ἐξ οἰκείων δημιουργημάτων τρέφειν τοὺς μυσταγωγουμένους αὐτῷ; Μᾶλλον δὲ πῶς ὅλον τροφὴν, ἢ ποτὸν αὐτὸς προσηνέγκατο, ἃ καρπὸς ἦν τῶν ἔργων τοῦ πονηροῦ; Πῶς δ' ἂν ἐκ τοῦ ἀγαθοῦ Πατρὸς αἰτεῖσθαι τὸν ἄρτον τὸν ἐπιούσιον ἡμῖν ἐνετείλατο; καὶ πῶς πάλιν ὀφθαλμοὺς δημιουργῶν τῷ τυφλῷ οὐκ ἐξ ἄλλης ὕλης, ἀλλ' ἐκ γῆς καὶ ὕδατος, ἅπερ ἦν τοῦ πονηροῦ, τὴν ὄψιν ἐκαινοποίει, μονονουχὶ συμμεριζόμενος τῷ ἐχθρῷ, καὶ τῷ μὲν ἀφεὶς τὸ πλέον ποιεῖν, αὐτὸς δὲ τὸ μέρος ἀναπληρῶν ἐξ ἀλλοτρίας ὕλης, ὥσπερ ἀπορῶν ἰδίας; Καίτοι εἰ μή τι ἄλλο, ἀλλ' αὐτό γε τοῦτο τοὺς ἀθλίους ἔδει δυσωπηθῆναι, καὶ κατανοῆσαι, ὅτι ὄντως ὁ C πλάσας τὸν ὀφθαλμὸν ἐκ πηλοῦ. Οἵας γὰρ ὕλης ἐστὶ τὸ μέρος, τῆς αὐτῆς καὶ τὸ ὅλον, καὶ ὃν ἔσχε τὸ ὅλον δημιουργὸν, τὸν αὐτὸν καὶ τὸ μέρος.

Si res terrenæ sunt mali, cur fructibus, quos terra, quæ mali opus est, tulit, multa hominum millia satiavit; semel quidem panibus quinque, iterum autem septem? Quanto enim melius, et Deo dignius erat, non alienis fructibus, sed propriis, eos quos instituebat, saturare? Imo vero cur in cibum et potum adhibuit ea quæ fructus erant operum mali? Aut cur præcepit nobis, ut a bono Patre panem quotidianum peteremus? Præterea cur cæci oculos curans, non ex alia materia, sed ex terra et aqua, quæ mali sunt, novam videndi vim tribuit? tanquam cum inimico ita rem partiretur, ut majorem ei partem relinqueret, ipse alteram expleret ex aliena materia, tanquam propria indigeret? Quanquam si nihil aliud infelices istos hæreticos moveret, hac sola hujusce rei admirandæ consideratione deberent resipiscere, quod qui vere finxit oculum ex luto, ille ipse est, qui ab initio hominem ex luto formavit. Cujus enim materiæ pars est, illius totum est. Et quem totum habuit opificem, illum habuit et pars.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐπὶ τὸ πάθος παραγινόμενος Κύριον ἑαυτὸν τῆς ὄνου καὶ τοῦ πώλου ἀπέφηνε πρὸς τοὺς μαθητάς. Καὶ γὰρ δημιουργήματα, καὶ τῆς ἑαυτοῦ κυριότητος καὶ δεσποτείας ὥσπερ ὁ κόσμος, καὶ τὰ ἐν αὐτῷ, οὕτω καὶ ταῦτα. Διό φησιν, *Ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε ὅτι Ὁ Κύριος αὐτῶν χρείαν ἔχει*. Ἡ δὲ ἀποστασία οὐκ ἀνέχεται τοῦτο, ἀλλὰ τῆς αὐτοῦ ἐξουσίας ἁρπάζουσα ὑπὸ τὴν δημιουργίαν τάττει τοῦ πονηροῦ.

Dominus noster Jesus Christus, cum ad mortem appropinquaret, se asini et pulli Dominum esse discipulis declaravit. Etenim opera illius sunt dominationis et potentiæ, ut mundus, et quæ in mundo sunt, sic etiam hæc. Quamobrem ait: *Si quis vobis aliquid dixerit, respondete, Dominus horum opus habet* [2]. At hæresis istorum hoc pati non potest, sed hæc ipsius adimens potestati, ea mali attribuit opificio.

D Ὅπερ οἱ ἀσεβεῖς εἰς παράστασιν τοῦ οἰκείου προβάλλονται δυσσεβήματος, ὅτιπερ ἄρχει τῶν ἐπιγείων ὁ πονηρὸς, πλανηθέντες ἀπὸ τοῦ εἰπεῖν αὐτὸν ὅτε τῷ Χριστῷ τὰς ἐπιγείους πάσας βασιλείας ὑπέδειξεν, ὅτι *Ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι*, τοῦτο αὐτοῖς εἰς τὸ μηδενὸς αὐτῶν ἄρχειν τὸν πονηρὸν ἀντέστραπται. Ψεύστης γὰρ ὤν, καὶ ψεύδους ἀρχηγὸς, καὶ οὐδέποτε ἐν τῇ ἀληθείᾳ ἑστηκὼς, ὡς ὁ Κύριος ἡμῶν ἐδίδαξεν, αὐτὸς ἑαυτὸν ἀνεῖπεν ἄρχοντα τῶν ἐπιγείων.

Quod impii isti ad suam confirmandam afferunt impietatem, qua malum rerum terrestrium principem esse contendunt, ex re decepti, quod ipse Christo demonstratis omnibus mundi regnis dixerit: *Hæc omnia tibi dabo, si prostratus adoraveris me* [3], illud ipsum deberet illis indicare, malum nullius ipsorum esse dominum. Cum enim mendax sit, et mendacii princeps, cumque nunquam steterit in veritate, ut Dominus noster docuit [4], ipse se rerum terrestrium negavit esse principem.

[1] Joan. I, 10. [2] Matth. XXI, 3. [3] Matth. IV, 9. [4] Joan. VIII, 44.

Unum esse corporis animæque effectorem, hominis videlicet.

Si, ut amentes isti sentiunt, bonus animam facit, corpus autem malus, quomodo patitur bonus cum mali opere opus suum conjungi, aut quomodo sustinet malus hanc conjunctionem? Conjunctio enim aut corpus bonum efficiet, cum æquum non sit, ut bonus mali opus bonum reddat, aut animam malam, quod magis etiam absurdum est, ut boni opus ab opere mali depravetur. Quæ porro societas luci cum tenebris, aut quæ conjunctio Deo cum Belial esse queat [1]?

Si malus potest nobis insidias moliri, nos autem possumus eas et anima et corpore declinare, corpus, quod et insidias ejus cavere, et superare etiam atque dejicere omnem illius impetum potest, illius opus non est, nec ipse malus, si corpus ab eo factum esset, adversus ipsum consurgeret. Animæ igitur et corporis opificium ad contraria principia referri non possunt.

Si corpus a malo confectum est, quomodo maxima per illud bona peragimus, temperatique, et continentes, et vigilantes, et ad pericula subeunda martyriique labores perferendos fortes sumus? Quæ quidem omnia cum corporis potius quam animæ sint, ad Procreatoris gloriam referuntur. Quomodo igitur opus mali facit ea quæ bona sunt, seque animæ socium præbet ad ea perficienda, quæ nisi ipsum adesset, perficere non judicatur?

Si corpus figmentum est mali, quomodo qui malum præclare oppugnat, Paulus ipsum appellat sanctum? *Innupta*, inquit, *quærit quæ sunt Domini, ut sit sancta et corpore et spiritu* [2]. Quod si sanctum est corpus, quomodo malum, aut a malo confectum opifice? Actiones enim malæ figmentum boni Dei depravantes, subjiciunt illud malo, ut sit proprium ipsius. At si in opificis sui legibus permanserit, vim habet potius, ut malum persequatur et superet, quam ut in ejus redigatur servitutem.

Si corpus a malo conflatum est, cur propter Lazari corpus, quod interierat, luxit Christus? cur mali opus dissolutum constringere, et excitare, atque in vitam revocare voluit? idque Patre proprio invocato, ut mali figmentum bene corruptum ipse revocaret in vitam? Quomodo et alios mortuos suscitavit, et cætera divina signa peregit, quibus hominum corpora curavit ægrotantium? Quid? Leprosi, paralytici, claudi, surdi, cæci, et innumerabilia ægritudinum morborumque genera, quibus corpora liberavit, nonne convincunt istorum impudentiam, qui hominum corpora a malo facta esse dicunt? Quomodo enim inimici figmentum corruptum bonus Deus instaurasset, nec solum curasset accedentes ad se, sed ipse ad eos accessisset? Circuibat enim Jesus

A *Ὅτι εἷς δημιουργὸς τοῦ σώματος καὶ τῆς ψυχῆς, ἤτοι τοῦ ἀνθρώπου.*

Εἰ ὁ ἀγαθὸς μὲν τὴν ψυχὴν δημιουργεῖ κατὰ τοὺς ἀνοήτους, ὁ δὲ πονηρὸς τὸ σῶμα, πῶς ἠνέσχετο ὁ ἀγαθὸς ἑνωθῆναι τὸ πλάσμα αὐτοῦ τῷ πλάσματι τοῦ πονηροῦ; Πῶς δὲ καὶ ὑπέμεινε τὴν ἕνωσιν ὁ πονηρός; Ἡ γὰρ ἕνωσις ἢ ἀγαθοποιήσει τὸ σῶμα, οὐ χρὴ δὲ τὸ ἀγαθὸν τοῦ κακοῦ τὸ ἔργον ἀγαθὸν ποιεῖν, ἢ κακοποιήσει τὴν ψυχήν, ὅπερ ἀτοπώτερον, βλάπτεσθαι τὸ ἀγαθὸν δημιούργημα παρὰ τοῦ πονηροῦ πλάσματος. Ἄλλως τε δὲ τίς κοινωνία φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις Θεῷ πρὸς Βελίαρ;

Ὁ μὲν πονηρὸς δύναται ἡμᾶς ἐνοχλεῖν, ἡμεῖς δὲ δυνάμεθα διακρούεσθαι τὴν ὄχλησιν αὐτοῦ διά τε ψυχῆς καὶ σώματος. Εἰ δὲ τὸ σῶμα ἡμῶν ἰσχύει
B διώσασθαι τὴν προσβολὴν αὐτοῦ, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ περιγενέσθαι, καὶ καταβαλεῖν αὐτοῦ πᾶσαν μηχανήν· πῶς ἐστιν ἐκεῖνος πλάστης αὐτοῦ; πῶς δ' ἂν ὁ πονηρὸς κατὰ τοῦ οἰκείου πλάσματος πονηρεύοιτο; Ἀδύνατον οὖν εἰς ἀντικειμένας ἀναφέρεσθαι τὴν δημιουργίαν τῆς ψυχῆς καὶ τοῦ σώματος.

Εἰ τὸ σῶμά ἐστι τοῦ πονηροῦ κτίσμα, πῶς δι' αὐτοῦ τὰ μέγιστα τῶν κατορθωμάτων πράττομεν, σωφροσύνην, ἐγκράτειαν, ἀγρυπνίαν, στάσιν, πρὸς τὰ δεινὰ καρτερίαν, μαρτυρίου πόνους, ἃ πάντα σώματος μᾶλλον ὄντα ἢ ψυχῆς, εἰς δόξαν ἀναφέρεται τοῦ δημιουργοῦ; Πῶς οὖν τὸ ποίημα τοῦ πονηροῦ πράττει τὰ ἀγαθὰ, καὶ συνεργεῖ τῇ ψυχῇ κατορθῶσαι, ἃ, μὴ παρόντος, οὐμενουν οὐ κρίνεται
C κατορθώματα;

Εἰ τὸ σῶμα πλάσμα τοῦ πονηροῦ, πῶς ὁ τοῦ πονηροῦ λαμπρῶς καταστρατηγῶν Παῦλος ἅγιον αὐτὸ καλεῖ; *Ἡ ἄγαμος γὰρ*, φησὶ, *μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι.* Εἰ δὲ ἅγιον τὸ σῶμα, πῶς πονηρὸν, καὶ πόθεν ἔργον δημιουργίας πονηρᾶς; Πράξεις μὲν γὰρ πονηραὶ κιβδηλεύουσαι τὸ πλάσμα τοῦ ἀγαθοῦ Θεοῦ ὑποτάσσουσιν αὐτὸ, καὶ οἰκειοῦσι τῷ πονηρῷ· ἐν δὲ τοῖς νόμοις τοῦ πλάστου διατηρούμενον ἰσχὺν ἔχει μᾶλλον διῶκον τὸν πονηρὸν, ἀλλ' οὐχ αὐτὸς ἐκεῖνο δουλαγωγεῖ.

Εἰ τὸ σῶμά ἐστιν ἐκ τοῦ πονηροῦ, πῶς ἐπὶ τοῦ Λαζάρου διαφθειρομένου τοῦ σώματος ἔκλαυσεν ὁ
D Χριστός; καὶ πῶς ἠθέλησε διαλυόμενον τὸ ἔργον τοῦ πονηροῦ συσφίγξαι, καὶ ζωοποιῆσαι, καὶ ἀναστῆσαι, καὶ τότε τὸν ἴδιον ἐπικαλούμενος Πατέρα, ἵνα τὸ πλάσμα τοῦ πονηροῦ καλῶς διαφθειρόμενον αὐτὸς ἀναζωώσῃ; Πῶς δὲ καὶ ἄλλους τεθνεῶτας ἀνέστησε; Πῶς δὲ καὶ τὰς ἄλλας θεοσημείας, ὅσαις τὰ τῶν ἀνθρώπων εὐηργέτηκε σώματα, διεπράξατο; Οἱ δὲ λεπροὶ, οἱ παράλυτοι, οἱ χωλοὶ, καὶ κωφοὶ, καὶ τυφλοὶ, καὶ τὰ μυρία τῶν παθῶν καὶ τῶν νοσημάτων, ὧν ἁπάντων καθαρὸν τὸ σῶμα ἀπέλυσεν, οὐχ ἱκανὰ καταισχῦναι τοὺς λέγοντας τὰ τῶν ἀνθρώπων σώματα πλάσματα εἶναι τοῦ πονηροῦ; Πῶς γὰρ τὸ πλάσμα τοῦ ἐχθροῦ ὁ ἀγαθὸς Θεὸς διαφθει-

[1] II Cor. vi, 14, 15. [2] I Cor. i, 14.

ῥόμενον ἀνεκαίνιζε. οὐ προσιόντας μόνον, ἀλλὰ καὶ A αὐτὸς ἐκείνοις φοιτῶν καὶ παραγενόμενος; Περιῆγε γὰρ ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας, καὶ διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Οὐκ ἐθεράπευε μὲν τούτους, ἐσίγα δὲ τὴν θεραπείαν, ἀλλὰ πολλάκις καὶ προσέτασσε διαγγέλλεσθαι. *Πορευθέντες γάρ*, φησὶν, *ἀπαγγείλατε Ἰωάννῃ· Τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, καὶ νεκροὶ ἐγείρονται.* Καὶ τοῖς μαθηταῖς δὲ σημεῖον τῆς αὐτοῦ δυνάμεως, καὶ ἰσχύος καὶ χάριτος τὸ ἐπὶ ἀῤῥώστους χεῖρας ἐπιθεῖναι, καὶ ἰᾶσθαι δίδωσιν. Οὕτως ὡς οἰκείου πλάσματος ἐποιεῖτο τὴν πρόνοιαν, ὁ καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα παραγεγονὼς σῶσαι Χριστὸς ὁ Θεὸς ἡμῶν. Καὶ οὐ μέχρις αὐτοῦ τὴν εὐεργεσίαν περιγράφων, ἀλλὰ καὶ τοῖς μαθηταῖς τὰ ἴσα ποιεῖν διδοὺς ἐξουσίαν.

civitates omnes et vicos, docens in synagogis ipsorum, et curans omnes infirmitates, et omnem languorem. Neque vero hos curabat, curationem autem silebat, sed sæpe jubebat, ut enuntiarent : *Euntes*, inquit, *renuntiate Joanni : Cæci vident, claudi ambulant, leprosi mundantur, surdi audiunt, et mortui revocantur in vitam* [1]. Quin etiam discipulis virtutis, et potentiæ, gratiæque suæ signum illud dedit, ut super ægros manus imponerent et curarentur. Curam igitur gerebat figmenti sui Christus Deus noster, quippe qui venerat ut animam et corpus servaret. Neque ipse solum nobis benefaciebat, sed eamdem discipulis quoque benefaciendi dabat facultatem.

Εἰ τὸ σῶμα ἦν τοῦ πονηροῦ, πῶς ὁ Παῦλος ἐλυ- B πεῖτο, νοσοῦντος τοῦ μαθητοῦ, καὶ αὖθις ὑγιάναντος ἔλεγεν, ὅτι *Ἠλέησεν αὐτὸν ὁ Θεὸς, οὐκ ἐκεῖνον δὲ μόνον, ἀλλὰ καὶ ἐμὲ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ;* Τί γὰρ ἔδει λυπεῖσθαι τὸν Παῦλον ὁρῶντα λυόμενον τὸ πλάσμα τοῦ πονηροῦ; Πῶς δὲ ἐπέστελλε Τιμοθέῳ γράφων, *Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας;* Ἔδει γὰρ τοὐναντίον γράφειν, Μηδ' ὅλως κέχρησο οἴνῳ, ἵνα θᾶττον ῥαγῇ τὸ πλάσμα τοῦ πονηροῦ, καὶ ἐλευθερωθῇς τοῦ βάρους αὐτοῦ.

Si corpus est mali, cur, ægrotante discipulo Paulus angebatur, eoque convalescente dicebat : *Deus misertus est tui, nec tui solum, verum etiam mei, ne tristitiam super tristitiam habeam* [2] ? Quid enim angi Paulum oportebat, cum opus mali dissolvi perspiceret? Cur item præcepit discipulo : *Modico*, inquiens, *vino utere propter stomachum tuum, et frequentes infirmitates* [3]? Contra potius scribendum fuit, ne prorsus uteretur vino, quo citius mali figmentum everteretur, et discipulus ab ejus onere liberaretur.

Εἰ τὸ σῶμά ἐστι τοῦ πονηροῦ, πῶς ἐμεγαλύνετο Χριστὸς ἐν τῷ τοῦ Παύλου σώματι; Πῶς δὲ πάλιν αὐτὸς ὁ Παῦλος, εἴπερ οὐκ ἦν τὸ σῶμα πλάσμα τοῦ ἀγαθοῦ Θεοῦ, ἐπεύχεται διατηρηθῆναι σῶον τὸ σῶμα καὶ τότε ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου, λέγων· C *Ὁλόκληρον ὑμῶν τὸ σῶμα, καὶ ἡ ψυχὴ, καὶ τὸ πνεῦμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διατηρηθείη;*

Si corpus est mali, quomodo Christus in Pauli corpore magnificabatur? Quomodo rursum ipse Paulus, si corpus non est figmentum boni Dei, optat ut integrum corpus conservetur, idque in adventu Domini? *Integer*, inquit, *spiritus vester, et anima, et corpus sine querela in adventu Domini nostri Jesu Christi conservetur* [4].

Εἰ ἄλλης μὲν ἦν ἀρχῆς ἔργον ἡ ψυχὴ, ἑτέρας δὲ τὸ σῶμα, πῶς ὁ ἀληθὴς ἡμῶν πλάστης καὶ Θεὸς ἀπερισπάστους εἶναι βουλόμενος τοὺς αὐτοῦ λατρευτὰς παραινεῖ περὶ ἑκατέρου λέγων, *Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε, ἢ τί πίητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε;* Εἶτα καὶ πλέον ἡμᾶς τῷ παραδείγματι πρὸς τὴν νουθεσίαν ἕλκων, *Ἐμβλέψατε*, φησὶν, *εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσι, καὶ πόθεν αὐτοῖς ἡ ζωή; Ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά.* Εἰ οὖν Πατέρα ἡμῶν οὐράνιον τὸν τρέφοντα D τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ οἶδε καὶ λέγει τῆς ἀληθείας ἡ πηγὴ, λέγει δὲ καὶ τὸν χόρτον τοῦ ἀγροῦ τὸν εἰς τὸν κλίβανον βαλλόμενον ὑπὸ τοῦ αὐτοῦ Θεοῦ κάλλος ἀμφιέννυσθαι, οἷον οὐδὲ Σολομὼν ἐν ὅλῃ αὐτοῦ περιεβάλλετο τῇ δόξῃ· πῶς τὰ ἀπύλωτα τῆς ἀσεβείας στόματα ἄλλον μὲν τοῦ χόρτου, καὶ τῶν πετεινῶν, καὶ τοῦ σώματος, καὶ τῶν αἰσθητῶν ἁπάντων χειροτονοῦσι δημιουργὸν, ἑτέρῳ δὲ τὴν ἡμίτομον χαρίζονται ἀρχήν; Ὅτι δὲ ὁ αὐτός ἐστιν ὁ καὶ ταῦτα τὰ πρόσκαιρα διδοὺς καὶ τὴν βασιλείαν τῶν οὐρανῶν, λεπτομερέστερον βεβαιῶν τὸ δόγμα

Si ab alio principio anima, ab alio corpus proficiscitur, cur verus noster procreator et Deus volens adoratores suos esse sine sollicitudine, de utroque admonet eos : *Nolite*, inquiens, *solliciti esse, nec animæ vestræ, quid edatis, aut quid bibatis, nec corpori vestro, quid induamini* [5]? Deinde admonitionem suam exemplo confirmans : *Respicite*, inquit, *volatilia cœli, quia non serunt, neque metunt, et unde illis suppetit victus? Pater vester cœlestis pascit illa* [6]. Si veritatis fons Patrem nostrum cœlestem cœli volucres pascere et novit et dicit, additque et fœnum agri, quod in clibanum conjicitur, ab ipso Deo tale pulchritudinis vestimentum accipere, quale ne Solomon quidem induebat in omni gloria sua, quomodo effrenata impietatis ora alium fœni, et volucrum, et corporis et reliquarum rerum quæ sensibus percipiuntur esse procreatorem affirmant? Quod autem idem sit, qui et temporaria hæc, et regnum cœlorum tribuit, accuratius indicat : *Scit*, inquiens, *Pater vester cœlestis, vos his omnibus indigere. Quærite autem primum regnum Dei et justitiam ejus, et hæc omnia adjicientur vobis* [7].

[1] Matth. xi, 4. [2] Philipp. ii, 27. [3] I Tim. v, 23. [4] I Thess. iii, 13. [5] Matth. vi, 25. [6] ibid. 26. [7] ibid. 26, [8] ibid. 32, 33.

φησὶν, *Οἶδεν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι χρῄζετε τούτων ἁπάντων. Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.*

Adversus eos qui ad dissolvendum matrimonium A erant propensiores, sibique ad eam rem Mosis patrocinium assumebant, Servator egregie pugnans pro legislatore: *Moses*, inquit, *ob duritiam cordis vestri permisit vobis dimittere uxores; ab initio autem non fuit sic, sed qui fecit illos, masculum et feminam fecit eos* [1]. Ostendit igitur Mosem contentione ipsorum adductum ita scripsisse, legem autem suam cum prima illa procreationis lege congruere; conjugii enim disjunctionem ab indulgentia et Mosaica dispensatione provenisse. Verum ut clarius intelligas quis corpora ita formarit, ipse dum memorat eum qui conjunxit, indicat a quo formata sint: *Quod ergo*, inquiens, *Deus conjunxit, homo non separet* [2]. Quomodo igitur humanum corpus figmentum est mali? B

Πρὸς τοὺς κεχηνότας περὶ τὴν διάλυσιν τῶν γάμων, καὶ τὸν Μωσῆν εἰς συνηγορίαν τοῦ πάθους προβαλλομένων ὁ Σωτὴρ λαμπρῶς ὑπερμαχῶν τοῦ νομοθέτου φησὶν, ὅτι *Πρὸς τὴν σκληροκαρδίαν ὑμῶν Μωσῆς ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας· ἀπ' ἀρχῆς δὲ*, φησὶν, *οὐ γέγονεν οὕτως, ἀλλ' ὁ ποιήσας αὐτοὺς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς·* ἐδήλωσεν οὖν, ὡς ἐκ περιστάσεως ὁ Μωσῆς ἔγραψεν οὕτω. Τῷ γὰρ νόμῳ τῆς ἀπ' ἀρχῆς διαπλάσεως, φησὶν, ὁ ἐμὸς συμφθέγγεται νόμος. Τὸ δὲ διαζύγιον συγκαταβάσεώς ἐστι καὶ Μωσαϊκῆς οἰκονομίας. Ἵνα δὲ σαφέστερον μάθῃς, τίς ὁ διαπλάσας οὕτω τὰ σώματα, αὐτὸς εἰσάγων τὸν ζεύξαντα συνεισάγει καὶ τὸν πλάστην. Φησὶ γὰρ, *Ὃ οὖν ὁ Θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωριζέτω.* Πῶς οὖν τὸ ἀνθρώπινον σῶμα πλάσμα τοῦ πονηροῦ;

Si duobus dominis servire non licet, ut ipse Dominus ait [3], homo autem anima servit bono Deo, a quo procreata fuit, corpore autem, malo, nemo hominum integre servit Deo, et mendax videbitur ipsa veritas, cum ea verba pronuntiavit: *Venite, benedicti Patris mei, percipite paratam vobis regni hæreditatem* [4]. Neque enim vox illa Servatoris ad homines dimidiatos, sed ad integros, qui unius sunt Domini figmenta, ejusque solius servi, proferetur.

Εἰ δυσὶ κυρίοις οὐκ ἔστι δουλεύειν, κατὰ τὴν Δεσποτικὴν ἀπόφασιν, ὁ δὲ ἄνθρωπος κατὰ τὴν ψυχὴν μὲν δουλεύει τῷ πλάσαντι ταύτην ἀγαθῷ Θεῷ, κατὰ δὲ τὸ σῶμα τῷ πονηρῷ· οὐδεὶς τῶν ἀνθρώπων ὁλοκλήρως δουλεύει Θεῷ, καὶ ψευδὴς αὐτοῖς ἡ ἀλήθεια φανήσεται λέγουσα, *Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν.* Οὐ γὰρ ἔσται πρὸς ἡμιτόμους ἡ εὐκταία αὕτη φωνὴ τοῦ Σωτῆρος, ἀλλὰ πρὸς ὁλοκλήρους ἀνθρώπους ἑνὸς ὄντας Κυρίου καὶ κατὰ ψυχὴν καὶ κατὰ σῶμα δημιουργήματα, καὶ τούτου μόνου θεράποντας.

Si opinione tantum Christus factus est homo, aut carnem e cœlo sumpsit, ut isti nugantur, quomodo, C cum esset octo dierum, circumcisus est ut antiqua jubebat lex? Hoc enim et solum satis est ad coarguendas ipsorum nugas. Quod enim fuit amputatum, erat caro carni nostræ similis. Nam, ut magnus ait Paulus, Quoniam postea pueri communicaverunt carni et sanguini, et ipse similiter eorum particeps factus est, et quia frater noster vocatus est, debuit per omnia fratribus esse similis [5]. Cum igitur aperte demonstratum sit Christum vere carnem humanam ex castis et virgineis sanguinibus suscepisse, cum dicis, audacissime, Domini corpus esse mali principii opus, ut reliqua corpora, an impietatis superbiam evitabis? Si enim et hoc malo principio adjudicare non erubescis, quomodo, dic, malum cum bono miscebitur, quomodo per corpus malum mundi salutem procurare Deus bonus potuerit, quomodo in throno Patri assidebit?

Εἰ κατὰ φαντασίαν ἐνηνθρώπησεν ὁ Χριστὸς, ἢ ἄνωθεν ἐπηγάγετο τὴν σάρκα κατὰ τοὺς λήρους τῶν ἐναντίων, πῶς ὀκταήμερος περιετμήθη κατὰ τὸν παλαιὸν νόμον; Τοῦτο γὰρ καὶ μόνον ἱκανὸν ἐπιστομίσαι τὰς φλυαρίας αὐτῶν. Τὸ γὰρ ἀποτμηθὲν σὰρξ ἦν συγγενὴς τῆς ἡμετέρας σαρκός. Φησὶ δὲ καὶ ὁ μέγας Παῦλος, ὅτι Ἐπεὶ τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν· καὶ, ὅτι Ἐπειδὴ ἀδελφὸς ἡμῶν ἐκλήθη, ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. Περιφανῶς οὖν ἀποδειχθέντος, ὅτι κατὰ ἀλήθειαν ἐνηνθρώπησεν ἐκ τῶν ἁγνῶν καὶ παρθενικῶν αἱμάτων, πότερον, ὦ πάντολμε σὺ, τὸ Κυριακὸν τοῦτο σῶμα τῆς φαύλης λέγεις ἔργον ἀρχῆς, ὡς καὶ τὰ λοιπὰ σώματα, ἢ τὸν ὄγκον εὐλαβηθήσῃ τοῦ δυσσεβήματος; Εἰ γὰρ ἀποτολμήσεις τῷ πονηρῷ καὶ τοῦτο προσαναθεῖναι, πῶς, εἰπὲ, τὸ πονηρὸν συνήφθη τῷ ἀγαθῷ; καὶ πῶς ὑπέστη ὁ ἀγαθὸς Θεὸς διὰ τοῦ πονηροῦ σώματος τὴν τοῦ κόσμου σωτηρίαν καταπράξασθαι; πῶς δὲ τῷ θρόνῳ συνεδριάζει τῷ Πατρικῷ;

D

De Dei Genitrice.

Jam quomodo et Dei Genitricem Jerusalem appellatis? quo Scripturæ divinæ, aut sanctorum testimonio id didicistis? præsertim cum aperte dicat evangelista Matthæus: *Jesu Christi autem generatio sic erat: Cum desponsata esset mater ejus Maria Joseph, priusquam convenirent, inventa est in utero habens de Spiritu sancto* [6], et quæ sequun-

Περὶ τῆς Θεοτόκου.

Πῶς δὲ καὶ Θεοτόκον τὴν ἄνω Ἱερουσαλὴμ ὀνομάζετε; Ποίαν Γραφὴν θείαν, τίνα τῶν ἁγίων τῆς ἀνοίας ταύτης διδάσκαλον ἔχοντες; καὶ ταῦτα διαῤῥήδην τοῦ εὐαγγελιστοῦ Ματθαίου λέγοντος, *Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν. Μνηστευθείσης γὰρ*, φησὶ, *τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσὴφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν*

[1] Matth. xix, 8. [2] Ibid. 6. [3] Matth. vi, 24. [4] Hebr. ii, 14, 17. [5] Matth. xxv, 34. [6] Matth. i, 18.

γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου, καὶ τὰ ἑξῆς. Εἶτα διεξελθὼν τὰ περὶ τῆς γεννήσεως αὐτοῦ λεπτομερῶς ἄχρι τῆς τῶν μάγων ἐπιδημίας, λέγει πάλιν, ὅτι *Καὶ ἐλθόντες εἰς τὴν οἰκίαν εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτό.* Ὁ δὲ μέγας Λουκᾶς ἀνωτέρω τὸν λόγον ἀγαγὼν, *Ἐξῆλθε δόγμα*, φησὶ, *παρὰ Καίσαρος Αὐγούστου τοῦ ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. Αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο, ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου. Καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι ἕκαστος εἰς τὴν ἰδίαν πόλιν. Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας ἐκ πόλεως Ναζαρὲτ εἰς τὴν Ἰουδαίαν, εἰς πόλιν Δαβὶδ, ἥτις καλεῖται Βηθλεέμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ, ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτοῦ γυναικὶ, οὔσῃ ἐγκύῳ. Ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτὴν, καὶ ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν, καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι.* Πολλὰ δὲ καὶ ἄλλα μαρτύρια τοῦ τὴν πάναγνον παρθένον Μαρίαν γεννῆσαι κατὰ σάρκα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Θεὸν ἔκ τε τῆς εὐαγγελικῆς βίβλου καὶ τῆς ἀποστολικῆς, ἅστινας μόνας ἀσπάζεσθέ τε καὶ καταδέχεσθε, τῶν ἄλλων καταφρονοῦντες. Αὐτός τε γὰρ ὁ Σωτὴρ ἡμῶν πανταχοῦ τοῦ Εὐαγγελίου Υἱὸν ἀνθρώπου ἑαυτὸν ὀνομάζει διὰ τὴν ἄχραντον αὐτοῦ Μητέρα, καὶ ὁ θεῖος Παῦλος, *Ἐξαπέστειλε*, φησὶν, *ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικὸς*, ἵνα τἄλλα ἐάσωμεν. Εἰ δὲ στενοχωρούμενοι τούτοις ἄνωθεν τὸ σῶμα συγκατενεγκεῖν τὸν Χριστὸν τερατολογοῦσιν, ἀπαντήσομεν αὐτοῖς οὕτως· Εἰ οὖν οὐράνιον ἦν τὸ σῶμα τοῦ Χριστοῦ, οὐκ ἂν τοῖς ἀνθρωπίνοις ὑπέκειτο πάθεσι, τοῖς ἀδιαβλήτοις, λέγω, πείνῃ, καὶ δίψῃ, καὶ ὕπνῳ, καὶ κόπῳ, καὶ λύπῃ, καὶ δάκρυσι, καὶ ὅσα τοιαῦτα. Εἰ οὐράνιος ἄνθρωπος ἦν, ᾧ καθ' ὑπόστασιν ὁ Λόγος ἡνώθη, οὐκ ἂν ἦν φθαρτὸς καὶ θνητὸς ἐπίσης τοῖς ἐπιγείοις. Οἱ φύσει γὰρ οὐράνιοι καὶ ζῶντες πάντες ἄφθαρτοι καὶ ἀθάνατοι. Τίς δὲ χρεία τῆς ἐκ Παρθένου γεννήσεως, εἰ μηδὲ ἐκ ταύτης προσέλαβεν εἰς τὴν τῆς ἀνθρωπίνης φύσεως σύστασιν; Πῶς δὲ τοὺς ἀποστόλους διδάξας, ὅτι Υἱός ἐστιν ἀνθρώπου διὰ τὴν ἄχραντον αὐτοῦ Μητέρα καὶ Θεοτόκον, ἐξαπέστειλε κήρυκας εἰς τὴν οἰκουμένην, αὐτὸ τοῦτο βοῶντας, ὅτι ἐνηνθρώπησεν ἐκ Παρθένου γεννηθείς; Εὑρίσκεται γὰρ, κατὰ τοὺς τἀναντία δογματίζοντας, οὐ Σωτὴρ ἡμῶν, ἀλλὰ πολέμιος, οὐδ' εὐεργέτης, ἀλλὰ λοιμὸς, ψευδῆ ἡμῖν ὑποθεὶς τὸ θεμέλιον τῆς πίστεως, ἤτοι τὴν ἐκ τῶν ἁγνῶν καὶ παρθενικῶν αἱμάτων ἐνανθρώπησιν αὐτοῦ, καὶ τοῖς ἀνθρώποις ὁμοίωσιν. Ἀλλ' ἵλεως ἡμῖν εἴη Κύριος ἀνεχομένοις ὅλως ἀκούειν τῆς τηλικαύτης βλασφημίας, μὴ ὅτι γε καὶ διὰ γλώττης ταύτην προφέρειν, ἐπεὶ καὶ τοὺς ἀποστόλους αὐτὸς πληροφορῶν ὁ Σωτὴρ μετὰ τὴν ἀνάστα-

A tur. Cum enim omnia, quæ ad ortum ejus pertinent, diligenter usque ad Magorum adventum persecutus esset: *Et intrantes*, inquit, *domum viderunt puerum cum Maria matre ejus, et procidentes adoraverunt eum* [1]. Magnus autem Lucas, altius sermonis initium ducens: *Exiit*, inquit, *edictum a Cæsare Augusto, ut describeretur universus orbis. Hæc autem descriptio prima facta est a præside Syriæ Cyrino, et ibant omnes, ut describerentur singuli in propriam civitatem. Ascendit autem et Joseph e Galilæa ex civitate Nazareth in Judæam in civitatem David, quæ vocatur Bethleem, eo quod esset ipse de domo et patria David, ut describeretur cum Maria desponsata sibi uxore prægnante. Factum est autem, cum*
B *essent ibi, impleti sunt dies, ut pareret, et peperit filium suum primogenitum et pannis eum involvit, et reclinavit in præsepio, quia non erat illis locus in diversorio* [2]. Sunt etiam alia multa testimonia, quibus constat sanctissimam Virginem Mariam genuisse secundum carnem Dominum nostrum Jesum Christum Filium Dei et Deum, tam ex evangelicis, quam ex apostolicis libris, quos solos suscipitis, reliquos improbantes. Nam et ipse Servator noster ubique se in Evangelio Filium hominis vocat, habita ratione veræ matris suæ. Et divus Apostolus: *Misit*, inquit, *Deus Filium suum factum ex muliere* [3], ut cætera omittamus. Quod si his oppressi testimoniis Christum e cœlo corpus detulisse con-
C fingent, illis occurremus ad hunc modum: Si Christi corpus fuisset cœleste, humanis affectionibus culpa tamen carentibus obnoxium non exstitisset, id est fami, et siti, et somno, et lassitudini, et mœrori, et lacrymis, et cæteris ejusdem generis. Si cœlestis homo fuisset ille, cui in persona conjunctum est Verbum, non fuisset corruptibilis et mortalis, quemadmodum terrena sunt corpora. Quæ enim cœlestia vivaque sunt, ea nec corruptionem, nec mortem sentiunt. Præterea quid opus fuit e Virgine nasci, si nihil ex ea ad humanæ naturæ constitutionem accepit? Ad hæc cur cum apostolos docuisset se esse hominis Filium, propter veram matrem suam et Dei genitricem, misit eos præcones in universum orbem terrarum, qui
D illud ipsum prædicarent, nempe se carnem humanam ex Virgine suscepisse atque hominem factum esse? Ex doctrina enim istorum qui contraria docent, deprehenditur non Servator noster, sed inimicus, non bene, sed male de nobis meritus, qui falsum nobis fidei fundamentum subjecerit, suam nimirum carnis ex castis sanguinibus susceptionem humanamque similitudinem. Sed nobis propitius sit Deus, si tam exsecranda maledicta vel audire, nedum lingua proferre sustineamus. Quandoquidem et apostolis fidem faciens ipse Servator post resurrectionem, ne se spectrum existimarent, sed ipsum verum Deum, qui ex matre Virgine

[1] Matth. II, 11. [2] Luc. II, 1 — 7. [3] Galat. IV, 4.

carnem suscepisset : *Videte*, inquit, *manus meas et pedes meos, quia ego ipse sum. Palpate me, et videte, quia spiritus carnem et ossa non habet, sicut me videtis habere* [1]. Thomæ vero vestigia clavorum et latus ostendens firmius etiam veritatis testimonium dedit : caro enim et ossa, et manuum pedumque foramina, et lateris cicatrix, veri sunt corporis propria.

Quomodo cœlestem, non autem humanam carnem Christum dicitis induisse, cum Apostolus dicat : *Qui sanctificat, et qui sanctificatur, ex uno omnes. Qua de causa non erubescit*, inquit, *eos fratres appellare : Nuntiabo*, inquiens, *nomen tuum fratribus meis* [2]. Ex uno autem, nimirum Adam, ut patet ex Lucæ genealogia. Et rursum : *Quoniam pueri communicaverant carni et sanguini, factus est eorum particeps* [3]. Et quo cœlestis carnis suspicio tolleretur, subjecit : *Non enim angelos apprehendit, sed semen Abrahæ apprehendit. Quare debuit per omnia fratribus similis fieri* [4]. Et alia ejusdem generis multa. At Dominus, inquiunt, dixit in Evangelio : *Nemo ascendit in cœlum, nisi qui descendit de cœlo, Filius hominis, qui est in cœlo* [5]. Et Apostolus : *Primus homo de terra terrenus ; secundus homo Dominus de cœlo* [6]. Ecce utroque in loco cœlestis nominatur. Ad hæc respondemus, quia duplicem Christus naturam habebat, et unam personam, idcirco quæ unius naturæ sunt, alteri tribuisse. Et quemadmodum Apostolus de crucifixoribus dixit, *Si cognovissent, nunquam Dominum gloriæ crucifixissent* [7], nec tamen divinitatem passam intellexit, quæ est domina gloriæ, sed assumptam humanitatem : sic et in his quæ dicta sunt, ipse quidem Filius, et Deus passus dicitur propter unam divinitatis personam, quæ et humanæ naturæ persona effecta est. Sed humana natura sua passus intelligitur, e cœlo autem descendisse, et in cœlo esse propter divinitatis personam, et Filius hominis esse propter naturam, quam deinde suscepit post descensum e cœlo. Et rursum ipse Dominus propter unam personam secundus est homo dictus ob assumptam humanitatem, de cœlo autem ob divinitatem. Nisi enim utrumque proprie intellexerimus, repugnantia Apostolum dicere concedemus. Quomodo enim per omnia similis nobis, qui ex terra constamus ? Aut quomodo frater noster, qui carnem indutus cœlestem sit ? Et innumerabilia alia incommoda consequentur.

Vetus Testamentum, et qui in eo illustres exstiterunt, esse boni Dei.

Si lex antiqua est mali, cur novæ legis conditor jurisperitum, qui se vitam æternam quærere simu-

[1] Luc. xxiv, 39. [2] Hebr. ii, 11, 12. [3] Ibid. 14. [4] Ibid. 16, 17. [5] Joan. iii, 13. [6] I Cor. xv, 47. [7] I Cor. ii, 8.

A σιν, ὅτι οὐ φάσμα θεωροῦσιν, ἀλλ' αὐτὸν ἀληθῶς τὸν ἐκ παρθένου Μητρὸς ἐνανθρωπήσαντα Θεόν, φησὶ πρὸς αὐτούς, *Ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου, ὅτι αὐτὸς ἐγώ εἰμι. Ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα*. Καὶ τῷ Θωμᾷ δὲ δοὺς τύπους τῶν ἥλων καὶ τὴν πλευρὰν ὑποδείξας βεβαιότερον εἰς τὴν τῆς ἀληθείας πίστιν εἰργάσατο. Σὰρξ γάρ, καὶ ὀστέα, καὶ διατρήσεις χειρῶν καὶ ποδῶν, καὶ νύξις πλευρᾶς γηΐνου σώματος ἴδια.

Πῶς λέγετε τὸν Χριστὸν οὐρανίαν σάρκα περιβεβλῆσθαι, καὶ οὐχ ἀνθρωπίνην, καίτοι τοῦ Ἀποστόλου φάσκοντος, *Ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται*, φησίν, *ἀδελφοὺς αὐτοὺς καλεῖν λέγων· Ἀπαγγελῶ τὸ B ὄνομά σου τοῖς ἀδελφοῖς μου*. Ἐξ ἑνὸς δὲ τίνος; Τοῦ Ἀδὰμ δηλονότι, κατὰ τὴν Λουκᾶ γενεαλογίαν. Καὶ πάλιν, *Ἐπεὶ τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν*. Ἀναιρῶν δὲ καὶ τὴν ὑπόληψιν τῆς οὐρανίου σαρκὸς ἐπήγαγεν, *Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται· ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι*. Καὶ πολλὰ τοιαῦτα. Ἀλλ' ὁ Κύριος, φασίν, εἴρηκε ἐν τοῖς Εὐαγγελίοις, *Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ*. Καὶ ὁ Ἀπόστολος δὲ πάλιν, *Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος C ὁ Κύριος ἐξ οὐρανοῦ*. Ἰδοὺ γὰρ ἀμφοτέρωθεν οὐράνιος ἄνθρωπος ὀνομάζεται. Πρὸς οὓς ἐροῦμεν, ὅτι ἐπεὶ διπλοῦς μὲν ταῖς φύσεσιν ὁ Χριστός, μοναδικὸς δέ ἐστι τὴν ὑπόστασιν, ἰδιοποιεῖται τὰ τῆς ἑκατέρας φύσεως. Καὶ καθάπερ ὁ Ἀπόστολος, εἰπὼν περὶ τῶν προφητοκτόνων, ὅτι *Εἰ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν*, οὐ τὴν θεότητα πεπονθέναι φησίν, ἥτις ἐστὶ Κύριος τῆς δόξης, ἀλλὰ τὸ πρόσλημμα· οὕτω καὶ ἐπὶ τῶν ῥητῶν τούτων οὗτος μὲν ὁ Υἱὸς καὶ Θεὸς πεπονθέναι λέγεται διὰ τὴν μίαν ὑπόστασιν τῆς θεότητος, ἥτις καὶ τῇ ἀνθρωπίνῃ φύσει γέγονεν ὑπόστασις, πεπονθέναι δὲ κατὰ τὴν ἀνθρωπίνην φύσιν αὐτοῦ, καὶ ἐκ τοῦ οὐρανοῦ μὲν καταβεβηκέναι, καὶ ἐν τῷ οὐρανῷ εἶναι κατὰ τὴν ὑπόστασιν τῆς θεότητος· Υἱὸς δὲ ἀνθρώ- D που εἶναι κατὰ τὴν ὕστερον προσληφθεῖσαν φύσιν μετὰ τὴν ἐξ οὐρανοῦ κάθοδον. Καὶ πάλιν ὁ αὐτὸς Κύριος διὰ τὴν μίαν ὑπόστασιν δεύτερος μὲν ἄνθρωπος κατὰ τὴν ἡνωμένην ἀνθρωπότητα, ἐξ οὐρανοῦ δὲ κατὰ τὴν θεότητα. Εἰ γὰρ μὴ νοήσωμεν ἕκαστον οἰκείως, ἐναντιολογίαις ὑποβαλοῦμεν τὸν Ἀπόστολον. Πῶς γὰρ κατὰ πάντα ὅμοιος ἡμῖν τοῖς γηΐνοις; Πῶς δὲ ἀδελφὸς ἡμῶν ὁ σάρκα οὐρανίαν περιβεβλημένος; Καὶ ἄλλα δὲ μυρία ἄτοπα ἕψεται.

Ὅτι τοῦ ἀγαθοῦ Θεοῦ εἰσιν ἥ τε παλαιὰ νομοθεσία καὶ οἱ ἐν αὐτῇ λάμψαντες.

Εἰ ὁ παλαιὸς νόμος ἦν τοῦ πονηροῦ, πῶς ὁ νομοθέτης τοῦ νέου τὸν ἐκπειράζοντα νομικόν, καὶ τὴν

ζωὴν τὴν αἰώνιον ὑποκρινόμενον ζητεῖν, εἰς τὸν νόμον ἐκεῖνον παραπέμπει, κἀκεῖθεν εὑρεῖν τὸ ζητούμενον ὑποβάλλει; τοῦ νομικοῦ δὲ τὰς δύο πρώτας αὐτοῖς ῥήμασι διελθόντος ἐντολὰς, καλῶς τε αὐτὸν ἀποκριθῆναι ἡ ἀλήθεια ἔφη, καὶ εἰ κατὰ ταύτας πολιτεύοιτο, τὴν ζητουμένην αἰώνιον κληρονομῆσαι ζωήν;

Ἐρωτώμενος ὁ Σωτὴρ περὶ τῶν νομικῶν ἐντολῶν, πρώτην εἶναί φησιν, *Ἄκουε, Ἰσραὴλ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι*, καὶ τὰ ἑξῆς. Καὶ τὸν ἐπερωτῶντα δὲ σύμψηφον εὑρὼν, οὐ μακρὰν εἶπεν εἶναι τῆς βασιλείας τοῦ Θεοῦ. Πῶς οὖν αἱ μωσαϊκαὶ νομοθεσίαι, εἴπερ ἦσαν τοῦ ἐχθροῦ, ἕνα Θεὸν καὶ Κύριον νομοθετοῦσιν εἰδέναι; Εἰ δὲ ἕνα Θεὸν καὶ Κύριον ἀνακηρύττει Μωσῆς, καὶ παρὰ τοῦτον ἄλλῳ μήτε λατρεύειν, μήτε προσκυνεῖν, ποῦ εἰσιν οἱ τὴν πονηρὰν ἀρχὴν παρεισάγοντες, καὶ ταύτῃ τὴν παλαιὰν νομοθεσίαν ἀνατιθέντες;

Τί ἂν εἴποιεν οἱ κατήγοροι τῆς παλαιᾶς νομοθεσίας, ὁρῶντες διὰ τοῦ Εὐαγγελίου τὸν Χριστὸν ἀγόμενον μὲν εἰς τὰ Ἱεροσόλυμα, τελοῦντα δὲ τὰ Μωσαϊκὰ, καὶ φέροντα θυσίαν, κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου;

Πάλιν ὁ Σωτὴρ τὴν τῶν ὀμνυόντων ἐπιστομίζων ματαιολογίαν, *Μωροὶ*, φησὶ, *καὶ τυφλοὶ, τίς μείζων ἐστὶν, ὁ χρυσὸς ἢ ὁ ναὸς ὁ ἁγιάζων τὸν χρυσόν*; Οὐκοῦν ὁ τῆς Παλαιᾶς ναὸς οὐ μόνον ἅγιος ἦν, ἀλλὰ καὶ ἁγιάζειν εἶχεν ἰσχύν. Καὶ πάλιν, *Τί μεῖζον, τὸ δῶρον ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον*; σαφῶς κἀνταῦθα δεικνὺς, ὅτι τὸ θυσιαστήριον ἅγιόν τε ἦν, καὶ τὰ ἐν αὐτῷ ἀνατιθέμενα ἅγια ἐποίει.

Φησὶν ὁ Παῦλος τὸ στόμα τοῦ Χριστοῦ, ὅτι *Οὐχ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται*. Καὶ πῶς οὐκ ἔστιν ὁ νόμος ἐκ τοῦ ὄντος Θεοῦ, ὃς δικαίους ἀποφαίνει τοὺς ποιοῦντας αὐτόν;

Ὅτι δὲ ὁ παλαιὸς νόμος θεῖός ἐστι, καὶ τοῦ ἐπουρανίου Θεοῦ, βοᾷ Παῦλος ὁ τῆς ἀληθείας κῆρυξ λέγων, *Τί οὖν ἐροῦμεν, ὁ νόμος ἁμαρτία; Μὴ γένοιτο*. Καὶ πάλιν, *Οἶδα γὰρ, ὅτι ὁ νόμος πνευματικός ἐστι, καὶ συνήδομαι τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον*. Καὶ πάλιν, *Ἄρα αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω νόμῳ Θεοῦ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας*, καὶ τὰ ἑξῆς. *Ὥστε ὁ μὲν νόμος ἅγιος*, φησὶ, *καὶ ἡ ἐντολὴ ἁγία, καὶ δικαία, καὶ ἀγαθή*. Καὶ δῆλον, ὡς οὐκ ἄλλη μὲν ἡ ἁγία, ἄλλη δὲ ἡ δικαία, ἄλλη δὲ ἡ ἀγαθὴ, ἀλλ' ἡ αὐτὴ τοῦ νόμου ἐντολὴ, καὶ τοῦ αὐτοῦ Θεοῦ, καὶ ἁγίου, καὶ δικαίου, καὶ ἀγαθοῦ. Ἐξ οὗ γὰρ βρύει τὸ ἅγιον, καὶ δίκαιον, καὶ ἀγαθὸν, χορηγὸς μέν ἐστι τούτων αὐτὸς, καὶ δοτὴρ, κατὰ τὸ αἴτιον δὲ πρὸ πάντων, ὧν ἄλλοις μετασχεῖν παρέσχεν, αὐτὸς ὑπάρχει ταῦτα οὐ μετασχών.

Πῶς ἂν ἅγια, καὶ ἁγίων Ἅγια τὰ τῆς Παλαιᾶς Διαθήκης, εἰ πονηρᾶς νομοθεσίας ἦν; Λέγει γὰρ ὁ αὐτὸς Ἀπόστολος, *Εἶχεν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας, τό τε ἅγιον κοσμικόν. Καὶ σκηνὴ*

A labat, ad legem illam rejicit, atque inde quod quærebat petere monet, cumque duo prima præcepta ille ad verbum recensuisset, veritas et ipsum ait recte respondisse, et quam quærebat, eorum observatione vitam assecuturum sempiternam?

Servator, cum ab ipso fuisset quæsitum quodnam esset primum in lege mandatum, respondit: *Audi, Israel, Dominus Deus tuus Dominus unus est* [1], et quæ sequuntur. Cumque ille, qui quæsierat, assensus esset, dixit eum haud procul abesse a regno Dei. Quomodo igitur leges Mosaicæ si ab inimico essent latæ, unum Deum ac Dominum nobis agnoscendum præscriberent, et præter illum non esse quempiam colendum et adorandum? ubi B sunt, qui malum confingunt principium, eique Vetus attribuunt Testamentum?

Quid dicent, qui Vetus Testamentum incusant, cum ex Evangelio Christum viderint Hierosolymam ingressum, ea quæ Moses jussit pendere, et sacrificium, ut scriptum est in lege Domini, offerre?

Servator rursum cum jurantium stultitiam reprehenderet: *Stulti*, inquit, *et cæci, quid est majus, aurum, an templum, quod sanctificat aurum* [2]? Ergo Veteris Testamenti templum non modo erat sanctum, sed habebat etiam sanctificandi vim. Præterea: *Quid majus*, inquit, *donum an altare, quod sanctificat donum* [3]? Plane hic etiam ostendit, altare fuisse sanctum, et quæ in ipso offerebantur, C sanctificasse.

Os Christi Paulus: *Non auditores*, inquit, *legis justi sunt apud Deum, sed factores justificabuntur*. Quomodo igitur lex a vero Deo non sit, quæ illos, qui sibi obtemperant, justos declarat?

Antiquam legem esse divinam, et a cœlesti Deo latam veritatis præco Paulus clara voce pronuntiat: *Quid igitur*, inquiens, *dicemus? Lex peccatum? Absit* [4]. Et rursum: *Novi, quod lex spiritalis est* [5]. Et: *Consentio legi Dei secundum interiorem hominem*. Et rursum: *Ego quidem mente servio legi Dei, carne autem legi peccati*, et quæ sequuntur [6]. *Quare lex quidem*, inquit, *sancta, et mandatum* D *sanctum, et justum, et bonum* [7]. Nec aliud quidem sanctum, aliud justum, aliud bonum, sed idem legis mandatum, et ejusdem Dei, et sancti, et justi, et boni. Ex quo enim sanctitas fluit, et justitia, et bonitas, harum est ipse elargitor. Cum autem, ut causa, ante omnia sit, hæc aliis impertit, non autem ipse particeps fit.

Quomodo sancta sunt et Sancta sanctorum Veteris Testamenti, si a malo sunt? Dicit enim ipse Apostolus: *Habebat primum tabernaculum justificationes culturæ, et sanctum sæculare Et tabernacu-*

[1] Deut. vi, 4. [2] Matth. xxiii, 17. [3] Ibid. 19. [4] Rom. vii, 7. [5] Ibid. 14. [6] Ibid. 16. [7] Ibid. xxv. [8] Ibid. 12.

lum factum est primum, in quo erant candelabra, et mensa, et propositio panum, quæ dicitur Sancta. Post velamentum autem secundum, tabernaculum quod dicitur Sancta sanctorum [1]. Quomodo igitur Sancta, et Sancta sanctorum, et arca, in qua urna erat aurea habens manna, et virga Aaron posita erat, et tabulæ testamenti? et quomodo cherubim gloriæ obumbrabant ipsa, si inimici et mali principii hæc erant instituta?

Quæ Moses docuit, Servator appellat mandata Dei, eaque semper veneranda declarat: *Deus* inquiens, *præcepit: Honora patrem tuum, et matrem tuam; et: Qui maledixerit patri vel matri, morte moriatur. Vos autem transgressi estis mandatum Dei propter traditionem vestram* [2]. Et hæc locutus, testem adhibet Isaiam: *Bene*, inquiens, *prophetavit de vobis Isaias: Populus*, inquiens, *hic appropinquat mihi ore suo, et labiis me honorat. Cor autem ejus longe est a me. Frustra autem colunt me. Quid ita? Quia docent doctrinas, mandata hominum* [3]. Ecce quam aperte Vetus Testamentum appellet mandata Dei Filius ipsius naturalis, et prophetam Isaiam, prophetam ejus. Ubi sunt igitur, qui Vetus Testamentum malo attribuunt, et qui Veteris Testamenti prophetas ejusdem esse prophetas dicunt? Et rursum alibi pacem et justitiam in hominibus confirmans atque præcipiens: *Quamobrem*, inquit, *omnia, quæcunque vultis, ut faciant vobis homines, et vos eadem facite illis*. Quod quidem mandatum legis et prophetarum mentione confirmat: *Sic enim*, inquiens, *est lex et prophetæ* [4].

Sancto repletus Spiritu Zacharias, sanctos, qui a sæculo fuerunt, prophetas chorum sanctorum appellat: *Et erexit*, inquiens, *cornu salutis nobis, in domo David pueri sui. Sicut locutus est per os sanctorum, qui a sæculo sunt, prophetarum ejus* [5]. Ejus, non autem inimici. Quid porro prædixerunt? Meminisse Deum testamenti sui sancti, non autem testamenti inimici. Et quo magis impiorum ora coerceret, adjecit: *Jusjurandum, quod juravit ad Abraham patrem nostrum daturum se nobis, ut sine timore de manu inimicorum nostrorum liberati serviamus ipsi in sanctitate et justitia* [6]. Collige quæ dicta sunt. Spiritu sancto repletur Zacharias. Quo repletus sanctos a sæculo prophetas vocat. Et Mosaicum Testamentum sanctum appellat. Et libertatem nostram prædicit. Et eum qui juravit ad Abraham libertatis elargitorem nominat. Et eos qui ad ipsum accedunt adorandum, in sanctitate et justitia dicit adorare. Si hæc recensuit Zacharias Spiritu sancto plenus, nonne qui contra sentiunt, malo spiritu pleni esse deprehenduntur?

A *κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται Ἅγια. Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη Ἅγια ἁγίων*. Πῶς οὖν οὐχ ἁγία, καὶ ἁγίων Ἅγια, ἐν ᾗ στάμνος μὲν εἶχε τὸ μάννα χρυσῆ, καὶ ῥάβδος δὲ ἀπέκειτο τοῦ Ἀαρὼν, καὶ αἱ πλάκες τῆς Διαθήκης; Καὶ πῶς Χερουβὶμ δόξης κατεσκίαζεν αὐτὰ, εἰ τῆς ἐπιβούλου καὶ πονηρᾶς ἀρχῆς ταῦτα προστάγματα ἦν;

Ἐντολὰς Θεοῦ ὁ Σωτὴρ τὰ μωσαϊκὰ διατάγματα καλῶν, καὶ πανταχοῦ τιμῶν τὴν τοιαύτην νομοθεσίαν, *Ὁ Θεὸς*, φησὶν, *ἐνετείλατο· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου*, καὶ *Ὁ κακολογῶν πατέρα, ἢ μητέρα, θανάτῳ τελευτάτω. Ὑμεῖς δὲ ἠκυρώσατε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν*. B Καὶ ταῦτα εἰπὼν, μάρτυρα τὸν Ἡσαΐαν ἐπάγεται λέγων, *Καλῶς προεφήτευσε περὶ ὑμῶν Ἡσαΐας· Ἐγγίζει μοι ὁ λαὸς οὗτος τῷ στόματι αὐτῶν, καὶ τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ*. Καὶ πρόσεχε λοιπόν. *Μάτην δὲ σέβονταί με*. Διατί; *Διότι διδάσκουσι διδασκαλίας, ἐντάλματα ἀνθρώπων*. Ἰδοὺ σαφῶς ἐντολὰς τοῦ ἐπὶ πάντων Θεοῦ τὴν παλαιὰν ἐκάλεσε νομοθεσίαν ὁ κατὰ φύσιν Υἱὸς αὐτοῦ, καὶ τὸν προφήτην Ἡσαΐαν, προφήτην αὐτοῦ. Καὶ ποῦ εἰσιν οἱ τὴν Παλαιὰν τῷ πονηρῷ χαριζόμενοι, καὶ τοὺς ἐν αὐτῇ προφήτας ἐκείνου προφήτας λέγοντες; Καὶ πάλιν, ἐν ἄλλοις τὴν ἐν ἀνθρώποις εἰρήνην καὶ δικαιοσύνην κρατύνων, καὶ νομοθετῶν, δι' ὧν ἔλεγε, *Πάντα ὅσα ἂν θέλητε, ἵνα ποιῶσιν* C *ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς*. Ταύτην αὐτοῦ τὴν νομοθεσίαν τῷ ἀξιώματι τοῦ νόμου καὶ τῶν προφητῶν ἐπισφραγίζει. *Οὕτω γάρ ἐστι*, φησὶν, *ὁ νόμος καὶ οἱ προφῆται*.

Πνεύματος ἁγίου γίνεται πλήρης ὁ Ζαχαρίας, καὶ τοὺς ἀπ' αἰώνων προφήτας χορηγοὺς ἁγίων εἶναι κηρύσσει λέγων, *Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ, καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ*, ἀλλ' οὐχὶ τοῦ ἐχθροῦ προφητῶν. Καὶ τί προεφήτευσαν; Μνησθῆναι τὸν Θεὸν Διαθήκης ἁγίας αὐτοῦ, ἀλλ' οὐχὶ τῆς τοῦ ἐχθροῦ διαθήκης. Ἔτι δὲ μᾶλλον τῶν ἀσεβῶν χαλινῶν τὰ στόματα ἐπήγαγεν, *Ὅρκῳ, ᾧ ὤμοσε πρὸς Ἀβραὰμ* D *τὸν πατέρα ἡμῶν τοῦ δοῦναι ἡμῖν ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ*. Συλλογίζου τὰ εἰρημένα. Πνεῦμα ἅγιον πληροῖ τὸν Ζαχαρίαν, καὶ πληρωθεὶς, ἐκεῖθεν ἁγίους τοὺς ἀπ' αἰῶνος προφήτας ἀναγορεύει, καὶ τὴν μωσαϊκὴν Διαθήκην ἁγίαν ὀνομάζει, καὶ τὴν ἐλευθερίαν ἡμῶν προφητεύει, καὶ τὸν ὀμόσαντα πρὸς τὸν Ἀβραὰμ τῆς ἐλευθερίας δοτῆρα εἶναι κηρύσσει, καὶ τοὺς προσάγοντας αὐτῷ τὴν λατρείαν ἐν ὁσιότητι καὶ δικαιοσύνῃ λατρεύειν. Εἰ ταῦτα διεξῆλθεν ὁ Ζαχαρίας, Πνεύματος ἁγίου πλησθεὶς, πῶς οἱ τἀναντία φρονοῦντες οὐχὶ τοῦ πονηροῦ πνεύματος πλησθέντες ἐλέγχονται;

[1] Hebr. IX, 1—3. [2] Matth. XV, 3—6. [3] Ibid. 7—9. [4] Matth. 7, 12. [5] Luc. I, 69, 70. [6] Ibid. 73, 74.

A Εἰ τοῦ πονηροῦ ἦν ἡ παλαιὰ νομοθεσία, καὶ οἱ ἐν αὐτῇ λάμψαντες, πῶς ὁ εὐαγγελιστὴς Λουκᾶς τὸν Ζαχαρίαν καὶ τὴν Ἐλισάβετ ἐν τῇ παλαιᾷ νομοθεσίᾳ βιοῦντας δικαίους ἐνώπιον τοῦ Θεοῦ μαρτυρεῖ, ἀλλ' οὐκ ἐνώπιον ἀνθρώπων, καὶ πορευομένους ἐν πάσαις ταῖς ἐντολαῖς τοῦ Θεοῦ καὶ δικαιώμασιν ἀμέμπτως; εἶτα καὶ τὴν ἱερατείαν τὸν Ζαχαρίαν τελεῖν ἐνώπιον τοῦ Θεοῦ, καὶ τὸν νομικὸν ναὸν, εἰς ὃν εἰσῄει, ναὸν προσαγορεύει Θεοῦ; ἐν αὐτῷ τε τὸν ἄγγελον ὀφθῆναι Κυρίου, καὶ τότε τίνα; τὸν ἀρχιστράτηγον Γαβριήλ. Ἐκ τούτων τε γὰρ καὶ πολλῶν ἄλλων τῶν ἐφεξῆς ἥ τε παλαιὰ Διαθήκη καὶ οἱ καλῶς ἐν αὐτῇ πολιτευσάμενοι τοῦ ἀγαθοῦ Θεοῦ λαμπρῶς ἀνακηρύττονται.

Si mali Vetus erat Testamentum, et qui in ipso claruerunt, cur Lucas evangelista Zachariam et Elisabeth in antiqua viventes lege justos coram Deo esse testatur, non autem coram hominibus, et ambulasse in omnibus ejus mandatis et justificationibus sine querela, deinde Zachariam sacerdotio functum in conspectu Dei, et legale templum, in quod ingressus est, Dei templum appellat, in eoque angelum Domini apparuisse, principem illum exercitus Gabrielem? Ex his enim et aliis multis, quæ sequuntur, tum Vetus Testamentum, tum illos, qui in ipso se recte gesserunt, Dei fuisse aperte pronuntiat.

Εἴπερ ἐστὶν ἡ παλαιὰ νομοθεσία τοῦ πονηροῦ, B πῶς ἠνέχετο λαβεῖν τὸ βιβλίον ταύτης, ἤτοι τὸ βιβλίον Ἡσαΐου τοῦ προφήτου, ὁ τὸν πονηρὸν καθελεῖν παραγεγονὼς, καὶ εἰς πολλῶν ἀκοὰς ὑπαναγνῶναι, δι' ὧν προεκηρύττετο τὰ περὶ αὐτοῦ; καὶ οὐκ ἀναγνῶναι μόνον, ἀλλὰ καὶ διαμαρτύρασθαι, ὅτι *Ταῦτα νῦν πεπλήρωται ἐν τοῖς ὠσὶν ὑμῶν*, καὶ τὸν ἐνιαυτὸν, ὅς ἐστι περίοδος χρόνων, ὁ δὲ χρόνος μέτρον κινήσεως αἰσθητῆς, τοῦτον ἀνακηρύξαι δεκτὸν Κυρίῳ; Πῶς δὲ πάλιν ἐν τῇ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου παραβολῇ ὁ ἀγαθὸς ἡμῶν Δεσπότης Μωσέα καὶ τοὺς προφήτας τῆς σωτηρίου ἐπιστροφῆς καὶ μεταμελείας διδασκάλους ἀποκαλεῖ; *Ἔχουσι* γὰρ, φησὶ, *Μωσέα καὶ τοὺς προφήτας, ἀκουσάτωσαν αὐτῶν*. Ἆρα γὰρ ὁ ἐπὶ κοινῇ τοῦ γένους σωτηρίᾳ τὴν ἡμῶν φύσιν ἀναλαβὼν τοὺς C μυσταγωγουμένους παρ' αὐτοῦ, καὶ τῆς πλάνης ἀπαλλαττομένους εἰς τοὺς θεράποντας καὶ ὑπηρέτας ἀνέπεμπε τοῦ ἐχθροῦ, καὶ τότε σωτηρίας τυχεῖν; Καὶ τίς ἂν ἀνάσχοιτο τὴν ὑπερβολὴν τῆς τοσαύτης ἀπονοίας;

Si mali Vetus Testamentum, cur ejus librum, seu librum Isaiæ prophetæ, accipere voluit is qui ad malum evertendum venerat, eaque multis audientibus legere, quæ de se prædicta fuerant? Neque vero solum legit, sed etiam testimonio suo comprobavit: *Hæc*, inquiens, *nunc expleta sunt in auribus vestris* [1]. Cur annum, qui est temporis circuitus, tempus autem mensura motus sensibilis, acceptum Domino prædicavit? Cur rursum in Lazari et divitis parabola bonus noster Dominus Mosem et prophetas salutiferæ conversionis et pœnitentiæ magistros appellat, *Habent*, inquiens, *Mosem et prophetas, ipsos audiant* [2]? Isne qui pro communi salute humani generis naturam nostram suceperat, eos, qui a se erudiebantur et ab errore revocabantur, ad ministros et servos inimici misisset, ut salutem assequerentur? Quis perferre queat istorum amentiam incredibilem?

Εἰ τῆς παλαιᾶς Διαθήκης νομοθέτης ὁ πονηρὸς, πῶς λέγει ἡ τῆς ἀγαθότητος πηγὴ, *Ἐρευνᾶτε τὰς Γραφὰς, ὅτι ἐν αὐταῖς εὑρήσετε ζωὴν αἰώνιον*; Γραφὰς λέγων τάς τε μωσαϊκὰς καὶ τὰς ἄλλας προφητικάς. Οὔπω γὰρ ἦσαν αἱ βίβλοι τῆς νέας χάριτος. Ποῦ γὰρ ἡ αἰώνιος ζωὴ, ἐν οἷς ὁ πονηρὸς νομοθετεῖ καὶ παρακελεύεται; Πῶς δὲ καὶ ἐν ἄλλοις ἡ ἀλήθεια λέγει, *Εἰ ἐπιστεύετε Μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί. Περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν*; Οὐκ εἶπεν, Εἰ ἔν τινι ἐπιστεύετε Μωσεῖ, ἀλλ' ἁπλῶς αὐτοῦ τὸ ἀξιόπιστον ἀνεκήρυξεν.

Si malus antiquæ legis est auctor, cur bonitatis fons ait: *Scrutamini Scripturas, quoniam in ipsis invenietis vitam æternam* [3]? Quo quidem loco Scripturas Mosis et aliorum prophetarum intelligit. Nondum enim erant libri novæ gratiæ. Quonam modo æterna vita in iis quæ a malo lata et præscripta sunt? Præterea cur alibi Veritas dicit: *Si Mosi crederetis, mihi utique crederetis; de me enim ille scripsit* [4]? Non dixit: Si in quibusdam Mosi crederetis, sed ipsum simpliciter dignum, cui D credatur ostendit.

Εἰ πονηρᾶς ἦν ἀρχῆς ἡ Παλαιὰ, πῶς ὁ μέγας Παῦλος, ἀρχόμενος τῆς πρὸς Ῥωμαίους Ἐπιστολῆς, προεπαγγείλασθαι λέγει τὸν Θεὸν διὰ τῶν προφητῶν αὐτοῦ ἐν Γραφαῖς ἁγίαις περὶ τοῦ Υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα; Εἰ γὰρ Θεοῦ προφῆται, καὶ Γραφαὶ ἅγιαι, δι' ὧν ὁ Θεὸς προεπηγγείλατο περὶ τοῦ Υἱοῦ αὐτοῦ, πῶς ἂν ἡ παλαιὰ διαθήκη λογισθείη τοῦ πονηροῦ; Καὶ ὁ Μάρκος δέ φησιν· *Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ Υἱοῦ τοῦ Θεοῦ*, ὡς γέγραπται ἐν τοῖς

Si mali principii Vetus est Testamentum, cur magnus Paulus in principio Epistolæ ad Romanos, prænuntiasse dicit Deum per prophetas in Scripturis suis de Filio suo facto ex semine David secundum carnem [5]? Si enim sunt prophetæ Dei, et sanctæ Scripturæ, per quas Deus prænuntiavit de Filio suo, quomodo Vetus Testamentum mali potest existimari? Et Marcus ait: *Initium Evangelii Jesu Christi, Filii Dei, ut scriptum est in prophetis* [6]. Et multis in locis quatuor Evangelio-

[1] Luc. IV, 21. [2] Luc. XVI, 29. [3] Joan. III, 39. [4] Joan. V, 46. [5] Rom. I, 1-3. [6] Marc. I, 1.

rum scriptum est illud: *Ut impleretur id, quod dictum est per* hunc et illum *prophetam*.

Si justitia Dei manifesta est, testificata a lege et prophetis, ut Paulus apostolus ait [1], qui fieri possit, ut lex et prophetæ ex boni Dei inspiratione et veritate non provenire putentur?

Si mali principii Vetus est Testamentum, quomodo Christus Servator noster gratiam cum lege conjungens: *Multi prophetæ*, inquit, *et justi cupiverunt videre, quæ vos videtis, et non viderunt* [2]? Cur enim videre voluissent, qui a malo essent, ea quæ boni sunt? Boni enim cupiditas a bono nascitur. Et quomodo rursum dixit: *Abraham vidit diem meum, et gavisus est* [3]? Si enim *Christi mysterium*, ut Paulus ait, *latuit principes, et potestates, et dominationes* [4], earumque imperatorem, quo pacto servi ejus prævidissent diem Christi, et gavisi essent?

Operariis iniquitatis gravissima minatus supplicia in die judicii Christus subjecit: *Cum videritis Abraham et Isaac et omnes prophetas in regno Dei, vos autem ejici foras; et venient ab oriente, et occidente, et septentrione, et austro, et recumbent in regno Dei* [5]. Expellentur igitur quicunque vitam ad Abraham, et Isaac, et Jacob, et prophetarum imitationem non instituerint. Recumbent autem cum illis qui pietatis ipsorum studiosi fuerint. Quomodo igitur latrones, et fures, et mali fuerunt servi, qui regno Dei potiuntur? O effrenata ora, et patri mendacii prompte servientia, quæ ne ardorem quidem reformident, quo gaudentes cum Abraham separabuntur ab iis qui in fornacibus punientur.

Alibi rursum Servator iis qui cum Abraham erunt, regni cœlorum assignat hæreditatem, et cum illis collocat mandatorum suorum observatores: *Multi*, inquiens, *venient ab oriente, et occidente, et recumbent cum Abraham, et Isaac, et Jacob in regno cœlorum* [6]. Hoccine præmium illis constituit, a quibus cognitus est? Hoccine munus ille elargitur, qui sese innumerabilibus incommodis et morti propter ipsum obtulerunt, ut cum mali servis, siquidem ejus sunt servi, qui in Veteri fuerunt Testamento, vivant, et numerentur, et congregentur? Quis audire queat hæc, qui verba divina solitus sit audire? Præterea quomodo Moses et Elias in transfiguratione visi sunt, et cum ipso colloquebantur atque fulgebant?

Sadducæorum stultitiam reprehendens Servator, qui de illa, quæ septem fratrum uxor exstiterat, quærebant, cujus esset futura, simulque mutuum

A προφήταις. Καὶ πολλαχοῦ δὲ τῶν τεσσάρων Εὐαγγελίων γέγραπται τὸ, *Ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ* τοῦδε τοῦ *προφήτου*.

Εἰ ἡ δικαιοσύνη τοῦ Θεοῦ πεφανέρωται μαρτυρουμένη ὑπὸ νόμου καὶ τῶν προφητῶν, κατὰ τὸν ἀπόστολον Παῦλον, πῶς ὁ νόμος καὶ οἱ προφῆται οὐχὶ τῆς ἐκ τοῦ ἀγαθοῦ Θεοῦ ἐπιπνοίας τε καὶ ἀληθείας πεπληρωμένοι νομίζοιντ' ἄν;

Εἰ τῆς πονηρᾶς ἦν ἀρχῆς ἡ Παλαιὰ, πῶς ὁ τὴν χάριν συνάπτων τῷ νόμῳ Χριστὸς ὁ Σωτὴρ ἡμῶν λέγει, *Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ ἴδετε, καὶ οὐκ εἶδον*; Πῶς γὰρ ἠθέλησαν ἰδεῖν οἱ τοῦ πονηροῦ τὰ τοῦ ἀγαθοῦ; ἡ γὰρ ἐπιθυμία τοῦ ἀγαθοῦ ὁρμῆς ἀγαθῆς βλάστημά ἐστι. Καὶ πῶς πάλιν λέγει, *Ἀβραὰμ εἶδε τὴν ἡμέραν τὴν*
B *ἐμὴν, καὶ ἠγαλλιάσατο*; Εἰ γὰρ τὸ κατὰ Χριστὸν *μυστήριον*, ὡς ὁ Παῦλός φησιν, *ἔλαθε τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας τοῦ κόσμου, καὶ τοὺς κοσμοκράτορας*, καὶ αὐτὸν δὴ τὸν ἄρχοντα τούτων, πόθεν οἱ θεράποντες αὐτοῦ προεῖδον τὴν ἡμέραν αὐτοῦ, καὶ ἠγαλλιάσαντο;

Τοῖς ἐργάταις τῆς ἀδικίας ἀπειλήσας ὁ Σωτὴρ τὰ χαλεπώτατα κατὰ τὸν καιρὸν τῆς κρίσεως, ἐπήγαγε λέγων· *Ὅταν ὄψησθε Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ πάντας τοὺς προφήτας ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, ὑμᾶς δὲ ἐκβαλλομένους ἔξω, καὶ ἥξουσιν ἀπὸ Ἀνατολῶν, καὶ Δυσμῶν, καὶ Βοῤῥᾶ, καὶ Νότου, καὶ ἀνακλιθήσονται ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ*. Ἐκβάλλονται μὲν οὖν ὅσοι κατὰ μίμησιν τοῦ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ
C τῶν προφητῶν οὐκ ἐπολιτεύσαντο, συνανακλίνονται δὲ τούτοις οἱ ζηλωταὶ τῆς εὐσεβείας αὐτῶν. Πῶς οὖν λησταὶ καὶ κλέπται καὶ τοῦ πονηροῦ εἰσιν ὑπηρέται οἱ τῆς τοῦ Θεοῦ βασιλείας ἀπολαύοντες; Ὦ στομάτων ἀπυλώτων, καὶ τῷ πατρὶ τοῦ ψεύδους ἑτοίμως ὑπηρετουμένων, καὶ μηδὲ τὸ χάσμα πεφρικότων τὸ διατειχίζον τοὺς μετὰ τοῦ Ἀβραὰμ εὐφραινομένους ἀπὸ τῶν ἐν ταῖς βασάνοις κολαζομένων!

Ἀλλαχοῦ πάλιν ὁ Σωτὴρ τοῖς περὶ Ἀβραὰμ τὴν βασιλείαν τῶν οὐρανῶν εἰς κλῆρον ἀφορίζει, καὶ συντάττει τούτοις τοὺς φύλακας τῶν ἑαυτοῦ προσταγμάτων. Φησὶ γὰρ, ὅτι *Πολλοὶ ἀπὸ Ἀνατολῶν καὶ Δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ*
D *Ἀβραὰμ, Ἰσαὰκ, καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν*. Ἆρα γὰρ τοῦτο ἔπαθλον τοῖς ἐγνωκόσιν αὐτὸν, καὶ μυρία πεπονθόσιν ὑπὲρ αὐτοῦ; Τοῦτο δῶρον τοῖς ὅσοι τὰς σφαγὰς δι' αὐτὸν ὑπέσχον, τὸ μετὰ τῶν θεραπόντων τοῦ πονηροῦ καὶ συνεῖναι, καὶ συναριθμεῖσθαι, καὶ συναγελάζεσθαι, εἴ γε τοῦ πονηροῦ θεράποντες οἱ τῆς παλαιᾶς πολιτείας; Καὶ ποία ταῦτα ἂν ἀνέξοιτο ἀκοὴ ῥημάτων θείων ἀκούειν ἔθος ἔχουσα; Πῶς δὲ καὶ Μωσῆς, καὶ Ἠλίας κατὰ τὴν μεταμόρφωσιν ὤφθησαν συμπαρόντες αὐτῷ, καὶ διομιλοῦντες, καὶ συναστράπτοντες;

Διελέγχων ὁ Σωτὴρ τὴν ἄνοιαν τῶν Σαδδουκαίων τῶν περὶ τῆς μιᾶς γυναικὸς τῶν ἑπτὰ ἀδελφῶν ἐπερωτησάντων, καὶ ἅμα τοῦ νόμου καὶ τῆς χάριτος τὴν

[1] Marc. I, 17. [2] Luc. X, 24. [3] Joan. VIII, 56. [4] Rom. XVI, 25. [5] Luc. XIII, 28, 29. [6] Matth. VIII, 11.

συμφωνίαν καὶ ἀλληλουχίαν τρανολογῶν, *Οὐκ ἀνέγνωτε*, φησὶ, *τὸ ῥηθὲν ὑπὸ τοῦ Θεοῦ. Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακὼβ*, καὶ τὰ ἑξῆς, δεικνὺς ἐναργῶς διὰ τούτων, ὅτι τε Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ τῆς αἰωνίου ζωῆς εἰσι κληρονόμοι, καὶ ὅτι Θεὸς αἰώνιος, καὶ τῆς ἀναστάσεως εἰσηγητὴς, καὶ τῆς ἐκεῖθεν ἀπολαύσεως δοτὴρ ὁ τούτων Θεός. Ἐπήγαγε γὰρ, ὅτι Οὐκ ἔστιν ὁ Θεὸς Θεὸς νεκρῶν, ἀλλὰ ζώντων. Προσέθηκε δὲ καὶ ὁ Μάρκος, ὅτι ἐν τῇ βίβλῳ Μωσέως ταῦτα εἴρηκεν ὁ Θεός· [Εἰ] Θεὸς μὲν νεκρῶν οὐκ ἔστιν, ἀλλὰ ζῇ μὲν παρ' αὐτῷ Ἀβραὰμ, ζῇ δὲ Ἰσαὰκ, ζῇ δὲ Ἰακὼβ, καὶ πάντες ὅσοι τὴν αὐτῶν ἐζήλωσαν πολιτείαν, καὶ εἰσὶν ὡς ἄγγελοι τοῦ Θεοῦ ἐν οὐρανῷ· Θεοῦ δὲ καὶ ὁ Μωσῆς ὑπηρέτης, καὶ τοῦ θεόθεν νόμου διάκονος· πῶς πονηρᾶς ἀρχῆς οἱ κατὰ τὴν παλαιὰν βεβιωκότες πολιτείαν;

Εἰ τῆς πονηρᾶς μοίρας ἦν ὁ προφήτης Δαβὶδ, πῶς ὁ Χριστὸς πνευματοφόρον αὐτὸν εἶπεν, ὅτι *Φησὶν ὁ Δαβὶδ ἐν Πνεύματι ἁγίῳ· Λέγει ὁ Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου*, καὶ τὰ ἑξῆς;

Ὅτι εἷς ὁ τῆς Παλαιᾶς καὶ Νέας νομοθέτης, καὶ σύμφωνοι ἀλλήλαις εἰσὶν, ἀλλ' οὐκ ἐναντίαι, κατὰ τοὺς θεομάχους.

Μὴ νομίσητε, φησὶν ὁ Σωτὴρ, *ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι*· καὶ, *Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται.* Ἐγὼ πληρωτὴς, φησὶν, ἦλθον τοῦ νόμου. Στομάτων ἐστὶ πονηρῶν τὸ λέγειν ἐλθεῖν ἐμὲ πρὸς τὸ παραλῦσαι τὸν νόμον Πατρικὸν ὄντα, καὶ, ταυτὸν εἰπεῖν, ἐμόν. Λοιπὸν οὖν οὐδὲν αὐτοῦ ἀτελείωτον ἐάσω. Ἐγὼ τῶν προφητικῶν φωνῶν ἡ βεβαίωσις. Ἐμοὶ γὰρ ὄντες καὶ τοῦ ἐμοῦ Πατρὸς ὑπηρέται καὶ διάκονοι τήν τε παρουσίαν τὴν ἐμὴν, καὶ πάντα τὰ τῆς παρουσίας προεῖδόν τε καὶ προήγγειλαν. Διὸ ἐξ ὧν τε ἐκεῖνοι προεῖπον, καὶ ὁ νόμος περιέχει, οὐ μικρὸν, οὐ μέγα παρελεύσεται, ὃ μὴ τῆς ἀληθείας τῷ πέρατι σφραγισθῇ. Εἰ γὰρ ἐγὼ διάκονος περιτομῆς εἰς τὸ βεβαιωθῆναι τὰς ἐπαγγελίας, ἃς ὁ Πατὴρ διέθετο πρὸς τοὺς κατὰ σάρκα Πατέρας· πῶς ἰῶτα ἓν, τουτέστι τὸ ἐλάχιστον τῶν ἐν τῷ νόμῳ καὶ τοῖς προφήταις ῥηθέντων δύναιτ' ἂν ὅλως παρελθεῖν, ἢ μὴ γενέσθαι;

Ὅρα καὶ ἐξ ἄλλων τὴν ἰσοτιμίαν τοῦ νόμου καὶ τῆς χάριτος, ἵνα γνῷς, ὅτι αὐτός ἐστιν ὁ τῆς παλαιᾶς καὶ τῆς νέας Διαθήκης νομοθέτης. *Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ οὐρανὸς, καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.* Τοῦτο τῆς χάριτος. Ὅρα δὲ καὶ τοῦ νόμου· *Εὐκοπώτερόν ἐστι τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν, ἢ μίαν κεραίαν τοῦ νόμου διαπεσεῖν.* Εἶδες πῶς ὁ Σωτὴρ ἡμῶν τῆς ἀποστασίας τὸ θράσος προειδὼς τὰ ἴσα νέμει γέρα καὶ τὸ κλέος τῇ τε παλαιᾷ καὶ τῇ νέᾳ Διαθήκῃ, καίτοι γε ἐν πολλοῖς πολλῷ προέχει τῆς χάριτος; Παιδαγωγὸς γὰρ ἦν ἐκεῖνος τῶν ἐν τῇ χάριτι, ἀλλ'

legis et gratiæ consensum docens, *Non legistis*, inquit, *quod dictum est a Deo: Ego sum Deus Abraham, et Deus Isaac, et Deus Jacob* [1] ? et quæ sequuntur. Quibus verbis aperte declarat Abraham, Isaac, et Jacob hæredes esse æternæ vitæ, et Deum æternum, et resurrectionis auctorem, et gaudii, quod inde sequetur, elargitorem eorum esse Deum. Adjecit enim Deum non esse Deum mortuorum, sed viventium, Marcus autem dixit hæc in libro Mosis Deum dixisse. Quod si Deus non est Deus morthorum, sed cum ipso quidem vivit Abraham, vivit et Isaac, vivit et Jacob, et omnes, qui vitam ipsorum imitati sunt, et sunt tanquam angeli Dei in cœlo [2]; Dei autem servus et Moses, et legis a Deo datæ minister: quomodo a malo principio sunt, qui in Veteri Testamento vixerunt?

Si malæ sortis fuit propheta David, quomodo Christus eum Spiritu afflatum dixit eo loco: *Ait David in Spiritu sancto: Dicit Dominus Domino meo, Sede a dextris meis*, et quæ sequuntur [3]?

Unum esse Testamenti Veteris auctorem et Novi, et quod invicem consona sint, non autem contraria, ut volunt Dei inimici.

Nolite putare, inquit Servator, *quod venerim solvere legem aut prophetas; non veni solvere legem, sed implere* [4]. Et: *Amen amen dico vobis, donec transeat cœlum et terra, iota unum, aut unus apex non præteribit a lege, donec omnia fiant* [5]. Ego, inquit, veni ut legem implerem. Improborum linguarum est dicere, me venisse, quo legem solverem quæ Patris est, atque eadem mea. Nihil igitur prætermittam, quod non impleatur. Ego sum, qui prophetarum verba confirmo. Nam cum servi mei ministrique sint ac Patris mei, et adventum meum, et omnia, quæ ad illum pertinent, prospexerunt et prænuntiarunt. Quamobrem nihil eorum quæ ipsi prædixerunt, et lex continet, præteribit, nec parvum, nec magnum, quod non veritatis fine concludatur. Si enim ego minister circumcisionis ad confirmandas promissiones, quas Pater fecit patribus secundum carnem, quomodo iota unum, id est, ulla pars vel minima eorum quæ in lege et prophetis dicta sunt, poterit omnino præterire, aut non expleri?

Aliis item ex testimoniis agnosce parem legis et gratiæ conditionem, ut eumdem esse Veteris et Novi Testamenti auctorem intelligas: *Amen, amen dico vobis, cœlum et terra transibunt, verba autem mea non transibunt* [6]. Hoc est gratiæ. Aspice et legis testimonium: *Facilius est cœlum et terram transire, quam unum legis apicem excidere.* Vidisti quomodo Servator noster prævisa defectionis istorum audacia paria munera gloriamque tribuat tum Veteri tum Novo Testamento? Atqui multis in rebus lex gratiam antecedit, quippe quæ pædagogi munere fungitur, ad ea quæ gratiæ sunt ducens.

[1] Matth. XXII, 31, 32. [2] Marc. XII, 24, 27. [3] Matth. XXII, 43, 44. [4] Matth. V, 17. [5] ibid. 18. [6] Matth. XXIV, 35.

Verum ut ostenderet eumdem et præterita et præsentia, diversa dispensationis ratione constituisse, eodem et pari loquendi modo de utroque locutus est Testamento. Quid? quod adversus illos qui salutiferis documentis suis non obedirent, Mosem et non alium accusatorem constituit? *Est*, inquit, *qui vos accuset, Moses* [1], apud Patrem nimirum, cujus leges et prophetia de Christo, cum ipsi ; creditæ fuerint, dignus erit accusator, et testis eorum qui leges ejus sibi colendas amandasque censuerint, et qui nihil eorum quæ ab ipso de communi Domino et Servatore nostro prædicta sunt, susceperint; quod quidem caput et fundamentum et principium totius est veteris Testamenti.

Cum veteribus nova conjungens Dominus, ostendensque ea ad eamdem salutis viam deducere, quippe quæ ab uno eodemque auctore profecta sint, veteraque ad perfectionem dirigere, nova autem perfectionem elargiri : *Ideo*, inquit, *omnis Scriba doctus in regno cœlorum, similis est homini patrifamilias, qui profert de thesauro suo nova et vetera* [2]. Docens enim in eodem esse thesauro, et ex eodem promi Novum et Vetus Testamentum, ea inter se consentire et congruere, non autem discrepare confirmat. Ostendens autem utriusque doctrinam ducere ad regnum cœlorum, multo etiam magis consensum eorum nulla in re diversum indicat. Quamobrem si utrumque Testamentum in eodem thesauro servatur, ex eodemque depromitur, et ad idem regnum cœlorum ducit, quomodo ea contrarias in partes distrahunt adversarii?

Si Mosaica et prophetica scripta a divino Spiritu profecta non sunt, cur Servator ex illis adversus Cleopham, alterumque discipulum post resurrectionem sumit reprehensionem : *O stulti*, inquiens, *et tardi corde ad credendum in omnibus, quæ locuti sunt prophetæ. Nonne hæc pati Christum oportuit, et intrare in gloriam suam? Et incipiens a Mose et omnibus prophetis interpretabatur eos, in omnibus Scripturis, quæ de ipso erant* [3]. Redemptor noster recenset prophetas ut indices operum, quibus nos a mali tyrannide liberavit, et tu eos tyrannidis ministros audes appellare? Atque hoc item ex loco constat, legem et prophetas cum gratia convenire.

Quoniam lex cum gratia consentit, idcirco sese vicissim confirmant. Gratia enim prænuntiatur, et effingitur, et exprimitur, et velis adumbratur a lege. Lex autem iis quæ prædicta et prænuntiata sunt. ad opus per gratiam deductis, veritatem in se sub velis absconditam, ab ipsa patefactam intuetur. Quod si inter gratiam et ea quæ fuerunt ante gratiam, consensus non est, quomodo quæ a lege et prophetis prædicta sunt, reipsa perfecta cernimus? Cur Servator noster leprosos a se mundatos ad legis sa-

A ἵνα δείξῃ τὸν αὐτὸν ἐκεῖνά τε καὶ τὰ παρόντα κατὰ διάφορον καὶ ἀπόῤῥητον οἰκονομίας τρόπον νομοθετῆσαι, ταῖς αὐταῖς καὶ ἴσαις φωναῖς περὶ ἑκατέρας νομοθεσίας ἐχρήσατο. Ἀλλὰ γὰρ καὶ κατὰ τῶν ἀπειθούντων αὐτοῖς σωτηρίοις διδάγμασιν οὐκ ἄλλον κατήγορον καὶ θρίαμβον, ἀλλὰ τὸν Μωσῆν εἰσάγει λέγων, *Ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωσῆς*, δηλονότι πρὸς τὸν Πατέρα, οὗ τοὺς νόμους αὐτὸς πιστευθεὶς, καὶ τὴν περὶ Χριστοῦ προφητείαν, ἀξιόπιστος ἂν κατήγορος εἴη, καὶ ἀπαράγραπτος μάρτυς τῶν μεγαλαυχούντων μὲν αὐτοὺς τοὺς νόμους καὶ τιμᾷν καὶ στέργειν, μηδὲν δὲ τῶν ὑπ' αὐτοῦ περὶ τοῦ κοινοῦ Δεσπότου καὶ Σωτῆρος ἡμῶν θεσπισθέντων προσιεμένων, ὃ κεφάλαιον ἦν, καὶ κρηπὶς, καὶ προοίμιον τῆς ὅλης αὐτοῦ νομοθεσίας.

B Συνάπτων ὁ Σωτὴρ τὰ καινὰ τοῖς παλαιοῖς, καὶ παριστῶν, ὡς εἰς μίαν ἄγουσι σωτηρίας ὁδὸν, ἑνὸς ὄντα δημιουργοῦ καὶ νομοθέτου, τὰ μὲν οἷον ὄντα προτέλεια, τὰ δὲ τὴν τελειότητα χαριζόμενα, διὰ τοῦτό φησι· *Πᾶς γραμματεὺς μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά*. Δι' ὧν τε γὰρ ἐν τῷ αὐτῷ θησαυρῷ, καὶ ἐκ τοῦ αὐτοῦ τὴν Καινὴν προέρχεσθαι, καὶ τὴν Παλαιὰν διδάσκει, τὸ συνεῖναι, καὶ συμφωνεῖν ἀλλήλοις, καὶ μὴ διαμάχεσθαι βεβαιοῖ· δι' ὧν τε ἑκατέρας τὴν διδασκαλίαν εἰς τὴν βασιλείαν ἀπάγειν τῶν οὐρανῶν, ἔτι περιφανέστερον τὸ λίαν αὐτῶν σύμφωνον καὶ ἀδιαίρετον ἐψηφίσατο. Εἰ οὖν ἑκατέρα μὲν ἐν τῷ αὐτῷ θησαυρίζεται Διαθήκη, ἐκ τοῦ αὐ-
C τοῦ δὲ πάλιν πρόεισι, καὶ εἰς τὴν αὐτὴν τοὺς οἳ ταύτας ἐθησαύρισαν τῶν οὐρανῶν ἐπάγει βασιλείαν, πῶς αὐτὰς ἀντίπαλοι διασχίσουσι μερίδες;

Εἰ μὴ θείας ἐπιπνοίας ἦν τά τε μωσαϊκὰ καὶ προφητικὰ, πῶς ὁ Σωτὴρ τοῖς περὶ Κλεόπαν μετὰ τὴν ἀνάστασιν ἐκεῖθεν ἐπιφέρει τὴν ἐπιτίμησιν λέγων, *Ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν, οἷς ἐλάλησαν οἱ προφῆται! οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; Καὶ ἀρξάμενος ἀπὸ Μωσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν διηρμήνευσεν αὐτοῖς ἐν πάσαις ταῖς Γραφαῖς περὶ ἑαυτοῦ*. Ὁ Λυτρωτὴς ἡμῶν ἑρμηνευτὰς τῶν ἔργων δι' ὧν ἡμᾶς ἐλυτρώσατο τῆς τοῦ πονηροῦ τυραννίδος τοὺς προφήτας ἀνομο-
D λογεῖ, καὶ σὺ τῆς τυραννίδος ὑπηρέτας οὐ φρίττεις ὀνομάζειν; Κἀντεῦθεν οὖν σύμφωνος ὁ νόμος καὶ οἱ προφῆται τῇ χάριτι δείκνυνται.

Ὅτι μὲν σύμφωνος ὁ νόμος τῇ χάριτι, ἑκάτερον τούτων δι' ἑκατέρου δέχεται τὴν βεβαίωσιν· ἡ μὲν ὡς ὑπ' αὐτοῦ καταγγελλομένη, καὶ διατυπουμένη, καὶ οἷον προχαραττομένη, καὶ ἐμφαινομένη τοῖς σκιάσμασιν· ὁ δὲ ἅτε τῶν προῤῥήσεων καὶ προχαραγμάτων εἰς ἔργα ἐκβεβηκότων διὰ τῆς χάριτος τὴν ἐν αὐτῷ ὑπὸ τοῖς παραπετάσμασι κρυπτομένην ἀνακαλυπτούσης ἀλήθειαν. Εἰ δὲ μὴ τὸ σύμφωνον συνδιέσωζον ἀλλήλοις ἡ χάρις, καὶ τὰ πρὸ τῆς χάριτος, πῶς ἂν ὁ παρὰ τοῦ νόμου καὶ τῶν προφητῶν ἐχρησμοδοτήθη,

[1] Joan. v, 45. [2] Matth, XIII, 52. [3] Luc. XXIV, 25, 27.

ταῦτα πανδήμοις ὄμμασιν ἑωρᾶτο τελούμενα; Πῶς δὲ ὁ Σωτὴρ ἡμῶν τοὺς λεπροὺς ῥήματι καθαίρων πρὸς τοὺς ἐν νόμῳ ἱερεῖς τούτους ἀπέστελλε, προστάττων ἀπιέναι, καὶ ἐπιδεικνύναι τούτοις ἑαυτοὺς, ὡς ὁ νόμος ἐκέλευε, καὶ τὸ ἰσχυρότερον, προσενεγκεῖν τὸ δῶρον, ὡς ὁ Μωσῆς διετάξατο;

A cerdotes mittit, jubens ut eant et ostendant se illis, sicut lex præcipit, et quod gravius est, offerant munus, ut Moses instituit?

Ὁ θεσπέσιος Παῦλος τὰς προφητικὰς διαγορεύσεις εἰς μαρτυρίαν ἐκτιθέμενός φησιν, *Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα Διαθήκην καινὴν, οὐ κατὰ τὴν Διαθήκην, ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐξ Αἰγύπτου.* Ἣν ἐποίησα, φησὶν, ἀλλ' οὐχ ὁ πονηρὸς, ὡς σὺ λέγεις. Εἶτα, *Αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ Διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν.* Τίς ὁ λέγων; Ὁ Κύριός φησιν, ἀλλ' οὐχ ὁ πονηρός. Ἐπάγει γὰρ, *Αὕτη ἡ Διαθήκη ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος. Διαθήσομαι ἐγὼ, οὐκ ἄλλος. Διαθήσομαι ἐγὼ τὴν Καινὴν, ὃς διεθέμην καὶ τὴν Παλαιάν.* Ὁρᾷς πῶς ἄνω καὶ κάτω τὸν αὐτὸν καὶ τῆς παλαιᾶς, καὶ τῆς νέας Διαθήκης νομοθέτην ὁ Παῦλος ἀνυμνεῖ;

Divus Paulus propheticas prædictiones in testimonium adducens: *Ecce*, inquit, *venient dies, et consummabo super domum Israel, et super domum David testamentum novum non juxta testamentum, quod feci patribus eorum in die, cum apprehendi manum ipsorum, et eduxi eos ex Ægypto* [1]. *Quod feci*, inquit, ego nimirum, non autem malus, ut tu dicis. Deinde: *Ipsi non manserunt in testamento meo, et ego neglexi eos.* Quis hic loquitur? Dominus, an malus? Dominus utique. Addit enim: *Hoc testamen-* B *tum, quod ponam domui Israelis post dies illos, dicit Dominus. Ponam ego, et non alius. Ponam ego novum, qui posui et vetus* [2]. Vides, quomodo supra et infra eumdem tum Veteris, tum Novi testamenti Paulus auctorem celebret?

Μηδὲ τὴν ἄθυτον καὶ θαυμασίαν Ἀβραὰμ θυσίαν παραδράμῃς, Θεοῦ μὲν ἐκζητήσαντος ταύτην, καὶ τὴν γνώμην ἀποδεξαμένου, τοῦ δὲ προθύμως πεισθέντος, καὶ οὐ πεισθέντος μόνον, ἀλλὰ καὶ πιστεύσαντος, ὅτι δυνατός ἐστιν ὁ Θεὸς καὶ νεκροὺς ἐγεῖραι. Διὰ τοῦτο λογίζεται αὐτῷ εἰς δικαιοσύνην. Τὸ πατρικὸν δὲ ἀξίωμα οὐ κατὰ τῆς τότε μόνον γενεᾶς, ἀλλὰ καὶ τῶν μετὰ ταῦτα λαμβάνει, καθὼς γέγραπται, ὅτι *Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε*, κατέναντι οὗ ἐπίστευσε Θεοῦ. Καὶ πρόσχες ἀκριβῶς τίνος λέγει Θεοῦ. Ἐπάγει γὰρ διδάσκων ὁ Παῦλος, ὅτι *τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς, καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα.* Καὶ πάλιν, *Εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ.* Ὁρᾷς τίς ἦν ὁ ἐν νόμῳ καὶ προφήταις λαλήσας, ὅτι οὐκ ἄλλος παρὰ τὸν χαρισάμενον ἡμῖν τὴν χάριν, ἀλλ' αὐτός. Ἐπάγει γὰρ, *Οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον, ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι τοῖς πιστεύουσιν ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ νεκρῶν.* Οὐκοῦν ὁ Πατέρα πολλῶν ἐθνῶν θέμενος τὸν Ἀβραὰμ, ὁ τὸν ὅρκον ὑποσχὼν αὐτῷ, ὁ ἐν ταῖς ἐπαγγελίαις ἀδιάψευστος, ὁ τὰ μὴ ὄντα καλῶν ὡς ὄντα, ὁ ζωοποιῶν τοὺς νεκροὺς, αὐτός ἐστιν ὁ ἐγείρας τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ νεκρῶν, κἂν τὸ τῆς ἀποστασίας ὀλέθριον φρόνημα εἰς ἀρχὰς δύο καταμερίζῃ τὴν ἀμέριστον καὶ μίαν ἀρχήν.

Neque vero admirabilem Abrahæ victimam non immolatam silentio prætereris. Hanc enim Deus postulavit, et animam offerentis complexus est. Ille autem non solum paruit, verum etiam credidit, Deum etiam posse mortuos in vitam revocare. Idcirco reputatum est illi ad justitiam, patrisque nomen accepit, non illius tantum generationis, sed C aliarum etiam, quæ sunt consecutæ, sicut scriptum est: *Quia patrem multarum gentium posui te* [3], ante Deum, cui credidit. Et animadverte diligenter, cuinam Deo. Sequitur enim Paulus et docet: *Qui vivificat mortuos et vocat ea quæ non sunt, tanquam sint* [4]. Et rursum: *In repromissione Dei non hæsitavit diffidentia, sed confirmatus est fide, dans gloriam Deo* [5]. Vides, quis sit is, qui locutus est in lege et prophetis? nemo enim alius, nisi ille, qui largitus est nobis gratiam. Sequitur enim: *Non est scriptum autem propter ipsum solum, sed etiam propter nos, quibus reputabitur credentibus in eum, qui suscitavit Jesum Christum Dominum nostrum a mortuis* [6]. Ille igitur, qui patrem multarum gentium Abraham constituit, qui jurejurando ei promisit, D qui in præmissis mendax non est, qui vivificat mortuos, et vocat ea quæ non sunt tanquam sint, ipse est, qui suscitavit Dominum nostrum a mortuis, licet perniciosi desertores isti aliter sentiant, et principium unum, quod dividi non potest, in duo distrahant.

Ἑνὸς Θεοῦ τήν τε Παλαιὰν καὶ τὴν Καινὴν ἀνακηρύττων ὁ Παῦλος, καὶ ὡς ἐκ ῥίζης ἐκείνης ταύτην προελθεῖν, καὶ ἁγιότητος ἑκατέραν μετασχεῖν οὕτω φησίν· *Εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα. Καὶ εἰ ἡ ῥίζα ἁγία, καὶ οἱ κλάδοι. Καὶ οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ' ἡ ῥίζα σέ.* Καὶ, *Εἰ ὁ Θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο* (ἔπεσε

Unius esse Dei Vetus et Novum testamentum Paulus docens, atque hoc ex illius radice profectum dicit: *Et si primitiæ sanctæ, et massa* [7]. Et: *Si radix sancta, et rami* [8]. Et: *Tu radicem non portas, sed radix te* [9]. Et: *Si Deus naturalibus ramis non pepercit* (ceciderunt enim tentantium pedes in deserto, et multæ aliæ calamitates noxios invaserunt).

[1] Hebr. VIII, 8, 9. [2] ibid. 10. 13 [3] Gen. XVII, 4. [4] Rom. IV, 17. [5] ibid. 20. [6] ibid. 24. [7] Rom. XI, 16. [8] ibid. [9] ibid. 18.

ne tibi quidem parcet. Non alius illis, alius tibi, sed idem. Et rursum : *Vide bonitatem et severitatem* [1]. Cujus? *Christi* : severitatem quidem in eos qui ceciderunt; in te autem bonitatem. Quid autem sibi volunt *primitiæ, et massa, et radix, et rami*, et naturales, et insiti, nisi mutuam quamdam cognationem? Quibus ex verbis apertissime unus et idem esse legislator declaratur.

A γὰρ τῶν ἐκπειρασάντων τὰ κῶλα ἐν τῇ ἐρήμῳ, καὶ πολλὰ ἄλλα μετῆλθε πάθη τοὺς ὑπαιτίους), *μήπως ὁ αὐτὸς οὐδὲ σοῦ φείσεται.* Οὐχ ἄλλος μὲν ἐκείνων, ἄλλος δὲ σοῦ, ἀλλ' ὁ αὐτός. Καὶ πάλιν, *Ἴδε οὖν χρηστότητα, καὶ ἀποτομίαν.* Τίνος; *Χριστοῦ.* Ἐπὶ μὲν τοὺς πεσόντας ἀποτομίαν, ἐπὶ δὲ σὲ χρηστότητα. Τί δ' ἂν βούλοιντο ἡ ἀπαρχὴ, καὶ τὸ φύραμα, καὶ ἡ ῥίζα, καὶ οἱ κλάδοι, καὶ οἱ αὐτοφυεῖς, καὶ οἱ δι' ἐγκεντρίσεως, εἰ μὴ τὴν ἀλληλουχίαν, καὶ συγγένειαν, καὶ ὅτι τοῦ αὐτοῦ νομοθέτου φωναῖς δηλοῦσιν ἐναργεστάταις;

Alibi dicit : *Circumcisus aliquis vocatus est, non adducat præputium. In præputio aliquis vocatus est, non circumcidatur. Circumcisio nihil est, et præputium nihil est, sed observatio mandatorum Dei* [2], unius nimirum, non autem duorum. Mandatorum porro unum jubet circumcidi, alterum vetat. Utrumque autem ad eumdem refert Deum. Quamobrem unus est Deus verus, et Pater Domini nostri Jesu Christi, qui et circumcisionem per Abraham in mysterio perfectionis dedit temporibus præfinitis, et eos qui in præputio erant, per Filium suum suscepit.

Ἐν ἄλλοις δὲ πάλιν φησὶ, *Περιτετμημένος τις ἐκλήθη, μὴ ἐπισπάσθω· ἐν ἀκροβυστίᾳ τις ἐκλήθη, μὴ περιτεμνέσθω. Ἡ περιτομὴ οὐδέν ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν, ἀλλὰ τήρησις ἐντολῶν Θεοῦ·* ἑνὸς δηλονότι, καὶ οὐ δύο θεῶν. Τῶν δὲ ἐντο-B λῶν ἡ μὲν ἐκέλευσε περιτέμνεσθαι, ἡ δὲ μή. Ὧν ἑκατέραν ἀνωμολόγησε τοῦ αὐτοῦ Θεοῦ, ὥστε εἷς Θεὸς ὁ ἀληθινὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ καὶ τὴν περιτομὴν διὰ τοῦ Ἀβραὰμ εἰς μυστηρίου τελείωσιν χρόνοις ὡρισμένοις δοὺς καὶ τοὺς ἐν ἀκροβυστίᾳ διὰ τοῦ Υἱοῦ αὐτοῦ προσειληφώς.

Animadverte mihi sapientiam Pauli, quomodo Veteris et Novi Testamenti discrimen ostendat. Verum cum desertorum istorum hæresim perspiceret, illius omnes amputans nugas, hæc statim addit : *Vetera transierunt, ecce facta sunt omnia nova* [3]. Omnia, inquit, tam recens nimirum quam Vetus Testamentum ex Deo, qui nos sibi conciliavit per Dominum nostrum Jesum Christum.

Ὅρα μοι τὴν σοφίαν τοῦ Παύλου ὅπως διαφορὰν μὲν τῆς Καινῆς καὶ τῆς Παλαιᾶς εἰσάγει. Προβλέπων δὲ τὴν ἀποστασίαν, καὶ πᾶσαν αὐτῆς ἐκκόπτων ματαιολογίαν, εὐθὺς πάλιν ταῦτα συνεπιφέρει· λέγει γάρ· *Τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά·* τὰ δὲ πάντα φησὶ καὶ ἡ Νέα δηλονότι, καὶ ἡ Παλαιὰ ἐκ τοῦ Θεοῦ τοῦ καταλλάξαντος ἡμᾶς C ἑαυτῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Joannes adventu boni Dei dignus effectus, et plusquam propheta, et quo inter natos mulierum major non surrexit, testimonio ipsius Veritatis, quomodo pro legis mandato sibi pugnandum existimavit, præsertim cum gratiæ præcursor missus fuerit? Neque vero pugnavit solum, sed capite pro illo damnatus est. Unde enim, nisi ex lege sumpsit, ut Herodem reprehenderet, diceretque : *Non licet tibi habere uxorem Philippi fratris tui* [4]? Vides igitur, quanti fecerit mandata legis ille, qui dignus effectus est, ut auctorem gratiæ baptizaret. Nam si præcepta Mosaica et evangelica instituta non sunt ejusdem divinæ et bonæ inspirationis, quomodo ipse minister gratiæ illa non aspernatur? præsertim cum Dominus dicat : *Nemo potest duobus Dominis servire*, et quæ sequuntur [5]. Ipse enim præcursor Joannes una cum prophetarum cœtu duobus dominis deprehenditur inservire, si duorum dominorum, unius boni et alterius mali, Novum esse concedimus et Vetus Testamentum.

Ἄξιος τῆς ἐπιφανείας τοῦ ἀγαθοῦ Θεοῦ γεγονὼς ὁ Ἰωάννης, καὶ προφήτου περισσότερος, καὶ μείζων τῶν ἐν γεννητοῖς γυναικῶν ὑπ' αὐτῆς τῆς ἀληθείας ἀναγορευθεὶς, πῶς ὑπέστη νομικῆς ἐντολῆς ὑπερμαχεῖν, καὶ τότε πρόδρομος τῆς χάριτος ἀποσταλεὶς; καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὴν κεφαλὴν ὑπὲρ ταύτης ἀναιρεθῆναι. Τὸ γὰρ ἐλέγχειν τὸν Ἡρώδην, καὶ λέγειν, *Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου*, πόθεν εἶχε λαβὼν, ἢ τίνος ὑπερασπίζων νομοθεσίας τὸν ἔλεγχον προσῆγε τῷ βασιλεῖ; Ὁρᾷς πόσον ἐτίμα τὰς νομικὰς ἐντολὰς ὁ τὸν τῆς χάριτος νομοθέτην βαπτίσαι καταξιωθείς; Εἰ δὲ μὴ τῆς αὐτῆς ἦσαν θείας καὶ ἀγαθουργοῦ ἐπι-D πνοίας τά τε μωσαϊκὰ παραγγέλματα καὶ τὰ εὐαγγελικὰ διατάγματα, πῶς ὁ αὐτὸς τῆς χάριτος ὑπηρέτης οὐδ' ἐκείνων ὀλιγωρεῖ, καίτοι τοῦ Χριστοῦ λέγοντος, *Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν*, καὶ τὰ ἑξῆς; Ἰδοὺ γὰρ αὐτός τε ὁ Πρόδρομος Ἰωάννης, καὶ τῶν πρὸ αὐτοῦ προφητῶν ἡ ὁμήγυρις εὑρίσκονται δυσὶ κυρίοις δουλεύοντες, εἴπερ δύο κυρίων, ἀγαθοῦ τε καὶ πονηροῦ, τὴν Παλαιὰν εἶναι συγχωρήσομεν, καὶ τὴν Νέαν.

Magnus ille præco veritatis Paulus clara voce clamat : *Num secundum hominem hæc loquor? An non et lex dicit?* id est, non argumentis humanis hæc confirmo. Nonne et legis mandato præscripta sunt? *In lege enim Mosis*, inquit, *scriptum est : Non alli-*

Παῦλος ὁ μέγας κῆρυξ διαπρυσίῳ βοᾷ τῇ φωνῇ, *Μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ; ἢ καὶ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει;* τουτέστι, Μὴ λογισμοῖς ἀνθρώπων ἀσφαλίζομαι τὸ ῥηθὲν, ἢ οὐχὶ καὶ θείας νομοθεσίας ἐστὶ τὸ προτεινόμενον; *Ἐν γὰρ τῷ Μω-*

[1] Rom. xi, 22. [2] I Cor. vii, 18, 19. [3] II Cor. v, 17. [4] Marc. vi, 18. [5] Matth. vi, 24.

A σέως νόμῳ γέγραπται, φησὶν, *Οὐ φιμώσεις βοῦν ἀλοῶντα.* Καὶ ταῦτα εἰπὼν ἐπιφέρει, *Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ;* τίνων δὲ μᾶλλον μέλει δεικνὺς ἐπάγει, *Δι' ἡμᾶς δὲ πάντως λέγει, καὶ δι' ἡμᾶς ἐγράφη.* Ὥστε κοινὸν τὸ δόγμα τὸ ἐν τῇ Παλαιᾷ διαβαῖνον, καὶ πολιτευόμενον καὶ ἐν τῇ χάριτι. Εἶτα τὴν φυσικὴν ὁμοιότητα τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα καὶ τὸ ἀπαράλλακτον ὑποδηλῶν ἐκ τῆς τῶν νομοθετηθέντων ὁμοιότητος, *Ὥσπερ*, φησὶ, *προσετάγη τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας τῷ θυσιαστηρίῳ συμμερίζεσθαι, οὕτω καὶ ὁ Κύριος προσέταξε τοὺς τὸ Εὐαγγέλιον καταγγέλλοντας ἐκ τοῦ Εὐαγγελίου ζῇν.* Τὴν συνάφειαν δὲ πάλιν καὶ συγγένειαν τοῦ νόμου καὶ τῆς χάριτος ἐπὶ πλέον τρανολογῶν, *Οὐ θέλω ὑμᾶς ἀγνοεῖν*, φησὶν, *ἀδελφοὶ, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον,* B *καὶ πάντες ἐν τῇ νεφέλῃ ἐβαπτίσθησαν, καὶ ἐν τῇ θαλάσσῃ εἰς τὸν Μωϋσῆν, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον. Ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός.* Ἀκούεις, ὅπερ ὁ Χριστὸς τὸν πατρικὸν ἐπότιζε λαὸν, ἴσον δὲ εἰπεῖν τὸν οἰκεῖον· καὶ πῶς ὁ Πατὴρ ὡδήγει τὸν Ἰσραὴλ εἰς τὴν τοῦ Υἱοῦ λατρείαν, καὶ ἐπιστροφὴν διὰ τίνων; ἢ δηλονότι διὰ Μωσέως καὶ τῶν προφητῶν; Ποῦ οὖν ἐνταῦθα ὁ πονηρός; ποῦ τῆς πονηρᾶς ἀρχῆς τὸ ἔργον; ποῦ οἱ νόμοι τῆς ἀντικειμένης μοίρας; Εἶτα πάλιν φησί· *Μηδὲ ἐκπειράζωμεν τὸν Χριστὸν, καθὼς καί τινες αὐτὸν ἐξεπείρασαν.* Τίνες; ἢ δηλονότι ὁ Ἰσραηλίτης λαός. Καὶ τίνα τὰ ἐπίχειρα; *Ὑπὸ τῶν ὄφεων ἀπώλοντο.* Ὥστε οἱ πειράζοντες τὸν ἐν τῷ νόμῳ Θεὸν διὰ τοῦ Πατρὸς τὸν Υἱὸν ἐπείραζον.

gabis os bovi trituranti [1]. Et his dictis subjicit: *Nunquid de bobus cura est Deo* [2]? Quos autem magis curet, addit: *Propter nos autem omnino dicit, et propter nos scriptum est* [3]. Quare commune decretum in veteri lege et in gratia versatur. Deinde naturalem et certissimam Patris et Filii similitudinem ex legis similitudine ostendit: *Quemadmodum*, inquiens, *præceptum fuit, ut qui altari serviunt, participes sint altaris, sic et Dominus præcepit, ut qui nuntiant Evangelium, ex Evangelio vivant* [4]. Necessitudinem rursum et cognationem legis et gratiæ clarius ostendens, *Nolo vos*, inquit, *ignorare, fratres, quod patres nostri omnes sub nube fuerunt, et omnes per mare transierunt, et omnes in Mose baptizati sunt in nube et in mari, et omnes eumdem cibum spiritualem comederunt, et omnes eumdem potum spiritualem biberunt. Bibebant enim ex spirituali sequente petra, petra autem erat Christus* [5]. Audis, quomodo Christus Patrum populum, id est, suum potaverit? Et quomodo Pater ducebat Israelem ad Filii agnitionem et adorationem? Per quos autem? Per Mosem utique et prophetas. Ubi igitur hic malus? ubi mali principii opus? ubi leges partis contrariæ? Post autem dicit: *Neque tentemus Christum, sicut quidam ipsum tentaverunt* [6]. Quinam? Nempe populus Israelita. Et quæ supplicia? *A serpentibus perierunt* [7]. Quamobrem qui Deum in lege tentaverunt, ii per Patrem tentarunt Filium.

C Ἑβραίοις ὁ Παῦλος ἐπιστέλλων φησί· *Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ.* Ἰδοὺ τὸν αὐτὸν Θεὸν, καὶ οὐκ ἄλλον καὶ ἄλλον πάλαι μὲν ἐν τοῖς προφήταις λαλῆσαι λέγει, ὕστερον δὲ ἐν τῷ Υἱῷ. Ὅθεν τὴν καινὴν Διαθήκην ἐν τῷ Υἱῷ χαρισάμενος τῷ κόσμῳ, αὐτὸς καὶ ἐν τοῖς προφήταις διέθετο τὴν παλαιὰν, καὶ πῶς ἡ πλάνη ἄλλον μὲν ἐκείνης, ἕτερον δὲ τῆς καινῆς ἀναπλάττει νομοθέτην καὶ Θεόν;

Ad Hebræos scribens Paulus: *Multifariam*, inquit, *multisque modis olim Deus loquens patribus in prophetis, novissime locutus est nobis in Filio* [8]. Ecce eumdem Deum, et non alium olim in prophetis locutum dicit, post autem in Filio. Qui Novum Testamentum in Filio largitus est mundo, idem et in prophetis Vetus instituit. Quonam igitur modo istorum error unum veteris, et alterum novi Testamenti fingit auctorem?

Πάλιν ὁ αὐτὸς Ἀπόστολος λέγει· *Κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν Χριστὸν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν*, δηλονότι ἀρχιερέα. Εἶτα πῶς ἦν πιστὸς, ὑπεξηγούμενος διὰ τοῦ Μωϋσέως δεικνύει· D *Ὡς καὶ Μωσῆς*, φησὶν, *ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ.* Τίνος οἴκῳ; ἢ δηλονότι τοῦ ποιήσαντος ἀρχιερέα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Εἶτα καὶ τὴν ἀσύγκριτον διαφορὰν τοῦ Δεσπότου πρὸς τὸν δοῦλον διδάσκων, ἐπήγαγεν, ὅτι *Πλείονος δόξης οὗτος παρὰ Μωϋσῆν ἠξίωται, καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν. Πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος, ὁ δὲ πάντα κατασκευάσας Θεός.* Ἰδοὺ γὰρ ὁ μὲν Χριστὸς Υἱὸς τοῦ ἀγαθοῦ Πατρὸς, ὁ δὲ Μωσῆς

Rursum idem apostolus ait: *Considerate apostolum et pontificem confessionis nostræ Jesum Christum, qui fidelis fuit ei qui fecit se* [9], nempe pontificem. Deinde quomodo fidelis fuerit, explicans, per Mosem ostendit. *Quemadmodum Moses*, inquit, *in tota domo ejus* [10]. Cujus domo? Illius nimirum, qui fecit pontificem Dominum nostrum Jesum Christum. Deinde incomparabilem Domini cum servo differentiam demonstrans adjecit: *Eo majore gloria hic, quam Moses dignus fuit, quanto majorem honorem habet domo, is qui fecit eam. Omnis enim domus ædificatur ab aliquo, qui autem omnia facit, est Deus* [11]. Ecce Christus Filius boni Patris. Moses autem servus ejus, nec simpliciter servus, sed fide-

[1] I Cor. VIII, 8, 9. [2] ibid. [3] ibid. 10. [4] ibid. 13, 14. [5] I Cor. X, 1. 4. [6] ibid. 9. [7] ibid. [8] Hebr. I, 11. [9] Hebr. III, 1. [10] ibid. 2. [11] ibid. 3, 4.

lis. Et rursum : *Qui autem omnia facit est Deus, qui ei habitaculum construxit terrenæ domus ipsius* [1].

Idem ipse doctor orbis terrarum dicit vocatum esse a Deo pontificem Aaron, sicut et Christum. *Nemo*, inquit, *sibi ipse honorem sumit, sed qui vocatur a Deo tanquam Aaron. Sic et Christus non se ipse glorificavit, ut pontifex fieret, sed qui vocavit eum : Filius meus es tu ego hodie genui te* [2]. Quod si is qui Christum vocavit pontificem, ipse est qui et per Mosem unxit Aaron, et neuter se ipsum pontificem declaravit, sed qui vocavit eos, quomodo et Novi et Veteris Testamenti tum opera tum leges non sunt unius et ejusdem boni ?

Tu mihi Abraham, Isaac, Jacob, Joseph, et ipsum Mosem, ac reliquos veteris Testamenti præclaros viros collige, quos Paulus in numero justorum cum laude collocat, et fidem ipsorum celebrat. Nam de Mose quidem illud adjungit, quod et opprobrium Christi sustinuit. *Majus* enim, ut propriis ipsius verbis utar, *thesauris Ægyptiorum existimavit opprobrium Christi* [3]. Et causam adjungit : *Respiciebat enim ad remunerationem* [4], quam nimirum ipsi poterat Deus tribuere. *Et quid oportet*, inquit cœli incola Paulus antevertens, *viros enumerare ? Narrantem me tempus ipsum deficiet de Gedeon, Barac, Sampson, Jephte, David, Samuel, et prophetis, qui per fidem vicerunt regna, operati sunt justitiam, adepti sunt repromissiones, obstruxerunt ora leonum, extinxerunt impetum ignis, effugaverunt aciem gladii, convaluerunt de infirmitate* [5]. Deinde sacris ipsorum et admirandis operibus commemoratis, vitaque in solitudine transacta et fortitudine, subjicit : *Quibus dignus non erat mundus* [6]. Neque hoc contentus, sed nos ad eorum imitationem incitans, et eorum exemplo ad virtutem cohortans addit : *Tantam habentes circumpositam nobis nubem testium, deposito omni tumore, et circumstante peccato per patientiam curramus ad propositum nobis certamen respicientes in auctorem fidei et consummatorem Jesum* [7], qui est Dominus noster Jesus Christus, qui et fidei, in qua strenui et stabiles permanserunt patres nostri, factus est princeps, et illorum ac nostræ salutis auctor.

A θεράπων αὐτοῦ, καὶ οὐχ ἁπλῶς θεράπων, ἀλλὰ πιστός. Καὶ πάλιν· *Εἷς ὁ τὰ πάντα κατασκευάσας Θεὸς, ὁ καὶ τὴν κατασκευὴν διαταξάμενος τοῦ ἐπιγείου οἴκου αὐτοῦ.*

Ὁ αὐτὸς οὗτος τῆς οἰκουμένης διδάσκαλος λέγει κληθῆναι ὑπὸ τοῦ Θεοῦ ἀρχιερέα τὸν Ἀαρὼν ὥσπερ καὶ τὸν Χριστόν. *Οὐχ ἑαυτῷ γὰρ*, φησὶ, *τὶς λαμβάνει τὴν τιμὴν, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ Ἀαρών. Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενέσθαι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτὸν, Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε.* Εἰ δὲ ὁ τὸν Χριστὸν καλέσας ἀρχιερέα, οὗτός ἐστιν ὁ καὶ τὸν Ἀαρὼν διὰ Μωσέως χρίσας, καὶ οὐδ' ἕτερος ἑαυτὸν ἐδόξασεν ἀρχιερέα, ἀλλ' ὁ καλέσας αὐτούς· πῶς οὐχὶ καὶ τὰ τῆς Νέας καὶ τὰ τῆς Παλαιᾶς
B τοῦ αὐτοῦ εἰσιν ἀγαθοῦ καὶ ἔργα καὶ νόμοι;

Σὺ δέ μοι καὶ τοὺς λοιποὺς, οἳ περιφανῶς ἐδείχθησαν ἐν τῇ παλαιᾷ πολιτείᾳ βεβιωκότες, ἀπολογίζου, τὸν Ἀβραὰμ, τὸν Ἰσαὰκ, τὸν Ἰακὼβ, τὸν Ἰωσὴφ, αὐτὸν τὸν Μωσέα, οὓς ἐν ἐπαίνῳ δικαίῳ ποιούμενος ὁ Παῦλος, καὶ τὴν πίστιν αὐτῶν ἐξυμνῶν περὶ τοῦ Μωσέως προστίθησιν, ὅτι καὶ τὸν ὀνειδισμὸν ὑπέστη τοῦ Χριστοῦ. Λέγει γὰρ ἐν ῥήμασιν αὐτοῖς· *Μείζονα τῶν Αἰγύπτου θησαυρῶν ἡγησάμενος τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ.* Τίθησι δὲ καὶ τὴν αἰτίαν, *Ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν*, ἣν δηλονότι δυνατὸς ἦν παρασχεῖν αὐτῷ ὁ Θεός. *Καὶ τί δεῖ καταριθμεῖν τοὺς ἄνδρας;* Προλαβὼν γὰρ ἡμᾶς ὁ οὐρανοφοίτης Παῦλός φησιν· *Ἐπιλείψει με διηγού-*
C *μενον ὁ χρόνος περὶ Γεδεὼν, Βαράκ τε καὶ Σαμψὼν, καὶ Ἰεφθάε, Δαβίδ τε καὶ Σαμουὴλ, καὶ τῶν προφητῶν, οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρὸς, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας.* Εἶτα καὶ τὰ ἱερὰ τούτων καὶ θαυμάσια ἔργα καὶ πάθη διεξιὼν, καὶ τὴν ἐν ἐρημίᾳ διατριβὴν καὶ καρτερίαν, ἐπάγει· *Ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος.* Οὐ μόνον δὲ, ἀλλὰ καὶ πρὸς τὴν αὐτῶν διεγείρων ἡμᾶς μίμησιν, καὶ ὥσπερ παράκλησιν εἰς ἀρετὴν ἐκείνους προτιθεὶς, ἐπιφέρει· *Τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα,*
D *καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν εἰς τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἡμῶν ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν*, ὅς ἐστιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὅστις καὶ τῆς πίστεως, ἐν ᾗ γενναῖοι καὶ βέβαιοι μεμενήκασιν οἱ πατέρες ἡμῶν, γέγονεν ἀρχηγὸς, καὶ τῆς ἡμῶν τε κἀκείνων σωτηρίας τελειωτής.

Hic Apostolus et alibi legem Mosaicam ita celebrat, ut Dei verbum, quod non intercidit, esse dicat : *Non enim excidit*, inquit, *verbum Dei* [8]. De Jacob autem et Esau verba faciens, *quod major serviet minori* [9], tum recentes, tum veteres erroris ministros coarguit. Ait enim : *Numquid injustitia est apud Deum ? Absit ! Quomodo enim dicit Mosi : Miserebor, cui misereor, et misericordiam præstabo,*

Οὗτος ὁ Ἀπόστολος καὶ ἐν ἄλλοις λόγον μὲν ἀδιάπτωτον τοῦ Θεοῦ τὸν μωσαϊκὸν νόμον ἀνυμνεῖ· *Οὐ γὰρ ἐκπέπτωκε*, φησὶν, *ὁ λόγος τοῦ Θεοῦ*· περὶ δέ γε τοῦ Ἰακὼβ καὶ τοῦ Ἠσαῦ διαλαμβάνων, *ὡς ὁ μείζων δουλεύσει τῷ ἐλάττονι*, μονονουχὶ καὶ τοὺς ἀρτιφανεῖς καὶ τοὺς πάλαι τῆς πλάνης ὑπηρέτας ἐπιστομίζει. Φησὶ γάρ· *Μὴ ἀδικία παρὰ τῷ Θεῷ; Μὴ γένοιτο. Τῷ γὰρ Μωσεῖ λέγει· Καὶ*

[1] ibid. 4. [2] Hebr. v, 4, 5. [3] Hebr. xi, 26. [4] ibid. [5] ibid. 32-34. [6] ibid. 38. [7] Hebr. xii, 1. [8] Rom. ix, 6. [9] ibid. 13.

ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω. Καὶ ἵνα μὴ δόξῃ τις ἐξ οἰκείων πόνων καὶ ἱδρώτων, καὶ χωρὶς τῆς ἄνωθεν συνεργείας τὸ πᾶν ἐκτελεῖν τῶν κατορθωμάτων, συνείρει· *Ἄρα οὖν ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει.* Τὸν αὐτὸν δὲ λέγει Θεὸν καὶ τοῦ ἐλέους τοῖς εἰς αὐτὴν ὁρῶσιν ὑπάρχοντα πηγήν, καὶ τῶν εἰς αὐτὸν ἐπηρμένων διελέγχοντα καὶ καταβάλλοντα τὸ ἀλαζονικὸν καὶ σκληρόν. Τὸν αὐτὸν δὲ Θεὸν, ὅς ἐστι Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, φιλάνθρωπον καὶ ἀγαθὸν ἀνυμνῶν, καὶ πειθαρχεῖν μὲν αὐτῷ πάντας, μηδένα δὲ κατεξανίστασθαι διὰ τῶν οἴκοθεν λογισμῶν τῆς ἀποῤῥήτου κυβερνήσεως αὐτοῦ, ἐπιφέρει· *Μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ;* Εἶτα τοῦτον πλάστην λαμπρῶς ἀνακράζων, καὶ οὐ πλάστην μόνον, ἀλλὰ καὶ Θεὸν αὐτεξούσιον κριτὴν καὶ τοῦ διανέμειν ἑκάστῳ, ἃ ἡ κρίσις ἤνεγκε, Δεσπότην, τὴν μὲν ὀργὴν φέρειν ἐκδιδάσκει ἐπὶ τὰ σκεύη τὰ κατηρτισμένα εἰς ἀπώλειαν, τὸν δὲ πλοῦτον τῆς δόξης αὐτοῦ τοῖς τοῦ ἐλέους ἐπιδαψιλεύεσθαι ἀξίοις· οὗ καὶ ἡμᾶς μετόχους εὐαγγελίζεται εἶναι, ἅτε δὴ προητοιμασμένους εἰς τὴν ἀπόλαυσιν τῶν ἀγαθῶν, τοὺς πεπιστευκότας εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Ἐν ἄλλοις δὲ πάλιν ἀμεταμέλητον τὴν χάριν ἀναγράφων τοῦ ἀληθινοῦ Θεοῦ, καὶ ὅτι ἐκείνου ἦν ὁ Ἰσραηλίτης λαὸς, καὶ ἡ νομοθεσία, καὶ τὰ προστάγματα, καὶ ὅτι μὴ πάντας διὰ τὴν ἐνίων παράβασιν ἐξεκήρυξε τῆς υἱοθεσίας, φησὶ, *Μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ; Μὴ γένοιτο. Οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω.* Καὶ δεικνὺς ἐναργῶς τίνα λέγει Θεὸν, καὶ πόθεν δῆλον, ὅτι τὸν λαὸν αὐτοῦ μὴ ἀπώσατο, *Καὶ γὰρ ἐγὼ*, φησὶν, *Ἰσραηλίτης εἰμὶ ἐκ σπέρματος* Ἀβραὰμ, *φυλῆς Βενιαμίν.* Ὥστε ὁ μὴ ἀπωσάμενος Παῦλον, ἀλλὰ καλέσας αὐτὸν εἰς ἐκλογὴν, οὗτός ἐστιν ὁ καὶ τὸν Ἰσραὴλ λαὸν αὐτοῦ θέμενος, καὶ μὴ ἀπωσάμενος τοῦτον, ἀλλὰ διὰ τῆς πίστεως τῆς εἰς Χριστὸν τελειώσας αὐτούς.

Ἀνακαλύπτων τὸ τῆς ἀληθείας φέγγος ὁ θεῖος Ἀπόστολος, καὶ καθαροὺς ἡμᾶς παραγγέλλων εἶναι, καὶ ἀφωρισμένους τῶν ἀκαθάρτων, ὡς ἂν εἰς υἱοὺς καὶ θυγατέρας ἀναγράφει ἡμῖν τοῦ Θεοῦ, *Καὶ ὑμεῖς γὰρ*, φησὶν, *ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας*, ἐπάγει καὶ τὸν ταῦτα ἐπαγγειλάμενον, ὅτι Κύριός ἐστι παντοκράτωρ. Συνδιαπλέκει δὲ καὶ πρὸς τίνας αἱ ἐπαγγελίαι, ὅτι διὰ τῶν πατέρων πρὸς ἡμᾶς. Ἐπιφέρει γὰρ, *Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀδελφοὶ, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ.* Ὥστε ἡμῖν ἐπήγγελται ταῦτα ἀπὸ τῶν πατέρων ἀρξάμενα, καὶ οὗπερ Θεοῦ ὁ λαὸς ἐκεῖνος, τοῦ αὐτοῦ καὶ ἡμεῖς· καὶ ὥσπερ ἐν τῇ Παλαιᾷ οἱ καθαροὶ ναὸς τοῦ Θεοῦ, οὕτω καὶ οἱ ἐν τῇ Νέᾳ καθαροὶ ναὸς τοῦ αὐτοῦ Θεοῦ.

Πολλὰ μὲν οὖν καὶ ἄλλα φλυαροῦσιν οἱ μύσται καὶ μυσταγωγοὶ τῆς τοιαύτης αἱρέσεως μήτε ἀκοῇ πιστῶν φορητὰ, μήτε γλώσσῃ τῶν εὐσεβῶν λαλητά.

cui misereor [1]? Ac ne quis existimet se propriis laboribus et sudoribus sine divino auxilio perfecta exsequi virtutum officia, cohibet humanam arrogantiam, et dicit ipsum Deum esse misericordiæ fontem in eos qui ad ipsum respiciunt, eos autem qui supercilium tollunt, coarguere, et gloriosam ipsorum superbiam deprimere. Porro Deum ipsum, qui est Pater Domini nostri Jesu Christi, benignum et bonum appellat, eique omnes obedire dicit, et propriis rationibus neminem ab arcana illius gubernatione sese subtrahere. Sic enim ait : *O homo, tu quis es, ut respondeas Deo* [2]? Mox eum opificem procreatoremque nostrum aperte demonstrat esse, nec solum procreatorem, verum etiam judicem liberum et Dominum, qui possit cuique tribuere quæ judicio decreverit suo; itaque iram suam exercere in vasa parata ad interitum, divitias autem gloriæ suæ largiri illis qui misericordia ipsius sunt digni. Cujus et nos dicit esse participes, qui præparati sumus, et vocati ad ejus bona perfruenda, qui credidimus in Dominum nostrum Jesum Christum.]

Alibi vero sine pœnitentia esse scribens gratiam veri Dei et ejus esse populum Israelitam et legem et mandata, nec omnes propter paucorum culpam repudiasse, ut sibi non essent filii, sic ait : *Nunquid rejecit Deus populum suum ? Absit. Non rejecit Deus populum suum, quem præscivit* [3]. Et perspicue demonstrans, quem Deum dicat, et unde planum fiat, Deum non repudiasse populum suum, *Nam et ego*, inquit, *sum Israelita, ex semine Abraham, de tribu Benjamin* [4]. Quare qui Paulum non repudiavit, sed vocavit ipsum ad electionem, hic est, qui et Israelem fecit populum suum, et non repulit eum, sed per fidem in Christum perfecit.

Veritatis splendorem patefaciens divus Apostolus, nosque ut mundi simus, et ab immundis sejungamur adhortans, ut qui in Dei filios et filias adoptati simus, *Nam et vos*, inquit, *eritis mihi in filios et filias* [5], et eum qui promisit hæc, indicat, nempe Deum omnipotentem. Adjungit etiam illos quibus promissiones factæ sunt, nobis nimirum per patres. Dicit enim : *Has igitur habentes promissiones, charissimi, emundemus nos ab omni inquinatione carnis et spiritus, perficientes sanctificationem in timore Dei* [6]. Nobis igitur hæc promissa sunt, quæ a patribus duxerunt initium, et cujus Dei est ille populus, ejusdem et nos sumus. Et quemadmodum in veteri Testamento homines mundi templum erant Dei, sic et in novo qui mundi sunt, ejusdem sunt Dei templum.

Multa præterea nugantur istius hæresis doctores et vindices quæ nec fidelium auribus percipi nec piorum lingua possunt explicari. Cum enim fides

[1] Hebr. XII, 14, 15. [2] ibid. 20. [3] Rom. XI, 2. [4] ibid. [5] II Cor. IV 18. [6] II Cor. VII, 1.

ipsorum ab errore principium sumpserit, in omnibus deinceps aberraverunt. Capita tamen hæreticarum opinionum et fundamenta, et radicem, et fontem quodammodo demonstrabimus. Quæ religionis et pietatis doctrina ab initio ab hoc usque tempus redarguit, et tanquam araneæ telas disjecit atque dissolvit, et ipsorum tenebris discussis veritatem ostendit. Quæ vero prætermissa sunt, facile eisdem rationibus quibus reliqua confutavimus evertentur. Si enim qui hæresis veneno sunt infecti, resipiscant, ex graviorum capitum confutatione reliqua cognoscent. Nam in rectam deducti viam, facile omni mendacio tanquam offendiculo et impedimento sublato rejectoque in omnem venient veritatem. Quod si cæci esse voluerint, claudicabunt adhuc mendacioque protecti contra semetipsos fortiter agent, et ad erroris spiritum deficere recusabunt. Atque ita rursum supervacanea erit subtilior eorum quæ restant explicatio. Putridis enim fundamentis in cassum aliquid superstruxeris inutilemque laborem susceperis.

TITULUS XXV.

De cruce, de sancto baptismo et de eucharistiæ mysterio.

Verum quoniam et crucem venerabilem despiciunt, et divinum baptismum contemnunt, et sacram mysticæ cœnæ transsumptionem irrident, et de his quoque aliquid ex beatorum Patrum libris depromptum in medium afferemus.

Damasceni de cruce.

Rerum ipsa creatio humanis rationibus comprehendi non potest. Fides universa necessaria. Quid fides. — Verbum crucis pereuntibus quidem stultitia est : iis autem qui salvi fiunt, id est nobis, Dei virtus est [1]. Nam *spiritualis quidem judicat omnia : animalis autem homo non percipit ea quæ Dei sunt* [2]. Stultitia enim illis est, qui ea suscipiunt, nec Dei bonitatem et omnipotentiam considerant; verum res divinas humanis naturalibusque rationibus investigant. Etenim quæ Dei sunt, naturam et Sermonem et cogitationem superant. Nam si quis animo volvat quonam pacto, et cur Deus omnia ex nihilo produxerit, naturalibusque rationibus id assequi contendat, nequaquam hoc comprehendet. Animalis enim et diabolica est hujusmodi scientia. Qui vero fide veluti manu ductus, Deum bonum, et omnipotentem, et verum, et sapientem, et justum cogitat, omnia plana et æquabilia, viamque rectam inveniet. Nam fieri non potest ut quis sine fide salutem consequatur [3]. Fide siquidem tum humana omnia, tum spiritualia constant. Neque enim agricola [4] sine fide arvum proscindit, nec mercator exiguo ligno vectus animam suam furentibus maris undis committit, nec matrimonia contrahuntur, nec denique aliud quidquam eorum quæ vita fert, susci-

[1] I Cor. I, 23. [2] I Cor. II, 15. [3] Hebr. XI, 6.

A Τῆς γὰρ πίστεως αὐτῶν ἀρξαμένης ἐκ πλάνης, ἀκολούθως ἐν ἅπασιν ἐπλανήθησαν. Τὰ μέντοι κεφαλαιωδέστερα τῶν ἐν αὐτοῖς αἱρετικῶν δογμάτων, καὶ ὅσα θεμέλιος, καὶ ῥίζα, καὶ οἷον πηγὴ πεφύκασι, ταῦτά εἰσιν, ὅσα προλαβὼν ἄχρι τοῦ παρόντος ὁ εὐσεβὴς λόγος ἤλεγξε, καὶ ὡς ἀράχνης ἱστὸν διέλυσε, καὶ τὸ σκότος αὐτῶν διασκεδάσας ὑπέδειξε τὴν ἀλήθειαν. Τἄλλα δὲ παρειάθησαν, ὡς εὐχερῶς ἀπὸ τῶν ἀνατραπέντων λυθῆναι καὶ αὐτὰ δυνάμενα. Εἰ μὲν γὰρ πείσουσι τοὺς τῆς αἱρέσεως οἱ τῶν κεφαλαιωδεστέρων δογμάτων ἔλεγχοι, περιττὴ τῶν ὑπολειφθέντων ἡ κατὰ μέρος ἐξέτασις· ἐναχθέντες γὰρ εἰς τὴν εὐθεῖαν ὁδὸν ῥᾳδίως ἔσονται βαδίζοντες ἐπὶ πᾶσαν ἀλήθειαν, πᾶν ψεῦδος καθάπερ πρόσκομμα καὶ σκῶλον ἐκ μέσου ποιοῦντες καὶ διαῤῥίπτοντες· εἰ B δ' ἐθελοτυφλώττοντες μυοῦσιν ἔτι πρὸς τὸ φῶς, καὶ καθ' ἑαυτῶν ἀνδρίζονται τῷ ψεύδει σκεπόμενοι, καὶ μὴ θέλοντες ἀποστῆναι τοῦ πλανήσαντος αὐτοὺς πνεύματος, καὶ οὕτω πάλιν περιττὴ τῶν κατὰ μέρος ἡ συζήτησις. Σαθροῖς γὰρ θεμελίοις μάτην ἐποικοδομήσει τις, καὶ ἀνόνητον ὑποστήσεται τὸν πόνον.

ΤΙΤΛΟΣ ΚΕ'.

Περὶ τοῦ σταυροῦ, περὶ τοῦ ἁγίου βαπτίσματος, καὶ περὶ τοῦ μυστηρίου τῆς εὐχαριστίας.

Ἐπεὶ δὲ τόν τε τίμιον σταυρὸν ἀτιμάζουσιν οἱ Παυλικιάνοι, καὶ τὸ θεῖον βάπτισμα διαπτύουσι, καὶ τὴν ἱερὰν μετάληψιν τοῦ μυστικοῦ δείπνου χλευάζουσι, προστεθήσεται καὶ τὰ περὶ τούτων ἀπὸ τῶν τοῖς C μακαρίοις πατράσι πεπονημένων.

Τοῦ Δαμασκηνοῦ περὶ τοῦ σταυροῦ.

Ὁ λόγος ὁ τοῦ σταυροῦ, τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστὶ, τοῖς δὲ σωζομένοις ἡμῖν, δύναμις Θεοῦ ἐστιν. Ὁ μὲν γὰρ πνευματικὸς πάντα ἀνακρίνει, ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος. Μωρία γάρ ἐστι τοῖς μὴ πίστει δεχομένοις, καὶ τὸ ἀγαθὸν καὶ παντοδύναμον τοῦ Θεοῦ λογιζομένοις, ἀλλ' ἀνθρωπίνοις καὶ φυσικοῖς λογισμοῖς ἐξερευνῶσι τὰ θεῖα· πάντα γὰρ τὰ τοῦ Θεοῦ ὑπὲρ φύσιν εἰσὶ, καὶ λόγον, καὶ ἔννοιαν. Εἰ γάρ τις λογίσηται ὅπως ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, τίνος τε ἕνεκεν παρήγαγεν ὁ Θεὸς τὰ πάντα, καὶ φυσικοῖς λογισμοῖς φθάσαι ἐβουλήθη, οὐ καταλαμ- D βάνει. Ψυχικὴ γάρ ἐστιν ἡ γνῶσις αὕτη καὶ δαιμονιώδης. Εἰ δέ τις πίστει χειραγωγούμενος, ἀγαθὸν, καὶ παντοδύναμον, καὶ ἀληθὲς, καὶ σοφὸν, καὶ δίκαιον τὸ θεῖον λογίσηται, εὑρήσει πάντα λεῖα καὶ ὁμαλὰ, καὶ ὁδὸν εὐθεῖαν. Ἐκτὸς γὰρ πίστεως ἀδύνατον σωθῆναι· πίστει γὰρ πάντα, τά τε ἀνθρώπινα, τά τε πνευματικὰ συνίστανται. Οὔτε γὰρ γεωργὸς ἐκτὸς πίστεως τέμνει γῆς αὔλακα· οὐχ ἔμπορος μικρῷ ξύλῳ τὴν ἑαυτοῦ ψυχὴν τῷ μαινομένῳ τῆς θαλάσσης πελάγει παραδίδωσιν· οὐ γάμοι συνίστανται, οὐχ ἄλλο τι τῶν ἐν τῷ βίῳ. Πίστει νοοῦμεν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα τῇ τοῦ Θεοῦ δυνάμει παρῆχθαι· πάντα τά τε θεῖα καὶ

[4] Basil. in psal. CXV.

τὰ ἀνθρώπινα πίστει κατορθοῦμεν. Πίστις δέ ἐστιν ἀπολυπραγμόνητος συγκατάθεσις.

Πᾶσα μὲν οὖν πρᾶξις καὶ θαυματουργία τοῦ Χριστοῦ μεγίστη, καὶ θεία, καὶ θαυμαστή· ἀλλὰ πάντων ἐστὶ θαυμαστότερον ὁ τίμιος αὐτοῦ σταυρός. Δι' οὐδενὸς γὰρ ἑτέρου ὁ θάνατος κατήργηται, ἡ τοῦ προπάτορος ἁμαρτία λέλυται, ὁ ᾅδης ἐσκύλευται, ἡ ἀνάστασις δεδώρηται, δύναμις ἡμῖν τοῦ καταφρονεῖν τῶν παρόντων καὶ αὐτοῦ τοῦ θανάτου δέδοται, ἡ πρὸς τὴν ἀρχαίαν μακαριότητα ἐπάνοδος κατώρθωται, πύλαι παραδείσου ἠνοίχθησαν, ἡ φύσις ἡμῶν ἐκ δεξιῶν τοῦ Θεοῦ κεκάθικε, τέκνα Θεοῦ καὶ κληρονόμοι γεγόναμεν, εἰ μὴ διὰ τοῦ σταυροῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Διὰ σταυροῦ γὰρ πάντα κατώρθωται· *Ὅσοι γὰρ ἐβαπτίσθημεν εἰς Χριστόν*, φησὶν ὁ Ἀπόστολος, *εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν· ὅσοι δὲ εἰς Χριστὸν ἐβαπτίσθημεν, Χριστὸν ἐνεδυσάμεθα. Χριστὸς δέ ἐστι Θεοῦ δύναμις καὶ Θεοῦ σοφία.* Ἰδοὺ ὁ θάνατος τοῦ Χριστοῦ, ἤτοι ὁ σταυρὸς, τὴν ἐνυπόστατον τοῦ Θεοῦ σοφίαν καὶ δύναμιν ἡμᾶς περιέβαλε. Δύναμις δὲ Θεοῦ ἐστιν ὁ Λόγος ὁ τοῦ σταυροῦ, ἢ ὅτι τὸ δυνατὸν τοῦ Θεοῦ, ἤτοι ἡ κατὰ τοῦ θανάτου νίκη, δι' αὐτοῦ ἡμῖν πεφανέρωται, ἢ ὅτι, ὥσπερ τὰ τέσσαρα ἄκρα τοῦ σταυροῦ διὰ τοῦ μέσου κέντρου κρατοῦνται καὶ συσφίγγονται, οὕτως διὰ τῆς τοῦ Θεοῦ δυνάμεως, τό τε ὕψος καὶ τὸ βάθος, μῆκός τε καὶ πλάτος, ἤτοι πᾶσα ὁρατή τε καὶ ἀόρατος κτίσις συνέχεται.

Οὗτος ἡμῖν σημεῖον δέδοται ἐπὶ τοῦ μετώπου, ὃν τρόπον τῷ Ἰσραὴλ ἡ περιτομή· δι' αὐτοῦ γὰρ οἱ πιστοὶ τῶν ἀπίστων ἀποδιιστάμεθα καὶ γνωριζόμεθα. Οὗτος θυρεὸς καὶ ὅπλον καὶ τρόπαιον κατὰ τοῦ διαβόλου. Οὗτος σφραγὶς, ἵνα μὴ θίγῃ ἡμῶν ὁ ὀλοθρεύων, ὥς ἡ Γραφή φησιν. Οὗτος τῶν κειμένων ἀνάστασις, τῶν ἑστώτων στήριγμα, ἀσθενῶν βακτηρία, ποιμαινομένων ῥάβδος, ἐπιστρεφόντων χειραγωγία, προκοπτόντων τελείωσις, ψυχῆς σωτηρία καὶ σώματος, πάντων τῶν κακῶν ἀποτρόπαιον, πάντων τῶν ἀγαθῶν πρόξενος, ἁμαρτίας ἀναίρεσις, φυτὸν ἀναστάσεως, ξύλον ζωῆς αἰωνίου.

Αὐτὸ μὲν οὖν τὸ τίμιον ξύλον ὡς ἀληθῶς καὶ σεβάσμιον, ἐν ᾧ ἑαυτὸν εἰς θυσίαν ὑπὲρ ἡμῶν ὁ Χριστὸς προσενήνοχεν, ὡς ἁγιασθὲν τῇ ἀφῇ τοῦ ἁγίου σώματός τε καὶ αἵματος προσκυνητέον, τοὺς ἥλους, τὴν λόγχην, τὰ ἐνδύματα, καὶ τὰ ἱερὰ αὐτοῦ σκηνώματα· ἅτινά εἰσιν ἡ φάτνη, τὸ σπήλαιον, ὁ Γολγοθᾶς, ὁ σωτήριος, ὁ ζωοποιὸς τάφος, ἡ Σιὼν τῶν Ἐκκλησιῶν ἀκρόπολις, καὶ τὰ ὅμοια· ὥς φησιν ὁ θεοπάτωρ Δαβίδ· *Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ.* Ὅτι δὲ σταυρὸν λέγει, δηλοῖ τὸ ἑπόμενον· *Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου.* Ἕπεται γὰρ τῷ σταυρῷ ἡ ἀνάστασις.

A pitur. Fide intelligimus Dei potentia cuncta ex nihilo producta esse. Fide omnia recte gerimus, tum humana, tum divina. Fides porro est assensus omni curiosa inquisitione vacans.

Christi rerum nulla mirabilior cruce. Ejus beneficia. — Quanquam autem omnis Christi actio et miraculorum editio, præclara, divina ac mirabilis est: nihil tamen est ex omnibus quod admiratione dignius sit, quam veneranda ipsius crux. Neque enim alia ulla re destructa mors fuit, primi parentis peccatum exstinctum, infernus spoliatus, resurrectio donata, vis tum præsentia, tum mortem ipsam contemnendi nobis concessa, reditus ad antiquam beatitudinem paratus, paradisi patefactæ B januæ, natura nostra ad Dei dexteram collocata, nos denique filii Dei atque hæredes facti, nisi per crucem Domini nostri Jesu Christi. Siquidem hæc omnia crux præstitit: *Quicunque enim*, inquit Apostolus, *in Christum baptizati sumus, in mortem ipsius baptizati sumus* [1]. *Quicunque autem in Christum baptizati sumus, Christum induimus* [2]. *Christus* porro est *Dei virtus et sapientia* [3]. En quo pacto Christi mors, sive crux subsistenti Dei sapientia nos vestivit. Dei autem virtus verbum crucis dicitur, vel quia Dei vis ac potentia, hoc est, victoria adversus mortem, per eam nobis manifestata est; vel quia, sicut quatuor extremæ crucis partes per medium centrum inter se cohærent et constringuntur, ita per Dei potentiam sublimitas et profunditas, longitudo et C latitudo, hoc est, omnis tum visibilis quam invisibilis creatura, continetur.

Crucis signum fideles inter et infideles discernit. — Hæc nobis signi loco in fronte data est, haud secus ac circumcisio Israeli. Per hanc nos fideles ab infidelibus distinguimur atque agnoscimur. Hæc clypeus, armatura, atque tropæum est adversus diabolum. Hæc signaculum est, ne nos exterminator angelus tangat, ut Scriptura loquitur [4]. Hæc jacentium erectio est, stantium fulcimentum, infirmorum baculus, ovium virga, resipiscentium adminiculum, proficientium perfectio, animæ et corporis salus, malorum omnium depulsio, bonorum omnium causa, peccati exstinctio, resurrectionis planta, vitæ æternæ lignum.

D *Ligni crucis adoratio, ac aliorum quæ Christus contactu suo sanctificavit.* — Hoc itaque pretiosum sane ac venerabile lignum, in quo se Christus pro nobis hostiam obtulit, uti sanctissimi corporis atque sanguinis tactu sanctificatum, jure debet adorari: clavique item, et lancea, et indumenta, et sacræ ejus mansiones, hoc est, præsepe, specus, salutaris Golgotha, vivificum sepulcrum, Sion Ecclesiarum arx, ac similia, quemadmodum Dei parens David aiebat: *Introibimus in tabernacula ejus: adorabimus in loco, ubi steterunt pedes ejus* [5]. Quod autem hic crucem intelligat, argumento est, id quod sequitur: *Surge, Domine, in requiem tuam* [6]. Comes

[1] Rom. VI, 3. [2] Gal. III, 27. [3] I Cor. I, 24. [4] Exod. IX, 12. [5] Psal. CXXI, 7. [6] Ibid. 8.

enim crucis est resurrectio. Nam si eorum quos diligimus, et domus, et lectus, et vestis, chara nobis sunt, quanto magis ea quæ Dei et Salvatoris nostri sunt, per quæ etiam parta nobis est salus!

A Εἰ γὰρ τῶν ἐρωμένων ποθητὸν, οἶκος, καὶ κλίνη, καὶ περιβόλαιον, πόσῳ μᾶλλον τὰ Θεοῦ καὶ Σωτῆρος [x], δι' ὧν καὶ σεσώσμεθα;

Adoranda crucis figura ut signum Christi. Materia crucis non adoranda—Quin figuram quoque pretiosæ ac vivificæ crucis adoramus, quamlibet ex alia materia constructa sit: non quod materiam colamus (hoc avertat Deus), sed figuram, velut qua Christus designatur. Etenim ipse discipulos suos præmonens: *Tunc*, inquit, *apparebit signum Filii hominis in cœlo* [1], crucem nimirum significans. Ac proinde resurrectionis Christi nuntius mulieribus dicebat: *Jesum quæritis Nazarenum crucifixum* [2]. Et Apostolus: *Nos autem prædicamus Christum crucifixum* [3]. Multi enim Christi et Jesus sunt; at unus duntaxat crucifixus. Non dicit, lancea transfixum, sed, *crucifixum*. Quocirca crucis signum adorandum nobis est: ubi enim signum fuerit, ibi quoque et ipse erit. Cæterum materia ex qua constat figura crucis, destructa forte figura, nequaquam adoranda est. Cuncta igitur quæ Deo dicata consecrataque sunt, ita adoramus, ut cultum illorum ad eum referamus.

Προσκυνοῦμεν δὲ καὶ τὸν τύπον τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, εἰ καὶ ἐξ ἑτέρας ὕλης [γε]γένηται, οὐ τὴν ὕλην τιμῶντες (μὴ γένοιτο), ἀλλὰ τὸν τύπον, ὡς Χριστοῦ σύμβολον. Ἔφη γὰρ τοῖς ἑαυτοῦ μαθηταῖς διατιθέμενος· *Τότε φανήσεται τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ*, τὸν σταυρὸν λέγων. Διὸ καὶ ταῖς γυναιξὶν ἔλεγεν ὁ τῆς ἀναστάσεως ἄγγελος· *Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν, τὸν ἐσταυρωμένον.* Καὶ ὁ Ἀπόστολος· *Ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον*. Πολλοὶ μὲν Χριστοὶ καὶ Ἰησοῖ, ἀλλ' εἷς ὁ ἐσταυρωμένος. Οὐκ B εἶπε, λελογχευμένον, ἀλλ' *ἐσταυρωμένον*. Προσκυνητέον τοίνυν τὸ σημεῖον τοῦ Χριστοῦ [y]. Ἔνθα γὰρ ἂν ᾖ τὸ σημεῖον, ἐκεῖ καὶ αὐτὸς ἔσται. Τὴν δὲ ὕλην ἐξ ἧς ὁ τύπος τοῦ σταυροῦ συνίσταται, εἰ καὶ χρυσὸς ἢ λίθοι εἶεν τίμιοι, μετὰ τὴν τοῦ τύπου, εἰ τύχοι, διάλυσιν, οὐ προσκυνητέον. Πάντα τοίνυν τὰ Θεῷ ἀνακείμενα προσκυνοῦμεν, αὐτῷ τὸ σέβας προσάγοντες.

Lignum vitæ crucis figura. — Lignum vitæ, quod a Deo in paradiso consitum est, venerandæ crucis figuram gessit. Quia enim per lignum morti aditus patuerat [4], decebat ut per lignum quoque vita et resurrectio donaretur. Primus Jacob adorans fastigium virgæ Joseph [5], crucem designavit: cancellatisque manibus benedicens filios [6], crucis imaginem perquam aperte delineavit. Idem etiam indicarunt, tum virga Mosaica, qua veluti cruce percussum est mare, et quæ Israeli salutem ferens, Pharaonem aquis mersit [7], tum manus in crucis formam expansæ, atque Amalecitas in fugam vertentes [8]: aqua item amara ligno edulcata [9], rupesque virgæ ope dirupta latices fundens [10]: virga Aaroni sacerdotii dignitatem propter divinum responsum sanciens [11]: erectus tropæi more in ligno serpens, veluti mortuus [12], ligno salutem iis afferente, qui cum fide mortuum hostem cernerent; sicut Christus, in carne peccati nescia, ligno confixus fuit. Magnus Moyses inclamat: *Videbitis vitam vestram in ligno pendentem ob oculos vestros* [13].

Τοῦτον τὸν τίμιον σταυρὸν προετύπωσε τὸ ξύλον τῆς ζωῆς, τὸ ἐν τῷ παραδείσῳ ὑπὸ Θεοῦ πεφυτευμένον. Ἐπειδὴ γὰρ διὰ ξύλου ὁ θάνατος, ἔδει διὰ ξύλου δωρηθῆναι τὴν ζωὴν καὶ τὴν ἀνάστασιν. Ἰακὼβ πρῶτος προσκυνήσας τὸ ἄκρον τῆς ῥάβδου Ἰωσὴφ, τὸν σταυρὸν εἰκόνισε, καὶ ἐνηλλαγμέναις C ταῖς χερσὶ τοὺς υἱοὺς αὐτοῦ εὐλογήσας, τὸ σημεῖον τοῦ σταυροῦ διέγραψε σαφέστατα. Ῥάβδος Μωσαϊκὴ, σταυροτύπως τὴν θάλασσαν πλήξασα, καὶ σώσασα μὲν τὸν Ἰσραὴλ, Φαραὼ δὲ βυθίσασα· χεῖρες σταυροειδῶς ἐκτεινόμεναι, καὶ τὸν Ἀμαλὴκ τροπούμεναι· ξύλῳ τὸ πικρὸν ὕδωρ γλυκαινόμενον, καὶ πέτρα ῥηγνυμένη καὶ προχέουσα νάματα· ῥάβδος τῷ Ἀαρὼν τὸ τῆς ἱεραρχίας ἀξίωμα χρηματίζουσα· ὄφις ἐπὶ ξύλου θριαμβευόμενος, ὡς νενέκρωται, τοῦ ξύλου τοὺς νεκρὸν ὁρῶντας τὸν ἐχθρὸν διασώζοντος τοὺς πιστεύοντας, ὡς Χριστὸς ἐν σαρκὶ ἁμαρτίας ἁμαρτίαν οὐκ εἰδυίᾳ προσήλωται. Μωϋσῆς ὁ μέγας, *Ὄψεσθε*, βοῶν, *τὴν ζωὴν ὑμῶν ἐπὶ ξύλου κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν* D *ὑμῶν.*

De sancto baptismo: magni Basilii ex triginta capitibus ad Amphilochium Iconii episcopum.

Περὶ τοῦ ἁγίου Βαπτίσματος τοῦ μεγάλου Βασιλείου ἀπὸ τῶν πρὸς Ἀμφιλόχιον τὸν Ἰκονίου τριάκοντα κεφαλαίων.

Quomodo igitur sumus in similitudine mortis ejus consepulti cum ipso per baptismum? Qui igitur est sepulturæ modus, et quæ utilitas ex imitatione? Primum quidem est necessarium ut vitæ prioris series interrumpatur. Quod assequi nequeunt, nisi

Πῶς οὖν γινόμεθα ἐν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ συνταφέντες αὐτῷ διὰ τοῦ βαπτίσματος; Τίς οὖν ὁ τρόπος τῆς ταφῆς, καὶ τί τὸ ἐκ τῆς μιμήσεως χρήσιμον; Πρῶτον μὲν ἀναγκαῖον τὴν ἀκολουθίαν τοῦ προτέρου βίου διακοπῆναι· τοῦτο δὲ ἀδύνατον

[1] Matth. xxiv, 30. [2] Marc. xvi, 6. [3] I Cor. i, 23. [4] Gen. ii et iii. [5] Gen. xlvii, 31 sec. LXX; Hebr. xi, 21. [6] Gen. xlviii, 14. [7] Exod. xiv, 16 seqq. [8] Exod. xvii, 11. [9] Exod. xv, 25. [10] Exod. xvii, 6. [11] Num. xvii, 8 et 9. [12] Num. xxi, 9. [13] Deut. xxviii, 66.

μὴ ἄνωθεν γεννηθέντας κατὰ τοῦ Κυρίου φωνήν. Ἡ γὰρ παλιγγενεσία, ὡς καὶ αὐτὸ δηλοῖ τὸ ὄνομα, δευτέρου βίου ἐστὶν ἀρχή. Ὥστε δὲ ἄρξασθαι τοῦ δευτέρου, πέρας χρὴ δοῦναι τῷ προλαβόντι. Ὡς γὰρ ἐπὶ τῶν τὸν δίαυλον ἀνακαμπτόντων στάσις τις καὶ ἠρέμησις τὰς ἐναντίας κινήσεις διαλαμβάνει, οὕτω καὶ ἐπὶ τῆς τῶν βίων μεταβολῆς ἀναγκαῖον ἐφάνη θάνατον ἀμφοτέροις μεσιτεῦσαι τοῖς βίοις, περατοῦντα μὲν τὰ προάγοντα, ἀρχὴν δὲ διδόντα τοῖς ἐφεξῆς. Πῶς οὖν κατορθοῦμεν τὴν εἰς ᾅδου κατάβασιν, μιμούμενοι τὴν ταφὴν τοῦ Χριστοῦ; Οἱονεὶ γὰρ ἐνθάπτεται τῷ ὕδατι τῶν βαπτιζομένων τὰ σώματα. Ἀπόθεσιν οὖν τῶν ἔργων τῆς σαρκὸς συμβολικῶς ὑποφαίνει τὸ βάπτισμα, κατὰ τὸν Ἀπόστολον λέγοντα, ὅτι *Περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῆς σαρκὸς ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτισμῷ*· καὶ οἱονεὶ καθάρσιόν ἐστι τῇ ψυχῇ τοῦ ἀπὸ τοῦ σαρκικοῦ φρονήματος αὐτῇ προσγινομένου ῥύπου, κατὰ τὸ γεγραμμένον, ὅτι *Πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι*. Διὰ τοῦτο οὐκ ἰουδαϊκῶς ἐφ' ἑκάστῳ μολύσματι ἀπολουόμεθα, ἀλλ' ἓν οἴδαμεν τὸ σωτήριον βάπτισμα, ἐπειδὴ εἷς ἐστιν ὁ ὑπὲρ τοῦ κόσμου θάνατος, καὶ μία ἐκ νεκρῶν ἐξανάστασις, ὧν τύπος ἐστὶ τὸ βάπτισμα. Τούτου χάριν ὁ τὴν ζωὴν ἡμῶν οἰκονομῶν Κύριος τὴν τοῦ βαπτίσματος ἡμῖν ἔθετο διαθήκην, θανάτου τύπον καὶ ζωῆς περιέχουσαν, τὴν μὲν τοῦ θανάτου εἰκόνα τοῦ ὕδατος ἐκπληροῦντος, τὸν δὲ τῆς ζωῆς ἀῤῥαβῶνα παρεχομένου τοῦ Πνεύματος, ὥστε σαφὲς ἡμῖν ἐντεῦθεν γέγονε τὸ ζητούμενον, διατί τῷ Πνεύματι τὸ ὕδωρ συμπαρελήφθη, ὅτι, δύο σκοπῶν ἐν τῷ βαπτίσματι προκειμένων, καταργῆσαι μὲν τὸ σῶμα τῆς ἁμαρτίας τοῦ μηκέτι καρποφορεῖν αὐτὸ τῷ θανάτῳ, ζῆν δὲ τῷ Πνεύματι, καὶ καρπὸν ἔχειν ἐν ἁγιασμῷ, τὸ μὲν ὕδωρ τοῦ θανάτου τὴν εἰκόνα παρέχει, ὥσπερ ἐν ταφῇ τὸ σῶμα παραδεχόμενον. Τὸ δὲ Πνεῦμα τὴν ζωοποιὸν ἐνίησι δύναμιν, ἀπὸ τῆς κατὰ τὴν ἁμαρτίαν νεκρότητος εἰς τὴν ἐξ ἀρχῆς ζωὴν τὰς ψυχὰς ἡμῶν ἀνακαινίζον. Τοῦτο οὖν ἐστι τὸ ἄνωθεν γεννηθῆναι ἐξ ὕδατος καὶ Πνεύματος, ὡς τῆς μὲν νεκρώσεως ἐν τῷ ὕδατι τελουμένης, τῆς δὲ ζωῆς ἡμῶν ἐνεργουμένης διὰ τοῦ Πνεύματος. Ἐν τρισὶν οὖν καταδύσεσι, καὶ ἰσαρίθμοις ταῖς ἐπικλήσεσι τὸ μυστήριον τοῦ βαπτίσματος τελειοῦται, ἵνα καὶ ὁ τοῦ θανάτου τύπος ἐξεικονισθῇ, καὶ τῇ παραδόσει τῆς θεογνωσίας τὰς ψυχὰς φωτισθῶμεν οἱ βαπτιζόμενοι. Ὥστε εἴ τίς ἐστιν ἐν τῷ ὕδατι χάρις, οὐκ ἐκ τῆς φύσεώς ἐστι τοῦ ὕδατος, ἀλλ' ἐκ τῆς τοῦ Πνεύματος παρουσίας.

qui de supernis nati sunt, ut Dominus ait: regeneratio enim, ut ipsa vox indicat, alterius vitæ initium est. Quamobrem ut alteram incipias, priori finem imponas necesse est. Quemadmodum enim in iis qui cursum reflectunt, status quidam et quies contrarios motus intercipit, sic et in mutatione vitæ necessarium videtur, ut mors inter utramque vitam intercedens præcedentibus finem imponat et sequentibus principium exhibeat. Quomodo igitur descensum ad inferos dirigemus? Imitantes sepulturam Christi. Eorum enim qui baptizantur corpora in aqua quodammodo sepeliuntur. Itaque baptismus figurate operum carnis depositionem significat, ex Apostoli sententia dicentis: *Circumcisi estis circumcisione non manu facta in exspoliatione corporis carnis, in Christi circumcisione consepulti cum ipso in baptismo* [1]. Et est tanquam expurgatio animæ a sordibus quæ illi adsunt ex carnis sapientia, sicut scriptum est: *Lavabis me, et super nivem dealbabor* [2]. Idcirco non more Judæorum abluimur ad singulas inquinationes, sed unum novimus baptismum salutarem, quoniam una est pro mundo mors, et una a mortuis resurrectio, quarum figuram baptismus gerit; cujus rei gratia qui vitam nostram regit Dominus baptismi fœdus nobis instituit, quo mortis vitæque figura continetur. Mortis enim aqua explet imaginem; vitæ autem pignus Spiritus præbet. Quare quod quærebatur, cur aqua cum Spiritu assumeretur, ex his patefactum est. Cum enim duo in baptismo proposita sint, ut deleatur corpus peccati ne amplius morti fructum ferat, et Spiritu vivat ac fructum habeat in sanctitate, aqua mortis imaginem gerit, cum tanquam in sepulcro corpus accipiat, Spiritus autem vitalem virtutem injicit, dum a mortalitate ex peccato proveniente animas nostras ad vitam pristinam renovat. Hoc igitur est de supernis nasci et aqua et Spiritu, cum in aqua perficiatur mortificatio, et vita nostra per Spiritum instauretur. Ternis igitur immersionibus, ternisque appellationibus magnum baptismi mysterium peragitur, ut et mortis figura exprimatur, et divinæ cognitionis doctrina eorum qui baptizantur animæ illustrentur. Quamobrem si qua gratia est in aqua, ea non ex aquæ natura, sed ex Spiritus præsentia provenit.

Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ λόγου τοῦ προτρεπτικοῦ εἰς τὸ βάπτισμα.

Διττῶν δὲ ὄντων ἡμῶν, ἐκ ψυχῆς λέγω καὶ σώματος, καὶ τῆς μὲν ὁρατῆς, τῆς δὲ ἀοράτου φύσεως, διττὴ καὶ ἡ κάθαρσις, δι' ὕδατός τέ φημι καὶ Πνεύματος, τοῦ μὲν θεωρητῶς τε καὶ σωματικῶς λαμβανομένου, τοῦ δὲ ἀσωμάτως καὶ ἀθεωρήτως συντρέχοντος· καὶ τοῦ μὲν τυπικοῦ, τοῦ δὲ ἀληθινοῦ, καὶ τὰ βάθη καθαίροντος, ὃ τῆς πρώτης γενέσεως

Theologi ex oratione qua ad baptismum cohortatur.

Cum autem duplices simus, hoc est, ex anima corporeque constemus, quorum alterius natura sub aspectum cadit, alterius non cadit, duplex item est expiatio, per aquam nimirum et Spiritum, quarum altera ratione corporea visibilique percipitur, alter ratione incorporea atque invisibili concurrit. Illa figurate, hic vere etiam profunda expurgat. Qui

[1] Coloss. II 12. [2] Psal. L 9.

cum primæ generationis adjutor fuerit, novos ex veteribus, et divinos ex illo quod sumus, sine igne refingens et sine confractione recreans. Nam, ut rem breviter complectamur, baptismi virtus nihil aliud est nisi alterius vitæ puriorisque vivendi rationis fœdus quod inimus cum Deo, quod in primis metuendum est, et omnicura custodienda est anima cuique sua ne in hoc quod professi sumus, mendacesreperiamur. Nam si pacta quæ cum hominibus facimus, Deus medius adhibitus rata habet atque confirmat, quantum instabit periculum si ea quæ ipsi Deo polliciti sumus violabimus, nosque non solum aliis criminibus, sed hoc etiam mendacio, obstringemus veritati? Præsertim cum alia non detur regeneratio neque refectio, neque pristinum in statum restitutio, licet eam maxime multis gemitibus et lacrymis, ex quibus, ut ego quidem sentio atque statuo, vix cicatricis obductio sequitur, inquiramus. Sequitur enim idque credimus. Quod si cicatrices deleantur, præclare nobiscum agitur, quandoquidem et ipse humanitatis indigeo.

Gregorii Nyssæ pontificis ex oratione catechetica, item de baptismo.

Verum quia mysticæ doctrinæ pars est etiam lavacri institutio, hoc tu vel baptismum vel illustrationem vel regenerationem appelles licet: nulla enim inter nos de nomine erit differentia: operæ pretium erit, ut de hoc etiam pauca percurramus. Cum enim a nobis audiverint, quia quod mortale est, ad vitam transit, esse consentaneum, ut cum prima generatio ad vitam mortalem ducat, altera generatio reperiatur, quæ nec incipiat a corruptione, neque in interitum desinat, sed genitum ad vitam ducat immortalem, ut quemadmodum ex mortali generatione necessario nascitur quod est mortale, sic quod ex generatione quæ non sentit interitum nascitur præstantius sit quam ut interitum ex morte patiatur, hæc et similia cum intellexerint modumque didicerint, nempe precationem ad Deum et gratiæ cœlestis invocationem et aquam et fidem esse quibus regenerationis mysterium expleatur, haud facile adducuntur ut credant: respiciunt enim ad id quod cernitur, nec promissioni putant respondere quod ratione corporea peragitur. Quomodo enim, inquiunt, fieri potest ut preces et divinæ virtutis invocatio in aqua facta, vitæ sit causa iis qui initiantur? Ad quos, nisi admodum obstinate se habent, pro instituti hujus approbatione simplex satis erit responsio. Nos enim vicissim quæremus quomodo fiat in carne generatio. Nam cum omnibus manifestum sit illud hominem fieri, quod constituendi animalis gratia injicitur, nulla tamen afferri ratio potest, qua id ut efficiatur probabiliter persuaderi queat. Quid enim commune habet hominis definitio, si cum illa, quæ cernitur qualitate comparetur? Homo enim ratione præditus est, et cogitandi vim habet. Illud autem in humida quadam consistit qualitate. Nec amplius quidquam eo quod cernitur cogitatione præcipitur. Quod igitur consentaneum

A ἐπικουρία τυγχάνον, καινοὺς ἀντὶ παλαιῶν, καὶ θεοειδεῖς ἀντὶ τῶν νῦν ὄντων ἐργάζεται, χωρὶς πυρὸς ἀναχωνεῦον, καὶ ἀνακτίζον δίχα συντρίψεως. Εἰ γὰρ συντόμως δεῖ εἰπεῖν, συνθήκας πρὸς Θεὸν δευτέρου βίου, καὶ πολιτείας καθαρωτέρας ὑποληπτέον τὴν τοῦ βαπτίσματος δύναμιν, ὃ δὴ καὶ μάλιστα φοβητέον, καὶ πάσῃ φυλακῇ τηρητέον τὴν ἑαυτοῦ ψυχὴν ἕκαστον, μὴ ψεῦσται τῆς ὁμολογίας ταύτης φαινώμεθα. Εἰ γὰρ τὰς πρὸς ἀνθρώπους ὁμολογίας ἐμπεδοῖ Θεὸς, μέσος παραληφθεὶς, πόσος ὁ κίνδυνος ὧν πρὸς αὐτὸν ἐθέμεθα τὸν Θεὸν συνθηκῶν, τούτων παραβάτας εὑρίσκεσθαι, καὶ μὴ μόνον τῶν ἄλλων ἁμαρτημάτων, ἀλλὰ καὶ αὐτοῦ τοῦ ψεύδους ὑποδίκους εἶναι τῇ ἀληθείᾳ, καὶ ταῦτα οὐκ οὔσης δευτέρας ἀναγεννήσεως, οὐδὲ ἀναπλάσεως, οὐδὲ εἰς τὸ B ἀρχαῖον ἀποκαταστάσεως, κἂν ὅτι μάλιστα ἐπιζητῶμεν ταύτην ἐν πολλοῖς στεναγμοῖς τε καὶ δάκρυσιν, ἐξ ὧν συνούλωσις μὲν ἔρχεται μόγις, κατά γε τὸν ἐμὸν ὅρον καὶ νόμον· ἔρχεται γὰρ, καὶ πιστεύομεν· εἰ δὲ καὶ τὰς οὐλὰς ἐξαλείφομεν, ἀγαπῴην ἂν, ἐπειδὴ καὶ αὐτὸς χρῄζω φιλανθρωπίας.

Τοῦ Νύσσης ἐκ τοῦ κατηχητικοῦ λόγου περὶ τοῦ Βαπτίσματος.

Ἀλλ' ἐπειδὴ μέρος τι τῶν μυστικῶν διδαγμάτων καὶ ἡ κατὰ τὸ λουτρόν ἐστιν οἰκονομία, ὃ εἴτε βάπτισμα, εἴτε φώτισμα, εἴτε παλιγγενεσίαν βούλοιτό τις ὀνομάζειν, οὐδὲν πρὸς τὴν ὀνομασίαν διαφερόμεθα, καλῶς ἂν ἔχοι βραχέα περὶ τούτου διεξελθεῖν. Ἐπειδὰν γὰρ παρ' ἡμῶν τὸ τοιοῦτον ἀκούσωσιν, ὅτι, C τοῦ θνητοῦ πρὸς ζωὴν μεταβαίνοντος, ἀκόλουθον ἦν, τῆς πρώτης γενέσεως ἐπὶ τὸν θνητὸν παραγούσης βίον, ἑτέραν γέννησιν ἐξευρεθῆναι, μήτε ἀπὸ φθορᾶς ἀρχομένην, μήτε εἰς φθορὰν καταλήγουσαν, ἀλλ' εἰς ἀθάνατον ζωὴν τὸν γεγεννημένον παράγουσαν, ἵν' ὥσπερ ἐκ θνητῆς γεννήσεως θνητὸν ἐξ ἀνάγκης τὸ γεγεννημένον ὑπέστη, οὕτως ἐκ τῆς μὴ παραδεχομένης φθορὰν τὸ γεννώμενον κρεῖττον γένηται τῆς ἐκ τοῦ θανάτου φθορᾶς· ἐπειδὰν οὖν τούτων καὶ τῶν τοιούτων ἀκούσωσι, καὶ προσδιδαχθῶσι τὸν τρόπον, ὅτι εὐχὴ πρὸς Θεὸν, καὶ χάριτος οὐρανίας ἐπίκλησις, καὶ ὕδωρ, καὶ πίστις ἐστὶ, δι' ὧν τὸ τῆς ἀναγεννήσεως πληροῦται μυστήριον, δυσπειθῶς ἔχουσι πρὸς τὸ φαινόμενον βλέποντες, ὡς οὐ συμβαῖνον τῇ ἐπαγγελίᾳ τὸ σωματικῶς ἐνεργούμενον. D Πῶς γὰρ, φησὶν, εὐχὴ καὶ δυνάμεως θείας ἐπίκλησις ἐπὶ τοῦ ὕδατος γενομένη ζωῆς ἀρχηγὸς τοῖς μυηθεῖσι γίνεται; Πρὸς οὓς, εἴπερ μὴ λίαν ἔχοιεν ἀντιτύπως, ἁπλοῦς ἐξαρκεῖ λόγος πρὸς τὴν τοῦ δόγματος ἀγαγεῖν συγκατάθεσιν. Ἀντερωτήσομεν, τοῦ τρόπου τῆς κατὰ σάρκα γενέσεως πᾶσιν ὄντος προδήλου, Πῶς ἄνθρωπος ἐκεῖνο γίνεται τὸ εἰς ἀφορμὴν τῆς συστάσεως τοῦ ζώου καταβαλλόμενον; Ἀλλὰ μὴν οὐδεὶς ἐπ' ἐκείνου λόγος ἐστὶν ὁ λογισμῷ τινι τὸ πιθανὸν ἐξευρίσκων. Τί γὰρ κοινὸν ἔχει ὅρος ἀνθρώπου πρὸς τὴν ἐν ἐκείνῳ θεωρουμένην ποιότητα συγκρινόμενος; Ἄνθρωπος μὲν γὰρ λογικόν τι χρῆμα καὶ διανοητικόν ἐστιν, ἐκεῖνο δὲ ἐν ὑγρᾷ τινι θεωρεῖται ποιότητι, καὶ πλέον οὐδὲν τοῦ κατ' αἴσθησιν ὁρωμένου καταλαμβάνει ἡ ἔννοια. Ἣν τοί-

νον ἀπόκρισιν εἰκός ἐστιν ἡμῖν γίνεσθαι παρὰ τῶν ἐρωτηθέντων, ὅτι πῶς ἐστιν ἐξ ἐκείνου πιστὸν συστῆναι ἄνθρωπον, τοῦτο καὶ περὶ τῆς δι' ὕδατος καὶ Πνεύματος γινομένης ἀναγεννήσεως ἐρωτηθέντες ἀποκρινούμεθα. Ἐκεῖ γὰρ πρόχειρόν ἐστιν ἑκάστῳ τῶν ἠρωτημένων εἰπεῖν, ὅτι θείᾳ δυνάμει ἐκεῖνο ἄνθρωπος γίνεται, ἧς μὴ παρούσης ἀκίνητόν ἐστιν ἐκεῖνο καὶ ἀνενέργητον. Εἰ οὖν ἐκεῖ οὐ τὸ ὑποκείμενον ποιεῖ τὸν ἄνθρωπον, ἀλλ' ἡ θεία δύναμις πρὸς ἀνθρώπου φύσιν μεταποιεῖ τὸ φαινόμενον, τῆς ἐσχάτης ἂν εἴη ἀγνωμοσύνης, ἐκεῖ τοσαύτην τῷ Θεῷ προσμαρτυροῦντας δύναμιν ἀτονεῖν ἐν τῷ μέρει τούτῳ τὸ Θεῖον οἴεσθαι πρὸς τὴν ἐκπλήρωσιν τοῦ θελήματος. Τί κοινὸν, φησὶν, ὕδατι καὶ ζωῇ; Τί δὲ κοινὸν, πρὸς αὐτοὺς ἐροῦμεν, ὑγρότητι καὶ εἰκόνι Θεοῦ; Ἀλλ' οὐδὲν ἐκεῖ τὸ παράδοξον, εἰ, Θεοῦ βουλομένου, πρὸς τὸ τιμιώτατον ζῶον τὸ ὑγρὸν μεταβαίνει. Τὸ ἴσον καὶ ἐπὶ τούτου φαμὲν, μηδὲν εἶναι θαυμαστὸν, εἰ θεία δυνάμεως παρουσία πρὸς ἀφθαρσίαν μετασκευάζει τὸ ἐν τῇ φθαρτῇ φύσει γενόμενον. Ἀλλὰ ζητοῦσιν ἀπόδειξιν τοῦ παρεῖναι τὸ Θεῖον ἐπὶ ἁγιασμῷ τῶν γινομένων καλούμενον. Ἡ κατασκευὴ τοῦ τὴν διὰ σαρκὸς ἡμῖν ἐπιφανεῖσαν δύναμιν ἀληθῶς θείαν εἶναι τοῦ παρόντος λόγου συνηγορία γίνεται. Δειχθέντος γὰρ τοῦ Θεὸν εἶναι τὸν ἐν σαρκὶ φανερωθέντα, καὶ διὰ τῶν γινομένων θαυμάτων τὴν φύσιν ἑαυτοῦ δείξαντα, συναπεδείχθη τὸ τοῖς γινομένοις παρεῖναι αὐτὸν κατὰ πάντα καιρὸν ἐπικλήσεως. Ὥσπερ γὰρ ἑκάστου τῶν ὄντων ἐστί τις ἰδιότης ἡ τὴν φύσιν γνωρίζουσα, οὕτως ἴδιον τῆς θείας φύσεώς ἐστιν ἡ ἀλήθεια. Ἀλλὰ μὴν ἀεὶ παρέσεσθαι τοῖς ἐπικαλουμένοις ἐπήγγελται, καὶ ἐν μέσῳ τῶν πιστευόντων εἶναι, καὶ ἐν πᾶσι μένειν, καὶ ἑκάστῳ συνεῖναι. Οὐκ οὖν ἑτέρας εἰς τὸ παρεῖναι τὸ Θεῖον τοῖς γινομένοις ἀποδείξεως προσδεοίμεθα, τὸ μὲν Θεὸν εἶναι διὰ τῶν θαυμάτων αὐτὸν πεπιστευκότες, ἴδιον δὲ τῆς Θεότητος τὸ ἀμίκτως πρὸς τὸ ψεῦδος ἔχειν εἰδότες, ἐν δὲ τῷ ἀψευδεῖ τῆς ὑποσχέσεως παρεῖναι τὸ ἐπηγγελμένον οὐκ ἀμφιβάλλοντες.

Τοῦ Δαμασκηνοῦ ἔτι περὶ τοῦ βαπτίσματος.

Ὁμολογοῦμεν δὲ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Τὸ γὰρ βάπτισμα τὸν τοῦ Κυρίου θάνατον δηλοῖ. Συνθαπτόμεθα γοῦν τῷ Κυρίῳ διὰ τοῦ βαπτίσματος, ὥς φησιν ὁ θεῖος Ἀπόστολος. Ὥσπερ οὖν ἅπαξ ἐτελέσθη ὁ τοῦ Κυρίου θάνατος, οὕτως καὶ ἅπαξ δεῖ βαπτίζεσθαι· βαπτίζεσθαι δὲ κατὰ τὸν τοῦ Κυρίου λόγον, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, διδασκομένους τὴν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ὁμολογίαν. Ὅσοι τοίνυν εἰς Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα βαπτισθέντες, μίαν φύσιν τῆς θεότητος ἐν τρισὶν ὑποστάσεσι διδαχθέντες, αὖθις ἀναβαπτίζονται, οὗτοι ἀνασταυροῦσι τὸν Χριστὸν, ὥς φησιν ὁ θεῖος Ἀπόστολος. Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, καὶ τὰ ἑξῆς, *αὖθις ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν*

A est, ut illi nobis respondeant, dum ab ipsis quærimus qui fieri possit ut ex ea homo constituatur, id item nos respondebimus, cum ex nobis quærunt quo pacto fiat per aquam regeneratio. Illic enim promptum est unicuique respondere, divina virtute illud hominem fieri, quod alioquin immobile et iners sit, nisi illa adsit. Quamobrem si illic non quod subjectum est hominem facit, sed divina virtus in hominis naturam mutat id quod cernitur, nonne summæ inscitiæ sit tantam in ea re Dei virtutem esse confiteri, in hoc autem eumdem esse tam imbecillum, ut quod vult explere non possit? Quid commune, inquiunt, habet aqua cum gratia? Quibus nos contra, Quid habet commune humiditas cum imagine Dei? Ac illic mirum non est, si Dei voluntate in animal B præclarissimum humiditas commutatur. Et hic nos item dicimus non esse mirum, si divinæ virtutis præsentia ad incorruptionem redigit id quod in natura corruptibili natum est. Quærunt rursum ut demonstremus Deum qui invocatur præsto esse ad ea quæ fiunt sanctificanda. Respondemus ad hoc demonstrandum id esse satis, quod constet virtutem quæ nobis per carnem apparuit, vere divinam esse. Cum enim demonstratum fuerit Deum esse, qui in carne declaratus est, quique miraculis efficiendis naturam suam ostendit, simul etiam demonstratum est, eum iis quæ fiunt, adesse, quoties invocatur. Quemadmodum enim singulis rebus quædam inest proprietas quæ naturam illarum tanquam nota quædam declarat ita, naturæ divinæ C propria est veritas. Quare cum pollicitus sit, se cum invocatus fuerit, adfuturum, et in medio credentium esse, et in hominibus manere, et cum unoquoque esse, alia demonstratione non indigemus, ut ostendamus Deum iis quæ peraguntur adesse, cum illum ex miraculis Deum esse crediderimus, proprium autem Divinitatis sit, ut nullum habeat commercium cum falsitate, et in veritate promissionis consistere, quod nobis mandatum est, minime dubitemus.

Damasceni, item de baptismo.

Baptismi vis; Baptismus unus. Necessaria ad baptismum invocatio Trinitatis. Quid trina immersio. Quid in Christum baptizari. Eucharistia et D *baptismus e Dominico latere fluxerunt. Baptismus duplex ut et homo.* — Jam vero unum baptismum in remissionem peccatorum et in vitam æternam confitemur. Baptismus quippe mortem Domini significat [1]. Per baptismum enim cum Domino sepelimur, ut ait divinus apostolus [2]. Quemadmodum igitur Dominus mortuus est, sic nos etiam semel baptizari necessarium est; baptizari, inquam, sicut a Domino dictum est: *In nomine Patris, et Filii, et Spiritus sancti* [3]. Quibus scilicet verbis, Patris et Filii et Spiritus sancti, confessionem edocemur. Quocirca qui in Patrem et Filium et Spiritum sanctum baptizati, unamque in tribus Deitatis

[1] Rom. VI, 4. [2] Coloss. II, 12. [3] Matth. XXVIII, 19.

personis naturam edocti, baptismum repetunt, ii, secundum divinum Apostolum, Christum rursus crucifigunt : *Impossibile enim est*, inquit, *eos qui semel illuminati sunt*, etc., *rursus ad pœnitentiam renovare, crucifigentes iterum sibi ipsis Christum, et ostentui habentes* [1]. At qui in sanctam Trinitatem baptizati non sunt, hi denuo baptizentur necesse est. Etsi enim Apostolus dicit : *In Christum et in mortem ipsius baptizati sumus* [2]; non tamen hoc vult, baptismi invocationem ex his verbis constare debere, verum hoc demum, baptismum mortis Christi figuram præferre. Baptismus siquidem qui trina immersione peragitur, tres dies significat, quibus Dominus tumulo conditus jacuit. Quare in Christum baptizatum esse nihil aliud indicat, quam in illum credendo salutifera aqua tingi. Fieri non potest ut in Christum credamus, nisi Patris et Filii et Spiritus sancti confessione imbuti simus. Christus enim est Filius Dei vivi [3], quem Pater unxit Spiritu sancto [4], quemadmodum ait divinus David : *Propterea unxit te Deus, Deus tuus, oleo lætitiæ præ consortibus tuis* [5]. Isaias quoque ex Domini persona loquens : *Spiritus Domini super me, propter quod unxit me* [6]. Enimvero quænam verborum forma adhibenda esset, Dominus discipulis suis exposuit : *Baptizantes eos*, inquiens, *in nomine Patris et Filii et Spiritus sancti* [7]. Quoniam enim immortalitatis consequendæ causa nos Deus condiderat ; violato autem ejus præcepto, mortis labe, ne perpetuum et immortale malum esset, nos item mulctaverat; idcirco pro sua indulgentia sese servis inclinans, nostrique similis effectus, passione sua nos a corruptione vindicavit, et ex sancto et immaculato suo latere veniæ fontem nobis emisit [8] : aquam scilicet ad regenerationem, necnon peccati et corruptelæ abstersionem; sanguinem vero in potum qui vitam æternam procuraret. Quin hoc quoque mandavit nobis, ut per aquam et Spiritum regeneraremur [9], Spiritu sancto ad aquam accedente, per verbum et orationem. Nam quoniam homo duplici natura constat, anima scilicet et corpore, duplicem proinde nobis purgationem dedit, per aquam nimirum et Spiritum : sic nempe ut Spiritus divinæ imaginis similitudinisque decus in nobis instauraret, aqua vero per Spiritus gratiam a peccato corpus mundaret, atque a corruptione liberum redderet, aqua quidem mortis simulacrum exprimente, Spiritu autem vitæ pignus et arrhabonem largiente.

Χριστὸν, καὶ παραδειγματίζοντας. Ὅσοι δὲ μὴ εἰς τὴν ἁγίαν Τριάδα ἐβαπτίσθησαν, τούτους δεῖ ἀναβαπτίζεσθαι. Εἰ γὰρ καί φησιν ὁ θεῖος Ἀπόστολος, ὅτι *Εἰς Χριστὸν καὶ εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν*, οὐχ οὕτω δεῖν γίνεσθαί φησι τοῦ βαπτίσματος τὴν ἐπίκλησιν, ἀλλ' ὅτι τύπος τοῦ θανάτου τοῦ Χριστοῦ ἐστι τὸ βάπτισμα. Διὰ γὰρ τῶν τριῶν καταδύσεων, τὰς τρεῖς ἡμέρας τῆς τοῦ Κυρίου ταφῆς σημαίνει τὸ βάπτισμα. Τὸ οὖν εἰς Χριστὸν βαπτισθῆναι δηλοῖ, τὸ πιστεύοντας εἰς αὐτὸν βαπτίζεσθαι. Ἀδύνατον δὲ εἰς Χριστὸν πιστεῦσαι, μὴ διδαχθέντας τὴν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ὁμολογίαν. Χριστὸς γάρ ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὃν ἔχρισεν ὁ Πατὴρ τῷ ἁγίῳ Πνεύματι, ὥς φησιν ὁ θεῖος Δαβίδ· *Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.* Καὶ Ἡσαΐας ἐκ προσώπου τοῦ Κυρίου· *Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με.* Τὴν μέντοι ἐπίκλησιν τοὺς οἰκείους μαθητὰς ὁ Κύριος διδάσκων ἔλεγε· *Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.* Ἐπειδὴ γὰρ ἐπ' ἀφθαρσίᾳ [g] πεποίηκεν ἡμᾶς ὁ Θεὸς, παραβάντας δὲ τὴν σωτήριον αὐτοῦ ἐντολὴν, φθορᾷ θανάτου κατεδίκασεν, ἵνα μὴ ἀθάνατον ᾖ τὸ κακὸν, συγκαταβὰς δὲ τοῖς δούλοις, ὡς εὔσπλαγχνος, καὶ καθ' ἡμᾶς δὲ [h] γεγονὼς, τῆς φθορᾶς διὰ τοῦ ἰδίου πάθους ἐλυτρώσατο· ἐπήγασεν ἡμῖν ἐκ τῆς ἁγίας καὶ ἀχράντου αὐτοῦ πλευρᾶς πηγὴν ἀφέσεως· ὕδωρ μὲν εἰς ἀναγέννησιν καὶ ἐπίκλυσιν τῆς τε ἁμαρτίας καὶ τῆς φθορᾶς· αἷμα δὲ, πότον ζωῆς ἀϊδίου πρόξενον. Ἐντολὰς δὲ ἡμῖν δέδωκε δι' ὕδατος ἀναγεννᾶσθαι καὶ Πνεύματος, δι' ἐντεύξεως καὶ ἐπικλήσεως, τῷ ὕδατι ἐπιφοιτῶντος τοῦ ἁγίου Πνεύματος. Ἐπειδὴ γὰρ διπλοῦς ὁ ἄνθρωπος, ἐκ ψυχῆς τε καὶ σώματος, διπλῆν ἡμῖν ἔδωκε καὶ τὴν κάθαρσιν, δι' ὕδατός τε καὶ Πνεύματος· τοῦ μὲν Πνεύματος, τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἐν ἡμῖν ἀνακαινίζοντος, τοῦ δὲ ὕδατος, διὰ τῆς τοῦ Πνεύματος χάριτος καθαίροντος τὸ σῶμα τῆς ἁμαρτίας, καὶ τῆς φθορᾶς ἀπαλλάττοντος, καὶ τὴν τοῦ θανάτου εἰκόνα ἐκπληροῦντος τοῦ ὕδατος, τὸν δὲ τῆς ζωῆς ἀῤῥαβῶνα παρεχομένου τοῦ Πνεύματος.

Aquæ vis purgatoria. — Etenim a principio *Spiritus Domini ferebatur super aquas* [10]: quin et lustrandi virtute præditam esse aquam Scriptura jam olim contestatur [11]. Noe temporibus Deus mundi peccatum per aquam eluit [12]. Per aquam quisquis immundus erat, lege præcipiente, mundabatur, et ita quidem ut et ipsæ vestes aqua essent abluendæ. Elias Spiritus gratiam admistam aquis ostendit, tum nimirum cum holocaustum adhibita aqua cremavit [13]. Peneque omnia secundum

Ἀπ' ἀρχῆς γὰρ *Πνεῦμα Θεοῦ τοῖς ὕδασιν ἐπεφέρετο*· καὶ ἄνωθεν ἡ Γραφὴ μαρτυρεῖ τῷ ὕδατι, ὡς ἐστι καθαρτήριον. Ἐπὶ Νῶε δι' ὕδατος ὁ Θεὸς τὴν κοσμικὴν ἁμαρτίαν κατέκλυσε. Δι' ὕδατος πᾶς ἀκάθαρτος κατὰ τὸν νόμον καθαίρεται, καὶ αὐτῶν τῶν ἱματίων πλυνομένων τῷ ὕδατι, ἔδειξεν Ἠλίας τὴν χάριν τοῦ Πνεύματος συμμεμιγμένην τῷ ὕδατι, ὕδατι φλέξας τὴν ὁλοκαύτωσιν. Καὶ σχεδὸν ἅπαντα κατὰ τὸν νόμον ὕδατι καθαρίζεται· τὰ γὰρ ὁρατὰ, σύμβολα τῶν νοουμένων εἰσίν· ἡ μέντοι ἀναγέννησις

[1] Hebr. IV. 6. [2] Rom. VI, 3. [3] Matth. XVI, 16. [4] Act. X, 38. [5] Psal. XLIV, 3. [6] Isa. LXI, 11. [7] Matth. XXVIII, 19. [8] Joan. XIX, 34. [9] Joan. III, 5. [10] Gen. I, 2. [11] Levit. XV, 10. [12] Gen. VI, 17. [13] I Reg. XVIII, 32.

κατὰ ψυχὴν γίνεται· πίστις γὰρ υἱοθετεῖν οἶδε, καίτοι ὄντας κτίσματα διὰ τοῦ Πνεύματος, καὶ εἰς τὴν ἀρχαίαν ἄγειν μακαριότητα.

Ἡ μὲν οὖν τῶν ἁμαρτιῶν ἄφεσις, πᾶσιν ὁμοίως διὰ τοῦ βαπτίσματος δίδοται· ἡ δὲ χάρις τοῦ Πνεύματος κατὰ τὴν ἀναλογίαν τῆς πίστεως καὶ τῆς προκαθάρσεως. Νῦν μὲν οὖν διὰ τοῦ βαπτίσματος τὴν ἀπαρχὴν τοῦ ἁγίου Πνεύματος λαμβάνομεν, καὶ ἀρχὴ ἑτέρου βίου γίνεται ἡμῖν ἡ παλιγγενεσία, καὶ σφραγὶς, καὶ φυλακτήριον, καὶ φωτισμός.

Χρὴ δὲ πάσῃ δυνάμει ἀσφαλῶς τηρεῖν ἑαυτοὺς καθαροὺς ἀπὸ ῥυπαρῶν ἔργων, ἵνα μὴ πάλιν ὥσπερ κύων ἐπὶ τὸν ἴδιον ἔμετον ἐπιστρέψαντες, δούλους πάλιν ἑαυτοὺς τῆς ἁμαρτίας ποιήσωμεν. Πίστις γὰρ χωρὶς ἔργων νεκρά ἐστιν, ὁμοίως καὶ ἔργα χωρὶς πίστεως. Ἡ γὰρ ἀληθὴς πίστις διὰ τῶν ἔργων δοκιμάζεται.

Βαπτιζόμεθα δὲ εἰς τὴν ἁγίαν Τριάδα, ὅτι αὐτὰ τὰ βαπτιζόμενα χρῄζει τῆς ἁγίας Τριάδος εἰς τὴν αὐτῶν σύστασίν τε καὶ διαμονὴν, καὶ ἀδύνατον μὴ συμπαρεῖναι ἀλλήλαις τὰς τρεῖς ὑποστάσεις· ἀχώριστος γὰρ ἡ ἁγία Τριάς.

Πρῶτον βάπτισμα, τοῦ κατακλυσμοῦ, εἰς ἐκκοπὴν ἁμαρτίας. Δεύτερον, τὸ διὰ τῆς θαλάσσης καὶ τῆς νεφέλης· σύμβολον γὰρ, ἡ μὲν νεφέλη τοῦ Πνεύματος, ἡ θάλασσα δὲ, τοῦ ὕδατος. Τρίτον τὸ νομικόν· πᾶς γὰρ ἀκάθαρτος ἀπελούετο ὕδατι, ἔπλυνέ τε τὰ ἱμάτια, καὶ οὕτως εἰσῄει εἰς τὴν παρεμβολήν. Τέταρτον τὸ Ἰωάννου, εἰσαγωγικὸν ὑπάρχον, καὶ εἰς μετάνοιαν ἄγον τοὺς βαπτιζομένους, ἵνα εἰς Χριστὸν πιστεύσωσιν. *Ἐγὼ γὰρ ὑμᾶς*, φησὶ, *βαπτίζω ὕδατι· ὁ δὲ ὀπίσω μου ἐρχόμενος, αὐτὸς ὑμᾶς*, φησὶ, *βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί*. Προκαθαίρει οὖν ὁ Ἰωάννης ἐπὶ τὸ Πνεῦμα διὰ τοῦ ὕδατος. Πέμπτον, τὸ τοῦ Κυρίου βάπτισμα, ὃ αὐτὸς ἐβαπτίσατο. Βαπτίζεται δὲ, οὐχ ὡς αὐτὸς χρῄζων καθάρσεως, ἀλλὰ τὴν ἐμὴν οἰκειούμενος κάθαρσιν, ἵνα συντρίψῃ τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος, ἵνα κλύσῃ τὴν ἁμαρτίαν, καὶ πάντα τὸν παλαιὸν Ἀδὰμ ἐνθάψῃ τῷ ὕδατι, ἵνα ἁγιάσῃ τὸν βαπτιστὴν, ἵνα πληρώσῃ τὸν νόμον, ἵνα τὸ τῆς Τριάδος ἀποκαλύψῃ μυστήριον, ἵνα τύπος καὶ ὑπογραμμὸς ἡμῖν πρὸς τὸ βαπτίζεσθαι γένηται. Βαπτιζόμεθα δὲ καὶ ἡμεῖς τὸ τέλειον τοῦ Κυρίου βάπτισμα, τὸ δι' ὕδατός τε καὶ Πνεύματος. Πυρὶ δὲ λέγεται βαπτίζειν ὁ Χριστός· ἐν εἴδει γὰρ πυρίνων γλωσσῶν ἐπὶ τοὺς ἁγίους ἀποστόλους τὴν τοῦ Πνεύματος χάριν ἐξέχεεν, ὥς φησιν αὐτὸς ὁ Κύριος, ὅτι *Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ καὶ πυρὶ, οὐ μετὰ πολλὰς ταύτας ἡμέρας*, ἢ διὰ τὸ τοῦ μέλλοντος πυρὸς κολαστικὸν βάπτισμα. Ἕκτον, τὸ διὰ μετανοίας καὶ

A legem aqua mundantur. Res enim visibiles earum quæ mente percipiuntur signa sunt. Regeneratio porro in animo perficitur. Fides quippe vim eam habet, ut quamvis e rebus creatis simus, per Spiritum nos in Dei filios adoptet, atque ad pristinam felicitatem velut postliminio revocet.

Baptismi gratia pro suscipientium fide et munditia. — Quamvis autem peccatorum remissio omnibus per aquæ baptismum detur: Spiritus tamen gratia pro fidei ac prævIæ purgationis modo conceditur. Et nunc quidem Spiritus sancti primitias per baptismum accipimus, et regeneratio, alterius nobis vitæ initium, et signaculum, et præsidium, et illuminatio efficitur.

Cæterum in id nobis totis viribus est enitendum, ne canis instar ad vomitum redeuntes [1], peccati B nosmetipsos denuo servituti mancipemus. Fides siquidem sine operibus mortua est, itemque opera, sublata fide [2]. Vera quippe fides per opera comprobatur.

Cur in Trinitatem baptizemur. — Ob id vero in sanctam Trinitatem baptizamur, quia quæ baptizantur, ad sui, tum constitutionem, tum conservationem, Trinitatis opera indigent: nec fieri potest, quin tres personæ sibi invicem adsint; quoniam Trinitas nullatenus separabilis est.

Varia baptismata. Joannis baptisma a baptismate Christi diversum. Pœnitentiæ baptismus; martyrii, et iste nobilissimus; baptismus sempiterni cruciatus. — Primum baptisma diluvium fuit, quod C exscindendi peccati causa contigit. Secundum illud fuit, quod per mare et nubem factum est [3]. Siquidem nubes, Spiritus; mare, aquæ figuram gerebat [4]. Tertium legale erat. Quisquis enim immundus esset, aqua abluebatur, vestes lavabat, atque ita in castra ingrediebatur [5]. Quartum Joannis fuit, quod illos qui baptizabantur, ad pœnitentiam adducebat, ut crederent in Christum: *Ego enim*, inquit, *baptizo vos aqua: qui autem post me veniet, ipse vos baptizabit Spiritu sancto et igne* [6]. Itaque Joannes ad Spiritum suscipiendum ante per aquam purgabat. Quintum, Domini baptisma, quo ipse baptizatus fuit. Baptizatus est autem, non quod ipse purgatione indigeret; sed D meam sibi purgationem asciscens, ut capita draconum in aquis contereret [7]; ut peccatum obrueret, ac totum veterem Adamum in aqua sepeliret; ut baptismum sanctificaret; ut legem impleret; ut Trinitatis mysterium aperiret; ut semet tandem suscipiendi baptismi formam et exemplum præberet. Baptizamur autem et nos quoque perfecto Domini baptismo, per aquam videlicet et Spiritum. Porro Christus idcirco igne baptizare dicitur, quia Spiritus gratiam in sanctos apostolos effudit, quemadmodum Dominus ipse dixerat: *Joannes quidem baptizavit aqua, vos autem baptiza-*

[1] II Petr. II, 22. [2] Jac. II, 26. [3] Gen. VII, 17. [4] I Cor. X, 1. [5] Lev. XIV, 15. [6] Matth. III, 11. [7] Psal. LXXIII, 13.

bimini Spiritu sancto et igne, non post multos hos dies [1]; vel etiam ob castigatorium ignis futuri baptismum. Sextum baptisma in pœnitentia et lacrymis versatur: estque sane grave et molestum. Septimum, est quod sanguinis profusione ac martyrio perficitur, quo et Christus ipse nostri causa defunctus est [2]. Estque illud perquam augustum ac beatum, quod nullis posthac sordibus inquinetur. Octavum denique et postremum illud est, non jam salutiferum, verum ita malitiam auferens, quando suus jam malitiæ et peccato locus non erit, ut tamen sempiternum excruciet ac puniat.

A δακρύων, ὄντως ἐπίπονον. Ἕβδομον, τὸ δι' αἵματος καὶ μαρτυρίου, ὃ καὶ αὐτὸς ὁ Χριστὸς ὑπὲρ ἡμῶν ἐβαπτίσατο, ὡς λίαν αἰδέσιμον καὶ μακάριον, ὅσον δευτέροις οὐ μολύνεται ῥύποις. Ὄγδοον, τὸ τελευταῖον, οὐ σωτήριον, ἀλλὰ τῆς μὲν κακίας ἀναιρετικόν· οὐκ ἔτι γὰρ κακία καὶ ἁμαρτία πολιτεύεται· κολάζον δὲ ἀτελεύτητα.

Spiritus sanctus columbæ specie et ignis. — Porro Spiritus sanctus corporali specie, sicut columba ad Dominum descendit, sicque tum baptismi nostri primitias subindicabat, tum corpus cohonestabat: quoniam et hoc quoque per deificationem Deus erat. Adde, quod columba cessasse diluvium olim nuntiaverit. Ignis vero specie in sanctos apostolos descendit [3], eo quod Deus esset. *Deus enim ignis consumens est* [4].

Σωματικῷ δὲ εἴδει, ὡσεὶ περιστερὰ, ἐπεφοίτησε τὸ Πνεῦμα τὸ ἅγιον, τὴν ἀπαρχὴν τοῦ ἡμετέρου ὑποδεικνύον βαπτίσματος, καὶ τιμῶν τὸ σῶμα· ἐπεὶ καὶ τοῦτο, ἤγουν τὸ σῶμα, τῇ θεώσει Θεὸς, καὶ ἅμα που B ἄνωθεν εἴθισται περιστερὰ λύσιν κατακλυσμοῦ εὐαγγελίζεσθαι. Ἐπὶ δὲ τοὺς ἁγίους ἀποστόλους πυροειδῶς κάτεισι. Θεὸς γάρ ἐστιν· ὁ δὲ Θεὸς πῦρ καταναλίσκον ἐστί.

Olei unctio. — At vero oleum idcirco ad baptismum adhibetur, quia unctionem nostram significat, nosque christos facit, insuper Dei misericordiam per Spiritum sanctum nobis pollicetur. Nam et columba illis qui incolumes e diluvio evaserant, oleæ ramum præter omnem spem olim attulit [5].

Τὸ ἔλαιον βαπτίσματι παραλαμβάνεται, μηνύον τὴν χρίσιν ἡμῶν, καὶ χριστοὺς ἡμᾶς ἐργαζόμενον, καὶ τὸν τοῦ Θεοῦ ἡμῖν ἐπαγγελλόμενον διὰ τοῦ ἁγίου Πνεύματος ἔλεον, ἐπεὶ καὶ κάρφος ἐλαίας τοῖς ἐκ τοῦ κατακλυσμοῦ περισωθεῖσιν ἡ περιστερὰ κεκόμικεν.

Joannes, ut baptizatus. — Joannes imposita divino Domini capiti manu, et cruore proprio baptizatus fuit.

Ἐβαπτίσθη Ἰωάννης, τὴν χεῖρα ἐπιθεὶς ἐπὶ τὴν θείαν τοῦ Δεσπότου κορυφὴν, καὶ τῷ ἰδίῳ αἵματι.

Cæterum baptismum diutius prorogare non oportet dum accedentium fidem contestantur actiones. Si quis dolo ad baptismum accesserit, tantum abest ut hinc utilitatis quidpiam capiat, ut condemnationem potius accersat sibi.

Οὐ χρὴ ὑπερτίθεσθαι τὸ βάπτισμα, ὅτε δι' ἔργων C ἡ πίστις τῶν προσιόντων μαρτυρηθῇ. Ὁ γὰρ ἐν δόλῳ προσιὼν τῷ βαπτίσματι, κατακριθήσεται μᾶλλον ἢ ὠφεληθήσεται.

Fides virtus. Infidelis est, qui non credit Ecclesiæ traditioni, aut male vivit. — Fides porro duplex est: *Est enim fides ex auditu* [6]. Scripturas namque sacras audiendo, Spiritus sancti doctrinæ credimus. Atque hæc fides per omnia illa, quæ a Christo statuta sunt, perficitur: opere videlicet credens, pietatem colens, et ejus qui nos instauravit, præceptis obsequens. Nam qui secundum Ecclesiæ catholicæ traditionem non credit, vel per flagitiosa opera cum diabolo communicat, hic infidelis est.

Ἡ μέντοι πίστις διπλῆ ἐστιν· *Ἔστι γὰρ πίστις ἐξ ἀκοῆς*. Ἀκούοντες γὰρ τῶν θείων Γραφῶν, πιστεύομεν τῇ διδασκαλίᾳ τοῦ ἁγίου Πνεύματος. Αὕτη δὲ τελειοῦται πᾶσι τοῖς νομοθετηθεῖσιν ὑπὸ τοῦ Χριστοῦ, ἔργῳ πιστεύουσα, εὐσεβοῦσα, καὶ τὰς ἐντολὰς πράττουσα τοῦ ἀνακαινίσαντος ἡμᾶς. Ὁ γὰρ μὴ κατὰ τὴν παράδοσιν τῆς καθολικῆς Ἐκκλησίας πιστεύων, ἢ κοινωνῶν διὰ τῶν ἀτόπων ἔργων τῷ διαβόλῳ, ἄπιστός ἐστιν.

D

Fides donum Spiritus. — Rursus: *Fides est sperandarum substantia rerum, argumentum non apparentium* [7], vel est spes minime dubia nec ambigua, qua confidimus fore, ut quæ nobis divinitus promissa sunt, et quæ postulamus, adipiscamur. Ac prior quidem, nostræ voluntatis est; altera autem inter Spiritus dona censenda est.

Ἔστι δὲ πάλιν πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων, ἢ ἀδίστακτος καὶ ἀδιάκριτος ἐλπὶς τῶν τε ὑπὸ τοῦ Θεοῦ ἡμῖν ἐπηγγελμένων, καὶ τῆς τῶν αἰτήσεων ἡμῶν ἐπιτυχίας. Ἡ μὲν οὖν πρώτη, τῆς ἡμετέρας γνώμης ἐστὶν, ἡ δὲ δευτέρα τῶν χαρισμάτων τοῦ Πνεύματος.

Spiritalis circumcisio. — Sciendum est autem, integumentum omne quod a nativitate contraximus, peccatum scilicet, per baptismum circumcidi, nosque spiritales Israelitas ac Dei populum fieri.

Ἰστέον δὲ ὅτι διὰ τοῦ βαπτίσματος περιτεμνόμεθα ἅπαν τὸ ἀπὸ γενέσεως κάλυμμα, ἤτοι τὴν ἁμαρτίαν, καὶ Ἰσραηλῖται πνευματικοὶ, καὶ Θεοῦ λαὸς χρηματίζομεν.

[1] Act. I, 5. [2] Luc. XII, 50. [3] Act. II, 2. [4] Deut. IV, 24. [5] Gen. VIII, 11. [6] Rom. X, 17. [7] Hebr. XI, 1.

Περὶ τῆς μεταλήψεως τοῦ Δεσποτικοῦ σώματος καὶ αἵματος, τοῦ Νύσσης ἐκ τοῦ κατηχητικοῦ λόγου.

Ὥσπερ οἱ δηλητήριον δι' ἐπιβουλῆς λαβόντες, ἄλλῳ φαρμάκῳ τὴν φθοροποιὸν δύναμιν ἔσβεσαν· χρὴ δὲ καθ' ὁμοιότητα τοῦ ὀλεθρίου καὶ τὸ ἀλεξιτήριον ἐντὸς τῶν ἀνθρωπίνων γενέσθαι σπλάγχνων, ὡς ἂν δι' ἐκείνων ἐφ' ἅπαν καταμερισθείη τὸ σῶμα ἡ τοῦ βοηθοῦντος δύναμις· οὕτω τοῦ διαλύοντος τὴν φύσιν ἡμῶν ἀπογευσάμενοι, πάλιν ἀναγκαῖον ὡς καὶ τοῦ συνάγοντος τὸ διαλελυμένον ἐπεδεήθημεν· ὡς ἂν ἐν ἡμῖν γενόμενον τὸ τοιοῦτον ἀλεξιτήριον τὴν προεντεθεῖσαν τῷ σώματι τοῦ δηλητηρίου βλάβην διὰ τῆς οἰκείας ἀντιπαθείας ἀπώσοιτο. Τί οὖν ἐστι τοῦτο; Οὐδὲν ἕτερον ἢ ἐκεῖνο τὸ σῶμα, ὃ τοῦ τε θανάτου κρεῖττον ἐδείχθη, καὶ τῆς ζωῆς ἡμῶν κατήρξατο. Καθάπερ γὰρ μικρὰ B ζύμη, καθώς φησιν ὁ Ἀπόστολος, ὅλον τὸ φύραμα πρὸς ἑαυτὴν συνεξομοιοῖ, οὕτως τὸ θανατισθὲν ὑπὸ τοῦ Θεοῦ σῶμα ἐν τῷ ἡμετέρῳ γενόμενον, ὅλον πρὸς ἑαυτὸ μεταποιεῖ καὶ μετατίθησιν. Ὡς γὰρ τοῦ φθοροποιοῦ πρὸς τὸ ὑγιαῖνον ἀναμιχθέντος, ἅπαν τὸ ἀνακραθὲν συνηχρείωται· οὕτως καὶ τὸ ἀθάνατον σῶμα ἐν τῷ ἀναλαβόντι αὐτὸ γενόμενον, πρὸς τὴν ἑαυτοῦ φύσιν καὶ τὸ πᾶν μετεποίησεν. Ἀλλὰ μὴν οὐκ ἔστιν ἄλλως ἐντός τι γίγνεσθαι τοῦ σώματος, μὴ διὰ βρώσεως καὶ πόσεως τοῖς σπλάγχνοις καταμιγνύμενον. Οὐκοῦν ἐπάναγκες κατὰ τὸν δυνατὸν τῇ φύσει τρόπον τὴν ζωοποιὸν δύναμιν τοῦ Πνεύματος δέξασθαι. Μόνου δὲ τοῦ Θεοδόχου σώματος ἐκείνου ταύτην δεξαμένου τὴν χάριν, ἄλλως δὲ δειχθέντος μὴ εἶναι δυνατὸν ἐν ἀθανασίᾳ γενέσθαι τὸ ἡμέτερον σῶμα, εἰ μὴ C διὰ τῆς πρὸς τὸ ἀθάνατον κοινωνίας ἐν μετουσίᾳ τῆς ἀφθαρσίας γενόμενον· σκοπῆσαι προσήκει, πῶς ἐγένετο δυνατὸν τὸ ἓν ἐκεῖνο σῶμα ταῖς τοσαύταις τῶν πιστῶν μυριάσι κατὰ πᾶσαν τὴν οἰκουμένην εἰσαεὶ καταμεριζόμενον, ὅλον ἐν ἑκάστῳ διὰ τοῦ μέρους γενέσθαι, καὶ αὐτὸ μένειν ἐφ' ἑαυτοῦ ὅλον. Οὐκοῦν ὡς ἂν πρὸς τὸ ἀκόλουθον ἡμῖν ἡ πίστις βλέπουσα, μηδεμίαν ἀμφιβολίαν περὶ τοῦ προκειμένου νοήματος ἔχοι, μικρόν τι προσήκει παρασχολῆσαι τὸν λόγον εἰς τὴν φυσιολογίαν τοῦ σώματος. Τίς γὰρ οὐκ οἶδεν ὅτι ἡ τοῦ σώματος ἡμῶν φύσις αὐτὴ καθ' ἑαυτὴν ἐν ἰδίᾳ τινὶ ὑποστάσει ζωὴν οὐκ ἔχει· ἀλλὰ διὰ τῆς ἐπιῤῥεούσης αὐτῇ δυνάμεως συνέχει τε ἑαυτὴν καὶ ἐν τῷ εἶναι μένει, ἀπαύστῳ κινήσει τὸ ἐλλεῖπον πρὸς ἑαυτὴν D ἐφελκομένη, καὶ τὸ περιττεῦον ἀπωθουμένη; Καὶ ὥσπερ τις ἀσκὸς ὑγροῦ τινος πλήρης ὤν, εἰ κατὰ τὸν πυθμένα τὸ ἐγκείμενον ὑπεξίοι, οὐκ ἂν φυλάσσοι τὸ περὶ τὸν ὄγκον ἑαυτοῦ σχῆμα, μὴ ἀντεισιόντος ἄνωθεν ἑτέρου πρὸς τὸ κενούμενον· ὥστε τὸν ὁρῶντα τὴν ὀγκώδη τοῦ ἀγγείου τούτου περιοχήν, εἰδέναι μὴ ἰδίαν εἶναι τοῦ φαινομένου· ἀλλὰ τὸ εἰσρέον ἐν αὐτῷ γινόμενον σχηματίζειν τὸ περιέχον τὸν ὄγκον· οὕτω καὶ ἡ τοῦ σώματος ἡμῶν κατασκευὴ ἴδιον μὲν πρὸς τὴν ἑαυτῆς σύστασιν οὐδὲν ἡμῖν γνώριμον ἔχει, διὰ δὲ τῆς ἐπεισαγομένης δυνάμεως, ἐν τῷ εἶναι μένει. Ἡ δὲ δύναμις αὕτη τροφὴ καὶ ἔστι καὶ λέγεται. Ἔτι δὲ οὐχ ἡ αὐτὴ πᾶσι τοῖς τρεφομένοις σώμασι, ἀλλά τις ἑκάστῳ κατάλληλος παρὰ τοῦ τὴν φύσιν οἰκονομοῦντος

[1] I Cor. v, 6.

A *De transmutatione Dominici corporis et sanguinis. Gregorii Nyssæ pontificis ex oratione catechetica.*

Quo modo enim qui venenum sumpserunt dolo et ex insidiis, alio medicamento exstinguunt vim quæ affert interitum, oportet autem sicut exitiale, ita etiam salutare medicamentum admitti intra viscera hominis, ut per illa distribuatur in universum corpus virtus ejus quod fert opem: ita cum id gustaverimus quod nostram dissolvit naturam, rursus necesse est ut opus habeamus eo quod cogit ac conciliat id quod erat dissolutum, ut cum intra nos fuerit hoc salutare medicamentum, veneni damnum, quod corpori fuerat inditum, per contrariam repellat affectionem. Quid hoc ergo est? Nihil aliud quam illud corpus, quod et morte ostensum fuit esse potentius, et nostræ vitæ fuit initium. Quomodo enim parum fermenti, ut dicit Apostolus [1], sibi assimilat totam conspersionem, ita corpus a Deo morte affectum cum fuerit intra nostrum, totum ad se transmutat et transfert. Quomodo enim cum quod est exitiale, mistum fuerit cum sano, quidquid est contemperatum, simul redditur inutile, ita etiam corpus immortale cum fuerit intra eum qui sumpsit, universum quoque transmutat in suam naturam. Sed fieri non potest ut sit aliquid aliter intra corpus, nisi per esum et potionem misceatur visceribus. Necesse est ergo, eo modo quo natura potest, Spiritus vivificam suscipere virtutem. Cum autem solum illud corpus quod Deum suscepit, hanc gratiam acceperit, ostensum sit autem aliter fieri non posse, ut nostrum corpus sit in immortalitate, nisi per communionem cum immortali factum sit particeps incorruptionis: oportet considerare, quomodo fieri potuerit, ut unum illud corpus, quod tam multis fidelium millibus in universo orbe terrarum semper distribuitur, totum per partem sit in unoquoque, et ipsum in se totum maneat. Ut ergo fides ad id quod est consequens aspiciens, de sensu proposito nullam habeat dubitationem, oportet nostram orationem paulisper immorari in naturali corporis consideratione. Quis enim nescit quod nostri corporis natura ipsa per se non habet vitam in quadam propria corporis substantia, sed per quamdam affluentem ei virtutem et seipsam continet, et manet in essentia, perpetua motione ad se attrahens id quod deest, et repellens id quod est supervacaneum? Et quomodo uter aliquis aliquo humore plenus, si in fundo exeat id quod in eo est positum, in magnitudine suam non servaverit figuram, nisi superne pro eo quod exiit ingrediatur aliud ad id quod exinanitur: adeo ut qui videt magnitudine distentum hujus vasis ambitum, sciat eum non esse proprium ejus quod apparet, sed id quod influit, cum in eo fuerit figurare id quod continet magnitudinem: ita etiam corporis nostri constructio nihil quidem habet proprium nobis cognitum ad sui constitutionem,

per eam autem quæ intromittitur virtutem manet in essentia. Ea autem virtus alimentum et est et dicitur. Præterea autem non idem omnibus quæ aluntur corporibus, sed quoddam unicuique congruens attributum est ab eo qui naturam dispensat et administrat. Nam alia quidem animalia aluntur effossis radicibus; alia autem aluntur herbis; aliquorum autem nutrimentum sunt carnes. Homini autem præcipue est panis, et ad humoris perdurationem et conservationem potus, non ipsa sola aqua, sed vino sæpe condita, ad opem ferendam interno nostro calori. Qui ergo ad ea aspicit, potestate aspicit ad corporis nostri magnitudinem. Nam cum illa in me fuerint, fiunt sanguis et corpus, nutrimento per vim alterandi congruenter redacto ad formam corporis.

His a nobis hoc modo distinctis ac declaratis, ad ea quæ sunt proposita, revocanda est cogitatio. Quærebatur enim quemadmodum quod est in illo corpus Christi, vivificat omnem hominum naturam, in quibus est fides, omnibus distributum, et ipsum minime diminutum. Fortasse ergo non procul absumus a probabili ratione. Nam si cujusvis corporis subsistentia nutrimento, nimirum cibo et potu constet, sit autem cibus ille panis, potusque aqua vino exhilarata; Dei autem Verbum, sicut prius est definitum, quod est Deus et Verbum, humana est natura contemperatum; et cum esset in nostro corpore, non aliquam aliam humanæ naturæ innovavit constitutionem, sed per ea quæ sunt consueta et congruentia, suo corpori dedit permansionem, cibo et potu continens substantiam. Cibus autem erat panis. Quomodo ergo in nobis, sicut jam sæpe dictum est, qui panem vidit, humanum corpus videt quodammodo, quod cum ille in eo fuerit, hoc fit: ita illic quoque quod Deum suscepit corpus, cum panis alimentum accepisset, quadam ratione idem erat quod ille, alimento, ut dictum est, transeunte in naturam corporis. Nam quod est omnium proprium, id quoque pro certo et constanti est in illa carne, nempe quod illud quoque corpus pane continebatur. Corpus autem Dei Verbi inhabitatione ad divinam transmutatum est dignitatem. Recte ergo nunc quoque Dei Verbo sanctificatum panem in Dei Verbi corpus credo transmutari. Etenim panis erat potestate illud corpus. Fuit autem sanctificatus habitatione Verbi, quod tanquam in tabernaculo habitavit in carne. Igitur unde in illo corpore transmutatus panis transit in divinam virtutem, per idem nunc fit similiter. Nam et illic Verbi gratia sanctum fecit corpus, cui ex pane erat substantia, et quodammodo ipsum quoque erat panis: et hic similiter panis, sicut dicit Apostolus [1], sanctificatur per Verbum Dei et orationem, non eo quidem quod cibo mediante in Verbi corpus evadat, sed quod statim per Verbum in corpus transmutetur, sicut dictum est a Verbo, *Hoc est corpus meum* [2]. Cum autem omnis caro alatur etiam per humorem; neque enim nisi cum eo conjungatur, id quod est in nobis terrestre, in vita permanserit.

A ἀποκεκλήρωται. Τὰ μὲν γὰρ τῶν ζώων ῥιζωρυχοῦντα τρέφεται· ἑτέροις ἐστὶν ἡ πόα τρόφιμος· τινῶν δὲ ἡ τροφὴ σάρκες εἰσίν. Ἀνθρώπῳ δὲ κατὰ τὸ προηγούμενον ἄρτος, καὶ εἰς τὴν τοῦ ὑγροῦ διαμονὴν καὶ συντήρησιν ποτὸν γίνεται, οὐχ αὐτὸ μόνον τὸ ὕδωρ, ἀλλ' οἴνῳ πολλάκις ἐφηδυνόμενον, πρὸς τὴν τοῦ θερμοῦ τοῦ ἐν ἡμῖν συμμαχίαν. Οὐκοῦν ὁ πρὸς ταῦτα βλέπων, δυνάμει πρὸς τὸν ὄγκον τοῦ ἡμετέρου σώματος βλέπει. Ἐν ἐμοὶ γὰρ ἐκεῖνα γενόμενα αἷμα καὶ σῶμα γίνεται καταλλήλως, διὰ τῆς ἀλλοιωτικῆς δυνάμεως πρὸς τὸ τοῦ σώματος εἶδος τῆς τροφῆς καθισταμένης.

Τούτων ἡμῖν τοῦτον διευκρινηθέντων τὸν τρόπον,
B ἐπανακτέον πάλιν πρὸς τὰ προκείμενα τὴν διάνοιαν. Ἐζητεῖτο γὰρ, πῶς τὸ ἐν ἐκείνῳ σῶμα τοῦ Χριστοῦ, πᾶσαν ζωοποιεῖ τὴν τῶν ἀνθρώπων φύσιν, ἐν ὅσοις ἡ πίστις ἐστὶ, πρὸς πάντας μεριζόμενον, καὶ αὐτὸ οὐ μειούμενον. Τάχα τοίνυν ἐγγὺς τοῦ εἰκότος λόγου γινόμεθα. Εἰ γὰρ παντὸς σώματος ἡ ὑπόστασις ἐκ τῆς τροφῆς γίνεται, αὕτη δὲ βρῶσις καὶ πόσις ἐστίν· ἔστι δὲ ἐν τῇ βρώσει ἄρτος, ἐν δὲ τῇ πόσει τὸ ὕδωρ ἐφηδυσμένον τῷ οἴνῳ· ὁ δὲ τοῦ Θεοῦ Λόγος, καθὼς ἐν τοῖς πρώτοις διῄρηται, ὁ καὶ Θεὸς ὢν καὶ Λόγος, τῇ ἀνθρωπίνῃ συνεκράθη φύσει, καὶ ἐν τῷ σώματι ἡμετέρῳ γενόμενος, οὐκ ἄλλην τινὰ παρεκαινοτόμησε τῇ ἀνθρωπίνῃ φύσει τὴν σύστασιν· ἀλλὰ διὰ τῶν συνήθων τε καὶ καταλλήλων ἔδωκε τῷ καθ' ἑαυτὸν σώ-
C ματι τὴν διαμονὴν, βρώσει καὶ πόσει περικρατῶν τὴν ὑπόστασιν. Ἡ δὲ βρῶσις ἄρτος ἦν. Ὥσπερ τοίνυν ἐφ' ἡμῶν, καθὼς ἤδη πολλάκις εἴρηται, ὁ τὸν ἄρτον ἰδὼν, τρόπον τινὰ τὸ ἀνθρώπινον βλέπει σῶμα, ὅτι ἐν τούτῳ ἐκεῖνο γενόμενον, τοῦτο γίνεται· οὕτω κἀκεῖ τὸ θεοδόχον σῶμα τὴν τροφὴν ἄρτου παραδεξάμενον, λόγῳ τινὶ ταὐτὸν ἦν ἐκείνῳ, τῆς τροφῆς, καθὼς εἴρηται, πρὸς τὴν τοῦ σώματος φύσιν μεθισταμένης. Τὸ γὰρ πάντων ἴδιον, καὶ ἐπ' ἐκείνης τῆς σαρκὸς ὡμολογήθη, ὅτι ἄρτῳ κἀκεῖνο τὸ σῶμα διεκρατεῖτο. Τὸ δὲ σῶμα τῇ ἐνοικήσει τοῦ Θεοῦ Λόγου πρὸς τὴν θεϊκὴν ἀξίαν μετεποιήθη. Καλῶς οὖν καὶ νῦν τὸν τῷ Λόγῳ τοῦ Θεοῦ ἁγιαζόμενον ἄρτον εἰς σῶμα τοῦ Θεοῦ Λόγου μεταποιεῖσθαι πιστεύομαι. Καὶ γὰρ ἐκεῖνο τὸ σῶμα, ἄρτος τῇ δυνάμει ἦν. Ἡγιάσθη δὲ τῇ ἐπι-
D σκηνώσει τοῦ Λόγου τοῦ σκηνώσαντος ἐν τῇ σαρκί. Οὐκοῦν ὅθεν ὁ ἐν ἐκείνῳ τῷ σώματι μεταποιηθεὶς ἄρτος, εἰς θείαν μεθίστη δύναμιν, διὰ τοῦ αὐτοῦ καὶ νῦν τὸ ἴσον γίνεται. Ἐκεῖ τε γὰρ ἡ τοῦ Λόγου χάρις ἅγιον ἐποιεῖτο σῶμα, ᾧ ἐκ τοῦ ἄρτου ἡ σύστασις ἦν, καὶ τρόπον τινὰ καὶ αὐτὸ ἄρτος ἦν· ἐνταῦθά τε ὡσαύτως ὁ ἄρτος, καθώς φησιν ὁ Ἀπόστολος, ἁγιάζεται διὰ Λόγου Θεοῦ καὶ ἐντεύξεως, οὐ διὰ βρώσεως καὶ πόσεως προϊὼν εἰς τὸ σῶμα τοῦ Λόγου, ἀλλ' εὐθὺς πρὸς τὸ σῶμα τοῦ Λόγου μεταποιούμενος, καθὼς εἴρηται ὑπὸ τοῦ Λόγου, ὅτι *Τοῦτό ἐστι τὸ σῶμά μου*. Πάσης δὲ σαρκὸς καὶ διὰ τοῦ ὑγροῦ τρεφομένης· οὐ γὰρ ἂν δίχα τῆς πρὸς τοῦτο συζυγίας τὸ ἐν ἡμῖν γεῶδες ἐν τῷ ζῆν διαμένοι. Ὥσπερ διὰ τῆς

[1] I Timoth. IV, 5. [2] Matth. XXVI, 26; Marc. XIV, 22; Luc. XXII, 19.

στεῤῥᾶς καὶ ἀντιτύπου τροφῆς τὸ στεῤῥὸν τοῦ σώ- A ματος ὑποστηρίζομεν· τὸν αὐτὸν τρόπον καὶ τῷ ὑγρῷ τὴν προσθήκην ἐκ τῆς ὁμογενοῦς ποιούμεθα φύσεως. Ὅπερ ἐν ἡμῖν γενόμενον, διὰ τῆς ἀλλοιωτικῆς δυνάμεως ἐξαιματοῦται, καὶ μάλιστά γε εἰ διὰ τοῦ οἴνου λάβοι τὴν δύναμιν πρὸς τὴν εἰς τὸ θερμὸν μεταποίησιν. Ἐπεὶ οὖν καὶ τοῦτο μέρος ἡ θεοδόχος ἐκείνου σὰρξ πρὸς τὴν σύστασιν ἑαυτῆς παρεδέξατο· ὁ δὲ φανερωθεὶς Λόγος διὰ τοῦτο κατέμιξεν ἑαυτὸν τῇ ἐπικήρῳ τῶν ἀνθρώπων φύσει, ἵνα τῇ τῆς θεότητος κοινωνίᾳ συναποθεωρηθῇ τὸ ἀνθρώπινον· τούτου χάριν πᾶσι τοῖς πεπιστευκόσι τῇ οἰκονομίᾳ τῆς χάριτος ἑαυτὸν ἐνσπείρει διὰ τῆς σαρκὸς, οἷς ἡ σύστασις ἐξ οἴνου τε καὶ ἄρτου ἐστὶ, τοῖς σώμασι τῶν πεπιστευκότων κατακιρνάμενος, ὡς ἂν τῇ πρὸς τὸ B ἀθάνατον ἑνώσει, καὶ ἄνθρωπος τῆς ἀφθαρσίας μέτοχος γένοιτο. Ταῦτα δὲ δίδωσι, τῇ τῆς εὐλογίας δυνάμει πρὸς ἐκεῖνο μεταστοιχειώσας τῶν φαινομένων τὴν φύσιν.

Quomodo autem per durum et solidum alimentum soliditatem corporis fulcimus ac stabilimus, eodem modo etiam humori adjungimus accessionem ex natura ejusdem generis. Qui quidem cum fuerit in nobis, per alterandi facultatem fit sanguis, et maxime si per vinum acceperit virtutem transmutandi in calidum. Quoniam ergo hanc quoque partem accepit caro illa Dei susceptrix ad Dei constitutionem: manifestatum autem Verbum propterea se admiscuit interitui obnoxiæ hominum naturæ, ut communione divinitatis simul etiam deificetur humanitas: ea de causa per suæ gratiæ dispensationem se per carnem inserit omnibus credentibus, commistus et contemperatus corporibus credentium, quibus substantia est ex pane et vino, ut unione cum eo quod est immortale, sit etiam homo particeps incorruptionis. Hæc autem dat, virtute benedictionis in illud transelementata eorum quæ apparent natura.

Ἔτι περὶ τῆς μεταλήψεως τοῦ Δεσποτικοῦ σώματος καὶ αἵματος, τοῦ Δαμασκηνοῦ.

Item de transmutatione corporis et sanguinis Domini, Damasceni.

Ἀγαθὸς, καὶ πανάγαθος, καὶ ὑπεράγαθος Θεὸς, ὁ ὅλος ὢν ἀγαθότης, διὰ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς αὐτοῦ ἀγαθότητος, οὐκ ἠνέσχετο μόνον εἶναι τὸ ἀγαθὸν, ἤτοι τὴν ἑαυτοῦ φύσιν, ὑπὸ μηδενὸς μετεχόμενον, ἀλλὰ καὶ τούτου χάριν ἐποίησε, πρῶτον μὲν τὰς νοερὰς καὶ οὐρανίους δυνάμεις· εἶτα τὸν ὁρατὸν καὶ αἰσθητὸν κόσμον· εἶτα ἐκ νοεροῦ καὶ αἰσθητοῦ τὸν ἄνθρωπον· πάντα μὲν οὖν τὰ ὑπ' αὐτοῦ γενόμενα κοινωνοῦσι τῆς αὐτοῦ ἀγαθότητος κατὰ C τὸ εἶναι. Αὐτὸς γάρ ἐστι τοῖς πᾶσι τὸ εἶναι, ἐπειδὴ *ἐν αὐτῷ εἰσι τὰ ὄντα*, οὐ μόνον ὅτι αὐτὸς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι αὐτὰ παρήγαγεν, ἀλλ' ὅτι ἡ αὐτοῦ ἐνέργεια τὰ ὑπ' αὐτοῦ γενόμενα συντηρεῖ καὶ συνέχει· ἐκ περισσοῦ δὲ τὰ ζῶα· κατά τε γὰρ τὸ εἶναι, καὶ κατὰ τὸ ζωῆς μετέχειν, κοινωνοῦσι τοῦ ἀγαθοῦ. Τὰ δὲ λογικὰ, καὶ κατὰ τὰ προειρημένα μὲν, οὐ μὴν ἀλλὰ κατὰ τὸ λογικὸν, καὶ ταῦτα μᾶλλον· οἰκειότερα γάρ πως εἰσι πρὸς αὐτὸν, εἰ καὶ πάντως οὗτος ὑπέρκειται ἀσυγκρίτως.

Humanæ salutis œconomia. — Deus qui bonus, qui undequaque bonus, qui plusquam bonus, imo qui totus bonitas est, propter eximias bonitatis suæ divitias, minime passus est, se solum esse bonum, suamve naturam, cujus nulla res particeps esset, verum et eam ob causam primum intelligentes cœlestesque virtutes, tum deinde mundum hunc qui sub aspectum et sensum cadit, postremo ex intelligente sensibilique substantia hominem creavit. Ac res quidem omnes quas condidit, quatenus sunt, bonitatem ipsius participant, cum ipse universis esse sit, quoniam *in ipso sunt omnia* [1], non solum quia ex nihilo ea ipse produxit, verum ob id etiam quod ejus actio res a se conditas tuetur et conservat; uberius autem animantia. Nam bonum cum eis communicat, tum quatenus sunt, tum quatenus vitam acceperunt. At vero quæ ratione utuntur, tum ob ea quæ modo diximus, tum ob rationem etiam qua pollent, boni participatione copiosius fruuntur. Arctiori etenim quodammodo necessitudine cum eo conjuncta sunt: tametsi alioqui ille incomparabili sublimitate omnia superet.

Ὁ μέντοι ἄνθρωπος, λογικὸς καὶ αὐτεξούσιος γενόμενος, ἐξουσίαν εἴληφεν ἀδιαλείπτως διὰ τῆς οἰκείας προαιρέσεως ἑνοῦσθαι τῷ Θεῷ, εἴ γε διαμένῃ D ἐν τῷ ἀγαθῷ, τουτέστι τῇ τοῦ Κτίσαντος ὑπακοῇ. Ἐπειδὴ τοίνυν ἐν παραβάσει τῆς τοῦ πεποιηκότος αὐτὸν ἐντολῆς γέγονε, καὶ θανάτῳ καὶ φθορᾷ ὑποπέπτωκεν, ὁ Ποιητὴς καὶ Δημιουργὸς τοῦ γένους ἡμῶν διὰ σπλάγχνα ἐλέους αὐτοῦ ὡμοιώθη ἡμῖν, κατὰ πάντα γενόμενος ἄνθρωπος χωρὶς ἁμαρτίας, καὶ ἡνώθη τῇ ἡμετέρᾳ φύσει. Ἐπειδὴ γὰρ μετέδωκεν ἡμῖν τῆς ἰδίας εἰκόνος, καὶ τοῦ ἰδίου πνεύματος, καὶ οὐκ ἐφυλάξαμεν, μεταλαμβάνει αὐτὸς τῆς πτωχῆς καὶ ἀσθενοῦς ἡμῶν φύσεως, ἵνα ἡμᾶς καθάρῃ, καὶ ἀφθαρτίσῃ, καὶ μετόχους πάλιν τῆς αὐτοῦ καταστήσῃ θεότητος.

Atqui homo ratione liberaque voluntate præditus cum esset, hanc acceperat potestatem, ut per suam electionem indesinenter cum Deo conjungeretur, siquidem in bono, hoc est in obedientia Creatoris perstitisset. Quoniam vero Creatoris sui violato præcepto, morti et corruptioni obnoxius fuit, idcirco generis nostri Productor et Opifex, ob misericordiæ suæ viscera, assimilatus est nobis, homo factus sine peccato, nostræque naturæ unitus fuit [2]. Nam, quia imaginem ipsius, et spiritum quem nobis dederat, minime servavimus, ipse cum paupere infirmaque natura nostra commercium iniit, quo nos expiaret, atque ad incorruptionis statum translatos, suæ rursum divinitatis redderet participes.

[1] Rom. xi, 36. [2] Hebr. ii, 17.

Incarnationis vis in reliquis a Christo hominibus. — Oportebat enim ut non solum generis nostri primitiæ, sed et quisquis hominum vellet, in illius summi boni participationem veniens denuo nasceretur, novoque subinde cibo, qui hujusmodi nativitati consentaneus esset, enutritus, perfectionis modum attingeret. Quamobrem per suam nativitatem, sive incarnationem, baptismum item, passionem, et resurrectionem, humanum genus a primi parentis peccato, morte quoque ac corruptione liberavit; resurrectionisque factus primitiæ, seipsum viam normamque et exemplar constituit, ut nos quoque vestigiis ejus adhærentes, quod ipse natura est, hoc adoptione essemus, filii nimirum, et hæredes Dei, ipsiusque cohæredes [1]. B Nobis itaque secundam, ut dixi, nativitatem dedit; ut quemadmodum ex Adamo procreati, similitudinem ejus contraximus, maledictionemque, et corruptionem hæreditario veluti jure nacti sumus: sic ex ipso geniti, similes ei efficiamur, atque immortalitatis ipsius, benedictionisque, ac gloriæ hæreditatem consequamur.

A Ἔδει δὲ μὴ μόνον τὴν ἀπαρχὴν τῆς ἡμετέρας φύσεως ἐν μετοχῇ γενέσθαι τοῦ κρείττονος, ἀλλὰ καὶ πάντα τὸν βουλόμενον ἄνθρωπον, καὶ δευτέραν γέννησιν γεννηθῆναι, καὶ τραφῆναι τροφὴν ξένην, καὶ τῇ γεννήσει πρόσφορον, καὶ οὕτω φθάσαι τὸ μέτρον τῆς τελειότητος. Διὰ μὲν οὖν τῆς αὐτοῦ γεννήσεως ἤτοι σαρκώσεως, καὶ τοῦ βαπτίσματος, καὶ τοῦ πάθους, καὶ τῆς ἀναστάσεως, ἠλευθέρωσε τὴν φύσιν τῆς ἁμαρτίας τοῦ προπάτορος, τοῦ θανάτου καὶ τῆς φθορᾶς, καὶ τῆς ἀναστάσεως ἀπαρχὴ γέγονε, καὶ ὁδὸν καὶ τύπον ἑαυτὸν καὶ ὑπογραμμὸν τέθεικεν, ἵνα καὶ ἡμεῖς τοῖς αὐτοῦ ἀκολουθήσαντες ἴχνεσι, γενώμεθα θέσει, ὅπερ αὐτός ἐστι φύσει, υἱοὶ καὶ κληρονόμοι Θεοῦ, καὶ αὐτοῦ συγκληρονόμοι [h]· Ἔδωκεν οὖν ἡμῖν, ὡς ἔφην, γέννησιν δευτέραν, ἵν' ὥσπερ γεννηθέντες ἐκ τοῦ Ἀδὰμ, ὡμοιώθημεν αὐτῷ, κληρονομήσαντες τὴν κατάραν καὶ τὴν φθορὰν, οὕτω καὶ ἐξ αὐτοῦ γεννηθέντες, ὁμοιωθῶμεν αὐτῷ, καὶ κληρονομήσωμεν [i] τήν τε ἀφθαρσίαν, καὶ τὴν εὐλογίαν, καὶ τὴν δόξαν αὐτοῦ.

Nativitas per Christum, cibusque duplex. Eucharistiæ institutio. Vetus Pascha comedit Christus. — Cæterum quoniam hic Adam spiritualis est, par erat, ut tum nativitas spiritualis esset, tum pariter alimonia. Verum quia duplicis naturæ sumus, et compositi, duplicem quoque nativitatem, atque item compositum cibum esse oportebat. Quocirca nativitas quidem nobis per aquam et C Spiritum, hoc est, per sanctum baptisma data est [2]: cibus autem, ipse est panis vitæ, Dominus noster Jesus Christus, qui de cœlo descendit [3]. Nam cum voluntariam mortem nostri causa suscepturus esset, ea nocte qua seipsum tradebat, testamentum novum sanctis suis discipulis et apostolis, atque per eos universis qui in ipsum crederent, condidit. Itaque in sanctæ et illustris Sion cœnaculo, cum vetus Pascha cum discipulis suis manducasset, testamento veteri expleto, discipulorum pedes lavit [4]; hoc suo utique facto symbolum præbens sancti baptismatis: tum deinde frangens panem, porrexit eis, dicens: *Accipite et comedite, hoc est corpus meum, quod pro vobis frangitur in remissionem peccatorum* [5]. Simili quoque modo calicem vino et aqua temperatum accipiens, impertivit eis, dicens: *Bibite ex hoc omnes: hic est sanguis meus novi testamenti, qui pro vobis effunditur in remissionem peccatorum; hoc facite in meam commemorationem. Quotiescunque enim manducatis panem hunc, et calicem bibitis, mortem Domini annuntiatis* [6].

Ἐπειδὴ δὲ πνευματικός ἐστιν οὗτος ὁ Ἀδὰμ, ἔδει καὶ τὴν γέννησιν πνευματικὴν εἶναι, ὁμοίως καὶ τὴν βρῶσιν. ἀλλ' ἐπειδὴ διπλοῖ τινές ἐσμεν καὶ σύνθετοι, δεῖ καὶ τὴν γέννησιν διπλῆν εἶναι, ὁμοίως καὶ τὴν βρῶσιν σύνθετον. Ἡ μὲν οὖν γέννησις ἡμῖν δι' ὕδατος καὶ Πνεύματος δέδοται· φημὶ δὲ τοῦ ἁγίου βαπτίσματος· ἡ δὲ βρῶσις αὐτὸς ὁ ἄρτος τῆς ζωῆς, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. Μέλλων γὰρ τὸν ἑκούσιον ὑπὲρ ἡμῶν καταδέχεσθαι θάνατον, ἐν τῇ νυκτὶ, ἐν ᾗ ἑαυτὸν παρεδίδου, διαθήκην καινὴν διέθετο τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, καὶ δι' αὐτῶν πᾶσι τοῖς εἰς αὐτὸν πιστεύουσιν. Ἐν τῷ ὑπερῴῳ τοίνυν τῆς ἁγίας καὶ ἐνδόξου Σιὼν, τὸ παλαιὸν Πάσχα μετὰ τῶν μαθητῶν αὐτοῦ φαγὼν, καὶ πληρώσας τὴν παλαιὰν διαθήκην, νίπτει τῶν μαθητῶν τοὺς πόδας, σύμβολον τοῦ ἁγίου βαπτίσματος παρεχόμενος. Εἶτα κλάσας ἄρτον, ἐπεδίδου αὐτοῖς λέγων· *Λάβετε, φάγετε, τοῦτό μού ἐστι τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν*. Ὁμοίως δὲ λαβὼν, καὶ τὸ ποτήριον ἐξ οἴνου καὶ ὕδατος, μετέδωκεν αὐτοῖς λέγων· D *Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό μού ἐστι τὸ αἷμα, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου καταγγέλλετε.*

Velut enim quidquid fecit Deus, id Spiritus sancti fecit opera, ita nunc quoque Spiritus sancti operatione facta sunt, quæ naturæ modum excedunt, quæque nisi fide sola, nec capi queunt, nec intelligi. *Quomodo mihi accidet istud*, aiebat Virgo sancta,

Ὥσπερ γὰρ πάντα ὅσα ἐποίησεν ὁ Θεὸς, τῇ τοῦ ἁγίου Πνεύματος ἐνεργείᾳ ἐποίησεν, οὕτω καὶ νῦν ἡ τοῦ Πνεύματος ἐνέργεια τὰ ὑπὲρ φύσιν ἐργάζεται, ἃ οὐ δύναται χωρῆσαι, εἰ μὴ μόνη ἡ πίστις. *Πῶς ἔσται μοι τοῦτο*, φησὶν ἡ ἁγία Παρθένος, *ἐπεὶ ἄνδρα οὐ γινώσ-*

[1] Rom. vii, 17. [2] Joan. iii, 3. [3] Joan. vi, 48. [4] Joan. xiii, 1 seqq. [5] Matth. xxvi, 26. [6] ibid. 27. Marc. xiv, 21; Luc. xxi, 17; I Cor. xi, 24-25.

κω, Ἀποκρίνεται Γαβριὴλ ὁ ἀρχάγγελος· *Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.* Καὶ νῦν ἐρωτᾷς πῶς ὁ ἄρτος γίνεται σῶμα Χριστοῦ, καὶ ὁ οἶνος καὶ τὸ ὕδωρ, αἷμα Χριστοῦ. Λέγω σοι κἀγὼ· Πνεῦμα ἅγιον ἐπιφοιτᾷ, καὶ ταῦτα ποιεῖ τὰ ὑπὲρ λόγον καὶ ἔννοιαν.

Ἄρτος δὲ καὶ οἶνος παραλαμβάνεται· οἶδε γὰρ ὁ Θεὸς τὴν ἀνθρωπίνην ἀσθένειαν· ὡς τὰ πολλὰ γὰρ τὰ μὴ κατὰ τὴν συνήθειαν τετριμμένα, ἀποστρέφεται δυσχεραίνουσα· τῇ οὖν συγκαταβάσει συνήθει κεχρημένος, διὰ τῶν συνήθων τῆς φύσεως ποιεῖ τὰ ὑπὲρ φύσιν· καὶ ὥσπερ ἐπὶ τοῦ βαπτίσματος, ἐπειδὴ ἔθος ἀνθρώποις ὕδατι λούεσθαι, καὶ ἐλαίῳ χρίεσθαι, συνέζευξε τῷ ἐλαίῳ καὶ ὕδατι τὴν χάριν τοῦ Πνεύματος, καὶ ἐποίησεν αὐτὸ λουτρὸν ἀναγεννήσεως· οὕτως, ἐπειδὴ ἔθος τοῖς ἀνθρώποις ἄρτον ἐσθίειν, ὕδωρ τε καὶ οἶνον πίνειν, συνέζευξεν αὐτοῖς τὴν αὐτοῦ θεότητα, καὶ πεποίηκεν αὐτὰ σῶμα καὶ αἷμα αὐτοῦ, ἵνα διὰ τῶν συνήθων καὶ κατὰ φύσιν, ἐν τοῖς ὑπὲρ φύσιν γενώμεθα.

Σῶμά ἐστιν ἀληθῶς ἡνωμένον θεότητι, τὸ ἐκ τῆς ἁγίας Παρθένου σῶμα, οὐχ ὅτι τὸ ἀναληφθὲν σῶμα ἐξ οὐρανοῦ κατέρχεται, ἀλλ' ὅτι αὐτὸς ὁ ἄρτος καὶ οἶνος μεταποιοῦνται εἰς σῶμα καὶ αἷμα Θεοῦ. Εἰ δὲ τὸν τρόπον ἐπιζητεῖς, πῶς γίνεται, ἀρκεῖ σοι ἀκοῦσαι, ὅτι διὰ Πνεύματος ἁγίου, ὥσπερ καὶ ἐκ τῆς ἁγίας Θεοτόκου διὰ Πνεύματος ἁγίου ἑαυτῷ, καὶ ἐν ἑαυτῷ ὁ Κύριος σάρκα ὑπεστήσατο· καὶ πλέον οὐδὲν γινώσκομεν, ἀλλ' ὅτι ὁ λόγος τοῦ Θεοῦ ἀληθής ἐστι, καὶ ἐνεργὴς, καὶ παντοδύναμος, ὁ δὲ τρόπος ἀνεξερεύνητος. Οὐ χεῖρον δὲ καὶ τοῦτο εἰπεῖν, ὅτι, ὥσπερ φυσικῶς διὰ τῆς βρώσεως ὁ ἄρτος, καὶ ὁ οἶνος καὶ τὸ ὕδωρ διὰ τῆς πόσεως εἰς σῶμα καὶ αἷμα τοῦ ἐσθίοντος καὶ πίνοντος μεταβάλλονται, καὶ οὐ γίνονται [a] ἕτερον σῶμα παρὰ τὸ πρότερον αὐτοῦ σῶμα· οὕτως ὁ τῆς προθέσεως ἄρτος, οἶνός τε, καὶ ὕδωρ διὰ τῆς ἐπικλήσεως καὶ ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος, ὑπερφυῶς μεταποιοῦνται εἰς τὸ σῶμα τοῦ Χριστοῦ καὶ τὸ αἷμα, καὶ οὐκ εἰσὶ δύο, ἀλλ' ἓν καὶ τὸ αὐτό.

Γίνεται τοίνυν τοῖς πίστει ἀξίως μεταλαμβάνουσιν, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον, καὶ εἰς φυλακτήριον ψυχῆς τε καὶ σώματος· τοῖς δὲ ἐν ἀπιστίᾳ ἀναξίως μετέχουσιν, εἰς κόλασιν καὶ τιμωρίαν, καθάπερ καὶ ὁ τοῦ Κυρίου θάνατος, τοῖς μὲν πιστεύουσι γέγονε ζωὴ καὶ ἀφθαρσία εἰς ἀπόλαυσιν τῆς αἰωνίου μακαριότητος· τοῖς δὲ ἀπειθοῦσι, καὶ τοῖς κυριοκτόνοις, εἰς κόλασιν καὶ τιμωρίαν αἰώνιον.

Οὐκ ἔστι τύπος ὁ ἄρτος καὶ ὁ οἶνος τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ (μὴ γένοιτο), ἀλλ' αὐτὸ τὸ σῶμα τοῦ Κυρίου τεθεωμένον, αὐτοῦ τοῦ Κυρίου εἰπόντος· *Τοῦτό μού ἐστι,* οὐ τύπος;

A *quoniam virum non cognosco* [1] ? Cui Gabriel archangelus : *Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi* [2]. Tu quoque nunc quæris, qui panis fiat corpus Christi, ac vinum et aqua, sanguis illius. Ego vero tibi repono Spiritum sanctum supervenire, et ea facere, quæ sermonem conceptumque omnem procul exsuperant.

Cur panis et vinum ad Eucharistiam adhibeantur. — Panis porro vinumque adhibentur, quia, cum Deo explorata sit imbecillitas humana, quæ, ut plurimum, ea aversetur quæ usu minime trita sunt ; hinc fit ut pro solita sua erga nos indulgentia, per ea quæ naturæ familiaria sunt, res natura sublimiores efficiat. Et sicut in baptismo, quoniam in more hominum positum est, ut aqua

B laventur, et ungantur oleo, Spiritus gratiam cum oleo et aqua copulavit, ut lavacrum regenerationis illum faceret. Consimili modo, quia hominum consuetudo fert ut panem edant, vinumque et aquam bibant ; idcirco conjuncta cum illis sua divinitate, hæc corpus et sanguinem suum fecit, uti per usitata et naturæ consentanea assurgamus ad ea quæ supra naturam sunt.

Corpus Christi in Eucharistia non adductione, sed elementorum conversione. — Corpus est divinitati vere unitum, quod ex sancta Virgine ortum habuit, non ut illud quod in cœlos receptum est, corpus descendat ; sed quia panis ipse et vinum in corpus et sanguinem Dei transmutantur. Si requiras, quonam pacto istud fiat, sat tibi

C sit audire, hoc fieri per Spiritum sanctum ; quemadmodum et ex sancta Dei Genitrice Dominus sibiipsi carnem assumpsit, quæ in seipso subsisteret : nec amplius quidquam nobis perspectum est et exploratum, quam quod Dei sermo verax efficaxque est, atque omnia potest ; modus vero investigari prorsus nequit [a]. Illud vero dicere alienum non est, quemadmodum naturaliter panis per comestionem, vinumque et aqua per potionem, in corpus et sanguinem comedentis et bibentis transmutantur, ut nec corpus fiant aliud a corpore ejus quod prius exstabat : sic panem qui in prothesi præparatus fuit, vinum item et aquam per Spiritus sancti invocationem et adventum, modo qui naturæ viribus et conditione sublimior est, in Christi corpus et sanguinem converti, ut nequaquam duo sint, sed unum et idem.

D Quocirca illis qui cum fide digne suscipiunt, in remissionem peccatorum, et vitam æternam cedit, necnon animæ corporisque præsidium; illis contra qui in incredulitate indigne sumunt, in pœnam et supplicium : haud secus atque Domini mors, credentibus quidem vita et incorruptio est, ad æternæ felicitatis consecutionem; incredulis vero et iis qui Dominum interfecerunt, ad pœnam et vindictam sempiternam.

Christi verum corpus, non figura. —Nec vero panis et vinum, Christi corporis et sanguinis figura sunt (absit !), sed ipsum Domini corpus deitate dotatum ; cum ipse Dominus dixerit : *Hoc est,*

[1] Luc. I, 35. [2] Ibid. 36.

non figura corporis, sed *corpus meum*, neque figura sanguinis, sed *sanguis meus*. Et antea Judæis dixerat : *Nisi manducaveritis carnem Filii hominis, et biberitis ejus sanguinem, non habebitis vitam in vobis. Caro enim mea verus est cibus, et sanguis meus, verus est potus.* Et rursum : *Qui manducat me, vivet* [1].

Ritus dandi Eucharistiam in manibus. — Quapropter cum omni timore et conscientia pura, fideque non dubia accedamus : et erit omnino nobis sicut credimus, nihil hæsitantes. Ipsum porro omni animi et corporis puritate veneremur : duplex enim est. Accedamus ad eum ardenti desiderio, compositisque in crucis formam manibus, crucifixi corpus suscipiamus, oculos, labia, frontem adhibentes, divinum carbonem sumamus, ut desiderii nostri ignis, accepto carbonis ardore, peccata nostra comburat, et corda illuminet, divinique adeo ignis commercio inardescamus, et in deos evadamus. Carbonem vidit Isaias [2] : carbo non est simplex lignum, sed igni unitum; sic quoque panis communionis, non simplex est panis, sed divinitati unitus. Corpus autem [3] quod divinitati conjunctum est, non una natura est; sed una quidem est corporis, altera, conjunctæ cum ipso divinitatis. Quo fit ut utrumque non sit una natura, sed duæ.

Eucharistiæ figura. — Abrahamum ex alienigenarum strage revertentem, Altissimi Dei sacerdos Melchisedech excepit [4]. Mensa illa mensam hanc mysticam præsignabat; quemadmodum sacerdos ille veri sacerdotis Christi figuram et imaginem gerebat [5]. Ait enim : *Tu es sacerdos in æternum secundum ordinem Melchisedech* [6]. Panem hunc, propositionis panes adumbrabant. Hoc purum illud et incruentum sacrificium est, quod ab ortu solis usque ad occasum sibi oblatum iri Dominus per prophetam dixit [7].

Eucharistiæ fructus. — Corpus et sanguis Christi est, in nostri, tum animi, tum corporis vegetationem cedens, quod nec consumatur, nec corrumpatur, nec in secessum vadat (absit !), sed in substantiam nostram et conservationem, omnigenæ labis propulsationem, omnisque spurcitiei detersionem, ut si adulteratum aurum deprehendat, per explorantem judicii inflammationem illud purget, ne in futuro sæculo cum hoc mundo damnemur. Morbis enim, omnifariisque immissis calamitatibus expurgat, juxta ac Apostolus ait [8] : *Si enim nosmetipsos dijudicaremus, non utique judicaremur. Cum judicamur autem a Domino corripimur, ut non cum hoc mundo damnemur.* Atque hoc est quod dicit : *Qui enim sumit indigne corpus et sanguinem Domini, judicium sibi manducat et bibit* [9]. Per illud vero purgati, cum Domini corpore spiritu ipsius unimur, et Christi corpus efficimur.

τοῦ σώματος, ἀλλὰ τὸ σῶμα· καὶ οὐ τύπος τοῦ αἵματος, ἀλλὰ τὸ αἷμα. Καὶ πρὸ τούτου τοῖς Ἰουδαίοις, ὅτι *Ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. Ἡ γὰρ σάρξ μου ἀληθής ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθής ἐστι πόσις.* Καὶ πάλιν· *Ὁ τρώγων με, ζήσεται.*

Διὸ μετὰ παντὸς φόβου καὶ συνειδήσεως καθαρᾶς, καὶ ἀδιστάκτου πίστεως προσέλθωμεν, καὶ πάντως ἔσται ἡμῖν, καθὼς πιστεύομεν, μὴ διστάζοντες. Τιμήσωμεν δὲ αὐτὸ πάσῃ καθαρότητι, ψυχικῇ τε καὶ σωματικῇ· διπλοῦν γάρ ἐστι. Προσέλθωμεν αὐτῷ πόθῳ διακαεῖ, καὶ σταυροειδῶς τὰς παλάμας τυπώσαντες, τοῦ ἐσταυρωμένου τὸ σῶμα ὑποδεξώμεθα· καὶ ἐπιθέντες ὀφθαλμούς, καὶ χείλη, καὶ μέτωπα, τοῦ θείου ἄνθρακος μεταλάβωμεν, ἵνα τὸ πῦρ τοῦ ἐν ἡμῖν πόθου προσλαβὸν τὴν ἐκ τοῦ ἄνθρακος πύρωσιν, καταφλέξῃ ἡμῶν τὰς ἁμαρτίας, καὶ φωτίσῃ ἡμῶν τὰς καρδίας, καὶ τῇ μετουσίᾳ τοῦ θείου πυρὸς πυρωθῶμεν καὶ θεωθῶμεν. Ἄνθρακα εἶδεν Ἡσαΐας· ἄνθραξ δὲ ξύλον λιτὸν οὐκ ἔστιν, ἀλλ' ἡνωμένον πυρί· οὕτω καὶ ὁ ἄρτος τῆς κοινωνίας, οὐκ ἄρτος λιτός ἐστιν, ἀλλ' ἡνωμένος θεότητι· σῶμα δὲ ἡνωμένον θεότητι, οὐ μία φύσις ἐστὶν, ἀλλὰ μία μὲν τοῦ σώματος, τῆς δὲ ἡνωμένης αὐτῷ θεότητος, ἑτέρα· ὥστε τὸ συναμφότερον, οὐ μία φύσις, ἀλλὰ δύο.

Ἄρτῳ καὶ οἴνῳ ἐδεξιοῦτο Μελχισέδεκ τὸν Ἀβραὰμ, ἐκ τῆς τῶν ἀλλοφύλων κοπῆς ὑποστρέφοντα, ὁ ἱερεὺς τοῦ Θεοῦ τοῦ Ὑψίστου· ἐκείνη ἡ τράπεζα ταύτην τὴν μυστικὴν προεικόνιζε τράπεζαν, ὃν τρόπον ἐκεῖνος ὁ ἱερεὺς, τοῦ ἀληθινοῦ ἀρχιερέως Χριστοῦ τύπος ἦν καὶ εἰκόνισμα· *Σὺ* γάρ, φησίν, *εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισέδεκ.* Τοῦτον τὸν ἄρτον οἱ ἄρτοι εἰκόνιζον τῆς προθέσεως. Αὕτη ἐστὶν ἡ καθαρὰ θυσία, δηλαδὴ καὶ ἀναίμακτος, ἣν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αὐτῷ προσφέρεσθαι διὰ τοῦ προφήτου ὁ Κύριος ἔφησε.

Σῶμά ἐστι καὶ αἷμα (86) Χριστοῦ εἰς σύστασιν τῆς ἡμετέρας ψυχῆς τε καὶ σώματος χωροῦν, οὐ δαπανώμενον, οὐ φθειρόμενον, οὐκ εἰς ἀφεδρῶνα χωροῦν (μὴ γένοιτο), ἀλλ' εἰς τὴν ἡμῶν οὐσίαν καὶ συντήρησιν, βλάβης παντοδαποῦς ἀμυντήριον, ῥύπου παντὸς καθαρτήριον· ἂν μὲν χρυσὸν λάβῃ κίβδηλον, διὰ τῆς κριτικῆς πυρώσεως καθαίρει, ἵνα μὴ ἐν τῷ μέλλοντι σὺν τῷ κόσμῳ κατακριθῶμεν. Καθαίρει γὰρ νόσοις καὶ παντοίαις ἐπιφοραῖς, καθώς φησιν ὁ θεῖος Ἀπόστολος· *Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. Κρινόμενοι δὲ, ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.* Καὶ τοῦτό ἐστιν ὃ λέγει· *Ὥστε ὁ μετέχων τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου ἀναξίως κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει.* Δι' αὐτοῦ καθαιρόμενοι, ἑνούμεθα τῷ σώματι Κυρίου καὶ τῷ πνεύματι αὐτοῦ, καὶ γινόμεθα σῶμα Χριστοῦ.

[1] Joan. vi, 54-58. [2] Isa. vi, 2. [3] ibid. [4] Gen. xiv, 5. [5] Levit. xiv, 5. [6] Psal. cix, 4. [7] Malach. i, 10. [8] I Cor. xi, 31, 32. [9] ibid. 29.

Εἰ δὲ καί τινες ἀντίτυπα τοῦ σώματος καὶ A αἵματος τοῦ Κυρίου τὸν ἄρτον καὶ τὸν οἶνον ἐκάλεσαν, ὡς ὁ θεοφόρος ἔφη Βασίλειος, οὐ μετὰ τὸ ἁγιασθῆναι εἶπον, ἀλλὰ πρὶν ἁγιασθῆναι, αὐτὴν τὴν προσφορὰν οὕτω καλέσαντες.

Quo sensu Basilius Eucharistiam vocavit ἀντίτυπα corporis et sanguinis Christi. — Quod si nonnulli panem vinumque, corporis et sanguinis Domini ἀντίτυπα, seu imagines figurasve vocaverunt, velut divinus Basilius, non hoc post consecrationem dixerunt, sed antequam oblatio ipsa consecraretur, vocem hanc usurparunt.

Μετάληψις δὲ λέγεται· δι' αὐτῆς γὰρ τῆς Ἰησοῦ θεότητος μεταλαμβάνομεν. Κοινωνία δὲ λέγεταί τε καὶ ἔστιν ἀληθῶς, διὰ τὸ κοινωνεῖν ἡμᾶς δι' αὐτῆς τῷ Χριστῷ, καὶ μετέχειν αὐτοῦ τῆς σαρκός τε καὶ τῆς θεότητος· κοινωνεῖν δὲ, καὶ ἑνοῦσθαι ἀλλήλοις δι' αὐτῆς· ἐπεὶ γὰρ ἐξ ἑνὸς ἄρτου μεταλαμβάνομεν, οἱ πάντες ἓν σῶμα Χριστοῦ, καὶ ἓν αἷμα, καὶ ἀλλήλων μέλη γινόμεθα, σύσσωμοι Χριστοῦ χρηματί- B ζοντες.

Nuncupatur participatio, quia per ipsam divinitatis Jesu reddimur participes. Communio item appellatur, et revera est, quia per eam Christo communicamus, ejusque carnem ac divinitatem percipimus, quin etiam aliis alii communicamus ac copulamur. Nam quia ex uno pane participamus, omnes unum Christi corpus, et unus sanguis, aliique aliorum membra efficimur, dum unius corporis sumus.

ΤΙΤΛΟΣ ΚϚʹ.

Κατὰ Μασαλιανῶν.

Κατὰ τοὺς χρόνους Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος ἡ τῶν Μασαλιανῶν ἐβλάστησεν αἵρεσις· ἡ δὲ κλῆσις αὐτη μεταβαλλομένη εἰς τὴν Ἑλλάδα γλῶσσαν Εὐχίτας δηλοῖ. Καὶ γὰρ πολὺ παρ' αὐτοῖς τὸ τῆς εὐχῆς ὄνομα, καὶ ταύτην ἄνω καὶ κάτω θρυλλοῦσι, καὶ αὕτη τούτοις τὸ σεμνολόγημα. Εὐχὴν δὲ λέγουσιν εἴτε τὴν προσευχὴν, ἣν ἕκαστος προσφέρει Θεῷ, εἴτε τὴν τοῦ *Πάτερ ἡμῶν*, ἣν ὁ Κύριος τοῖς ἀποστόλοις παρέδωκεν, εἴτε τινὰ ἑτέραν μόνοις ἐξ αὐτῶν C ἐγνωσμένην τοῖς εἰς ἀσέβειαν τελεωτέροις, πρὸς δὲ τοὺς ἄλλους πάντας οὖσαν ἀνέκφορον διὰ τὴν ἐν αὐτῇ τερατολογίαν, οἶμαι, καὶ σατανικὴν ἐπῳδήν. Ἔχουσι δὲ καὶ ἄλλην προσηγορίαν ἀπὸ τοῦ πράγματος ἐπιτεθεῖσαν αὐτοῖς. Ἐνθουσιασταὶ γὰρ προσονομάζονται, δαίμονός τινος ἐνέργειαν εἰσδεχόμενοι, καὶ Πνεύματος ἁγίου ταύτην ὑπολαμβάνοντες. Οἱ δὲ τέλεον τὴν νόσον ταύτην εἰσδεδεγμένοι ἀποστρέφονται μὲν τὴν τῶν χειρῶν ἐργασίαν ὡς πονηρὰν, ὕπνῳ δὲ τὰ πολλὰ σφᾶς αὐτοὺς ἐκδιδόντες ἐνθουσιασμὸν τὰς τῶν ὀνείρων φαντασίας ἀποκαλοῦσι. Ταύτης ἐγένοντο τῆς αἱρέσεως ἀρχηγοὶ πολλοὶ μὲν καὶ ἄλλοι, ἔτι δὲ καὶ Ἀδέλφιος, ὃν Φλαβιανὸς ὁ Ἀντιοχείας μετακαλεσάμενος ἐξ Ἐδέσσης, καὶ τεχνικῶς ὑπελθὼν, καὶ μαθητιᾷν ὑποκρινάμενος, παρ- D εσκεύασεν ἐξεμέσαι πάντα τὸν ἐγκεκρυμμένον τῶν δογμάτων ἰόν. Δήλης δὲ τῆς νόσου ταύτης γενομένης, τῆς μὲν Συρίας ἐξηλάθησαν, εἰς δὲ τὴν Παμφυλίαν ἐχώρησαν. Τίνα δὲ τὰ δόγματα τούτων ἐροῦμεν προβαίνοντες. Ἀνελήφθησαν γὰρ ἐκ τῆς αὐτῶν βίβλου, καὶ πᾶσι τότε προετίθεσαν εἰς τὸ καταπτύεσθαι.

TITULUS XXVI.

Adversus Masalianos.

Valentiniano et Valente imperatoribus Masalianorum hæresis pullulavit. Quod quidem vocabulum Euchitas, id est supplices, seu precantes significat. Multus enim apud ipsos est sermo de precatione, eamque nusquam non celebrant, et jactitant. Precationem autem sive supplicationem appellant preces, quas quisque offert Deo; exempli gratia, *Pater noster*, quam quidem precationem Dominus discipulis tradidit, aut aliquod aliud precationis genus, solis illis, qui apud ipsos in impietate peritiores sunt, cognitum; ab aliis autem omnibus ignoratum propter ipsius, ut arbitror, absurditatem, et satanicam incantationem. Aliud etiam ab ipsa re cognomen habent. Afflati enim nuncupantur, quippe qui dæmonis cujusdam actionem subeant, quam esse sancti Spiritus existimant. Sed qui perfecto laborant hoc morbo, manuum quidem opus uti nefarium aversantur, ac somno plerumque sese dedentes, ex somniorum visis afflari se putant. Porro istius hæresis cum alii multi principes exstiterunt, tum Adelphius, quem Flavianus Antiochiæ pontifex accersitum ex Edessa, magno se illius disciplinæ studio teneri simulans, callide pellexit, ut occultum omne doctrinæ venenum evomeret. Quo quidem morbo patefacto, e Syria expulsi in Pamphyliam concesserunt. Quædam istorum instituta progredientes aperiemus, quæ ex ipsorum libro deprompta sunt, et omnibus tunc proposita, ut despiciantur et contemnantur.

Λέγουσιν, ὅτι αἱ τρεῖς ὑποστάσεις Πατρὸς, Υἱοῦ, καὶ ἁγίου Πνεύματος εἰς μίαν ὑπόστασιν ἀναλύονται. Τοῦτο δὲ ἐκ τῆς Σαβελιανῆς αἱρέσεως ἐσύλησαν εἰς ἓν συναιρούσης, καὶ συναλειφούσης, καὶ συγχεούσης τὰς τρεῖς ὑποστάσεις, καὶ μίαν ὑπόστα-

Dicunt tres personas Patris, et Filii, et Spiritus sancti in unam resolvi, quod ex Sabelliana hæresi surripuerunt, quæ tres hypostases in unum cogit atque confundit, et unam trium personarum hypostasim tradit. Istius igitur opinionis impiæ

[1] I Cor. xi, 29.

confutationem in eo titulo, qui *adversus Sabellianos* inscriptus est, reperies.

A σιν δογματιζούσης τριπρόσωπον. Εὑρήσεις δὲ τὰς τοῦ ἀσεβοῦς τούτου δόγματος ἀνατροπὰς ἐν τῷ προγραφέντι *κατὰ τῶν Σαβελλιανῶν* τίτλῳ, καὶ ζήτησον ἐκεῖ ταύτας.

Divinam aiunt naturam facile verti et mutari in quodcunque voluerit, ut cum animis, quæ ipsa sint dignæ, conjungatur. Atqui verti mutarique rerum procreatarum proprium est. Quidquid enim creatum est, id et mutabile est. Nam quæ a mutatione duxerunt initium, id est, quæ ex nihilo profecta sunt, ea plane mutationibus corruptionique sunt obnoxia, ut quæ mundo continentur, et quæ proposito mutantur et voluntate, quales sunt angeli et animæ, tum ad bonum, tum ad malum. Quoniam autem Deus creatus non est, et immutabilis est omnino. Quorum enim essentia contraria est, eorum et essentiæ conditio contraria est. Atque alia quidem ratione mutatio motus est genus rebus conveniens procreatis; Deus autem natura est immobilis, præstantiorque, quam ut in ullum ex illis sex motuum generibus, de quibus philosophi disputant, cadat, quippe qui quantitatis et qualitatis est expers, et infinitus quantum ad principium finemque pertinet. Quod si immobilis est natura Deus, et immutabilis omnino.

Λέγουσιν, ὅτι τρέπεται, καὶ μεταβάλλεται ῥᾳδίως ἡ θεία φύσις πρὸς ὃ ἂν βούλοιτο, ἵνα συγκραθῇ ταῖς ἀξίαις αὐτῇ ψυχαῖς. Καὶ μὴν τῶν κτιστῶν ἡ τροπή. Πᾶν γὰρ κτιστὸν καὶ τρεπτόν. Ὧν γὰρ τὸ εἶναι ἀπὸ τροπῆς ἤρξατο, τουτέστιν ἀπὸ τοῦ μὴ εἶναι, ταῦτα πάντως τῇ τροπῇ ὑποκείσεται ἢ φθειρόμενα, ὡς τὰ ἐγκόσμια, ἢ κατὰ προαίρεσιν ἀλλοιούμενα, ὡς ἄγγελοι καὶ ψυχαὶ, κατά τε τὴν ἐπὶ τὸ καλὸν προκοπὴν, καὶ τὴν ἐπὶ τὸ κακὸν κίνησιν. Ἐπεὶ δὲ ὁ Θεὸς ἄκτιστος, πάντως καὶ ἄτρεπτος. Ὧν γὰρ τὸ εἶναι ἐναντίον, τούτων καὶ ὁ τοῦ πῶς εἶναι λόγος
B ἐναντίος. Καὶ καθ' ἕτερον δὲ λόγον ἡ μὲν τροπὴ κινήσεως εἶδός ἐστι, προσήκουσα τοῖς κτιστοῖς· ὁ δὲ Θεὸς κατὰ φύσιν ἀκίνητός ἐστι, καὶ ὑπὲρ τὴν παρὰ τοῖς φιλοσόφοις ἑξαχῆ κίνησιν, ὡς ἄποσος καὶ ἄποιος, κατά τε ἀρχὴν καὶ τέλος. Εἰ δὲ ἄτρεπτος κατὰ φύσιν ὁ Θεὸς, πάντως καὶ ἀμετάβλητος.

Dicunt semen et Verbum in Dei Genitricis uterum descendisse. Procul rejiciatur nefaria istorum impietas, quorum sermo vere semen est diaboli, quod in animas ipsorum cadens cogit eos tale venenum effundere. Cujusnam semen, ut ipsi nugantur (propitius nobis sit Christus, et castissima Mater ipsius!) cecidit? Hominisne? Minime id dicent, cum ipsi quoque virginem Christi Matrem fateantur. An cœli? At hoc si dixerint, opponemus illis ea quæ adversus illos, qui Christi ortum ex Virgine negant exstitisse, et cœleste fuisse corpus ipsius affirmant, elaboravimus, et septimo capite illius tituli, qui est *adversus Armenios*, continentur, et in capite de Dei Genitrice, et quæ deinceps sequuntur in titulo *Adversus Paulicianos*, quibus in locis impietas istorum aperte confutatur.

Λέγουσιν, ὅτι σπέρμα καὶ Λόγος ἔπεσεν ἐπὶ τὴν νηδὺν τῆς Θεομήτορος. Ἄπαγε τῆς ἐσχάτης βλασφημίας. Ὁ λόγος αὐτῶν οὗτος τοῦ διαβόλου σπέρμα ὄντως ἐστὶ, καὶ ταῖς ψυχαῖς αὐτῶν ἐμπεσὸν, ἀναγκάζει τούτους ἐκχεῖν τοιοῦτον ἰόν. Τίνος γὰρ τὸ
C σπέρμα τὸ τῇ παρθενικῇ νηδύϊ, καθὼς αὐτοὶ φλυαροῦσιν, ἐμπεσόν; Ἀλλ' ἵλεως ἡμῖν καὶ ὁ Χριστὸς εἴη, καὶ ἡ πανάχραντος αὐτοῦ Μήτηρ. Ἀνθρώπου μὲν γὰρ εἰπεῖν οὐκ ἂν ἔχοιεν. Παρθένον γὰρ καὶ αὐτοὶ ταύτην ὁμολογοῦσιν. Οὐράνιον δὲ εἰπεῖν, εἰ τολμήσουσιν αὐτὸ, ἀντιθήσομεν αὐτοῖς τὴν πονηθεῖσαν ἡμῖν ἀνατροπὴν τῶν ἀθετούντων τὴν ἐκ Παρθένου γέννησιν τοῦ Χριστοῦ, καὶ οὐράνιον αὐτοῦ τὸ σῶμα ληρούντων, ἥτις ἕβδομόν ἐστι κεφάλαιον τοῦ *κατὰ Ἀρμενίων* τίτλου, παραπέμπουσα καὶ πρὸς τὸ περὶ τῆς Θεοτόκου κεφάλαιον, καὶ τὸ ἑξῆς αὐτοῦ, κείμενα ἐν τῷ *κατὰ τῶν Παυλικιάνων* τίτλῳ, καὶ σαφῶς ἐλέγχοντα τὴν ἀσέβειαν τῶν οὕτως ἐχόντων.

Negant divinum baptismum posse radices evellere peccatorum. Sed Dominus noster Jesus Christus ait: *Nisi quis renatus fuerit ex aqua, et Spiritu sancto, non intrabit in regnum Dei* [1]. Itaque cum ignis divinus sit Spiritus sanctus, nam et in specie ignearum linguarum super discipulos descendit, de quo et Præcursor dicebat turbis, Christi testificans excellentiam: *Ille vos baptizabit in Spiritu sancto, et igne* [2], quemadmodum ignis sensibus expositus, si silvam corripit, omnia comburit, quæ sunt super faciem terræ, et radices exsiccat, et locum a sordibus expurgat; sic et Spiritus sanctus, ac multo etiam magis: ignis enim est consumens nequitiam eorum qui baptizantur. Has enim arbitror ab istis radices peccato-

Λέγουσιν, ὅτι τὸ θεῖον βάπτισμα τὰς ῥίζας τῶν
D ἁμαρτημάτων ἀνασπᾷν οὐ δύναται. Φησὶ δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὅτι *Ἐὰν μή τις γεννηθῇ δι' ὕδατος καὶ Πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.* Ἐπεὶ δὲ θεῖον πῦρ τὸ Πνεῦμα τὸ ἅγιον· καὶ γὰρ καὶ ἐν εἴδει πυρίνων γλωσσῶν κατῆλθεν ἐπὶ τοὺς μαθητὰς, περὶ οὗ καὶ ὁ Πρόδρομος ἔλεγε τοῖς ὄχλοις μαρτυρῶν τῷ Χριστῷ τὸ ὑπερφερὲς, ὅτι *Ἐκεῖνος ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί·* ὥσπερ τὸ αἰσθητὸν πῦρ ἐπιλαβόμενον ὑλομανοῦντος χωρίου, τὰ μὲν ἐπὶ τοῦ προσώπου τῆς γῆς πάντα καταφλέγει, τὰς δὲ ῥίζας τούτων ἀποξηραίνει, καὶ καθαρὸν τῆς ἐκ τούτων λύμης ἐργάζεται τὸ χωρίον· οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον, μᾶλλον δὲ πολλῷ πλέον. Πῦρ γάρ ἐστι

[1] Joan. III, 5. [2] Luc. III, 16.

καταναλίσκον τὴν μοχθηρίαν τῶν βαπτιζομένων. καὶ τῶν πονηρῶν ἕξεων ἀφανιστικόν. Ταύτας γὰρ οἶμαι ῥίζας τῶν ἁμαρτημάτων ἐκείνους λέγειν. Εἰ δὲ καὶ τὸ ὕδωρ καθαίρει παντελῶς τὰ σώματα τῶν ἀνθρώπων, τίς ἀμφιβαλεῖ περὶ τοῦ ἁγίου Πνεύματος, ὡς οὐκ ἀσυγκρίτως πλέον ἀποκαθαίρει τὰ στίγματα, καὶ τὰς κηλῖδας, καὶ τοὺς μολυσμοὺς τῶν ψυχῶν; Καὶ οὐ καθαίρει μόνον, ἀλλὰ καὶ λαμπρύνει· οὐδὲ λαμπρύνει μόνον, ἀλλὰ καὶ θείου χαρίσματος ἀξιοῖ, καθὼς διδάσκουσιν οἱ ἀπόστολοι, καὶ μάλιστα Παῦλος ἐν ταῖς διαιρέσεσι τῶν τοῦ ἁγίου Πνεύματος χαρισμάτων, ἃ τοῖς βαπτιζομένοις ἐπεμερίζοντο.

A rum existimari. Quod si et aqua purgat omnino corpora hominum, quis dubitet quin Spiritus sanctus multo magis sine ulla comparatione cicatrices, et maculas, et sordes animarum expurget ac deleat? Neque solum expurget et deleat, verum etiam illustret; nec illustret modo, sed munera largiatur, ut docent apostoli, in primisque Paulus in distributionibus gratiarum Spiritus sancti, quibus afficiuntur illi qui baptizantur.

Φασὶν ἕκαστον τῶν τικτομένων παίδων ἕλκειν ἐκ τοῦ προπάτορος Ἀδάμ, ὥσπερ τὴν φύσιν, οὕτω δὴ καὶ τὴν πρὸς τοὺς δαίμονας δουλείαν, καὶ συνουσιωμένον φέρειν δαίμονα συνοικοῦντα τούτῳ, καὶ κατεξουσιάζοντα, ἀδυνατεῖν δὲ καὶ τὸ ἅγιον βάπτισμα, καὶ πᾶσαν ἄλλην θειοτάτην ἐργασίαν πρὸς ἀπέλασιν αὐτοῦ, μόνην δὲ τοῦτον ἐξωθεῖν τὴν ἐπιτεταμένην καὶ σπουδαίαν εὐχὴν διὰ τῆς τοῦ εὐχομένου χρέμψεώς τε καὶ ἀποπτύσεως. Τούτου δὲ ἀπελαθέντος, ἐπιφοιτᾷν αἰσθητῶς καὶ ὁρατῶς τὸ Πνεῦμα τὸ ἅγιον τὴν οἰκείαν παρουσίαν σημαῖνον, καὶ τὸ σῶμα τῆς τῶν παθῶν κινήσεως ἐλευθεροῦν, καὶ ἀπάθειαν χαριζόμενον, ὡς μηκέτι δεῖσθαι λοιπὸν μήτε νηστείας πιεζούσης τὸ σῶμα, μήτε διδασκαλίας χαλινούσης, καὶ βαίνειν εὔτακτα παιδευούσης. Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ τὸν τῆς τοιαύτης ἀπαθείας τετυχηκότα τά τε μέλλοντα προορᾷν, καὶ τὴν θείαν Τριάδα τοῖς ὀφθαλμοῖς θεωρεῖν. Μόνοις γὰρ τοῖς τοιούτοις αἰσθητοῖς ταύτην ἐμφανίζεσθαι. Τοῦτο μὲν οὖν ἐκείνων τὸ δόγμα· ἡμεῖς δὲ πρὸς τοῦτο λέγομεν, ὅτι οἱ ἐκ τοῦ πρωτοπλάστου καταγόμενοι πάντες τοιαύτην ἕλκουσιν ἐξ αὐτοῦ τὴν φύσιν, οἵαν αὐτὴν εἶχεν αὐτὸς, ὅτε τοῦ γεννᾷν ἤρξατο. Γέννημα γὰρ ἅπαν ἴσον τῷ γεγεννηκότι κατὰ τὴν φύσιν. Εἰ μὲν οὖν κατ' ἀρχὰς ὁ Θεὸς τῇ φύσει τοῦ πρωτοπλάστου δαίμονα συνεκλήρωσε, καὶ δούλην αὐτὴν τοῦ συνουσιωθέντος δαίμονος ἐποιήσατο, εἰκότως καὶ οἱ ἐξ αὐτοῦ δαιμονιώδη καὶ δούλην δαίμονος αὐτὴν διεδέχοντο. Εἰ δ' ἐλευθέραν καὶ αὐτεξούσιόν αὐτὴν κατεσκεύασε, ληροῦσιν ἄντικρυς, καὶ μωραίνουσιν. Εἰ γὰρ μὴ ἐλευθέρα καὶ αὐτεξούσιος ἦν, οὐκ ἂν τῷ γεννάρχῃ τὴν ἐντολὴν ἐνομοθέτησεν ὧν τε μεταληπτέον αὐτῷ φυτῶν, καὶ οὗ μὴ προσαπτέον.

B Aiunt pueros omnes qui nascuntur, trahere a primo parente Adam ut naturam, sic etiam servitutem cum dæmonibus, et cum natura conjunctum dæmonem secum cohabitantem, et potestatem exercentem, nec sanctum baptismum, et omnem aliam divinam actionem posse illum expellere, sed precationem solam ejus cum magna precantis affectione et contemptu diligenter adhibitam id efficere. Dæmone autem ejecto Spiritum sanctum sic accedere, ut sentiatur et videatur, propriumque adventum significare, et corpus a perturbationum motu liberare, et impatibilitatem largiri, adeo ut deinceps ei nec jejuniis sit opus, quibus corpus affligat, neque disciplina quæ coerceat, et ordine ingredi doceat. Præterea qui vacuitatem hanc ab affectionibus sit assecutus, tum ea quæ ventura sunt, prævidere, tum divinam Trinitatem oculis intueri: sensu enim ab ejusmodi solum hominibus C comprehendi. Hæc illi sentiunt. Nos autem respondemus, omnes, qui a primo parente ducunt originem, talem ab ipso naturam trahere, qualem habebat ipse, cum inciperet generare. Omnis enim proles genitori suo natura par et similis est. Quare si principio Deus naturæ primi parentis dæmonem attribuit, et servitutem hanc dæmonis essentia conjuncti constituit, merito et posteri ipsius servitutem dæmonis susceperunt, naturamque dæmoniacam. Quod si illam liberam et sui juris instituit, nugantur et insaniunt. Nam si libera et sui juris non exstitisset, primo generis parenti mandatum non dedisset, quibus e plantis vesci deberet, et a quibus abstinere.

D

Εἰ δούλην τοῦ ἐχθροῦ τὴν φύσιν ἡμῶν ὁ Θεὸς ἐποίησε, πάντα δὲ τὰ πραττόμενα κατὰ φύσιν ἀνέγκλητα καὶ ἀτιμώρητα, λοιπὸν οὔτε κρίσις ἔσται τῶν ἁμαρτανόντων οὔτε κόλασις. Ἔχουσι γὰρ ἰσχυρὰν ἀπολογίαν πρὸς τὸν Θεὸν, ὅτι Σὺ τὴν φύσιν ἡμῶν τῇ δουλείᾳ τῶν δαιμόνων ὑπέζευξας· ἀναγκαῖον δὲ τοῖς δούλοις ἐκεῖνα πράττειν, ἅπερ οἱ δεσπόζοντες ἐπιτάττουσιν.

Si naturam nostram inimici servam Deus constituit, omnia autem quæ a nobis natura fiunt, nec in crimen vocari possunt, nec supplicio affici, sequitur ut nec judicium, nec animadversio peccantium sit futura. Hac enim valida defensione adversus Deum uti poterunt: Tu naturam nostram servituti dæmonum subjecisti. Necessarium autem est, ut servi faciant ea quæ domini jubent.

Εἰ τὴν φύσιν ἡμῶν ὁ Θεὸς δούλην τῶν δαιμόνων ἐποίησεν, οἱ δαίμονες δὲ κινοῦσιν ἡμᾶς ἐπὶ πᾶν κακὸν, εὑρεθήσεται πάντων τῶν ἀνθρωπίνων κακῶν αἴτιος ὁ Θεός. Ἀλλὰ μὴν ἀναίτιος παντὸς κακοῦ ὁ Θεός. Οὐδὲν γὰρ κακὸν ἐκ τοῦ φύσει ἀγαθοῦ. Οὐκ ἄρα ὁ Θεὸς δούλην

Si naturam nostram dæmonum servam Deus constituit, dæmones autem nos ad omne vitium impellunt, vitiorum omnium auctor est Deus. Atqui nullius mali Deus est causa. Nullum enim malum ab eo qui natura bonus est, proficiscitur. Non igitur dæmonum servam Deus

naturam nostram constituit, sed liberam, ut ante diximus, et sui juris. Dæmones autem sunt adversarii nostri, non essentia nec habitatione nobiscum conjuncti, et alias quidem aperte nos invadunt, alias autem occulte aggrediuntur. Quod si in nos haberent potestatem, idque statim ab ortu nostro, non permitterent nos in lucem edi, aut jam editos vivere, ne unum quidem diem. Magna enim adversus homines ardent invidia, et odium eorum in nos explicari non potest; bellum autem ejusmodi intercedit, ut nullum iniri fœdus queat, ea denique in nos ira, furoreque insaniunt, ut facile verbis enarrari non valeat. Quod autem dæmones non modo in homines, sed ne in porcos quidem habeant potestatem, dæmonum legio demonstravit, ut patet ex Evangelio. Expulsi enim a Servatore nostro petierunt ut sibi per ipsum liceret in porcos ingredi, qui tunc ibi pascebantur. Quo impetrato ingressi sunt, et totus porcorum grex irruit præceps in mare, et suffocatus est. Id autem permisit Servator, non ut dæmonibus gratificaretur, sed ut eorum adversus homines odium ostenderet. Porcos enim interfecerunt, ut eorum domini, qui erant homines, dolore et damno afficerentur : et ut nos disceremus nullam dæmones non solum in homines, sed ne in porcos quidem, ut dictum est, habere potestatem, nisi a Deo permissum fuerit, aut ad eorum qui a dæmonibus affliguntur, emendationem, aut aliam aliquam justissimam ob causam.

Si potestatem in nos exercentes ex matris utero dæmonas haberemus, non dixisset magnus Paulus, nobis non esse luctam adversus carnem et sanguinem, sed adversus spiritales nequitias, sive adversus incorporeas improbas potestates [1], neque nobis timidis animum et fiduciam injecisset, et qui cera molliores sumus, ferro duriores reddidisset, neque armasset nos contra dæmonas adversum nos instructos, adhortans et clamans : *Accipite armaturam Dei, ut possitis stare adversus insidias diaboli* [2]. Porro genera declarans armorum subjecit : *State igitur succincti lumbos vestros in veritate, et induti loricam justitiæ, et calceati pedes in præparatione Evangelii pacis, in omnibus sumentes scutum fidei, in quo possitis omnia tela improbi ignea exstinguere, et galeam salutaris accipite, et gladium spiritus, quod est verbum Dei* [3]. Horum armorum tanta vis est, ut ne fulgentem quidem ipsorum splendorem adversarii queant sustinere. Quomodo enim quis, cum eo qui potestatem habet, possit contendere? Quomodo possit ei resistere, qui continet, et expugnat?

A τῶν δαιμόνων εἰργάσατο τὴν φύσιν ἡμῶν, ἀλλ' ἐλευθέραν, ὡς προείρηται, καὶ αὐτεξούσιον. Οἱ δαίμονες δὲ πολέμιοι ἡμῶν, ἀλλ' οὐ συνουσιωμένοι καὶ σύνοικοι, ποτὲ μὲν φανερῶς ἔξωθεν ἐπιόντες, ποτὲ δὲ ἀφανῶς ἐπιτιθέμενοι. Εἰ γὰρ κατεξουσίαζον ἡμῶν, καὶ ταῦτα ἐκ βρέφους, οὐκ ἂν εἴασαν ἡμᾶς εἰς φῶς προελθεῖν· ἢ προελθόντας οὐκ ἂν ἀφῆκαν ζῆν ἄχρι μιᾶς ἡμέρας. Πολὺς γὰρ αὐτῶν ὁ κατὰ τῶν ἀνθρώπων φθόνος, καὶ τὸ μῖσος ἀνεκδιήγητον, καὶ ὁ πόλεμος ἄσπονδος, καὶ ἡ μανία, καὶ λύσσα μὴ ῥᾳδίως ἀπαγγελθῆναι δυναμένη. Ὅτι δὲ οὐκ ἔχουσιν ἐξουσίαν οἱ δαίμονες οὐ μόνον κατὰ ἀνθρώπων, ἀλλ' οὐδὲ κατὰ χοίρων, ἔδειξεν ὁ λεγεὼν τῶν δαιμόνων, ὡς ἱστορεῖ τὸ Εὐαγγέλιον. Ἐξελαυνόμενοι γὰρ παρὰ B τοῦ Σωτῆρος ἡμῶν, παρεκάλεσαν, ἵνα ἐπιτρέψῃ τούτους εἰσελθεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων βοσκομένων ἐκεῖ τηνικαῦτα. Ἐπεὶ δὲ ἐπέτρεψε, καὶ εἰσῆλθον, ὥρμησεν ἡ ἀγέλη πᾶσα διὰ τοῦ κρημνοῦ κατὰ τῆς θαλάσσης, καὶ ἀπεπνίγη. Οὐ τοῖς δαίμοσι δὲ χαριζόμενος ὁ Σωτὴρ παρεχώρησεν αὐτοῖς τῆς ἀγέλης τῶν χοίρων, ἀλλ' ἵνα δείξῃ καὶ τὴν μανίαν, ἣν ἔχουσι κατὰ τῶν ἀνθρώπων. Διὰ γὰρ τοὺς κυρίους τῶν χοίρων ἀπέκτειναν αὐτοὺς, ἵνα τούτους ὡς ἁπλῶς ἀνθρώπους λυπήσωσι, καὶ κακῶς κἂν τούτῳ διάθωνται, καὶ ἵνα μάθωμεν, ὅτι οὐδὲ κατὰ χοίρων ἔχουσιν ἐξουσίαν, καθὼς εἰρήκαμεν, μὴ ὅτι γε κατὰ ἀνθρώπων, εἰ μή ποτε παραχωρηθεῖεν ἐκ τοῦ Θεοῦ διὰ παιδείαν τῶν δαιμονιζομένων, ἢ κατ' οἰκονομίαν ἄλλην εὐλογωτάτην.

C Εἰ κατεξουσιάζοντας ἡμῶν ἐκ κοιλίας μητρὸς εἴχομεν τοὺς δαίμονας, οὐκ ἂν ἔλεγεν ὁ μέγας Παῦλος, ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα, καὶ σάρκα, ἀλλὰ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, ἤτοι πρὸς ἀσωμάτους πονηρὰς δυνάμεις· οὐδ' ἂν ἀποδειλιῶντας ἡμᾶς παρεθάῤῥυνε, καὶ κηροῦ μαλακωτέρους ὄντας εἰργάζετο σιδήρου στεῤῥοτέρους· οὐδ' ἂν ὥπλιζε κατὰ τῶν ἀντιπαρατασσομένων δαιμόνων ἐγκελευόμενος, καὶ βοῶν· *Ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου.* Καταλέγων δὲ καὶ τὰ τῶν ὅπλων εἴδη προσέθηκε· *Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑπο-* D *δησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης, ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθαι, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ.* Τούτων δὲ τῶν ὅπλων τοσαύτη τις ἡ δύναμις, ὡς μηδὲ τὴν ἀπολάμπουσαν αὐτῶν ἀστραπὴν ὑφίστασθαι τοὺς πολεμίους. Πῶς γὰρ ἄν τις τῷ κατεξουσιάζοντι μάχοιτο; Πῶς δ' ἂν τῷ συνέχοντι καὶ καταπονοῦντι κραταιότερον ἀντισταίη;

Dominus noster Jesus Christus jussu solo dæmonas ejiciebat. Discipuli autem ipsius per invocationem ejus illos effugabant, et obsessos ab eis

Ὁ μὲν Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐπιτάγματι μόνῳ τοὺς δαίμονας ἀπήλαυνεν· οἱ μαθηταὶ δὲ τούτου διὰ τῆς ἐπικλήσεως αὐτοῦ φεύγειν αὐτοὺς παρ-

[1] Ephes. VI, 12. [2] Ibid. 13. [3] Ibid. 14. 17.

ἐσκεύαζον, καὶ τοὺς δαιμονῶντας ἐθεράπευον, μήτε τῇ σπουδαίᾳ τῶν Μασαλιανῶν εὐχῇ, μήτε τῇ χρέμψει καὶ ἀποπτύσει πρὸς δίωξιν τῶν δαιμόνων χρώμενοι. Εἰ δὲ ὁ Κύριος περὶ τῶν δαιμόνων ἔλεγεν, ὅτι *Τοῦτο τὸ γένος οὐκ ἐξέρχεται εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ*, ἀλλ' οὐ περὶ πάντων ἁπλῶς τῶν προσευχομένων καὶ νηστευόντων ἔλεγεν, ἀλλὰ περὶ μὲν τῶν διὰ τοῦ θείου βαπτίσματος υἱοθετηθέντων τῷ Θεῷ καὶ Πατρὶ, καὶ συγκληρονόμων τοῦ φύσει Υἱοῦ κατὰ χάριν γεγενημένων, περὶ ὧν ἔλεγεν ὁ Ἀπόστολος· *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε*. Ποῖος γὰρ ἄπιστος ἢ αἱρετικὸς δύναιτ' ἂν ἀπελάσαι δαίμονα διὰ νηστείας καὶ προσευχῆς, κἂν ἐπιδείξαιτο ταύτας ἀνυπερβλήτους; Ὧν γὰρ ἡ πίστις ἀδόκιμος καὶ ἀνίσχυρος, τούτων καὶ ἡ προσευχὴ καὶ νηστεία πάντως. Καὶ πᾶν ἔργον αὐτῶν οὐ μόνον οὐ φοβερὸν, ἀλλὰ καὶ φίλον τοῖς δαίμοσιν· εἰ μή πού τις τῶν τοιούτων διὰ γοητείας τινὸς ἔδοξεν ἀπελάσαι δαίμονα. Ὁ γοῦν κατὰ τὸν τοῦ Κυρίου λόγον προσευχόμενος, καὶ νηστεύων, καὶ τῶν ἄλλων μὲν ἀρετῶν εἶναι μέτοχος ὀφείλει, μάλιστα δὲ τὰς δύο ταύτας μετέρχεσθαι, τὴν προσευχὴν λέγω καὶ τὴν νηστείαν. Ὁ δὲ τὴν προσευχὴν μὲν μόνον ἐπιτηδεύων, τὰς ἄλλας δὲ παρατρέχων, καὶ καταῤῥαθυμῶν αὐτῶν, οὐ μόνον οὐκ ἀπελάσει τὸν ἐνοικοῦντα τούτῳ δαίμονα, καθὼς οὗτοι λέγουσιν, ἀλλὰ καὶ μᾶλλον ἔξωθεν ὄντα διὰ τὴν τῶν καλῶν ἀμέλειαν ἐπισπάσεται, κἂν μυριάκις ἐφ' ἑκάστης ἡμέρας χρέμψαιτο, κἂν ποταμοὺς ἀφήσει πτυέλων.

A curabant, non autem accurata Masalianorum precatione, neque exsecratione et despectione ad dæmonas ejiciendos utebantur. Et quanquam Dominus dixit de dæmonibus: *Hoc genus non ejicitur nisi in oratione et jejunio* [1], non tamen de omnibus, qui jejunant et precantur simpliciter locutus est, sed de illis duntaxat, qui per divinum baptismum in Dei et Patris filios sunt adoptati, et ejus, qui natura Filius est cohæredes per gratiam effecti, de quibus dicebat Apostolus: *Omnes qui in Christum baptizati estis, Christum induistis* [2]. Quis enim infidelis aut hæreticus dæmonem possit expellere jejuniis et orationibus, licet iis utatur eximiis? Quorum enim improba est fides et infirma, horum et preces et jejunia B sunt infirma plane. Et opera ipsorum dæmonibus non formidanda, sed grata sunt. Nisi quis eorum præstigiis et fallaciis dæmones ejicere videatur. Quisquis igitur ex verbis Domini precatur, et jejunat, et aliarum virtutum esse particeps debet, in primis autem hæc duo, nempe precationem et jejunium, adhibere. Qui vero reliquis omissis preces tantum adhibet, is non solum inhabitantem dæmonem non ejiciet, ut isti dicunt, sed eum, si fortis sit, propter virtutum neglectum alliceret, licet millies singulis diebus exsecraretur, et flumina sputorum effunderet.

Εἰ συνουσίωνται τῇ φύσει τῶν ἀνθρώπων οἱ δαίμονες, ἀδύνατον ἀποδιαιρεθῆναι τούτους αὐτῆς δι' οἱασδήποτε μηχανῆς ἄχρι τέλους. Τὰ γὰρ ἡνωμένα φυσικῶς ἀδιαίρετα μέχρις ἂν εἰς τελευταίαν ἀνάλυσιν καταντήσωσιν. Εἰ δὲ διὰ τρόπου τινὸς ἀπελαύνονται, οὐ φυσικῶς ἥνωνται πάντως, ἀλλ' ἔξωθεν ἐπέρχονται, καὶ συνδιατρίβουσιν.

C Si naturæ hominum dæmones insiti sunt, ab ea separari usque ad finem nulla ratione possunt. Quæ enim naturaliter conjuncta sunt, sejungi nequeunt, quoad in extremam resolutionem redigantur. Itaque si ratione aliqua expelluntur, naturaliter profecto conjuncti non sunt, sed extrinsecus accedunt et inhabitant.

Εἰ διὰ τὴν παράβασιν τῆς πρώτης ἐντολῆς συνεκλήρωσε τῇ φύσει τῶν ἀνθρώπων ὁ Θεὸς τοὺς δαίμονας, καὶ παρέδωκεν αὐτὴν ὑποχειρίαν αὐτοῖς, καταγνοίη τις ἂν αὐτοῦ πολλὴν ὠμότητα καὶ ἀπήνειαν, πρῶτα μὲν τὸ ἀνθρώπινον σῶμα ἐπίνοσον καὶ θνητὸν κατασκευάσαντος διὰ τὴν εἰρημένην παράβασιν, ἔπειτα δὲ καὶ βασανίζοντος τοὺς ἀνθρώπους διὰ τῆς τυραννίδος τῶν δαιμόνων ἐπιταττόντων αὐτοῖς τὰς ψυχοφθόρους ἁμαρτίας, καὶ τελευταῖον ἀποκληρώσαντος τοῖς ἀνίατα πλημμελοῦσι τὸ πῦρ τε τὸ ἐξώτερον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ, καὶ τὰς ἄλλας αἰωνίους κολάσεις. Ἀλλὰ μὴν φιλάνθρωπος ὁ Θεὸς καὶ δίκαιος· τῇ μὲν παραβάσει τῆς ἐντολῆς καὶ τῇ ἐξ αὐτῆς ἁμαρτίᾳ τοῦ προπάτορος αἱ νόσοι καὶ ὁ θάνατος ἐπιτίμιον, ὃν ἡ παράβασις καὶ ἡ ἁμαρτία προεξένησαν, καὶ οὗτος διὰ φιλανθρωπίαν, ἵνα διακοπείσης τῆς ἁμαρτίας, μὴ ἀθάνατον ᾖ τὸ κακὸν, ὡς ὁ Θεολόγος ἔφη Γρηγόριος· αἱ δὲ ἀθάνατοι κολάσεις οὐ τῆς πρώτης παραβάσεώς εἰσιν ἐπιτίμιον, ἀλλὰ τῶν ἡμαρτημένων ἑκάστῳ τῶν ἀνθρώπων, ἤτοι τῶν ἀπὸ τοῦ πρω-

Si propter primi præcepti transgressionem Deus naturæ hominum dæmonas adjunxit, eamque illis subjecit, magnæ quis ipsum crudelitatis et immanitatis non incuset, qui non contentus ob illam transgressionem corpus humanum morbis mortique subjicere, dæmonum dominatu mortales oppresserit, qui cogant eos peccatis, quibus mors animæ infligitur, inservire, ut eos denique qui nefariis sceleribus obstricti D fuerint, igni exteriori, qui paratus est diabolo et angelis ejus, aliisque suppliciis addixerit sempiternis. Atqui benignus est Deus, et justus. Itaque præcepti transgressioni, et primi parentis peccato propositi sunt morbi et mors, quam transgressio et peccatum conciliarunt. Quæ quidem mors indicat ejus benignitatem, est enim causa ut interrupto peccato malum perpetuum non sit, ut Gregorius Theologus ait. Supplicia autem æterna non primæ transgressioni proposita sunt, sed singulis hominibus, qui se peccatis obstringunt, sive qui jam inde a primo parente usque ad mundi consummationem nullam peccatis curationem adhibuerunt. Dæmonum autem

[1] Matth. XVII, 20. [2] Galat. III, 27.

dominatus non a Deo hominibus impositus est. Quis enim sapiens id fateatur? Sed ipsi dæmones modo aperte homines oppugnant, modo occulte struunt insidias, modo fraude, et dolo, atque blanditiis ipsos decipiunt, atque ita captivos ducunt, atque subjiciunt servituti, qui ignaviæ ac per illam nequitiæ se dediderunt.

Dicuntur tamen aliquando dæmones hominibus imperare, non quod a Deo imperium illud acceperint, sed quod homines illis quorum dominatu premuntur, sese ultro subjecerint, quodque Deo divinisque præceptis neglectis dæmonum jugo proprias cervices submiserint.

Sed quoniam perspicue demonstravimus dæmones hominum naturæ non esse conjunctos, neque in eam habere potestatem, sed aliquando ex adverso nobis instructos occurrere atque confligere, aliquando autem fallaciis et fraudibus, et insidiis uti, atque decipere et fallere, et varias artes et dolos exercere, quæ quidem non jus et potestatem exercentium, sed oppugnantium sunt, supervacaneum est loqui tum de adventu Spiritus sancti, quem Masaliani dicunt accedere, post insiti et naturæ conjuncti dæmonis expulsionem, tum de reliquis partibus doctrinæ ipsorum. Nam cum radix illius evulsa sit, rami etiam et folia conciderunt. Nisi forte dicendum aliquid est de eo quod neque jejunio, neque disciplina, neque ulla custodia illos egere dicunt, qui sancti Spiritus adventum, ut dictum est, apud ipsos susceperunt. Multos enim ipsorum decipiens dæmon, et speciem adventus Spiritus sancti simulans sic affecit, ut nullo amplius præsidio se munirent, utpote qui jam impatibile, se crederent evasisse, et in varia peccata et flagitia miserandos impulit. Quid illud, quod dicunt, se oculis sanctam cernere Trinitatem, quæ natura quidem sua nec cerni, nec ullo sensu comprehendi potest? nonne est hominum plane sensu, mente rationeque carentium? Deum enim nemo vidit unquam, id est naturam Dei. Ecquis hoc docuit? Unigenitus Filius, qui est in sinu Patris, ut evangelista testatur[1]. Quicunque autem Deum vidisse memorantur, ii non viderunt eum ex natura ipsius, sed ex multiplici specie, qua se oculis eorum alias alio modo conspicuum præbuit.

A τοπλάστου μέχρι καὶ τῆς τοῦ κόσμου συντελείας ἀθεραπεύτως ἁμαρτανόντων. Ἡ δὲ τῶν δαιμόνων τυραννὶς οὐκ ἐκ Θεοῦ τοῖς ἀνθρώποις ἐπετέθη· τίς γὰρ ἂν ἔχων φρένας τοῦτο συνομολογήσειεν; ἀλλ' οἱ δαίμονες αὐτοὶ τοῦτο μὲν ἄντικρυς πολεμοῦντες τοῖς ἀνθρώποις, τοῦτο δὲ λαθραίως ἐπιβουλεύοντες, τοῦτο δὲ καὶ δολερῶς ὑποσαίνοντες, καὶ ἐξαπατῶντες αἰχμαλωτίζουσί τε, καὶ ὑποτάττουσιν ὅσους ἡ ῥᾳθυμία καὶ ἡ διὰ ταύτην χαύνωσις προδιδόασι.

Λέγονταί ποτε καὶ ἄρχειν ἀνθρώπων οἱ δαίμονες, ἀλλ' οὐχ ὡς θεόθεν τὴν κατ' αὐτῶν λαβόντες ἀρχὴν, ἀλλ' ὡς ἑκόντων ὑποπτευόντων αὐτοῖς τῶν ἀρχομένων ὑπ' αὐτῶν, καὶ τοῦ μὲν Θεοῦ καὶ τῶν θείων ἐντολῶν ἀφηνιασάντων, τῇ ζεύγλῃ δὲ τῶν δαιμόνων τοὺς ἰδίους αὐχένας ὑποβαλόντων.

B Ἐπεὶ δὲ περιφανῶς ἐδείξαμεν, ὅτι οὐ συνουσίωνται τῇ φύσει τῶν ἀνθρώπων ηʹ δαίμονες, οὐδὲ κατεξουσιάζουσιν αὐτῆς, ἀλλὰ ποτὲ μὲν ἐξ ἀντιπαρατάξεως ἐπερχόμενοι συῤῥήγνυνται πρὸς μάχην ἡμῖν, ποτὲ δὲ χρῶνται μηχαναῖς λοχῶντες, ἐνεδρεύοντες, παγίδας πηγνύντες, ἀπατῶντες, ὑποκλέπτοντες, παντοίως ἐπιβουλεύοντες· ταῦτα γὰρ οὐ κατεξουσιαζόντων, ἀλλ' ἀντιμαχομένων εἰσί· περιττὸν εἰπεῖν περί τε τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος, ὅπερ οἱ Μασαλιανοὶ λέγουσιν ἐπιφοιτᾷν μετὰ τὴν τοῦ συμφυοῦς δαίμονος ἀπέλασιν, καὶ περὶ τῆς ἐφεξῆς ἀκολουθίας τοῦ δηλωθέντος δόγματος. Τῆς ῥίζης γὰρ αὐτοῦ παντελῶς ἀνασπασθείσης, κ·αὶ οἱ κλάδοι καὶ τὰ φύλλα συναπεσπάσθησαν, εἰ μή που προσθεῖναι χρὴ C περὶ τοῦ μὴ χρῄζειν ἔτι νηστείας, μήτε διδασκαλίας, μήτε φυλακῆς τινος τοὺς τὴν ἐπιϕοίτησιν, ὡς εἴρηται, τοῦ παρ' αὐτοῖς ἁγίου Πνεύματος δεξαμένους. Πολλοὺς γὰρ αὐτῶν ὁ δαίμων πλανήσας, καὶ δόκησιν ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος ἐμποιήσας, καὶ φαντάσας ἔλαβεν εἰς τὸ ἑξῆς ἀφυλάκτους, ὡς ἀπαθεῖς ἤδη γεγενημένους, καὶ εἰς ποικίλας ἁμαρτίας καὶ ἀκαθαρσίας ἐλεεινῶς ἐξεκύλισεν. Ἀλλὰ καὶ τὸ λέγειν αἰσθητῶς ὁρᾷν τὴν ἁγίαν Τριάδα τὴν ἀόρατον καὶ ἀνείδεον, τουτέστι κατὰ τὴν φύσιν αὐτῆς, ἀναισθήτων πάντῃ, καὶ ἀνοήτων, καὶ ἀλογίστων ἐστί. Θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε, λέγω δὴ τὴν τοῦ Θεοῦ φύσιν. Καὶ τίς ὁ τοῦτο διδάσκων; Ὁ μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ὡς ὁ εὐαγγελιστὴς Ἰωάννης εἴρηκεν. Ὅσοι δὲ τὸν D Θεὸν ἰδεῖν μεμαρτύρηνται, οὐ κατὰ τὴν αὐτοῦ φύσιν εἶδον αὐτὸν, ἀλλὰ κατὰ διαφόρους ἰδέας συγκαταβαίνοντος ταῖς ὀπτικαῖς δυνάμεσιν αὐτῶν, καὶ ἄλλως ἄλλοτε σχηματιζομένου, καὶ παρεικαζομένου.

Aiunt ne apostolos quidem a dæmonum fuisse liberos dominatu. Proh impudens maledictum! Illi, qui dæmonas ab obsessis expellebant, non erant liberi a dæmonum dominatu? Quomodo igitur servi dominos persequebantur? qui potestatem acceperant a Servatore non solum dæmonas expellendi, sed etiam curandi omnem morbum et languorem, calcandique super serpentes, et scorpiones, et denique supra omnem vim inimici[2]?

Λέγουσιν, ὅτι οὐδ' οἱ ἀπόστολοι τῆς ἐξουσίας τῶν δαιμόνων ἦσαν ἐλεύθεροι. Βαβαὶ τῆς ἀναισχύντου βλασφημίας! Οἱ τοὺς δαίμονας τῶν ἐνεργουμένων ἀπελαύνοντες οὐκ ἦσαν ἐλεύθεροι τῆς τῶν δαιμόνων ἐπικρατείας; Καὶ πῶς ἐδίωκον οἱ δουλεύοντες τοὺς ἐξουσιάζοντας; οἱ λαβόντες ἐξουσίαν παρὰ τοῦ Σωτῆρος μὴ τὰ δαιμόνια μόνον ἐκβάλλειν, ἀλλὰ καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν καὶ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων ἐπὶ πᾶσάν τε δύναμιν τοῦ ἐχθροῦ;

[1] Joan. I, 18. [2] Luc. X, 19.

A Λέγουσιν, ὅτι συνοικοῦσιν ἐν τῷ ἀνθρώπῳ τὸ Πνεῦμά τε τὸ ἅγιον καὶ ὁ δαίμων. Ἀλλὰ πῶς συνοικήσουσιν ἀλλήλοις Θεὸς, καὶ δαίμων, τὸ καθαρώτατον, καὶ πάντων ἀκαθαρτότατον; τὸ φῶς, καὶ τὸ σκότος; οἱ κατὰ διάμετρον ἀλλήλοις ἐχθραίνοντες; Ὅπου γὰρ ἐπιδημήσει τὸ Πνεῦμα τὸ ἅγιον, δραπετεύει πᾶς δαίμων φεύγων ὀξέως καὶ ἀμεταστρεπτὶ, καθάπερ ἀπὸ πυρός. Θεὸς μὲν γὰρ τὸ Πνεῦμα τὸ ἅγιον· εἰ δὲ Θεὸς, καὶ πῦρ καταναλίσκον τὴν τῶν δαιμόνων ἰσχύν. Καὶ τὸ μὲν σκότος λύεται τῇ παρουσίᾳ τοῦ φωτὸς, ὁ δὲ πονηρὸς δαίμων ἐλαύνεται βασανιζόμενος τῇ μάστιγι τῆς ἐνοικήσεως τοῦ ἁγίου Πνεύματος· τοῖς γὰρ ἄγαν ἐναντίοις οὐκ ἔστι συνοίκησις· φθείρεται γὰρ, ἢ ἐξωθεῖται τὸ ἀσθενέστερον.

B Λέγουσιν, ὅτι φύσει τὰ κακὰ, τουτέστιν αἱ ἁμαρτίαι. Πρὸς οὓς ἀντιλέγομεν, Εἰ φύσει τὰ τοιαῦτα κακὰ, τῆς φύσεως δὲ δημιουργὸς ὁ Θεὸς, αἴτιος ἄρα τῶν κακῶν ὁ Θεὸς, καὶ οὔτε κρίσις, οὔτε κόλασις ἔσται τῶν ἁμαρτανόντων, καθὼς ἀνωτέρω προδεδήλωται. Καὶ ψευδεῖς μὲν αἱ τοῖς ἁμαρτάνουσιν ἠπειλημέναι κολάσεις, ἀπατηλὸς δὲ τῆς μελλούσης κρίσεως ὁ φόβος. Τὰ γὰρ τῇ τῆς φύσεως ἀνάγκῃ γινόμενα συγγνωστὰ, κἂν εἴη παγχάλεπα. Καὶ εἴ τις φυσικὴν εἶναι πιστεύσει τὴν ἁμαρτίαν, μετελεύσεται πάντως ταύτην ἀδεῶς διὰ τὴν λιτότητα καὶ ἡδονὴν αὐτῆς, ὡς ἀνεπιτίμητον, καὶ τὴν πλατεῖαν καὶ εὐρύχωρον ὁδὸν ἀνθαιρήσεται. Ἀλλ' εἰ ἀληθὴς ὁ Κύριος, ἡ αὐτοαλήθεια, *Ἐγὼ γάρ*, φησὶν, *εἰμὶ ἡ ἀλήθεια*· πάντως ἀληθῆ καὶ τὰ περὶ τῶν αἰωνίων κολάσεων. Αὐτὸς γὰρ ἐδίδαξε καὶ περὶ τούτων. C Εἰ δὲ ἀληθεῖς αἱ τοιαῦται κολάσεις, ἔσται καὶ κρίσις τῶν ἁμαρτανόντων. Εἰ δὲ κρίσις ἔσται τῶν ἁμαρτανόντων, οὐ φύσει τὰ κακὰ, τουτέστιν αἱ ἁμαρτίαι. Εἰ δὲ μὴ φύσει, προαιρέσει πάντως, καὶ ῥαθυμίᾳ, δι' ἣν κατακρίνονται, καὶ κολάζονται πάντες οἱ ἐργάται τῆς ἁμαρτίας.

Λέγουσιν, ὅτι μετὰ τὴν παρὰ τοῖς τελείοις αὐτῶν ἀπάθειαν τοιαύτης αἰσθάνεται ἡ ψυχὴ τούτων κοινωνίας ἐγγινομένης αὐτῇ παρὰ τοῦ ἐπουρανίου νυμφίου, οἵας αἰσθάνεται γυνὴ συνουσιάζοντος αὐτῇ τοῦ ἀνδρός. Ὢ τῆς προδήλου φρενοβλαβείας! εἰ τὴν ἁγνοτάτην καὶ ἀπαθεστάτην τοῦ Σωτῆρος ἕνωσιν ἐμπαθεστάτην ἡδυπάθειαν οἴονται, καὶ καθυβρίζουσιν ἡδονῇ ῥεύσεως παιδογόνων μορίων τολμηρῶς αὐτὴν παρεικάζοντες.

D Λέγουσιν, ὅτι ἡ ψυχὴ τοῦ παρ' αὐτοῖς εἰς ἀπάθειαν ἐφθακότος μεταβάλλεται εἰς τὴν θείαν φύσιν. Ἀλλ' εἰ τοῦτο ἦν ἀληθὲς, ἐγίνετο ἂν καὶ φύσει Θεὸς ὁ μεταβληθεὶς εἰς τὴν θείαν φύσιν. Ἡ γὰρ θεία φύσις φύσει Θεός. Καὶ ἐπεὶ πολλοὺς λέγουσιν ἐξ αὐτῶν φθάνειν εἰς ἀπάθειαν, καὶ μεταβάλλεσθαι εἰς τὴν θείαν φύσιν, πολλοὶ ἄρα φύσει θεοὶ, καὶ τὴν Ἑλληνικὴν πολυθεΐαν ὑπερβάλλοντες πολλῷ τῷ ἀριθμῷ, καὶ οὐδὲ καταλαμβάνεσθαι δυναμένῳ.

Λέγουσι δυνατὸν εἶναι δέξασθαι μετὰ τὴν παρ' αὐτοῖς ἀπάθειαν τὸν ἄνθρωπον αὐτὴν τὴν ὑπόστασιν τοῦ ἁγίου Πνεύματος αἰσθητῶς, καὶ ἐν πάσῃ πληρο-

[1] Joan. xiv, 6.

Dicunt in homine et sanctum Spiritum, et dæmonem habitare, id est, rem omnium purissimam, et rem omnium impurissimam, lucem et tenebras, diametro inter se discrepantes. Ubi enim est Spiritus sanctus, omnis inde recedit dæmon, tanquam ab igne ita celeriter aufugiens, ut non respiciat. Deus enim est Spiritus sanctus. Quod si Deus est, est et ignis consumens omne dæmonum robur. Ac tenebræ quidem lucis præsentia dissipantur. Porro improbus dæmon inhabitantis Spiritus flagello verberatus expellitur : contraria enim simul habitare non possunt, nam corrumpitur et extruditur id quod est imbecillius.

Natura dicunt esse mala, id est peccata. Quibus respondemus : Si natura sunt hujusmodi mala, Deus autem naturæ effector est, Deus malorum est auctor. Nec judicium, nec animadversio erit in eos qui peccant, ut ante declaratum est. Et falsæ sunt adversus peccatores suppliciorum minæ, inanisque futuri judicii timor. Quæ enim naturæ necessitate committuntur, licet gravissima sint, veniam merentur. Quod si quis naturalia crediderit esse peccata, iis sese sine metu propter facilitatem voluptatemque dabit, ut proposita impunitatis spe per viam latam et planam incedat. At si verax est Dominus, qui est ipsa veritas : *Ego enim*, inquit, *sum veritas* [1], vera plane sunt ea quæ de sempiternis suppliciis memorantur : nam ipse de illis locutus est. Quod si vera sunt ejusmodi supplicia, et judicium erit adversus illos qui peccant. Et si adversus eos qui peccant erit judicium, mala, id est peccata, natura non sunt. Quod si natura non sunt, a voluntate nimirum et ignavia proficiscuntur, et idcirco puniuntur omnes operarii iniquitatis.

Dicunt animas eorum qui apud ipsos perfecti sunt, post impatibilitatem talem ex cœlestis Sponsi societate voluptatem sentire, qualem mulieres ex virorum concubitu sentiunt. Homines plane dementissimi, qui Servatoris conjunctionem illam castissimam, et ab omni perturbatione alienissimam, perturbationum atque libidinum plenam arbitrantur, et magna cum ignominia voluptatis fluxui pudendis ex partibus provenienti similem audent affirmare!

Dicunt animam, quæ apud ipsos impatibilitatem sit assecuta, in naturam divinam converti. Quod si verum esset, natura profecto fieret Deus ille, qui in naturam divinam convertitur. Natura enim divina Deus est naturalis. Et quoniam ex ipsorum grege multos asserunt ad impatibilitatem pervenire, et in naturam divinam converti, multi erunt natura dii, qui numero infinito, deorum quos gentes confingunt superent multitudinem.

Fieri posse dicunt, ut homo post impatibilitatem quam ipsi tradunt, ipsam Spiritus sancti personam sensu percipiat, et in omni plenitudine. Nos autem

ad ipsos : Si vera, inquimus, esset apud vos impatibilitas, ac non omnino falsa, cum fides vestra adulterina atque improba rejiciatur, ad hoc etiam caput responderemus. Verum quia cum aliis vestris exercitationibus et ista impressa est, et exploditur ut vana, atque improbatur, supervacaneum est ea conari confutare, quæ per se corruunt et nulla sunt. Dicimus autem, ad eos qui expurgantur ut debent, Patrem et Filium accedere : *Ego enim*, inquit Dominus, *et Pater ad eum veniemus, et mansionem apud eum faciemus* [1]. Ubi autem Pater et Filius est, ibi prorsus est Spiritus sanctus. Hoc vero sanctæ Trinitatis domicilium ita fit, ut hominis conditio patitur, non autem ut natura se habet ipsa Divinitas, quam utpote infinitam et incomprehensam nullæ res capiunt procreatæ.

Binas aiunt hominem habere animas debere, unam omnibus hominibus communem, alteram cœlestem. Si libros isti Mosaicos, et alios propheticos admitterent, ex illis argumenta sumeremus, quibus opinionem istam falsam esse demonstraremus. Nunc autem quoniam evangelica tantum et apostolica scripta se admittere confitentur, audiant quid Dominus ad apostolos dicat : *Nolite*, inquit, *timere eos qui occidunt corpus, animam autem non possunt occidere; eum potius timete, qui potest et animam et corpus perdere* [2]. Et Paulus apostolus in Troade cum omnes Eutychem mortuum existimarent : *Nolite*, inquit, *perturbari, anima enim ejus in ipso est* [3]. Alia multa omittimus testimonia, quibus planum fit singulos homines singulas animas habere.

Clericorum simulant electionem, diaconorum, sacerdotumque gradum invadentes, ut potestatem solum quamdam et auctoritatem arrogent. Quin etiam monachorum habitum induunt, ut lateant, multitudinemque decipiant.

A manuum laboribus abhorrent, neglecto magno Paulo, qui dicit : *Si quis non laborat, non manducet* [4]. Et rursum : *Manus hæ ministraverunt mihi, et iis qui mecum erant* [5]. Nec animadvertunt homines ignari ex inertia atque otio tum solita vitia proficisci, tum insolita disci, tum corporis membra illis esse oneri, qui eis non utuntur.

Postulantibus, et egenis, ac pauperibus, aut in aliqua calamitate constitutis nihil impertiendum, aut commodandum esse dicunt, sed tantummodo admonendos pauperes spiritu a Domino beatos appellari. Ego vero sic istos compellabo : O viri boni, nescitis Dominum præcepisse ut omnibus petentibus tribuamus : *Omni* enim, inquit, *petenti a te tribue* [6]. Vestra autem iniquitas celari non potest, qui ea quæ sunt pauperum ad vos trahitis, et vestris commodis, voluptatibus, atque deliciis tantum con-

A φορίᾳ. Φαμὲν δὲ ἡμεῖς πρὸς αὐτούς· Εἰ μὲν ἀληθὴς ἦν ἡ παρ' ὑμῖν ἀπάθεια, καὶ οὐ πάντη ψευδής, ἅτε τῆς καθ' ὑμᾶς πίστεως κακοδόξου καὶ διαβεβλημένης ὑπαρχούσης, ἀντειρήκειμεν ἂν καὶ πρὸς τουτὶ τὸ κεφάλαιον· ἐπεὶ δὲ μετὰ τῆς ἄλλης ὑμῶν ἀσκήσεως παρακεχάρακται καὶ αὕτη, καὶ ἀδόκιμος κρίνεται, περιττὸν ἀντιλέγειν ἐπὶ τῶν οἴκοθεν τὴν ἀνατροπὴν ἐχόντων. Λέγομεν δὲ, καὶ πιστεύομεν, ὅτι πρὸς τὸν κεκαθαρμένον ὡς χρὴ καθαίρεσθαι γίνεταί τις ἐπιδημία καὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καθὼς εἴρηκεν ὁ Κύριος, ὅτι *Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν*. Ὅπου δὲ ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ἐκεῖ πάντως καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ἡ δὲ τῆς ἁγίας Τριάδος ἐνοίκησις ὡς δυνατὸν ἀνθρώπῳ χωρεῖν αὐτὴν γίνεται, καὶ οὐχ B ὡς ἔχει φύσεως ἡ Θεότης. Ἀχώρητος γὰρ αὕτη πάσῃ τῇ κτίσει διὰ τὸ ἄπειρον αὐτῆς καὶ ἀόριστον.

Λέγουσι δύο ψυχὰς ὀφείλειν ἔχειν τὸν ἄνθρωπον, μίαν μὲν τὴν κοινὴν ἀνθρώποις, ἑτέραν δὲ τὴν οὐράνιον. Εἰ μὲν οὖν ἐδέχοντο τάς τε Μωσαϊκὰς καὶ τὰς ἄλλας προφητικὰς βίβλους, ἐκεῖθεν ἂν αὐτοῖς παρηγάγομεν τὰς ἀποδείξεις ἐλέγχοντες τὸ ψεῦδος τοῦ τοιούτου δόγματος· ἐπεὶ δὲ τάς τε εὐαγγελικὰς καὶ τὰς ἀποστολικὰς τέως ὁμολογοῦσιν ἀσπάζεσθαι βίβλους, φησὶν ὁ Κύριος πρὸς τοὺς ἀποστόλους· *Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι.* Καὶ Παῦλος δὲ ὁ ἀπόστολος, ἐν C Τρωάδι, πάντων ὑπειληφότων τεθνάναι τὸν Εὔτυχον, ἔφη· *Μὴ θορυβεῖσθε, ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν*, ἵνα τὰς ἄλλας μαρτυρίας πολλὰς οὔσας ἐάσωμεν, αἳ μίαν ψυχὴν ἑκάστῳ ἀνθρώπῳ προσμαρτυροῦσι.

Τὴν τῶν κληρικῶν ὑποκρίνονται χειροτονίαν βαθμοῦ ἱερέων καὶ διακόνων ἐπιβαίνοντες, ἵνα μόνην ἐξουσίαν τινὰ καὶ αὐθεντίαν ἑαυτοῖς περιποιήσωνται. Ναὶ μὴν καὶ τὸ τῶν μοναχῶν ὑποδύονται σχῆμα, λανθάνειν διὰ τούτου βουλόμενοι, καὶ τοὺς πολλοὺς ἀπατᾷν.

Τὴν διὰ τῶν χειρῶν ἐργασίαν ἀποστρέφονται καταφρονοῦντες τοῦ μεγάλου Παύλου λέγοντος· *Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω*· καὶ πάλιν· *Αἱ χεῖρες αὗται διηκόνησαν ἐμοὶ, καὶ τοῖς σὺν* D *ἐμοί*· καὶ ἀγνοοῦντες, ὡς ἔοικεν, ὅτι ἡ ἀργία καὶ τὰ συνήθη πάθη κινεῖ, καὶ τὰ μὴ συνήθη διδάσκει, καὶ ὅτι τὰ μέλη τοῦ σώματος φορτία τοῖς μὴ χρωμένοις.

Νομοθετοῦσι μὴ δεῖν μεταδιδόναι τοῖς προσαιτοῦσιν, ἢ τοῖς ἄλλως πένησι καὶ πτωχοῖς, ἢ τοῖς καθ' οἱανδήτινα περίστασιν δεομένοις ἐλεημοσύνης καὶ μεταδόσεως, ἀλλ' αὐτοῖς μόνοις, λέγοντες ἑαυτοὺς εἶναι τοὺς πτωχοὺς τῷ πνεύματι, οὓς ἐμακάρισεν ὁ Κύριος. Ἐγὼ δὲ φαίην ἂν πρὸς αὐτούς· Ἀλλ' ὁ Κύριος, ὦ οὗτοι, πᾶσι τοῖς δεομένοις μεταδιδόναι προσέταξε· *Παντὶ γὰρ*, φησὶ, *τῷ αἰτοῦντί σοι δίδου*. Ὑμεῖς δὲ οὐ λελήθατε πρὸς ἑαυτοὺς τὰ τῶν πενήτων μεθέλκοντες, καὶ πρὸς μόνην τὴν οἰκείαν

[1] Joan. XIV, 23. [2] Matth. X, 28. [3] Act. XX, 10. [4] II Thess. III, 10. [5] Act. XX, 34. [6] Luc. VI, 30.

εὐπάθειαν ὁρῶντες, καὶ τρυφὴν ἑαυτοῖς παρασκευάζοντες. Πῶς γὰρ, ἢ πόθεν ὑμεῖς πτωχοὶ μᾶλλον ἐν ἀρεταῖς ὄντες, καὶ πλουτοῦντες ἐν πᾶσι κακοῖς; Σαπρὸν γὰρ δένδρον οὐ ποιεῖ καρποὺς καλοὺς, καὶ κακόδοξος οὐ δύναται καρποφορεῖν ἀρετήν. Πτωχὸς δὲ τῷ πνεύματι πᾶς ὁ διὰ Θεὸν ταπεινός. Δεῖ γὰρ πιστεῦσαι πρῶτον, εἶτα τῶν ἀρετῶν ἀπάρξασθαι.

A solitis. Quomodo enim, aut unde vos pauperes spiritu, qui in virtutibus potius inopes estis, et in omnibus vitiis abundatis? Mala enim arbor fructus bonos non facit, et qui prave institutus est virtutis fructum ferre non potest. Pauper est spiritu, quisquis propter Deum humilis est. Humilitas autem animique submissio virtutum est fundamentum: nec illud obscurum est, fidelem esse qui propter Deum humilis est. Primum enim oportet credere, deinde virtutes colere.

Λύουσι τὸν γάμον καίτοι τοῦ Κυρίου λέγοντος, ὅτι *Ἃ ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω*, καὶ τὸν ἐν Κανᾷ γάμον τῇ παρουσίᾳ τιμήσαντος, καὶ τοῦ μακαρίου Παύλου γράφοντος, *Τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος*. Κἀνταῦθα προδήλως ἐναντιοῦνται τῷ τε Χριστῷ καὶ τοῖς ἀποστόλοις, οἱ τοῖς βδελυσσομένοις τὸν γάμον ἐπιτιμῶσιν.

Nuptias dissolvunt, quamvis Dominus dicat: *Quæ Deus conjunxit, homo non separet*[1]; et in Cana Galilææ præsentia sua nuptias honorarit; et beatus Apostolus dicat: *Venerabiles nuptiæ, et torus immaculatus*[2]. Et hic aperte tum Christo tum apostolis adversantur qui nuptias maledictis afficiunt et detestantur.

B

Ἐπιτρέπουσι τοῖς βουλομένοις ἀποκόπτειν τὰ παιδογόνα μόρια, καὶ παραχαράττειν οὕτω τὴν φύσιν, καὶ ἀκρωτηριάζειν τῶν ἐπὶ γῆς τοῦ Θεοῦ κτισμάτων τὸ τιμιώτατον, λέγω δὴ τὸν ἄνθρωπον, ὃν παρὰ τοῦ Θεοῦ τέλειον καὶ καλὸν πλασθέντα ὡς ἀτελῆ πάντως, ἢ μὴ καλῶς πεπλασμένον ἐπιδιορθοῦνται, καὶ ἀπαρτίζουσιν, ὡς αὐτοῖς δοκεῖ. Τῇ δὲ ἀληθείᾳ πηροῦσι, καὶ ἄγονον καὶ ἄκαρπον, ὅσον κατὰ τὴν τοῦ σώματος φύσιν, ἀπεργάζονται, καίτοι τῶν θείων ἀποστόλων Πέτρου καὶ Παύλου τὴν ἀποκοπὴν τῶν εἰρημένων μορίων ἀποτρεπόντων ἐν τοῖς κανόσιν αὐτῶν, ἵνα τοὺς ἄλλους Πατέρας ἐάσωμεν, καὶ τοὺς νομοθέτας, ὅσοι καὶ φοβερὰν τιμωρίαν τοῖς τολμῶσιν εὐνουχίζειν ὡρίσαντο.

Permittunt, ut qui volunt, partes corporis suscipiendis liberis necessarias amputent, eaque nota naturam afficiant, hominemque inter res a Deo procreatas præstantissimum mutilent, eumque, tanquam imperfectus omnino sit, aut male formatus, quem tamen ille perfectum et bonum fecit, corrigant et emendent, ut ipsi putant. Quem tamen revera mutilant, infecundumque et ad procreandum inutilem reddunt. Atqui divi apostoli Petrus et Paulus ejusmodi membra suis in canonibus prohibent amputari, ut alios Patres prætereamus et legumlatores, qui id facere audentes gravissimis multant suppliciis.

C

Ὀμνύουσιν ἀδεῶς, καὶ ἐπιορκοῦσι, καὶ ταῦτα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κωλύσαντος οὐ μόνον τὴν ἐπιορκίαν, ἀλλὰ καὶ τὸ ὅλως ὀμνύειν. Ὅτε δὲ κρατηθῶσιν, ὡς αἱρετικοὶ, τότε καὶ τὴν τῶν Μασαλιανῶν πίστιν ἀρνοῦνται, καὶ ἀναθεματίζουσι, καὶ τὴν ἄρνησιν ὅρκοις βεβαιοῦσι φρικτοῖς, οἰόμενοι μηδόλως ἁμαρτάνειν διὰ τὴν ἐπικειμένην ἀνάγκην, καὶ τὸν φόβον τῶν κατασχόντων. Καὶ ἄλλα δέ τινα μυθολογοῦσιν ἀνάξια μνήμης, μὴ ὅτι γε ἀντιρρήσεως διὰ τὸ εὐανάτρεπτον αὐτῶν καὶ αὐτέλεγκτον.

Jurant et pejerant sine ullo metu, quamvis Dominus noster Jesus Christus vetet, non solum ne pejeremus, sed etiam ne juremus omnino[3]. Quod si ut hæretici coarguuntur, tunc et Masalianorum fidem abnegant et detestantur, abnegationemque jurejurando confirmant, seque nullo modo peccare putant, quod necessitate coacti sint et cogentium metu. Alias præterea nugas confingunt quæ tam facile confutari evertique possunt, ut eas pigeat commemorare.

ΤΙΤΛΟΣ ΚΖ'.

Κατὰ Βογομίλων. Βόγον μὲν γὰρ ἡ τῶν Βουλγάρων γλῶσσα καλεῖ τὸν Θεόν, Μίλον δὲ τὸ ἐλέησον. Εἴη δ' ἂν Βογόμιλος κατ' αὐτοὺς ὁ τοῦ Θεοῦ τὸν ἔλεον ἐπισπώμενος.

TITULUS XXVII.

Adversus Bogomilos. « Bog » autem Bulgarorum lingua « Deum » significat. « Milvi » vero, « miserere, » ut « Bogomilus » apud eos is sit qui Dei misericordiam implorat.

D

Ἡ τῶν Βογομίλων αἵρεσις οὐ πρὸ πολλοῦ συνέστη τῆς καθ' ἡμᾶς γενεᾶς, μέρος οὖσα τῆς τῶν Μασαλιανῶν, καὶ συμφερομένη τὰ πολλὰ τοῖς ἐκείνων δόγμασι, τινὰ δὲ καὶ προσεξευροῦσα, καὶ τὴν λύμην αὐξήσασα. Διεγνώσθη δὲ κατὰ τοὺς χρόνους Ἀλεξίου τοῦ θεοκυβερνήτου βασιλέως ἡμῶν, ὃς εὐτέχνως καὶ πάνυ θαυμασίως τὸν ἔξαρχον αὐτῆς θηρεύσας· Βασίλειος ἦν οὗτος ὁ ἰατρὸς, ἀνὴρ ὀλέθριος μᾶλλον, καὶ λοιμὸς, καὶ φθορᾶς μεστὸς, καὶ πάσης κακίας ὄργανον· καὶ πρὸς ἑαυτὸν μεταγαγὼν, καὶ ἐντίμως ὑποδεξάμενος, καὶ τῆς παρ' ἑαυτῷ καθέδρας ἀξιώσας, καὶ λόγου μεταδοὺς ἡδέος, καὶ προσηνοῦς ὁμι-

Bogomilorum hæresis haud multo ante exstitit, ætate nostra, Masalianorumque pars fuit, et multis in rebus convenit cum illorum institutis, quædam tamen ipsa quoque excogitavit, et pestem adauxit. Patefacta est autem Alexio imperatore nostro regnante, qui Dei numine gubernatus, prudenti et admirabili ratione principem illius venatus est. Hic erat Basilius quidam medicus, homo perniciosus, atque pestifer, et corruptelæ plenus, atque malorum omnium instrumentum. Quem imperator cum ad se accersisset, honorificeque suscepisset, assidereque fecisset, jucunde benigneque allocutus, dulcique

[1] Matth. xix, 6. [2] Hebr. xiii, 4. [3] Matth. v, 34.

gratia cum illo disputans, seque prudenter discipulum simulans facile decepit, cum jam ille multos perniciose decepisset, omnemque in putridi exsecrandique senis arcano reconditam malitiam, mentis acumine et naturæ facilitate detexit, nihil omnino relinquens quod non investigaret atque perspiceret. Hic igitur in tenebricoso nugacissimi perniciosique senis corde, tanquam in latebra quadam, diversas variasque feras, nefarias, venenatas, atque multiplices opiniones latitantes, ingenio sapientiaque sua deprehendit, in apertumque protulit. Et mihi jussit, ut ridicula istius hæresis mysteria patefacta atque convicta litterarum monumentis mandarem.

1. Rejiciunt omnes libros Mosaicos, una cum Deo, qui in ipsis memoratur, virisque justis, qui sunt illi charissimi, reliquos item omnes qui postea scripti sunt, tanquam diaboli astutia compositi sint. Propitius sit nobis Deus impias eorum opiniones referentibus! Septem duntaxat suscipiunt, et colunt, et in summo habent pretio, id est, Psalterium, et librum sexdecim Prophetarum, et Evangelium secundum Matthæum, et secundum Marcum, et secundum Lucam, et secundum Joannem, et septimum librum quo res ab apostolis gestæ continentur cum omnibus Epistolis et Joannis Theologi Apocalypsi. *Sapientia* enim, inquiunt, *ædificavit sibi domum, septemque columnas substituit* [1]. Per hanc sapientiæ domum scelestissimam synagogam intelligunt suam, per columnas autem libros illos, quos septem ordinibus dispositos commemoravimus. In repudiandis igitur libris Mosaicis et cæteris subsequentibus cum Paulicianorum hæresi consentiunt. Itaque in eo titulo, qui adversus illos conscriptus est, quærenda sunt ea capita, quibus demonstravimus, boni Dei esse tum Vetus Testamentum, tum viros qui in eo illustres exstiterunt, legendumque est primum caput cum septem sequentibus, quibus error iste plane confoditur. Et quanquam reliqua item capita his septem consentiunt, tamen hæc sola satis erit perlegisse. Illud tamen animadvertendum est, istos callide plerumque ex his libris quos improbant, ad opiniones suas comprobandas verba depromere. Quod si aliquo septem librorum, quos commemoravimus, dicto convicti ad veritatem confitendam impellantur, statim ut subterfugiant, ad allegoriam sese convertunt.

2. Ea re decipiunt simpliciores quod fingunt, se credere in Patrem, et Filium, et Spiritum sanctum, cum tamen Patri tres istas tribuant appellationes, eumque humana forma præditum putent, et ex binis cerebri panniculis binos radios emittere, alterum Filii, alterum Spiritus sancti. Atque ita fides istis in Deum corporeum monstrosumque vertitur, cujus nulla plane sit exsistentia. Ut ergo Patri tres istas tribuerent appellationes, ex Sabelliana hæresi

[1] Prov. xix, 1.

A λίας, καὶ γλυκείας, ἐν τῷ προδιαλέγεσθαι χάριτος, καὶ συνετῶς ὑποκρινάμενος τὸν μαθητιῶντα, ῥᾷον ἐξηπάτησε τὸν ἐξαπατήσαντα πολλοὺς εἰς ἀπώλειαν, καὶ πᾶσαν τὴν ἐνδομυχοῦσαν τῷ σαπρῷ τούτῳ καὶ καταπτύστῳ γέροντι κακοήθειαν ὀξύτητι φρενὸς καὶ δεξιότητι φύσεως ἀνίχνευσεν, οὐδὲν ὑπολιπὼν ἀνεξερεύνητον ἢ ἀθέατον. Ἔνθεν τοι καὶ καθάπερ ἀπό τινος φωλεοῦ παντοδαπὰ καὶ ποικιλόμορφα θηρία τῆς σκοτεινῆς αὐτοῦ καρδίας ἐξελκύσας τὰ μιαρὰ, καὶ ἰοβόλα, καὶ πολυπρόσωπα δόγματα ταῖς μηχαναῖς τῆς ὑποκρίσεως, καὶ κατασοφισάμενος εὐφυῶς μάλα τὸν κρονόληρον γέροντα, τὸ παλαιὸν κακὸν, ἐκέλευσεν ἡμῖν γραφῇ παραδοῦναι ταῦτα, καὶ θριαμβεῦσαι τὰ καταγέλαστα μυστήρια τῆς εἰρημένης αἱρέσεως.

B α'. Ἀθετοῦσι πάσας τὰς μωσαϊκὰς βίβλους μετὰ καὶ τοῦ ἐν αὐταῖς ἀναγραφομένου Θεοῦ, καὶ τῶν εὐαρεστησάντων αὐτῷ δικαίων, ναὶ μὴν καὶ τὰς μετ' αὐτὰς ἁπάσας, ὡς κατ' ἐπίπνοιαν τοῦ Σατανᾶ συγγραφείσας. Ἵλεως ἡμῖν εἴη Κύριος τὰ ἐκείνων λέγουσι! Μόνας δὲ παραδέχονται, καὶ τιμῶσιν ἑπτὰ, καὶ εἰς ἄκρον ἀποσηθίζουσι, λέγω δὴ τὸ Ψαλτήριον, τὸ Ἑξκαιδεκαπρόφητον, καὶ τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, καὶ τὸ κατὰ Μάρκον, καὶ τὸ κατὰ Λουκᾶν, καὶ τὸ κατὰ Ἰωάννην, ἕβδομον τῆς βίβλου τῶν Πράξεων σὺν ταῖς Ἐπιστολαῖς πάσαις, καὶ τῇ Ἀποκαλύψει τοῦ Θεολόγου Ἰωάννου. Ἡ σοφία γὰρ, φασὶν, ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτὰ, οἶκον μὲν τὴν παμμίαρον συναγωγὴν ἑαυτῶν μεθερμηνεύοντες, στύλους δὲ ἑπτὰ τὰς C ἀπαριθμηθείσας βίβλους. Τὴν μὲν οὖν ἀποβολὴν τῶν μωσαϊκῶν βίβλων καὶ τῶν μετ' αὐτὰς ἐκ τῆς τῶν Παυλικιάνων αἱρέσεως μεμαθήκασι. Ζητητέον δὲ ἐν τῷ κατ' ἐκείνων τίτλῳ τὰ κεφάλαια, οἷς ἐπιγέγραπται, ὅτι τοῦ ἀγαθοῦ Θεοῦ εἰσιν ἥ τε παλαιὰ νομοθεσία καὶ οἱ ἐν αὐτῇ λάμψαντες. Καὶ ἀναγνωστέον τό τε πρῶτον κεφάλαιον καὶ τὰ ἑξῆς ἑπτὰ, στηλιτεύοντα φανερῶς τὴν τοιαύτην πλάνην. Καὶ τὰ μετ' ἐκεῖνα δὲ πάντα σύμφωνα σχεδὸν τοῖς ἑπτὰ τούτοις εἰσὶν, ἀλλ' ἀρκεῖ μόνα τὰ δηλωθέντα. Χρὴ δὲ γινώσκειν, ὅτι τὰς μωσαϊκὰς βίβλους ἀθετοῦντες ῥήσεις ἐξ αὐτῶν πολλάκις πανούργως εἰς συνηγορίαν ἑαυτῶν προσλαμβάνουσι. Καὶ ὅταν δὲ παρά τινος ῥητοῦ τῶν δηλωθεισῶν ἑπτὰ βίβλων στενοχωρηθῶσι, D καὶ συνελαθῶσι πρὸς τὴν ἀλήθειαν, εὐθὺς εἰς ἀλληγορίαν τρέπονται, διαδιδράσκειν πειρώμενοι.

β'. Πρόσχημα μὲν ἀπάτης τῶν ἁπλουστέρων τὸ πιστεύειν εἰς Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα προβάλλονται, τὰς τρεῖς δὲ ταύτας κλήσεις τῷ Πατρὶ προσάπτουσι, καὶ ἀνθρωποπρόσωπον τοῦτον ὑπολαμβάνουσι παρ' ἑκατέραν μήνιγγα ἀκτῖνα ἐκλάμποντα, τὴν μὲν Υἱοῦ, τὴν δὲ Πνεύματος, καὶ οὕτω καταστρέφει τούτοις ἡ πίστις εἰς σωματοειδῆ τινα καὶ τερατόμορφον Θεὸν, καὶ ὄντως ἀνύπαρκτον. Τὸ μὲν οὖν προσάπτειν τῷ Πατρὶ τὰς εἰρημένας

τρεῖς κλήσεις ἐκ τῆς Σαβελλιανῆς αἱρέσεως ἔλαβον, A τὴν δὲ τοῦ τοιούτου δόγματος ἀνατροπὴν ζητητέον ἐν τῷ τίτλῳ τῷ κατὰ Σαβελλιανῶν. Τῇ μέντοι τερατομορφίᾳ τοῦ κατ' αὐτοὺς Θεοῦ τὸ σωματοειδὲς καὶ τὸ τῆς μορφῆς ἀλλόκοτον ἀρκέσει πρὸς ἔλεγχον.

γ'. Λέγουσι τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον εἰς τὸν Πατέρα πάλιν, ἀφ' οὗ προῆλθον, ἀναλυθῆναι, καὶ τριπρόσωπον αὐτὸν ἀπὸ τοῦ πεντακισχιλιοστοῦ ἔτους ἄχρι καὶ τριάκοντα καὶ τριῶν ἐτῶν χρηματίσαντα πάλιν γενέσθαι μονοπρόσωπον, ἀσώματον μὲν, ἀνθρωπόμορφον δέ. Φεῦ τῆς πολλῆς ἀναισθησίας! Ὢ τοῦ πλατέος γέλωτος! Εἰ γὰρ ἀσώματος, πῶς ἀνθρωπόμορφος;

δ'. Λέγουσι μήτε Υἱὸν εἶναι, μήτε Πνεῦμα ἅγιον ἄχρι τοῦ πεντακισχιλιοστοῦ πεντακοσιοστοῦ ἔτους, B ἔκτοτε δὲ λαβεῖν αὐτοὺς ἀρχὴν τοῦ εἶναι, καὶ ὀνομάζεσθαι, καίτοι τοῦ εὐαγγελιστοῦ Ἰωάννου βροντῶντος ἐν τῷ λέγειν, *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος.* Τὸ δὲ *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*, ἴσον ἐστὶ τῷ Ἀεὶ ἦν ὁ Λόγος. Εἰ δὲ ὁ Λόγος ἀεὶ ἦν ἐν τῷ Πατρὶ, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀεὶ συνῆν ἄρα τῷ Υἱῷ. Καὶ γὰρ οὐδ' ὁ παρ' ἡμῶν προφερόμενος λόγος εὑρίσκεταί ποτε χωρὶς πνεύματος. Οἱ δὲ λέγοντες τὸν Πατέρα χωρὶς εἶναι τοῦ Λόγου μέχρι τοῦ πεντακισχιλιοστοῦ πεντακοσιοστοῦ ἔτους, ἄλογον αὐτὸν ἄχρι τότε, καὶ ἄσοφον, καὶ ἀδύνατον δογματίζουσιν, ἵνα τὰ περὶ τοῦ ἁγίου Πνεύματος ἐάσωμεν, καὶ τὰς ἄλλας ἀτοπίας, αἳ τῇ μωρολογίᾳ τούτων ἐπακολουθοῦσι. C

ε'. Λέγουσιν, ὅτι ὁ μὲν Πατὴρ ἐγέννησε τὸ Πνεῦμα τὸ ἅγιον, τοῦτο δὲ ἐγέννησε πνευματικῶς τὸν προδότην Ἰούδαν, καὶ τοὺς ἕνδεκα ἀποστόλους. Καὶ προφέρουσι ῥῆσιν εὐαγγελικὴν, *Ἀβραὰμ*, φησὶν, *ἐγέννησε τὸν Ἰσαὰκ, Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰακώβ, Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ*, περὶ τῆς ἁγίας Τριάδος ταῦτα γεγράφθαι διατεινόμενοι. Πρῶτον μὲν οὖν οὐ μόνον Υἱὸν, ἀλλὰ καὶ υἱωνὸν ἐπεισάγουσι, καὶ οὐχ υἱωνὸν μόνον, ἀλλὰ καὶ δώδεκα τρισεγγόνους ὅσον πρὸς τὸν Πατέρα. Ἔπειτα εἰ καὶ ὁ Υἱὸς πατὴρ, καὶ τὸ Πνεῦμα τὸ ἅγιον αὖθις πατὴρ, ἰδοὺ τρεῖς Πατέρες. Καὶ πῶς ἕνα Πατέρα δογματίζοντες ὁμολογοῦσι; D Καὶ πάλιν εἰ τὸ Πνεῦμα τὸ ἅγιον υἱὸς τοῦ Υἱοῦ, ἰδοὺ κἀνταῦθα δύο Υἱοί. Καὶ πῶς ἕνα Υἱὸν ἐν τῇ θεολογίᾳ τῆς Τριάδος συνομολογοῦσιν, ἵνα τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ κατὰ τὸ παρὸν ἐάσωμεν;

ς'. Λέγουσι τὸν δαίμονα τὸν παρὰ τοῦ Σωτῆρος ὀνομασθέντα Σατανᾶν υἱὸν καὶ αὐτὸν εἶναι τοῦ Θεοῦ καὶ Πατρὸς, ὀνομαζόμενον Σαταναὴλ, καὶ πρῶτον τοῦ Υἱοῦ καὶ Λόγου, καὶ ἰσχυρότερον, ἅτε πρωτότοκον, ὡς εἶναι τούτους ἀδελφοὺς ἀλλήλων. Εἶναι δὲ τὸν Σαταναὴλ οἰκονόμον, καὶ δευτερεύοντα τοῦ Πατρὸς, τὴν αὐτὴν αὐτῷ περικείμενον καὶ μορφὴν,

didicerunt. Itaque confutatio ex titulo, qui in Sabellianos inscriptus est, petenda erit. Quod autem monstrosa Deum suum forma comminiscantur, ex corporea absurdaque specie, quam illi tribuunt, facile potest intelligi.

3. Dicunt Filium et Spiritum sanctum in Patrem rursum, ex quo provenerunt, resolvi, ipsumque qui anno abhinc quinquies millesimo quingentesimo tricesimo tertio trium fuerit personarum, rursum unius factum esse personæ, incorporeum quidem, sed humana tamen forma præditum. Facessat absurda et ab omni prorsus sensu aliena ratio. Si enim incorporeus est, quomodo forma sit humana præditus?

4. Negant Filium et Spiritum sanctum usque ad quinquies millesimum et quingentesimum annum exstitisse, eoque principium extrinsecus suscepisse, ut essent et nominarentur, cum tamen evangelista Joannes clara voce tonet: *In principio*, inquiens, *erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum.* Illud autem: *In principio erat Verbum*, idem est, ac si dicas: Semper erat Verbum. Quod si Filius semper fuit in Patre, et Spiritus sanctus semper utique fuit cum Filio, quando ne verbum quidem a nobis prolatum invenitur unquam sine spiritu. Qui autem Patrem sine Filio usque ad annum quinquies millesimum quingentesimum dicunt fuisse, eum ad illud usque tempus rationis usus, sapientiæ potentiæque fuisse expertem asserunt, ut interim de Spiritu sancto taceamus, omittamusque cætera incommoda, quæ stultam istorum opinionem consequuntur.

5. Pater, inquiunt, Filium genuit, et Filius genuit Spiritum sanctum, hic autem Judam genuit proditorem, et undecim apostolos. Et opinionem suam Evangelii confirmant testimonio: *Abraham genuit Isaac, Isaac autem genuit Jacob, Jacob autem genuit Judam, et fratres ejus* [1]. Hæc de sancta Trinitate fuisse scripta contendunt. Primum igitur non solum filium, sed nepotem inducunt, nec nepotem modo, sed duodecim genitos, quantum ad Patrem pertinet. Præterea si Filius quoque pater est, et Spiritus sanctus rursum pater est, ecce tres Patres. Quomodo igitur unum Patrem confitentur? Ad hæc si Spiritus sanctus est filius Filii, ecce hic item duo Filii. Quomodo igitur unum Filium in sancta Trinitate tradunt, ut nihil in præsentia de Juda dicamus et fratribus ejus?

6. Dicunt dæmonem, qui a Servatore appellatus est Satanas, filium esse ipsum quoque Dei Patris, et vocari Satanael, et Filio Verbo natu majorem esse præstantioremque, utpote primogenitum; fratres igitur esse. Sed Satanael domus esse procuratorem et secundas post Patrem partes obtinere, eademque stola et habitu indutum esse, et ad ejus dexteram

[1] Matth. I, 2.

considere in solio, et secundam habere dignitatem, qua quidem ebrium stulteque sublatum, de defectione cogitasse, arreptaque quondam occasione ministras tentasse potestates, ut excusso ministerii jugo se sequerentur, et secum in Patrem consurgerent. Et ad istiusmodi nugas confirmandas ex Lucæ Evangelio parabolam afferunt villici iniquitatis, qui debita minuit debitoribus. Hunc enim esse Satanael, et de hoc fuisse scriptam eam parabolam; angelos igitur quos memoravimus, sperantes se laboriosi ministerii onere levatum iri, et magnis aliis promissis fuisse deceptos. *Ponam* enim, dicebat, *thronum meum in nubibus, et ero similis Altissimo* [1]. Proditioni igitur et insidiis consensisse. Qua quidem re animadversa, Deum illos e cœlo omnes detrusisse. Quis insulsa et manifesta istorum figmenta non rideat? Si enim natura Dei Filius Satanael fuisset, fuisset etiam natura Deus, et omnino immobilis et immutabilis. Proprium enim est naturæ divinæ, ut nunquam mutetur, sed eodem modo semper se habeat. Quare quoniam mutatus est, et cecidit, et e cœlo dejectus est, non erat natura Filius Dei, sed aliam habebat naturam, nempe angelicam et procreatam, atque ideo mutabilem. Quod si unigenitus est Patris Filius, Verbum, ut evangelista Joannes docuit: *Vidimus*, inquiens, *gloriam ejus gloriam quasi Unigeniti a Patre*, et rursum: *Unigenitus Filius, qui est in sinu Patris, ipse enarravit* [2], mendaces deprehenduntur et impostores qui fratrem ipsius dicunt esse Satanael. Si enim fratrem haberet Filius Verbum, Unigenitus non appellaretur. Quod si et *in principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum*, ut evangelista Joannes ait, id est, semper erat cum Patre, et in Patre, quomodo alter esse potuit frater ipsius, qui illo esset natu major, qui est ante sæcula, et una cum Patre imperat, et sine quo nunquam Pater fuit? Alioquin sine ratione, et sine sapientia, et sine potentia, quæ quidem omnia est natura Filius et Verbum ejus, exstitisset. Quoniam igitur Satanael, ut demonstravimus, natura non erat filius Dei, nec formam ejus omnino nec stolam habuit, ut omittamus, quod stola et vestis corporibus et rebus compositis convenit; nec in dextera sedit majestatis, neque ad ipsum pertinet parabola de villico iniquitatis, quæ est in Evangelio Lucæ.

καὶ στολὴν, καὶ ἐν δεξιᾷ αὐτοῦ καθήμενον ἐπὶ θρόνου, καὶ τῆς μετ' αὐτὸν εὐθὺς τιμῆς ἀξιούμενον, ὑφ' ἧς μεθυσθέντα, καὶ εἰς ἀπόνοιαν ἐπαρθέντα μελετῆσαι ἀποστασίαν, καί ποτε δραξάμενον καιροῦ καθεῖναι πεῖράν τισι τῶν λειτουργικῶν δυνάμεων, εἰ βούλοιντο κουφιζόμεναι τοῦ βάρους τῆς λειτουργίας ἀκολουθῆσαι τούτῳ, καὶ συγκατεξαναστῆναι τοῦ Πατρός. Εἰς πίστιν δὲ τῆς λημρῳδίας ταύτης παράγουσι τὴν ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ παραβολὴν τοῦ οἰκονόμου τῆς ἀδικίας, τὰ τῶν ὀφειλόντων χρέη μειώσαντος. Τοῦτον γὰρ τὸν Σαταναὴλ εἶναι, καὶ περὶ τούτου γεγράφθαι τὴν τοιαύτην παραβολήν. Εἶτα τοὺς εἰρημένους ἀγγέλους δελεασθέντας τῷ κουφισμῷ τῆς ἐπιπόνου λειτουργίας, καὶ ταῖς ἄλλαις ὑπερόγκοις ἐπαγγελίαις, *Θήσω γὰρ*, φησὶ, *τὸν θρόνον μου ἐπὶ τῶν νεφελῶν, καὶ ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ*, συναπαχθῆναι τούτῳ, καὶ κοινωνῆσαι τῆς ἐπιβουλῆς· αἰσθόμενον δὲ ταύτης τὸν Θεὸν ῥίψαι τούτους ἄνωθεν ὁμοῦ πάντας. Ὢ τῆς ἀναιδεστάτης καὶ προδήλου μυθοπλαστίας! Εἰ γὰρ φύσει Θεοῦ Υἱὸς ἦν ὁ Σαταναὴλ, ἦν ἂν καὶ φύσει Θεὸς, καὶ παντελῶς ἄτρεπτός τε καὶ ἀναλλοίωτος. Ἴδιον γὰρ τῆς θείας φύσεως ἡ ἀτρεψία, καὶ τὸ ὡσαύτως ἔχειν ἀεί. Ἐπεὶ δὲ ἐτράπη, καὶ ἐξέπεσε, καὶ ἄνωθεν κατενήνεκται, οὐκ ἦν φύσει Υἱὸς Θεοῦ, ἀλλά τις ἑτέρα φύσις ἀγγελικὴ καὶ κτιστὴ, καὶ διὰ τοῦτο τρεπτή. Εἰ δὲ καὶ μονογενής ἐστιν ὁ τοῦ Πατρὸς Λόγος, ὡς ὁ εὐαγγελιστὴς ἐδίδαξεν Ἰωάννης, *Ἐθεασάμεθα* γὰρ, φησὶ, *τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς*, καὶ αὖθις, *Ὁ μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο·* ληροῦσι, καὶ παραπαίουσιν οἱ λέγοντες ἀδελφὸν αὐτοῦ τὸν Σαταναήλ. Εἰ γὰρ εἶχεν ἀδελφὸν, οὐκ ἂν ὠνομάζετο μονογενὴς ὁ Λόγος. Εἰ δὲ καὶ ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος, κατὰ τὸν εὐαγγελιστὴν Ἰωάννην, τουτέστιν ἀεὶ ἦν μετὰ τοῦ Πατρὸς, καὶ ἐν τῷ Πατρὶ, πῶς ἂν ἦν ἕτερος ἀδελφὸς πρὸ αὐτοῦ τοῦ προαιωνίου καὶ συνανάρχου τῷ Πατρὶ, καὶ οὗ χωρὶς οὐδέποτε ἦν ὁ Πατὴρ, ἵνα μὴ ἄλσγος, καὶ ἄσοφος, καὶ ἀδύνατος εὑρεθείη; Ταῦτα γάρ ἐστιν ὁ φύσει Υἱὸς καὶ Λόγος αὐτοῦ. Ἐπεὶ δὲ οὐκ ἦν ὁ Σαταναὴλ φύσει υἱὸς Θεοῦ, καθὼς ἀπεδείξαμεν, πάντως οὐδὲ τὴν τοῦ Θεοῦ περιέκειτο μορφὴν καὶ στολὴν, ἵνα παραδράμωμεν εἰπεῖν, ὅτι τῶν σωμάτων καὶ τῶν συνθέτων ἐστὶν ἡ στολὴ καὶ περιβολή· οὐδὲ ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐκάθητο, οὐδὲ περὶ τούτου ἡ ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ περὶ τοῦ οἰκονόμου τῆς ἀδικίας ἐξετέθη παραβολή.

7. Ainnt Satanael e sublimibus dejectum, cum aquis non posset insidere, quod terra esset invisibilis et incomposita, divinam autem adhuc formam atque habitum haberet et creandi potestatem, angelos, qui secum ceciderant, convocasse, et audaciam illis injecisse dixisseque: Quoniam Deus fecit cœlum et terram, *In principio* eulm, inquit, *Deus fecit cœlum et terram*, faciam et ego tanquam alter Deus secundum cœlum, et reliqua deinceps eodem ordine. Dixit igitur, inquiunt: Fiat firmamentum,

ζʹ. Λέγουσι τὸν Σαταναὴλ ἄνωθεν ῥιφέντα, καὶ μὴ δυνάμενον τοῖς ὕδασιν ἐφιζάνειν· *Ἡ γῆ γὰρ*, φησὶν, *ἦν ἀόρατος καὶ ἀκατασκεύαστος*· ἐπείπερ ἔτι καὶ τὴν θείαν περιέκειτο μορφὴν καὶ στολὴν, καὶ τὴν δημιουργικὴν ἐκέκτητο δύναμιν, συγκαλέσαι τὰς συγκαταπεσούσας αὐτῷ δυνάμεις, καὶ θάρσος αὐταῖς ἐμβαλεῖν, καὶ εἰπεῖν, ὡς Ἐπεὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ὁ Θεὸς ἐποίησεν· *Ἐν ἀρχῇ* γὰρ, φησὶν, *ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν*· ποιήσω κἀγὼ δεύτερον οὐρανὸν, ὡς δεύτερος Θεὸς, καὶ τὰ ἑξῆς

[1] Isa. XIV, 14. [2] Joan. I, 14, 18.

ἀκολούθως, καὶ εἶπε, Γενηθήτω στερέωμα, καὶ ἐγένετο. Γενηθήτω τάδε καὶ τάδε, καὶ γεγόνασιν ἅπαντα. Καὶ κατακοσμήσας μὲν τὸν δεύτερον οὐρανὸν περιελὼν δὲ τὸ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς, καὶ τάξας ἐν οἷς ἐδοκίμασε τόποις, ὡς ἡ τῆς κοσμογενείας βίβλος διέξεισι, καὶ καλλωπίσας αὐτὴν, καὶ καθωραΐσας, καὶ τὰ ἐκ γῆς πάντα φυόμενα δημιουργήσας, καὶ τὰ ζῶα, καὶ εἴ τι ἕτερον, ἀπεπλήρωσε ταύτην ἑαυτῷ τε καὶ ταῖς ἀποστατικαῖς δυνάμεσιν οἰκητήριον. Ἔπειτα πλάσας τὸ σῶμα τοῦ Ἀδὰμ ἀπὸ γῆς ὕδατι φυραθείσης, ἔστησεν ὀρθὸν, ἀφ' οὗ καταῤῥεύσασά τις νοτὶς ἐπὶ τὸν δεξιὸν πόδα, καὶ διὰ τοῦ μεγάλου δακτύλου χυθεῖσα κατὰ τοῦ ἐδάφους ἑλικοειδῶς ἐῤῥύη, καὶ σχῆμα ὄφεως ἀπετέλεσεν. Ἀθροίσας δὲ τὸ ἐν ἑαυτῷ πνεῦμα ὁ Σαταναὴλ ἐνέπνευσε τῷ πλασθέντι σώματι ζωὴν, τὸ δὲ ἐξ αὐτοῦ πνεῦμα διὰ χαυνότητα καταῤῥυὲν ἐπὶ τὸν δεξιὸν ὁμοίως πόδα, καὶ διὰ τοῦ μεγάλου δακτύλου χυθὲν εἰς τὴν ἑλικοειδῆ ῥανίδα κατέσκηψεν. Ἡ δὲ παραυτίκα ζωοποιηθεῖσα, καὶ ἀποτμηθεῖσα τοῦ δακτύλου γέγονεν ὄφις, καὶ εἵρπυσε. Διὰ τοῦτο γὰρ καὶ φρόνιμον αὐτὸν γενέσθαι, καὶ νουνεχῆ, ὡς τοῦ ἐμφυσήματος τοῦ Σαταναὴλ εἰς ψυχὴν αὐτῷ καταστάντος, ὅπερ ἰδὼν ὁ καινὸς οὗτος δημιουργὸς, καὶ γνοὺς, ὅτι μάτην πονεῖ, διεπρεσβεύσατο πρὸς τὸν ἀγαθὸν Πατέρα, καὶ παρεκάλεσε πεμφθῆναι παρ' αὐτοῦ πνοὴν, ἐπαγγειλάμενος κοινὸν εἶναι τὸν ἄνθρωπον, εἰ ζωοποιηθῇ, καὶ ἀπὸ τοῦ γένους αὐτοῦ πληροῦσθαι τοὺς ἐν οὐρανῷ τόπους τῶν ἀποῤῥιφέντων ἀγγέλων. Τὸν δὲ Θεὸν ὡς ἀγαθὸν ἐπινεῦσαι, καὶ ἐμφυσῆσαι τῷ παρὰ τοῦ Σαταναὴλ πλασθέντι πνεῦμα ζωῆς, καὶ γενέσθαι παραυτίκα τὸν ἄνθρωπον εἰς ψυχὴν ζῶσαν λαμπρύνασαν τὸ σῶμα, καὶ πολλαῖς αὐτὸ καταφαιδρύνασαν χάρισιν. Εἶτα τῆς Εὔας ὁμοίως ἐκεῖθεν ποιηθείσης, καὶ ταῖς ἴσαις ἀπαστραψάσης λαμπρότησι, φθονῆσαι τὸν Σαταναὴλ, καὶ μεταμεληθῆναι, καὶ κινηθῆναι πρὸς ἐπιβουλὴν τοῦ πλάσματος τοῦ ἰδίου, καὶ εἰσρυῆναι τοῖς ἐγκάτοις τοῦ ὄφεως, καὶ ἐξαπατῆσαι τὴν Εὔαν, καὶ συγγενέσθαι αὐτῇ, καὶ ποιῆσαι ἔγκυον, ἵνα τὸ σπέρμα τούτου προλαβὸν κατακυριεύσῃ τοῦ ἀδαμιαίου σπέρματος, καὶ ὡς οἷόν τε διαφθείρῃ, καὶ μὴ συγχωρῇ αὐξάνεσθαι καὶ πληθύνεσθαι. Τὴν δὲ ταχέως ὠδινήσασαν ἀπογεννῆσαι τὸν Κάϊν ἐκ τῆς συνουσίας τοῦ Σαταναὴλ, καὶ ἀδελφὴν δίδυμον ὁμοιότροπον, ὄνομα αὐτῇ Καλωμενὰ, ζηλοτυπήσαντα δὲ τὸν Ἀδὰμ συνελθεῖν καὶ αὐτὸν τῇ Εὔᾳ, καὶ γεννῆσαι τὸν Ἄβελ, ὃν ἀνελὼν εὐθὺς ὁ Κάϊν, τὸν φόνον εἰς τὸν βίον εἰσήγαγε. Διὰ τοῦτο καὶ τὸν ἀπόστολον Ἰωάννην εἰπεῖν, ὅτι ὁ Κάϊν ἐκ τοῦ πονηροῦ ἦν, τοῦ Σαταναὴλ μέντοι συμφθαρέντος ἀσελγῶς τῇ Εὔᾳ διὰ μέσου τοῦ ὄφεως, ἀφαιρεθῆναι ἀπ' αὐτοῦ τὴν θείαν αὐτίκα καὶ στολὴν, καὶ μορφὴν, καὶ τὴν δημιουργικὴν, ὡς εἴρηται, δύναμιν, καὶ τὴν τοῦ Θεοῦ προσηγορίαν. Θεὸν γὰρ ἄχρι τότε καὶ αὐτὸν ὀνομάζεσθαι. Καὶ γυμνωθέντα τούτων ἁπάντων σκοτεινὸν γενέσθαι, καὶ δυσειδῆ. Τὸν δ' ἀγαθὸν Πατέρα μέχρι τούτου στήσαντα τὴν ὀργὴν, ἀφεῖναι τοῦτον κοσμοκράτορα καὶ κύριον, ὧν αὐτὸς ἐδημιούργησε, πεσὼν ἄνωθεν. Ταῦτα μὲν ἐκείνων τὰ

[1] I Joan. III, 12.

A et factum est. Fiant hæc, et hæc, et facta sunt. Et cum cœlum secundum ornasset, et aquas a facie terræ contraxisset, easque suis in locis, ut ei visum est, collocasset, quemadmodum in libro, qui mundi continet procreationem, descriptum est, terram ornavit et decoravit, et omnia fecit quæ nascuntur e terra, et animalia et si quid aliud est, eamque sibi ut aliis potestatibus, quæ defecerant, constituit domicilium. Deinde cum Adam e terra aqua commista formasset, eum rectum collocavit, ex quo humor quidam in dextrum pedem defluxit, et per magnum digitum effusus in terram se circumvolvit, et serpentis figuram reddidit. Satanael vero spiritum suum colligens in corpus a se conflatum vitam insufflavit. Sed spiritus ejus per vacuum si-
B militer fluens in dexterum pedem et per magnum digitum, in tortuosam stillam coaluit, quæ statim vitam accipiens et a digito abscedens serpens effecta est, et serpebat. Idcirco enim, inquiunt, est prudens ac mente præditus serpens, quoniam Satanaelis insufflatio illi fuit animæ loco. Quod novus iste opifex conspicatus, cum animadverteret se frustra laborare, legatos misit ad bonum patrem, qui peterent ut mitteret spiritum suum, promisitque hominem fore communem, si vitam acciperet, et ex genere ipsius repletas iri sedes, e quibus angeli dejecti fuerant. Deum autem utpote bonum annuisse, insufflasseque Satanaelis figmento spiritum vitæ, et continuo factum esse hominem in animam viventem, quæ cor-
C pus illustraret, et multiplici gratia decoraret. Post autem cum Eva item ex eo fuisset formata, eodemque esset affecta splendore, Satanael invidia commotum sententiam mutasse et ad insidias proprio figmento struendas se convertisse, et serpentis visceribus influentem decepisse Evam, et cum illa consuetudinem habuisse, ut ea uterum gerente, semen ipsius semini Adam anteiret, et quoad fieri posset illud corrumperet, nec augeri multiplicarique permitteret. Sed Evam mox doloribus partus affectam peperisse Cain ex concubitu Satanaelis, et sororem ei similem, cui nomen fuit Calonena, Adam vero æmulatione commotum rem ipsam quoque habuisse cum Eva, et Abel suscepisse, quem statim interficiens Cain, homicidium in vitam intulit.
D Ideoque Joannem apostolum dixisse, quod Cain ex maligno erat [1]. Cæterum cum Satanael impudice cum Eva per serpentem corrumperetur, divina fuisse statim privatum forma ac vestimento, et creandi facultate, et Dei appellatione, quibus ademptis rebus tenebricosum atque omnibus invisum evasisse. Sed bonum Patrem sic iracundiam temperasse, ut permitteret eum auctorem ac dominum eorum esse, quæ ipse e sublimibus cadens condiderat. Istiusmodi sunt ipsorum fabulæ. Verum cur non potuit aquis insidere, imo vero, quando corpora quoque insident aquis, cur ipse una cum defectricibus illis potestatibus, proprium non habuit in aquis domicilium? quandoquidem nunc etiam in

aquis habitant, et in fontibus, et in mari, et in locis subterraneis, cum a materia longius absint, quam ipsi ventorum flatus? Quod si Satanael natura fuisset filius Dei, potentia Patri suo par exstitisset, quemadmodum et unigenitus Filius, qui dicit : *Ego et Pater unum sumus* [1]. Et rursum : *Omnia, quæ Pater habet, mea sunt* [2]. Et rursum : *Qui vidit me, Patrem vidit* [3]. Et rursum : *Nisi facio opera Patris mei, ne in me credite* [4]. Quod si potentia par exstitisset, quamvis de defectione omnino cogitasset, haud facile dejectus esset. Dejectus autem Dei formam atque habitum, et procreandi potestatem non retinuisset. His enim prius illum spoliari oportuit, deinde expelli. Quare cum pars horum absurda et ab omni veritate aliena perspicue sit, constat et ea, quæ consequuntur, plane falsa esse, nec ullo modo posse consistere. Nec illud negligendum est, quod ex Moysis libro quem improbant, testimonium illud proferunt : *In principio fecit Deus cælum et terram.* Nam quod Satanael firmamentum fecisse dicunt, et aquas in loca ipsis parata congregasse, ornasseque firmamentum, et terram, et quæ sequuntur omnia, usque ad hominis formationem et insufflationem in eum, ex Moysis libro, in quo mundi procreationem enarrat, surrepta sunt a Bogomilis, qui Paulicianorum opinionem sequentes opificium eorum Satanaeli tribuerunt. Illi enim non solum aliarum rerum, sed etiam primi hominis, et terræ, et omnium quæ in mundo sunt, procreationem malo ascribunt. Quære in titulo *Adversus Paulicianos* capita quæ inscripta sunt : *Non esse duo principia, sed unum auctorem cœli, et terræ, et eorum quæ in medio sunt*, et in illis invenies varias rationes, quibus hæc Bogomilorum opinio confutari facile queat. Ibi rursum aperte deprehendes in capitulis subsequentibus, quæ similiter inscripta sunt : *Unum esse corporis et animæ auctorem.* Nam fabulam de serpente ab ipsis confictam, ut risu potius quam confutatione dignam omittemus. Quem porro legatum misit ad Patrem et Deum quem insidiis petierat, ipse jam hostis declaratus? Nemo enim eorum qui simul defecerant eo munere fungi ausus esset. Et nemo rursum angelorum Deo ministrantium eam provinciam cepisset, ut ei hostem ipsius et suum reconciliaret. Ad hæc quomodo bonus Deus inimico consensisset postulanti, ut animam in corpus a se formatum demitteret, ut homo communis foret? Quæ enim communio luci cum tenebris? aut qui consensus Deo cum Belial [5]? Jam quomodo Satanael corporis expers ratione corporea cum Eva concubuit? Per visumne? At si per visum, quomodo ex illa filios procreavit? Aut cur Cain filius ejus non ipsi par et similis fuit, sed Adam? Omnis enim proles genitori natura par et similis est. Nam quod Joannes apostolus dixit, Cain ex malo fuisse, non eo spectant hæc verba, quod corpore ab illo fuerit procreatus, sed quod ab illo malitiam didicerit. Sæpe enim et discipulus vocatur filius, et ma-

A μυθικά· ἀλλὰ πῶς οὐκ ἠδύνατο τοῖς ὕδασιν ἐφιζάνειν, μᾶλλον δὲ ἐπεὶ τὸ ἐφιζάνειν σώματός ἐστι, πῶς οὐκ ἠδύνατο μετὰ τῶν συναποστατικῶν δυνάμεων ἔχειν τὸ ὕδωρ ἐνδιαιτητήριον; Καὶ γὰρ καὶ νῦν ὕδασιν ἐνδιαιτῶνται, καὶ πηγαῖς, καὶ ποταμοῖς, καὶ λίμναις, καὶ θαλάσσαις, καὶ καταχθόνιοι μένουσιν, ὡς πνεύματα ἄϋλα, πολλῷ τῶν ἀνεμιαίων πνευμάτων ἀϋλότερα. Εἰ δὲ καὶ φύσει Θεοῦ υἱὸς ἦν, ἰσοσθενὴς ἂν ἦν τῷ φύσει Πατρὶ, καθάπερ καὶ ὁ μονογενὴς Υἱὸς ὁ λέγων, *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν.* Καὶ αὖθις, *Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα.* Καὶ πάλιν, *Ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι.* Καὶ αὖθις, *Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύετέ μοι.* Ἰσοσθενὴς δὲ ὢν ἀντέστη ἂν, ἐπειδὴ καὶ ὅλως ἀποστασίαν ἐμελέτησε, καὶ B οὐκ ἂν οὕτω ῥᾳδίως κατεβλήθη. Πῶς δὲ καὶ ῥιφεὶς εἶχεν ἔτι τὴν τοῦ Θεοῦ μορφὴν, καὶ στολὴν, καὶ τὴν δημιουργικὴν αὐτοῦ δύναμιν; Ἔδει γὰρ αὐτὸν πρότερον γυμνωθῆναι τούτων, εἶτα καταῤῥιφῆναι. Ἀπιθάνου δὲ τοῦ μέρους τούτου φανέντος, καὶ γυμνοῦ πάσης ἀληθείας, ἀκολούθως καὶ τὰ ἀκόλουθα τούτῳ ψευδῆ φαίνονται, καὶ ἀσύστατα. Σκοπητέον δὲ, πῶς ἐκ τῆς ἀθετουμένης αὐτοῖς μωσαϊκῆς βίβλου παράγουσι μαρτυρίαν, ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Τὸ δὲ δογματίζειν, ὅτι ὁ Σαταναὴλ ἐδημιούργησε τὸ στερέωμα, καὶ ὅτι συνήγαγε τὰ ὕδατα εἰς τὰς κατασκευασθείσας αὐτοῖς συναγωγὰς, καὶ ὅτι κατεκόσμησε τὸ στερέωμα καὶ τὴν γῆν, καὶ τὰ ἐφεξῆς ἅπαντα μέχρι τοῦ εἰς τὸν πρωτόπλαC στον ἐμφυσήματος, ἐκ τῆς μωσαϊκῆς μὲν κοσμογενείας ἐσυλήθησαν, τῷ Σαταναὴλ δὲ ἀνέθεντο τὴν τούτων δημιουργίαν οἱ Βογόμιλοι τῷ δόγματι τῶν Παυλικιάνων ἀκολουθοῦντες. Ἐκεῖνοι γὰρ τῷ πονηρῷ οὐ μόνον τὴν τουτων δημιουργίαν ἀπονέμουσιν, ἀλλὰ καὶ τὴν τοῦ πρώτου οὐρανοῦ καὶ τῆς γῆς, καὶ ἁπλῶς εἰπεῖν, ἁπάντων τῶν ἐγκοσμίων. Καὶ ζήτησον ἐν τῷ *κατὰ τῶν Παυλικιάνων* τίτλῳ τὰ κεφάλαια, οἷς ἐπιγέγραπται, *Ὅτι οὐ δύο ἀρχαὶ, ἀλλ' εἷς δημιουργὸς οὐρανοῦ, καὶ γῆς, καὶ τῶν ἐν μέσῳ*, καὶ εὑρήσεις ἐν ἐκείνοις τὰς προσφόρους ἀνατροπὰς, ὅσαι τῷ παρόντι τῶν Βογομίλων δόγματι προσαρμόζουσιν. Ὅτι δὲ οὐδὲ τὸ σῶμα τοῦ πρωτοπλάστου δημιούργημα τοῦ Σαταναήλ ἐστιν, ἐκεῖ πάλιν σαφῶς εὑρήσεις ἐν τοῖς ἐφεξῆς κεφαλαίοις, οἷς ὁμοίως ἐπιγέγραπται, *Ὅτι εἷς* D *δημιουργὸς τοῦ σώματος, καὶ τῆς ψυχῆς*, ἤτοι τοῦ ἀνθρώπου. Τὴν γὰρ κατὰ τὸν ὄφιν μυθολογίαν αὐτῶν παρήσομεν, ὡς γέλωτος μᾶλλον ἢ ἀντιῤῥήσεως ἀξίαν. Διά τίνος δὲ μεσίτου καὶ τὴν πρὸς τὸν ἐπιβουλευθέντα Πατέρα καὶ Θεὸν ἐποιήσατο πρεσβείαν ὁ καταῤῥαγεὶς ἐχθρός; οὐδεὶς μὲν γὰρ ἐκ τῶν συναποστάντων αὐτῷ ταύτην ἀνετόλμησεν ὑποστῆναι. Καὶ αὖθις οὐδεὶς τῶν παρὰ τῷ Θεῷ λειτουργικῶν ἀγγέλων ἠθέλησε μεσιτεῦσαι τῷ καὶ τούτων ἐχθρῷ. Πῶς δὲ καὶ ὁ ἀγαθὸς Θεὸς ἐπλήρωσεν ἂν τὴν αἴτησιν τοῦ δυσμενοῦς τὴν περὶ τοῦ καταπέμψαι πρὸς τὸ δι' αὐτοῦ πλασθὲν σῶμα ψυχὴν, ὥστε εἶναι τὸν ἄνθρωπον κοινόν; Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; Τίς δὲ συμφώνησις Θεῷ πρὸς Βελίαρ; Πῶς δ' ἂν καὶ ὁ Σαταναὴλ ἀσώ-

[1] Joan. x, 30. [2] Joan xvi, 15. [3] Joan. xiv. 9. [4] Joan x, 37. [5] II Cor. vi, 14, 15.

A ματος ὤν, σωματικῶς τῇ Εὔᾳ συνεγένετο, εἰ μή που κατὰ φαντασίαν εἴποι τις; Εἰ δὲ κατὰ φαντασίαν, πῶς ἂν ἐπαιδοποίησεν ἐξ αὐτῆς; Πῶς δὲ ὁ Κάϊν υἱὸς αὐτοῦ γεγονὼς οὐκ αὐτῷ ἦν ἴσος καὶ ὅμοιος, ἀλλὰ τῷ Ἀδάμ; Πᾶν γὰρ γέννημα ἴσον καὶ ὅμοιον τῷ γεγεννηκότι κατὰ τὴν φύσιν ἐστίν. Ὁ δὲ ἀπόστολος Ἰωάννης εἶπεν *ἐκ τοῦ πονηροῦ τὸν Κάϊν*, οὐχ ὡς ἐκ τοῦ πονηροῦ σωματικῶς γεννηθέντα, ἀλλ' ὡς τὴν κακίαν ἐξ ἐκείνου μεμαθηκότα. Πολλάκις γὰρ τέκνον λέγεται καὶ ὁ μαθητής, καὶ πατὴρ αὖθις ὁ διδάσκαλος. Ἐπεὶ δὲ οὐδενὸς τῶν ἐγκοσμίων κτισμάτων ἐδείχθη δημιουργὸς ὁ Σατανᾶς, ὡς ἐν τοῖς κατὰ τῶν Παυλικιάνων κεφαλαίοις ἀναγέγραπται, πρὸς ἃ πρὸ μικροῦ προεπέμψαμεν, οὐδενὸς ἄρα τῶν ἐν τῷ κόσμῳ κτισμάτων κοσμοκράτορα καὶ κύριον αὐτὸν ὁ Θεὸς κατέστησεν. Ἀλλ' ἐπεὶ πολυσήμαντον ὄνομα τοῦ κόσμου πέφυκεν, ἓν δὲ τῶν σημαινομένων ἐστὶ καὶ ἡ κοσμικὴ κακία καὶ μοχθηρία, περὶ ἧς ὁ Κύριος ἔλεγε πρὸς τοὺς μαθητάς, ὅτι *Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει*, ταύτης δὲ μόνης ὀνομάζεται κοσμοκράτωρ, αὐτὸς τὴν κακίαν ταύτην δημιουργήσας τῇ τοῦ καλοῦ φυγῇ, καὶ δι' αὐτῆς ἄρχων, καὶ κυριεύων τῶν ὑπ' αὐτῆς δελεαζομένων, καὶ ὑποταττομένων ἑκουσίως αὐτῷ.

gister pater. Verum quoniam nullius rerum procreatarum, quæ in mundo sunt, auctor est Satanas, ut in illis capitibus adversus Paulicianos scriptis, ad quæ paulo ante lectorem rejecimus, demonstratum est, constat, eum nullius rei quæ in mundo sit, dominum a Deo fuisse constitutum. Sed quoniam vocabulum hoc, *mundus*, multiplex est, et significat etiam malitiam et nequitiam, quæ in mundo est, de qua Dominus ad discipulos loquens intellexit : *Si ex mundo*, inquiens, *essetis*, *mundus quod suum est diligeret* [1], istius solius Dominus appellatur : ipse enim ab honesto recedens malitiam peperit, et per ipsam princeps ac dominus eorum constituitur, qui ab illa decepti, ei sese ultro subjiciunt.

B η'. Λέγουσιν, ὅτι τῶν ἀνθρώπων πικρῶς τυραννουμένων, καὶ ἀπηνῶς ἀπολλυμένων, μόγις ὀλίγοι τινὲς τῆς τοῦ Πατρὸς μερίδος ἐγένοντο, καὶ εἰς τὴν τῶν ἀγγέλων τάξιν ἀνέβησαν. Τούτους δὲ εἶναι τοὺς ἐν ταῖς γενεαλογίαις τοῦ τε κατὰ Ματθαῖον Εὐαγγελίου καὶ τοῦ κατὰ Λουκᾶν μνημονευομένους. Ὀψέ ποτε δὲ συνῆκε κατασοφισθεὶς ὁ Πατήρ, καὶ ἀδικεῖσθαι γνούς, ὅτι τὸ τιμιώτερον μέρος τοῦ ἀνθρώπου δούς, τὰ καιριώτατα συντελέσας εἰς τὸν ἀπαρτισμὸν αὐτοῦ, *πολλοστημόριον* ἀποφαίνεται τοῦ γένους, καὶ ἅμα κατελεήσας τὴν ψυχήν, τὸ ἴδιον ἐμφύσημα πάσχουσαν οὕτως ἀθλίως, καὶ καταδυναστευομένην διαναστῆναι πρὸς ἄμυναν, καὶ ἐν τῷ πεντακισχιλιοστῷ πεντακοσιοστῷ ἔτει ἐξερεύξασθαι τῆς ἑαυτοῦ καρδίας Λόγον, τοῦτον δὴ τὸν Υἱὸν καὶ C Θεόν. *Ἐξηρεύξατο γάρ*, φησίν, *ἡ καρδία μου Λόγον ἀγαθόν*. Τοῦτον δὲ τὸν Λόγον καὶ Υἱὸν ἰσχυρίζονται εἶναι τὸν ἀρχάγγελον Μιχαήλ. *Καλεῖται γάρ*, φησί, *τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος*. Ἀρχάγγελον μὲν καλούμενον ὡς θειότερον ὅλων τῶν ἀγγέλων, Ἰησοῦν δέ, ὡς πᾶσαν νόσον καὶ μαλακίαν ἰώμενον, Χριστὸν δέ, ὡς χρισθέντα τῇ σαρκί. Κατελθεῖν δὲ ἄνωθεν, καὶ εἰσρυῆναι διὰ τοῦ δεξιοῦ ὠτὸς τῆς Παρθένου καὶ περιθέσθαι σάρκα τῷ φαινομένῳ μὲν ὑλικὴν καὶ ὁμοίαν ἀνθρώπου σώματος, τῇ δ' ἀληθείᾳ ἄϋλον καὶ θεοπρεπῆ, καὶ ἐξελθεῖν αὖθις ὅθεν εἰσῆλθε, τῆς Παρθένου μήτε τὴν εἴσοδον αὐτοῦ γνούσης, μήτε τὴν ἔξοδον, ἀλλ' ἁπλῶς εὑρούσης αὐτὸν ἐν τῷ σπηλαίῳ κείμενον ἐσπαργανωμένον, καὶ D τελέσαι τὴν ἔνσαρκον οἰκονομίαν, καὶ ποιῆσαι, καὶ διδάξαι τὰ ἐν τοῖς Εὐαγγελίοις ἀναταττόμενα, πλὴν ἐν φαντασίᾳ τοῖς ἀνθρωποπρεπέσιν ὑποκείμενον πάθεσι. Σταυρωθέντα δὲ καὶ ἀποθανεῖν. Καὶ ἀναστῆναι δόξαντα λῦσαι τὴν σκηνήν, καὶ γυμνῶσαι τὸ δρᾶμα, καὶ ἀποθέμενον τὸ προσωπεῖον συσχεῖν τὸν ἀποστάτην, καὶ παχεῖ καὶ βαρεῖ κλοιῷ καταδῆσαι, καὶ ἐγκλεῖσαι τῷ ταρτάρῳ, περιελόντα καὶ ἐκ τοῦ

8. Dicunt, cum homines acerbo dæmonum dominatu premerentur, crudeliterque perderentur, vix paucos ex parte Patris exstitisse, et in angelorum ordinem ascendisse, eos nimirum, qui in genealogiis Evangelii secundum Matthæum et secundum Lucam recensentur. Tandem autem aliquando Patrem se decipi atque injuria affici animadvertisse, qui cum præstantiorem hominis partem tribuisset, in eoque perficiendo, quæ præcipuæ sunt partes absolvisset, majore tamen generis hominum numero privaretur, animamque commiseratus, quam ipse insufflasset, quæ tam misera servitute affligeretur, ad ultionem anno quinquies millesimo quingentesimo ex corde suo Verbum eructasse, id est, Filium et Deum. Scriptum est enim : *Eructavit cor meum Verbum bonum* [2]. Hoc autem Verbum et Filium Michaelem archangelum esse contendunt : *Vocabitur enim*, inquit, *nomen ejus magni consilii angelus* [3]. Archangelum vocari quod angelis omnibus antecellat, Jesum autem, quod omnem morbum omnemque dolorem curet, Christum vero, quod unctus sit carne, descendisse de cœlis, et per aurem Virginis dexteram influxisse, carnem induisse, quæ aspectu quidem videatur ex materia constare, et humani corporis esse similis, cum tamen revera materiæ sit expers ac divina. Rursum autem egressum esse per illam partem, per quam introierat, Virgine nec introitum ipsius nec exitum sentiente : simpliciter enim eum in spelunca jacentem et pannis involutum reperisse, ac dispensationem quidem in carne peregisse fecisseque, et docuisse ea quæ in Evangeliis continentur, specie tamen et opinione duntaxat fuisse humanis affectionibus obnoxium, et cum videretur crucifigi, et mori, et resurgere, scenam solvisse, et fabulam patefecisse, depositaque persona confudisse desertorem, et crassa gravique catena vinctum in Tartaro inclusisse, ademisseque illius nomini syllabam,

[1] Matth. xv, 19. [2] Psal. xliv, 2. [3] Isa. ix, 6.

el, quæ est angelica, permisisseque, ut non *Satanael*, sed *Satana* nominaretur. Expleto autem ministerio, propter quod venerat, ad Patrem revertisse, et ad illius dexteram assidere in solio, ex quo Satanael fuerat ejectus. Deinde illuc introisse, unde exierat, et in Patrem iterum fuisse resolutum, in quo quidem Patre initio erat, utero ipsius conclusus. Sed jam nobis accedendum est ad istorum ineptias confutandas. Primum non omnes qui commemorantur in genealogiis Matthæi et Lucæ evangelistarum, grati fuerunt Deo, quin etiam multi omnino improbi, et injusti atque impii, ut ex libris, qui vitas eorum continent, intelligi potest. Quos quidem libros licet rejiciant Bogomili, non tamen possunt dicere, evangelistas aliis ex libris ipsorum nomina deprompsisse. Quomodo igitur quorum vita vel ipsa terra fuit indigna, ii in cœlum ascendentes ea sortiti sint loca, ex quibus angeli ceciderant? Præterea quomodo is qui omnia novit, non nisi sero se a Satanaele decipi animadvertit? Ac ne singula et quæ nihil aut parum officiunt veritati subtilius persequamur, si anno quinquies millesimo quingentesimo Verbum et Filium divina et arcana generatione Pater genuit, quomodo Joannes apostolus clamat: *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum?* Item quomodo *omnia per ipsum facta sunt, et sine ipso ne unum quidem factum est*, ut idem ait? Cur et apostolus Paulus per ipsum dixit et sæcula Patrem fecisse [1]? Nam quod Michaelem archangelum natura dicunt esse Filium Dei et Dominum, qui homo factus salutem humanam exsecutus est, incredibilem ipsorum impudentiam admiror. Si enim Michael archangelus creatus est, et servus, ut reliquæ item omnes cœlestes potestates, quomodo natura Filius et ejusdem essentiæ cum Patre? Nisi forte Patrem creatum et sui ipsius servum esse dicant, quod quidem absurdum est, sibique repugnans. Appellatur autem magni consilii angelus ipse Filius naturalis, et Dominus noster Jesus Christus, quoniam quemadmodum hominis verbum, quod ore profertur, mentis unde profectum est, motus enuntiat, sic et Verbum Dei discipulis suis magnum Patris consilium sive humanitatis a se susceptæ, et evangelica præcepta, et salutem credentium ex ipsis proficiscentem enuntiavit. Quamobrem dicebat: *A me ipso nihil loquor, sed quæcunque audivi a Patre meo, ea vobis nuntio* [2]. Cum igitur Michael archangelus servus sit, Dominus autem is qui natura Filius est et humanitatem assumpsit, inanes esse constat appellationes, quas archangelo tribuunt Michaeli, cum illum vel Jesum, vel Christum vocant; itaque silentio prætereantur. Quod autem dicunt, eum carnem materiæ expertem induisse, et quæ veram ex Virgine tollunt generationem, ex Manichæorum insania deprompta sunt, et ex illis hæresibus, quæ ante ipsam exstiterunt. In eo igitur titulo, qui *adversus*

A ὀνόματος αὐτοῦ τὸ, ἠλ, ὡς ἀγγελικόν. Σαταναὴλ γὰρ
καλούμενον, Σατανᾶν ἀφῆκεν ὀνομάζεσθαι, καὶ λοιπὸν πληρώσαντα ἐγχειρισθεῖσαν διακονίαν ἀναδραμεῖν εἰς τὸν Πατέρα, καὶ καθίσαι ἐν δεξιᾷ εἰς τὸν θρόνον τοῦ ἀποῤῥιφέντος Σαταναὴλ, εἶτα εἰσελθεῖν ὅθεν ἐξῆλθε, καὶ ἀναλυθῆναι πάλιν εἰς τὸν Πατέρα, εἰς ὃν ἐν ἀρχῇ τῇ γαστρὶ τούτου συγκεκλεισμένος. Ἀλλ' ἰτέον ἡμῖν πρὸς τὸν ἔλεγχον τῶν ἐν τοῖς ἤδη ῥηθεῖσιν ἀτοπημάτων. Πρῶτον μὲν οὐ πάντες οἱ μνημονευθέντες ἐν ταῖς γενεαλογίαις τῶν εὐαγγελιστῶν, τοῦ τε Ματθαίου καὶ τοῦ Λουκᾶ, θεοφιλεῖς ἦσαν, ἀλλὰ πλὴν ὀλίγων οἱ λοιποὶ παντάπασιν ἀδόκιμοι, καὶ δυσσεβεῖς, καὶ παράνομοι. Καὶ τοῦτο δῆλον ἀπὸ τῶν βίβλων, αἳ τοὺς βίους αὐτῶν ἀναγράπτους ἔχουσιν.
B Εἰ γὰρ καὶ ἀθετοῦσι ταύτας οἱ Βογόμιλοι, ἀλλ' οὐκ ἂν ἔχοιεν εἰπεῖν, ὅτι ἀφ' ἑτέρων οἱ εὐαγγελισταὶ τὰς τούτων ἐποιήσαντο μνήμας. Καὶ πῶς, ὧν ἦν ὁ βίος ἀνάξιος καὶ τῆς γῆς, εἰς τὸν οὐρανὸν ἀναβάντες τοὺς τόπους ἐκληρώσαντο τῶν ἀποπεσόντων ἀγγέλων; Πῶς δὲ καὶ ὀψέ ποτε συνῆκε κατασοφισθεὶς ὑπὸ τοῦ Σαταναὴλ ὁ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν; Ἵνα δὲ καὶ ἐφεξῆς παραδράμωμεν, μικρὰ ἢ οὐδὲν λυμαινόμεθα τῇ ἀληθείᾳ, εἰ ἐν τῷ πεντακισχιλιοστῷ ἔτει τὸν Λόγον καὶ Υἱὸν ἐγέννησεν ὁ Πατὴρ κατὰ τὴν θείαν καὶ ἀπόῤῥητον γέννησιν, πῶς ὁ ἀπόστολος Ἰωάννης κέκραγεν, *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος;* Πῶς δὲ καὶ *πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν*, ὡς ὁ αὐτὸς πά-
C λιν φησί; Πῶς δὲ καὶ ὁ ἀπόστολος Παῦλος ἔλεγεν, ὅτι *Δι' αὐτοῦ καὶ τοὺς αἰῶνας ἐποίησεν ὁ Πατήρ;* Ἐκπλήττομαι δὲ καὶ τὸ ὑπερβάλλον τῆς ἐφεξῆς ἀνοίας αὐτῶν, πῶς οὐκ ἐρυθριῶσι λέγειν τὸν ἀρχάγγελον Μιχαὴλ φύσει Υἱὸν τοῦ Θεοῦ, καὶ τοῦτον εἶναι τὸν ἐνανθρωπήσαντα Κύριον, τὸν καὶ τὴν τῶν ἀνθρώπων ἐργασάμενον σωτηρίαν. Εἰ γὰρ ὁ ἀρχάγγελος Μιχαὴλ κτιστὸς καὶ δοῦλος, ὥσπερ καὶ πᾶσαι αἱ οὐράνιαι δυνάμεις, πῶς φύσει Υἱὸς, καὶ τῷ Πατρὶ ὁμοούσιος; Εἰ μὴ καὶ τὸν Πατέρα κτιστὸν εἴποιεν, καὶ ἑαυτοῦ δοῦλον, ὃ καὶ παράδοξον, καὶ μαχόμενον. Ὀνομάζεται δὲ μεγάλης βουλῆς ἄγγελος ὁ φύσει Υἱὸς, ἤγουν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὅτι ὥσπερ ὁ ἀνθρώπινος λόγος προφορικὸς ἐξαγγέλλει τὰ τοῦ γεννήσαντος αὐτὸν νοῦ κινήματα, οὕτω καὶ οὗτος
D ἀπήγγειλε τοῖς μαθηταῖς τὴν μεγάλην τοῦ Πατρὸς αὐτοῦ βουλὴν, ἤτοι τὸ τῆς ἐνανθρωπήσεως αὐτοῦ μυστήριον, καὶ τὰς εὐαγγελικὰς ἐντολὰς, καὶ τὴν δι' αὐτῶν σωτηρίαν τῶν πιστευόντων. Διὸ καὶ ἔλεγεν, ὅτι *Ἀπ' ἐμαυτοῦ λαλῶ οὐδὲν, ἀλλ' ὅσα ἂν ἤκουσα παρὰ τοῦ Πατρὸς, ταῦτα ἀπαγγέλλω ὑμῖν.* Ἀποδειχθέντος δὲ λοιπὸν, ὅτι δοῦλος μὲν ὁ ἀρχάγγελος Μιχαὴλ, Δεσπότης δὲ φύσει ὁ Υἱὸς ὁ ἐνανθρωπήσας, ἐκχάλασαν καὶ αἱ προσαφθεῖσαι τῷ ἀρχαγγέλῳ Μιχαὴλ κλήσεις, ἥ τε τοῦ Ἰησοῦ καὶ ἡ τοῦ Χριστοῦ, καὶ παραδρομητέον αὐτάς. Ἡ δὲ πρόθεσις τῆς ἀΰλου σαρκὸς, καὶ ὅσα τῆς φαντασιώδους ἀκολουθίας, καὶ τῆς ἀληθινῆς ἐκ Παρθένου γεννήσεως ἀναιρετικὰ,

[1] Hebr. i, 2. Joan. xv, 15.

A ἐκ τῆς Μανιχαϊκῆς αὐτοῖς ἀνεσπάρη παραφροσύνης, καὶ τῶν πρὸ αὐτῆς τοιούτων αἱρέσεων. Ἀνάγνωθι δὲ ἐν τῷ *κατὰ Ἀρμενίων* τίτλῳ τὸ ἕβδομον κεφάλαιον, καὶ κατάβηθι ἐφ' ἃ τοῦτο παραπέμπει, καὶ οὐκ ἀγενεῖς εὑρήσεις παρατροπάς. Γελοῖον δὲ καὶ τὸ περιελεῖν τὸ ἦλ τοῦ Σαταναὴλ, καὶ οὐκ ἀξιόλογον. Καὶ γὰρ καὶ πρὸ τοῦ καθελεῖν τὴν τυραννίδα τούτου ἔλεγεν ὁ ἐνανθρωπήσας Θεὸς, *Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα*, μήπω κατ' αὐτοὺς τοῦ ἦλ περιαιρεθέντος. Περιττὸν δὲ καὶ τὸ ἀντειπεῖν πρὸς τὴν μετὰ τὴν ἀνάληψιν ἐν δεξιᾷ καθέδραν τοῦ σαρκωθέντος τὴν ἐπὶ τοῦ θρόνου τοῦ Σαταναήλ. Προαποδέδεικται γὰρ, ὅτι οὔτε φύσει υἱὸς ἦν ἐκεῖνος, οὐδὲ πρωτότοκος, οὔτε θρόνον εἶχεν, οὔτε ἐν δεξιᾷ ποτε τοῦ Πατρὸς ἐκάθισε.

B θ'. Λέγουσι τοὺς ἀποπεσόντας ἀγγέλους, ἀκούσαντας, ὅτι ὁ Σαταναὴλ ὑπέσχετο τῷ Πατρὶ πληροῦσθαι τοὺς ἐν οὐρανῷ τόπους αὐτῶν ἀπὸ τοῦ γένους τῶν ἀνθρώπων, ἰδεῖν ἀσελγῶς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ λαβεῖν αὐτὰς εἰς γυναῖκας, ἵνα τὰ σπέρματα αὐτῶν εἰς τὸν οὐρανὸν ἀνέλθωσιν εἰς τοὺς τόπους τῶν πατέρων αὐτῶν. Ἰδόντες γὰρ, φησὶ, οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας· Υἱοὺς δὲ τοῦ Θεοῦ τούτους ὀνομάζουσιν, ὡς καὶ αὐτοὺς ἀπ' ἐκείνου γεγονότας, ἐκ δὲ τῆς συνουσίας αὐτῶν ἀπογεννηθῆναι τοὺς γίγαντας, οὓς ἀντιστῆναι τῷ Σαταναὴλ, καὶ θριαμβεῦσαι τοῖς ἀνθρώποις τὴν ἀποστασίαν αὐτοῦ, τὸν δὲ θυμωθέντα ἐπαγαγεῖν αὐτοῖς τὸν κατακλυσμὸν, καὶ διαφθεῖραι σὺν αὐτοῖς πᾶσαν ζῶσαν σάρκα, μόνον δὲ C τὸν Νῶε θυγατέρα μὴ κεκτημένον ἀγνοῆσαι τὴν ἀποστασίαν τοῦ Σαταναὴλ, καὶ διαμεῖναι θεραπεύοντα τοῦτον, οὗ τῇ λατρείᾳ τὸν Σαταναὴλ ἀρεσκόμενον ὑποθέσθαι τὰ περὶ τῆς κιβωτοῦ, καὶ διασῶσαι τοῦτον μόνον μετὰ τῶν ἐν αὐτῇ. Ταῦτα μὲν ἐκείνων τὰ ληρήματα· λέγομεν δὲ περὶ τῆς ἀσελγοῦς συνουσίας καὶ παιδογονίας τῶν ἀποπεσόντων τούτων ἀγγέλων ὅσαπερ ἀνωτέρω καὶ περὶ τῆς τοῦ Σαταναὴλ ἀκολάστου πρὸς τὴν Εὔαν συνουσίας καὶ τεκνογονίας εἰρήκαμεν. Υἱοὺς μὲν οὖν τοῦ Θεοῦ λαβόντας γυναῖκας ὠνόμασεν ἡ Γραφὴ τοὺς ἀπογόνους τοῦ Σὴθ, ὃς ἐπωνομάσθη Θεὸς διὰ τὸν θεομίμητον αὐτοῦ βίον, καὶ τὸ τῆς πολιτείας ἀνεπίληπτον· θυγατέρας δὲ ἀνθρώπων τὰς ἀπὸ τοῦ γένους τοῦ D Κάϊν καὶ τῶν ἐξ αὐτοῦ καταγομένας. Τὸν μὲν οὖν κατακλυσμὸν ἐπήγαγεν οὐχ ὁ Σαταναὴλ, ἀλλ' ὁ Θεὸς τοῖς κατακλυσθεῖσιν, ὃν καὶ ὁ Νῶε Θεὸν ἐγίνωσκέ τε καὶ προσεκύνει, καὶ ὑφ' οὗ τὴν τῆς κιβωτοῦ κατασκευὴν ἐπετράπη. Οὗτος δὲ ἦν ὁ τῆς παλαιᾶς Διαθήκης νομοθέτης. Ὅτι δὲ κυρίως καὶ ἀληθῶς οὗτος Θεὸς, προαποδέδεικται σαφῶς ἐν τῷ *κατὰ τῶν Παυλικιάνων* τίτλῳ, ἐν τοῖς κεφαλαίοις δηλονότι, οἷς ἐπιγέγραπται, Ὅτι τοῦ ἀγαθοῦ Θεοῦ εἰσιν ἥ τε παλαιὰ νομοθεσία, καὶ οἱ ἐν αὐτῇ λάμψαντες, ἔτι δὲ καὶ ἐν τοῖς ἐφεξῆς τούτων κεφαλαίοις.

ι'. Λέγουσι τὸν Μωσῆν πλανηθέντα παρὰ τοῦ Σαταναὴλ ἀπελθεῖν εἰς Αἴγυπτον αὖθις, καὶ ἀπατῆσαι τὸν

Armenios scriptus est, lege septimum caput, et ad ea progredere, ad quæ inde rejiceris, et strenuas invenies confutationes. Jam illud ridiculum et absurdum est, quod ex nomine *Satanael* syllabam *el* ademptam dicunt. Etenim etiam antequam tyrannidem ejus evertisset: *Videbam*, inquit Deus homo factus, *Satanam tanquam fulgur e cœlo cadentem* [1], cum nondum *el* syllaba fuisset sublata. Supervacaneum est etiam ostendere, eum post ascensionem suam in solio Satanaelis ad dexteram Patris consedisse. Satanael enim, ut demonstravimus, neque natura filius fuit neque primogenitus, nec solium habuit, nec ad dexteram Patris unquam assedit.

9. Dicunt, angelos qui ceciderant, cum intellexissent Satanaelem Patri esse pollicitum, loca ipsorum ex hominum genere completa iri, filias hominum impudice conspexisse easque in uxores accepisse, quo semen ipsorum in cœlum reverteretur ad loca patrum suorum. *Videntes* enim, inquiunt, *filii Dei filias hominum, quod essent pulchræ, acceperunt sibi ipsis uxores* [2]. Porro Dei filios appellant hos, quemadmodum et se ab illo genitos. Ex horum autem conjunctione gigantes fuisse dicunt procreatos, qui cum Satanaele pugnaverint, et pro hominibus de illo triumphum reportarint. Quapropter illum indignatum diluvium intulisse, et una cum ipsis omnem carnem viventem delevisse. Solum autem Noe qui filiam non habebat defectionem Satanaelis ignorasse, et in illius observantia permansisse, cujus quidem cultu Satanaelem placatum permisisse ut arcam construeret seque solum servaret cum illis qui in ea erant. Istiusmodi sunt eorum nugæ. Nos autem, quantum pertinet ad impudicam angelorum cum feminis consuetudinem et liberorum procreationem, id respondemus, quod superius diximus, cum de impudica Satanaelis cum Eva consuetudine et liberorum procreatione loqueremur. Scriptura autem Dei filios, qui mulieres uxores acceperint, vocat filios Seth, qui propter divinam vitam et innocentiam appellatus est deus. Filias autem hominum eas vocat, quæ ex genere Cain et posteris ejus descenderunt. Diluvium igitur intulit non Satanael, sed ipse Deus, quem quidem Deum et Noe cognoscebat, et adorabat, et ab eo mandatum acceperat ut arcam exædificaret. Hic fuit auctor Antiqui Testamenti, quem proprie et vere Deum esse perspicue in titulo *Adversus Paulicianos* conscripto demonstravimus, in illis capitibus in quibus ostendimus, boni Dei esse Testamentum Vetus, et qui in eo illustres exstiterunt, et in illis item capitibus quæ subsequuntur.

10. Dicunt, Moysem a Satanaele deceptum in Ægyptum revertisse, et Judæorum populum decepisse,

[1] Luc. x, 18. [2] Gen. vi, 2.

et eos eduxisse portentis et signis, quæ virtute Satanaelis efficiebat, et montem Sinai conscendisse, legem a Satanaele traditam accepisse, per illamque innumerabilia hominum millia perdidisse. Atque hujusce rei testem esse Paulum, qui, *Concupiscentiam*, inquit, *nesciebam, nisi per legem* [1]; et rursum: *Adveniente autem mandato peccatum revixit* [2]. Verum, o fraudis artifices, cur id, quod sequitur, omisistis, nempe: *Lex sancta, mandatum sanctum, et justum et bonum* [3]? Quod si lex Apostoli testimonio est sancta, et mandatum sanctum et bonum, non est impuri, et injusti, et improbi Satanaelis. Malæ enim arboris malus est fructus; bonus autem fructus est arboris bonæ, quemadmodum et Dominus ait [4]. Sed ut clarius etiam illa Apostoli verba intelligantur, notandum est eum non dixisse, legem esse peccati effectricem, sed indicem, quippe quæ ipsum ostendit, et præcipit ut evitetur, tanquam interitus causa. Cum enim lex scripta nondum esset lata, quæ peccatum prohibet, licet committeretur, non tamen adeo perniciosum et fugiendum cognoscebatur. Quomodo autem veniente mandato peccatum revixerit, audi. Antequam lex promulgaretur, imbecillum erat et tanquam mortuum peccatum, nec tantum peccantibus supplicium afferre poterat, quantum post legis affert promulgationem, et idcirco non admodum oppugnabat. Posteaquam autem lex hominibus data est, quæ peccati debellatrix est et adversaria, tunc ipsum peccatum excitatum est et quodammodo revixit, id est magnas vires sumpsit, atque crudeliter sæviit in eos qui legem susceperant. Quod autem Moyses a Satanaele deceptus non fuerit, sed ab eo qui vere est Deus, missus sit, et legem acceperit, multaque hominum millia non perdiderit, sed gubernarit, intelliges ex titulo, quem *contra Paulicianos* scripsimus, quemadmodum in superiore capite declaravimus.

11. Eos solos dicunt esse sanctos, qui apud Matthæum et Lucam, ut diximus, in genealogiis commemorantur, et sexdecim prophetas, et apostolos, et martyres, qui ne idola adorarent, cæsi sunt. Sacerdotes autem et Patres omnes tanquam idolorum cultores, quoniam adorant imagines, reprobos existimant, et omnes reges pios e sorte Christianorum rejiciendos putant, solos autem imaginum oppugnatores orthodoxos fidelesque vocant, imprimisque Copronymum. Venerandas enim imagines aspernantur, et idola gentium appellant, argentumque et aurum et opera manuum hominum, ignorantes aliud esse imaginem, et aliud idolum; nulla enim aut falsa esse idolorum exemplaria, cum deos appellent eos qui non sunt dii, sed dæmones, qui sibi falso divinitatem arrogant. At imaginum apud nos vera sunt exemplaria, et vere referunt id quod appellantur.

A λαὸν τῶν Ἰουδαίων, καὶ ἐξαγαγεῖν αὐτοὺς ποιήσαντα τέρατα καὶ σημεῖα διὰ τῆς ἐνεργείας τοῦ Σαταναὴλ, καὶ ἀνελθεῖν εἰς τὸ ὄρος τὸ Σινᾶ, καὶ λαβεῖν τὸν νόμον ὑφηγηθέντα παρὰ τοῦ Σαταναὴλ, καὶ ἀπολέσαι δι' αὐτοῦ μυριάδας ἀναριθμήτους, καὶ μαρτυρεῖν περὶ τούτου τὸν Ἀπόστολον λέγοντα, *Τὴν ἁμαρτίαν οὐκ ἔγνων εἰ μὴ διὰ νόμου*. Καὶ αὖθις, *Ἐλθούσης δὲ τῆς ἐντολῆς ἡ ἁμαρτία ἀνέζησεν*· Ἀλλ', ὦ σοφισταὶ τῆς κακίας, τί τὸ ἑξῆς κακοήθως ὑπεκρατήσατε; Γέγραπται γὰρ εὐθὺς, ὅτι *Ὁ νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία, καὶ δικαία, καὶ ἀγαθή*. Εἰ δὲ κατὰ τὴν τοῦ Ἀποστόλου μαρτυρίαν ὁ νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία, καὶ δικαία, καὶ ἀγαθὴ, οὐκ ἄρα τοῦ ἀνάγνου, καὶ ἀδίκου, καὶ πονηροῦ Σαταναὴλ εἶεν ἂν ταῦτα νομοθεσίαι καὶ ἐπιτάγ-B ματα. Σαπροῦ μὲν γὰρ δένδρου σαπρὸς ἔσται καρπὸς, ὁ δὲ καλὸς πάντως καλοῦ, καθὼς καὶ ὁ Κύριος ἀπεφήνατο. Ἵνα δὲ καὶ τὰ δηλωθέντα τοῦ Ἀποστόλου σαφηνισθείη ῥητὰ, προσεκτέον, ὅτι οὐ ποιητικὸν τῆς ἁμαρτίας εἴρηκε τὸν νόμον, ἀλλὰ γνωστικὸν αὐτῆς, ὡς ὑποδεικνύοντα ταύτην, καὶ προστάττοντα φεύγειν αὐτὴν, ὡς φθοροποιόν. Μήπω γὰρ δοθέντος τοῦ γραπτοῦ τούτου νόμου τοῦ κωλύοντος αὐτὴν, εἰ καὶ ἐνηργεῖτο, ἀλλ' οὐχ οὕτω λυμαντικὴ καὶ φευκτὴ τοῖς ἀνθρώποις ἐγνωρίζετο. Πῶς δὲ, ἐλθούσης τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν, ἄκουσον. Ὅτι πρὸ μὲν τῆς νομικῆς ἐντολῆς ἀσθενὴς ἦν, καὶ οἷον νεκρὰ, μὴ δυναμένη τοσαύτην καταδίκην προξενεῖν τοῖς ἁμαρτάνουσιν ὅσην προξενεῖ μετὰ τὸν C νόμον, καὶ διὰ τοῦτο μὴ πάνυ πολεμοῦσα· ὅτε δὲ ὁ νόμος ἐδόθη τοῖς ἀνθρώποις, ὁ τῆς ἁμαρτίας ἀναιρετικὸς καὶ πολέμιος, τότε μάλιστα διηγέρθη, καὶ οἷον ἀνέζησεν αὕτη, τουτέστι σφοδρὸν ἔπνευσε, καὶ μανικὸν ἐλύττησε κατὰ τῶν ὑποδεξαμένων τὰς νομικὰς ἐντολάς. Ὅτι δὲ ὁ Μωϋσῆς οὐκ ἐπλανήθη παρὰ τοῦ Σαταναὴλ, ἀλλ' ὁ ὢν Θεὸς ἀπέστειλεν αὐτὸν, καὶ αὐτὸς αὐτῷ δέδωκε τὸν νόμον, καὶ οὐκ ἀπώλεσε, ἀλλ' ὡδήγησε δι' αὐτοῦ τὰς πολλὰς ἐκείνας μυριάδας, εὑρήσεις ἐν τῷ *κατὰ τῶν Παυλικιάνων* τίτλῳ, καθὼς ἐν τῷ πρὸ τούτου κεφαλαίῳ διελάβομεν.

ια'. Λέγουσιν ἁγίους μόνους εἶναι τούς τε παρὰ τῷ Ματθαίῳ καὶ τῷ Λουκᾷ γενεαλογηθέντας, ὡς προείρηται, καὶ τοὺς ἑξκαίδεκα προφήτας, καὶ τοὺς ἀποστόλους, καὶ τοὺς μάρτυρας, ὅσοι διὰ τὸ μὴ προσκυ-D νῆσαι τὰ εἴδωλα κατεσφάγησαν. Τοὺς ἱεράρχας δὲ καὶ τοὺς Πατέρας ὁμοῦ πάντας ἀποδοκιμάζουσιν, ὡς εἰδωλολάτρας διὰ τὴν τῶν εἰκόνων προσκύνησιν. Καὶ τοὺς μὲν εὐσεβεῖς ἅπαντας βασιλεῖς ἀλλοτριοῦσι τοῦ κλήρου τῶν Χριστιανῶν, μόνους δὲ καλοῦσιν ὀρθοδόξους καὶ πιστοὺς τοὺς Εἰκονομάχους, καὶ μάλιστα τὸν Κοπρώνυμον. Ἀτιμάζουσι γὰρ καὶ τὰς σεβασμίους εἰκόνας, *Τὰ εἴδωλα*, λέγοντες, *τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων*, ἀγνοοῦντες, ὅτι ἄλλο εἴδωλον, καὶ ἄλλο εἰκών· καὶ ὅτι τοῖς μὲν εἰδώλοις τὰ πρωτότυπα ἀνυπόστατα καὶ ψευδῆ· θεοὺς γὰρ ἐπεφήμιζον αὐτοῖς μὴ ὄντας θεοὺς, ἀλλὰ δαίμονας ψευδομένους τὴν θεότητα· τῶν

[1] Rom. VII, 7. [2] ibid. 9. [3] ibid. 12. [4] Matth. VII, 17, 18.

δὲ παρ' ἡμῖν εἰκόνων τὰ πρωτότυπα ὄντως ὄντα καὶ ἀληθεύοντα, ὃ καλοῦνται. Κἀκεῖνα μὲν εἴδωλα μιαρῶν, ταῦτα δὲ εἰκόνες ἁγίων. Πλατύτερον δὲ περὶ τῶν ἁγίων εἰκόνων εἴρηται ἐν τῷ *κατὰ τῶν Εἰκονομάχων* τίτλῳ.

ιβ'. Ἐρωτηθεὶς παρ' ἡμῶν ὁ τῆς αἱρέσεως αὐτῶν ἔξαρχος, Πῶς ἀποδοκιμάζετε τοὺς ἐν ἁγίοις ἱεράρχας; καὶ τοὺς μακαρίους Πατέρας, ὧν τὰ λείψανα θαυματουργοῦσι; διάρας τὰ βέβηλα χείλη ἐξηρεύξατο λόγον πονηρόν. Εἶπε γὰρ, ὅτι συγκεκλήρωνται τούτοις δαίμονες, οἱ διδάξαντες αὐτοὺς ἔτι ζῶντας, οἱ τοῖς τάφοις αὐτῶν παραμένοντες τερατουργοῦσιν εἰς πρόσωπον αὐτῶν ἵνα τοὺς ἀνοήτους ἐξαπατήσωσι, καὶ πείσωσι τιμᾷν τοὺς ἀνάγνους ὡς ἁγίους. Τοσαῦτα γὰρ δύνασθαι τοὺς δαίμονας, ὅσα δὴ καὶ βούλονται λαβόντας ἄνωθεν ἐξουσίαν ἄχρι πέρατος τῶν ἑπτὰ αἰώνων. Ἀλλὰ πόθεν τοῦτο μεμαθηκὼς ἔχεις, ὦ λῆρε καὶ παράφορε; Ποῦ δὲ καὶ θήσεις τὸ εὐαγγελικὸν ἐκεῖνο τὸ κατὰ τὸν καιρὸν τοῦ Δεσποτικοῦ πάθους ῥηθὲν τὸ λέγον, *Νῦν ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω*[1]; Εἰ δὲ ὁ ἄρχων, πολλῷ μᾶλλον οἱ ἀρχόμενοι δαίμονες. Πῶς δὲ καὶ τοῖς λειψάνοις τῶν μακαρίων Πατέρων συγκεκλήρωνται οἱ φρίσσοντες αὐτὰ δαίμονες; Πολλάκις γὰρ τῶν δαιμονιζομένων ἐγγιζόντων τοῖς τάφοις αὐτῶν, δραπετεύουσιν οἱ δαίμονες, καθάπερ ὑπὸ πυρὸς τῆς δυνάμεως τῶν λειψάνων μαστιζόμενοί τε καὶ ἐλαυνόμενοι. Εἰ δὲ τὰ λείψανα τούτων δραπετεύουσι τοὺς δαίμονας, πολλῷ μᾶλλον ἐκεῖνοι ζῶντες ἐδίωκον αὐτοὺς, καὶ οὐδὲ προσεγγίσαι τούτοις ἐτόλμων ἐκεῖνοι φεύγοντες ὡς αἰκίζοντας. Εἰ δὲ ἔφευγον αὐτοὺς, πρόδηλον, ὅτι οὐ συνῴκουν, οὐδὲ ἐδίδασκον.

ιγ'. Λέγουσιν ἀπ' αὐτῶν μὲν μόνων, ἤτοι τῶν Βογομίλων, φεύγειν ἀεὶ τοὺς δαίμονας ὡσεὶ τόξου βολὴν, ἑκάστῳ δὲ τῶν ἄλλων ἁπάντων ἐνοικεῖν δαίμονα, καὶ διδάσκειν αὐτὸν τὰ πονηρὰ, καὶ ἄγειν ἐπὶ τὰς ἀνοσιουργίας, καὶ ἀποθνήσκοντος ἐνοικεῖν αὖθις τοῖς λειψάνοις αὐτοῦ, καὶ παραμένειν τῷ τάφῳ, καὶ ἀναμένειν τὴν ἀνάστασιν, ἵνα σὺν αὐτῷ κολασθείη, καὶ μηδ' ἐν τῇ κολάσει τούτου διαχωρίζοιτο. Τὸ μὲν οὖν ἐνοικεῖν ἑκάστῳ τῶν ἀνθρώπων δαίμονα ἀπὸ τῆς τῶν Μασσαλιανῶν ἔχουσιν αἱρέσεως, καὶ ζήτησον ἐν τῷ κατ' ἐκείνων τίτλῳ τὸ ε' κεφάλαιον, καὶ τὰ ἐφεξῆς ὀκτὼ, καὶ μαθήσῃ τὴν ἀτοπίαν τοῦ δόγματος. Τῆς ἀρχῆς δὲ ψευδοῦς ἐλεγχθείσης, καὶ τὸ τέλος τοιοῦτον συναποδείκνυται, τὸ περὶ τῶν λειψάνων λέγω, καὶ τῆς ἐν αὐτοῖς οἰκήσεως τῶν δαιμόνων. Καὶ καθ' ἕτερον δὲ λόγον, εἰ παρέμενεν ἑκάστῳ τῶν τεθνεώτων δαίμων ἐκδεχόμενος τὴν τελευταίαν ἀνάστασιν, ἐπέλειψαν ἂν οἱ δαίμονες. Ἀπὸ γὰρ Ἀδὰμ ἄχρι καὶ νῦν ἀπέθανον ἄνθρωποι μυριάδες ἀναρίθμητοι. Ὅτι δὲ οὐ φεύγουσιν ἀπὸ μόνων τῶν Βογομίλων οἱ δαίμονες, ἀλλὰ καὶ συνδιάγουσι μᾶλλον, καὶ παῤῥησιάζονται πρὸς αὐτοὺς, δῆλον ἀπό τε τῆς ἄλλης πλάνης αὐτῶν, καὶ τοῦ φαίνεσθαι τούτοις ἐν σχήμασι διαφόροις, καὶ ὑποκατιὼν εὑρήσεις.

ιδ'. Ἀτιμάζουσι τὸν θεῖον σταυρὸν, ὡς ἀναιρέτην τοῦ

A Atque idola quidem sceleratorum sunt simulacra, imagines vero sanctorum effigies. Sed de sanctorum imaginibus in titulo *Adversus imaginum oppugnatores* latius disputavimus.

12. Princeps istorum hæresis, cum ex eo quæreretur cur sanctos sacerdotes beatosque Patres rejiciant, quorum reliquias venerantur, labiis profanis patefactis verbum malum eructavit: Quoniam, inquit, cum illis sunt dæmones, qui eos dum viverent, docuerunt, et ad eorum tumulos assidentes portenta faciunt sub eorum persona, ut ignaros decipiant, suadeantque ut impuros tanquam sanctos adorent. Tantum enim dæmones posse, quantum volunt, cum B eam e sublimi potestatem ad septem usque sæculorum finem acceperint. Sed unde tu hæc didicisti, nugator stulteque senex? Aut ubi evangelicum illud quod Dominus paulo ante mortis suæ tempus dixit collocabis, *Nunc princeps hujus mundi ejicietur foras?* Quod si princeps, multo magis dæmones, qui sub ejus sunt principatu. Præterea quomodo beatorum Patrum reliquiis inhærent dæmones, qui eas reformidant? Plerumque enim cum homines a dæmonibus vexati ad eorum accedunt sepulcra, a virtute reliquiarum, tanquam ab igne, ipsi dæmones aufugiunt vexati et excruciati. Quod si reliquiæ ipsorum dæmones ejiciunt, multo magis ipsi, cum in hac vita degerent, eos persequebantur, nec ipsi ad eos audebant accedere, sed illos tanquam ab eis verberati C declinabant. Sin evitabant, non utique habitabant cum illis, nec eos docebant.

13. Dicunt Bogomili dæmones tanquam arcus sagittam a se solis aufugere, singulos autem reliquis hominibus singulis inhabitare et facinora edocere, et ad flagitia et impia facta perducere, et cum mortui fuerint, in ipsorum reliquiis insidere, et sepulcris assistere, atque resurrectionem exspectare, ut una cum illis puniantur, ac ne in supplicio quidem eos deserere. Quod in singulis hominibus singuli dæmones inhabitent ex Massalianorum hæresi didicerunt. Quærito in eorum titulo quintum caput, et octo, quæ deinceps consequuntur, et quam sit absurda hæc opinio, intelliges Jam cum principium D demonstratum fuerit esse falsum, et extremum esse simile coarguitur, cum dæmones dicunt in reliquiis inhabitare. Quanquam si dæmones singuli in mortuis singulis inhabitarent, et extremam in illis resurrectionem morarentur, deficerent dæmones. Ab Adam enim ad hoc usque tempus interierunt millia hominum innumerabilia. Quod autem a solis Bogomilis non fugiant dæmones, sed cum illis degant, audacterque versentur, perspicuum fit, tum ex aliis ipsorum erroribus, tum ex eo quod illis sua varia specie atque forma sese conspicuos præbent.

14. Crucem divinam despiciunt, quod in ea Serva-

[1] Joan. xii, 31.

tor occiderit, cum illam potius deberent honorare tanquam diaboli perditricem. Cum enim ad illud usque tempus mortifera exstiterit, ex eo salutis instrumentum effecta est augustissimum et hostibus maxime formidandum, quippe quæ Domini sanguine et aqua conspersa est. Sed hac item de re in titulo *adversus Armenios* scripto dictum est. Illic caput quærito quartum decimum.

15. Cum rursus ex illo sene, quem hæresis principem ostendimus, quærerem, cur a dæmonibus vexati ad crucem accurrunt, et vociferantur, respondit, crucem ut proprium opus amari vehementer a dæmonibus, qui in eis inhabitant. Ipsi enim, inquit, illam tunc excogitarunt, ut Servatorem e medio tollerent. Aliquando autem eam se fingunt afficere contumelia, et ultro illam fugiunt, ut id homines aspicientes, eam magis honorent, tanquam dæmonum inimicam et expultricem. Veritas autem apud nos haud ita se habet. Nam vel inviti trahuntur a crucis virtute, et allatrant, ut rabies ipsorum ostendatur. Latratus enim, corporisque vexatio, et gemitus eorum qui a dæmonibus opprimuntur, tormentum et cruciatus dæmonum indicant, qui crucem ut inimicam despiciunt et expultricem.

16. Baptismum nostrum Joannis baptismum esse dicunt, per aquam enim fieri, suum vero Christi, per Spiritum enim fieri, ut ipsis videtur. Quamobrem si quis ad ipsos confugit, eum rebaptizant. Ac primum quidem illi tempus præscribunt ad confessionem, et expurgationem, et continuam precationem. Deinde Joannis Evangelium capiti ejus imponunt, et spiritum sanctum suum invocant, et *Pater noster* canunt. Et post baptismum ejusmodi tempus iterum assignant ad accuratiorem institutionem, temperatioremque vitam, et puriorem precationem. Deinde testimonium exigunt, an hæc observarit. Quod si viri mulieresque affirmarint, ducunt eum ad celebriorem initiationem: statuunt enim miserum ad orientem solem, et impio ipsius capiti rursus Evangelium imponunt, et profanas manus adhibent suas, qui adsunt viri atque feminæ, et preces nefarias canunt, id est hymnum, quo gratias agunt, quod traditam impietatem observarit. Atque ita initiant, atque perficiunt, imo vero conficiunt et submergunt eum, qui profundo dignus est tartaro atque interitu. Si noster igitur baptismus aqua solum perageretur, Joannis nimirum esset. Nunc autem cum aqua peragatur et Spiritu, quemadmodum Dominus docuit: *Nisi quis baptizatus fuerit*, inquiens, *ex aqua et Spiritu sancto, non intrabit in regnum Dei*[1], incassum latrant. Verum de baptismo quoque dictum est in titulo, quem *Adversus Paulicianos* conscripsimus, et inde petito capita, quæ ad rem pertinent. Noster igitur baptismus, ut Dominus docuit, per aquam et Spiritum sanctum perficitur. Baptismus autem istorum unde sumptus sit, ipsi dicant; in nullo enim septem

Σωτῆρος, ὃν ἔδει μᾶλλον τιμᾶν, ὡς καθαιρέτην τοῦ διαβόλου. Μέχρι γὰρ τότε θανατηφόρον ὄργανον χρηματίζων, ἔκτοτε ζωηφόρον ὅπλον ἐγένετο, βασιλικώτατόν τε καὶ φοβερώτατον τοῖς ἐχθροῖς, ἅτε τῷ Δεσποτικῷ αἵματι καὶ ὕδατι καταῤῥαντισθείς. Εἴρηται δὲ περὶ τούτου καὶ ἐν τῷ *κατὰ τῶν Ἀρμενίων* τίτλῳ, καὶ ζητητέον ἐκεῖ κεφάλαιον ιδʹ.

ιεʹ. Ἐρωτηθεὶς αὖθις παρ' ἡμῶν ὁ δηλωθεὶς ἔξαρχος τῆς αἱρέσεως, Πῶς οἱ δαιμονῶντες προστρέχουσι τῷ Σταυρῷ, καὶ καθυλακτοῦσιν; ἀπεκρίνατο, φιλεῖσθαι μάλιστα τὸν σταυρὸν ὑπὸ τῶν ἐνοικούντων αὐτοῖς δαιμόνων, ὡς οἰκεῖον ἔργον. Αὐτοὶ γάρ, φησί, τοῦτον κατεσκεύασαν εἰς ἀναίρεσιν τοῦ Σωτῆρος. Ἔστι δ' ὅτε καὶ καθυβρίζειν τοῦτον ἐν ὑποκρίσει, καὶ φεύγειν αὐτὸν πολλάκις ἑκουσίως, ἵνα βλέποντες οἱ ἄνθρωποι τιμῶσι μᾶλλον αὐτόν, ὡς ἐχθρὸν καὶ διώκτην τῶν δαιμονίων. Ἔχει δὲ παρ' ἡμῖν οὐχ οὕτω τὸ ἀληθές. Ἕλκεσθαι μὲν γὰρ καὶ ἄκοντας ὑπὸ τῆς τοῦ Σταυροῦ δυνάμεως, καὶ ἵνα βασανίζωνται. Ἡ γὰρ ὑλακὴ καὶ αἱ στρεβλώσεις τοῦ σώματος τῶν δαιμονιζομένων, καὶ οἱ τιναγμοί, τεκμήριόν εἰσι τῆς βασάνου τῶν δαιμόνων. Ὑβρίζουσι δὲ αὐτόν, ὡς ἐχθρόν, καὶ φεύγουσιν ὡς διώκτην.

ιϛʹ. Τὸ μὲν παρ' ἡμῖν βάπτισμα τοῦ Ἰωάννου λέγουσιν, ὡς δι' ὕδατος ἐπιτελούμενον, τὸ δὲ παρ' αὐτοῖς τοῦ Χριστοῦ διὰ Πνεύματος, ὡς δοκεῖ αὐτοῖς, τελούμενον. Διὸ καὶ τὸν προσερχόμενον αὐτοῖς ἀναβαπτίζουσι, πρῶτα μὲν ἀφορίζοντες αὐτῷ καιρὸν εἰς ἐξομολόγησιν, καὶ ἁγνείαν, καὶ σύντονον προσευχήν, εἶτα τῇ κεφαλῇ αὐτοῦ τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον ἐπιτιθέντες, καὶ τὸ παρ' αὐτοῖς ἅγιον Πνεῦμα ἐπικαλούμενοι, καὶ τό, Πάτερ ἡμῶν, ἐπᾴδοντες. Μετὰ δὲ τὸ τοιοῦτον βάπτισμα καιρὸν αὖθις ἀποκληροῦσιν εἰς ἀκριβεστέραν ἀγωγήν, καὶ πολιτείαν ἐγκρατεστέραν, καὶ καθαρωτέραν προσευχήν, εἶτα μαρτυρίαν ἀπαιτοῦσιν, εἰ ἐφύλαξε πάντα, εἰ σπουδαίως διηγωνίσατο, καὶ μαρτυρούντων ἀνδρῶν, ὁμοῦ καὶ γυναικῶν ἄγουσιν αὐτὸν ἐπὶ τὴν θρυλλουμένην τελείωσιν, καὶ στήσαντες τὸν ἄθλιον κατὰ ἀνατολὰς ἐπιτιθέασιν αὖθις τῇ μιαρᾷ τούτου κεφαλῇ τὸ Εὐαγγέλιον, καὶ τὰς ἐναγεῖς αὐτῶν ἐπέχοντες χεῖρας οἱ παρατυχόντες ἄνδρες καὶ γυναῖκες τὴν ἀνόσιον ἐπᾴδουσι τελετήν. Αὕτη δέ ἐστιν εὐχαριστήριος ὕμνος, ὅτι διεφύλαξε τὴν παραδεδομένην ἀσέβειαν. Καὶ οὕτω τελοῦσι, μᾶλλον δὲ συντελοῦσι, καὶ καταποντίζουσι τὸν βυθοῦ καὶ διαφθορᾶς ἐπάξιον. Εἰ μὲν οὖν ὕδατι μόνῳ τὸ καθ' ἡμᾶς ἐτελεῖτο βάπτισμα, ἦν ἂν οὕτω τοῦ Ἰωάννου τὸ ἡμέτερον βάπτισμα· ἐπεὶ δὲ οὐχ ὕδατι μόνον, ἀλλὰ καὶ ἁγίῳ Πνεύματι τελεσιουργεῖται, καθὼς ὁ Κύριος ἐδίδαξεν εἰπών, *Ἐὰν μή τις γεννηθῇ δι' ὕδατος καὶ Πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ*, μάτην ὑλακτοῦσιν. Εἴρηται γὰρ καὶ ἐν τῷ *κατὰ τῶν Παυλικιάνων* τίτλῳ περὶ τοῦ ἁγίου βαπτίσματος ἀκριβέστερον, καὶ ζήτησον ἐκεῖ τὰ περὶ τούτου κεφάλαια. Ἀλλὰ τὸ μὲν ἡμέτερον βάπτισμα κατὰ τὸ ῥηθὲν

[1] Joan. III, 5.

ὑπὸ τοῦ Κυρίου δι' ὕδατος γίνεται καὶ ἁγίου Πνεύ- A ματος, τὸ δὲ παρ' ἐκείνων πόθεν παρεδόθη, δειξάτωσαν. Ἐν ποίᾳ τῶν δεκτῶν αὐτοῖς ἑπτὰ βίβλων περὶ τούτου γέγραπται; Λείπεται οὖν ὑπὸ τῶν δαιμόνων τοῦτο μαθεῖν αὐτούς, ἵνα γυμνωθῶσι τοῦ ἀληθινοῦ καὶ θείου βαπτίσματος.

ιζ'. Ἀτιμάζουσι τὴν μυστικὴν καὶ φρικτὴν ἱερουργίαν, καὶ τὴν τοῦ Δεσποτικοῦ σώματος καὶ αἵματος ἁγίαν μετάληψιν, θυσίαν τῶν ἐνοικούντων τοῖς ναοῖς δαιμόνων ταύτην ἀποκαλοῦντες. Ὢ μιαρῶν χειλέων! ὢ γλώσσης μιαρωτέρας! Καὶ παριστῶσι μάρτυρα τὸν προφήτην Ἡσαΐαν λέγοντα, *Οἱ ἑτοιμάζοντες τῇ τύχῃ τράπεζαν, καὶ πληροῦντες τῷ δαίμονι κέρασμα*, μὴ συνιέντες οἱ παραπλῆγες, ὅτι πρὸς τοὺς εἰδωλολατροῦντας ὁ λόγος. Τὸ δὲ μυστικὸν παρ' ἡμῖν δεῖπνον ὁ Χριστὸς παρέδωκεν εἰπών, *Τοῦτο* B *ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν*, ὡς οἱ εὐαγγελισταὶ διδάσκουσιν. Εἴρηται δὲ ἐν τῷ κατὰ τῶν Παυλικιάνων λόγῳ καὶ περὶ τῆς θείας ταύτης μεταλήψεως, καὶ ζήτησον ἐκεῖ περὶ ταύτης. Οἷον δὲ αὐτῶν καὶ τοῦτο; Ἄρτον μὲν γὰρ κοινωνίας ὀνομάζουσι τὴν προσευχὴν τοῦ, Πάτερ ἡμῶν· *Τὸν ἄρτον* γάρ, φησί, *τὸν ἐπιούσιον*· ποτήριον δὲ κοινωνίας ὁμοίως τὴν λεγομένην ἐν τῷ Εὐαγγελίῳ διαθήκην. *Τοῦτο* γάρ, φησί, *τὸ ποτήριον ἡ καινὴ διαθήκη*. Μυστικὸν δὲ δεῖπνον τὴν ἀμφοτέρων τούτων μετάληψιν. Εἰ δέ τις ἀνθυπαγάγοι, Καὶ πῶς τὸ Πάτερ ἡμῶν, ὡς σῶμα Δεσποτικὸν κλᾶται καὶ διαμερίζεται; πῶς δὲ καὶ τὸ νῦν, *Ἐδοξάσθη ὁ Υἱὸς τοῦ ἀνθρώπου*, καὶ τὰ ἑξῆς, ὡς αἵματος τοῦ Σωτῆρος ὑπὲρ ἡμῶν ἐξεχύθη; μὴ γινώ- C σκειν ὁμολογοῦσι.

ιη'. Λέγουσιν ἐν πᾶσι τοῖς ἱεροῖς ναοῖς κατοικεῖν τοὺς δαίμονας διαλαχόντας αὐτοὺς ἀναλόγως τῆς ἑκάστου τάξεως καὶ δυνάμεως. Τὸν μέντοι Σατανᾶν πάλαι μὲν ἀποκληρῶσαι αὐτῷ τὸν πολυθρύλλητον ἐν Ἱεροσολύμοις ναόν, μετὰ δὲ τὴν ἐκείνου καταστροφὴν ἐξιδιώσασθαι τὸν ἐν τῇ βασιλίδι ταύτῃ τῶν πόλεων ὑπερφερῆ καὶ περιώνυμον τῆς τοῦ Θεοῦ σοφίας οἶκον. Οὐ γὰρ ὁ Ὕψιστος, φασίν, ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, τὸν οὐρανὸν ἔχων οἰκητήριον. Καὶ μήν, *Ὁ οἶκός μου*, φησὶν ὁ Κύριος, *οἶκος προσευχῆς κληθήσεται*. Καὶ αὖθις ἔλεγεν ὁ Χριστός, *Μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου*, περὶ τοῦ χειροποιήτου ναοῦ τῆς Ἱερουσαλὴμ D τοῦτο λέγων. Εἰ δὲ ὁ ἐν Ἱερουσαλὴμ ναὸς οἶκος ἦν τοῦ Θεοῦ, πολλῷ μᾶλλον ὁ ἐν τῇ βασιλίδι τῶν πόλεων, καὶ ἁπλῶς εἰπεῖν πάντες οἱ κατὰ τόπον ἀφιερωμένοι τῷ Θεῷ, καὶ τῇ Θεομήτορι, καὶ πᾶσι τοῖς ἁγίοις ναοὶ θεῖοί τέ εἰσι, καὶ ἁγιαστήρια, καὶ τῶν δαιμόνων φυγαδευτήρια. Ὅπου γὰρ οἰκεῖ θεία χάρις, ἐκεῖθεν ἀπελήλαται πᾶν πνεῦμα πονηρόν, καὶ πᾶσα τῶν δαιμόνων ἐνέργεια.

ιθ'. Μόνην ὀνομάζουσι προσευχὴν τὴν ὑπὸ τοῦ Κυρίου παραδοθεῖσαν ἐν τοῖς Εὐαγγελίοις, ἤγουν τὸ *Πάτερ ἡμῶν*, καὶ τὰ ἑξῆς. Καὶ ταύτην μόνην προσεύχονται ἑπτάκις μὲν τῆς ἡμέρας, πεντάκις δὲ τῆς νυκτός. Ὁσάκις δὲ εἰς προσευχὴν ἵστανται, λέγουσι τὴν

A librorum, quos probant reperitur. Quamobrem illum a dæmonibus didicisse perspicuum est, ut vero divinoque baptismo spoliarentur.

17. Mysticum, venerandum sacrificium contemnunt atque despiciunt. Et sanctam corporis et sanguinis Domini communionem, dæmonum, qui in templis habitant, sacrificium appellant. O impia labra, o linguas exsecrandas! Isaiæ prophetæ ad hoc probandum afferunt testimonium, dicentis: *Qui paraverunt mensam fortunæ, et dæmoni poculum impleverunt* [1]. Nec intelligunt homines stulti verba illa ad idololatras dici, cum mystica cœna quam nos B celebramus a Domino tradita sit, dicente: *Hoc facite in meam commemorationem* [2], ut docent evangelistæ. Cæterum et de divina hac perceptione dictum est in titulo Paulicianorum. Illic igitur quære. Porro communionis panem, precationem illam: *Pater noster*, appellant. *Panem* enim, inquit, *quotidianum* [3]; communionis calicem Testamentum esse dicunt, quod in Evangelio memoratur. *Hic* enim, inquit, *calix novum Testamentum* [4]. Utriusque autem perceptionem mysticam cœnam vocant. Si quis vero subjecerit, Quomodo, inquiens, Pater noster, ut corpus Domini frangitur atque dividitur? Quomodo item illud: *Nunc clarificatus est Filius hominis* [5], tanquam Servatoris sanguis a vobis effundi- C tur? se dicunt ignorare.

18. In sacris omnibus templis habitare dæmones dicunt, cum ea quisque sortitus sit proportione ordinis et virtutis. Satanam quidem sibi celeberrimum quondam illud Hierosolymorum templum delegisse, quo everso eximium et decantatum Dei Sophiæ templum in hac urbium regina suscepisse. Neque enim, inquiunt, in manu factis templis Altissimus habitat, cum cœlum sit ejus domicilium. Atqui, *Domus mea*, inquit Deus, *domus orationis vocabitur* [6]. Et rursum, *Nolite*, inquit Christus, *facere domum Patris mei domum negotiationis* [7], cum de Hierosolymorum templo loqueretur. Quod si D templum illud erat Dei, multo magis hoc, quod est in hac urbium regina, et ut breviter dicam, omnia templa, quæ quovis in loco tum Deo, tum Matri ejus, tum omnibus sanctis consecrata sunt, divina sanctaque sunt, et dæmones expellunt. Ubi enim divina habitat gratia, inde omnis malus spiritus et omnis dæmonum vis expellitur.

19. Solam precationem appellant, quam Dominus tradidit in Evangeliis, id est, *Pater noster*. Et ea sola utuntur septies quidem die, quinquies autem nocte. Sed quoties ad precandum accedunt, toties eam adhibent, alii decies et quinquies, alii sæpius,

[1] Isa. LXV, 11. [2] Luc. XXII, 19. [3] Matth. VI, 9-14. [4] Luc. XXII, 20. [5] Joan. XIII, 31. [6] Matth. XXI, 13. [7] Joan. II, 16.

alii rarius. Reliquas precationes contemnunt, et multiloquia vocant, et gentibus convenire, eoque spectare multiloquium illud, de quo in Evangelio scriptum est. Nec animadvertunt in eo Evangelii loco non tam verborum multitudinem, quam rerum non convenientium petitionem reprehendi. Porro Dominus noster precationem illam, Pater noster, nobis tradidit tanquam obsecrandi formulam, et exemplum, ac radicem, non ut illis verbis precandi rationem concluderet, sed ut inde aliarum precationum argumenta, propagata jam fide, sumeremus. Etenim ne ut jejunarent quidem, illis initio præcepit, neque ut aspere et duriter vitam traducerent, uti post illius in cœlum ascensum traduxerunt. Quamobrem dicebat : *Non possunt filii sponsi mœsti esse, quandiu cum illis est sponsus ; venient autem dies, cum sponsus auferetur ab eis, et tunc jejunabunt* [1].

προσευχὴν ταύτην, οἱ μὲν δεκάκις μετὰ γονυκλισίας, οἱ δὲ πεντεκαιδεκάκις, οἱ δὲ πλεῖον ἢ ἔλαττον. Τὰς δ' ἄλλας πάσας προσευχὰς ἀτιμάζουσι, βαττολογίας αὐτὰς ἀποκαλοῦντες, καὶ τῆς ἐθνικῆς μερίδος, τὴν ἐν τοῖς Εὐαγγελίοις εἰρημένην βαττολογίαν ἐπὶ ταύτας μετάγοντες, μὴ γινώσκοντες, ὅτι βαττολογίαν οἶδεν ὁ εὐαγγελικὸς λόγος οὐ τὴν ἁπλῶς πολυλογίαν, ἀλλὰ τὴν περὶ τῶν μὴ προσηκόντων αἴτησιν. Ὁ δὲ Κύριος παρέδωκε τοῖς ἀποστόλοις τὴν τοῦ Πάτερ ἡμῶν προσευχὴν ῥίζαν προσευχῆς καὶ εἶδος, οὐ ταύτῃ μόνῃ τὴν προσευχὴν περιορίζων, ἀλλ' ἵνα λαμβάνοντες ἐκ ταύτης τὰς ἀφορμὰς δύνωνται ποιεῖν καὶ ἑτέρας, αὐξανομένης τῆς προσευχῆς. Ἐπεὶ καὶ οὐδὲ νηστεύειν αὐτοῖς κατ' ἀρχὰς ἐπέταξεν, οὐδὲ παρεχώρησε σκληραγωγεῖσθαι τοσοῦτον, ὅσον μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν αὐτοῦ καὶ ἀποκατάστασιν. Διὸ καὶ ἔλεγε, *Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος πενθεῖν ἐφ' ὅσον μετ' αὐτῶν ἐστιν ὁ Νυμφίος. Ἐλεύσονται δὲ ἡμέραι, ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ Νυμφίος, καὶ τότε νηστεύσουσιν.*

20. Hæresis istorum princeps affirmabat, hanc Domini vocem suis in Evangeliis esse scriptam : Dæmonia colite, non ut vobis prosint, sed ne obsint. Quæ quidem verba explicans adjiciebat, colenda esse dæmonia, quæ in templis manu factis habitant, ne irascantur, et perdant eos qui id facere recusarint, cum magnam atque invictam habeant nocendi vim, cui ne Christus quidem aut Spiritus sanctus resistere valent, quoniam Pater illis adhuc ignoscit, nec adimit robur ipsorum, sed eis mundi dominatum usque ad consummationem sæculi concedit. Neque enim Filium, cum in mundum mitteretur et a Patre totam ipsorum eversionem postularet, eam propter bonitatem Patris impetrare potuisse. Verum quoniam has nugas ex Masalianorum hæresi perceperunt, quærito in eo titulo, qui adversus illos conscriptus est, quintum caput, et octo, quæ deinceps sequuntur, et argumenta ad eas evertendas aptissima reperies. De his et superius dictum est in duodecimo capite hujusce tituli. Nam quod dæmonas Christo et Spiritu sancto fortiores asserunt, quo supplicio digni non sint homines impii, hostesque Dei, adoratoresque et cultores dæmonum, vere a dæmonibus vexati et dæmonum amici?

κ'. Ἔλεγεν ὁ τῆς αἱρέσεως αὐτῶν ἔξαρχος ἐγγεγράφθαι τοῖς Εὐαγγελίοις αὐτῶν φωνὴν τοῦ Κυρίου λέγουσαν, Τιμᾶτε τὰ δαιμόνια, οὐχ ἵνα ὠφεληθῆτε παρ' αὐτῶν, ἀλλ' ἵνα μὴ βλάψωσιν ὑμᾶς. Καὶ ἑρμηνεύων τὴν τοιαύτην φωνὴν προσετίθει, ὅτι χρὴ τιμᾷν τὰ ἐνοικοῦντα τοῖς χειροποιήτοις ναοῖς δαιμόνια, προσκυνοῦντες αὐτὰ, ἵνα μὴ ὀργισθέντα διαφθείρωσι τοὺς μὴ τοῦτο ποιοῦντας, μεγάλην τοῦ βλάπτειν ἔχοντα καὶ ἄμαχον δύναμιν, πρὸς ἣν οὔτε τὸν Χριστὸν ἐξαρκεῖν, οὔτε σὺν αὐτῷ τὸ Πνεῦμα τὸ ἅγιον, διὰ τὸ τὸν Πατέρα φείδεσθαι αὐτῶν ἔτι, καὶ μὴ περιελεῖν τὴν ἰσχὺν αὐτῶν, ἀλλὰ συγχωρῆσαι τούτοις τὴν κυριαρχίαν τοῦ σύμπαντος κόσμου μέχρι συντελείας· καὶ γὰρ καὶ τὸν Υἱὸν κατ' ἀρχὰς εἰς τὸν κόσμον ἀποστελλόμενον αἰτῆσαι μὲν τὴν παντελῆ κατάλυσιν αὐτῶν, μὴ λαβεῖν δὲ ταύτην διὰ τὴν ἀγαθότητα τοῦ Πατρός. Ἐπεὶ δὲ καὶ τὴν φλυαρίαν ταύτην ἀπὸ τῆς αἱρέσεως τῶν Μασαλιανῶν μεμαθήκασι, ζήτησον ἐν τῷ κατ' ἐκείνων τίτλῳ τὸ ε' κεφάλαιον καὶ τὰ ἐφεξῆς ὀκτὼ, καὶ τοὺς ἐλέγχους εὑρήσεις ἐν ἐκείνοις ἀναντιῤῥήτως. Εἴρηται δὲ καὶ ἀνωτέρω περὶ τούτων ἐν τῷ ιβ' κεφαλαίῳ τοῦ παρόντος τίτλου. Ὅτι δὲ καὶ τοὺς δαίμονας ἰσχυροτέρους εἶναι λέγουσι τοῦ Χριστοῦ τε καὶ τοῦ ἁγίου Πνεύματος, τίνος οὐκ ἂν εἶεν ἄξιοι κολάσεως οἱ θεομάχοι, καὶ βλάσφημοι, καὶ προσκυνηταὶ, καὶ θεραπευταὶ τῶν δαιμόνων, καὶ δαιμονιώδεις ὄντως, καὶ φιλοδαίμονες;

21. Hanc item Domini vocem in Evangeliis scriptam asserunt : Omni ratione saluti vestræ consulite, hoc est, omni arte et dolo simulantes fidem eorum qui vos opprimunt, servate vos a periculo, et morte quæ vobis ab illis imminet. Huc enim et illud spectare : *Quæcunque dixerint*, cum simulatione nimirum *facite, secundum opera autem ipsorum nolite facere* [2], in veritate. Etenim ipsum quoque Dominum discipulis aperte locutum esse, incredulis autem in parabolis, ut increduli simulationis speciem intuentes non videant id quod in cordibus nostris reconditum est, et audientes non audiant. Parabolam

κα'. Ἔτι προσεγγεγράφθαι καὶ ταύτην ἔλεγε τοῦ Κυρίου φωνὴν, Τρόπῳ σώθητε· τουτέστι, Μετὰ μηχανῆς, καὶ ἀπάτης ὑποκρινόμενοι τὴν πίστιν τῶν ἀναγκαζόντων ὑμᾶς, καὶ οὕτω σωζόμενοι ἀπὸ κινδύνου, καὶ θανάτου τοῦ παρ' αὐτῶν, εἰς τοῦτο γὰρ φέρειν καὶ τὸ, *Ὅσα ἂν εἴπωσιν ὑμῖν ποιεῖν, ποιεῖτε*, ἐν ὑποκρίσει δηλονότι, *κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε*, ἐν ἀληθείᾳ· καὶ γὰρ καὶ αὐτὸν τὸν Κύριον τοῖς μὲν μαθηταῖς ὀρθῶς λαλεῖν, τοῖς δὲ ἀπίστοις ἐν παραβολαῖς, ἵνα βλέποντες οἱ ἄπιστοι τὸ φαινόμενον τῆς ὑποκρίσεως μὴ βλέπωσι τὸ κρυπτόμενον ἐν ταῖς καρδίαις ἡμῶν, καὶ ἀκούον-

[1] Matth. IX, 15. [2] Matth. XXIII, 3.

τες μὴ ἀκούωσι, παραβολὴν ὀνομάζων τὴν ἀπάτην καὶ τὴν ὑπόκρισιν. Ἐγὼ δὲ τὴν βίβλον τῶν Εὐαγγελίων τοῦ ταῦτα διδάσκοντος εἰς χεῖρας λαβών, καὶ διερευνησάμενος ἀκριβῶς οὔτε τὴν πρὸ ταύτης δηλωθεῖσαν εὗρον φωνήν, οὔτε τὴν παροῦσαν, ἀλλὰ τοιαῦτα ἦσαν τὰ τέσσαρα Εὐαγγέλια, οἷα καὶ τὰ παρ' ἡμῖν ἀπαραποιήτως ἔχοντα, καὶ ἀνήγγειλα τούτῳ περὶ τούτου. Ὁ δὲ σκυθρωπάσας καὶ δεινοπαθήσας ὡς ἐληλεγμένος ὡμολόγησε μηδέ ποτε μηδ' αὐτὸς ἐντετυχηκέναι ταῖς δύο ταύταις φωναῖς, καίτοι πολλάκις ἀναγινώσκων τὸ Εὐαγγέλιον. Ὅτε δέ, φησί, τὴν παροῦσαν βίβλον τῶν Εὐαγγελίων ἐξωνησάμην, ἀπήντησα γέροντι κατά τινα τόπον ἔρημον, καὶ καλέσας ἀπὸ τοῦ ὀνόματος εἰπέ μοι, ὅτι Μέγαν ἐξωνήσω θησαυρόν. Ταύτην γὰρ μόνην τὴν βίβλον διαφυγοῦσαν τὰς χεῖρας Ἰωάννου τοῦ Φρυσοστόμου· τὸν γὰρ Χρυσόστομον οὕτως οἱ ἀκαθαρτόστομοι προσωνόμαζον· ἔχειν ἐγγεγραμμένας τὰς εἰρημένας δύο φωνάς, ἐκβληθείσας ἀπὸ τῶν ἄλλων Εὐαγγελίων. Πιστεύσας δὲ τοῖς ἐκείνου λόγοις ἐγώ, κηρύττω καὶ ταύτας, ὡς τῇ ἐμῇ βίβλῳ τῶν Εὐαγγελίων ἐγγεγραμμένας. Ὁ μὲν οὖν τοιαύτην ἐποιήσατο τὴν ἀπολογίαν, ἐγὼ δὲ συνῆκα ταχέως, ὅτι ὁ Σατανᾶς ἦν ὁ τὸν ψευδόγηρον ἐκεῖνον ὑποκρινάμενος.

A enim, inquiunt, appellat dolum et simulationem. Ego vero cum Evangeliorum librum istius doctoris in manus cepissem, et diligenter evolvissem, neque vocem superiorem, neque hanc reperi. Sed talia erant quatuor Evangelia, qualia sunt apud nos, neque ulla re discrepabant. Quod cum ad ipsum detulissem, ille tristis, et rem ægre ferens, utpote deprehensus, confessus est, ne se quidem duas has voces, cum sæpe relegeret Evangelium, deprehendisse]: Sed cum librum hunc, inquit, Evangeliorum emi, in quadam solitudine senem offendi, qui me nomine compellans, ait, me thesaurum magnum emisse, illum enim librum solum Joannis Phrysostomi, sic enim aureum illud os impurissimæ istorum linguæ appellant, manus effugisse, et duas B voces ex aliis Evangeliis exclusas esse. Cujus ego verbis inquit, fidem habens, prædico, duas item has voces in Evangeliis scriptas esse. Ille quidem hanc attulit defensionem. Ego vero statim intellexi, dæmonem fuisse illum, qui sub mendacis senis persona locutus fuerat.

κβ'. Λέγουσι τοὺς τῆς πίστεως αὐτῶν, ὅσοις ἐνοικήσει τὸ παρ' αὐτοῖς ἅγιον Πνεῦμα, πάντας θεοτόκους καὶ εἶναι, καὶ ὀνομάζεσθαι, βαστάσαντας καὶ αὐτοὺς τὸν Λόγον τοῦ Θεοῦ, καὶ γεννήσαντας αὐτὸν διὰ τοῦ διδάσκειν ἑτέρους, καὶ μηδὲν πλέον αὐτῶν ἔχειν τὴν πρώτην Θεοτόκον. Καὶ οὐδὲ τοσοῦτον γοῦν φρονοῦσιν, ὅσον εἰδέναι διαφορὰν ἐνυποστάτου καὶ ζῶντος Λόγου ἁπλῶς λόγου προφορικοῦ, ἵνα παραδράμωμεν τὰ κατὰ τὴν κυρίως Θεοτόκον φρικτὰ καὶ παράδοξα μυστήρια.

Λέγουσι τοὺς τοιούτους μὴ ἀποθνήσκειν, ἀλλὰ μεθίστασθαι, καθάπερ ἐν ὕπνῳ, τὸ πήλινον τουτὶ καὶ σάρκινον περιβόλαιον ἀπόνως ἐκδυομένους, καὶ τὴν ἄφθαρτον καὶ θείαν τοῦ Χριστοῦ στολὴν ἐνδυομένους, καὶ γινομένους συσσώμους καὶ συμμόρφους αὐτοῦ, μεθισταμένους διὰ προπομπῆς ἀγγέλων, καὶ ἀποστόλων εἰς τὴν βασιλείαν τοῦ Πατρός, τὸ δ' ἀποδυθὲν σῶμα τούτων εἰς τέφραν καὶ κόνιν διαλύεσθαι, μηκέτι μηδαμῶς ἀνιστάμενον. Ὅτι δὲ οὐ καθάπερ ἐν ὕπνῳ, καὶ ἀπεκδύσει περιβολαίου γίνεται τούτοις ἀνώδυνος ὁ θάνατος, ἔδειξεν ὁ τῆς αἱρέσεως αὐτῶν ἔξαρχος, πολλαῖς ὀδύναις ὑποβληθεὶς μετὰ τὸ δοθῆναι κατ' αὐτοῦ τὴν διὰ πυρὸς ἀπόφασιν, καὶ τῷ φόβῳ προκαταδαπανηθείς, καὶ καιρίας πληγὰς εἰς τὴν καρδίαν δεξάμενος, ὅτε τοῦ δράματος ἀπογυμνωθέντος, ἔγνω κατασοφισθείς, τῶν μυστηρίων μὲν τῆς πίστεως αὐτοῦ δημοσιευθέντων καὶ παραδοθέντων γραφῇ πρὸς θρίαμβον, τῶν μαθητῶν δὲ αὐτοῦ, καὶ μάλιστα συγγενῶν, καὶ τῶν ἄλλως γνησιωτέρων σαγηνευθέντων, καὶ ταῖς εἱρκταῖς ἐναποκλεισθέντων, καὶ πάσης αὐτῷ πανταχόθεν βοηθείας ἀπολωλυίας, καὶ φρούδων τῶν ἐλπίδων γεγενημένων. Τοὺς γὰρ μαθητάς, ὡς εἴρηται, καὶ συγγενεῖς οὕτως ἐλεεινῶς ἔχοντας ἰδὼν παρὰ πᾶσαν προσδοκίαν·

Aiunt suos omnes, in quibus Spiritus sanctus habitat, Dei parentes et esse. et nominari cum ipsi quoque Dei Verbum concipiant, et in utero gerant, atque etiam pariant dum alios docent. Et nihil[1] amplius, quam ipsi habeant, habere primam illam Dei Genitricem. Nec tantum habent mentis, ut in- C telligere valeant, quid intersit inter Verbum in sua subsistens persona, et verbum, quod ore pronuntiatur, ut omittamus res venerandas et admirabiles quæ in Dei Genitrice propriæ sunt.

23. At qui sint ejusmodi, eos negant mori, sed tanquam in somno transmutari, et sine ullo labore cœnosum hoc carnis indumentum exuere, atque immortalem ac divinam Christi stolam induere, idemque corpus et formam eamdem induere, et præeuntibus angelis et apostolis in Patris regnum admitti, corpus autem, quod exuerint, in cinerem pulveremque dissolvi, nunquam amplius surrecturum. Sed falsum esse quod tanquam in somno corporis exuant vestimentum, et sine dolore moriantur, princeps hæresis ipsorum ostendit, qui ma- D gnis affectus doloribus et post latam adversus eum sententiam, ut igne cremaretur, formidine excruciatus, lethalia vulnera in cor accipiens, tanquam histrionis habitu deposito impostor cognitus est, mysteriis fidei ipsius publice patefactis, et litterarum monumentis tropæi loco consignatis, cum et discipuli ejus, et illi præsertim qui sanguine et necessitudine conjuncti erant, in carcerem et vincula conjecti sunt, et omnibus ipse undique auxiliis et inani spe spoliatus est. Cum enim discipulos et necessarios, ut dictum est, tam misere affectos perspiceret, quos ad extremum usque diem felices futuros ex regis promissis existimabat, seque ab

[1] Matth. xxiii. 3.

illis proditionis incusari, fontes emisit lacrymarum, et profundos edidit gemitus, quibus cordis flamma indicabatur. Calamitatum igitur tanquam turbine quodam jactatus animo deficiebat, et spiritum recipiens rursum torquebatur, et consistere non poterat, donec a ministris sublatus ad pyram tractus, et voce deficiente, anhelituque perpetuo laborans in flammam conjectus est, atque ita dæmoni, quem adoraverat, effectus holocaustum. Sic ipse quidem in locum tenebrarum et aliorum malorum sibi paratum profectus est. Corpus autem infelicissimi senis resurget omnino in die communis resurrectionis ex Domini sententia, qui dixit homines resurrecturos, iturosque, qui mala egerint in supplicium sempiternum, quamvis iste mortuorum resurrectionem, tam multis Apostoli testimoniis de illa demonstrationibusque tanquam falsis rejectis, futuram negaverit.

A μέχρι γὰρ τῆς τελευταίας ἡμέρας ᾤετο πάντας ἐν ἀγαθοῖς εἶναι κατὰ τὴν τοῦ βασιλέως ὑπόσχεσιν· καὶ προδοσίαν παρ' αὐτῶν ἐγκληθεὶς, ἀφῆκε μὲν πικρῶν δακρύων πηγὰς, ἀνέπεμψε δὲ στεναγμοὺς βυθίους, τὴν ἔνδον τῆς καρδίας φλόγα μηνύοντας, καὶ καθάπερ τυφῶνι ταῖς συμφοραῖς βληθεὶς, ἐλειποθύμει, καὶ ἀνακτώμενος αὖθις κατεφέρετο, στῆναι μὴ δυνάμενος ἕως ὑπὸ τῶν ἄγειν κελευσθέντων ἀρθεὶς, βασταζόμενος ἀπήχθη πρὸς τὴν πυρὰν, καὶ τῆς φωνῆς αὐτὸν ἐπιλειπούσης, πυκνῷ τῷ ἄσθματι κατασχεθεὶς, ἠκοντίσθη κατὰ τῆς φλογὸς, καὶ ὡλοκαυτώθη τῷ προσκυνουμένῳ παρ' αὐτοῦ δαίμονι. Καὶ αὐτὸς μὲν ἐξεδήμησε πρὸς τὸν ἡτοιμασμένον αὐτῷ τόπον τοῦ σκότους καὶ τῆς ἄλλης κακώσεως· τὸ σῶμα δὲ τοῦ τρισαθλίου τούτου γέροντος ἀναστήσεται πάντως ἐν τῇ ἡμέρᾳ τῆς κοινῆς ἀναστάσεως B κατὰ τὴν τοῦ Σωτῆρος ἀπόφασιν, εἰρηκότος, ἀναστήσεσθαι καὶ τοὺς τὰ φαῦλα πράξαντας εἰς κόλασιν αἰώνιον, εἰ καὶ αὐτὸς μὴ εἶναι τῶν τεθνεώτων ἀνάστασιν ἐδογμάτιζε, τὰς τοσαύτας τοῦ Ἀποστόλου περὶ ταύτης μαρτυρίας, καὶ γενναίας ἀποδείξεις, ὡς ψευδεῖς παρωθούμενος.

23. Dicunt se non in somnis solum, sed etiam re vera cernere Patrem tanquam senem profunda barba præditum, Filium tanquam juvenem pubescentem, Spiritum sanctum imberbem adolescentem, cum eis dæmones ita se facile conspicuos præbeant, quo illos hac formarum varietate decipiant, doceantque imparem esse sanctam Trinitatem et discrepantem, Arianamque unius naturæ sectionem illis injiciant.

κγ'. Λέγουσιν οὐχ ὄναρ μόνον πολλάκις, ἀλλὰ καὶ ὕπαρ βλέπειν τὸν Πατέρα μὲν, ὡς γέροντα βαθυγένειον, τὸν δὲ Υἱὸν, ὡς ὑπηνήτην ἄνδρα, τὸ δὲ Πνεῦμα τὸ ἅγιον, ὡς λειοπρόσωπον νεανίαν, τῶν δαιμόνων εἰς τὰ εἴδη ταῦτα ῥᾳδίως μετασχηματιζομένων, καὶ ἐξαπατώντων αὐτοὺς, καὶ διδασκόντων ἄνισον εἶναι τὴν ἁγίαν Τριάδα, καὶ διάφορον κατὰ τὴν τῶν σχημάτων τούτων διαφορὰν, καὶ τὴν ἀρειανικὴν κατατομὴν τῆς μιᾶς φύσεως τούτοις ἐγκατασπειρόντων. C

24. Monachorum more se vestiunt, et eorum habitum tanquam escam assumunt, veste lupum abscondentes, quo faciliores aditus, et colloquendi facultatem, propter habitum assequantur, et sine suspicione per sermonum benignitatem auribus audientium venenum injiciant.

κδ'. Στολίζονται κατὰ μοναχοὺς, καὶ τὸ σχῆμα τούτων ὡς δέλεαρ περιβάλλονται, τῷ κῳδίῳ τὸν λύκον ὑποκρύπτοντες, ὡς ἂν εὐλαβῶς διὰ τὸ σχῆμα παραδεχόμενοι, καὶ χώραν ὁμιλίας λαμβάνοντες, ἀνυπόπτως διὰ τῆς χρηστολογίας ἐναποπτύωσι τὸν ἰὸν ταῖς ἀκοαῖς τῶν ἀκροωμένων.

25. Secunda, et quarta, et sexta die singularum hebdomadum jejunium indicunt, usque ad horam nonam. Quod si quis eos ad convivium vocet, statim obliti præcepti sui edunt et bibunt tanquam elephantes. Ex quo patet eos etiam impudice vivere, licet fornicationem et omnem aliam libidinem tanquam carnis et corporis expertes verbis insectentur.

κε'. Πάσης ἑβδομάδος δευτέραν, καὶ τετράδα, καὶ παρασκευὴν παραγγέλλουσι νηστεύειν ἕως ὥρας ἐννάτης. Εἰ δέ τις αὐτοὺς ἐπὶ τράπεζαν καλέσειεν, εὐθὺς ἐκλαθόμενοι τῆς παραγγελίας ἐσθίουσι, καὶ πίνουσιν, ὡς ἐλέφαντες. Ἐκ τούτου δὲ πρόδηλον, ὅτι ἀσελγαίνουσιν, εἰ καὶ πορνείαν καὶ τὴν ἄλλην ἀκαθαρσίαν λόγῳ κολάζουσιν, ὡς ἄσαρκοι καὶ ἀσώματοι. D

26. Principio quidem initiandos simpliciter docent, et hortantur, ut credant in Patrem, et Filium, et Spiritum sanctum, discantque Christum carnem induisse dedisseque sanctis apostolis sacrum Evangelium. Et jubent, ut evangelica mandata custodiant, et precentur, et jejunent, seque ab omni nequitia puros integrosque conservent, et nihil possideant, clementesque sint, atque humiles, et veritatis studiosi, mutuæque benevolentiæ. Omnia denique bona præcipiunt, utilique doctrina pelliciunt paulatimque venantur, et ad interitum trahunt. Temporis enim progressu tritico zizania injiciunt, et cum miseros sibi subjectos obedientesque reddiderint, atque intra retia habuerint, tunc veneni potionem propi-

κς'. Ἐν ἀρχῇ μὲν τοὺς εἰσαγωγικοὺς ἁπλῶς διδάσκουσι παρεγγυώμενοι πιστεύειν εἰς Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, καὶ γινώσκειν τὸν Χριστὸν σεσαρκῶσθαι, καὶ δοῦναι τοῖς ἁγίοις ἀποστόλοις τὸ ἱερὸν Εὐαγγέλιον, καὶ ὑποτιθέμενοι τηρεῖν τὰς εὐαγγελικὰς ἐντολὰς, καὶ προσεύχεσθαι, καὶ νηστεύειν, καὶ ἁγνεύειν πάσης ἀκαθαρσίας, καὶ ἀκτημονεῖν, καὶ ἀνεξικακεῖν, καὶ ταπεινοφρονεῖν, καὶ ἀληθεύειν, καὶ ἀγαπᾷν ἀλλήλους, καὶ ἁπλῶς χρηστὰ πάντα κατηχοῦσι, σαίνοντες μὲν τῇ χρησίμῳ διδασκαλίᾳ, θηρεύοντες δὲ κατὰ μικρὸν, καὶ λεληθότως ἄγοντες εἰς ἀπώλειαν. Καιροῦ γὰρ προβαίνοντος, ἐπισπείρουσι τῷ σίτῳ καὶ ζιζάνια. Καὶ ὅταν τοὺς ἀθλίους χειροήθεις καὶ πειθηνίους ἐργάσωνται, καὶ λάβωσιν εἴσω τῶν ἀρ-

κυων, τότε δὴ τότε τὸν κυκεῶνα τοῦ δηλητηρίου πο- A τίζουσιν, ἀπαρακαλύπτως βλασφημοῦντες, καὶ τὰ δόγματα τοῦ διαβόλου μυσταγωγοῦντες αὐτούς.

nant, aperteque maledicunt, et diaboli mysteria tradunt.

κζ'. Παρερμηνεύουσιν ὅλας τὰς προειρημένας ἑπτὰ βίβλους, τὰ ῥήματα τούτων στρεβλοῦντες, καὶ τῆς ὀρθῆς ἐκτρέποντες ἐννοίας, καὶ πρὸς τὸ δοκοῦν αὐτοῖς μεταφέροντες. Καὶ ὅσα μὲν περὶ ἁμαρτανόντων, καὶ ἀσεβούντων, καὶ εἰδωλολατρούντων ἐν αὐτοῖς εἴρηται, ταῦτα τοῖς καθ' ἡμᾶς πιστοῖς ἀνατιθέασιν· ὅσα δὲ περὶ εὐαρεστούντων Θεῷ, πρὸς ἑαυτοὺς ἕλκουσι, καὶ μετὰ πληροφορίας ἑαυτοὺς εἶναι τοὺς ἐκλεκτοὺς, καὶ δικαίους καὶ κληρονόμους Θεοῦ λέγουσιν. Ἑκάστην μὲν οὖν ἐξήγησιν βίβλου παρ' ἐκείνων ὑφηγουμένην, μᾶλλον δὲ παρατροπὴν, καὶ τοῦ καθεστηκότος ἐξαλλαγὴν, μακρὸν ἂν εἴη συγγράφειν, B καὶ χρόνου πολλοῦ δεόμενον, καὶ σαφὴς ματαιοπονία, καὶ κόπος εἰς οὐδὲν χρήσιμον καταλήγων. Ἄχρι γὰρ ὀλίγου προβαίνοντες οἱ ἀναγινώσκοντες, καὶ πρὸς τὰς ἀτοπίας τῶν βλασφημιῶν εὐθὺς ἀποκναίοντες, καὶ καθάπερ οἱ ναυτιῶντες ἰλίγγου καὶ σκοτοδινίας μεστοὶ γινόμενοι ῥίψουσιν εὐθὺς, οἶδα, τὰ περὶ τούτων συντάγματα, καὶ καταπτύσουσι, καὶ ἀποστραφήσονται, πολλὴν ἀκαιρίαν κατασκεδαννύντες ἡμῶν. Ἵνα δὲ μὴ δοκῶμεν πλάττειν ἀπολογίαν, καὶ πειρᾶσθαι διαδιδράσκειν τὸν ἐν τούτοις πόνον, ὀλίγα ῥητὰ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου κατὰ τὴν ἐκείνων παραπληξίαν διερμηνεύσαντες, ἵνα μὴ λόγῳ διαστρέψαντες, δείξωμεν ἀπὸ του γεύματος τὸν πίθον, καὶ ἀπὸ τοῦ ῥείθρου τὴν πηγὴν, καὶ ἀπὸ τοῦ κρασπέδου τὸ ὕφασμα. Οὐκ ἐπάξομεν δὲ καὶ διεστραμμέναις ταύταις ἑρμηνείαις ἐλέγχους, αὐτελέγκτοις οὔσαις. Οὐδὲ γὰρ ἀντιῤῥητικὸς ἡμῖν ὁ ἐφεξῆς λόγος, ἀλλὰ μόνον ἐνδεικτικὸς τῆς ἐνδιαστρόφου τούτων ἐξηγήσεως τῶν παραδεχθέντων αὐτοῖς βιβλίων.

27. Totos septem libros quos diximus sic interpretantur, ut eos pervertant, verbaque detorqueant a recta sententia, et suis accommodent opinionibus. Et quidquid in illis adversus peccatores et impios idololatras dictum est, id contra nos dictum asserunt; quidquid autem de amicis Dei, id ad se trahunt, confidenterque electos, et justos, et hæredes Dei suos esse contendunt. Magnus igitur labor esset, et longus, et stultus, atque inutilis si quis librorum singulorum perversas expositiones, quas afferunt a proposito abhorrentes velit refellere. Vereor enim, ne qui legunt, paululum progredientes ineptis ipsorum maledictis sic offendantur, ut nauseantium instar vertigine et tenebris pleni, quæ de illis scribimus, statim abjiciant, despiciantque et aspernentur, nosque ut importune laborantes accusent. Verum ne videamur fingere apologiam, laboremque fugere, pauca quædam ipsorum dicta in Evangelium Matthæi strictim attingemus, quæ tanquam ex gustu dolium, et ex rivulo fontem, et ex ora vestimentum indicabunt. Neque vero ea conabimur confutare, cum semetipsa confutent. Neque ea nunc recensemus, ut refellamus, sed ut ex illis ostendamus, quam inepta sit et absurda ipsorum interpretatio in eos libros, quos approbant.

κη'. Βηθλεὲμ ὀνομάζουσι τὴν συναγωγὴν ἑαυτῶν. Ἐν C ἑαυτοῖς γὰρ γεννηθῆναί φασι τὸν Χριστὸν, ἤτοι τὸν Λόγον τοῦ Θεοῦ τὸν κηρύττοντα τῆς πίστεως τὴν ἀλήθειαν. Ἡρώδην δὲ νοοῦσι τὴν καθ' ἡμᾶς Ἐκκλησίαν, πειρωμένην ἀνελεῖν τὸν παρ' αὐτοῖς γεννηθέντα Λόγον τῆς ἀληθείας. Καὶ μάγους μὲν αὖθις προσαγορεύουσιν ἑαυτοὺς, τοῦτο μόνον ἀληθεύοντες. Γόητες γάρ εἰσιν ὄντως καὶ λυμεῶνες καὶ ἀλάστορες. Ἱεροσόλυμα δὲ πάλιν ὀνομάζουσι τὴν ἡμετέραν Ἐκκλησίαν, ἀστέρα δὲ τὸν Μωσέως νόμον. Ὑπ' αὐτοῦ γὰρ ὁδηγηθῆναί φασι μέχρι τῆς καθ' ἡμᾶς πίστεως, εἶτα παρὰ τῶν ἀρχιερέων αὐτῆς, καὶ τῶν ἄλλων γραμματέων, καὶ διδασκάλων μαθεῖν αὐτοὺς, ὅτι ὁ Χριστὸς ἐν τῇ δηλωθείσῃ γεννᾶται Βηθλεέμ. Ἀφ' ἡμῶν γὰρ γενέσθαι τοὺς πρώτους διδασκάλους αὐτῶν. D

28. Synagogam suam appellant Bethleem. In se enim Christum dicunt nasci, seu Verbum Dei, quo fidei veritas prædicatur. Nostram autem Ecclesiam Herodem interpretantur, quæ Verbum apud eos natum conetur occidere. Magos item se ipsos vocant, qua quidem in re sola verum dicunt. Sunt enim vere perniciosi præstigiatores et impostores. Hierosolymam nostram appellant Ecclesiam; stellam autem Mosis legem: ea enim duce ad nostram usque fidem perveniri. Deinde a sacerdotibus ipsius, et scribis, et doctoribus dicunt se discere Christum nasci in Bethleem antedicta. A nobis enim primos ipsorum magistros esse profectos.

κθ'. Μυθεύονται Ῥαχὴλ γεγονέναι τινὰ γυναῖκα χήραν, δύο θυγατέρας ἔχουσαν νηπίαν ἀγούσας ἡλικίαν. Ὅτε δὲ τὰ ἄῤῥενα βρέφη συνῆγεν ὁ Ἡρώδης, ὑπολαβοῦσαν τιμῆς αὐτὰ, καὶ χαρίτων ἀξιοῦσθαι παρ' αὐτοῦ, μετασχηματίσαι ταύτας εἰς ἄῤῥενας, καὶ προσαγαγεῖν ὡς υἱούς. Ἐπεὶ δὲ καὶ ταῦτα τοῖς ἄλλοις, ὡς ἄῤῥενα, συνανῃρέθη, τὰς μὲν ἄλλας μητέρας κλαίειν ἁπλῶς, τὴν δὲ Ῥαχὴλ ἀπαράκλητα, διότι σπεύσασα κατασοφίσασθαι κατεσοφίσθη μᾶλλον, καὶ τὰς θυγατέρας αὐτὴ μάτην ἀπώλεσεν. Ἀλληγοροῦντες δὲ τὸν λόγον φασὶ, Ῥαχὴλ μὲν τὸν ἐπουράνιον Πατέρα, τέκνα δὲ αὐτοῦ τήν τε ψυχὴν

29. Fingunt Rachelem fuisse mulierem quamdam viduam quæ cum duas haberet infantes filias, quo tempore Herodes pueros mares congregavit, honorem et gratiam apud ipsum se existimans inituram, eas in marium speciem mutatas attulit. Verum cum et filiæ suæ tanquam mares una cum aliis essent interfectæ, et reliquæ matres lugerent, Rachel ita plorabat ut nullam admitteret consolationem, quoniam dum conaretur decipere decepta fuerat, filiasque ipsa suas temere perdiderat. Atque hoc allegorice interpretantes dicunt, Rachelem Patrem esse cœlestem, cujus filiæ sint anima Adæ et anima

Christi, quibus ab Herode, id est, a mundi principe, sublatis, patrem lugere mortem illarum, nec ullam consolationem admittere.

30. Ipse Joannes, inquit, habebat vestimentum suum de pilis camelorum, et zonam pelliceam circa lumbos suos. Et cibus ejus erant locustæ, et mel sylvestre. Hæc sunt evangelistæ verba. Consideremus quid de his etiam dicant attoniti, et insani, ac nugatores isti. Cameli pilos Mosaicæ legis dicunt esse præcepta. Quæ ipsa quoque, ut camelus, impura sit, cum et esum carnium, nuptias, et jusjurandum, et sacrificia, et cædes, et alia multa his similia subditis permittat. Zonam vero pelliceam sacrum Evangelium interpretantur, quod ovium pellibus inscriptum est. Rursumque Mosaicæ legis adhortationes locustas appellant, quæ dijudicare nequeunt ea quæ recta sunt, neque id perspicere quod melius est. Mel autem sylvestre vocant Evangelium, quod mel videtur illis, a quibus suscipitur : *Quam dulcia enim*, inquit, *gutturi meo eloquia tua, super mel ori meo* [1]; sylvestre autem illis qui ipsum non suscipiant, propter acerbitatem angustæ portæ et arctæ viæ, quam ostendit. Præcursorem enim esse medium inter antiquam legem et novam, et utriusque fuisse participem, illius quidem prius, hujus aptem posterius.

31. Nos dicunt esse Pharisæos et Sadducæos illos, qui ad Joannis baptismum accedebant. O impudentia ! Deinde cum ignominia nos vocant genimina viperarum, sive serpentis semina, qui, ut ipsi aiunt, cum Eva concubuit. Et monent, ut non ægre feramus, quod a Baptista Joanne vere nominati sumus.

32. Christi calceamenta dicunt esse miracula, quæ discipulis et turbis demonstravit. Quæ quidem calceamenta Joannes gestare non poterat, quippe qui nullo modo valebat ea miracula demonstrare. At ventilabrum Christi vocant Evangelii sermonem, ut qui ex illius ore profectus. Aream homines Christianos, in qua varii diversique sunt, tum recte, tum contra sentientes. Triticum autem suam ipsorum fidem, utpote puram et salutarem; paleam vero fidem nostram tanquam inutilem atque igne dignam appellant. Quænam auris pia possit istorum maledictorum impietatem perferre? Stomachatur anima mea ad istorum ineptias, et sensus mei perturbantur, ut ait propheta [2], et velim sermoni modum imponere, nec longius progredi, nec in lucem proferre, et memoriæ commendare ea quæ tenebris et oblivione sunt digna.

33. Montem altum dicunt esse secundum cœlum, quo Christus a diabolo sublatus viderit omnia regna mundi. Adduntque diabolum in illud secundum cœlum non fuisse conscensurum, nisi proprium

A τοῦ Ἀδὰμ, καὶ τὴν ψυχὴν τοῦ Χριστοῦ, ὧν ἀναιρεθεισῶν παρὰ τοῦ Ἡρώδου, δηλονότι τοῦ κοσμοκράτορος, κλαίειν ἀπαράκλητα τὸν πατέρα διὰ τὴν τούτων ἀναίρεσιν.

λ'. Αὐτὸς δὲ, φησὶν, ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ. Ἡ δὲ τροφὴ αὐτοῦ ἦν ἀκρίδες καὶ μέλι ἄγριον. Ταῦτα μὲν τὰ τοῦ Εὐαγγελιστοῦ ῥητά· σκοπητέον δὲ καὶ τί λέγουσι περὶ τούτων οἱ ἐμβρόντητοι, καὶ μεμηνότες, καὶ παραπαίοντες. Τρίχας μὲν καμήλου φασὶ τὰς ἐντολὰς τοῦ μωσαϊκοῦ νόμου. Καὶ τοῦτον γὰρ ἀκάθαρτον εἶναι κατὰ τὴν κάμηλον, ὡς κρεωφαγίαν, καὶ γάμον, καὶ ὅρκον, καὶ θυσίας, καὶ φόνους, καὶ πολλὰ τοιαῦτα τοῖς ὑπηκόοις B ἐντελλόμενον. Ζώνην δὲ λέγουσι δερματίνην τὸ ἱερὸν Εὐαγγέλιον, ὡς δέρμασι προβάτων ἐγγεγραμμένον· καὶ αὖθις ἀκρίδας μὲν τὰς τοῦ μωσαϊκοῦ νόμου παραγγελίας, ὡς μὴ κρινούσας ὀρθὰ, μηδὲ διακρινούσας τὸ βέλτιον· μέλι δὲ ἄγριον τὸ θεῖον Εὐαγγέλιον, μέλι μὲν φαινόμενον τοῖς παραδεχομένοις αὐτό· *Ὡς γλυκέα γὰρ*, φησὶ, *τῷ λάρυγγί μου τὰ λόγιά σου*· ἄγριον δὲ τοῖς μὴ παραδεχομένοις διὰ τὴν πικρίαν τῆς κατ' αὐτὸ στενῆς πύλης καὶ τεθλιμμένης ὁδοῦ. Τὸν Πρόδρομον γὰρ μέσον γενέσθαι καὶ τοῦ παλαιοῦ νόμου, καὶ τοῦ νέου, καὶ μετασχεῖν ἀμφοτέρων, τοῦ μὲν πρότερον, τοῦ δὲ ὕστερον.

λα'. Φαρισαίους καὶ Σαδδουκαίους ἐρχομένους ἐπὶ τὸ βάπτισμα Ἰωάννου προσαγορεύουσι τοὺς καθ' ἡμᾶς πιστούς. Ὢ τῆς ἀναισχυντίας ! Εἶτα καθυβρί- C ζοντες ὀνομάζουσιν ἡμᾶς γεννήματα ἐχιδνῶν, ἤγουν σπέρματα τοῦ ὄφεως τοῦ συγκατακλιθέντος, ὡς προδεδήλωται, τῇ Εὔᾳ, καὶ παραινοῦσι μὴ δυσχεραίνειν ὡς ὑπὸ τοῦ Βαπτιστοῦ Ἰωάννου ἀψευδῶς τοῦτο προσαγορευθέντας.

λβ'. Ὑποδήματα μὲν τοῦ Χριστοῦ λέγουσι τὰ ὑποδείγματα τῶν σημείων, ἅπερ ὑπέδειξε τοῖς μαθηταῖς καὶ τοῖς ὄχλοις, ἃ μὴ δύνασθαι βαστάσαι τὸν Ἰωάννην ὡς ἀδυνατοῦντα πάντως ὑποδεῖξαι τοιαῦτα καὶ αὐτόν· πτύον δὲ τοῦ Χριστοῦ τὸν εὐαγγελικὸν λόγον, ὡς ἀποπτυσθέντα διὰ τοῦ στόματος αὐτοῦ, καὶ ἅλωνα μὲν τοὺς Χριστιανοὺς ὡς ἄλλους καὶ ἄλλους· τοὺς μὲν γὰρ ὀρθοδόξους εἶναι, τοὺς δὲ τοὐναντίον ἑτεροδόξους· σῖτον δὲ τὴν ἑαυτῶν πίστιν, D ὡς καθαράν τε καὶ τρόφιμον· ἄχυρον δὲ τὴν καθ' ἡμᾶς, ὡς ἄχρηστον καὶ πυρὸς ἀξίαν. Τίς ἂν εὐσεβὴς ἀκοὴ τοιούτων ἀνάσχοιτο βλασφημιῶν; Οἰδεῖ πρὸς τὰς ἀτοπίας ταύτας ἡ ἐμὴ ψυχὴ, καὶ τὰ αἰσθητήριά μου μαιμάσσει, κατὰ τὸν προφήτην, καὶ βούλομαι τὸν λόγον ἐκκόψαι, καὶ μὴ προβῆναι περαιτέρω, μηδὲ φωτὶ καὶ μνήμῃ δοῦναι τὰ σκότους καὶ λήθης ἄξια. Παραβιαστέον δὲ μικρὸν ἔτι, καὶ καρτερητέον ἄχρι τινὸς τὴν γλωσσαλγίαν τῶν ἀπεραντολόγων τούτων, καὶ παραφόρων, καὶ βδελυρῶν.

λγ'. Ὄρος ὑψηλὸν λέγουσι τὸν δεύτερον οὐρανὸν, καὶ εἰς ὃ τὸν Χριστὸν ἀναβιβασθῆναι παρὰ τοῦ διαβόλου, καὶ ἰδεῖν πάσας τὰς βασιλείας τοῦ κόσμου· καὶ φασιν, ὅτι οὐκ ἂν ὁ διάβολος ἀνῆλθεν εἰς αὐτὸν, εἰ

[1] Psal. CXVIII, 103. [2] Jerem. IV, 19.

μὴ ποίημα τοῦτον ἴδιον ἐγίνωσκεν. Οὐδ' ἂν ἑαυτῷ παραδεδόσθαι πάσας τὰς βασιλείας εἶπεν, εἰ μὴ καὶ τὴν τούτων συνεχωρήθη κυριαρχίαν, ὡς παρ' αὐτοῦ γεγενημένων, καθὼς προδεδήλωται.

λδ'. *Καὶ καταλιπὼν*, φησὶν, ὁ *Ἰησοῦς τὴν Ναζαρὲτ, ἐλθὼν κατῴκησεν εἰς Καπερναούμ.* Ναζαρὲτ μὲν ἡμᾶς προσαγορεύουσι, Καπερναοὺμ δὲ ἑαυτούς. Καὶ νῦν κατοικεῖν μὲν παρ' αὐτοῖς λέγουσι τὸν Χριστὸν καταλιπόντα τὴν ἡμετέραν συναγωγήν.

λε'. Τοὺς μακαρισμοὺς πάντας περὶ μόνων τῶν κατ' αὐτοὺς πιστῶν, ἤτοι τῶν Βογομίλων εἰπεῖν τὸν Χριστὸν διαβεβαιοῦνται. Τοιούτους γὰρ αὐτοὺς εἶναι πτωχοὺς τῷ πνεύματι, καὶ πενθοῦντας, καὶ πεινῶντας, καὶ διψῶντας τὴν δικαιοσύνην, καὶ τὰ ἑξῆς. Τούτους δὲ κληθῆναι καὶ ἅλας τῆς γῆς, καὶ φῶς τοῦ κόσμου, καὶ ὅσα περὶ τῶν ἀποστόλων ὁ Κύριος εἴρηκεν.

λς'. *Ἰῶτα*, φησὶν, *ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται.* Ἰῶτα μὲν τὴν Δεκάλογον τοῦ νόμου νοοῦντες, κεραίαν δὲ πάλιν τὴν αὐτήν. Τὴν γὰρ κεραίαν, εἴ τις ὀρθώσει πλαγίως κειμένην, ἰῶτα ποιήσει. Εἶτα ἑρμηνεύουσιν, ὅτι οὐ μὴ παρέλθῃ ἡ Δεκάλογος τοῦ νόμου, ἀλλὰ μενεῖ φυλαττομένη παρὰ τοῖς Ἑβραίοις, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ. *Οὐκ ἦλθον* γὰρ, φησὶ, *καταλῦσαι τὸν νόμον Μωσέως, ἀλλὰ πληρῶσαι* τὸν οὐρανὸν κενωθέντα πάλαι τῶν ἐνοικούντων ἀγγέλων, καὶ ἀναπληρῶσαι τὰ τάγματα τῶν ἀποπεπτωκυιῶν δυνάμεων.

λζ'. *Ἐὰν μὴ περισσεύσῃ*, φησὶν, *ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθετε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.* Γραμματεῖς μὲν καὶ Φαρισαίους ἡμᾶς προσαγορεύουσιν, ὡς τὴν γραμματικὴν παίδευσιν ἀσκοῦντας, καὶ μεγαλαυχοῦντας ἐπ' αὐτῇ· περισσεύειν δὲ ἡμῶν τὴν δικαιοσύνην αὐτῶν λέγουσιν ἐν τῷ διδάσκειν ἀληθέστερα, καὶ μετιέναι πολιτείαν ἀκριβεστέραν τε καὶ καθαρωτέραν ἀπεχομένους κρεωφαγίας, καὶ τυροῦ, καὶ ᾠοῦ, καὶ γάμου, καὶ τῶν τοιούτων.

λη'. *Ἴσθι*, φησὶν, *εὐνοῶν τῷ ἀντιδίκῳ σου.* Ἀντίδικον τῶν ἀνθρώπων λέγοντες τὸν διάβολον, καὶ φρενοβλαβῶς ἑρμηνεύοντες, ὅτι χρὴ εὐνοεῖν αὐτῷ, καὶ θεραπεύειν διὰ προσκυνήσεως, ὡς ἀνωτέρω παραδεδώκαμεν, ἵνα μὴ πτερνίσας, καὶ καταβαλὼν τοὺς ἀπειθοῦντας παραδώσῃ τῷ κριτῇ καὶ Θεῷ, κατὰ τὴν ἡμέραν τῆς κρίσεως λόγον ὑφέξοντας τῆς ὑποσκελίσεως.

λθ'. Ἐπεὶ τὸ, *Πᾶς, ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας*, καὶ τὰ ἑξῆς τοῦ ῥητοῦ, τῷ περὶ τοῦ μὴ συζεύγνυσθαι γυναικὶ δόγματι τούτων ἀντίκειται, φασὶν ἀπόῤῥητα πᾶσιν εἶναι ταῦτα, καὶ ἀνερμήνευτα, καὶ μόνοις γνώριμα τοῖς ἀποτιθεμένοις τὴν σάρκα. Βεβαιοῦντες δὲ τὸ δόγμα τῆς ἀγαμίας, προκομίζουσι τοῦ Κυρίου λόγον, εἰρηκότος, ὅτι *Ἐν τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται*, νοοῦντες ἀνοήτως ἀνάστασιν τὴν μετάνοιαν καὶ τὴν εὐαγγελικὴν πολιτείαν.

A ipsum esse opus agnovisset. Neque omnia, inquiunt, illi regna dixisset esse daturum, nisi obtinuisset eorum dominatum, ut quæ a se essent facta, ut declaratum est.

34. *Et relicto*, inquit, *Nazareth, profectus habitavit in Capernaum* [1]. Nos dicunt esse Nazareth, se vero Capernaum. Et nunc apud se Christum habitare relicta Ecclesia nostra.

35. Beatitudines omnes de Bogomilis Christum dixisse contendunt. Se enim esse pauperes spiritu, et lugere, et esurire, atque sitire justitiam, et quæ sequuntur. Se vocari sal terræ, et mundi lucem, et quidquid de apostolis Christus dixit.

B 36. *Iota*, inquit, *unum, aut unus apex non præteribit a lege, donec omnia fiant* [2]. Iota legis Decalogum arbitrantur, apicem rursus eamdem legem. Si quis enim apicem ex transverso jacentem erexerit, iota constituet. Atque ita exponunt Decalogum non transiturum, sed permansurum observatum apud Hebræos, donec transeat cœlum et terra. *Non veni*, inquit, *ut legem solverem, sed ut* cœlum *implerem* [3], quod angelis, qui illud incolebant, exclusis vacuum mansit, et ut ordines potestatum explerem, quæ ceciderunt.

37. *Nisi abundaverit*, inquit, *justitia vestra plus quam Scribarum et Pharisæorum, non intrabitis in regnum cœlorum* [4]. Scribas et Pharisæos nos appel-
C lant, ut qui litterarum studiis incumbamus, et ipsis gloriemur. Justitiam vero ipsorum nostræ præstare in iis docendis, quæ veriora sunt, et magis ad vitam recte et pure instituendam accommodata, cum ab esu carnis, et ovis, et nuptiis, et aliis ejusmodi rebus abstineant

38. *Esto*, inquit, *consentiens adversario tuo* [5]. Adversarium nostrum hic diabolum intelligunt. Et mente capti eum benevolentia, et observantia, atque adoratione observandum dicunt, ut superius ostendimus, ne supplantans et subjiciens contumaces tradat eos judici et Deo in die judicii supplantationis pœnas subituros.

D 39. Quoniam illud : *Omnis qui dimiserit uxorem, excepta fornicationis causa* [6], et quæ sequuntur, dogmati ipsorum de uxore non ducenda repugnat et adversatur, dicunt ea verba esse arcana, nec ab ullo posse intelligi, nisi qui carnem exuerit. Confirmantesque cœlibatus rationem, afferunt sermonem Domini, qui, *In resurrectione*, inquit, *neque nubent, neque ducent uxores* [7]. Resurrectionemque pœnitentiam et vitam evangelicam interpretantur.

[1] Matth. IV, 13. [2] Matth. V, 18. [3] ibid. 17. [4] Matth. V, 20. [5] Matth. V, 25. [6] Matth. V, 32. [7] Matth. XXII, 30.

40. *Neque per Hierosolymam*, inquit, *juraveris*, A *quoniam civitas est magni regis* [1]. Magnum regem dicunt nunc esse diabolum, ut mundi principem. Propitius esto nobis, Domine, istorum narrantibus maledicta.

41. *Audistis*, inquit, *dictum esse: Oculum pro oculo, et dentem pro dente* [2]. Oculos duas dicunt esse leges, Mosaicam et evangelicam; dentes autem duas vias, latam et arctam. Christum enim legem pro lege dedisse, nimirum evangelicam pro Mosaica; et viam pro via, nempe arctam pro lata. O lata insipientium hominum imperitia!

42. *Tu autem cum oras, intra in cubiculum tuum* [3]. Cubiculum mentem intelligunt, et his verbis adducti monent, ut nemo in ecclesiis precetur, cum ta- B men prophetam Davidem audiant jubentem, ut in ecclesiis Deo benedicamus.

43. *Respicite*, inquit, *volatilia cœli, quod non serunt neque metunt* [4], et quæ sequuntur. Volatilia cœli monachos appellant, qui in columnis degunt, et cum inertem vitam traducant, tamen a Patre cœlesti nutriuntur. Lilia vero campi se ipsos vocant, quod animæ candore puri sint, virtutibusque ornati, quarum nulla potuerit indui Salomon, qui animæ vestem habuit inquinatam.

44. *Nolite*, inquit, *dare sanctum canibus, neque projicere margaritas vestras ante porcos* [5]. San- C ctum appellant simpliciorem quam ipsi profitentur fidem; margaritas vero magis recondita et accuratiora erroris ipsorum instituta. Canes autem et porcos (proh! incredibilem contumeliam!) homines, qui apud nos pii sunt, tanquam idololatras. Horresco enim referens reliqua eorum secreta. Deinde subjiciunt se ita suscipere eos qui ad ipsos accedunt, ut canes et porcos. Ac primum quidem illos expurgant jejuniis et precationibus, deinde baptizant, ut demonstravimus. Post autem cum paulatim profecerint, et perfectiores evaserint, sanctum illis margaritasque tradunt.

45. *Cavete*, inquit, *a falsis prophetis* [6]. Falsos D appellant prophetas homines imperiti magnum Basilium, theologiæ splendorem Gregorium, linguam illam auream Joannem, quos ut domesticos sequimur. Prætereo cætera, quæ adversus hos sanctos isti, qui fulmine, et igne cœlesti, atque flamma digni sunt, debacchantur.

46. *Multi*, inquit, *dicent mihi in illa die: Domine, Domine, nonne in nomine tuo prophetavimus, nonne in nomine tuo dæmonia ejecimus? et tunc confitebor illis: Nunquam novi vos: discedite a me, operarii iniquitatis* [7]. Hæc illi verba interpretan-

μ'. *Μήτε εἰς Ἱεροσόλυμα*, φησιν, *ὀμόσῃς, ὅτι πόλις ἐστὶ τοῦ βασιλέως τοῦ μεγάλου*· μέγαν βασιλέα λέγοντες νῦν τὸν διάβολον, ὡς κοσμοκράτορα. Ἵλεως ἡμῖν εἴης, Κύριε, τὰς ἐκείνων βλασφημίας διηγουμένοις.

μα'. *Ἀκούσατε*, φησὶν, *ὅτι ἐῤῥέθη ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος*. Ὀφθαλμοὺς μέν φασι τοὺς δύο νόμους, τὸν Μωσαϊκὸν καὶ τὸν εὐαγγελικόν· ὀδόντας δὲ τὰς δύο ὁδοὺς, τὴν πλατεῖαν καὶ στενήν. Τὸν Χριστὸν γὰρ ἐλθόντα δοῦναι νόμον ἀντὶ νόμου, τὸν εὐαγγελικὸν ἀντὶ τοῦ Μωσαϊκοῦ, καὶ ὁδὸν ἀντὶ ὁδοῦ, τὴν στενὴν ἀντὶ τῆς πλατείας. Ὢ τῆς πλατείας ἀγροικίας τῶν ἀπαιδεύτων!

μβ'. *Σὺ δὲ, ὅταν προσεύχῃ*, φησὶν, *εἴσελθε εἰς τὸ ταμιεῖόν σου*. Ταμιεῖον λέγουσι τὸν νοῦν, καὶ ἀπὸ τοῦδε τοῦ ῥητοῦ κινούμενοι διδάσκουσι μὴ προσεύχεσθαι μηδένα τούτων ἐν ἐκκλησίαις, καίτοι σαφῶς ἀκούοντες τοῦ προφήτου Δαβὶδ κελεύοντος ἐν ἐκκλησίαις εὐλογεῖν τὸν Θεόν.

μγ'. *Ἐμβλέψατε*, φησὶν, *εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσι*, καὶ τὰ ἑξῆς. Πετεινὰ τοῦ οὐρανοῦ τοὺς ἐπὶ κιόνων ἀσκοῦντας μοναχοὺς νοοῦσιν, οὓς ἀργὸν ἄγοντας βίον τρέφεσθαι μάτην παρὰ τοῦ ἐπουρανίου Πατρός. Κρίνα δὲ τοῦ ἀγροῦ καλοῦσιν ἑαυτοὺς, ὡς λευκοὺς ἐν καθαρότητι ψυχῆς καὶ πυριπνόους ἐν ἀρεταῖς, ὧν μηδενὶ δύνασθαι παραβληθῆναι τὸν Σολομῶντα κατεσπιλωμένον ἔχοντα τὸ τῆς ψυχῆς περιβόλαιον.

μδ'. *Μὴ δῶτε*, φησὶν, *τὸ ἅγιον τοῖς κυσὶ, μηδὲ ῥίπτετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων*. Ἅγιον μὲν λέγουσι τὴν κατ' αὐτοὺς ἁπλουστέραν πίστιν, μαργαρίτας δὲ τὰ μυστικώτερα καὶ πολυτελέστερα δόγματα τῆς πλάνης αὐτῶν· κύνας δὲ καὶ χοίρους, ὢ τῆς ὑπερβαλλούσης ὕβρεως! τοὺς καθ' ἡμᾶς εὐσεβεῖς, ὡς εἰδωλολάτρας. Φρίσσω γὰρ εἰπεῖν τὴν ἄλλην ἀῤῥητολογίαν αὐτῶν. Εἶτα προστιθέασιν, ὅτι τὸν προσερχόμενον αὐτοῖς παραλαμβάνουσιν, ὡς κύνα καὶ χοῖρον. Καὶ πρῶτα μὲν ἀφανίζουσι διὰ νηστείας καὶ προσευχῆς, εἶτα βαπτίζουσιν, ὡς προπαραδεδώκαμεν. Εἶθ' οὕτω λαμπρυνομένῳ ταῖς κατὰ μικρὸν προκοπαῖς τε καὶ ἀναβάσεσι, καταπιστεύουσιν ἠρέμα τὸ ἅγιον καὶ τοὺς μαργαρίτας.

με'. *Προσέχετε*, φησὶν, *ἀπὸ τῶν ψευδοπροφητῶν*. Ψευδοπροφήτας λέγουσιν, ὢ τῆς ἀτοπίας! τὸν μέγαν ἐν δόγμασι Βασίλειον, τὸν ἀστέρα τῆς θεολογίας Γρηγόριον, τὸν χρυσοῦν τὴν γλῶτταν Ἰωάννην, ὡς οἴκοθεν δογματίσαντας. Σιωπῶ γὰρ τὰς ἄλλας παροινίας τῶν σκηπτοῦ, καὶ πρηστῆρος, καὶ χάσματος, καὶ πάσης τιμωρίας ἀξίων, ἃς κατὰ τῶν ἁγίων τούτων πλέον τῶν ἄλλων ἐκφέρουσι.

μς'. *Πολλοὶ*, φησιν, *ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν; καὶ τότε ὁμολογήσω αὐτοῖς, ὅτι Οὐδέποτε ἔγνων ὑμᾶς. Ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν*

[1] Matth. v, 35. [2] ibid. 38. [3] Matth. vi, 6. [4] ibid. 26. [5] Matth. vii, 6. [6] ibid. 15. [7] Matth. vii, 22, 23.

ἀνομίαν. Ταυτὶ δὲ τὰ ῥήματα τοῦ Εὐαγγελίου διερμηνεύοντες, φασὶ τούτους εἶναι τοὺς παρ' ἡμῖν ἁγίους ἱεράρχας καὶ θείους Πατέρας, ὅσοι προφητικῆς χάριτος ἠξιώθησαν, καὶ δαίμονας ἀπήλασαν, καὶ ἄλλα πάμπολλα τεθαυματουργήκασι· πάντα γὰρ τοὺς ἐνοικοῦντας αὐτοῖς δαίμονας τερατουργεῖν εἰς ἔκπληξιν τῶν ἀνοητοτέρων. Καὶ μὴν δαίμων οὐκ ἐκβάλλει δαίμονα. Τοῦτο γὰρ ἡ αὐτοαλήθειά φησιν ὁ Χριστός. Λυσσωδέστατε κύων, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη σου.

μζ'. Ἄνδρα μὲν φρόνιμον ὀνομάζουσιν ἑαυτοὺς, οἰκοδομήσαντας τὴν οἰκίαν ἐπὶ τὴν πέτραν τῆς προσευχῆς τοῦ *Πάτερ ἡμῶν*· ἄνδρα δὲ μωρὸν καλοῦσιν ἡμᾶς, οἰκοδομήσαντας τὴν οἰκίαν ἐπὶ τὴν ψάμμον τῶν ἄλλων προσευχῶν, τῶν πολλῶν μὲν, ἀσθενῶν δὲ καὶ ἀνοήτων, ὡς τοῖς ἀνοήτοις τούτοις δοκεῖ.

μη'. *Καὶ προσελθὼν*, φησὶν, *εἷς γραμματεὺς εἶπεν αὐτῷ, Διδάσκαλε, ἀκολουθήσω σοι, ὅπου ἐὰν ἀπέρχῃ. Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλῖναι.* Γραμματέα μὲν λέγουσι πάντα γραμματικὸν, καὶ παραγγέλλουσιν ἀλλήλοις μὴ παραδέχεσθαι γραμματικὸν εἰς μαθητὰς κατὰ μίμησιν, ὡς εἴρηται, τοῦ Χριστοῦ μὴ παραδεξαμένου τὸν γραμματέα· ἀλώπεκας δὲ νοοῦσι τοὺς ἐν στενοχώροις οἰκίσκοις καθειργμένους ἀσκητὰς, ὡς ἔν τισι φωλεοῖς. Πετεινὰ δὲ τοῦ οὐρανοῦ τοὺς κιονίτας, ὡς ἀνωτέρω προείρηται, παρ' οἷς μὴ κατοικεῖν ὅλως τὸν Χριστὸν, ὡς ἀναξίοις τῆς ἐπιδημίας αὐτοῦ. Τάφος ὄντως ἀνεῳγμένος ὁ λάρυγξ τῶν ἀλαστόρων, πολλὴν ἀναπέμπων δυσωδίαν, καὶ φθοροποιὸν ἰὸν προχέων διὰ τοῦ θεομάχου στόματος.

μθ'. Δύο δαιμονιζομένους λέγουσιν ἐκ τῶν μνημείων ἐξερχομένους, τό τε τάγμα τῶν μοναχῶν, καὶ τὸ τάγμα τῶν κληρικῶν. Ἀεὶ γὰρ ἐν τοῖς χειροποιήτοις ναοῖς διατρίβειν, οὕστινας εἶναι τάφους θησαυρίζοντας ὀστέα νεκρῶν. Οὕτω γὰρ οἱ ἐναγεῖς ὀνομάζουσι τὰ λείψανα τῶν ἁγίων. Εἶναι δὲ τὰ δύο ταῦτα τάγματα φοβερὰ λίαν τοῖς Βογομίλοις, ὥστε μηδένα τούτων ἰσχύειν παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης. Ἀγέλην δὲ χοίρων πολλῶν βοσκομένων ὑπάρχειν τοὺς ἀγελαίους, καὶ ἀμαθεῖς, καὶ χοιρώδεις ἀνθρώπους, εἰς οὓς ἀπέρχεσθαι τούτους, καὶ διδάσκειν καὶ κατακρημνίζειν, καὶ ἀποπνίγειν αὐτοὺς ἐν τῇ θαλάσσῃ τῆς ἁμαρτίας.

ν'. Οἶνον μὲν καλοῦσι νέον τὴν διδασκαλίαν ἑαυτῶν, ἀσκοὺς δὲ παλαιοὺς τοὺς μὴ προσιεμένους αὐτὴν, ἀσκοὺς δὲ νέους τοὺς ὑποδεχομένους ταύτην καὶ συντηροῦντας ἐν ἑαυτοῖς.

να'. Γυναῖκα νοοῦσιν αἱμοῤῥοοῦσαν ἔτη δώδεκα τὴν ἐν Ἱεροσολύμοις Ἐκκλησίαν, αἱμοῤῥοοῦσαν τοῖς χεομένοις αἵμασι τῶν θυσιῶν ἐν ταῖς δώδεκα φυλαῖς τοῦ Ἰσραήλ. Ταύτης γὰρ τὴν αἱμόῤῥοιαν στῆσαι τὸν Χριστὸν, ἐξολοθρεύσαντα μετὰ μικρὸν τὰ Ἱεροσόλυμα. Ἀλλὰ πῶς ἂν ἔτη δώδεκα νοηθεῖεν ἂν αἱ δώδεκα φυλαί; Τὸ μὲν γὰρ ἔτος χρονικόν τι κίνημα καὶ

A tes, hos esse dicunt sanctos pontifices nostros, divinosque Patres, qui prophetiæ munere donati sunt, quique dæmonas ejecerunt, et alia multa miracula ediderunt. Quæ quidem omnia a dæmonibus, qui in ipsis habitabant, fuisse facta contendunt, ut oculos præstringerent imperitiorum. Atqui dæmon non ejicit dæmonem, ut ipsa veritas Christus testatur. Rabidissime canis, venenum aspidum sub labiis tuis.

47. Virum prudentem se ipsos interpretantur, quod super precationis illius, *Pater noster*, petram domum ædificent; stultum autem, nos qui domum ædificemus super alias preces, quæ multæ quidem sint, sed infirmæ et stultæ, ut ipsis stul-
B tis videtur.

48. *Et accedens*, inquit, *unus scriba dixit ei: Magister, sequar te quocunque ieris. Et dicit ei Jesus: Vulpes foveas habent, et volucres cœli nidos; Filius autem hominis non habet, ubi caput reclinet* [1]. Scribas appellant omnes litteratos, quos in disciplinam non esse recipiendos sese mutuo admonent, ad Christi imitationem, ut dictum est, qui scribam non recepit. Vulpes autem intelligunt monachos, qui in domunculis angustis, tanquam in latebris inclusi sunt. Volatilia cœli eos existimant, qui in columnis vitam degunt, ut ante diximus, apud quos Christus omnino non habitet, cum illius præsentia sint indigni. Sepulcrum vere patens guttur istorum hominum scelestorum, quod multum fœto-
C rem emittit.

49. Duos illos dæmonibus vexatos, qui de sepulcris exibant, duos ordines interpretantur, nempe clericorum et monachorum; semper enim in manu factis templis quæ isti sepulcra vocant, inhabitare, in quibus mortuorum ossa recondita sint. Sic enim homines nefarii appellant reliquias sanctorum. Hos porro duos ordines Bogomilis esse valde formidandos, adeo ut nemo ipsorum per illam viam transire queat. Gregem autem porcorum multorum pascentium esse homines viles, et imperitos, ac vitam suillam agentes quos illi suffocant in mari peccatorum.

D 50. Vinum novum appellant doctrinam suam, utres autem veteres, eos qui illam non admittunt: novos vero, qui illam suscipiunt atque conservant.

51. Mulierem, quæ duodecim annos sanguinis fluxu laboraverat, Hierosolymitanam appellant Ecclesiam, quæ sanguinis victimarum effusionem in duodecim tribubus Israelis patiebatur. Hunc sanguinis fluxum stitisse Christum, cum paulo post evertit Hierosolymam. Sed quomodo per annos duodecim intelligi possunt duodecim tribus, cum annus

[1] Matth. VIII, 19, 20.

sit temporarius quidam motus atque intervallum, tribus autem sit genus hominum? Quid autem intersit inter hominem et tempus quis non videt?

52. Audite magis adhuc ridiculam interpretationem, atque inde colligite ineptias nihil ab anilibus nugis et fabulis discrepantes. Illud enim, *Increpuit eos Jesus*, sic interpretantur, ut idem sit, ac si dixisset: Injecit illis Jesus sermonem. Cum pudore, mihi credite, et invitus hæc loquor. Ridicula enim commemorans, ridiculus videor. Quanquam paucis dedita opera multa coacervavi, ut ex his paucis reliqua lectores judicarent: sunt enim omnia ejusdem, ut aiunt, officinæ. Vastum enim impietatis pelagus aperuimus, ad quod trajiciendum multorum esset opus dierum spatio. Nos autem paululum a terra adhuc movimus, et tamen vos nauseantes sentio, imo vero mihi prius, quam vobis, id accidit. Ac mihi melius videtur, ut orationis vela contrahamus, et inhibentes in silentii portum contendamus; et eo magis, quod lingua illa scelesta garrulaque conticuit; et nefaria illius labra, qui impias istiusmodi nugas excogitabat, oppressa sunt, et obturatum est os loquentium iniqua. Cum enim hunc sapientissimus et magnanimus noster imperator accersendum curasset, et ex verbis ipsius fabulæ simulationem patefecisset, eumque, nihil aliud esse, nisi æs undique tinniens et fallax reperisset, cum modo fingeret se resipiscere, modo tanquam canis ad vomitum suum rediret, re considerata, omnibusque magistratibus tam civilibus, quam ecclesiasticis convocatis, sententiam tulit, ut igne combureretur, qui multos in gehennæ ignem conjecerat. Ac nunc ille quidem crematus abiit. Quis autem dolori questum exæquans satis ipsius meritis conqueratur, qui cum quindecim annorum spatio dogmata didicisset, ea docuit annis amplius quadraginta, innumerabilesque discipulos in barathrum perditionis detrusit, ac denique ab illis minime sancte discedens, et ab utraque vita exclusus, sic utrumque ignem est consecutus, ut ab exstincto ad illum, qui non exstinguitur, profectus sit? De reliquis item fidendum est. Caput enim draconis jam confractum est, partesque ipsius, ac membra præcipua sublata, reliqua autem similem exitum aut celeriter, aut paulo post consequentur. Bona autem sumus in spe, ne caudam quidem evitaturam diligentem et accuratam imperatoris indagationem, qui magno studio atque omni ratione cunctos venatur, ut eos retibus comprehendat, quo pietatis triticum a zizaniis expurgatum ostendatur.

διάστημα, ἡ δὲ φυλὴ γένος ἀνθρώπων. Ὅσον δὲ τὸ διάφορον ἀνθρώπου καὶ χρόνου!

νβ'. Ἀκούσατε καὶ γελοιωδεστέραν ἑρμηνείαν, κἀντεῦθεν καταμάθετε τὴν ἀλογίαν τῶν μηδὲν ἄμεινον γραῶν κωθωνιζομένων μυθολογούντων. Τὸ γὰρ, *Ἐνεβριμήσατο αὐτοῖς ὁ Ἰησοῦς λέγων*, ἑρμηνεύουσιν, ὅτι ἐνεβρωμάτισεν αὐτοῖς ὁ Ἰησοῦς λόγον. Ἆρ' οὐ δοκῶ καὶ αὐτὸς παραπαίειν τὰ τῶν παραπαιόντων ὑποκρινόμενος; Αἰσχύνομαι, πιστεύσατε, καὶ ἀβουλήτως τοιαῦτα φθέγγομαι. Διὰ τοῦτο γὰρ καὶ τὰ πολλὰ παρέδραμον ἐπίτηδες, καὶ σποράδην τὰ ῥηθέντα συνεγραψάμην. Χρὴ δὲ τοὺς ἐντυγχάνοντας ἀπὸ τῶν ὀλίγων τούτων διαγνῶναι καὶ τὰ λειπόμενα τῆς αὐτῆς, ὅ φασιν, ὄντα κεραμείας. Πέλαγος γὰρ ἀσεβείας ἀχανὲς ἠνοίξαμεν πολλῶν ἡμερῶν εἰς τὸ διαπεραιωθῆναι δεόμενον, καὶ μικρὸν ἀπεσπάσαμεν τῆς γῆς ἔτι. Καὶ ναυτιώντων ὑμῶν αἰσθάνομαι, μᾶλλον δὲ καὶ πρὸ ὑμῶν αὐτὸς ἐγὼ τοῦτο πέπονθα, καί μοι δοκεῖ βέλτιον χαλάσαντα τὴν ὀθόνην τοῦ λόγου, καὶ πρύμναν κρουσάμενον εἰς τὸν τῆς σιωπῆς καταῖραι λιμένα, καὶ μᾶλλον, ὅτι σεσίγηκεν ἡ πονηρὰ καὶ λάλος γλῶσσα, καὶ τὰ ἔμμυσα μέμυκε χείλη τοῦ τὴν ἐναγῆ ταύτην ἀδολεσχίαν ὑφηγησαμένου, καὶ ἐνεφράγη στόμα λαλούντων ἄδικα. Παραστησάμενος γὰρ αὐτὸν ὁ σοφώτατος καὶ μεγαλόψυχος ἡμῶν βασιλεὺς, καὶ τὴν ἀπόκρισιν τοῦ γράμματος ἀποκαλύψας, καὶ διακωδωνίσας τοῦτον, ἐπείπερ εὗρε πανταχόθεν ὑπόχαλκον ἠχοῦντα, καὶ κίβδηλον, καὶ νῦν μὲν ἐπαγγελλόμενον μεταβολὴν, ἄρτι δὲ καθάπερ κύνα πρὸς τὸν ἴδιον ἐπανερχόμενον ἔμετον, σκέψιν περὶ τούτου προθεὶς, καὶ συμψήφους τοὺς ἐν τέλει πάντας λαβὼν ἐκκλησιαστικοὺς ἅμα καὶ πολιτικοὺς, κατεδίκασε τὴν διὰ πυρὸς ὑποστῆναι τιμωρίαν τὸν πολλοὺς εἰς τὸ τῆς γεέννης παραπέμψαντα πῦρ. Καὶ νῦν ὁ μὲν πυρίκαυστος ᾤχετο, πονηρὸν ἐντάφιον ἀπενεγκάμενος τὴν ἀσέβειαν. Τίς δ' ἂν εἰδὼς πάθεσι θρήνους ἐξισοῦν ἀξίως αὐτὸν ὀδύραιτο, μαθόντα μὲν τὰ δόγματα τῆς πλάνης ἐν ἔτεσι πεντεκαίδεκα, διδάξαντα δὲ ταῦτα πάλιν ἐν πλείοσι τῶν τεσσαράκοντα, μυρίους δὲ μαθητὰς εἰς τὸ βάραθρον ὤσαντα τῆς ἀπωλείας, καὶ τελευταῖον οὐκ εὐαγῶς αὐτοῖς ἐπαπελθόντα, καὶ ζωῆς μὲν ἑκατέρας ἐκπεπτωκότα, πυρὸς δὲ τούτου κἀκείνου τετυχηκότα, καὶ διὰ τοῦ σβεσθέντος ἐπὶ τὸ μὴ σβεννύμενον ἐκδημήσαντα; Χρὴ μέντοι θαῤῥεῖν καὶ περὶ τῶν ὑπολελειμμένων. Συντέτριπται γὰρ ἡ τοῦ δράκοντος ἤδη κεφαλή. Τῶν δὲ μερῶν αὐτοῦ καὶ μελῶν τὰ καιριώτατα μὲν συνείληπται, τὰ δὲ μέλλει, τὰ δὲ προσαγγέλλεται καθ' ἑκάστην, καὶ τρεφόμεθα χρησταῖς ἐλπίσιν, ὡς οὐδὲ τὸ οὐραῖον ἐκφεύξεται τὴν ἐμμελῆ τοῦ θεοσυνεργήτου βασιλέως ἔρευναν καὶ κατεσπουδασμένην ἀναζήτησιν μεγάλαις φροντίσι κατατεινομένου παντὶ τρόπῳ πάντας αὐτοὺς εἴσω σαγήνης λαβεῖν, καὶ καθαρὰ ζιζανίων ἀποφῆναι τῆς εὐσεβείας τὰ λήϊα.

TITULUS XXVIII.

Adversus Saracenos, qui vocantur Ismaelitæ, quod ab Ismaele originem duxerint. Hic autem fuit

ΤΙΤΛΟΣ ΚΗ'.

Κατὰ Σαρακηνῶν, οἳ καλοῦνται Ἰσμαηλῖται μὲν, ὡς ἀπὸ τοῦ Ἰσμαὴλ καταγενόμενοι· υἱὸς δὲ

* Hunc titulum primus Græce et Latine edidit Frid. Sylburgius in *Saracenicis*, apud Heor. Commelinum anno

ἦν οὗτος τοῦ Ἀβραὰμ, γεννηθεὶς αὐτῷ ἐξ A Ἄγαρ τῆς παιδίσκης Σάῤῥας· Ἀγαρηνοὶ δὲ, ἀπὸ Ἄγαρ τῆς μητρὸς Ἰσμαήλ· Σαρακηνοὶ δὲ, ἀπὸ τοῦ τὴν Ἄγαρ εἰπεῖν πρὸς τὸν ἄγγελον, ὅτε ἀπελαθεῖσα παρὰ τῆς κυρίας αὐτῆς, ὥδευε κατὰ τὴν ἔρημον ἐπιφερομένη τὸν Ἰσμαήλ, ὅτι Σάῤῥα κενήν με ἀπέλυσεν, ὡς ἐκεῖνοι λέγουσιν.

Abrahæ filius ex Agar ancillà Saræ susceptus. Agareni autem dicuntur ab Agar Ismaelis matre. Saraceni vero appellantur ex eo, quod Agar cum a domina sua exclusa in solitudine iter faceret, ad angelum dixerit Sara cenin (id est vacuam) dimisit me, ut ipsi dicunt.

α'. Οἱ Σαρακηνοὶ μέχρι μὲν τῶν Ἡρακλείου τοῦ βασιλέως χρόνων εἰδωλολάτρουν, προσκυνοῦντες τῷ ἑωσφόρῳ ἄστρῳ, καὶ τῇ Ἀφροδίτῃ, ἣν δὴ καὶ Χαβὰρ τῇ ἑαυτῶν ἐπονομάζουσι γλώττῃ· δηλοῖ δὲ ἡ λέξις αὕτη τὴν μεγάλην· τότε δὲ ψευδοπροφήτης αὐτοῖς ἀνέστη Μωάμεθ, ὁ ταῖς βλασφημίαις μέγας καὶ περιβόητος. Οὗτος, ἀπὸ μιᾶς τῶν ἐξ Ἰσμαὴλ φυλῶν καταγόμενος, καὶ κομιδῇ νέος ὀρφανισθεὶς, B ἐθήτευε παρὰ γυναικὶ χήρᾳ, κατὰ γένος αὐτῷ προσηκούσῃ. Τὴν παιδικὴν δὲ παραμειψάμενος ἡλικίαν, ὑπέδυ ταύτην, καὶ συνεγένετο, καὶ φανερῶς αὐτὴν ἔλαβεν εἰς γυναῖκα. Γενόμενος δὲ κύριος τῶν ὑπαρχόντων αὐτῇ, πολλάκις καὶ ἀπεδήμει κατ' ἐμπορίαν. Καί ποτε παραγενόμενος εἰς Παλαιστίνην, συνέτυχεν Ἑβραίοις· εἶτα καὶ Ἀρειανοῖς· ἔπειτα καὶ Νεστοριανοῖς· καὶ δόξας φιλομαθὴς, ἠρύσατο ταχέως ἐξ Ἑβραίων μὲν μοναρχίαν, ἐξ Ἀρειανῶν δὲ Λόγον καὶ Πνεῦμα κτιστά· ἀπὸ δὲ Νεστοριανῶν ἀνθρωπολατρείαν· καὶ σύνθετος ἐξ αὐτῶν θρησκείαν ἑαυτῷ συνεστήσατο. Νοσήσαντος δέ ποτε παρέσει μελῶν, ἡ δηλωθεῖσα τούτου γυνὴ σφόδρα ἠνιᾶτο καὶ ἤσχαλλεν, οὐ μόνον ὡς πένητι συναφθεῖσα, ἀλλὰ καὶ ὡς παραλυτικὸν ἔχουσα τὸν γημάμενον. Ἦν δὲ C αὐτοῖς φίλος μοναχός τις αἱρετικὸς, ἐξόριστος εἰς ἐκεῖνα τὰ μέρη διὰ κακοπιστίαν γενόμενος. Οὗτος ἐξ ὑποθήκης τοῦ Μωάμεθ ἐπληροφόρησε τὴν τούτου σύζυγον, ὡς οὐκ ἔστι κοινὴ νόσος ἡ κατέχουσα τοῦτον· ἀλλ' ὁσάκις ἂν ἴδῃ τὸν ἀρχάγγελον Γαβριὴλ, μὴ φέρων αὐτοῦ τὴν φοβερὰν ἐπιφάνειαν, εἰς τοῦτο καταπίπτει τὸ πάθος. Καὶ γὰρ ὁ δηλωθεὶς ἄγγελος εἰς τοὺς μεγάλους ἀποστέλλεται προφήτας, ἀποκαλύπτων αὐτοῖς τὰ μυστήρια τοῦ Θεοῦ, καὶ γνῶσιν τῶν ἐσομένων. Ἀποστέλλεται δὲ, φησὶ, καὶ πρὸς τὸν ἄνδρα τὸν σαυτῆς, ὡς μέγιστον προφήτην. Αὕτη δὲ, πεισθεῖσα τοῖς λεγομένοις, καὶ γενομένη περιχαρὴς, ἐκήρυττε διαῤῥήδην ταῖς ἄλλαις γυναιξὶν, ὅτι μέγας ἐστὶ προφήτης Μωάμεθ ὁ ἀνὴρ αὐτῆς. D Καὶ τὸν τρόπον τοῦτον ἐκ γυναικῶν εἰς ἄνδρας ὁ λόγος οὗτος διαδοθεὶς ἐκράτησε, καὶ κατέστη βέβαιος. Καὶ λοιπὸν ἤρξατο διδάσκειν ὁ πλάνος ἐκεῖνος, καὶ τὴν τῶν δογμάτων αὐτοῦ νόσον διασπείρειν ἐπὶ τοὺς ἀνοήτους.

1. Saraceni usque ad Heraclii tempora simulacris colendis dediti fuere, summaque veneratione colebant Luciferum et Venerem; quam quidem illi *Chabar* sua lingua appellitabant: declarat autem hæc vox eorum lingua *magnam*. Quo tempore pseudopropheta apud ipsos exortus est Moameth ille, qui blasphemiis magnopere nobilitatus est. Hic e tribu quadam Ismaelitide genus ducens, primum quidem admodum juvenis parentibus orbatus servitutem serviebat apud mulierem quamdam viduam quæ genere ad ipsum attinebat. Ætate puerili exacta, in intimam consuetudinem ejus sese insinuavit, et cum ea concubuit, tandemque eam in uxorem duxit. Omnium itaque opum hæres factus, sæpenumero etiam mercaturæ causa peregre proficiscebatur. Quodam ergo tempore in Palæstinam iter faciens, incidit in Hebræos, deinde et in Arianos, tandem etiam in Nestorianos: cumque videretur ingenio discendi cupido, celeriter e Judæorum quidem doctrina, unius imperium (1), ex Arianorum vero Verbum et Spiritum res conditas hausit. Ex quibus omnibus inter se junctis mixtam quamdam religionem commentus est. Qui cum aliquando paralysi laboraret, prædicta ipsius uxor ægre illud et indigne ferebat, utpote quæ non solum pauperi sed et paralytico nupsisset. Quibus cum familiaris esset monachus quidam hæreticus, in eas partes ob pravas quasdam de fide opiniones expulsus, hic ex instinctu Moamethi conjugi ejus affirmavit, non esse illum communem morbum quo maritus affligeretur: sed quotiescunque conspiceret archangelum Gabrielem, et aspectum ipsius insolitum ac terribilem minus ferret, in hunc morbum incidere solere. Nam hic angelus, inquit, ad magnos prophetas ablegatur ut iisdem arcana et mysteria scientiamque futurorum aperiat. Sed et ad maritum tuum, ait, mittitur, tanquam ad prophetam maximum. Hæc vero cum orationi fidem adhibuisset, magno cum gaudio palam apud alias mulieres divulgabat, magnum prophetam esse Moamethum suum virum. Atque hoc modo etiam apud viros hæc fama mulieris obtinuit et confirmata est. Sicque deinceps impostor ille docere cœpit, et pestem suorum placitorum apud imperitos ac simplices disseminare.

β'. Οὗτος διεθρύλλησε γραφὴν οὐρανόθεν ἐπ' αὐτὸν κοιμώμενον καταπεσεῖν, ἔχουσαν τοιαύτην θεολογίαν· Ὅτι τε εἷς Θεός ἐστι, ποιητὴς τῶν ὅλων,

2. Hic divulgavit scripturam quamdam cœlitus super ipsum dormientem delapsam, quæ talem de Deo doctrinam complecteretur: nempe unum esse

(1) Hoc est, singularem esse in Deo personam.

1595, in-12; exstat in editione Latina Franc. Zini, sed omissus est in *Panopliæ* Græca editione principe anni 1710, præ metu Turcarum. Opusculum Græce et Latine repetitum est in Bibliotheca Gallandiana, tom. XIV, unde in nostram derivamus, multis tamen in melius mutatis ope notarum Sylburgii, quas omnino neglexerat editor Venetus.

Deum conditorem universi, qui neque genitus sit, A neque genuerit: et Verbum Dei atque Spiritum ejus, quæ sint condita, ingressa Mariam sororem Mosis et Aaronis, hancque sine semine peperisse Jesum Christum, qui propheta et servus Dei fuerit, Judæosque invidia concitatos voluisse ipsum in crucem tollere, quo comprehenso umbram ejus crucifixerint: Christum vero neque crucifixum fuisse, neque obiisse: Deum enim hunc assumpsisse eo quod ipsum amaret. Deum etiam Christum, posteaquam in cœlum ascendisset, interrogasse dicentem: « O Jesu! tuane hæc est oratio, quod tu scilicet sis Filius Dei et Deus? et Jesum respondisse: se non docuisse hoc neque erubescere Dei servum esse, verum homines hæc ita dixisse. » Hæc aliaque permulta monstra in illa scriptura effutit B ridicula, quam divinitus ad se delatam nimis insolenter jactitat.

3. Nos vero discipulo ejus respondemus, omnes prophetas de Domino nostro Jesu Christo prædixisse, et ante hos Mosen, quod et Dei Filius et Deus extremis temporibus humanam naturam esset assumpturus: et absoluta dispensatione sua in carne crucifigetur, sepelietur, et resurget, et in cœlum assumetur: tandemque venturus sit judex omnium; reddens unicuique secundum opera ejus: atque hos quidem prophetas vos quoque, uti quidem dicitis, probatis. Atqui de Moametho nemo illorum prædixit quod Deus Saracenis talem prophetam excitaturus sit. Et Moses quidem cum C mons Sina terribilis esset nubibus, igne, tenebris, et turbine aliisque consimilibus, quæ terrorem incutere et formidinem addere solent, omni populo spectante in tenebras ingressus est legemque retulit: Moamethus vero iste quibus portentis, aut quibusnam spectantibus accepit illam divinitus ad se missam, ut aiebat, scripturam? At isti cum his rationibus premuntur et in angustias rediguntur, respondent, Deum quæcunque velit, et quomodo velit, facere. Deinde nos iterum urgemus: At quomodo descendit illa scriptura ad prophetam vestrum? Et isti respondent: Eo dormiente in ipsum incidit. Et nos iterum reponimus: Et undenam constat quod divinitus super ipsum deciderit? enimvero verisimile est hominem qui eam D scripserat in ipsum projecisse: vel potius ipsum eam confinxisse, et postea, quasi cœlitus delapsa sit, prædicasse. Cum igitur nihil solidi ad sui defensionem in medium afferre possint, dicimus nos: Quemadmodum qui dormit, loquendo delirat, et sæpe aliquid monstrosi in somnis videt, sic etiam illa scriptura quæ in ipsum dormientem conjecta est, deliratio et somnio simillimum mendacium fuit. Rursum cum nos ex iisdem quærimus qui fiat ut cum illi ex præcepto Moamethi nihil sine testimonio neque facere neque probare et admittere soleant, nullum testimonium ab eodem exegerint, quod Deus ipsum ut prophetam elegerit, quodque ipse divinitus hanc de Deo

μήτε γεννηθείς, μήτε γεννήσας· καὶ ὅτι ὁ Λόγος τοῦ Θεοῦ, καὶ τὸ Πνεῦμα αὐτοῦ, κτιστὰ ὄντα, εἰσῆλθεν εἰς Μαρίαν τὴν ἀδελφὴν Μωσέως καὶ Ἀαρὼν, καὶ ἐγέννησεν αὐτὴ δίχα σπέρματος Ἰησοῦν τὸν Χριστόν· προφήτην καὶ δοῦλον γεγονότα τοῦ Θεοῦ· καὶ ὅτι οἱ Ἰουδαῖοι φθονήσαντες ἠθέλησαν αὐτὸν σταυρῶσαι· καὶ κρατήσαντες, ἐσταύρωσαν τὴν σκιὰν αὐτοῦ· αὐτὸς δὲ ὁ Χριστὸς οὐκ ἐσταυρώθη, οὐδὲ ἀπέθανεν· ὁ γὰρ Θεὸς ἔλαβεν αὐτὸν πρὸς ἑαυτὸν εἰς τὸν οὐρανὸν, διὰ τὸ φιλεῖν αὐτόν· καὶ ὅτι ἀνελθόντα τὸν Χριστὸν εἰς τὸν οὐρανὸν, ἐρώτησεν ὁ Θεὸς, λέγων· « Ὦ Ἰησοῦ, σὺ εἶπες τὸν λόγον τοῦτον, ὅτι Υἱὸς εἶ τοῦ Θεοῦ, καὶ Θεός; Καὶ ἀπεκρίθη Ἰησοῦς ὅτι Οὐκ εἶπον ἐγώ· οὐδὲ αἰσχύνομαι εἶναι δοῦλός σου. Ἀλλ' οἱ ἄνθρωποι λέγουσι, ὅτι εἶπον τὸν λόγον τοῦτον. » Καὶ ἄλλα πολλὰ τερατολογῶν ἐν τῇ τοιαύτῃ γραφῇ γέλωτος ἄξια, ταύτην ἐκ Θεοῦ ἐπ' αὐτὸν κατενεχθῆναι φρυάττεται.

γ'. Ἡμεῖς δὲ πρὸς τὸν μαθητὴν αὐτοῦ λέγομεν ὅτι Περὶ μὲν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πάντες οἱ προφῆται προκατήγγειλαν, καὶ πρὸ τούτων Μωσῆς, ὅτι Θεοῦ Υἱὸς ὢν καὶ Θεὸς, ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐνανθρωπήσει· καὶ τελέσας τὴν ἔνσαρκον οἰκονομίαν αὐτοῦ, σταυρωθήσεται καὶ ταφήσεται, καὶ ἀναστήσεται, καὶ εἰς οὐρανὸν ἀναληφθήσεται· καὶ τελευταῖον ἥξει κριτὴς πάντων, ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Τούτους δὲ τοὺς προφήτας, καὶ ὑμεῖς, ὡς λέγετε, δέχεσθε. Περὶ δὲ τοῦ Μωάμεθ τούτων οὐδεὶς προεφήτευσεν, ὅτι τοιοῦτον προφήτην ἀναστήσει τοῖς Σαρακηνοῖς ὁ Θεός. Καὶ ὁ μὲν Μωσῆς, τοῦ ὄρους τοῦ Σινᾶ φοβεροῦ γεγονότος ἐν νεφέλῃ, καὶ πυρὶ, καὶ γνόφῳ, καὶ θυέλλῃ, καὶ τοιαύταις ἄλλαις φρικταῖς καταπλήξεσιν, ὁρῶντος τοῦ λαοῦ παντὸς, εἰσῆλθεν εἰς τὸν γνόφον, καὶ τὸν νόμον ἐκομίσατο· ὁ δὲ Μωάμεθ, ποίων θεοσημείων προηγησαμένων, ἢ τίνων ὁρώντων, ἐδέξατο τὴν θεόπεμπτον ταύτην, ὡς ἔλεγε, γραφήν; Καὶ οὗτοι ἐξαπορούμενοι ἀποκρίνονται, ὅτι ὁ Θεὸς, ὅσα θέλει, καὶ ὡς θέλει, ποιεῖ. Εἶτα πάλιν ἡμεῖς· Ἀλλὰ πῶς κατῆλθεν ἐπὶ τὸν προφήτην ὑμῶν ἡ γραφή; Καὶ λέγουσιν, ὅτι κοιμωμένου ἐπέπεσεν ἐπ' αὐτόν. Καὶ αὖθις ἡμεῖς, Καὶ πόθεν δῆλον, ὅτι θεόθεν ἔπεσεν ἐπ' αὐτόν; Εἰκὸς γὰρ ἄνθρωπον αὐτὴν γράψαντα ῥίψαι ἐπ' αὐτόν· ἢ καὶ αὐτὸν ταύτην πλασάμενον κηρύττειν ὅτι θεόθεν ἔπεσεν ἐπ' αὐτόν. Μηδὲν δὲ καίριον προσαπολογεῖσθαι δυναμένων, λέγομεν ὅτι Ὥσπερ ὁ κοιμώμενος παραφθέγγεται, καὶ ἀλλοκότους ὀνείρους βλέπει πολλάκις, οὕτω καὶ τὰ τῆς γραφῆς, ἥτις ἐπ' αὐτὸν ἐῤῥίφη κοιμώμενον, παραφορὰ, καὶ ὀνειρωδικώτατον τὸ ψεῦδος. Ἐρωτώντων δὲ πάλιν ἡμῶν, Πῶς, τοῦ Μωάμεθ ὑμῖν ἐντειλαμένου μηδὲν ἄνευ μαρτυρίας ἢ ποιεῖν ἢ παραδέχεσθαι, οὐκ ἀπῃτήσατε αὐτὸν μαρτυρίαν, ὅτι τε ὁ Θεὸς αὐτὸν προφήτην ἐχειροτόνησε, καὶ ὅτι θεόθεν ἐδέξατο τὴν εἰρημένην θεολογίαν; Σιωπῶσιν αἰδούμενοι. Καὶ αὖθις ἡμεῖς· Ὢ τῆς ἀτοπίας! γυναῖκας μὲν καὶ δούλους, καὶ χρήματα καὶ κτήματα, καὶ ὄνους καὶ κύνας, τὸ εὐτελέστατον, χωρὶς μαρτυρίας οὐκ ἔχετε· μόνην δὲ πίστιν καὶ γραφὴν οὕτως ἀμάρτυρον ἔχετε;

doctrinam acceperit ? pudore suffusi conticescunt. Et nos iterum contra : O absurdissimos vos ! mulieres et servos, pecunias et possessiones, asinos atque canes, vilissimum animal, sine testibus non possidetis : solam vero fidem et scripturam adeo sine testibus tenetis ?

δ'. Ἀλλ' ἐπεὶ Ἰησοῦν Χριστὸν λέγετε Λόγον τοῦ Θεοῦ, καὶ Πνεῦμα αὐτοῦ, συνομολογεῖτε καὶ ἄκοντες ὅτι ὁ Λόγος τοῦ Θεοῦ καὶ τὸ Πνεῦμα αὐτοῦ ἐν τῷ Θεῷ εἰσιν. Ὁ γὰρ Λόγος τοῦ Θεοῦ καὶ τὸ Πνεῦμα αὐτοῦ ἀχώριστά εἰσι του οὗ εἰσιν, ἵνα μὴ ἄλογος καὶ ἄπνους ὑπολειφθῇ. Εἰ δὲ ἐν τῷ Θεῷ ἐστιν ὁ Λόγος αὐτοῦ, δηλονότι καὶ Θεός ἐστι. Καὶ λοιπὸν ὁ Χριστὸς, ὡς μεν Λόγος τοῦ Θεοῦ, Θεός ἐστιν, ὡς δὲ ἐκ Παρθένου γεννηθεὶς, ἄνθρωπός ἐστι. Καὶ οὕτω διπλοῦν ὄντα χρὴ τοῦτον ὁμολογεῖν, Θεόν τε καὶ ἄνθρωπον, ἐν δύο φύσεσι γνωριζόμενον, θεότητός τε B καὶ ἀνθρωπότητος. Αὐτοὶ δὲ πάλιν ἀλογίστως ἐπὶ τὴν θεόπεμπτον γραφὴν καταφεύγουσι. Χρὴ δὲ καὶ συλλογιστικῶς αὐτοὺς ἀναγαγεῖν ἐπὶ τὴν ἀλήθειαν. Ὁ Θεὸς, τέλειος ὢν, οὐκ ἄλογός ἐστι· Λόγον δὲ ἔχων, οὐκ ἀνυπόστατον ἔχει τοῦτον, οὐδὲ ἀρξάμενον τοῦ εἶναι, οὐδὲ παυσόμενον· οὐδὲ γὰρ ἦν ποτε ἄλογος· ἀλλ' ἀεὶ ὢν τὸν ἑαυτοῦ Λόγον ἔχων ἐξ αὐτοῦ γεννώμενον, καὶ ἐν αὐτῷ μένοντα, καὶ ζῶντα, καὶ τέλειον, καὶ οὐ κατὰ τὸν ἡμέτερον λόγον. Ὧν γὰρ τὸ εἶναι διάφορον, τούτων καὶ ὁ λόγος διάφορος. Ὥσπερ δὲ ὁ ἡμέτερος λόγος ἐκ τοῦ νοῦ γίνεται νοούμενος, καὶ οὔτε δι' ὅλου ὁ αὐτός ἐστι τῷ νῷ, οὔτε παντάπασιν ἕτερος (ἐκ τοῦ νοῦ μὲν γὰρ ὤν, ἄλλος ἐστὶ παρ' αὐτόν· αὐτὸν δὲ τὸν νοῦν ἐμφαίνων, C οὐκ ἔστι παντελῶς ἕτερος παρ' αὐτόν· ἀλλ' ἓν κατὰ τὴν φύσιν, ἑτερός ἐστι τῷ ὑποκειμένῳ)· οὕτω καὶ ὁ τοῦ Θεοῦ Λόγος, ὅς ἐστιν ὁ Υἱὸς, τῷ μὲν ὑφεστάναι καθ' ἑαυτὸν, διῄρηται πρὸς ἐκεῖνον, παρ' οὗ τὴν γέννησιν ἔσχηκε· τῷ δὲ ταῦτα δεικνύειν ἐν ἑαυτῷ, ἃ περὶ τὸν Θεὸν θεωρεῖται, ἕν ἐστι πρὸς αὐτὸν κατὰ τὴν φύσιν. Δεῖ τὸν Λόγον ἔχειν καὶ Πνεῦμα, συμπαρομαρτοῦν τε αὐτῷ, καὶ φανεροῦν αὐτοῦ τὴν ἐνέργειαν. Καὶ γὰρ ὁ ἡμέτερος λόγος οὐκ ἄμοιρός ἐστι πνεύματος· ὅπερ ἐν τῷ καιρῷ τῆς ἐκφωνήσεως φωνὴ γίνεται τοῦ λόγου ἡμῶν, φανεροῦσα τὴν τούτου δύναμιν. Ἀλλ' ἐφ' ἡμῶν μὲν ἀλλότριον τῆς ἡμετέρας οὐσίας τὸ πνεῦμα τοῦτο, ἀέρος ὂν εἰσροὴ καὶ ἐκροή· ἐπὶ δὲ τοῦ Θεοῦ, ὥσπερ ὁ Λόγος οὐ κατὰ τὸν ἡμέτερον, ἀλλ' οὐσιωδῶς ὑφεστὼς, καὶ τῆς αὐ- D τῆς οὐσίας καὶ φύσεως τῷ γεννήτορι, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον, οὐσιωδῶς ὑφεστὼς, καὶ τῆς αὐτῆς τῷ Θεῷ οὐσίας καὶ φύσεως καὶ τελειότητος, ἐκ τοῦ Πατρὸς προϊὸν, καὶ ἐν αὐτῷ ὂν, καὶ τῷ Λόγῳ καὶ Υἱῷ συμπαρομαρτοῦν, καὶ ἐκφαντικὸν ὑπάρχον αὐτοῦ. Περὶ μὲν οὖν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, ὅτι καὶ εἰσὶ, καὶ τῆς αὐτῆς εἰσι φύσεως, ἱκανῶς ἡμῖν ἀποδέδεικται.

4. Verum, quia vos Jesum Christum Verbum Dei et Spiritum ejus dicitis, nolentes volentes fatemini, Verbum Dei et Spiritum ipsius in ipso Deo esse. Verbum enim Dei, et Spiritus Dei ab eo separari nequeunt cujus sunt, quin expers Verbi expersque Spiritus relinquatur. Si igitur in Deo est Verbum ejus, nimirum et ipsum Deus est. Itaque et Christus Verbum Dei Deus est. Quia vero ex Virgine natus est, etiam homo est. Sic igitur duabus naturis constantem eum, oportet confiteri et Deum et hominem, utpote qui in duabus naturis cognoscatur, divinitatis, inquam, et humanitatis. Isti vero, ut antea, temere et inconsiderate ad scripturam illam falso divinitus missam confugiunt. Itaque ratiocinatione quadam, ut verum perspiciant, adigendi sunt. Deus cum sit perfectus, expers τοῦ Λόγου (id est, Verbi) non est. Cum igitur τῷ Λόγῳ (id est, Verbo) præditus sit, non sine hypostasi idem obtinet, neque quod aliquando esse cœperit, neque quod desierit. Neque enim Deus unquam expers τοῦ Λόγου (id est Verbi) fuit : sed cum sit semper, suumque Verbum habeat, quod ex ipso generatur, et in ipso manet, et vivit, et perfectum est : non secundum nostrum λόγον, sive verbum ; quorum enim essentia diversa est, eorum etiam ὁ λόγος sive verbum. Quemadmodum autem nostrum verbum (sive oratio) ex mente nascitur : non autem omnino cum mente eadem est, neque penitus diversa : ex mente enim cum sit, aliud quiddam præter ipsam est : nam quia mentem ipsam declarat, non est omnino aliud præter ipsam : sed unum quiddam cum sint natura, subjecto inter se differunt : sic etiam Dei Verbum (quod et Filius est) propria quidem hypostasi ab eo distinctum est, a quo ortum sive generationem habet : quia vero in se ipso ostendit quæ etiam in Deo cernuntur, unum cum ipso est et quidem natura. Jam vero Verbum ut et Spiritum conjunctum habeat oportet, qui ipsius vim et efficaciam declaret. Namque ne nostra quidem oratio spiritus expers est, qui tempore pronuntiationis vox fit nostræ rationis, quæ omnem illius vim ostendit, et in apertum profert. Sed in nobis spiritus ille alienus est a nostra essentia; quippe cum sit influxus et refluxus aeris : in Deo vero quemadmodum ὁ Λόγος (Verbum), non uti nostrum verbum ; sed essentialiter subsistens, ejusdem essentiæ, ejusdem naturæ (est cum genitore : sic et Spiritus sanctus, essentialiter subsistens, ejusdem cum Deo est essentiæ et naturæ) et perfectionis ; ex Deo procedens, in eo exsistit, et τῷ Λόγῳ (Verbo), Filio nempe, conjunctus, ipsum declarat. Ac de Patre quidem, et Filio, et Spiritu sancto, quod et sint, et ejusdem naturæ sint, satis a nobis demonstratum est.

ε'. Περὶ δὲ τῆς μητρὸς τοῦ ἐνανθρωπήσαντος Θεοῦ, τοῦ Υἱοῦ τοῦ Θεοῦ, βραχέα τινὰ διαλεκτέον, καὶ ὅσα δύναιτ' ἂν ἐλέγξαι τὴν θεόπεμπτον ἐκείνην γραφήν.

5. De matre vero Filii Dei, qui naturam assumpsit humanam, paucis disserendum; et quantum satis sit ad coarguendam scripturam illam divinitus

scilicet missam. Ab eo itaque tempore quo Mosis et Aaronis soror Maria cum fratribus ex Ægypto egressa est, periodus bis mille annorum usque ad Christi in carne nativitatem lapsa est. Hæc vero Maria non excessit mensuram vitæ mulierum illarum quæ secum ea tempestate vivebant. Manifestum ergo mendacium proprio commento et historica fide eversum. Et quomodo David inter Christi majores, secundum humanam ejus naturam computari queat, qui post obitum Mariæ, sororis Mosis et Aaronis, multis annis postea et natus et educatus est, liberosque procreavit?

6. Nullo pacto igitur divinitus missa est scriptura, quæ talia nugatur, et tanta mendaciorum portenta. Si enim Mariæ sororis Mosis et Aaronis filius esset Christus, conveniebat, ipsum cum Pontio Pilato judicandus astaret, extremæ ætatis esse, et veluti hominis reliquias: utpote qui tam multis annis, qui interea lapsi sunt, paulatim et sensim consumptus esset. Præterea non umbram Christi, sed ipsum Christum crucifixum esse secundum carnem, declarat sanguis, qui de sanctissimo ipsius corpore defluxit, qui adhuc apud Christianos conservatur et sanationes scaturiginis instar edit, multorumque miraculorum testimonio Christi esse comprobatur. Quin et prophetæ de ipsius supplicio crucis, deque iis quæ illud antecesserunt, perspicue vaticinati sunt: ut jam ex reliquis Scripturæ partibus probationes omittamus, quas Agareni neque sciunt, neque sane admittunt.

7. Jam vero, quod dicit ille Deum ignorare num Christus homines docuerit quod sit Deus etiam ipse, et propterea ipsum interrogare: et ipso hoc negante, Deum veluti apologiam ipsius et defensionem probasse: hoc vero annon quavis damnatione dignum est? Quomodo enim Deus est, si quæ fiunt, ignorat? Quomodo Christus, qui veritatem seipsum in Evangelio nominavit, Deo falsum dixit, cum veritatem negavit? quippe qui Deus est, quemadmodum prius demonstratum est.

8. Traducunt atque infamant nos veluti simulacrorum cultores, eo quod crucem adoremus, quam illi etiam exsecrantur. Et respondemus: Quomodo ergo vos lapidi adhæretis *Brachthan*, et ipsum osculamini? Et respondent nonnulli ex ipsis: Ideo, quia super ipsum Abraham cum Agar congressus est: alii vero, quia ad ipsum alligavit camelum, cum Isaacum immolaturus esset. Ad quos nos iterum: Itane vos non pudet adorare et honorare lapidem in quo cum muliere Abraham coivit, aut ad quem camelum alligavit: nobis vero exprobratis quod crucem adoremus, per quam vires dæmonum, et diaboli omnis deceptio enervantur et infringuntur? Atqui prædictus lapis iste caput est Veneris, quam Ismaelitæ jam olim adorabant. Lapis ille etiamnum præfert, si quis accurate spectet, capitis sculpello formati effigiem. Est simulacrum *Baccha Ismakech* illis dictum, quod ipse *Adoramen observationis* appellat, et ut miseri barbari adorarent præcepit. Sed et duo

A Ἀφ' οὗ γὰρ ἡ τοῦ Μωσέως καὶ Ἀαρὼν ἀδελφὴ Μαρία μετὰ τῶν ἀδελφῶν αὐτῆς ἐξῆλθεν ἀπὸ τῆς Αἰγύπτου, δισχιλίων ἐτῶν περίοδος ἄχρι τῆς τοῦ Κυρίου κατὰ σάρκα γεννήσεως παρέδραμεν. Αὕτη δὲ ἡ Μαρία οὐχ ὑπερέβη τὸ μέτρον τῆς ζωῆς τῶν οὐσῶν τότε κατ' αὐτὴν γυναικῶν. Πρόδηλον οὖν τὸ ψεῦδος, καὶ κακόπλαστον, καὶ παρ' ἱστορίαν. Πῶς δ' ἂν καὶ ὁ Δαβὶδ, πρόγονος τοῦ Χριστοῦ, κατὰ τὸ ἀνθρώπινον αὐτοῦ λογισθείη, μετὰ τὸν τῆς Μαρίας θάνατον, τῆς ἀδελφῆς Μωσέως καὶ Ἀαρὼν, πολλοῖς ὕστερον ἔτεσι γεννηθεὶς καὶ ἀνατραφεὶς καὶ παιδοποιήσας;

ϛ'. Πῶς οὖν θεόπεμπτος ἡ τοιαῦτα φλυαροῦσα γραφὴ, καὶ τηλικαῦτα ψευδομένη; Εἰ γὰρ Μαρίας τῆς ἀδελφῆς Μωσέως καὶ Ἀαρὼν υἱὸς ἦν ὁ Χριστὸς, ἔδει B τοῦτον, ὅτε παρίστατο Ποντίῳ Πιλάτῳ κρινόμενος, ἐσχατόγηρων εἶναι, καὶ οἷον ἀνθρώπου λείψανον, τῷ πολλῷ μήκει τῶν ἐν μέσῳ χρόνων κατὰ μικρὸν δαπανώμενον. Ὅτι δὲ οὐχ ἡ σκιὰ τοῦ Χριστοῦ, ἀλλ' ὁ Χριστὸς αὐτὸς ἐσταυρώθη κατὰ σάρκα, δηλοῖ τὸ καταῤῥεῦσαν αἷμα τοῦ παναγίου σώματος αὐτοῦ, παρὰ Χριστιανοῖς φυλαττόμενον, καὶ βρύον ἰάσεσι, καὶ πολλοῖς θαύμασι μαρτυρούμενον, ὅτι τοῦ Χριστοῦ ἐστι. Καὶ οἱ προφῆται δὲ περὶ τῆς σταυρώσεως αὐτοῦ καὶ τῶν πρὸ ταύτης παθημάτων σαφῶς προκατήγγειλαν· ἵνα τὰς ἐκ τῶν ἄλλων Γραφῶν ἐάσωμεν ἀποδείξεις, ἃς οὐδὲ ἐπίστανται οἱ Σαρακηνοὶ, γαὶ μὴν οὐδὲ παραδέχονται.

C

ζ'. Τὸ δὲ καὶ τὸν Θεὸν ἀγνοεῖν, εἰ ὁ Χριστὸς ἐδίδαξε τοὺς ἀνθρώπους ὅτι Θεός ἐστι καὶ αὐτὸς, καὶ διὰ τοῦτο ἐπερωτᾷν αὐτὸν, καὶ ἀρνησαμένου δέξασθαι τέως τὴν ἀπολογίαν αὐτοῦ, ποίας οὐκ ἂν εἴη καταγνώσεως ἄξιον; Πῶς γὰρ Θεὸς, εἰ ἀγνοεῖ τὸ γενόμενον; Πῶς δὲ καὶ ὁ Χριστὸς, ἀλήθειαν ἑαυτὸν κατὰ τὸ Εὐαγγέλιον ὀνομάσας, ἐψεύσατο παρὰ τῷ Θεῷ τὴν ἀλήθειαν ἀρνησάμενος, καίτοι Θεὸς ὢν, ὡς προαποδέδεικται;

η'. Διαβάλλουσιν ἡμᾶς ὡς εἰδωλολάτρας, διὰ τὸ προσκυνεῖν τὸν σταυρὸν, ὃν καὶ βδελύττονται. Καὶ λέγομεν πρὸς αὐτούς· Πῶς οὖν καὶ ὑμεῖς προστρίβεσθε τῷ λίθῳ τοῦ *Βραχθὰν*, καὶ φιλεῖτε τοῦτον; D Καί τινες μὲν αὐτῶν φασι· Διότι ἐπάνω αὐτοῦ συνουσίασε τῇ Ἀγὰρ ὁ Ἀβραάμ· ἄλλοι δὲ, ὅτι προσέδησεν αὐτῷ τὴν κάμηλον, μέλλων θῦσαι τὸν Ἰσαάκ. Πρὸς οὓς πάλιν ἡμεῖς· Εἶτα ὑμεῖς μὲν οὐκ αἰδεῖσθε προσκυνοῦντες καὶ τιμῶντες λίθον, ἐφ' οὗ γυναικὶ συνουσίασεν ὁ Ἀβραὰμ, ἢ προσέδησε τὴν κάμηλον· ἡμῖν δὲ ὀνειδίζεσθε προσκυνοῦσι τὸν σταυρὸν δι' οὗ δαιμόνων ἰσχὺς, καὶ διαβόλου καταλύεται πλάνη; Ὁ δὲ ῥηθεὶς λίθος κεφαλὴ τῆς Ἀφροδίτης ἐστὶν, ἣν πάλαι προσεκύνουν οἱ Ἰσμαηλῖται· φέρει γὰρ ὁ λίθος μέχρι καὶ νῦν τοῖς ἀκριβῶς κατασκοποῦσιν ἐκ γλυφίδος ἀποτύπωσιν κεφαλῆς· τὸ *Βαχχὰ Ἰσμακὲχ* καλούμενον εἴδωλον, ὅπερ αὐτὸς *προσκύνημα παρατηρήματος* ὀνομάζει, τοὺς ἀθλίους βαρβάρους προσκυνεῖν ἐκέλευσε. Καὶ δύο δὲ ὀνόματα βάρβαρα,

τὸ *Τζιτζαφὰ* καὶ *Μαρουὰ*, ἐκ τῶν σεβασμάτων A εἶναι λέγει τοῦ Θεοῦ· Θεοῦ δὲ πάντως τοῦ οἰκείου. Καὶ τοῖς ἠπατημένοις δὲ ὑπ' αὐτοῦ, παραγινομένοις κατὰ τὸ ἐκεῖσε μιαρὸν οἴκημα τοῦ προσευκτηρίου, περιελθεῖν αὐτὸ κυκλικῶς προστάσσει. Ὡς δὲ παρά τινος ἐξ αὐτῶν πρὸς Χριστιανοὺς αὐτομολήσαντος ἔμαθον, εἴδωλόν τι λίθινον κάθηται μέσον τοῦ οἴκου· καὶ οἱ τὴν πρᾶξιν τοῦ δαιμονιώδους ἐπιτάγματος τούτου πληροῦντες, κεκλικότες τοὺς ἀθλίους αὐτῶν αὐχένας, καὶ τὴν χεῖρα ὄρθιον πρὸς αὐτὸ ἐκτεταχότες, τῇ τε ἑτέρᾳ τὸ οὖς ἑαυτῶν κατέχοντες, κυκλοτερῶς περιέρχονται, μέχρις ἂν σκοτοδινίᾳ ληφθέντες καταπέσωσιν. Ἰδοὺ προδήλως εἰδωλολατρεῖν ἐνομοθέτησεν.

θ'. (1) Οὗτος ὁ Μωάμεθ, καίτοι ἀμαθὴς ὢν B καὶ ἄγροικος, τρία καὶ δέκα καὶ ἑκατὸν συνεγράψατο μυθάρια, ἑκάστῳ τούτων ὄνομα ἐπιθεὶς ἄξιον τῆς ἀπαιδευσίας καὶ μωρολογίας αὐτοῦ. Ὧν ἁπάντων τὴν ἀκαθαρσίαν καὶ τὴν πρόδηλον φλυαρίαν τὸ καὶ διηγήσασθαι καὶ ἀνατρέψαι ἴσον ἐστὶ τῷ τὴν Αὐγείου κόπρον ἐκκομίσαι, κατὰ τὸν Ἡρακλέα. Λοιπὸν οὖν, τἄλλα παραδραμόντες, ὀλίγων ποιησόμεθα μνήμην, καὶ ὅσα πάντως ἀναγκαιότερα, πρὸς τὸ διαγνωσθῆναί τε καὶ καταγνωσθῆναι.

Ὁλόσφυρον λέγει τὸν Θεὸν, ἤτοι σφαιρικόν. Τοῦτο δὲ τὸ σχῆμα σώματός ἐστι, καὶ σῶμα ἐμφαίνει· ὥσπερ δὴ καὶ τὸν πυκνὸν καὶ πεπιλημένον. Σφαῖρα δὲ ὑλικὴ κατ' αὐτὸν ὁ Θεὸς ὤν, οὔτε ἀκούσεται, οὔτε ὄψεται· καὶ κατaπρανῶς, ὡς ἔτυχεν, ἐνεχθήσεται, καὶ ἄτακτα κατακυλισθήσεται. C

Δογματίζων αἴτιον εἶναι παντὸς κακοῦ τὸν Θεὸν, ὥσπερ δὴ καὶ παντὸς ἀγαθοῦ, φησίν· « Ὃν ὁδηγεῖ ὁ Θεὸς, ἐκεῖνός ἐστιν ὡδηγημένος· καὶ οὓς πλανᾷ, ἐκεῖνοί εἰσιν οἱ λειπόμενοι. » Καὶ μετ' ὀλίγα τὸ αὐτὸ βεβαιῶν ἐπήγαγεν, ὅτι « Οὐ κυριεύω τῆς ψυχῆς μου εἰς ὠφέλειαν, εἴτε βλάβην, εἰ μὴ ὅπερ ἐθέλει ὁ Θεός. » Καὶ ἐπιλαθόμενος ὅτι προφήτην πρὸ μικροῦ ἐκήρυξεν ἑαυτὸν, λέγει· « Καὶ εἰ ἐγίνωσκον τὰ ἀπόντα, εἶχον ἂν πλεονάσαι ἐκ τοῦ ἀγαθοῦ, καὶ οὐκ ἂν εἶχέ μου ἅψασθαι δεινόν. » Καὶ πῶς ἂν ἐξέφυγες τὰ δεινὰ, φύσει, καθὼς αὐτὸς λέγεις, ὄντα; Εἰ δὲ ἠδύνασο διαφυγεῖν αὐτὰ, οὐ φύσει πάντως εἰσίν. Ὅτι δὲ οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεὸς ἀπεδείξαμεν ἐν τῷ *κατὰ τῶν Μασσαλιανῶν* τίτλῳ, καὶ D ζήτησον τὸ ιζ' κεφάλαιον.

Φησὶν ἐν τῷ ὀγδόῳ τῶν μυθαρίων αὐτοῦ· « Λέγουσιν οἱ Ἰουδαῖοι· Ὁ Ἰσραὴλ ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ· καὶ λέγουσιν οἱ Χριστιανοὶ, ὅτι ὁ Χριστός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ· τοῦτ' ἔστιν ὁ λόγος αὐτῶν διὰ τῶν στομάτων αὐτῶν· » καὶ τὰ ἑξῆς. Ἀλλ' ἄκουσον, υἱὲ τοῦ πατρὸς τοῦ ψεύδους. Ἰουδαῖοι μὲν οὐ γνήσιον υἱὸν τοῦ Θεοῦ Ἰσραὴλ ὀνομάζουσιν, ἀλλ' ἢ ὅσον δεῖξαι τὴν πρὸς αὐτοὺς τοῦ Θεοῦ στοργὴν διὰ τὴν προσοῦσαν αὐτοῖς εὐσέβειαν· οἱ δέ γε Χριστιανοὶ φύσει Υἱὸν Θεοῦ, καὶ ὁμοούσιον τῷ Πατρὶ, κατὰ τὴν θεότητα, τὸν Χριστὸν ὁμολογοῦσιν. Εἰ γὰρ, ὡς αὐ-

A vocabula barbara, nempe *Tzitzapha* et *Marua*, ex singulari Dei colendi religione esse docet; Dei autem omnino sui et proprii. Quin etiam ille miseris illis et a se deceptis, in exsecrabili illo domicilio, quod precationibus destinatum, adesse, et in orbem illud circuire jubet; et (quemadmodum ego ex quodam ipsius discipulorum, qui ad Christianorum partes transiit, intellexi) statua quædam lapidea erecta est in medio domicilii, et qui dæmoniaca illa mandati istius actione defunguntur, miseris suis cervicibus inclinatis, altera manu sursum ad ipsam erecta, altera autem tenentes, circumeunt, donec vertigine correpti concidant. Enimvero quid hic aliud quam statuam colere quasi lege sanxit?

9. Hic quidem Moameth licet esset rudis et agrestis homo, tamen centum et tredecim conscripsit fabellas, et unicuique harum dignum quoddam nomen hac sua inscitia indidit. Quarum quidem omnium impuritatem et nugas manifestas et recensere et refellere quid aliud fuerit, quam cum Hercule Augiæ stabulum egesto stercore purgare? Reliquum igitur fuerit, aliis præteritis, paucis eorum duntaxat meminisse, quæ majoris momenti sunt, et ad recte cognoscendam, et ad damnandam sectam exsecrabilem.

Deum ὁλόσφυρον dicit, sphæricum videlicet ac rotundum. Atqui hæc figura corporis est, et corpus declarat; quemadmodum quod densum atque constipatum est. Cum igitur, ut ipsi placet, Deus materiata quædam sit sphæra, neque audiet, neque videbit: et in præceps temere feretur, incomditoque motu volutabitur.

Cum autem statuit Deum auctorem omnis mali quemadmodum et omnis boni, ait: « Quem Deus ducit, ille recte ducitur: et quos ille in errorem impellit, illi sunt qui deseruntur. » Et paulo post, hæc confirmans, subjicit: « Non sum dominus animæ, neque ad salutem neque ad perniciem, nisi quatenus hoc ipsum Deus vult. » Oblitus deinde quod prophetam paulo ante seipsum prædicasset, ait: « Et si nossem ea quæ absunt, possem sane bonis affluere, neque me posset malum attingere. » Quomodo vero tu mala effugeres, quæ, uti tu doces, sunt natura? Si vero tu illa vitare potuisti, non igitur illa natura sunt. Deum vero non esse auctorem malorum in titulo *contra Massaliotas* a nobis demonstratum est: consule cap. 17.

In octava fabellarum suarum ait: « Judæi dicunt Israelem esse filium Dei: et Christiani dicunt Christum esse Filium Dei: hic est sermo ex proprio ipsorum ore profectus, » et quæ sequuntur. Verum attende, o fili patris mendacii! Judæi quidem non germanum Dei filium Israelem nominant, sed tantum, ut ostendant Dei erga se amorem et propensionem, ob eam qua patres excellebant pietatem: Christiani vero natura Filium Dei et Patri consubstantialem secundum divinitatem Christum confitentur. Nam si, ut fateris, Christo a Deo Evan-

(1) Palatinus ms. Ἐκ τῶν τοῦ ἁγίου Εὐοδίου, uti et Zinus in marg., *Ex Evodii monachi scriptis*, quasi ex Evodii monumentis sequentia desumpta sint, ut tota fere *Panoplia* e veterum Patrum scriptis concinnata est. Sylburg.

gelium datum est, quemadmodum nos ipsi in sub- A sequentibus demonstrabimus : et in Evangelio scriptum est quod ter Deus cœlitus de Christo testificatus sit ; alicubi quidem dicens : *Hic est Filius meus dilectus* [1] : alicubi vero, *Et glorificavi et* (*rursum*) *glorificabo* [2] ; et in monte Thabore : *Ipsum audite* ; quidnam absurdi et alieni admittunt Christiani, qui et Deum, et Dei Filium Christum confitentur : cum et Deus Christo ea tribuat ex testimonio Evangelii, quod etiam tu divinitus datum fuisse affirmas ?

Cum vero Christi et Evangelii mentionem facit, ex persona Dei ait : « Misimus post hos omnes (alios scilicet prophetas) Jesum filium Mariæ ; ut ea quæ in lege ante scripta erant, vera certaque repræsentaret, Evangelio ad ipsum demisso : in quo est via, lux et justitia : secundum potentiam legis, quæ ipsum antecessit, ad institutionem et promissionem eorum qui ipsum timent, et ad judicandum domesticos Evangelii. » Si igitur Christus, ut ea quæ de ipso prædicta erant, vera repræsentaret, id est ut legem veterem expleret, advenit, Evangeliumque viam, institutionem, lucem et justitiam hominibus tradidit, quemadmodum tu ipse confiteris, et ipse judicium facturus est, reliquum est aliud te nihil hominibus obtrudere quam errores, et quæ ex diametro cum doctrina veritatis pugnent.

Iterum tanquam ex persona Dei proponit : « Cum regionem aliquam perdere volebamus, jubebamus C homines in eadem agentes, sese luxui et intemperantiæ dedere : et hoc decretum de perditione ipsorum, de ipsis verum fiebat, una cum oraculo : et sic ipsos vere perdomuimus : multosque perdidimus ex sæculis illis post Noe. » Hæc verba cuinam potius conveniant ? Deone salutis humanæ amanti, an vero dæmoni, qui homines summo odio prosequitur ? Deusne jubet homines intemperanter vivere, an diabolus ? At qui jubet intemperanter vivere, is est auctor intemperantiæ et luxus, atque adeo majori pœna dignus.

Moses quidem litteris mandavit quod *Filii Dei videntes filias hominum quod essent formosæ, duxerunt sibi uxores* [3] : filios Dei posteros Sethi appellans D (sic enim ille nominatus est ob imitationem Dei et studium virtutis, vitamque religiosam), *filias* vero *hominum* dixit eas, quæ a Caino essent procreatæ aut ab ipso genus ducerent. Moameth vero contra dixit : et pro filiis quidem Dei angelos feminas nominavit, ut est in fabulis Græcorum : *Ast Iris Helenæ formosæ nuntia venit* [4]. Pro filiabus vero hominum filios hominum subjecit ; et quod omnium maxime miserabile est, hæc a Deo facta narrat, cum ait : « Elegit Dominus noster filios : et accepit ex angelis quidem feminas. Vos vero ardua quædam et magna pronuntiatis, id est, Deum liberos habere divulgatis : immo vero potius

τὸς ὁμολογεῖς, ἐκ Θεοῦ δίδοται τῷ Χριστῷ τὸ Εὐαγγέλιον, καθὼς ὑποκατιόντες ἀποδείξομεν· ἐν αὐτῷ δὲ τῷ Εὐαγγελίῳ γέγραπται, ὅτι τρίτον ἄνωθεν ὁ Θεὸς ὑπὲρ Χριστοῦ ἐμαρτύρησε, πῇ μὲν λέγων, ὅτι *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός*· πῇ δὲ, *Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω*· καὶ ἐν τῷ ὄρει δὲ τῷ Θαβὼρ, *Αὐτοῦ ἀκούετε*· τί ἄτοπον καὶ ξένον ποιοῦσιν οἱ Χριστιανοὶ, Θεὸν καὶ Θεοῦ Υἱὸν ὁμολογοῦντες τὸν Χριστὸν, τοῦ Θεοῦ καὶ τῷ Χριστῷ ταῦτα προσμαρτυροῦντος, ὡς διδάσκει τὸ Εὐαγγέλιον, ὃ ἐκ Θεοῦ δεδόσθαι ὁμολογεῖς;

Ἐπιμνησθεὶς δὲ τοῦ Χριστοῦ καὶ τοῦ Εὐαγγελίου, φησὶν ἐκ προσώπου τοῦ Θεοῦ· « Ἀπεστείλαμεν ἀκόλουθον τούτων πάντων (δηλαδὴ τῶν προφητῶν) Ἰησοῦν B τὸν υἱὸν Μαρίας, εἰς τὸ ἀληθοποιῆσαι τὰ πρὸ αὐτοῦ, τὰ τοῦ νόμου, καταγαγόντες πρὸς αὐτὸν τὸ Εὐαγγέλιον· ἐν ᾧ ἐστιν ὁδήγησις, φῶς, καὶ δικαιοσύνη, κατὰ τὴν δύναμιν τοῦ πρὸ αὐτοῦ νόμου, εἰς ὁδήγησιν καὶ ἐπαγγελίαν τοῖς φοβουμένοις αὐτὸν, καὶ εἰς τὸ κρῖναι τοὺς οἰκείους τοῦ Εὐαγγελίου. » Εἰ δὲ ἀληθοποιῆσαι τὰ πρὸ αὐτοῦ, τουτέστι τὰ τοῦ παλαιοῦ νόμου, παραγενόμενος ὁ Χριστὸς, καὶ τὸ Εὐαγγέλιον, ὁδήγησιν, καὶ φῶς, καὶ δικαιοσύνην τοῖς ἀνθρώποις παρέδωκεν, ὡς αὐτὸς ὁμολογεῖς, καὶ τὴν κρίσιν αὐτὸς μέλλει ποιεῖν, σοὶ περιλέλειπται συνεισενεγκεῖν τοῖς ἀνθρώποις οὐδὲν ἕτερον ἢ πλάνην καὶ ἐναντίωσιν τῆς ἀληθείας δογμάτων.

Λέγει πάλιν ἐκ προσώπου τοῦ Θεοῦ· « Ὅταν ἠθέλομεν ἀπολέσαι χωρίον, ἐκελεύομεν τοῖς ἐστῶσιν ἐν αὐτῷ, καὶ ἠσώτευον ἐν αὐτῷ· καὶ ἐδικαιοῦτο ἐπάνω αὐτῶν ὁ λόγος, ὁ τῆς ἀπωλείας αὐτῶν δηλονότι, καὶ τῆς κατ' αὐτῶν ἀποφάσεως· καὶ ἐδαμάσαμεν αὐτοὺς δαμάσει, καὶ πολλοὺς ἀπωλέσαμεν ἐκ τῶν γενεῶν μετὰ τὸν Νῶε. » Ταῦτα τὰ ῥήματα τίνι μᾶλλον ἁρμόζει, τῷ φιλανθρώπῳ Θεῷ, ἢ τῷ μισανθρώπῳ δαίμονι; Θεὸς κελεύει ἀσωτεύειν, ἢ διάβολος; Ὁ δὲ κελεύων ἀσωτεύειν, ἐκεῖνος τῆς ἀσωτίας αἴτιος μάλιστα, καὶ πλείονος κολάσεως ἄξιος.

Μωσῆς μὲν ἔγραψεν, ὅτι *Ἰδόντες οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἐλάβοντο ἑαυτοῖς γυναῖκας*· υἱοὺς μὲν Θεοῦ τοὺς ἀπογόνους τοῦ Σὴθ προσαγορεύων (οὕτω γὰρ δοκεῖ ὠνομάσθαι διὰ τὸ θεομίμητον αὐτοῦ καὶ τὴν ἐνάρετον καὶ εὐλαβῆ πολιτείαν), *θυγατέρας δὲ ἀνθρώπων* τὰς ἐκ τοῦ Κάϊν καὶ τῶν ἐξ αὐτοῦ καταγομένων· ὁ δὲ Μωάμεθ τοὐναντίον εἴρηκεν· ἀντὶ μὲν τῶν υἱῶν τοῦ Θεοῦ θηλείας ἀγγέλους εἰπὼν, κατὰ τὸν Ἕλληνα μῦθον, *Ἶρις δ' αὖ Ἑλένῃ λευκωλένῳ ἄγγελος ἦλθεν*· ἀντὶ δὲ τῶν θυγατέρων τῶν ἀνθρώπων υἱοὺς ἀνθρώπων ἐπαγαγών. Καὶ τὸ πάντων ἐλεεινότατον, ὅτι παρὰ Θεοῦ τοῦτο γενέσθαι καταγγέλλει, λέγων· « Ἐξελέξατο Κύριος ἡμῶν τὰ τέκνα· καὶ ἔλαβεν ἐκ τῶν ἀγγέλων θηλείας. Ὑμεῖς δὲ λέγετε λόγους μεγάλους, τουτέστι φημίζετε τὸν

[1] Matth. III, 17 ; XVII, 5. [2] Joan. XII, 28. [3] Gen. VI 2. [4] Iliad. III.

Θεὸν υἱοὺς ἔχειν· μᾶλλον μὲν οὖν θηλείας ἀγγέλους νύμφας δίδωσι τοῖς υἱοῖς τῶν ἀνθρώπων· ἐξ ὧν οἱ γίγαντες ἐγεννήθησαν.» Καὶ ὅτι μὲν αἱ θήλειαι ἄγγελοι οὐκ εἰσι θυγατέρες Θεοῦ, κατὰ τὸν ις' μῦθον, ὀμνυσι, καὶ ἐπαρᾶται τὸν τοῦτο ὑπολαμβάνοντα· ὅτι δὲ θήλειαι ἄγγελοί εἰσιν, ἐνίσταται, καὶ διισχυρίζεται. Ἀλλ' εἰ καὶ δοθείη, ὅπερ ἀμήχανον, ἄνδρα θηλείᾳ ἀγγέλῳ μίγνυσθαι, καὶ σπερμαίνειν ἐν αὐτῇ· ἐν ποίᾳ μήτρᾳ συνέξει καὶ ζωώσει τὸ σωματικὸν σπέρμα ἡ ἀσώματος; Ποίᾳ δὲ καταλλήλῳ ὕλῃ θρέψει τοῦτο; πῶς δὲ καὶ ἐγγάστριον περιάξει τὸ βρέφος; πῶς δὲ καὶ γαλουχήσει τὸ χυμοὺς θρεπτικοὺς εἰωθὸς ἐπισπᾶσθαι ζῶον ἡ ἄϋλος καὶ ἄναιμος φύσις; Οὐκ ἄρα πάντως οὔτε θήλειά ἐστιν ἄγγελος· τὸ γὰρ ἄῤῥεν καὶ τὸ θῆλυ σωμάτων ἴδια.

A angelos feminas, nymphas dedit ille filiis hominum; e quibus gigantes nati sunt.» Jam vero angelos feminas non esse filias Dei, ut est in fabella XVI, jurejurando affirmat; eumque qui ita opinetur, exsecratur. Quod vero feminæ angeli sint, iterum iterumque affirmat et pertendit. Quod si etiam daretur, quod tamen fieri nequit, virum cum femina angelo rem habere, et semen in eamdem emittere: quanam, cedo, matrice continebit, et vivum efficiet ea quæ corporis est expers, semen corporeum? Deinde, quanam congruente alimonia nutriet istud? quomodo infantem, qui ante partum in ventre fovetur, circumferet? Denique quomodo lacte fovebit animal, quod succos nutrientes attrahere consuevit, ea quæ materiæ et sanguinis est expers natura? Non igitur omnino est angelus femina: femina enim et mas propria sunt corporum.

ι'. Εἰσάγει τὸν Θεὸν αὐτῷ τοιοῦτον ὅρκον ὀμνύοντα, «Μὰ φουλκὶ τῶν φουλκῶν, καὶ προθίσματα προθισμάτων.» Καὶ αὖθις ἐν ἑτέρῳ μυθαρίῳ, «Μὰ λιχμοῦντα λιχμούντων, καὶ βασταζούσας γόμους, καὶ τρεχούσας εὐθεῖαν, καὶ τὰ μερίζοντα πράγματα·» καὶ πάλιν ἐν ἑτέρῳ·» Μὰ τὸ ὄρος, καὶ γραφὴν δ. στιχισμένην ἐν μεμβράνῳ λιτῷ· καὶ τὸ ὀσπήτιον τὸ ᾠκοδομημένον, καὶ τὸ στέγος τὸ σηκούμενον, καὶ τὴν θάλασσαν τὴν δεδεμένην.» Καὶ ἐν ἑτέροις ἄλλα τινὰ βαρβαρικὰ καὶ ἀνόητα, καὶ τῆς αὐτοῦ φλυαρίας καὶ φρενοβλαβείας οὐκ ἀποδέοντα. Καὶ ἀλλαχοῦ πάλιν· «Μὰ τὸν κάλαμον καὶ ἃ στιχίζουσι.» Καὶ πάλιν ἐν ἄλλοις ὅρκον πεποίηται, «Μὰ τὰς ἀπολυομένας ὀρδίνου, καὶ καταιγίδων καταιγίδας, καὶ ἁπλωθέντων ἁπλώματα, καὶ χωρούσας χώρημα, καὶ ῥιπτούσας γνώμην ἀπολογητικήν.» Καὶ αὖθις ἐν ἄλλοις· «Μὰ τὰς ἀνασπωμένας βόλισμα, καὶ ἀφελομένας ἀφέλωμα, καὶ κολυμβούσας κόλυμβον, καὶ προλαβούσας προλάβωμα, καὶ διοικούσας πρᾶγμα ἐν ἡμέρᾳ ἐν ᾗ σείει σεισμός·» καὶ αὖθις ἐν ἑτέρῳ· «Μὰ τὸν οὐρανὸν τὸν πεπυργωμένον, καὶ τὴν ἡμέραν τῆς συνταγῆς· καὶ μάρτυν καὶ μαρτυρούμενον.» Καὶ πάλιν ἐν ἑτέρῳ· «Μὰ τὸν οὐρανὸν καὶ τὸν Ἀλταρίκ.» Καὶ τί οἶδας τί τὸ Ἀλταρίκ; Ὁ ἀστὴρ ὁ τρυπητός· καὶ ἐν ἄλλῳ πάλιν· «Μὰ τὸ αὖγος καὶ νύκτας δέκα· καὶ ἡ ζυγὴ καὶ ἡ ἀποζυγή· καὶ ἡ νὺξ ὅταν ἐφαπλῶται.» Καὶ αὖθις ἐν ἄλλῳ· «Μὰ τὰς συκᾶς καὶ τὰς ἐλαίας τοῦ Σινᾶ, καὶ ταύτην τὴν χώραν.» Καὶ ἐν ἄλλῳ πάλιν· «Μὰ τὰς δραμούσας ἐν ὑλακισμῷ, καὶ τὰς δεικνυούσας πυροβολίαν, καὶ τὰς περιπιπτούσας εἰς τὸ αὖγος, καὶ ταράξαντας εἰς τὸ ὑδρόσταθμα.» Καὶ ἀλλαχοῦ· «Μὰ τὸν Ἀλεζέρ.» Τούτων δὲ τῶν ὅρκων τοὺς μὲν τοῦ παρ' αὐτοῦ Θεοῦ φησιν εἶναι, τοὺς δὲ αὐτὸς ὄμνυσι, καταπλήττων κἂν τούτοις τοὺς βαρβάρους, καὶ θέλων δεῖξαι τούτοις πολυμαθής, καὶ βαθέα μυστήρια ἐπιστάμενος, ὥσπερ καὶ ὅταν λέγῃ, «Ἐπιγραφὴ εἰς τὸ Ἀκκά·» καὶ τί οἶδας τί τὸ Ἀκκά; καὶ ἄλλα πολλὰ τοιαῦτα παντελῶς δύσφραστα καὶ ἀνόητα, καὶ τὰς ἀκοὰς κατατυποῦντα τῶν μαθητευομένων αὐτῷ.

B 10. Inducit Deum suum tali jurejurando sese obstringentem: «Næ per phulcos phulcorum, et prothismata prothismatum.» Et iterum in alia fabella: «Næ per licmunta licmuntum, et portantes onera, currentesque rectam viam, et ea quæ res partiuntur.» Et iterum in alia: «Næ per montem et scripturam duobus versibus scriptam in membrana tenui; et hospitium ædificatum, et rectum quod appenditur, et per mare vinctum.» Et in aliis alia quædam barbarica, stulta, inepta, nec aliena ab ipsius nugis et amentia. Et alibi rursum: «Per calamum, et quæ distinguunt versus.» Et iterum in aliis juramentum concipit: «Per absolutas ordine, et per procellarum procellas, per expansorum expansiones, et capientes C conceptamen, et jacientes sententiam defensoriam.» Et iterum in aliis: «Næ per eas quæ attrahunt bolidem, per adimentes adimentum, per natantes natationem, per anticipantes anticipamen, per administrantes negotium in die quo terræ motus quatit.» Et rursum in alia: «Næ per cœlum turritum, et diem compositionis, per testem et testificatum.» Et rursum in alia: «Næ per cœlum et Altarik.» Et qui scire possis quid sit Altarik? «Stella, inquit, perforata.» Et in alio loco: «Næ per fulgorem et noctes decem: per juncturam et sejuncturam, per noctem cum expansa fuerit.» Et rursus in alio: «Næ per ficus et oleas montis Sina, et per hanc regionem.» Et in alio: «Næ per D currentem in latratu, et per monstrantes ignis jacula; per eam quæ incidit in fulgorem, et per eos qui turbant aquam stagnantem.» Et alibi: «Næ per Alezer.» Harum vero formularum jurandi, alias quidem sui Dei esse ait; aliis vero ipse utitur, volens in his quoque barbaros consternare, atque ostendere se multiplicem disciplinam ac profunda mysteria callere; ut et cum dicit: *Inscriptio in Acca*; et qui scire possis quid sit Acca? aliaque permulta ejusmodi, quæ et prolatu sunt difficilia, et intelligi prorsus nequeunt, aures nempe suorum discipulorum percellentia.

Ἔτι ἐξόμνυται Μωάμεθ κατά τε ἡλίου καὶ σελή-

Jurat præterea Moameth per solem, lunam,

astra, igneum splendorem, animalia, canes cursores, plantas, aliaque incognita et barbara vocabula (ut ego existimo) dæmonum noxiorum et scelestorum. Hæc porro cum ille in suis jurandi formulis adhibeat, perspicue ostendit, quod ista pro diis colat: qui enim jurat, per majorem jurare solet. Itaque et Deus, cum non posset per majorem jurare, per seipsum juravit, quemadmodum Scriptura docuit. Jusjurandum autem in Deum intelligimus, promissi sui per aliquod assumptum confirmationem.

11. Templum etiam tradit et ab Ismaele et Abrahamo ædificatum esse Deo; quod quidem neque exstitit unquam, neque a Scriptura memoratur; nam si lapidem unctum, ut Deo statua erigeretur uncta, divinus Moses non reticuit, quomodo templum integrum silentio præterivisset?

12. Constituit ut sui orarent conversi ad austrum; scilicet ut etiam hac in re ab illis distinguerentur, qui ad orientem solem conversi precantur.

Jubet præterea eos qui se ad preces conferunt, prius sese purgare; aqua quidem, si adsit; sin minus, humo fossitia. Atqui hæc magis fœdat, non purgat. Deinde quidnam confert nuda illa per aquam purgatio, siquidem animi omni impuritate scatent?

Dicit iterum, tanquam ex persona Dei: « Nos dedimus tibi scarabæum: tu ergo funde preces ad Dominum tuum, et macta. » O admirandum sacrificium et magnificum, talique legislatore dignum!

13. Quæ a XVIII Moamethi fabella usque ad XXXVI interjecta sunt, omnia prætermisimus, tanquam plena omnibus nugis, et monstrosis figmentis, quæque adeo a seipsis evertuntur et refutantur: illa nempe quæcunque ex Veteri pariter et Novo Testamento accepit et corrupit. Dicit enim Mariam sororem Mosis et Aaronis, juxta palmam peperisse Christum: et cum desponderet animum ob dolores partus, Christum ex utero ipsam allocutum esse, jussisseque palmam concutere, et comedere de fructibus ejus: Davidem vero et Salomonem cum dæmonibus et avibus collocutos scripsit: et dæmonas Salomoni administros fuisse, item et *gundas* quasdam, eumdemque imperium in ventos habuisse; et formicarum perspexisse mysteria, et silvestrem quemdam gallinaceum ipsis doctorem fuisse, sed et ferreum thoracem primum a Davide excogitatum esse.

Seipsum vero judicem cum Deo prædicat, qui judicaturus sit orbem; aliaque istis absurdiora et magis diabolica deblaterat.

Solem tradit in aquam calidam ad fines occasus immergi; et lotum circa diluculum ascendere atque exoriri. Atqui si sol quidem ignis est, ignis autem et aqua se invicem mutuo conficiunt, qui fit ut alterum non consumat alterum? Deinde, quid opus est soli hoc lavacro? Sol enim purissimus est, ipsaque adeo aqua multo purior.

14. Solem et lunam in equis incedere tradit. Sed

νης, καὶ τῶν ἄστρων, καὶ λαμπυρίδων, ζώων, καὶ κυνῶν δρομικῶν, καὶ φυτῶν, καὶ ἑτέρων ἀγνώστων καὶ βαρβαρικῶν ὀνομάτων, ὡς οἶμαι, δαιμόνων τινῶν ἀλιτηρίων καὶ παλαμναίων. Ταῦτα δὲ ποιούμενος ὅρκον, δῆλός ἐστι θεοὺς αὐτὰ νομίζων· ὁ γὰρ ὀμνύων κατὰ τοῦ μείζονος εἴωθεν ὀμνύειν. Διὸ καὶ ὁ Θεὸς, μὴ ἔχων κατὰ μείζονος ὀμνύειν, καθ' ἑαυτοῦ ὤμοσεν, ὡς ἐδίδαξεν ἡ Γραφή. Ὅρκον δὲ νοοῦμεν ἐπὶ Θεοῦ τὴν διά τινος παραλαμβανομένου βεβαίωσιν τῆς ἐπαγγελίας.

ια'. Ναὸν λέγει παρά τε Ἰσραὴλ καὶ Ἀβραὰμ τῷ Θεῷ ἀνοικοδομηθῆναι· τὸν οὔτε γενόμενον πώποτε, οὔτε παρὰ τῇ Γραφῇ μνημονευόμενον· εἰ γὰρ ἀλοιφὴν λίθου μόνον εἰς στήλην τῷ Θεῷ κεχρισμένον οὐ παρεῖδεν ὁ θεῖος Μωσῆς, πῶς ναὸν ὅλον ἀπεσιώπησεν ἄν;

ιβ'. Ἐνομοθέτησεν εὔχεσθαι πρὸς νότον ἀπεστραμμένους· ἵνα κἂν τούτῳ διακρίνωνται ἀπὸ τῶν στρεφομένων πρὸς τὴν τοῦ ἡλίου ἀνατολήν.

Κελεύει τοὺς εἰς εὐχὴν ἐρχομένους καθαρίζειν ἑαυτούς· ὕδατι μὲν εἰ πάρεστιν· εἰ δὲ ἄπεστι, χώματι· τοῦτο δὲ ῥυποῖ μᾶλλον, οὐχὶ καθαίρει. Τί δὲ καὶ συντελέσει ἡ διὰ τοῦ ὕδατος ψιλὴ κάθαρσις, εἴπερ αἱ ψυχαὶ τούτων ἀκαθαρσίας εἰσὶ μεσταί;

Λέγει πάλιν, ὡς ἐκ Θεοῦ· « Ἡμεῖς δεδώκαμέν σοι τὸν κάνθαρον· καὶ εὖξαι πρὸς τὸν Κύριόν σου, καὶ σφάξον. » Ὢ θαυμαστὴ θυσία καὶ μεγαλοπρεπὴς, καὶ τοῦ νομοθετήσαντος ἐπαξία!

ιγ'. Τὰ ἀπὸ τοῦ ιη' μυθαρίου Μωάμεθ μέχρι τοῦ λς' πάντα παρήκαμεν, ὡς μεστὰ πάσης τερθρείας καὶ τερατολογίας, καὶ αὐτόθεν ἀνατρεπόμενα, ὅσα ἀπό τε τῆς Παλαιᾶς, ἀπό τε τῆς Νέας ἔλαβε καὶ παρέφθειρε. Λέγει γὰρ τὴν τοῦ Μωσέως καὶ Ἀαρὼν ἀδελφὴν Μαρίαν παρὰ φοίνικι τίκτειν τὸν Χριστὸν, ἀπολεγομένην τὴν ἑαυτῆς ψυχὴν διὰ τὰς ὠδῖνας· καὶ τὸν Χριστὸν ἀπὸ τῆς γαστρὸς αὐτῇ προσφθέγξασθαι, καὶ κελεῦσαι σεῖσαι τὸν φοίνικα, καὶ φαγεῖν ἀπὸ τῶν καρπῶν αὐτοῦ. Τὸν δὲ Δαβὶδ καὶ τὸν Σολομῶντα δαίμοσι καὶ ὄρνισι προσδιαλέγεσθαι, δαίμονάς τε συνεργοῦντας τῷ Σολομῶντι παρεῖναι, καὶ *γούνδας* τινάς· καὶ τῶν ἀνέμων ἄρχειν αὐτὸν, καὶ τῶν μυρμήκων κατανοῆσαι τὰ μυστήρια· καὶ ἄγριόν τινα ἀλεκτρυόνα εἶναι τούτοις διδάσκαλον. Καὶ τὸν θώρακα δὲ τὸν σιδηροῦν παρὰ τοῦ Δαβὶδ λέγει πρῶτον ἐπινοηθῆναι.

Ἑαυτὸν δὲ κριτὴν μετὰ τοῦ Θεοῦ φημίζει, κρινοῦντα τὴν οἰκουμένην· καὶ ἕτερα τούτων ἀλογώτερα καὶ δαιμονιωδέστερα καταφλυαρεῖ.

Τὸν ἥλιόν φησιν εἰς θερμὸν ὕδωρ καταβαπτίζεσθαι πρὸς τῷ τέλει τῆς ἑσπερίας· καὶ λουόμενον, ἀνιέναι πρὸς ὄρθρον καὶ ἀνατέλλειν. Ἀλλ' εἰ πῦρ μὲν ὁ ἥλιος, ἀλλήλων δὲ φθαρτικὰ τὸ πῦρ καὶ τὸ ὕδωρ· πῶς οὐκ ἀναλίσκει θάτερον τὸ ἕτερον; Τίς δὲ καὶ ἡ χρεία τοῦ τοιούτου λουτροῦ; Καθαρώτατος γὰρ ὁ ἥλιος, καὶ αὐτοῦ τοῦ ὕδατος πολλῷ καθαρώτερος.

ιδ'. Τὸν ἥλιον καὶ τὴν σελήνην ἐφ' ἵπποις εἶναί φη-

σιν. Ἀλλὰ πῶς ἄψυχα ταῦτα ὄντα, ἱππεύειν δύνανται; A πῶς δὲ καὶ οἱ ἵπποι ὄχημα πυρὸς εἶναι ὑποστήσονται; Γήϊνος γὰρ ἕκαστος ἵππος, καὶ δαπάνη πυρός. Οἱ δὲ κατὰ τὸν Ἠλίαν ἔμπυροι ἵπποι οὐ φύσιν εἶχον ἵππων, ἀλλὰ σχῆμα μόνον, ἄγγελοι Θεοῦ τυγχάνοντες.

ιε'. Ἐκ βδέλλης ἄνθρωπον γίνεσθαι λέγει. Ἀλλὰ πῶς ἐκ τοῦ ἀτιμοτάτου τὸ τιμιώτατον, καὶ ἐκ τοῦ ἀλόγου τὸν λογικὸν, καὶ ἐκ τοῦ φευκτοῦ τὸ εὐκτόν;

ις'. Ἐκ πάντων τῶν ζώων τῆς βρώσεως ἀποπέμπεται μόνον τὸν χοῖρον· οὔτε δὲ κύνα, οὔτε λύκον, οὔτε τι ἄλλο· ἀλλὰ πάντων μετέχειν προτρέπεται τοὺς ὑπ' αὐτοῦ ἠπατημένους· «Φάγετε γάρ,» φησὶν, «ἐκ B τῶν ὄντων ἐν τῇ γῇ· καθαρὰ γὰρ καὶ καλά· καὶ μὴ ἀκολουθῆτε τοῖς ἴχνεσι τοῦ Σατανᾶ.» Σατανᾶν δηλονότι καλῶν τὸν τὰ μὲν καθαρὰ, τὰ δὲ ἀκάθαρτα προσηγορευκότα Θεόν. Ἀλλ' εἰ Σατανᾶς οὗτος, πῶς Θεὸν αὐτὸν ἐν ἄλλοις ὀνομάζεις, ὦ λῆρε καὶ σεαυτῷ μαχόμενε;

ιζ'. Περὶ νηστείας νομοθετῶν οὕτω φησίν· ὅτι «Ἔξεστιν ὑμῖν ἡ νὺξ τῆς νηστείας εἰς μίξιν τῶν γυναικῶν ὑμῶν. Αὗται γὰρ ὑμῶν εἰσι σκεπάσματα· καὶ ὑμεῖς αὐταῖς ἐστε σκεπάσματα. Ἔγνω γὰρ ὁ Θεὸς ὅτι παραβουλεύεσθε ταῖς ψυχαῖς ὑμῶν ἐν τῇ νηστείᾳ, καὶ ἵλεως ὑμῖν γίνεται. Μίχθητε αὐταῖς εἰς παράκλησιν· φάγετε ἑσπέρας καὶ πίετε, ἕως τὸ τῆς νυκτὸς μέλαν φανῇ λευκὸν διὰ τῆς ἡμέρας· καὶ πάλιν πληρώσατε τὴν νηστείαν ἕως τῆς ἑσπέρας, καὶ C μίχθητε αὐταῖς, ὑμῶν συχναζόντων ἐν τῷ προσκυνητηρίῳ. Αὕτη ἐστὶν ὁ νόμος Θεοῦ.» Ποία νηστεία, ἀκάθαρτε, ἢ ποῖος νόμος Θεοῦ, τὸ δι' ὅλης (τῆς) νυκτὸς εὐάζειν καὶ ἀσελγαίνειν;

Περὶ σωφροσύνης αὐτοῖς διαλεγόμενός φησιν· «Αἱ γυναῖκες ὑμῶν, ναετὸς ὑμῶν. Εἰσέλθετε εἰς τοὺς ναετοὺς ὑμῶν, ὅθεν βούλεσθε· καὶ συνέλθετε ταῖς ψυχαῖς ὑμῶν·» τουτέστι, πᾶσαν ἐπιθυμίαν τῶν ψυχῶν ὑμῶν πληρώσατε, καὶ χρήσασθε ταῖς γυναιξὶν ὑμῶν ἀμφοτέρωθεν. Τί τῆς σῆς ἀκαθαρσίας ταύτης ἀσελγέστερον καὶ μιαρώτερον;

ιη'. Οὗτος ἐνομοθέτησε γυναῖκας μὲν τέσσαρας ἕκαστον [ὑμῶν] λαμβάνειν· παλλακὰς δὲ χιλίας, ἢ ὅσας ἂν τρέφειν δυνηθείη. Ὑποκεῖσθαι δὲ ταῖς γυναιξὶ τὰς παλλακάς· καὶ ἣν ἂν ὁ ἀνὴρ βούληται, ἀπολύειν, D καὶ ἄλλην ἀντεισάγειν. Ὦ τῆς ἀνυπερβλήτου καὶ χοιρώδους ἢ κυνώδους ἀκολασίας!

Λύσεως μνημονεύσας γυναικὸς ἐξ ἀνδρός φησι τάδε· «Ἐάν τις ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, γαμηθήτω αὕτη ἑτέρῳ· καὶ οὕτως, εἰ βούλεται ὁ ἀπολύσας αὐτὴν ἀνὴρ αὐτῆς, ἐπαναστρεψάσθω πρὸς αὐτόν. Οὐκ ἔξεσται δὲ αὐτῇ, πρὸ τοῦ γαμηθῆναι ἑτέρῳ, ἐπαναστρέψαι πρὸς αὐτόν.» Καλὸς νόμος ὁ μοιχείαν ἐπιτάττων, καὶ καθάρσιον αὐτὴν τῆς ἀπολύσεως ὁριζόμενος!

ιθ'. Εἰς τὸν καθ' ἡμῶν πόλεμον ἐγείρων τοὺς μαθητὰς αὐτοῦ φησι· «Φονεύσατε αὐτοὺς ὅπου ἂν συναντήσητε αὐτοῖς.» Ἀλλὰ τίνος ἕνεκα τοῦτο κελεύεις, ὦ

quomodo hæc, cum sint inanima, equitare possunt? quomodo equi ignis vehiculum esse sustinebunt? Equus enim terrestris est, et igni deflagrare potest. Eliæ vero illi ignei equi figuram equorum præferebant, cum revera angeli Dei essent.

15. Ex hirudine sive sanguisuga hominem fieri dicit. Verum enimvero qua ratione ex abjectissimo pretiosissimum, ex bruto ratione præditum, ex eo quod fugiendum et aversandum est, id quod expetitur?

16. Ex esu omnium animalium solum abominatur porcum; neque canem, neque lupum, neque ullum aliud; sed cæteris omnibus vesci jubet discipulos a se deceptos. « Comedite, inquit, de his quæ sunt in terra; pura enim sunt et bona; neque sequimini vestigia Satanæ: » Satanam scilicet appellitans Deum, qui alia quidem munda, alia vero immunda dixit. Sed si quidem iste Satanas est, quomodo ipsum in aliis Deum appellas, o vane nugator, tibique ipsi repugnans?

17. De jejunio dum leges fert, sic ait: « Nox jejunii vobis libera concessa est, ut cum vestris uxoribus concumbatis. Ipsæ enim sunt vestra tegumenta, et vos ipsis estis tegumenta. Deus enim perspectum habuit insidias vobis fieri jejunio, et propitius est. Itaque misceamini cum illis ad consolationem; et vesperi comedite ac bibite, donec ex atra noctis caligine candida dies illucescat; et iterum expleto usque ad vesperam jejunio, cum mulieribus rem habete, oratorium assidue frequentantes. Hæc jejunandi ratio lex Dei est. » Quodnam vero jejunium, o impure; quænam Dei lex, per totam noctem bacchari et libidini indulgere?

De continentia atque modestia apud suos disserens ait: « Mulieres vestræ habitaculum vestrum sunt. Intrate in vestrum habitaculum, undecunque vultis, et cum animis vestris congredimini: » id est, omnem libidinem animi vestri explete, et utimini mulieribus vestris utrinque. Quid hac tua impuritate spurcius et abominabilius?

18. Hic legem tulit, ut quisque vestrum quatuor uxores ducere queat; pellices vero mille, aut quotquot aliquis alere possit. Verum uxoribus subjectas esse vult pellices: permittitque repudiare quam maritus velit, et aliam pro ea ducere. O incomparabilem, porcinamque aut caninam intemperantiam!

Cum divortii meminit inter virum et uxorem, hæc constituit: « Si quis uxorem suam repudiaverit, ipsa nubat alii; atque ita, si velit qui eam dimisit maritus ejus, ad ipsum revertatur. Reverti vero ad ipsum, antequam alii nupserit, non licebit. » Præclara vero lex, quæ adulterium sancit, et eo vult repudium expiari!

19. Cum vero suos discipulos in bellum adversus nos incitat, ait: « Occidite ipsos, ubicunque in ipsos incideritis. » Sed cujus rei causa hoc ipsum ju-

bes, o sanguinarie? Ne videlicet, cum sapientes sint, impia tua et spurca placita coarguant.

20. Excitat autem multis modis et armat barbaros, ut Christianorum sanguine polluantur: dum illis persuasum esse vult, magnam et copiosam mercedem apud Deum repositam esse iis qui crudeliter in ipsos grassentur. Jubet etiam quintam partem captivorum et aliorum spoliorum dedicari Deo, et prophetæ apostoloque ejus Moametho. Neque enim æquum erat lucri non esse cum illis participem eum qui ipsis perditionis Christianorum fuisset auctor; sed par erat ex sanguinario populo sanguinario prophetæ sanguinarias primitias decerni.

Sed tamen rogantibus Christianis jubet reconciliari. Papæ inhumanam humanitatem! Si enim Christiani, facta reconciliatione, in Saracenorum partes concesserint, et postea ab eorumdem potestate se abgregare ausi fuerint, bellum contra eos conflari et jugulari eos vult; at si eamdem religionem amplexentur, in fratrum numerum recipi.

« Non adigetis ipsos, ait, ad fidem. Nam ex lubrico et periculoso, quod gratum acceptumque est, planum factum est, » id est, apparuit vestra fides Deo grata, aliis religionibus improbatis, tanquam periculosis. Euge, magna sane humanitas, quod interficere Christianos mandasti! adigere interim ad fidem non jussisti, sed occidere mandasti! non ob alienam fidem, sed ob insitam sævitiem atque inhumanitatem, et ne superstites coarguant tuam insaniam atque impietatem, uti prædictum est.

Admonet suos dicens: « Ne sitis socii neque Judæorum, neque Christianorum. Nam quicunque ipsos defendit, ex ipsis est. » Esto sane: Christianos omnipotentem sanctamque Trinitatem colentes odio prosequeris; in Judæos vero, qui profitentur sese Abrahami fidem conservare, cur hoc moliris? Sed nihil alienum a tua malitia. Nosti enim quod lex divinitatem Christi declaret: idcirco utrosque odio habere præcipis, qui Christi, imo, ut potius dicam, Dei hostis es.

Deinde sic condolet Judæis et Christianis, cum ait: « Væ vobis, domestici Scripturarum! nihil vobis erit, quoad legem sequemini et Evangelium. » Nihil, nempe utilitatis. Atqui paulo ante legem a Christo impletam fuisse dixisti, Evangeliumque promulgatum esse viam et lucem et justitiam. Sed revera mendacium seipsum jugulat, ut evidenter coarguatur.

De circumcisione et marium et feminarum legem tulit: interdixit illis etiam vino. Et mares quidem circumcidere Hebraicum; feminas vero impudentiæ Moamethicæ proprium, scilicet ut circumcisionem in lege præscriptam hoc pacto corrigeret. Abstinentia a vino hoc vult, ne ebrii facti, facile

A μιαιφόνε; Ἵνα πάντως μὴ, νουνεχεῖς ὄντες, ἐλέγχωσι τὰ ἀσέβαστά σου καὶ κατάπτυστα δόγματα.

κ'.] Διανίστησι καὶ ἐξοπλίζει παντοιοτρόπως τοὺς βαρβάρους πρὸς τὸ τοῖς τῶν Χριστιανῶν αἵμασι καταχραίνεσθαι, πιστεύοντας πολλὴν παρὰ Θεῷ μισθαποδοσίαν κεῖσθαι τοῖς ὠμῶς κατ' αὐτῶν χωροῦσι. Τὴν πέμπτην δὲ μοῖραν τῶν αἰχμαλώτων καὶ τῶν ἄλλων σκύλων ἀνατίθεσθαι τῷ Θεῷ, καὶ τῷ προφήτῃ καὶ ἀποστόλῳ αὐτοῦ Μωάμεθ· οὐ γὰρ ἔδει μὴ καὶ τοῦ κέρδους αὐτοῖς κοινωνῆσαι τὸν τῆς ἀπωλείας αὐτοῖς αἴτιον. Ἐχρῆν δὲ ἐκ μιαιφόνου λαοῦ μιαιφόνῳ προφήτῃ μιαιφόνους εἶναι τὰς προσενέξεις.

Καὶ καταλλάττεσθαι δὲ κελεύει, παρακαλούντων
B Χριστιανῶν. Βαβαὶ τῆς ἀπανθρώπου φιλανθρωπίας! Εἰ μὲν καταλλαγέντες, καὶ καθ' ἑαυτοὺς γενόμενοι, τολμήσουσι τῆς αὐτῆς ἐξουσίας ἀποδιαιρεθῆναι, πόλεμον κατ' αὐτῶν συγκροτεῖν, καὶ ἀποσφάττειν αὐτούς· εἰ δὲ τὴν αὐτὴν ἐπανέλοιντο θρησκείαν, εἰς ἀδελφοὺς αὐτοὺς παραδέχεσθαι.

« Οὐ καταναγκάσετε, φησὶν, εἰς πίστιν αὐτούς. Ἐφανερώθη γὰρ τὸ εὐπρόσδεκτον ἐκ τοῦ σφαλεροῦ. » Τουτέστιν, ἐφάνη ἡ καθ' ὑμᾶς πίστις εὐπρόσδεκτος τῷ Θεῷ, τῶν ἄλλων πίστεων ἀποδοκιμασθεισῶν, οἷα σφαλερῶν. Εὖγε τῆς φιλανθρωπίας! ὅτι σφάζειν τοὺς Χριστιανοὺς ἐπιτάξας, μὴ ἀναγκάζειν τέως εἰς τὴν πίστιν ἐκέλευσε φονεύειν ἐπιτάξας, οὐ δι' ἀλλοτριότητα πίστεως, ἀλλὰ δι' οἰκείαν
C ἀπήνειαν καὶ ἀπανθρωπίαν, καὶ ἵνα μὴ ζῶντες ἐλέγχωσι τὴν αὐτῶν ἀπόνοιαν καὶ ἀσέβειαν, ὡς προείρηται.

Παραινεῖ τοῖς ἰδίοις λέγων· « Μὴ γίνεσθε ἀντιλήπτορες Ἰουδαίων τε καὶ Χριστιανῶν. Ὅστις γὰρ ὑπερασπίζεται αὐτῶν ἐξ ὑμῶν, ὁ τοιοῦτος ἐξ αὐτῶν ὑπάρχει. » Ἔστω· Χριστιανοὺς μὲν, τοὺς τὴν παντουργὸν καὶ ἁγίαν Τριάδα σέβοντας, μισεῖς, καὶ τοιαῦτα ὑπομένειν κελεύεις· Ἰουδαίοις δὲ, τοῖς ἐπαγγελλομένοις τὴν τοῦ Ἀβραὰμ ἀποσώζειν πίστιν, διὰ τί ταῦτα προξενεῖς; Ἀλλ' οὐκ ἔξω καὶ τοῦτο τῆς σῆς κακοφροσύνης. Οἶδας γὰρ ὅτι ὁ νόμος τὴν τοῦ Χριστοῦ θεότητα δείκνυσι· καὶ διὰ τοῦτο ἀμφοτέρους ἐχθραίνειν κελεύεις, χριστομάχος, ἢ
D μᾶλλον εἰπεῖν, θεομάχος ὤν.

Εἶθ' οὕτω ταλανίζει Χριστιανούς τε καὶ Ἰουδαίους, λέγων· « Οὐαὶ ὑμῖν, οἰκεῖοι Γραφῶν! οὐδὲν ὑμῖν ἔσται, ἕως ἂν ἐξακολουθῆτε τῷ νόμῳ καὶ τῷ Εὐαγγελίῳ. » Ὄφελον δηλονότι. Καὶ μὴν ἀνωτέρω μικρὸν ἀληθοποιηθῆναι μὲν παρὰ Χριστοῦ τὸν νόμον εἴρηκας· δοθῆναι δὲ διὰ τοῦ Εὐαγγελίου ὁδήγησιν, καὶ φῶς, καὶ δικαιοσύνην. Ἀλλ' ὄντως ἑαυτῷ περιπίπτει τὰ πολλὰ τὸ ψεῦδος, ἵνα φανερωτέρως ἐλεγχθείη.

Περιτέμνειν καὶ τοὺς ἄῤῥενας καὶ τὰς θηλείας νομοθετήσας, ἀπηγόρευσεν αὐτοῖς καὶ τὸν οἶνον. Τὸ μὲν οὖν περιτέμνειν τοὺς ἄῤῥενας Ἑβραϊκόν· τὸ δὲ τὰς θηλείας τῆς τοῦ Μωάμεθ ἀναισχυντίας ἴδιον, ἐπὶ διορθώσει δῆθεν τῆς νομικῆς περιτομῆς· ἡ δὲ ἀποχὴ τοῦ οἴνου, ἵνα μὴ μεθυσκόμενοι τοῖς ἐχ-

θροῖς αὐτῶν εὐάλωτοι γίγνωνται, καὶ μάλιστα A τοῖς Χριστιανοῖς.

Ἐμυθολόγησε κάμηλόν τινα γενέσθαι, δυναμένην πίνειν ὅλον τὸν παραῤῥέοντα ποταμόν· εἶναι δὲ ταύτην παμμεγέθη, καὶ μὴ χωρουμένην μεταξὺ δύο τῶν μεγίστων ὀρέων. Λαὸς οὖν, φησὶν, ἦν ἐν τῷ τόπῳ· καὶ τὴν μὲν μίαν ἡμέραν αὐτὸς ἔπινε τὸ ὕδωρ τοῦ ποταμοῦ, τὴν δὲ ἑτέραν ἡ κάμηλος. Πίνουσα δὲ τὸ ὕδωρ τοῦ ποταμοῦ, ἐπότιζεν αὐτοὺς, τὸ ἑαυτῆς γάλα παρεχομένη ἀντὶ τοῦ ὕδατος. Ἀνέστησαν οὖν ἐκεῖνοι, πονηροὶ ὄντες, καὶ ἀπέκτειναν τὴν κάμηλον. Ἦν δὲ ταύτης γέννημα, μικρὰ κάμηλος, ἥτις, ἀναιρεθείσης τῆς μητρὸς, ἐβόησε πρὸς τὸν Θεόν· καὶ ἔλαβεν αὐτὴν πρὸς ἑαυτόν. Ἐρωτῶμεν οὖν τοὺς τοῦ μυθολογήσαντος ταῦτα μαθητὰς, πότερον ἐκ συνδυασμοῦ γεγέννηται ἡ B μικρὰ κάμηλος, ἢ δίχα συνουσίας; Καὶ λέγουσι, « δίχα συνουσίας. » Καὶ πάλιν ἡμεῖς, « Καὶ πῶς δίχα συνουσίας; » Καὶ λέγουσιν ἀγνοεῖν. Καὶ αὖθις ἡμεῖς, « Πῶς πρὸς ἑαυτὸν ὁ Θεὸς τὴν μικρὰν κάμηλον ἀνελάβετο, καὶ ποῦ βόσκεται; πῶς δὲ καὶ ὁ προφήτης ὑμῶν οὐκ ἐδίδαξε τὰ περὶ τῆς ἀσυνδυάστου γέννης αὐτῆς; Καὶ ποῦ νέμεται; Καὶ εἰ ζῇ ἐν τῷ οὐρανῷ, ἢ μετὰ τὴν ἀνάληψιν τετελεύτηκεν; ἢ πρόδρομος ὑμῶν εἰσῆλθεν εἰς τὸν παράδεισον; » Καὶ μηδὲν ἔχοντες εἰπεῖν, μένουσι σιγῶντες.

κα'. Ἑαυτὸν λέγει τὰς κλεῖς τοῦ παραδείσου λαβεῖν· καὶ κατὰ τὴν ἡμέραν τῆς παγκοσμίου κρίσεως, μετὰ τὸ καταδικασθῆναι Μωσέα μετὰ τῶν Ἑβραίων ἁπάντων διὰ τὴν τοῦ νόμου παράβασιν, καὶ μετὰ C τὴν κατὰ τῶν Χριστιανῶν ψῆφον, ἣν ὑποστήσονται προσαγορεύοντες τὸν Χριστὸν Υἱὸν Θεοῦ καὶ Θεὸν, ἀνοιγῆναι μὲν τὸν παράδεισον ὑπ' αὐτοῦ· συνεισελθεῖν δὲ αὐτῷ χιλιάδας ἑβδομήκοντα ἀπὸ τῶν παραδεξαμένων τὴν διδασκαλίαν αὐτοῦ· τοὺς δὲ λοιποὺς τῶν αὐτοῦ μαθητῶν κριθήσεσθαι φάσκει· καὶ τοὺς μὲν κρείττονας ἐξ αὐτῶν ἀναμφιβόλως καὶ αὐτοὺς εἰς τὸν παράδεισον εἰσαχθῆναι, τοὺς δὲ χείρους καὶ ἁμαρτωλοὺς πιττάκιον τῷ τραχήλῳ ἑαυτῶν περιδεδεμένον φέροντας, καὶ αὐτοὺς εἰς τὸν παράδεισον εἰσαχθῆναι· καὶ καλεῖσθαι τούτους « ἀπελευθέρους τοῦ Θεοῦ καὶ τοῦ προφήτου Μωάμεθ. »

κβ'. Τὸν παράδεισον τέσσαρας λέγει ποταμοὺς ἔχειν, ἐξ ὕδατος ἀθολώτου, καὶ γάλακτος καθαροῦ, D καὶ οἴνου ἡδέος, καὶ μέλιτος ὑλιστοῦ. Συνουσιάζειν δὲ καὶ γυναιξὶν ἐν τῷ παραδείσῳ· καὶ εἶναι τὴν συνουσίαν αὐτῶν ἡδυτάτην πάνυ, καὶ διαρκῆ, καὶ ἄῤῥευστον. Τοὺς μέντοι Ἑβραίους, καὶ τοὺς Χριστιανοὺς ξύλα τοῦ αἰωνίου χρηματίζειν πυρός· τοὺς δὲ Σαμαρείτας ἀποτετάχθαι πρὸς τὴν ἐκφορὰν τῆς κόπρου τῶν ἐν τῷ παραδείσῳ διαιτωμένων, ἵνα μὴ ἐποζέσῃ, φησὶν, ὁ παράδεισος. Ταῦτα πάντα, τὰ καταγέλαστα πάντα καὶ ἀπαράδεκτα Χριστιανοῖς ὄντα, καὶ μυθάρια, καὶ ἀσύστατα, οὐκ ἐπιδέονταί τινος ἀνατροπῆς, αὐτόθεν ἐληλεγμένα.

κγ'. Ἀποκλείων πᾶσι τὴν ἔρευναν τῶν παρ' αὐτοῦ δογματιζομένων, εἰ ἀληθῆ ταῦτα ἢ μὴ, κελεύει,

ab hostibus in potestatem redigerentur, et maxime a Christianis.

Fabulatus est fuisse camelum quamdam, quæ potuerit integros fluvios præterfluentes epotare: fuisse autem illam permagnam, et quæ inter duos montes maximos non caperetur. Et in eo, inquit, loco populus erat; et altero quidem die ipse aquam fluvii bibebat, altero vero, camelus: eaque cum bibisset aquam, populo illi potum præbebat lac suum, pro aqua. Hic itaque populus, cum esset malus, insurrexit et camelum interfecit. Erat autem hujus pullus exiguus camelus, qui interfecta matre ad Deum clamavit, et assumpsit eumdem ad seipsum. Interrogemus igitur discipulos hujus fabulatoris, utrum ex conjunctione parvus camelus natus sit, an absque coitu? Et dicunt: « Absque coitu. » Et nos rursum: « Et quomodo absque coitu? » Et respondent se ignorare. Et nos iterum: « Quomodo vero Deus ad seipsum parvum illum camelum assumpsit, et ubi pascitur, et quo pacto propheta vester non explicavit ejus ortum, cum nulla plane antecesserit conjunctio? Et ubi pascitur? Et utrum vivit in cœlo, an vero postquam assumptus est obiit, aut vos in paradisum præcurrit? » Isti vero cum non habeant quod respondeant, conticescunt.

21. Seipsum ait claves paradisi accepisse, et circa diem universalis judicii, postquam Moses cum Hebræis, ob legis transgressiones, condemnatus fuerit, et post sententiam de Christianis latam, quam illi ferent quia Christum et Dei Filium et Deum appellant, apertum iri paradisum ab ipso, et simul cum ipso intraturas chiliadas septuaginta, ex eorum numero qui doctrinam ipsius amplexi fuerint, reliquos vero suos discipulos judicatum iri dictitat: et quidem meliores ipsorum citra omnem controversiam et ipsos paradiso potituros: pejores vero et peccatores, chartulam de collo pendentem ferentes, et ipsos in paradisum intromissum iri, appellarique istos « libertos Dei et prophetæ Moamethi. »

22. Paradisum quidem quatuor flumina habere tradit, ex aqua pura, lacte puro, et dulci vino, melleque defæcato. Item concumbere ipsos cum mulieribus in paradiso: esseque congressum ipsorum jucundissimum omnino et sufficientem, et qui nunquam diffluat. Hebræos vero et Christianos ligna sempiterni ignis appellari: Samaritanos autem destinatos esse ut stercus efferant eorum qui in paradiso agunt, ne graviter oleat paradisus. Hæc quidem omnia, et ridicula undequaque et aliena ab omni Christianorum doctrina, itemque fabellæ, et absurda minime consistentia, non egent ulla refutatione, ut quæ a seipsis redarguantur et convincantur.

23. Et ut intercluderet omnibus viam investigandi sua placita, utrum scilicet vera sint, an falsa,

mandat, hoc quidem tempore, tanquam divinitus inspirata, sua amplecti omnia, investigationem vero illorum et probationem ad diem usque extremum judicii universalis reservandam. Tunc enim quod probum sincerumque sit, planum fore. Ne vero quisquam dicat : « Postula a Deo signum aliquod ad confirmationem tuorum placitorum, » simulat petitionem, et ad Deum ait : « Postulant a te domestici et vernaculi discipuli scripturæ (id est, qui scripturam illam divinitus missam amplectuntur) ut demittas ad eos scripturam e cœlis, » scilicet scripturam secundam, quæ certos eos reddat placita a me proposita et constituta esse vera et tibi grata. Postea de Hebræis proponit, quod illi majus quippiam a Mose petierint, dicentes : « Ostende nobis Deum manifesto, » et quod comprehenderit ipsos Deus ob injustitiam suam, id est sustulerit e medio, ob hanc absurdam et ineptam petitionem ipsorum. Hæc quidem ille addidit, ut terreret discipulos suos, ut prohiberet (uti declaratum est) inquirere demonstrationes veritatis ; ne scilicet similia ipsis acciderent. Judæi tamen magis deprecati sunt, ne Deus loqueretur ad ipsos, et gloriam Dei, quæ ipsis in monte Sina apparuerat, horribilem existimarunt et intolerabilem : falsumque est exemplum Hebræorum qui eo modo perierint.

Præterea conatur conciliare sibi veritatis studium, et fide dignam auctoritatem placitis suis astruere, dum in medium adducit personas quasdam difficiles cognitu, quæ ante Noe ad prædicandum venerint, et in quibus quidem ipsis fides habita fuerit, benedictionem magnam assecutos esse homines ; in quibus vero fides derogata sit, maledictionem summam sensisse. Post Noe vero introducit Tzaled quemdam prophetam, fratrem Thamodi, qui neque unquam fuit, neque ab ullo alio nominatus est ; item et Saipum, similiter ignotum et Mosi, et omnibus aliis historicis. Atque hos quidem omnes prædicasse dicit, eosdemque illis qui fidem ipsis habuerint, Deum propitium præbuisse : ubi vero fides illis penitus habita non fuit, eas gentes fuisse eversas.

24. Deinceps de seipso addit talia : « Væ homines ! ego sum Dei apostolus. » Ex placitis tuis planum fit, cujus dei, o impostor, sis apostolus, falso, inquam, sic appellati, nempe Satanæ ; huic namque grata et amica doces, at inimica vero et magno Deo.

Rursum velut ex persona Dei dicit : « Misimus te ad gentem, ut ea quæ tibi revelata et patefacta sunt, eidem præsint et imperent, » id est, ut illa subjecta sit iis quæ tibi revelata sunt placitis. Atque hoc quidem ideo dixit, ut auctoritatem et fidem sibi compararet, quemadmodum sæpenumero consuevit facere. Et iterum addit : « Qui religionem nostram improbant, aiunt me non esse apostolum : Deus mihi sufficiat, hic inter me et vos testis. » Quod autem dicit : « Sufficiat mihi Deus, » idem est ac si dixisset : Sufficiet mihi Deus

A νῦν μὲν ὡς θεόπνευστα δέχεσθαι τὰ παρ' αὐτοῦ πάντα · παραπέμψαι δὲ τὴν τούτων ἔρευναν καὶ δοκιμασίαν εἰς τὴν τελευταίαν ἡμέραν τῆς παγκοσμίου κρίσεως · τότε γὰρ φανῆναι τὸ πάντως δόκιμον. Ἵνα δὲ μή τις εἴπῃ, « Αἴτησαι παρὰ τοῦ Θεοῦ σημεῖον εἰς πίστωσιν τῶν παρὰ σοῦ δογματιζομένων, » ὑποκρίνεται τὴν αἴτησιν, καί φησι πρὸς τὸν Θεόν · « Αἰτοῦνταί σε οἱ οἰκεῖοι τῆς γραφῆς (τουτέστιν οἱ τὴν θεόπεμπτόν σου γραφὴν δεξάμενοι) τοῦ κατενέγκαι ἐπάνω αὐτῶν γραφὴν ἐκ τοῦ οὐρανοῦ · » γραφὴν δευτέραν δηλονότι, πληροφοροῦσαν περὶ τῶν παρ' αὐτοῦ δογματιζομένων, ὅτι ἀληθῆ καὶ εὐάρεστα. Εἶτα προσεκτίθησι περὶ τῶν Ἑβραίων, ὅτι ᾐτήσαντο τὸν Μωσῆν μείζονα τούτου, καὶ εἶπον, « Δεῖξον ἡμῖν τὸν Θεὸν φανερῶς · » καὶ ἔλαβεν αὐ- B τοὺς τὸ Θεῖον διὰ τῆς ἀδικίας αὐτῶν · τουτέστιν, ἀνεῖλεν αὐτοὺς διὰ τὴν παράλογον ταύτην αἴτησιν αὐτῶν. Ταῦτα δὲ προσέθηκεν, ἐκφοβῶν τοὺς μαθητὰς αὐτοῦ, καὶ κωλύων (ὡς δεδήλωται) ζητεῖν αὐτοὺς ἀποδείξεις τῆς ἀληθείας, ἵνα μὴ τὰ ὅμοια πάθωσι. Καίτοι παρῃτήσαντο μᾶλλον οἱ Ἰουδαῖοι τὸ λαλεῖν πρὸς αὐτοὺς τὸν Θεόν · καὶ τὴν ἐπὶ τοῦ ὄρους ὀφθεῖσαν τοῦ Θεοῦ δόξαν φορτικὴν ἡγήσαντο καὶ ἀνυπόστατον · καὶ ψευδὲς αὐτὸ τὸ παράδειγμα τῶν οὕτως ἀποθανόντων Ἑβραίων.

Ἔτι περιποιούμενος ἑαυτῷ ἀλήθειαν καὶ ἀξιοπιστίαν ἐπὶ τοῖς δογματιζομένοις, εἰσάγει πρόσωπά C τινα πᾶσιν ἀδιάγνωστα, εἰς κήρυγμα πρὸ τοῦ Νῶε ἐλθόντα · καὶ ἐν οἷς μὲν ἐπιστεύθησαν, θείαν εὐλογίαν προεξενηκότα, ἐν οἷς δὲ ἠπιστήθησαν, κατάραν μεγίστην. Μετὰ μέντοι τὸν Νῶε ἐπεισάγει Τζάλεδ τινὰ προφήτην, ἀδελφὸν Θαμὼδ, τὸν οὔτε γεγονότα, οὔτε παρ' ἄλλου ὀνομασθέντα · ἔτι δὲ καὶ Σάϊπον, ὁμοίως ἄγνωστον καὶ τῷ Μωσῇ, καὶ πᾶσι τοῖς ἄλλοις ἱστορικοῖς · οὓς λέγει κηρύξαντας παρ' οἷς μὲν ἐπιστεύθησαν, τὸν Θεὸν αὐτοῖς εὐμενῆ παρεσχηκέναι, παρ' οἷς δὲ ἠπιστήθησαν, καταστροφὴν αὐτοῖς γενέσθαι.

κδ'. Εἶτα προστίθησι περὶ ἑαυτοῦ τοιάδε · « Οὐαὶ ἄνθρωποι ! ἐγὼ ἀπόστολός εἰμι τοῦ Θεοῦ. » Ἔδειξας, D ἀφ' ὧν δογματίζεις, ὦ πλάνε, ποίου θεοῦ ὑπάρχεις ἀπόστολος, ὅτι τοῦ ψευδωνύμου, φημὶ δὴ τοῦ Σατανᾶ. Τούτῳ μὲν γὰρ φίλα διδάσκεις, ἐχθρὰ δὲ τῷ ἀληθεῖ καὶ μεγάλῳ Θεῷ.

Λέγει πάλιν ὡς ἐκ προσώπου τοῦ Θεοῦ περὶ ἑαυτοῦ · « Ἀπεστείλαμέν σε πρὸς ἔθνος, τοῦ τυγχάνειν ἐπάνω αὐτῶν τὰ δηλοποιηθέντα πρὸς σὲ, » τουτέστι τοῦ ὑποκεῖσθαι αὐτοὺς τοῖς δηλοποιηθεῖσι. Καὶ τοῦτο δὲ εἴρηκεν, ἀξιόπιστον ἑαυτὸν ποιῶν, ὡς εἴωθε πολλάκις ποιεῖν. Καὶ αὖθις προστίθησι · « Λέγουσιν οἱ ἀρνούμενοι, ὅτι οὐκ εἰμὶ ἀπόστολος. Ἀρκεσθῇ μοι ὁ Θεός · οὗτος μάρτυς μεταξὺ ἐμοῦ καὶ ὑμῶν. » Τὸ δὲ, « Ἀρκεσθῇ μοι ὁ Θεὸς, » ἀντὶ τοῦ, Ἀρκέσει μοι εἰς μαρτυρίαν ὁ Θεός · ὅς ἐστι μάρτυς ἐμοῦ μὲν, ὅτι εἰμὶ ἀπόστολος αὐτοῦ, ὑμῶν δὲ,

A ὅτι ἀπιστεῖτέ μοι. Θεὸν μὲν οὖν προβάλλεται μάρτυρα τῆς ἀποστολῆς αὐτοῦ, οὐδὲν δὲ Θεοῦ ἄξιον ἐπιφέρεται· καὶ μὴν οὔτε ἀποστόλου σύμβολον, οὐ θαυματουργίαν, οὐ προφητείαν ἀληθινήν, οὐ βίον ἐξησκημένον, οὐδὲ ἁπλῶς γνῶσιν· ἀλλ' ἀναποδείκτως, « Θεός μοι μάρτυς, » φησίν.

in testimonium, qui testis est mihi quidem, quod sim apostolus; vobis vero, quod mihi fidem non habetis. Sic Deum ille obtestatur velut testem sui apostolatus; nec tamen quidquam Deo dignum adfert, qui nullam quoque apostoli tesseram sive symbolum, neque prophetiam veram, neque miracula, neque vitam exercitationibus sanctis excultam, neque aliam (ut simpliciter dicam) cognitionem profert : sed absque omni probatione et demonstratione, « Deus mihi testis est, » inquit.

κε'. Καὶ πάλιν ἐν ἑτέρῳ λόγῳ τάδε διέξεισιν, ὅτι « Πάντως ἐροῦσί μοι, ὅτι Δαιμονιζόμενος εἶ, λέγων ἐκ Θεοῦ δέξασθαι ταῦτα. Εἰ γὰρ ἦσαν ἀληθῆ, ἄγγελος ἂν κατήγγειλεν. » Αἰτίας δὲ τίθησι τοῦ μηδένα καταβῆναι ἄγγελον, καί φησιν, ὅτι « Εἰσί τινες δι' οὓς τοῦτο κωλύεταί· καὶ ὅτι, τῶν ἀγγέλων κατελθόντων, τὸ ὅλον ἤνυσται· καὶ τίς χάρις τοῖς B ἀνθρώποις; » Ἀλλὰ μὴν πρόφασις τοῦτο τῆς ἀπορίας καὶ τῆς ἀσθενείας σου. Πολλάκις γὰρ ἄγγελοι κατῆλθον εἰς τὴν γῆν, μᾶλλον δὲ καθ' ἑκάστην καταβαίνουσιν, εἰς διακονίαν ἀποστελλόμενοι τῶν σωζομένων.

25. Et iterum in alio sermone hæc narrat : « Omnino mihi objicient, me dæmone exagitatum dictitare Deum hæc mihi tradidisse. Si enim hæc essent vera, angelus aliquis hæc mihi annuntiasset. » Exponit etiam causas cur nullus angelorum descendat, et ait : « Esse aliquos per quos hoc ipsum impediatur : et quod angelis descendentibus universum hoc per eos consummatum esset, et quæ tum gratia hominibus fuerit? » Atqui hæc oratio fucus et prætextus est perplexi animi tui, et inscitiæ atque imbecillitatis tuæ. Sæpenumero enim angeli in terram descenderunt : imo quotidie descendunt, cum mittuntur ad ministerium eorum qui sunt servandi.

κς'. Ὁποῖον δὲ καὶ τὸ σημεῖον καὶ ἡ ἀπόδειξις τῆς ἀποστολῆς αὐτοῦ; « Ἴδετε γάρ, » φησί, « τὰς ἀστεροτοξίας, ὁπηνίκα ἀναβαίνει ὁ Σατανᾶς, ἀκροάσασθαι θέλων τὰ ἐν οὐρανῷ λαλούμενα· διὰ τοῦτο πιστεύσατε, ὅτι ἀπόστολός εἰμι. Ἄλλος γὰρ τοῦτο πρὸ ἐμοῦ οὐκ ἐδίδαξεν. » Ὄντως οὐδεὶς ἄλλος τοῦτο ἐδίδαξε· διότι πρόδηλόν ἐστι ψεῦδος. Οὐκ ἀστεροτοξίαι γὰρ ταῦτα, καθὼς αὐτός φησι, κατὰ τοῦ δαί- C μονος ἐκπεμπόμενα· ἀλλ' ἀποσπινθηρίσεις τῶν ἀστέρων. Ἕκαστος γὰρ ἀστὴρ πῦρ ἐστι, καὶ κατὰ τὴν τοῦ πυρὸς φύσιν ἐκπυρηνίσεις ἐκπέμπει.

26. Quodnam ergo signum et demonstratio apostolatus ejus? « Observate, ait, ejaculationes astrorum, quando Satanas ascendit ad audiendum ea quæ in cœlo dicuntur : atque ob id credite me esse apostolum, alius enim ante me hoc nullus docuit. » (Sane, nullus alius hoc docuit ideoque) manifestum est mendacium ; neque enim ista sunt stellarum sagittaturæ quæ, ut ipse ait, contra dæmonem emittuntur, sed scintillationes a stellis emissæ. Unumquodque enim astrum ignis est, et pro natura ignis scintillas emittit.

Πάλιν ἑαυτῷ κατασκευάζων τὸ ἀξιόπιστον, εἰσάγει τὸν Θεὸν μαρτυροῦντα περὶ ἑαυτοῦ καὶ ὀμνύοντα, καὶ λέγοντα· « Μὰ τὸ ἄστρον τὸ δυόμενον, οὐκ ἐπλανήθη ὁ ἑταῖρος ὑμῶν, οὐδὲ ἠνόμησε, καὶ οὐκ ἐφθέγξατο ἐκ θελήματος· οὐκ ἔστιν αὐτῷ εἰ μὴ ἀποκάλυψις ἀποκαλυφθεῖσα, ἣν ἔδειξεν αὐτῷ ὁ ἰσχυρὸς εἰς δύναμιν, ὁ ἀθεώρητος. » Ἀλλὰ μήν, ὥσπερ τὸ τὸν Θεὸν ὀμόσαι κατὰ ἀστέρος ψευδές, οὕτω δὴ καὶ ὅσα ἀπεκαλύφθη τῷ Μωάμεθ ψευδῆ καὶ δαιμονιώδη.

Iterum tandem auctoritatem et fidem sibi astruere nititur, cum introducit Deum testificantem de seipso, jurantemque ac dicentem : « Næ per astrum quod occidit, socius vester non est in errorem inductus ; neque inique egit, neque pro suo arbitratu locutus est ; neque est doctrina ejus aliud quam revelatio ipsi revelata ; quam ostendit ei fortis ille viribus et invisibilis. » Sed ut Deum jurare per stellam, est mendacium, sic etiam quæcunque patefacta sunt Moametho, falsa sunt D et diabolica.

Φησὶ προφητεῦσαι Ἰησοῦν τὸν Υἱὸν Μαρίας περὶ ἑαυτοῦ, εἰπόντα· « Ἐγὼ ἀπόστολός εἰμι τοῦ Θεοῦ πρὸς ὑμᾶς, ἀληθοποιῶν τὰ ἔμπροσθέν μου τὰ τοῦ νόμου, καὶ εὐαγγελιζόμενος ἀπόστολον ἐρχόμενον μετ' ἐμέ· ὄνομα αὐτῷ Μωάμεθ. » Καὶ ποῦ τοῦτο προεφήτευσεν ὁ Χριστός, ἢ ἐν ποίᾳ γραφῇ; Πάντως γὰρ τοὺς τοῦ Χριστοῦ λόγους, ὁπηδήποτε κειμένους, εἰς ἀκρίβειαν ἐπίστασθε. Ἤγουν δειξάτωσαν οἱ τοῦ Μωάμεθ μαθηταὶ γεγραμμένην που τῶν θεοπνεύστων Γραφῶν ταύτην τὴν περὶ τοῦ Μωάμεθ πρόῤῥησιν· ἢ σαφῶς ἴστωσαν ὅτι καὶ τοῦτο ψεῦδος, ὥσπερ δὴ καὶ τἄλλα τῶν διδαγμάτων αὐτοῦ.

Tradit, Jesum Mariæ Filium prædixisse de se his verbis : « Ego sum Dei apostolus ante vos, implens ea quæ ante me in lege prædicta fuere. Et annuntio vobis apostolum venturum post me, cui nomen Moameth. » Ubinam vero hoc Christus prædixit? aut in quanam scriptura? Omnino enim Christi oracula, ubicunque tandem sunt scripta, accurate tenetis. Aut igitur discipuli Moamedi demonstrent hanc de Moametho prædictionem in aliqua parte divinitus inspiratarum Scripturarum perscriptam esse : aut liquido sciant esse etiam hoc mendacium, quemadmodum alia ipsius dogmata.

κζ'. Τὸ ἑκατοστὸν δωδέκατον μυθάριον ἐπιγρα-

27. Centesima duodecima fabella inscriptionem

habet: *Parcam*. Est autem præstigiatoria incantatio, quæ dicit: « Dic, Parcam Domino lucis, e malo (quod finxit) et ex malo ejaculationis astrorum, quando illa intenduntur, et e malo sputorum in mundos, et e malo invidorum. »

Fabella centesima decima tertia et ipsa præstigiatoria incantatio est, nam et ipsa inscribitur, *Parcam*; et sic habet: « Dic, Parcam Domino hominum (regi hominum), Deus hominum, e malo; e malo susurro dæmonum, quando insusurrant in corda hominum, e dæmonibus et hominibus. »

28. Tradidit magnus iste et præstigiator magica quædam artificia, et dæmoniacas cæremonias, aliasque nefarias scelestasque artes et sacrificia. Frustra igitur discipuli hujus gloriantur, nec pudet ipsos habere talem doctorem mysteriorum, omni blasphemia, atheismis et monstris scatentem.

29. Ismaelitæ denique dicunt benedictum etiam fuisse Ismaelem filium Dei. Quibus nos respondemus: benedictionem quidem illum accepisse, non tamen qualem accepit Isaacus (in cujus semine Deus promiserat benedicendas esse omnes gentes, easque hæredes fore promissionis maximæ), sed talem qua etiam bruta animantia gaudent, crescere nempe et multiplicari. At quidnam profuerit generi (hujus) crescere et multiplicari, et divina benevolentia gratiaque frustrari, atque a Deo alienum esse?

Hæc fabulosa nugamenta pseudoprophetæ Moamethi propterea hic perscripta sunt, ut Christiani, ea videntes, ipsum cum discipulis suis rideant, et errorem perditionemque ipsorum despuant; Christianorumque orthodoxam fidem, quæ solem ipsum claritate ac splendore superat, extollentes, Christum Servatorem Deumque nostrum debita gratiarum actione magnificemus, et infinitam ipsius bonitatem ac beneficentiam celebremus, quod benigna sua misericordia nos liberavit exoso isto errore ac perditione, atque adeo etiam cætero improborum errore, hæreticorumque cultu, qui una cum anima etiam corpus perditioni dedunt. Quorum primus ego qui hæc scripsi, despuo detestorque fabulosa ista nugamenta omnemque hæresim, et credo ac prædico Dominum Deumque nostrum Jesum Christum.

πται μὲν εἰς τὸ *Φείσομαι*, ἔστι δέ τις γοητικὴ ἐπῳδὴ, λέγουσα· « Εἰπὲ, Φείσομαι εἰς τὸν Κύριον τοῦ διαφάσματος ἐκ κακοῦ οὗ ἔπλασε, καὶ ἐκ κακοῦ τῆς ἀστροτοξίας, ὅτε εἰστείνεται· καὶ ἐκ κακοῦ ἐμπτυσμάτων εἰς τοὺς κόσμους, καὶ ἐκ κακοῦ φθονούντων. »

Καὶ τὸ ἑκατοστὸν ἢ τρισκαιδέκατον μυθάριον γοητικὴ καὶ αὐτὴ ἐστιν ἐπῳδή. Ἐπιγέγραπται μὲν γὰρ καὶ τοῦτο εἰς *Φείσομαι*. Ἔχει δὲ οὕτως· « Εἰπὲ, Φείσομαι εἰς τὸν Κύριον τῶν ἀνθρώπων, βασιλέα τῶν ἀνθρώπων, ὁ Θεὸς τῶν ἀνθρώπων, ἐκ κακοῦ ψιθυρίσματος τῶν δαιμόνων· ὅτι ψιθυρίζεται εἰς τὴν καρδίαν τῶν ἀνθρώπων ἐκ τῶν δαιμόνων καὶ ἀνθρώπων. »

κη'. Παρέδωκεν οὗτος ὁ γόης μαγικάς τινας κακοτεχνίας, καὶ δαιμονιώδεις τελετὰς, καὶ ἄλλας ἀθεμίτους ἀῤῥητουργίας. Μάτην οὖν ἐπὶ τούτῳ μεγαλαυχοῦσιν οἱ τούτου μαθηταὶ, καὶ οὐκ ἐγκαλύπτονται τοιοῦτον ἔχοντες μυσταγωγὸν, πάσης βλασφημίας καὶ ἀθεΐας καὶ τερατολογίας καὶ γοητείας ἀνάπλεων.

κθ'. Λέγουσιν οἱ Ἰσμαηλῖται εὐλογηθῆναι καὶ τὸν Ἰσμαὴλ υἱὸν Θεοῦ· πρὸς οὓς ἡμεῖς φαμεν, ὅτι εὐλογίαν ἐκεῖνος ἔλαβεν, οὐχ οἵαν ὁ Ἰσαὰκ, οὗ τῷ σπέρματι ἐνευλογηθῆναι πάντα τὰ ἔθνη ἐπηγγείλατο ὁ Θεὸς, καὶ κληρονόμον τοῦτο γενέσθαι τῆς μεγίστης ἐπαγγελίας, ἀλλ' οἵαν καὶ τὰ ἄλογα πάντα, ὥστε αὐξάνεσθαι καὶ πληθύνεσθαι. Τίς δὲ ὄνησις τῷ γένει τούτου τῷ πληθυνομένῳ, καὶ τῆς θείας εὐμενείας ἀποτυγχάνοντι, καὶ ἀλλοτριουμένῳ Θεοῦ;

Ταῦτα τὰ μυθώδη ληρήματα τοῦ ψευδωνύμου Μωάμεθ διὰ τοῦτο ἐνταῦθα ἐγράφησαν, ὡς ἂν οἱ Χριστιανοὶ ταῦτα ὁρῶντες καταγελῶσιν αὐτὸν καὶ τοὺς αὐτοῦ μαθητὰς, καὶ διαπτύωσι τὴν αὐτῶν πλάνην τε καὶ ἀπώλειαν· καὶ τὴν τῶν Χριστιανῶν πεφωτισμένην καὶ ὑπὲρ ἥλιον λάμπουσαν ὀρθόδοξον πίστιν ὑπερυψοῦντες, καὶ τὸν Σωτῆρα Χριστὸν καὶ Θεὸν ἡμῶν εὐχαριστοῦντες, μεγαλύνωμεν καὶ δοξάζωμεν τὴν αὐτοῦ ἄπειρον ἀγαθότητα καὶ εὐεργεσίαν, ὅτι ἐλυτρώσατο ἡμᾶς τῇ αὐτοῦ εὐσπλαγχνίᾳ ἐκ ταύτης τῆς μεμισημένης πλάνης καὶ ἀπωλείας, οὐ μὴν ἀλλὰ καὶ ἐκ πλάνης ἄλλης τῶν ἀνόμων, καὶ αἱρετικῶν θρησκείας, σὺν τῇ ψυχῇ καὶ τὸ σῶμα τῇ ἀπωλείᾳ παραδιδόντων. Ὧν πρῶτος ἐγὼ, ὁ ταῦτα γράψας, καταπτύω καὶ ἀποστρέφομαι τὰ μυθώδη ταῦτα ληρήματα, καὶ πᾶσαν αἵρεσιν· πιστεύω δὲ καὶ κηρύττω τὸν Κύριον ὑμῶν καὶ Θεὸν Ἰησοῦν τὸν Χριστόν.

APPENDIX.

Photii patriarchæ Constantinopolis ex epistola ad Michaelem Bulgariæ principem, de septem conciliis œcumenicis.

Primum et œcumenicum sanctumque concilium, etc.

ΠΑΡΑΤΙΤΛΟΣ.

Φωτίου πατριάρχου Κωνσταντινουπόλεως ἐκ τῆς πρὸς Μιχαὴλ τὸν ἄρχοντα Βουλγάρων ἐπιστολῆς περὶ τῶν ἑπτὰ οἰκουμενικῶν συνόδων.

Πρώτη καὶ οἰκουμενικὴ ἁγία σύνοδος, κ. τ. λ.

Vide Photii Operum tom. II, Patrologiæ CII, col. 631, usque ad col. 656 A, παρεσκεύασεν.

Hæc in fine editionis Tergobystensis leguntur :

Ἀλγεῖ ἀλάστωρ αἱρετιζόντων βλέπων
Τύπῳ δοθείσας τὰς πονηρὰς αἱρέσεις
Αὐτοῦ τε χαὐτῶν πρὸς θρίαμβον καὶ στύγος,
Κατατρεχούσῃ τῶνδε τῆς Πανοπλίας
Γῆς δογματικῆς πυρίνου σπάθης δίκην
Ἀλεξίου ἄνακτος εὐσεβεστάτου,
Καὶ πυρπολούσης δογμάτων τῶν δυσθέων
Ἅπαν νόημα, καὶ πλάνην λαοπλάνων.
Ἃ γὰρ Τριάδος οἱ ὑπέρμαχοι πόνῳ,
Εἰς τὴν Τριάδα ἐλπίσαντες ἐκτόπως,
Ἐξειργάσαντο Πνεύματος δᾳδουχίᾳ,
Κράντωρ ὁ θεῖος ταῦτα συλλέξας πόθῳ,
Καὶ δὴ προτρέψας Ζιγαδηνῷ ἁρμόσαι,
Ἣν Μητροφάνης νῦν τύπῳ διορθῶν,
Χαίρει τε θυμῷ φθὰς τὸ τῆς βίβλου τέλος.

Ἐν ἔτει Σωτηριώδει ,αψι', Σκιροφοριῶνος β' μεσοῦντος.

Ὁ ἐλάχιστος τῶν ἱερομονάχων Μητροφάνης
Γρηγορᾶς ὁ ἐκ Δωδώνης.

ORDO RERUM

QUÆ IN HOC TOMO CONTINENTUR.

EUTHYMIUS ZIGABENUS.

PANOPLIA DOGMATICA.

Prolegomena, *in quibus continetur Christ. Frid. Matthæi Recensio codicum Mosquensium Panopliæ.* 9

EUTHYMII PROLOGUS AD ALEXIUM COMNENUM. 19

INDEX LIBRI. 31

TITULUS I. Ratiocinatio syllogistica qua Deus unus esse ejusdemque naturæ Verbum, et Spiritum item, nempe Filium et Spiritum sanctum habere demonstratur. Ex oratione catechetica Gregorii Nysseni. 31

De Spiritu sancto. 39

Eisdem de rebus Damasceni ratiocinatio syllogistica qua Deum esse demonstrat. 42

Ejusdem ratiocinatio syllogistica qua Deum unum esse demonstrat. 43

Ejusdem ratiocinatio syllogistica qua Verbum et Filium esse declarat. 43

Ejusdem ratiocinatio syllogistica qua Spiritum sanctum esse probat. 43

Ejusdem admirabilis per exempla ratiocinatio, qua Patrem, et Filium, et Spiritum sanctum esse demonstrat. 45

TITULUS II. De Patre, et Filio, et Spiritu sancto, distincta simul atque conjuncta Divinitatis ratio. — Dionysii Areopagitæ ex capite 2 de unita distinctaque theologia. 46

Ex capite 1 libri de divinis nominibus. 46

Ex capite 13 de perfecto et uno. 46

Ex capite 3 de mystica theologia. 46

Ex capite 2 de unita distinctaque theologia. 47

De Patre item, et Filio, et Spiritu sancto distinctam simul atque conjunctam esse Divinitatis rationem, et quæ dicunt divinæ Scripturæ de Patre, eadem similiter illas et de Filio, et de Spiritu sancto dicere, unicam in tribus Divinitatem ostendentes, Magni Athanasii. Capitulum hoc cum sequenti deest in editione Tergobystensi anni 1710; exstant in versione Fr. Zini. Primum Græce edidit Ch. Frid. de Matthæi in Proleg. ad Euthymii Comment in Evang. p. 13 seqq.; alterum exstat inter Opera S. Basilii. 50

De Patre item, et Filio, et Spiritu sancto distincta pariter atque unita Divinitatis ratio, magni Basilii ex oratione de fide. 54

De Patre item, et Filio, et Spiritu sancto distincta pariter atque unita Divinitatis ratio, magni Basilii ex epistola ad Gregorium fratrem de essentiæ et personæ differentia. 57

Ejusdem ex decimo octavo capitum ad Amphilochium. 59

De Patre item, et Filio et Spiritu sancto distincta simul et unita divinitatis ratio, Magni Gregorii Theologi ex oratione prima de Filio. 61

Ejusdem ex oratione de dogmate et statu episcoporum. 63

Ejusdem ex oratione in Heronem philosophum. 65

Ejusdem ex oratione 2 de pace. 67

Ejusdem ex oratione in diem natalem Christi. 69

Ejusdem in sancta Lumina. 71

Ex eadem oratione. 71

Ejusdem ex oratione hortatoria ad baptismum suscipiendum. 71

Ex eadem oratione. 73

Ejusdem ex oratione ad episcopos, qui navi advenerant ex Ægypto. 73

Ejusdem ex oratione in Arianos, in qua et de se ipso loquitur. 79

Ex oratione quam habuit in conspectu centum quinquaginta episcoporum. 81

Ex oratione de Spiritu sancto. 83

Item de Patris, et Filii, et Spiritus sancti distincta simul et unita divinitatis ratione Gregorii Nyssæ pontificis ex oratione contra Ablavium 85

Ejusdem ex oratione a. Evagrium monachum de Divinitate. 87

Ex eadem oratione. 87

Item de Patre, et Filio, et Spiritu sancto distincta simul et unita divinitatis ratio. S. Cyrilli expositio fidei. 87

Item de Patre, et Filio, et Spiritu sancto distincta simul et unita divinitatis ratio. Sancti Maximi. 95

Ejusdem. 95

Ejusdem. 97

Ejusdem. 97

Ejusdem. 97

Ejusdem. 99

Ejusdem ex interpretatione precationis Dominicæ. 99

Ejusdem. 99

Item de Patre, et Filio, et Spiritu sancto distincta simul atque unita Divinitatis ratio. Damasceni. Cap. 8. 93

Ejusdem ex cap. 12. 115

Item de Patre, et Filio, et Spiritu sancto, distincta simul, et unita divinitatis ratio diversorum Patrum. 115

TITULUS III. De Deo, seu de Divinitate communiter. Perspicuum est, qui Deum, aut Divinitatem, aut divinum Numen dicit, communi horum appellatione tres unius Divinitatis hypostases, sive personas declarare. Areopagitæ. Hæc dilucidiora ut essent, paraphrasi quadam sunt paulo latius explicata. 125

Item communiter de Deo, sancti Maximi. 142

Item communiter de Deo, Joannis Damasceni ex capite 11. 151

Ejusdem de loco, ex cap. 13. 154

TITULUS IV. Divinam naturam comprehendi non posse. Magni Gregorii Theologi, ex oratione in diem Natalem Domini nostri Jesu Christi. 155

Ejusdem, ex oratione de theologia. 157

Ejusdem ex eadem oratione. 159

Ejusdem ex oratione de modestia in disputationibus observanda 173

Ejusdem ex oratione apologetica magna. 175

Item naturam divinam comprehendi non posse. Chrysostomi ex libro, quo continentur orationes, quibus Deum incomprehensum esse demonstrat. 177

Item naturam divinam comprehendi non posse. Damasceni. Cap. 1. 185

Ejusdem. Cap. 2. 187

TITULUS V. De divina appellatione. Areopagitæ, ex libro de divinis nominibus. 189

Item de appellatione divina, Magni Gregorii Theologi ex oratione 2 De Filio. 191

TITULUS VI. De opificio Dei. Gregorii Theologi ex oratione in diem natalem Christi. 197

Ex oratione in Sacra Lumina. 199

Ex oratione in diem Natalem Christi. 199

Item de opificio Dei, ex oratione catechetica Gregorii Nyssæ pontificis. 201

Item de opificio Dei, sancti Maximi. 203

TITULUS VII. De divina humanæ carnis assumptione. Areopagitæ, ex libro de divinis Nominibus, cap. 1. 207

Ejusdem ex cap. 2, de conjuncta distinctaque Divinitatis ratione. 207

Ejusdem ex epistola ad Caium medicum. 207

Ejusdem ex theologicis elementis. 209

Ejusdem ex libro de ecclesiastica hierarchia. 209

Ejusdem ex libro de cœlesti hierarchia. 209

Item de divina humanæ carnis assumptione magni Gregorii Theologi ex oratione in diem Natalem Domini nostri Jesu Christi. 209

Ejusdem in Sancta Lumina. 211

Ejusdem, ex epistola prima ad Cledonium. 213

Ejusdem ex oratione 2 de Filio. 213

Ejusdem ex oratione in Sancta Lumina. 213

Ejusdem ex oratione in Pascha. 213

Ejusdem, ex oratione qua ad baptisma cohortatur. 213

De divina item humanæ carnis assumptione. Gregorii Nyssæ pontificis ex oratione catechetica. 215

Item de divina humanæ carnis assumptione, sancti Maximi, ex expositione orationis de recta confessione. 229

Item de divina humanæ carnis assumptione Damasceni, cap. 66. 233

Ejusdem. Cap. 68. 233

Ejusdem. Cap. 70. Totam divinam naturam in una suarum personarum toti humanæ naturæ conjunctam esse, non autem partem parti. Quæ quidem oratio necessaria est etiam adversus illos, qui in sancta et ejusdem essentiæ Trinitate tres asserunt esse singulares essentias. 237

Ejusdem. Cap. 71. De una Dei Verbi composita persona. 241

Ejusdem. Cap. 75. De natura in specie et individuo considerata, et differentia copulationis, et carnis assumptionis. 243

Ejusdem. Cap. 84. De naturalibus et nulli crimini obnoxiis affectionibus. 243

Ejusdem. Cap. 97. Cur Filius Dei carnem humanam assumpserit, non autem Pater, aut Spiritus sanctus. 243

Item de divina humanæ carnis assumptione. Aliorum Patrum. 243

TITULUS VIII. In Hebræos. Omnia quæ sequuntur capita, usque ad illa quæ collegimus ex Chrysostomo, sumpta sunt ex libro qui inscribitur De cognitione Dei, cujus auctor esse fertur Gregorius Nyssæ pontifex, excepto quinto, quod est Basilii Magni. 257

Libri Geneseos. 259

Exodi. 263

Davidis et Zachariæ, et Isaiæ. 263

Ex Genesi et Isaia. 263

Jeremiæ imo Baruch et Isaiæ. 267

Micheæ. 267

Daniel. 267

De Christi cruciatibus et morte. 269

De Christi resurrectione. 271

De Ecclesia ex gentibus, juxta Isaiam. 271

Item contra Hebræos, magni Joannis Chrysostomi capita maxime apposita et opportuna, ex eo selecta volumine quo orationes in Judæos continentur. 275

Item adversus Hebræos Leontii Cypri pontificis. 291

Item adversus eosdem. Aliorum Patrum. 293

Damasceni de Sabbato. Cap. 32. 295

De Judaica circumcisione. Magni Joannis Chrysostomi ex interpretatione in Genesim. 301

Item de circumcisione. Ex Damasceno, cap. 34. 303

TITULUS IX. Adversus Simonem Samariensem, et Marcionem Ponticum, et Manetem Persam, et Manichæos, magni Athanasii. 303

Ejusdem contra Valentinum qui in multis consentiebat cum superioribus hæreticis. 309

Item contra eosdem Basilii Magni ex oratione II in Hexaemeron. 309

Item in eosdem. Ex libro, qui Gregorio Nyssæ pontifici ascribitur, De cognitione Dei. 311

Item adversus eosdem. Magni Joannis Chrysostomi ex oratione in ea verba: « Pater, si fieri potest, transeat a me calix iste. » 317

Ejusdem ex interpretatione in mysticam cœnam. 319

Ejusdem ex interpretatione in magos. 319

Ejusdem ex interpretatione in illa verba: « In principio fecit Deus cœlum et terram. » 319

Ejusdem, ex interpretatione in quinque panes. 321

Ejusdem, ex interpretatione in illa verba: « Omnis plantatio, quam non plantavit Pater meus cœlestis, eradicabitur. » 321

Item adversus eosdem. Sancti Cyrilli ex libro ad Theodosium imperatorem scripto. 323

Item contra eosdem. Damasceni 29. 323

TITULUS X. Adversus Sabellium. Sancti Cyrilli ex interpretatione in Joannis Evangelium. 327

TITULUS XI. In Arianos. Magni Athanasii, ex quarto contra eos ipsos libro. 331

Ejusdem ex quinto libro contra Arianos. 337

Ex eodem libro. Ostendit, homines Arii morbo et insania laborantes inter se dissentire. Quæ enim falsa sunt, ne sibi quidem ipsa congruere. 345

Ex eodem libro. Patrem et Filium non esse duos Deos, licet sint duæ personæ. 347

Quæ objiciant Ariani. Ex primo ejusdem in eos libro. 347

Quid objiciant Ariani. Ex eodem libro. 349

Ex eodem libro. Arianorum, et Valentini, et Carpocratis confutatio. Valentini quidem Christum et angelos ejusdem generis esse dicentis, et illum unum ex illis esse asserentis; Carpocratis autem mundum per angelos fuisse factum affirmantis; Arianorum vero Filium cum angelis comparantium. 359

Multis argumentis ostendit, Filium esse ejusdem essentiæ cum Patre. Ex secundo libro contra Arianos. 363

Ex Aaron historia mysterium Christi constituens, arguit illos qui de ipso minus recte sentiunt. Ex eodem libro. 369

Ex eodem loco in Arianos, qui dicunt Filium instrumenti partes egisse, et propter nos esse factum. 373

Ex eodem libro in Arianos, inter quos et Samosatensis comprehenditur, quoniam et ipse censuit, Filium Dei nihil aliud esse nisi Verbum enuntiatum, et mandatum divinum, quo Pater tanquam artifex ut instrumento mechanico usus est ad rerum universitatem constituendam. 383

Ejusdem ex libro tertio in Arianos, in ea verba: « Ego et Pater unum sumus. » 407

Ex eodem libro. Sanctæ et divinæ Scripturæ propositum esse, ut dupliciter de Servatore loquatur, tum ut de sempiterno Filio et Deo, tum ut de illo, qui postea vere perfecteque factus sit homo. 421

De eodem argumento. 425

Ex epistola, qua res in conciliis tum Ariminі, quod est Italiæ oppidum, tum Seleuciæ, quod est oppidum Isauriæ celebratis, gestæ continentur. 457

Ejusdem adversus Arianos pro Dionysio episcopo Alexandriæ apologia. 491

Item adversus Arianos et Eunomianos. Magni Basilii ex primo libro. 499

Ex eodem libro. 501

Ejusdem ex secundo libro adversus Eunomium. 509

Ejusdem ex eodem quarto libro. 533

Ex eodem libro, De ingenito. 537

Ejusdem ex Epistola ad Maximum philosophum. 551

Ejusdem ex epistola ad canonicos. 553

Ejusdem ex epistola ad Eustathium Armenium, adversus quosdam, qui videbantur Arianorum opinionibus favere. 553

Ejusdem ex capite sexto ad Amphilochium. 553

Item contra Arianos et Eunomianos, magni Gregorii Theologi ex oratione prima de Filio. 557

Ejusdem in eosdem. Ex II oratione de Filio. 575
Ejusdem de dogmate et ordinatione episcoporum. 591
Ejusdem ex oratione II de pace. 595
Ejusdem ex oratione II in Paschæ. 597
Item adversus Arianos et Eunomianos Gregorii Nyssæ pontificis ex oratione ad Simplicium scripta de Filio. 599
Ejusdem ex oratione de Filii et Spiritus divinitate. 603
Item contra Arianos. Magni Joannis Chrysostomi ex interpretatione illorum verborum. « Faciamus hominem. » 107
Ejusdem ex interpretatione illorum verborum : « Et assumpsit Deus hominem, quem formaverat. » 607
Ejusdem ex interpretatione in illa verba : « In principio erat Verbum. » 607
Ex eodem libro. 611
Ejusdem in illa verba : Omnia per ipsum facta sunt. » 615
Ejusdem ex interpretatione illius sententiæ : « Qui est in sinu Patris. » 617
Item in Arianos, sancti Cyrilli Alexandrini. Ex commentariis ejus in Joannis Evangelium. 619
Alia observatio, in illud, « In principio erat Verbum. » 619
Ejusdem ex libro de Trinitate. 625
Ejusdem ex secundo Thesauri libro, in ea verba : « Considerate Apostolum et Pontificem confessionis vestræ Jesum. » 627
Ex eodem libro in ea verba : « Et Dominum ipsum et Christum fecit Deus. » 629
Ex eodem libro in illa verba : « Clarifica Filium tuum. » 631
Ex eodem libro in ea verba : « De illa autem die aut hora. » 631
Ex eodem libro in ea verba : « Et omnia dedit in manu ejus. » 651
Ex eodem libro adversus Arianos responsio ex istis verbis : « Ut cognoscant te solum verum Deum. » 635
Ex eodem libro in illa verba : « Jesus autem proficiebat. » 635
Ex eodem libro, in ea verba, « Pater, clarifica me. » 635
Ex eodem libro, apostolorum sententiæ sexdecim, quibus Filium natura Deum, non autem factum aut creatum esse demonstrat. 637
Ejusdem ex commentariis in Joannis Evangelium adversus Arianos dicentes diversum intimum Dei Verbum a Filio. 645
Ejusdem ex Thesauri libro primo in ea verba : « Sic dedit et Filio vitam habere in semetipso. » 649
Ejusdem ex libro de sancta Trinitate. 655
Ejusdem ex Thesauri cap. 6 libri primi. 657
Ex capite sexto ejusdem libri. 659
Ex capite septimo ejusdem libri. 661
Ex eodem libro, cap. 20. 663
Ex secundo Thesauri libro, cap. 29. 665
Ejusdem ex Commentariis in Evangelium Joannis, Filium Patre non esse minorem. 665
Ejusdem ex libro de sancta Trinitate. 669
Ejusdem ex Thesauri cap. 10 primi libri. 669
Ex primo Thesauri libro cap. 9. 671
Et quatuor sequentia capita Filium esse demonstrant ejusdem essentiæ cum Patre. 679
Ejusdem ex Thesauri cap. 1, lib. I. De ingenito cap. 8. 681
Item contra Arianos Damasceni cap. 85 valde necessarium. 683
TITULUS XII. De Spiritu sancto, magni Athanasii, ex oratione de Christi adventu in carne. 685
Ejusdem Athanasii epistola ad Serapionem episcopum Thermupolis, de Spiritu sancto. 687
Dicitur etiam ventorum spiritus. 693
Item de Spiritu sancto, Basilii Magni ex oratione quarta, qua contra Eunomium disputavit. 723
Ejusdem ad eos qui dicunt sæpe de Filio et Patre scriptum esse, de Spiritu autem in baptismo tantum. 737
Ejusdem ex triginta capitum ad Amphilochium capite 9. Separatæ de Spiritu sancto sententiæ, Scripturarum doctrinæ consentaneæ. 741
Ejusdem adversus eos qui dicunt non oportere Patri et Filio adjungere Spiritum sanctum. Cap. 10. 743
Ejusdem adversus eos qui dicunt sufficere baptisma tantum in nomine Domini. Cap. 12. 747
Quare apud Paulum angeli simul cum Patre et Filio adjunguntur. Cap. 13. 749
Caput 14. 751
Ejusdem quod in omni notione Spiritus sanctus inseparabilis est a Patre et Filio, sive in creatione intelligibilium creaturarum, sive in humanarum rerum dispensatione, sive in judicio quod exspectatur. Cap. 16. 755
Caput 19. 765
Caput 20. 769
Testimonia ex Scripturis Spiritum appellari Dominum. Caput 21. 771
Ejusdem confirmatio naturalis communionis Spiritus, eo quod æque ac Pater et Filius incomprehensibilis est. Caput 22. 775
Ejusdem. Gloriam Spiritus esse enumerationem eorum quæ ipsi adsunt. Caput 23. 777
Ejusdem. Redargutio absurditatis eorum qui non glorificant Spiritum, ex collatione eorum quæ in creaturis gloria afficiuntur. Caput 24. 777
Quod Scriptura hac syllaba « in » pro « cum » utatur : ubi etiam probatur « et » idem pollere quod « cum. » Caput 25. 781
Ejusdem. Quot modis dicitur « in » totidem modis de Spiritu accipi. Caput 26. 785
Unde initium habet syllaba, « cum, » et quam vim habeat; ubi et de Ecclesiæ legibus nullo scripto proditis. Caput 27. 791
Ejusdem. Quod quæ de hominibus dicit Scriptura tanquam una cum Christo regnantibus, ea de Spiritu dici non concedunt adversarii. Caput 28. 797
Ejusdem. Enumeratio virorum in Ecclesia illustrium, qui in scriptis suis usi sunt hac voce, « cum. » Caput 29. 801
Ejusdem, ex Epistola ad Eustahium Armenium. 807
Ejusdem ex tertia adversus Eunomium oratione. 809
Contra Pneumatomachos, S. Gregorii Theologi ex oratione de Spiritu sancto. 819
Ejusdem ex oratione in Epiphaniam. 845
Ejusdem ex oratione in Pentecosten. 845
Ejusdem ex altera ad Cledonium epistola, quæ præ longitudine instar est libri. 849
Item adversum Spiritus oppugnatores, Gregorii Nyssæ pontificis ex oratione ad Simplicium. 849
Ejusdem ex oratione de Filii et Spiritus divinitate. 851
Ejusdem ex oratione tertia de precatione. 853
Ejusdem ex oratione de baptismo. 853
Ejusdem ex oratione ad Eustathium, scripta in eos qui Spiritum sanctum impugnant. 655
Item adversum Spiritus oppugnatores sancti Cyrilli dictorum Scripturæ diversis ex libris collectio, ex quibus Spiritus sanctus Deus esse demonstratur. Ex Thesauro autem collectio hæc deprompta est, sed sparsim, et per epilogum. — Ex Epistola ad Corinthios. 855
Ex Epistola ad Romanos. 859
Ex Actibus apostolorum. 859
Ex Psalmis. 861
Ex Epistola ad Corinthios. 861
Ex Joannis Evangelio. 863
Objectio hæreticorum. 863
Ex Joannis Evangelio. 865
Objectio hæreticorum. 867
Ex Epistola ad Romanos. 869
Ex Epistola ad Corinthios. 869
Ex Evangelio. 869
Ex Jacobi Epistola. 869
Ex Petri Epistola. 869

Ex Joannis Epistola. 871
Ex Evangelio secundum Matthæum. 871
Ex Evangelio secundum Joannem. 871
Ejusdem. 873

TITULUS XIII. Photii patriarchæ, contra Romæ asseclas : quod ex solo Patre procedit Spiritus sanctus, non autem et ex Filio. 875

TITULUS XIV. Adversus Apollinarium. Magni Athanasii ex disputatione contra Macedonianum Apollinaristam habita. 875
Item adversus Apollinarium, magni Gregorii Theologi ex epistola prima ad Cledonium, quæ est libri instar. 883
Ejusdem ex altera ad eumdem Epistola. 893
Ejusdem ex Epistola ad Nectarium. 895
Ejusdem ex oratione, qua confutat Apollinarii opiniones. 897
Ejusdem ex oratione quam Theodosio imperatori nuncupavit. 911
Ejusdem ex oratione ad reginas habita. 923
Ejusdem ex oratione de humanitate a Verbo assumpta. 925
Item adversus Apolinaristas Damasceni, cap. 82. 929

TITULUS XV. Adversus Nestorianos, sancti Cyrilli ex sancti Symboli interpretatione. 931
Ejusdem coacervatio dictorum evangelicorum et apostolicorum, quibus Christum esse Deum, non autem nudum hominem, comprobatur. Hæc autem coacervatio ex Thesauro cum delectu deprompta est. 951
Ex Epistola ad Galatas. 957
Ex Epistola ad Hebræos. 957
Ejusdem ex libro qui ex interrogatione responsioneque constat. 959
Ejusdem ex Scholiis de unione. 977
Ejusdem ex oratione de uno Filio. 981
Ejusdem anathematismus 6. 983
Ejusdem anathematismus 7. 983
Ejusdem ex epistola ad Nestorium. 983
Ejusdem ex epistola ad Eulogium. 985
Ejusdem ex epistola ad Acacium. 987
Ejusdem ex oratione de assumpta a Verbo humanitate : Virginem esse Dei Genitricem. 989
Ex Epistola ad Joannem Antiochenum. 989
Ex oratione ad augustissimas dominas habita. 991
Ejusdem ex oratione ad presbyteros et diaconos. 997
Item adversus Nestorianos, Damasceni. Cap. 76. 1005
Ejusdem. Cap. 86. 1009
Ejusdem. Cap. 98. 1009

TITULUS XVI. Magni Athanasii adversus illos qui Christum unam esse dicunt naturam compositam. Licet enim postea ab Eutyche, Dioscoro, et Monophysitis hæc hæresis fuerit propagata, fuerunt tamen antea quidam, qui nefariæ istius opinionis semina projecerunt. Sanctus autem Maximus eam dicit Apollinarium disseminasse. 1011
Ejusdem adversus eosdem. 1015
Sancti Maximi adversus Eutychem, et Dioscorum, duas naturas in unam confundentes, quos quidam Synchyticos, quidam Monophysitas appellaverunt. Eutyches autem fuit archimandrita, Dioscorus vero archiepiscopus Alexandriæ. Ex interpretatione orationis de recta confessione. 1021
Ejusdem, ex oratione, qua demonstrat, eam non esse rationem numeri, ut divisionem eorum de quibus dicitur, afferat. 1023
Ejusdem, de sancti Cyrilli dicto, quod positum est in epistola ad Succensum. 1025
Ejusdem de differentia et quantitate. 1031
Ejusdem ex responsione sexagesima secunda ad Thalassium. 1033
Ejusdem de duabus Christi naturis. 1035
Ejusdem : impium esse, Christum unam simpliciter naturam dicere. 1037
Ejusdem de voce hac : « In duabus naturis. » 1039
Ejusdem de persona composita. 1041
Ejusdem solutio quæstionis Severi. 1043
Item adversus illos, qui unam in Christo naturam esse dicunt : Damasceni. Cap. 66. 1045
Ejusdem. Cap. 69. 1049
Ejusdem. Cap. 72. 1051
Ejusdem. Cap. 96. 1053
Ejusdem. Cap. 73. 1055
Ejusdem. Cap. 74. 1055
Ejusdem adversus eos qui dicunt, si duas habet homo naturas et actiones, necesse est, tres in Christo naturas et totidem actiones asserere. Cap. 80. 1059
Ejusdem ad eos qui quærunt, utrum sancta Dei Genitrix duas naturas genuerit, et utrum duæ naturæ in cruce pependerint. Cap. 99. 1061
Ejusdem ex cap. 75. 1063
Ejusdem. Cap. 90. 1065
Item adversus eos, qui unam in Christo naturam asserunt. Diversorum aliorum Patrum. 1065
Item adversus eos qui unam in Christo naturam asserunt. Leontii Byzantii ex triginta capitibus contra Severum. 1067
Item adversus eos qui unam in Christo naturam asserunt. Anastasii monachi Sinaitæ, ex libro, qui « Viæ dux » inscribitur. 1073
Sanctorum Patrum de duabus in Christo naturis testimonia. 1077
Leontii Byzantii : quæ maledicta Severus, et qui eum secuti unam in Christo naturam asserunt, in Chalcedonense concilium conjiciant. 1083

TITULUS XVII. Adversus Aphthartodocitas, qui duces habuerunt Julianum Halicarnasseum et Gaianum Alexandrinum, ex scholiis Leontii Byzantini. 1087
Damasceni contra eosdem, cap. 92. 1089
Alterius contra eosdem. 1091

TITULUS XVIII. Adversus Theopaschitas, qui Filii et Dei divinitatem patibilem tradiderunt. Quamvis autem hæc hæresis postea viguerit, antea tamen fuerunt etiam quidam, qui improba illius semina sparserint. Sancti Cyrilli ex oratione ad Alexandrinos habita. 1091
Ejusdem ex epistola ad Acacium scripta de emissario. 1093
Anastasii monachi Sinaitæ, ex libro, qui « Viæ dux » inscriptus est, testimonia, quæ proferunt Theodosiani, et quicunque cum illis consentientes Filii divinitatem conantur esse patibilem demonstrare. Ex quo vocati sunt Theopaschitæ. Et hi quoque sunt pars Monophysitarum, qui unam tantum in Christo naturam esse contendunt. 1095
His adjicienda sunt ea quæ Magnus Athanasius in eos dicit, qui Verbum ratione impatibili dicunt esse passum. 1097
Ejusdem adversus illos qui dicunt, Passus est, ut ipse voluit. 1099
Ejusdem adversus eos qui dicunt : Passus est Deus Verbum carne. 1101

TITULUS XIX. Contra Agnoetas, qui aiunt Filium, ut Patre minorem, diem et horam ignorare consummationis mundi. 1105

TITULUS XX. Contra Origenem, qui incorporeum ante lapsum creatum esse primum hominem statuit, post lapsum autem pelliceas vestes, id est corpus, induisse; animam ante corpus exsistere, eamdemque animam multis corporibus amiciri; finem habituras esse post resurrectionem generalem pœnas; dæmones in pristinum statum restitutum iri; homines peccatores justificatum iri; corpora mortuorum haud resurrectura esse; Christi regnum aliquando finem habiturum, et alia quædam nugatus est. 1103

TITULUS XXI. Adversus Monotheletas, Sergium, Pyrrhum, Paulum, Constantinopolis patriarchas, aliosque ejusdem generis. Atque istius item hæresis Deo invisus Severus præbuit occasionem. Sancti Maximi, ex oratione, qua declarat, Patres non dixisse de Christo voluntatum sensu discrepantium quantitatem. 1109
Ejusdem ex epistola ad Nicandrum. 1113

Ejusdem ex epistola ad Nicandrum Cypri episcopum et ad præfectos eorum qui solitariam in Sicilia vitam degunt. 1119

Ejusdem ex oratione qua duas in Christo voluntates esse probat. 1125

Ejusdem in illa verba, « Pater, si fieri potest, transeat a me calix iste. » 1135

Ejusdem ex disputatione habita cum Pyrrho patriarcha Constantinopolitano. 1137

Ex eadem disputatione, Carnem non, ut Pyrrhus dicebat, nutu Verbi conjuncti moveri. 1137

Item ex epistola ad Nicandrum episcopum. 1145

Ejusdem adversus illos, qui Christum habere dicunt actionem unam per dominationem. 1145

Ejusdem adversus illos qui dicunt, quemadmodum instrumenti, et ejus qui utitur instrumento una est actio, sic et divinitatis atque humanitatis unam esse actionem. 1147

Item adversus Monotheletas, Damasceni. Cap. 77. 1147

Ejusdem. Caput 78. 1147

Ejusdem ex capite 79. 1153

Ejusdem ex capite 81. 1153

Ejusdem ex capite 82. 1155

Ejusdem caput 83. 1157

Item adversus Monotheletas. Ex aliis diversis Patribus. 1159

TITULUS XXII. Adversus imaginum oppugnatores epitome quædam tum ex actis septimi concilii, tum ex Germani et Nicephori Constantinopolis patriarcharum, tum ex B. Theodori Studitæ scriptis deprompta. 1165

TITULUS XXIII. Adversus Armenios. 1175

De azymis. 1179

TITULUS XXIV. Adversus Paulicianos. 1189

Duo non esse principia, sed unum esse cœli, et terræ, et eorum quæ in medio sunt, effectorem. 1199

Unum esse corporis animæque effectorem, hominis videlicet. 1211

De Dei Genitrice. 1215

Vetus Testamentum, et qui in eo illustres exstiterunt, esse boni Dei. 1219

Unum esse Testamenti Veteris auctorem et Novi, et quod invicem consona sint, non autem contraria, ut volunt Dei inimici. 1229

TITULUS XXV. De cruce, de sancto baptismo et de eucharistiæ mysterio. 1245

Damasceni de cruce. 1245

De sancto baptismo: magni Basilii ex triginta capitibus ad Amphilochium Iconii episcopum. 1247

Theologi ex oratione qua ad baptismum cohortatur. 1249

Gregorii Nyssæ pontificis ex oratione catechetica, item de baptismo. 1251

Damasceni, item de baptismo. 1253

De transmutatione Dominici corporis et sanguinis Gregorii Nyssæ pontificis ex oratione catechetica. 1261

Item de transmutatione corporis et sanguinis Domini, Damasceni. 1265

TITULUS XXVI. Adversus Massalianos. 1273

TITULUS XXVII. Adversus Bogomilos. 1289

TITULUS XXVIII. Adversus Saracenos, qui vocantur Ismaelitæ quod ab Ismaele originem duxerint. Hic autem Abrahæ filius ex Agar ancilla Saræ susceptus. Agareni autem dicuntur ab Agar Ismaelis matre. Saraceni vero appellantur ex eo, quod Agar cum a domina sua exclusa in solitudine iter faceret, ad angelum dixerit Sara cenin (id est vacuam) dimisit me, ut ipsi dicunt. 1331

APPENDIX.

Photii patriarchæ Constantinopolitani ex epistola ad Michaelem Bulgariæ principem, de septem conciliis œcumenicis. 1359

Versus qui in fine editionis Tergobystensis leguntur. 1361

FINIS TOMI CENTESIMI TRICESIMI.

ENCYCLOPÉDIE THÉOLOGIQUE, PREMIÈRE SÉRIE, CONTENANT 52 VOLUMES. PRIX : 312 FRANCS.

Dictionnaire historique, archéologique, philologique, chronologique, géographique et littéral de la Bible, ou Commentaire alphabétique des saintes Écritures, offrant une explication littérale des termes difficiles employés dans les saints Livres; l'histoire critique des principaux événements et des personnages dont il y est question; la description des provinces, des villes, des bourgades et des montagnes de la Terre-Sainte; celle des gouvernements, de la police des lois religieuses et civiles, des mœurs, des cérémonies du peuple juif: ouvrage pouvant tenir lieu d'une bibliothèque pour l'introduction à l'étude de l'Écriture, de la chronologie, de l'histoire et de la géographie sacrées; précédé de deux tables chronologiques de l'histoire de la Bible, de la chronologie des grands prêtres des Hébreux, du calendrier des Juifs, de plusieurs dissertations sur l'histoire militaire du même peuple et sur les monnaies, par dom Augustin Calmet: édition revue, complétée et actualisée, par M. l'abbé James. 4 vol. in-4°. 28 fr.

Dictionnaire universel de Philologie Sacrée, dans lequel on trouve les différentes significations de chaque mot de l'Écriture, son étymologie, et la solution de toutes les difficultés qu'a fait naître un même mot employé dans divers endroits de la Bible, où l'on explique les hébraïsmes du texte sacré, les contradictions apparentes, les difficultés de Chronologie, l'Histoire sainte, la Géographie, les noms propres des hommes, des villes, l'Archéologie sacrée, la Théologie dogmatique et morale, etc., avec tout ce qui peut faire entendre le sens littéral et métaphorique; on y voit, entre parenthèses, le mot grec des Septante qui répond à la signification de chaque mot latin, avec l'explication de ce que porte le sens de l'hébreu et du grec, quand il est différent de celui du latin de la Vulgate; par Huré; — suivi du **Dictionn. de la Langue sainte,** contenant toutes ses origines ou les mots hébreux tant primitifs que dérivés, avec des observations philologiques et théologiques: livre très-curieux et nécessaire à ceux qui n'entendent pas la langue hébraïque, écrit en anglais par le chevalier Leigh, traduit en français et augmenté de diverses remarques par Louis de Wolzogue; revu, augmenté de nouveau et actualisé par M. Tempestini. 4 vol. in-4°. 28 fr.

Origines et Raison de la Liturgie Catholique en forme de dictionnaire, ou Notions historiques et descriptives sur les rites et le céré-

hiérarchie, les édifices, vases et ornements sacrés, et en général sur le culte catholique, tant en Orient qu'en Occident, avec un grand nombre de notes, sous le titre de variétés, à la fin des articles; suivies de la **Liturgie Arménienne,** traduite en français sur le texte italien du Père Gabriel Avedichian, par l'abbé J.-B.-E. Pascal, ancien curé du diocèse de Mende, etc. 1 vol. in-4°. 8 fr.

Cours alphabétique et méthodique de Droit Canon, mis en rapport avec le Droit civil ecclésiastique, ancien et moderne ; contenant tout ce qui peut donner une connaissance exacte, complète et actuelle des canons de discipline des concordats, surtout de celui de 1801 et de ses articles organiques, des divers actes législatifs relatifs au culte, des usages de la cour de Rome, de la pratique et des règles de la chancellerie romaine, de la hiérarchie ecclésiastique, avec droits et devoirs des membres de chaque degré, et généralement de tout ce qui regarde, dans le droit canon, les personnes, les biens, la jurisprudence et la police extérieure de l'Église, par M. l'abbé André, chanoine honoraire. 2 vol. in-4°. 14 fr.

Dictionnaire des Hérésies, des Erreurs et des Schismes, ou Mémoires pour servir à l'histoire des égarements de l'esprit humain par rapport à la religion chrétienne précédé d'un Discours dans lequel on recherche quelle a été la religion primitive des hommes, les changements qu'elle a soufferts jusqu'à la naissance du christianisme, les causes générales, les filiations et les effets des hérésies qui ont divisé les chrétiens; par Pluquet; ouvrage augmenté de plus de 400 articles, distingués des autres par des astérisques; continué jusqu'à nos jours, revu et corrigé d'un bout à l'autre, par M. l'abbé J.-Ju Claris, ancien professeur de théologie; suivi: 1° d'un Dictionnaire nouveau des Jansénistes, contenant un aperçu historique de leur vie, et un examen critique de leurs livres, par l'abbé *****, membre de plusieurs Sociétés savantes; — 2° de l'*Index* des livres défendus par la sacrée Congrégation de ce nom, depuis sa création jusqu'à nos jours; — 3° Des propositions condamnées par l'Église depuis l'an 411 jusqu'à présent; — 4° De la Liste complète des ouvrages condamnés par les tribunaux français, avec le texte des jugements et arrêts tirés du *Moniteur*. 2 vol. in-4°. 16 fr.

Dictionnaire universel des Conciles tant généraux que particuliers, des principaux synodes diocésains, et des autres assemblées

les grandes collections de conciles les plus estimées, et à l'aide des travaux de D. Ceillier, du P. Richard, des auteurs de l'*Histoire de l'Église gallicane*, et des autres histoires de l'Église les plus célèbres, par M. l'abbé Ad.-Ch. Pelletier. 2 vol. in-4°. 14 fr.

Dictionnaire alphabético-méthodique des Cérémonies et des Rites sacrés, contenant textuellement, avec une traduction française littérale, sommaire ou amplifiée : 1° Les Rubriques générales du Bréviaire; 2° les Rubriques générales du Missel; 3° le Rituel en entier; 4° le Pontifical en entier; 5° le Cérémonial en entier; 6° le Catalogue le plus complet des saints vénérés quelque part que ce soit dans l'Église; 7° beaucoup d'articles détachés, et plusieurs Traités complets sur les matières les plus importantes de l'Eucharistie, des Indulgences, de l'Hagiographie, de la Liturgie, de la Hiérarchie, du Droit Canon et de la Discipline, dans leurs rapports avec les Rubriques, les Cérémonies et les Rites; le tout d'après la Liturgie Romaine, avec les variétés de la plupart des auteurs liturgiques: ouvrage nécessaire pour l'étude et la pratique du Culte divin, par M. l'abbé Boissonnet, professeur d'Écriture sainte et de rites sacrés, au grand séminaire de Romans. 3 vol. in-4°. 21 fr.

Dictionnaire des Cas de Conscience ou Décisions, par ordre alphabétique, des plus considérables difficultés touchant la Morale et la Discipline ecclésiastique, tirées de l'Écriture, des Conciles, des Décrétales des Papes, des Pères et des plus célèbres Théologiens et Canonistes tant anciens que modernes; par Pontas; revu par Amort, revu par Collet, revu par Vermot. 2 vol. in-4°. 14 fr.

Dictionnaire des Ordres Religieux ou Histoire des Ordres Monastiques, Religieux et Militaires, et des congrégations séculières de l'un et de l'autre sexe, contenant : Leur origine, leurs progrès, les événements les plus considérables qui leur sont arrivés, la décadence des uns et leur suppression, l'agrandissement des autres, les vies de leurs fondateurs et de leurs réformateurs, avec des figures représentant les différents habillements de ces ordres, par le R. P. Hélyot, de la communauté de Picpus. Mise par ordre alphabétique, corrigée et augmentée d'une Introduction, d'une Notice sur l'auteur, d'un grand nombre d'articles ou parties d'articles, et d'un supplément où l'on trouve l'histoire des congrégations omises par Hélyot, et l'histoire des sociétés religieuses établies depuis que cet auteur a publié son ouvrage, par Marie-Léandre

héologie, etc. 4 vol. in-4°. 32 fr.

Dictionnaire historique et comparatif de outes les Religions du monde, comprenant : Le Judaïsme, le Christianisme, le Paganisme, le Sabéisme, le Manisme, le Druidisme, le Brahmanisme, le Bouddhisme, le hamanisme, l'Islamisme, le Fétichisme, etc., avec toutes eurs branches; les hérésies et les schismes qui se sont introduits dans l'Église chrétienne; les sectes qui se sont élevées ans les autres religions; les ordres religieux tant des chréiens que des infidèles; les rites, usages, cérémonies relieuses, fêtes, dogmes, mystères, symboles, sacrifices, pratiques superstitieuses en usage dans tous les systèmes de relition, etc., etc.; rédigé par M. l'abbé Bertrand, chanoine de ersailles. 4 vol. in-4°. 32 fr.

Dictionnaire de Géographie Sacrée et Ecclésiastique, contenant : Le *Dictionnaire géographique de la Bible*, par Barbié du Bocage; une Introduction à la géographie chrétienne depuis la prédication de l'Évangile, un aperçu des problèmes de la géographie physique; une statistique des peuples et des villes de la géographie antérieure à l'an 500; un Vocabulaire des noms latins; un Tableau des patriarcats, des métropoles et des évêchés du monde chrétien, depuis les premiers siècles jusqu'en 1848; la description des diverses contrées, des montagnes, des principaux fleuves du globe, des villes patriarcales, métropolitaines, épiscopales, des grandes abbayes, des localités remarquables par les conciles qui s'y tinrent, des monuments ou des souvenirs religieux, ainsi que des villes célèbres de l'Islamisme et de l'idolâtrie; un résumé des missions catholiques, des différentes missions protestantes, de la géographie musulmane et idolâtre; une exposition des travaux et des opinions des anthropologistes modernes; un essai sur la philosophie de la géographie, et une bibliographie géographique, par M. Benoist, *traducteur des Œuvres choisies de Saint Jérôme*. Le troisième volume, par M. de Chesnel, contient un traité de géographie moderne. 3 vol. in-4°. 24 fr.